C a 11
111319
00111319

BOMBAY BRANCH
OF THE
Royal Asiatic Society.

Digitized with financial assistance from the
Government of Maharashtra
on 26 June, 2018

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ.

ΧΡΥΣΟΣΤΟΜΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ἅπαντα τὰ εὑρισκόμενα.

SANCTI PATRIS NOSTRI


ARCHIEPISCOPI CONSTANTINOPOLITANI

GRÆCE ET LATINE CONIVNCTIM EDITA: EX Bibliotheca Chriſtianiſſimi Francorum & Nauarræ Regis.

variantes lectiones ex Mnſſ. Codd. erutas. ſelegit, veterem interpretationem editarum olim homiliarum recenſuit, aliarum nouam edidit, vtramq; Notis illuſtrauit

TOMVS SECVNDVS.

111319 ae



Apud C. MORELLVM. Typographum Regium, viâ Iacobæâ ad inſigne Fo ns.

CVM PRIVILEGIO REGIS.

00111319

CATALOGVS OPERVM S. IOANNIS CHRYSOSTOMI, QVÆ HOC SECVNDO VOLVMINE continentur.

HOMILIÆ LXVII in Geneſim.

* In diuerſos ex Geneſi, & lib. 1. Regum locos Sermones, ac primum in illum Geneſis 1. In principio creauit Deus cœlum & terram, & de ieiunio & eleemoſyna, incerto interprete. 879

* In illud Geneſ. 1. Faciamus hominem ad imaginem, ſermo 2. Frontone Ducæo interprete. 888

* In illud Geneſ. 1. Et dominamini piſcibus maris, & volatilibus cœli, ſermo 3. eodem interprete. 893

* Quod tria ſeruitutis genera peccatum induxerit, & in negligentes auditores, ſermo 4. eodem interprete. 897

* Quod non propter Adamum punimur, & aduerſus eos, qui pauperes prætereunt, ſer. 5. eodem interprete. 905

* De ligno ſcientiæ boni & mali Gen. 2. itemque de ieiunio, & meditatione eorum, quæ in Eccleſia dicuntur, ſermo 6. eodem interpr. 913

* Quare lignum ſcientiæ boni & mali vocetur lignum illud, & quid ſit, Hodie mecum eris in Paradiſo, ſerm. 7. eodem interp. 917

* In conuentum Epiſcoporum, & de mandato quod traditum eſt Adamo Geneſ. 2. ſer. 8. eodem interprete. 929

Quare Abram vocatus ſit Abraham Gen. 17. & de nominibus iuſtorum, ſerm. 9. incerto interprete. 9 4

* Quod oporteat ſemper ieiunii meminiſſe, & de Anna, ſerm 1. Fr. Ducæo interp. 947

De fide & Anna, & de honore ſacerdotibus deferendo, & quod in fine prandii orandum, Deſid. Eraſmo interprete, ſermo 2. 961

De Anna & Samüelis educatione, ſermo 3. eodem interp. 974.

De ſecunda parte precationis Annæ, & quod in omni loco precari oporteat, ſermo 4. Sigiſm. Gelenio interp. 985

Aduerſus eos qui in feſtis tantum conueniunt, itémque de Anna, ſerm. 5. eod. interp. 997. De Dauide & Saüle, déque tolerantia, & quod inimicis parcendum eſt, ſer. 1. Deſ. Eraſmo interp. 1008

Quod Dauid maius trophæum erexit parcendo Saüli, quam Goliathum occidendo, ſermo 2. eodem interp. 1023

Quod periculoſum ſit adire ſpectacula, & de tolerantia Dauidis, ſer. 3. eodem interp. 1034

Omnia vitia originem ab ignauia ducere, neque diabolum homini nocere poſſe, Io. Iacobo Beurero interpr. 1054

Appendix tomi I. complectens Dialogum de vita S. Ioannis Chryſoſtomi, & eos ipſiu ſermones, quorum Græcum exemplar diu & fruſtra quæſitum nanciſci non potuimus. 1
Sermo in Ioſeph de continentia incerto interprete. 41
De regreſſi ſancti Ioannis Conſtantinopolim. 43
Quum Saurnius & Aurelianus acti eſſent in exilium & Gainas egreſſus ſerm. 45
De recipiendo Seueriano. 47
Sermo ipſus Seueriani de pace. 48
Poſt redium à Priori exilio ſermo. 49
De Dauidicis canticis ſermo. 50
Ad Neophytos ſermo, cuius fragmentum Græcum extat apud S. Auguſtinum. 51
Notæ Frontonis Ducæi in appendicem. 54
Index dictionum & locutionum Græcarum.
Index rerum & verborum locupletiſs.
Index locorum ſacræ ſcripturæ.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

λόγος παραινετικὸς εἰς τὴν εἴσοδον τῆς ἁγίας τεσσαρακοστῆς.

Sanctі Patris noſtri

IOANNIS CHRYSOSTOMI

ARCHIEPISCOPI CONSTANTINOPOLITANI, SERMO ADMONITORIVS, SVB initium ſanctæ Quadrageſimæ, in qua opus ſex dierum enarrare cœpit.

HOMILIA PRIMA.

Ex interpretatione vulgata recognita, emendata, & aucta opera FRONTONIS DVCÆI *Societatis* IESV *Theologi.*

A ΧΑΙΡΩ, καὶ εὐφραίνομαι ὁρῶν σήμερον τὴν τοῦ θεοῦ ἐκκλησίαν τῷ πλήθει τῶν οἰκείων τέκνων κοσμουμένην, καὶ μετὰ πολλῆς τῆς περιχαρείας ἅπαντας ὑμᾶς συνδεδραμηκότας. ὅταν γὰρ ἀποβλέψω πρὸς τὰ φαιδρὰ ὑμῶν πρόσωπα, τεκμήριον μέγιστον ποιοῦμαι τῆς κατὰ ψυχὴν ὑμῶν ἡδονῆς· B καθάπερ καὶ σοφός τις ἔλεγε· καρδίας εὐφραινομένης θάλλει πρόσωπον. διὰ τοι τοῦτο καὶ αὐτὸς μετὰ πλείονος τῆς προθυμίας ἀνέστην σήμερον, ὁμοῦ καὶ τῆς εὐφροσύνης ὑμῖν κοινωνήσων ταύτης τῆς πνευματικῆς, καὶ μηνυτὴς ὑμῖν γενέσθαι βουλόμενος τῆς παρουσίας τῆς ἁγίας τεσσαρακοστῆς, τοῦ φαρμάκου λέγω τῶν ἡμετέρων ψυχῶν.

GAVDEO & lætor videns hodie eccleſiam Dei, ſuorum filiorũ multitudine ornari, vóſq; omnes multa cum iucunditate concurriſſe. Nam quum alacres vultus veſtros intueor, voluptatis quæ in animabus veſtris eſt, coniecturam capio maximam: quemadmodum & Sapiens quiſpiam dicebat; Corde lætante viret facies. Eapropter Prou. 15. 13. & ipſe hodie ingenti alacritate ſurrexi, vnà vobiſcum lætitiæ illius ſpiritualis particeps futurus, & volens aduentus ſanctæ Quadrageſimæ, remedij, inquam, animarum noſtrarum, vobis annunciator eſſe,

Communis enim noſtri omnium dominus, vluti pater filios indulgenter amans, cipiens ea quæ vnquam peccauimus nos abluere, hanc nobis, quæ per ieiunium fit, curationem adinuenit. Nullus igitur ſit mœſtus, nullus etiam triſtis appareat, ſed omnes exultent & gaudeant, ac glorificent animarum noſtrarum curatorem, qui hanc optimam nobis aperuit viam, & accipiat multa cum iucunditate illius aduentum. Confundantur Gentiles, erubeſcant Iudæi, videntes noſtram charitatem hilari promptitudine illius aduentum ſalutantem ac excipientem, diſcántque per experientiam, quantum inter nos ſit & ipſos interuallum. Et illi quidem ferias nominent, ebrietatem, omnémque aliam intemperantiam, ac turpitudines, quas veriſimile eſt inde ipſos attrahere: at eccleſia Dei, ea quæ illis aduerſa ſunt, nempe ieiunium, ventris deſpectum, & omnes alias virtutes illius comites, ferias appellet. Hæ enim veræ feriæ ſunt, vbi animarum ſalus, vbi pax, & concordia eſt, vbi omnis huius vitæ apparatus abigitur, vbi clamor, & tumultus, & coquorum diſcurſus, & pecudum mactationes è medio tolluntur: quies verò omnis, & tranquillitas, & charitas, & gaudium, & pax, & manſuetudo, & innumera bona pro illis in vſu ſunt. De illo igitur pauca obſecro charitati veſtræ colloquamur, ídque primùm rogemus, vt ſermones illos noſtros placidè ſuſcipiatis, quò domum, fructum quendam inſignem aſſecuti, redeatis. Neque enim temerè & fruſtra huc conuenimus, vt vnus quidem loquatur, alius verò quæ dicuntur plauſibus excipiat, & hinc excedamus: ſed vt & nos frugiferum quiddam, & ſaluti veſtræ conducibile loquamur, & vos lucro è dictis noſtris accepto, & amplæ vtilitatis fructum nacti, hinc exeatis. Eccleſia ſanè locus quidam eſt medicinæ ſpiritualis: & eos qui huc veniunt, oportet non ante domum redire, quàm vbi congrua remedia acceperint, illáque ſuis vulneribus adhibuerint. Audi enim quomodo audire ſolùm, & operibus nihil præſtare, nihil

A καθάπερ γὰρ πατὴρ φιλόστοργος ὁ κοινὸς ἁπάντων ἡμῶν δεσπότης, βουλόμενος ἡμᾶς ἀπονίψασθαι τὰ ἐν παντὶ τῷ χρόνῳ ἡμῖν ἡμαρτημένα, τὴν διὰ τῆς ἁγίας νηστείας ἐπενόησεν ἡμῖν θεραπείαν. μηδεὶς τοίνυν γινέσθω κατηφὴς, μηδεὶς στυγνὸς φαινέσθω, ἀλλὰ σκιρτάτω, καὶ χαιρέτω, καὶ δοξαζέτω τὸν κηδεμόνα τῶν ἡμετέρων ψυχῶν, τὸν ταύτην ἡμῖν τὴν ἀρίστην τεμόντα ὁδὸν, καὶ μετὰ πολλῆς τῆς περιχαρείας ὑποδεχέσθω ταύτης τὴν παρουσίαν. αἰσχυνέσθωσαν Ἕλληνες, ἐγκαλυπτέσθωσαν Ἰουδαῖοι ὁρῶντες ἡμῶν τὴν ἀγάπην ἱλαρᾷ τῇ προθυμίᾳ τὴν ταύτης παρουσίαν ἀσπα-

B ζομένους, καὶ μανθανέτωσαν διὰ τῆς τῶν πραγμάτων πείρας, ὅσον τὸ μέσον ἡμῶν τε καὶ αὐτῶν. καὶ ἐκεῖνοι μὲν ἑορτὰς καὶ πανηγύρεις ὀνομαζέτωσαν τὴν μέθην, καὶ τὴν ἄλλην ἅπασαν ἀκολασίαν, καὶ τὰς ἀσχημοσύνας, ἃς εἰκὸς ἐντεῦθεν αὐτοῖς ἐπισύρεσθαι· ἡ δὲ τοῦ θεοῦ ἐκκλησία ἀπεναντίας ἐκείνης τὴν νηστείαν τὴν τῆς γαστρὸς ὑπεροψίαν, καὶ τὴν ἑπομένην ταύτῃ πᾶσαν ἀρετὴν ἑορτὴν ὀνομαζέτω. αὕτη γὰρ ἡ ἀληθὴς ἑορτὴ, ἔνθα τῶν ψυχῶν σωτηρία, ἔνθα εἰρήνη καὶ ὁμόνοια, ἔνθα βιωτικὴ πᾶσα

C φαντασία ἀπελήλαται· ὅπου κραυγὴ καὶ θόρυβος, καὶ μαγείρων δρόμοι, καὶ τῶν ἀλόγων σφαγαὶ ἐκποδών· ἠρεμία δὲ πᾶσα καὶ γαλήνη καὶ ἀγάπη, καὶ χαρὰ, καὶ εἰρήνη, καὶ πρᾳότης, καὶ μυρία ἀγαθὰ ἀντ᾽ ἐκείνων πολιτεύεται. φέρε οὖν παρακαλῶ μικρὰ περὶ ταύτης διαλεχθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην, ἐκεῖνο πρότερον παρακαλέσαντες ὑμᾶς μετὰ πολλῆς ἡσυχίας δέξασθαι τοὺς ἡμετέρους λόγους, ἵνα καρπωσάμενοί τι γενναῖον, ἐντεῦθεν οἴκαδε ἀναχωρήσητε. οὐδὲ γὰρ ἁπλῶς καὶ εἰκῆ ἐνταῦθα συνῆμεν, ἵνα ὁ μὲν

D εἴπῃ, ὁ δὲ κροτήσῃ ἁπλῶς τὰ λεγόμενα, καὶ οὕτως ἐντεῦθεν ἐξέλθωμεν· ἀλλ᾽ ἵνα καὶ ἡμεῖς χρήσιμόν τι καὶ τῶν συνεχόντων τὴν σωτηρίαν τὴν ὑμετέραν φθεγξώμεθα, καὶ ὑμεῖς κερδάναντες ἐκ τῶν λεγομένων, καὶ πολλὴν τὴν ὠφέλειαν καρπωσάμενοι, οὕτως ἐντεῦθεν ἐξέλθητε. ἰατρεῖον γάρ ἐστι πνευματικὸν ἡ ἐκκλησία, καὶ δεῖ τοὺς ἐνταῦθα παραγινομένους κατάλληλα τὰ φάρμακα λαμβάνοντας, καὶ τοῖς οἰκείοις τραύμασιν ἐπιτιθέντας, οὕτως ἐπανιέναι. ὅτι γὰρ ἡ ἀκρόασις μόνη ἄνευ τῆς διὰ τῶν ἔργων ἐπιδείξεως οὐδὲν ὀνήσει, ἄκουε

A τοῦ μακαρίου Παύλου λέγοντος· οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. καὶ ὁ Χριστὸς δὲ δημηγορῶν ἔλεγεν· οὐ πᾶς ὁ λέγων μοι κύριε εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. εἰδότες τοίνυν ἀγαπητοὶ ὡς οὐδὲν ἡμῖν ἔσται πλέον ἐκ τῆς ἀκροάσεως, εἰ μὴ ἕποιτο καὶ ἡ διὰ τῶν ἔργων πλήρωσις, μὴ μόνον ἀκροαταὶ γινώμεθα, ἀλλὰ καὶ ποιηταί, ἵνα τὰ ἔργα τοῖς λόγοις ἑπόμενα πολλῆς ἡμῖν παρρησίας ὑπόθεσις γένηται. ἁπλώσαντες τοίνυν τοὺς κόλπους τῆς διανοίας οὕτω B δέξασθε τοὺς περὶ τῆς νηστείας λόγους, καὶ καθάπερ οἱ σώφρονά τινα καὶ κοσμίαν νύμφην μέλλοντες ἀγαγέσθαι, πάντοθεν παραπετάσμασι καλλωπίσαντες τὰς παστάδας, καὶ ἐκκαθάραντες τὴν οἰκίαν ἅπασαν, καὶ πάσαις τῆς ἠμελημέναις θεραπαινίσιν ἄβατον ποιήσαντες, οὕτω ταύτην εἰς τὰς παστάδας εἰσάγουσι· τὸν αὐτὸν δὴ τρόπον καὶ ὑμᾶς βούλομαι ἐκκαθάραντας ὑμῶν τὸν λογισμόν, καὶ τῇ τρυφῇ, καὶ τῇ λοιπῇ ἀδηφαγίᾳ πολλὰ χαίρειν εἰπόντας, οὕτω τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων, καὶ τῆς σωφροσύνης, καὶ τῆς ἄλλης ἁπάσης ἀρετῆς διδάσκαλον, τὴν νηστείαν λέγω, ἡπλωμένοις τοῖς C κόλποις ὑποδέξασθαι· ἵνα καὶ ὑμεῖς πλείονος ἀπολαύσητε τῆς ἡδονῆς, καὶ αὕτη τὴν οἰκείαν καὶ κατάλληλον ὑμῖν ἰατρείαν παράσχηται. εἰ γὰρ οἱ τῶν ἰατρῶν παῖδες ἐπειδὰν μέλλωσι φάρμακα διδόναι τοῖς βουλομένοις τὸν σεσηπότα καὶ διεφθαρμένον χυμὸν ἐκκαθᾶραι, κελεύουσι τῆς σωματικῆς ταύτης τροφῆς ἀποσχέσθαι, ὥστε μὴ κώλυμα γενέσθαι τῇ τοῦ φαρμάκου δυνάμει, ἀλλ' ἐνεργῆσαι, καὶ τὸ οἰκεῖον ἔργον ἐπιδείξασθαι· πολλῷ μᾶλλον ἡμᾶς προσήκει τὸ πνευματικὸν τοῦτο φάρμακον μέλλοντας ὑποδέχεσθαι τὴν ἐκ τῆς D νηστείας ὠφέλειαν, λέγω δὴ τὸ τῆς διαίτης, ἐκκαθᾶραι ἡμῶν τὸν λογισμόν, καὶ κουφοτέραν ἐργάσασθαι τὴν διάνοιαν· ἵνα μὴ ὑπὸ τῆς μέθης καταβαπτισθεῖσα ἄχρηστον καὶ ἀνόνητον ἡμῖν κατασκευάσῃ τὴν ἐκ ταύτης ὠφέλειαν. καὶ οἶδα μὲν ὅτι τοὺς πολλοὺς ξενίζει τὰ παρ' ἡμῶν λεγόμενα σήμερον· ἀλλὰ παρακαλῶ μὴ τῇ συνηθείᾳ ἁπλῶς δουλεύωμεν, ἀλλὰ λογισμῷ τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν. μὴ γὰρ ἔσται τι κέρδος ἡμῖν ἀπὸ τῆς ἡμερινῆς ἀδηφαγίας καὶ τῆς πολλῆς μέθης; καὶ τί λέγω κέρδος; ἀλλὰ καὶ πολλὴ ἡ ζημία, καὶ ἡ βλάβη

profuturum ſit beatum Paulum dicentem: Non enim auditores legis iuſti ſunt apud Deum, ſed legis factores iuſtificabuntur. Rom. 2. 13. Et Chriſtus concionando dicebat: Non omnis qui dicit mihi, Domine, Domine, intrabit in regnum cœlorum, ſed qui facit voluntatem patris mei qui in cœlis eſt. Matt. 7. 21. Igitur ſcientes nullam porrò vtilitatem ex auditu eſſe, niſi & operum ſequatur impletio, ne ſimus auditores dumtaxat, ſed etiam factores, quò ipſa opera ſermones ſequentia, multæ nobis fiduciæ ſint occaſio. Proinde explicitis veſtræ mentis ſinibus, ſermones de ieiunio ſuſcipite. Et quemadmodum caſtam quandam & ingenuam ſponſam ducturi, thalamis vndique tapetibus ornatis, domóque tota purgata, & ingreſſu omnibus inhoneſtis ancillis interdicto, in cubiculum illam introducunt: pari modo vellem etiam vos purificata veſtra mente, valéque deliciis & voracitati dicto, matrem omnium bonorum, & pudicitiæ, aliarúmque virtutum omnium magiſtram, ieiunium inquam, explicitis veſtræ mentis ſinibus ſuſcipere, vt & vos maiori fruamini voluptate, & illud congruam vobis ſuam medicinam conferat. Nam ſi medici, pharmaca dare volentes, vt putridum & corruptum humorem expurgent, à corporali hoc cibo abſtinere præcipiunt, ita vt pharmaci efficaciæ deſit obſtaculum, & operari, ſuámque vim illud poſſit oſtendere: multò magis nobis ſpirituale hoc remedium, hoc eſt, vtilitatem quæ ex ieiunio eſt, ſuſcepturis, tenuitate victus noſtram mentem expurgare, & leuiorem reddere conuenit, vt ne ebrietate demerſa, infrugiferam & inutilem vtilitatem, quæ ex illo eſt, efficiat. Porrò ſcio quidem quòd multis ea quæ hodie à nobis dicuntur, mira videntur: ſed obſecro ne conſuetudini temerè ſeruiamus, ſed ratione res noſtras inſtituamus. Nunquid enim lucri quidpiam ex quotidiana crapula, iugíque ebrietate nobis accedit? Et quid dico lucrum? imò multum damnum & iactura intolerabilis inde expectatur.

Quamprimum enim mens vinolentia multa fierit obruta, ſtatim & in ipſo initio vtilitas quæ à ieiunio eſt, repellitur. Quid enim inſuauius dic obſecro, quid item turpius, quàm quando vſque ad mediam noctem meracum ſorbentes, ſub auroram, Solis iubare oriente, vinum quaſi recens ingeſtum ſpirant, & occurrentibus quidem iniucundi, miniſtris verò contemptibiles apparent: & deridentur ab omnibus, qui modo quid deceat, vel leuiter intelligunt: & præ omnibus illis, quando propter nimiam illam & immodicam intempeſtiuámque ac inutilem intemperantiam, in ſe diuinam
1.Cor.6. 10. prouocant indignationem? Ebrioſi enim, inquit, regnum Dei non poſſidebunt. Quid igitur illis miſerius fuerit, qui ob paruam & pernicioſam voluptatem, à regni veſtibulis eiiciuntur? Abſit autem vt quis ex his qui hîc conuenerunt, hoc morbo implicitus ſit: ſed vtinam omni cum frugalitate & continentia, etiam hoc die conuiuati, & à tempeſtate ac procella, quam ebrietas generare ſolet liberati, in portum animarum noſtrarum, ieiunium inquam, pertingere contingat, vt multa cum vbertate illius bona conſequi poſſimus. Enimuerò ſicut crapula humano generi innumerorum malorum cauſa eſt & adiutrix, ita etiam ieiunium ventriſque neglectus omnium nobis bonorum ſemper cauſa fuit. Nam Deus quum ab initio hominem condidiſſet, & ſciret quòd hoc remedio ad animæ ſalutem multum haberet opus: ſtatim & in principio hoc mandatum protoplaſto dedit, dicens: De omni ligno quod
Infr.2. eſt in paradiſo, comedendo comedes, de ligno autem ſcientiæ boni & mali, ne comedatis de ipſo. Iam dicere, hoc comede: hoc ne comedas: ieiunij figura erat. Porrò hoc mandatum ſeruare oportebat, quod tamen non fecit: ſed ventris intemperantia victus, & tranſgreſſionem operatus, ad mortem condemnatus eſt. Quoniam enim malignus ille dæmon, & noſtri generis inimicus vidit protoplaſti in paradiſo conuerſationem, vitámque illam miſeriæ expertem,

A ἀφόρητος. ὅταν γὰρ καταβαπτισθῇ ὑπὸ τῆς πολ-
λῆς οἰνοποσίας ὁ λογισμὸς, εὐθέως ἐξ ἀρχῆς καὶ
ἐκ προοιμίων ἀποκρούεται τὸ ἀπὸ τῆς νηστείας
κέρδος. τί γὰρ ἀηδέστερον εἰπέ μοι, τί δὲ ἀσχημονέ-
στερον, ὅταν μέχρι μεσονυκτίου τὸν ἄκρατον πιόν-
τες ὑπὸ τὴν ἕω τῆς ἀκτῖνος τῆς ἡλιακῆς ἀνασχού-
σης, ὡς πρόσφατον τοῦ οἴνου ἐμφορηθέντες οὕτως
ἀποπνέουσι, καὶ ἀηδεῖς μὲν φαίνονται τοῖς συντυγ-
χάνουσιν, εὐκαταφρόνητοι δὲ τοῖς οἰκέταις, καὶ κα-
ταγελῶνται παρὰ πάντων τῶν ὅπως οὖν τὸ
δέον συνορώντων, καὶ πρὸ τούτων ἁπάντων,
B ὅταν διὰ τὴν πολλὴν ταύτην ἀκρασίαν, καὶ
τὴν ἀμετρίαν τὴν ἄκαιρον, καὶ ἀνόνητον, καὶ τὴν
παρὰ τοῦ θεοῦ ἀγανάκτησιν ἐπισπῶνται; οἱ γὰρ
μέθυσοι, φησὶ, βασιλείαν θεοῦ οὐ κληρονομή-
σουσι. τί οὖν ἂν τούτων ἀθλιώτερον γένοιτ' ἂν
τῶν διὰ βραχεῖαν καὶ ἐπιβλαβῆ ἡδονὴν τῶν τῆς
βασιλείας προθύρων ἐκβαλλομένων; ἀλλὰ
μὴ γένοιτό τινα τῶν ἐνταῦθα συνειλεγμένων
τούτῳ ἁλῶναι τῷ πάθει· ἀλλὰ μετὰ πάσης φιλο-
σοφίας καὶ σωφροσύνης καὶ τὴν πρόσοδον ἡμέ-
ραν ἑστιασαμένους, καὶ τοῦ χειμῶνος καὶ τῆς ζάλης
ἣν ἡ μέθη ἐργάζεσθαι πέφυκεν ἐλευθερωθέντας
C εἰς τὸν λιμένα καταντῆσαι τῶν ἡμετέρων ψυχῶν,
τὴν νηστείαν λέγω, ἵνα μετὰ δαψιλείας τὰ ἀπὸ
ταύτης δυνηθῶμεν καρπώσασθαι ἀγαθά·
ὥσπερ γὰρ ἡ ἀδηφαγία μυρίων κακῶν αἰτία καὶ
πρόξενος τῷ τῶν ἀνθρώπων γένει· οὕτως ἡ
νηστεία καὶ ἡ τῆς γαστρὸς ὑπεροψία τῶν ἀφάτων
ἡμῖν ἀγαθῶν ἀεὶ αἰτία γέγονε. πλάσας γὰρ ἐξ
ἀρχῆς τὸν ἄνθρωπον ὁ θεὸς καὶ εἰδὼς, ὅτι τούτου
αὐτῷ μάλιστα δεῖ τοῦ φαρμάκου πρὸς τὴν τῆς
ψυχῆς σωτηρίαν, εὐθέως καὶ ἐκ προοιμίων τῷ
πρωτοπλάστῳ ταύτην ἔδωκε τὴν ἐντολὴν εἰ-
D πών· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ
βρώσει φάγῃ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν κα-
λὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ. τὸ δὲ λέ-
γειν, τόδε φάγε, καὶ τόδε μὴ φάγῃς, νηστείας ἦν
εἰκών. ἀλλὰ δέον φυλάξαι τὴν ἐντολὴν, τοῦτο
μὲν οὐκ ἐποίησε, δι' ἀκρασίαν δὲ τῆς γαστρὸς
ἡττηθεὶς, καὶ τὴν παρακοὴν ἐργασάμενος θα-
νάτῳ κατεδικάζετο. ἐπειδὴ γὰρ εἶδεν ὁ πονηρὸς
δαίμων ἐκεῖνος, καὶ ἐχθρὸς τῆς φύσεως τῆς ἡμε-
τέρας, τὴν ἐν τῷ παραδείσῳ διαγωγὴν τοῦ
πρωτοπλάστου, καὶ τὸν ἀταλαίπωρον βίον ἐκεῖνον,

καὶ ὅτι καθάπερ ἄγγελος, οὕτω σώματι συμπεπλεγμένος διῆγεν ἐπὶ τῆς γῆς· βουλόμενος αὐτὸν ὑποσκελίσαι καὶ καταβαλεῖν ἐλπίδι μειζόνων ὑποσχέσεων, καὶ τῶν ἐν χερσὶν ἐξέβαλε. τοσοῦτόν ἐστι τὸ μὴ μένειν ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλὰ τῶν μειζόνων ἐφίεσθαι. καὶ τοῦτο αὐτὸ δηλῶν σοφός τις ἔλεγε· φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. εἶδες ἀγαπητὲ πῶς ἐκ προοιμίων ἐξ ἀδηφαγίας ὁ θάνατος τὴν εἴσοδον ἔσχεν; σκόπει δὲ καὶ μετὰ ταῦτα τὴν θείαν γραφὴν κατηγοροῦσαν συνεχῶς τῆς τρυφῆς, καὶ λέγουσαν, ποτὲ μὲν, ἐκάθισεν ὁ λαὸς φαγεῖν, καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. ἄλλοτε δὲ, ἔφαγε, καὶ ἔπιε, καὶ ἐλιπάνθη, καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. καὶ οἱ τὰ Σόδομα δὲ οἰκοῦντες μετὰ τῶν ἄλλων κακῶν ἐντεῦθεν τὴν ἀπαραίτητον ὀργὴν ἐκείνην ἐπεσπάσαντο. ἄκουσον γὰρ τοῦ προφήτου λέγοντος· τοῦτο τὸ ἀνόμημα Σοδόμων, ὅτι ἐν πλησμονῇ ἄρτων ἐσπατάλων. καθάπερ γὰρ πηγή τις καὶ ῥίζα τυγχάνει τῶν κακῶν ἁπάντων. εἶδες τῆς ἀδηφαγίας τὴν βλάβην; ὅρα μοι πάλιν τῆς νηστείας τὰ κατορθώματα. τεσσαράκοντα ἡμερῶν νηστείαν ἐπιδειξάμενος ὁ μέγας Μωυσῆς τῆς νομοθεσίας τὰς πλάκας λαβεῖν ἠδυνήθη, καὶ ἐπειδὴ κατελθὼν εἶδε τοῦ λαοῦ τὴν παρανομίαν, ἃς μετὰ τοσαύτης προσεδρίας λαβεῖν ἴσχυσε, ταύτας ῥίψας συνέκλασεν ἄτοπον εἶναι λογισάμενος μεθύοντα λαὸν καὶ παρανομοῦντα νομοθεσίαν δεσπότου δέξασθαι. διὸ καὶ ἑτέρων πάλιν τεσσαράκοντα ἡμερῶν νηστείας ἐδεήθη ὁ θαυμάσιος ἐκεῖνος προφήτης, ἵνα δυνηθῇ τὰς διὰ τὴν παρανομίαν αὐτῶν συντρίψαι πλάκας, πάλιν ἄνωθεν δεξάμενος κατενεγκεῖν. καὶ ὁ μέγας δὲ Ἠλίας τοσούτων ἡμερῶν νηστείαν ἐπεδείξατο, καὶ τὴν τοῦ θανάτου τυραννίδα διαφυγὼν, καὶ μετὰ πυρίνου ἅρματος ὡς εἰς τὸν οὐρανὸν ἀνελθὼν, καὶ οὐδέπω καὶ τήμερον θανάτου πεῖραν λαβών. καὶ ὁ ἀνὴρ δὲ τῶν ἐπιθυμιῶν πολλῶν ἡμερῶν νηστείαν ἐπιδειξάμενος οὕτως ἠξιώθη τῆς θαυμαστῆς ἐκείνης ὀπτασίας, ὃς καὶ τῶν λεόντων τὸν θυμὸν ἐχαλίνωσε, καὶ εἰς προβάτων ἡμερότητα μετέστησεν οὐ τὴν φύσιν μεταβαλὼν, ἀλλὰ τῆς θηριωδίας μενούσης τὴν προαίρεσιν ἀμείψας.

A & quòd is qui corpori ſic annexus erat tanquam angelus ſuper terram ageret, volens illum ſupplantare & deiicere, ampliorum promiſſionum ſpe illum etiam his quæ in manibus habebat, deſtituit. Tantum eſt malum non ſe continere intra proprios limites, ſed maioribus inhiare. Et iſtuc ipſum Sapiens quidam manifeſtans dicebat: Inuidia autem diaboli mors intrauit in mundum. Sap.2.24 Vides dilecte, quomodo ab initio ſtatim ex crapula mors ingreſſum habuit? Conſidera autem iterum & poſt hæc diuinam ſcripturam ſubinde B delicias incuſantem ac dicentem, alicubi quidem: Sedit populus manducare & bibere, & ſurrexerunt ludere. Exo.32.6 Alibi verò: Et comedit, & bibit, & impinguatus eſt, & incraſſatus, & recalcitrauit dilectus. Deu.32.15 Quin & Sodomorum incolæ inexcuſabilem illam iram cùm ex aliis malis, tum hinc ſibi accerſiuerunt. Audi enim prophetam dicentem, Hæc iniquitas Sodomorum, quòd in ſatietate panum laſciuiebant. Ezech.16.49 Morbus enim ille, quaſi radix & fons quidam malorum C omnium eſt. Vidiſti crapulæ nocumentum, vide etiam ieiunij præclara facinora. Quadraginta dies quũ ieiunaſſet magnus Moſes, tabulas, in quibus leges latæ erant, accipere potuit: Exod.34. Deut.9. & 19. & quoniam vt deſcendit, vidit populi iniquitatẽ, quas cum tãto ſtudio, & aſſiduitate, accipere potuit, eas abiectas contriuit, abſurdũ eſſe cenſens, ebrium & præuaricatorem populum leges à Domino conditas accipere: quapropter denuò quadraginta dierum ieiunio opus habuit admirandus ille propheta: vt tabulas propter D ipſorum iniquitatem contritas, iterum receptas, ſupernè deportaret. Tot dierum ieiunium & magnus Helias egit & fugata mortis tyrannide, & curru igneo in cœlum raptus, etiam vſque in hunc diem mortem non eſt expertus. 3.Reg.19. 4.Reg.1. Vir quoque deſideriorum, peracto multorum dierum ieiunio, admirandam illam viſionem nactus eſt, & leonum furorem compeſcuit, & in ouium manſuetudinem vertit, non naturam commutans, ſed feritate manente appetitum mutatum cohibens. Dan.1.

Hoc ieiunio & Niniuitæ vſi, ſententiam Domini reuocarunt, efficientes vt tam iumenta quàm homines illud ſuſciperent, & ſic abſcedentes vnuſquiſque à malis ſtudiis, ad clementiam vniuerſorum dominum prouocarunt. Et quid circa ſeruos vlterius verſor? Etenim poſſemus & alios plurimos commemorare & in veteri, & in nouo teſtamento habitos per illud probatos. Verũ operæprecium eſt, vt ad communem noſtri omnium dominum veniamus. Dominus enim noſter Ieſus Chriſtus & ipſe quadraginta dierum præmiſſo ieiunio, ſic certamen contra diabolum aggreſſus eſt, omnibus nobis exemplar dans, vt per illud armemur, & ex illo robur ſumamus, ac ſi aciem in prælio contra illum inſtruamus. Porrò hîc fortaſſis rogauerit quiſpiam eorum qui acutius vident, & excitatiore animo ſunt: Quare totidem, quot ſerui, dies dominus ieiunare conſpicitur, & numerum illum non tranſcendit? Non hoc temerè, neque fruſtra, ſed etiam hoc ſapienter & pro ineffabili illius benignitate factum eſt: nempe ne exiſtimetur, apparenter tantum aduenisse, & non aſſumpſiſſe carnem, vel extra humanam naturam, propter hoc illum ipſum numerum ieiunat, & non apponit alios his diebus, ſic volẽs contentioſorum obturare impudentiam. Nam licet hoc factum ſit, ſunt quidam etiamnum iſta loqui audentes, iam ſi ſua prouidentia hanc illorum occaſionem non amputaſſet, quid non attentaſſent dicere? propter hoc noluit plures dies ieiunare, ſed totidem, quot ſerui: vt re ipſa nos erudiat, quòd eadem cum nobis carne amictus, & à natura noſtra extraneus non fuerit. Cæterum quoniam nobis manifeſtum factum eſt, quàm magna ſit ieiunij vis, & quàm multiplex ex illo vtilitas, idque per ſeruos ac dominum eſt oſtenſum: proinde obſecro charitatem veſtram, vt ſcientes quantum ex illo ſit lucrum, ne vtilitatem tantam, quæ ex illo paratur, per deſidiam repellatis: neque contriſtemini propter illius aduentum, ſed gaudete & exultate iuxta beatum Paulum, dicentem: Quantò externus noſter homo corrumpitur, tantò internus innouatur.

Ionæ. 3. Matt. 4. 2. Cor. 4. 16.

A Ταύτῃ καὶ Νινευΐται χρησάμενοι τὴν ἀπόφασιν ἀνεκαλέσαντο τοῦ δεσπότου, μετὰ τῶν ἀνθρώπων καὶ τὸ τῶν ἀλόγων γένος ταύτην ἐπιδείξασθαι παρασκευάσαντες, καὶ οὕτως ἀποστάντες ἕκαστος ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων, εἰς φιλανθρωπίαν ἐξεκαλέσαντο τὸν τῶν ἁπάντων δεσπότην. καὶ τί περὶ τοὺς δούλους ἔτι στρεφόμεθα; καὶ γὰρ ἔχομεν καὶ ἑτέρους πολλοὺς ἀριθμῆσαι, καὶ ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ διὰ ταύτης εὐδοκιμήσαντας, δέον ἐπὶ τὸν κοινὸν ἁπάντων δεσπότην ἡμῶν ἐλθεῖν. ὁ γὰρ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ αὐτὸς τεσσαράκοντα ἡμερῶν νηστείαν ἐπιδειξάμενος, B οὕτω τῆς πρὸς τὸν διάβολον ἥψατο πάλης, πᾶσιν ἡμῖν ὑπογραμμὸν διδοὺς, ὥστε διὰ ταύτης καθοπλίζεσθαι, καὶ τὴν ἐντεῦθεν ἰσχὺν προσλαβόντας οὕτω παρατάττεσθαι εἰς τὴν πρὸς ἐκεῖνον μάχην. ἀλλ' ἐνταῦθα ἴσως ἐρεῖ τις τῶν ὀξὺ βλεπόντων καὶ διεγηγερμένων τὴν διάνοιαν τίνος ἕνεκεν τὰς αὐτὰς τοῖς δούλοις ἡμέρας ὁ δεσπότης νηστεύων φαίνεται, καὶ οὐχ ὑπερηκόντισε τὸν ἀριθμόν. οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοῦτο γέγονεν, ἀλλὰ καὶ τοῦτο σοφῶς καὶ κατὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν. ἵνα γὰρ μὴ νομισθῇ δοκήσει παραγεγενῆσθαι, C καὶ μὴ ἀνειληφέναι σάρκα, ἢ ἔξω τῆς φύσεως εἶναι τῆς ἀνθρωπίνης, διὰ τοῦτο τὸν αὐτὸν ἀριθμὸν νηστεύει, καὶ οὐ προστίθησι ταῖς ἡμέραις, ὥστε ἐπιστομίσαι τὴν ἀναισχυντεῖν βουλομένων φιλονεικίαν. εἰ γὰρ καὶ τούτου γεγενημένου εἰσὶν ἔτι καὶ νῦν τινες ταῦτα τολμῶντες φθέγγεσθαι, εἰ μὴ τῇ οἰκείᾳ προγνώσει ταύτην αὐτῶν ἐξέκοψε τὴν ἀφορμὴν, τί οὐκ ἂν ἐπεχείρησαν εἰπεῖν; διὰ τοῦτο οὐκ ἀνέχεται πλείους ἡμέρας νηστεῦσαι, ἀλλὰ τοσαύτας ὅσας οἱ δοῦλοι· ἵνα δι' αὐτῶν τῶν πραγμάτων ἡμᾶς παιδεύσῃ, ὅτι τὴν αὐτὴν σάρκα καὶ αὐτὸς περιέκειτο, D καὶ οὐκ ἔξω τῆς φύσεως τῆς ἡμετέρας ὑπῆρχεν. ἀλλ' ὅτι μὲν μεγάλη τῆς νηστείας ἡ ἰσχὺς, καὶ πολὺ τὸ ἐκ ταύτης κέρδος τῇ ψυχῇ προσγινόμενον, καὶ ἐκ τῶν δούλων καὶ ἐκ τοῦ δεσπότου δῆλον ἡμῖν γέγονε. παρακαλῶ οὖν τὴν ὑμετέραν ἀγάπην εἰδότας αὐτῆς τὸ κέρδος μὴ διὰ ῥαθυμίαν ἀπώσασθαι τὴν ἐκ ταύτης ὠφέλειαν, μηδὲ δυσχεραίνειν πρὸς τὴν ταύτης παρουσίαν, ἀλλὰ χαίρειν, καὶ ἀγάλλεσθαι κατὰ τὸν μακάριον Παῦλον. ὅσῳ γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσούτῳ ὁ ἔσω ἀνακαινοῦται.

A νηστεία γὰρ τῆς ψυχῆς ἐστι τροφή, καὶ καθάπερ αὕτη ἡ σωματικὴ τροφὴ παχύνει τὸ σῶμα, οὕτω καὶ ἡ νηστεία τὴν ψυχὴν εὐτονωτέραν ἐργάζεται, κοῦφον αὐτῇ τὸ πτερὸν κατασκευάζει, μετάρσιον αὐτὴν ποιεῖ, τὰ ἄνω φαντάζεσθαι παρασκευάζει, ἀνωτέραν αὐτὴν τῶν ἡδονῶν καὶ τῶν ἡδέων τοῦ παρόντος βίου ἀπεργαζομένη. καὶ καθάπερ τὰ κοῦφα τῶν πλοίων ὀξύτερα τὰ πελάγη διαπερᾷ, τὰ δὲ πολλῷ τῷ φόρτῳ βαρυνόμενα ὑποβρύχια γίνεται· οὕτως ἡ μὲν νηστεία κουφότερον ἐργαζομένη τὸν λογισμὸν, παρασκευάζει μετ' εὐκολίας τὸ πέλαγος τοῦ παρόντος βίου διαπερᾶν, καὶ πρὸς τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἐπτοῆσθαι, καὶ μηδὲν ἡγεῖσθαι τὰ παρόντα, ἀλλὰ σκιᾶς καὶ ὀνειράτων οὐδαμινέστερον αὐτὰ παρατρέχειν· ἡ δὲ μέθη καὶ ἡ ἀδηφαγία βαρύνουσα τὸν λογισμὸν, καὶ παχύνουσα τὴν σάρκα, αἰχμάλωτον ἐργάζεται τὴν ψυχὴν, πανταχόθεν αὐτὴν πολιορκοῦσα, καὶ οὐκ ἀφιεῖσα τοῦ λογισμοῦ τὸ κριτήριον ἐῤῥωμένον ἔχειν, κατακρημνῶν φέρεσθαι παρασκευάζει, καὶ κατὰ τῆς οἰκείας σωτηρίας ἅπαντα ἐργάζεσθαι. μὴ δὴ ῥαθύμως οἰκονομῶμεν ἀγαπητοὶ τὰ κατὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. ἀλλ' εἰδότες ὅσα κακὰ ἐντεῦθεν τίκτεται, C φεύγωμεν τὴν ἐξ αὐτῆς βλάβην. οὐδὲ γὰρ ἐν τῇ καινῇ μόνον, ἔνθα πλείων ἡ ἐπίτασις τῆς φιλοσοφίας, καὶ μείζονα τὰ σκάμματα, καὶ μεγάλοι οἱ ἱδρῶτες, καὶ πολλὰ τὰ βραβεῖα, καὶ ἄφατοι οἱ στέφανοι τὰ τῆς τρυφῆς ἀπηγόρευται· ἀλλὰ καὶ ἐπὶ τῆς παλαιᾶς ἡνίκα ἔτι τῇ σκιᾷ προσεκάθηντο, καὶ τῷ λύχνῳ ἦσαν προσηλωμένοι, καὶ καθάπερ παιδία γαλακτοτρεφούμενα, οὕτω κατὰ μικρὸν ἐνήγοντο, οὐδὲ τότε ἠφίεντο τρυφᾶν. καὶ ἵνα μὴ νομίσητε ἁπλῶς ἡμᾶς κατηγοροῦντας τῆς τρυφῆς ταῦτα λέγειν, ἀκούσατε τοῦ προφήτου λέγοντος· οὐαὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακὴν, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν· οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά· οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι. ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα· εἴδετε πόσην κατηγορίαν ἐποιήσατο τῆς τρυφῆς ὁ προφήτης, καὶ ταῦτα Ἰουδαίοις διαλεγόμενος τοῖς ἀναισθήτοις, τοῖς ἀγνώμοσι, τοῖς καθ' ἑκάστην ἡμέραν γαστριζομένοις;

Ieiunium enim animæ noſtræ alimentum eſt: & ſicut corporalis iſte cibus impinguat corpus, ita & ieiunium animam habiliorem efficit & valentiorem, leues ei pennas reddit, vt in ſublime feratur, & ſumma contemplari queat, voluptatibúſque & omnibus quæ in hoc mundo habentur ſuauia, ipſa ſit ſuperior. Et quemadmodum leuiores naues maria velociùs tranſeunt, contra multis oneribus grauatæ ſubmerguntur: ita ieiunium quidem leuiorem reddens mentem, efficit vt facilius huius vitæ B pelagus tranſmittat, & in cœlum, ac ea quæ in cœlis ſunt ſuſpiciat, & nihili faciat præſentia, ſed vt vmbras, & ſomnia, diffugere cenſeat. Verum ebrietas & crapula degrauans mentem & impinguans corpus, captiuam facit animam, vndique illam oppugnans, neque ſinit rationis iudicium firmum conſiſtere, ſed impellit, vt in præceps feratur, & omnia contra propriam ſalutem operetur. Igitur dilecti, ne ſegniter inſtituamus ea quæ ad ſalutem noſtram attinent, ſed ſcientes quanta mala hinc naſci ſolent, fugiamus damnum quod ex illa prouenit. Neque enim in noua lege ſolum, vbi amplior frugalitas, & maiora certamina, & magni ſudores, & multa brabia, & ineffabiles coronæ, deliciis nobis interdicitur: ſed etiam in veteri, quando Iudæi adhuc vmbræ aſſidebant, & lucernæ erant affixi, & velut pueri qui lacte nutriuntur, ſic paulatim inducebantur, neque tunc delitijs vacare permittebantur. Et ne exiſtimetis quòd nos temerè delicias accuſantes iſta dicamus, audite prophetam dicentem: Væ iis qui veniunt ad diem Amos 4 D malum, dormientes in lectis eburneis, & laſciuientes in ſtratis ſuis, comedentes hœdos ex gregibus, & vitulos ex medio armentorum lactentes, bibentes defæcatum vinum, & pretioſis vnguentis vncti, tanquam ſtantia arbitrati ſunt, & non tanquam fugientia. Vidiſtis quantam accuſationem contra delicias afferat propheta, ídque cum Iudæis diſſerens, inſenſatis, ingratis, & quotidie ventri deditis?

Conſiderate enim verborum diligentiam. Cùm enim illorum taxaſſet crapulam & immodicam temulentiam, tunc ſubdidit: Quaſi ſtantia arbitrati ſunt, & non quaſi fugientia: tantũ non oſtendens quòd gutturis & labiorũ tenuis eſt fruitio, & vltra nõ progreditur. Veruntamen voluptas quidem breuis eſt, ac temporaria, dolor autem perpetuus & fine carens. Et hæc, inquit, quũ experientia didicerint, quaſi ſtãtia arbitrati ſunt omnia, & manentia, & non quaſi fugientia, hoc eſt, auolantia, & ne ad momentum quidem permanentia. Talia enim ſunt omnia humana & carnalia. Nondũ rectè aduenerũt, & auolarunt. Tale quiddã ſunt deliciæ, & tale quiddã humana gloria & potentia, tale quiddã diuitiæ, tale quiddam vniuerſa huius vitæ proſperitas, nihil firmũ habens, nihil ſubſiſtens, nihil fixũ, ſed magis quàm fluminũ fluenta prætercurrit, nudóſque ac ſolos relinquit eos qui illis inhiant. Atqui ſpiritualia nõ ſunt talia, ſed ſecus ac diuerſo modo habent quã illa. Sunt enim firma, immobilia, viciſſitudinẽ non accipientia, ad omne ſeculũ ſe extendẽtia. Annon igitur fuerit extremę dementię nutantia cum immobilibus cõmutare: temporalia cũ his quæ in ſeculum duratura ſunt: perpetuò manentia cũ his quæ auolãt: & ea quæ nobis illic graue ſuppliciũ paritura ſunt, cũ his quæ in futuro ſeculo felicitatem ſummã afferunt? Hęc obſecro omnia conſiderantes dilecti, magnãq; ſalutis noſtræ curã habentes, aſpernemur delicias & inutiles & pernicioſas, amplexemur ieiuniũ, omnémq; aliã frugalitatẽ, & magnã vitæ exhibeamus immutationem, ac quotidie ad agenda bona opera feſtinemus: vt quũ per omne tẽpus ſanctæ Quadrageſimæ, ſpirituales merces negociati fuerimus, & multas virtutũ diuitias congeſſerimus, ſic mereamur & ad condictũ diem adeſſe, & cũ fiducia ad tremendã & ſpiritualẽ menſam accedere, participéſq; fieri cũ bona cõſcientia ineffabiliũ illorũ & immortaliũ bonorum, ac impleri ea quæ illinc prouenit gratia, precibus & interceſſione eorũ, quĩ placuerũt ipſi Chriſto miſericordi Deo noſtro, cũ quo Patri ac Spiritui ſancto gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A σκοπεῖτε γὰρ τῶν ῥημάτων τὴν ἀκρίβειαν· διαβαλὼν αὐτῶν τὴν ἀδηφαγίαν καὶ τὴν πολλὴν ἐκ τοῦ οἴνου μέθην τότε ἐπήγαγεν, ὡς ἑστῶτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα, μονονουχὶ δεικνὺς, ὅτι μέχρι τοῦ φάρυγγος καὶ τῶν χειλέων ἐστὶν ἡ ἀπόλαυσις, καὶ περαιτέρω οὐ προέρχεται. ἀλλ' ἡ μὲν ἡδονὴ βραχεῖα καὶ πρόσκαιρος, ἡ δὲ ὀδύνη διηνεκὴς, καὶ πέρας οὐκ ἔχουσα. καὶ ταῦτά φησι διὰ τῆς πείρας μαθόντες ὡς ἑστῶτα ὅλα ἐλογίσαντο καὶ μένοντα, καὶ οὐχ ὡς φεύγοντα τουτέστιν ἀφιπτάμενα, καὶ οὐδὲ τὸ τυχὸν παραμένοντα. τοιαῦτα γὰρ ἅπαντα τὰ ἀνθρώπινα καὶ τὰ σαρκικά. οὔπω B παραγενόντο, καὶ ἀπέπτη· τοιοῦτον ἡ τρυφὴ, τοιοῦτον ἡ δόξα ἡ ἀνθρωπίνη καὶ ἡ δυναστεία· τοιοῦτον ὁ πλοῦτος· τοιοῦτον ἡ εὐημερία πᾶσα τοῦ παρόντος βίου, οὐδὲν βέβαιον ἔχουσα, οὐδὲν στάσιμον, οὐδὲν πάγιον, ἀλλὰ ποταμίων ῥευμάτων μᾶλλον παρατρέχει, καὶ ἐρήμους καὶ γυμνοὺς καταλιμπάνει τοὺς περὶ ταῦτα ἐπτοημένους. ἀλλὰ τὰ πνευματικὰ οὐ τοιαῦτα, ἀλλὰ ἀπεναντίας τούτοις βέβαια καὶ ἀκίνητα, μεταβολὴν οὐκ ἐπιδεχόμενα, παντὶ τῷ αἰῶνι παρεκτεινόμενα. πόσης οὖν οὐκ ἂν εἴη παραφροσύνης τῶν ἀκινήτων τὰ σαλευόC μενα ἀνταλλάττεσθαι, τῶν διαιωνιζόντων τὰ πρόσκαιρα, τῶν ἀφιπταμένων τὰ διηνεκῶς μένοντα, τῶν πολλὴν ἐν τῷ μέλλοντι αἰῶνι τὴν ἀπόλαυσιν παρεξενούντων τὰ πολλὴν τὴν κόλασιν ἡμῖν ἐκεῖ κατασκευάζοντα; ταῦτα δὴ πάντα ἐννοοῦντες ἀγαπητοὶ, καὶ πολὺν τῆς ἡμετέρας σωτηρίας ποιούμενοι λόγον, καταφρονήσωμεν τῆς τρυφῆς τῆς ἀνονήτου καὶ ἐπιβλαβοῦς· ἀσπασώμεθα τὴν νηστείαν καὶ τὴν ἄλλην ἅπασαν φιλοσοφίαν, καὶ τοῦ βίου πολλὴν τὴν μεταβολὴν ἐπιδειξώμεθα, καὶ καθ' ἑκάστην ἡμέραν πρὸς τὴν τῶν ἀγαθῶν ἔργων πρᾶξιν ἐπειγώμεθα, D ἵνα τὸν καιρὸν ἅπαντα τῆς ἁγίας τεσσαρακοστῆς, τὴν πνευματικὴν ἐμπορίαν ἐμπορευσάμενοι, καὶ πολὺν τὸν πλοῦτον συναγαγόντες τῆς ἀρετῆς οὕτω καταξιωθῶμεν καὶ εἰς τὴν κυρίαν ἡμέραν παραγενέσθαι, καὶ μετὰ παῤῥησίας τῇ φρικτῇ καὶ πνευματικῇ τραπέζῃ προσελθεῖν καὶ τῶν ἀποῤῥήτων ἐκείνων καὶ ἀθανάτων ἀγαθῶν μετασχεῖν μετὰ καθαροῦ τοῦ συνειδότος, καὶ τῆς ἐκεῖθεν πληρωθῆναι χάριτος εὐχαῖς καὶ πρεσβείαις τῶν εὐαρεστησάντων αὐτῷ Χριστῷ τῷ φιλανθρώπῳ θεῷ ἡμῶν μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα κράτος τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A

Ὁμιλία β.

Εἰς τὴν ἀρχὴν τῆς κτίσεως, Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

Πολλῆς σήμερον πληροῦμαι τῆς ἡδονῆς ὁρῶν ὑμῶν τὰ ποθεινὰ πρόσωπα. καὶ γὰρ οὐχ οὕτω πατέρες φιλόστοργοι χαίρουσι, καὶ εὐφραίνονται τῶν παίδων αὐτοὺς πανταχόθεν κυκλούντων, καὶ διὰ τῆς ἄλλης εὐκοσμίας καὶ τῆς ἄλλης θεραπείας πολλὴν τὴν ἡδονὴν παρεχόντων, ὡς ἐγὼ νῦν χαίρω καὶ εὐφραίνομαι ὁρῶν ὑμῶν τὴν πνευματικὴν ταύτην σύνοδον μετὰ τοσαύτης εὐκοσμίας ἐνταῦθα παραγινομένην, καὶ ἀκμάζοντα τὸν πόθον ἔχουσαν περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων, καὶ τῆς σαρκικῆς τροφῆς ὑπεριδόντας καὶ πρὸς τὴν πνευματικὴν ἑστίασιν ἐπειγομένους, καὶ δι᾽ αὐτῶν τῶν ἔργων τὸ τοῦ κυρίου λόγιον δεικνύντας τὸ λέγον· Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. Φέρε οὖν καὶ ἡμεῖς μιμησώμεθα τοὺς γηπόνους, καὶ καθάπερ ἐκεῖνοι ἐπειδὰν ἴδωσι τὴν ἄρουραν ἐκκεκαθαρμένην καὶ τῆς ἀπὸ τῶν βοτανῶν λύμης ἀπηλλαγμένην μετὰ πολλῆς τῆς δαψιλείας τὰ σπέρματα καταβάλλουσι. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς ἐπειδὴ τῇ τοῦ θεοῦ χάριτι νῦν ἡμῖν ἡ ἄρουρα αὕτη ἡ πνευματικὴ καθαρεύει τῶν διενοχλούντων παθῶν τῆς τρυφῆς ἐκποδὼν γεγενημένης, καὶ οὐδαμοῦ ζάλη οὐδὲ χειμὼν ἐν τοῖς λογισμοῖς, ἀλλὰ γαλήνη καὶ πολλὴ ἡ ἡσυχία τῆς διανοίας ἐπτερωμένης, καὶ πρὸς αὐτὸν ὡς εἰπεῖν τὸν οὐρανὸν τεταμένης καὶ τὰ πνευματικὰ περὶ τῶν σαρκικῶν φανταζομένης, μικρά τινα διαλεχθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ λεπτοτέρων σήμερον κατατολμήσωμεν νοημάτων, τὰ ἀπὸ τῶν θείων γραφῶν παραθέντες ὑμῖν διδάγματα. εἰ γὰρ μὴ νῦν τοῦτο ποιήσαιμεν, ὅτε νηστεία καὶ γαστρὸς ὑπεροψία καὶ τοσαύτη τῶν ὀρθῶν λογισμῶν ἡ γαλήνη, πότε δυνησόμεθα ταῦτα παραθεῖναι τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτε τρυφὴ καὶ ἀδηφαγία καὶ πολλὴ ἡ ῥαθυμία; ἀλλὰ τότε οὔτε αὐτοὶ τοῦτο δεόντως ποιήσωμεν, οὔτε ὑμεῖς δυνήσεσθε καθάπερ ὑπὸ ἀχλύος τινὸς τῶν λογισμῶν ζάλης καταβαπτιζόμενοι δέξασθαί τι τῶν λεγομένων.

HOMILIA II.

De creationis principio. In principio fecit Deus cælum & terram.

VESTROS ego hodie amabiles intuēs vultus, ingēti voluptate impleor. Etenim patres quamuis teneriter ſuos filios ament, non tantū gaudent ac lætantur circumſtantibus illis, & alio quodā decore, miniſterióq; voluptatē ſibi afferentibus,
B
quantum ego nūc gaudeo, & lætor, quia video veſtram ſpiritualem hanc congregationem tam compoſitis ornatíſq; moribus hîc adeſſe, & immodico audiēdi eloquia diuina deſiderio flagrare: contemptíſq; carnalibus epulis, ad ſpirituale conuiuium contendere, & re ipſa comprobare dictū Domini, quod dicit: Non in pane ſolo viuet homo, ſed in omni verbo quod egreditur per os Dei. (Matt. 4. 4.) Proinde & nos quoque agricolas imitemur. Quemadmodum enim illi ſicubi agrum repurgatum,
C
& ab herbarum nocumentis liberum viderint, vbertim ſeminant: ita quoniam nunc ſpirituale hoc veſtrum aruum, Dei gratia, purum eſt ab affectionibus, quæ interturbare ſolebant, ſublatum quoque eſt è medio voluptatis ſtudium, & nuſquam procella, nuſquam tempeſtas cogitationum: ſed ſerenitas & magna quies mentis, quæ ſpiritualia præ carnalibus ſibi proponens & ſpectans, quaſi aſſumptis alis vſque in cœlum ipſum, vt ita dicam, ſubuolat: ideo & nos paucis hodie apud charitatem veſtram diſſerentes,
D
depromptas è diuinis ſcripturis nonnullas ſubtiliorum ſenſuum doctrinas proponere conabimur. Nam ſi nunc hoc non fecerimus, quando eſt ieiunium & gulæ contemptus, & tanta bonarum cogitationum ſerenitas: quomodo talia veſtræ charitati apponere poterimus, quando deliciæ, comeſſationes, & magna deſidia? Quin tunc neque ipſi, vt par eſt, hoc faciemus, neque vos aliquid eorum quæ dicuntur, accipere poteritis: tāquam à tenebris quibuſdā à cogitationū procella ſubmerſi,

Quadragesimæ tempus aptum concionibus.

Nunc autem, ſi quod aliud, tempus hodie hiſce doctrinis maximè idoneum eſt: quando ſerua iam non inſurgit aduerſus dominam, ſed libenter fert habenas, facilè perſuadetur, multam præ ſe fert obedientiam, incompoſito carnis motus compeſcit, & intra ſuos manet terminos. Ieiunium enim eſt animarum noſtrarum tranquillitas, ſenum decor, adoleſcentum pædagogus, continentium magiſter, quod omnem ætatem & ſexum quaſi diademate quodam ornat. Nuſquam hodie tumultus, vel clamor, vel carnium conciſiones, vel coquorum diſcurſus: ſed omnia illa abierunt, & imitatur hæc ciuitas honeſtam quandam, continentem, & ſobriam matrem familiâs. Vnde quum mecum cogito repentinam mutationem, quæ hodie eſt facta, & repeto memoria heſterni diei perturbationem, admiror & obſtupeſco ieiunij vires & potentiam, quomodo in ſingulorum ingreſſum conſcientias, transformauerit cogitationes, purificauerit mentem, non magiſtratuum tantùm, ſed & priuatorum: non liberorum tantùm, ſed & ſeruorum, non virorum tantùm, ſed & mulierum: non diuitum tantùm, ſed & pauperum: non eorum tantùm qui Græcam linguam edocti ſunt, ſed & barbarorum. Sed quid dico magiſtratuum & priuatorum? etiam eius qui diadema geſtat, ſimiliter vt aliorum, conſcientiam ad hanc obedientiam inflexit. Et hodie nullum diſcrimen inter menſam diuitis & pauperis: ſed vbique frugalis victus eſt, alienus à luxu & apparatu, maiorique hodie voluptate ad menſam tenuem quique accedunt, quàm pridem quum multa delicata edulia, multúmque vinum meracum proponebantur. Vidiſtis dilecti, ex ipſis præludiis ieiunij virtutem & potentiam? idcirco & ipſe maiori hodie alacritate, quàm antea, ſermones aggredior: ſciens me in pingui profundóq; aruo ſeminaturum, quod nobis multifarios fructus pro ſeminibus concreditis protinus reddere poterit. Diſcamus igitur, ſi placet, quid velint ſibi verba beati Moſis hodie lecta. Sed attendite, obſecro, diligenter his quæ à nobis dicuntur.

A Νῦν δὲ εἴ καί ποτε ἄλλοτε καιρὸς τῶν τοιούτων διδαγμάτων, ὅτε οὐκ ἔτι κατεξανίσταται τῆς κυρίας ἡ δούλη· ἀλλ' εὐήνιος γινομένη πολλὴν τὴν πειθὼ καὶ τὴν ὑπακοὴν ἐπιδείκνυται, τὰ σκιρτήματα τῆς σαρκὸς καταστορέσασα, καὶ ἐπὶ τῶν οἰκείων ὅρων μένουσα· νηστεία γάρ ἐστιν ἡ γαλήνη τῶν ἡμετέρων ψυχῶν, ἡ τῶν γεγηρακότων εὐκοσμία, ἡ τῶν νέων παιδαγωγός, ἡ τῶν σωφρονούντων διδάσκαλος, ἡ πᾶσαν ἡλικίαν καὶ φύσιν καθάπερ διαδήματί τινι κατακοσμοῦσα. οὐδαμοῦ σήμερον θόρυβος, οὐδὲ κραυγή, οὐδὲ κρεῶν
B κατακοπαί, οὐδὲ μαγείρων δρόμοι· ἀλλὰ πάντα ἐκεῖνα ἀπελήλαται· καὶ εὐσχήμονά τινα καὶ κοσμίαν καὶ σώφρονα ἐλευθέραν ἡ πόλις ἡμῖν μιμεῖται νῦν. ὅταν γὰρ ἐννοήσω τὴν ἀθρόαν μεταβολὴν τὴν σήμερον γεγενημένην, καὶ λογίσωμαι τῆς χθεσινῆς ἡμέρας τὴν ἀκαταστασίαν, θαυμάζω, καὶ ἐκπλήττομαι τῆς νηστείας τὴν ἰσχύν, ὅπως εἰς τὴν ἑκάστου συνείδησιν εἰσελθοῦσα μετέπλασε τὸν λογισμόν, ἐξεκάθαρε τὴν διάνοιαν οὐκ ἀρχόντων μόνον, ἀλλὰ καὶ ἰδιωτῶν· οὐκ ἐλευθέρων, ἀλλὰ καὶ δούλων· οὐκ ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν· οὐ πλουσίων, ἀλλὰ καὶ πενήτων· οὐ τῶν τὴν
C Ἑλλάδα γλῶτταν πεπαιδευμένων, ἀλλὰ καὶ βαρβάρων. καὶ τί λέγω ἀρχόντων καὶ ἰδιωτῶν; καὶ αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου τὸ συνειδὸς ὁμοίως τοῖς λοιποῖς πρὸς τὴν ταύτης ὑπακοὴν μετέστησε· καὶ οὐκ ἔστι σήμερον διαφορὰν ἰδεῖν τῆς τοῦ πλουσίου τραπέζης, καὶ τῆς τοῦ πένητος· ἀλλὰ πανταχοῦ λιτὴ ἡ δίαιτα, ἀπηλλαγμένη κόμπου καὶ φαντασίας καὶ μετὰ πλείονος τῆς ἡδονῆς σήμερον τῇ εὐτελείᾳ τῆς τραπέζης προσέρχονται, ἢ ὅτε πολλὰ αὐτοῖς τὰ καρυκεύματα παρέκειτο καὶ πολὺς ὁ ἄκρατος. εἴδετε ἀγαπητοὶ ἐξ αὐτῶν τῶν
D προοιμίων τῆς νηστείας τὴν ἰσχύν; διὰ τοῦτο καὶ αὐτὸς μετὰ πλείονος σήμερον τῆς προθυμίας ἢ πρότερον τῶν πρὸς ὑμᾶς ἅπτομαι λόγων, εἰδὼς ὅτι εἰς λιπαρὰν καὶ βαθύγεον ἄρουραν καταβάλλω τὰ σπέρματα δυναμένην πολλαπλασίως ἡμῖν ταχέως ἀποδοῦναι τῶν καταβαλλομένων τοὺς καρπούς. καταμάθωμεν τοίνυν εἰ δοκεῖ τῶν σήμερον ὑμῖν ἀναγνωσθέντων ἐκ τῶν τοῦ μακαρίου Μωυσέως λόγων τὴν δύναμιν. ἀλλὰ προσέχετε παρακαλῶ μετὰ ἀκριβείας τοῖς παρ' ἡμῶν λεγομένοις.

οὐ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλ' ἅπερ ἂν ἡ τοῦ θεοῦ χάρις παράσχῃ διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν. τίνα δὲ ταῦτά ἐστιν; Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἄξιον ἐνταῦθα διαπορῆσαι τίνος ἕνεκεν ὁ μακάριος οὗτος προφήτης μετὰ πολλὰς ὕστερον γενεὰς γεγονὼς ταῦτα ἡμῖν ἐκτίθεται. οὐχ ἁπλῶς οὐδὲ εἰκῆ· ἐπειδὴ γὰρ ἐξαρχῆς πλάσας τὸν ἄνθρωπον ὁ θεὸς δι' ἑαυτοῦ διελέγετο τοῖς ἀνθρώποις ὡς ἀνθρώποις ἀκοῦσαι δυνατὸν ἦν. οὕτω γὰρ πρὸς τὸν Ἀδὰμ ἦλθεν· οὕτως τῷ Κάϊν ἐπετίμησεν· οὕτως τῷ Νῶε διελέχθη· οὕτως ἐπεξενώθη τῷ Ἀβραάμ· ὅτε δὲ εἰς πολλὴν κακίαν ἐξώκειλε πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, οὐδὲ οὕτω τέλεον ἀπεστράφη τὸ τῶν ἀνθρώπων γένος ὁ τῶν ἁπάντων δημιουργός. ἀλλ' ἐπειδὴ ἀνάξιοι λοιπὸν γεγόνασι τῆς ὁμιλίας τῆς αὐτοῦ, βουλόμενος πάλιν ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν, καθάπερ ἀνθρώποις μακρὰν ἀφεστῶσι γράμματα πέμπει πρὸς ἑαυτὸν ἐφελκόμενος πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν. καὶ ταῦτα τὰ γράμματα ἔπεμψε μὲν ὁ θεός, ἐκόμισε δὲ Μωυσῆς. τί οὖν λέγει τὰ γράμματα; Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Σκόπει τοῦ θαυμαστοῦ τούτου προφήτου ἀγαπητὲ καὶ ἐν τούτῳ τὸ ἐξαίρετον. οἱ μὲν γὰρ ἄλλοι προφῆται πάντες ἢ τὰ μετὰ πολὺν ἐσόμενα χρόνον εἶπον, ἢ τὰ κατ' αὐτὸν μέλλοντα συμβήσεσθαι τὸν καιρόν· ὁ δὲ μακάριος οὗτος μετὰ πολλὰς γενεὰς γεγονὼς ὑπὸ τῆς ἄνωθεν δεξιᾶς ὁδηγούμενος ἐκεῖνα εἰπεῖν κατηξιώθη, ἃ πρὸ τῆς αὐτοῦ γενέσεως ὑπὸ τοῦ τῶν ἁπάντων ἐδημιουργήθη δεσπότου. διὰ τοῦτο καὶ οὕτως ἤρξατο λέγων· ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· μονονουχὶ πρὸς ἅπαντας ἡμᾶς λαμπρᾷ βοῶν τῇ φωνῇ καὶ λέγων· μὴ γὰρ παρὰ ἀνθρώπου διδασκόμενος ταῦτα φθέγγομαι; ὁ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι αὐτὰ παραγαγών, οὗτος καὶ τὴν ἐμὴν γλῶτταν πρὸς τὴν τούτων ἐξήγησιν παρώρμησεν· ὡς οὖν οὐκέτι παρὰ Μωυσέως ταῦτα ἀκούοντες, ἀλλὰ παρ' αὐτοῦ τοῦ τῶν ὅλων θεοῦ διὰ τῆς τοῦ Μωυσέως γλώττης οὕτω τοῖς λεγομένοις προσέχωμεν παρακαλῶ, καὶ πολλὰ χαίρειν τοῖς ἡμετέροις λογισμοῖς εἰπόντες· λογισμοὶ γάρ φησιν ἀνθρώπων δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν,

A Non enim noſtra in medium afferimus, ſed illa ipſa quæ nobis diuina gratia in veſtram conceſſerit vtilitatem. Quæ autem hæc ſunt? *In principio fecit Deus cœlum & terram.* Meritò hîc dubitatur, quam ob cauſam beatus iſte propheta, qui etiam ipſe multis ſeculis poſt creationem mundi vixit, hæc nobis exponat. Sanè non temere hoc agit, nec fruſtra. Etenim Deus humani generis conditor, ab initio per ſeipſum hominibus loquebatur, quomodo hominibus audire eum poſſibile eſt. Sic enim ad Adam venit: ſic Caïn increpauit: ſic cum B Noë locutus eſt, ſic apud Abraham hoſpitatus eſt. At vbi in magnam malitiam omne hominum genus degenerauit, neque tunc ſeſe totum ab hominum genere auertit opifex omnium: ſed quia ſua familiaritate poſtea indigni facti fuerunt, iterum ſuam erga illos amicitiam innouare volens, quaſi longe abſentibus literas mittit, conciliaturus ſibi vniuerſam hominum naturam. Et has quidem litteras dedit Deus, attulit autem Moſes. Quid igitur dicunt hæ literæ? In principio fecit C Deus cœlum & terram. Conſidera in hoc chariſſime, quàm admirabilis & eximius ſit iſte propheta. Alij enim omnes prophetæ dixerunt, vel quæ multis poſtea temporibus futura erant, vel quæ ſtatim euentura eſſent. Beatus autem iſte, natus quum iam multa mundi tranſiſſent ſecula, & ducem & directricem ſortitus ſupernam dextram, dignus eſt habitus, vt illa nobis diceret, quæ ante ſuam natiuitatem omnium dominus formauerat. Idcirco & ſic incipit, di- D cens: In principio fecit Deus cœlum & terram: quaſi ad omnes nos clara voce clamet, & dicat: Num ab omnibus doceor, vt hæc loquar? Minimè. Sed qui hæc quum non eſſent, fecit vt eſſent, hic & linguam meam ad iſthæc enarranda impulit. Igitur obſecro, ita auſcultemus, ita noſtris rationibus longum vale dicamus, quaſi hæc non iam à Moſe, ſed per linguam Moſis ab ipſo omnium Deo audiamus. Rationes enim hominum timidæ ſunt, inquit, & parum ſecuræ adinuentiones eorum.

Magna gratitudine accipiamus quæ dicuntur, ne progrediamur vltra quàm fert menſuræ noſtræ tenuitas, néve curioſius quæ ſupra nos ſunt, indagemus: id quod veritatis hoſtibus euenit, qui voluerunt propriis rationibus vniuerſa expendere, non cogitantes quòd impoſſibile ſit humanæ naturæ Dei opificium penitus ediſcere. Quid inquam Dei opificium, quum neque hominis, qui nobis natura cognatus eſt, artes vndequaque diſquiri poſſint? Dic enim, quæſo, quomodo per metallicam artem auri natura conflatur? vel quomodo vitri puritas ex arena fit? Verum non habes quæ dicas. Si igitur hæc, quæ ante oculos ſunt poſita, & quæ per Dei miſericordiam humana operatur ſapientia, ediſci nequeunt: quæ à Deo ipſo facta ſunt, curioſitate tua inquires homo? Quam aſſequeris veniam, qua te tueberis defenſione, ita inſaniens, vt quæ ſupra naturæ tuæ captum ſunt, ſpeculeris? Dicere enim ea quæ ſunt, ex præiacente materia eſſe facta, & non confiteri, quòd ex nihilo creauerit ea omnium opifex, deſipientiæ extremæ ſignum fuerit. Beatus itaque Propheta iſte, obturando inſipientium ora, auſpicaturus librum, ſic cœpit: In principio fecit Deus cœlum & terram. Quum igitur audis, fecit, nihil aliud vltra curioſius quære: ſed humum ſpectans, crede ei qui dixit. Nam Deus eſt qui omnia facit, & præparat, & iuxta voluntatem ſuam omnia aptè componit. Et vide quantum docendo noſtræ paruitati ſe attemperat. Nihil de inuiſibilibus virtutibus diſſerit, neque dicit, In principio fecit Deus angelos, vel archangelos. Non ſimpliciter, neque temerè hanc nobis doctrinæ viam parauit. Iudæis enim loquebatur, qui toti præſentibus rebus inhiabant, neque ſpirituale quicquam animo concipere valebant. Itaque eos à ſenſibilibus ad cognoſcendum vniuerſi opificem inducit, vt ex creaturis fabricatorem mundi diſcentes, adorent creatorem omnium, & non in creaturis ipſis permaneãt & quieſcãt. Nam quum licet hæc ita facta ſint, non intermiſerint ex creaturis Deos facere,

ὑποκειμένης. i. præiacente ſubiecta.

Ex creaturis creator agnoſcitur.

A μετὰ πολλῆς τῆς εὐγνωμοσύνης δεχώμεθα τὰ λεγόμενα μὴ ὑπερβαίνοντες τὸ οἰκεῖον μέτρον, μηδὲ τὰ ὑπὲρ ἡμᾶς περιεργαζόμενοι, ὅπερ πεπόνθασιν οἱ τῆς ἀληθείας ἐχθροὶ βουληθέντες τοῖς οἰκείοις λογισμοῖς ἐπιτρέψαι τὸ πᾶν, καὶ οὐκ ἐννοήσαντες ὅτι ἀδύνατον τὴν ἀνθρωπείαν φύσιν τὴν τοῦ θεοῦ δημιουργίαν περιεργάζεσθαι. καὶ τί λέγω τὴν τοῦ θεοῦ δημιουργίαν; ἀλλ' οὐδὲ ἀνθρώπου τέχνην τοῦ ὁμογενοῦς ἡμῖν περιεργάζεσθαι δυνατόν; εἰπὲ γάρ μοι, πῶς ἀπὸ τῆς μεταλλικῆς τέχνης χρυσίου συνίσταται φύσις· ἢ πῶς τῆς ὑέλου ἡ B καθαρότης ἀπὸ ψάμμου γίνεται; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. εἰ τοίνυν ταῦτα τὰ πρὸ τῶν ὀφθαλμῶν κείμενα, καὶ ἅπερ διὰ τὴν τοῦ θεοῦ φιλανθρωπίαν σοφία ἀνθρωπίνη ἐργάζεται καταμαθεῖν οὐ δυνατόν, πῶς τὰ ἀπὸ τοῦ θεοῦ δημιουργηθέντα περιεργάζῃ ἄνθρωπε; καὶ ποίας ἂν τύχοις συγγνώμης; τίνος δὲ ἀπολογίας οὕτω μεμηνὼς τὰ ὑπὲρ τὴν σαυτοῦ φύσιν φανταζόμενος; τὸ γὰρ λέγειν ἐξ ὑποκειμένης ὕλης τὰ ὄντα γεγενῆσθαι, καὶ μὴ ὁμολογεῖν ὅτι οὐκ ἐξ οὐκ ὄντων αὐτὰ C παρήγαγεν ὁ τῶν ἁπάντων δημιουργός, τῆς ἐσχάτης παραφροσύνης ἂν εἴη σημεῖον. ἐμφράττων τοίνυν τῶν ἀγνωμόνων τὰ στόματα ὁ μακάριος οὗτος προφήτης μέλλων ἄρχεσθαι τοῦ βιβλίου οὕτως ἤρξατο· Εν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ὅταν οὖν ἀκούσῃς τὸ ἐποίησε, μηδὲν ἕτερον περιεργάζου, ἀλλὰ κάτω κύπτων πίστευε τῷ λεχθέντι· θεὸς γάρ ἐστιν ὁ πάντα ποιῶν καὶ μετασκευάζων, καὶ πρὸς τὸ αὐτοῦ βούλημα τὰ πάντα μεταρρυθμίζων. καὶ ὅρα τῆς συγκαταβάσεως τὴν ὑπερβολήν. οὐδὲν περὶ τῶν ἀοράτων δυνάμεων διαλέγεται, οὐδὲ λέγει, D ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τοὺς ἀγγέλους, ἢ τοὺς ἀρχαγγέλους· οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ ταύτην ἡμῖν ἔτεμε τῆς διδασκαλίας τὴν ὁδόν. ἐπειδὴ γὰρ Ἰουδαίοις διελέγετο τοῖς περὶ τὰ παρόντα ἐπτοημένοις, καὶ οὐδὲν νοητὸν φαντασθῆναι δυναμένοις, ἀπὸ τῶν αἰσθητῶν τέως αὐτοὺς ἀνάγει πρὸς τὸν τῶν ὅλων δημιουργόν, ἵνα ἐκ τῶν δημιουργημάτων τὸν τεχνίτην τοῦ παντὸς καταμαθόντες προσκυνήσωσι τὸν ἐργασάμενον, καὶ μὴ ἐναπομείνωσι τοῖς κτίσμασιν. εἰ γὰρ καὶ τούτου γινομένου οὐκ ἐπαύσαντο τὰ κτίσματα θεοποιοῦντες,

καὶ περὶ

A καὶ περὶ τὰ ἀτιμότατα τῶν ἀλόγων τὸ σέβας ἐπιδεικνύμενοι, πῶς οὐκ ἂν μανίας ἐξώκειλαν, εἰ μὴ τοσαύτῃ τῇ συγκαταβάσει ἐχρήσατο; καὶ μὴ ξενισθῇς ἀγαπητὲ, εἰ Μωυσῆς ταύτην ἔτρεχε τὴν ὁδὸν ἐν ἀρχῇ καὶ ἐν προοιμίοις τοῖς παχυτέροις Ἰουδαίοις διαλεγόμενος, ὅπου γε καὶ ὁ Παῦλος ἐν τῇ χάριτι, ἡνίκα τοσαύτη ἡ ἐπίδοσις γέγονε τοῦ κηρύγματος, μέλλων τοῖς ἐν Ἀθήναις διαλέγεσθαι ἀπὸ τῶν ὁρωμένων ποιεῖται πρὸς αὐτοὺς τὴν διδασκαλίαν οὕτω λέγων· ὁ θεὸς ὁ ποιήσας τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, B οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται. ἐπειδὴ γὰρ ᾔδει ταύτην αὐτοῖς κατάλληλον οὖσαν τὴν διδασκαλίαν, ταύτην ἦλθε τὴν ὁδόν. πρὸς γὰρ τοὺς δεχομένους τὰ παρ' αὐτοῦ διδάγματα, οὕτως ὑπὸ τοῦ πνεύματος ὁδηγούμενος καὶ τὴν διδασκαλίαν ἐποιεῖτο. καὶ ἵνα μάθῃς, ὅτι ἡ τῶν προσώπων διαφορὰ καὶ ἡ τῶν ἀκουόντων παχύτης τούτου αἰτία γίνεται, ἄκουε αὐτοῦ, ἡνίκα πρὸς Κολοσσαεῖς ἐπέστελλε, μηκέτι ταύτην ἐρχομένου τὴν ὁδὸν, ἀλλ' ἑτέρως αὐτοῖς διαλεγομένου καὶ λέγοντος, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ C τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτὸν καὶ εἰς αὐτὸν ἐκτίσθη. καὶ Ἰωάννης δὲ ὁ τῆς βροντῆς υἱὸς, ἐβόα λέγων· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ἀλλ' οὐχ ὁ Μωυσῆς οὕτως· εἰκότως. οὐδὲ γὰρ ἦν εὔλογον τοῖς ἔτι γαλακτοτροφεῖσθαι δεομένοις στερεᾶς μεταδοῦναι τροφῆς. καθάπερ γὰρ οἱ διδάσκαλοι οἱ παρὰ τῶν μητέρων τὰ παιδία δεχόμενοι τὰ πρῶτα στοιχεῖα αὐτοῖς παραδιδόασιν· οἱ δὲ παρ' ἐκείνων τὰ παιδία λαμβάνοντες τὰ τελειότερα D τῶν μαθημάτων αὐτοῖς ἐνηχοῦσι· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ μακάριος Μωυσῆς καὶ ὁ τῶν ἐθνῶν διδάσκαλος καὶ ὁ τῆς βροντῆς υἱὸς πεποιήκασιν. ὁ μὲν γὰρ ἐκ προοιμίων παραλαβὼν τὴν φύσιν τὴν ἀνθρωπίνην, τὰ πρῶτα στοιχεῖα τοὺς ἀκούοντας ἐπαίδευσεν· οὗτοι δὲ παρὰ Μωυσέως παραλαβόντες λοιπὸν τὰ τελειότερα παρεδίδοσαν. τέως οὖν ἐμάθομεν τῆς συγκαταβάσεως τὴν αἰτίαν, καὶ ὅτι πνεύματι φθεγγόμενος καταλλήλως τοῖς ἀκούουσιν ἅπαντα ἐξετίθετο πάσας ὁμοῦ τὰς δίκην ζιζανίων

& diuinum honorem fœdiſſimis brutis exhibere: in quam non amentiam incidiſſent, ni tanta erga nos humilitate & attemperatione fuiſſet viſus? Nec mireris dilecte, quòd Moyſes hac via inceſſerit, qui in principio, & in prældiis, craſſioribus locutus eſt Iudæis: quandoquidem Paulus quoque tempore gratiæ, quum tantum prædicationis eſſet incrementum diſputaturus cum Athenienſibus, à viſibilibus doctrinam cœpit, & eis ſic dixit: Deus qui fecit mun- Act. 17. 24.
dum, & omnia quæ in eo ſunt, hic cœli & terræ quum ſit dominus, non in manufactis habitat templis, nec humanis manibus colitur. Et ideo quia talem eis congruere ſciebat doctrinam, hanc docendi viam arripuit. Ad eos enim qui ſuam ſuſcipiebant doctrinam, à ſpiritu ita dirigebatur, & eos ita docebat. Et vt ſcias huius rei cauſam fuiſſe perſonarum varietatem, & auditorum craſſitudinē, audi illum ipſum. Ad Coloſſenſes enim epiſtolam ſcribens, non hac ambulat via, ſed aliter cum eis loquitur, & dicit:
Quia in ipſo creata ſunt omnia, quæ Coloſſ. 1 16.
in cœlis ſunt, & quæ in terra, viſibilia & inuiſibilia, ſiue throni, ſiue dominationes, ſiue principatus, ſiue poteſtates, omnia per illum, & in illum creata ſunt. Ioannes autem tonitrui Ioan. 1. 3.
filius clamabat, dicens: Omnia per ipſum facta ſunt, & ſine ipſo factum eſt nihil. At non ſic Moſes, & meritò: nec enim erat conſentaneum, vt ſolido paſcerentur cibo, quibus adhuc lactis alimonia opus erat. Nam quemadmodum ludimagiſtri pueris qui à patribus ipſis commendantur erudiendi, prima tradunt elementa: quos qui ab illis poſtea ſuſcipiunt, ſublimioribus & perfectioribus doctrinis imbuunt: ita & beatus Moſes, & doctor gentium, ac filius tonitrui fecerunt. Nam Moſes quidem cùm primus omnium inſtituendam ſuſcepiſſet humanam naturam, docuit auditores prima elementa: Ioannes autē & Paulus his quos à Moſe acceperunt, poſtea perfectiora tradidere. Igitur iam quidem didicimus, quare ita ſe humiliarit ad noſtram tenuitatē: & quod Spiritu ſancto loquēs, prout auditoribus congruebat, omnia expoſuerit: verū interim & omnes hęreſes, quę ſicut zizania

pullulaturæ erant in eccleſia, eradicat per hoc quod dicit: In principio fecit Deus cœlum & terram. Vnde ſi Manichæus ad te acceſſerit, dicens materiam præexiſtere, vel Marcion, vel Valentinus, vel Gentilis, dic ad illum: In principio fecit Deus cœlum & terram. Sed quid ſi non credit ille ſcripturæ? Tu poſthac ipſum auerſeris, velut furibundum & mente captum. Nam qui omnium opifici non credit, & veritatem mendacij arguit, qua vnquam dignandus eſt venia? Habet ille fucatum colorem, & manſuetorum perſonas induit, tegitque ſub ouilla pelle lupum. Sed tu ne decipiaris, imò hac ipſa de cauſa illum magis exoſum habe, quòd manſuetudinem quidem erga proximum conſeruum ſimulat, contra dominum autem vniuerſorum bellum gerit, & neque ſeipſum ſalutem ſuam prodere animaduertit. Cæterùm nos firmam teneamus petram, & ad principium iterum regrediamur: In principio fecit Deus cœlum & terram. Attende nunc, quomodo ex ipſo opificij modo diuinæ naturæ dignitas eniteſcat. Nam Deus præter humanum morem, ſuum perficiens ædificium, prius cœlum extendit, poſtea & terram ſubſternit: prius culmen, & poſtea fundamentum. Quis tale quid vidit? quis audiuit? In hominum ſanè operibus nihil tale vnquam fuit. Sed iubente Deo voluntati eius parent & cedunt omnia. Ne igitur humanis rationibus diuina opera curioſius excutiamus, sed ex operibus manuducti, admiremur artificem. Nam inuiſibilia eius, inquit, ex creatione mundi, dum per opera intelliguntur, peruidentur. (Rom. 1. 20.) Quòd ſi veritatis hoſtes adhuc dicunt, eſſe impoſſibile, ex nihilo aliquid fieri: interrogemus eos, primúſne homo ex terra formatus eſt: an fortè aliunde? omnino dicent ac fatebuntur, quòd ex terra. Dicant igitur nobis, quomodo ex terra facta ſit natura carnis. Ex terra enim lutum, & lateres, & figulinum vas, & teſta fieri ſolet: quomodo ergo natura carnis facta eſt? quomodo oſſa, & nerui, & arteriæ, & adeps, & cutis, & vngues, & capilli, & ex vna præiacente materia diuerſarũ ſubſtãtiarum

A ἐπιφυομένας αἱρέσεις τῇ ἐκκλησίᾳ κάτωθεν ἀνασπῶν διὰ τοῦ εἰπεῖν· ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. κἂν γὰρ Μανιχαῖος προσέλθῃ λέγων τὴν ὕλην προϋπάρχειν· κἂν Μαρκίων, κἂν Οὐαλεντῖνος, κἂν Ἑλλήνων παῖδες, λέγε πρὸς αὐτόν· ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἀλλ᾽ οὐ πιστεύει τῇ γραφῇ. ἀποστράφηθι λοιπὸν αὐτὸν ὡς μαινόμενον καὶ ἐξεστηκότα. ὁ γὰρ τῷ δημιουργῷ τῶν ὅλων ἀπιστῶν ὡς καὶ ψεῦδος τῆς ἀληθείας καταγινώσκων, ποίας ἂν τύχοι συγγνώμης ποτέ; πεπλασμένον ἔχουσιν ἐκεῖνοι τὸ χρῶμα, καὶ B ἐπιεικείας πρόσωπον ὑποδυόμενοι, κρύπτουσιν ἐν τῇ δορᾷ τοῦ προβάτου τὸν λύκον. ἀλλὰ σὺ μὴ ἀπατηθῇς, ἀλλὰ καὶ δι᾽ αὐτὸ τοῦτο μάλιστα μίσησον αὐτόν, ὅτι πρὸς μὲν σὲ τὸν ὁμόδουλον ἐπιείκειαν ὑποκρίνεται, πρὸς δὲ τὸν τῶν ὅλων δεσπότην ὅλον τὸν πόλεμον ἤρατο, καὶ κατὰ τῆς ἑαυτοῦ σωτηρίας τρέχων οὐκ αἰσθάνεται. ἡμεῖς δὲ τῆς πέτρας ἐχώμεθα τῆς ἀρραγοῦς, καὶ ἐπὶ τὴν ἀρχὴν πάλιν ἐπανέλθωμεν. ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ὅρα καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς δημιουργίας τὴν θείαν φύσιν διαλάμ- C πουσαν, ὡς ἀπεναντίας τῇ ἀνθρωπίνῃ συνηθείᾳ τὴν δημιουργίαν ποιεῖται, πρότερον τὸν οὐρανὸν τείνας, καὶ τότε τὴν γῆν ὑποστορέσας· πρότερον τὸν ὄροφον καὶ τότε τὸν θεμέλιον. τίς εἶδε; τίς ἤκουσεν; ἐπὶ μὲν γὰρ τῆς ἀνθρωπίνης δημιουργίας οὐκ ἂν τοῦτο γένοιτ᾽ ἄν ποτε. ὅταν δὲ ὁ θεὸς κελεύῃ, πάντα τῷ βουλήματι αὐτοῦ εἴκει καὶ παραχωρεῖ. μὴ τοίνυν ἀνθρωπίνῳ λογισμῷ τὰ τοῦ θεοῦ ἔργα περιεργαζώμεθα· ἀλλ᾽ ἐκ τῶν ἔργων διηγούμενοι θαυμάζωμεν τὸν τεχνίτην. τὰ γὰρ ἀόρατα αὐτοῦ φησὶν ἀπὸ κτίσεως κόσμου D τοῖς ποιήμασι νοούμενα καθορᾶται. εἰ δὲ ἐπιμένοιεν οἱ τῆς ἀληθείας ἐχθροὶ λέγοντες μὴ δυνατὸν εἶναι ἐξ οὐκ ὄντων τι παραχθῆναι, ἐρώμεθα αὐτούς. ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς ἐπλάσθη, ἢ ἑτέρωθέν ποθεν, πάντως ἐροῦσιν, ὅτι ἐκ γῆς, καὶ συνομολογήσουσιν. εἰπάτωσαν οὖν ἡμῖν πῶς ἐκ γῆς σαρκὸς ἐγένετο φύσις, ἀπὸ γῆς γὰρ πηλὸς καὶ πλίνθος καὶ κέραμος, καὶ ὄστρακον ἂν γένοιτο. πῶς οὖν σαρκὸς ἐγένετο φύσις, πῶς ὀστᾶ καὶ νεῦρα καὶ ἀρτηρίαι καὶ μελὴ καὶ δέρμα καὶ ὄνυχες καὶ τρίχες, καὶ ἐκ μιᾶς ὑποκειμένης ὕλης διαφόρων οὐσιῶν

ποιότητες; καὶ οὐκ ἂν δυνηθεῖεν πρὸς ταῦτα διᾶραι A στόμα ποτέ. τί δὲ λέγω περὶ τοῦ σώματος τοῦ ἡμετέρου; περὶ τοῦ ἄρτου, οὗ καθ' ἑκάστην ἡμέραν σιτούμεθα, εἰπάτωσαν ἡμῖν, πῶς μονοειδὴς ὢν μεταβάλλεται εἰς αἷμα καὶ φλέγμα καὶ χολὴν καὶ διαφόρους χυμούς. καὶ ὁ μὲν ἀπόχροις πολλάκις ἐστί· τὸ δὲ αἷμα πυρρὸν ἢ μέλαν. εἰ τοίνυν ταῦτα τὰ καθ' ἑκάστην ἡμέραν πρὸ τῶν ὀφθαλμῶν ὁρώμενα εἰπεῖν ἡμῖν οὐκ ἂν δύναιτό ποτε, σχολῇ γ' ἂν εἴποιεν περὶ τῶν ἄλλων τοῦ θεοῦ δημιουργημάτων. ἀλλ' εἰ καὶ μετὰ τοσαύτην τῶν ἀποδείξεων περιουσίαν ἐπιμένοιεν τὴν οἰκείαν φιλονεικίαν κρατύνειν βουλόμενοι, B ἡμεῖς δὲ μηδὲ οὕτω παυσώμεθα τὰ αὐτὰ πάλιν πρὸς αὐτοὺς λέγοντες· ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τοῦτο γὰρ ἱκανὸν μόνον τὸ ῥῆμα πάντας τῶν ἐναντίων τοὺς πύργους καταβαλεῖν, καὶ πάντας τοὺς ἀνθρωπίνους λογισμοὺς ἐξ αὐτῶν τῶν βάθρων ἀνασπάσαι, καὶ εἰ βουληθεῖεν ὀψέ ποτε τῆς φιλονεικίας ἀποσχέσθαι, πρὸς τὴν τῆς ἀληθείας ὁδὸν αὐτοὺς χειραγωγῆσαι δυνήσεται. ἡ δὲ γῆ ἦν φησιν ἀόρατος καὶ ἀκατασκεύαστος. τίνος ἕνεκεν εἰπέ μοι τὸν μὲν οὐρανὸν φαιδρὸν καὶ ἀπηρτισμένον παρήγαγε, τὴν δὲ γῆν ἄμορφον ἔδειξεν; οὐχ ἁπλῶς οὐδὲ τοῦτο C πεποίηκεν, ἀλλ' ἵνα ἐν τῷ βελτίονι μέρει τῆς κτίσεως μαθὼν αὐτοῦ τὴν δημιουργίαν μηδὲν ἀμφιβάλλῃς λοιπόν, μηδὲ νομίσῃς δι' ἀσθένειαν δυνάμεως τοῦτο γεγενῆσθαι. ἄλλως τε καὶ δι' ἕτερον τρόπον ἄμορφον αὐτὴν παρήγαγεν. ἐπειδὴ γὰρ αὐτὴ καὶ τροφὸς καὶ μήτηρ ἡμῶν ἐστι, καὶ ἐξ αὐτῆς καὶ γεγόναμεν καὶ τρεφόμεθα, καὶ αὐτὴ ἡμῖν καὶ πατρὶς καὶ κοινὸς τάφος γίνεται, καὶ πρὸς αὐτὴν πάλιν ἡ ἐπάνοδος, καὶ τῶν μυρίων ἀγαθῶν δι' αὐτῆς ἀπολαύομεν, ἵνα μὴ διὰ τὸ τῆς χρείας ἀναγκαῖον ὑπὲρ τὴν ἀξίαν αὐτὴν τιμήσωσι, τὸ τῶν ἀνθρώπων D γένος δείκνυσί σοι αὐτὴν πρότερον ἄμορφον καὶ ἀδιατύπωτον· ἵνα μὴ τῇ φύσει τῆς γῆς τὰς ἐξ αὐτῆς εὐεργεσίας λογίσῃ, ἀλλὰ τῷ ταύτην ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντι. διὰ τοῦτό φησιν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. τάχα εὐθὺς καὶ ἐκ προοιμίων κατετείναμεν ὑμῶν τὴν διάνοιαν τοῖς λεπτοτέροις νοήμασι· διὸ προσήκει μέχρι τούτου στῆσαι τὸν λόγον παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην μεμνῆσθαι τῶν εἰρημένων, καὶ ἀεὶ τούτων ἔναυλον ἔχειν τὴν μνήμην, καὶ μετὰ τῆς αἰσθητῆς τραπέζης. ἐπειδὰν

Ἠθικόν.

qualitates? Sed ad hæc ne mutire quidem poterunt. Quid autem dico de corpore noſtro? Dicant nobis de pane, quo quotidie reficimur, quomodo, quum vnius ſpeciei ſit, tranſmutatur in ſanguinem, & phlegma, & choleram, & varios humores? Et panis quidem ſæpe habet colorem frumenti, ſanguis autem rufum vel nigrum. Si igitur hæc, quæ quotidie ante oculos videntur, nunquam nobis dicere poterunt, nullatenus & de aliis Dei opificiis digna dicent. Quòd ſi poſt tantam demonſtrationum copiam, adhuc ſuam contentionem roborare volunt: & neque nos deſiſtemus ſæpe eadem ipſis obiicere, dicentes, In principio fecit Deus cœlum & terram. Hoc enim vnicum verbum ſufficit nobis ad ſubuertendas omnes aduerſariorum turres, & ad reuellendas ab ipſis fundamentis humanas rationes: atque ſi vellent vel ſerò à ſua contentione deſiſtere, poſſent per hoc in veritatis viã manuduci. *Terra autem*, dicit, *inuiſibilis erat, & inculta.* Cuius gratia, dic quæſo, cœlum clarum & abſolutum creauit: terram autem informem effecit? Neque hoc temerè factum. Sed vt cùm didiceris meliorem creationis partem ab eo formatam & abſolutam, poſtea neque de aliis dubites, neque putes tale quid ex virtutis infirmitate factum. Ad hæc, & alia ratione informem terram creauit, quoniam ipſa eſt nutrix, & mater noſtra, & ex ea facti ſumus, ac educamur, ipſaque noſtra patria eſt, & commune ſepulchrum (reditus enim noſter ad eam rurſus eſt) & variis per eam bonis fruimur. Ideo vt ne homines ob vſus neceſſitatem, plus quàm dignum eſt, eam venerentur, oſtendit primùm rudem, & abſque forma, & inexpolitam: vt ne beneficia terræ, telluris naturæ imputes: ſed ei tribuas, qui illam ex nihilo vt eſſet, creauit, propter hoc ait; Terra autem erat inuiſibilis & inculta. Fortè ſtatim & ab initio mentem veſtrã ſubtilioribus ſentẽtiis torſimus nimiũ, ideo hîc ſermonẽ ſiſtere congruit. Rogamus autẽ charitatem veſtrã, vt dictorũ ſitis memores, & ſemper horum memoria vobis inſonet. Et vna cũ ſenſibili mẽſa quum hinc abieritis, apponite & ſpiritualem menſam.

Moralis exhortatio.

Et dicat quidem vir aliqua eorum, quæ nunc hîc ſunt dicta: audiat autem mulier, diſcant pueri, diſcant & familiares, fiátque domus Eccleſia, vt effugetur diabolus, in fugam vertatur malus ille dæmon, & inimicus ſalutis noſtræ. Requieſcat autem ibi Spiritus ſancti gratia, & omnis pax & concordia muniat inhabitantes. Quòd ſi eorum quæ iam dicta ſunt, memores fueritis, & promptius ea quæ poſthac ſeminaturi ſumus, ſuſceperitis, nos quoque maiori vbertate dicemus, quæ nobis ſuppeditabit gratia Dei, ſi germinare viderimus quæ nunc à nobis dicta ſunt. Quandoquidem & agricola videns ſemina naſci, maiore promptitudine arua conſiderat & excolit, paratus & alia ſeminare. Vt igitur alacriores nos reddatis, & iam dictorum certam cuſtodiam demonſtrate, & cum rectæ fidei dogmatibus vitam quoque veſtram diligenter curate.
Matth. 5. 16. Luceat enim, inquit, lux veſtra coram hominibus, vt videant veſtra opera bona, & glorificent patrem veſtrum, qui in cœlis eſt: vt & vita conſonet fidei dogmatis, & dogmata prædicent
Iac. 2.26 vitam. Fides enim ſine operibus mortua eſt, & opera ſine fide mortua ſunt. Nam tametſi ſanam teneamus doctrinam, vitam autem negligamus: nihil nobis proderunt doctrinæ. Rurſus, ſi vitæ curam diligentem geſſerimus, in fidei autem placitis claudicauerimus, neque ſic nobis aliquid lucri fuerit. Ideo conuenit vtrinque ædificium hoc noſtrum ſpirituale communi-
Matt. 7. ri. Omnis enim, inquit, qui audit hos meos ſermones, & facit eos, aſſimilabitur viro prudenti. Vide, quomodo non ſolum audire nos vult, ſed & facere & operibus monſtrare obedientiam. Et hunc prudẽtem vocauit, qui operibus ſermones ſubſequẽtibus conſpicuus eſt: qui verò tantùm ad ſermones peruenit, & non ad opera, eum ſtultum vocauit: meritò: quia talis domum ſuam ſuper arenam ædificauit: propterea neque ventorum vim ferre potuit, ſed ſtatim corruit. Tales enim ſunt deſides animæ, non ſolidatæ ſuper firmam petram ſpiritualem.

A ἐντεῦθεν ἐξέλθητε παραθήσετε τὴν πνευματικὴν τράπεζαν, καὶ λεγέτω μέν τινα τῶν ἐνταῦθα λεχθέντων ὁ ἀνήρ· ἀκουέτω δὲ ἡ γυνή· μανθανέτωσαν δὲ καὶ οἱ παῖδες. διδασκέσθωσαν δὲ καὶ οἰκέται, καὶ ἐκκλησία λοιπὸν γινέσθω οἰκία, ἵνα φυγαδεύηται μὲν ὁ διάβολος καὶ δραπετεύῃ ὁ πονηρὸς δαίμων ἐκεῖνος, καὶ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας· ἐπαναπαύηται δὲ αὐτόθι ἡ τοῦ ἁγίου πνεύματος χάρις, καὶ πᾶσα εἰρήνη καὶ ὁμόνοια περιτειχίζηται τοὺς ἐνοικοῦντας. ἐὰν γὰρ τῶν ἤδη πρότερον ῥηθέντων μνημονεύητε, καὶ τὰ μετὰ ταῦτα καταβαλλόμενα προ-
B θυμότερον δέξησθε, καὶ ἡμεῖς μετὰ πλείονος τῆς δαψιλείας ἐροῦμεν τὰ ὑπὸ τῆς τοῦ θεοῦ χάριτος χορηγούμενα, ἐπειδὰν ἴδωμεν τῶν ἤδη καταβληθέντων τὴν βλάστην. ἐπεὶ καὶ γηπόνος ὅταν ἴδῃ τὰ σπέρματα φυόμενα μετὰ πολλῆς τῆς προθυμίας περισκοπῶν τὰς ἀρούρας, ἑτοίμως καὶ ἕτερα καταβάλλειν ἐπείγεται. ἵν' οὖν προθυμοτέρους ἡμᾶς ἐργάσησθε, τῶν ἤδη ῥηθέντων ἀσφαλῆ τὴν φυλακὴν ἐπιδείξασθε, καὶ μετὰ τῶν ὀρθῶν δογμάτων περὶ τοῦ βίου ἐπιμέλειαν πολλὴν ποιήσασθε τὴν σπουδήν. λαμψάτω
C γάρ φησι τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς, ἵνα καὶ ὁ βίος συμφωνῇ τοῖς δόγμασι, καὶ τὰ δόγματα κηρύττῃ τὸν βίον. πίστις γὰρ χωρὶς ἔργων νεκρά ἐστι. κἂν γὰρ δόγματα ἔχωμεν ὑγιῆ, βίου δὲ ἀμελῶμεν, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῶν δογμάτων· πάλιν ἂν βίου μὲν ἐπιμελώμεθα, περὶ τὰ δόγματα δὲ χωλεύωμεν, οὐδὲ οὕτως ἔσται τι κέρδος ἡμῖν. διὸ προσήκει ἑκατέρωθεν ἡμῖν τὴν οἰκοδομὴν ταύτην τὴν πνευματικὴν συνεσφίγχθαι·
D πᾶς γάρ φησιν ἀκούων μου τοὺς λόγους τούτους καὶ ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ. ὁρᾷ πῶς οὐ μόνον ἀκούειν ἡμᾶς βούλεται, ἀλλὰ καὶ ποιεῖν, καὶ διὰ τῶν ἔργων ἐπιδείκνυσθαι τὴν ὑπακοήν, καὶ τοῦτον φρόνιμον ἐκάλεσε τὸν τὰ ἔργα τοῖς λόγοις ἀκόλουθα ἐπιδεικνύμενον· τὸν δὲ μέχρι τῶν λόγων ἱστάμενον, μωρὸν ὠνόμασεν, εἰκότως. ὁ γὰρ τοιοῦτος φησὶν ἐπὶ τὴν ἄμμον τὴν οἰκίαν αὐτοῦ ᾠκοδόμησε. διὸ οὐδὲ τὴν προσβολὴν τῶν ἀνέμων ἐνεγκεῖν ἠδυνήθη, ἀλλὰ ταχέως κατέπεσε. τοιαῦται γὰρ αἱ ῥάθυμοι ψυχαί, καὶ μὴ ἐπὶ τῆς πέτρας τῆς πνευματικῆς ἐστηριγμέναι.

οὐ γὰρ περὶ οἰκοδομῆς νῦν ὁ λόγος καὶ οἰκίας ἀλλὰ περὶ ψυχῶν ἐστὶ τὸ εἰρημένον τῶν καὶ ἀπὸ τοῦ τυχόντος πειρασμοῦ σάλον ὑπομενουσῶν. τῷ γὰρ ὀνόματι τοῦ ἀνέμου καὶ τῆς βροχῆς καὶ τῶν ποταμῶν τῶν πειρασμῶν ἡμῖν τὴν ἐπαγωγὴν ἠνίξατο. ὁ γὰρ στερρὸς καὶ ἐγρηγορὼς καὶ νήφων ταύτῃ μᾶλλον ἰσχυρότερος γίνεται. καὶ ὅσῳ τὰ τῆς θλίψεως ἐπιτείνεται, τοσούτῳ τὰ τῆς ἀνδρείας αὔξεται· ὁ δὲ ῥᾴθυμος καὶ ἀναπεπτωκὼς κἂν βραχεῖά τις αὔρα πειρασμοῦ προσαντήσῃ, εὐθέως θολοῦται καὶ καταπίπτει, οὐ παρὰ τὴν τῶν πειρασμῶν φύσιν, ἀλλὰ παρὰ τὴν τῆς προαιρέσεως ἀσθένειαν. διὸ χρὴ νήφειν καὶ ἐγρηγορέναι, καὶ πρὸς πάντας παρεσκευασμένους εἶναι, ἵνα καὶ ἐν τῇ ἀνέσει συγκεκροτημένοι ὦμεν, καὶ ἐν ταῖς ἐπαγομέναις θλίψεσι νήφωμεν, καὶ πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδειξώμεθα διηνεκῶς τὴν εὐχαριστίαν ἀναπέμποντες τῷ φιλανθρώπῳ θεῷ. ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, πολλῆς ἀπολαυσόμεθα τῆς ἄνωθεν ῥοπῆς, καὶ οὕτω δυνησόμεθα καὶ τὸν παρόντα βίον ἀσφαλῶς διαπερᾶν καὶ πρὸς τὴν μέλλουσαν ζωὴν πολλὴν ἑαυτοῖς προαποτίθεσθαι τὴν παρρησίαν. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A Non enim de ædificio, & de domo nunc eſt ſermo: ſed de anima, quæ à tentatione quauis turbatur. Nam venti, pluuiæ, & fluuiorum nominibus tentationes nobis inſinuantur. Cæterum conſtans, & vigil, & ſobrius hac ratione magis firmus euadit: & quantò maiores intentantur afflictiones, tantò eius virilitas & fortitudo magis augentur. Deſes autem & ſupinus, ſi vel tenuis quædam tentationum aura afflarit, ſtatim commouetur, & animo concidit, non ob naturam tentationum, ſed ob voluntatis infirmitatem. Quocirca oportet B ſobrios eſſe, & vigiles, & ad omnia præparatos: vt & in proſperitate modeſti ac non effuſi, & in afflictionibus quæ nobis infliguntur, ſobrij & prudentes, perpetuas gratias referamus miſericordi Deo. Si ſic res noſtras inſtituerimus, multum gratiæ diuinæ aſſequemur: poterimúſque & præſentem vitam ſecurè tranſmittere, & in futuram vitam magnæ fiduciæ opes reponere. Quam nobis omnibus aſſequi contingat, gratia & miſericordia domini noſtri Ieſu C Chriſti, cum quo patri ſimul & ſancto Spiritui gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Ὁμιλία γ.

Εἰς τὰ ὑπόλοιπα τοῦ ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἕως τοῦ καὶ ἐγένετο πρωῒ ἡμέρα μία.

Θησαυρῷ τινι προσέοικεν ἡ τῶν θείων γραφῶν ἀνάγνωσις. καθάπερ γὰρ ἐκεῖθέν τις κἂν μικρὸν ψῆγμα λαβεῖν δυνηθείη, πολὺν ἑαυτῷ πλοῦτον ἐργάζεται· οὕτω δὴ καὶ ἐπὶ τῆς θείας γραφῆς καὶ ἐν βραχείᾳ λέξει πολλήν ἐστιν εὑρεῖν τῶν νοημάτων τὴν δύναμιν καὶ ἄφατον τὸν πλοῦτον. καὶ οὐ θησαυρὸν μόνον, ἀλλὰ καὶ πηγὴν μιμεῖται τὰ θεῖα λόγια δαψιλῆ τὰ νάματα ἀναβλύζουσαν, καὶ πολλὴν ἔχουσαν τὴν ἐπιρροήν, καὶ τοῦτο δι' αὐτῶν τῶν ἔργων χθὲς ἅπαντες μεμαθήκαμεν. τῶν γὰρ προοιμίων ἀρξάμενοι τοῦ τῆς κτίσεως βιβλίου εἰς τό, Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς

HOMILIA III.

De ijs quæ ſequuntur hæc verba, In principio fecit Deus cælum & terram, vſque, Et factum eſt veſperum, & factum eſt mane dies vnus. Gen.1.1.

MERITO theſauro cuipiam confertur diuinarum D ſcripturarũ lectio. Nam ſicut ex illo quiſquis vel paruum fructum capere valet, multas ſibi parat diuitias: ita & in ſacra ſcriptura, etiam in breui dictione variam ſententiarum vim, & immenſas diuitias inuenire licet. Et non ſolum theſauro ſimilia ſunt diuina eloquia, ſed fonti quoque, largis perennibúſque ſcaturienti fluentis: id quod re ipſa heri omnes didicimus. Nam vt procemia libri Geneſeos incepimus, explanando hoc dictum: In principio fecit Deus

cœlum & terram, totum tradendæ doctrinæ deſtinatum tempus inſumpſimus, & neque ſic totum expedire valuimus. Magna enim eſt huius theſauri abundantia, & larga fontis huius ſpiritualis vbertas. Nec mireris cariſſime, ſi nobis hoc accidat: etiam qui ante nos fuere, pro viribus ſuis aquas inde hauſerunt: & ſimiliter qui poſt nos futuri ſunt, idem attentabunt, neque ſic totum euacuare poterunt: ſed magis interim augeſcunt flumina, & increſcunt. Hæc enim ſpiritualium fluminum natura eſt, vt hoc magis ſcaturiant, & accreſcat ſpiritualis gratia, quò quis magis inde haurire ſtudet. Propter hoc & Chriſtus dicebat: Si quis ſitit, veniat ad me, & bibat. Qui credit in me, ſicut dixit ſcriptura, flumina de ventre eius fluent aquæ viuentis: quibus verbis horum fluminum dapſilitatem nobis indicat. Quoniam igitur ſpiritualium fluminum natura talis eſt, age afferamus omnes multa mentis noſtræ vaſa, vt impletis illis domum redeamus. Nam quando videt gratia ſpiritus feruens deſiderium, & vigilem mentem: tunc & gratiam ſuam opulentam liberalius largitur. Abducamus igitur nos ab omnibus huius vitæ curis, & reſectis his, quæ cogitationes noſtras velut ſpinæ ſuffocant, ad ſpiritualia deſideria mentem noſtram totam transferamus, vt magno inde lucro facto, & vtilitate percepta, domum redire liceat. Cæterum vt vobis manifeſtior fiat ſermo, pauca quædam ex heſternis dictis in memoriam charitati veſtræ referemus, vt ſic his quæ heri dicta, hæc quæ nunc dicenda, quaſi in vnum corpus coniungamus. Oſtendimus enim heri, vt meminiſtis, quomodo beatus Moſes enarrans nobis horum viſibilium elementorum creationem & opificium, dixerit: In principio fecit Deus cœlum & terram. Terra autem erat inuiſibilis & inculta: & docui quidem vos cauſam, quare Deus terram informem, & nullis figuris expolitam creauerit: quæ opinor, omnia mente tenetis: neceſſarium eſt igitur nos ad ea quæ ſequuntur, progredi hodie. Nam poſtquam dixit: Terra autem erat inuiſibilis ac inculta, nos accuratè docet,

Spiritualia flumina inexhauſta.

Ioan. 7.
2. Paral. 16.

A τὸν οὐρανὸν καὶ τὴν γῆν, πᾶσαν τὴν διδασκαλίαν ἐτελέσαμεν, καὶ οὐδὲ οὕτως τὸ πᾶν καταβαλεῖν ἐξισχύσαμεν. πολλὴ γάρ ἐστι τοῦ θησαυροῦ ἡ περιουσία, καὶ τῶν ναμάτων τῆς πηγῆς ταύτης τῆς πνευματικῆς ἡ δαψίλεια. καὶ μὴ θαυμάσῃς, εἰ ἡμεῖς τοῦτο πεπόνθαμεν, καὶ οἱ πρὸ ἡμῶν κατὰ δύναμιν τὴν ἑαυτῶν τὰ ἐντεῦθεν νάματα ἐξήντλησαν, καὶ οἱ μεθ' ἡμᾶς πάλιν τοῦτο ποιῆσαι ἐπιχειρήσουσι, καὶ οὐδὲ οὕτω κενῶσαι δυνήσονται τὸ πᾶν· ἀλλ' αὔξεται τὰ τῆς ἐπιρροῆς, καὶ ἐπιδίδωσι τὰ νάματα. τοιαύτη γὰρ τῶν ναμάτων τῶν πνευματικῶν ἡ φύσις. ὅσῳ ἄν τις μετὰ δαψιλείας B τὰ ἐντεῦθεν ἀρύσασθαι βουληθῇ νάματα, τοσούτῳ μᾶλλον ἀναβλύζει, καὶ ἐπιδίδωσιν ἡ χάρις ἡ πνευματική. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος, τὸ δαψιλὲς τῶν ναμάτων ἡμῖν ἐμφαίνων. ἐπεὶ οὖν τοιαύτη τῶν ναμάτων τῶν πνευματικῶν ἡ φύσις, φέρε ἕκαστος ἡμῶν τὰ ἀγγεῖα τῆς διανοίας μετὰ δαψιλείας προσενέγκωμεν, ἵνα πληρώσαντες αὐτὰ, οὕτως ἐπανέλθωμεν. ὅταν γὰρ ἴδῃ ἡ τοῦ πνεύματος χάρις πόθον C ζέοντα, καὶ διεγηγερμένην διάνοιαν, πλουσίαν τὴν παρ' ἑαυτῆς δωρεῖται χάριν. ἀποστήσαντες τοίνυν ἑαυτοὺς πάντων τῶν βιωτικῶν, καὶ τὰς φροντίδας τὰς ἀκανθῶν δίκην συμπνίγειν δυναμένας τὸν ἡμέτερον λογισμὸν ἐξελόντες ὅλην ἑαυτῶν τὴν διάνοιαν μεταστήσωμεν εἰς τὴν τῶν πνευματικῶν ἐπιθυμίαν· ἵνα πολλὴν ἐντεῦθεν δεξάμενοι τὴν ὠφέλειαν, καὶ κερδάναντές τι μέγα καὶ γενναῖον οὕτως ἐξέλθωμεν. ἀλλ' ἵνα σαφέστερος ὑμῖν ὁ λόγος γένηται, μικρὰ τῶν χθὲς εἰρημένων ὑπομνήσωμεν τὴν ὑμετέραν ἀγάπην· ἵν' οὕτω καθάπερ σῶμα ἓν καὶ τὰ σήμερον μέλλοντα ῥηθήσεσθαι συνάψωμεν D τοῖς χθὲς εἰρημένοις. ἐδείκνυμεν γὰρ χθὲς, καθάπερ μέμνησθε, πῶς ὁ μακάριος Μωϋσῆς διηγούμενος ἡμῖν τῶν στοιχείων τούτων τῶν ὁρωμένων τὴν δημιουργίαν ἔλεγεν, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος, καὶ ἀκατασκεύαστος· καὶ ἐδίδασκε μὲν ὑμᾶς τὴν αἰτίαν τίνος ἕνεκεν καὶ διὰ τί οὕτω τὴν γῆν παρήγαγεν ἀμόρφωτον καὶ ἀδιατύπωτον, καὶ οἶμαι ὑμᾶς ἅπαντα μετὰ ἀκριβείας κατέχειν· ἀναγκαῖον οὖν σήμερον τοῖς ἀκολούθως εἰρημένοις ἐπεξελθεῖν. ἐπειδὴ γὰρ εἶπεν ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκα-

A κατασκεύαστος, διδάσκει ἡμᾶς ἀκριβῶς, πόθεν ἦν ἀόρατος καὶ ἀκατασκεύαστος φάσκων, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. σκόπει μοι ἐνταῦθα τοῦ μακαρίου προφήτου τὸ ἀπέριττον, καὶ ὅπως οὐ πάντα κατὰ μέρος διηγεῖται τὰ δημιουργηθέντα, ἀλλὰ τὰ συνεκτικώτατα τῶν στοιχείων ἡμᾶς διδάξας, καὶ οὐρανοῦ καὶ γῆς μνημονεύσας τὰ ἄλλα παραλιμπάνει. οὐδαμοῦ γὰρ εἰπὼν τῶν ὑδάτων τὴν δημιουργίαν φησί· καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. τοῦτο γὰρ ἦν τὸ καλύπτον τῆς γῆς τὸ
B πρόσωπον, τὸ σκότος λέγω, καὶ ἡ ἄβυσσος τῶν ὑδάτων. ἐμάθομεν ἐντεῦθεν, ὅτι ἅπαν τὸ ὁρώμενον ἄβυσσος ἦν ὑδάτων σκότῳ κεκαλυμμένη, καὶ ἐδεῖτο τοῦ σοφοῦ δημιουργοῦ, ὥστε πᾶσαν ταύτην τὴν ἀμορφίαν ἐξελεῖν, καὶ εἰς εὐκοσμίαν τινὰ πάντα ἀγαγεῖν. καὶ σκότος φησὶν ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. τί βούλεται τοῦτο τὸ εἰρημένον; πνεῦμά φησι θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. ἐμοὶ δοκεῖ τοῦτο σημαίνειν, ὅτι ἐνέργειά τις ζωτικὴ προσῆν τοῖς ὕδασι, καὶ οὐκ ἦν ἁπλῶς ὕδωρ ἑστὼς, καὶ
C ἀκίνητον, ἀλλὰ κινούμενον, καὶ ζωτικήν τινα δύναμιν ἔχον. τὸ γὰρ ἀκίνητον πάντη ἄχρηστον· τὸ δὲ κινούμενον, πρὸς πολλὰ ἐπιτήδειον. ἵν' οὖν διδάξῃ ἡμᾶς, ὅτι τὸ ὕδωρ τοῦτο τὸ πολὺ καὶ ἀμήχανόν τινα δύναμιν εἶχε ζωτικὴν, διὰ τοῦτό φησι· καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. τοῦτο δὲ οὐχ ἁπλῶς προσλαβοῦσα λέγει ἡ θεία γραφή. ἀλλ' ἐπειδὴ προϊοῦσα μέλλει διηγεῖσθαι ἡμῖν, ὅτι καὶ ζῶα ἐκ τούτων τῶν ὑδάτων κατὰ πρόσταγμα τοῦ τῶν ἁπάντων δημιουργοῦ παρήχθη. διὰ τοῦτο ἐντεῦθεν ἤδη διδάσκει τὸν ἀκροατὴν, ὅτι οὐχ ἁπλῶς ὕδωρ ἦν συνεστὼς, ἀλλὰ κινούμενον, καὶ διατρέ-
D χον, καὶ κατὰ πάντα ἐπιβλύζον. ἐπεὶ οὖν πολλὴ κατεκέχυτο πάντος τοῦ ὁρωμένου ἡ ἀμορφία, προσέταξεν ὁ ἀριστοτέχνης θεὸς καὶ τὰ τῆς ἀμορφίας διεσκεδάσθη, καὶ τὸ κάλλος τοῦτο τὸ ἀμήχανον τοῦ φωτὸς τοῦ ὁρωμένου παραχθὲν τότε σκότος ἀπήλασε τὸ αἰσθητὸν, καὶ τὰ πάντα κατηύγασε. καὶ εἶπε φησὶν ὁ θεὸς, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. εἶπε, καὶ ἐγένετο, ἐκέλευσε, καὶ τὸ μὲν σκότος ἐφυγαδεύθη, τὸ δὲ φῶς παρήχθη. εἶδες δύναμιν ἄφατον; ἀλλ' οἱ τῇ πλάνῃ προκατειλημμένοι οὐ προσέχοντες τῇ ἀκολουθίᾳ τῶν εἰρημένων,

vnde inuiſibilis eſſet & inculta dicens: *2. Et tenebræ erant ſuper abyſſum, & ſpiritus Dei ſuperferebatur ſuper aquam.* Vide hîc, quã nihil ſuperflui admiſceat beatus propheta, & quomodo non omnia particulatim narret, quæ facta ſunt: ſed vt docuit nos de cœlo & terra, quæ plurima in ſe continent elementa, prætermittit alia. Nam quum de aquarum opificio nihil dixiſſet, ait: Et tenebræ erant ſuper abyſſum, & ſpiritus Dei ſuperferebatur ſuper aquam. Hęc enim tegebant faciem terræ, de tenebris loquor, & abyſſo aquarum. Didicimus hinc, quòd omne quod videbatur, erat abyſſus aquarum, tenebris velata: & opus habebat ſapiente opifice, qui omnem hanc informitatem diſcutere, & ornatum aliquem in omnia poſſet inducere. Et tenebræ, inquit, ſuper abyſſum, & ſpiritus Dei ſuperferebatur ſuper aquã. Quid ſibi vult quod dicit, Et ſpiritus Dei ſuperferebatur ſuper aquam? Mihi videtur hoc ſignificare, quòd affuerit efficax quædam & vitalis operatio aquis, & non fuerit ſimpliciter aqua ſtãs & immobilis: ſed mobilis, & vitalem quandam vim habens. Nam quod immobile, omnino inutile eſt: quòd vero mouetur, ad multa conducit. Vt igitur doceret nos beatus ille propheta aquam illam magnam & ineffabilem habere vim quãdam vitalem, dicit: Et ſpiritus Dei ſuperferebatur ſuper aquam. Idque non abſq; ratione ſcriptura diuina præueniendo dicit, eò quòd poſtea dictura eſt nobis, quòd animalia ex aquis iſtis iuxta præceptum Dei omnium conditoris producta ſint: propterea auditorem hîc nunc docet: quòd non ſimpliciter aqua illa ſit cõdita: ſed ita vt moueatur, & diſcurrat, & omnia alluat. Igitur poſtquam diffuſa fuit magna vniuerſi viſibilis informitas, præceptòq; ſuo Deus, optimus ille artifex, & deformitatem illam depulit, & immenſam lucis viſibilis pulchritudinem produxit: tunc tenebras fugauit ſenſibiles, illuſtratáq; ſunt omnia. *3. Et dixit,* inquit, *Deus fiat lux: & facta eſt lux.* Dixit, & facta eſt: mandauit, & tenebræ quidẽ fugatæ ſunt, lux autẽ producta. Vides ineffabiles potentiã? Verum qui errore præuenti ſunt, non attendentes in doctorum conſequentiam, neq; audientes beatum Moſem, dicentem:

In principio fecit Deus cœlum & terram: & mox ſubdentem: Terra autem erat inuiſibilis ac inculta, eò quòd tenebris & aquis eſſet obtecta (ſic enim viſum fuit Domino ab initio eam producere) dicunt, quòd antea fuerit materia, & prius fuerint tenebræ. Quid hac amentia peius? Audis, quòd in principio fecerit Deus cœlum & terram, & quòd ex nihilo quæ ſunt, facta ſint: & dicis quòd prius fuerit materia? Quis eorum qui mentem habent, tantam ferret inſaniam? Nunquid homo eſt conditor, vt opus habeat ſubiecto aliquo ad demonſtrandam ſuam artem? Deus eſt cui omnia cedunt, qui verbo & præcepto ſuo omnia condidit. Attende enim, dicit ſolum, & producta eſt lux, & abſceſſerunt tenebræ. 4. *Et diſtinxit Deus inter lucem & inter tenebras.* Quid eſt, diſtinxit? vnicuique locum proprium diſtribuit, congruúmque tempus definiuit. Et poſtquam hoc factum, tunc ſuum cuique vocabulum indidit. *Vocauit enim*, inquit, *Deus, lucem diem: & tenebras vocauit noctem*. Vidiſti optimam diſtinctionem, & admirabile opificium: quomodo id quod omnem rationem tranſcendit, vno ſermone & præceptum & factum eſt? Vidiſti quantum ſe noſtrorum ingeniorum paruitati attemperauerit beatus ille propheta, imò benignus Deus per prophetę linguam erudiendo omne hominum genus: vt videat eorum quę facta ſunt ordinem, & quis vniuerſi opifex, & quomodo vnumquodque produxit? Quoniam enim adhuc imperfectius erat humanum genus, quàm vt perfectiora capere poſſet: propterea pro auditorum imbecillitate, prophetæ linguam ſanctus mouebat Spiritus, inque hunc modum nobis omnia ediſſerebat. Et vt diſcas, quòd propter mentis noſtræ imperfectionem hoc enarrationis
Marc.13. attemperamento fuerit vſus: vide quòd tonitrui filius cùm iam profeciſſet ad virtutem hominum genus, non iam hac via ingreditur, ſed in ſublimiorem eruditionem auditorem
Ioan.1. ſubducit. Nam vt dixit: In principio erat verbum, & verbum erat apud Deum, & Deus erat verbum: mox ſubiicit: Erat lux vera, quæ illuminat omnem hominem venientem in mũdum.

A οὐδὲ ἀκούοντες τοῦ μακαρίου Μωυσέως λέγοντος· Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τότε ἐπάγοντος· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, διὰ τὸ σκότῳ καὶ τοῖς ὕδασι κεκαλύφθαι· οὕτω γὰρ ἔδοξε τῷ δεσπότῃ ἐξ ἀρχῆς αὐτὴν παραγαγεῖν· φασὶν ὅτι προϋπέκειτο ἡ ὕλη, καὶ τὸ σκότος προϋπῆρχε. τί ταύτης τῆς ἀνοίας χεῖρον γένοιτ᾽ ἄν; ἀκούεις ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο τὰ ὄντα, καὶ λέγεις ὅτι προϋπῆρχεν ἡ ὕλη; καὶ τίς ἀνάσχοιτο τοσαύτης παροινίας τῶν νοῦν ἐχόντων; μὴ γὰρ
B ἄνθρωπός ἐστιν ὁ δημιουργῶν, ἵνα δεηθῇ τινὸς ὑποκειμένου, καὶ οὕτω τὰ τῆς τέχνης ἐπιδείξηται; θεός ἐστιν, ᾧ πάντα εἴκει, λόγῳ καὶ προστάγματι δημιουργῶν. ὅρα γάρ, εἶπε μόνον, καὶ παρήχθη τὸ φῶς, καὶ παρεχώρησε τὸ σκότος, καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτός, καὶ ἀνὰ μέσον τοῦ σκότους. τί ἐστι διεχώρισεν; ἑκάστῳ ἰδίαν χώραν ἀπένειμε, κατάλληλον καιρὸν ἀφώρισε. καὶ ἐπειδὴ τοῦτο γέγονε, τότε λοιπὸν ἑκάστῳ τὴν ἁρμόζουσαν προσηγορίαν ἐπιτίθησιν. ἐκάλεσε γάρ φησιν ὁ θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ
C σκότος ἐκάλεσε νύκτα. εἶδες διαίρεσιν ἀρίστην, καὶ δημιουργίαν θαυμαστήν, καὶ πάντα λόγον ὑπερβαίνουσαν, λόγῳ μόνῳ καὶ ἐπιτάγματι γινομένην; εἶδες πόσῃ τῇ συγκαταβάσει ὁ μακάριος οὗτος προφήτης ἐχρήσατο; μᾶλλον δὲ ὁ φιλάνθρωπος θεὸς διὰ τῆς τοῦ προφήτου γλώττης παιδεύων τὸ τῶν ἀνθρώπων γένος, εἰδέναι τὴν τῶν γινομένων τάξιν, καὶ τίς ὁ τοῦ παντὸς δημιουργός, καὶ ὅπως ἕκαστον παρήχθη, ἐπειδὴ γὰρ ἀτελέστερον διέκειτο τὸ τῶν ἀνθρώπων γένος, καὶ οὐκ ἠδύνατο τὴν τῶν τελειοτέρων συνιέναι τὴν κατανόησιν, διὰ τοῦτο πρὸς τὴν τῶν ἀκουόντων ἀσθένειαν τὸ πνεῦμα τὸ
D ἅγιον τὴν τοῦ προφήτου γλῶτταν κινῆσαν οὕτως ἅπαντα ἡμῖν διαλέγεται. καὶ ἵνα μάθῃς, ὅτι διὰ τὸ ἀτελὲς τῆς ἡμετέρας διανοίας ταύτῃ ἐχρήσατο τῇ συγκαταβάσει τῆς διηγήσεως, ὅρα τὸν τῆς βροντῆς υἱόν, ὅτε πρὸς ἀρετὴν ἐπέδωκε τὸ τῶν ἀνθρώπων γένος οὐκέτι ταύτην ἐρχόμενον τὴν ὁδόν, ἀλλ᾽ ἐπὶ τὴν ὑψηλοτέραν διδασκαλίαν ἄγοντα τοὺς ἀκροωμένους. εἰπὼν γάρ, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος, ἐπήγαγεν· ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν

κόσμον. καθάπερ γὰρ ἐνταῦθα τὸ φῶς τοῦτο αἰσθητὸν τῷ προστάγματι τοῦ δεσπότου παραχθὲν τὸ σκότος τοῦτο ὁρώμενον ἀπέκρυψεν· οὕτω καὶ τὸ νοητὸν φῶς τῆς πλάνης τὸ σκότος ἀπήλασε, καὶ πρὸς τὴν ἀλήθειαν τοὺς πλανωμένους ἐχειραγώγησε. δεξώμεθα οὖν μετὰ πολλῆς τῆς εὐγνωμοσύνης τὰ παρὰ τῆς θείας γραφῆς διδάγματα, καὶ μὴ ἀντιβλέπωμεν τῇ ἀληθείᾳ, μηδὲ τῷ σκότει παραμένωμεν, ἀλλὰ πρὸς τὸ φῶς ἐπειγώμεθα, καὶ ἄξια τοῦ φωτὸς καὶ τῆς ἡμέρας διαπραττώμεθα ἔργα, καθάπερ καὶ Παῦλος παραινεῖ λέγων· ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, καὶ μὴ ἐργασώμεθα τὰ ἔργα τοῦ σκότους. καὶ ἐκάλεσε φησὶν ὁ θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. ἀλλ' ὃ μικροῦ ἡμᾶς παρέδραμεν, ἀναγκαῖον τοῦτο ἐπαναλαβεῖν πάλιν. ἐπειδὴ γὰρ εἶπε, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς, ἐπήγαγε· καὶ εἶδεν ὁ θεὸς τὸ φῶς, ὅτι καλόν. θέα μοι ἀγαπητὲ ἐνταῦθα, πόση ἡ συγκατάβασις τῶν ῥημάτων; τί οὖν, πρὶν ἢ γενέσθαι οὐκ ᾔδει, ὅτι καλόν, ἀλλὰ μετὰ τὸ παραχθῆναι ἡ ὄψις ἔδειξε τῷ δημιουργῷ τὸ κάλλος τοῦ παραχθέντος, καὶ τίς ἂν εἴποι τοῦτο τῶν νοῦν ἐχόντων; εἰ γὰρ ἄνθρωπος τέχνῃ τινὶ ἐργαζόμενος, καὶ πρὶν ἢ κατασκευάσῃ τὸ ὑπ' αὐτοῦ δημιουργούμενον, καὶ πρὶν ἢ μορφώσῃ, οἶδε τὴν χρείαν, εἰς ἣν συντελεῖ τὸ ὑπ' αὐτοῦ γινόμενον, πολλῷ μᾶλλον ὁ τῶν ἁπάντων δημιουργὸς, ὁ λόγῳ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν ᾔδει καὶ πρὸ τοῦ δημιουργηθῆναι τὸ φῶς, ὅτι καλόν. τίνος οὖν ἕνεκεν ταύτῃ τῇ λέξει ἐχρήσατο; πρὸς τὴν συνήθειαν τὴν ἀνθρωπίνην συγκαταβαίνων ἅπαντα φθέγγεται ὁ μακάριος οὗτος προφήτης, καὶ καθάπερ οἱ ἄνθρωποι ἐπειδάν τι μετὰ πολλῆς τῆς ἐπιμελείας ἐργάσωνται, καὶ τέλος ἐπιθῶσι τοῖς οἰκείοις καμάτοις, τότε ἐκ τῆς δοκιμασίας καὶ τὸν ἔπαινον προσάγουσι τοῖς ὑπ' αὐτῶν γινομένοις· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ θεία γραφὴ νῦν συγκατιοῦσα τῇ ἀσθενείᾳ τῆς ἀκοῆς τῆς ἡμετέρας φησί· καὶ εἶδεν ὁ θεὸς τὸ φῶς, ὅτι καλόν, καὶ τότε ἐπήγαγε· καὶ διεχώρισεν ὁ θεὸς ἀναμέσον τοῦ φωτὸς, καὶ ἀναμέσον τοῦ σκότους, καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα, καὶ ἰδίαν τινὰ χώραν ἀπένειμεν ἑκάστῳ, ὅρους τινὰς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἑκάστῳ πηγνὺς, ὥστε εἰς τὸ διηνεκὲς τούτοις ἀπαραποδίστους διαφυλάττειν.

A Nam quemadmodũ hoc loco lux iſta ſenſibilis præcepto Domini producta, tenebras illas viſibiles abſcondit: ſic & lux mentalis tenebras errorum effugauit, & ad veritatem errabundos manuduxit. Suſcipiamus ergo magna gratitudine à diuinis ſcripturis documenta, & ne aduerſemur veritati, neque in tenebris maneamus: ſed ad lucem properemus, operemúrque digna luce & die: ſicut & Paulus admonet dicens: Sic vt in die honeſtè Rom. 13.
ambulemus, & ne operemur opera 13.
tenebrarum. Et vocauit, inquit, Deus
B lucem diem, & tenebras vocauit noctem. Sed quod fermè nos præterierat, neceſſarium fuerit iterum repetere. Nam poſtquam dixerat, fiat lux, & facta eſt lux: ſubiungit: Et vidit Deus lucem, quòd bona eſſet. Vide quæſo hîc dilecte, quanta verborum condeſcenſio. Quid ait? Num priuſquam fieret lux, neſciebat quòd bona: ſed poſtquam producta fuit, oculus primum oſtendit opifici pulchritudinem & bonitatem productæ? Et quis, cui cor eſt, tale quiddam diceret? Nam ſi homo qui aliquid per
C artem operatur, priuſquam fabricet, quod vult facere, & priuſquam formet, ſcit vſum eius quod elaborare ſtatuit: quantò magis omnium opifex, qui verbo omnia ex nihilo vt eſſent produxit, ſciebat antequam lucem faceret, quòd eſſet bona? Quare ergo hac dictione vſus eſt? Demittit ſe, & iuxta humanam conſuetudinem hæc omnia loquitur beatus ille propheta. Et quemadmodum homines cùm magnum aliquid magno ſtudio elaborauerint, & finem laboribus ſuis impoſuerint, tunc tandem per experientiam declarant ea quæ
D fecerint, & opus laudibus extollunt: ita & diuina ſcriptura ſolet, & nunc cùm ſe ad noſtrarum aurium infirmitatem demiſit, & dixit: Et vidit Deus lucem, quòd bona eſſet, tunc ſubiecit: Et diſtinxit Deus inter lucem, & inter tenebras: & vocauit Deus lucem diem, & tenebras vocauit noctem, & ſuam cuique regionem diſtribuit. Nam ab initio cuiq; ſuos terminos præfixit, quos perpetuò abſque impedimento cuſtodiret:

id quod cuilibet, qui mediocriter ſapit, contueri licet, quomodo ex eo tempore vſque in præſens, neque lux terminos ſuos tranſgreſſa ſit, neque tenebræ ſuum ordinem præterierint confuſione & perturbatione quadam introducta. Sanè hoc vnum ingratis ſufficere deberet, vt credant & obediant his quæ à diuina ſcriptura dicta ſunt: ita vt vel elementa imitentur, quæ curſum inoffenſum perpetuò ſeruant, & menſuram ſuam non egrediuntur, ſed agnoſcunt propriam naturam. Exin poſtquam vtrique ſuum nomen dedit, vtrunque in vnum coëgit: Nam dicit, 5. *Et factum eſt veſpere, & factum eſt mane dies vnus.* Finem diei & finem noctis vnum ſignanter nominauit, vt ordinem aliquem & conſequentiam ſtatueret viſibilium, nullàque fieret confuſio. Verùm ſcire & diſcere debemus à Spiritu ſancto per linguam beati huius prophetæ, quæ primo die condita ſunt, & quæ aliis. Nam & iſtuc ipſum miſericordis Dei condeſcenſionem declarat. Neque enim inops erat omnipotens illius manus, & infinita ſapientia, vt non poſſet vno die producere omnia. Quid, inquam, vno die? & ſimplici momento poterat. Sed quandoquidem res non ob ſuam vtilitatem produxit (nullius enim rei indigus eſt, qui ſufficientiſſimus) ſed ob ſuam benignitatem & bonitatem fabricauit omnia. idcirco non ſimul, ſed ſucceſſiuè, & per partes condidit, & doctrinam nobis manifeſtam de rebus conditis per linguam beati huius prophetæ tradidit, vt hæc exactè diſcentes, non accedamus eorum ſententiæ, qui humanis rationibus mouentur. Enimuerò non deſunt, qui fortuitò res omnes factas eſſe aſſerant, quamuis hæc ita ſint facta. Quòd ſi non tanta condeſcenſione, & docendi humilitate nos dignatus eſſet: quid non fuiſſent auſi, qui aduerſus ſalutem ſuam quæque & dicere & facere ſtudent? Quid enim miſerius & inſipientius his qui talia dicere attentant, & aſſerunt res per ſe fieri, fraudántque omnem creationem diuina prouidentia? Quo pacto enim

A καὶ τοῦτο ἔξεστι συνιδεῖν ἑκάστῳ τῶν μετρίως φρονούντων, πῶς ἐξ ἐκείνου μέχρι τοῦ παρόντος οὔτε τὸ φῶς ὑπερέβη τοὺς οἰκείους ὅρους, οὔτε τὸ σκότος τὴν οἰκείαν τάξιν παρῆλθε σύγχυσίν τινα καὶ ἀταξίαν ἐργασάμενον. καὶ γὰρ ἱκανὸν καὶ τοῦτο μόνον τοῖς ἀγνωμονοῦσι βουλομένοις πρὸς τὴν πειθὼ, καὶ τὴν ὑπακοὴν τῶν παρὰ τῆς θείας γραφῆς λεγομένων ἀναγαγεῖν, ὥστε μιμήσασθαι κἂν τῶν στοιχείων τὴν τάξιν τῶν ἀπαραπόδιστον τηρούντων τὸν δρόμον, καὶ μὴ ὑπερβαινόντων τὰ οἰκεῖα μέτρα, ἀλλ' ἐπιγινωσκόντων τὴν οἰκείαν φύσιν. εἶτα ἐπειδὴ ἑκά-
B στῳ τὴν προσηγορίαν ἐπέθηκεν, ἀμφότερα εἰς τὸ αὐτὸ συναγαγών φησι· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα μία, τὸ τέλος τῆς ἡμέρας, καὶ τὸ τέλος τῆς νυκτὸς μίαν ἐμφαίνων ὀνόμασεν· ἵνα τάξιν τινὰ καὶ ἀκολουθίαν ἐπιστήσῃ τοῖς ὁρωμένοις, καὶ μηδεμία σύγχυσις ᾖ, ἀλλ' εἰδέναι ἔχωμεν διδασκόμενοι παρὰ τοῦ πνεύματος τοῦ ἁγίου διὰ τῆς τοῦ μακαρίου τούτου προφήτου γλώττης, τίνα μὲν κατὰ τὴν πρώτην ἐδημιουργήθη ἡμέραν, τίνα δὲ ἐν ταῖς ἄλλαις. καὶ τοῦτο δὲ αὐτὸ τῆς τοῦ φι-
C λανθρώπου θεοῦ ἐστι συγκαταβάσεως. οὐ γὰρ ἠπόρει ἡ παντοδύναμος αὐτοῦ χεὶρ, καὶ ἡ ἄπειρος σοφία καὶ ἐν μιᾷ ἡμέρᾳ πάντα παραγαγεῖν. τί δὲ λέγω ἐν μιᾷ ἡμέρᾳ; καὶ ἐν ἀκαριαίᾳ ῥοπῇ. ἀλλ' ἐπειδὴ οὐ διὰ τὴν ἑαυτοῦ χρείαν παρήγαγέ τι τῶν ὄντων· οὐδενὸς γὰρ δεῖται ἀνενδεὴς ὤν· ἀλλὰ φιλανθρωπίᾳ τινὶ καὶ ἀγαθότητι τὰ πάντα ἐτεκτήνατο, διὰ τοῦτο κατὰ μέρος δημιουργεῖ καὶ διδασκαλίαν ἡμῖν σαφῆ τῶν γινομένων παραδίδωσι διὰ τοῦ μακαρίου προφήτου γλώττης· ἵνα μαθόντες ἀκρι-
D βῶς μὴ προσπταίωμεν τοῖς ἐξ ἀνθρωπίνων λογισμῶν κινουμένοις. εἰ γὰρ καὶ τούτων οὕτω γεγενημένων εἰσί τινες οἱ αὐτόματα λέγοντες γεγενῆσθαι πάντα τὰ ὄντα· εἰ μὴ τοσαύτῃ ἐχρήσατο τῇ συγκαταβάσει καὶ διδασκαλίᾳ, τί οὐκ ἂν ἐτόλμησαν οἱ κατὰ τῆς ἑαυτῶν σωτηρίας ἅπαντα καὶ λέγειν καὶ πράττειν σπουδάζοντες; τί γὰρ ἂν εἴη ἀθλιώτερον καὶ ἀνοητότερον τῶν ταῦτα λέγειν ἐπιχειρούντων, καὶ αὐτόματα φασκόντων γεγενῆσθαι τὰ ὄντα, καὶ τῆς τοῦ θεοῦ προνοίας ἀποστερούντων τὴν πᾶσαν δημιουργίαν; πῶς γὰρ ἂν

ἔχοι λόγον εἰπέ μοι τὰ τοσαῦτα στοιχεῖα, καὶ τὴν τοσαύτην διακόσμησιν ἄνευ τινὸς τοῦ κυβερνῶντος καὶ τὰ πάντα κρατοῦντος ἡνιοχεῖσθαι; καὶ ναῦς μὲν οὐκ ἄν ποτε δυνηθείη κυβερνήτου χωρὶς ταύτης θαλάττης κύματα διαδραμεῖν, οὐδὲ στρατιώτης ἐργάζεσθαί τι γενναῖον μὴ τοῦ στρατηγοῦντος ἐφεστῶτος, οὐδὲ οἰκία συνεστάναι μὴ τοῦ ταύτην οἰκονομοῦντος παρόντος· ὁ δὲ ἄπειρος οὗτος κόσμος, καὶ ἡ τῶν στοιχείων τούτων διακόσμησις ἁπλῶς, καὶ ὡς ἔτυχε φέρεσθαι ἠδύνατο μή τινος ὄντος τοῦ ἡνιοχεῖν τὰ πάντα δυναμένου, καὶ κατὰ τὴν οἰκείαν σοφίαν συνέχοντος καὶ διαβαστάζοντος ἅπαντα τὰ ὁρώμενα; ἀλλὰ τί περαιτέρω φιλονεικοῦμεν ταῦτα δεικνύειν ἐκείνοις, ἃ κατὰ τὴν παροιμίαν καὶ τυφλοῖς δῆλα καθέστηκεν, ὅμως μὴ διαλιμπάνωμεν προστιθέντες αὐτοῖς τὰ ἀπὸ τῆς γραφῆς διδάγματα, καὶ πᾶσαν ποιούμενοι σπουδὴν, ὥστε καὶ τῆς πλάνης αὐτοὺς ἀπαλλάξαι, καὶ πρὸς τὴν ἀλήθειαν ἐπαναγαγεῖν. εἰ γὰρ καὶ ἔτι τῇ πλάνῃ εἰσὶ προκατειλημμένοι, ἀλλ' ὅμως ὁμογενεῖς τυγχάνουσι, καὶ προσήκει πολλὴν αὐτῶν ποιεῖσθαι τὴν πρόνοιαν, καὶ μηδέποτε ναρκᾷν, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας τὰ παρ' ἑαυτῶν ἐπιδείκνυσθαι, καὶ κατάλληλον αὐτοῖς ἰατρείαν παρέχειν· ἵνα ὀψέ γοῦν ποτε πρὸς τὴν ἀληθῆ ὑγείαν ἐπανέλθωσιν. οὐδὲν γὰρ οὕτω τῷ θεῷ περισπούδαστον, ὡς ψυχῆς σωτηρία. καὶ βοᾷ Παῦλος λέγων, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· καὶ πάλιν αὐτὸς ὁ θεός φησιν· οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῇν αὐτόν. διὰ γὰρ τοῦτο καὶ τὴν κτίσιν ἅπασαν παρήγαγε, καὶ ἡμᾶς ἐδημιούργησεν, οὐχ ἵνα ἀπολώμεθα, οὐδὲ ἵνα εἰς κόλασιν ἡμᾶς παραπέμψῃ, ἀλλ' ἵνα σώσῃ, καὶ τῆς πλάνης ἐλευθερώσας τῆς βασιλείας τὴν ἀπόλαυσιν ἡμῖν δωρήσηται. ταύτην γὰρ ἡμῖν καὶ ἡτοίμασεν, οὐ νῦν μετὰ τὸ γενέσθαι, ἀλλὰ πρὸ καταβολῆς κόσμου, καθὼς αὐτός φησι, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου. ὅρα φιλανθρωπίαν δεσπότου, ὅπως καὶ πρὸ τῆς δημιουργίας καὶ πρὶν ἢ παραγαγεῖν τὸν ἄνθρωπον τὰ μυρία αὐτῷ ἀγαθὰ ἡυτρέπισε, δεικνὺς ὅσην πρόνοιαν ποιεῖται τοῦ γένους τοῦ ἡμετέρου, καὶ ὅτι πάντας βούλεται σωθῆναι. τοιοῦτον τοίνυν ἔχοντες δεσπότην, οὕτω φιλάνθρωπον, οὕτως ἀγαθὸν, οὕτως ἥμερον, καὶ τῆς οἰκείας σωτηρίας φροντίζωμεν, καὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων.

A rationi congruum fuerit, dic oro, quòd tanta elementa, & tantus ornatus abſque aliquo moderatore, & omnia conſeruante gubernentur? Et nauis nunquam poterit abſque gubernatore maris huius fluctus tranſire: & miles nihil ſtrenuũ & egregium abſq; præfecti ductu & auſpiciis gerit: & domus non extruitur, niſi ſit qui ædificet: mundus autem ille immenſus, & elementorum illorum ornatus, fortuitò & temerè ferri poterit, nullo exiſtente qui omnia quæ oculis ſunt ſubiecta, poſſit moderari, & per ſuam ſapientiam ſciat continere & conſer- B uare. Porrò quid vlterius contendimus illis monſtrare ea quæ & cæcis, vt in prouerbio eſt, perſpicua ſunt? Verumtamen ne omittamus proponere eis doctrinas ſcripturarũ, ſed omne impendamus ſtudium, vt ab errore liberati, ad veritatẽ reducantur. Nam licèt adhuc præoccupati erroribus ſint, cognati tamen noſtri ſunt: & congruit vt magnam eorum curam habeamus, nunquam turpeſcentes: ſed diligentia ſumma facientes ea quæ in nobis ſunt, vtilem illis medicinã adhibeamus, vt C ſaltem tandem aliquãdo ad verã ſanitatem redeãt. Nihil enim ita gratũ eſt Deo, & ita curæ, vt animarum ſalus, ſicut clamat Paulus, dicens: Qui vult omnes homines ſaluos fieri, & ad agnitionem veritatis venire. Et iterũ Deus ipſe ait: Nolo mortem peccatoris, ſed vt cõuertatur, & viuat. Et propter hoc etiam creaturam hãc omnem produxit, & nos formauit, non vt pereamus, neq; vt ſuppliciis nos torqueat: ſed vt ſaluet, & ab errore liberatis, regno frui nobis concedat. Hoc enim nobis præparauit, non nunc poſtquã factum eſt, D ſed ante iacta fundamẽta mundi, ſicut ipſe dicit: Venite benedicti patris mei, & in hæreditatẽ accipite præparatum vobis regnũ ab initio mundi. Vide benignitatem Domini, quomodo antequam formaretur mundus, & produceretur homo, infinita nobis bona pręparauit: oſtendens quantam noſtri generis curam faciat, & quòd omnes vult ſaluari. Talem igitur habentes dominum, tam miſericordẽ, tam benignum, tam manſuetum: cùm noſtræ, tum fratrum noſtrorum ſalutis curã geramus.

ὁμογενεῖς, id eſt, congeniti eiuſdem generis, conſanguinei.

1. Tim. 2. 4.

Ezech. 18. 24. & 33. 11.

μετὰ τὸ γενέσθαι, quod de regno aut de nobis dici poteſt.

Matt. 25. 34.

Nam & hoc noſtræ ſalutis argumentum erit & occaſio, ſi nõ ſolùm pro nobis ipſis ſolliciti, ſed & proximo vtiles fuerimus, ipſum ad viam veritatis manuducentes. Et vt ſcias quantum bonum ſit cum ſalute noſtra & alios lucrari, audi prophetam ex perſona Dei dicentem: Qui educit precioſum à vili, quaſi os meum erit. Quid hoc eſt? Qui ab errore ad veritatem, ait, manuduxerit, vel à peccato ad virtutem proximum induxerit, pro virili parte humana me imitatur. Etenim ipſe quum Deus ſit, propter nihil aliud noſtram induit carnem, & propter humani generis ſalutem factus eſt homo. Sed quid ego noſtram illum induiſſe carnem dico, exteráque omnia ſuſtinuiſſe humana, quando etiam crucem ſuſcepit, vt nos peccato obnoxios à maledicto liberaret? Et hoc quoque Paulus clamat, dicens: Chriſtus nos redemit à maledicto legis, factus pro nobis maledictum. Si igitur ipſe, qui Deus eſt ineffabilis eſſentiæ, ob miſericordiam ineffabilem hæc omnia propter nos & ſalutem noſtram ſuſcepit: quid non à nobis ęquũ eſt ſuſtineri propter eos, qui cognati ſunt ac membra noſtra, vt ereptos eos ex diaboli faucibus, in viam virtutis inducamus? Nam vt anima corpore melior eſt: ita his qui indigentibus pecunias & facultates ſuppeditant, maioribus premiis digni ſunt hi, qui admonendo & continuè docendo in viam rectam ſupinos & deſides inducunt, monſtrando eis diuinarum virtutum pulchritudinem, & vitiorum deformitatem. Hæc igitur omnia cùm ſciamus, præ omnibus aliis huius vitæ curis, de ſalute animarum loquamur proximis, eandem illis ſollicitudinem ingerentes. Sufficit enim, ſufficit, planè, ſi anima cui hæc continuò inculcantur, poſſit reduci ex abyſſo malorum, in quorum medio verſamur: & compeſcere affectionum rebellionem, quæ perpetuò animam noſtram infeſtant. Idcirco nobis opus eſt & magna vigilantia, quoniam & continuum nobis eſt bellum, & induciæ nullæ: propter quod & Paulus dicebat, Epheſiis ſcribens: Non eſt

Hier. 15. 19.

Galat. 3. 13.

Moralis exhortatio.

A τοῦτο γὰρ ἡμῖν καὶ σωτηρίας ὑπόθεσις γενήσεται, ὅταν μὴ ὥσπερ ἑαυτῶν μόνον σπουδάζωμεν, ἀλλ' ὅταν καὶ τὸν πλησίον ὠφελῶμεν, καὶ πρὸς τὴν τῆς ἀληθείας ὁδὸν χειραγωγῶμεν. καὶ ἵνα μάθῃς, ὅσον ἐστὶν ἀγαθὸν τὸ δυνηθῆναι μετὰ τῆς οἰκείας σωτηρίας καὶ ἑτέρους κερδῆσαι, ἄκουσον ἐκ προσώπου τοῦ θεοῦ λέγοντος τοῦ προφήτου· ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου ὡς στόμα μου ἔσται. τί δὲ τοῦτό ἐστιν; ὁ ἐκ πλάνης πρὸς τὴν ἀλήθειαν φησὶ χειραγωγῶν, ἢ ἀπὸ τῆς κακίας πρὸς ἀρετὴν ὁδηγῶν τὸν πλησίον κατὰ δύναμιν ἀνθρωπίνην ἐμὲ μιμεῖται. καὶ γὰρ καὶ αὐτὸς δι' οὐδὲν B ἕτερον θεὸς ὢν τὴν ἡμετέραν ὑπέδυ σάρκα, καὶ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων γέγονεν ἄνθρωπος. καὶ τί λέγω τὴν ἡμετέραν ὑπέδυ σάρκα, καὶ τὰ ἄλλα πάντα ἀνθρώπινα ὑπέμεινεν, ὅπου γε καὶ τὸν σταυρὸν κατεδέξατο, ἵνα ὑμᾶς ὑπὸ τῶν ἁμαρτιῶν προδεδομένους τῆς κατάρας ἐλευθερώσῃ; καὶ βοᾷ τοῦτο Παῦλος λέγων· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν κατάρα. εἰ τοίνυν αὐτὸς θεὸς ὢν, καὶ τῆς οὐσίας ἐκείνης τῆς ἀπορρήτου τυγχάνων διὰ φιλανθρωπίαν ἄφατον ταῦτα C ἅπαντα κατεδέξατο δι' ἡμᾶς, καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν, τί οὐκ ἂν εἴημεν αὐτοὶ δίκαιοι περὶ τοὺς ὁμογενεῖς ἐπιδείξασθαι, καὶ τὰ μέλη τὰ ἡμέτερα, ὥστε καὶ τῆς φάρυγγος αὐτοῦ ἐξαρπάσαι τοῦ διαβόλου, καὶ πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν χειραγωγῆσαι; ὅσῳ γὰρ ψυχὴ σώματος κρείσσων, τοσούτῳ τῶν χρήμασι βοηθούντων τοῖς δεομένοις οὗτοι μειζόνων ἀξιοῦνται τῶν ἀμοιβῶν οἱ διὰ τῆς παραινέσεως, καὶ τῆς συνεχοῦς διδασκαλίας τοὺς ῥαθύμους καὶ ἀναπεπτωκότας ἀνάγοντες ἐπὶ τὴν εὐθεῖαν ὁδὸν, καὶ δεικνύντες τῆς μὲν κακίας τὸ δυσειδὲς, τῆς δὲ D κατὰ θεὸν ἀρετῆς τὴν πολλὴν εὐμορφίαν. ταῦτα τοίνυν ἅπαντα εἰδότες πρὸ τῶν ἄλλων ἁπάντων τῶν βιωτικῶν περὶ τῆς κατὰ ψυχὴν σωτηρίας διαλεγώμεθα τοῖς πλησίον εἰς ταύτην αὐτοὺς ἐνάγοντες τὴν μέριμναν. ἀγαπητὸν γὰρ, ἀγαπητὸν συνεχῶς ταῦτα ἐνηχουμένην τὴν ψυχὴν δυνηθῆναι ἀνενεγκεῖν ἐκ τῆς ἀβύσσου τῶν κακῶν τῶν ἐν τῷ μέσῳ στρεφομένων, καὶ περιγενέσθαι τῆς τῶν παθῶν ἐπαναστάσεως, ἅπερ διηνεκῶς πολιορκεῖ τὴν ἡμετέραν ψυχὴν, καὶ διὰ τοῦτο χρεία ἡμῖν πολλῆς τῆς ἀγρυπνίας, ἐπειδὴ καὶ διηνεκὴς ἡμῖν ἐστιν ὁ πόλεμος, καὶ ἀνακωχὴν οὐδέποτε ἔχων. διὸ καὶ Παῦλος ἔλεγεν Ἐφεσίοις γράφων· οὐκ ἔστιν

ἡμῖν

ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς A τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. μὴ νομίσητε φησὶ τὸν τυχόντα ἡμῖν προκεῖσθαι ἀγῶνα· οὐ πρὸς ὁμογενεῖς ἡμῖν ἐστιν ἡ πάλη, οὐδὲ ἐξ ἴσης ἡμῖν ἐστι τὰ τῆς παρατάξεως. καὶ γὰρ σώματι συμπεπλεγμένοι ταῖς ἀσωμάτοις παλαίειν δυνάμεσι παρατετάγμεθα, ἀλλὰ μὴ δείσητε· εἰ γὰρ καὶ ἀνώμαλος ἡ μάχη, ἀλλὰ μεγάλη τῶν ὅπλων τῶν ἡμετέρων ἡ δύναμις. ἐπήγαγε γὰρ μονονουχὶ λέγων, ἐπειδὴ ἔγνωτε τῶν πολεμίων τὴν φύσιν, μὴ καταπέσητε, μηδὲ ναρκήσητε πρὸς B τὴν πάλην· ἀλλὰ διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, πολλαὶ γὰρ αἱ τούτου μεθοδεῖαι, τουτέστιν ὁδοί, δι' ὧν ὑποσκελίζειν ἐπιχειρεῖ τοὺς ῥαθυμοτέρους, καὶ δεῖ ταύτας ἀκριβῶς ἐπίστασθαι, ὥστε διαφυγεῖν αὐτοῦ τὰς λαβάς, καὶ μηδεμίαν αὐτῷ παρείσδυσιν ἀφιέναι, ἀλλὰ καὶ γλώττης ἀκρίβειαν ἐπιδείκνυσθαι, καὶ ὀφθαλμῶν ἀσφάλειαν, καὶ διανοίας καθαρότητα, καὶ διηνεκῶς ἐναγώνιον εἶναι, καθάπερ θηρίου τινὸς ἐπιόντος, καὶ λυμήνασθαι ἡμῖν ἐπιχειροῦν- C τος. διὰ γὰρ τοῦτο καὶ ἡ οὐρανομήκης ἐκείνη ψυχή, ὁ τῶν ἐθνῶν διδάσκαλος, ἡ γλῶττα τῆς οἰκουμένης ὑπὲρ τῆς τῶν μαθητευομένων σωτηρίας ἅπαντα πραγματευόμενος εἰπών, ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, πάλιν ἐπήγαγε· πανταχόθεν ἡμᾶς περιφράττων, καὶ ἀχειρώτους ἐργαζόμενος, οὕτω λέγων· στῆτε οὖν περιεζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς πίστεως, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέ- D λη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ. εἶδες πάντα τὰ μέλη ὅπως περιέφραξε, καὶ καθάπερ τις εἰς πόλεμόν τινα μέλλων ἐξαγαγεῖν, οὕτω πρότερον μὲν τῇ ζώνῃ ἠσφαλίσατο, ὥστε εὔκολον εἶναι ἡμῖν τὸν δρόμον, ἔπειτα τὸν θώρακα ἐνέδυσεν, ἵνα μὴ ὑπὸ τῶν βελῶν πληττώμεθα, καὶ τοὺς πόδας ἠσφαλίσατο, καὶ πανταχόθεν τῇ πίστει περιέφραξεν, αὕτη γὰρ αὕτη φησὶ καὶ τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι δυνήσεται. τίνα δέ ἐστι τοῦ διαβόλου τὰ βέλη;

nobis colluctatio aduerſus ſanguinem & carnem : ſed aduerſus principatus , aduerſus poteſta-tes , aduerſus mundi dominos , rectores tenebrarum ſeculi huius , aduerſus ſpirituales nequitias in cœleſtibus. Ne exiſtimetis , ait , vulgare nobis certamen proponi. Non aduerſus eiuſdem generis aduerſarios nobis eſt certamen , neque ex æquo exercitus noſter inſtructus eſt. Nos enim qui corporibus ſumus annexi, in acie collocati ſumus , vt cum incorporeis virtutibus confligamus. Sed ne timeatis : nam licet inæqualis ſit pugna , magna tamen armorum noſtrorum virtus eſt. Subiungit enim hæc , quaſi diceret : quoniam nouiſtis hoſtium naturam , ne animo concidatis , ne torpeſcatis ad pugnam : ſed propter hoc ſuſcipite armaturam Dei , vt poſſitis reſiſtere inſidiis diaboli. Multæ enim eius ſunt inſidiæ, hoc eſt viæ , per quas negligentiores ſupplantare nititur : quas diligenter cognoſcere operæpretium eſt, ita vt effugiamus eius manus , & nullum ipſi ingreſſum permittamus. Quin & linguæ diligens habenda eſt cuſtodia , & oculi muniendi ſunt , & mens purganda , & in perpetuo certamine viuendum eſt , quaſi fera aliqua nos inuadat , & lædere conetur. Propter quod cœleſtis illa anima , doctor gentium , lingua orbis, nihil omittens pro ſalute diſcipulorum , poſtquam dixit : Accipite armaturam Dei : iterum ſubiicit , & nos vndique muniens , & inuictos faciens , ſic dicit : State igitur accinctis lumbis veſtris in veritate , & induti thoracem fidei , & calceati pedes veſtros in præparatione euangelij pacis. In omnibus aſſumite ſcutum fidei , in quo poſſitis omnia tela mali illius ignita extinguere , & gladium ſpiritus , quod eſt verbum Dei. Vidiſti quomodo omnium membra muniuerit ? Et quaſi in prælium egreſſuros , primum zona cingat , quò expeditiores ſimus ad curſum : dein induat nos thorace , ne à iaculis vulneremur. Sed & pedes muniuit , & vndique armauit fide. Hæc ait , ignita tela hoſtis extinguere poterit. Quænam autem ſunt tela diaboli ? malæ concupiſcentiæ,

Ephe 6. 12.

Ephe. 6. 11.

Ibidem.

Ibidem.

immundæ cogitationes, pernicioſi affectus, furor, inuidentia, inuidia, ira, odium, pecuniæ concupiſcentia, & omnis alia ignauia. Hæc ait, omnia extinguere poterit gladius ſpiritus. Et quid dico, extinguere? etiam ipſum hoſtis caput amputare valebit. Vidiſti quomodo roborauit diſcipulos? Quomodo eos qui cera molliores erant, ferro fortiores effecit? Quoniam enim nobis bellum eſt, non aduerſus carnem & ſanguinem, ſed aduerſus incorporeas virtutes: ideo neque carnalibus nos armis muniuit, ſed arma noſtra omnia ſpiritualia ſunt, ſic radiantia, vt eorum fulgorem dæmon ille malus ferre nequeat. Talibus igitur armis induti, ne horreamus ob pugnam, ne fugiamus congreſſum: ſed neque ignaui ſimus. Nam ſicut, nobis vigilantibus, malignus dæmon nunquam armorum noſtrorum virtuti præualebit, imò ſi voluerimus, irritas faciemus eius machinationes: ſic ſi deſides fuerimus, nulla nobis vtilitas erit. Quandoquidem inimicus ſalutis noſtræ nunquam dormitat, & omnia quæ ſaluti noſtræ obſunt, operatur. Vndique igitur armemus nos ipſos, & à verbis, & ab operibus abſtineamus, quæ nos offendere poſſunt: & cum abſtinentia à cibis, cum aliarum virtutum, tum liberalitatis in pauperes ſpecimē exhibeamus: ſcientes quanta nobis merces ob curam illi exhibitam repoſita ſit: Nam, qui miſeretur, ait, pauperi, fœneratur Deo. Vide vſuræ raram naturam, & admirabilem. Alius eſt qui accipit, & alius qui ſe dandi fœnoris reum facit, & non hoc ſolum nomine: ſed quia in hoc vſuræ genere non eſt locus ingratitudini, neque vlli alij damno. Neque enim quemadmodum hîc, centeſimam ſolum promittit, ſed centupla ſe daturum, & non ſolùm centupla: nam aliqua dantur in præſenti vita, aliqua in futura, nempe vita æterna. & in præſenti quidem vita, ſi quis nobis ſolùm duplicia polliceretur pro his quæ à nobis dantur, parati eſſemus illi omnem noſtram ſubſtantiam afferre. Tametſi ibi magna ingratitudo, multæ & ſtupendæ auarorum fraudes: & multi qui boni habentur, debitum non ſoluunt, vel ob maleuolentiam nolentes,

νήφοντας, hic & alibi ſæpe ignauis & deſidibus opponit proinde idem talibus in locis notabis.

Prou. 19. 17.

A αἱ πονηραὶ ἐπιθυμίαι, οἱ ἀκάθαρτοι λογισμοί, τὰ πάθη τὰ ὀλέθρια, θυμός, βασκανία, φθόνος, ὀργή, μῖσος, χρημάτων ἐπιθυμία, καὶ ἡ ἄλλη ἅπασα ῥαθυμία. ταῦτά φησιν ἅπαντα σβέσαι δυνήσεται ἡ μάχαιρα τοῦ πνεύματος. καὶ τί λέγω σβέσαι; καὶ τὴν κεφαλὴν αὐτὴν τοῦ πολεμίου ἀποτεμεῖν δυνήσεται. εἶδες πῶς ἐνεύρωσε τοὺς μαθητευομένους; πῶς κηροῦ μαλακωτέρους ὄντας σιδήρου στερροτέρους εἰργάσατο; ἐπειδὴ γὰρ ἡμῖν οὐ πρὸς αἷμα καὶ σάρκα ὁ πόλεμος, ἀλλὰ πρὸς τὰς ἀσωμάτους δυνάμεις, διὰ τοῦτο οὐδὲ τὰ ὅπλα ἡμῖν σαρκικὰ περιέθηκεν, ἀλλὰ B πάντα πνευματικά, καὶ οὕτως ἀποστίλβοντα, ὥστε μηδὲ τὴν ἐκ τούτων αἴγλην ἐνεγκεῖν δύνασθαι τὸν πονηρὸν ἐκεῖνον δαίμονα. τοιαῦτα τοίνυν ὅπλα ἐνδεδυμένοι μὴ φρίττωμεν τὴν πάλην, μηδὲ τὴν συμπλοκὴν φεύγωμεν, ἀλλὰ μηδὲ ῥαθυμῶμεν. ὥσπερ γὰρ νηφόντων ἡμῶν οὐκ ἄν ποτε περιγένοιτο ὁ πονηρὸς δαίμων ἐκεῖνος τῆς τῶν ὅπλων δυνάμεως, ἀλλὰ ἐὰν βουλώμεθα καὶ ἄκυρα αὐτοῦ ποιήσομεν τὰ μηχανήματα· οὕτως ἐὰν ῥαθυμῶμεν, οὐδὲν ἡμῖν ὄφελος ἔσται· τοῦ πολεμίου τῆς ἡμετέρας σωτηρίας διηνεκῶς ἐγρηγορότος, καὶ C πάντα κατὰ τῆς σωτηρίας ἡμῶν διαπραττομένου. πανταχόθεν τοίνυν ὁπλίζωμεν ἑαυτούς, καὶ ῥημάτων φειδόμενοι, καὶ πραγμάτων ἀπεχόμενοι τῶν βλάπτειν ἡμᾶς δυναμένων, καὶ μετὰ τῆς ἀποχῆς τῶν βρωμάτων καὶ τῆς ἄλλης ἀρετῆς καὶ τὴν περὶ τοὺς πένητας δαψίλειαν ἐπιδεικνυώμεθα, εἰδότες ὅση τῆς περὶ τούτους θεραπείας ἡμῖν κείσεται ἡ ἀνταπόδοσις. ὁ γὰρ ἐλεῶν φησι πτωχὸν δανείζει θεῷ. ὅρα δανείου φύσιν ξένην καὶ παράδοξον· ἕτερός ἐστιν ὁ λαμβάνων, καὶ ἕτερος ὁ τῷ δανείῳ ἑαυτὸν ὑπεύθυνον καθιστάς, καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι ἐπὶ τούτου τοῦ δανείου οὐκ ἔστιν D ἀγνωμοσύνην ὑποστῆναι, οὐδὲ ἑτέραν τινὰ ζημίαν. οὐδὲ γὰρ καθάπερ ἐνταῦθα ἑκατοστὴν μόνον ὑπισχνεῖται δώσειν, ἀλλὰ ἑκατονταπλασίονα τῶν διδομένων, καὶ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ ταῦτα μὲν ἐν τῷ παρόντι, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον. καὶ ἐπὶ μὲν τοῦ παρόντος βίου εἴ τις ὑμῖν ὑπέσχετο διπλασίονα μόνον τῶν διδομένων ὑφ' ἡμῶν παρασχεῖν, προθύμως ἂν ἅπασαν ἡμῶν τὴν ὕπαρξιν προσηκάμεθα, ὅπου πολλὴ πολλάκις ἀγνωμοσύνη, πολλαὶ τῶν πλεονεκτούντων αἱ ὑπερβολαί. καὶ γὰρ καὶ τὸν σφόδρα

γινομένων πολλοὶ οὐδὲ αὐτὸ τὸ δανεισθὲν τοῖς δεδωκόσι παρέσχον, ἢ δι' ἀγνωμοσύνην τοῦτο ὑπομείναντες, ἢ καὶ πολλάκις ὑπὸ πενίας κωλυθέντες. ἐπὶ δὲ τοῦ τῶν ἁπάντων δεσπότου, οὐδὲν τούτων ἔστι λογίσασθαι, ἀλλὰ καὶ τὸ δάνειον ἀκέραιον μένει, καὶ ὑπὲρ τῶν καταβαλλομένων ἑκατονταπλασίονα παρέξειν ὑπισχνεῖται μετὰ τοῦ καὶ τὴν ἐν τῷ μέλλοντι ζωὴν ἡμῖν ἐνταμιεύεσθαι. τίς οὖν ἡμῖν λοιπὸν ἀπολογία λείπεται μὴ σπεύδουσι καὶ ἐπειγομένοις ἀντὶ τῶν ὀλίγων ἑκατονταπλασίονα λαβεῖν, καὶ ἀντὶ τῶν παρόντων τὰ μέλλοντα, καὶ ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀλλ' ἡδέως θύραις καὶ μοχλοῖς ἐναποκλείουσι τὰ χρήματα, καὶ οὐ βουλομένοις αὐτὰ νῦν παρέχεσθαι τοῖς δεομένοις τὰ ἁπλῶς καὶ εἰκῆ κείμενα, ἵνα ἐν τῷ μέλλοντι αἰῶνι τῆς παρ' αὐτῶν προστασίας ἀπολαύσωμεν; ποιήσατε γὰρ ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλείπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς. καὶ οἶδα, ὅτι πολλοὶ οὐ μόνον οὐ προσίενται τὰ παρ' ἡμῶν λεγόμενα, ἀλλὰ καὶ ὡς λῆρόν τινα καὶ μῦθον ἀκούοντες οὕτω προσέχουσι τοῖς ἡμετέροις λόγοις· ἀλλ' ἐγὼ καὶ διὰ τοῦτο δάκνομαι, καὶ ὀδυνῶμαι, ὅτι οὔτε τῶν πραγμάτων ἡ πεῖρα, οὔτε ἡ τοσαύτη τοῦ θεοῦ ὑπόσχεσις, οὔτε ὁ φόβος τῶν μελλόντων, οὔτε αἱ καθ' ἑκάστην ἡμέραν παρ' ἡμῶν παραινέσεις τῶν τοιούτων καθικέσθαι ἠδυνήθησαν, καὶ οὐ παύσομαι οὐδὲ οὕτω τῆς τοιαύτης συμβουλῆς, μέχρις ἂν τῇ πολλῇ συνεχείᾳ περιγενέσθαι δυνηθῶ, καὶ εἰς νῆψιν αὐτοὺς ἀγαγεῖν, καὶ ἐκ τοῦ κάρου καὶ τῆς μέθης, ἣν ἡ χρημάτων ἐπιθυμία ἤνεγκε σκοτώσασα τὸν λογισμὸν ἀνενεγκεῖν δυνηθῶ. οἶδα γάρ, οἶδα, ὅτι μετὰ τὴν τοῦ θεοῦ χάριν, καὶ ἡ τῶν ἡμετέρων λόγων συνέχεια, καὶ ἡ περὶ τῆς νηστείας ἐπιμέλεια δυνήσεται αὐτοὺς ὀψέ γοῦν ποτε ἀπαλλάξαι τοῦ χαλεποῦ τούτου νοσήματος, καὶ εἰς τελείαν ὑγείαν ἀγαγεῖν, ἵνα καὶ αὐτοὶ τῆς ἐπηρτημένης τοῖς τοιούτοις τιμωρίας ἐλευθερωθῶσι, καὶ ἡμεῖς τῆς ἀθυμίας ἀπαλλαγῶμεν, καὶ ὑπὲρ ἁπάντων δόξαν ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A vel ſæpe & propter inopiam non valentes. Quoniam autem nihil tale omnium domino imputari poteſt(nam & capitalis ſumma in tuto eſt, & centuplum hîc promittitur eleemoſynam expendentibus, & in futurum vita æterna reponitur :) quæ igitur nobis defenſio erit, ſi negligentes fuerimus, & non feſtinauerimus centupla pro paucis accipere, & pro præſentibus futura, & temporalibus æterna ? Atqui pecuniæ nunc ianuis & repagulis includuntur, & indigētibus non expenduntur, ſed in vanum duntaxat ibi ſine vſu iacent. Vt igitur in futuro B ſeculo earum ſubſidia inueniamus: Luc. 16. 9. facite, inquit, vobis amicos ex mammona iniquitatis : vt cùm defeceritis, recipant vos in tabernacula æterna. Iam ſcio, quòd multi non adſtipulantur his, quæ à nobis nunc ſunt dicta, ſed ea vt delirium & fabulam audientes, minimè ſunt attenti ad orationem noſtram. Vnde ego crucior & doleo, quòd neque rerum experientia, neque tot & tales Dei promiſſiones, neque timor futurorum, neque quotidianæ admonitiones noſtræ apud tales proficiunt. C Non tamen ceſſabo, etiam ſic, ab hoc conſilio, donec continuitate importuna tandem victor attentos atque vigilantes illos reddidero, quam obtenebratæ illorum menti auiditas pecuniarum inuexit, & à crapula, & ab ebrietate, eruere valuero. Scio enim, ſcio quòd per gratiam Dei, ſermonum noſtrorum frequentia, & ieiunij ſtudium poterunt ipſos vel ſerò à difficili hoc morbo liberare, perfectæque ſanitati reſtituere : vt & ipſi à ſupplicijs, quæ eis parata ſunt, liberentur, D & nos à triſtitia eruamur, & pro omnibus gloriam deferamus Deo patri, & filio, & Spiritui ſancto, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Homilia IIII. A

Dixit quoque Deus: Fiat firmamentum in medio aquæ, & diuidat inter aquam: & aquam: & factum eſt ita.

Videns ego, dilectiſſimi, alacrem & quotidianum veſtrum in hoc templo conuentum, magnam percipio voluptatem, miſericordémq; Deum in profectu veſtro glorificare non ceſſo. Nam ſicut eſurire, corporalis ſanitatis indicium: ita & ſtudio magno audire diuina eloquia, bonę animi valetudinis certiſſimum eſt argumentum. Propter quod & dominus noſter Ieſus Chriſtus in ſuis beatitudinibus, quas in monte promiſit, dicebat: Beati qui eſuriunt & ſitiũt iuſtitiam, quoniam ipſi ſaturabuntur. Quis igitur dignè vos laudare valet, qui ſemel ab omnium domino beatitudinem accepiſtis, & ab eo infinita bona expectatis? Is enim domini noſtri mos eſt, vt quoties videt animam aliquam multo deſiderio, promptitudineque intenta ſpiritualibus inhiantem, liberaliter illam gratia & opulentis donis ſuis locupletet. Vnde & ego in veſtram vtilitatem & ædificationem expecto, vt vberior & mihi doctrinæ ſermo concedatur. Propter vos enim, & propter veſtrum profectum, omnem hunc laborem toleramus: vt & vos citius ad ipſum virtutis faſtigium aſcendatis, futuri vitæ diuinã magiſtri omnibus qui vos vident: & nobis maior dicendi fiducia accedat, qui videmus non in vanum, nec fruſtra nos laborare: ſed quotidie ſemen ſpirituale in vobis creſcere: & non ſicut in euangelio ſeminanti euenit, ita & nobis contingere. Ibi enim vna tantum pars ſalua fuit, tres perierunt. Quia ſemen quod ſecus viam cecidit, ſterile manſit: & quod inter ſpinas, ſuffocatum eſt: quod autem in petram, in ſuperficie manens, fructum afferre nequiuit: hîc in gratia Dei ſpes eſt, fore, vt cùm omne ſemẽ in terram bonam ceciderit, alij reddant fructũ centuplum, alij ſexagecuplum, alij trigecuplum.

A ſimili

Matt. 5. 6.

Lucæ 8. 5.

Ὁμιλία δ.

Καὶ εἶπεν ὁ θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος, καὶ ἐγένετο οὕτως.

Ὁρῶν ὑμῶν ἀγαπητοὶ τὴν μετὰ προθυμίας καθ' ἑκάστην ἡμέραν ἐνταῦθα συνέλευσιν, μεγάλην καρποῦμαι τὴν ἡδονὴν, καὶ οὐ παύομαι δοξάζων τὸν φιλάνθρωπον θεὸν ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ. ὥσπερ γὰρ τὸ πεινῆν σωματικῆς εὐεξίας ἐστὶ σημεῖον· οὕτω καὶ τὸ περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων ἐσπουδακέναι τῆς κατὰ ψυχὴν ὑγιείας τεκμήριον ἄν τις μέγιστον ποιήσαιτο. διὸ καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τοῖς μακαρισμοῖς ἐκείνοις τοῖς ἐπὶ τοῦ ὄρους γεγενημένοις ἔλεγε· μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. πῶς ἂν οὖν ὑμᾶς καὶ ἀξίως ἐπαινέσαι δυνηθείην τοὺς ἅπαξ παρὰ τοῦ τῶν ἁπάντων δεσπότου τὸν μακαρισμὸν δεξαμένους, καὶ τὰ μυρία προσδοκῶντας παρ' αὐτοῦ ἀγαθά; τοιοῦτος γὰρ ὁ ἡμέτερος δεσπότης· ἐπειδὰν ἴδῃ ψυχὴν πολλῷ τῷ πόθῳ καὶ ἐπιτεταμένῃ τῇ προθυμίᾳ τοῖς πνευματικοῖς προσιοῦσαν, ἐπιδαψιλεύεται τὴν χάριν, καὶ πλουσίας παρ' ἑαυτοῦ χαρίζεται τὰς δωρεάς· ὅθεν προσδοκῶ καὶ ἡμῖν διὰ τὴν ἡμετέραν ὠφέλειαν πλείονα παρασχεθήσεσθαι τὸν τῆς διδασκαλίας λόγον εἰς οἰκοδομὴν τῆς ὑμετέρας ἀγάπης. δι' ὑμᾶς γὰρ καὶ τὴν προκοπὴν τὴν ὑμετέραν πάντα τοῦτον τὸν πόνον ὑπομένομεν, ὥστε καὶ ὑμᾶς πρὸς αὐτὴν τῆς ἀρετῆς τὴν κορυφὴν θᾶττον ἀναδραμεῖν, καὶ πᾶσι τοῖς εἰς ὑμᾶς ὁρῶσι διδασκάλους γενέσθαι τῆς κατὰ θεὸν πολιτείας, καὶ ἡμᾶς πλείονος ἀπολαύειν τῆς παρρησίας, ὁρῶντας οὐ μάτην, οὐδὲ εἰκῇ πονουμένους ἡμᾶς, ἀλλὰ καθ' ἑκάστην ἡμέραν αὐξανόμενον τὸν σπόρον τὸν πνευματικὸν, καὶ μὴ καθάπερ ἐν τῷ εὐαγγελίῳ ἐπὶ τοῦ σπείροντος γέγονεν, οὕτω καὶ ἐφ' ἡμῶν συμβῆναι. ἐκεῖ μὲν γὰρ ἓν μέρος διεσώθη, καὶ τὰ τρία διαπώλετο. τὸ μὲν γὰρ σπερμάτων παρὰ τὴν ὁδὸν καταβληθὲν, ἄκαρπον ἔμεινε. τὸ δὲ ὑπὸ τῶν ἀκανθῶν ἀπεπνίγη· ἕτερον δὲ εἰς τὰς πέτρας καταβληθὲν, καὶ ἐπὶ τῆς ἐπιφανείας μεῖναν οὐδὲν ἄκαρπον ἐνεγκεῖν ἠδυνήθη, ἐνταῦθα δὲ διὰ τὴν τοῦ θεοῦ χάριν προσδοκῶμεν ἅπαντα τὸν σπόρον εἰς τὴν καλὴν γῆν καταβεβλῆσθαι, καὶ τοὺς μὲν ποιεῖν ἑκατὸν, τοὺς δὲ ἑξήκοντα, τοὺς δὲ τριάκοντα.

B

C

D

A τοῦτο ἡμῶν τὴν προθυμίαν αὔξει, τοῦτο τὴν διάνοιαν διεγείρει τὸ εἰδέναι, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοὺς λόγους προϊέμεθα, ἀλλ' ὅτι νηφούσαις ταῖς ἀκοαῖς καὶ συντεταμέναις ταῖς διανοίαις τὰ παρ' ἡμῶν δέχεσθε. καὶ ταῦτα οὐ κολακεύων ὑμῶν τὴν ἀγάπην λέγω, ἀλλὰ στοχαζόμενος τὴν προθυμίαν ἐκ τῶν χθὲς ἡμῖν εἰρημένων. ἑώρων γὰρ ἅπαντας ἐκκρεμαμένους περὶ τὴν διδασκαλίαν, καὶ πάντα ποιοῦντας, ὥστε μηδὲ τὸ τυχὸν ὑμᾶς τῶν λεγομένων παραδραμεῖν, ἄλλως δὲ καὶ ἡ τῶν κρότων συνέχεια μεγίστη ἀπόδειξις ἐγίνετο τοῦ μεθ' ἡδονῆς ὑμᾶς δέχεσθαι τὰ λεγόμενα· ὁ δὲ μεθ' ἡδονῆς ἀκούων τινῶν λεγομένων, δηλοῖ ὅτι καὶ ἐμπήγνυσιν αὐτὰ τῇ διανοίᾳ καὶ ἀνεξάλειπτα ἐργάζεται τῷ πλάτει τῆς διανοίας ἐναποτιθέμενος. τίς ἂν οὖν πρὸς ἀξίαν καὶ ὑμᾶς ἐπαινέσειε, καὶ ἡμᾶς μακαρίσειεν, ὅτι εἰς ὦτα λέγομεν ἀκουόντων; μακάριος γάρ φησιν ὁ λέγων εἰς ὦτα ἀκουόντων. τοῦτο νηστείας τὸ κατόρθωμα· τοῦτο τὸ φάρμακον τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν εἰργάσατο. εἰ δὲ ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τοσαύτην τὴν ἰσχὺν ἐπεδείξατο, προϊουσῶν τῶν ἡμερῶν πόσην χρὴ τὴν ὠφέλειαν προσγίνεσθαι; μόνον ὑμεῖς παρακαλῶ, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε, καὶ μηδεμίαν παρείσδυσιν δότε τῷ ἐχθρῷ τῆς σωτηρίας τῆς ὑμετέρας. ὁρῶν γὰρ ὑμῶν νῦν τὸν πλοῦτον τὸν πνευματικὸν μέμηνε, καὶ ἀγριαίνει, καὶ καθάπερ λέων ὠρυόμενος περιέρχεται ζητῶν τίνα καταπίῃ, ἀλλ' ἐὰν νήφωμεν, οὐδενὸς περιέσται διὰ τὴν τοῦ θεοῦ χάριν. τοιαῦτα γὰρ ἡμῶν τὰ ὅπλα τὰ πνευματικά, ἅπερ ἡμᾶς ἐνέδυσεν ἡ τοῦ πνεύματος χάρις, καθάπερ χθὲς ἐδιδάξαμεν τὴν ὑμετέραν ἀγάπην. ἂν τοίνυν τούτοις διηνεκῶς ὦμεν πεφραγμένοι πάντα τὰ μέλη, οὐδὲν τῶν ὑπ' ἐκείνου ἀφιεμένων βελῶν καθικέσθαι ἡμῶν δυνήσεται· ἀλλ' ἄκυρα πρὸς αὐτὸν ἐπανήξει· ἀδάμαντος γὰρ ἡμᾶς στερροτέρους ἡ τοῦ θεοῦ χάρις κατεσκεύασε, καὶ πάντη ἀναλώτους, ἐὰν βουλώμεθα. ὥσπερ οὖν ὁ ἀδάμαντα παίων ἐκεῖνον μὲν ἔβλαψεν οὐδέν, ἑαυτοῦ δὲ τὴν ἰσχὺν καθεῖλε, καὶ ὁ πρὸς κέντρα λακτίζων τοὺς οἰκείους αἱμάσσει πόδας· οὕτω δὴ καὶ ἐφ' ἡμῶν ἔσται καὶ τοῦ πολεμίου τῆς σωτηρίας τῆς ἡμετέρας, ἐὰν τοῖς ὅπλοις τοῖς δεδομένοις ἡμῖν παρὰ τῆς τοῦ πνεύματος χάριτος ἑαυτοὺς διηνεκῶς φράττωμεν.

A Hoc noſtram alacritatem fouet, hoc mentem excitat, quòd ſcimus non in vanum, nec fruſtra ſermones nos facere: ſed arrectis auribus, & intenta mente dicta noſtra accipi. Atque hæc non adulando charitati veſtræ dico, ſed coniecto alacritatem ex his, quæ heri à nobis dicta ſunt. Videbam enim vos omnes auidos doctrinæ ab ore meo pendentes, & omnia facientes, ne quid vos dictorum præteriret. Præterea continui plauſus maximè teſtabantur, quòd dicta magna voluptate ſuſciperetis. Qui autem aliquid volupe audit, B certum eſt quod illud bene figit in animo: ibique altius reponens, facit ne eradi expungive queat. Quis igitur dignè vos beatos dicere, & nos laudare poſſet, qui in aures loquimur audientium? Beatus enim, ait, qui loquitur in aures audientium. Eccli. 25. 12. Hoc præclarum opus ieiunio acceptum fero, hoc remedium ſalutem operatum eſt animarum noſtrarum. Quòd ſi ab initio ſtatim tantum nobis robur oſtendit, procedentibus diebus quantam non expe- C ctamus vtilitatem affuturam? vnum hoc vos obſecro, in timore & tremore ſalutem veſtram operemini, & nullum aditum concedite inimico ſalutis veſtræ. Quia videns nunc ſpirituales veſtras diuitias, inſanit & ferocit, & ſicut leo rugiens circumit, quærens quem deuoret. 1. Pet. 5. 8. Verùm ſi ſobrij fuerimus, nulli præualebit per gratiam Dei. Talia enim ſunt arma noſtra ſpiritualia, quibus nos induit ſpiritus gratia, ſicut heri charitatem veſtram docuimus. Si igitur his continuò membra noſtra D muniuerimus, nullum telum ab illo emiſſum ad nos pertingere poterit, ſed irrita ad ipſum reditura ſunt. Adamante enim ſolidiores Dei gratia nos efficit, & ſi volumus, omnino inuictos. Itaque ſicut qui adamantem tundit, nihil adamanti nocet, ſed ſeipſum fatigat, & robur ſuum imminuit: & qui contra ſtimulos calcitrat, ſuos pedes cruentat: in hunc modum res ſe habent noſtræ cum ſalutis noſtræ aduerſario, ſi armis, quæ nobis Spiritus ſancti gratia exhibet, continuò nos muniamus.

Tanta enim illorum virtus eſt, vt radios inde fulgurantes aduerſarius ſuſtinere non poſſit, ſed illis oculi eius excæcentur. His ergo armis ſemper nos muniamus, & ſic muniti in forum nos conferamus: ſic apud amicos ſimus, ſic opera aggrediamur. & quid dico in forum? etiam in eccleſiam pergentes, inſtructi illis ſimus, & domum redeuntes, & dormientes, & euigilantes, neque vnquam per omnem vitam noſtram illa deponamus. Commigrant enim nobiſcum, & poſt hanc vitam magnam fiduciam nobis præſtabunt. Non enim ſicut ſenſibilia arma corpus grauant: ſed leuius reddunt, & expeditius, ac ſublimius, robúrque augent. Tantum curæ ſit, vt ipſa quotidie abſtergamus, ita vt fulgida ſint, & radiis excæcent oculos maligni dæmonis, omnia contra ſalutem noſtram machinantis. Age quoniam ſatis vos armis inſtruximus, conſuetam nunc vobis menſam apponamus, & ea quæ heſternam lectionem ſequuntur, deinceps charitati veſtræ ptoponamus, rurſum admirabilem illum conuiuij exhibitorem beatum Moſem, magnum prophetam, bonæ huius doctrinæ ducem faciendo. Videamus igitur quænam ſint ea, quæ hodie nos docere vult, & diligenter dictis eius attendamus. Non enim ſua virtute loquitur, ſed quæcunque illi Spiritus ſancti gratia inſonat, ea per ſuam linguam docendo humanum genus, profert. Conſummato igitur de die primo ſermone, poſtquam formata luce dixit: Factum eſt veſperè, & factum eſt mane dies vnus: iterum dicit: Dixítque Deus: 6. *Fiat firmamentum in medio aquæ, & ſit diſtinguens inter aquam & aquam.* Attende hîc chariſſime doctrinæ conſequentiã. Quoniam enim antea nobis dixit, poſt cœli & terræ creationem: Terra autẽ erat inuiſibilis & inculta: & cauſam appoſuit, quòd propter hoc fuerit inuiſibilis, quia à tenebris & aquis obtegebatur: Omnia enim erant aqua & tenebrę, & nihil præterea: Et poſtea, quòd præcepto Domini producta ſit lux, factáque diſtinctio lucis & tenebrarũ: & illa qui-

A τοσαύτη γὰρ τούτων ἡ δύναμις, ὡς μηδὲ τὴν ἐξ αὐτῶν ἀστραπὴν ὑφίστασθαι τὸν πολέμιον, ἀλλ' ἀποτυφλοῦσθαι τὰς ὄψεις ἐκ τῆς αὐγῆς τῆς ἐκεῖθεν ἐκπεμπομένης. τούτοις παρακαλῶ τοῖς ὅπλοις διαπαντὸς ἑαυτοὺς τειχίζοντες, οὕτω καὶ εἰς ἀγορὰν ἐμβάλλωμεν, καὶ φίλοις συγγινώμεθα, καὶ πράγματα μεταχειρίζωμεν. καὶ τί λέγω εἰς ἀγορὰν; καὶ εἰς ἐκκλησίαν ἀπαντῶντες ταῦτα ἔχωμεν ἡμῖν περικείμενα, καὶ οἴκαδε ἐπανιόντες καὶ καθεύδοντες, καὶ διανιστάμενοι, καὶ μηδέποτε αὐτὰ ἀποθώμεθα τῆς ζωῆς, μᾶλλον δὲ μηδέ-
B ποτε. ἄπεισι γὰρ μεθ' ἡμῶν, καὶ τῆς παρὰ πᾶσαν ἡμῶν τὴν ζωὴν ἐκεῖ παῤῥησίας ὑπόθεσις ἡμῖν μεγίστη γίνεται. οὐδὲ γὰρ ὁμοίως τοῖς αἰσθητοῖς ὅπλοις βαρύνει τὸ σῶμα, ἀλλὰ μᾶλλον κουφίζει, καὶ μετάρσιον ἐργάζεται, καὶ τὴν ἰσχὺν ἐπιτείνει, μόνον ἐὰν αὐτὰ καθ' ἑκάστην ἡμέραν ἀποσμήχωμεν, ὥστε λαμπρὰ φαινόμενα διὰ τῆς οἰκείας ἀστραπῆς πηροῦν τὰς ὄψεις τοῦ πονηροῦ δαίμονος, καὶ πάντα κατὰ τῆς σωτηρίας τῆς ἡμετέρας μηχανωμένου. φέρε δὴ λοιπὸν ἐπειδὴ ἱκανῶς ὑμᾶς καθωπλίσαμεν, τὴν συνήθη παραθῶμεν ὑμῖν τράπεζαν, καὶ τὰ ἀκόλουθα τῶν χθὲς ἡμῖν εἰρη-
C μένων προθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης πάλιν τὸν θαυμάσιον ἑστιάτορα τὸν μακάριον Μωυσέα τὸν μέγαν προφήτην τῆς καλῆς ταύτης διδασκαλίας ἡγεμόνα ποιησάμενοι. ἴδωμεν οὖν τίνα ἐστὶν, ἃ καὶ σήμερον ἡμᾶς διδάξαι βούλεται, καὶ προσέχωμεν ἀκριβῶς τοῖς παρ' αὐτοῦ λεγομένοις, οὐδὲ γὰρ οἰκείᾳ δυνάμει φθέγγεται, ἀλλ' ἅπερ ἂν ἡ τοῦ πνεύματος χάρις ἐνηχήσῃ, ταῦτα διὰ τῆς οἰκείας προφέρει γλώττης διδάσκων τὴν τῶν ἀνθρώπων φύσιν. ἀπαρτίσας τοίνυν τὸν περὶ τῆς πρώτης ἡμέρας λόγον,
D καὶ εἰπὸν μετὰ τὴν τοῦ φωτὸς δημιουργίαν ἐγένετο πρωῒ ἡμέρα μία, πάλιν φησί· καὶ εἶπεν ὁ θεὸς γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀναμέσον ὕδατος. σκόπει μοι ἐνταῦθα ἀγαπητὲ διδασκαλίας ἀκολουθίαν. ἐπειδὴ γὰρ προλαβὼν ἡμῖν εἶπε μετὰ τὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς δημιουργίαν, ὅτι ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ τὴν αἰτίαν προσέθηκεν, ὅτι διὰ τοῦτο ἦν ἀόρατος, διὰ τὸ καλύπτεσθαι ὑπὸ τοῦ σκότους, καὶ τῶν ὑδάτων. ὕδωρ γὰρ ἦν τὸ πᾶν, καὶ οὐδὲν ἕτερον. εἶτα τοῦ δεσπότου προστάξαντος, παρήχθη τὸ φῶς, καὶ διαχωρισμὸς ἦν φωτὸς καὶ σκότους, καὶ τὸ μὲν

τὴν τῆς ἡμέρας προσηγορίαν, τὸ δὲ τὴν τῆς νυκτὸς ἐδέξατο· πάλιν ἡμᾶς διδάξαι βούλεται, ὅτι ὥσπερ τὸ σκότος διεῖλε τὸ φῶς παραγαγὼν, καὶ ἑκάστῳ τὴν ἁρμόζουσαν προσηγορίαν ἐπέθηκεν, οὕτω καὶ τὸ πλῆθος τῶν ὑδάτων προστάγματι διαιρεῖ. καὶ ὅρα δύναμιν ἄφατον, καὶ πάντα ἀνθρώπινον λογισμὸν ὑπερβαίνουσαν. κελεύει γὰρ μόνον, καὶ τὸ μὲν παράγεται τῶν στοιχείων, τὸ δὲ παραχωρεῖ. καὶ εἶπέ φησιν ὁ θεὸς, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀναμέσον ὕδατος, καὶ ὕδατος. τί ἐστι, γενηθήτω στερέωμα; ὡς ἂν εἴποι τις γλώττῃ ἀνθρωπίνῃ, τειχίον τι καὶ διάφραγμα διαιροῦν μεταξὺ, καὶ χωρισμὸν ἐργαζόμενον. καὶ ἵνα μάθῃς τὴν πολλὴν ὑπακοὴν τῶν στοιχείων καὶ τὴν ὑπερβάλλουσαν δύναμιν τοῦ δημιουργοῦ φησί· καὶ ἐγένετο οὕτως. εἶπε μόνον, καὶ τὸ ἔργον ἠκολούθησε. καὶ ἐποίησε, φησὶν, ὁ θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ θεὸς ἀναμέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. γενομένου φησὶ τοῦ στερεώματος τὰ μὲν τῶν ὑδάτων προσέταξεν ὑπὸ τοῦ στερεώματος φέρεσθαι, τὰ δὲ ὑπὲρ τῶν νώτων εἶναι τοῦ στερεώματος. ἀλλὰ τί ἄν τις εἴποι τοῦτο εἶναι τὸ στερέωμα; ὕδωρ πεπηγὸς, ἀλλ' ἀέρα τινὰ συνεστραμμένον, ἀλλ' ἑτέραν τινὰ οὐσίαν; οὐκ ἄν τις ἁπλῶς τῶν εὖ φρονούντων διισχυρίσαιτο. ἀλλὰ προσήκει πολλῇ τῇ εὐγνωμοσύνῃ κεχρημένους δέχεσθαι τὰ λεγόμενα, καὶ μὴ περαιτέρω τῆς οἰκείας φύσεως ὑπερβαίνοντας διερευνᾶσθαι τὰ ὑπὲρ ἡμᾶς, ἀλλὰ τοῦτο μόνον εἰδέναι καὶ κατέχειν παρ' ἑαυτοῖς, ὅτι τῷ προστάγματι τοῦ δεσπότου παρήχθη τὸ στερέωμα τὸν χωρισμὸν τῶν ὑδάτων ἐργαζόμενον, καὶ τὰ μὲν κάτω κατέχον, τὰ δὲ ἄνω μετέωρα ὑπὲρ τῶν οἰκείων νώτων φέρειν δυνάμενον. καὶ ἐκάλεσεν, φησιν, ὁ θεὸς τὸ στερέωμα οὐρανόν. ὅρα πῶς τῇ αὐτῇ ἀκολουθίᾳ καὶ νῦν ἐχρήσατο ἡ θεία γραφή. καθάπερ εἶπε χθὲς, γενηθήτω φῶς, καὶ μετὰ τὸ παραχθῆναι τότε ἐπήγαγεν, ἔστω διαχωρίζον ἀναμέσον τοῦ φωτὸς, καὶ ἀναμέσον τοῦ σκότους, καὶ οὕτως τὸ φῶς ἡμέραν ἐκάλεσεν· οὕτω, καὶ σήμερον εἶπε· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος. εἶτα καθάπερ ἐπὶ τοῦ φωτὸς, οὕτω καὶ ἐνταῦθα ἐδίδαξεν ἡμᾶς τὴν χρείαν τοῦ στερεώματος, ὥστε διαχωρίζειν φησὶν ἀναμέσον ὕδατος καὶ ὕδατος, καὶ ὅτε αὐτοῦ τὴν χρείαν φανερὰν ἡμῖν κατέστησε, τότε καθάπερ τῷ φωτὶ τὴν ὀνομασίαν προσέθηκεν, οὕτω καὶ τῷ στερεώματι, τὴν προσηγορίαν ἐπέθηκεν. καὶ ἐκάλεσε,

A dem diei appellationẽ acceperit, hæc verò noctis: Iterum nos docere vult, quòd ſicut tenebras ſeparauit producta luce, & vtriſq; congruum vocabulum indidit: ita & multitudinẽ aquarum præcepto ſegreget. Et vide ineffabilem potentiam, quæ omnem humanam excedit rationem. Nam ſolùm iubet, & accedit aliud elementorum, & aliud decedit. Dixítque, ait, Deus: Fiat firmamentum in medio aquæ, & ſit diſtinguens inter aquam & aquam. Quid eſt, Fiat firmamentum? Quaſi quis dicat humana lingua: Fiat paries quidam & interſtitium in medio diui-
B dens, & ſeparationem faciens. Et vt diſcas magnam elementerum obediẽtiam, excellentémq; virtutem opificis, ait: Et factum eſt ita. Dixit ſolùm, & opus ſecutũ eſt. 7. *Et fecit,* ait, *Deus firmamentum, & diuiſit Deus inter aquã, quæ erat ſub firmamento, & inter aquã quæ erat ſuper firmamentum.* Dicit: Facto firmamento iuſſit aquas alias ſub firmamentũ ferri, alias autẽ ſupra dorſũ eſſe firmamenti. Sed quid tandẽ eſſe dicem9 hoc firmamentũ? aquámne denſatam, vel aërem quendã cõuolutũ, vel aliam
C aliquam eſſentiã? Haud quis prudentium hoc temerè aſſeuerauerit. Oportet enim magna modeſtia & gratitudine, ea quæ dicuntur, à nobis accipi, & non vltra naturam noſtram progredi, & ſcrutari quæ ſupra nos ſunt: ſed hoc ſolũ ſcire & tenere apud nos, quòd præcepto Domini productum eſt firmamentum, ſeparationem aquarum faciens, quod valeat alias ſub ſe continere, alias verò ſurſum in dorſo ſuo ferre ſublimes. 8. *Et vocauit,* ait, *Deus firmamentum cælum.* Vide quomodo eadem conſequentia etiam nunc
D diuina ſcriptura vſa eſt. Nam ſicut dixit heri, Fiat lux: & poſtquam producta fuit, tunc ſubiecit: Sic diſtinguens inter lucem & inter tenebras, & ſic lucem diẽ vocauit: ita & hodie dixit: Fiat firmamentum in medio aquę. Dein ſicut de luce: ita & hic docuit nos vſum firmamenti, vt diuidat, ait, inter aquam & aquam. Et poſtquam hunc eius vſum declarauit, tunc ſicut luci nomẽ dedit, ita & firmamento ſuũ nomen impoſuit. Et vocauit, ait, Deus firmamentũ cœlũ, hoc quod videtur.

Et quomodo, inquit, volunt aliqui, factos multos cœlos? Non ex diuina ſcriptura hoc didicerunt, ſed ex ſuis opinionibus, vt ita dicant impelluntur. Beatus autem Moſes nihil his amplius docet: nam vt dixit: In principio fecit Deus cœlum & terram: & dein cauſam docuit quare terra eſſet inuiſibilis, nempe quod obtecta à tenebris & aquis abyſſi: poſt formationem lucis, ordine & conſequentia quadam vtens, inquit: Et dixit Deus, Fiat firmamentum. Deinpoſtquam docuit diligenter vſum iſtius firmamẽti, & dixit, vt diſtinguat inter aquam & aquam: iſtuc ipſum firmamentum quod aquarum ſeparationem faciebat, cœlum vocauit.

Multos cœlos eſſe non putat B. Chryſ.

Quis igitur poſt tantam doctrinam feret eos qui ex ſuo capite loqui, & contra diuinam ſcripturam multos cœlos dicere audent? Porrò dicunt: Ecce beatus Dauid laudem Deo offerens, dixit: Laudate eum cœli cœlorum. Ne turberis dilecte, neque putes ſacram ſcripturam ſibiipſi alicubi diuerſam: ſed diſce potius dictorum veritatem, & tenens diligenter illius doctrinam, obtura aures illi contraria dicentibus. Et quid hoc ſit, quod dicere volo, audite magna attentione: vt ne facilè moueamini à volentibus violenta & aliena dicere. Omnes diuini libri veteris teſtamenti Hæbræorum lingua ab initio ſunt compoſiti, & in hoc nobiſcum conſentiunt omnes. Et non ante multos annos aduentus Chriſti, rex quidam Ptolemæus, in conquirendis libris admodum ſtudioſus operæpretium putauit, vt & hos libros colligeret: eáque de cauſa quoſdam Iudæorum Hieroſolymitanorum vocauit, qui eos in Græcam linguam verterent. Et perfectum eſt hoc eius opus. Factum autẽ eſt hoc diuinæ diſpenſationis opus, vt non ſolùm Hebraïcæ linguæ periti, ſed & omnes qui totum orbem inhabitant, ex eis vtilitatem perciperent. Eſt & rarum miraculum, quòd vir qui Iudaica non curabat, hoc fecit, ſed idololatriæ deditus, & religioni damnatæ multum fauens.

Ptolemęus cõuocat Lxx. interpretes.

A φησι, τὸ στερέωμα οὐρανὸν, τοῦτο τὸ ὁρώμενον. καὶ πῶς, φησί, τινες βούλονται λέγειν πολλοὺς οὐρανοὺς γεγενῆσθαι; οὐκ ἀπὸ τῆς θείας γραφῆς ταῦτα διδασκόμενοι, ἀλλ' ἐξ οἰκείων λογισμῶν ὁρμώμενοι. ὁ γὰρ μακάριος Μωϋσῆς οὐδὲν τούτων πλέον ἡμᾶς διδάσκει. εἰπὼν γὰρ, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν, εἶτα τὴν αἰτίαν διδάξας, δι' ἣν ἀόρατος ἐτύγχανεν ἡ γῆ, ὑπὸ τοῦ σκότους καὶ τῶν ὑδάτων τῆς ἀβύσσου καλυπτομένη, μετὰ τὴν τοῦ φωτὸς δημιουργίαν, τάξει τινὶ καὶ ἀκολουθίᾳ χρώμενός φησι· καὶ εἶπεν ὁ θεὸς, γενηθήτω τὸ στερέωμα. B εἶτα τὴν χρείαν αὐτοῦ τούτου τοῦ στερεώματος μετὰ ἀκριβείας διδάξας, καὶ εἰπὼν, ὥστε διαχωρίζειν ἀναμέσον ὕδατος καὶ ὕδατος, αὐτὸ τοῦτο τὸ στερέωμα οὐρανὸν ἐκάλεσε τὸ τῶν ὑδάτων χωρισμὸν ἐργασάμενον. τίς ἂν οὖν λοιπὸν μετὰ τὴν τοσαύτην διδασκαλίαν ἀνάσχοιτο τῶν ἁπλῶς ἐξ οἰκείας διανοίας φθέγγεσθαι βουλομένων, καὶ ἀπεναντίας τῇ θείᾳ γραφῇ πολλοὺς οὐρανοὺς λέγειν ἐπιχειρούντων; ἀλλ' ἰδοὺ φησιν ὁ μακάριος Δαβὶδ αἶνον ἀναφέρων τῷ θεῷ ἔφησεν· αἰνεῖτε αὐτὸν οὐρανοὶ τῶν οὐρανῶν. μὴ θορυβηθῇς ἀγαπητὲ, μηδὲ νομίσῃς τὴν ἁγίαν γραφὴν ἐναντία ἑαυτῇ λέγειν ποτὲ, C ἀλλὰ μάνθανε τὴν ἀλήθειαν τῶν εἰρημένων, καὶ κατέχων τὴν ἀκριβῆ ταύτης διδασκαλίαν ἀπόφραξον τὰς ἀκοὰς τοῖς ἀπεναντίας ταύτῃ φθεγγομένοις. τί δέ ἐστιν, ὃ βούλομαι εἰπεῖν, ἀκούσατε μετὰ πολλῆς τῆς προσοχῆς, ἵνα μὴ εὐκόλως παρασαλεύησθε ὑπὸ τῶν τὰ περισάμενα λέγειν βουλομένων. πᾶσαι αἱ θεῖαι βίβλοι τῆς παλαιᾶς διαθήκης τῇ Ἑβραίων γλώττῃ ἐξ ἀρχῆς ἦσαν συντεθειμέναι, καὶ τοῦτο πάντες ἂν ἡμῖν συνομολογήσαιεν. οὐ πρὸ πολλῶν δὲ τῶν ἐτῶν τῆς τοῦ Χριστοῦ παρουσίας βασιλεύς τις Πτολεμαῖος περὶ τὴν τῶν D βιβλίων συναγωγὴν πολλήν τινα σπουδὴν ποιησάμενος, καὶ πολλὰ ἕτερα συναγαγὼν καὶ διάφορα ἔγνω δεῖν καὶ ταύτας τὰς βίβλους συναγαγεῖν, καὶ μεταπεμψάμενός τινας τῶν ἐν Ἱεροσολύμοις Ἰουδαίων μεταβαλεῖν εἰς τὴν Ἑλλάδα γλῶτταν, καὶ δὴ τοῦτο εἰς ἔργον αὐτῷ ἐξενήνεκται. ἐγένετο δὲ καὶ τοῦτο τῆς τοῦ θεοῦ οἰκονομίας ἔργον, ὥστε μὴ μόνον τοὺς τὴν Ἑβραίων γλῶτταν κεκτημένους, ἀλλὰ καὶ πάντας τοὺς τὴν οἰκουμένην οἰκοῦντας τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπώσασθαι. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι οὐ τῶν Ἰουδαϊκὰ φρονούντων τις τὴν σπουδὴν ταύτην ἐποιήσατο, ἀλλ' ἀνὴρ τοῖς εἰδώλοις προσεστηκὼς, καὶ ἀπεναντίας τῇ θρησκείᾳ διακείμενος.

Τοιαῦτα γάρ ἐστιν ἅπαντα τὰ ὑπὸ τοῦ δεσπότου A τοῦ ἡμετέρου οἰκονομούμενα, ἀεὶ διὰ τῶν ἐναντίων αὔξει τὰ τῆς ἀληθείας προστάγματα. Ταῦτα δὲ οὐχ ἁπλῶς διηγησάμην ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλ' ἵνα εἰδέναι ἔχητε, ὅτι οὐ ταύτῃ τῇ γλώττῃ τῇ ἡμετέρᾳ λέγω, ἀλλὰ τῇ Ἑβραΐδι ἦσαν συντεθειμέναι. Λέγουσι τοίνυν οἱ τὴν γλῶτταν ἐκείνην ἀκριβῶς κεκτημένοι τὸ τοῦ οὐρανοῦ ὄνομα πληθυντικῶς καλεῖσθαι παρὰ τοῖς Ἑβραίοις, καὶ τοῦτο καὶ οἱ τὴν Σύρων γλῶτταν ἐπιστάμενοι συνομολογοῦσι. Καὶ οὐκ ἄν τις εἴποι, τῇ γλώττῃ φησὶ τῇ παρ' αὐτοῖς ὁ οὐρανός, ἀλλ' οἱ οὐρανοί. Διὰ τοῦτο τοίνυν οὕτως εἴρηται τὸ ὑπὸ τοῦ μακαρίου Δα- B βὶδ εἰρημένον, οἱ οὐρανοὶ τῶν οὐρανῶν, οὐκ ἐπειδὴ πολλοί εἰσιν οἱ οὐρανοί, οὐδὲ γὰρ τοῦτο ἡμᾶς ἐδίδαξεν ὁ μακάριος Μωϋσῆς, ἀλλ' ἐπειδὴ συνήθες τῇ γλώττῃ τῶν Ἑβραίων οὕτως ὀνομάζειν τὴν τοῦ ἑνὸς προσηγορίαν πληθυντικῶς. Ἐπεὶ εἰ πολλοὶ ἦσαν, οὐκ ἂν παρέλιπε τὸ πνεῦμα τὸ ἅγιον μὴ διὰ τῆς γλώττης τοῦ μακαρίου τούτου προφήτου διδάξαι ἡμᾶς καὶ τῶν ἄλλων τὴν δημιουργίαν. Ταῦτα ἀκριβῶς κατέχετε παρακαλῶ, ἵνα δύνησθε ἐπιστομίζειν τοὺς ἐναντία τῇ ἐκκλησίᾳ δόγματα εἰσφέρειν βουλομένους, καὶ εἰδῆτε μετ' ἀσφαλείας C τῶν ἐν ταῖς θείαις γραφαῖς κειμένων τὴν δύναμιν. Διὰ γὰρ τοῦτο καὶ συνεχῶς ἐνταῦθα παραγίνεσθε, καὶ ἡμεῖς πυκνότερον τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιούμεθα, ἵνα παρεσκευασμένοι ἦτε πρὸς τὸν αἰτοῦντα ὑμᾶς λόγον. Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν ἐπανέλθωμεν, εἰ δοκεῖ. Καὶ ἐκάλεσεν ὁ θεός, φησι, τὸ στερέωμα οὐρανόν, καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. Σκόπει πόση τῶν ῥημάτων ἡ συγκατάβασις, διὰ τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην. Καθάπερ γὰρ ἐπὶ τοῦ φωτὸς εἶπεν, εἶδεν ὅτι καλός, οὕτω καὶ νῦν ἐπὶ τοῦ οὐρανοῦ ἤτοι τοῦ στερεώματος, καὶ εἶ- D δέν, φησιν, ὁ θεὸς ὅτι καλόν, διδάσκων ἡμᾶς διὰ τούτου τὸ κάλλος αὐτοῦ τὸ ἀμήχανον. Τίς γὰρ οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειεν, ὅτι ἐν τοσούτῳ χρόνῳ ἀκμαῖον διετήρησε τὸ κάλλος, καὶ ὅσῳ προέβη ὁ χρόνος, τοσούτῳ καὶ τὸ κάλλος ἐπιτείνεται; τί γὰρ ὡραιότερον γένοιτ' ἂν τοῦ παρὰ τοῦ δημιουργοῦ τὸν ἔπαινον δεξαμένου; εἰ γὰρ ἡμεῖς ἀνθρώπου ἔργον ὁρῶντες ἀπηρτισμένον θαυμάζομεν τὸ σχῆμα, τὴν θέσιν, τὸ κάλλος, τὴν ἀναλογίαν, τὸν ῥυθμόν, τὰ ἄλλα ἅπαντα, τὸ ὑπὸ τοῦ θεοῦ δημιουργηθὲν πῶς ἄν τις καθ' ἀξίαν ἐπαινέσειε, καὶ μάλιστα ὅταν καὶ παρὰ τοῦ δεσπότου τὸν ἔπαινον δέξηται.

Hoc enim modo ſe habent omnia quæ à domino noſtro diſpenſantur, vt per aduerſarios ſemper creſcant veritatis præcepta. Hæc autem non temerè veſtræ charitati narrauerim, ſed vt ſcire poſſitis, quòd non hac lingua, noſtra inquam, ſed Hebraica erant hi libri compoſiti. Dicunt igitur qui linguæ eius apprimè gnari ſunt, Cœli nomẽ plurali numero ab Hebræis vocari, quod confitentur & qui Syrorũ linguam ſciunt. Et nemo ea lingua dicit cœlum, ſed cœli. Et idcirco ſic dictum eſt quod à beato Dauid dictum, Cœli cœlorum: non quòd multi ſunt cœli (non enim hoc nos docuit beatus Moſes) ſed quia mos eſt linguæ Hebraicæ, vnam rem nominare plurali numero: quia ſi multi eſſent, non omiſiſſet Spiritus ſanctus per linguam prophetæ, quin & illorum formationem nos doceret. Hæc diligenter ſeruate obſecro, vt poſſitis obſtruere ora eorum, qui contraria eccleſiaſticis doctrinis afferunt, & videatis virtutem eorum quæ in ſcriptura continentur. Nam idcirco frequenter hic conuenitis, & nos vberiorem doctrinam communicamus, vt parati ſitis omni poſcenti vos rationem reddere. Sed ad conſequentia & textum redeamus, ſi placet. *Et vocauit*, ait, *Deus firmamentum cælum. Et vidit Deus, quòd bonum.* Attende quantum his verbis humanæ ſe attemperet infirmitati. Nam ſicut de luce dixit: Vidit quòd eſſet bona: ita & nunc de cœlo dicit, hoc eſt, de firmamento: Et vidit, inquit, Deus, quòd eſſet bonum: docens nos per iſtud immẽſam pulchritudinem ſuam. Quis enim non obtupeſceret ac admiraretur quòd firmamentum tanto tempore vigentem ſeruat pulchritudinem; & quantum progreditur tempus, tantum augetur & pulchritudo? Quid enim ſpecioſius eo, quod laudem ab ipſo opifice accepit? Nam ſi nos hominis opus videntes abſolutum, admiramur figuram, ſitum; pulchritudinem, proportionem, elegantiam, aliáque omnia: quod factum eſt à Deo, quis dignè laudarit; præſertim quum ab ipſo domino laudem accepit?

Hebraicæ linguæ idiotiſmus

1. Pet. 3. 15.

Hic ſupra.

Hæc enim dicta ita ſunt, vt ſe attemperaret noſtræ fragilitati: videbiſque hoc per ſingulas creaturas dici, & ita confundi, & multis antea ſeculis confici linguas eorum, quæ allocuturæ ſe erant contra opificium Dei; & dicturæ: Quare hoc & hoc factum eſt? Talia igitur dicturos antè comprimit, dicens: Et vidit Deus quòd bonum. Quando autem audis, quod vidit Deus, & laudauit: intellige dictum prout dignum eſt de Deo loqui. Nam qui produxit cœlum, etiam priuſquam formaret, ſciebat formandi cœli pulchritudinē.

Deum videre quippiā quid ſit.

Sed quia nos homines tanta ſumus imbecillitate circundati, aliter hoc intelligere nō potuimus: ideo ſic direxit Spiritus beati prophetæ linguam, vt ad erudiendum humanum genus, tanta verborũ vteretur craſſitudine. Quando igitur ſubleuas oculos, & ſpectas cœli pulchritudinem, magnitudinem, vtilitatem: tunc inde ad opificem aſcende, ſicut & ſapiens quidam dicebat: Ex magnitudine

Sap. 13. 5.

& pulchritudine creaturarum, vniuerſi conditor per proportionem conſideratur. Et vide domini tui virtutem, etiam ex horum elementorum formatione, quanta ſit. Nam cui ſagax eſt animus, ſi voluerit per ſingula viſibilia ſcrutari (& quid dico per ſingula quæ facta ſunt?) ſuam ſolam formationem ſi accuratè voluerit conſiderare, videbit ex paruis illis immenſam & ineffabilem Dei potentiam. Quòd ſi viſibilia ſola ſufficiunt nobis ad docendam potentiæ conditoris magnitudinem, vbi & ad inuiſibiles veneris virtutes, & mentem extenderis ad angelorum exercitus, archāgelorum, ſupernarum virtutum, thronorum, dominationum, principatuum, poteſtatum, Cherubim, Seraphim: quæ mens qui ſermo ſufficiet enarrare magnificenciam eius inenarrabilem? Nam ſi beatus Propheta Dauid, quum diſpoſitionem viſibiliũ conſideraſſet, exclamabat dicens: Quàm

Pſal. 103. 24.

magnificata ſunt opera tua Domine, omnia in ſapientia feciſti: ſi inquā vir tanto ſpiritu præditus, & cui incerta & occulta ſapientiæ diuinæ manifeſtata ſunt, ſic exclamabat: quid diceremus

Ibid. 50.

nos quĩ terra & cinis ſumus? & debemus continuò vultum ſubmittere,

A τοῦτο γὰρ διὰ τὴν ἡμετέραν συγκατάβασιν εἴρηται, καὶ ὄψει αὐτὸν ἐφ' ἑκάστου τῶν γινομένων τοῦτο λέγοντα, καὶ προαναιροῦντα τὴν τόλμαν τῶν μετὰ ταῦτα μελλόντων τὴν οἰκείαν γλῶσσαν ἀκονᾶν, κατὰ τῆς τοῦ θεοῦ δημιουργίας καὶ λεγόντων, διατί τὸ καὶ τὸ γέγονε; τοὺς ταῦτα τοίνυν ἐπιχειροῦντας λέγειν προαναστέλλων φησί· καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. ὅταν δὲ ἀκούσῃς, ὅτι εἶδεν ὁ θεὸς, καὶ ἐπήνεσε, θεοπρεπῶς νόει τὸ ῥηθὲν, καὶ ὡς εἰκὸς ἐπὶ τοῦ θεοῦ. ὁ γὰρ παραγαγὼν, καὶ πρὶν ἢ δημιουργήσῃ ἠπίστατο τοῦ δημιουργουμένου τὸ κάλλος· ἀλλ' ἐπειδὴ ἀνθρώπους ἡμᾶς ὄντας, καὶ τοσαύτῃ ἀσθενείᾳ

B περιβεβλημένους οὐκ ἐνῆν ἑτέρως ἀκοῦσαι, διὰ τοῦτο παρεσκεύασε τοῦ μακαρίου προφήτου τὴν γλῶτταν τῇ παχύτητι τούτων χρήσασθαι τῶν ῥημάτων πρὸς διδασκαλίαν τῆς τῶν ἀνθρώπων φύσεως. ὅταν τοίνυν ἀνατείνῃς τὸ ὄμμα, καὶ θεάσῃ τοῦ οὐρανοῦ τὸ κάλλος, τὸ μέγεθος, τὴν χρείαν, τότε ἐντεῦθεν ἐπὶ τὸν δημιουργὸν ἀνάδραμε, καθάπερ σοφός τις ἔλεγεν· ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται. καὶ σκόπει τοῦ δεσπότου σου τὴν δύναμιν, ὅση τίς ἐστι, καὶ ἐκ τῆς

C τῶν στοιχείων τούτων δημιουργίας. ὁ γὰρ εὐγνώμονα ψυχὴν ἔχων, εἰ βουληθείη καθ' ἕκαστον τῶν ὁρωμένων διερευνᾶσθαι, καὶ τί λέγω καθ' ἕκαστον τῶν γινομένων; τὴν οἰκείαν μόνον διάπλασιν ἐὰν ἀκριβῶς βουληθῇ διασκέψασθαι, ὄψεται καὶ διὰ τῶν μικρῶν τούτων τὴν ἄφατον καὶ ἀνεκδιήγητον τοῦ θεοῦ δύναμιν. εἰ δὲ τὰ ὁρώμενα ἱκανὰ διδάξαι τὸ μέγεθος τῆς τοῦ δημιουργοῦ δυνάμεως, ἐὰν καὶ ἐπὶ τὰς ἀοράτους δυνάμεις ἔλθῃς, καὶ τὸν λογισμὸν ἀνατείνῃς ἐπὶ τὰς τῶν ἀγγέλων στρατιὰς, τῶν ἀρχαγγέλων, τῶν ἄνω δυνάμεων, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν

D ἀρχῶν, τῶν ἐξουσιῶν, τῶν Χερουβὶμ, τῶν Σεραφὶμ, ποία διάνοια; ποῖος λόγος ἀρκεῖ ἐξειπεῖν τὴν μεγαλοσύνην αὐτοῦ τὴν ἀδιήγητον; εἰ γὰρ Δαβὶδ ὁ μακάριος προφήτης τῶν ὁρωμένων τὴν διακόσμησιν καταμαθὼν ἐβόα λέγων, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας· ἀνὴρ τοσούτου πνεύματος ἠξιωμένος καὶ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ μαθεῖν καταξιωθεὶς, τί ἂν εἴποιμεν ἡμεῖς, οἱ γῆ καὶ σποδὸς ὄντες, καὶ διηνεκῶς ὀφείλοντες κάτω κύπτειν,

καὶ ἐκπλήττεσθαι τοῦ τῶν ἁπάντων δεσπότου τὴν ἄφατον φιλανθρωπίαν; καὶ τί λέγω τὸν προφήτην; ὁ γὰρ μακάριος Παῦλος, ἡ οὐρανομήκης ἐκείνη ψυχή, ὁ σῶμα περικείμενος, καὶ ταῖς ἀσωμάτοις δυνάμεσιν ἁμιλλώμενος, ὁ ἐν γῇ βαδίζων, καὶ τῇ προθυμίᾳ τὸν οὐρανὸν περιπολῶν, εἰς μέρος ἕν τι τῶν οἰκονομιῶν τοῦ θεοῦ ἐμπεσὼν τὸ κατὰ Ἰουδαίους καὶ Ἕλληνας λέγω, καὶ πῶς οἱ μὲν ἐξεβλήθησαν, οἱ δὲ ἀντεισήχθησαν, καὶ διαπορήσας, καὶ ἰλιγγιάσας ἀνέκραξε μέγα βοῶν, καὶ λέγων, ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. ἀλλ' ἐνταῦθα ἡδέως ἐροίμην τοὺς τὴν τοῦ υἱοῦ θεοῦ γέννησιν περιεργάζεσθαι τολμῶντας, καὶ τοῦ ἁγίου πνεύματος τὴν ἀξίαν καθαιρεῖν ἐπιχειροῦντας· πόθεν εἰπέ μοι τῆς τοσαύτης τόλμης ἡ προπέτεια; ἀπὸ ποίας παρανοίας εἰς τοσοῦτον μανίας ἐξωκείλατε; εἰ γὰρ Παῦλος ὁ τοσοῦτος, καὶ τηλικοῦτος καὶ τὰ κρίματα αὐτοῦ, τουτέστι τὰς οἰκονομίας, τὰς διοικήσεις ἀνεξερεύνητά φησιν εἶναι, καὶ οὐκ εἶπεν ἀκατάληπτα, ἀλλ' ἀνεξερεύνητα, ὥστε μηδὲ ἐρευνᾶν ἐπιδέξασθαι, καὶ ἀνεξιχνίαστοί φησιν αἱ ὁδοὶ αὐτοῦ, πάλιν τὸ αὐτὸ λέγων, ὁδοὺς τὰ προστάγματα καλῶν καὶ τὰς ἐντολάς, πῶς ὑμεῖς αὐτὴν τὴν οὐσίαν τοῦ μονογενοῦς περιεργάζεσθαι τολμᾶτε καὶ τοῦ ἁγίου πνεύματος τὴν ἀξίαν ἐλαττοῦν τό γε καθ' ὑμᾶς; ὁρᾶτε ἀγαπητοί, ὅσον ἐστὶ κακὸν τὸ μὴ προσέχειν μετ' ἀκριβείας τοῖς ἐν τῇ θείᾳ γραφῇ κειμένοις. οὗτοι γὰρ εἰ τὰ ἀπὸ τῆς θείας γραφῆς διδάγματα μετ' εὐγνωμοσύνης ἐδέχοντο, καὶ μὴ τὰ ἀπὸ τῶν οἰκείων λογισμῶν εἰσέφερον, οὐκ ἂν εἰς τοσαύτην ἄνοιαν ἐξετράπησαν. ἀλλ' ἡμεῖς μηδὲ οὕτω παυσώμεθα τὰ ἀπὸ τῆς θείας γραφῆς αὐτοῖς ἐνηχοῦντες, καὶ τὰς ἑαυτῶν ἀκοὰς ἀποτειχίζοντες τοῖς ὀλεθρίοις αὐτῶν διδάγμασιν. ἀλλ' οὐκ οἶδα, πῶς πάλιν ὑπὸ τῆς ῥύμης τοῦ λόγου εἰς ταῦτα ἐξενεχθέντες, τῆς ἀκολουθίας ἐξεπέσαμεν· διὸ πάλιν ἐπάγειν δεῖ τὸν λόγον ἐπὶ τὰ πρότερα. καὶ ἐκάλεσέ φησιν ὁ θεὸς τὸ στερέωμα οὐρανόν, καὶ εἶδεν ὁ θεός, ὅτι καλόν, καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα δευτέρα. ἐπιθεὶς τὴν προσηγορίαν τῷ στερεώματι, καὶ ἐπαινέσας τὸ γεγονὸς τέλος ἐπέθηκε τῇ δευτέρᾳ ἡμέρᾳ, καί φησι· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα δευτέρα,

A & obſtupeſcere vniuerſorum domini ineffabilem benignitatem. Et quid dico prophetam? Beatus ipſe Paulus, anima illa ad cœlos vſque ſublimis, corpore circumdatus, & cum incorporeis virtutibus certans, in terra ambulans, & mentis promptitudine in cœlo vagans, cùm in vnam partem diſpenſationum Dei incideret (de Iudæis & Gentilibus loquor, quòd illi quidem eiecti, hi autem in locum illorum introducti fuiſſent) & ſecum dubitaret, & internorum oculorum vertigine laboraret, exclamauit dicens: O profunditatem Rom. 11 33.
B diuitiarum & ſapientiæ & ſcientiæ Dei, quàm imperſcrutabilia ſunt iudicia eius, & imperueſtigabiles viæ eius! Sed hîc libenter rogarim eos, Diuinitas Spiritus ſancti.
qui de natiuitate filij curioſius exquirunt, & ſancti Spiritus dignitatem imminuere attentant: vnde vobis obſecro tantæ audaciæ temeritas? à qua inſipientia in tantam ruiſtis inſaniam? Nam ſi Paulus tantus & talis, & iudicia eius (hoc eſt, diſpenſationes & gubernationes) imperſcrutabilia eſſe dicit: & non dicit incom-
C prehenſibilia, ſed imperſcrutabilia, ita vt ſcrutari ea nemo poſſit, & imperueſtigabiles dicit vias eius: iterum idem dicens vias, mandata vocans & præcepta: quomodo vos eſſentiam vnigeniti ipſam curioſius explorare, & Spiritus ſancti dignitatem, quantum in vobis eſt, imminuere audetis? Videte dilectiſſimi, quantum malum ſit non diligenter attendere ad ea quæ in diuinis ſcripturis ſunt contenta. Hi enim ſi cum gratitudine doctrinas diuinę ſcripturæ accepiſſent, & nõ ſua ex proprio capite excogitaſſent; neuti-
D quam in tantam veniſſent amentiam. At nos neque ſic ceſſemus diuinę ſcripturę teſtimonia ipſis obiicere, & aures noſtras ad peſtilentes eorum doctrinas obſepire. Sed neſcio quomodo iterum ab impetu orationis in hæc euecti ſumus, & à contectu excidimus, ideo iterum ad priora redeat ſermo. *Et vocauit*, ait, *Deus firmamentum cœlum, & vidit Deus quòd bonum. Et factum eſt veſpere, & factum eſt mane dies ſecũdus.* Appellatione indita firmamento, & laudato opere, finem impoſuit diei ſecundo, & dixit: Et factum eſt veſpere & factum eſt mane dies ſecundus.

A Vidiſti quanta diligentia nos docet, finem lucis veſperam vocans, & finem noctis mane, & totum illud diem: vt ne erremus nos, neque putemus veſperam, finem eſſe diei: ſed manifeſtè ſciamus, quòd vtriuſq; ſpatium vnum diem implet? Et veſpere finem lucis rectè quis dixerit, mane autem, hoc eſt finem noctis, complementum diei. Hoc enim vult diuina ſcriptura manifeſtare, dicens: Et factum eſt veſperum, & factum eſt mane dies ſecundus. Fortè prolixiùs ſermonem extendimus non volentes, ſed ab ipſa verborum conſequentia quaſi rapido quodam amne vi abſtracti. Vóſque huius cauſa eſtis, qui magna cum voluptate dicta noſtra auditis. Nihil enim ſic excitare poteſt dicentem, & ſententiarum magnam copiam illi afferre, vt auditorum alacritas. Et ſicut ſupini & deſides auditores etiam multum eloquio valentem reddunt ſegniorem: ita vos per Dei gratiam, etiamſi magis muti eſſemus quàm lapides, poſſetis noſtrum ſtuporem emendare, & ſomnolentiam diſcutere, cogeréque vt dicamus ea quæ vobis conducunt, & ad veſtram ædificationem pertinent. Quoniam igitur tales eſtis, &
Rom. 15. 14. qui à Deo docti, iuxta beatum Paulum, & alios admonere: age obſecramus vos, vt ſi per quod aliud, maximè per ieiunij tempus, magnam bene viuendi curam geratis: nec fiat vobis ſermo faſtidioſus, ſi quotidie de eiſ-
Phil. 3. 1. dem loquamur. Eadem enim dicere mihi quidem non graue, ſecundùm beatum Paulum, vobis autem tutum. Opus enim habet anima noſtra ſegnis continua admonitione & ſuggeſtione. Et ſicut corpus hoc quotidie opus habet corporali alimento, vt ne in magnam ægritudinem incidens, nihil facere poſſit: ita & anima opus habet ſpirituali cibo, & optima conuerſatione, vitæque ratione, vt in conſuetudinem aliquam bonorum, & virtutem perueniens, inuicta ſit, & reſiſtere poſſit maligni hoſtis inſidiis. Quotidie igitur eius vir-
Moralis exhortatio. tutem operoſè curemus, & nos ipſos examinantes, nunquam deficiamus. Rationarium quoq; nobis cõficiamus eorum quæ accipimus, & quæ expen-

A εἶδες πῶς μετ' ἀκριβείας ἡμᾶς διδάσκει, τὸ μὲν τέλος τοῦ φωτὸς ἑσπέραν καλῶν, τὸ δὲ τέλος τῆς νυκτὸς πρωΐαν, καὶ ἡμέραν τὸ πᾶν προσαγορεύων, ὥστε μὴ πλανᾶσθαι ἡμᾶς, μηδὲ νομίζειν τὴν ἑσπέραν τέλος εἶναι τῆς ἡμέρας, ἀλλ' εἰδέναι σαφῶς ὅτι ἀμφοτέρων τὸ μῆκος μίαν ἡμέραν πληροῖ; καὶ ἡ μὲν ἑσπέρα τέλος τοῦ φωτὸς ἂν δικαίως λέγοιτο, ὁ δὲ ὄρθρος, τουτέστι τὸ τέλος τῆς νυκτὸς πλήρωμα τῆς ἡμέρας. τοῦτο γὰρ βούλεται δηλοῦν ἡ θεία γραφὴ φάσκουσα, καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα δευτέρα. τάχα εἰς
B πολὺ μῆκος τὸν λόγον ἐξετείναμεν οὐχ ἑκόντες, ἀλλ' ὑπ' αὐτῆς ὡς ἂν εἴποι τις τῆς τῶν λόγων ἀκολουθίας, καθάπερ ὑπὸ χειμάρρου τινὸς σφοδροτάτου παρασυρέντες. καὶ τούτου δὲ ὑμεῖς αἴτιοι οἱ μεθ' ἡδονῆς ἀκούοντες τῶν παρ' ἡμῶν λεγομένων. οὐδὲν γὰρ οὕτω διεγείρειν δύναται τὸν λέγοντα, καὶ εἰς πλείονα εὐπορίαν ἀγαγεῖν νοημάτων, ὡς ἡ τῶν ἀκροατῶν προθυμία. καὶ ὥσπερ οἱ ἀναπεπτωκότες καὶ ῥᾴθυμοι ἀκροαταὶ καὶ τὸν λέγειν δυνάμενον ὀκνηρότερον ἐργάζονται· οὕτως ὑμεῖς διὰ τὴν τοῦ θεοῦ χάριν κἂν αὐτῶν τῶν λίθων ὦμεν ἀφωνότεροι, ἱκανοὶ τυγχάνετε τὴν ἡμετέραν νωθρίαν διεγεῖραι, καὶ
C τὸν ὕπνον ἀποτινάξαι, καὶ βιάσασθαι εἰπεῖν τι τῶν ὑμῖν χρησίμων, καὶ εἰς τὴν ὑμετέραν οἰκοδομὴν συντεινόντων. ἐπεὶ οὖν τοιοῦτοι τυγχάνετε θεοδίδακτοι ὄντες, δυνάμενοι κατὰ τὸν μακάριον Παῦλον καὶ ἄλλους νουθετεῖν, φέρε παρακαλέσωμεν ὑμᾶς, εἰ καί ποτε ἄλλοτε κατὰ τὸν τῆς νηστείας καιρόν, πολλὴν τῆς ἀρετῆς τῆς κατὰ θεὸν πρόνοιαν ποιήσασθαι, καὶ μὴ προσκορής τις ὑμῖν ὁ λόγος ἔστω, εἰ καθ' ἑκάστην ἡμέραν ὑμῖν περὶ τῶν αὐτῶν διαλεγόμεθα. τὰ αὐτὰ γὰρ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν κατὰ τὸν μακάριον Παῦλον, ὑμῖν δὲ ἀσφα-
D λές. δεῖται γὰρ ἡμῶν ἡ ψυχὴ ῥᾴθυμος οὖσα συνεχοῦς τῆς ὑπομνήσεως, καὶ καθάπερ τὸ σῶμα τοῦτο καθ' ἑκάστην ἡμέραν δεῖται τῆς σωματικῆς τροφῆς, ὥστε μὴ εἰς πολλὴν ἀσθένειαν ἐμπεσὸν ἀνενέργητον κεῖσθαι. οὕτω δὴ καὶ ἡ ψυχὴ χρήζει τῆς πνευματικῆς τροφῆς καὶ τῆς ἀρίστης πολιτείας, ὥστε ἐν συνηθείᾳ τινὶ τῶν καλῶν γινομένην αὐτήν, ἀχείρωτον λοιπὸν καταστῆναι ταῖς ἐπιβουλαῖς E τοῦ πονηροῦ. καθ' ἑκάστην τοίνυν τὴν ἡμέραν ταύτης τὴν ἰσχὺν περιεργαζώμεθα, καὶ ἑαυτοὺς διερευνώμενοι μηδέποτε διαλείπωμεν, καὶ λογοθέσιον ἑαυτοῖς ποιῶμεν, καὶ τῶν εἰσαγομένων τι μὲν

A τί μὲν χρησίμως ἐφθεγξάμεθα, τί δὲ ἀργὸν ῥῆμα προηνέγκαμεν. καὶ πάλιν, τί μὲν τῶν ἐπωφελῶν διὰ τῆς ἀκοῆς εἰς τὴν ψυχὴν εἰσηγάγομεν, τί δὲ τῶν βλάπτειν δυναμένων πάλιν εἰς αὐτὴν εἰσηνέγκαμεν. καὶ τῇ μὲν γλώττῃ κανόνας τινὰς καὶ ὅρους ἐπιθῶμεν, ὥστε πρότερον διαμαρυκᾶσθαι τὰ ῥήματα, καὶ οὕτω προφέρειν τοὺς λόγους· τὴν δὲ διάνοιαν παιδεύωμεν μηδὲν προΐεσθαι τῶν βλαβερῶν· ἀλλὰ κἂν ἔξωθέν τι ἐπεισφέρηται τοιοῦτο, ταῦτα ὡς περιττὰ καὶ βλάπτειν δυνάμενα ἀποσείεσθαι, κἂν ἔνδοθεν τίκτηται, ταχέως αὐτὰ φυγαδεύειν τῷ εὐσεβεῖ λογισμῷ, καὶ B μὴ νομίζωμεν τὴν ἀσιτίαν μόνον τὴν μέχρι τῆς ἑσπέρας ἀρκεῖν ἡμῖν πρὸς σωτηρίαν. εἰ γὰρ Ἰουδαίοις τοῖς ἀγνώμοσιν ἔλεγεν ὁ φιλάνθρωπος δεσπότης διὰ τοῦ προφήτου· ἰδοὺ ἔτη ἑβδομήκοντα, μὴ νηστείαν νενηστεύκατέ μοι; καὶ ἐὰν φάγητε καὶ πίνητε, οὐχ ὑμεῖς ἐσθίετε καὶ πίνετε; τάδε λέγει κύριος παντοκράτωρ, κρίμα δίκαιον κρίνατε, καὶ ἔλεον, καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, καὶ χήραν καὶ ὀρφανὸν καὶ προσήλυτον μὴ καταδυναστεύητε, καὶ κακίαν ἕκαστος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακεῖτε ἐν ταῖς καρδίαις ὑμῶν. C εἰ τοίνυν ἐκείνοις τοῖς ἐπὶ τῇ σκιᾷ παρακαθημένοις, καὶ τῷ σκότῳ τῆς πλάνης προσηλωμένοις, οὐδὲν ὄφελος ἀπὸ τῆς νηστείας μόνης ἐγίνετο μὴ ταῦτα κατωρθωκόσι, καὶ τὴν κακίαν τὴν πρὸς τὸν πλησίον ἐκ τῆς καρδίας ἐξορίσασι, ποίαν ἕξομεν ἡμεῖς ἀπολογίαν οἱ τὰ μείζονα ἀπαιτούμενοι, καὶ οὐ ταῦτα μόνον ποιεῖν κελευόμενοι, ἀλλὰ καὶ ἐχθροὺς ἀγαπᾶν, καὶ εὐεργετεῖν προσταττόμενοι; καὶ τί λέγω εὐεργετεῖν; εὔχεσθαι μὲν οὖν ὑπὲρ αὐτῶν, καὶ τὸν δεσπότην παρακαλεῖν, καὶ ἱκετεύειν εἰς τὴν ὑπὲρ αὐτῶν κηδεμονίαν; τοῦτο γὰρ ἡμῶν μάλιστα πάντων D ἐν ἐκείνῃ τῇ φοβερᾷ προστήσεται ἡμέρᾳ, καὶ δαπάνη μεγίστη ἔσται τῶν ἡμῖν ἡμαρτημένων, ἐὰν οὕτω πρὸς τοὺς ἐχθρωδῶς πρὸς ἡμᾶς ἔχοντας διακείμεθα. εἰ γὰρ καὶ μέγα ἐστὶ σφόδρα τὸ ἐπίταγμα, ἀλλ' ἐὰν τὸ ἔπαθλον ἐννοήσῃς τὸ κείμενον τοῖς τοῦτο κατορθοῦσιν, οὐδὲν ὅλως φανεῖται, κἂν σφόδρα μέγα ᾖ. τί δὲ τοῦτό ἐστιν; ἐὰν τοῦτο ποιήσητε, φησίν, ὅμοιοι ἔσεσθε τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. καὶ ἵνα σαφέστερον ἡμῖν τὸν λόγον ποιήσῃ, ἐπήγαγεν, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

dimus: quidnã vtiliter & bene loquuti ſimus, & quod ocioſum verbum protulerimus. Et iterum quid vtile per aures in animam intromiſerimus, & quid quod nocere poſſit. Præterea & linguæ regulas aliquas & canones ponamus, ita vt prius ruminentur & librentur verba, & poſtea proferantur ſermones. Mentem verò ita inſtituamus, vt ne quid nociuum promat: & ſi fortè aliquid tale forinſecus inferatur, id ſtatim vt ſuperfluum & damnoſum amoueamus: & ſi intrinſecus naſcitur, ſtatim pia cogitatione illud effugemus, & ne exiſtimemus inediam vſque ad veſperam ad ſalutem nobis ſufficere. Nam ſi peruerſis Iudæis dicebat Deus miſericors per Prophetam: Ecce anni ſeptuaginta: nunquid ieiunauiſtis mihi ieiunium? Et (Zacha. 7. 5.) ſi comederitis & biberitis, nónne vos comeditis & bibitis? Hæc dicit Dominus omnipotens: Iudicium iuſtum iudicate, miſericordiam & miſerationem faciat vnuſquiſque cum proximo ſuo: & viduam, & orphanum, & aduenam, & pauperem non opprimatis: & malum vnuſquiſque veſtrum erga fratrem ſuum non cogitet in cordibus ſuis. (Iudæis ieiuniũ nõ proderat.) Si igitur illis qui in vmbra mortis ſedebant, & tenebris errorum obuincti erant, nihil proderat ſolum ieiunium, quum cætera bona opera non facerent, & è corde malum erga proximum non eliminarent: qualem habituri nos ſumus defenſionem, à quibus maiora exiguntur: & non ſolùm hæc facere iubemur, ſed & inimicos diligere, & (Luc. 6.) eos demereri? & quid dico demereri? imò etiam pro ipſis Dominum precari, & orare vt ſalutis illorum curam gerat? Hoc enim nobis potiſſimum in die illo terribili patrocinabitur, & redemptio maxima erit peccatorum noſtrorum, ſi ſic affecti fuerimus aduerſus inimicos noſtros. Licet enim magnum ſit, & arduum præceptum, ſi tamen præmium cogites repoſitum ſtrenuè id exequentibus, nihil omnino videbitur, etiam ſi valde arduum ſit. Et quod eſt hoc? Si hoc feceritis, ait, ſimiles eritis patri veſtro, qui (Matth. 5. 45.) in cœlis eſt. Et vt manifeſtius hunc ſermonem nobis declaret, ſubdidit, quòd ſolem ſuum oriri facit ſuper malos & bonos, & pluit ſuper iuſtos & iniuſtos.

Imitaris enim, inquit, pro humanis viribus Deum. Nam ſicut ille non ſolùm iuſtis, ſed & his qui mala operantur, ſolem oriri facit: & pluuiam & imbres annuos non bonis ſolùm ſuppeditat, ſed & malis: ſic & tu ſi nō ſolùm diligentes diligis, ſed & inimicos, pro virili dominum tuum imitaris. Vidiſti quomodo in ſupremum culmen eduxit eum qui hanc operari valet virtutem ? Veruntamen ne difficultatem rei ſolùm cogites, ſed prius ſupputa tecum quantum honorem habiturus ſis: & hæc honoris occaſio leue faciat & quicquid graue eſt & oneroſum. An non pro beneficio habendum, quòd occaſio tibi præbetur, dum inimico benefacis, vt aperiantur tibi ianuæ fiduciæ veniendi ad Deum, & redimendi peccata tua? An fortè de inimico vlciſci, & eum qui malis te afficit, paribus vel maioribus plecti vis? Et quid inde commodi? neque tu aliquid inde vtilitatis habiturus es, ſed propter hoc iudicaberis apud horrendum illud tribunal, ceu qui leges tanti iudicis obliteraueris & infregeris. Dic oro, ſi rex aliquis terrenus legem poſuiſſet, vt vel inimicorum noſtrorū curam geramus, vel morte puniamur: an nō metu mortis corporalis omnes accurrerent ad implendam legem ? Quanta igitur accuſatione dignus fuerit is, qui ob corporalem mortem, quam alioqui natura neceſſitas afferet, omnia facere paratus, propoſita autem pœna mortis, quæ nullam inuenerit conſolationem, minus curat legem ab vniuerſorum domino latam ? Sed mei oblitus ſum, dum hæc loquor his, qui nec benefacientibus parem gratiam rependunt. Quis igitur poſthac è ſupplicio illo nos eripiet, quando non ſolum ab hoc mandato longè diſtamus, ſed neque ea facimus quæ
Matth. 5 publicani ? Si enim diligitis diligentes vos, ait, quid magni facitis ? nónne & publicani hoc idem faciunt ? Quum igitur neque hoc à nobis fit, quæ ſalutis noſtræ ſpes ? Ideo oro, ne ſimus immiſericordes, ſed noſtras cogitationes domemus, & primùm quidem diſcamus vincere proximum charitate:

A μιμῇ γάρ φησι κατὰ δύναμιν ἀνθρωπίνην τὸν θεόν. καθάπερ γὰρ ἐκεῖνος οὐ δικαίοις μόνον τὸν ἥλιον ἀνατέλλει, ἀλλὰ καὶ τοῖς τὰ πονηρὰ ἐργαζομένοις, καὶ τὸν ὑετὸν, καὶ τοὺς ἐτησίους ὄμβρους, οὐ τοῖς ἀγαθοῖς μόνον χορηγεῖ, ἀλλὰ καὶ τοῖς πονηροῖς, οὕτω καὶ σὺ ἐὰν μὴ μόνον τοὺς ἀγαπῶντας ἀγαπᾷς, ἀλλὰ καὶ τοὺς ἐχθρωδῶς πρός σε διακειμένους κατὰ τὴν δύναμιν τὴν σὴν, τὸν δεσπότην μιμῇ τὸν σόν. εἶδες πῶς εἰς τὴν ἀνωτάτω κορυφὴν ἀνήγαγε τὸν ταύτην κατορθοῦν δυνάμενον τὴν ἀρετήν; ἀλλὰ μὴ τὸ δυσχερὲς μόνον ἐννόει τοῦ προστάγματος ἀγαπητὲ, ἀλλὰ πρότερον ἀναλόγιζου κατὰ
B σαυτὸν, ὅσης μέλλεις ἀξιοῦσθαι τῆς τιμῆς, καὶ ἡ τῆς τιμῆς ὑπόθεσις, τὸ βαρὺ καὶ φορτικὸν, κοῦφόν σοι κατασκευαζέτω. οὐ γὰρ ὀφείλεις χάριν εἰδέναι, ὅτι ἀφορμὴν εὑρίσκεις διὰ τῆς εἰς τὸν ἐχθρὸν εὐεργεσίας ἀνοιγῆναί σοι τῆς πρὸς τὸν θεὸν παρρησίας τὰς θύρας, καὶ τῶν ἡμαρτημένων σοι τὴν δαπάνην ἐργάσασθαι; ἀλλ᾽ ἴσως ἐπιθυμεῖς ἀμύνασθαι τὸν ἐχθρὸν, καὶ τὸν κακῶς σε διαθέντα τοῖς ἴσοις περιβάλλειν ἢ καὶ μείζοσι· καὶ τί πλέον ἐκ τούτου ἔσται, ὅταν μετὰ τοῦ μηδὲ ὄνησίν σοι τινὰ γίνεσθαι, καὶ εὐθύνας μέλλεις ὑπὲρ τούτου ὑπέχειν ἐν
C τῷ φοβερῷ ἐκείνῳ δικαστηρίῳ, ὡς τοὺς ὑπ᾽ αὐτοῦ τεθέντας νόμους παραχαράξας; εἰπὲ γάρ μοι, εἰ βασιλεύς τις τῶν ἐπὶ γῆς νόμον τοιοῦτον ἔθηκεν, ὥστε τοὺς ἐχθροὺς θεραπεύειν, ἢ θάνατον εἶναι τὴν τιμωρίαν, οὐκ ἂν διὰ τὸν φόβον τοῦ σωματικοῦ τούτου θανάτου πάντες ἐπέδραμον εἰς τὴν τοῦ νόμου ἐκπλήρωσιν; πόσης οὖν οὐκ ἂν εἴη κατηγορίας ἄξιον διὰ μὲν τὸν σωματικὸν θάνατον, ὃν καὶ ἄνευ τούτου τὸ τῆς φύσεως ἡμῖν χρέος πάντως ἐπείγει, πάντα καταδέχεσθαι ποιεῖν, διὰ δὲ τὸν θάνατον, ἔνθα παραμυθίαν οὐκ ἔστιν εὑρεῖν, ἔλαττον φροντίζειν τοῦ ὑπὸ τοῦ τῶν ἁπάντων δεσπότου κειμένου
D νόμου; ἀλλὰ γὰρ ἔλαθον ἐμαυτὸν ταῦτα διαλεγόμενος τοῖς οὐδὲ πρὸς τοὺς ἀγαπῶντας τὴν ἴσην ἀγάπην ἐπιδεικνυμένοις. τίς οὖν ἡμᾶς λοιπὸν ἐξαιρήσεται τῆς κολάσεως ἐκείνης, ὅταν μὴ μόνον ἐκείνης τῆς ἐντολῆς ὦμεν μακρὰν ἀπῳκισμένοι, ἀλλὰ μηδὲ τὰ αὐτὰ τοῖς τελώναις πράττομεν; ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς φησι, τί μέγα ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; ὅταν οὖν μηδὲ τοῦτο παρ᾽ ἡμῶν γίνηται, ποία σωτηρίας ἡμῖν ἐλπίς; διὸ παρακαλῶ μὴ γινώμεθα ἀσπλαγχνοι, ἀλλὰ δαμάσωμεν ἡμῶν τὸν λογισμὸν, καὶ πρῶτον μὲν παιδεύσωμεν νικᾶν τὸν πλησίον ἐν τῇ ἀγάπῃ,

καὶ κατὰ τὸν μακάριον Παῦλον τῇ τιμῇ ἀλλήλους (A) προηγούμενοι ὑπερέχοντας ἑαυτῶν, καὶ μὴ ἀνέχεσθαι ἐλαττοῦσθαι, ἀλλὰ νικᾶν, καὶ μὴ ὑπερβάλλεσθαι, καὶ πλείονα ἐπιδείκνυσθαι, καὶ θερμοτέραν τὴν περὶ τοὺς ἀγαπῶντας διάθεσιν. τοῦτο γάρ ἐστιν, ὃ μάλιστα συνέχει, καὶ συγκροτεῖ τὴν ζωὴν τὴν ἡμετέραν, καὶ τούτῳ τῶν ἀλόγων καὶ τῶν θηρίων διεστήκαμεν τῷ δύνασθαι, εἰ βουληθείημεν, τὴν προσήκουσαν ἡμῖν τάξιν διατηρεῖν, καὶ πολλὴν περὶ τοὺς πλησίον ὁμόνοιαν δείκνυσθαι· ἔπειτα δὲ ἄγχειν τὸν λογισμόν, καὶ τὸ ἀτίθασσον τοῦτο θηρίον, τὸν θυμὸν λέγω, κατ(B)αξαίνειν, καὶ τὸν ἀγῶνα αὐτῷ τοῦ φοβεροῦ κριτηρίου ἐφιστᾶν, καὶ παιδεύειν, ὅτι εἰ ὑπόσχοιτο πρὸς τοὺς ἐχθροὺς σπείσασθαι, μεγάλων τεύξεται τῶν ἀγαθῶν. εἰ δὲ ἔτι φιλονεικοίη, πολλὴν ὑποστήσεται δίκην. οὐδὲ γὰρ ἁπλῶς καὶ εἰκῇ δαπανᾶν ἡμᾶς τὸν χρόνον προσήκει, ἀλλὰ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν πρὸ ὀφθαλμῶν λαμβάνειν τὸ τοῦ κυρίου κριτήριον. καὶ τίνα μέν ἐστι τὰ πολλὴν ἡμῖν τὴν παρρησίαν προξενεῖν δυνάμενα, τίνα δὲ τὰ τὴν κόλασιν ἐπιτείνοντα, καὶ οὕτω ταῦτα στρέφοντες ἐν τοῖς ἡμετέροις λογισμοῖς περιγινώμεθα τῶν παθῶν, καταστέλλωμεν ἡμῶν τὰ τῆς σαρκὸς σκιρ(C)τήματα, καὶ νεκρώσωμεν ἡμῶν κατὰ τὸν μακάριον Παῦλον τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, θυμόν, πλεονεξίαν, κενοδοξίαν, βασκανίαν. ἐὰν τούτοις τοῖς πάθεσι νεκροὺς ἑαυτοὺς καταστήσωμεν, ὡς μὴ δύνασθαι ἐν ἡμῖν ἐνεργεῖν, δυνησόμεθα τὸν καρπὸν τοῦ πνεύματος δέξασθαι, ὅς ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια. αὕτη τοῦ Χριστιανοῦ πρὸς τὸν ἄπιστον ἔστω ἡ διαφορά· ταῦτα ἡμῶν ἔστω τὰ γνωρίσματα, μὴ τῇ προσηγορίᾳ μόνον ἐγκαλλωπιζώμεθα, μηδὲ τῷ (D) σχήματι μόνον μέγα φρονῶμεν, μᾶλλον δὲ μηδὲ εἰ ταῦτα κτησαίμεθα, ἅπερ ἀπηριθμησάμην, μέγα φρονήσωμέν ποτε, ἀλλὰ καὶ τότε μᾶλλον ἑαυτοὺς συστείλωμεν. ὅταν γὰρ πάντα ποιήσητε φησί, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ἐὰν οὕτω μεμεριμνημένοι τυγχάνωμεν, καὶ τῆς ἑαυτοῦ σωτηρίας φροντίζωμεν, δυνησόμεθα καὶ ἑαυτοὺς τὰ μέγιστα ὠφελεῖν, καὶ κολάσεως τῆς μελλούσης ἐξαρπάζειν, καὶ τοῖς εἰς ἡμᾶς ὁρῶσι διδάσκαλοι γίνεσθαι τῶν συμφερόντων·

A & iuxta beatum Apoſtolum, per animi humilitatem alium quiſque ſe pręſtantiorem arbitrantes, non ſuſtineamus vt vincamur, ſed vincamus & ſuperemus, & maiorem & feruentiorem erga diligentes affectionem demonſtremus. Hoc enim maximè omnium vitam noſtram continet & conſeruat, & hoc à brutis feriſque diſtamus, quòd poſſumus ſi volumus, congruum nobis conſeruare ordinem, & magnam in proximos concordiam declarare: deinde verò cogitationem noſtram coërcere, ac B truculentam illam feram (iram dico) cędere atque ad tremendum tribunal ream peragere, illamque docere, ſi adduci poſſit vt inimicis reconcilietur, fore, vt bonis ingentibus cumuletur: ſin autem in contentione perſeueret, graui ſupplicio puniatur. Neque enim temerè & inutiliter tempus expendere nos oportet: ſed ſingulis diebus & horis ante oculos noſtros proponere Domini iudicium; & quæ ſint ea quæ magnā nobis tūc fiduciam afferre queant, quæ item quæ pœnam inferant. Atque hæc ita verſan- C tes in noſtris cogitationibus, ſuperemus affectiones, & compeſcamus carnis laſciuias: & mortificemus, iuxta beatum Paulum, membra noſtra quæ ſuper terram ſunt, ſtuprum, immunditiam, mollitiem, concupiſcentiam malam, auaritiam, furorem, vanam gloriam, inuidentiam. Quòd ſi has affectiones in nobis mortuas reddiderimus, ita vt in nobis nihil operari valeant: poterimus accipere fructus ſpiritus, qui ſunt charitas, gaudium, pax, longanimitas, benignitas, bonitas, fides, manſuetudo, continen- D tia. Hoc Chriſtiani ab infideli diſcrimen ſit: his ſignaculis internoſcamur, ne ſola appellatione ornemur, neque habitu externo inflemur & ſuperbiamus; imò licet poſſideremus omnia, quę nunc enumeraui, ſuperbiamus nunquam, imò magis nos humiliemus. Nam, quum omnia feceritis, ait, dicite: Inutiles ſerui ſumus. Si ita ſolliciti noſtram ſalutem curauerimus, poterimus, & nobis ipſis prodeſſe plurimum, & à futuro ſupplicio eripi, & his qui nos viderint, magiſtri eſſe rerum vtilium

Ad Phil. 2. 3.
Coloſſ. 3. 5.
Galat. 5. 23.
Luc. 17. 10.

vt diligenter exacta hac vita aſſequamur eam, quæ in futuro ſeculo erit, miſericordiam: quam nobis omnibus concedat gratia & benignitas domini noſtri Ieſu Chriſti, cum quo patri, & ſancto Spiritui gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A ἵνα μετὰ ἀκριβείας τὸν παρόντα διανύσαντες βίον, καταξιωθῶμεν τῆς αἰωνίου φιλανθρωπίας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα κράτος τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Homilia V.

Ὁμιλία ε'.

Gen. 1. 3. *Et dixit Deus: Congregetur aqua ſub cælo, in congregationem vnam, & appareat arida.*

Καὶ εἶπεν ὁ θεός, συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά.

Age & hodie ex beati Moſeos verbis conuiuium inſtruamus veſtræ charitati, & quæ à domino facta ſint die tertio, diligenter conſideremus. Nam ſi hi qui in aurifodinis laborant, vbi diuites venas quaſdam conſpicati fuerint, à fodiendo non deſiſtunt, donec quæ obſtant amouerint, & in profundum deſcendentes, copiam inde auri perceperint: multò magis nos nō auri ramenta inquirentes, ſed inenarrabilem theſaurum inuēturos ſperantes, decet quotidie illum inueſtigare, vt multis ſpiritualibus diuitiis in ſinum noſtrum collectis, domum redeamus. Nam illic quidem diuitiæ ſenſibiles dominis ſuis frequenter multorum periculorum fuerunt authores, & ante pericula breuē voluptatē præbentes illis, ſtatim auolarunt, vel ſycophantis inſidiantibus, vel latronibus parietes effringentibus, vel cuſtodibus famulis ſurripientibus, & fuga elabentibus. Hîc autem nihil tale ſuſpicari licet. Diripi enim ſpiritualis iſte theſaurus nequit, & vbi in promptuaria mentis noſtræ reconditus fuerit, ab omnibus inſidiis eſt ſecurus: modò non per ignauiam locum demus ei qui illum nobis auferre cupit. Quandoquidem inimicus noſter, malignus inquam dæmon, cùm videt vos ſpirituales collegiſſe diuitias, furit & dentibus fremit, multúmque vigilat, vt opportunum tempus captet, quo furari queat intus reconditas: nullum autem accommodum illi tempus eſt præterquam dum nos ignaui ſumus.

Scriptura cum aurifodinis cōparatur.

B Φέρε καὶ σήμερον ἐκ τῶν τοῦ μακαρίου Μωυσέως ῥημάτων τὴν ἑστίασιν παραθῶμεν ὑμῶν τῇ ἀγάπῃ, καὶ τὰ κατὰ τὴν τρίτην ἡμέραν τοῦ δεσπότου δημιουργηθέντα κατοπτεύσωμεν μετὰ ἀκριβείας. Εἰ γὰρ οἱ τὴν χρυσῖτιν γῆν ἀνορύττοντες, ἔνθα ἂν ἴδωσι φλέβας τινὰς ψήγματα ἐχούσας, οὐ πρότερον ἀφίστανται μέχρις ἂν ἀναμοχλεύσαντες, καὶ εἰς αὐτὸ τὸ βάθος κατελθόντες πολλὴν τὴν εὐπορίαν ἐκεῖθεν καρπώσωνται· πολλῷ μᾶλλον ἡμᾶς προσήκει οὐ ψήγματα χρυσίου μέλλοντας διερευνᾶσθαι, ἀλλὰ θησαυρὸν ἄφατον εὑρίσκειν προσδοκῶντας καθ' ἑκάστην ἡμέραν τοῦτον ἀνιχνεύειν, ἵνα πολὺν τὸν πλοῦτον τῆς περιουσίας τῆς πνευματικῆς ἐντεῦθεν καρπωσάμενοι οὕτως οἴκαδε ἐπανέλθωμεν. ἐκεῖ μὲν γὰρ ὁ πλοῦτος ὁ αἰσθητὸς πολλάκις καὶ κινδύνους ἔτεκε τοῖς αὐτὸν κτησαμένοις, καὶ πρὸ τῶν κινδύνων δὲ βραχεῖαν τὴν ἡδονὴν παρέχων ἀθρόον ἀπέπτη, ἢ συκοφαντῶν ἐπιθεμένων, ἢ λῃστῶν ἢ τοιχωρύχων ἢ τῶν οἰκετῶν τῶν φυλαττόντων ὑφελομένων, καὶ δραπετευσάντων. ἐνταῦθα δὲ οὐδέν ἐστι τοιοῦτον ὑφορᾶσθαι, ἀνάλωτος γάρ ἐστιν ὁ πνευματικὸς οὗτος θησαυρός, καὶ ἐπειδὰν εἰς τὰ ταμεῖα τῆς διανοίας τῆς ἡμετέρας ἐναποτεθῇ, ἀχείρωτος γὰρ πάσαις ταῖς ἐπιβουλαῖς μόνον ἐὰν ἡμεῖς μὴ ῥαθυμήσαντες χώραν δῶμεν τῷ τοῦτον ἡμῶν ἀφελέσθαι ἐπιθυμοῦντι. ὁ γὰρ ἐχθρὸς ὁ ἡμέτερος, ὁ πονηρὸς λέγω διάβολος ἐπειδὰν ἴδῃ πλοῦτον πνευματικὸν συλλεγέντα, μέμηνε, καὶ θήγει τοὺς ὀδόντας, καὶ πολλὴν τὴν ἀγρυπνίαν ἐνδείκνυται, ὥστε καιρὸν ἐπιτήδειον εὑρεῖν, καὶ ὑφελέσθαι τι τῶν ἔνδον ἡμῖν ἀποκειμένων.

C

D

οὐδεὶς δὲ ἐκείνῳ καιρὸς ἐπιτήδειος, εἰ μὴ μόνον ἡ ῥαθυμία ἡ ἡμετέρα, διὸ προσήκει διηνεκῶς ἡμᾶς ἐγρηγορέναι, καὶ ἀποτειχίζειν ἐκείνῳ τὰς ἐφόδους. ἐὰν γὰρ ἴδῃ νήφοντας, καὶ πολλὴν τὴν ἀγρυπνίαν ἐπιδεικνυμένους, ἐπειδὰν ἅπαξ καὶ δεύτερον ἐπιθέμενος θεάσηται, ὡς ἀνονήτοις ἐπιχειρεῖ, ἄπεισι λοιπὸν καταισχυνθεὶς, εἰδὼς ὅτι οὐδὲν αὐτῷ πλέον ἔσται, ἡμῶν πολλὴν τὴν φυλακὴν ἐπιδεικνυμένων. ὡς οὖν εἰδότες, ὅτι τὸν παρόντα πάντα βίον ἐναγώνιοι τυγχάνειν ὀφείλομεν, οὕτως ἑαυτοὺς καθοπλίζωμεν ὡσανεὶ παρεστῶτα τὸν ἐχθρὸν ἔχοντες, καὶ ἀδιαλείπτως ἐπιτηροῦντα, μή πού τι μικρὸν ἀπονυστάξαντες ἀφορμὴν ἐπιθέσεως αὐτῷ παράσχωμεν. οὐχ ὁρᾷς τοὺς πολλὰ χρήματα κεκτημένους, ἐπειδὰν ἔφοδον προσδοκῶσι πολεμίων, πόσην πρόνοιαν ἐπὶ τὴν τούτων φυλακὴν ἐπιδείκνυνται, οἱ μὲν θύραις καὶ μοχλοῖς ἐναποκλείοντες, καὶ πᾶσαν ἀσφάλειαν ἐπιδεικνύμενοι· οἱ δὲ εἰς αὐτὴν τὴν γῆν κατορύττοντες, ὥστε δυνηθῆναι πάντας λαθεῖν; τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς προσήκει τὸν πλοῦτον τῆς ἀρετῆς συναγαγόντας μετὰ πολλῆς φυλάττειν τοῦτον ἀκριβείας καὶ μὴ προτιθέναι ὑπὸ τοῖς τῶν ἁπάντων ὀφθαλμοῖς, ἀλλ' ἐν τῷ ἀσφαλεστάτῳ τῆς διανοίας ταμιείῳ τοῦτον κατακρύπτειν, καὶ πάσας τὰς ἐφόδους ἀποτειχίζειν τῷ τοῦτον ὑφελέσθαι ἐσπουδακότι, ἵνα ἀνάλωτον αὐτὸν διαφυλάξαντες δυνηθῶμεν τῆς ζωῆς μεθιστάμενοι ἐφόδιά τινα ἔχειν πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν. ὥσπερ γὰρ οἱ ἐπὶ τῆς ξένης τυγχάνοντες, ἐπειδὰν μέλλωσιν εἰς τὴν οἰκείαν ἐπανιέναι πατρίδα, ἀπὸ πολλοῦ τοῦ χρόνου κατὰ μικρὸν σπεύδουσι, καὶ ἐπείγονται συναγαγεῖν τοσαῦτα τὰ ἐφόδια, ὅσα πρὸς τὸ τῆς ὁδοῦ μῆκος ἀρκεῖν αὐτοῖς δυνήσεται, ἵνα μὴ λάθωσιν ἑαυτοὺς λιμῷ παραδιδόντες· κατὰ τὸ αὐτὸ ἀκόλουθον καὶ ἡμᾶς καθάπερ ἐπὶ ξένης τυγχάνοντας· ξένοι γὰρ πάντες καὶ παρεπίδημοί ἐσμεν· ἐνταῦθα ἤδη σκοπεῖν καὶ προαποτίθεσθαι ἑαυτοῖς τὰ τῆς ἀρετῆς τῆς πνευματικῆς ἐφόδια· ἵν' ὅταν προστάξῃ ὁ δεσπότης εἰς τὴν οἰκείαν ἡμᾶς πατρίδα ἐπανελθεῖν, ἐμπαρεσκευασμένοι ὦμεν, καὶ τὰ μὲν μεθ' ἑαυτῶν ἀποκομίσωμεν, τὰ δὲ προπέμψαντες ὦμεν. τοιαύτη γὰρ τῶν ἐφοδίων τούτων ἡ φύσις, ἅπερ ἂν διὰ τῆς τῶν ἀγαθῶν τούτων πράξεων ἐργασίας θελήσωμεν ἑαυτοῖς προαποθέσθαι, προφθάσαντα ἡμᾶς ἐκεῖ τὰς θύρας ἡμῖν ἀνοίγνυσι τῆς παρρησίας τῆς πρὸς τὸν δεσπότην, καὶ τὴν εἴσοδον προευτρεπίζει, ὥστε μετὰ πάσης ἀδείας εἰσελθεῖν καὶ πολλὴν εὑρεῖν παρὰ τῷ δικαστῇ τὴν εὔνοιαν. καὶ ἵνα μάθῃς, ἀγαπητὲ, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἐννόει μοι, ὅτι ὁ τὴν ἐλεημοσύνην

A Ideo perpetua nobis vigilantia opus eſt ad excludendas illius inſidias. Nam eos quos viderit ſobrios & vigiles, & ſemel atque iterum fruſtra aggreſſus fuerit, relinquit tandem, ſe videns confuſum, & ſciens quòd nihil proficit, ſi in cuſtodia perſtiterimus. Proinde quum ſciamus quòd per omnem hanc vitam nobis certandum eſt, ſic nos armemus, quaſi aſſiſtentem ſemper habeamus inimicum, qui abſque intermiſſione obſeruet, num aliquando vel parum dormitemus, inſidiandi occaſionem ei præbentes. B Non vides, opulenti cùm hoſtium metuunt incurſionem, quanta cura & prouidentia res ſuas cuſtodiant? nam alij ſeris & repagulis ianuas muniunt & occludunt: alij in terram abſcōdunt, ita vt nemo ſcire poſſit vbi lateat. Eadem diligentia & nos collectam virtutum gazam cuſtodire congruit, & non ante omnium oculos proponere: ſed in tutiſſimo mentis promptuario reponere, & omnes rapere volentis inſidias excludere: vt quum indeprædabilem eam ſeruauerimus, ſit nobis viaticum ad futuram vitam hinc migrantibus. C Etenim ſicut hi qui in terra aliena ſunt, & in patriam ſuam redire cupiūt, multo tempore paulatim ſtudent & curant tantum corradere viatici, quantum ad viæ prolixitatem eis ſufficere queat, vt ne fame ſeipſos perdant: ita ſanè facere & nos oportet, quia peregrini hîc ſumus & aduenæ, vt prouideamus & reponamus nobis ſpiritualium virtutum viatica: vt quando præceperit nobis Dominus in noſtram redire patriam, parati ſimus, & alia quidem nobiſcum afferamus, alia autem iam præmiſſa habeamus. D Horum enim viaticorum talis natura eſt, vt ea quæ per bonorum operum actionem voluerimus ante nos præmittere, quum illuc nos præuenerint, ianuas nobis aperiant fiduciæ ad dominum, & introitum facilem, & abſque pauore, & magnam apud iudicem beneuolentiam procurent. Et vt diſcas dilecte, quòd hæc in hunc ſe modum habent, collige hinc, quòd qui liberaliter eleemoſynam

Viaticū virtutū ad vitā futuram.

impertit, & hic bona conſcientia verſatur: vbi hinc tranſierit, magnam apud iudicem miſericordiam inuenit, auditque verba illa beata cum cæteris: Venite benedicti patris
Matt. 25. 34. mei, accipite in hæreditatem regnum, quod vobis præparatum eſt ab origine mundi: quia eſuriui, & dediſtis mihi manducare. Idipſum certè & in aliis virtutibus contingere inueniet quiſpiam. Sic & in confeſſione peccatorum, & continuitate precum eueniturum eſt. Quando enim in præſenti vita per confeſſionem peccata abluere, & remiſſionem à domino aſſequi poterimus: abibimus illuc à peccatis puri, & magnam quæ nobis donatur, fiduciam inueniemus. Neque enim, qui in præſenti vita peccata non abluerit, poſtea conſolationem aliquam illic
Pſal. 6. 6. inuenturus eſt. In inferno enim, ait, quis confitebitur tibi? & meritò: hoc enim eſt ſtadiorum tempus, & conflictuum, & certaminum: illud verò coronarum, retributionum, & præmiorum. Proinde certemus dum adhuc in ſtadio verſamur, ne in tempore, quo coronæ & laborum retributiones ſumuntur, inter eos ſimus, qui confundentur: ſed inter eos, qui cũ fiducia capitibus coronas excipient. Hoc procemio apud charitatem veſtram non temerè, neque in vanum vtimur: ſed quotidie de bonis operibus vos admonere cupimus, vt perfecti, conſummati, virtutibúſque prædita vita ſpectabiles facti, ſitis irreprehenſibiles, & ſynceri, immaculati filij Dei: & luceatis ſicut luminaria in mundo, ſermonem vitæ habentes in noſtri gloriationem in die Chriſti: vt vel ſolo aſpectu his propoſitis, qui vobiſcum verſantur, ac veſtrę ſpiritualis fragrantiæ, veſtræque optimæ vitæ ac bonæ conuerſationis fiant participes. Etenim ſicut mali conſuetudine familiaribus ſuis multum nocent, quemadmodum beatus Paulus
1. Cor. 15. 33. inquit: Corrumpunt bonos mores colloquia praua: ſic & bonorum familiaritas appropinquantibus illis maxima commoda affert. Quamobrem & miſericors dominus noſter inter malos permiſit bonos viuere, vt mali lucrũ aliquod habeant ex ea conſuetudine, nec ſemper in ſua permaneant

A μετὰ δαψιλείας ἐργαζόμενος, καὶ ἐνταῦθα ἀγαθῷ συνειδότι τρεφόμενος διατελεῖ, καὶ ἐπειδὰν ἐντεῦθεν μεταστῇ, πολλὴν εὑρίσκει παρὰ τῷ δικαστῇ τὴν φιλανθρωπίαν, καὶ τῶν μακαρίων ἐκείνων ῥημάτων ἀκούσεται μετὰ τῶν λοιπῶν· Δεῦτε οἱ εὐλογημένοι, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν. τὸ αὐτὸ δὴ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν γινόμενον εὕροι τις ἄν· οὕτω καὶ ἐπὶ τῆς ἐξομολογήσεως τῶν ἁμαρτιῶν, καὶ τῶν εὐχῶν τῶν μετὰ ἐκτενείας γινομένων συμβήσεται. ὅταν γὰρ ἐν τῇ παρούσῃ ζωῇ διὰ τῆς ἐξομολογήσεως, ἀπονίψασθαι τὰ
B πεπλημμελημένα δυνηθῶμεν, καὶ τὴν συγχώρησιν εὑρέσθαι παρὰ τοῦ δεσπότου, ἄπιμεν ἐκεῖ καθαροὶ τῶν ἁμαρτημάτων, καὶ πολλὴν εὑρήσομεν τὴν παρρησίαν ἡμῖν δωρουμένην. οὐδὲ γὰρ οἷόν τε λοιπὸν μὴ εὑρεῖν τινα παραμυθίαν ἐκεῖ τὸν μὴ ἐν τῷ παρόντι βίῳ ἀπονιψάμενον τὰ ἡμαρτημένα. ἐν γὰρ τῷ ᾅδῃ φησὶ τίς ἐξομολογήσεταί σοι, καὶ εἰκότως. οὗτος γάρ ἐστιν ὁ τῶν σκαμμάτων καιρὸς, καὶ τῶν ἀγώνων καὶ τῶν παλαισμάτων, ἐκεῖνος δὲ τῶν στεφάνων, καὶ τῶν ἀμοιβῶν καὶ τῶν βραβείων. ἀγωνισώμεθα τοίνυν ὡς ἔτι ἐν τῷ σταδίῳ διάγωμεν, ἵνα ἐν τῷ καιρῷ
C καθ' ὃν δεῖ στέφανον κομίσασθαι καὶ τῶν καμάτων τὰς ἀμοιβὰς, μὴ γενώμεθα τῶν καταισχυνομένων, ἀλλὰ τῶν μετὰ παρρησίας τὸν στέφανον ἐπὶ τῆς κεφαλῆς δεχομένων. ταῦτα οὐχ ἁπλῶς, οὐδὲ μάτην προοιμιαζόμεθα ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλὰ βουλόμενοι καθ' ἑκάστην ἡμέραν εἰς ὑπόμνησιν ὑμᾶς ἀγαγεῖν τῶν ἀγαθῶν πράξεων, ἵνα τέλειοι καὶ ἀπηρτισμένοι τυγχάνοντες, καὶ κατὰ τὴν τῆς πολιτείας ἀρετὴν διαλάμποντες, γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα θεοῦ ἀμώμητα, καὶ φανῆσθε ὡς φωστῆρες ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντες, εἰς
D καύχημα ἡμέτερον, εἰς ἡμέραν Χριστοῦ, ἵνα καὶ μόνον φαινόμενοι ὠφελῆτε τοὺς ὑμῖν συγγινομένους, καὶ τῆς προσούσης ὑμῖν εὐωδίας τῆς πνευματικῆς καὶ τῆς ἀρίστης πολιτείας μεταλαμβάνουσιν οἱ κοινωνοῦντες ὑμῖν τῆς διαλέξεως. ὥσπερ γὰρ ἡ τῶν φαύλων συνουσία καταβλάπτειν εἴωθε τοὺς συναναμιγνυμένους, καθάπερ καὶ ὁ μακάριος Παῦλός φησι, Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· οὕτω καὶ ἡ τῶν ἀγαθῶν συνουσία τὰ μέγιστα ὀνίνησι τοὺς πλησιάζοντας. διὰ τοῦτο καὶ ὁ φιλάνθρωπος ἡμῶν δεσπότης συνεχώρησεν ἀναμεμίχθαι τοὺς ἀγαθοὺς τοῖς πονηροῖς, ἵνα κερδαίνωσί τι ἐκ τῆς συνουσίας, καὶ μὴ ἐναπομένωσι διηνεκῶς τῇ πονηρίᾳ,

A ἀλλὰ συνεχῆ ὑπόμνησιν ἔχοντες τὴν ἐκείνων θέαν καρπώσωνταί τι πλέον ἐκ τῆς τούτων συνουσίας. τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχὺς, ὡς καὶ τοὺς μὴ μετιόντας αὐτὴν σφόδρα αὐτὴν αἰδεῖσθαι, καὶ πολὺν τὸν ὑπὲρ αὐτῆς ἔπαινον διεξιέναι. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ κακία πάλιν καὶ ὑπ' αὐτῶν τῶν μετιόντων αὐτὴν διηνεκῶς βάλλεται ταῖς κατηγορίαις. οὕτως ἐστὶ πᾶσι δήλη καὶ καταφανής, καὶ οὐδένα εὑρήσεις ποτὲ ταχέως ἐπὶ ταύτῃ παρρησιαζόμενον, ἀλλὰ καὶ τὸ θαυμαστὸν, ὅτι, ἃ διὰ τῶν ἔργων περαίνειν ἐπιχειροῦσι, πολλάκις τοῖς λόγοις κακίζουσι, καὶ λανθάνειν τοὺς πολλοὺς βούλονται. καὶ τοῦτο δὲ τῆς
B τοῦ θεοῦ φιλανθρωπίας, ἣν περὶ τὸ τῶν ἀνθρώπων γένος ἐπεδείξατο τὸ ἑκάστῳ ἡμῶν ἐπιθεῖναι κριτήριον ἀδέκαστον τὸ συνειδὸς, ἔχον ἀκριβῆ τὴν διάγνωσιν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων. ὃ δὴ μάλιστα καὶ πάσης ἡμᾶς ἀπολογίας ἀποστερῆσαι δυνήσεται, οὐ δι' ἄγνοιαν περιπίπτοντας τοῖς ἁμαρτήμασιν, ἀλλὰ διὰ ῥαθυμίαν ψυχῆς καὶ ἀμέλειαν ἀρετῆς. ταῦτα παρ' ἑκάστην ὥραν στρέφοντες παρ' ἑαυτοῖς πολλὴν ποιώμεθα τὴν μέριμναν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, ἵνα μὴ τοῦ χρόνου παρατρέχοντος λάθωμεν ἑαυτοὺς τὰ μέγιστα ζημιοῦντες.
C ἀλλὰ τῶν μὲν προοιμίων ἅλις· ἀκούσωμεν δὲ εἰ δοκεῖ τίνα ἐστὶν, ἃ καὶ σήμερον ἡμᾶς διδάξαι βούλεται ἡ τοῦ πνεύματος χάρις διὰ τῆς τοῦ Μωϋσέως γλώττης, καὶ εἶπε φησὶν ὁ θεός, Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά, καὶ ἐγένετο οὕτω. βλέπε μοι ἀγαπητὲ ἐνταῦθα τάξιν καὶ ἀκολουθίαν ἀρίστην, ἐπειδὴ γὰρ εἶπεν ἐν ἀρχῇ, ὅτι ἦν ἡ γῆ ἀόρατος καὶ ἀκατασκεύαστος καὶ τῷ σκότῳ καὶ τοῖς ὕδασι καλύπτεσθαι· εἶτα τῇ δευτέρᾳ ἡμέρᾳ τὸ στερέωμα κελεύσας γενέσθαι τὸν χωρισμὸν τῶν ὑδάτων ἐργάσασθαι, καλέσας τὸ στερέωμα οὐρανόν·
D νῦν πάλιν διδάσκει ἡμᾶς, ὅτι ἐν τῇ τρίτῃ ἡμέρᾳ τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ ἤτοι τοῦ στερεώματος προσέταξεν εἰς μίαν συναγωγὴν συνελθὸν, χώραν παραχωρεῖν, τὴν καὶ ὀφθῆναι τὴν ξηράν. καὶ ἐγένετο οὕτως. ἐπειδὴ γὰρ ἅπαντα ὑδάτων ἐπεπλήρωτο, κελεύει εἰς μίαν συναγωγὴν τῶν ὑδάτων τὸ πλῆθος συνελθεῖν, ἵνα οὕτως ὀφθῇ ἡ ξηρά. σκόπει πῶς κατὰ μικρὸν ἡμῖν τὸν διάκοσμον καὶ τὴν εὐμορφίαν αὐτῆς παραδείκνυσι. καὶ ἐγένετό φησιν οὕτω. πῶς; ὡς προσέταξεν ὁ δεσπότης. εἶπε μόνον, καὶ τὸ ἔργον ἠκολούθησε.

malitia: ſed bonos continuò ante oculos ſpectantes, aliquid vtilitatis ex eorum capiant familiaritate. Tanta enim virtutis potentia eſt, vt reuereantur & multum laudent eam, etiam qui illa carent. Sicut & vitium etiam ab his qui mali ſunt, ſubinde accuſatur & carpitur. Adeò vitium omnibus eſt manifeſtum & perſpicuum, neque vllum vnquam facilè reperias qui liberè malum ſe eſſe profiteatur: ſed, quod mirum eſt, mali ipſimet ea quæ operibus facere attentant, verbis mala eſſe fatentur, ac pleriſque occulta eſſe vellent. Quod & ipſum diuinæ miſericordiæ eſt, quæ hominum generi conceſſit, vt vnicuique noſtrum inſitum ſit inde prauabile iudicium conſcientiæ, quod accuratè poteſt à malo bonum diſcernere, idque potiſſimum omnem nobis defenſionem tollit, quòd non per ignorantiam in peccata incidimus, ſed per animæ deſidiam, & virtutis contemptum. Hæc ſingulis horis noſtro verſemus animo, magnam ſalutis noſtræ habentes ſollicitudinem, ne prætereunte tempore, ignorantes, nobis ipſis maximum inferamus damnum. Sed procœmiorum ſatis: audiamus autem, ſi placet, quæ & hodie nos docere vult Spiritus ſancti gratia per beati Moſis linguam. *Et dixit*, inquit, *Deus: Congregetur aqua, quæ ſub cœlo, in congregationem vnam, & appareat arida. Et factum eſt ita.* Vide hîc, obſecro dilecte, ordinem & conſequentiam optimam, quia dixerat in principio: Terra erat inuiſibilis, & inculta, eò quòd tenebris & aquis obtegebatur: (Hîc ſupra) & deinde iuſſit die ſecundo, vt eſſet firmamentum, quod aquarum ſeparationem faceret, vocauítque firmamentum cœlum: nunc iterum docet nos, quòd præceperit in die tertio aquæ, quæ ſub cœlo, hoc eſt, firmamento, vt in vnam congregationem conueniat, vt locũ det, atq; appareat arida. Et factũ eſt ſic. Quia enim omnia impleta erãt aquis, iuſſit in vnã congregationem aquarum multitudinem concedere, vt ſic appareret arida. Vide quomodo paulatim illius nobis pulchritudinem & ornatum oſtendit. Et factum eſt, ait, ita: quomodo? ſicut præceperat Dominus. Dixit ſolùm, & opus ſubſecutum eſt.

Hoc enim peculiare Dei eſt, vt ſecundùm voluntatem ſuam creaturas ſuas moderetur. Et congregata eſt, inquit, aqua quæ ſub cœlo, in congregationes ſuas, & apparuit ari da. Quemadmodum de luce dictum, quòd cùm eſſent vndequaque tenebræ, iuſſerit produci lucem, & ſeparationem fecerit lucis ac tenebrarum, & hunc tribuerit diei, iſtas verò nocti: Similiter dictum quòd cùm produxit firmamentum, aquarum alias ſuperiorem locum occupare, alias autem ſub firmamento eſſe iuſſerit: ſic & nunc illas ipſas aquas, quæ ſub firmamento erant, in vnam congregationem iubet coire, vt appareat arida, & tunc huic etiam ſuum nomen imponat: ſicut de luce & tenebris dictum eſt. Congregatæ enim ſunt, ait, aquæ quæ ſub cœlo, in congregationes ſuas, & apparuit arida: & vocauit Deus aridam, terram. Vidiſti dilecte, quomodo Deus terram, quæ inuiſibilis erat ac inculta, & aquis quaſi velaminibus quibuſdam obtegebatur, deſpoliauit, vt ſic dicam, & faciem illius nobis monſtrauit, proprio etiam nomine impoſito? Et congregationes, ait, aquarum vocauit maria. Ecce & aquæ nomen ſuum ſortitæ ſunt. Nam quemadmodum optimus artifex arte ſua vas aliquod facturus: non antea illi nomen imponit, donec abſoluat: ita & miſericors dominus nomina elementis non antea imponit, donec ea in propria loca ſuo præcepto ponat. Igitur poſtquam terra nomen ſuum accepit, & ad propriam formam peruenit, etiam aquæ congregatæ proprio vocabulo nominatæ ſunt. *Vocauit enim*, ait, *congregationes aquarum maria:* Subdidit iterum: *Et vidit Deus quòd bonum.* Nam quia humana natura imbecillis eſt, & opera Dei dignè laudare non ſufficit, diuina ſcriptura acceptam ab ipſo opifice laudem nos docet. Igitur quando diſcis, quòd & ipſi conditori creaturæ probantur, & bonæ apparent: habiturus quidem es quod maiorem in modum admireris, nihil tamen ad laudem & encomium, amplius afferre poteris. Talem enim ſortitus es dominum, qui talia facit, quæ à nobis neque laudari ſatis poſſunt.

A τοῦτο γὰρ ἴδιον θεοῦ, τὸ κατὰ τὸ ἑαυτοῦ βούλημα τὰ δημιουργήματα ἡνιοχεῖν. καὶ συνήχθη φησὶ τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. καθάπερ ἐπὶ τοῦ φωτὸς, σκότους ὄντος πανταχοῦ ἐκέλευσε παραχθῆναι τὸ φῶς, καὶ διαχωρισμὸν εἰργάσατο τοῦ φωτὸς καὶ τοῦ σκότους, ὥστε τὸ μὲν τῇ ἡμέρᾳ ἀποκληρῶσαι, τὸ δὲ τῇ νυκτί· καὶ ἐπὶ τῶν ὑδάτων πάλιν τὸ στερέωμα παραγαγὼν, τὰ μὲν τὴν ἄνω χώραν ἐπέχειν ἐκέλευσε, τὸ δὲ ὑπὸ τὸ στερέωμα εἶναι· οὕτω καὶ νῦν, αὐτὰ ταῦτα τὰ ὕδατα, τὰ ὑποκάτω τοῦ στερεώματος προστάσσει εἰς μίαν συ-
B ναγωγὴν συνδραμεῖν, ἵνα φανῇ ἡ ξηρά, καὶ τότε καὶ ταύτῃ τὸ οἰκεῖον ἐπιθῇ ὄνομα, ὥσπερ ἐπὶ τοῦ φωτὸς καὶ τοῦ σκότους. συνήχθη γάρ φησι τὰ ὕδατα εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά, καὶ ἐκάλεσεν ὁ θεὸς τὴν ξηρὰν γῆν. εἶδες ἀγαπητὲ, πῶς ἀόρατον οὖσαν καὶ ἀκατασκεύαστον, καθάπερ ὑπὸ παραπετάσμασί τισι καλυπτομένην τοῖς ὕδασιν ἀπαμφιάσας, ὡς εἰπεῖν, δείκνυσιν ἡμῖν αὐτῆς τέως τὸ πρόσωπον ἐπιθεὶς αὐτῇ τὴν οἰκείαν προσηγορίαν; καὶ τὰ συστήματά φησι τῶν ὑδάτων ἐκάλεσε θαλάσσας. ἰδοὺ καὶ τὰ ὕδατα
C ἔλαβε τὴν οἰκείαν προσηγορίαν. καθάπερ γάρ τις τεχνίτης ἄριστος ἐπειδὰν μέλλῃ τι κατασκευάζειν σκεῦος διὰ τῆς οἰκείας ἐπιστήμης, οὐ πρότερον τούτῳ τὴν οἰκείαν προσηγορίαν ἐπιτίθησι, μέχρις ἂν τὸ τέλος ἐπιθῇ τῷ κατασκευαζομένῳ· οὕτω δὴ καὶ ὁ φιλάνθρωπος δεσπότης οὐ πρότερον τὰς προσηγορίας τοῖς στοιχείοις ἐπιτίθησι, μέχρις ἂν εἰς τὴν οἰκείαν χώραν τῷ οἰκείῳ προστάγματι ἐναποθῆται. ἐπεὶ οὖν ἐδέξατο καὶ ἡ γῆ τὴν ἑαυτῆς προσηγορίαν, καὶ πρὸς τὴν οἰκείαν μορφὴν ἐπανῆλθε, καὶ τὰ ὕδατα συναχθέντα
D πάλιν τῆς οἰκείας ὀνομασίας ἠξιώθη. ἐκάλεσε γάρ φησι τὰ συστήματα τῶν ὑδάτων θαλάσσας, καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. ἐπειδὴ γὰρ ἀσθενὴς οὖσα τῶν ἀνθρώπων ἡ φύσις, οὐκ ἤρκει πρὸς ἀξίαν ἐπαινέσαι τὰ τοῦ θεοῦ δημιουργήματα, προλαμβάνουσα ἡ θεία γραφὴ τὸν παρ' αὐτοῦ τοῦ δημιουργοῦ ἔπαινον ἡμᾶς διδάσκει. ὅταν τοίνυν μάθῃς, ὅτι καὶ αὐτῷ τῷ παραγαγόντι καλὰ ὤφθη τὰ γεγενημένα, μεῖζον μὲν ἕξεις τὸ θαῦμα, οὐδὲν δὲ πλέον εἰς ἔπαινον καὶ ἐγκωμίου λόγον εἰσενεγκεῖν δυνήσῃ. τοιοῦτον γὰρ ἔχεις δεσπότην τοιαῦτα ἐργαζόμενον, ἃ μηδὲ παρὰ ἡμῶν ἔπαινον δέξασθαι δύ-

νάται. πῶς γὰρ ἂν δυνηθείη ἀνθρωπίνη φύσις θεοῦ A
ἔργα κατ' ἀξίαν ἐπαινέσαι, ἢ ὑμνῆσαί ποτε; καὶ
θέα μοι λοιπὸν ἐνταῦθα διὰ τῶν ἐπαγομένων τοῦ
εὐμηχάνου θεοῦ τὴν ἄφατον σοφίαν. ἐπειδὴ γὰρ φα-
νερὸν τῆς γῆς τὸ πρόσωπον ἔδειξεν, λοιπὸν τῷ
οἰκείῳ προστάγματι τὴν προσηκοῦσαν εὐμορ-
φίαν αὐτῇ χαρίζεται, καλλωπίζων αὐτῆς τὸ
πρόσωπον τῇ ποικιλίᾳ τῶν σπερμάτων. καὶ εἶπε
φησὶν ὁ θεὸς, βλαστησάτω ἡ γῆ βοτάνην χόρτου,
σπεῖρον σπέρμα κατὰ γένος, καὶ καθ' ὁμοιότητα, καὶ
ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα
αὐτοῦ ἐν αὐτῷ εἰς ὁμοιότητα κατὰ γένος ἐπὶ τῆς γῆς, B
καὶ ἐγένετο οὕτως. τί ἐστι, καὶ ἐγένετο οὕτως; προσέ-
ταξε φησὶν ὁ δεσπότης, καὶ εὐθέως ἡ γῆ τὰς οἰκείας
ὠδῖνας διεγείρουσα πρὸς τὴν τῶν σπερμάτων
βλάστην ἑαυτὴν ηὐτρέπισε. καὶ ἐξήνεγκε φησὶν ἡ
γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ
καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρ-
πὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς
γῆς. σύνες μοι ἐνταῦθα ἀγαπητὲ, πῶς τῷ ῥήμα-
τι τοῦ δεσπότου τὰ πάντα ἐγένετο τῇ γῇ, οὔτε γὰρ
ἄνθρωπος ἦν ὁ ἐργαζόμενος, οὐκ ἄροτρον, οὐ βοῶν
συνεργία, οὐκ ἄλλη τις περὶ αὐτὴν ἐπιμέ-
λεια, ἀλλὰ μόνον ἤκουσε τοῦ ἐπιτάγματος, καὶ C
εὐθέως τὰ παρ' ἑαυτῆς ἐπεδείξατο. ἐκ τούτου
μανθάνομεν, ὅτι καὶ νῦν οὐ τῶν γηπόνων ἐπιμέ-
λεια, οὐδὲ ὁ πόνος, καὶ ἡ λοιπὴ ταλαιπωρία κατὰ
τὴν γεωργίαν γινομένη τῶν καρπῶν ἡμῖν τὴν φο-
ρὰν χαρίζεται, ἀλλὰ πρὸ τούτων ἁπάντων τὸ
τοῦ θεοῦ ῥῆμα τὸ ἐξ ἀρχῆς πρὸς αὐτὴν γενό-
μενον. ἄλλως τε καὶ τὴν μετὰ ταῦτα ἀγνωμοσύνην
τῶν ἀνθρώπων διορθουμένη ἡ θεία γραφὴ ἀκρι-
βῶς ἡμῖν ἅπαντα διηγεῖται κατὰ τὴν τάξιν τῶν
γενομένων, ἵνα ἀναστείλῃ τῶν μάτην φθεγγομέ-
νων τὰς ἀπὸ τῶν λογισμῶν ληρωδίας τῶν λέγειν ἐπι-
χειρούντων, ὅτι τῆς τοῦ ἡλίου συνεργίας δεῖται πρὸς D
τὴν τῶν καρπῶν τελεσφόρησιν. εἰσὶ δέ τινες οἳ καὶ τῶν
ἄστρων τισὶ ταῦτα ἐπιγράφειν ἐπιχειροῦσι. διὰ
τοῦτο διδάσκει ἡμᾶς τὸ πνεῦμα τὸ ἅγιον, ὅτι πρὸ
τῆς τῶν στοιχείων τούτων δημιουργίας τῷ λόγῳ
αὐτοῦ καὶ τῷ προστάγματι εἴκουσα ἡ γῆ πάντα
τὰ σπέρματα ἐπιδίδωσιν οὐδενὸς ἑτέρου δεηθεῖσα
πρὸς συνεργίαν. ἤρκεσε γὰρ αὐτῇ ἀντὶ πάντων τὸ
ῥῆμα ἐκεῖνο τὸ λέγον· βλαστησάτω ἡ γῆ βοτάνην
χόρτου. κατακολουθοῦντες τοίνυν τῇ θείᾳ γραφῇ,
μηδέποτε ἀνεχώμεθα τῶν ἁπλῶς τὰ παρισά-

Quomodo enim vnquam opus Dei pro dignitate laudare poſſet humana natura? Cæterùm per ea quæ ſubiunguntur, conſidera ineffabilem Dei ſapientiam: quia poſtquam nobis apertam terræ faciem monſtrauit, conſequenter ſuo præcepto decentem ei concedens ſpeciem, & ſeminum varietate eius adornat faciem. *Et dixit*, ait, *Deus*. 11. *Germinet terra herbam foeni, ſeminans ſemen ſecundùm genus & ſimilitudinem: & lignum frugiferum, faciens fructum, cuius ſemen in ſemetipſo ſecundùm ſimilitudinem, ſecundùm genus ſuper terram. Et factum eſt ita.* Quid eſt quod factum eſt ita? Præcepit, inquit, Dominus, & ſtatim terra ſuos partus maturans, ad germinanda ſemina ſeipſam ſollicitauit. 12. *Et protulit terra herbam foeni*, inquit, *ſeminanſte ſemen ſecundum genus, & ſecundum ſimilitudinem: & lignum frugiferum faciens fructum; cuius ſemen ſuum in ipſo ſecundùm genus ſuper terram.* Hîc animaduerte dilecte, quomodo verbo domini omnia facta ſunt ſuper terram. Non enim erat homo qui operaretur, non aratrum, non boum cooperatio, nõ aliud eiuſmodi ſtudium: ſed ſolùm audiuit præceptum, & ſtatim quod ſuum erat, fecit. Ex quo diſcimus, quod etiam nunc neque cura, neque labor agricolarum, neque aliæ in colendis agris ærumnæ, fructuum nobis prouentus cõcedunt? ſed præ his omnibus verbũ Dei, quod ab initio ad terram factum eſt. Quin & futuram hominum ingratitudinem taxans diuina ſcriptura, vt diligenter omnia, ita etiam nobis ordinem factorum narrat; vt compeſcat nugacitates & deliramẽta eorum qui vanitates ſuorum figmentorũ commentantur, & dicere audent, quòd Solis cooperatione ad fructuum prouentum opus ſit. Sunt & alij, qui hæc aſtris aliquibus aſcribere nitũtur. Propterea docet nos Spiritus ſanctus, quòd ante formationem horum elementorum ſermoni & præcepto Dei obtemperans tellus, omnia ſemina ediderit, nullo alio ad cooperationem opus habens. Sufficiebat enim ei pro omnibus verbum illud Dei, quod dicebat: Germinet terra herbam fœni. Quocirca diuinæ ſcripturæ veſtigia ſequamur, neque feramus eos, qui ad-

uerſa illis temerè blaterant. Nam etiã ſi homines terram operentur, & iumentorum auxilio fruantur, & magnam terræ curam habeant, & magna ſit cœli temperies, & omnia alia concurrant, niſi nutus Domini accedat, omnia alia fruſtra & in vanum fierent: & nihil proficeret omnis labor & deſudatio, niſi manus Domini ſuperne adiuuaret, & perfectionem his quæ fiunt, tribueret. Quis non obſtupeſceret ac admiraretur, cogitans quomodo verbum Domini, quod dicit: Germinet terra herbam fœni: in ipſa viſcera terræ deſcendat, & quaſi admirabili quodam peplo, terræ faciem variis floribus adornet? Videre potuiſſes ſubitò terram, quæ antea informis & inculta erat, decore ſuo & ornatu quaſi cum cœlo certare. Nam ſicut cœlum paulò pòſt ornandum erat aſtrorũ varietate, & tellus florum multiiuga varietate ornabatur, ita vt & opifex in laudem eius prorumperet. Etenim vidit, ait, Deus quòd eſſet bonum. Vidiſti quomodo per ſingula quæ facta ſunt, oſtendit laudantem opificem, vt homines poſtea hæc dicentes, ex creaturis ad creatorem recurrerent? Nam ſi creaturæ ſuperiores ſint, quàm vt ab homine pro dignitate laudari queant: quid aliquis de opifice ipſo dicere poterit? Et vidit, ait, Deus quòd bonum. 13. *Et factum eſt veſpere, & factum eſt mane dies tertius.* Vides quomodo iterando frequenter doctrinam, menti noſtræ dictorum vim infigere vult? Oportebat enim dicere: Et factus eſt dies tertius. Sed vide quomodo de ſingulis diebus ſic dicit: Et factũ eſt veſpere, & factum eſt manes dis tertius. Non ſimpliciter, nec abſq; cauſa: ſed ne ordinem confundamus, neque putemus veſpero ingruente finẽ accepiſſe diem. Sed ſciamus quòd veſpera finis eſt lucis, & principium noctis: mane autem finis noctis, & impletio diei. Hoc enim docere nos vult beatus Moſes dicens: Et factum eſt veſpere, & factum eſt mane dies tertius. Et ne mireris dilecte, ſi hęc ſæpe & continuò dicit diuina ſcriptura. Etenim poſt tantam crebritatẽ adhuc ſunt aliqui errore præoccupati

A ῥῆμα λεγόντων. κἂν γὰρ ἄνθρωποι τὴν γῆν
ἐργάζωνται· κἂν τὴν ἀπὸ τῶν ἀλόγων συνεργίαν
ἔχωσι, καὶ πολλὴν τῇ γῇ ἐπιμέλειαν ἐπιδείξωνται,
κἂν ἀέρων εὐκρασία γένηται, καὶ πάντα τὰ ἄλλα
συνδράμῃ, εἰ μὴ τὸ νεῦμα τοῦ δεσπότου γένη-
ται, πάντα εἰκῇ καὶ μάτην, καὶ οὐδὲν ἔσται πλέον
τῶν πολλῶν πόνων καὶ καμάτων μὴ τῆς ἄνωθεν
χειρὸς συνεφαπτομένης, καὶ τὴν τελεσφόρησιν
χαριζομένης τοῖς γινομένοις. τίς οὐκ ἂν ἐκπλα-
γείη καὶ θαυμάσειεν ἐννοῶν, ὅπως τοῦ δεσπότου τὸ
ῥῆμα τὸ λέγον Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου,
B εἰς αὐτὰς τῆς γῆς τὰς λαγόνας κατελθὸν, καθά-
περ πέπλῳ τινὶ θαυμαστῷ, οὕτω τῇ τῶν ἀνθῶν
ποικιλίᾳ τῆς γῆς τὸ πρόσωπον κατεκόσμησε; καὶ
ἦν ἰδεῖν ἀθρόον τὴν πρότερον ἄμορφον καὶ ἀκατα-
σκεύαστον τοσοῦτον δεξαμένην τὸ κάλλος ὡς μικροῦ
δεῖν ἁμιλλᾶσθαι τῷ οὐρανῷ. καθάπερ γὰρ ἐκεῖνος
μετ᾽ οὐ πολὺ μέλλει κοσμεῖσθαι τῇ τῶν ἄστρων ποι-
κιλίᾳ, οὕτω καὶ αὕτη τῇ διαφορᾷ τῶν ἀνθῶν οὕτως
ἐκαλλωπίσατο ὡς καὶ τὸν δημιουργὸν εἰς ἔπαινον
ἀγεῖν. εἶδε γὰρ φησὶν ὁ θεὸς ὅτι καλόν. εἶδες
πῶς καθ᾽ ἕκαστον τῶν γινομένων δείκνυσιν ἐπαι-
νοῦντα τὸν δημιουργὸν, ἵνα μετὰ ταῦτα ἡ τῶν ἀνθρώ-
C πων φύσις ταῦτα διδασκομένη ἐκ τῶν δημιουργη-
μάτων ἀνατρέχῃ πρὸς τὸν δημιουργήσαντα; εἰ
γὰρ τὰ δημιουργήματα τοιαῦτα ὄντα νικᾷ τὴν φύ-
σιν ἀνθρωπίνην, καὶ οὐδεὶς ἂν αὐτὰ κατ᾽ ἀξίαν
ἐπαινέσαι δυνήσεται· τί ἄν τις εἰπεῖν δυνηθείη
περὶ αὐτοῦ τοῦ δημιουργοῦ; καὶ εἶδεν, φησὶν, ὁ θεὸς,
ὅτι καλὸν, καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ
ἡμέρα τρίτη. ὁρᾷς πῶς τῇ συνεχείᾳ τῆς διδα-
σκαλίας ἐμπῆξαι βούλεται τῇ διανοίᾳ τῇ ἡμε-
τέρᾳ τῶν λεγομένων τὴν δύναμιν; ἐχρῆν γὰρ
εἰπεῖν, καὶ ἐγένετο ἡμέρα τρίτη. ἀλλ᾽ ὅρα πῶς
D καθ᾽ ἑκάστην ἡμέραν οὕτω φησὶ, καὶ ἐγένετο ἑσπέ-
ρα, καὶ ἐγένετο πρωῒ ἡμέρα τρίτη. οὐχ ἁπλῶς
οὐδὲ εἰκῇ, ἀλλ᾽ ἵνα μὴ συγχέωμεν τὴν τάξιν,
μηδὲ νομίζωμεν ἑσπέρας καταλαβούσης, τέλος
εἰληφέναι τὴν ἡμέραν· ἀλλ᾽ ἴδωμεν ὅτι ἡ μὲν
ἑσπέρα τέλος ἐστὶ τοῦ φωτὸς καὶ ἀρχὴ τῆς νυκ-
τὸς, ὁ δὲ ὄρθρος τέλος τῆς νυκτὸς καὶ πλή-
ρωμα τῆς ἡμέρας, τοῦτο γὰρ ἡμᾶς βούλεται
διδάξαι ὁ μακάριος Μωϋσῆς λέγων, καὶ ἐγέ-
νετο ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα τρίτη. καὶ
μὴ ξενισθῇς ἀγαπητὲ, εἰ ταῦτα πολλάκις καὶ συνεχῶς λέγει ἡ θεία γραφή. εἰ γὰρ καὶ
μετὰ τὴν τοσαύτην συνέχειαν ἔτι οἱ τῇ πλάνῃ προκατειλημμένοι Ἰουδαῖοι οἱ πεπω-

ῥωμένοι τὴν καρδίαν φιλονεικεῖν πειρῶνται, καὶ τὴν ἑσπέραν ἀρχὴν τῆς ἐπιούσης ἡμέρας εἶναι νομίζουσιν ἀπατῶντες ἑαυτοὺς καὶ παραλογιζόμενοι, καὶ τῇ σκιᾷ ἔτι παρακαθήμενοι, τῆς ἀληθείας οὕτω πᾶσι δήλης γεγενημένης, καὶ τῷ λύχνῳ προσεδρεύοντες τοῦ ἡλίου τῆς δικαιοσύνης πανταχοῦ τὰς οἰκείας ἀκτῖνας ἀφιέντος, εἰ μὴ τοσαύτη διδασκαλία μετὰ πολλῆς ἀκριβείας ἐξηγήσατο, τίς ἂν ἤνεγκεν ἀγνωμόνων τὴν φιλονεικίαν; ἀλλ' ἐκεῖνοι μὲν τῆς οἰκείας ἀνοίας ἀναμενέτωσαν τὰ ἐπίχειρα· ἡμεῖς δὲ οἱ καταξιωθέντες τὰς μαρμαρυγὰς δέξασθαι τοῦ ἡλίου τῆς δικαιοσύνης πειθώμεθα τῇ τῆς θείας γραφῆς διδασκαλίᾳ, καὶ τῷ κανόνι ταύτης ἐξακολουθοῦντες οὕτω τὰ ὑγιῆ δόγματα ἐναποθώμεθα τοῖς ταμείοις τῆς διανοίας τῆς ἡμετέρας, καὶ μετὰ τῆς τούτων φυλακῆς, πολλὴν πρόνοιαν τῆς ἑαυτῶν σωτηρίας ποιώμεθα, καὶ τὰ λυμαινόμενα ἡμῶν τὴν κατὰ ψυχὴν ὑγίειαν φεύγωμεν, καθάπερ δηλητηρίων φαρμάκων, πάντων τῶν τοιούτων ἀπεχόμενοι. πολὺ γὰρ μείζων αὕτη ἡ βλάβη, καὶ τοσούτῳ μείζων, ὅσῳ ψυχὴ σώματος βελτίων. ἐκεῖνα μὲν γὰρ τὰ φάρμακα τὸν σωματικὸν τοῦτον θάνατον ἐπάγει· τὰ δὲ τὴν ὑγίειαν τῆς ψυχῆς λυμαινόμενα τὸν αἰώνιον ἡμῖν θάνατον προξενεῖ. τίνα δέ ἐστι τὰ λυμαινόμενα ἡμᾶς; πολλὰ μὲν καὶ διάφορα, μάλιστα δὲ τὸ πρὸς τὴν δόξαν ἐπτοῆσθαι τὴν ἀνθρωπίνην, καὶ μὴ εἰδέναι ταύτης καταφρονεῖν. τοῦτο γὰρ ἡμῖν αἴτιον πολλῶν γέγονε κακῶν, καὶ εἴ τινα ἔχομεν πλοῦτον πνευματικὸν τοῦτον κενοῖ, καὶ ἐρήμους ἡμᾶς καθίστησι τῆς ἐντεῦθεν ὠφελείας. τί οὖν ἂν γένοιτο ταύτης τῆς λύμης ὀλεθριώτερον, ὅταν καὶ ἃ δοκοῦμεν ἔχειν ἀφίπτασθαι ἡμῶν παρασκευάζει; οὕτως ὁ Φαρισαῖος ἐκεῖνος τοῦ τελώνου γέγονεν ἐλάττων, οὐ δυνηθεὶς κρατῆσαι τῆς οἰκείας γλώττης, ἀλλὰ δι' ἐκείνης καθάπερ διά θυρίδος τινὸς ἐκχέας πάντα αὐτοῦ τὸν πλοῦτον. τοσοῦτόν ἐστι κενοδοξία κακόν. εἰπὲ γάρ μοι, τίνος ἕνεκεν ἢ διὰ τί ἐπτόησαι περὶ τὸν τῶν ἀνθρώπων ἔπαινον; οὐκ οἶδας, ὅτι καθάπερ σκιὰ καὶ εἴ τι ταύτης εὐτελέστερον οὕτως ὁ παρὰ τούτων ἔπαινος εἰς τὸν ἀέρα διαχυθεὶς ἀφανίζεται; ἄλλως τε καὶ εὐπερίτρεπτος καὶ εὐμετάβλητός ἐστιν ἡ τῶν ἀνθρώπων φύσις, καὶ οἱ αὐτοὶ νῦν μὲν ἐπαινοῦσι, νῦν δὲ κακίζουσι τὸν αὐτόν. ἐπὶ δὲ τῆς τοῦ θεοῦ ψήφου οὐκ ἄν ποτε τοῦτο γένοιτο. μὴ τοίνυν ἀνόητοι ὦμεν, μηδὲ εἰκῇ καὶ μάτην ἑαυτοὺς ἀπατῶμεν. κἂν γὰρ ποιῶμέν τι ἀγαθὸν, μὴ διὰ τοῦτο δὲ μόνον τοῦτο μετερχώμεθα, ἵνα τὴν ἐντολὴν πληρώσωμεν τοῦ ἡμετέ-

A qui excæcato corde contendunt, & veſperam initium ſequentis dei eſſe opinantur, decipientes ſemetipſos, & adhuc in vmbra ſedent, veritate omnibus manifeſtata: & ad lucernam aſſident, Sole iuſtitiæ totum orbem vndique illuſtrante: niſi tanta diligentia docuiſſet, quis tam indocilium contentionem ferret? At illi quidem malitiæ ſuæ præmia expectẽt: nos autem, quibus donatum eſt Solis iuſtitiæ radiis illuſtrari, diuinarum ſcripturarum doctrinas auſcultemus: & hunc canonem ſequentes, ſalubres doctrinas in mentis noſtræ promptuaria reponamus, B & vna cum his magnam curam noſtræ ſalutis facientes, ea quæ animę noſtræ ſanitatem lædunt, tanquam lethale venenum fugiamus. Multò maius enim hoc damnum, & tanto maius damnum, quantò anima corpore melior. Illa enim venena corporalẽ hanc mortem inducunt: hæc autẽ ſanitatem animæ offendentia, æternam nobis mortem afferunt. Quæ autem ſunt, quæ nos offendunt? multa & varia, maximè autẽ ad humanam gloriam ſpectare & neſcire eam contemnere: hoc C enim multorum nobis malorum cauſa fit: & ſi quas ſpirituales habemus diuitias, eas euacuat, & vtilitate, quæ ex eis capi poteſt, nos deſtituit. Quid igitur fuerit damno hoc pernicioſius? Quandoquidem à nobis auolare facit etiam ea quę nos habere putamus. Sic Phariſæus ille publicano minor factus eſt, eò quòd linguæ ſuæ imperare non potuit: ſed per illam ſicut per feneſtrã aliquam omnes diuitias ſuas effudit. Tantum eſt inanis gloriæ malum. Dic obſecro mihi, & quare ita humana laude teneris? Neſcis, quòd ſicut vmbra, & ſi quid illa vilius, ita illorum D laus in aërem diffuſa euaneſcit? Alioquin inconſtans & mutabile eſt hominum genus, & illi ipſi eundem, quem nunc laudant, non multò pòſt vituperant. Quod in ſententia Dei nunquam vſuuenit. Ne igitur ita deſipiamus, ne temere & abſq; fructu fallamus nos ipſos. Nam & ſi bonum quiddam facimus, non autem propter hoc ſolum agimus, vt mandatum Domini

Adhortatio ad gloriæ cõtemptum.

Luc. 18.

noſtri impleamus, eique ſoli cogniti A ſimus, laborem noſtrum fruſtra ſuſcipimus, priuabimúſque nos fructu, quem inde aſſequi liceret. Nam is qui vt ab hominibus gloriam venetur, quid boni operatur, ſiue ea frui poterit, ſiue non (ſæpe enim & qui propter inanem gloriam multa facit, etiam ipſa fruſtratur) ſiue igitur ea potiatur, ſiue non, ſatis hîc retributionis accepit, & alibi nihil accipiet præmiorũ. Quare hoc? quia præferens futuris præſentia, & iuſti iudicis calculo humanam gloriam, & honorem ſibiipſi tribuens, indignum ſe facit qui à iudice honore- B tur. Contrà ſi propter hoc ſolum operemur ſpirituale aliquod bonum, vt placeamus oculo illi ſoli, qui ſopiri neſcit, & cui nuda & aperta ſunt omnia: & theſaurus noſter indeprædabilis, & incorruptæ retributiones manebunt, & ex ipſa earum ſuaui expectatione nobis multa conſolatio erit, dum in promptuario, quod nemo diripere poterit, illa nobis ſalua cuſtoditur retributio: ſequitur etiam vltrò gloria humana, qua tunc multò vberius fruimur, quando eam deſpicimus, quando eam non quæ- C rimus, quando eam non ſectamur. Et quid miraris, ſi hoc eueniat his qui ſpirituales philoſophos agunt, quum & hî qui huius mundi ſtudia ſectantur, hos maximè contemnant & deſpiciãt, qui ab hominibus quęrunt gloriam: inueniéſque ab omnibus, conuiciis inceſſi eos qui humanæ gloriæ inhiant? Quid igitur miſerius nobis, qui ſpirituales videri volumus, ſi ſimiles illis fuerimus, celebrari ab hominibus cupientes, & ſi non ſuffecerit nobis laus à Domino? ſicut & Paulus dicit: Cuius gloria non ex hominibus, ſed ex Deo. D Non vides dilecte, in equorum ludis, quomodo hi qui equos agitant, non aduertunt plauſum & fauorem populi aſſidentis & acclamantis, neque ex eo plauſu voluptatem capiunt: ſed ad vnum ſolùm ſpectant regem in medio ſedentem, & ad nutum illius attendentes, totam multitudinem deſpiciunt, & tunc ſolùm animo extolluntur, cùm ille eos coronauerit?

Gloria humana virtutem ſequitur.

1. Theſſ. 2.6.

ρου δεσπότου κἀκείνῳ μόνῳ γνώριμοι γινώμεθα, εἰκῆ τὸν πόνον ὑπομένομεν τὸν ἐντεῦθεν καρπὸν ἑαυτοὺς ἀποστεροῦντες. ὁ γὰρ διὰ τὸ θηρᾶσθαι τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τι τῶν ἀγαθῶν ἐργαζόμενος, κἄν τε ταύτης ἀπολαῦσαι δυνηθῇ, κἄν τε μή· πολλάκις γὰρ καὶ διὰ τοῦτο πάντα πράττων οὐδὲ ἐπιτυχεῖν ταύτης δυνήσεται· κἄν τε οὖν ἐπιτύχῃ, κἄν τε ἀποτύχῃ, ἀρκοῦσαν εἴληφεν ἐνταῦθα τὴν ἀμοιβὴν, καὶ οὐδεμίαν λήψεται ἐκεῖ ὑπὲρ τούτου ἀνταπόδοσιν. διὰ τί; ἐπειδὴ προλαβὼν ἑαυτὸν ἀπεστέρησε τῆς ἀπὸ τοῦ κριτοῦ φιλοτιμίας, προτιμήσας τὰ παρόντα τῶν μελλόντων, καὶ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τῆς ψήφου τοῦ δικαίου κριτοῦ. πάλιν ἂν δι' αὐτὸ τοῦτο μόνον ἐργαζώμεθά τι τῶν πνευματικῶν, ὥστε ἐκείνῳ μόνον ἀρέσαι τῷ ἀκοιμήτῳ ὀφθαλμῷ, ᾧ πάντα γυμνὰ ἐστι καὶ τετραχηλισμένα, καὶ ὁ θησαυρὸς ἡμῖν ἀνάλωτος μένει, καὶ τὰ τῆς ἀμοιβῆς ἀκέραια, καὶ ἡ χρηστὴ προσδοκία ἐντεῦθεν ἤδη πολλὴν παρέχει τὴν παραμυθίαν, καὶ μετὰ τοῦ ἐν ἀσύλῳ ταμιείῳ ἐκείνην ἡμῖν διαφυλάττεσθαι τὴν ἀμοιβὴν καὶ ἡ παρὰ τῶν ἀνθρώπων ἀκολουθήσει δόξα. τότε γὰρ αὐτῆς μᾶλλον μετὰ δαψιλείας ἀπολαύομεν, ὅταν αὐτῆς ὑπερορῶμεν, ὅταν αὐτὴν μὴ ζητῶμεν, ὅταν αὐτὴν μὴ διώκωμεν. καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν τὴν πνευματικὴν φιλοσοφίαν μετιόντων τοῦτο γίνεται, ὅπουγε καὶ ἐπὶ τῶν περὶ τὰ τοῦ κόσμου πράγματα ἐπτοημένων τούτων μάλιστα οἱ πλείους καταφρονοῦσιν, καὶ ὑπερορῶσι τῶν ἐπιζητεῖν βουλομένων τὴν παρὰ τῶν ἀνθρώπων εὐφημίαν, καὶ εὑρήσεις παρὰ πάντων σκωπτομένους ἐπὶ τῷ τῆς κενοδοξίας ἐφίεσθαι; τί οὖν ἀθλιώτερον γένοιτ' ἂν ἡμῶν τῶν τὰ πνευματικὰ μετιόντων, εἰ μέλλοιμεν ὁμοίως ἐκείνοις περὶ τὰς τῶν ἀνθρώπων κεχηνέναι εὐφημίας, καὶ μὴ ἀρκεῖσθαι τῷ ἐπαίνῳ τῷ παρὰ τοῦ θεοῦ; καθάπερ καὶ ὁ Παῦλός φησιν, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων ἀλλ' ἐκ τοῦ θεοῦ. οὐχ ὁρᾷς ἀγαπητὲ καὶ ἐν ταῖς ἱπποδρομίαις, ὅπως οἱ τοὺς ἵππους ἐλαύνοντες παντὸς τοῦ δήμου καθημένου, καὶ μυρίας εὐφημίας καταχέοντος οὐκ ἐπιστρέφονται, οὐδὲ ἡδονὴν τὴν ἐκ τῆς ἐκείνων εὐφημίας καρποῦνται, ἀλλὰ πρὸς ἕνα μόνον ὁρῶσι βασιλέα τὸν ἐν μέσῳ καθήμενον, καὶ τῷ νεύματι ἐκείνου προσέχοντες παντὸς ὑπερορῶσι τοῦ πλήθους, καὶ τότε μόνον μεγαφρονοῦσιν, ἐπειδὰν ἐκεῖνος αὐτοὺς στεφανώσῃ;

τουτι;

τούτοις δὴ καὶ σὺ μιμούμενος μὴ πολὺν λόγον ποιοῦ τῆς τῶν ἀνθρώπων εὐφημίας, μηδὲ διὰ τοῦτο τὴν ἀρετὴν μετέρχου, ἀλλὰ τὴν παρὰ τοῦ δεσπότου ψῆφον ἀνάμενε, καὶ τῷ ἐκείνου νεύματι προσέχων οὕτως σοῦ τὸν βίον ἅπαντα οἰκονόμει· ἵνα καὶ ἐνταῦθα διηνεκῶς ἧς ταῖς χρησταῖς ἐλπίσι τρεφόμενος, κἀκεῖ τῶν αἰωνίων ἀπολαύσῃς ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. A

A Hos igitur & tu imitaberis, non magni momenti facito hominum famam, neque propter eam exerceas virtutem: ſed à iuſto iudice ſententiam expecta, & ad illius nutum intentus eſto. Sic omnem vitam tuam diſpenſa, vt & hic continenter bona ſpe paſcaris, & illic æternis fruare bonis. Vt hæc nos omnes aſſequamur, faxit gratia & miſericordia domini noſtri Ieſu Chriſti, cum quo patri & Spiritui ſancto ſit gloria, & imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Ὁμιλία ϛ'. B

HOMILIA V.

Καὶ εἶπεν ὁ θεός, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀναμέσον τῆς ἡμέρας, καὶ ἀναμέσον τῆς νυκτός, καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιρούς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς.

Et dixit Deus: Fiant luminaria in firmamento coeli ad illuminationem ſuper terram, vt diuidant inter diem, & inter noctem, & ſint in ſigna, & in tempora, & in dies, & in annos. Gen. 1. 14.

Βούλομαι τῆς συνήθους ἅψασθαι διδασκαλίας, καὶ ὀκνῶ, καὶ ἀναδύομαι. νέφος γὰρ ἀθυμίας ἐπελθὸν συνέχεέ με καὶ συνετάραξέ μου τὸν λογισμόν. C μᾶλλον δὲ οὐκ ἀθυμίας μόνον, ἀλλὰ καὶ θυμοῦ, καὶ οὐκ οἶδ', ὅ,τι πράξω, ἀπορία γὰρ κατέχει τὴν διάνοιαν. ὅταν γὰρ ἐννοήσω, ὅτι μικρὸν πνεύσαντος τοῦ διαβόλου πάντων ἡμῶν ἐκείνην τὴν συνεχῆ διδασκαλίαν καὶ τὴν καθημερινὴν παραίνεσιν, λήθῃ παραδόντες εἰς τὴν σατανικὴν πομπὴν ἐκείνην ἅπαντες δεδραμήκατε τὴν ἱπποδρομίαν καταλαβόντες, ποίᾳ προθυμίᾳ δυνησόμεθα πάλιν τὴν πρὸς ὑμᾶς ποιήσασθαι διδασκαλίαν, τῶν προτέρων οὕτως ἀθρόον διαρρυέντων; ὃ γὰρ μάλιστα ἐπιτείνει μοι τὴν ἀθυμίαν, καὶ σφοδρότερόν D μοι τὸν θυμὸν ἐργαζόμενον τοῦτό ἐστιν, ὅτι μετὰ τῆς παραινέσεως τῆς ἡμετέρας καὶ τὴν αἰδῶ τῆς ἁγίας τεσσαρακοστῆς ἐξεβάλετε τῆς ἑαυτῶν ψυχῆς καὶ οὕτω τοῖς τοῦ διαβόλου δικτύοις ἑαυτοὺς ἐκδεδώκατε, πῶς ἄν τις δυνηθείη, κἂν λιθίνην ἔχῃ ψυχήν, πράως ἐνεγκεῖν τὴν τοσαύτην ὑμῶν ὀλιγωρίαν; αἰσχύνομαι, πιστεύσατε, καὶ ἐρυθριῶ, ὅταν ἴδω μάτην ἡμᾶς πονουμένους, καὶ εἰς πέτρας τὸν σπόρον καταβάλλοντας. ἀλλ' ἐμοὶ μὲν κἄν τε ἀκούητε τῶν λεγομένων, κἄν τε παρα-

VOLO ſolitam tractare doctrinam, & moram traho ac detrecto. Mentem enim meam confudit & conturbauit ſuperueniens triſtitiæ nubes: imò non ſolùm triſtitiæ, ſed & iræ, ita vt neſciam quid faciendum: mentem enim tenet magna hæſitatio. Quoniam cùm cogito, quòd omnem illam noſtram doctrinam, & quotidianam admonitionem ad modicum diaboli flatum obliuioni tradideritis, & ad ſatanicum illum equeſtrem ludum omnes concurreritis: qua alacritate potero iterum de prædictis vos docere, quæ tam citò animo exciderunt? Hoc enim eſt quod potiſſimum me contriſtat, & bilem mihi mouet, quòd cum noſtra admonitione, reuerentiam etiam, quam ſacræ quadrageſimæ debetis, ex animo veſtro ſimul cieciſtis, vóſque ſic diaboli retibus inuoluiſtis. Quomodo quis poterit, etiam cui ſaxeum cor, tantum contemptum non grauatim ferre? Confundor, credite, & erubeſco, cùm video nos fruſtra laborare, & in petra ſementē facere. At mihi quidem, ſiue dicta mea auditis, ſiue audire

E

contemnitis,merces mea integra erit.
Nam omne quod meum eſt, feci: pe-
cuniam dinumeraui, admonitiones
adhibui: timeo autem; & anxius ſum,
ne hoc vobis ad maiorem accuſationē
cedat. Seruus enim ille,ait,qui ſcit vo-
Luc. 12. 47. luntatem Domini ſui,& non facit,va-
pulabit multis. Nullum enim vobis ad
ignorantiam erit refugium, cùm nos
eadem quotidie inſonemus, & oſten-
damus diabolicos laqueos,& magnā,ſi
attenti eſſe voluerimus, virtutis faci-
litatem. An neſcitis quòd qui ſic ſuam
ſalutem negligunt, & aliquando huc
veniunt,aliquando autem in dæmonū
Prou.26 11. & 2. Pet.2.22 retia ſe iniiciunt,à ſcriptura diuina ca-
nibus aſſimilantur? Homo enim, in-
quit, qui conuertitur à peccato ſuo, &
iterum in idipſum redit, ſimilis eſt ca-
ni ad vomitum ſuum redeunti. Vides
Matth. 7. 27. cui ſimiles facti ſunt,qui ad illicitū hoc
ſpectaculum cucurrerunt? Non audi-
ſtis Chriſtum, dicentem: Omnis qui
audit ſermones meos,& non facit eos,
ſimilis erit viro ſtulto, qui ædificauit
domum ſuam ſuper arenam, & vene-
runt flumina,& flauerunt venti, & ir-
ruerunt in domum illam,& cecidit, &
fuit ruina illius magna? At qui ad Cir-
cenſes ludos ierunt,illo longè deterio-
res facti ſunt. Illius enim domus de-
iecta, ſed poſt validam impulſionem:
flumina enim & ventos tulit: quod di-
cit,non vt ventorum impetus & aqua-
rum multitudines doceat,ſed vt tenta-
tionum violentiam inſinuet:& ruinam
domus, nō vt ſenſibilem domum ima-
ginemur. De anima enim ſermo eſt,
quæ grauibus afflictionibus deiicitur:
neque illis reſiſtere poteſt. Vos autem
neque vētus afflauit, neque in vos flu-
uij irruerunt: ſed duntaxat tenuis quę-
dam aura diaboli ſpirauit, & omnes
vos ſubuertit. Quid hac inſipiētia de-
terius fuerit? Quæ ieiunij vtilitas, dic
oro? quod lucrum ex hac congrega-
tione? Quis non & vos deploraret, &
nos miſeros diceret? Vos, inquam,
qui omnia quæ collegiſtis, ſimul effu-
diſtis: & ianuas mentis veſtræ prauo
dæmoni aperuiſtis, vt facilis ei aditus
eſſet ad efferendas omnes veſtras ſpi-

κούητε τὰ τῶν μισθῶν ἀπηρτισμένα τυγχάνει.
A τὸ γὰρ ἐμαυτοῦ πᾶν ποιῶν διετέλεσα, καὶ τὸ ἀργύριον κατέβαλον, καὶ τὴν νουθεσίαν ἐποιησάμην, δέδοικα δὲ καὶ ἀγωνιῶ μὴ τοῦτο αὐτὸ πλείονος ὑμῖν κατηγορήσεως αἴτιος γένωμαι. ὁ γὰρ δοῦλός φησιν ἐκεῖνος ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας δαρήσεται πολλάς. οὐδὲ γὰρ εἰς ἄγνοιαν ὑμῶν τις ἔχει καταφυγὴν, οὕτως ἡμῶν καθ' ἑκάστην ἡμέραν τὰ αὐτὰ ἐνηχούντων, καὶ ὑποδεικνυόντων καὶ τὰς διαβολικὰς πάγας, καὶ τῆς ἀρετῆς τὴν πολλὴν εὐκολίαν, ἐὰν νήφειν βουλοίμεθα. ἢ οὐκ ἴστε ὅτι τοὺς οὕτω τῆς ἑαυτῶν σωτηρίας ἀμελοῦντας, καί ποτε μὲν ἐνταῦ-
B θα παραγινομένους, ἄλλοτε δὲ εἰς τὰ τοῦ διαβόλου δίκτυα ἑαυτοὺς ἐκδιδόντας τοῖς κυσὶ παραβάλλει ἡ θεία γραφή; ἄνθρωπος γάρ φησιν ἀποστρέφων ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ, καὶ πάλιν εἰς αὐτὴν ἐπανιὼν, ὅμοιός ἐστι κυνὶ ἐπιστρέφοντι ἐπὶ τὸν ἴδιον ἔμετον. ὁρᾶς τίνι ἐοίκασιν οἱ πρὸς τὴν θέαν ἐκείνην τὴν παράνομον δεδραμηκότες; οὐκ ἠκούσατε τοῦ Χριστοῦ λέγοντος, πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτοὺς ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ
C ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη; οἱ δὲ εἰς τὴν ἱπποδρομίαν δεδραμηκότες καὶ τούτου χείρους γεγόνασιν. ἐκείνου γὰρ ἡ οἰκία κἂν μετὰ τὴν προσβολὴν κατάπτωσιν ὑπέμεινε. ποταμοὺς γὰρ καὶ ἀνέμους εἶπεν, οὐχ ἵνα ὑδάτων πλῆθος αἰνίξηται ἡμῖν καὶ ἀνέμων σφοδρότητα· ἀλλὰ τῶν πειρασμῶν τὴν ἐπαγωγὴν τὴν σφοδρὰν, καὶ τὴν κατάπτωσιν τῆς οἰκίας, οὐχ ἵνα περὶ αἰσθητῆς οἰκίας νομίσωμεν. περὶ γὰρ ψυχῆς ὁ λόγος τῆς
D ἀπὸ τῆς τῶν δεινῶν προσβολῆς καταπιπτούσης, καὶ μὴ δυνηθείσης ἀντισχεῖν· ἐφ' ὑμῶν δὲ οὔτε ἄνεμος ἐκινήθη, οὔτε ποταμοὶ προσέρρηξαν, ἀλλ' ἁπλῶς αὔρα τις μικρὰ διαβολικὴ ἔπνευσε, καὶ πάντας ὑμᾶς ἀνερρίπισε. τί ταύτης τῆς ἀνοίας χεῖρον γένοιτ' ἄν; τί τῆς νηστείας ὄφελος εἰπέ μοι; τί τῆς ἐνταῦθα συνελεύσεως τὸ κέρδος; τίς οὐκ ἂν καὶ ὑπὲρ ὑμῶν στενάξειε, καὶ ὑμᾶς ταλανίσειεν; ὑπὲρ ὑμῶν μὲν, οἳ ἅπαντα ὅσα συνηγάγετε, ὑφ' ἓν ἐξεχέατε, καὶ τὰς θύρας τῆς διανοίας ὑμῶν ἀνεπετάσατε τῷ πονηρῷ δαίμονι, ὥστε καὶ εἰσελθεῖν, καὶ μετὰ πολλῆς τῆς εὐκολίας πάντα ὑμῶν ἐκφορῆσαι τὸν πλοῦτον τὸν πνευματικόν,

καὶ οὔτε ὁ γέρων αἰδεῖται τὴν πολιὰν, οὔτε ὁ νέος αἰσχύνεται πρὸς τὰ τῆς πολιᾶς ὑπεκκαύματα βαδίζων, ἀλλὰ τοσαύτη ἡ ἀπάτη ὡς καὶ μεθ' ἡδονῆς τὸ δέλεαρ ἐκεῖνο τῶν ψυχῶν περιέλκειν, καὶ μὴ ἐννοεῖν τῆς ἡδονῆς μὲν τὸ ἐπιβλαβὲς τὸ βραχὺ, καὶ πρόσκαιρον, τῆς δὲ ὀδύνης τὸ διηνεκὲς, καὶ τοῦ συνειδότος τὴν κατηγορίαν. ὁρῶ γὰρ ἐνίων καὶ νῦν τὰ πρόσωπα, καὶ στοχάζομαι τῆς ψυχῆς τὴν κατάστασιν, καὶ ὅση νῦν αὐτοῖς ἡ μετάνοια εἰσέρχεται· ἀλλ' ὅπως μὴ πάλιν τοῖς αὐτοῖς περιπέσητε, μηδὲ μετὰ τὴν τοσαύτην ἡμῶν παραίνεσιν πάλιν ἐπὶ τὰ Σατανικὰ συνέδρια ἐκεῖνα δράμητε, ἀναγκαῖον διαμαρτύρεσθαι. οὐδὲ γὰρ πάντοτε καλὸν προσηνῆ φάρμακα ἐπιτιθέναι, ἀλλ' ὅταν ᾖ τὸ ἕλκος δυσένδοτον· δεῖ καὶ τὰ στύφοντα καὶ τὰ δάκνειν δυνάμενα προσάγειν, ἵνα ταχεία γένηται ἡ διόρθωσις. μαθέτωσαν τοίνυν ἅπαντες οἱ τοῖς ἐγκλήμασιν ὑπεύθυνοι, ὅτι εἰ καὶ μετὰ ταύτην ἡμῶν τὴν παραίνεσιν πάλιν τῇ αὐτῇ ῥαθυμίᾳ ἐπιμένωσιν, οὐκ ἀνεξόμεθα, ἀλλὰ τοῖς νόμοις τῆς ἐκκλησίας χρησάμενοι μετὰ πολλῆς αὐτοῖς τῆς σφοδρότητος διδάξομεν μὴ τοιαῦτα πλημμελεῖν, μηδὲ μετὰ τοσαύτης καταφρονήσεως τῶν θείων ἀκούειν λογίων. καὶ ταῦτα οὐ περὶ πάντων λέγω τῶν ἐνταῦθα συνειλεγμένων, ἀλλὰ περὶ τῶν ὑπευθύνων τοῖς λεγομένοις. ὁ μὲν γὰρ λόγος πρὸς ἅπαντας διαλέγεται, ἕκαστος δὲ τῶν ἀκουόντων δεχέσθω τὸ κατάλληλον φάρμακον, ὁ μὲν τῷ ἁμαρτήματι ὑπεύθυνος, ὥστε μέχρι τούτου στῆσαι τὰ τῆς ῥαθυμίας, καὶ μὴ περαιτέρω προελθεῖν, ἀλλὰ διὰ τῆς μετὰ ταῦτα σπουδῆς ἀνακαλέσασθαι ἑαυτὸν, καὶ τῶν ἐπταισμένων ποιήσασθαι τὴν διόρθωσιν· ὁ δὲ ἀνεύθυνος ἀσφαλέστερος γινέσθω πρὸς τὸ μὴ ἁλῶναι, μηδὲ ὑπεύθυνος γενέσθαι ποτέ. ἀλλ' ἵνα δι' αὐτῶν τῶν πραγμάτων πείσωμεν τὴν ὑμετέραν ἀγάπην, ὅτι ἀπὸ φιλοστοργίας καὶ πολλῆς τῆς κηδεμονίας δακνόμενοι τὴν ψυχὴν, καὶ σφόδρα ὑπὲρ τῆς σωτηρίας τῆς ὑμετέρας δεδοικότες ταῦτα εἰπεῖν προήχθημεν, φέρε πάλιν ἑαυτοὺς ταῖς χρησταῖς ἐλπίσι τρέφοντες τὴν συνήθη παραθῶμεν ὑμῖν τὴν διδασκαλίαν, δεικνύντες ὑμῖν τὴν πατρικὴν εὔνοιαν, ἣν περὶ ὑμᾶς ἔχομεν, ἀλλὰ παρακαλῶ μετ' ἀκριβείας προσέχετε τοῖς λεγομένοις, ἵνα καρπωσάμενοί τι πλέον, καὶ οὕτως οἴκαδε ἐπανέλθητε. ἀναγκαῖον δὲ ταῦτα τὰ ἀναγνωσθέντα εἰπεῖν ἐπὶ τῆς ὑμετέρας ἀγάπης. καὶ εἶπε φησὶν ὁ θεὸς, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς τοῦ διαχωρίζειν ἀναμέσον τῆς ἡμέρας, καὶ ἀναμέσον τῆς νυκτός.

A & neque ſenex canos ſuos reueretur: neque iuuenem pudet ad canorum irritamenta ire: ſed tanta eſt hæc deceptio, vt cum voluptate hæc eſca animarum proueniat. Nec cogitatur, damnoſam hanc voluptatem breuem eſſe, & temporariam, dolorem verò perpetuum, & grauiter accuſaturam conſcientiam. Video enim nunc aliquorum facies, & coniecto qualis animæ eorum ſtatus, quantáque nunc pœnitudine teneantur. Verùm ne iterum in eadem recidatis, neque poſt tantam noſtram
B admonitionem iterum ad diabolica illa concilia & ſpectacula curratis, neceſſarium eſt vos obteſtari. Neque enim ſemper expedit pharmaca lenia adhibere: ſed quando vlcus curationi reſiſtit, oportet ſtyptica & mordacia admouere, quò morbo occurratur citius. Sciant igitur omnes his criminibus obnoxij, ſi poſt hanc noſtram admonitionem in ea negligentia manſerint, non toleraturos nos, ſed legibus eccleſiaſticis vſuros, & magna auſteritate docturos, ne talia poſthac negligant, néve tanto
C contemptu diuina audiant eloquia. Quanquam hæc non de omnibus hîc congregatis dico, ſed de reis. Omnibus quidem loquimur, ſed ſuum auditores quique remedium capiant. Reus quidem vt à delicto deſiſtat, & non vltrà progrediatur, ſed ſtudio ſuo ſeipſum reuocet, & errata corrigat: innoxius verò cautior fiat, vt ne capiatur, & aliquando reus fiat. Cæterùm vt re ipſa veſtræ charitati perſuadeamus, quòd amore ſtudióque veſtri is noſtri animi fuerit dolor, & quòd multùm ſaluti veſtræ
D timentes, ad hæc dicenda impulſi ſimus: age iterum nos ipſos bona ſpe fouentes, conſuetam repetamus doctrinam, declarantes paternam quam erga vos gerimus beneuolentiam: ſed oro diligenter auſcultate, vt maiore cum fructu domum redire liceat. Operæpretium autem eſt, ea quæ nũc lecta ſunt, charitati veſtræ dicere. *Et dixit*, inquit, *Deus: Fiant luminaria in* G
firmamento cæli ad illuminationẽ ſuper ter- 14
ram, vt diuidant inter diẽ & inter noctem.

Et ſint in ſigna, & in tempora, & in dies, & in annos : & ſint ad illuminationem in firmamento coeli : ita vt luceant ſuper terram. Et factum eſt ſic. Poſtquam enim heri nos docuit beatus Moſes, quomodo informem terram ornauerit vniuerſi conditor herbis, & florum varietate, & ſeminum germine : hodie ſermonem ad ornatũ cœli vertit. Nam ſicut terra ornatur per ea quæ ex ipſa proueniunt, ſic cœlum hoc viſibile clarius & fulgidius fecit, aſtrorum varietate illud interpolans : præſertim formatione duorum magnorum luminariũ, ſolis (inquam) & lunæ. Et fecit Deus, ait, duo luminaria magna, luminare magnum in præfecturas diei, & luminare minus in præfecturas noctis, & ſtellas. Vides ſapientiam opificis? dixit ſolùm, & productum eſt hoc admirabile elementũ, ſolem dico. Hunc enim vocat luminare magnum, & dicit ipſum factum eſſe, vt præſit diei. Sol enim clariorem diem efficit, rutilans aureo ſuo iubare & radiis, & quotidie ſpeciem ſuam vigeſcentem oſtēdens : & ſimul atque manè exortus fuerit, omne hominum genus ad ſuorum operum ſtudia excitans. Huius formoſitatem declarans beatus Da-
Pſa.18.6 uid, inquit: & ipſe tanquam ſponſus egrediens de thalamo ſuo, exultabit vt gigas ad currendam viam. A ſummo cœlo egreſſus eius, & occurſus eius vſque ad ſummum cœli. Vides quomodo eius pulchritudinem, & in operando velocitatem declarauit? Dicendo enim: A ſummo cœlo egreſſus eius, & occurſus eius vſque ad ſummum cœli: ſignificauit nobis, quomodo in vno temporis momento per totum orbem diſcurrit, & à finibus in fines ſuos radios mittit, multum vtilitatis præſtans. Nam non ſolùm calefacit, ſed & arefacit. Et non ſolùm arefacit, ſed & adurit, multóſque alios & varios nobis vſus præbet, atque adeò magnum eſt miraculum elementum hoc, neque eſt qui laudes eius pro dignitate prædicauerit. Hæc autem dico, & extollo ſermone elementum : non vt in eo ſubſiſtas dilecte, ſed vt inde aſcendas, & in elementi opificem admirationem transferas.

A καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς, καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἐγένετο οὕτως. ἐπειδὴ γὰρ χθὲς ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωϋσῆς, ὅπως τὴν ἀμορφίαν τῆς γῆς ἐκαλλώπισεν ὁ τῶν ὅλων δημιουργὸς ταῖς βοτάναις καὶ τῇ τῶν ἀνθῶν ποικιλίᾳ, καὶ τῇ βλάστῃ τῶν σπερμάτων, σήμερον πάλιν μετήγαγε τὸν λόγον ἐπὶ τὸν τοῦ οὐρανοῦ κόσμον. καθάπερ γὰρ ἡ γῆ καλλωπίζεται διὰ τῶν ἐξ αὐτῆς ἀναδιδομένων, οὕτω τὸν οὐρανὸν τοῦτον τὸν ὁρώ-
B μενον φαιδρότερον καὶ λαμπρότερον εἰργάσατο τῇ τε τῶν ἄστρων ποικιλίᾳ καταστίξας αὐτόν, καὶ τῇ δημιουργίᾳ τῶν δύο φωστήρων τῶν μεγάλων, λέγω τοῦ ἡλίου καὶ τῆς σελήνης. καὶ ἐποίησε φησὶν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας. εἶδες σοφίαν τοῦ δημιουργοῦ; εἶπε μόνον, καὶ παρήχθη τὸ στοιχεῖον τοῦτο τὸ θαυμαστόν, ὁ ἥλιος λέγω, τοῦτο γὰρ καλεῖ φωστῆρα μέγαν, καί φησιν αὐτὸν εἰς ἀρχὰς τῆς ἡμέρας γεγενῆσθαι. οὗτος γὰρ φαιδροτέραν τὴν ἡμέραν ἀπεργάζεται, καθάπερ
C μαρμαρυγάς τινας τὰς οἰκείας ἀκτῖνας ἀφιείς, καὶ καθ' ἑκάστην ἡμέραν ἀκμαῖον τὸ οἰκεῖον κάλλος ἐπιδεικνύμενος, καὶ ἅμα τῷ ὄρθρῳ φαινόμενος, καὶ πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν διεγείρων πρὸς τὴν τῶν οἰκείων ἔργων ἐπιτήδευσιν. τοῦτο τὸ κάλλος ἐμφαίνων ὁ μακάριος προφήτης φησί· καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ. ὁρᾷς ὅπως καὶ τὸ κάλλος ἡμῖν παρεδήλωσε, καὶ τὸ τάχος τῆς ἐνεργείας; εἰπὼν
D γὰρ ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐσήμανεν ἡμῖν, ὅπως ἐν μιᾷ καιροῦ ῥοπῇ πᾶσαν διατρέχει τὴν οἰκουμένην, καὶ ἀπὸ περάτων εἰς πέρατα τὰς οἰκείας ἀκτῖνας ἀφίησι πολλὴν τὴν ἑαυτοῦ χρείαν παρεχόμενος. οὔτε γὰρ θερμαίνει μόνον, ἀλλὰ καὶ ξηραίνει· καὶ οὐ ξηραίνει μόνον, ἀλλὰ καὶ καίει, καὶ πολλὰς καὶ διαφόρους ἡμῖν τὰς χρείας παρέχεται, καὶ πολὺ τοῦ στοιχείου τούτου τὸ θαῦμα, καὶ οὐκ ἄν τις κατ' ἀξίαν ἅπαντα εἰπεῖν δυνηθείη. ταῦτα δὲ λέγω, καὶ ἐπαίρω τῷ λόγῳ τὸ στοιχεῖον, ἵνα μὴ μέχρι τούτου στῇς ἀγαπητέ, ἀλλ' ἐντεῦθεν ἀναδράμῃς, καὶ ἐπὶ τὸν τοῦ στοιχείου δημιουργὸν τὸ θαῦμα

A μεταγάγης. ὅσον γὰρ ἂν μέγα δειχθῇ τὸ στοιχεῖον τοσοῦτο, πολὺ τοῦ δημιουργοῦ τὸ θαῦμα δείκνυται. ἀλλ' οἱ Ἑλλήνων παῖδες θαυμάσαντες, καὶ ἐκπλαγέντες τὸ στοιχεῖον, οὐκ ἠδυνήθησαν διαβλέψαι καὶ τὸν παραγαγόντα ἀνυμνῆσαι, ἀλλ' ἐναπέμειναν τῷ στοιχείῳ, καὶ τοῦτο ἐθεοποίησαν· διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλός φησι, καὶ ἐσεβάσθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. τί γὰρ ἂν αὐτῶν ἀνοητότερον γένοιτ' ἂν μὴ δυνηθέντων ἐκ τοῦ δημιουργήματος τὸν δημιουργὸν καταμαθεῖν, ἀλλὰ τοσαύτην πλάνην πλανηθέντων ὡς τὸ κτίσμα καὶ τὸ ποίημα εἰς τὴν αὐτὴν τάξιν τῷ δημιουργῷ ἀναγαγεῖν; διά τοι
B τοῦτο καὶ ἡ θεία γραφὴ προειδυῖα τὸ πρὸς τὴν πλάνην τῶν ῥαθυμοτέρων ἐπιῤῥεπές, μετὰ τρεῖς ἡμέρας διδάσκει ἡμᾶς τοῦτο τὸ στοιχεῖον τὴν δημιουργίαν γεγενῆσθαι, μετὰ τὸ πάντα τὰ σπέρματα ἀπὸ τῆς γῆς ἀναδοθῆναι, μετὰ τὸ ἀπολαβεῖν τὴν γῆν τὸν οἰκεῖον κόσμον, ἵνα μηδενὶ ἐξῇ τὸ μετὰ ταῦτα λέγειν, ὅτι ἄνευ τῆς τούτων συνεργείας οὐκ ἂν ἐτελεσφορήθη τὰ ἀπὸ τῆς γῆς. διὰ τοῦτο δείκνυσί σοι πρὸ τῆς τούτου δημιουργίας ἅπαντα πεπληρωμένα· ἵνα μὴ τούτῳ ἐπιγράφῃς τὴν τῶν καρπῶν τὴν τελεσφόρησιν· ἀλλὰ τῷ τῶν ἁπάντων δημιουργῷ
C τῷ ἐξ ἀρχῆς εἰπόντι· Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου. εἰ δὲ λέγοιεν, ὅτι συντελεῖ τι καὶ τοῦ ἡλίου ἡ χρεία πρὸς τὸ τοὺς καρποὺς πεπαίνεσθαι, οὐδὲ ἐγὼ ἀντιλέγω. ὥσπερ γὰρ καὶ τὸν γεωπόνον λέγων συνεργεῖν πρὸς τὴν τῆς γῆς ἐργασίαν οὐ τῷ γεωπόνῳ τὸ πᾶν λογίζομαι, ἀλλὰ κἂν μυριάκις ὁ γεωπόνος τὰ παρ' ἑαυτοῦ δείξηται, εἰ μὴ ὁ τῷ οἰκείῳ προστάγματι ἐξ ἀρχῆς αὐτὴν διεγείρας πρὸς τὴν τῶν καρπῶν αὐτὴν γένεσιν κινῆσαι βουληθῇ, οὐδὲν ὄφελος τῶν πολλῶν καμάτων. τὸν αὐτὸν δὴ τρόπον φημί, ὅτι κἂν μετὰ τοῦ γεωπόνου καὶ ἡ τοῦ ἡλίου συνεργία
D συμβάλληται, καὶ ἡ τῆς σελήνης, καὶ ἡ τῶν ἀέρων εὐκρασία, οὐδὲ οὕτως ἔσται τι πλέον μὴ τῆς ἄνωθεν δεξιᾶς συνεφαπτομένης· ἐκείνης δὲ τῆς κραταιᾶς χειρὸς βουλομένης καὶ ἡ παρὰ τῶν στοιχείων ἐνέργεια τὰ μέγιστα συμβάλλεται. ταῦτα μετ' ἀκριβείας κατέχοντες ἐπιστομίζετε τοὺς ἔτι πλανᾶσθαι βουλομένους, καὶ μὴ συγχωρεῖτε τὸ τοῦ δημιουργοῦ σέβας τοῖς κτίσμασιν ἀπονέμειν. διὰ τοῦτο καὶ ἡ θεία γραφὴ οὐ μόνον τὸ κάλλος αὐτοῦ ἡμῖν δείκνυσι, καὶ τὸ μέγεθος καὶ τὴν χρείαν διὰ τοῦ εἰπεῖν ὡς νυμφίος, καὶ ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν,

Nam quantò magis oſtenditur elementum, tantò maius monſtratur opificis miraculum. Verùm Gentiles admirantes & obſtupeſcentes tantum elementum, vlterius non proſpexerunt, neque eius conditorem laudauerunt: ſed in elemento conquieſcentes, ipſum pro Deo habuerunt: propterea & Paulus dicit: Et venerati ſunt, coluerúntque creaturam magis quàm creatorem. (Rom. 1. 25.) Et quid inſipientius illis, qui non potuerunt ex creaturis agnoſcere creatorem, ſed in tantum peruenerunt errorem, vt creaturam & facturam in ordinem creatoris referrent? Quaprópter diuina quoque ſcriptura præuidens propenſos ad errorem ignauos, docet nos, poſt tertium diem hoc elementum eſſe conditum, poſtquam terra omnigena ſemina protulit, & ſuum accepit ornatum: vt nulli poſthac dicere liceat, quòd ſine ſolis cooperatione non matureſcant fruges, & prouentus terræ. Et idcirco monſtrat tibi, antequam ſol formaretur, omnia fuiſſe impleta, vt ne ſoli fructuum prouentus aſcribas, ſed omnium opifici Deo, qui dixit ab initio: Germinet terra herbam fœni.

Cur poſt tertiũ diem ſol conditus.

Quòd ſi dixerint, quòd ſolis functio etiam aliquid operetur, vt fructus matureſcat: neque ego contradico. Nam ſicut ſi de agricola dicam, quòd cooperetur vnà cum terra: non ideo tribuo vniuerſum agricolæ, ſed etiam ſi ſexenties ſuum agat officium, niſi is qui ſuo mandato ab initio terram ad faciendos fructus idoneam fecit, ad hoc eam quoque mouere velit, nihil proficiet multis laboribus. Similiter dico, quòd & cum labore ruſtici conſpiret ſolis & lunæ operatio, & cœli temperies, neque ſic vtilitas aliqua erit, niſi ſupernè illos dextra Domini adiuuerit. Volente igitur manu hac valida, etiam elementa plurimum conferunt. Hæc bene tenete memoria, & compeſcite eos qui adhuc errare volunt, & non concedite, vt creatoris honor creaturæ concedatur. Ea propter & diuina ſcriptura non ſolùm pulchritudinem eius, & magnitudinem, & vtilitatem oſtendit, dicendo: Sicut ſponſus: & Exultabit ſicut gigas ad currendam viam:

ſed & imbecillitatem & vanitatem. Eccl.17. 31. Audi enim quid alibi dicat : Quid ſole lucidius ? & hoc deficit. Ne te decipiat, inquit, ſpectaculum. Nam ſi voluerit conditor imperare : quaſi nunquam fuerit , ita diſparebit. Hæc ſi cognouiſſent Gentiles, neutiquam in tantum incidiſſent errorem, ſed rectè vidiſſent, quòd ex creaturarum contemplatione conueniat ad creatorem aſcendere. Propter hoc & quarto die ſolem fecit, ne putes illum diei authorem. Nam quod de ſeminibus à nobis dictum eſt, & de die licet dicere , quòd fuerunt tres dies ante ſolis formationem. Voluit autem Dominus & per hoc elementum clariorem diei lucem fieri: id quod & de minori luminari, hoc eſt, de luna, dixerimus : factæ enim ſunt tres noctes ante eius formationem : attamen & hæc producta ſuam affert vtilitatem : diſſipat enim noctis tenebras, & fermè (vt ita dicam) eadem quæ ſol ipſe facit. Sol enim ordinatus eſt ad hoc, vt præſit diei, luna autem vt præſit nocti. Quid eſt in præfecturas diei , & præfecturas noctis? poteſtatem, inquit, accepit, ille quidem diei , hæc verò noctis, vt ſol diem ſuis radiis clariorem reddat : luna autem vt diſpellat tenebras, & hominum generi lumine ſuo præbeat commoditates vtendi ſuis ſtudiis. Tunc enim viator fidentius iter facit, & nauta nauim regit , & ſua quique ſtudia metu poſito aggrediuntur. Deinde poſtquam docuit iſtorum luminarium vtilitatem , inquit. 17. *Et ſtellas, & poſuit Deus illas in firmamento cæli, ita vt luceant ſuper terram, & præſint diei ac nocti, & ſeparent inter lucem & tenebras.* Animaduerte hîc quantum & iſtarum vſum nobis declarauit. Poſuit illas , inquit , in firmamento cœli. Quid eſt poſuit ? Nunquid quaſi diceret aliquis, fixit ? Abſit. Videmus enim ipſas vnico temporis momento magnum tranſire ſpatium, & nunquam in vno loco ſtare , ſed ſuum , quem illis Dominus præcepit, curſum perficere. Quid igitur eſt , poſuit ? id eſt , imperauit vt ipſæ eſſent in cœlo. Etenim hoc ex proceſſu ſcripturæ licebit videre , quia alibi dicit : Poſuit Deus Adam in paradiſo,

Quanta cómoditas ſit ſtellarū.

A ἄκουσον γὰρ τί φησιν ἀλλαχοῦ· τί φαιδρότερον ἡλίου; καὶ τοῦτο ἐκλείπει. μή σε ἀπατάτω φησὶν ἡ θέα, ἐὰν γὰρ βουληθῇ ὁ δημιουργήσας προστάξαι, ὡς οὐδὲ γεγονὼς ἀφίσταται. ταῦτα εἰ συνῄδεσαν Ἑλλήνων παῖδες, οὐκ ἂν τοσαύτην πλάνην ἐπλανήθησαν· ἀλλ᾽ εἶδον ἂν καλῶς, ὅτι προσήκει ἐκ τῆς τῶν δημιουργημάτων θεωρίας ἐπὶ τὸν δημιουργὸν ἀναδραμεῖν. διὰ τοῦτο καὶ τῇ τετάρτῃ ἡμέρᾳ αὐτὸν ἐδημιούργησεν, ἵνα μὴ νομίσῃς τοῦτον συνιστᾶν τὴν ἡμέραν. ὃ γὰρ ἐπὶ σπερμάτων εἴπομεν, τοῦτο καὶ ἐπὶ τῆς ἡμέρας ἐροῦμεν, ὅτι ἐγένοντο μὲν τρεῖς ἡμέραι πρὸ τῆς τούτου δημιουργίας, ἐβουλήθη δὲ ὁ δεσπότης καὶ διὰ
B τοῦ στοιχείου τούτου φαιδρότερον τὸ φῶς τῆς ἡμέρας ἐργάσασθαι, ὃ αὐτὸ καὶ ἐπὶ τοῦ ἐλάττονος φωστῆρος εἴποιμεν ἄν, τῆς σελήνης λέγω. γεγόνασι γὰρ τρεῖς νύκτες πρὸ τῆς ταύτης δημιουργίας, ἀλλ᾽ ὅμως καὶ αὐτὴ παραχθεῖσα τὴν παρ᾽ ἑαυτῆς εἰσφέρει χρείαν διασκεδάζουσα τὸ τῆς νυκτὸς σκότος, καὶ σχεδὸν εἰπεῖν τὰ αὐτὰ τῷ ἡλίῳ συντελοῦσα πρὸς τὰ ἄλλα πάντα. ὁ μὲν γὰρ ἀφώρισται εἰς ἀρχὰς τῆς ἡμέρας, ἡ δὲ εἰς ἀρχὰς τῆς νυκτός. τί ἐστιν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ εἰς ἀρχὰς τῆς νυκτός; τὴν ἐξουσίαν φησὶν ἔλαβεν ὁ μὲν τῆς ἡμέρας, ἡ δὲ τῆς νυκτός, ἵν᾽ ὁ μὲν
C φαιδροτέραν αὐτὴν ἀπεργάζηται διὰ τῶν οἰκείων ἀκτίνων, ἡ δὲ διασκεδάζῃ τὸ σκότος, καὶ τῇ φύσει τῶν ἀνθρώπων διὰ τοῦ φωτὸς οἰκείου παρέχῃ μεθ᾽ εὐκολίας κεχρῆσθαι τοῖς οἰκείοις ἐπιτηδεύμασι. τότε γὰρ καὶ ὁδοιπόρος θαρρῶν τῆς ὁδοιπορίας ἅπτεται, καὶ ναύτης καθέλκει τὸ πλοῖον, καὶ τὰ πελάγη διαπερᾷ, καὶ ἕκαστος δὲ τῶν τὰ ἐπιτηδεύματα μετιόντων μετὰ πολλῆς τῆς ἀδείας τὰ τῆς οἰκείας ἐπιστήμης μεταχειρίζεται. εἶτα ἐπειδὴ ἐδίδαξεν ἡμᾶς τὴν φωστήρων τούτων τὴν χρείαν φησί. καὶ τοὺς ἀστέρας, καὶ ἔθετο αὐτοὺς ὁ θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ,
D ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας, καὶ τῆς νυκτός, καὶ διαχωρίζειν ἀναμέσον τοῦ φωτός, καὶ ἀναμέσον τοῦ σκότους. ἐννόει καὶ τούτων πόσην ἡμῖν τὴν χρείαν ἐδήλωσεν. ἔθετο φησὶν αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ. τί ἐστιν ἔθετο; ὡς ἂν εἴποι τις ἔπηξεν; μὴ γένοιτο, ὁρῶμεν γὰρ αὐτοὺς ἐν μιᾷ καιροῦ ῥοπῇ πολὺ διάστημα διατρέχοντας, καὶ οὐδέποτε ἐν ἑνὶ τύπῳ ἑσταμένους, ἀλλὰ τὸν οἰκεῖον δρόμον ἀποπληροῦντας, ὃν ἐξ ἀρχῆς ἐτάχθησαν παρὰ τοῦ δεσπότου. τί οὖν ἐστι τὸ ἔθετο; ἀντὶ τοῦ προσέταξεν αὐτοὺς εἶναι ἐν τῷ οὐρανῷ. καὶ γὰρ ἔστιν ἰδεῖν προϊοῦσαν τὴν γραφήν, καὶ ἀλλαχοῦ λέγουσαν, ὅτι ἔθετο

δεὴς ὢν ὁ δημιουργὸς οὐδενὸς ἐδεῖτο, ἀλλ᾽ ἵνα τὴν περὶ ἡμᾶς φιλανθρωπίαν ἐπιδείξηται, ταῦτα ἅπαντα παρήγαγε, δεικνὺς, ὅσῳ τιμᾶται τὸ τῶν ἀνθρώπων γένος, καὶ ἵνα ἐκ τούτων ὁδηγούμενοι τὴν προσήκουσαν αὐτῷ προσκύνησιν ἀναφέρωμεν. πόσης γὰρ οὐκ ἂν εἴη παρανοίας προσπταίειν τῷ κάλλει τῶν γινομένων, καὶ τούτοις παρακαθῆσθαι, καὶ μὴ ἀνατείνειν τὸ ὄμμα τῆς διανοίας πρὸς τὸν παραγαγόντα, καὶ πείθεσθαι τῷ μακαρίῳ Παύλῳ λέγοντι· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται; τί λέγεις ἄνθρωπε; ἰδὼν τὸν οὐρανὸν θαυμάζεις αὐτοῦ τὸ κάλλος, τῶν ἀστέρων τὴν ποικιλίαν, τῆς φαιδρότητος τὴν ὑπερβολήν; μὴ στῇς μέχρι τούτου, ἀλλ᾽ ἔκτεινόν σου τὴν διάνοιαν εἰς τὸν τούτων δημιουργόν. ἐκπλήττει σε πάλιν τοῦ ἡλίου τὸ φῶς, καὶ ὁρῶν αὐτοῦ πολλὴν οὖσαν τὴν χρείαν εἰς θαῦμα διεγείρῃ, καὶ ἐπειδὰν ἴδῃς τὰς ἀκτῖνας αὐτοῦ καταυγαζούσας σου τὰς ὄψεις θαυμάζεις τοῦ στοιχείου τὸ κάλλος; ἀλλὰ μηδὲ ἐνταῦθα μέχρι τούτου στῇς, ἀλλ᾽ ἐννόησον, ὅτι εἰ τὸ δημιούργημα οὕτω θαυμαστὸν, καὶ παράδοξον, καὶ πάντα ἀνθρώπινον νοῦν ὑπερβαῖνον, ποταπὸς ἂν εἴη ὁ τοῦτο λόγῳ μόνῳ, καὶ ἐπιτάγματι παραγαγών. τὸ αὐτὸ καὶ ἐπὶ τῆς γῆς λογίζου, ἐπειδὰν ἴδῃς αὐτὴν τοῖς ἄνθεσι καλλωπιζομένην, καθάπερ ἱμάτιον ποικίλον, ἐφηπλωμένην αὐτῇ πανταχόθεν τὴν βλάστην τὴν ἀπὸ τῶν βοτανῶν, μὴ τῇ δυνάμει τῆς γῆς λογίσῃ τὰ ἐξ αὐτῆς τικτόμενα, μηδὲ τῇ τοῦ ἡλίου συνεργίᾳ ἢ τῆς σελήνης· ἀλλ᾽ ἐννόησον εὐγνωμόνως, ὅτι καὶ περὶ τῆς τούτου δημιουργίας εἶπε μόνον· ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, καὶ παραχρῆμα ἅπαν τῆς γῆς τὸ πρόσωπον ἐφαιδρύνετο. ἐὰν ταῦτα καθ᾽ ἑκάστην ἡμέραν στρέφωμεν ἐν τοῖς ἡμετέροις λογισμοῖς, αὐτοί τε εὐγνώμονες ἐσόμεθα, καὶ τῷ δεσπότῃ τὴν προσήκουσαν, μᾶλλον δὲ τὴν κατὰ δύναμιν τὴν ἡμετέραν δοξολογίαν ἀναπέμψομεν. δοξάσομεν δὲ αὐτὸν οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τῆς ἀρίστης πολιτείας, ἐὰν μὴ πάλιν τοῖς αὐτοῖς περιπέσωμεν, ἀλλὰ πολλὰ χαίρειν εἰπόντες ταῖς διαβολικαῖς ἀπάταις τῇ μετὰ ταῦτα προσοχῇ, καὶ τῇ πολλῇ σπουδῇ, καὶ τῇ συντόνῳ ἐξομολογήσει τὴν ἄνωθεν εὔνοιαν ἐπισπασώμεθα. ἀρκεῖ γὰρ αὐτῷ διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν τὸ στῆναι μόνον ἡμᾶς τῆς κακίας. ἂν γὰρ τοῦτο ἑλώμεθα,

A Sufficientiſſimus enim opifex nullo iſtorum opus habebat: ſed vt erga nos ſuam miſericordiam oſtendat, hæc omnia produxit, monſtrans quanto honore proſequatur humanum genus, & vt his manuducti, ad conuenientem ſibi adorationem aſcendamus. Magnæ enim ſtultitiæ eſt, procidere ante pulchras creaturas, & eis aſſidere, & non ſuſtollere mentis oculum ad illum qui eas produxit, nec credere Paulo dicẽti: Inuiſibilia illius ex creatione mundi per opera intellecta peruidentur. (Rom. 1. 20.) Quid dicis homo? Cùm videris cœlũ,
B admiraris eius formoſitatem, aſtrorum varietatem, claritatis eminentiam? ne ibi ſubſiſtas, ſed ad opificem ipſum tuã extende mentem. Obſtupeſcere te facit rurſus ſolis lux, & admiraris eius multiplicem vſum: & quia vides radios illuſtrantes tuos oculos, admiraris elementi pulchritudinem: ſed neque hîc ſubſiſtas: ſed cogita, quòd ſi creatura tam admirabilis eſt, & ſupra omnium opinionem & intellectum: quantus eſt qui ipſam ſolo verbo & præcepto produxit. Idipſum & de terra tecum conſidera: quando enim videris eam floribus ornari, & ſicut ve-
C ſtimentum multis coloribus diſtinctũ, varia herbarum ſegete vndique tegi: ne aſcribas potentiæ terræ, ea quæ ex ipſa naſcuntur, neque ſolis cooperationi, vel lunæ: ſed cordatè cogita, quod ante illorum creationem dixerit duntaxat: Producat terra herbam fœni: & mox omnis terræ facies ornata eſt. Si hæc ſingulis diebus nobiſcũ verſemus, ipſi grati erimus: & Domino, vt decet, imò vt noſtræ vires ferũt, gloriam dabimus. Glorificabimus autem eum, non per hoc ſolum, ſed &
D per optimam vitam, ſi non in eadem peccata recidamus, ſed longum vale dicentes diabolicis illuſionibus, diligenti poſthac attentione, multóque ſtudio, & continua confeſſione ſupernam beneuolentiam nobis conciliemus. Sufficit enim illi ob magnam ſuam miſericordiam, vt deſiſtamus à peccatis. Si enim hoc voluerimus,

facilè & ad bonorum operum actionem impellemur. Ne quis, obſecro, poſtea in Circenſibus ludis appareat, ne quis in conuenticulis intempeſtiuis diei partem dilapidet: ne quis talorum ludo, & clamori, qui inde oritur, ac reliquæ perniciei poſthac ſe admiſceat. Quæ enim vtilitas ieiunij, dic obſecro, ſi toto die nihil comedis, ludis autem & nugaris, ſæpe etiam peieras, & blaſphemas, & ita totum perdis diem? Ne ita negligentes ſimus, obſecro, in noſtra ipſorum ſalute: quin potius ſermo noſter ſit de ſpiritualibus. Et librum diuinum accipiat aliquis in manus, conuocatiſque proximis per diuina eloquia riget & ſuam, & conuenientium mentem: vt ſic diabolicas inſidias effugere valeamus, & multos percipere ieiunij fructus, & frui miſericordia Dei. Quod vt nobis præſtetur, oremus, gratia & miſerationibus vnigeniti filij eius, cum quo patri, & Spiritui ſancto ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Homilia VII.

Gen. 1. 20. *Et dixit Deus: Educant aquæ reptilia animarum viuentium, & volatilia volantia ſuper terram ſecundum firmamentum coeli: & factum eſt ſic. 21. Et fecit Deus cete magna, & omnem animam animalium reptilium, quæ produxerunt aquæ ſecundum genera ſua.*

HERI eos qui ad equeſtris ludi ſpectaculum abierunt, ſatis perſtrinximus, demonſtrata eis iacturæ, quam fecerunt, magnitudine: nempe quòd ſpiritualem theſaurum ex ieiunio collectum ſimul effuderunt, & ex magna abundantia in extremam inopiam ſubitò ſeipſos coniecere. Age, leniore hodie vtamur remedio, & illorum ſpiritualia vulnera, quaſi membra noſtra eſſent, obligemus: quia & heri aſperiora medicamina impoſuimus, non vt quoquo modo aliquem contriſtaremus, ſed vt vehementia vlcus ipſum attingere poſſemus. Etenim & medici, & patres ſic facere conſueuerunt.

A εὐκόλως εἰς τὴν τῶν ἔργων πρᾶξιν ὁρμήσομεν. μή μοι λοιπὸν ἐν ἱπποδρομίαις τις φαινέσθω παραχαλῶ, ἀλλὰ μηδὲ ἐν τοῖς συλλόγοις τοῖς ἀκαίροις καταδαπανάτω τὸν καιρὸν τῆς ἡμέρας· μή μοι κύβοις, καὶ τῇ ἐντεῦθεν τικτομένῃ κραυγῇ, καὶ τῇ λοιπῇ λύμῃ ἑαυτὸν τις ἐκδιδότω. τί γὰρ ὄφελος εἰπέ μοι τῆς νηστείας, ὅταν ἄσιτος μὲν διημερεύῃς, κύβοις δὲ ἑαυτὸν ἐκδίδως, καὶ φλυαρίαις ἀνονήτοις, πολλάκις δὲ ἐπιορκίαις καὶ βλασφημίαις πᾶσαν ἀναλώσῃς τὴν ἡμέραν; μὴ παρακαλῶ, μὴ οὕτω ῥαθύμως περὶ τὴν ἑαυτῶν σωτηρίαν διακειθῶμεν, ἀλλὰ μᾶλλον B περὶ τῶν πνευματικῶν ἡμῖν ἔστω διηνεκῶς ἡ διάλεξις, καὶ βιβλίον τις θεῖον λαβὼν μετὰ χεῖρας, καὶ συγκαλέσας τοὺς πλησίον διὰ τῶν θείων λόγων ἀρδέτω καὶ τὴν ἑαυτοῦ διάνοιαν καὶ τῶν συγγινομένων, ἵν' οὕτω καὶ τὰς μηχανὰς τοῦ πονηροῦ διαφυγεῖν δυνηθῶμεν, καὶ μεγάλα ἀπὸ τῆς νηστείας καρπώσασθαι ἀγαθὰ, καὶ τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας ἀπολαύσωμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα κράτος τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

C

Ὁμιλία ζ.

Καὶ εἶπεν ὁ θεός· ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, καὶ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν.

ΙΚανῶς χθὲς καθηψάμεθα τῶν εἰς τὰς ἱπποδρομίας αὐτομολησάντων δείξαντες αὐτοῖς τῆς βλάβης τὸ μέγεθος, ἧς ὑπέστησαν τὸν συλλεγέντα ἀπὸ τῆς D νηστείας αὐτοῖς πλοῦτον πνευματικὸν ἀθρόον ἐκχέαντες, καὶ ἀπὸ τῆς πολλῆς περιουσίας ἐξαίφνης εἰς ἐσχάτην πενίαν ἑαυτοὺς καταστήσαντες. φέρε δὴ σήμερον πρᾳοτέρῳ χρησώμεθα τῷ φαρμάκῳ, καὶ καθάπερ μέλη ἡμέτερα, οὕτως αὐτῶν τὰ τῆς ψυχῆς τραύματα ἐπιδήσωμεν, ἐπεὶ καὶ χθὲς αὐστηρότερα τὰ φάρμακα ἐπεθήκαμεν, οὐχ ἵνα ἁπλῶς λυπήσωμεν, καὶ τὴν ἀλγηδόνα ἐπιτείνωμεν, ἀλλ' ἵνα τῇ σφοδρότητι καθικέσθαι δυνηθῶμεν τοῦ ἕλκους.

A ἕλκους, καὶ γὰρ καὶ ἰατροὶ καὶ πατέρες οὕτω ποιεῖν εἰώθασιν· οἱ μὲν δραστικώτερα πρότερον ἐπιτιθέασι, καὶ ἐπειδὰν ῥήξῃ τὸ ἕλκος, τότε τὰ καταγλυκαίνειν δυνάμενα φάρμακα προσάγουσι. καὶ πατέρες δὲ ὅταν ἴδωσι τοὺς παῖδας τοὺς ἑαυτῶν ἀτακτοῦντας, πρότερον ἐπιπλήξεσι σφοδροτέραις κέχρηνται· μετὰ δὲ ταῦτα νουθεσίαις καὶ παρακλήσεσι. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, εἰ καὶ χθὲς σφοδρότερον ἐχρησάμεθα τῷ λόγῳ· ἀλλὰ σήμερον προσηνεστέραν ποιησόμεθα τὴν διάλεξιν, καὶ καθάπερ μέλη ἡμέτερα θεραπεύσομεν. ὥσπερ γὰρ ἡ προκοπὴ ἡ ὑμετέρα ἡμῖν πλείονα τὴν παρ-
B ῥησίαν παρέχει, καὶ τοῦτο ἡμῶν ἐστιν ὁ πλοῦτος πνευματικὸς τὸ ὁρᾶν ὑμᾶς ἐν τοῖς πνευματικοῖς ἐπιδιδόντας, καὶ ἐν ἀρετῇ διαλάμποντας καὶ τῶν βλάπτειν δυναμένων ἀπεχομένους, οὕτως ἐπειδὰν ἴδωμεν ὑμᾶς ὑποσκελιζομένους, καὶ ὑπαγομένους ταῖς ἀπάταις ταῖς διαβολικαῖς, κατηφείας πληρούμεθα, καὶ αἰσχύνη τις ὡς εἰπεῖν κατασκεδάζεται τῆς ἡμετέρας ψυχῆς. κατὰ γὰρ τὸν μακάριον Παῦλον τότε ἡμεῖς ζῶμεν, ἐὰν ὑμεῖς στήκετε ἐν κυρίῳ, ὡς οὖν τέλειοι καὶ πεπληρωμένοι συνέσεως, οὕτω τῶν μὲν ὄπισθεν ἐπιλανθάνεσθε, τοῖς δὲ
C ἔμπροσθεν ἐπεκτείνεσθε, καὶ τὰς συνθήκας, ἃς πρὸς τὸν Χριστὸν ἔθεσθε ἀνακαλεσάμενοι βεβαίας ταύτας εἰς τὸ ἑξῆς διαφυλάττετε, καὶ λογισμῷ σώφρονι πᾶσαν εἴσοδον τοῖς τοῦ διαβόλου μηχαναῖς ἀποκλείσαντες, τῇ μετὰ ταῦτα σπουδῇ τὴν ἀπὸ τῆς ῥαθυμίας προστριβεῖσαν ὑμῖν κηλῖδα ἀπονίψασθε περιγενόμενοι τῆς ἀκαίρου συνηθείας καὶ ἐπιβλαβοῦς, καὶ λογισάμενοι ὡς οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ὅτι ἑαυτοῖς πολλὴν τὴν βλάβην προστρίβονται οἱ αὐτόθι παραγινόμενοι· ἀλλ᾽ ὅτι καὶ πολλοῖς ἑτέροις σκανδάλου ὑπόθεσις γίνονται. ὅταν γὰρ ἴδωσιν Ἕλληνες καὶ Ἰουδαῖοι τὸν ἐφ᾽ ἑκά-
D στης ἡμέρας εἰς τὴν ἐκκλησίαν διημερεύοντα καὶ συνεχοῦς ἀπολαύοντα διδασκαλίας ἀθρόον ἐκεῖ φαινόμενον, καὶ μετ᾽ αὐτῶν συμφυρόμενον, πῶς οὐ νομίσουσιν ἀπάτην εἶναι τὰ ἡμέτερα, καὶ περὶ πάντων τῶν παρ᾽ ἡμῖν τὴν αὐτὴν ὑπόληψιν ἕξουσιν; ἢ οὐκ ἀκούεις τοῦ μακαρίου Παύλου παραινοῦντος λαμπρᾷ τῇ φωνῇ, καὶ συμβουλεύοντος, ἀπρόσκοποι γίνεσθε; εἶτα ἵνα μὴ νομίσῃς περὶ τῶν οἰκείων μόνον τὴν παραγγελίαν παρ᾽ αὐτοῦ γίνεσθαι, καὶ τῶν μεθ᾽ ἡμῶν τεταγμένων, προσέθηκεν καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τότε ἐπήγαγε· καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. οὐδὲν γὰρ οὕτω λυμαίνεται καὶ βλάπτει τὴν θρησκείαν τὴν ἡμετέραν, ὡς τὸ τοῖς ἀπίστοις λαβήν τινα παρέχειν. ὅταν οὖν ἴδωσί τινας ἐν ἀρετῇ διαλάμποντας παρ᾽ ἡμῖν καὶ πολλὴν τῶν βιωτικῶν ὑπεροψίαν ποιουμένους,

Medici enim primùm apponunt cataplaſmata magis efficacia:& dein rupto vlcere,ea quę leniunt: patres quoq; cũ viderint filios ſuos incompoſitis moribus, prius grauiter verberibus corripiunt, & dein admonent & ſolantur. Hoc modo & nos,quamuis heri vehementiori ſermone vſi fuerimus, hodie tamen blandius vobis loquemur, & ſicut noſtra ipſorum mēbra curabimus. Nam vt profectus veſter maiorem loquendi fiduciam nobis cōciliat:& ſpiritualis noſter theſaurus eſt, ſi vos in ſpiritualibus incremēta capere cernamus, & virtutibus eſſe conſpicuos atq; ab his quę nocere valent, vobis cauere:ſic quādo videmus vos ſupplantari, & diabolicis illuſionibus ſeduci & ſubiici, mœſtitia implemur, & confuſio quædam, vt ſic dicam, animã noſtram deiicit. Iuxta beatum enim Paulũ,tũc nos viuimus,ſi vos ſtatis in Domino. Igitur vt perfecti, & repleti intellectu, ſic eorum quę retro ſunt obliuiſcamini,vt ad ea quę ante vos ſunt,enitamini:& fœdera quę cum Chriſto iniiſtis, renouata, ſtabilia & inuiolata poſthac cuſtodite:& prudenter excluſo diabolicis machinationibus aditu,ſubſequēte ſtudio inſcriptam vobis deſidię maculam abſtergite. Vincite,oro,prauam & pernitioſam conſuetudinē: & cogitate,quòd nō hoc ſolũ graue eſt, quod qui illo confluunt,ſibi damnũ aſciſcũt, ſed & quòd multis aliis ſcandalo ſunt. Quippe Gentiles & Iudęi vidētes eos qui quotidie in tēplo verſantur,& doctrinas audiunt, ſimul ibi cōparere & ſibi commiſceri: quomodo res noſtras pro deceptionibus non habebunt, & nō idem de omnibus nobis ſuſpicabuntur? An non audis beatum Paulum admonentem,& conſulētem clara voce: Abſq; offendiculo eſtote? Deinde, ne putes de noſtris tantum admonere, ſubdidit: Et Iudęis,& Gētibus. Et tandem adiecit: Et eccleſiæ Dei. Nihil enim ita offendit & nocet religioni noſtrę, vt ſcandali anſam prębere infidelibus. Nam quando vidēt aliquos è noſtris virtute conſpicuos, huius vitę negocia & curas è ſublimi contemnere,

1. Theſſ. 3. 8.

Auocat à ludis circēſib᷒ Chriſtianos.

Scandalũ Chriſtiano vitādũ.

1. Cor. 10. 32.

A multos ex ipſis malè habet, plerique admirantur & obſtupeſcunt, quòd cum eiuſdem naturæ nobiſcum ſint, non concedantur ipſis eadem. Denique quando vident paruum aliquod delictum noſtrorum, ſtatim linguam exacuunt ſimul contra nos omnes, & ex vnius delicto totam Chriſtianorum gentem iudicant. Neque hoc contenti ſunt, ſed ſtatim aduerſus caput ſuum loquentes, ob ſeruorum delicta etiam communem dominum blaſphemare audent, & putant velamenta errorum ſuorum eſſe aliorum deſidiam. Quod autem hoc maximè periculoſum ſit B his, qui blaſphemiæ occaſionem præbent, audiamus Prophetam clamantem, & ex perſona Dei dicentem, Væ vobis, quia propter vos

Eſa.52.5. nomen meum blaſphematur in gentibus. Terribile hoc verbum eſt, & horrore plenum. Væ enim hoc, eſt quaſi lamentantis ſupplicium illud inexcuſabile ſubituros. Porrò ſicut hos qui per ſuam negligentiam cauſam illis præbent blaſphemiæ, tanta pœna manet ac condemnatio: ita è diuerſo virtutum ſtudioſus fit multarum coronarum materia: C Iſtud ipſum docens Chriſtus dicebat: Luceat lux veſtra coram hominibus, vt

Matt.5.16. videant opera veſtra bona, & glorificent patrem veſtrum qui in cœlis eſt. Nam quemadmodum illi delictis aliquorum offenſi, linguam acuunt contra dominum noſtrum: ſic inquit, ſi virtutem exercueritis, videntes vos homines, non vos tantum laudabunt: ſed cùm viderint opera veſtra lucentia, & facies veſtras illuſtrantia, ad glorificandum patrem veſtrum in cœlis prorumpent: cúmque hoc ab illis fiet, rurſum D noſtræ retributiones augebuntur, & multa nobis bona concedet

1.Reg.2.30. Deus, eò quòd ab illis laudetur. Eos enim qui me glorificant, ait, glorificabo. Omnia igitur faciamus dilecti, vt glorificetur Dominus noſter, & nulli ſimus offendiculi occaſio. Id quod perpetuò nos docet magiſter orbis beatus Paulus, interim ſic

1.Cor.8.13. dicens: Si cibus offendit fratrē meum, nunquam in æternum carnem comedam.

Ibid.12. Et iterum in alio loco inquit:

οἱ μὲν αὐτῶν καὶ ἀποπνίγονται· οἱ δὲ πολλάκις καὶ εἰς θαῦμα ἔρχονται ἐκπληττόμενοι, ὅτι τῆς αὐτῆς φύσεως ὄντες οὐ τὰ αὐτὰ αὐτοῖς μετίασιν. ἀμέλει ἐπειδὰν θεάσωνταί τινα μικρὰν ῥαθυμίαν προσγινομένην, εὐθέως τὴν γλῶτταν ἀκονοῦσι κατὰ πάντων ὁμοῦ, καὶ ἀπὸ τῆς τοῦ ἑνὸς ῥαθυμίας κατὰ παντὸς τοῦ τῶν Χριστιανῶν ἔθνους τὰ αὐτὰ ψηφίζονται. καὶ οὐδὲ μέχρι τούτου ἵστανται, ἀλλ' εὐθέως κατὰ τῆς ἑαυτῶν κεφαλῆς φθεγγόμενοι διὰ τὴν τῶν δούλων ῥαθυμίαν καὶ τὸν κοινὸν δεσπότην βλασφημεῖν τολμῶσι, καὶ νομίζουσι τῆς οἰκείας πλάνης παραπέτασμα αὐτοῖς γίνεσθαι τὴν ἑτέρων ῥαθυμίαν. ὅτι δὲ μέγιστον φέρει τοῦτο κίνδυνον τοῖς ἀφορμὴν αὐτοῖς τῆς βλασφημίας παρέχουσιν, ἀκούσωμεν τοῦ προφήτου βοῶντος καὶ λέγοντος ἐκ προσώπου τοῦ θεοῦ· οὐαὶ ὑμῖν, ὅτι δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. φοβερὸν τὸ ῥῆμα καὶ φρίκης γέμον. τὸ γὰρ οὐαὶ τοῦτο ὡσανεὶ θρηνοῦντός ἐστι τοὺς μέλλοντας ὑπὸ τὴν ἀπαραίτητον ἐκείνην κόλασιν γίνεσθαι. ὥσπερ οὖν τοῖς διὰ τῆς οἰκείας ἀμελείας αἰτίαν ἐκείνοις παρέχουσι τῆς βλασφημίας τοσαύτη κεῖται τιμωρία, οὕτω πάλιν τοῖς τῆς ἀρετῆς ἐπιμελουμένοις μυρίων στεφάνων ὑπόθεσις γίνεται. τὸ αὐτὸ τοῦτο διδάσκων ὁ Χριστὸς ἔλεγε· λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ὃν γὰρ τρόπον ἐκεῖνοι διὰ τὴν τινῶν ῥαθυμίαν σκανδαλιζόμενοι τὴν γλῶτταν ἀκονοῦσι κατὰ τοῦ δεσπότου τοῦ ἡμετέρου· οὕτω φησὶν ἐπειδὰν τὴν ἀρετὴν μετίητε, ὁρῶντες ὑμᾶς οἱ ἄνθρωποι οὐ μέχρι τῆς ὑμετέρας εὐφημίας ἵστανται· ἀλλ' ὅταν ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα λάμποντα καὶ καταυγάζοντα ὑμῶν τὰς ὄψεις, εἰς δοξολογίαν κινοῦνται τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. τούτου δὲ ὑπ' ἐκείνων γινομένου πάλιν ἡμῖν τὰ τῆς ἀμοιβῆς πολυπλασιάζεται, καὶ ὑπὲρ τῆς ἐκείνων εὐφημίας τὰ μυρία ἡμῖν ἀγαθὰ χαρίζεται ὁ δεσπότης· τοὺς δοξάζοντάς με γάρ φησι δοξάσω. πάντα τοίνυν ποιῶμεν ἀγαπητοί, ὥστε δοξάζεσθαι τὸν ἡμέτερον δεσπότην, καὶ μηδενὶ σκανδάλου αἰτίαν παρέχωμεν. τοῦτο γὰρ ἡμᾶς διδάσκει διηνεκῶς ὁ τῆς οἰκουμένης διδάσκαλος, ὁ μακάριος Παῦλος ποτὲ μὲν λέγων· εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, καὶ πάλιν ἐν ἑτέρῳ φησίν·

οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφούς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. σφοδρὰ ἡ ἀπειλὴ καὶ μεγάλην ἔχουσα τὴν κατάκρισιν. μὴ γὰρ νομίσῃς φησὶν εἰς ἐκεῖνον μόνον περιστήσεσθαι τὴν βλάβην, εἰς αὐτὸν διαβαίνει τὸν Χριστὸν τὸν δι' ἐκεῖνον σταυρωθέντα. εἰ τοίνυν ὁ δεσπότης σου σταυρωθῆναι δι' αὐτὸν οὐ παρῃτήσατο, σὺ οὐκ ἀνέχῃ πάντα ποιῆσαι, ὥστε μηδεμίαν αὐτῷ σκανδάλου ἀφορμὴν παρασχεῖν; καὶ πανταχοῦ εὑρήσεις αὐτὸν ταῦτα συμβουλεύοντα τοῖς μαθητευομένοις. τοῦτο γάρ ἐστιν, ὃ συνέχει τὴν ζωὴν τὴν ἡμετέραν. διὰ τοῦτο καὶ ἀλλαχοῦ γράφων ἔλεγε· μὴ τὰ ἑαυτοῦ ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος. καὶ πάλιν ἑτέρωθι· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. εἶδες σύνεσιν ἀποστολικήν; εἰ καὶ ἔξεστί μοί φησί τι διαπράξασθαι, καὶ μηδέν μοι τοῦτο λυμαίνεται, ἀλλὰ διὰ τὸ μὴ ἕπεσθαι τὴν τοῦ πλησίον οἰκοδομήν, οὐκ ἂν ἀνασχοίμην αὐτὸ πρᾶξαι. εἶδες ψυχὴν φιλόστοργον, καὶ πῶς οὐδαμοῦ τὸ ἑαυτοῦ σκοπεῖ, ἀλλὰ διὰ πάντων δείκνυσι μεγίστην ἀρετὴν ταύτην οὖσαν τὸ τῆς τοῦ πλησίον οἰκοδομῆς πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν; ταῦτα δὴ πάντα γινώσκοντες φυλαττώμεθα παρακαλῶ, καὶ ἀπεχώμεθα τῶν λυμαίνεσθαι τὸν πλοῦτον τῆς ἡμετέρας ἀρετῆς δυναμένων, καὶ μηδέ ποτέ τι πράττωμεν, ὃ τῷ πλησίον παρέχει τινὰ βλάβην. τοῦτο γὰρ καὶ τὸ ἁμάρτημα ἐπιτείνει, καὶ τὴν κόλασιν ἡμῖν σφοδροτέραν προξενεῖ, καὶ μηδὲ τοῦ τυχόντος καταφρονῶμεν, μηδὲ λέγωμεν τὰ ψυχρὰ ἐκεῖνα ῥήματα, τί δέ μοι μέλει, ἐὰν ὁ δεῖνα σκανδαλίζεται; τί λέγεις εἰπέ μοι; τί σοι μέλει; προσέταξεν ὁ Χριστὸς οὕτω σου λάμπειν τὸν βίον, ὡς μὴ μόνον σε θαυμάζεσθαι ὑπὸ τῶν ὁρώντων, ἀλλὰ καὶ τὸν δεσπότην τὸν σὸν δοξολογεῖσθαι, καὶ σὺ τὸ ἐναντίον ἐργαζόμενος, καὶ παρασκευάζων ἀντὶ δοξολογίας βλασφημίας εἰς αὐτὸν γίνεσθαι οὐδένα λόγον ποιεῖ. καὶ ποῦ τοῦτο ψυχῆς εὐλαβοῦς, καὶ τοὺς θεοῦ νόμους ἀκριβῶς ἐπισταμένης; ἀλλ' εἰ καὶ πρότερον ταῦτά τις ὑπὸ συνηθείας ἑλκόμενος ἀδιαφόρως ἐφθέγγετο, νῦν παρακαλῶ δεξάμενος ἡμῶν τὴν νουθεσίαν, παυέσθω τῶν ἀκαίρων τούτων λόγων, καὶ οὕτως ἅπαντα πράττειν σπουδαζέτω, ὡς μήτε ὑπὸ τοῦ ἀκοιμήτου ἐκείνου ὀφθαλμοῦ κατακρίνεσθαι, μήτε ὑπὸ τοῦ συνειδότος καταγινώσκεσθαι,

A Sic autem peccantes in fratres, & percutientes infirmam eorum conſcientiam, in Chriſtum peccatis. Minæ illæ auſteræ ſunt, & magnam ſecum condemnationem afferunt. Dicere enim vult: Ne opineris quòd damnum hoc ad illum qui offenditur ſolum pertineat, tranſit etiam ad Chriſtum ipſum, qui propter illum crucifixus eſt. Igitur ſi dominus tuus propter illum crucifigi non detrectauit, non tu omnia feres, ne quam ſcandali occaſionem illi præbeas? Hoc vbique inuenies illum diſcipulis conſilium dare. B Hoc enim eſt quod vitam noſtram conſeruat: Propterea & alibi ſcribens, dicebat: Ne quæ veſtra ſunt conſiderate ſinguli, ſed quæ aliorum. (Phil. 2. 4) Et iterum alio loco: Omnia mihi licent, ſed non omnia ædificant. (1. Cor. 6. 12.) Vides apoſtolicam ſapientiam? Etiamſi liceat, inquit, mihi aliquid facere, nihilque hinc mihi damni accedat: ſed quia hoc non facit ad proximi ædificationem, nequaquam hoc facere ſuſtinuerim. Vides animam ſuauiter nos amātem, quomodo nuſquam quod ſuum C eſt quærit, ſed omnibus modis oſtendit, virtutum longè maximam eſſe, magnam curam gerere quomodo proximus ædificetur? Hæc obſecro omnia ſcientes, obſeruemus, caueamúſq; ab his quæ ſpiritualem virtutum theſaurum offendere poſſunt: & nihil vnquam faciamus, quo incommodetur proximo. Hoc enim & peccatum auget, & grauius nobis adducit ſupplicium. Neq; vel vulgarem aliquem cōtemnamus, frigida hæc verba dicentes: Quid mea refert, ſi offendatur ˮtalis? (id eſt, talis aliquis, ille quiſpiam.) Dic obſecro, quid dicis? quid tua refert? Sic tuam fulgere vitam præcepit Chriſtus, vt non ſolum videntibus D te ſis admirationi, ſed vt dominus tuus glorificetur: (Matt. 5. 16.) tu verò omnino contrarium agis, & pro gloria Dei blaſphemias introduci facis, & hoc contemnis? Hoccine fuerit animæ piæ, legéſque diuinas recte ſcientis? Cæterùm qui prius hæc per malam conſuetudinem dicere ſolitus fuit, ſuſcepta nunc admonitione hac, deſiſtat, oro, ab illicitis huiuſcemodi ſermonibus, & ſic omnia facere ſtudeat, vt neque ab oculo, qui nunquam ſopitur vel cæcutit, neque à conſcientia ſua condemnetur:

neque eos, qui ſe vident, in blaſphemias aduerſus Dominum inducat. Quòd ſi tanta adhibita cautione diſpenſemus ea quæ noſtra ſunt, multa fruemur & apud Dominum miſericordia, & diaboli inſidias effugiemus. Videns enim nos ita ſobrios & vigiles, & cogitans ſe operam perdere, abſcedet & occultabitur. Sed ſat fuerit proœmiorum: age charitati veſtræ propoſitis his quæ lecta ſunt, ſpirituale conuiuium apparemus: vt & hodie videamus, quid beatus Moſes, imò Spiritus ſanctus per eius linguam docere nos vult. Itaque quid dicit? 20. *Et dixit Deus: Educant aquæ reptilia animarum viuentium, & volatilia volantia ſuper terram ſecundùm firmamentum cæli. Et factum eſt ſic.* Vide miſericordiam Domini, quomodo ordine quodam & conſequentia omne opificium ſuum nos docet. Prius docuit nos, quomodo ad fructuum prouentus ſuo mandato terram idoneam fecerit: poſtea, vbi docuit duorum luminarium formationem, appoſuit & ſtellarum varietatem, per quas cœli pulchritudo facta eſt clarior: hodie conſequenter ad aquas tranſit, & oſtendit nobis, ſermone & præcepto ſuo ex aquis ipſis animata animalia prodiiſſe. Educant enim, ait, aquæ reptilia animarum viuentium, & volatilia volantia ſuper terram ſecundum firmamentum cœli. Obſecro, quis ſermo miraculi dignitatem poteſt aſſequi? Quæ lingua ad opificis præconia ſufficiet? Dixit tantùm, Germinet terra: & ſtatim illam parturire fecit: nunc dicit: Educant aquæ. Vide quàm conſonant præcepta: Illic, germinet; hîc, educant aquæ, inquit, reptilia animarum viuentium. Nam ſicut de terra dixit ſolùm, Germinet: & varia mox ac multiplex florum, herbarum, & ſeminum apparuit copia, vnóque ſermone producta ſunt omnia: ſic & hîc dixit: Educant aquæ reptilia animarũ viuẽtium, & volatilia volantia ſuper terram ſecundùm firmamentum cœli: & continuo tot reptilium volatiliúmque genera condita ſunt, quot neque ſermone recenſeri poſſunt. Et verbum quidem breue eſt, & verbum vnum, genera autem animalium diuerſa & varia.

A μήτε ὑπὸ τῶν εἰς αὐτὸν ὁρώντων βλασφημίας κινεῖσθαι κατὰ τοῦ δεσπότου. ἐὰν γὰρ μετὰ τοσαύτης φυλακῆς τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, πολλῆς ἀπολαυσόμεθα καὶ τῆς παρὰ τοῦ δεσπότου φιλανθρωπίας, καὶ διαφευξόμεθα τοῦ διαβόλου τὰς μηχανάς. ὅταν γὰρ ἴδῃ ἡμᾶς οὕτω νήφοντας καὶ ἐγρηγορότας, ἐννοῶν ὡς ἀνονήτοις ἐπιχειρήσειε καλυψάμενος ἀποστήσεται. ἀλλὰ τῶν μὲν προοιμίων ἅλις, φέρε δὴ λοιπὸν τὰ ἀναγνωσθέντα προθέντες ἐπὶ τῆς ὑμετέρας ἀγάπης τὴν πνευματικὴν ὑμῖν παραθῶμεν ἑστίασιν, καὶ ἴδωμεν μαθόντες τί καὶ σήμερον ὁ μακάριος Μωυσῆς, B μᾶλλον δὲ τὸ πνεῦμα τὸ ἅγιον διὰ τῆς τούτου γλώττης ἡμᾶς διδάξαι βούλεται. καὶ εἶπεν ὁ θεὸς ἐξαγαγέτω τὰ ὕδατα. ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ ἐγένετο οὕτως. ὅρα φιλανθρωπίαν δεσπότου, πῶς τάξει τινὶ καὶ ἀκολουθίᾳ πᾶσαν τὴν δημιουργίαν ἡμᾶς διδάσκει. πρότερον ἐδίδαξεν ἡμᾶς πῶς τὴν γῆν εἰς τὴν τῶν καρπῶν γένεσιν, τῷ αὐτοῦ ἐπιτάγματι διήγειρεν. εἶτα τὴν δημιουργίαν τῶν δύω φωστήρων διδάξας, προσέθηκεν καὶ τὴν τῶν ἀστέρων ποικιλίαν, C δι' ὧν τοῦ οὐρανοῦ φαιδρότερον τὸ κάλλος εἰργάσατο· σήμερον λοιπὸν μεταβαίνει ἐπὶ τὰ ὕδατα, καὶ δείκνυσιν ἡμῖν τῷ λόγῳ αὐτοῦ καὶ τῷ ἐπιτάγματι ζῶα ἔμψυχα ἐξ αὐτῶν ἀναδιδόμενα. ἐξαγαγέτω γάρ φησι τὰ ὕδατα, ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. ποῖος λόγος εἰπέ μοι ἐφικέσθαι δυνήσεται τοῦ θαύματος; ποία ἀρκέσει γλῶττα πρὸς εὐφημίαν τοῦ δημιουργοῦ; εἶπε μόνον βλαστησάτω ἡ γῆ, καὶ εὐθέως πρὸς τὰς ὠδῖνας αὐτὴν διήγειρε, νῦν λέγει, ἐξαγαγέτω τὰ ὕδατα. ὅρα πῶς κατάλληλα αὐτοῦ τὰ προστάγματα. ἐκεῖ βλαστησάτω, D ἐνταῦθα ἐξαγαγέτω τὰ ὕδατα φησὶν ἑρπετὰ ψυχῶν ζωσῶν. καθάπερ γὰρ ἐπὶ τῆς γῆς εἶπε μόνον βλαστησάτω, καὶ διάφορος καὶ ποικίλη τῶν ἀνθῶν ἡ ποικιλία καὶ τῶν βοτανῶν καὶ τῶν σπερμάτων ἐδόθη, καὶ ἑνὶ λόγῳ τὰ πάντα παρήχθη· οὕτω καὶ ἐνταῦθα εἶπεν, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ ἀθρόον τοσαῦτα γένη ἑρπετῶν, τοσαύτη διαφορὰ πετεινῶν ἐδημιουργεῖτο, ὅσην οὐδὲ τῷ λόγῳ ἀπαριθμήσασθαι δυνατόν. καὶ τὸ μὲν ῥῆμα βραχὺ καὶ ῥῆμα ἕν, τὰ δὲ γένη τῶν ζώων διάφορα καὶ ποικίλα.

A ἀλλὰ μὴ ξενιζέτω σε, ἀγαπητέ· ῥῆμα γὰρ ἦν θεοῦ, καὶ ὁ λόγος αὐτοῦ τὴν σύστασιν τοῖς γινομένοις ἐχαρίσατο. ὁρᾷς πῶς ἅπαντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε; εἶδες διδασκαλίας ἀκρίβειαν; εἶδες συγκατάβασιν δεσπότου, ὅσην ἐπιδείκνυται περὶ τὸ γένος τὸ ἡμέτερον; πόθεν γὰρ ταῦτα ἡμεῖς οὕτω μετ' ἀκριβείας μαθεῖν ἂν ἠδυνήθημεν, εἰ μὴ αὐτὸς διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν κατηξίωσε διὰ τῆς τοῦ προφήτου γλώττης διδάξαι τὴν τῶν ἀνθρώπων φύσιν, ἵνα εἰδέναι ἔχωμεν καὶ τῶν δημιουργηθέντων τὴν τάξιν, καὶ τοῦ δημιουργήσαντος τὴν δύναμιν, καὶ B ὅπως ὁ λόγος αὐτοῦ ἔργον ἐγένετο, καὶ τὸ ῥῆμα αὐτοῦ τὴν σύστασιν καὶ τὴν εἰς τὸ εἶναι πρόοδον αὐτοῖς ἐχαρίσατο; ἀλλ' εἰσί τινες τῶν ἀγνωμόνων, οἳ καὶ μετὰ τοσαύτην διδασκαλίαν ἀπιστεῖν ἐπιχειροῦντες, καὶ μὴ συγχωροῦντες μηδὲ δημιουργὸν ἔχειν τὰ ὁρώμενα, ἀλλ' οἱ μὲν αὐτόματα αὐτὰ φάσκοντες εἶναι, ἕτεροι δὲ ἐξ ὑποκειμένης τινὸς ὕλης γεγενῆσθαι. σκόπει τοῦ διαβόλου πόση ἡ ἀπάτη, πῶς ἀπεχρήσατο τῇ εὐκολίᾳ τῆς γνώμης τῶν τῇ πλάνῃ δουλευόντων. διὰ τοῦτο ὁ μακάριος Μωϋσῆς μετὰ τοσαύτης ἡμᾶς ἀκριβείας C διδάσκει ὑπὸ τοῦ θείου πνεύματος ἐνηχούμενος, ἵνα μὴ τὰ αὐτὰ τούτοις πάθωμεν, ἀλλ' εἰδέναι ἔχωμεν σαφῶς καὶ τὴν ἀκολουθίαν τῶν δημιουργημάτων, καὶ ὅπως ἕκαστον ἐδημιουργήθη. εἰ γὰρ μὴ τῆς ἡμετέρας κηδόμενος σωτηρίας ὁ θεός, οὕτως ὡδήγησε τοῦ προφήτου τὴν γλῶτταν, ἤρκει εἰπεῖν, ὅτι ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὰ ζῶα, καὶ μήτε τάξιν εἶναι ἡμερῶν, μήτε τί μὲν πρῶτον, τί δὲ ὕστερον γέγονε, ἀλλ' ἵνα μηδεμίαν τοῖς ἀγνωμονεῖν βουλομένοις καταλίπῃ ἀπολογίας D πρόφασιν, οὕτω διαιρεῖ σαφῶς καὶ τὴν τῶν γινομένων τάξιν, καὶ τῶν ἡμερῶν τὸν ἀριθμόν, καὶ πάντα μετὰ πολλῆς συγκαταβάσεως ἡμᾶς διδάσκει, ἵνα μαθόντες τὴν ἀλήθειαν ἅπασαν μηκέτι τῇ πλάνῃ τῶν ἐξ οἰκείων λογισμῶν ἀποφθεγγομένων προσέχωμεν· ἀλλ' εἰδέναι ἔχωμεν τοῦ δημιουργοῦ τοῦ ἡμετέρου τὴν ἄφατον δύναμιν. καὶ ἐγένετο φησὶν οὕτως. εἶπεν, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ, καὶ ὑπήκουσε τὸ στοιχεῖον, καὶ ἐπλήρωσε τὸ ἐπίταγμα, καὶ ἐγένετο φησὶν οὕτως, ὡς ἐκέλευσεν ὁ δεσπότης.

A Sed nulla te admiratio teneat dilecte. Verbum enim erat Dei, & ſermo ipſius his quæ fiebant ſubſiſtentiam largitus eſt. Vides quomodo omnia ex nihilo vt eſſent producta ſunt? Vides quàm diligenter docet? Vides quanta ſe attemperatione ad noſtri generis humilitatem Dominus demittit? Vnde enim nos hæc tam accuratè diſcere potuiſſemus, niſi ipſe magna & ineffabili miſericordia ſua humanum genus per prophetæ linguam docere dignatus eſſet: vt ſcire poſſimus & factorum B ordinem, & factoris potentiam, & quomodo ſermo eius in opus exierit, & verbum eius ſubſiſtentiam, & eſſentiæ ingreſſum creaturis præbuerit? Verùm ſunt inſenſati nonnulli, qui & poſt tantam doctrinam increduli eſſe non timent, fateríque nolunt eſſe aliquem iſtorum viſibilium opificem: ſed alij quidem fortuitò illa ac per ſe eſſe dicunt, alij verò ex præiacente quadam materia eſſe facta contendunt. Conſidera quanta diaboli illuſio, quomodo abuſus eſt facili erroribus ſeruientium cre- C dulitate. Ea propter beatus Moſes, ſpiritu diuino afflatus, tanta diligentia nos docet, & hæc auribus inculcat, ne idem & nobis eueniat: ſed ſciamus manifeſtè & creaturarum ordinem, & quomodo quæque creatæ ſint. Niſi enim noſtræ ſalutis curam habuiſſet Deus, & ita direxiſſet prophetæ linguam, ſatis erat dixiſſe: Fecit Deus cœlum, & terram, & mare, & animantia: neque poſuiſſet ordinem dierum, neque quid primò, & quid ſecundò factum fuerit. Sed vt ingratis, & D malè ſentientibus nulla relinqueretur excuſatio, ita diſtinguit manifeſtè & factorum ordinem, & dierum numerum: & omnia nos docet tanta manſuetudine, vt cognita omni veritate, non vltrà eorum erroribus implicemur, qui omnia loquuntur quæ ipſi excogitauerunt: ſed ſciamus conditoris noſtri inenarrabilem potentiam. Et factum eſt, inquit, ſic. Dixit: *Educant aquæ reptilia animarũ viuentium, & volatilia volantia ſuper terram ſecũdùm firmamentum cœli.* Et obtemperauit elementũ, & impleuit præceptum. *Et factũ eſt,* inquit, *ſicut imperauit Dominus.* 21.

Cur tantum ordinem in creationis narratione ſeruet.

Et fecit Deus cete magna, & omnem animã animalium reptilium, quæ produxerũt aquæ iuxta genera ſua, & omne volatile pennatum ſecundum genus. Et vidit Deus quòd bona. 22. Benedixítque ea Deus, dicens: Creſcite & multiplicamini, & implete aquas quæ in pelagis, & volatilia multiplicentur ſuper terram. Iterum vide hîc, obſecro, quanta ſapientia ſpiritus: quia vt dixit beatus Moſes, quòd factum eſt ſic, docet nos particulatim, addens & dicens: Et fecit Deus cete magna, & omnem animam animaliũ reptilium, quæ produxerunt aquæ ſecundum genera ſua, & omne volatile pennatum iuxta genus. Et vidit Deus quòd bona. Hîc denuo temeritatem omnia abſque ratione blaterantium comprimit. Nam vt nullus dicere poſſit, cuius gratia cete facta ſunt? quam nobis vtilitatem conferunt? quid commodi ex eorum creatione? idcirco poſtquam dixit: Fecit Deus cete magna, & omnem animam animalium reptilium, & volatilia: ſtatim addidit: Et vidit Deus quòd bona. Quaſi diceret: Non enim quia tu rationem ignoras factorum, accuſandæ ſunt creaturæ. Audiſti Dominum laudantem ſententia ſua, & dicentem quòd bonæ ſint: & quomodo tu inſanus dicere audes, quare factæ ſunt? quaſi ſuperfluum ipſarum accuſans opificium? Nam ſi cordatus eſſes, poſſes etiam ex harum creatione, & potentiam Domini, ineffabilem miſericordiam addiſcere: & potentiam quidem, quia ſermone & præcepto ex aquis talia animantia produci fecit: benignitatem autem, quia vt ea produxit, propriam eis regionem attribuit, immenſam maris partem illis decernens, ita vt nemini poſſint nocere: ſed verſentur in mari, & ſui ſpectaculo ſupereminentem opificis potentiam doceant, nullúmque humano generi damnum inferant. An paruam putas benignitatis partem, geminam tibi vtilitatem hinc exoriri? Etenim ſapere volentes, ad Dei notitiam introducunt, & admirari faciunt benignitatis eius magnitudinem, quòd ab eorum nocumentis humanum genus liberauit. Neque ob noſtram duntaxat vtilitatem ea omnia facta ſunt, ſed & ob immen-

Cur Deus cete magna crearit.

A καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. καὶ εἶδεν ὁ θεὸς ὅτι καλά, καὶ ηὐλόγησεν αὐτὰ ὁ θεὸς λέγων· αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. θέα μοι πάλιν ἐνταῦθα, πόση τοῦ πνεύματος ἡ σοφία. εἰπὼν γὰρ ὁ μακάριος Μωϋσῆς, ὅτι ἐγένετο οὕτω, διδάσκει ἡμᾶς κατὰ μέρος ἐπάγων καὶ λέγων, καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδα-
B τα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος, καὶ εἶδε φησὶν ὁ θεὸς, ὅτι καλά. ἐνταῦθα τῶν ἀπερισκέπτως ἅπαντα φθεγγομένων πάλιν ἀναιρεῖ τὴν τόλμαν. ἵνα γὰρ μηδεὶς ἔχῃ λέγειν, καὶ τίνος ἕνεκα τὰ κήτη γέγονε; ποίαν ἡμῖν χρείαν συντελεῖ; τί τὸ ὄφελος ἐκ τῆς τούτων δημιουργίας; διὰ τοῦτο εἰπὼν, ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, καὶ τὰ πετεινὰ, εὐθέως ἐπήγαγε, καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. μὴ γὰρ ἐπειδὴ σὺ τὸν λόγον ἀγνοεῖς τῶν γεγενημένων, ἐπισκήπτειν ἐπιχείρει τοῖς δημιουργή-
C μασιν· ἤκουσας τοῦ δεσπότου ψηφιζομένου καὶ λέγοντος, ὅτι καλά, καὶ πῶς σὺ μέμηνας τολμῶν λέγειν, διὰ τί γεγένηται, καὶ ὡς περιττὴν αὐτῶν τὴν δημιουργίαν διαβάλλεις; ἐὰν γὰρ εὐγνώμων ᾖς, δυνήσῃ καὶ ἐκ τῆς τούτων δημιουργίας καὶ τὴν δύναμιν τοῦ σοῦ δεσπότου καὶ τὴν ἄφατον φιλανθρωπίαν καταμαθεῖν; τὴν μὲν δύναμιν ὅτι λόγῳ καὶ ἐπιτάγματι ἐκ τῶν ὑδάτων τοιαῦτα ζῷα παραχθῆναι πεποίηκε· τὴν δὲ φιλανθρωπίαν, ὅτι καὶ παραγαγὼν ἰδίαν τινὰ χώραν αὐτοῖς ἀπένειμε, καὶ τὸ ἄπλετον μέρος τῆς θαλάσσης αὐτοῖς
D ἀπεκλήρωσεν, ὥστε μηδένα λυμαίνεσθαι, ἀλλ' ἐνδιαιτᾶσθαι μὲν τοῖς ὕδασι, καὶ διὰ τῆς ὄψεως τοῦ δημιουργοῦ διδάσκειν τὴν ὑπερβάλλουσαν δύναμιν, μηδεμίαν δὲ βλάβην παρέχειν τῷ τῶν ἀνθρώπων γένει. ἢ μικρὸν οἴει τοῦτο μέρος εἶναι φιλανθρωπίας τὸ διπλῆν ἐξ αὐτῶν σοι γίνεσθαι τὴν ὠφέλειαν; καὶ γὰρ εἰς θεογνωσίαν ἐνάγει τοὺς εὐγνωμονεῖν βουλομένους, καὶ ἐκπλήττεσθαι παρασκευάζει τῆς φιλανθρωπίας αὐτοῦ τὸ μέγεθος, ὅτι τῆς ἀπ' αὐτῶν βλάβης ἠλευθέρωσε τὴν τῶν ἀνθρώπων φύσιν. οὐδὲ γὰρ εἰς χρείαν ἡμῖν μόνον ἅπαντα παρ' αὐτοῦ δεδημιούργηται,

ἀλλὰ διὰ τὴν πολλὴν αὐτοῦ φιλοτιμίαν, τὰ μὲν εἰς χρείαν, τὰ δὲ διὰ τοῦτο παρήχθη, ἵνα κηρύττῃ τοῦ ποιήσαντος αὐτὰ τὴν δύναμιν. ἀκούων τοίνυν, ὅτι εἶδεν ὁ θεὸς ὅτι καλὰ, μηκέτι τόλμα ἀντιφθέγγεσθαι τῇ θείᾳ γραφῇ, μηδὲ περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, καὶ λέγειν, διὰ τί τὸ καὶ τὸ γέγονε; καὶ εὐλόγησεν αὐτὰ ὁ θεός φησι καὶ εἶπεν, αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα τὰ ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. ἐπειδὴ γὰρ ἔμψυχα ἦν τὰ ζῶα τὰ δημιουργηθέντα, ἐβούλετο δὲ διηνεκῆ τούτων εἶναι τὴν σύστασιν, διὰ τοῦτο ἐπήγαγε· καὶ εὐλόγησεν αὐτὰ ὁ θεός, καὶ εἶπεν αὐξάνεσθε, καὶ πληθύνεσθε. αὕτη ἐστὶν ἡ εὐλογία τὸ εἰς πλῆθος αὐτὰ ἐπιδοῦναι. τὸ γὰρ ῥῆμα ἐκεῖνο μέχρι τοῦ παρόντος ταῦτα συγκρατεῖ, καὶ τοσοῦτο μῆκος χρόνου παρέδραμε, καὶ οὐδὲ ἓν τούτων γένος ἠλαττώθη, ἡ γὰρ εὐλογία ἡ παρὰ τοῦ θεοῦ, καὶ τὸ ῥῆμα τὸ λέγον, αὐξάνεσθε καὶ πληθύνεσθε, τὴν σύστασιν αὐτοῖς καὶ τὴν διαμονὴν ἅπασαν ἐχαρίσατο. καὶ ἐγένετό φησιν ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα πέμπτη. εἶδες πῶς καὶ τὰ κατὰ τὴν πέμπτην ἡμέραν δημιουργηθέντα ζῶα ἐδίδαξεν ἡμᾶς ἡ θεία γραφή; ἀλλὰ μικρὸν ἀνάμεινον, καὶ ὄψῃ πάλιν τοῦ σοῦ δεσπότου τὴν φιλανθρωπίαν. οὐ γὰρ μόνον τὰ ὕδατα πρὸς τὴν τῶν ζώων γένεσιν διήγειρεν, ἀλλὰ καὶ ἐκ τῆς γῆς πάλιν ἀναδοθῆναι προσέταξε ζῶα χερσαῖα, οὐδὲν γὰρ ἄτοπον μικρὸν ἐφάψασθαι σήμερον καὶ τῶν κατὰ τὴν ἕκτην ἡμέραν γενομένων. καὶ εἶπε φησὶν ὁ θεός, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία ἐπὶ τῆς γῆς καὶ τὰ κτήνη, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος, καὶ ἐγένετο οὕτως. ὅρα καὶ τὴν γῆν πάλιν διπλῆν καρποφορίαν παρέχουσαν, καὶ τῷ προστάγματι τοῦ δεσπότου ὑπηρετουμένην. τότε μὲν γὰρ τῶν σπερμάτων τὴν βλάστην ἐξέδωκε, νῦν δὲ ζῶα ἔμψυχα τετράποδα ἑρπετὰ θηρία καὶ κτήνη. ἰδοὺ ὅπερ ἔφθην εἰπών, τοῦτο καὶ νῦν δείκνυται, ὅτι οὐ διὰ χρείαν ἡμετέραν μόνον ἅπαντα παρήγαγεν, ἀλλὰ καὶ δι᾽ ὠφέλειαν, ἵνα ὁρῶντες τὴν ἄφθονον περιουσίαν τῶν αὐτοῦ δημιουργημάτων ἐκπληττώμεθα τοῦ δημιουργοῦ τὴν δύναμιν,

A ſam ipſius magnificentiam. Alia enim propter noſtram vtilitatem fecit, alia propter ſuam magnificentiam, vt magis factoris prædicetur potentia. Audiens itaque, quòd Deus vidit quia bona: ne auſis vltrà diuinæ ſcripturæ obmurmurare, & curioſius inquirere, & dicere: Quare Deus hoc vel illud fecit? Et benedixit illa Deus, inquit, & dixit: Creſcite & multiplicamini, & implete aquas, quæ in pelagis: & volatilia multiplicentur ſuper terram. Ipſa benedictio eſt, in magno numero & multitudine illa augeri & multiplicari. Nam quia animatæ creaturæ erant animalia, volebátque illa perpetuò eſſe, ideo ſubdidit: Et benedixit illa Deus, & dixit: Creſcite & multiplicamini. Verbum enim illud vſque in præſentem diem illa conſeruat, & tantum præterit tempus, neque vnum horum genus imminutum eſt. Nam benedictio Dei, & verbum quod dicebat: Creſcite & multiplicamini: vt ſubſiſterent & durarent, illis contulit. *Et factum eſt*, inquit, *veſpere, & factum eſt mane, dies quintus.* Vides quomodo diuina ſcriptura docuit nos, quæ die quinto facta ſunt animantia? parumper expecta, & iterum videbis domini tui benignitatem. Neque enim aquas ſolùm animalium productione fœcundas fecit, ſed ex terra denuo præcipit, vt terreſtria producantur animalia. Neque enim abſurdum hodie attingere ea quæ die ſexto ſunt facta. 24. *Et dixit*, inquit, *Deus: Producat terra animam viuentem ſecundùm genus, quadrupedes, & reptilia, & beſtias ſuper terram: & pecora ſecundum genus, & omnia reptilia terræ, ſecundum genus. Et factum eſt ſic.* Vide quomodo & terra iterum duplicem nobis affert fructum, & mandato dominico miniſtrat. Tunc quidem ſeminum edebat germina, nunc autem animata animalia, quadrupedia & reptilia, pecora & feras. Ecce verum eſt quod dixi, quòd non omnia propter noſtram vtilitatem produxerit, ſed & propter ſuam magnificentiam, vt videntes copiam & multitudinem creaturarum, opificis virtutem obſtupeſcamus,

Benedictio Dei res conſeruat.

& ſciamus ſapientia quadam & miſericordia inenarrabili propter futurum hominem omnia eſſe producta, 25. *Et fecit*, inquit, *Deus beſtias terræ ſecundum genus ſuum, & pecora ſecundùm genus ſuum, & omnia reptilia terræ ſecundum genus ſuum. Et vidit Deus quòd bona.* Vbi nunc ſunt qui dicere audent: Quare feræ, quare reptilia creata ſunt? Audiant diuinam ſcripturam dicentem: Et vidit Deus quòd bona. Dic obſecro ipſe qui creauit, laudat facta: & tu audes reprehendere? Quantæ hoc fuerit inſaniæ? Quia & in ſeminibus, & in plantis non ſolum fructuoſas arbores, ſed & ſylueſtres, & ſteriles: & non ſolum inutiles herbas, ſed & incognitas nobis profert terra, ſæpe etiam noxias. Sed propterea non ſunt arguendæ creaturæ. Neque enim temerè, neque in vanum formatæ ſunt. Sanè neque laudem apud conditorem inueniſſent, niſi ad vtilitatem aliquam conditæ eſſent. Itaque ſicut in arboribus non omnes fructuoſæ, ſed & infructuoſæ multæ: attamen illæ ipſæ non minorem nobis, quàm fructuoſæ vtilitatem, eámque admirabilem, & quieti noſtræ ſeruientem conferunt. Etenim ex ipſis ædificia, & multa alia ad quietem noſtram pertinentia fabricamus. Et omnino nihil eſt quod non ratione aliqua formatum ſit, etiamſi humanæ naturæ omnia illa exactè ſcire poſſibile non ſit. Proinde ſicut in arboribus, ita & in animalibus, alia quidem ad cibum noſtrum pertinent, alia ad miniſterium. Ferarum item & reptilium genera non paruam nobis præſtant vtilitatem, & ſi quis velit ſapienter cognoſcere, inueniet etiam nunc, cum principatu eorum ob primi parentis inobedientiam deſtituti ſumus, magnam ex illis nobis vtilitatem prouenire. Multa enim inde colligunt medici, quæ ad noſtrorum corporum medicinam & ſanitatem conducunt. Alioquin etiam quid nocumenti ex ferarum productione, quãdo ſicut domeſtica animalia, ſic & illa ſub poteſtate futura erant hominis, non multò pòſt formandi? Hoc enim nunc dico, vt diſcas omnium domini ſupereminẽtem miſericordiam,

[Ad] Ferarum & ſerpentium corporibus quæ vtilitas [...]iatur.

A καὶ εἰδέναι ἔχωμεν ὡς σοφίᾳ τινὶ καὶ ἀφάτῳ φιλανθρωπίᾳ διὰ τὸν εἰς τὸν μέλλοντα ἄνθρωπον γίνεσθαι ἡμῖν, ταῦτα ἅπαντα παρήχθη. καὶ ἐποίησε φησὶν ὁ θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος αὐτῶν, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν, καὶ εἶδεν ὁ θεὸς, ὅτι καλά. ποῦ νῦν εἰσιν οἱ τολμῶντες λέγειν, διὰ τί θηρία; διὰ τί ἑρπετά; ἀκουέτωσαν τῆς θείας γραφῆς λεγούσης, καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. εἰπέ μοι, αὐτὸς ὁ δημιουργὸς ἐπαινεῖ τὰ γινόμενα, καὶ σὺ ἐπισκήπτειν τολμᾷς, καὶ πόσης οὐκ ἂν εἴη τοῦτο μα- B νίας; ἐπεὶ καὶ ἐν τοῖς σπέρμασι, καὶ ἐν τοῖς φυτοῖς οὐ μόνον ἔγκαρπα δένδρα ἀνέδωκεν ἡ γῆ, ἀλλὰ καὶ ἄκαρπα, καὶ οὐ μόνον χρησίμους βοτάνας, ἀλλὰ καὶ ἡμῖν ἀγνώστους ἐκφέρει πολλάκις καὶ ἐπιβλαβεῖς· ἀλλ᾽ οὐ διὰ τοῦτο τολμήσει τις μέμφεσθαι τοῖς γινομένοις. οὐδὲν γὰρ μάτην, οὐδὲ ἁπλῶς γεγένηται. οὐδὲ γὰρ ἂν τὸν ἔπαινον ἐδέξατο παρὰ τοῦ δεσπότου, εἰ μὴ πρὸς χρείαν τινὰ ἐπωφελῆ δεδημιούργητο. καθάπερ οὖν ἐπὶ τῶν δένδρων οὐ πάντα ἐστὶν ἔγκαρπα, ἀλλὰ καὶ ἄκαρ- C πα πολλά, καὶ οὐκ ἔλαττον τῶν ἐγκάρπων κἀκεῖνα θαυμαστὴν ἡμῖν τὴν χρείαν παρέχεται πρὸς τὴν ἀνάπαυσιν τὴν ἡμετέραν συντελοῦντα. καὶ γὰρ καὶ οἰκοδομὰς ἐξ αὐτῶν, καὶ πολλὰς ἑτέρας χρείας πρὸς τὴν ἡμετέραν ἀνάπαυσιν συντελούσας κατασκευάζομεν, καὶ ὅλως οὐδέν ἐστιν, ὃ μὴ λόγῳ τινὶ δεδημιούργηται, εἰ καὶ ἡ ἀνθρωπίνη φύσις οὐκ ἰσχύει πάντων μετὰ ἀκριβείας εἰδέναι τὸν λόγον. ὥσπερ οὖν ἐπὶ τῶν δένδρων, οὕτω καὶ ἐπὶ τῶν ζώων τὰ μὲν πρὸς βρῶσιν ἡμῖν ἐστιν ἐπιτήδεια, τὰ δὲ πρὸς ὑπηρεσίαν. καὶ τῶν D θηρίων δὲ τὰ γένη καὶ τῶν ἑρπετῶν οὐ μικρὰν ἡμῖν χρείαν συντελεῖ, καὶ εἰ βουληθείη τις εὐγνωμόνως καταμαθεῖν εὑρήσει καὶ νῦν, ὅτε τῆς ἀρχῆς αὐτῶν ἀφῃρέθημεν διὰ τὴν τοῦ προπάτορος παρακοὴν, πολλὴν τὴν ἀπ᾽ αὐτῶν ὠφέλειαν ἡμῖν προσγινομένην. πολλὰ γὰρ καὶ ἐκ τούτων λαμβάνοντες ἰατρῶν παῖδες κατασκευάζουσι πρὸς τὴν τῶν ἡμετέρων σωμάτων ὑγίειαν συντελεῖν δυνάμενα. ἄλλως δὲ ποία βλάβη ἐκ τῆς τῶν θηρίων δημιουργίας, ὁπότε καθάπερ τὰ ἥμερα, οὕτω καὶ αὐτὰ ὑπὸ τὴν ἐξουσίαν τυγχάνειν ἤμελλε τοῦ μετ᾽ οὐ πολὺ μέλλοντος δημιουργεῖσθαι; τοῦτο γὰρ τέως φημί. ἵνα δὲ μάθῃς τούτων ἁπάντων δεσπότου τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν,

A ἣν περὶ τὸ γένος τὸ ἡμέτερον ἐπιδείκνυται, ἐπειδὴ ἐξέτεινε τὸν οὐρανόν, ἥπλωσε τὴν γῆν, ἐδημιούργησε τὸ στερέωμα καθάπερ τι μέσον τειχίον τὴν διαίρεσιν τῶν ὑδάτων ἐργαζόμενον, εἶτα τὴν συναγωγὴν τῶν ὑδάτων γενέσθαι προστάξας τὰ μὲν θαλάσσας ὠνόμασε, τὴν δὲ ξηρὰν γῆν· εἶτα ταύτην ἐκαλλώπισε ταῖς τῶν σπερμάτων ἀναδόσεσι, καὶ τῶν λοιπῶν βοτανῶν, μετῆλθε πάλιν ἐπὶ τὴν τῶν δύο μεγάλων φωστήρων δημιουργίαν καὶ τῶν ἀστέρων τὴν ποικιλίαν, δι' αὐτῶν τὸ κάλλος τοῦ οὐρανοῦ κατακοσμήσας. εἶτα τὰ ἐκ τῶν ὑδάτων ζῶα ἔμψυχα παραγαγών, καὶ τὰ πετεινὰ τὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ B οὐρανοῦ, καὶ πληρώσας τῶν πέντε ἡμερῶν τὸν ἀριθμόν· ἐπειδὴ ἔχρην καὶ τὰ ἀπὸ τῆς γῆς ζῶα δημιουργηθῆναι, προστάξας καὶ ταῦτα ἀναδοθῆναι τά τε πρὸς τροφὴν ἐπιτήδεια, τά τε πρὸς τὴν ὑπηρεσίαν χρήσιμα, καὶ τὰ θηρία καὶ τὰ ἑρπετά, τότε λοιπὸν ἐπειδὴ πάντα κατεκόσμησε, καὶ τὴν προσήκουσαν ἐπέθηκεν εὐταξίαν καὶ διακόσμησιν τοῖς ὁρωμένοις, καὶ τὴν τράπεζαν πολυτελῆ παρεσκεύασε ποικίλων καὶ παντοδαπῶν πεπληρωμένην τῶν ἐδεσμάτων, καὶ πολλὴν τὴν ἀφθονίαν καὶ τὸν πλοῦτον C ἔχουσαν, καὶ τὰ βασίλεια, ὡς ἂν εἴποι τις, πανταχόθεν λαμπρὰ ἐργάσατο τὰ ἄνω, τὰ κάτω ποικίλως φαιδρύνας, τότε λοιπὸν τὸν τούτων ἁπάντων ἀπολαύειν μέλλοντα δημιουργεῖ, τὴν ἐξουσίαν τῶν ὁρωμένων ἁπάντων αὐτῷ παραδιδούς, καὶ δεικνὺς ὅσῳ τῶν δημιουργηθέντων ἁπάντων τιμιώτερον τὸ μέλλον διαπλάττεσθαι ζῶον, εἴγε πάντα τὰ γενόμενα ὑπὸ τὴν τούτου ἐξουσίαν καὶ ἐπικράτειαν γενέσθαι κελεύει. ἀλλ' ἵνα μὴ ἐπὶ πολὺ μῆκος τὸν λόγον ἐκτείνωμεν, ἀρκεσθέντες τοῖς εἰρημένοις, εἰς τὴν ἑξῆς ταμιευσώμεθα, τὰ κατὰ τὴν διάπλασιν τοῦ θαυμαστοῦ τούτου ζώου τοῦ λογικοῦ καὶ ἐμψύχου, τοῦ ἀνθρώπου D λέγω, τὴν συνήθη παράκλησιν ὑμῖν καὶ νῦν προσάγοντες, ὥστε καὶ τῶν εἰρημένων τὴν μνήμην μὴ διαφυγεῖν, καὶ διὰ πάντων τῶν ὁρωμένων εἰς τὴν τοῦ δεσπότου δοξολογίαν ἑαυτοὺς διεγείρειν, καὶ τὸ μὴ ἐφικνεῖσθαι, μηδὲ δύνασθαι πάντων τῶν δημιουργηθέντων τὸν λόγον καταλαβεῖν μὴ γενέσθω ἡμῖν ἀπιστίας ὑπόθεσις, ἀλλὰ δοξολογίας ἀφορμή. ὅταν γὰρ ἀτονήσῃ ὁ λογισμός, καὶ μὴ χωρήσῃ ἡ διάνοια, ἐννόει τοῦ δεσπότου σου τὸ μέγεθος, καὶ ἐξ αὐτοῦ τούτου, ὅτι τοσαύτη αὐτοῦ ἡ δύναμις, ὡς μηδὲ τὸν λόγον ἡμᾶς μετὰ ἀκριβείας εἰδέναι τῶν ὑπὸ αὐτοῦ

quam erga noſtrum genus declarat. Poſtquam enim expandit cœlum, extendit terram, condidit firmamentum, vt quaſi interſtitium aliquod diuiſionem inter aquas & aquas faceret: & deinde vt iuſſit aquarum fieri congregationes, eas maria appellauit: aridam autem terram, quam ſeminum herbarúmque prouentu ornauit. Indéque tranſiit ad duorum magnorum luminariũ formationem, & ſtellarum varietatem, quibus pulchritudinem cœli decentiorem reddidit: poſtea autem ex aquis productis aquatilibus animantibus & volatilibus, quæ volarent ſuper terram ſecundùm firmamentum cœli: & impleto quinque dierum numero: quoniam oportebat & terreſtria animalia formari: imperauit vt & ipſa ederentur, & quæ ad cibum, & quæ ad miniſterium conducibilia, & feræ, & reptilia. Denique vbi omnia ſuo ornatu excoluit, & conuenienti ordine viſibilia diſpoſuit, & menſam largam inſtruxit, variis & omnigenis refertam eduliis, copiámque & opes habentem, & quaſi quis dicat regiam, vndequaque ſuprà & infrà variis modis ſplendidam: tunc tandem fruiturum his omnibus format, cui viſibilium omnium poteſtatem tradat: & oſtendit quanto dignius cæteris omnibus animal formet, quandoquidem præcipit, omnia quæ facta erant, ſub illius eſſe imperio & poteſtate. Verùm ne prolixior fiat ſermo, his contenti dictis in ſequentem diem reponamus ea, quæ pertinent ad formationem admirabilis huius animalis rationalis & animati, hominis inquam: nunc conſuetam admonitionem adhibentes, ita vt ne dictorum memoria elabatur: ſed ex omnibus viſibilibus ad glorificandum Dominum nos ipſos erigamus. Quòd autem aſſequi, & creaturarum omnium rationem comprehendere non poſſumus, ne ſit nobis incredulitatis occaſio, ſed potius glorificationis incitamentum. Quando enim deficit ratio, & mens non eſt capax, cogita quàm magnus eſt dominus tuus, & ex hoc ipſo quanta ſit eius virtus, cùm neq; rationem eorum quæ ab illo facta ſunt, ſcire queamus.

Moralis exhortatio.

Hoc fuerit grati animi, & ſobriæ mentis. Quoniam & Gentiles ſic errauerunt: ſuis enim cogitationibus omnia permittentes, & ad imbecillitatem naturæ ſuæ non reſpicientes, ſed quæ vltra captum ſuum erant imaginantes, & limitum ſuorum fines egredientes, etiam à ſua dignitate exciderunt. Nam qui ratione inſigniti, primatum acceperant à creatore, vtpote omnibus quæ ſub oculos cadunt creaturis digniores: hi in tantam abſurditatem deducti ſunt, vt canes, & ſimias, & crocodilos, & his fœdiora adorarint. Et quid dico bruta animalia? Multi eorum in tantum ſtuporem & amentiam inciderunt, vt & cepe, & allia, & his viliora colant. Propterea Propheta il-
Pſal. 48. 21. los deſignans, inquit: Comparatus eſt iumentis inſipientibus, & ſimilis factus eſt illis. Qui ratione, inquit, inſignitus, & tanta ſapientia præditus, is brutis factus eſt ſimilis fortè & deterior: Illa enim vtpote irrationabilia, nullis pœnis obnoxia erunt. Qui autem ratione pollet, & in illorum inciderit abſurditatem, meritò pœnas luet, ingratus exiſtens poſt tot beneficia. Hinc denique & lapides, & ligna deos appellarunt, & hæc viſibilia elementa deos dixerunt: quia mox vt ſemel à recta via aberrarunt, in præceps iuerunt, & in malitiæ profundum inciderunt. Verumtamen nos neque ſic de ſalute illorum deſperemus, ſed afferentes doctrinas noſtras, cum omni longanimitate & alacritate illis loquamur: monſtrantes tum rei abſurditatem, tum damni grauitatem, & nunquam de illorum ſalute deſperemus. Probabile enim eſt, fore, vt perſuadeantur progreſſu perſuadebuntur, ad finem adducentur temporis, & Chriſto auſcultent, & maximè ſi nos ita viuamus, ne à nobis offendantur. Multi enim illorum cùm viderint noſtrorũ aliquos, verbo quidẽ & vocabulo Chriſtianos appellari, cæterũ ſicut ipſos rapere, pecuniæ cupidos eſſe, inuidere, inſidiari, dolos nectere, aliáq; omnia facere: crapulæ, voluptatiq; vacare: non iã nos audiunt, neq; ſi rationabiles ſint admonitiones noſtrę, ſed exiſtimãt omnia noſtra deceptiones, & iiſdem criminibus omnes obnoxios. Cogita igitur obſe-

A γεγενημένων. τοῦτο διανοίας εὐγνώμονος· τοῦτο ψυχῆς νηφούσης. ἐπεὶ καὶ Ἕλληνες οὕτως ἐπλανήθησαν, ὡς τοῖς οἰκείοις λογισμοῖς τὰ πάντα ἐπιτρέψαντες, καὶ μὴ θελήσαντες πρὸς τὸ ἀσθενὲς τῆς φύσεως ἀπιδεῖν, ἀλλὰ τὰ ὑπὲρ αὐτοὺς φαντασθέντες, καὶ τῶν οἰκείων ὅρων ὑπερβάντες τὸ μέτρον καὶ τῆς προσούσης αὐτοῖς ἀξίας ἐξέπεσον. οἱ γὰρ λόγῳ τετιμημένοι καὶ τοσαύτην προεδρίαν λαβόντες παρὰ τοῦ δημιουργοῦ καὶ τῶν κτισμάτων ἁπάντων τῶν ὁρωμένων τιμιώτεροι, οὗτοι εἰς τοσαύτην ἀλογίαν κατηνέχθησαν, ὡς κύνας καὶ πιθήκους, καὶ κροκοδείλους καὶ τὰ ἀτιμότερα τούτων
B προσκυνεῖν. καὶ τί λέγω ζῶα ἄλογα; πολλοὶ τούτων εἰς τοσαύτην ἄνοιαν καὶ ἀναισθησίαν ἐξέπεσον, ὥστε καὶ κρόμμυα καὶ τὰ τούτων εὐτελέστερα σέβειν. διὰ τοῦτο ὁ προφήτης τούτους αἰνιττόμενος ἔλεγε. παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. ὁ λόγῳ φησὶ τετιμημένος, καὶ τοσαύτης σοφίας ἀξιωθεὶς τῶν ἀλόγων γέγονεν ὅμοιος, τάχα δὲ καὶ χείρων. ἐκεῖνα μὲν γὰρ ἅτε ἄλογα ὄντα οὐδὲ εὐθύνας ὑφέξει· ὁ δὲ λόγῳ τετιμημένος εἰς τὴν ἐκείνων ἀλογίαν μεταπεσὼν εἰκότως μεγάλας δώσει τὰς εὐθύνας ἀγνώμων
C γενόμενος περὶ τὴν τοσαύτην εὐεργεσίαν. ἐντεῦθεν καὶ λίθους καὶ ξύλα λοιπὸν θεοὺς προσηγόρευσαν, καὶ ταῦτα τὰ ὁρώμενα στοιχεῖα ἐθεοποίησαν. ἅπαξ γὰρ ἐκτραπέντες τῆς εὐθείας ὁδοῦ κατὰ κρημνῶν ἠνέχθησαν, καὶ εἰς αὐτὴν τὴν ἄβυσσον τῆς κακίας ἐξώκειλαν. ἀλλ' ἡμεῖς οὐδὲ οὕτως ἀπογνῶμεν τὴν σωτηρίαν αὐτῶν, ἀλλὰ τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ μετὰ πάσης μακροθυμίας καὶ προθυμίας αὐτοῖς διαλεγώμεθα δεικνύντες καὶ τοῦ πράγματος τὴν ἀτοπίαν, καὶ τῆς βλάβης τὸ μέγεθος, καὶ μηδέποτε ἀπαγορεύωμεν αὐτῶν τὴν σωτηρίαν. εἰ-
D κὸς γὰρ αὐτοὺς πεισθήσεσθαι τοῦ χρόνου προϊόντος καὶ μάλιστα ἂν ἡμεῖς οὕτω πολιτευώμεθα, ὡς μηδεμίαν αὐτοῖς παρέχειν λαβήν. πολλοὶ γὰρ τούτων, ἐπειδὰν ἴδωσί τινας τῶν μεθ' ἡμῶν τεταγμένων, τῷ ῥήματι μὲν καὶ τῇ προσηγορίᾳ Χριστιανοὺς ὀνομαζομένους, ὁμοίως δὲ ἐκείνοις ἁρπάζοντας, πλεονεκτοῦντας, βασκαίνοντας, ἐπιβουλεύοντας, δόλους ῥάπτοντας, τὰ ἄλλα ἅπαντα ἐργαζομένους, τρυφῇ καὶ ἀδηφαγίᾳ προσέχοντας, οὐκέτι οὐδὲ τὴν ἀπὸ τῶν λογισμῶν νουθεσίαν προσίενται, νομίζοντες ἀπάτην εἶναι τὰ ἡμέτερα, καὶ τοῖς αὐτοῖς ἅπαντας ὑπευθύνους εἶναι. ἐννόει μοι τί-

νων πόσων ἂν οἱ τοιοῦτοι γένοιντο κολάσεων ἄξιοι, A ὅταν μὴ μόνον ἑαυτοῖς ἐπισωρεύωσι τὸ πῦρ τὸ ἄσβεστον, ἀλλὰ καὶ ἑτέροις αἴτιοι γίνωνται τοῦ τῇ πλάνῃ προσηλῶσθαι, καὶ πρὸς τὴν τῆς ἀρετῆς διδασκαλίαν ἀποφράττειν τὰ ὦτα, καὶ μετὰ τούτου καὶ τοῖς τὴν ἀρετὴν μετιοῦσι διαβολῆς ἀφορμὴν παρέχουσι, καὶ τὸ δὴ πάντων χαλεπώτερον, ὅταν δι' αὐτῶν ὁ δεσπότης βλασφημῆται. ὁρᾷς ὅση τῆς κακίας ἡ λύμη; ὁρᾷς ὡς οὐ τυχούσῃ κολάσει ὑπευθύνους ἑαυτοὺς καθιστῶσιν οἱ τὴν κακίαν μετιόντες, ἀλλὰ καὶ σφόδρα βαρυτάτῃ, εἴγε μέλλοιεν ὑπὲρ ἁπάντων εὐθύνας ὑπέχειν, οὐ μόνον ὑπὲρ τῆς ἑαυτῶν ἀπωλείας, ἀλλὰ καὶ ὑπὲρ τοῦ τῶν πεπλανημένων σκανδά- B λου, καὶ ὑπὲρ τῆς κατηγορίας τῶν τὴν ἀρετὴν μετιόντων, καὶ ὑπὲρ τῆς εἰς τὸν θεὸν βλασφημίας; ταῦτα δὴ πάντα ἐννοοῦντες μὴ ἀμελῶμεν τῆς ἑαυτῶν σωτηρίας, καὶ τῆς κατὰ θεὸν πολιτείας πολλὴν ποιώμεθα τὴν φροντίδα εἰδότες, ὅτι ἐντεῦθεν μάλιστα ἢ κατακρινόμεθα, ἢ τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιούμεθα. οὕτω τοίνυν πάντα πράττωμεν, ὥστε καὶ ἡμᾶς ἀγαθῷ συνειδότι συζῆν, καὶ τοὺς ἔτι πλανωμένους διὰ τῆς ἡμετέρας κατὰ θεὸν ἀναστροφῆς ἐπὶ τὴν ἀλήθειαν χειραγωγεῖν, καὶ δι' ἡμῶν καὶ τοὺς ἄλλους ἅπαντας τοὺς μεθ' ἡμῶν τεταγμένους χρηστῆς εὐφημίας C ἀπολαύειν, καὶ πρὸ τούτων ἁπάντων δοξάζεσθαι τὸν ἡμέτερον δεσπότην, καὶ πλείονα τὴν περὶ ἡμᾶς ἐπιδείκνυσθαι κηδεμονίαν. ὅταν γὰρ εἰς ἡμᾶς ὁρῶντες οἱ ἄνθρωποι κερδαίνωσι, καὶ τὴν εἰς τὸν θεὸν εὐφημίαν ἀναφέρωσι, πλείονος καὶ ἡμεῖς ἀπολαυσόμεθα τῆς παρ' αὐτοῦ ῥοπῆς. τί γὰρ ἂν εἴη μακαριώτερον ἀνθρώπου, ὅταν οὕτω πολιτεύηται, ὥστε τοὺς ὁρῶντας ἐκπλήττεσθαι καὶ λέγειν· δόξα σοι ὦ θεός, ποταποί εἰσιν οἱ Χριστιανοὶ καὶ πόσην ἐπιδείκνυνται φιλοσοφίαν; πῶς ὑπερορῶσι τῶν παρόντων; πῶς ἅπαντα σκιὰ αὐτοῖς, καὶ ὄναρ νενόμισται, καὶ οὐ- D δενὶ τῶν ὁρωμένων προστετήκασιν, ἀλλὰ καθάπερ ἐν ξένῃ πολιτευόμενοι οὕτως ἅπαντα διαπεραίνονται καθ' ἑκάστην ἡμέραν πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν ἐπειγόμενοι, πόσην οἴει τὰ ῥήματα ταῦτα κομίζειν τοῖς οὕτω πολιτευομένοις ἐντεῦθεν ἤδη τὴν παρὰ τοῦ θεοῦ ἀμοιβήν, καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι καὶ αὐτοὶ οἱ ταῦτα περὶ ἡμῶν ψηφιζόμενοι ταχέως τῆς πλάνης ἀποστήσονται, καὶ πρὸς τὴν ἀλήθειαν ἐπανήξουσι. τοῦτο δὲ ὅσην τοῖς τοιούτοις ἐκεῖ τὴν παρρησίαν προξενεῖ, παντί που δῆλόν ἐστιν. εἰδότες τοίνυν, ὡς ὑπεύθυνοι καὶ τῆς ὠφελείας καὶ τῆς βλάβης τῶν πλησίον ἐσμέν, οὕτω τὴν ἑαυ-

A cro, quantis illis digni ſint ſupplicijs, quandoquidem non ſolum ſibi ipſis inextinguibilem ignem coaceruant, ſed & aliis authores ſunt vt in errore perſeuerent: & ne virtutem addiſcant, obturant aures: & ad hæc in cauſa ſunt, vt etiam virtutum ſtudioſi accuſentur, & reprehendantur, & (quod omnibus grauius) per ipſos Dominus blaſphematur. Vides quanta malitiæ pernicies? Vides quomodo non vulgari pœnæ reos ſe faciunt, qui malum ſectãtur: ſed & multo grauiſſima ſupplicia pro omnibus luituri ſint, non ſolùm pro ſua perdi- B tione, ſed & pro errantium ſcandalo, & pro ſuggillatione iuſtorum, & pro blaſphemia in Deum? Hęc igitur omnia cogitemus, nec ſimus noſtrę ſalutis contemptores: ſed magna nobis ſit cura, vt iuxta Deũ viuamus, ſcientès nos inde vel condemnandos, vel illius miſericordia beãdos. Sic igitur omnia faciamus, vt & nos in pura conſcientia verſemur, & eos qui adhuc errant, noſtra diuina cõuerſatione ad veritatem manuducamus: vt & nos, & alij omnes, qui nobis connumerantur, bona fama C fruamur: & ante omnia glorificetur dominus noſter, & maiorem noſtri curam ſe gerere oſtendat. Nam quando in nos reſpiciunt homines, & laudem in Deum referunt, inde & nos plus diuinæ gratiæ aſſequemur. Quid enim beatius homine, qui ſic viuit, vt & homines obſtupeſcant, & dicant, Gloria tibi Deus: quales ſunt Chriſtiani, quãtam præ ſe ferunt philoſophiam, quomodo deſpiciunt præſentia, quomodo omnia ipſis vmbra & ſomnium reputantur, & nulli viſibilium ſunt affixi: ſed omnia tranſigunt, ſicut hi qui in D terra aliena agunt peregrini, & quotidie migrare ex hac vita cupiunt & anhelant? Quantam putas verba hæc his qui ſic viuunt, etiam hic à Deo retributionem afferre? Et quod valde admirabile & rarũ, etiam hi qui talia de nobis iudicant, breui ab errore deſiſtent, & ad veritatem redibunt. Hoc quantam illic fiduciam afferet, nulli non manifeſtum eſt. Proinde ſcientes quod & de damno, & de lucro proximorum iudicabimur: ſic vitam

noſtram inſtituamus, vt non ſolum nobis ſufficiat, ſed & alij inde erudiantur, vt & hîc magnam Dei gratiam nobis conciliemus, & in futuro gloria per Dei miſericordiam fruamur. Oremus, vt hæc nobis concedantur gratia & miſerationibus vnigeniti eius filij, cum quo patri ſimul, ſanctóque Spiritui ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A τῶν οἰκονομῶμεν, ὡς μὴ μόνον αὐτοῖς ἀρκεῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις διδασκαλίας ὑπόθεσις γίνεσθαι, ἵνα καὶ ἐνταῦθα πολλὴν τὴν παρὰ τοῦ θεοῦ ῥοπὴν ἐπισπασώμεθα, καὶ ἐν τῷ μέλλοντι δαψιλῶς ἀπολαύσωμεν τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

HOMILIA VIII.

Gen. 1. 26. *Et dixit Deus, Faciamus hominem ſecundum imaginem noſtram & ſecundum ſimilitudinem: & dominetur piſcibus maris, & volatilibus cæli, & pecoribus, & beſtiis, & vniuerſæ terræ, & omnibus reptilibus repentibus ſuper terram.*

Ὁμιλία η.

B Καὶ εἶπεν ὁ θεὸς ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ τῶν θηρίων καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.

QVONIAM alacres heri quę diximus audiſtis, age & hodie, quæ recẽs lecta ſunt, charitati veſtræ proponamus. Prius tamen vos obſecrauerimus, vt diligenter auſcultetis ea quæ dicuntur: & quæ prius dicta ſunt, bene in mente veſtra reponatis, vt ne fruſtra & incaſſum laborem hunc feramus. Hoc enim ſtudium noſtrum eſt, vt vim ac ſenſum eorum quæ ſcripta ſint accuratè ſciatis: atque ita vt non ſolum teneatis, ſed & aliorum magiſtri poſſitis, iuxta beatum Paulum, vnus alterum ædificare. Nam ſi vos profeceritis in Domino, & in ſpiritualium doctrina mactos & præſtantes oſtenderitis, etiam nos ingenti afficietis lætitia. Hæc enim noſtra fuerit tota proſperitas, & ſumma feſtiuitas. Quæ noſtra ſpes, vel gaudium, vel corona, inquit, gloriationis? an non & vos, & veſtrum in diuinis ſtudiis incrementum? Omnes enim doctores, qui vident diſcipulos priorum lectionem memoriam animo bene tenere, operibúſque ipſis fructum aliquem afferre, maiore alacritate & ſequentium ſcientiam concredunt. Et nos quoque quanto magis mentem veſtram erigi,

1.Theſſ. 5. 11.

1.Theſſ. 2.19.

Φέρε καὶ σήμερον, ἐπειδὴ μετὰ πολλῆς τῆς προθυμίας ἠκούσατε χθὲς τῶν παρ' ἡμῶν λεγομένων, τὰ πρόσφατον ἀναγνωσθέντα προθῶμεν τῇ ὑμετέρᾳ ἀγάπῃ, C πρότερον ἐκεῖνο παρακαλέσαντες ὑμᾶς μετ' ἀκριβείας προσέχειν τοῖς λεγομένοις, καὶ τὰ πρότερα ἐναποτίθεσθαι ὑμῶν τῇ διανοίᾳ, ἵνα μὴ μάτην καὶ εἰκῇ τοσοῦτον πόνον ὑπομένωμεν. ὃ γὰρ σπουδαζόμενον ἡμῖν μετ' ἀκριβείας ὑμᾶς εἰδέναι τῶν γεγραμμένων τὴν δύναμιν, ὥστε μὴ μόνον ὑμᾶς ταῦτα ἐπίστασθαι, ἀλλὰ καὶ ἑτέροις διδασκάλους γίνεσθαι, ἵνα δύνησθε κατὰ τὸν μακάριον Παῦλον εἰς τὸν ἕνα οἰκοδομεῖν. ἐὰν γὰρ ὑμεῖς προκόπτητε ἐν κυρίῳ, καὶ περὶ τὴν τῶν πνευματικῶν διδασκαλίαν ἐπίδοσίν τινα ἐπι- D δείκνυσθε, πολλὴν καὶ ἡμῖν παρέξετε τὴν εὐφροσύνην. τοῦτο γὰρ ἡμῶν ἐστιν ἡ πᾶσα εὐημερία καὶ ἡ μεγίστη ἑορτή. τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος φησὶ καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς καὶ ὑμετέρα κατὰ θεὸν ἐπίδοσις; ἐπεὶ καὶ τῶν διδασκάλων ἕκαστος ἐπειδὰν ἴδῃ τὸν μαθητευόμενον τῶν προτέρων διδαγμάτων τὴν μνήμην ἀκριβῶς ἐμπήξαντα τῇ διανοίᾳ, καὶ τὸν καρπὸν διὰ τῶν ἔργων ἐπιδεικνύμενον, μετὰ πλείονος τῆς προθυμίας καὶ τὴν ἑξῆς τὴν γνῶσιν αὐτῷ παρακατατίθεται. καὶ ἡμεῖς τοίνυν ὅταν ἴδωμεν ὑμῶν τὴν διάνοιαν διεγηγερμένην,

μένην, καὶ τὸν πόθον αὐξανόμενον, καὶ τὸν λογισμὸν A ἐπτερωμένον, τοσούτῳ πλέον προθυμότεροι γινόμεθα πρὸς τὸ δαψιλεστέραν ἡμῖν παραθεῖναι τὴν διδασκαλίαν. ὅσῳ γὰρ ἂν πλείονα προχέωμεν ὑμῖν τὰ νάματα ταῦτα τὰ πνευματικά, τοσούτῳ καὶ ἡμῖν αὔξεται πλείων ἡ ἐπιρροὴ διὰ τὴν οἰκοδομὴν τὴν ὑμετέραν, διὰ τὴν ὠφέλειαν τῶν ὑμετέρων ψυχῶν. οὐδὲ γάρ ἐστιν ἐνταῦθα συμβῆναι, ὅπερ ἐπὶ τῶν χρημάτων γίνεσθαι εἰκός. ἐκεῖ μὲν γὰρ ὁ καταβαλὼν τῷ πλησίον τὸ ἀργύριον ἠλάττωσε τὴν οἰκείαν περιουσίαν, καὶ ὅσῳ ἂν πλείονα καταβάλῃ, τοσούτῳ καὶ τὰ τῆς οὐσίας αὐτῷ μειοῦται· ἐνταῦθα δὲ ἀπεναντίας· τότε μᾶλλον ἡμῖν αὔξεται τὰ τῆς περιουσίας, τότε B πλέον ἐπιδίδωσι τὰ τοῦ πλούτου τούτου τοῦ πνευματικοῦ, ὅταν μετὰ δαψιλείας προχέωμεν τὰ τῆς διδασκαλίας τοῖς ἀρύεσθαι βουλομένοις. ἐπεὶ οὖν οὕτω καὶ ἡμῖν πλείονος πλούτου καὶ περιουσίας ὑπόθεσις γίνεται, καὶ ὑμεῖς ἀκορέστως ἔχετε περὶ τὴν πνευματικὴν ταύτην τροφήν, φέρε ἴδωμεν τί καὶ σήμερον ὁ μακάριος Μωυσῆς διδάσκει ἡμᾶς διὰ τῶν ἀναγνωσθέντων, μᾶλλον δὲ τί ἡ τοῦ πνεύματος χάρις διὰ τῆς τούτου γλώττης πᾶσιν ἡμῖν διαλέγεται. καὶ εἶπεν ὁ θεός, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. μὴ ἁπλῶς παραδράμωμεν C ἀγαπητοὶ τὰ εἰρημένα, ἀλλὰ διερευνησώμεθα ἑκάστην λέξιν, καὶ πρὸς τὸ βάθος κατελθόντες ἀνιχνεύσωμεν τὴν ἐγκεκρυμμένην δύναμιν τοῖς βραχέσι τούτοις ῥήμασιν. εἰ γὰρ καὶ ὀλίγα τὰ ῥήματα, ἀλλὰ πολὺς ὁ ἐγκεκρυμμένος θησαυρός, καὶ προσήκει τοὺς νήφοντας καὶ ἐγρηγορότας μὴ μέχρι τῆς ἐπιφανείας ἵστασθαι. ἐπεὶ καὶ οἱ τὸν αἰσθητὸν τοῦτον θησαυρὸν ἀνορύττειν ἐπιχειροῦντες οὐκ ἐξ ἐπιπολῆς μόνον διασκάπτουσιν, οὐδὲ τὴν ἐπιφάνειαν διερευνῶνται, ἀλλ' ἐπειδὰν εἰς πολὺ βάθος κατέλθωσι, τότε τοὺς κόλπους τῆς γῆς ἀνιχνεύουσι, καὶ οὕτω διὰ D τῆς οἰκείας ἐπιστήμης χωρίζουσι τῆς γῆς τὸ χρυσίον, καὶ μετὰ τὸν πολὺν πόνον καὶ ἱδρῶτα πολλάκις ὀλίγα ψήγματα μόγις εὑρεῖν ἠδυνήθησαν. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλὰ καὶ ὁ πόνος ἐλάττων, καὶ ἡ περιουσία ἄφατος. τοιαῦτα γὰρ ἅπαντα τὰ πνευματικά. μὴ τοίνυν γινώμεθα χείρους τῶν περὶ τὰ αἰσθητὰ ἐπτοημένων, ἀλλὰ διερευνησώμεθα καὶ ἡμεῖς τὸν θησαυρὸν τοῦτον τὸν πνευματικὸν τὸν τοῖς ῥήμασι τούτοις ἐναποκείμενον, καὶ πρότερον ἴδωμεν τί τὸ καινὸν καὶ παράδοξον τῶν εἰρημένων, καὶ τίνος ἕνεκεν τοσαύτῃ τῇ ἐναλλαγῇ τῶν ῥημάτων ἐχρήσατο ὁ μακάριος οὗτος προφήτης, μᾶλλον δὲ ὁ φιλάνθρωπος θεός

& deſiderium creſcere, rationémque alas aſſumere videmus, tanto alacriores reddimur, vt vberiorem doctrinam proponamus. Porrò quantò plus profundimus fluentorum horum ſpiritualium, tantò nobis & fluenta ſunt auctiora: nimirum propter ædificationem veſtram, & propter veſtrarum animarum vtilitatem. Non enim in hac cauſa contingit, ſicut in pecuniis. Illic enim qui dinumerauit vicino, imminuit ſuam ſubſtantiam: & quantò plus expendit, tantò minus poſſidet pecuniæ: hic autem planè ſecus agitur. Tunc enim facultatibus noſtris plus accreſcit, tunc ſpirituales hæ opes magis augentur, quando audire volentibus, doctrinam liberaliter profundimus. Igitur quia nobis abundantius & opes, & ſubſtantiæ affluunt, & vos ſpiritualibus alimentis ſatiari non poteſtis: age videamus quid & hodie beatus Moſes in his quæ lecta ſunt nos doceat, imò quid gratia Spiritus per eius linguam nobis omnibus dicat. 26. *Et dixit*, inquit, *Deus: Faciamus hominem ſecundum imaginem noſtram, & ſecundum ſimilitudinem.* Ne ſimpliciter prætereamus chariſſimi dicta hæc, ſed diſquiramus verba ſingula: & ad infima deſcendentes, vim in breuiculis hiſce verbis latentem inueſtigemus. Nam licet pauca ſint verba, magnus tamen theſaurus eſt in illis recōditus: atq; decet, vt non tantum coram aſtemus, ſed & ſobrij & vigiles adſimus. Quoniā & hi qui ſenſibiles hos theſauros effodere conātur, non in ſuperficie ſolum fodiunt, ſed in profundum deſcendunt, & penitiores terrę ſinus ſcrutantur: atq; ita arte ſua aurum à terra ſegregant, tametſi ſæpe poſt labores ſudoréſq; multos vix paucas quaſdā portiunculas afferunt. Hic autē nil tale eſt, ſed labor minor, & ineffabilis vbertas. Nā ſpiritualia omnia in hunc modum ſe habēt. Ne igitur ſimus deteriores his qui ſenſibilia admirantur: ſed inquiramus & nos diligēter theſaurū hunc ſpiritualē in verbis iſtis reconditū, & primū videamus quid nouū & admirandū dicat: dein quare tanta verborum variatione vtatur beatus hic propheta, imò miſericors Deus

per prophetam loquens. Et dixit: Faciamus hominem ſecundùm imaginem noſtram, & ſecundùm ſimilitudinem. Nuper enim, quum cœlum terrámque formaſſet, audiuimus illum dicentem: Fiat lux: &: Fiat firmamentum in medio aquæ. Et iterum: Cogantur aquæ in congregationem vnam, & appareat arida: &: Fiant luminaria: & Educant aquæ reptilia animarum viuentium. Vidiſti ſermone ſolo & præcepto omnem creaturam quinque diebus formari? Vide hodie quanta verborum diuerſitas. Non enim iam dicit: Fiat homo: ſed quid? Faciamus hominem ſecundùm imaginem noſtram, & ſecundùm ſimilitudinem. Quid hoc noui? quid rari? Quiſnam ille qui formandus, ad quem faciendum opifici tanto conſilio & circumſpectione opus? Ne mireris dilecte. Homo enim inter viſibilia omnia dignitate præcellit, propter quem condita ſunt hæc omnia, cœlum, terra, mare, ſol, luna, ſtellæ, reptilia, iumenta, brutáque animalia omnia. Et quare, inquit, tardius creatus eſt homo, ſi cætera dignitate præſtat? Meritò.

Cur elementa præ ante hominem creata.

Nam vt ingreſſuro in ciuitatem aliquam rege, operæpretium eſt præmittere ſatellites, alióſque omnes vt bene adornatis palatiis, rex honeſtius ibi agat: ita ſimili modo, quaſi regem & principem aliquem rebus terrenis præfecturus, prius omnem hunc ornatum fabricauit, & tandem præficiendum hominem produxit: declarans factis iſtis, quanto honore animal hoc proſequatur. Cæterum rogemus hoc loco Iudæum, & videamus quid reſpondeat, ad quem dixerit Deus: Faciamus hominem ſecundùm imaginem noſtram. Scripta enim ſunt hæc à Moſe, cui ſe credere dicunt quidem, non credunt autem: ſicut & Chriſtus inquit: Si crederetis Moſi, crederetis & mihi. Sed literę quidem apud illos ſunt, ſenſus verò apud nos. Ad quem igitur dictum eſt, Faciamus hominem? cum quo conſilium hoc habuit Dominus? Nunquid conſilio & circunſpectione opus habet? Abſit. Quid ergo? Figura verborum declarare voluit, quàm excellentẽ honorẽ homini, qui formabatur, impẽdat.

Ioan. 5. 46.

A διὰ τοῦ προφήτου φθεγγόμενος. καί φησι· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. πρῴην μὲν γὰρ ἠκούομεν αὐτοῦ λέγοντος μετὰ τὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς δημιουργίαν, γενηθήτω φῶς, καὶ γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ πάλιν, συναχθήτω τὸ ὕδωρ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά, καὶ γενηθήτωσαν φωστῆρες, καὶ ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν. εἶδες λόγῳ μόνον, καὶ προστάγματι πᾶσαν τὴν κτίσιν δημιουργουμένην ἐν ταῖς πέντε ἡμέραις; σκόπει σήμερον πόση τῶν ῥημάτων ἡ διαφορά. οὐκέτι γάρ φησι, B γενηθήτω ἄνθρωπος, ἀλλὰ τί; ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν. τί τὸ καινόν; τί τὸ ξένον; τίς ἄρα οὗτός ἐστιν ὁ δημιουργούμενος, ὅτι τοσαύτης βουλῆς καὶ σκέψεως ἐδέησε τῷ δημιουργῷ πρὸς τὴν τούτου κατασκευήν; μὴ ξενισθῇς ἀγαπητέ. τὸ γὰρ τιμιώτερον ἁπάντων τῶν ὁρωμένων ζώων ἐστὶν ὁ ἄνθρωπος, δι' ὃν καὶ ταῦτα ἅπαντα παρήχθη, οὐρανός, γῆ, θάλαττα, ἥλιος, σελήνη, ἀστέρες, τὰ ἑρπετά, τὰ κτήνη, πάντα τὰ ἄλογα ζῶα. καὶ τίνος ἕνεκεν φησὶν εἰ τούτων C ἁπάντων τιμιώτερον τυγχάνει, ὕστερον παρήχθη; εἰκότως. καθάπερ γὰρ βασιλέως μέλλοντος εἰς πόλιν εἰσελαύνειν τοὺς δορυφόρους ἀνάγκη προηγεῖσθαι, καὶ τοὺς ἄλλους ἅπαντας, ἵνα εὐτρεπισμένων τῶν βασιλείων οὕτως ὁ βασιλεὺς εἰς τὰ βασίλεια παραγίνηται· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν καθάπερ βασιλέα τινὰ καὶ ἄρχοντα μέλλων ἐφιστᾶν πᾶσι τοῖς ἐπὶ τῆς γῆς πᾶσαν ταύτην τὴν διακόσμησιν πρότερον ἐτεκτήνατο, καὶ τότε τὸν μέλλοντα ἐφίστασθαι παρήγαγε δεικνὺς ἡμῖν δι' αὐτῶν τῶν πραγμάτων, ὅσον τιμᾶται τοῦτο τὸ ζῶον. ἀλλ' ἐρώμεθα τὸν Ἰουδαῖον, καὶ ἴδωμεν τί φησι. D πρὸς τίνα εἴρηται τό, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν; Μωσέως γάρ ἐστι τὰ γράμματα, ᾧ λέγουσι μὲν πιστεύειν, οὐ πιστεύουσι δέ, καθὼς καὶ ὁ Χριστός φησιν, εἰ ἐπιστεύετε Μωυσῇ, ἐπιστεύετε ἂν ἐμοί. ἀλλὰ τὰ μὲν γράμματα παρ' αὐτοῖς, τὰ δὲ νοήματα παρ' ἡμῖν. πρὸς τίνα οὖν εἴρηται, ποιήσωμεν ἄνθρωπον, καὶ τίνι τὴν βουλὴν ταύτην προστίθησιν ὁ δεσπότης; οὐκ ἐπειδὴ βουλῆς δεῖται καὶ σκέψεως, μὴ γένοιτο· ἀλλὰ τῷ σχήματι τῶν ῥημάτων ἐνδείξασθαι ἡμῖν βούλεται τὴν ὑπερβάλλουσαν τιμήν, ἣν περὶ τὸν ἄνθρωπον τὸν δημιουργούμενον ἐπιδείκνυται.

τί οὖν φασιν οὗτοι, οἱ τὸ κάλυμμα ἔχοντες ἔτι ἐπικείμενον ἐν ταῖς καρδίαις αὐτῶν, καὶ μηδὲν τῶν ἐγκειμένων συνιέναι βουλόμενοι; πρὸς ἄγγελόν φησι ταῦτα λέγει καὶ ἀρχάγγελον. ὢ τῆς μανίας· ὢ τῆς πολλῆς ἀναισχυντίας. καὶ πῶς ἂν ἔχοι λόγον ὦ ἄνθρωπε, ἀγγέλους κοινωνεῖν γνώμης τῷ δεσπότῃ, καὶ δημιουργήματα τῷ δημιουργῷ; ἀγγέλων οὐκ ἔστι τὸ γνώμης κοινωνεῖν, ἀλλὰ παρεστάναι, καὶ τὴν λειτουργίαν ἀναπληροῦν. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ μεγαλοφωνοτάτου Ἡσαΐου λέγοντος περὶ τῶν ἀνωτέρω τῶν ἀγγέλων δυνάμεων, ὅτι εἶδον τὰ Χερουβὶμ, ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ, καὶ τὰ Σεραφὶμ, καὶ κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν ἐν ταῖς πτέρυξι καὶ τοὺς πόδας, διὰ τὸ μὴ φέρειν δηλονότι τὴν ἐκεῖθεν ἐκπηδῶσαν ἀστραπὴν, ἀλλ᾽ εἱστήκεισαν μετὰ πολλοῦ τοῦ φόβου καὶ τρόμου. καὶ γὰρ τῶν δημιουργημάτων ἴδιον τὸ παρεστάναι τῷ δεσπότῃ. ἀλλ᾽ οὗτοι μηδὲν τῶν ἐγκειμένων συνιέντες ἁπλῶς τὸ ἐπιὸν φθέγγονται· διόπερ προσήκει τὴν ἐκείνων ληρωδίαν παρωσαμένους διδάξαι τῆς ἐκκλησίας τὰ τέκνα τῶν εἰρημένων τὴν ἀλήθειαν. τίς οὖν ἐστιν οὗτος, πρὸς ὅν φησι, ποιήσωμεν ἄνθρωπον; τίς δὲ ἄλλος, ἀλλ᾽ ἢ ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστὴς ὁ ἄρχων τῆς εἰρήνης, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, ὁ μονογενὴς τοῦ θεοῦ παῖς, ὁ τῷ πατρὶ ὅμοιος κατὰ τὴν οὐσίαν, δι᾽ οὗ τὰ πάντα παρήχθη; τούτῳ φησὶ, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν. ἐνταῦθα καὶ τοῖς τὰ Ἀρείου φρονοῦσι καιρίαν δίδωσι τὴν πληγήν. οὐδὲ γὰρ προστακτικῶς εἶπε, ποίησον, ὡς ὑποδεεστέρῳ, ἢ ὡς ἐλάττονι κατὰ τὴν οὐσίαν, ἀλλὰ μετὰ πολλῆς τῆς ἰσοτιμίας, ποιήσωμεν, καὶ τὸ ἑξῆς δὲ πάλιν δείκνυσιν ἡμῖν τῆς οὐσίας τὴν ὁμοιότητα. ποιήσωμεν γάρ φησιν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν. ἀλλ᾽ ἐνταῦθα πάλιν ἐπιφύονται ἕτεροι αἱρετικοὶ λυμαινόμενοι τῆς ἐκκλησίας τὰ δόγματα, καί φασιν, ἰδοὺ εἶπε κατ᾽ εἰκόνα ἡμετέραν, καὶ ἐντεῦθεν βούλονται ἀνθρωπόμορφον λέγειν τὸ θεῖον, ὅπερ ἐσχάτης ἂν εἴη παραπληξίας, τὸν ἀσχημάτιστον καὶ ἀνείδεον καὶ ἀναλλοίωτον εἰς μορφὴν ἀνθρωπίνην κατάγειν, καὶ σχήματα καὶ μέλη περιτιθέναι τῷ ἀσωμάτῳ. τί τῆς μανίας ταύτης ἴσον γένοιτ᾽ ἂν, ὅταν μὴ μόνον κερδαίνειν μὴ βούλωνται ἀπὸ τῆς τῶν θεοπνεύστων γραφῶν διδασκαλίας,

A Quid ergo dicunt hi, qui adhuc habẽt velamen ſuper corda ſua poſitum, & nihil eorum quæ hîc contenta, intelligere volunt? Ad angelum & archangelum, inquiunt, hæc dicta ſunt. O inſaniam, ô magnam impudentiam! Et quomodo rationi conſentaneum eſt, bone vir, vt angeli conſilium dent Domino, & creaturæ creatori? Non enim eſt angelorum conſilium dare, ſed aſſiſtere, & miniſterium adimplere. Et vt diſcas, audi vocaliſſimum Eſaiam, dicentem de ſupernis angelicis virtutibus: Vidi Cherubim ſtantia à dextris Dei, & Seraphim, & obtegebant fa- Eſa.6.2.
B cies pedéſque ſuos alis. Quod ideo factum eſſe liquet, quia fulgur maieſtatis diuinæ inde egrediens, ferre nequiuerunt, ſteterúntque cum timore & tremore. Etenim creaturis peculiare eſt Domino adſiſtere. Verùm illi nihil eorum quę ſcripturæ verbis continentur, intelligentes, ſimpliciter quod occurrit effutiunt. Et ideo refutatis illorum deliramẽtis, dictorum veritas eccleſiæ filiis diſcẽda eſt. Quis igitur hic, Eſa.9.6.
ad quem inquit, Faciamus hominem? Quis autem alius, quàm ille magni cõ-
C ſilij angelus, ille admirabilis conſiliarius, potens, princeps pacis, pater futuri ſeculi, vnigenitus Dei filius, patri æqualis ſecundum ſubſtantiã, per quem omnia producta ſunt? huic dicit: Faciamus hominem ſecundum imaginẽ noſtram, & ſecũdum ſimilitudinem. Hic Arrianis lethalem plagã infligit. Non enim imperando dixit, fac, vt ſubdito & inferiori, vel vt minori ſecundum eſſentiam: ſed par honor declaratur, cum dicit, faciamus, & quod ſequitur, rurſus æqualitatem ſubſtantiæ oſtendit. Faciamus enim, ait, hominem ſe-
D cundùm imaginem noſtram, & ſimilitudinem. Iterum hîc inſurgunt & inuadunt nos hæretici alij, ecclſieæ dogmata impugnantes, & dicunt: Ecce dicit, ſecundum imaginem noſtram. Et indè volunt Deo humanam formam tribuere: id quod extremi fuerit ſtuporis, vt is qui forma ſpeciéque caret, & nulli alterationi obnoxius eſt, ſub humanam redigatur formam, & incorporeo membra & lineamenta attribuantur. Quæ huic inſania par fuerit? quum non ſolum nihil lucri à ſcripturis diuinitus inſpiratis referant,

ſed & plurimum inde offendantur? ſimili enim modo affecti ſunt, ſicut hi qui morbo laborant, & corporalibus oculis cæcutiunt. Vt enim illi ob oculorum ſuorum infirmitatem ſolis lucem ægrè ferunt, & ob aduerſam corporis valetudinem etiam optimos ſaluberrimóſque cibos auerſantur: Ita & hi anima ægrotantes, & mentalibus oculis capti, ad lumen veritatis reſpicere non poſſunt. Idcirco noſtro fungentes munere, manus eis porrigamus, magnáque eis manſuetudine loquamur. Nam & beatus Paulus ita nos monuit, dicens: Vt in manſuetudine erudiantur aduerſarij, ſi fortè det eis Deus pœnitentiam in agnitionem veritatis, & ad ſobrietatem mentis redeuntes de laqueo diaboli, abſtrahant à quo captiui tenentur, ad illius voluntatē. Vides quomodo verbis declarauit, quòd quaſi ebrietate quapiam obruti ſunt? Nam quod dicit, ad ſobrietatem mentis redeant, oſtendit quòd in profundo aliquo merſi ſint. Et iterum: Capti, inquit, à diabolo, quaſi diceret, tanquam laqueis quibuſdam irretiti ſunt. Vnde & nobis magna opus eſt manſuetudine & longanimitate, vt poſſimus eos eripere & educere ex laqueis diaboli. Dicamus igitur eis: Emergite, & reſipiſcite pauliſper, aſpicite lumen iuſtitiæ, expendite vobiſcum verborum diligentiam. Neque enim cùm dicit: Faciamus hominem ſecundùm imaginem noſtram, & ſecundùm ſimilitudinem: hîc ſermonem finiuit: ſed per ea quæ adiungit, manifeſtum nobis facit, quo ſenſu nomen imaginis poſuerit. Quid enim dicit? Et dominentur piſcibus maris, & volatilibus cœli, & omnibus reptilibus repentibus ſuper terram. Imaginem ergo dixit de principatu & dominio, non de alio aliquo: quia Deus fecit hominem principem omnium quæ ſunt ſuper terram, & nihil ſuper terram homine maius eſt, ſed omnia ſub poteſtate illius ſunt. Quòd ſi adhuc ea dicta eſſe contendant de formæ imagine, dicemus eis: Igitur Deus non ſolum homo, ſed & mulier erit: quia eandem formam vterque habent. Verùm hoc abſurdum eſt, & ratione caret.

1.Tim.2 25.

ἀλλὰ καὶ τὰ μέγιστα ἐντεῦθεν βλάπτονται. τοῦτον γὰρ οἱ νοσοῦντες, καὶ οἱ τὰς ὄψεις ταύτας τὰς σωματικὰς ἀσθενῶς διακείμενοι. καθάπερ γὰρ οὗτοι καὶ πρὸς τὸ ἡλιακὸν φῶς ἀπεχθάνονται διὰ τὴν τῆς ὄψεως ἀσθένειαν, καὶ οἱ νοσοῦντες, καὶ τὰ ὑγιεινότερα τῶν σιτίων ἀποστρέφονται· οὕτω δὴ καὶ οὗτοι νοσοῦντες τὴν ψυχὴν, καὶ τὸ τῆς διανοίας ὄμμα πεπηρωμένοι πρὸς τὸ φῶς τῆς ἀληθείας ἐνατενίσαι οὐκ ἰσχύουσι. διὸ τὰ παρ' ἡμῶν αὐτῶν πληρώσωμεν, καὶ χεῖρα αὐτοῖς ὀρέξωμεν μετὰ πολλῆς τῆς ἐπιεικείας πρὸς αὐτοὺς διαλεγόμενοι. καὶ γὰρ ὁ μακάριος Παῦλος οὕτω παρῄνεσε λέγων· ἐν πρᾳότητι παιδεύειν τοὺς ἀντιδιατιθεμένους μή ποτε δῷ αὐτοῖς ὁ θεὸς φησὶ μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. ὁρᾷς, πῶς ἐνέφηνε διὰ τῶν ῥημάτων, ὅτι καθάπερ ὑπὸ μέθης τινός εἰσι κατακεχωσμένοι; τὸ γὰρ εἰπεῖν ἀνανήψωσιν, ἔδειξε κάτω που βεβαπτισμένους αὐτούς, καὶ πάλιν, ἐζωγρημένοι φησὶν ὑπὸ τοῦ διαβόλου μονονουχὶ λέγων καθάπερ ἐν δικτύοις εἰσὶν ἀπειλημμένοι, καὶ δεῖ πολλῆς ἡμῖν τῆς ἐπιεικείας, καὶ τῆς μακροθυμίας, ὥστε δυνηθῆναι αὐτοὺς ἐξαρπάσαι, καὶ ἐξαγαγεῖν ἐκ τῶν παγίδων τοῦ διαβόλου. εἴπωμεν τοίνυν πρὸς αὐτοὺς, ἀνανήψατε μικρὸν, διαβλέψατε πρὸς τὸ φῶς τῆς δικαιοσύνης, ἐννοήσατε τῶν ῥημάτων τὴν ἀκρίβειαν. οὐδὲ γὰρ εἰπὼν, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, μέχρι τούτου ἔστη, ἀλλὰ διὰ τῆς ἐπαγωγῆς, δῆλον ἡμῖν ἐποίησε κατὰ ποῖον λογισμὸν τὸ ὄνομα τῆς εἰκόνος ἔλαβε. τί γάρ φησι; καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. κατὰ τὴν τῆς ἀρχῆς οὖν εἰκόνα φησὶν, οὐ καθ' ἕτερόν τι. καὶ γὰρ πάντων τῶν ἐπὶ τῆς γῆς ἄρχοντα τὸν ἄνθρωπον ἐδημιούργησεν ὁ θεὸς, καὶ οὐδὲν τῶν ἐπὶ τῆς γῆς ἐστὶ τούτου μεῖζον, ἀλλὰ πάντα ὑπὸ τὴν ἐξουσίαν τὴν τούτου τυγχάνει. εἰ δὲ ἔτι καὶ μετὰ τὴν τοσαύτην τῶν εἰρημένων ἀκρίβειαν φιλονεικοῦντες λέγοιεν κατὰ τὴν τῆς μορφῆς εἰκόνα εἰρῆσθαι, ἐροῦμεν πρὸς αὐτούς· οὐ μόνον ὁ ἄνθρωπος, ἀλλὰ καὶ ἡ γυνὴ δηλονότι· τὴν αὐτὴν γὰρ μορφὴν ἑκάτεροι ἔχουσιν. ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λόγον.

A ἄκουε γὰρ Παύλου λέγοντος· ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων, ἡ δὲ γυνὴ δόξα ἀνδρός ἐστιν. ὁ μὲν γὰρ ἄρχει, ἡ δὲ ὑποτέτακται, καθὼς καὶ ὁ θεὸς ἐξ ἀρχῆς πρὸς αὐτὴν φησι, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ἐπεὶ γὰρ κατὰ τὸν τῆς ἀρχῆς λόγον τὸ τῆς εἰκόνος παρείληφε, καὶ οὐ κατὰ τὴν μορφὴν, ὁ δὲ ἄνθρωπος ἄρχει πάντων, ἡ δὲ γυνὴ ὑποτέτακται, διὰ τοῦτό φησι περὶ τοῦ ἀνδρὸς ὁ Παῦλος, ὅτι εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχει, ἡ δὲ γυνὴ δόξα ἀνδρός ἐστιν. εἰ δὲ περὶ μορφῆς ἔλεγεν, οὐκ ἂν
B διεῖλεν. ὁ γὰρ αὐτὸς τύπος καὶ ἀνδρὸς καὶ γυναικός. εἶδες τῆς ἀληθείας τὴν περιουσίαν; πῶς οὐδεμίαν καταλιμπάνει ἀπολογίας πρόφασιν τοῖς μάτην ἀναισχυντεῖν βουλομένοις; ἀλλ᾽ ὅμως καὶ τούτων οὕτως ἐχόντων μὴ παυσώμεθα πολλῇ τῇ μακροθυμίᾳ πρὸς αὐτοὺς κεχρημένοι, μήποτε δῷ αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας. μὴ τοίνυν ναρκήσωμεν πολλὴν τὴν ἐπιείκειαν ἐπιδεικνύμενοι, εἴπως δυνηθείημεν αὐτοὺς ἐξαρπάσαι τῆς τοῦ διαβόλου ἀπάτης. καὶ εἰ δοκεῖ πάλιν ἐπιστήσωμεν αὐτοῖς τὸν μακάριον
C Παῦλον οὕτω λέγοντα πρὸς τοὺς τὰς Ἀθήνας οἰκοῦντας· οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ ἢ χαράγματι τέχνης ἢ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον. εἶδες τὸν σοφὸν διδάσκαλον, μεθ᾽ ὅσης ἀκριβείας πᾶσαν αὐτῶν ἐξέκοψε τὴν ἀπάτην; οὐ μόνον γὰρ τύπου σωματικοῦ ἔφησεν ἀπηλλάχθαι τὸ θεῖον, ἀλλὰ μηδὲ ἐνθύμησιν ἀνθρώπου δυνατὴν εἶναι ἀναπλάσαι τι τοιοῦτον. ταῦτα πρὸς αὐτοὺς συνεχῶς διαλεγόμενοι μὴ παύσησθε τὰ παρ᾽ ἑαυτῶν εἰσφέροντες, ἂν ἄρα ἐνδῶσιν, ἂν ἄρα βουληθῶσι διαβλέψαι πρὸς τὴν ἀλήθειαν. καὶ ἐκείνοις μὲν μετὰ πολλῆς ἐπιεικείας
D καὶ τῆς ἀσφαλείας διαλεγόμενοι μὴ παύσησθε, ὑμεῖς δὲ παρακαλῶ μετὰ ἀκριβείας τὰ δόγματα τῆς ἐκκλησίας κατέχετε μὴ συγχέοντες τῶν εἰρημένων τὴν ἀκολουθίαν, ἀλλὰ πρὸς μὲν Ἰουδαίους καταλλήλως διαλεγόμενοι, καὶ δεικνύντες, ὅτι οὐ πρός τινα τῶν λειτουργικῶν δυνάμεων ταῦτα τὰ εἰρημένα, ἀλλὰ πρὸς αὐτὸν τὸν μονογενῆ τοῦ θεοῦ υἱόν. πρὸς δὲ τοὺς τὰ Ἀρείου φρονοῦντας πάλιν ἐντεῦθεν τὴν ὁμοτιμίαν τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἀποδεικνύντες, καὶ πρὸς τοὺς ἀνθρωπόμορφον τὸ θεῖον εἶναι φανταζομένους τὰ παρὰ τοῦ μακαρίου Παύλου

A Audi enim & beatum Paulum di-
centem : Vir enim non debet vela- 1.Cor.11
re caput , imago & gloria Dei exi- 7.
ſtens. Mulier autem gloria viri eſt.
Vir enim imperat, mulier autem ſub-
iecta eſt : ſicut & Chriſtus ab initio
ad eam dixit : Ad virum tuum con- Gen.3.
uerſio tua , & ipſe tibi dominabitur. 16.
Itaque quoniam iuxta rationem do-
minij , ad imaginem factus eſt, non
ad formam , vir autem dominatur
omnibus , mulier verò ſubiecta eſt:
idcirco dicit de viro Paulus , quòd
imago & gloria Dei ſit , mulier au-
tem gloria viri. Quòd ſi de forma
B vel figura dixiſſet , non vtique ea di-
uiſiſſet. Eadem enim figura eſt viri
& mulieris. Vidiſti plenam verita-
tem , quomodo nullum veritatis præ-
textum relinquit his qui abſque cau-
ſa impudentes eſſe volunt? Verum-
tamen etiam illis ita ſe habentibus,
ne ceſſemus magna cum lenitate cum
ipſis agere , ſi fortè det illis Deus
pœnitentiam ad agnitionem verita-
tis. Ne ergo torpeſcamus , ſi quo pa-
cto per manſuetudinis ſtudium poſſi-
mus ipſos eripere à deceptione dia-
C boli. Et ſi placet citemus iterum il-
lis beatum Paulum , qui Athenien- Act.17.
ſibus ſic dicebat : Non debemus exi- 29.
ſtimare , auro vel argento , vel la-
pidi , vel ſculpturæ artis , vel inuen-
tionis hominis numen eſſe ſimile. Vi-
diſti qanta diligentia omnem illo-
rum errorem ſapiens magiſter am-
putauerit ? Non ſolum enim à cor-
porali typo alienum dicit numen,
ſed & quod tale aliquid nulla huma-
na cogitatio effingere queat. Hæc
ſubinde illis dicentes, nihil quod ve-
ſtrum eſt intermittatis , ſi forte ce-
D dant , ſi forte ad veritatem reſpicere
velint Cæterùm vt à beneuola illo-
rum inſtructione vobis deſiſtendum
non eſt : ita oro , vt dogmata eccle-
ſiaſtica probè teneatis, non confun-
dentes dictorum conſequentiam: ſed
cum Iudæis vt oportet diſputate , ac
demonſtrate, quòd non ſint dicta de
angelis & virtutibus , quarum offi-
cium eſt miniſtrare : ſed de vnigenito
Dei filio. Arrianis quoque hinc pa-
rem filij cum patre dignitatem indi-
cate. Sed & his qui humanam for-
mam numinis imaginantur, allatis in
medium his quæ à beato Paulò

ſunt dicta, euellite in eccleſiæ placitis pernicioſos morbos inſtar zizaniorum pullulantes: operámque date, vt pia dogmata in eis plantentur & roborentur. Volo enim, & precor, omnes vos in doctorum ordine eſſe: & non ſolùm auditores noſtrorum eſſe dictorum, ſed & alijs doctrinam noſtram afferre, piſcaríque errantes, vt in viam redeant veritatis, ſicut & Paulus inquit: Vnus alterum ædificet: &, Cum timore & tremore ſalutem veſtram operemini. Sic Deus noſtram multitudinem augebit, & vos vberius ſuperna fruemini gratia, magnam membrorum veſtrorum curam habentes. Neque enim Deus vult vt Chriſtianus ſeipſo tantùm contentus ſit, ſed vt alios ædificet, non per doctrinam ſolùm, ſed & per vitam & conuerſationem. Nihil enim ſic in veritatis viam inducit, vt integritas conuerſationis. Nam neque tam conſiderantur ea quæ à nobis dicuntur, quàm quæ à nobis aguntur. Et vt ſcias rem ita ſe habere, licet infinitè tantum philoſophemur verbis, & de patientia diſſeramus, & cùm tempus fuerit, eam operibus non demonſtremus: non tantum proderunt verba, quantum nocebunt opera. Sin ante & poſt verba, operum ſpecimen exhibuerim⁹: digni habebimur qui admoneamus alios eorum quæ per opera adimplemus: quia & Chriſtus illos beatos dixit inquiẽs: Beatus qui fecerit, & docuerit. Vide quòd opus præpoſuerit, & poſtea doctrinã. Atq; adeo præcedẽte opere, etiamſi nõ ſequatur doctrina, ſufficiũt opera ipſa magis quàm vlla vox ad docendũ eos qui in nos reſpiciunt. Hoc igitur omnibus modis conſideremus, vt prius operibus doceamus, & poſtea ſermonibus: vt ne & nos audiamus à beato Paulo: Tu qui doces alium, teipſum non doces? Et cùm volumus admonere alium, vt aliquid ex his quæ neceſſaria ſunt, efficiat, prius ſtudeamus & nos hoc ipſum agere, quò nobis & maior ſit loquendi fiducia, & omnis noſtra cura ſit in animarum ſalute, & quomodo poterimus laſciuias carnis refrænare, vt verũ probemus ieiunium.

1.Theſſ. 5.

Phil. 2. 12.

Matth. 5 19.

Moralis exhortatio ad verũ ieiunium.

Rom. 2. 21.

A εἰρημένα εἰς μέσον παραγαγόντες ἀνατρέπετε μὲν τὰ ζιζανίων δίκην ἐπιφυόμενα ὀλέθρια νοσήματα τοῖς τῆς ἐκκλησίας δόγμασι, σπουδάσατε δὲ κρατύνειν ἐν ἑαυτοῖς τὰ εὐσεβῆ διδάγματα. βούλομαι γὰρ καὶ εὔχομαι πάντας ὑμᾶς διδασκάλων τάξιν ἐπέχειν, καὶ μὴ μόνον ἀκροατὰς εἶναι τῶν παρ' ἡμῶν λεγομένων, ἀλλὰ καὶ ἑτέροις διαπορθμεύειν καὶ σαγηνεύειν τοὺς ἔτι πλανωμένους πρὸς τὴν τῆς ἀληθείας ὁδόν. καθάπερ καὶ Παῦλός φησιν, εἷς τὸν ἕνα οἰκοδομεῖτε, καὶ μετὰ B φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε, οὕτως ἡμῖν καὶ ἡ ἐκκλησία εἰς πλῆθος ἐπιδώσει, καὶ ὑμεῖς πλείονος ἀπολαύσεσθε τῆς ἄνωθεν ῥοπῆς πολλὴν τῶν ὑμετέρων μελῶν τὴν πρόνοιαν ποιούμενοι. οὐδὲ γὰρ ἑαυτῷ μόνον ἀρκεῖν ὁ θεὸς βούλεται τὸν Χριστιανὸν, ἀλλὰ καὶ ἑτέρους οἰκοδομεῖν οὐ διὰ τῆς διδασκαλίας μόνον, ἀλλὰ καὶ διὰ τοῦ βίου καὶ τῆς ἀναστροφῆς. οὐδὲν γὰρ οὕτως ἐνάγει πρὸς τὴν τῆς ἀληθείας ὁδὸν, ὡς πολιτείας ἀκρίβεια. οὐδὲ γὰρ τοῖς παρ' ἡμῶν λεγομένοις οὕτω προσέχουσιν, ὡς τοῖς ὑφ' ἡμῶν πραττομένοις. καὶ C ἵνα μάθῃς, ὅτι τοῦτο οὕτως ἔχει, κἂν γὰρ μυριάκις φιλοσοφῶμεν τοῖς λόγοις, καὶ περὶ ἀνεξικακίας διαλεγώμεθα, καιροῦ δὲ παραπεσόντος μὴ διὰ τῶν ἔργων ταύτην ἐπιδειξώμεθα, οὐ τοσοῦτον ὁ λόγος ὠφέλησεν, ὅσον ἡ πρᾶξις ἔβλαψεν. ἂν δὲ καὶ πρὸ τῶν λόγων καὶ μετὰ τοὺς λόγους τὴν διὰ τῶν ἔργων ἐπίδειξιν ποιώμεθα, ἐκεῖνα παραινοῦντες, ἃ καὶ διὰ τῶν ἔργων πληροῦμεν, ἐπεὶ καὶ ὁ Χριστὸς τούτους ἐμακάρισε λέγων, μακάριος ὁ ποιήσας καὶ διδάξας. σκόπει πῶς πρότερον τὴν ποίησιν ἔθηκεν, καὶ τότε τὴν διδασκαλίαν τῆς πράξεως D γὰρ προηγουμένης, κἂν μὴ ἕπηται ἡ διδασκαλία, ἀρκεῖ τὰ ἔργα φωνῆς λαμπρότερον διδάξαι τοὺς εἰς ἡμᾶς ὁρῶντας. τοῦτο οὖν πανταχοῦ σκοπῶμεν πρότερον τοῖς ἔργοις διδάσκειν, καὶ τότε τοῖς λόγοις, ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν παρὰ τοῦ Παύλου, ὁ διδάσκων ἕτερον σεαυτὸν οὐ διδάσκεις; καὶ ὅταν βουλώμεθά τινι παραινέσαι, ὥστε κατορθῶσαί τι τῶν ἀναγκαίων πρότερον αὐτοὶ σπουδάζωμεν τοῦτο κατορθοῦν, ἵνα μετὰ πλείονος τῆς παρρησίας τὴν διδασκαλίαν ποιώμεθα, καὶ πᾶσα ἡμῶν ἡ φροντὶς ἔστω περὶ τῆς κατὰ ψυχὴν σωτηρίας, καὶ ὅπως δυνηθείημεν τὰ σκιρτήματα τῆς σαρκὸς χαλινώσαντες τὴν ἀληθινὴν νηστείαν ἐπιδείξασθαι, λέγω δὴ τὴν τῶν κακῶν ἀποχήν·

τοῦτο γὰρ νηστεία. καὶ γὰρ ἡ τῶν βρωμάτων ἀποχὴ διὰ τοῦτο παρείληπται, ἵνα τὸν τόνον τῆς σαρκὸς χαλινώσῃ, καὶ εὔηνιον ἡμῖν τὸν ἵππον ἐργάσηται. τὸν νηστεύοντα μάλιστα πάντων προσήκει τὸν θυμὸν χαλινοῦν, πραότητα πεπαιδεῦσθαι, καὶ ἐπιείκειαν, συντετριμμένην ἔχειν τὴν καρδίαν τῶν ἐπιθυμιῶν τῶν ἀτόπων ἐξορίζειν τὰς ἐνθυμήσεις, πρὸ ὀφθαλμῶν λαμβάνοντα τὸν ἀκοίμητον ὀφθαλμὸν, καὶ τὸ κριτήριον τὸ ἀδέκαστον, χρημάτων κρείττονα γίνεσθαι, περὶ τὴν ἐλεημοσύνην πολλὴν τὴν δαψίλειαν ἐπιδείκνυσθαι, πᾶσαν κακίαν τὴν περὶ τὸν πλησίον ἐκ τῆς ψυχῆς ἀπελαύνειν. αὕτη ἀληθὴς ἡ νηστεία, καθάπερ καὶ Ἡσαΐας φησὶν ἐκ προσώπου τοῦ θεοῦ φθεγγόμενος· οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει κύριος, οὐδ᾽ ἂν κάμψῃς ὡς κλοιὸν τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ᾽ οὕτω καλέσετε νηστείαν δεκτὴν, λέγει κύριος, ἀλλὰ ποίαν εἰπέ; λύε φησὶ στραγγαλιὰς βιαίων συναλλαγμάτων, διάθρυπτε τῷ πεινῶντι τὸν ἄρτον σου, πτωχὸν ἄστεγον εἰσάγαγε εἰς τὸν οἶκόν σου, καὶ ἐὰν ταῦτα πράξῃς φησὶ, τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ. εἶδες ἀγαπητὲ ποία ἐστὶν ἀληθὴς νηστεία; ταύτην ἀσκήσωμεν, καὶ μὴ ἁπλῶς κατὰ τοὺς πολλοὺς νομίζωμεν ἐν τούτῳ τὰ τῆς νηστείας ἡμῖν περιωρίσθαι, ἐὰν μέχρι τῆς ἑσπέρας ἄσιτοι διαμείνωμεν. οὐ τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλ᾽ ἵνα μετὰ τῆς τῶν βρωμάτων ἀποχῆς καὶ τὴν ἀποχὴν τῶν βλαπτόντων ἐπιδειξώμεθα, καὶ περὶ τὴν τῶν πνευματικῶν ἐργασίαν πολλὴν σπουδὴν ποιησώμεθα. τὸν νηστεύοντα κατεσταλμένον εἶναι χρὴ, ἡσύχιον, ἥμερον, ταπεινὸν, ὑπερορῶντα τῆς δόξης τοῦ παρόντος βίου. ὥσπερ γὰρ τῆς ψυχῆς ὑπερεῖδεν, οὕτω καὶ προσήκει τῆς κενῆς δόξης ὑπεριδεῖν, καὶ πρὸς ἐκεῖνον μόνον ὁρᾷν τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας τὰς εὐχὰς, καὶ τὰς ἐξομολογήσεις ποιεῖσθαι πρὸς τὸν θεὸν καὶ κατὰ δύναμιν τὴν διὰ τῆς ἐλεημοσύνης βοήθειαν ἑαυτῷ παρέχειν. αὕτη γὰρ αὕτη μάλιστα ἐντολὴ ἀφανίσαι δύναται ἡμῖν πάντα τὰ ἁμαρτήματα, καὶ τοῦ πυρὸς τῆς γεέννης ἐξαρπάσαι, μόνον ἐὰν μετὰ δαψιλείας αὐτὴν ἐπιδειξώμεθα, καὶ μὴ πρὸς ἐπίδειξιν τῶν ἀνθρώπων τοῦτο ποιῶμεν. καὶ τί λέγω μὴ πρὸς ἐπίδειξιν; εἰ γὰρ ἦμεν εὐγνώμονες, καὶ δι᾽ αὐτὸ μόνον τὸ καλὸν καὶ τὸ περὶ τοὺς ὁμογενεῖς συμπαθὲς ταύτην ἐπιδείκνυσθαι

A Ieiunium autem dico, abſtinentiam à vitiis. Etenim abſtinentia à cibis propter hoc recepta eſt, vt vigorem carnis refrænet, & equum moderanti facilè parêre faciat. Ieiunantem ante omnia oportet iram refrænare, manſuetudinem & lenitatem addiſcere, habere cor contritum, abſurdas concupiſcentias repellere, ante oculos continuò proponendo oculum æterni iudicis, & tribunal illud incorruptum: pecuniis ſuperioremeſſe, & illis dominari: liberalem eſſe in danda eleemoſyna, nullum B malum aduerſus proximum in cor admittere. Hoc verùm ieiunium eſt, ſicut & Eſaias ex perſona Dei loquens, dicit: Non hoc ieiunium elegi, dicit Dominus. Et ſi torqueas vt circulum ceruicem tuam, & ſaccum & cinerem ſubſternas, neque ſic vocabitis ieiunium acceptum, dicit Dominus. Sed quale dic? Solue, inquit, obligationes violentorum contractuum, frange eſurienti panem tuum, pauperem abſque tecto induc in domum tuam. Et ſi hæc feceris, C inquit, tunc erumpet matutina lux tua, & ſanitates tuæ ſtatim orientur. Vidiſti dilecte, quale ſit verum ieiunium? Hoc vobis curæ ſit, & non vt plerique exiſtimamus definiri in hoc ieiunium, ſi ad veſperam vſq; impranſi maneamus. Non hoc eſt quod quæritur, ſed vt cum ciborum abſtinentia & à cæteris abſtineatur, quæ nocere poſſunt, & ſpiritualibus magis vacetur. Ieiunantem eſſe oportet demiſſum, mitem, humilem, gloriæ huius vitæ contemptorem. Nam ſicut animæ ſuæ curam deſpexit, ita & inanem gloriam deſpicere decet, & ad illum D ſolum qui exquirit corda & renes, reſpicere, magnóque ſtudio preces & confeſſiones facere Deo, & eleemoſynarum auxilio pro viribus ſeipſum iuuare. Hoc enim, hoc mandatum maximè valet ad abolenda peccata, & ad extinguendum gehennæ ignem, modò ipſum liberaliter, & non ad oſtentationem hominum fiat. Et quid dico, non ad oſtentationem? Nam ſi rectè ſapimus, ob hoc ſolum quòd bonum eſt, & ob compaſſionem in cognatos, virtutem hâc exercere oportebit,

Eſa. 58.5

G iiij

non ob promiſſas à Deo mercedes. Verùm quando ad nihil ſublime mentem attollere valemus, vel ob has ipſas benigni ſimus, nullam ab hominibus venantes gloriam: vt ne & ſumptus faciamus, mercede pariter priuemur. Id quod non ſolum in eleemoſyna, ſed in vnoquoque bono opere ſpirituali attendendum, vt nihil ad hominum præconia reſpicientes faciamus: alioquin nulla nobis vtilitas erit, ſiue ieiunamus, ſiue precamur, ſiue miſeremur, ſiue quodvis aliud facimus, niſi propter illum ſolum fiant, qui nouit & abſcondita, & quæ in profundo mentis ſunt recondita. Nam ſi ab illo præmia expectas, cuius gratia ab illo, qui natura tibi cognatus eſt, laudari vis? quid dico laudari? ſæpe is non laudat, ſed & inuidet. Sunt enim multi ita malè affecti, vt & ea quæ bene à nobis fiunt, in contrarium interpretentur. Cuius igitur gratia, dic obſecro, peruerſum hoc iudicium tanti facis? Inſopitum enim & perpetuò vigilem illum oculum, nihil eorum quæ à nobis fiunt, latere poteſt, & oportet hoc cogitantes, tanto ſtudio vitam noſtrã inſtituere, perinde ac mox de omnibus verbis, & operibus, & cogitationibus iudicandi eſſemus. Ne igitur ſalutis noſtræ contemptores ſimus. Nihil enim virtuti par eſt, cariſſime, quæ nos & in futuro ſeculo è gehenna eripit, & regno cœlorum nobis frui concedit, & in præſenti quoque ſeculo omnibus ſuperiores conſtituit, qui nobis ſine cauſa inſidiantur: & non hominibus ſolùm, ſed & ipſo ſalutis noſtræ inimico diabolo fortiores efficit. Quid igitur illi par fuerit, quæ non ſolum hominibus inſidiantibus, ſed & dæmonibus ſuperiores ſui ſtudioſos efficit? Virtus autem eſt, humana omnia deſpicere, futura ſingulis horis cogitare, nullis præſentibus addictum eſſe: ſed ſcire omnia humana vmbram eſſe, & ſomnium, & ſi quid his vilius. Virtus eſt, erga negocia huius vitæ non magis affici, quàm cadauer afficitur: & ita vitioſæ operationis expertem eſſe, vt ad ea quę offendere animę ſalutem poſſunt,

A ἐλεῶν, οὐ διὰ τοὺς ἐπηγγελμένους μισθοὺς παρὰ τοῦ δεσπότου. ἀλλ' ἐπειδὴ οὐδὲν ὑψηλὸν φαντασθῆναι δυνάμεθα, κἂν διὰ τοῦτο αὐτὴν μετερχώμεθα, μηδαμοῦ τὴν παρὰ τῶν ἀνθρώπων θηρώμενοι δόξαν· ἵνα μὴ καὶ τὴν δαπάνην ὑπομένωμεν, καὶ τοῦ μισθοῦ ἀποστερηθῶμεν. καὶ οὐ τοῦτο μὴ μόνον ἐπὶ τῆς ἐλεημοσύνης, ἀλλὰ καὶ ἐφ' ἑκάστῳ κατορθώματι πνευματικῷ σκοπῶμεν, καὶ μηδὲν πρὸς τὴν τῶν ἀνθρώπων εὐφημίαν ἀφορῶντες ποιῶμεν· ἐπεὶ οὐδὲν ἡμῖν ὄφελος ἔσται, οὔτε ἐὰν νηστεύωμεν, οὔτε ἐὰν εὐχώμεθα, οὔτε ἐὰν ἐλεῶμεν, οὔτε ὅπερ ἂν ἕτερον ἐργαζώμεθα, ἂν μὴ δι' ἐκεῖ-
B νον μόνον γίνηται τὸν εἰδότα καὶ τὰ λανθάνοντα, καὶ τὰ ἐν τῷ βάθει τῆς διανοίας ἡμῶν ἀποκείμενα. εἰ γὰρ παρ' ἐκείνου τὰς ἀμοιβὰς ἀναμένεις ἄνθρωπε, τίνος ἕνεκεν παρὰ τῶν ὁμογενῶν βούλει ἐπαινεῖσθαι; καὶ τί λέγω ἐπαινεῖσθαι; πολλάκις οὗτος οὐκ ἐπαινεῖ, ἀλλὰ καὶ βασκαίνει. εἰσὶ γὰρ πολλοὶ οὕτω μοχθηρῶς διακείμενοι, ὅτι καὶ τὰ καλῶς ὑφ' ἡμῶν γινόμενα εἰς τὸ ἐναντίον περιτρέπουσι. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τὴν διεφθαρμένην τούτων κρίσιν περὶ πολλοῦ ποιῇ; τὸν γὰρ ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν οὐδέν ἐστιν ὃ λανθάνει τῶν παρ' ἡμῶν γινο-
C μένων, καὶ δεῖ τοῦτο ἐννοοῦντας μετὰ τοσαύτης ἀκριβείας τὸν ἑαυτῶν βίον οἰκονομεῖν ὡς μετ' οὐ πολὺ μέλλοντας καὶ ῥημάτων καὶ πράξεων καὶ αὐτῶν τῶν ἐνθυμήσεων εὐθύνας ὑπέχειν. μὴ τοίνυν καταφρονῶμεν τῆς ἑαυτῶν σωτηρίας. οὐδὲν γὰρ ἀρετῆς ἴσον ἀγαπητέ· αὕτη γὰρ ἡμᾶς καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς γεέννης ἐξαρπάζει, καὶ τῆς βασιλείας ἡμῖν τὴν ἀπόλαυσιν χαρίζεται, καὶ ἐν τῷ παρόντι βίῳ πάντων ἀνωτέρους καθίστησι τῶν μάτην καὶ εἰκῇ ἐπιβουλεύειν ἐπιχειρούντων, καὶ οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν δαιμόνων καὶ τοῦ
D ἐχθροῦ τῆς σωτηρίας τῆς ἡμετέρας τοῦ διαβόλου λέγω, ἰσχυροτέρους ἀπεργάζεται. τί οὖν ἂν εἴη ταύτης ἴσον, ὅταν μὴ μόνον τῶν ἀνθρώπων τῶν ἐπιβουλευόντων, ἀλλὰ καὶ τῶν δαιμόνων ἀνωτέρους ποιῇ τοὺς αὐτὴν μετιόντας; ἀρετὴ δέ ἐστι τὸ πάντων τῶν ἀνθρωπίνων ὑπερορᾷν. τὸ τὰ μέλλοντα ἐφ' ἑκάστης ὥρας φαντάζεσθαι, τὸ πρὸς μηδὲν τῶν παρόντων ἐπτοῆσθαι, ἀλλ' εἰδέναι, ὅτι τὰ ἀνθρώπινα σκιά ἐστι, καὶ ὄναρ καὶ εἴ τι τούτων εὐτελέστερον. ἀρετή ἐστι τὸ καθάπερ νεκρὸν οὕτω διακεῖσθαι πρὸς τὰ τοῦ βίου τούτου πράγματα, καὶ πρὸς μὲν τὰ λυμαινόμενα τὴν τῆς ψυχῆς σωτηρίαν ὡσανεὶ νεκρὸν ὄντα οὕτως εἶναι ἀνενέργητον,

A πρὸς δὲ τὰ πνευματικὰ μόνον ζῶν καὶ ἐνεργῶν, καθάπερ καὶ Παῦλος ἔλεγε· ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός. καὶ ἡμεῖς τοίνυν ἀγαπητοὶ ὡς τὸν Χριστὸν ἐνδεδυμένοι οὕτως ἅπαντα, πράττωμεν, καὶ μὴ λυπῶμεν τὸ πνεῦμα τὸ ἅγιον. ὅταν οὖν ἀνοχλώμεθα ὑπὸ τοῦ πάθους, ἢ ἐπιθυμίας ἀτόπου, ἢ ὀργῆς, ἢ θυμοῦ, ἢ βασκανίας, ἐννοώμεθα τὸν ἐν ἡμῖν ἐνοικοῦντα, καὶ φυγαδεύωμεν πόρρω πᾶσαν τοιαύτην ἐνθύμησιν. αἰδεσθῶμεν τῆς παρὰ τοῦ θεοῦ παρασχεθείσης ἡμῖν χάριτος τὴν ὑπερβολὴν, καὶ χαλινώσωμεν πάντα τῆς σαρκὸς τὰ πάθη, ἵνα νομίμως B ἀθλήσαντες ἐν τῷ βραχεῖ τούτῳ καὶ ἐπικήρῳ βίῳ τῶν μεγάλων ἐκείνων στεφάνων ἀξιωθῶμεν ἐν τῇ μελλούσῃ ἡμέρᾳ ἐκείνῃ, τῇ φοβερᾷ μὲν ἡμῖν τοῖς ἁμαρτωλοῖς, ποθεινῇ δὲ τοῖς τὴν ἀρετὴν ἐνδεδυμένοις, καὶ καταξιωθῶμεν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα κράτος τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

quaſi mortuus quis ſit: viuat autem, & operetur tantum ea quæ ſpiritus ſunt: ſicut & Paulus dicebat: Viuo autem, non iam ego, ſed viuit in me Chriſtus. Proinde dilectiſſimi, & nos tanquam Chriſtum induti omnia faciamus, & non contriſtemus Spiritum ſanctum. Quando igitur turbamur à concupiſcentia, vel affectione abſurda, vel ira, vel furore, vel inuidia: cogitemus eum qui in nobis habitat, & expellamus procul omnem talem cogitationem. Reuereamur eminentem Dei gratiam, quam nobis largitus eſt, & refrænemus omnes carnis affectiones, vt cum legitimè in breui hac & fragili vita certauerimus, coronas illas aſſequamur in futuro die illo, terribili quidem peccatoribus, deſiderabili autem virtute indutis: & mereamur ineffabilia illa bona, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo ſit Patri & Spiritui ſancto gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Ὁμιλία θ'.

C Εἰς τὰ ἀκόλουθα τοῦ, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ πρὸς τοὺς λέγοντας, διατί τὰ θηρία ἐδημιουργήθη, καὶ τί τὸ χρήσιμον ἀπὸ τοῦ παραχθῆναι, καὶ ὅτι καὶ τοῦτο μάλιστα δείκνυσι καὶ τὴν τιμὴν τὴν εἰς τὸν ἄνθρωπον, καὶ τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν.

Οἱ φιλόπονοι τῶν γηπόνων ἐπειδὰν ἴδωσι λιπαρὰν καὶ βαθύγειον ἄρουραν, δαψιλῆ τὰ σπέρματα καταβάλλοντες πολλὴν καὶ συνεχῆ τὴν ἐπιμέλειαν ποιοῦνται, καθ' ἑκάστην ἡμέραν περισκοποῦντες, μήπου τι τῶν λυμαίνεσθαι δυναμένων τοῖς σπέρμασιν ἀνόνητον αὐτοῖς τὸν προλαβόντα καταστήσῃ πόνον. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς ὁρῶντες ὑμῶν τὸν πόθον τὸν πνευματικὸν, καὶ τὴν πολλὴν φιληκοΐαν καθ' ἑκάστην ἡμέραν τὰ ἀπὸ τῶν θείων γραφῶν νοήματα ἐνιέναι ὑμῶν τῇ διανοίᾳ σπουδάζομεν ὑποδεικνύντες ὑμῖν, καὶ τὰ βλάπτειν δυνάμενα τὸν σπόρον τοῦτον τὸν πνευματικὸν, ὥστε μὴ ἁλῶναι, μηδὲ τὴν ὑγιῆ τῶν δογμάτων διδασκαλίαν ἐπιθολῶσαι τῇ λύμῃ τῶν ἐπιχειρούντων τὰ ἐκ τῶν οἰκείων λογισμῶν ἐπεισάγειν τοῖς τῆς ἐκκλησίας

HOMILIA IX.

De ijs quæ ſequuntur hæc verba, Faciamus hominem ſecundum imaginem noſtram: & aduerſus eos qui dicunt, Cur beſtiæ factæ ſunt, & quis vſus creationis earum: Et quod vel ſic maximè declaretur honor homini habitus, ac ineffabilis Dei erga ipſum beneuolentia.

AGRICOLÆ ſtudioſiores larga terræ ſemina concredunt, quam craſſam & pinguem vident: & D magnam continuò diligentiam adhibentes, quotidie conſiderant, num fortè alicubi ſit, quod ſegeti nocere, & laborem ipſorum, quem habuerunt, inutilem poſſit reddere. Simili modo & nos, ſpirituale deſiderium veſtrum, & ingens audiendi ſtudium videntes, operam damus, vt quotidie ſentẽtias quaſdam diuinæ ſcripturæ, veſtræ menti inſeramus, quibus etiã detegantur ea quę ſpirituali ſemini nociua eſſe poſſunt: ne fortè nocumentis & inſidiis eorum qui præter eccleſiaſtica placita,

ſuorum capitum figmenta introducere tentant, ſana doctrina intercipiatur, & turbetur. Veſtrum igitur fuerit, depoſita poſthac diligenter ſeruare, & firma memoria cuſtodire, vt facilius & ſequentia conſequi poſſitis. Nam niſi nunc ad profundiora ſcripturarum ſenſa nos deſcenderimus, & vos mentem veſtram coaptaueritis, quando ieiunij tempus, quando ad natandum membra noſtra ſunt leuia, mentis autem oculus acutior, vtpote non turbatus damnoſo voluptatis fluore: ſpiritus quoque, ne ſuffocetur, ſufficientior: B quando commodè poterimus hæc facere? num quando deliciæ, & ebrietas, & voracitas, & crapula, & alia quæ inde naſcuntur mala, regnant? Non videtis, quòd ij qui hos precioſos lapides in mari quærunt, non ſedent iuxta littus maris, fluctus numerantes: ſed in profundum ſe demittunt, & vt ita dicam, quaſi in ipſos ſinus abyſſi deſcendentes, aſſequuntur quod tanta opera exquirunt? quanquam quid magnæ vtilitatis vitæ huic attulerit illorum lapidum inuentio? C Vtinam non magna damna & incommoda inferrent. Ex inſania enim iſta & rabie quæ eſt in pecunias innumera ſequi videmus mala. Attamen licet tanta inde naſcantur mala & damna, non eſt tamen quod grauet, ad deterrendos qui in his occupati ſunt: ſed & laborem ſubeunt, & periculis ſe exponunt, vt inuenire poſſint quod quærunt. In diuinis autem ſcripturis, & in ſpiritualibus & pretioſis illis lapidibus, neque periculum ſuſpicari licet, neque multus eſt labor, ſed lucrum ineffabile: tantum ea quæ noſtra ſunt cum alacritate D afferamus. Gratia enim eſt parata, quærens eos qui ſe cum alacritate ſuſcipiant. Ita enim ſe habet dominus noſter, quòd ſi viderit animam vigilem, & deſiderium feruens, & ipſe ſuas diuitias largiter ſuppeditat pro ſua magnificētia, vltrà etiā quā petere audeamus. Hæc igitur cùm ſciamus dilectiſſimi, purificatis cogitationibus veſtris à ſecularibus negociis, & dilatata mentis veſtrę latitudine, magna alacritate ſuſcipite quæ à Spiritu ſancto ſuppeditantur: vt ſicut terra craſſa & fœcunda multiplicetis cōcredita ſemina,

A δόγμασιν ὑμέτερον ἂν εἴη λοιπὸν μετὰ ἀκριβείας φυλάττειν τὰ παρακαταθέμενα, καὶ τὴν μνήμην ἀδιάπτωτον διασώζειν· ἵνα καὶ τοῖς ἑξῆς μετ' εὐκολίας δυνηθῆτε παρακολουθεῖν. εἰ γὰρ μὴ νῦν καὶ ἡμεῖς καταβαίημεν πρὸς τὰ βαθύτερα τῶν νοημάτων, καὶ ὑμεῖς συντείνητε ὑμῶν τὴν διάνοιαν, ὅτε νηστείας καιρὸς, ὅτε κοῦφα μὲν ἡμῖν τὰ κῶλα πρὸς τὸ νήχεσθαι, ὀξύτερον δὲ τὸ ὄμμα τῆς διανοίας τῷ πονηρῷ τῆς τρυφῆς μὴ ἐνοχλούμενον ῥεύματι, διαρκέστερον δὲ τὸ πνεῦμα πρὸς τὸ μὴ ἀποπνίγεσθαι· πότε δυνησόμεθα τοῦτο ποιῆσαι, ὅτε τρυφὴ καὶ μέθη καὶ ἀδηφαγία καὶ τὰ ἀπὸ τούτων τικτόμενα κακά; ἢ οὐχ ὁρᾶτε ὅτι καὶ οἱ τοὺς λίθους τούτους ἀπὸ τῆς θαλάσσης εὑρίσκειν βουλόμενοι οὐκ ἄνω παρὰ τὸν αἰγιαλὸν καθήμενοι, καὶ τὰ κύματα ἀριθμοῦντες οὕτω τὴν εὕρεσιν ποιοῦνται, ἀλλ' εἰς αὐτὸ τὸ βάθος καθιέντες αὐτοὺς καὶ εἰς αὐτοὺς ὡς εἰπεῖν τοὺς κόλπους τῆς ἀβύσσου κατιόντες οὕτω τῶν σπουδαζομένων ἐπιτυγχάνουσι. καίτοι τί μέγα ὄφελος εἰσενέγκοι ἂν εἰς τὸν βίον τὸν ἡμέτερον ἡ τῶν λίθων ἐκείνων εὕρεσις; εἴθε μὲν οὖν μὴ μεγάλην τὴν βλάβην, καὶ πολλὴν τὴν ζημίαν εἰσέφερεν. ἐντεῦθεν γὰρ τὰ μυρία τίκτεται κακὰ, ἀπὸ τῆς τῶν χρημάτων μανίας καὶ τῆς περὶ ταῦτα λύσσης; ἀλλ' ὅμως καὶ τοσαύτης ἐξ ἐκείνων τικτομένης βλάβης πρὸς οὐδὲν ὀκνοῦσιν οἱ περὶ ταῦτα ἐσχολακότες, ἀλλὰ καὶ κινδύνοις ἑαυτοὺς ἐκδιδόασι, καὶ πολὺν πόνον ὑπομένουσιν, ὥστε δυνηθῆναι εὑρεῖν τὸ ζητούμενον. ἐπὶ δὲ τῶν θείων γραφῶν καὶ τῶν πνευματικῶν τούτων καὶ τιμίων λίθων οὔτε κίνδυνόν ἐστιν ὑπιδέσθαι, καὶ ὁ πόνος οὐ πολὺς, καὶ τὸ κέρδος ἄφατον, μόνον ἐὰν ἡμεῖς μετὰ προθυμίας τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν. ἡ γὰρ χάρις ἑτοιμός ἐστιν ἐπιζητοῦσα μετὰ δαψιλείας ταύτην ὑποδεχομένους. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος· ἐπειδὰν ἴδῃ ψυχὴν διεγηγερμένην καὶ πόθον ζέοντα, τὸν οἰκεῖον πλοῦτον μετὰ δαψιλείας χορηγεῖ ὑπερβαίνοντα τὴν αἴτησιν τῇ οἰκείᾳ φιλοτιμίᾳ. ταῦτα τοίνυν εἰδότες ἀγαπητοὶ, ἐκκαθάραντες ὑμῶν τὸν λογισμὸν ἀπὸ τῶν βιωτικῶν πραγμάτων, καὶ εὐρύναντες ὑμῶν τὸ πλάτος τῆς διανοίας μετὰ πολλῆς τῆς προθυμίας δέχεσθε τὰ παρὰ τοῦ πνεύματος χορηγούμενα· ἵνα καθάπερ γῆ λιπαρὰ καὶ γόνιμος πολυπλασιάσητε τὰ κατα-

βαλλόμενα, καὶ ποιήσητε ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. ἠκούσατε ἐν ταῖς προλαβούσαις ἡμέραις τὴν ἄφατον σοφίαν τοῦ τὰ ὁρώμενα πάντα τεκτηναμένου, καὶ ὅπως ῥήματι μόνον καὶ θελήματι πάντα παρήγαγεν. εἶπε γὰρ, γενηθήτω, καὶ ἐγένετο, καὶ εὐθέως παρήχθη ἅπαντα τὰ στοιχεῖα, καὶ ἤρκεσε τὸ ῥῆμα πρὸς τὴν τῶν γινομένων σύστασιν, οὐκ ἐπειδὴ ῥῆμα ἦν ἁπλῶς, ἀλλ' ἐπειδὴ ῥῆμα θεοῦ. μέμνησθε τῶν τότε κινηθέντων ἡμῖν πρὸς τοὺς ἐξ ὑποκειμένης ὕλης λέγοντας τὰ ὄντα γεγενῆσθαι, καὶ τὴν οἰκείαν λῃρωδίαν ἐπεισφέροντας τοῖς τῆς B ἐκκλησίας δόγμασιν. ἐμάθετε τίνος ἕνεκεν τὸν μὲν οὐρανὸν ἀπηρτισμένον παρήγαγε, τὴν δὲ γῆν ἄμορφον καὶ ἀδιατύπωτον. καὶ γὰρ δύο αἰτίας τότε εἰρήκαμεν, μίαν μὲν, ἵνα ἐν τῷ βελτίονι στοιχείῳ καταμαθόντες τὴν δύναμιν τοῦ δεσπότου μηκέτι ἀμφιβάλλωμεν νομίζοντες δι' ἀσθένειαν δυνάμεως τοῦτο γενέσθαι, ἑτέραν δὲ, ἐπειδὴ αὕτη καὶ μήτηρ καὶ τροφὸς ἡμῖν γεγένηται, καὶ ἐξ αὐτῆς καὶ τρεφόμεθα καὶ τῶν πάντων τῶν ἄλλων ἀπολαύομεν, καὶ πρὸς αὐτὴν πάλιν ἐπανερχόμεθα. αὕτη γὰρ ἡμῖν καὶ πατρὶς καὶ τάφος ἐστίν. ἵνα γοῦν μὴ τὸ τῆς χρείας C ἀναγκαῖον παρασκευάσῃ μέγα τι καὶ περὶ αὐτῆς φαντάζεσθαι, δείκνυσιν αὐτὴν ἐξ ἀρχῆς ἄμορφον, ἵνα παιδευώμεθα καὶ δι' αὐτῶν τῶν πραγμάτων μηκέτι τῇ φύσει τῆς γῆς λογίζεσθαι τὰ προειρημένα ἅπαντα, ἀλλὰ τῇ δυνάμει τοῦ παραγαγόντος. ἐμάθετε πάλιν πῶς τὸν χωρισμὸν τῶν ὑδάτων εἰργάσατο, τὸ στερέωμα τοῦτο τὸ ὁρώμενον παραχθῆναι προστάξας· εἴδετε τὰ ζῶα τὰ ἔμψυχα καὶ ἐκ τῶν ὑδάτων καὶ ἐκ τῆς γῆς ἀναδιδόμενα. ταῦτα οὐχ ἁπλῶς οὐδὲ μάτην νῦν ἀναγκάζομαι ἐπαναλαμβάνειν, καὶ διεγείρειν ἐπὶ D τῆς ὑμετέρας ἀγάπης· ἀλλ' ἵνα τοῖς μὲν ἀκηκοόσιν ὑπόθεσις γένηται, καὶ ἀσφαλέστερον αὐτὰ ἐναποθῶνται τῇ διανοίᾳ· τοῖς δὲ τότε μὴ παραγινομένοις ἀρκοῦσα γένηται διδασκαλία, καὶ μηδεμίαν ἐκ τοῦ μὴ παρεῖναι ζημίαν ὑπομένωσιν· ἐπεὶ καὶ πατὴρ φιλόστοργος τοῖς ἀπολειφθεῖσι παισὶ τῆς τραπέζης τὰ λείψανα διαφυλάττει, ἵνα παραγινόμενοι παραμυθίαν τῆς ἀπουσίας εὕρωσι τὴν τούτων φυλακήν. διὰ δὴ τοῦτο καὶ ἡμεῖς πάντων ἐνταῦθα συνιέντων ὡς οἰκείων μελῶν κηδόμενοι, καὶ τὴν ὑμετέραν προκοπὴν οἰκείαν εὐδοκίμησιν ἡγούμενοι ἐπιθυμοῦμεν ἅπαντας τελείους καὶ ἀπηρτισμένους ἀποδειχθῆναι εἰς δόξαν θεοῦ, καὶ εὐδοκίμησιν τῆς ἐκκλησίας, καὶ εἰς καύχημα ἡμέτερον.

A & faciatis fructum, alius quidem centuplum, alius ſexagecuplum, alius trigecuplum. Audiſtis ſuperioribus diebus ineffabilem ſapientiam eius, qui viſibilia hæc omnia fabricauit, & quomodo verbo ſolum & placito omnia produxit. Dixit enim, Fiat:& factum eſt. Statimque producta ſunt omnia: nō quoniam ſimpliciter erat verbum, ſed quia verbum Dei. Meminiſtis eorum, quæ tunc à nobis mouebantur contra eos qui ex præiacente materia res factas eſſe contendunt, & ad ecclesiaſtica ſcita, etiam ſua deliria afferre non verentur. Didiciſtis cuius gratia cœlum quidem perfectum, terram autem informem produxerit: Duas enim tunc cauſas diximus: vnam, vt in elemento hoc potiori potentiam Domini agnoſcentes, non vltrà ambigamus cenſentes propter impotentiam illius factum eſſe: alteram quia terra mater & nutrix noſtra facta eſt:& ex ipſa paſcimur & ſumus, aliiſq; omnibus fruimur, & ad ipſam redimus:ipſa enim nobis eſt & patria,& ſepulchrum. Et ne quis ob vtilitatem & neceſſitatem illius maius aliquid de ipſa ſentiat, oſtendit ipſam ab initio informem conditam: vt erudiamur per res ipſas, prædicta omnia non naturæ telluris aſcribenda, ſed potius conditoris virtuti. Didiciſtis item, quomodo aquarum ſeparationem fecerit, producto viſibili hoc firmamento: vidiſtis animantia & ex terra, & ex aquis edita. Hæc non abſque cauſa & temerè nunc charitati veſtræ cogor repetere: partim vt auditorum animis hæc magis inſideant, partim vt his qui tunc non affuere, nihil damni abſentia ſua atulerit: quia benignus pater etiam abſentibus filiis reliquias menſæ reſeruat, vt cum aduenerint, ex earum reſeruatione ſuam abſentiam conſolentur. Vnde & nos omnium qui huc confluunt, non minorem quàm membrorum noſtrorum curam gerentes, & profectum veſtrum noſtram exiſtimantes gloriam, cupimus omnes perfectos & conſummatos fieri in gloriam Dei, & laudem eccleſię,& noſtram gloriationem

Ac niſi moleſtum eſt, paucis charitati veſtræ heſterna etiam dicta in memoriam reuocemus. Vidiſtis quanta diuerſitate homo & creaturæ aliæ conditi ſunt: audiſtis, quanto honore principem noſtri generis dignatus ſit: & in formatione ipſa quomodo per verba dictionúmque craſſitudinem declararit honorẽ formando tribuendum, dicens: Faciamus hominem ſecundùm imaginem noſtram, & ſecundum ſimilitudinem. Didiciſtis, quid ſit ſecundum imaginem, nempe quod non ſit ſubſtantiæ dignitas, ſed dominij ſimilitudo: & quòd non ſecundùm imaginem formæ, ſed ſecundum rationem dominij dixerit: ideo & ſubdidit, & dominentur piſcibus maris, & volatilibus cœli, & beſtiis, & reptilibus terræ. Verùm hîc Gentiles in nos inſurgunt, & dicunt, quòd compertum ſit hoc non eſſe verum. Non enim dominamur feris, quemadmodum pollicitus eſt, ſed ipſe nobis potius. Imò non verum eſt quod hi obiiciunt. Nam mox vt apparuerit homo, feræ fugam capiunt. Quòd ſi aliquando vel fame vrgente, vel nobis illas laceſſentibus, ab eis damnum accipiamus, hoc non fit ideo, quòd illis in nos ſit imperium, ſed ob noſtram offenſionem. Nam cùm latrones nos inuadunt, ſi non negligamus, ſed in illos arma ſumamus, id non ideo fit, quòd imperium in nos obtineant, ſed quòd noſtræ ſaluti proſpiciamus. Audiamus autem nunc quæ ſint dicta: Faciamus hominem ſecundùm imaginem noſtram, & ſecundùm ſimilitudinem. Sicut imaginem dixit ob principatus rationem, ita & ſimilitudinem, vt pro viribus humanis ſimiles fiamus Deo, manſuetudine (inquam) & lenitate, & virtutibus Deo ſimiles efficiamur: quod & Chriſtus dicit: Similes eſtote patri veſtro, qui eſt in cœlis. Nam quemadmodum in terra hac ſpatioſa & lata, animantium alia manſuetiora ſunt, alia ferociora: ita in latitudine animæ noſtræ, cogitationum aliæ ſunt magis pecuinę & irrationales, aliæ ferociores & agreſtiores. Domandę igitur illę ſunt, & rationis imperio ſubigendę. Et quomodo quis cogitationem ferociorẽ compeſceret?

Obiectio Gentilium ſoluitur.

Matt. 6.

A καὶ εἰ μὴ δοκῶ παρενοχλεῖν, φέρε δι' ὀλίγων καὶ τῶν χθὲς ἡμῖν εἰρημένων ὑπομνήσωμεν ὑμῶν τὴν ἀγάπην. εἴδετε τὴν διαφορὰν τῆς δημιουργίας τῶν κτισμάτων, καὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως· ἠκούσατε ὅσης τῆς τιμῆς ἠξίωσε τὸν ἀρχηγὸν τοῦ γένους τοῦ ἡμετέρου, καὶ ἐν αὐτῇ τῇ διαπλάσει πῶς δι' αὐτῶν τῶν ῥημάτων καὶ τῆς τῶν λέξεων παχύτητος ἐνέφηνε τὴν τιμὴν εἰς τὸν μέλλοντα δημιουργεῖσθαι λέγων· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. ἐμάθετε τί ἐστι τὸ κατ' εἰκόνα, ὅτι οὐκ οὐσίας ἐστὶν ἀξία, ἀλλ' ἀρχῆς ὁμοιότης, καὶ B οὐ κατὰ τὴν τῆς μορφῆς εἰκόνα εἶπεν, ἀλλὰ κατὰ τὸν τῆς ἀρχῆς λόγον, διὸ καὶ ἐπήγαγε· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων καὶ τῶν ἑρπετῶν τῆς γῆς. ἀλλ' ἐνταῦθα ἐπιφύονται ἡμῖν Ἕλληνες λέγοντες, ὅτι οὐκ ἀληθὴς ὁ λόγος εὑρίσκεται, οὐ γὰρ ἄρχομεν τῶν θηρίων καθάπερ ὑπέσχετο, ἀλλ' αὐτὰ ἡμῶν ἄρχει, μάλιστα μὲν οὕτω οὐδὲ τοῦτο ἀληθές. ἔνθα γὰρ ἂν φανῇ ἄνθρωπος, εὐθέως φυγαδεύεται τὰ θηρία, εἰ δέ ποτε ἢ λιμοῦ καταναγκάζοντος, ἢ ἡμῶν αὐτοῖς ἐπιόντων C τὴν ἀπ' αὐτῶν βλάβην δεξώμεθα, τοῦτο λοιπὸν οὐ παρὰ τὸ ἐκεῖνα ἡμῶν ἄρχειν γίνεται, ἀλλὰ παρὰ τὴν ἡμετέραν αἰτίαν· ἐπεὶ καὶ λῃστῶν ἡμῖν ἐπιόντων, εἰ μὴ ῥαθυμήσαιμεν, ἀλλ' ὁπλιζοίμεθα, οὐ τῆς ἐκείνων ἀρχῆς τὸ πρᾶγμά ἐστιν, ἀλλὰ τῆς οἰκείας σωτηρίας ἡ πρόνοια. ἀκούσωμεν δὲ τέως τῶν εἰρημένων. ποιήσωμεν φησὶν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. ὥσπερ εἰκόνα εἶπε τὴν τῆς ἀρχῆς δηλῶν εἰκόνα, οὕτω καὶ ὁμοίωσιν, ὥστε κατὰ δύναμιν ἀνθρωπίνην ὁμοίους ἡμᾶς γίνεσθαι D θεῷ, κατὰ τὸ ἥμερον λέγω καὶ πρᾶον ἐξομοιοῦσθαι αὐτῷ, καὶ κατὰ τὸν τῆς ἀρετῆς λόγον, ὥσπερ καὶ ὁ Χριστός φησι, γίνεσθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. ὥσπερ γὰρ ἐν τῇ πλατείᾳ ταύτῃ γῇ, καὶ εὐρυχώρῳ τῶν ζώων τὰ μέν ἐστιν ἡμερώτερα, τὰ δὲ θηριωδέστερα. οὕτω καὶ ἐν τῷ πλάτει τῆς ψυχῆς τῆς ἡμετέρας τῶν λογισμῶν οἱ μέν εἰσιν ἀλογώτεροι καὶ κτηνώδεις, οἱ δὲ θηριωδέστεροι καὶ ἀγριώτεροι. δεῖ τοίνυν κρατεῖν καὶ περιγίνεσθαι, καὶ τῷ λογισμῷ τὴν ἀρχὴν τούτων παραδιδόναι. καὶ πῶς ἄν τις περιγένοιτο, φησί, λογισμοῦ θηριώδους; τί λέγεις

A τί λέγεις ἄνθρωπε; λεόντων περιγινόμεθα, καὶ τὰς ψυχὰς αὐτῶν ἡμεροῦμεν, καὶ ἀμφιβάλλεις εἰ λογισμοῦ θηριωδίαν πρὸς ἡμερότητα μεταβαλεῖν δυνήσῃ; καί τοι τοῖς θηρίοις μὲν κατὰ φύσιν πρόσεστι τὸ ἄγριον, παρὰ φύσιν δὲ τὸ ἥμερον· σοὶ δὲ τὸ ἐναντίον, κατὰ φύσιν μὲν τὸ ἥμερον, παρὰ φύσιν δὲ τὸ ἥμερον καὶ θηριῶδες. ὁ τοίνυν τὸ κατὰ φύσιν ἐκβαλὼν, καὶ τὸ παρὰ φύσιν ἐνθεὶς τῇ τοῦ θηρίου ψυχῇ, τὸ κατὰ φύσιν αὐτὸς οὐ δύναται διατηρῆσαι; καὶ πόσης ἂν εἴη τοῦτο καταγνώσεως; καὶ τὸ δὴ τούτου θαυμαστότερον καὶ παραδοξότερον, ἐπὶ μὲν τῆς τῶν λεόντων φύσεως καὶ ἑτέρα δυσκολία μετὰ ταύτης ἐστί. λογισμῶν γάρ ἐστιν ἔρημον τὸ θηρίον, ἀλλ᾽ ὅμως ὁρῶμεν πολλάκις λέοντας ἡμέρους διὰ τῆς ἀγορᾶς ἀγομένους. B πολλοὶ δὲ καὶ τῶν ἐπὶ τῶν ἐργαστηρίων καὶ ἀργύριον πολλάκις κατέβαλον τῷ κατέχοντι μισθόν τινα τῆς τέχνης καὶ τῆς σοφίας, δι᾽ ἧς τὸ θηρίον ἡμέρωσεν· ἐπὶ δὲ τῆς σῆς ψυχῆς καὶ λογισμός ἐστι, καὶ θεοῦ φόβος, καὶ πολλὴ πολλαχόθεν ἡ βοήθεια. μὴ τοίνυν σκήψεις λέγε καὶ προφάσεις. δυνατὸν γὰρ ἐὰν θέλῃς ἥμερος εἶναι καὶ πρᾶος καὶ ἐπιεικής. ποιήσωμεν φησιν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν. ἀλλ᾽ ἐπὶ τὸ προκείμενον ζήτημα πάλιν ἐπανίωμεν· δείκνυται γὰρ ἐκ τῶν εἰρημένων, ὅτι ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἀπηρτισμένην εἶχε τὴν ἀρχὴν ὁ ἄνθρωπος κατὰ τῶν θηρίων. ἀρχέτωσαν γάρ φησι τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων, καὶ τῶν ἑρπετῶν τῆς γῆς. ὅτι δὲ καὶ νῦν φοβούμεθα τὰ θηρία, καὶ δεδοίκαμεν, καὶ τῆς ἀρχῆς ἐκπεπτώκαμεν, οὐδὲ αὐτὸς ἀντιλέγω, ἀλλ᾽ οὐ τοῦτο ψευδῆ τὴν τοῦ θεοῦ τὴν ὑπόσχεσιν δείκνυσι. παρὰ γὰρ τὴν ἀρχὴν οὐχ οὕτω τὰ πράγματα διέκειτο, ἀλλ᾽ ἐδεδοίκει καὶ ἔτρεμε τὰ θηρία, καὶ ὑπέκυπτε τῷ δεσπότῃ. ἐπεὶ δὲ τῆς παρρησίας ἐξέπεσε διὰ τὴν παρακοὴν, καὶ τὰ τῆς ἀρχῆς ἠκρωτηριάσθη. ὅτι γὰρ ὑποτεταγμένα ἦν ἅπαντα τῷ ἀνθρώπῳ, ἄκουσον τῆς γραφῆς λεγούσης· ἤγαγέ φησι τὰ θηρία καὶ πάντα τὰ ἄλογα πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά, καὶ ὁρῶν πλησίον αὐτοῦ γινόμενα τὰ θηρία οὐκ ἀπεπήδησεν, ἀλλὰ καθάπερ τις δεσπότης δούλοις ὑποκειμένοις ὀνόματα ἐπιτίθησιν, οὕτως ἅπασι τὰς προσηγορίας ἐπέθηκεν. καὶ πᾶν ὃ ἐκάλεσεν αὐτό φησιν Ἀδὰμ, τοῦτο ὄνομα αὐτῷ. καὶ τοῦτο δεσποτείας σύμβολον. διὰ τοῦτο

Quid dicis homo? Leones ſuperamus, & animos eorum manſuetos facimus: & dubitas, num mentis ferociam in manſuetudinem mutare poſſis? Atqui natura beſtiæ feroces ſunt, & præter naturam manſuetæ: contrà tu præter naturam ferox, natura autem mitis: & qui beſtiis id quod natura eis ineſt auferre, & quod eorum naturæ aduerſum, inſerere potes: id quod natura tibi præſtitit, conſeruare non potes? En quantam hoc condemnationem meretur. Iam quod his admirabilius eſt & inſolentius, leonum naturæ & alia quædam difficultas ineſt. Rationis enim participes non ſunt, & nihilominus videmus ſæpe duci eos manſuetos per forum, multique ex officinis nummos, vt mercedem artis & induſtriæ manſuetario numerant, quòd feram manſuefecerit: animæ verò tuæ ratio conceſſa eſt, & Dei timor, & alia vndequaque adminicula: ne igitur prætextus & cauſationes affer. Potes enim, ſi vis, manſuetus eſſe, & placidus, & æquus. Faciamus, inquit, hominem ſecundum imaginem noſtram, & ſecundum ſimilitudinem. Ad propoſitam quæſtionem iterum redeamus. Oſtendit enim dictis illis, quod ab initio homo plenum & perfectum ſuper beſtias principatum habuerit. Dominentur enim, piſcibus maris, & volatilibus cœli, & feris, & reptilibus terræ. Quòd autem nunc terrori nobis ſint beſtiæ, & timeamus, & dominio exciderimus, neque ipſe contradico. Verùm hoc non arguit falſam Dei promiſſionem. Nam ab initio res non ita habebant, ſed timebant & tremebant beſtiæ, & D venerabantur dominum. Vbi autem per inobedientiam fiduciam & gratiam apud Deum amiſimus, etiam principatus noſter mutilatus eſt. Subiecta enim homini animalia omnia fuiſſe accipe ex ſcriptura, quæ dicit: Adduxit Deus beſtias, & omnia bruta ad Adam, vt videret quid vocaret ea. Et cùm videret iuxta ſe beſtias, non reſiliit: ſed tanquam dominus aliquis ſeruis ſubditis nomina impoſuit. Et omne quod vocauit Adam, inquit, hoc nomen eſt illi. Quod vtique dominij ſignum. Gen. 2. 19.

Et Deus volens per hoc docere ipſum potentiæ ſuæ dignitatem, nominum impoſitionem illi permiſit. Atque hæc quidem ſatis indicant, ab initio feras homini terribiles non fuiſſe. Eſt tamen aliud quiddam non minus, ſed & hoc argumento manifeſtius. Et quodnam hoc? Colloquium ſerpentis cum muliere. Nam ſi terribiles fuiſſent hominibus beſtiæ, mulier ſerpente conſpecto non manſiſſet, neque conſilium accepiſſet, neque cum tanta ſecuritate, illi locuta fuiſſet: ſed ſtatim ad aſpectum illius obſtupefacta, profugiſſet. Verùm colloquitur, nec metuit: nondum enim erat timor ille: cæterum vbi peccatum intrauit, ablata eſt hæc poteſtas & dignitas. Et quemadmodum inter ſeruos fieri ſolet, vt probatiores & honeſtiores conſeruis terrori ſint, qui autem deliquerunt, ſocios & ſeruos timeant: ſic & de homine factum eſt. Nam ſalua manente illius fiducia & gratia apud Deum, terribilis erat & beſtiis: vbi autem impegit, timere cœpit & conſeruorum extremos. Quòd ſi quæ dicimus non fers, demonſtra tu mihi, vbi terribiles ante peccatum fuerint homini beſtiæ? ſed non poteris. Quòd autem poſtea ſubiit timor, etiam hoc diuinæ miſericordiæ maximum argumentum eſt. Nam ſi poſtquam homo mandatum prævaricatus eſt, integer illius manſiſſet honor & immobilis, haud facilè à lapſu reſurrexiſſet. Quandoquidem cùm obedientes & inobedientes pari dignitate fruuntur, malitiæ aſſuefiunt magis, nec facilè ab ea deſiſtunt. Cùm enim nunc ſub tot terroribus, pœnis, & ſuppliciis non emendantur: quales fuiſſent ſi nihil paſſi eſſent graue pro ſuis delictis? atque ita principatus nobis à Deo ob magnam noſtri curam eſt ablatus. Tu autem chariſſime, & inde miſericordiam Dei ineffabilem conſidera, quomodo Adam totum mandatum ſubuerterit, & totam legem tranſgreſſus ſit: benignus autem Deus bonitate ſua noſtra vincens delicta, non omnem honorem abſtulerit, neque toto deiecerit principatu: ſed ea dumtaxat animalia à noſtra poteſtate alienauerit,

A καὶ ὁ θεὸς βουλόμενος καὶ διὰ τούτου διδάξαι αὐτὸν τὸ τῆς ἐξουσίας ἀξίωμα αὐτοῦ τὴν ὀνομάτων τὴν θέσιν ἐπέτρεψεν. ἱκανὸν μὲν οὖν τοῦτο δεῖξαι τὸ μὴ φοβερὰ εἶναι ἐξ ἀρχῆς τῷ ἀνθρώπῳ τὰ θηρία. ἔστι δὲ καὶ ἕτερον οὐκ ἔλαττον τούτου, ἀλλὰ καὶ πολλῷ σαφέστερον. τί δὲ τοῦτό ἐστιν; ἡ πρὸς τὴν γυναῖκα τοῦ ὄφεως διάλεξις. εἰ γὰρ ἦν φοβερὰ τὰ θηρία τῷ ἀνθρώπῳ, οὐκ ἂν ἰδοῦσα ἡ γυνὴ τὸν ὄφιν ἔμεινεν, οὐκ ἂν ἐδέξατο τὴν συμβουλήν, οὐκ ἂν μετὰ τοσαύτης αὐτῷ διελέχθη τῆς ἀδείας, ἀλλ' εὐθέως ἂν πρὸς τὴν πρόσοψιν ἐξεπλάγη, καὶ ἀπεπήδησε. νῦν δὲ καὶ διαλέγεται, καὶ οὐ
B φοβεῖται· οὔπω γὰρ ἦν ὁ φόβος οὗτος. ἀλλ' ἐπειδὴ ἡ ἁμαρτία εἰσῆλθεν, ἀφῃρέθη λοιπὸν καὶ τὰ τῆς τιμῆς καὶ τὰ τῆς ἐξουσίας. καὶ ὥσπερ ἐπὶ τῶν οἰκετῶν οἱ μὲν εὐδοκιμοῦντες φοβεροὶ καὶ τοῖς συνδούλοις εἰσίν· οἱ δὲ προσκεκρουκότες καὶ τοὺς συνδούλους δεδοίκασιν, οὕτω δὴ ἐπὶ τοῦ ἀνθρώπου γέγονεν. ἕως μὲν γὰρ εἶχε πρὸς τὸν θεὸν παῤῥησίαν, φοβερὸς δὲ τοῖς θηρίοις ἦν, ἐπειδὴ δὲ προσέκρουσε, καὶ τοὺς ἐσχάτους τῶν συνδούλων ἐδεδοίκει λοιπόν. εἰ δὲ μὴ ἀνέχῃ τῶν παρ' ἡμῶν λεγομένων, σύ μοι δεῖξον πρὸ τῆς ἁμαρτίας,
C ὅτι φοβερὰ τῷ ἀνθρώπῳ τὰ θηρία ἦν, ἀλλ' οὐκ ἂν ἔχοις. εἰ δὲ μετὰ ταῦτα εἰσῆλθεν ὁ φόβος, καὶ τοῦτο τῆς τοῦ θεοῦ φιλανθρωπίας μέγιστον τεκμήριον. εἰ γὰρ καὶ τῆς ἐντολῆς παραβαθείσης ὑπὸ τοῦ ἀνθρώπου ἡ τιμὴ ἡ δοθεῖσα αὐτῷ ἀκίνητος ἔμεινεν, οὐκ ἂν ἀνέστη ῥᾳδίως ἀπὸ τοῦ πτώματος. ὅταν γὰρ καὶ παρακούοντες οἱ ἄνθρωποι καὶ μὴ παρακούοντες τῆς αὐτῆς ἀπολαύωσι τιμῆς, παιδοτριβοῦνται πρὸς πονηρίαν μᾶλλον, καὶ οὐ ταχέως ἀφίστανται τῆς κακίας. εἰ γὰρ καὶ νῦν φόβων καὶ τιμωριῶν καὶ κολάσεων ἐπικειμένων οὐκ ἀνέχονται σωφρονεῖν,
D τίνες ἂν ἦσαν, εἰ μηδὲν ἔπαθον ὑπὲρ ὧν ἐπλημμέλουν δεινῶν; ὥστε κηδόμενος ἡμῶν καὶ φροντίζων ἐξέβαλεν ἡμᾶς τῆς ἀρχῆς. σὺ δέ μοι ἀγαπητὲ καὶ ἐντεῦθεν σκόπει τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, πῶς ὁ μὲν Ἀδὰμ πᾶσαν ἀνέτρεψε τὴν ἐντολήν, καὶ πάντα παρέβη τὸν νόμον· ὁ δὲ θεὸς φιλάνθρωπος ὤν, καὶ ἀγαθότητι νικῶν τὰ ἡμέτερα πλημμελήματα οὐ πᾶσαν ἔλυσε τὴν τιμήν, οὐδὲ πάσης ἐξέβαλεν αὐτὸν τῆς δεσποτείας, ἀλλ' ἐκεῖνα μόνον ἔξω τῆς ἀρχῆς ἀφῆκεν εἶναι τὰ ζῶα,

A ἃ μὴ σφόδρα αὐτῷ συντελεῖ πρὸς τὴν τῆς ζωῆς χρείαν· τὰ δὲ ἀναγκαῖα καὶ χρήσιμα καὶ πολλὴν εἰσφέροντα τὴν λειτουργίαν εἰς τὴν ζωὴν τὴν ἡμετέραν, ταῦτα εἴασε μένειν ἐν τῇ ὑποταγῇ καὶ δουλείᾳ. ἀφῆκε γοῦν βοῶν ἀγέλας, ἵνα ἄροτρον ἕλκωμεν, ἵνα τὴν γῆν ἀνατέμνωμεν, ἵνα τὰ σπέρματα καταβάλλωμεν· ἀφῆκε καὶ τῶν ὑποζυγίων τὰ γένη, ἵνα πρὸς τὴν ἀγωγὴν μετακομιδὴν συναντιλαμβάνηται τῶν πόνων ἡμῖν· ἀφῆκε τῶν προβάτων τὰς ποίμνας, ἵνα ἔχωμεν ἐν τῇ περιβολῇ τῶν ἐνδυμάτων χορηγίαν ἀρκοῦσαν, καὶ ἕτερα B δὲ γένη τῶν ζώων εἴασε πολλὴν ἡμῖν τὴν χορηγίαν παρέχοντα. ἐπειδὴ γὰρ κολάζων τὸν ἄνθρωπον διὰ τὴν παρακοὴν ἔλεγεν, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἵνα μὴ ὁ ἱδρὼς οὗτος καὶ ὁ πόνος ἀφόρητος ᾖ, ἐπικουφίζει τὸ βαρὺ καὶ φορτικὸν τοῦ ἱδρῶτος τῷ πλήθει τῶν ἀλόγων τῶν συνεφαπτομένων ἡμῖν τοῦ πόνου καὶ τῆς ταλαιπωρίας. καὶ ταὐτὸν πεποίηκεν οἷον ἂν εἰ καὶ δεσπότης φιλάνθρωπος καὶ κηδεμονικὸς τὸν οἰκέτην τὸν αὐτοῦ μαστίξας θεραπείαν τινὰ προσαγάγῃ ταῖς μάστιξιν. οὕτω δὴ καὶ ὁ θεὸς καταδίκην ἐπιθεὶς τῷ ἡμαρτηκότι πάντῃ C τρόπῳ τὴν καταδίκην ταύτην κουφοτέραν βούλεται ποιῆσαι, ἱδρῶτι μὲν ἡμᾶς καταδικάσας καὶ πόνῳ διηνεκεῖ, τοῦ δὲ πόνου συνεφάπτεσθαι πολλὰ τῶν ἀλόγων γένη παρασκευάσας ἡμῖν. ὥστε καὶ τὸ δοῦναι τὴν τιμὴν, καὶ τὸ πάλιν ἀφελέσθαι, καὶ τὸ τὸν φόβον ἐπιστῆσαι τῶν θηρίων, καὶ πάντα, ἄν τις ἀκριβῶς ἐξετάζοι καὶ εὐγνωμόνως, πολλῆς γέμει σοφίας, πολλῆς κηδεμονίας, πολλῆς φιλανθρωπίας. ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστῶμεν αὐτῷ, καὶ εὐγνώμονες γινώμεθα περὶ τὸν τοσαῦτα ἡμᾶς εὐεργετηκότα. οὐδὲ γὰρ βαρύ τι καὶ ἐπαχθὲς ἐπιζητεῖ D παρ' ἡμῶν, ἀλλ' ἢ ὁμολογεῖν μόνον τὰς τοσαύτας εὐεργεσίας καὶ τὰς ὑπὲρ τούτων αὐτῷ εὐχαριστίας ἀναφέρειν, οὐκ ἐπειδὴ αὐτὸς δεῖται τούτου· ἀνενδεὴς γὰρ ὑπάρχει· ἀλλ' ἵνα ἡμεῖς παιδευώμεθα τὸν χορηγὸν ἐπισπάσασθαι τῶν ἀγαθῶν, καὶ μὴ ἀγνώμονες γινώμεθα, ἀλλὰ ἀξίαν τῶν εὐεργεσιῶν καὶ τῆς τοσαύτης κηδεμονίας τὴν ἀρετὴν εἰσφέρωμεν. οὕτω γὰρ καὶ αὐτὸν εἰς πλείονα τὴν περὶ ἡμᾶς ἐκκαλεσόμεθα κηδεμονίαν. μὴ τοίνυν ῥαθυμῶμεν παρακαλῶ, ἀλλ' ἕκαστος ὑμῶν καθ' ἑκάστην ὥραν εἰ οἷόν τε ἀναλογιζέσθω καθ' ἑαυτὸν μὴ μόνον τὰς κοινὰς εὐεργεσίας, ἀλλὰ καὶ τὰς ἰδίας εἰς αὐτὸν γενομένας, μὴ τὰς ὁμολογημένας, καὶ πᾶσι δήλους, ἀλλὰ καὶ τὰς ἰδιαζούσας καὶ λανθανούσας τοὺς πολλούς.

quæ non multum ad huius vitæ vtilitatem nobis conducunt: quæ verò vitæ noſtræ multum ſeruiunt, & vtilia & neceſſaria, ea in ſeruitute & ſubiectione ſua dimiſerit. Reliquit ergo nobis bonum armenta, vt aratrum trahamus, terram ſulcemus, ſeramus. Reliquit & ſubiugalium multa genera, vt nos adiuuent ad vtilia quæque conuehenda. Reliquit ouium greges, vt haberemus quæ ad veſtiendum nos ſufficerent. Reliquit & alia animantium genera, vnde multa nobis ſuppeditantur commoda. Nam puniẽs hominem ob inobedientiam ſuam, dicebat: In ſudore faciei tuæ veſceris pane tuo. Vt ne ſudor & labor hic noſter intolerabilis foret, ſudoris moleſtias, & laboris onus alleuiauit iumentorum multitudine, quę vnà nobiſcum laborant, & moleſtias ferũt: idem faciens quod benignus & prudẽs paterfamiliâs, qui flagellato ſeruo, etiam curam quandam congruam flagellis adhibet. Nam vt condemnauit peccatorẽ Deus, leniorem etiam condemnationem eſſe voluit: quia ad ſudorẽ & laborẽ perpetuũ adiudicato, ſubſidiaria fecit multa brutorũ genera. Atq; ita, quòd honorem nobis dedit, & rurſus abſtulit: & beſtiarum nobis metum immiſit, & omnia (ſi quis diligenter & curioſè inquirat) offendet plena ſapientiæ, prouidentiæ, & benignitatis. Proinde circa pro his omnibus gratias ei agamus, qui tanta apud nos beneficia collocauit. Neque enim graue aliquid & oneroſum à nobis requirit: ſed ſolum vt teſtemur & fateamur beneficia ſua, & pro his gratias referamus: non quòd ipſe his egeat, qui ſufficientiſſimus eſt, nullâque re indiget: ſed vt nos diſcamus authorem bonorum nobis conciliare, & non ingrati ſimus, ſed dignam tantis beneficiis & prouidentia virtutẽ afferamus. Nam ſic ipſum ad maiorẽ noſtri ſollicitudinem prouocabimus. Oro igitur, ne deſides ſimus, ſed vnuſquiſq; pro virili ſupputet apud ſe ſingulis horis, non ſolum cõmunia beneficia, ſed & priuata in ſe collata: nõ ea tantũ quę omnes fatentur, & quæ omnibus manifeſta, ſed & propria, ac pleroſque latentia.

Gen. 3.

Moralis exhortatio.

Sacrificiũ maximum Dei beneficiorum recordari.

Sic enim ad cõtinuam gratiarũ actionem domino referẽdam incitabitur. Hoc maximum ſacrificium, hæc perfecta oblatio eſt, hoc fiduciæ noſtræ ad Deum argumentum. Et quomodo, dicã. Qui enim hæc continuò in mente ſua verſat, & ſuam tenuitatem agnoſcit, & eminentem diuinam miſericordiã cogitat: quomodo res noſtras gubernans & diſpenſans, non attendat, quid mereantur noſtra peccata, ſed ad ſuam bonitatem: is nimirum mentem humiliat, cor conterit, omnem faſtum & arrogantiam caſtigat: diſcit modeſtè agere, contemnere præſentis vitæ gloriam, ridere viſibilia omnia, cogitare futura bona vitámque immortalem ac nunquam finiendam. Qui autem ſic afficitur animo, verum & acceptum ſacrificium Deo offert, ſicut propheta dicit: Sacrificium Deo ſpiritus cõtribulatus, cor contritum & humiliatum Deus non deſpiciet. (Pſal. 50. 19.) Cordatos enim famulos non tam pœnæ & ſupplicia emendant, vt beneficia, & agnoſcere quòd non iuxta delictorum merita pœnam luerint. Conteramus igitur obſecro pectus noſtrum, humiliemus mentem, & maximè nunc cùm hoc ieiunij tempus multa nobis præbet ſubſidia. Nam ſi ita affecti fuerimus, poterimus & magna attentione preces facere, & confitentes peccata multam gratiam ſupernè obtinere. Et vt ſciatis tales animos Deo placere, audi ipſum dicentem: Ad quem reſpiciam, niſi ad humilem, & quietum, & trementem ſermones meos? (Eſa. 66. 2) Idcirco & Chriſtus dicit: Diſcite à me, quia mitis ſum, & humilis corde, & inuenietis requiem animabus veſtris. (Matt. 11. 29.) Nam qui verè ſeipſum humiliat, nunquam poterit ira commoueri, & proximo ſuccenſere: quia anima eius in ſui conſideratione occupata eſt & humiliata. Anima autem quæ ſic ſe habet, quid eſſe poſſet beatius? Quicunque talis eſt, is in portu continuo ſedet ab omni tempeſtate liber, & oblectatur in cogitationum tranquillitate. Et ideo Chriſtus dicebat: Et inuenietis requiem animabus veſtris. Itaque ſicut qui affectiones illas ſopiuit, multa requie fruitur:

A οὕτω γὰρ δυνήσεται διηνεκῆ τὴν εὐχαριστίαν ἀναφέρειν τῷ δεσπότῃ. τοῦτο μεγίστη θυσία, τοῦτο προσφορὰ τελεία, τοῦτο παρρησίας ἡμῖν ὑπόθεσις γενήσεται. καὶ πῶς, ἐγὼ λέγω. ὁ γὰρ ταῦτα διηνεκῶς στρέφων ἐν τῇ διανοίᾳ τῇ ἑαυτοῦ, καὶ τὴν μὲν οἰκείαν εὐτέλειαν καταμανθάνων μετὰ ἀκριβείας, ἐννοῶν δὲ τὴν ἄφατον καὶ ὑπερβάλλουσαν τοῦ θεοῦ φιλανθρωπίαν, καὶ ὅπως οὐ πρὸς ἀξίαν τῶν ἡμαρτημένων ὑφ' ἡμῶν, ἀλλὰ πρὸς τὴν οἰκείαν ἀγαθότητα ἀφορῶν οὕτω τὰ καθ' ἡμᾶς οἰκονομεῖ, συστέλλεται τὴν διάνοιαν, συντρίβεται τὸν λογισμόν, πάντα τῦφον καὶ ἀπόνοιαν καθαιρεῖ, μετριάζειν μαν-
B θάνει, ὑπεροράν τῆς δόξης τοῦ παρόντος βίου, καταγελᾷν πάντων τῶν ὁρωμένων, φαντάζεσθαι τὰ μέλλοντα ἀγαθά, καὶ τὴν ζωὴν τὴν ἀτελεύτητον, καὶ πέρας οὐκ ἔχουσαν. ὁ δὲ οὕτω τὴν ψυχὴν διακείμενος τὴν ἀληθῆ καὶ εὐπρόσδεκτον θυσίαν τῷ θεῷ ἀναφέρει. καθὼς ὁ προφήτης φησί. θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει. τοὺς γὰρ εὐγνώμονας τῶν οἰκετῶν οὐχ οὕτως αἱ κολάσεις καὶ αἱ τιμωρίαι ἐπιστρέφουσιν, ὡς αἱ εὐεργεσίαι, καὶ τὸ εἰδέναι, ὅτι οὐ πρὸς ἀξίαν τῶν πεπλημμελη-
C μένων τὴν δίκην δεδώκασι. συντρίψωμεν τοίνυν ἡμῶν τὸν λογισμὸν παρακαλῶ, ταπεινώσωμεν τὴν διάνοιαν, καὶ μάλιστα νῦν ὅτε τῆς νηστείας ὁ καιρὸς πολλὴν ἡμῖν τὴν συμμαχίαν εἰσφέρει. ἐὰν γὰρ οὕτως ὦμεν διακείμενοι, δυνησόμεθα καὶ τὰς εὐχὰς μετὰ πολλῆς τῆς νήψεως ποιεῖσθαι, καὶ ἐξομολογούμενοι τὰ πλημμελήματα πολλὴν ἐπισπάσασθαι τὴν ἄνωθεν χάριν. καὶ ἵνα μάθητε ὅτι τὰς τοιαύτας ἀρέσκεται ψυχὰς ὁ δεσπότης, ἄκουε αὐτοῦ λέγοντος· ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; διὰ τοῦτο
D καὶ ὁ Χριστὸς διαλεγόμενος ἔλεγε· μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ὁ γὰρ ὄντως ταπεινῶν ἑαυτὸν οὐκ ἂν δυνηθείη ποτὲ εἰς θυμὸν ἐξενεχθῆναι, οὐδὲ τῷ πλησίον ὀργισθῆναι τῆς ψυχῆς κατεσταλμένης, καὶ τὰ καθ' ἑαυτὴν σκοπουμένης. τῆς δὲ οὕτω διακειμένης ψυχῆς τί ἂν γένοιτο μακαριώτερον; ὁ τοιοῦτος ἐν λιμένι διηνεκῶς κάθηται παντὸς χειμῶνος ἀπηλλαγμένος, καὶ ἐντρυφῶν τῇ ἀπὸ τῶν λογισμῶν γαλήνῃ. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ὥσπερ οὖν ὁ τὰ πάθη ταῦτα κατευνάσας πολλῆς ἀπολαύει τῆς ἀναπαύσεως,

A οὕτως ὁ ῥάθυμος, καὶ ἀναπεπτωκὼς, καὶ μὴ δυνάμενος δεόντως ἡνιοχεῖν τὰ ἐν αὐτῷ τικτόμενα πάθη, ἐν διηνεκεῖ σάλῳ καθέστηκεν οἴκοθεν τὸν πόλεμον ἔχων, καὶ οὐδενὸς παρόντος ταραττόμενος, καὶ πολὺν τὸν χειμῶνα ὑπομένων, διὸ καὶ τῶν κυμάτων κορυφουμένων, καὶ τῆς τῶν πονηρῶν πνευμάτων καταιγίδος ἐπιούσης πολλάκις ὑποβρύχιος γίνεται καταβαπτισθέντος τοῦ σκάφους διὰ τὴν ἀπειρίαν τοῦ κυβερνήτου. διὸ χρὴ νήφειν, καὶ ἐγρηγορέναι, καὶ διηνεκῆ τὴν μέριμναν ἔχειν, καὶ ἀδιάλειπτον τῆς κατὰ ψυχὴν σωτηρίας. τὸν γὰρ Χριστιανὸν ἀεὶ παρατετάχθαι χρὴ πρὸς τὰ πάθη τῆς σαρκὸς, καὶ τοὺς νόμους τοὺς τεθέντας ἡμῖν B παρὰ τοῦ κοινοῦ πάντων δεσπότου ἐναύλους ἔχειν, καὶ τούτοις τειχίζεσθαι, καὶ τῇ πολλῇ αὐτοῦ περὶ ἡμᾶς μακροθυμίᾳ εἰς δέον κεχρῆσθαι, καὶ μὴ ἀναμένειν τὴν διὰ τῶν ἔργων πεῖραν, καὶ τότε συστέλλεσθαι, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, ὅταν ἀπέκτεινεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτόν. ἔχοντες οὖν ἀγαπητοὶ σύμμαχον τῆς νηστείας τὴν παρουσίαν πάντες ἐπὶ τὴν ἐξομολόγησιν τῶν πεπλημμελημένων ἐπειγώμεθα, καὶ ἀπεχώμεθα μὲν πάσης κακίας, μετίωμεν δὲ πᾶσαν ἀρετήν. οὕτω γὰρ καὶ ὁ μακάριος προφήτης διδάσκει λέγων· C ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, καὶ μετὰ τῆς ἀποχῆς τῶν βρωμάτων τὴν ἀποχὴν τῆς κακίας ἐπιδειξώμεθα, δυνησόμεθα καὶ αὐτοὶ πλείονος ἀπολαῦσαι τῆς παρρησίας, καὶ δαψιλεστέρας ἀξιωθῆναι τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας, καὶ ἐν τῷ παρόντι βίῳ, καὶ ἐν τῇ μελλούσῃ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, εὐχαῖς καὶ πρεσβείαις τῶν εὐαρεστησάντων αὐτῷ χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' οὗ τῷ πατρὶ ἅμα καὶ τῷ ἁγίῳ πνεύματι δόξα κράτος D τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ita deſes & ſupinus, & qui nequit ſeipſum vt decet moderari, perpetuò perturbationibus & affectionibus obnoxius eſt: domi bellum habet, nemine perſequente turbatur, & grauem ſuſtinet tempeſtatem. Et propterea fluctibus ſe eleuantibus, & exorientibus malorum ſpirituum procellis, ſæpe naui ob imperitiam gubernatoris demerſa, ſimul ipſe ſubmergitur. Proinde decet nos eſſe ſobrios, & vigiles, & perpetuam indeſinentémque animæ noſtræ ſollicitudinem habere. Chriſtiani enim eſt aduerſus concupiſcentias carnis ſemper in acie ſtare, & leges domini noſtri nobis datas, ſemper in auribus ſonare, & his muniri, & illius longanimitate non abuti: & non expectare, vt re ipſa iræ illius periculum faciamus, & tunc humiliemur, vt ne & de nobis dicatur. Quando occidebat eos, tunc inquirebant eum. Cum igitur adiumento nobis nunc ſit ieiunij tempus chariſſimi, omnes ad confeſſionem peccatorum noſtrorum feſtinemus, & ab omni quidem malitia abſtineamus, exerceamus autem virtutes omnes. Nam ſic & beatus Dauid docet, dicens: Declina à malo, & fac bonum. Quod ſi in hunc modum vitam noſtram inſtituerimus, & abſtinentiæ ciborum abſtinentiam à malis adiunxerimus, poterimus & nos magna fiducia frui, & vberiorem à Deo benignitatem obtinere & in præſenti vita, & in futuro illo die terribili, precibus & interceſſionibus eorum qui ipſi maximè placuerunt: gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri ſimul & Spiritui ſancto ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum, Amen.

Pſal. 77. 34.

Pſal. 36. 27.

A

Homilia X.

Gen. 1. 26. *Exhortatio ad eos quos pudet poſt cibum ſumptum accedere ad concionem veſpertinam: & in reliquum textum poſt, Faciamus hominem ſecundùm imaginem noſtram, & ſecundùm ſimilitudinem: Et de his verbis, Et fecit Deus hominem, ſecundùm imaginem Dei fecit illum: maſculum & foeminam fecit illos.*

QVIDNAM ſibi vult, quòd minor eſt hodie veſter conuentus, & infrequens theatrum eorum qui ad nos confluunt? Fortaſſis aliqui erubuerunt, poſt carnalem menſam ad ſpirituale hoc venire conuiuium, & hæc ipſis eſt abſentiæ cauſa: ſed audiant ſapientem quendam dicentem: Eſt confuſio quæ inducit peccatum & eſt confuſio adducens gloriam & gratiam. (Eccl. 4. 25.) Non eſt confuſione dignum, eum qui corporalis menſæ particeps fuit, ad ſpirituale conuiuium venire. Non enim vt humanæ res, ita & ſpirituales ad definita tempora diſtinctæ ſunt. Sermoni enim ſpirituali omne diei tempus idoneum fuerit. Et quid dico diei tempus? Neque ſi nox ingruat, ſpiritualem doctrinam impedit. Propterea & Timotheo dicebat Paulus, ſcribens: (2. Tim. 4.) Inſta tempeſtiuè, intempeſtiuè: argue, increpa, obſecra. Et iterum audi beatum Lucam dicẽtem: (Act. 20.) Diſceſſurus craſtino Paulus à Troade, diſſerebat eis, & ſermonem produxit vſq; ad mediam noctem. Nunquid tempus obfuit dic quæſo? num propterea doctrinæ ſermo impeditus? Vigilãs & attentus auditor etiam pranſus, ſpirituali conuentu dignus eſt. Itaq; ſicut ſupinus, & deſes, etiamſi ieiunus permaneat, nihil inde vtilitatis capiet. Et hęc dico, non vt ieiunij rigorem ſoluam. Abſit; nam multum laudo probóq; ieiunantes: ſed vt doceam, ſobrio quodam modo, non conſuetudine ad ſpiritualia eſſe accedendum. (Ad ſpiritualia quomodo accedendum.) Non enim turpe fuerit, eum qui cibũ antea accepit, adeſſe ſpirituali ſermoni: ſed ignauo animo adeſſe, & ab affectionibus vexari, & carnis laſciuias nõ cõprime-

Ὁμιλία ι.

Πρὸς τοὺς ἐρυθριῶντας μετὰ τὴν ἑστίασιν παραβάλλειν τῇ συνάξει κατὰ τὴν ἑσπέραν, καὶ εἰς τὰ ἑξῆς τοῦ ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ εἰς τὸ καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτὸν ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς.

Ἐλάττων ἡμῖν ὁ σύλλογος σήμερον, καὶ βραχὺ τὸ πλῆθος τῶν συνδεδραμηκότων. τίνος ἕνεκεν, καὶ διὰ τί; (B) τάχα τινὲς ἠρυθρίασαν μετὰ τὴν αἰσθητὴν τράπεζαν εἰς τὴν πνευματικὴν ταύτην ἑστίασιν παραγενέσθαι, καὶ τοῦτο αὐτοῖς αἴτιον γεγένηται τῆς ἀπολείψεως. ἀλλ' ἀκουέτωσαν σοφοῦ τινος λέγοντος· ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις. οὐκ ἔστιν αἰσχύνης ἄξιον τραπέζης μεταλαβόντα σωματικῆς ἐλθεῖν ἐπὶ τὴν πνευματικὴν ἑστίασιν. οὐδὲ γὰρ καθάπερ τὰ ἀνθρώπινα πράγματα, οὕτω καὶ τὰ πνευματικὰ καιροῖς ἀφωρισμένοις διατετύπωται. ἡ γὰρ περὶ τῶν πνευματικῶν (C) διάλεξις πάντα τῆς ἡμέρας τὸν καιρὸν ἐπιτήδειον ἔχει. καὶ τί λέγω τῆς ἡμέρας τὸν καιρόν; κἂν νὺξ καταλάβῃ, οὐδὲ οὕτω κώλυμα γίνεται τῇ πνευματικῇ διδασκαλίᾳ. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε Τιμοθέῳ γράφων· ἐπίστηθι εὐκαίρως, ἀκαίρως. ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον, καὶ πάλιν ἄκουε τοῦ μακαρίου Λουκᾶ λέγοντος, ὅτι μέλλων ἐξιέναι φησὶ τῇ ἐπαύριον ὁ Παῦλος ἀπὸ τῆς Τρῳάδος διελέγετο αὐτοῖς, καὶ παρέτεινε τὸν λόγον μέχρι μεσονυκτίου. μή τι ὁ καιρὸς ἐλυμήνατο εἰπέ μοι, ἢ διέκοψε τὸν τῆς διδασκαλίας λόγον; ὁ νήφων (D) ἀκροατὴς κἂν ἠριστηκὼς ᾖ, ἄξιος ἂν εἴη τοῦ συλλόγου τούτου τοῦ πνευματικοῦ, ὥσπερ οὖν ὁ ῥάθυμος καὶ ἀναπεπτωκὼς, κἂν ἄσιτος διαμείνῃ, οὐδεμίαν ἐντεῦθεν δέξεται τὴν ὠφέλειαν. καὶ ταῦτα λέγω οὐ τὸν τόνον τῆς νηστείας ἐκλύων, μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα ἐπαινῶν καὶ ἀποδεχόμενος τοὺς νηστεύοντας· ἀλλὰ σφόδρα βουλόμενος διδάξαι ὑμᾶς λογισμῷ τινι νήφοντι μετιέναι τὰ πνευματικὰ, καὶ μὴ συνηθείᾳ κατακολουθεῖν. οὐ γὰρ τὸν μεταλαβόντα τροφῆς αἰσχρὸν παραβάλλειν τῇ πνευματικῇ ταύτῃ διδασκαλίᾳ, ἀλλὰ τὸ ῥαθυμοῦντι διανοίᾳ, καὶ τὸ ὑπὸ τῶν παθῶν πολιορκεῖσθαι, καὶ μὴ καταστέλλειν τὰ τῆς

παθῶν σκιρτήματα. οὐ τὸ φαγεῖν κακὸν, μὴ γένοιτο, ἀλλ' ἡ ἀδηφαγία βλαβερὸν, καὶ τὸ παρὰ τὴν χρείαν ἐμπίπλασθαι, καὶ διαῤῥήγνυσθαι τὴν γαστέρα. τοῦτο γὰρ καὶ τὴν ἡδονὴν τὴν ἀπὸ τῆς τροφῆς λυμαίνεται· ὥσπερ οὖν οὐδὲ τὸ οἴνου συμμέτρου μεταλαβεῖν πονηρὸν, ἀλλὰ τὸ μέθῃ ἑαυτὸν ἐκδοῦναι, καὶ τῶν λογισμῶν τὸ κριτήριον παρατρέψαι διὰ τῆς ἀμετρίας. εἰ δὲ δι' ἀσθένειαν σωματικὴν ἀγαπητὲ οὐ δύνασαι ἄσιτος παρατεῖναι τὴν ἡμέραν, οὐδεὶς εὖ φρονῶν ὑπὲρ τούτου σοι ἐγκαλέσαι δυνήσεται. δεσπότην γὰρ ἔχομεν ἥμερον καὶ φιλάνθρωπον, καὶ οὐδὲν τῶν ὑπὲρ δύναμιν παρ' ἡμῶν ἐκζητοῦντα. οὐδὲ γὰρ τὴν ἀποχὴν τῶν βρωμάτων καὶ τὴν νηστείαν ἁπλῶς ἀπαιτεῖ παρ' ἡμῶν γίνεσθαι, οὐδὲ διὰ τοῦτο, ἵνα ἄσιτοι διαμείνωμεν μόνον, ἀλλ' ἵνα ἀφιστῶντες ἑαυτοὺς ἀπὸ τῶν βιωτικῶν πραγμάτων πᾶσαν τὴν σχολὴν ἐν τοῖς πνευματικοῖς ἀναλίσκωμεν. ὡς εἰ μετὰ νήψεως διανοίας τὸν ἑαυτῶν βίον οἰκονομοῦμεν, καὶ περὶ τὰ πνευματικὰ πᾶσαν τὴν σχολὴν ἐπιδεικνύμεθα, καὶ τῇ τροφῇ οὕτω προσιοίμεθα, ὡς τὴν χρείαν μόνον πληροῦν, καὶ ἐν ταῖς ἀγαθαῖς πράξεσιν ἅπαντα τὸν βίον καταναλίσκειν, οὐδὲ χρεία ἡμῖν ἦν τῆς βοηθείας τῆς ἀπὸ τῆς νηστείας. ἀλλ' ἐπειδὴ ῥάθυμός ἐστιν ἡ φύσις ἡ ἀνθρωπίνη, καὶ τῇ ἀνέσει καὶ τῇ τρυφῇ μᾶλλον ἑαυτὸν ἐπιδίδωσι, διὰ τοῦτο καθάπερ πατὴρ φιλόστοργος τὴν ἀπὸ τῆς νηστείας ἡμῖν ἰατρείαν ἐπενόησεν ὁ φιλάνθρωπος δεσπότης, ἵνα καὶ τὰ τῆς τρυφῆς ἡμῖν ἐκκόπτηται, καὶ τὴν περὶ τὰ βιωτικὰ φροντίδα μεταγάγωμεν ἐπὶ τὴν τῶν πνευματικῶν ἐργασίαν. ἂν τοίνυν ὦσί τινες τῶν ἐνταῦθα συνιόντων ὑπὸ ἀσθενείας σωματικῆς κωλυόμενοι, καὶ μὴ δυνάμενοι ἄσιτοι διαμένειν, τούτοις παραινῶ καὶ τὴν ἀσθένειαν τὴν σωματικὴν παραμυθεῖσθαι, καὶ τῆς διδασκαλίας ταύτης τῆς πνευματικῆς μὴ ἀποστερεῖν ἑαυτοὺς, ἀλλὰ ταύτῃ μᾶλλον πλείονα τὴν σπουδὴν ἐπιδείκνυσθαι. εἰσὶ γάρ εἰσιν ὁδοὶ πολλαὶ μείζους τῆς ἀποχῆς τῶν βρωμάτων, αἳ δυνάμεναι τὰς θύρας ἡμῖν ἀνοίγειν τῆς παρρησίας τῆς πρὸς τὸν θεόν. ὁ τροφῆς τοίνυν μεταλαμβάνων, καὶ νηστεύειν μὴ δυνάμενος δαψιλεστέραν τὴν ἐλεημοσύνην ἐπιδεικνύσθω, εὐχὰς ἐκτενεῖς, τὴν προθυμίαν ἐπιτεταμένην ἐχέτω περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων. ἐνταῦθα οὐδὲν ἡ τοῦ σώματος ἀσθένεια ἐμπόδιον ἡμῖν γίνεται, τοῖς ἐχθροῖς καταλλαττέσθω, πᾶσαν μνησικακίαν ἐξοριζέτω τῆς ἑαυτοῦ

A re. Non comedere malum eſt: abſit: ſed gula damnoſa eſt, & impleri plus quàm ſatis, ac diſrumpere ventrem: id quod ipſam etiam, quæ ex cibo haberi poteſt, voluptatem offendit. Itaque nihil mali eſt, vinum ad menſuram bibere, ſed ebrium fieri, & intemperantia rationis ſubuertere iudicium. Etenim dilecte, ſi ob corporis imbecillitatem non potes ieiunus diem producere, nullus qui ſapit, propter hoc te arguere poterit. Dominum enim habemus manſuetum ac benignum, & nihil ſupra vires noſtras à nobis exigentem. Neq; enim abſti-
B nentiam à cibis & inediã ſimpliciter à nobis exigit: neq; hoc ipſum, vt ieiuni ſolummodo permaneamus: ſed vt à ſecularibus operibus nos abdicantes, omne noſtrum ocium in ſpiritualibus collocemus. Nam ſi ſobria mente vitam noſtram inſtitueremus, & quicquid ocij datur, in ſpiritualia impenderemus: & cibos ita ſumeremus, vt tantum ſatiaremur, quantum vſus exigit, & vitam omnem in bonis operibus diſpenſaremus, iam nullo opus eſſet ex ieiuniis adiumento. Sed
C quia negligens eſt humana natura, & deliciis gaudet, & relaxationes quærit: idcirco tanquam ad amorem prolis propenſus pater clemens dominus hanc ex ieiunio medicinam excogitauit, vt & delicata è medio tollantur, & ſecularium curam ad ſpiritualia opera transferamus. Si igitur ſunt aliqui præſentes, quos corporis vetat infirmitas ieiunos & impranſos permanere: eos hortor vt corporis infirmitatem curent, & ſpirituali hac doctrina non ſolum non priuentur, ſed & pranſi plus exhi-
D beant ſtudij. Sunt enim, ſunt profectò viæ, quibus fiduciæ ad Deum ianuæ aperiri poſſunt multò maiores quàm ciborum abſtinentia. Igitur qui cibum accipit & ieiunare non valet, largiorem det eleemoſynam, feruentior ſit in precibus, maiorem habeat alacritatem in audiendis diuinis eloquiis, in quibus corporis infirmitas nihil obſtare poteſt: inimicis reconcilietur, omne odium & vindictæ cupiditatem ex animo effuget.

Viæ diuerſæ quibus Dei beneuolétia acquiritur.

A Qui hæc fecerit, verum ieiunabit ieiunium, quod à nobis potiſſimum expoſcit Dominus. Propter hæc enim hanc à cibis abſtinentiam fieri præcipit, vt refrænantes carnis laſciuias, eam obedientem faciamus, & ad mandata Dei implenda ſequacem. Quòd ſi ob infirmitatem corporis ſubſidium hoc, quod ieiunium præſtat nobis, adhibere nolumus, & deſidiæ deditiores ſumus, maxima nobiſipſis damna afferimus. Nam ſi ieiunium abſentibus aliis prædictis operibus nihil nobis prodeſt, multò magis ſi cum ieiunij pharmaco vti non poſſimus, grauiori negligentia fuerimus præpediti. Proinde ſcientes hæc oramus vos, qui ieiunare valetis, vt ipſi quantumcunque poſſibile, bonam & laudatam hanc veſtram intendatis & augeatis promptitudinem. Quantò enim externus

2.Cor.4 16. noſter homo corrumpitur, tantò internus renouatur. Ieiunium enim corpus comprimit, & laſciuias inordinatas refrænat, animam autem clariorem efficit, & ſublimem & leuem facit. Fratres quoque veſtros, quotquot ob corporis valetudinem ieiunare nequeunt, exhortemini, ne propterea ſpiritualem hanc menſam relinquant: ad illos referte quę à nobis didiceritis, indicantes quòd mediocriter pranſus non indignus ſit hoc auditorio, ſed deſes & diſſolutus. Et dicite eis apoſtolicum hoc

Rom.14 6. dictum: Et qui manducat, domino manducat: & qui non manducat, domino non manducat, & gratias agit Deo. Igitur qui ieiunat, gratias agit Domino, qui vires ei tribuit ad ferendos ieiunij labores: Et qui manducat, iterum gratias agit Deo, quia nihil ipſum offendere poteſt, quo minus animæ ſalutem agat, modò velit. Neque dici poteſt, quot nobis vias pararit benignus Deus, per quas, ſi volumus, ſummam fiduciam aſſequi licet. Hæc propter abſentes dixiſſe contenti ſimus, vt tollatur eis confuſionis occaſio: & ſciatur, quòd non oportet propter hoc confundi. Neq; enim comediſſe, confuſionem nobis affert, ſed mali quidpiam egiſſe. Peccatū magna confuſio eſt: ſi hoc admittimus, non ſolū erubeſcere debemus, ſed & nos occultare,

A ψυχῆς. ἂν ταῦτα κατορθοῦν βούληται, τὴν ἀληθῆ νηστείαν ἐπιδειξάτω, καὶ ἣν μάλιστα πάντων ἀπαιτεῖ παρ' ἡμῶν ὁ δεσπότης. ἐπεὶ καὶ ταύτην τὴν ἀποχὴν τῶν βρωμάτων διὰ τοῦτο κελεύει γίνεσθαι, ἵνα χαλινοῦντες τὰ σκιρτήματα τῆς σαρκὸς εὐήνιον αὐτὴν ἐργαζώμεθα πρὸς τὴν τῶν ἐντολῶν ἐκπλήρωσιν. εἰ δὲ μέλλοιμεν μηδὲ τὴν ἀπὸ τῆς νηστείας βοήθειαν ἑαυτοῖς προσάγειν διὰ τὴν τοῦ σώματος ἀσθένειαν, καὶ πλείονα τὴν ῥᾳθυμίαν ἐπι[illegible]υσθαι, λανθάνομεν ἑαυτοὺς τὰ μέγιστα ζημιούμενοι. εἰ γὰρ μετὰ νηστείας ἡ τῶν προειρημένων κατορθωμάτων ἔλλειψις

B οὐδὲν ἡμᾶς ὀνίνησι, πολλῷ μᾶλλον εἰ μηδὲ τῷ φαρμάκῳ τῆς νηστείας χρήσασθαι δυνάμενοι πλείονα τὴν ῥᾳθυμίαν ἐπιδειξόμεθα. ταῦτα δὴ μαθόντες παρ' ἡμῶν παρακαλῶ οἱ νηστεύειν δυνάμενοι αὐτοί τε καθ' ὅσον οἷόν τε ἐπιτείνετε ὑμῶν τὴν καλὴν ταύτην καὶ ἐπαινετὴν προθυμίαν. ὅσῳ γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται. ἡ γὰρ νηστεία τὸ μὲν σῶμα κατατείνει, καὶ χαλινοῖ τὰ ἄτακτα σκιρτήματα, τὴν δὲ ψυχὴν διαυγεστέραν ἐργάζεται καὶ πτεροῖ, καὶ μετάρσιον καὶ κούφην ποιεῖ. καὶ τοὺς ἀδελφοὺς δὲ τοὺς ὑμετέρους, ὅσοι διὰ σωματικὴν ἀσθένειαν

C νηστεύειν οὐ δύνανται, προτρέπεσθε μὴ ἀπολιμπάνεσθαι τῆς πνευματικῆς ταύτης τροφῆς, διδάσκοντες αὐτούς, καὶ τὰ παρ' ἡμῶν αὐτοῖς διαπορθμεύοντες, καὶ δεικνύντες, ὅτι ὁ φαγὼν καὶ πιὼν μετρίως οὐκ ἀνάξιός ἐστι ταύτης τῆς ἀκροάσεως, ἀλλ' ὁ ῥᾴθυμος καὶ διακεχυμένος. καὶ λέγετε πρὸς αὐτοὺς τὸ ἀποστολικὸν λόγιον, ὅτι καὶ ὁ ἐσθίων κυρίῳ ἐσθίει, καὶ ὁ μὴ ἐσθίων κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ θεῷ, καὶ ὁ νηστεύων τοίνυν εὐχαριστεῖ τῷ θεῷ, ὅτι δύναμιν ἔσχε δυναμένην ἀντισχεῖν πρὸς τὸν πόνον τῆς νηστείας, καὶ ὁ ἐ-

D σθίων πάλιν εὐχαριστεῖ τῷ θεῷ, ὅτι οὐδὲν αὐτὸν τοῦτο λυμήνασθαι δύναται πρὸς τὴν τῆς ψυχῆς σωτηρίαν, ἐὰν θέλῃ. τοσαύτας γὰρ ἡμῖν ὁδοὺς ἔτεμεν ὁ φιλάνθρωπος θεός, ὅσας οὐδὲ εἰπεῖν ἐστι, δι' ὧν δυνατόν ἐστιν ἡμᾶς, ἐὰν βουλώμεθα, τῆς ἀνωτάτω παῤῥησίας μετασχεῖν. ταῦτα οὖν ἀρκούντως τῶν ἀπολειφθέντων ἕνεκεν διειλέχθημεν, περιελόντες αὐτῶν τῆς αἰσχύνης τὴν πρόφασιν, καὶ δείξαντες, ὅτι οὐ δεῖ ἐπὶ τούτῳ αἰσχύνεσθαι. οὐ γὰρ τὸ φαγεῖν αἰσχύνην ἡμῖν προξενεῖ, ἀλλὰ τὸ κακόν τι διαπράξασθαι. μεγάλη αἰσχύνη ἁμαρτία. ἐὰν ταύτην ἐργαζώμεθα, οὐ μόνον αἰσχύνεσθαι ὀφείλομεν, ἀλλὰ καὶ

ἐγκαλύπτεσθαι, καὶ καθάπερ οἱ προσκεκρουκότες οὕτως ἑαυτοὺς ταλανίζειν· μᾶλλον δὲ μηδὲ τότε ἀπαγορεύειν ἑαυτοῖς, ἀλλὰ πρὸς ἐξομολόγησιν ἐπείγεσθαι, καὶ πρὸς εὐγνωμοσύνην. τοιοῦτον γὰρ ἔχομεν δεσπότην οὐδὲν ἕτερον παρ' ἡμῶν ἐπιζητοῦντα μετὰ τὴν τῆς ἁμαρτίας πρᾶξιν, εἴποτε διὰ ῥαθυμίαν ἀλισκόμεθα, ἢ τὸ ὁμολογῆσαι τὰ ἐπταισμένα, καὶ μέχρι τούτου στῆναι, καὶ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν. ἐὰν δὲ τροφῆς συμμέτρου μεταλάβωμεν, μηδέποτε αἰσχυνώμεθα· σώματι γὰρ ἡμᾶς τοιούτῳ συνέπλεξεν ὁ δεσπότης, ὃ μὴ δυνατὸν ἑτέρως συνεστάναι, εἰ μὴ ταύτης μεταλάβοι, μόνον τὰ τῆς ἀμετρίας ἐκκοπτέσθω. τοῦτο γὰρ ἡμῖν καὶ πρὸς τὴν ὑγίειαν τούτου, καὶ εὐεξίαν τὰ μέγιστα συμβάλλεται. ἢ οὐχ ὁρᾶτε καθ' ἑκάστην ἡμέραν ἀπὸ τῶν πολυτελῶν τραπεζῶν, καὶ τῆς ἀμέτρου ἀδηφαγίας τὰ μυρία ἐπαγόμενα νοσήματα; πόθεν ποδαλγίαι; πόθεν καρηβαρίαι; πόθεν ὁ τῶν χυμῶν τῶν διεφθαρμένων πλεονασμός; πόθεν τὰ ἄλλα μυρία νοσήματα; οὐκ ἀπὸ τῆς ἀμετρίας, καὶ τοῦ πλέον τοῦ δέοντος ἐγχέειν ἑαυτοῖς τὸν ἄκρατον; καθάπερ γὰρ πλοῖον ὑπέραντλον γενόμενον ταχέως καταβαπτίζεται, καὶ ὑποβρύχιον γίνεται· οὕτω καὶ ὁ ἄνθρωπος, ὅταν τῇ ἀδηφαγίᾳ καὶ μέθῃ ἑαυτὸν ἐκδῷ, κατὰ κρημνῶν ἄπεισι καὶ ὑποβρύχιον ἀπεργάζεται τὸν λογισμόν, καὶ κεῖται λοιπὸν καθάπερ νεκρὸς ἔμψυχος, πρὸς μὲν τὰ κακὰ πολλάκις ἐνεργεῖν δυνάμενος· πρὸς δὲ τὰ ἀγαθὰ ἅπαντα οὐδὲν ἄμεινον τῶν νεκρῶν διακείμενος. διὸ παρακαλῶ κατὰ τὸν μακάριον Παῦλον τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας, ἀλλὰ πρὸς τὸ συνεστάναι, καὶ δύνασθαι μετὰ πλείονος προθυμίας ἐν τῇ τῶν πνευματικῶν ἐργασίᾳ πολλὴν τὴν σπουδὴν ἐπιδείκνυσθαι. ταῦτα δὴ πάντα διαλεγόμενοι πρὸς τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους πείθετε αὐτοὺς τῆς πνευματικῆς ταύτης τροφῆς μηδέποτε ἑαυτοὺς ἀποστερεῖν, ἀλλὰ κἂν ἠριστηκότες ὦσιν, ἐρχέσθωσαν μετὰ πάσης προθυμίας· ἵνα δεξάμενοι τὴν ἐντεῦθεν διδασκαλίαν δύνωνται γενναίως ἵστασθαι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. ἡμεῖς δὲ λοιπὸν φέρε τὴν συνήθη τράπεζαν ὑμῖν παραθῶμεν, καὶ τῆς σπουδῆς τὴν περὶ τὴν ἀκρόασιν ἀμειψώμεθα τὴν ὑμετέραν ἀγάπην, καὶ τὸ χρέος ἐκτίσωμεν, ὅπερ ὀφειλόμενοι ὑμῖν.

A & miſeros dicere nos ipſos non minus, quàm qui offenderunt: imò neque tunc deſpondere animum, ſed ad confeſſionem & gratitudinem feſtinare debemus. Is enim eſt dominus noſter, vt nihil aliud requirat admiſſo peccato, ſi quando per ignauiam delinquimus, quàm vt errata confiteamur, nec vltra progrediamur, nec in eadem recidamus. Cæterùm quum cibo noſtræ menſuræ congruo vtimur, non eſt opus vt erubeſcamus. Nam dominus nos tali corpori coniunctos eſſe voluit, quod aliter conſiſtere nequit, niſi B cibo paſcatur, tantum intemperantia ne admittatur: id quod nobis ad ſanitatem, & corporis bonam habitudinem plurimum conducit. An non videtis quotidie, ex ſumptuoſis menſis, & immodica ingluuie infinita morborum genera induci? Vnde podagræ? vnde capitis dolores? vnde corruptorum humorum abundantia? vnde innumeri alij morbi? nónne ab intemperantia, & largiore vini ingurgitatione quàm oportet? Nam ſicut nauis, quæ aquis C ita impletur, vt exhauriri nequeat, ſtatim ſubmergitur: ita & homo quando crapulæ & ebrietati ſeipſum exponit, in præceps vadit, & rationem ſuam ſubmergit: denique iacet quaſi viuum cadauer, ad mala quidem operanda ſæpe potens, ad bona autem omnia nihilo ſe melius habens, quàm mortui. Idcirco obſecro, vt ſecundum beatum Paulum, carnis curam ne agatis ad concupiſcentias, ſed vt poſſitis ſubſiſtere, & maiori alacritate rebus ſpiritualibus operam dare. Hæc omnia D fratribus veſtris dicite, & perſuadete, ne vnquam ſpirituali hoc alimento ſe priuent: ſed etſi pranſi ſint, veniant omni cum alacritate: vt accepta hîc ſpirituali doctrina diabolicis inſidiis fortiter reſiſtere poſſint. Cæterùm vobis conſuetam ſpiritualem menſam nos apponemus, charitatis veſtræ in audiendis diuinis ſtudium ſic remuneraturi, & debitum quod promiſimus exoluturi.

Temperantia ad ſanitatē cōducit.

Rom. 13. 14.

Scitis enim omnino, & meminiſtis, quòd de hominis formatione dicere cœpimus, & anguſtia temporis præpediti, lectionem totam perficere non valentes, in doctrina de ferarum vtilitate finem fecimus: oſtendendo quòd homo propter inobedientiam à principatu, quem prius ſuper eas habebat, exciderit. Vnde hodie quod reliquum eſt, reddemus, atque ita hinc vos dimittemus. Et vt manifeſtior vobis ſermo noſter ſit, operepretium fuerit meminiſſe, vbi tūc miſſum fecerimus ſermonem: vt inde facto initio, quæ reliqua ſunt impleamus. Vbi igitur miſſum fecimus? Vbi diximus de illis verbis, Faciamus hominem ſecundum imaginem noſtram, & ſecundum ſimilitudinem, & dominentur piſcibus maris, & volucribus cœli: quia tunc ſermo prolixior fuit, & natum eſt nobis pelagus quoddam ſententiarum, nec conceſſum vt vlterius progrederemur, ſed ſubſiſtendum ibi erat, & ſic ſequentia non attigimus. Vnde nunc neceſſarium, vt charitati veſtræ quæ ſequuntur, legantur: vt ſcire poſſitis quænam vobis dicturi ſimus. Statim igitur diuina ſcriptura ſubdidit: 27. *Et fecit Deus hominem, ſecundum imaginem Dei fecit illum. Maſculum & fœminam fecit illos. 28. Et benedixit illis Deus, dicens: Creſcite & multiplicamini, & implete terram, & dominemini ei: & dominemini piſcibus maris, & volatilibus cœli, & omnibus pecoribus, & omni terræ, & omnibus reptilibus repentibus ſuper terram.* Breuia ſunt verba, ſed magnus reconditus theſaurus in tam breuibus verbis. Spiritu enim loquens beatus hic propheta, nunc nos arcana quædam docere vult. Nam poſtquam dixit, Faciamus hominem, & conſilium, & vt ita dicam ſtudium adhibuit omnium opifex, vt hoc ſchemate formandi hominis, dignitatem oſtenderet, & ante formationem, etiam doceret, quantum principatum formando homini daturus eſſet. Itaque vt dixit: Faciamus hominem ſecundum imaginem noſtram, & ſecundum ſimilitudinem: ſubdidit, Et dominentur piſcibus maris. Vide quomodo ſtatim ab initio latentem nobis theſaurum demonſtrat.

A ἴστε γὰρ πάντες καὶ μέμνησθε, ὅτι περὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως ἀρξάμενοι διαλέγεσθαι, ὑπὸ τοῦ καιροῦ στενοχωρηθέντες οὐκ ἰσχύσαμεν πᾶσαν ἐπεξελθεῖν τῷ ἀναγνώσματι, ἀλλ' εἰς τὸν περὶ τῶν θηρίων λόγον τὴν διδασκαλίαν ἐτελέσαμεν δεικνύντες, ὅτι τὴν κατ' αὐτῶν ἀρχὴν πρότερον ἔχων ὁ ἄνθρωπος διὰ τὴν τῆς παρακοῆς ἁμαρτίαν ταύτην ἀφῃρέθη. διὸ βουλόμεθα σήμερον τὰ λειπόμενα ὑμῖν ἀποδόντες, οὕτως ὑμᾶς ἐντεῦθεν ἀποπέμψαι. ἀλλ' ἵνα ὑμῖν σαφὴς ἡμῶν ὁ λόγος γένηται, ἀναγκαῖον ὑμᾶς ὑπομνῆσαι, ποῦ τότε τὴν διδασκαλίαν κατελύσαμεν· ἵνα ἐκεῖθεν ἀρξάμενοι οὕτω τὰ λείποντα ἀ-

B ναπληρώσωμεν. ποῦ οὖν τὸν λόγον τότε κατελύσαμεν; εἰπόντες εἰς τὸ ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, ἐπειδὴ εἰς πολὺ μῆκος ὁ λόγος ἐξετάθη, καὶ πολὺ πέλαγος ἡμῖν ἐτέχθη νοημάτων, οὐ συνεχωρήθη ἡμῖν περαιτέρω προελθεῖν, ἀλλὰ μέχρι τούτου στάντες τῶν ἑξῆς οὐκ ἐφηψάμεθα. διόπερ ἀναγκαῖον νῦν αὐτὴν τὴν ἀκολουθίαν ἀναγνῶναι ἐπὶ τῆς ὑμετέρας ἀγάπης· ἵνα εἰδέναι ἔχοιτε, τίνα ἐστὶν, ἃ μέλλομεν ἐρεῖν πρὸς ὑμᾶς. εὐθέως οὖν ἐπήγα-

C γεν ἡ θεία γραφὴ, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. καὶ ηὐλόγησεν αὐτοὺς ὁ θεὸς λέγων, αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. βραχέα τὰ ῥήματα, ἀλλὰ πολὺς ὁ ἐγκείμενος θησαυρὸς τοῖς βραχέσι τούτοις ῥήμασι. πνεύματι γὰρ φθεγγόμενος ὁ μακάριος οὗτος προφήτης

D ἀπόρρητά τινα ἡμᾶς νῦν διδάσκειν βούλεται. ἐπειδὴ γὰρ εἶπε, ποιήσωμεν ἄνθρωπον, καὶ βουλὴν ὡς εἰπεῖν καὶ σκέψιν προσέθηκεν ὁ τῶν ἁπάντων δημιουργὸς διὰ τοῦ σχήματος τούτου τὴν τιμὴν ἐπιδεικνύμενος τὴν περὶ τοῦ μέλλοντος διαπλάττεσθαι· καὶ πρὸ τῆς διαπλάσεως ἐδίδαξεν ἡμᾶς καὶ τὸ μέγεθος τῆς ἀρχῆς, ἣν μέλλει ἐγχειρίζειν τῷ δημιουργεῖσθαι μέλλοντι. εἰπὼν οὖν ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, ἐπήγαγε· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης. ὅρα πῶς ἐκ προοιμίων τὸν θησαυρὸν ἡμῖν τὸν ἐγκεκρυμμένον ὑποδείκνυσι.

πνεύματι γὰρ θείῳ φθεγγόμενος ὁ προφήτης, καὶ τὰ μηδέπω ὑφεστῶτα ὡς ὑφεστῶτα καὶ γεγενημένα ὁρᾷ. τίνος οὖν ἕνεκεν εἰπέ μοι εἰπών, ποιήσωμεν ἄνθρωπον, νῦν λέγει, καὶ ἀρχέτωσαν; λανθάνον τι μυστήριον ἡμῖν ἐντεῦθεν ἤδη λοιπὸν παραδηλοῖ. τίνες ἀρχέτωσαν; ἢ δῆλον καὶ τὴν τῆς γυναικὸς αἰνιττόμενος διάπλασιν τοῦτο εἴρηκεν; ὁρᾷς ὅπως οὐδέν ἐστι τῶν ἐν τῇ θείᾳ γραφῇ ἁπλῶς καὶ εἰκῆ κείμενον; ἀλλὰ καὶ τὸ τυχὸν ῥῆμα πολὺν ἔχει ἐναποκείμενον τὸν θησαυρόν; καὶ μὴ ξενίσῃ σε ἀγαπητὲ τὸ εἰρημένον. τοιοῦτον γὰρ ἔθος ἅπασι τοῖς προφήταις περὶ τῶν μηδέπω γεγενημένων ὡς γεγενημένων διαλέγεσθαι. ἐπειδὴ γὰρ τοῖς πνευματικοῖς ἑώρων ὀφθαλμοῖς τὰ μετὰ πολὺν ἐτῶν ἀριθμὸν μέλλοντα γίνεσθαι, διὰ τοῦτο ὡς ἤδη πρὸ τῶν ὀφθαλμῶν κείμενα κατοπτεύοντες τὰ πράγματα οὕτως ἅπαντα διελέγοντο. καὶ ἵνα μάθῃς τοῦτο σαφῶς, ἄκουε τοῦ μακαρίου Δαβὶδ λέγοντος, καὶ πρὸ τοσούτων γενεῶν τὰ κατὰ τὸν σταυρὸν τοῦ Χριστοῦ προφητεύοντος καὶ βοῶντος· ὤρυξαν χεῖράς μου καὶ πόδας μου· καὶ πάλιν, διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς. ὁρᾷς πῶς τὰ μέλλοντα μετὰ χρόνον πολὺν ἔσεσθαι, ὡς ἤδη γεγενημένα προανεφώνει; οὕτω καὶ ὁ μακάριος οὗτος προφήτης ἤδη αἰνιττόμενος ἡμῖν τὴν τῆς γυναικὸς διάπλασιν αἰνιγματωδῶς φησι, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης. εἶτα προϊὼν πάλιν σαφέστερόν φησι, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. σκόπει πόσῃ κέχρηται τῇ ἀκριβείᾳ καὶ ἅπαξ καὶ δεύτερον τὸ αὐτὸ λέγων, ἵνα δυνηθῇ ἐναποτεθῆναι τῇ τῶν ἀκροατῶν διανοίᾳ τὰ λεγόμενα. εἰ γὰρ μὴ τοῦτο ἦν αὐτῷ τὸ σπουδαζόμενον, ἤρκει εἰπεῖν, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· ἀλλὰ πάλιν προστίθησι κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἐπειδὴ γὰρ ἐδίδαξεν ἡμᾶς διὰ τῶν προλαβόντων κατὰ τί εἴρηται τὸ κατ' εἰκόνα, διὰ τοῦτο πάλιν ἐνταῦθα τὸν αὐτὸν ἐπαναλαμβάνων λόγον φησί, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. καὶ ἵνα μηδὲ ἀναίσχυντον καταλίπῃ ἀπολογίας πρόφασιν τοῖς μάχεσθαι βουλομένοις τοῖς τῆς ἐκκλησίας δόγμασι, κατὰ μικρὸν προϊὼν διδάσκει τὰ αὐτὰ πάλιν, ὅτι κατὰ τὸ ἄρχειν καὶ ὑποτεταγμένα ἔχειν ἅπαντα τὰ δημιουργήματα, κατὰ τοῦτο τῷ τῆς εἰκόνος ὀνόματι ἐχρήσατο. τέως δὲ ἴδωμεν τί φησι.

A Spiritu enim diuino loquens propheta, & quæ nondum ſubſiſtebant, quaſi ſubſiſtentia & facta videt. Quare ergo, dic obſecro, vt dixit, Faciamus hominem: nunc dicit, Et dominentur? Occultum nobis ſacramentum hic iam conſequenter declarat; Quinam dominentur? mulieris videlicet innuens formationem, hoc dixit. Vides quomodo nihil ineſt diuinis literis temerè & abſque cauſa poſitum: etiam verbum quod fortuitum videri poſſet, magnum theſaurum in ſe latentem continet. Et ne mireris quod dictum eſt. Mos enim B hic eſt prophetarum omnium, de nondum factis vt de factis loqui: quia mentalibus oculis videbant, quæ poſt multorum annorum curricula erant futura: & idcirco quaſi nunc ob oculos poſita ſpectarent, ita cuncta narrabant. Et quò manifeſtè hoc ſcias, audi beatum Dauidem dicentem, & ante tot ſecula vaticinantem de cruce Chriſti, & clamantem: Foderunt manus meas & pedes meos. Et iterum: Diuiſerunt veſtimenta mea ſibi. Vides quomodo C poſt longum tempus futura, quaſi iam facta prædixit? Sic & beatus ille propheta iam inſinuans nobis mulieris formationem, ænigmaticè & obſcurè dicit: Et dominentur piſcibus maris. Et progreſſus vltrà manifeſtius inquit: *Et fecit Deus hominem, ſecundum imaginem Dei fecit illum, maſculum & foeminam fecit illos.* Animaduerte quanta vſus eſt diligentia, ſemel atque iterum idem dicens, vt in mentibus auditorum bene reponi poſſint quæ dicuntur. Nónne niſi hoc ei curæ fuiſſet, ſufD ficiebat dicere, Et fecit Deus hominem: ſed iterum apponit: Secundum imaginem Dei fecit illum. Poſtquam enim nos docuit per præcedentia, quid ſit ſecundum imaginem: denuò ea de cauſa hic eundem repetit ſermonem, & dicit: Secundum imaginem Dei fecit eum. Et vt ne impudentem quidem defenſionis prætextum relinquat eccleſiæ dogmata impugnare volentibus, paululum progreſſus idem iterum docet, quòd ideo imaginis nomine vſus ſit, quòd imperaturus, & ſub ſe creaturas omnes habiturus eſſet. Iam videamus quid dicit:

Pſal. 18. & 19.

Et fecit Deus hominem: ſecundùm imaginem Dei fecit illum, maſculum & fœminam fecit illos. Id quod ſuprà inſinuauerat, dicens: Et dominentur: hic manifeſtius dixit, idipſum tamen reconditiori modo nos docens. Nondum enim de formatione docuerat, neque dixerat vnde mulier producta. Maſculum, inquit, & fœminam fecit illos. Vidiſti quomodo, quod nondum factum, quaſi iam factum narrauit? Tantum valent oculi ſpirituales. Neque enim tantum præſtare poſſunt corporales illi oculi, qui viſibilia cernunt, quantum oculi ſpiritus, qui ea quæ non videntur neque ſubſiſtunt, videre poſſunt. Igitur vt dixit, Maſculum & fœminam fecit illos: quaſi vtrique benedictionem daret, dicit: Et benedixit illis Deus, dicens: Creſcite, & multiplicamini, & implete terram: & dominamini illi, Et imperate piſcibus maris. Ecce quàm eminens benedictio. Nam hoc, Creſcite, & multiplicamini, & implete terram: etiam de brutis animalibus, & reptilibus dictum eſt: ſed, Dominamini & imperate, de viro & muliere dictum. Vide benignitatem domini. Antequam mulierem producat, participem illam facit imperij, & benedictionis honore dignatur. Et imperate, ait, piſcibus maris, & volatilibus cœli, & omnibus pecoribus, & vniuerſæ terræ: & omnibus reptilibus, quæ repunt ſuper terram. Vidiſti inenarrabilem poteſtatem? Vidiſti principatus magnitudinem? Vidiſti condita omnia ſub huius poteſtatem redacta? Nihil poſthac mediocre de rationali hoc animali imagineris, ſed cogita honoris magnitudinem, & domini erga illud beneuolentiam, obſtupeſcens illius immenſam & inenarrabilem benignitatem. 29. *Et dixit Deus: Ecce dedi vobis omnem herbam ſatiuam, ſeminans ſemen, quod eſt ſuper terram: & omne lignum quod habet in ſeipſo fructum ſeminis ſatiui, vobis erit in cibum,* 30. *& omnibus feris terræ, & omnibus volatilibus cœli, & omni reptili repenti ſuper terram, quod habet in ſeipſo animam vitæ, & omnem herbam viridem in cibum. Et factum eſt ita.* Vide obſecro chariſſime, verborum diligentiam, & ineffabilem Dei benignitatem

A καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. ὅπερ ἀνωτέρω ᾐνίξατο, εἰπών, καὶ ἀρχέτωσαν. καὶ ἐνταῦθα σαφέστερον εἶπε· καὶ αὐτὸ δὲ ὅμως κεκρυμμένως ἡμᾶς ἐδίδαξεν. οὐδέπω γὰρ περὶ τῆς διαπλάσεως ἡμᾶς ἐδίδαξας, οὐδὲ εἰπών, πόθεν ἡ γυνὴ παρήχθη, φησίν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. εἶδες πῶς τὸ μηδέπω γεγονὸς ὡς γεγονὸς διηγήσατο; τοιοῦτοι γὰρ οἱ πνευματικοὶ ὀφθαλμοί. οὐδὲ γὰρ οὕτως οἱ σωματικοὶ ὀφθαλμοὶ τὰ ὁρώμενα βλέπειν δύνανται, ὡς οἱ τοῦ πνεύματος ὀφθαλμοὶ τὰ μὴ ὁρώμενα μηδὲ τὰ B ὑφεστῶτα. εἰπὼν τοίνυν ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, ὡς πρὸς ἀμφοτέρους τὴν εὐλογίαν ποιεῖται, καί φησι. καὶ ηὐλόγησεν αὐτοὺς ὁ θεὸς λέγων αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης. ἰδοὺ τὸ ἐξαίρετον τῆς εὐλογίας· τὸ γὰρ αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ ἐπὶ τῶν ἀλόγων ζώων, καὶ ἐπὶ τῶν ἑρπετῶν ἴδοι τις ἂν εἰρημένον, τὸ δὲ κατακυριεύσατε, καὶ ἄρχετε, ἐπὶ τοῦ ἀνθρώπου καὶ τῆς γυναικός. ὅρα φι- C λανθρωπίαν δεσπότου· πρὶν ἢ παραγαγεῖν αὐτήν, κοινωνὸν αὐτὴν τῆς ἀρχῆς ἀπεργάζεται, καὶ τῆς εὐλογίας αὐτὴν ἀξιοῖ. καὶ ἄρχετε φησι τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν ἑρπόντων ἐπὶ τῆς γῆς. εἶδες ἐξουσίαν ἄφατον; εἶδες ἀρχῆς μέγεθος; εἶδες πάντα τὰ δημιουργηθέντα ὑπὸ τὴν τούτου ὑποταγὴν γινόμενα; μηδὲν λοιπὸν μικρὸν φαντασθῇς περὶ τοῦ ζώου τούτου τοῦ λογικοῦ, ἀλλ' ἐννόει τιμῆς τὸ μέγεθος, καὶ τὴν περὶ αὐτὸ εὔνοιαν τοῦ δεσπότου, ἐκπλήττου τὴν ἄφα- D τον αὐτοῦ φιλανθρωπίαν. καὶ εἶπεν ὁ θεός· ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον, σπεῖρον σπέρμα ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν, καὶ πᾶσι θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. καὶ ἐγένετο οὕτως. θέα μοι τῶν ῥημάτων τὴν ἀκρίβειαν ἀγαπητέ, καὶ τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, καὶ μηδὲν

καὶ μηδὲν ἁπλῶς παραδράμῃς τῶν εἰρημένων. καὶ εἶπε, φησὶν, ὁ θεός· ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον· ὡς πρὸς τοὺς δύο ἡ διάλεξις γίνεται, καὶ ταῦτα μηδέπω τῆς γυναικὸς παραχθείσης. εἶτα ἵνα μάθῃς αὐτοῦ τὴν ὑπερβάλλουσαν ἀγαθότητα, ὅρα πῶς οὐ μέχρι τοῦ ἀνθρώπου καὶ τῆς γυναικὸς τῆς μηδέπω παραχθείσης τὴν φιλανθρωπίαν ἐπιδείκνυται, καὶ τὴν ὑπερβάλλουσαν φιλοτιμίαν, ἀλλὰ καὶ μέχρι [illegible] τῶν ἀλόγων. εἰπὼν γὰρ, ὑμῖν ἔσται εἰς βρῶσιν, ἐπήγαγε, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς. ὅρα πάλιν ἑτέραν ἄβυσσον φιλανθρωπίας. οὐ μόνον γὰρ τῶν ἀλόγων τῶν ἡμέρων, καὶ πρὸς τροφὴν ἡμῖν ἐπιτηδείων, καὶ πρὸς ὑπηρεσίαν, πρόνοιαν πεποίηται, ἀλλὰ καὶ τῶν θηρίων. καὶ τίς ἂν κατ' ἀξίαν ἐφίκοιτο τῆς ἀπείρου ταύτης ἀγαθότητος; ὑμῖν ἔσται εἰς βρῶσιν, φησὶ, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. πολλὴ τοῦ δεσπότου δείκνυται ἡ περὶ τὸν ἄνθρωπον τὸν ὑπ' αὐτοῦ δημιουργηθέντα πρόνοια. ἐπειδὴ γὰρ αὐτὸν παρήγαγε, καὶ πᾶσαν αὐτῷ τὴν ἀρχὴν τῆς δημιουργίας ἐνεχείρισεν, ἵνα μὴ εὐθέως καὶ ἐκ προοιμίων ὁρῶν τῶν ἀλόγων τὸ πλῆθος, δυσχεραίνειν ἔχῃ, ὡς οὐ μὴ δυνάμενος ἀρκέσαι πρὸς τὴν τῶν τοσούτων ζώων τροφὴν, πρὶν ἢ καὶ ἔννοιαν αὐτὸν τινὰ δέξασθαι περὶ τούτου, προλαβὼν ὁ ἀγαθὸς δεσπότης παραμυθούμενος αὐτὸν, ὡς εἰπεῖν, καὶ δηλῶν, ὡς καὶ αὐτὸς, καὶ τὰ ἄλογα πάντα πολλὴν ἕξει τὴν ἀφθονίαν, τῆς γῆς τῷ προστάγματι τοῦ δεσπότου πρὸς τὴν διατροφὴν τούτων ὑπηρετουμένης, εἰπὼν, ὑμῖν ἔσται εἰς βρῶσιν, εὐθέως ἐπήγαγε, καὶ τοῖς θηρίοις τῆς γῆς καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. καὶ ἐγένετο οὕτω. πάντα ὅσα προσέταξεν ὁ δημιουργὸς, φησὶν, εἰς ἔργον ἐξῆλθε, καὶ πάντα εἰς τὴν προσήκουσαν εὐταξίαν ἀποκατέστη. διά τοι τοῦτο εὐθέως ἐπήγαγε, καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. τίς ἂν κατ' ἀξίαν ἀνυμνήσειε τῆς θείας γραφῆς τὴν ἀκρίβειαν; ἰδοὺ γὰρ καὶ ἐνταῦθα διὰ μιᾶς λέξεως εἰποῦσα, καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, πάντων τῶν μετὰ ταῦτα ἀντιλέγειν ἐπιχειρούντων τὴν γλῶτταν ἐπεστόμισε. καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, φησὶ, καὶ ἰδοὺ καλὰ λίαν.

A & ne quid dictorum ſimpliciter prætereas. Et dixit, inquit, Deus: Ecce dedi vobis omnem herbam ſatiuam: quaſi ad duos ſermo fit, quamuis nõdum muliere producta. Deinde vt diſcas excellentem eius bonitatem, vide quomodo eminentem benignitatem, & miram liberalitatẽ non in viro & muliere nondum formata ſolum declaret, ſed & in ipſis brutis. Nam vt dixit: Vobis erit in cibum: ſubdidit: Et omnibus beſtiis terræ. Vide iterum aliam abyſſum benignitatis: B non enim ſolùm brutis domeſticis, & noſtro vſui ſeruientibus, vel paſcendo, vel miniſtrando, ſed & feris proſpexit. Et quis pro dignitate attigerit immenſam iſtam bonitatẽ? Vobis erit in cibum, inquit, & omnibus beſtiis terræ, & omnibus volatilibus cœli, & omni reptili repenti ſuper terram, quod habet in ſemetipſo animam vitæ, & omnem herbam viridem in cibum. Magna domini erga hominem, quem condidit oſtenditur cura. Nam poſtquam ipſum C produxit, & omne ei dominium creaturæ tradidit: vt ne ſtatim ab initio iumentorum multitudinem videns, ſtomachari poſſit, quaſi non ſufficeret ad alenda tot & tanta animalia: priuſquam de hoc cogitaret, bonus Deus præueniendo demulcet eum (vt ita dicam) & oſtendit quòd tam ipſe quàm iumenta & bruta omnia, præcepto domini omnem copiam ad hæc alenda terra ſuppeditante ſit habiturus. Nam poſtquam dixit: Erit vobis in cibum: mox ſubiunxit: Et omnibus beſtiis terræ, & D volatilibus cœli, & omni reptili repenti ſuper terram, quod habet in ſemetipſo animam vitæ, & omnem herbam viridem in cibum. Et factum eſt ita. Omnia quæcunque imperauit conditor, inquit, opere perfecta ſunt, & omnia in congruo ordine ſunt conſtituta, propterea ſtatim ſubdit: Et vidit Deus omnia quęcunque fecit, & ecce bona valde. Quis pro dignitate laudarit diuinæ ſcripturæ diligentiam? Ecce enim & hîc verbo vno dicens: Et vidit Deus omnia quæcunque fecit, linguam omnium contradicere conantium compeſcuit. Et vidit Deus, inquit, quæcunque fecit, & erant valde bona.

Et facta eſt veſpera, & factum eſt mane dies ſextus. Quoniam enim de vnaquaque creatura dicebat: Et vidit Deus quoniam bonum: nunc quando omnia completa ſunt, & dici ſexti opera finem acceperunt, & qui creaturis omnibus fruiturus erat, productus eſt, inquit, & vidit Deus omnia quæcunque fecit, & ecce valde bona. Conſidera quomodo creaturas omnes verbo, omnia, ſimul complexus, omnes ſimul magna laude proſecutus eſt. Neque enim vt dixit omnia, contentus fuit eo verbo: ſed ſubdidit: Quæcunque fecit. Et neque hæc tantùm dixit: ſed, Et ecce bona, valde bona hoc eſt admodum bona. Igitur cùm Deus, qui res ex nihilo vt eſſent produxit, eas valdè bonas, & admodum bonas dicit: quis tam inſanus, vt vel os aperire, & contradicere Dei verbis audeat? Quoniam enim in viſibilibus non ſolum lumen condidit, ſed & tenebras aduerſas luci: & non ſolum diem, ſed & noctem contrariam diei: & in ſeminibus quæ ex terra naſcuntur, non ſolum herbas vtiles, ſed & pernicioſas: & arbores non ſolum fructuoſas, ſed & infructuoſas: & animalia non ſolum manſueta, ſed & ſylueſtria truculenta: & in his quæ aquæ produxerunt, non ſolum piſces, ſed & cete, & alias marinas belluas. Et terra non ſolum habitabilis eſt, ſed & inhabitabilis. Et non ſolum plani campi ſunt ſed etiam montes & colles. Et inter aues, non ſolum domeſticæ & altiles, ſed & feræ, & immundæ, & milui, & vultures, & aliæ quædam. Præterea in his quæ terra profert, non ſunt tantum manſueta & innoxia animalia: ſed & ſerpentes, & viperæ, & dracones, & leones, & pardi. Quin & in aëre non ſolum pluuiæ & venti vtiles, ſed & grandines & niues. Et ſi quis ſingula pertractare vellet, multa in vnaquaque creaturarum inueniet, quæ non ſolum non vtilia, ſed & nociua exiſtimentur. Et ideo vt nulli poſthac liceat ob creaturas accuſare conditorem, & dicere: Quare hoc, & ad quid iſtud? hoc bene factum eſt, hoc non bene: ideo ſacra ſcriptura omnes ingratè obloqui,

Per hanc dictionem omnia, omnes creaturas complectitur.

A καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη. ἐπειδὴ γὰρ ἐφ' ἑκάστου τῶν δημιουργηθέντων ἔλεγε, καὶ εἶδεν ὁ θεὸς ὅτι καλὸν, νῦν ὅτε τὰ πάντα συνετελέσθη, καὶ τὰ τῆς ἕκτης ἡμέρας ἔργα τέλος ἔλαβε, καὶ ὁ μέλλων πάντων τῶν δημιουργηθέντων ἀπολαύειν εἰς τὸ μέσον παρήχθη, φησὶ, καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. σκόπει πῶς συλλαβὼν τὰ δημιουργηθέντα ἅπαντα διὰ τῆς λέξεως ταύτης τῆς πάντα πᾶσι τοῖς δημιουργηθεῖσι τὸν ἔπαινον ἀπεκλήρωσεν. οὐδὲ γὰρ εἰποῦσα, ἅπαντα, ἠρκέσθη, ἀλλ' ἐπήγαγεν, ὅσα ἐποίησε, καὶ οὐδὲ B μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἰδοὺ καλὰ, καὶ λίαν καλά φησι. τοῦτ' ἔστι πάνυ καλά. ὅταν μὲν οὖν ὁ δεσπότης, ὁ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, καλὰ καὶ πάνυ καλὰ τὰ δημιουργήματα προσείποι, τίς ἂν τολμήσειε, κἂν αὐτομανίας ᾖ πεπληρωμένος, διᾶραι τὸ στόμα καὶ ἀντιφθέγξασθαι τοῖς ὑπὸ τοῦ θεοῦ ῥηθεῖσιν; ἐπειδὴ γὰρ ἐν τοῖς ὁρωμένοις οὐ μόνον φῶς ἐδημιουργήθη, ἀλλὰ καὶ σκότος ἀπ' ἐναντίας τῷ φωτὶ, καὶ οὐ μόνον ἡμέρα, ἀλλὰ καὶ νὺξ ἀπ' ἐναντίας τῇ ἡμέρᾳ, καὶ ἐπὶ τῶν ἐκ τῆς γῆς ἀ- C ναδιδομένων σπερμάτων, οὐ μόνον βοτάναι χρήσιμοι, ἀλλὰ καὶ ὀλέθριαι, καὶ δένδρα οὐ μόνον ἔγκαρπα, ἀλλὰ καὶ ἄκαρπα, καὶ ζῶα οὐ μόνον ἥμερα, ἀλλὰ καὶ ἄγρια καὶ ἀτίθασσα, καὶ ἐπὶ τῶν ἐκ τῶν ὑδάτων ἀναδοθέντων οὐ μόνον ἰχθύες, ἀλλὰ καὶ κήτη καὶ ἕτερα θηρία θαλάττια, καὶ γῆ οὐ μόνον οἰκουμένη, ἀλλὰ καὶ ἀοίκητος· καὶ οὐ μόνον ὕπτια πεδία, ἀλλὰ καὶ ὄρη καὶ νάπαι, καὶ ἐπὶ τῶν πετεινῶν, οὐ μόνον ἥμερα καὶ πρὸς τροφὴν ἡμῖν ἐπιτήδεια, ἀλλὰ καὶ ἄγρια καὶ ἀκάθαρτα ζῶα, καὶ ἰκτῖνες καὶ γῦπες καὶ ἕτερα πολλὰ τοιαῦτα, καὶ ἐπὶ τῶν ἐκ τῆς γῆς ἀναδοθέντων οὐ μόνον D ἥμερα ζῶα, ἀλλὰ καὶ ὄφεις καὶ ἔχεις καὶ δράκοντες καὶ λέοντες καὶ παρδάλεις, καὶ ἐπὶ τοῦ ἀέρος πάλιν οὐ μόνον ὑετοὶ καὶ ἄνεμοι ἐπιτήδειοι, ἀλλὰ καὶ χάλαζαι καὶ χιόνες καὶ εἴ τις καθ' ἕκαστον ἐπεξιέναι βούλοιτο, πολλὰ εὑρήσει ἐφ' ἑκάστῳ τῶν δημιουργηθέντων, οὐ μόνον ἡμῖν χρήσιμα, ἀλλὰ καὶ βλαβερὰ νομιζόμενα. ἵν' οὖν μηδενὶ ἐξῇ τῶν μετὰ ταῦτα πρὸς τὰ δημιουργηθέντα ἀποβλεπόντων ἐπισκήπτειν τοῖς γεγενημένοις, καὶ λέγειν διὰ τί τοῦτο; εἰς τί τοῦτο; καὶ τὸ μὲν καλῶς γεγένηται, τὸ δὲ οὐ καλῶς· διὰ τοῦτο ἡ ἁγία γραφὴ πάντας,

ὡς εἰπεῖν, τοὺς ἀγνωμονοῦντας ἐπιχειροῦντας ἐπιστομίζουσα κατὰ τὴν ἕκτην ἡμέραν μετὰ τὴν ἁπάντων δημιουργίαν φησί, καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. τί ταύτης τῆς ἀξιοπιστίας ἴσον γένοιτ᾽ ἄν, ὅταν αὐτὸς ὁ δημιουργὸς τῶν ἁπάντων ψηφίζεται καὶ λέγῃ, ὅτι πάντα τὰ γεγενημένα καλὰ καὶ καλὰ λίαν; ὅταν τοίνυν ἴδῃς τινὰ ἐξ οἰκείων λογισμῶν κινούμενον καὶ βουλόμενον ἀντιφθέγγεσθαι τῇ θείᾳ γραφῇ, ὡς μαινόμενον ἀποστράφηθι· μᾶλλον δὲ μηδὲ ἀποστραφῇς, ἀλλ᾽ ἐλεῶν αὐτὸν τῆς ἀγνοίας, πάραγε τὸ παρὰ τῆς θείας γραφῆς εἰρημένον καὶ λέγε, ὅτι εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ εἶπεν, ἰδοὺ καλὰ λίαν· καὶ ἴσως ἐπισχεῖν αὐτοῦ δυνήσῃ τὴν ἀκόλαστον γλῶτταν. εἰ γὰρ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐπειδὰν ἴδωμέν τινας τῶν ἐν ἀξιώμασι ψηφιζομένους τοῖς γεγενημένοις οὐκ ἀντιτείνομεν, ἀλλὰ συγκατατιθέμεθα, καὶ τῆς οἰκείας κρίσεως πολλάκις προτιμῶμεν τὴν παρ᾽ ἐκείνων ψῆφον· πολλῷ μᾶλλον ἐπὶ τοῦ τῶν ὅλων θεοῦ, τοῦ δημιουργοῦ τῶν ὁρωμένων ἁπάντων, τοῦτο ποιεῖν χρή, καὶ μαθόντας τὴν παρ᾽ αὐτοῦ ψῆφον κατακοιμίζειν τοὺς ἡμετέρους λογισμούς, καὶ μηδὲν περαιτέρω τολμᾷν, ἀλλ᾽ εἰδέναι καὶ πεπληροφορῆσθαι, ὅτι πάντα λόγῳ τινὶ καὶ φιλανθρωπίᾳ παρ᾽ αὐτοῦ παρήχθη, καὶ οὐδέν ἐστιν ἁπλῶς καὶ εἰκῇ γεγενημένον. ἀλλὰ κἂν ἡμεῖς διὰ τὴν ἀσθένειαν τῶν ἡμετέρων λογισμῶν ἀγνοῶμεν τὴν χρείαν τῶν γεγενημένων, αὐτὸς κατὰ τὴν αὐτοῦ σοφίαν καὶ ἀμήχανον φιλανθρωπίαν ἅπαντα παρήγαγε. καὶ ἐγένετο, φησιν, ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη. τῷ τέλει τῆς ἕκτης ἡμέρας καὶ τὸ τέλος τῶν δημιουργημάτων ἁπάντων ἐπέθηκε· διὰ τοῦτο καὶ ἐπήγαγε. καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν. σκόπει τὸ ἀνεπαχθὲς καὶ ἀπέριττον τῆς θείας γραφῆς. τῶν συνεκτικωτάτων στοιχείων μνημονεύσασα, οὐκέτι κατὰ μέρος τῶν λοιπῶν ἐμνήσθη, ἀλλ᾽ εἰποῦσα, συνετελέσθη ὁ οὐρανὸς καὶ ἡ γῆ, φησι, καὶ πᾶς ὁ κόσμος αὐτῶν, ἐμφαίνουσα διὰ τούτου τὰ κατὰ τὴν γῆν ἅπαντα καὶ τὸν οὐρανόν· κόσμος γὰρ τῆς γῆς τὰ ἐξ αὐτῆς ἀναδιδόμενα, ἡ βλάστη τῶν βοτανῶν, τῶν καρπῶν ἡ φορά, τῶν δένδρων οἱ καρποί, τὰ ἄλλα ἅπαντα, οἷς αὐτὴν ὁ δημιουργὸς κατεκόσμησε·

A vt ita dicam, tẽtantes compeſcitura, ſexto die abſolutis creaturis omnibus, inquit: Et vidit Deꝰ omnia quæcunq; fecit, &ecce valde bona. Quid igitur, obſecro, par fuerit tam fidelibus teſtimoniis? cui iuſtius fides habenda, quàm conditori, qui ipſe calculum ſuum affert, & dicit: Omnia quæcunque facta ſunt, bona ſunt, & valde bona? Quocirca cùm videris aquem, qui ſuis rationibus motus, obloqui diuinæ ſcripturæ audet, eum quaſi inſanum auerſare: imò ne auerſeris, ſed miſertus ignorantiæ eius, cita quod ait diuina ſcriptura, & dic, B Vidit Deus omnia quæcunque fecit, & dixit: Ecce valde bona: fortaſſis indomitam illius linguam continere poteris. Nam ſi in humanis rebus cùm videmus viris grauibus ea quæ fiunt probari, calculo illorum non obſiſtimus, ſed aſtipulamur, & illorum ſententiam proprio iudicio & operi præferimus: quantò magis in his viſibilibus, quæ à Deo omnium opifice facta ſunt, hoc fieri oportet, præſertim cùm ab ipſomet ſuam de his acceperimus ſententiam? Proinde C ſopiantur rationes noſtræ, & nihil illi vltrà præferatur: idoneis autem & crebris argumentis perſuaſum ſit, quòd omnia ratione quadam & miſericordia ab eo producta ſint; & in ſumma nihil temerè & abſque cauſa factum. Verùm licet nos, ob noſtræ rationis imbecillitatem, ignoremus factorum cauſam: ipſe tamen iuxta ſuam ſapientiam & ſolertiſſimam benignitatem omnia produxit. Et facta eſt, inquit, veſpera, & factum eſt mane, dies ſextus. Fini diei ſextæ etiam finem formandi D creaturas addidit, & propter hoc ſubdit & dicit: *Et perfecta ſunt coelum, & terra, & omnis ornatus eorum.* Conſidera quàm nihil ſit ſuperfluum, nihílque non amabile in diuinis litteris. Poſtquam elementorum cuncta complectentium meminit, non vltrà particulatim commemorat, ſed vt dixit: perfecta ſunt cœlum & terra, inquit, & omnis ornatus eorum. Quo ſignificat omnia & quæ in cœlo, & quæ in terra. Ornatus enim terræ ſunt ea, quæ ab illa proferuntur, vt herbarum germina, fructuum prouentus, arborum fructus, aliáque omnia quibus illam Deus ornauit.

ornatus autem cœli, ſol, luna, ſtellarum varietas, creaturæque omnes intermediæ. Et idcirco ſacra ſcriptura cœlum terrámque commemorans, omne Dei opificium per hæc elementa complexa eſt. Et perfecit, inquit, Deus die ſexto opera ſua quæ fecit. Conſidera quomodo ſemel & iterum idem dicit, vt diſcamus quòd intra ſextum diem abſoluta ſunt omnia. *Perfecit*

Gene. 2. *enim*, inquit, *die ſexto opera ſua quæ fecit.* [3] *Et requieuit Deus die ſeptimo ab omnibus operibus ſuis quæ fecit.* Quid eſt quod dicit: Requieuit Deus die ſeptimo ab operibus ſuis quæ fecit? Vide quomodo humano more, & quadam attemperatione ad noſtram imbecillitatem, diuina ſcriptura loquitur: alioqui niſi hac ratione vſa fuiſſet, non poſſibile erat vt aliquid dictorum eius intelligeremus. Et requieuit, inquit, Deus die ſeptimo ab omnibus operibus ſuis, quæ fecit. Quaſi diceret: Subſtitit, & ceſſauit à formandis producendíſque ex nihilo rebus vt eſſent. Omnia enim quęcunque oportebat, produxerat: & eum qui his fruiturus erat formauerat. *Et benedixit*, inquit, *Deus diem ſeptimum, & ſanctificauit illum, quia in illo requieuit ab omnibus operibus ſuis, quæ cœperat Deus facere.* Nam poſtquam ſubſtitit opifex, & omnia quæcunque voluit, ſecundùm benignitatem ſuam produxit in medium ſuo præcepto, tunc finem formandi fecit die ſexto. Nihil enim aliud die ſeptimo producere voluit, eò quòd omnia, quę facere voluerat, iam perfecta erant. Et vt habeat etiam dies ille prærogatiuam aliquam, & ne videatur minus aliquid habere, eo quòd nihil in eo factum ſit, benedictione ipſum dignatus eſt. Et benedixit, inquit, Deus diem ſeptimum, & ſanctificauit illum. Quid igitur? non erant & cæteri dies benedicti? Etiam profectò, ſed ſufficiebat illis pro omni benedictione, quòd in ſingulis illis creaturæ productæ fuerunt. Et ideo de illis non inquit: Et benedixit: in ſolo autem ſeptimo hoc dixit, & appoſuit: Et ſanctificauit illum. Quid eſt, & ſanctificauit illum? & ab aliis illū ſegregauit. Deinde docens nos diuina ſcriptura

A καὶ τοῦ οὐρανοῦ πάλιν κόσμος, ἥλιος, σελήνη, τῶν ἄστρων ἡ ποικιλία, καὶ τὰ ἐν μέσῳ ἅπαντα δημιουργήματα. διὰ τοῦτο τοῦ οὐρανοῦ καὶ τῆς γῆς μνημονεύσασα ἡ θεία γραφὴ, πᾶσαν τὴν δημιουργίαν διὰ τούτων τῶν στοιχείων συμπεριέλαβε. καὶ συνετέλεσε, φησὶν, ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε. σκόπει πῶς καὶ ἅπαξ καὶ δεύτερον τὸ αὐτὸ λέγει, ἵνα μάθωμεν, ὅτι μέχρι τῆς ἕκτης ἡμέρας τὰ τῆς δημιουργίας ἅπαντα γεγένηται. συνετέλεσε γὰρ, φησι, τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ

B ἔργα αὐτοῦ ἃ ἐποίησε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. τί ἐστι, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε; θέα, πῶς ἀνθρωπίνως καὶ διὰ τὴν πρὸς ἡμᾶς συγκατάβασιν ἅπαντα διαλέγεται ἡ θεία γραφή. οὐδὲ γὰρ ἦν ἄλλως ἡμᾶς συνιέναι τι τῶν λεγομένων μὴ τοσαύτης ἀξιωθέντας συγκαταβάσεως. καὶ κατέπαυσε, φησὶν, ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν. ἔστη, φησὶ, τοῦ δημιουργεῖν, καὶ

C παράγειν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. πάντα γὰρ ὅσα ἐχρῆν, παρήγαγε, καὶ τὸν μέλλοντα τούτων ἀπολαύειν ἐδημιούργησε. καὶ εὐλόγησε, φησιν, ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτὴν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ θεὸς ποιεῖν. ἐπειδὴ γὰρ ἔστη δημιουργῶν, καὶ πάντα ὅσα ἐβουλήθη κατὰ τὴν οἰκείαν φιλανθρωπίαν παρήγαγεν εἰς τὸ μέσον τῷ οἰκείῳ προστάγματι, καὶ τέλος ἐπέθηκε τοῖς δημιουργουμένοις κατὰ τὴν ἕκτην ἡμέραν, οὐδὲν δὲ ἕτερον

D ἐβούλετο παραγαγεῖν ἐν τῇ ἑβδόμῃ διὰ τὸ πάντα ὅσα ἐβούλετο πεπληρῶσθαι, ἵν' ἔχῃ τι προτέρημα καὶ ἡ ἡμέρα αὕτη, καὶ μὴ δοκῇ ἔλαττόν τι ἔχειν διὰ τὸ μηδὲν ἐν αὐτῇ δεδημιουργῆσθαι, εὐλογίας αὐτὴν ἀξιοῖ. καὶ εὐλόγησε, φησιν, ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν. τί οὖν, αἱ λοιπαὶ οὐκ ἦσαν εὐλογημέναι; ναὶ φησιν, ἀλλ' ἤρκει ἐκείναις ἀντὶ πάσης εὐλογίας τὸ καθ' ἑκάστην αὐτῶν τὰ δημιουργήματα παραχθῆναι. διὸ ἐπ' ἐκείνων μὲν οὐκ εἶπεν εὐλόγησεν, ἐπὶ δὲ τῆς ἑβδόμης μόνης τοῦτο εἰπὼν, προσέθηκε, καὶ ἡγίασεν αὐτήν. τί ἐστι καὶ ἡγίασεν αὐτὴν, ἀφώρισεν αὐτήν. εἶτα διδάσκουσα ἡμᾶς ἡ θεία γραφή.

A καὶ τὴν αἰτίαν δι' ἣν εἴρηκεν, καὶ ἡγίασεν αὐτὴν, προστέθηκεν ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι. ἤδη ἐντεῦθεν ἐκ προοιμίων αἰνιγματωδῶς διδασκαλίαν ἡμῖν ὁ θεὸς παρέχεται, παιδεύων τὴν μίαν ἡμέραν ἐν τῷ κύκλῳ τῆς ἑβδομάδος ἅπασαν ἀνατιθέναι καὶ ἀφορίζειν τῇ τῶν πνευματικῶν ἐργασίᾳ. διὰ γὰρ τοῦτο καὶ ὁ δεσπότης ἐν ἓξ ἡμέραις τὰ τῆς δημιουργίας ἅπαντα πληρώσας, τὴν ἑβδόμην εὐλογίας ἀξιώσας ἡγίασε, διὰ τὸ ἐν αὐτῇ καταπαῦσαι ἀπὸ τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιῆσαι. ἀλλ' ἐντεῦθεν πάλιν ὁρῶ πέλαγος ἀχανὲς νοημάτων ἡμῖν τικτόμενον, καὶ βούλομαι μὴ ἁ- B πλῶς αὐτὸ παραδραμεῖν, ἀλλὰ καὶ ὑμᾶς κοινωνοὺς λαβεῖν τῆς ἐμπορείας ταύτης τῆς πνευματικῆς. τί οὖν ἐστι τὸ ἐντεῦθεν ἀνακῦπτον ἡμῖν ζήτημα; τῆς θείας γραφῆς ἐνταῦθα λεγούσης, ὅτι κατέπαυσεν ὁ θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ, ἐν τοῖς εὐαγγελίοις ὁ Χριστός φησιν, ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. οὐ δοκεῖ ἐκ τῆς προφορᾶς τῶν ῥημάτων ἐναντίωσίς τις εἶναι ἐν τοῖς λεγομένοις; ἀλλὰ οὐκ ἔστι· μὴ γένοιτο. οὐδὲν γὰρ ἐναντίον τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων. ἐνταῦθα γὰρ εἰποῦσα ἡ γραφὴ, ὅτι κατέπαυσεν C ὁ θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ, διδάσκει ἡμᾶς ὅτι τοῦ δημιουργεῖν, καὶ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν ἐπαύσατο κατὰ τὴν ἑβδόμην ἡμέραν. ὁ δὲ Χριστὸς λέγων, ὅτι ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι, τὴν διηνεκῆ αὐτοῦ πρόνοιαν ἡμῖν παραδηλοῖ, καὶ ἐργασίαν λέγει τὸ διακρατεῖν τὰ γεγενημένα, καὶ τὴν διαμονὴν αὐτοῖς χαρίζεσθαι, καὶ κυβερνᾶν τὸν σύμπαντα χρόνον. εἰ γὰρ μὴ τοῦτο ἦν, πῶς ἂν συνέστη τόδε τὸ πᾶν, μὴ τῆς ἄνωθεν χειρὸς κυβερνώσης καὶ διοικούσης καὶ τὰ ὁρώμενα ἅπαντα καὶ τὸ τῶν ἀν- D θρώπων γένος; καὶ ἐάν τις βουληθῇ μετὰ πολλῆς τῆς εὐγνωμοσύνης ἅπαντα κατ' εἶδος ἐποπτεῦσαι τὰ καθ' ἑκάστην ἡμέραν ἐπ' εὐεργεσίᾳ ἡμετέρᾳ ὑπὸ τοῦ τῶν ἁπάντων δημιουργοῦ ἐπιτελούμενα, ἄβυσσον εὑρήσει φιλανθρωπίας. ποῖος γὰρ λογισμὸς, ἢ ποία διάνοια ἐφικέσθαι δυνήσεται τῆς ἀφάτου ἀγαθότητος, ἣν περὶ τὸ τῶν ἀνθρώπων γένος ἐνδείκνυται, ἀνατέλλων τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ πᾶσαν τὴν ἄλλην ἀφθονίαν χορηγῶν;

cauſam propter quam dixit: Et ſanctificauit illum: adiicit, eò quòd in illo requieuerat ab omnibus operibus ſuis, quæ cœperat Deus facere. Iam hinc ab initio doctrinam hanc nobis inſinuat Deus, erudiens in circulo hebdomadis diem vnum integrum ſegregandum, & reponendum in ſpiritualem operationem. Quippe ob hoc dominus completo in ſex diebus opificio ſuo, ſeptimum benedictione dignatus eſt, & ſanctificauit, eò quòd in illo quieuerat ab omnibus operibus ſuis quæ facere cœperat. Verùm hîc iterum video immenſum nobis ſententiarum pelagus naſci, quod ſimpliciter præterire nolim, quin & vos harum ſpiritualium mercium participes fieri cupio. Quæ igitur illa eſt, quæ hinc exiſtit quæſtio? diuina ſcriptura hîc dicente, quòd Deus requieuit ab operibus ſuis, in euangeliis Chriſtus inquit, Pater meus vſque modo operatur, & ego operor. non videntur tibi ex verborum prolatione hæc dicta eſſe contraria? ſed abſit: nihil contrarium in ſacris ſcripturis continetur. Nam hîc quidem cùm ſcriptura dicit quòd requieuit Deus ab operibus ſuis: docet nos quòd à formando, & ex nihil res, vt eſſent, producendo, requieuerit die ſeptimo: Chriſtus autem dicens: Pater meus vſque hodie operatur, & ego operor: continentem ſuam prouidentiam nobis declarat, & operationem vocat conſeruationem factorum, quibus largitur vt permaneant, dum ea perpetuò gubernat. Niſi enim hoc eſſet, quomodo vniuerſum ſubſiſteret ac duraret, non gubernante, & dirigente ſuperna manu cùm viſibilia hæc omnia, tum humanum hoc genus? Et ſi quis voluerit prudenter & ſpeciatim inſpicere omnia, quæ quotidie in noſtrum beneficium ab omnium opifice perficiuntur, abyſſum inueniet benignitatis. Quis enim ſermo, quæ mens ad ineffabilem hanc bonitatẽ pertingere poterit, quam humano generi perpetuò oſtendit: oriri faciẽs ſolem ſuũ ſuper malos & bonos, & pluẽs ſuper iuſtos & iniuſtos, omnémque aliam copiam ſuppeditans?

Ioan. 5. 17.

Mat. 5. 45.

A Fortè prolixius quàm oportebat, ſermonem produximus: verùm hoc non abſque ratione, neque temerè factum eſt: ſed vt abſentes ex vobis diſcant, quantum ſibimetipſis damni fecerint, ob corporalem cibum ſemetipſos à ſpirituali doctrina ſubducentes. Cæterum ne valde contriſtentur, fraterna illos beneuolentia proſequamini, recenſentes ipſis quæ à nobis dicta ſunt. Hoc enim germanæ charitatis argumentum. Nam ſi inter magna charitatis indicia habent, qui ita de ſenſibilibus eduliis hoc ſuis familiaribus faciunt: B multò magis in ſpiritualibus hoc agendo, magnam nobis laudem paramus, reditque ad nos ipſos vtilitas. Nam cuius ſtudium eſt docere proximum, is non tam illi benefacit, quàm ſibiipſi magnam mercedem parat, duplicique augetur lucro, dum maiorem à Deo retributionem aſſequitur, & dum fratrem docere aggreditur, docendo interim ſibiipſi memoriam eorum quæ audiuit, renouat. Igitur cogitantes tantum lucrum veſtrum, ne inuideatis fratribus veſtris, C ſed à vobis diſcant quæ nunc à nobis dicuntur. Ne autem poſthac veſtro beneficio obnoxij hæc diſcant, ducite illos ad nos, perſuadentes ipſis, quòd nihil obeſt ſpirituali menſæ, ſi præcedat corporalis cibi ſumptio: ſed haberi debet omne tempus ſpirituali ſermoni idoneum. Hæc ſi rectè teneamus, poterimus & domi verſantes, ante & poſt conuiuium acceptis in manibus diuinis libris, vtilitatem inde capere, & ſpiritualem cibum animæ præbere. Nam ſicut corpus indiget ſenſibili cibo, ita & anima D quotidiana ſpiritualium ciborum refocillatione: vt roborata aduerſus carnis inſultus, & continuum bellum quo vrgemur, reſiſtere poſſit, quòd periculum ſit ne in ſeruitutem redigatur anima, ſi vel parum deſides eſſe voluerimus: Proinde propheta Dauid, beatum illum dixit, qui in lege Domini meditatur die ac nocte. Et beatus Moſes Iudaïci populi doctor dicit: Cùm comederis & biberis, & ſatiatus fueris, memor eſto domini Dei tui.

Moralis exhortatio.

Pſal.1. Deut. 8.

Τάχα περαιτέρω τοῦ δέοντος τὸν λόγον ἐξετείναμεν, οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοῦτο ποιήσαντες, ἀλλ' ἵνα δι' ὑμῶν μάθωσιν οἱ ἀπολειφθέντες, ὅσον ἑαυτοὺς ἐζημίωσαν, διὰ τὴν σωματικὴν τροφὴν ἀποστερήσαντες ἑαυτοὺς τῆς πνευματικῆς διδασκαλίας. ἀλλ' ἵνα μὴ ἐπιτείνηται αὐτοῖς τὰ τῆς ἀθυμίας, τὴν ἀδελφικὴν περὶ αὐτοὺς ἐπιδείξασθε εὔνοιαν, διαβιβάσαντες αὐτοῖς τὰ παρ' ἡμῶν εἰρημένα. τοῦτο γὰρ γνησίας ἀγάπης τεκμήριον. εἰ γὰρ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων οἱ τοῦτο ποιοῦντες, καὶ τὰ ἀπὸ τῆς τραπέζης τοῖς αὐτῶν γνωρίμοις διαφυλάττοντες, μέγιστον ἀγάπης τεκμήριον ἐκφέρουσι, πολλῷ μᾶλλον B ἐπὶ τῶν πνευματικῶν τοῦτο γινόμενον πολὺν ἡμῖν παρέξει τὸν ἔπαινον. πάλιν γὰρ εἰς ἡμᾶς τὰ τῆς ὠφελείας περιστήσεται. ὁ γὰρ τὸν πλησίον διδάσκειν σπουδάζων, οὐ τοσοῦτον ἐκεῖνον εὐεργετεῖ, ὅσον ἑαυτῷ μείζονα προξενεῖ τὸν μισθὸν, καὶ διπλοῦν καρποῦται τὸ κέρδος, τῆς τε παρὰ τοῦ θεοῦ ἀμοιβῆς πλείονος ἀπολαύων, καὶ αὐτὸς δι' ὧν τὸν ἀδελφὸν διδάσκειν ἐπιχειρεῖ, εἰς ὑπόμνησιν ἐρχόμενος, καὶ ἀνανεῶν παρ' ἑαυτῷ τὴν μνήμην τῶν εἰρημένων. τὸ κέρδος τοίνυν ἐννοοῦντες τὸ ὑμέτερον, μὴ φθονήσητε τοῖς ἀδελφοῖς τοῖς ὑμετέροις, ἀλλὰ νῦν μὲν τὰ C παρ' ἡμῶν λεγόμενα παρ' ὑμῶν μανθανέτωσαν. ἵνα δὲ μὴ ἐν χάριτος μέρει παρ' ὑμῶν μέλλωσι ταῦτα διδάσκεσθαι, ἕλκετε αὐτοὺς πρὸς ἡμᾶς, πείθοντες ὡς οὐδέποτε κώλυμα γὰρ πρὸς τὴν διδασκαλίαν τὴν πνευματικὴν ἡ τῆς τροφῆς τῆς σωματικῆς μετάληψις· ἀλλὰ δεῖ πάντα καιρὸν ἐπιτήδειον ἡγεῖσθαι πρὸς τὴν τῶν πνευματικῶν λόγων διάλεξιν. ἂν ταῦτα μετ' ἀκριβείας ἴσωμεν, δυνησόμεθα καὶ ἐπὶ οἰκίας διατρίβοντες, καὶ μετὰ τὴν ἑστίασιν, καὶ πρὸ τῆς ἑστιάσεως μετὰ χεῖρας λαβόντες τὰ θεῖα βιβλία τὴν ἐξ αὐτῶν καρποῦσθαι ὠφέλειαν, καὶ τὴν πνευματικὴν τροφὴν τῇ ψυχῇ παρέχειν. ὥσπερ γὰρ τὸ σῶμα D δεῖται τῆς αἰσθητῆς τροφῆς, οὕτω καὶ ἡ ψυχὴ χρήζει καθημερινῆς ὑπομνήσεως, καὶ τροφῆς πνευματικῆς, ἵνα νευρουμένη ἀντέχειν δυνηθῇ πρὸς τὰς ἐπαναστάσεις τῆς σαρκὸς, καὶ πρὸς τὸν διηνεκῆ πόλεμον τὸν ἐπικείμενον ἡμῖν, καὶ αἰχμάλωτον ἡμῶν ἀφαρπαζόμενον τὴν ψυχὴν, ἐὰν κἂν πρὸς βραχὺ ῥαθυμῆσαι βουληθῶμεν. διὸ καὶ ὁ προφήτης Δαβὶδ μακάριον ἐκεῖνον ἐκάλεσε τὸν ἐν τῷ νόμῳ κυρίου μελετῶντα ἡμέρας καὶ νυκτός· καὶ ὁ μακάριος δὲ Μωυσῆς παιδεύων τὸ τῶν Ἰουδαίων ἔθνος, ἐδίδασκεν αὐτοὺς λέγων, φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς μνήσθητι κυρίου

ἠθικόν.

τοῦ θεοῦ σου. ὁρᾷς πῶς καὶ τότε μάλιστα προσήκει μετὰ A
τὴν τῆς τροφῆς ἀπόλαυσιν, τὴν πνευματικὴν ἑστίασιν ἑαυτοῖς παραθεῖναι, ἵνα μηδὲ μετὰ τὴν πλησμονὴν τῆς σωματικῆς τροφῆς ῥαθυμήσασα ἡ ψυχή, εἰς ὄλεθρόν τινα ἐκπέσῃ, καὶ χώραν δῷ ταῖς τοῦ διαβόλου μηχαναῖς, πάντα καιρὸν ἐπιτηροῦντος καὶ βουλομένου καιρίαν ἡμῖν δοῦναι τὴν πληγήν; καὶ πάλιν δὲ ἑτέρωθι ἔλεγεν ὁ αὐτὸς οὗτος προφήτης, κοιταζόμενοι καὶ ἐξανιστάμενοι μνημονεύετε κυρίου τοῦ θεοῦ ὑμῶν. εἶδες πῶς οὐδέποτε ἡμᾶς προσήκει τὴν μνήμην ταύτην ἐκβαλεῖν τῆς ψυχῆς, ἀλλ' ἐγκεκολαμμένην ἔχειν τῷ συνειδότι, καὶ διηνεκῶς ἐναγωνίους εἶναι, καὶ μηδέποτε ἀνακωχὴν ἑαυτοῖς B
παρέχειν, ἀλλὰ τὴν μανίαν εἰδότας τοῦ τὴν πρὸς ἡμᾶς ἔχθραν ἀραμένου, νήφειν καὶ ἐγρηγορέναι, καὶ ἀποτειχίζειν αὐτοῦ τὰς ἐφόδους, καὶ μηδέποτε ἀμελεῖν τροφῆς πνευματικῆς; τοῦτο γὰρ ἡμῶν ἡ σωτηρία, τοῦτο ὁ πλοῦτος ὁ πνευματικός, τοῦτο ἡ ἀσφάλεια. ἐὰν οὕτως ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν τειχίζωμεν, καὶ δι' ἀναγνώσεως καὶ δι' ἀκροάσεως καὶ διαλέξεως πνευματικῆς, δυνησόμεθα καὶ αὐτοὶ ἀχείρωτοι γενέσθαι, καὶ τοῦ πονηροῦ δαίμονος ἄκυρα ποιῆσαι τὰ μηχανήματα, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυ- C
ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Vides, quomodo & tunc potiſſimum congruit, poſt ſumptum corporalem cibum, ſpirituale conuiuium proponi: vt non poſt ſatietatem cibi corporalis, anima torpere & deſes fieri incipiens, in perniciem aliquam ruat, & locum det diaboli machinationibus, qui nullo non tempore obſeruat, num ferire commodè queat? Et iterum alio loco dicebat idem ille propheta: In lecto cubantes & exurgentes mementote domini Dei veſtri. Vidiſti quòd nunquam nos deceat hanc memoriam ex anima noſtra excludere, ſed inſculptam in conſcientia habere, ac in perpetua ſollicitudine viuere, nullaſque vnquam admittere inducias: imò vt bene ſcientes, quantus ſit furor inimici noſtri erga nos, ſobrios eſſe & vigilare, & omnes illius inſidias impedire, & nunquam ſpiritualem negligere alimoniam? Hæc noſtra ſalus eſt, hæ ſpirituales diuitiæ, hæc ſecuritas: ſi ſic nos ipſos quotidie munimus, & per lectionem, & per auditum, & per ſpirituale verbum, ſic poterimus ipſi inuicti fieri, & maligni dæmonis technas eludere, cœleſtiáque regna aſſequi, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri ſimul & ſpiritui ſancto ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Ὁμιλία ια.

Ὅτι δεῖ πολλὴν τῆς ἀρετῆς ποιεῖσθαι λόγον, καὶ μιμεῖσθαι τοὺς ἁγίους, οἳ τῆς αὐτῆς φύσεως ἡμῖν ὄντες ταύτην μετὰ ἀκριβείας κατώρθωσαν, καὶ ὅτι ῥαθυμοῦσιν ἡμῖν οὐδεμία ἔσται ἀπολογία.

D

Οἶδα ὅτι κατέτεινα ὑμῶν τὸν λογισμὸν ἐν ταῖς παρελθούσαις ἡμέραις τοῖς βαθυτέροις νοήμασι. διὰ τοῦτο βούλομαι σήμερον ἀφελεστέραν ὑμῖν παραθεῖναι διδασκαλίαν. καθάπερ γὰρ τὸ σῶμα ἀπὸ τῆς νηστείας κατεσκληκὸς δεῖται μικρᾶς ἀνέσεως, ἵν' οὕτω πάλιν ἀμαζούσῃ τῇ προθυμίᾳ πρὸς τοὺς τῆς νηστείας ἀγῶνας ἐπαπο-

HOMILIA. XI.

Quòd oporteat, & virtutem magnifacere, ſanctóſque imitari: qui cùm eiuſdem cuius nos naturæ eſſent, eam exactè præſtiterunt. Et quòd ſi ſegnes fuerimus, nullam excuſationem habituri ſimus.

SCIO quòd ſuperioribus diebus mentem veſtram grauioribus ſententiis intenderim, & exercuerim: eâ ob rem hodie animus eſt faciliorem proponere doctrinam. Nam ſicut corpus ieiunio emaceratum, nonnulla indiget refocillatione, vt rurſum vigeſcenti alacritate ad ferendos ieiunij labores redeat:

ita & anima veſtra remiſſione indiget & quiete. Neque enim ſemper intendere, neque ſemper remittere oportet: ſed nunc hoc, nunc illud faciendum ad regendum animæ ſtatum, & domandam carnis petulantiam. Nam ſicut ſemper intentum eſſe laboribus dolorem affert, & ſuccumbere facit: ita perpetuò remittere, ad ignauiam inducit. Id quod & in anima, & in corpore vſuuenire, videre quis poteſt. Propterea modus vbique bonus eſt. Quod nos omniũ Deus, docet etiam per creaturas, quas ad noſtri conſtitutionem produxit. Atque vt hoc intelligatis, de die ac nocte, hoc eſt de luce ac tenebris ſermonem inſtituamus. Quandoquidem enim diem ſegregauit in opus humanæ naturæ, & noctem in requiem & remiſſionem laborum: menſuras & terminos vtriſque præfixit, vnde nobis beneficia quædam prouenirent. Nam & lux, diurnæ
Pſ. 103. 23. operationis eſt tempus, de quo audi Dauid dicentem: Egredietur homo ad opus ſuum, & ad operationem ſuam vſque ad veſperam. Et bene inquit vſque ad veſperam: nam inſurgente veſpere lux abſcedit, & ſuccedentes tenebræ humanam naturam ſopiunt, & corpus quod laborauerat, quieſcere faciunt, ac ſenſus omnes remittũt: & quaſi nutrix optima, ſenſoriis omnibus quietem à laboribus fatigationibúſq; concedunt. Cùm verò menſura noctis impleta fuerit, appropians lucis aduentus excitat, & facit vt reuigeſcentes ſubtilioréſq; facti ſenſibus, ad ſolis radios feruẽti & iuuenili quadam promptitudine conſueta aggrediãtur opera. Illud etiam in anni conuerſionibus & partibus fieri cernimus. Hyemem enim excipit ver, & exactę æſtati ſuccedit autumnus: vt per viciſſitudinẽ temporum & mutati aëris, quieſcentia corpora noſtra neque frigore nimium congelata corrumpantur, neque caloris vehementia nimium calefacta diſſoluantur: & vt ad hoc nos præparet, hyemi præmittit autumnum, & æſtati ver. Quòd ſi quis prudenter hæc omnia ſecum expẽderit, inueniet in omnibus creaturis ordinem & rationem quandam, & nihil temerè & abſque ratione factum.

A δύονται· οὕτω καὶ ἡ ψυχὴ χρήζει διαναπαύεσθαι καὶ ἀνίεσθαι. οὔτε γὰρ ἀεὶ κατατείνειν χρή, οὔτε δὲ ἀνιέναι, ἀλλά ποτε μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο ποιεῖν, καὶ οὕτως ἡνιοχεῖν καὶ τῆς ψυχῆς τὴν κατάστασιν, καὶ τῆς σαρκὸς τὰ σκιρτήματα. ὥσπερ γὰρ τὸ ἀεὶ κατατείνειν τοῖς πόνοις, ἀποκναίειν ποιεῖ καὶ ἀναπίπτειν, οὕτω τὸ διηνεκῶς ἀνιέναι, εἰς ῥαθυμίαν ἄγει. τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς καὶ ἐπὶ τοῦ σώματος συμβαῖνον ἴδοι τις ἄν. διὰ τοῦτο πανταχοῦ ἡ συμμετρία καλόν. καὶ τοῦτο αὐτὸ διδάσκει ἡμᾶς ὁ τῶν ὅλων θεός, καὶ δι' αὐτῶν τῶν δημιουργημάτων, ἃ πρὸς τὴν ἡμετέραν σύστασιν παρήγαγε. καὶ ἵνα
B μάθητε, ἐπὶ τῆς ἡμέρας καὶ τῆς νυκτός, τοῦ φωτὸς λέγω καὶ τοῦ σκότους, τὸν λόγον γυμνάσωμεν. ἐπειδὴ γὰρ τὴν μὲν ἡμέραν ἀφώρισεν εἰς ἐργασίαν τῇ τῶν ἀνθρώπων φύσει, τὸ δὲ τῆς νυκτὸς σκότος εἰς ἄνεσιν καὶ ἀνακωχὴν τῶν πόνων, μέτρα καὶ ὅρους ἑκατέροις ἐπῆξεν, ὥστε καὶ ἅπαντας ἡμᾶς τῆς ἐκεῖθεν εὐεργεσίας ἀπολαύειν. ὅτι γὰρ τὸ φῶς τῆς ἡμερινῆς ἐργασίας ἐστὶ καιρός, ἄκουε τοῦ Δαβὶδ λέγοντος, ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. καὶ καλῶς εἶπεν, ἕως ἑσπέρας. καταλαβούσης γὰρ τῆς ἑσπέρας, τὸ
C φῶς ὑποχωρεῖ, καὶ ἐπελθὸν τὸ σκότος κατακοιμίζει τὴν ἀνθρωπίνην φύσιν, καὶ τὸ σῶμα πεπονηκὸς διαναπαύει, καὶ τὰς αἰσθήσεις ἁπάσας ἀνίησι, καθάπερ τροφὸς ἀρίστη τὰ αἰσθητήρια ἅπαντα τῇ παρ' ἑαυτῆς ἐπιμελείᾳ τῶν πόνων καὶ τῶν καμάτων ἀνιεῖσα. ἐπειδὰν δὲ πληρωθῇ τῆς νυκτὸς τὸ μέτρον, ἐπιστάσης τῆς τοῦ φωτὸς παρουσίας καὶ διεγειρούσης, παρασκευάζει ἀκμαζούσαις ταῖς αἰσθήσεσι προσβάλλειν ταῖς ἡλιακαῖς ἀκτῖσι, καὶ τῶν συνήθων ἔργων ἅπτεσθαι νεαρᾷ καὶ ζεούσῃ τῇ προθυμίᾳ. τοῦτο καὶ ἐπὶ τῶν τροπῶν τοῦ ἐνιαυτοῦ ἔστιν ἰδεῖν γεγε-
D νημένον. τὸ γὰρ χειμῶνα διαδέχεται ἔαρ, καὶ οὕτως ἐπιστάντος τοῦ θέρους καταλαμβάνει τὸ μετόπωρον, ἵνα τῇ ἐναλλαγῇ τῆς τῶν ἀέρων κράσεως διαναπαύηται ἡμῶν τὰ σώματα, καὶ μήτε ἐπὶ πλέον τῷ κρυμῷ πηγνύμενα διαφθείρηται, μήτε ὑπὸ τῆς τοῦ θέρους σφοδρότητος ἐπὶ πολὺ θερμαινόμενα διαλύηται. διὰ τοῦτο ἐγγυμνάζεσθαι παρασκευάζει πρὸ μὲν τοῦ χειμῶνος τῷ μετοπώρῳ, πρὸ δὲ τοῦ θέρους τῷ ἔαρι. καὶ εἴ τις εὐγνωμόνως ἅπαντα σκοπεῖν βούλοιτο, εὑρήσει ἐν ἅπασι τοῖς δημιουργήμασι τάξιν τινὰ καὶ λόγον, καὶ οὐδὲν ἁπλῶς καὶ εἰκῆ γεγενημένον.

A τοῦτο ἔστιν ἐπὶ τῶν σπερμάτων τῶν ἐκ τῆς γῆς ἀναδιδομένων ἄν τις κατίδοι. οὔτε γὰρ κατὰ τὸν αὐτὸν καιρὸν ἅπαντα ἐκδίδωσιν ἡ γῆ, οὔτε ὁ αὐτὸς καιρὸς ἐπιτήδειος πρὸς τὴν ἐπιμέλειαν τῶν ἐξ αὐτῆς βλασταινόντων, ἀλλ' οἶδε τὸν ἁρμόζοντα καιρὸν ὁ γηπόνος παρὰ τῆς τοῦ θεοῦ δοθείσης σοφίας τοῦτο μεμαθηκὼς καὶ ἐπίσταται πότε μὲν δεῖ τὰ σπέρματα καταβάλλειν, πότε δὲ τῶν δένδρων τὰ φυτὰ καὶ τῆς ἀμπέλου τοῖς κόλποις τῆς γῆς ἐγκαταθέσθαι, καὶ πότε μὲν θήγειν τὸ δρέπανον πρὸς τὸν ἀμητόν, πότε δὲ τὸν καρπὸν τῆς ἀμπέλου δρέπεσθαι, καὶ τοὺς βότρυας ἐκτέμνειν, καὶ κατὰ ποῖον καιρὸν ἐκλέγειν τῆς ἐλαίας τὸν καρπόν. καὶ εὑρήσεις, εἰ βούλοιο κατὰ μέρος διερευνᾶσθαι B ταῦτα ἅπαντα, πολλὴν σοφίαν καὶ παρὰ τοῖς τὴν γῆν ἐργαζομένοις ἐναποκειμένην. καὶ οὐκ ἐπὶ τῆς γῆς τοῦτο ἔστιν ἰδεῖν μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς θαλάσσης. καὶ γὰρ ἐν ταύτῃ πάλιν ἑτέραν θαυμαστὴν σοφίαν ἔστιν ἰδεῖν. οἶδε γὰρ ὁ κυβερνήτης, πότε δεῖ καθελκύσαι τὸ πλοῖον, καὶ ἐκ τοῦ λιμένος ἐκβαλεῖν, καὶ τὰ πελάγη περαιώσασθαι, καὶ πολλὴν μάλιστα παρὰ τούτοις ἔστιν ἰδεῖν τὴν σύνεσιν, ἣν ἡ τοῦ θεοῦ σοφία ἐναπέθετο τῇ ἀνθρωπίνῃ φύσει. οὐδὲ γὰρ οὕτως οἱ τὰς λεωφόρους διατρέχοντες ἴσασι μετ' ἀκριβείας τὰς ἀτραπούς, C ὡς οὗτοι οἱ ἐν τοῖς ὕδασι μετ' ἀσφαλείας τὴν πορείαν ποιούμενοι. διὸ καὶ ἡ γραφὴ ἐκπληττομένη τὴν ὑπερβάλλουσαν τοῦ θεοῦ σοφίαν ἔλεγεν, ὁ δοὺς ἐν θαλάσσῃ ὁδόν, καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον. ποῖος ἀνθρώπινος λογισμὸς δύναται ταῦτα κατιδεῖν; κατὰ τὸν αὐτὸν λόγον εὕροι τις ἂν καὶ ἐν τῇ μεταλήψει τῆς τροφῆς τῆς ἀνθρωπίνης ταῦτα διατεταγμένα. καὶ γὰρ καθ' ἕκαστον καιρόν, καὶ καθ' ἑκάστην τροπὴν τοῦ ἐνιαυτοῦ, διαφόρους ἡμῖν τροφὰς ὁ δεσπότης κεχάρισται, καὶ καθάπερ ἀρίστη τροφός, οὕτως ἡ γῆ τὰ παρ' ἑαυτῆς ἡμῖν δωροφορεῖ, τῷ ἐπιτάγματι τοῦ δημιουργοῦ ὑπηρετουμένη. ἀλλ' ἵνα D μὴ ἐπὶ πλέον τοῦτον ἐκτείνω τὸν λόγον, ἔξεστιν ὑμῖν συνετοῖς οὖσι τὰ λοιπὰ ἅπαντα ἀναλέγεσθαι. δίδου γάρ, φησι, σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται. οὐδὲ γὰρ ἐπὶ τῆς ἡμετέρας τροφῆς τοῦτο μόνον ἔστιν ἰδεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀλόγων. καὶ δυνήσεσθε, εἰ βουληθείητε, καὶ ἐκ πολλῶν ἑτέρων διερευνώμενοι καταμαθεῖν τοῦ ἀριστοτέχνου θεοῦ τὴν ἄφατον σοφίαν, καὶ τὴν ὑπερβάλλουσαν ἀγαθότητα, καὶ ὡς ἕκαστον τῶν γεγενημένων λόγῳ τινὶ προήχθη. κατὰ τὸ αὐτὸ τοίνυν καὶ ἐπὶ τοῦ καιροῦ τῆς ἁγίας τεσσαρακοστῆς εὑρήσομεν νῦν ἡμῖν διατετυπωμένον.

Hoc & in ſeminibus, quæ ex terra naſcuntur, quis videre poteſt. Neqne enim omnia eodem tempore tellus profert, neque omne tempus ad excolenda terræ germina idoneum eſt. Nouit agricola congruum tempus, quod à ſapientia à Deo data habet, quando ſerendum, quando plantandæ arbores, quando vites terræ ſinibus concredendæ, quando ad meſſem acuendæ falces, quando decerpend i vinearum fructus, & botri demendi, quando & oliuarum baccæ colligendæ. Et inuenies, ſi hæc omnia diligenter volueris inquirere, magna ſapientia etiam agricolas eſſe præditos. Nam non ſolum in terra hoc videre licet, ſed etiam in mari. Ecce & hîc aliam admirabilem ſapientiam ſpectare potes. Scit enim nauclerus, quando è naualibus deducenda ſit nauis, quando à littore ſoluenda, quando tranſeunda maria. Et maxime in nautis deprehenditur intellectus, quem diuina ſapientia humanæ naturæ indidit. Neque enim qui per vias publicas currunt, ita diuerticula ſciunt, vt hi qui in aquis certum iter faciunt. Propter hoc & ſcriptura obſtupeſcens eminentem ſapientiam Dei, dicit. Qui dedit in mari viam, & in aqua vehementi ſemitam. (Sap. 14. 3.) Quæ humana ratio poteſt hæc pernoſcere? Eandem rationem inueniet quiſpiam etiam in cibis, quos accipimus: nam ſingulis temporibus & anni partibus varia & diuerſa nobis alimenta dominus largitur. Terra enim quaſi optima nutrix dona ſua nobis profert, præcepto dominico ſeruiens. Verum ne prolixius ſermonem extendam, licebit vobis pro veſtra prudentia recenſere alia omnia. Da enim, inquit, ſapienti occaſionem, & ſapientior erit. (Prou. 9. 9.) Neque in noſtris duntaxat cibis hoc videtur, ſed & in his quæ brutorum ſunt. Et poteſtis, ſi vultis etiam in multis aliis inquirere, & addiſcere optimi artificis Dei ineffabilem ſapientiam, & eminentem bonitatem, quomodo creaturæ ſingulæ ratione quadam conditæ ſunt. Similiter igitur & in hac ſacra quadrageſima conſtitutum nobis inuenimus.

Nam quemadmodum in viis publicis ſunt ſtationes & diuerticula, in quibus feſſi viatores & reſpirant, & quieſcunt, vt alacrius poſtea iter ſuum conficiant : & ſicut in mari littora ſunt, & portus, vt in eos è iactatione ſe recipiant nauigantes, & expectent, donec ventorum impetus conquieſcant, & ſic iterum nauigare incipiant : ita & nunc qui in hac quadrageſima ieiunij curſum ſuſcepere, quaſi ſtationes & diuerticula, & littora & portus, per duos hebdomadæ dies Dominus quietem largitus eſt, vt & corpori aliquantulum ieiunij labores remittantur, & animam refocillent ieiunantes, & exactis duobus illis diebus in pulchrè cœpto itinere alacriter pergant. Agè igitur, quia hodie remiſſionis dies eſt, obſecramus veſtram charitatem, vt magna diligentia lucrum ex ieiunio collectum cuſtodiatis : & ſumpta parumper reſpiratione, mox iterum priora nouis incrementis cumuletis, & ſic paulatim ad maiorem negociationem inſtructi, in dominicum diem occurratis, & ſpiritualem veſtram nauim in portum ſanctæ feſtiuitatis adducatis. Nam ſicut omnia quæ à Domino ſunt facta, (ſicut & ſermo teſtatus eſt, & res ipſa indicat) ratione & ſapientia quadam facta ſunt, vſum neceſſarium exhibentia : ita & quæ à nobis fiunt, decet ne abſque cauſa & fruſtra fiant, ſed in vtilitatem & lucrum noſtræ ſalutis. Quippe quum ſecularibus negotiis dediti, adduci nequeant, vt rem aliquam incipiant, niſi prius aliquid lucri ſuboleat : multò magis iuſtum eſt, vt nos hoc faciamus. Et ne ita ſimpliciter ieiuniorum hebdomadæ prætereant, ſcrutemur ſuam quique conſcientiam, & rationem examinemus, & conſideremus, quídnam in hac hebdomada probè actum ſit, quid in alia, & quale augmentum fecerimus ad ſequentem, quas in nobis affectioctiones correxerimus. Niſi enim ita vitam noſtram inſtituerimus, magnam animæ noſtræ curam haben-

Die dominico & ſabbato veteres nõ ieiunabant, vt habetur in apoſt. can. 64.

A καθάπερ γὰρ ἐν ταῖς λεωφόροις εἰσὶ σταθμοὶ καὶ καταγώγια, ὥστε τοὺς ὁδίτας κεκμηκότας διαναπαύεσθαι, καὶ τῶν πόνων λήξαντας οὕτω πάλιν ἅπτεσθαι τῆς ὁδοιπορίας, καὶ ἐν τῇ θαλάσσῃ δὲ ἀκταὶ καὶ αἰγιαλοὶ καὶ λιμένες εἰσὶν, ὥστε κἀκεῖ τοὺς ναυτιλλομένους, μετὰ τὸ πολλὰ κύματα διαδραμεῖν, καὶ πρὸς τὰς τῶν ἀνέμων ἐμβολὰς ἀντιστῆναι, μικρὸν ἀνεθέντας οὕτω πάλιν τῆς ναυτιλίας ἅπτεσθαι· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν ἐπὶ τῆς [illegible] τεσσαρακοστῆς, τοῖς τὸν δρόμον τῆς νηστείας καταδεξαμένοις, καθάπερ σταθμοὺς καὶ καταγώγια καὶ ἀκτὰς καὶ αἰγιαλοὺς καὶ λιμένας, τὰς δύο ταύτας ἡμέρας τῆς ἑβδομά-
B δος βραχύ τι διαναπαύεσθαι κεχάρισται ὁ δεσπότης, ἵνα καὶ τὸ σῶμα μικρὸν ἀνέντες ἀπὸ τῶν πόνων τῆς νηστείας, καὶ τὴν ψυχὴν παραμυθησάμενοι, πάλιν παρελθουσῶν τῶν δύο τούτων ἡμερῶν, τῆς αὐτῆς ὁδοῦ μετὰ προθυμίας ἅπτωνται οἱ τὴν καλὴν ταύτην καὶ ἐπωφελῆ ὁδοιπορίαν ποιούμενοι. Φέρε οὖν καὶ ἡμεῖς, ἐπειδὴ τῆς ἀνέσεώς ἐστιν ἡμέρα σήμερον, παρακαλέσωμεν ὑμῶν τὴν ἀγάπην τὰ ἀπὸ τῆς νηστείας συλλεγέντα κέρδη μετὰ ἀσφαλείας φυλάττειν, ἵνα μικρὸν διαναπαυσάμενοι, πάλιν προσθήκην ἐργάσησθε τοῖς προλαβοῦ-
C σι· καὶ οὕτω κατὰ μικρὸν μεγάλην τὴν ἐμπορίαν ἑαυτοῖς κατασκευάσαντες, οὕτως εἰς τὴν κυρίαν ἡμέραν ἀπαντήσητε, καὶ πεπληρωμένην ὑμῶν τὴν ὁλκάδα τὴν πνευματικὴν εἰς τὸν λιμένα τῆς ἁγίας ἑορτῆς εἰσαγάγητε. ὥσπερ γὰρ τὰ παρὰ τοῦ δεσπότου γεγενημένα ἅπαντα, καθάπερ ὁ λόγος ἀπέδειξε, καὶ ἡ τῶν πραγμάτων διδάσκει μαρτυρία, λόγῳ τινὶ δεδημιούργηται χρείαν ἀναγκαίαν ἀποπληροῦντα· οὕτω καὶ τὰ παρ᾽ ἡμῶν γινόμενα προσήκει μὴ ἁπλῶς μηδὲ μάτην γίνεσθαι, ἀλλ᾽ ἐπ᾽ ὠφελείᾳ καὶ κέρδει τῆς σωτηρίας τῆς ἡμετέρας. εἰ γὰρ οἱ τὰ βιωτικὰ μετιόντες πράγματα, οὐκ ἄν ποτε ἀνά-
D σχοιντο ἐπιτηδεύματος ἅψασθαι, μὴ πρότερον τὸ ἐκεῖθεν κέρδος περισκοπήσαντες· πολλῷ μᾶλλον ἡμᾶς δίκαιον τοῦτο ποιεῖν, καὶ μὴ ἁπλῶς τὰς ἑβδομάδας τῶν νηστειῶν παρατρέχειν, ἀλλὰ διερευνᾶσθαι τὴν ἑαυτῶν συνείδησιν καὶ τὸν λογισμὸν βασανίζειν, καὶ σκοπεῖν τί μὲν ἐν ταύτῃ τῇ ἑβδομάδι ἡμῖν κατώρθωται, τί δὲ ἐν τῇ ἑτέρᾳ, καὶ τίνα προσθήκην ἐδεξάμεθα εἰς τὴν ἐπιοῦσαν, καὶ ποῖον τῶν ἐν ἡμῖν παθῶν διωρθώσαμεν. Εἰ γὰρ μὴ μέλλοιμεν οὕτω τὰ καθ᾽ ἑαυτοὺς οἰκονομεῖν, καὶ τοσαύτην ποιεῖσθαι ἐπιμέλειαν τῆς ἑαυτῶν ψυχῆς,

A οὐδὲν ἡμῖν ὄφελος ἔσται τῆς νηστείας, οὐδὲ τῆς ἀσιτίας, ἂν ὑπομ[…]όμεθα· μάλιστα εἰ φαινόμεθα ἐλάττους τῶν περὶ τὴν συλλογὴν τῶν χρημάτων τοσαύτην σπουδὴν ποιουμένων. εὑρήσεις γὰρ ἕκαστον ἐκείνων πᾶσαν ἀγρυπνίαν ἐπιδεικνύμενον, ὥστε ἐφ' ἑκάστης ἡμέρας προστιθέναι τοῖς προτέροις, καὶ οὐδέ ποτε κόρον λαμβάνοντα, ἀλλ' ὅσῳ ἂν αὔξηται αὐτῷ τὰ τῆς περιουσίας, τοσούτῳ μᾶλλον καὶ τὴν ἐπιθυμίαν καὶ τὴν σπουδὴν ἐκτεινόμενον. εἰ τοίνυν, ἔνθα καὶ τὰ τῆς σπουδῆς ἀνόνητα, καὶ τὸ τῆς περιουσίας πολλάκις πολλὴν ἐργάζεται τῇ τῆς ψυχῆς σωτηρίᾳ τὴν λύμην, τοσαύτην ἐπιδείκνυνται τὴν ἀγρυπνίαν, πόσῳ τοῦτο B μᾶλλον οὐχὶ ποιεῖν χρή, ἔνθα πολλὴ ἀπὸ τῆς σπουδῆς ἡ ὠφέλεια καὶ ἄφατος ὁ μισθὸς, καὶ τὸ κέρδος ἄπειρον; ἐκεῖ μὲν γὰρ καὶ μετὰ τούτων ἁπάντων πολλὴ ἡ ἀδηλία. ἀβέβαιος γὰρ τῶν χρημάτων ἡ κτῆσις, οὐκ ἐπὶ μόνον τῆς τελευτῆς ἐπιστάσης ἐνταῦθα μένοντα οὐδὲ μίαν ὄνησιν παρέχει τῷ ταῦτα συνάγοντι, ἀλλ' ὅτι καὶ τῶν χρημάτων ὧδε μενόντων τὰς ὑπὲρ τούτων εὐθύνας μετὰ πολλῆς τῆς σφοδρότητος ἀπαιτεῖσθαι ἀναγκάζεται. ἔστι καὶ ὅτε πολλάκις καὶ πρὸ τῆς τελευτῆς μετὰ τοὺς πολλοὺς πόνους καὶ τοὺς ἱδρῶτας καὶ τὰς ταλαιπωρίας, καθάπερ καταιγίδος τινὸς προσ- C πεσούσης τῆς τῶν πραγμάτων περιστάσεως, ἀθρόον ὁ πολλὴν τὴν περιουσίαν τοῦ πλούτου κεκτημένος, τῶν σφόδρα πενήτων γέγονε πενέστερος. καὶ ταῦτα καθ' ἑκάστην ἡμέραν ἐστὶν ἰδεῖν συμβαίνοντα. ἐπὶ μέντοι τῆς πνευματικῆς ἐμπορείας οὐδέν ἐστι τοιοῦτον δεῖσαί ποτε. αὕτη γὰρ βεβαία μένει καὶ ἀκίνητος, καὶ ἔνθα μάλιστα χρῄζομεν αὐτῆς, ἐκεῖ πολλὴν ἡμῖν παρέχει τὴν ἐξ αὐτῆς παραμυθίαν. ὡς οὖν καιρὸν ἔχομεν, παρακαλῶ, κἂν γοῦν τὴν αὐτὴν ἐκείνοις εἰσενέγκωμεν σπουδὴν περὶ τὴν πνευματικὴν ταύτην ἐμπορείαν, D καὶ μηδέποτε παυσώμεθα τοῦτο μεριμνῶντες, εἴ τι κατώρθωται ἡμῖν, καὶ εἴ τινα τῶν ἐνοχλούντων ἡμῖν παθῶν διὰ τῆς πολλῆς ἀγρυπνίας εἰς φυγὴν ἐτρεψάμεθα, ἵν' ἔχοντες τὴν ἀπὸ τοῦ συνειδότος πληροφορίαν, πολλὴν καρπωσώμεθα τὴν ἡδονήν. οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ τὸ ζητούμενον, ἵνα καθ' ἑκάστην ἡμέραν ἐνταῦθα παραγινώμεθα, καὶ περὶ τῶν αὐτῶν συνεχῶς ἀκούωμεν, καὶ τὴν τεσσαρακοστὴν πᾶσαν νηστεύοντες ὦμεν. εἰ γὰρ μὴ μέλλοιμεν τι κερδαίνειν ἐκ τῆς ἐνταῦθα συνεχοῦς ἐλεύσεώς τε καὶ παραινέσεως,

tes, nihil nobis vſui erit ieiunium, vel inedia quam toleramus; præſertim ſi comperti fuerimus inferiores his, qui tantum ſtudium colligendis opibus impendunt. Nullum enim horum inuenies, qui vel non ſumma vigilantia laboret, quò prioribus quotidie aliquid adiiciat, vel vnquam ſatietur: ſed quantò facultatum maior eſt acceſſio, tantò & curam & ſtudium ſuum amplius intendit. Quòd ſi vbi ſtudium eſt inutile, & diuitiæ nonnunquam magnam ſalutis animæ iacturam afferunt, tanta vigilantia res aguntur: quomodo non multò magis id eſt faciendum, vbi diligentiæ multa reſpondet vtilitas, ineffabiliſque merces ac lucrum immenſum? Nam illic quidem præter hæc omnia magna eſt incertitudo, cum ſit inſtabilis pecuniarum poſſeſſio: non ſolùm quòd imminente morte, ipſæ hîc manentes, nullam eis qui illas collegere, vtilitatem conferunt: ſed etiam quòd manentibus hîc pecuniis, magna ſeueritate cogentur de ipſis alibi rationem reddere: quamuis ſæpe & ante mortem poſt multos labores, & ſudores, & ærumnas, quaſi procella quadam ingruente negociorum difficultate, repentè qui plurimas poſſidebat diuitias, valdè pauperibus factus eſt pauperior: qualia ſingulis diebus videre contingit. Atqui in ſpirituali negociatione nihil tale formidatum eſt vnquam: ſtabilis enim & immota manet, & vbi ea multum egemus, ibi adiuuamur plurimum. Igitur dum tempus habemus obſecro, vel ſaltem id ſtudij impendamus ſpiritualibus mercibus conquirendis, quod alij in perituras collocant. Nec ab hac ſollicitudine ceſſemus, ſi rectè quid actum fuerit: vel ſi aliquam affectionum nobis moleſtarum magna vigilantia expugnauerimus, vt conſcientiæ digna certitudine habita, multiplicis voluptatis fructum percipiamus. Neque enim hoc ſolum quæritur, vt huc quotidie conueniamus, & de iiſdem continuò audiamus, & totam Quadrageſimam ieiunemus. Quandoquidem ſi nihil ex hac congregatione & admonitione,

Nihil prodeſt ieiuniũ, neque concionis auſcultatio ſine bonis operibus.

& ieiunij tempore lucraturi eſſemus: tunc non ſolum nihil vtilitatis afferrent hæc, ſed & maioris condemnationis occaſio fierent: ſiquidem tanta tractati diligentia iidem permanemus, & neque iracundus fit mitis: neque indignabundus, manſuetus: neque inuidens, amicus: neque inſania in diuitias correptus, deſiſtit ab affectione, & eleemoſynis diſpertiendis, & alendis pauperibus vacat: neque intemperans, caſtus: neque vanæ gloriæ ſtudioſus, illam contemnere, & veram gloriam deſiderare diſcit, neque charitatis in proximum [illegible]ens, ſeipſum excitans dat operam, vt non ſolum non minor ſit publicanis (nam ſi diligitis eos, qui vos diligunt, inquit, quid amplius facitis? nónne & publicani hoc faciunt?) ſed & vt ſeipſum doceat & inimicos humaniter aſpicere, & magna charitate fouere. Quòd ſi affectionibus iſtis, & aliis, quæ in nobis ſubnaſcuntur, malis, ſuperiores non fuerimus, licet quotidie hîc conueniamus, & continuò doceamur, & tantum à ieiunio adminiculũ habeamus, qualis erit nobis venia? qualis defenſio? Dic enim mihi obſecro, ſi puerum tuum quotidie videres in ludum ire, & nihil lucri facientem multo tempore, patientérne ferres? Nónne & puerum verberares, & magiſtrum argueres: & deinde diſcens quòd magiſter omne ſuum officium feciſſet, & planè intermiſiſſet nihil, pueri autem ignauia cauſa ſit omnium: nónne indignationem omnem in puerum transferres, non iam accuſans magiſtrum? Idipſum & hîc iuſtè fieret. Nos enim quia gratia diuina huic loco deſtinati ſumus, quaſi ſpirituales filios in haſce ſcholas vos quotidie vocamus, ſalutarem vobis doctrinam proponentes: & non quas ex noſtra mente excogitauimus, ſed eas quæ à domino per diuinas ſcripturas nobis donatæ ſunt, doctrinas in medium afferimus, illáſque vobis inculcamus. Si ergo cùm nos vigilanter omnem adhibemus diligentiam, & quotidie in viam veritatis ducimus: vos in iiſdem perſeueratis malis: cogitate quãtus & noſter

Marth. 5. 49.

A καὶ ἀπὸ τῆς νηστείας καιροῦ προσφέρειν τι τῶν χρησίμων εἰς τὴν ἑαυτῶν ψυχήν, ταῦτα οὐ μόνον ἡμᾶς οὐδὲν ὠφελήσει, ἀλλὰ καὶ μείζονος ἡμῖν κατακρίσεως ἀφορμὴ γενήσεται, ὅταν τοσαύτης ἐπιμελείας ἀπολαύοντες, οἱ αὐτοὶ διαμένωμεν, καὶ μήτε ὁ ὀργίλος ἐπιεικὴς γίνηται, μήτε ὁ θυμώδης εἰς πραότητα μεταβάλλοιτο, μήτε ὁ βάσκανος εἰς φιλοφροσύνην ἑαυτὸν ἐναγάγῃ, μήτε ὁ περὶ τὰ χρήματα μεμηνώς, ἀποστὰς τοῦ πάθους πρὸς ἐλεημοσύνην ἑαυτὸν παρασκευάσῃ καὶ τὴν τῶν πενήτων διατροφήν, μήτε ὁ ἀκόλαστος σώφρων γένοιτο, μήτε ὁ περὶ τὴν κενὴν ταύτην δόξαν ἐπτοημένος, μάθῃ ταύτης ὑπερορᾶν

B καὶ τῆς ἀληθοῦς ἐφίεσθαι δόξης, μήτε ὁ περὶ τὴν ἀγάπην τὴν περὶ τὸν πλησίον ῥᾴθυμος, διαναστήσας αὐτὸν παιδεύσῃ, μὴ μόνον τῶν τελωνῶν μὴ εἶναι ἐλάττων. ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, φησί, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; ἀλλ' ἵνα παρασκευάζῃ αὐτοῦ τὸν λογισμὸν καὶ τοὺς ἐχθροὺς ἡμέρως ὁρᾶν καὶ πολλὴν περὶ αὐτοὺς τὴν ἀγάπην ἐπιδείκνυσθαι. ἐὰν μὴ τούτων περιγενοίμεθα τῶν παθῶν, καὶ τῶν ἄλλων τῶν ἐν ἡμῖν τικτομένων, καθ' ἑκάστην ἐνταῦθα παραγινόμενοι, καὶ συνεχοῦς ἀκροάσεως ἀπολαύοντες, καὶ τοσαύτης διδασκαλίας με-

C τέχοντες, καὶ τὴν ἀπὸ τῆς νηστείας ἔχοντες βοήθειαν, ποία ἡμῖν ἔσται συγγνώμη, ποία δὲ ἀπολογία; εἰπὲ γάρ μοι, παρακαλῶ, εἰ τὸν παῖδα τὸν σὸν θεάσῃ καθ' ἑκάστην ἀπιόντα ἡμέραν εἰς τὸ διδασκαλεῖον, καὶ τοῦ χρόνου περιιόντος μηδὲν πλέον ἐκεῖθεν κερδαίνοντα, ἆρα ἀνεκτῶς οἴσεις; οὐχὶ δὲ καὶ τῷ παιδὶ μάστιγας ἐπιθήσεις, καὶ τῷ διδασκάλῳ μέμψῃ; εἶτα εἰ μάθοις, ὅτι τὰ μὲν παρὰ τοῦ διδασκάλου πάντα γέγονε, καὶ οὐδὲν λέλειπται, ἡ δὲ ῥᾳθυμία τοῦ παιδὸς αἰτία πάντων καθέστηκε, οὐχὶ πᾶσαν τὴν ἀγανάκτησιν ἐπὶ τὸν παῖδα μεταθήσεις, τῆς αἰτίας

D ἀφεὶς τὸν διδάσκαλον; τὸ αὐτὸ δὴ καὶ ἐνταῦθα γίνεσθαι δίκαιον. ἡμεῖς γάρ, καθάπερ ἐτάχθημεν παρὰ τῆς τοῦ θεοῦ χάριτος, ὡς τέκνα πνευματικὰ καθ' ἑκάστην ἡμέραν εἰς τὸ διδασκαλεῖον τοῦτο καλοῦντες, τὴν σωτηριώδη διδασκαλίαν ὑμῖν παρατιθέμεθα, οὐ τὰ ἀπὸ τῆς οἰκείας διανοίας φθεγγόμενοι, ἀλλ' ἃ τὰ παρὰ τοῦ δεσπότου διὰ τῶν θείων γραφῶν ἡμῖν δωρηθέντα διδάγματα, ταῦτα εἰς μέσον προτιθέντες καὶ ταῦτα συνεχῶς ἐνηχοῦντες. εἰ τοίνυν ἡμῶν πᾶσαν σπουδὴν καὶ ἀγρυπνίαν ἐπιδεικνυμένων, καὶ ἐφ' ἑκάστης ἐπὶ τὴν ὁδὸν τῆς ἀρετῆς ὁδηγούντων, ὑμεῖς τοῖς αὐτοῖς ἐπιμένετε, ἐννοήσατε, ὅτι καὶ ἡμῖν

ἔσται

ἔσται ὀδύνη, καὶ ὑμῖν ἡ κατάγνωσις, ἵνα μηδὲν πλέον A εἴπω. εἰ γὰρ καὶ ὑπευθύνους ἡμᾶς δείκνυσι τὸ μηδὲν παραλιπεῖν τῶν εἰς τὴν ὑμετέραν οἰκοδομὴν ἡκόντων, ἀλλ' ὅμως ἐπειδὴ κηδόμεθα τῆς ὑμετέρας σωτηρίας, οὐ δυνάμεθα πράως φέρειν. ἐπεὶ καὶ ὁ διδάσκαλος ἐπειδὰν ἴδῃ τὸν μαθητὴν μηδὲν καρπούμενον παρὰ τῆς αὐτοῦ σπουδῆς, οὐχ ὡς ἔτυχεν ἀλγεῖ, καὶ ὀδυνᾶται ὁρῶν ἑαυτὸν μάτην πονούμενον. ταῦτα λέγω νῦν οὐχ ἵνα λυπήσω τὴν ὑμετέραν ἀγάπην, ἀλλ' ἵνα διεγείρω καὶ παρασκευάσω μήτε ἁπλῶς κατατείνειν τὸ σῶμα τῇ νηστείᾳ, μήτε εἰκῇ καὶ μάτην τὰς ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς παρατρέχειν. καὶ τί λέ- B γω τὰς ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς, ὅπουγε ἡμᾶς προσήκει μήτε μίαν ὅλως ἡμέραν παραπέμπεσθαι, εἰ οἷόν τε ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς ἐν ἡμῖν κέρδος πνευματικὸν ἑαυτοῖς ἐναποτιθέμεθα, ἢ δι' εὐχῆς, ἢ δι' ἐξομολογήσεως, ἢ δι' ἐν ποιΐας, ἢ δι' ἑτέρας τινὸς ἐργασίας πνευματικῆς; εἰ γὰρ Παῦλος ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ τὰ ἄρρητα ἐκεῖνα ῥήματα ἀκούσας, ἃ μέχρι τῆς σήμερον οὐδεὶς ἔγνω, ἐβόα λέγων· καθ' ἑκάστην ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν· διδάσκων ἡμᾶς, ὅτι οὕτως ἑαυ- C τὸν τοῖς κινδύνοις τοῖς ὑπὲρ τῆς εὐσεβείας ἐξεδίδου, ὡς πρὸς αὐτὸν τὸν θάνατον γίνεσθαι ἐφ' ἑκάστης ἡμέρας, καὶ ὅπερ ἡ φύσις οὐκ ἐδέχετο· ἑνὶ γὰρ θανάτῳ πάντες ὑποκείμεθα· τοῦτο ἡ φιλονεικία τῆς προαιρέσεως αὐτοῦ κατώρθου, εἰ καὶ ὁ φιλάνθρωπος θεὸς ἐπὶ πλέον αὐτὸν διετήρει διὰ τὴν τῶν λοιπῶν σωτηρίαν. εἰ τοίνυν ἐκεῖνος ὁ τοσούτοις κομῶν κατορθώμασι, καὶ καθάπερ ἄγγελος ἐπὶ τῆς γῆς φαινόμενος καθ' ἑκάστην ἐσπούδαζε κερδαίνειν, καὶ πρὸς τοὺς ὑπὲρ τῆς ἀληθείας κινδύνους παρατάττεσθαι, καὶ τὴν ἐμπορείαν τὴν D πνευματικὴν ἑαυτῷ συλλέγειν, καὶ μηδέποτε ἵστασθαι, ποίαν ἂν σχοίημεν ἡμεῖς ἀπολογίαν, οἱ μὴ μόνον πάντων ὄντες ἔρημοι τῶν κατορθωμάτων, ἀλλὰ καὶ τοσούτοις ἐλαττώμασιν ὑποκείμενοι, ὧν καὶ ἓν μόνον ἡμῖν πρὸς τὸ ἱκανὸν εἰς αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον καταγαγεῖν, καὶ μηδεμίαν ποιούμενοι σπουδὴν κἂν γοῦν ταῦτα διορθοῦν. ὅτ' ἂν δὲ ὁ αὐτὸς πολλάκις εὑρίσκοιτο μὴ μόνον ἓν ἐλάττωμα ἔχων, ἀλλὰ καὶ πλείονα, καὶ ὀργίλος ᾖ, καὶ ἀκόλαστος, καὶ πλεονέκτης, καὶ βάσκανος, καὶ θυμώδης, καὶ μήτε

ſit futurus dolor, & quanta veſtrâ condemnatio, ne quid dicam acerbius. Quamuis enim nos crimini non ſimus obnoxij, vt qui nihil prætermittimus, quod ad veſtram pertineat ædificationem: tamen quia veſtræ ſalutis curam gerimus, ideo non poſſumus nō grauiter ferre veſtram ignauiam. Quia & doctor cùm videt diſcipulum, nullum ſtudio ſuo fructum facere, nō vulgariter dolet & gemit, videns ſe omnem laborem perdere. Hęc nunc dico, non vt caritatem veſtram non triſtem, ſed vt excitem & inſtruam, non ſimpliciter ieiuniis corpus caſtigare, neque [illegible]è & in vanum dies Quadrageſimæ ſanctæ tranſmittere. Et quid dico dies Quadrageſimæ ſanctæ tranſmittere, cùm prorſus nullam nos diem vnquam tranſigere oporteat, ſi poſſibile eſt, per omnem vitam noſtram, in qua non lucrum aliquod ſpirituale in nobis reponamus, vel per preces, vel per confeſſionem, vel per eleemoſynas, vel aliqua alia ſpiritualia bona opera? Nam ſi Paulus tantus & talis, qui arcana illa verba audiuit, quæ vſque in hodiernum diem nullus cognouit, clamabat dicens: Quotidie morior per veſtram gloriationem: & docens nos, quòd ſic ſeipſum pro pietate periculis expoſuit, quòd quotidie morti vicinus eſſet: & quod natura non fert (vni enim morti obnoxij ſumus omnes) hoc ipſe pertinaci ſuo inſtituto agebat, tametſi Deus illum quotidie in aliorum ſalutem conſeruaret. Proinde ſi ille qui tot præclaris operibus excelſus eſt, & quaſi angelus ſuper terram apparebat, quotidie ſtudebat lucrifacere, & pro veritate ſtare in acie contra pericula, & ſibi colligere ſpirituales merces, & ſemper progredi: qualem habebimus nos defenſionem qui non ſolum bonis operibus omnibus deſtituti ſumus, ſed & malis grauati, quorum vnum duntaxat in ipſum perditionis profundum detrudere nos ſufficeret, nullúmque præterea ſtudium nobis eſt, vt vel ſaltem hæc emendemus? Et quum idem ſępe non vni flagitio, ſed pluribus eſt obnoxius: nempe & iracundus eſt, & intemperans, & auarus, & inuidus, & ferox: & neque

1.Cor. 15.31.

hæc corrigere, neque virtutis opera attingere vult, qualis poſtea erit ſalutis ſpes? Hæc dico, & dicere non deſinam, vt auditores ſuum quique remedium accipiant ex noſtris dictis, & ſtudeant, vt ſtatim ab affectionibus mentem turbantibus liberentur, conualeſcentéſque virtutum ſtudiis poſthac ſe accommodent. Sicut & in his fieri ſolet, qui corporali morbo laborant: quamuis ſexcenties medicus remedia afferat, æger autem medicinæ [illegible]m reſpuat, & ſæpe ſuccenſeat, ſi medicus imponat pharmacum, & impatiens [illegible] illud reiiciat, nulla inde vtilitate ſuſcepta: nemo prudens medicum arguerit, qui ſuum egit officium. Eodem modo & hîc nos medicamentum ex ſpirituali doctrina confectum imponimus. Veſtrum autem poſthac fuerit ferre dolores, & curam cum vtilitate admittere, vt à morbo liberati, ad veram regrediamini ſanitatem. Sic enim & ipſi magnam percipietis vtilitatem, & nos mirum in modum refocillabimur, ſi viderimus eos qui prius laborabant, ſtatim bonam valetudinem recuperaſſe. Obſecro igitur omnes vos, vt vnuſquiſque ſi non antea, vel certè iam operam det, vt vitium quod ſibi magis quàm cætera infeſtum ſentit, ex anima exſecet, & pia cogitatione quaſi ſpirituali quodam gladio vtens, ſeipſum ab eo liberet. Dedit enim nobis Deus rationem quæ ſufficiat & poſſit, ſi velimus parum reſpicere, ad edomanda omnia quæ in nobis naſcuntur vitia. Propterea etiam ſanctorum omnium vitas & conuerſationem in diuinis ſcripturis perſcriptam, Spiritus ſancti gratia reliquit, vt diſcentes, quòd licet eiuſdem fuerint naturæ, virtutibus tamen ſtuduerunt, ne ſimus nos ignaui & deſides in iis exercendis. An non naturæ noſtræ fuit & beatus Paulus? Flagro enim amore huius viri, & propterea continuò verſatur ipſe in ore meo: & quaſi in archetypum aliquod exemplar, ita in illius animam reſpiciens, obſtupeſco in hoc viro mirũ affectionum contemptum, fortitudinis excellentiam, amoris in Deum feruorem:

Ratio humana poteſt omnia vitia edomare.

A ταῦτα διορθοῦν βούλοιτο, μήτε τῶν τῆς ἀρετῆς ἔργων ἐφάπτεσθαι, ποία λοιπὸν ἂν γένοιτο σωτηρίας ἐλπίς; ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι, ἵνα ἕκαστος τῶν ἀκουόντων τὸ κατάλληλον ἑαυτῷ φάρμακον δεχόμενος ἐκ τῶν παρ' ἡμῶν λεγομένων σπουδάσῃ ταχέως, καὶ τῶν ἐνοχλούντων παθῶν ἀπαλλαγεὶς πρὸς ὑγείαν ἐπανελθεῖν, καὶ πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν ἑαυτὸν ἐπιτήδειον καταστῆσαι. καὶ γὰρ ἐπὶ τῶν καμνόντων τὰ σώματα κἂν μυριάκις ὁ ἰατρὸς ἐπιθῇ τὰ φάρμακα, ὁ δὲ ἄρρωστος μὴ ἀνέχηται ἐπιμένειν τὴν ἀπὸ τοῦ φαρμάκου θεραπείαν, ἀλλὰ πολλάκις δυσχεραίνων μετὰ τὸ ἐπιθῆναι τὸν ἰατρὸν, οὐκ ἀνεχόμενος τῆς ἀλγηδόνος ἀπορρίπτοι τοῦτο, καὶ μὴ καταδέξοιτο τὴν
B ἐξ αὐτοῦ ὠφέλειαν, οὐδεὶς ἂν τῶν εὖ φρονούντων μέμψοιτο τῷ ἰατρῷ, τὰ παρ' ἑαυτοῦ πάντα εἰσαγαγόντι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα ἡμεῖς μὲν τὸ φάρμακον τὸ ἀπὸ τῆς διδασκαλίας τῆς πνευματικῆς κατασκευάσαντες ἐπιτίθεμεν· ὑμέτερον δὲ ἂν εἴη λοιπὸν καὶ ἀνέχεσθαι τῶν ἀλγηδόνων, καὶ τῆς θεραπείας ἀπόνασθαι, καὶ ἀπαλλαγέντας τῆς νόσου πρὸς τὴν ἀληθῆ ὑγείαν ἐπανελθεῖν. οὕτω γὰρ καὶ αὐτοὶ πολλὴν τῆς ὠφελείας αἴσθησιν λήψεσθε, καὶ ἡμεῖς οὐ μικρὰν ἕξομεν τὴν παραμυθίαν ὁρῶντες τοὺς πρό-
C τερον κάμνοντας οὕτω ταχέως πρὸς ὑγείαν ἐπανελθόντας. ἕκαστος τοίνυν ἡμῶν παρακαλῶ εἰ καὶ μὴ πρότερον, κἂν γοῦν ἐκ τοῦ παρελθόντος σπουδαζέτω, ὅπερ οἶδεν ἐνοχλοῦν αὐτῷ ἐλάττωμα τῶν ἄλλων πλέον παθῶν, τοῦτο ἐκτέμνειν τῆς ψυχῆς, καὶ τῷ εὐσεβεῖ λογισμῷ καθάπερ μαχαίρᾳ τινὶ πνευματικῇ χρώμενος οὕτως ἑαυτὸν τοῦ πάθους ἀπαλλαττέτω. δέδωκε γὰρ ἡμῖν ὁ θεὸς λογισμὸν ἀρκοῦντα καὶ δυνάμενον εἰ βουληθείημεν μικρὸν διαβλέψαι, ἑκάστου τῶν ἐν ἡμῖν τικτομένων παθῶν περιγίνεσθαι. διὰ τοῦτο καὶ τῶν ἁγίων ἡμῖν
D πάντων τοὺς βίους καὶ τὴν πολιτείαν διὰ τῶν θείων γραφῶν ἀνάγραπτον κατέλειπεν ἡ τοῦ πνεύματος χάρις, ἵνα μαθόντες ὡς τῆς αὐτῆς ἡμῖν ὄντες φύσεως ἅπαντα τὰ τῆς ἀρετῆς κατώρθωσαν, μὴ ῥαθυμῶμεν περὶ τὴν ταύτης ἐργασίαν. ἢ οὐχὶ τῆς αὐτῆς ἡμῖν φύσεως ἦν ὁ μακάριος ὁ Παῦλος; ἐκκαίομαι γὰρ εἰς τὸν τοῦ ἀνδρὸς πόθον, καὶ διὰ τοῦτο συνεχῶς αὐτὸν περιστρέφων οὐ παύομαι, καὶ ὥσπερ εἰς ἀρχέτυπον εἰκόνα τινὰ εἰς τὴν τούτου ψυχὴν ἐνορῶν ἐκπλήττομαι τῶν παθῶν τὴν ὑπεροψίαν, τῆς ἀνδρείας τὴν ὑπερβολὴν, τοῦ φίλτρου τοῦ πρὸς τὸν θεὸν τὸ διάπυρον,

καὶ λογίζομαι, ὅτι πᾶσαν τῶν ἀρετῶν τὴν συναγωγὴν εἷς ἄνθρωπος βουληθεὶς κατώρθωσε, καὶ ἡμῶν ἕκαστος οὐδὲ τὸ τυχὸν κατορθοῦν βούλεται. τίς οὖν ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως τῆς ἀπαραιτήτου, ὅτ' ἂν καὶ τῆς αὐτῆς ἡμῖν κοινωνῶν φύσεως, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκείμενος, καὶ ἐν τοσαύτῃ καιρῶν δυσκολίᾳ γεγονὼς, καθ' ἑκάστην ἡμέραν ὡς εἰπεῖν ἑλκόμενος, σπαραττόμενος, καὶ δημοσίᾳ συρόμενος ὑπὸ τῶν τῷ κηρύγματι πολεμούντων, οἳ καὶ νομίσαντες αὐτὸν πολλάκις τεθνάναι τότε λοιπὸν ὡς εἰς ἔργον ἀγαγόντες τὴν φονικὴν αὐτῶν γνώμην οὕτω κατέλιπον, εὑρίσκεταί τις ἡμῶν τοσοῦτον μέγεθος τῆς ἀρετῆς ἐπιδεικνύμενος οὕτως ἀναπεπτωκότων, καὶ τοσαύτῃ ῥαθυμίᾳ ἑαυτοὺς ἐκδεδωκότων; ἀλλ' ἵνα μὴ παρὰ τῆς ἡμετέρας γλώττης ἀκούητε τὰ παρὰ τοῦ μακαρίου τούτου κατορθώματα, καὶ τὴν ἀνδρείαν, ἣν περὶ τοῦ τῆς εὐσεβείας κηρύγματος καθ' ἑκάστην ἐπεδείκνυτο, ἀναγκαῖον αὐτοῦ ἀκοῦσαι λέγοντος. ἡνίκα γὰρ εἰς ἀνάγκην κατέστη διὰ τὴν τῶν ψευδαποστόλων ἀπάτην τὰ ἑαυτοῦ διηγήσασθαι. οὕτω γὰρ ἦν αὐτῷ τοῦτο βαρὺ, καὶ ἐπαχθὲς ὡς καὶ ἀναδύεσθαι, καὶ μηδέποτε βούλεσθαι ταῦτα εἰς μέσον ἄγειν, ἀλλὰ καὶ τολμᾶν ἑαυτὸν καλεῖν βλάσφημον, καὶ διώκτην. ἐπειδὴ δὲ πολλὴν εἶδε τὴν ἀνάγκην ὑπὲρ τοῦ ἀποῤῥάψαι τὰ στόματα τῶν ἀπατεώνων, καὶ μικρὰν δοῦναι τὴν παραψυχὴν τοῖς μαθητευομένοις, οὕτω πως ἤρξατο μετὰ τὰ πολλὰ ἕτερα εἰπεῖν. ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. σκόπει ψυχὴν φιλόθεον, οὐ μόνον τολμᾶν, ἀλλὰ καὶ ἀφροσύνην τὸ πρᾶγμα καλεῖ παιδεύων ἡμᾶς μήποτε ἁπλῶς ἄνευ ἀνάγκης, καὶ μηδενὸς καταναγκάζοντος τὰ ὑφ' ἡμῶν γεγενημένα ἐκπομπεύειν, εἴ γέ τινες ἐξ ἡμῶν εὑρεθεῖεν ἀγαθόν τι ἐργασάμενοι. ἐν ᾧ δ' ἄν τις τολμᾷ φησιν, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. τοῦτ' ἔστιν, ἐπειδὴ πολλὴν ὁρῶ τὴν ἀνάγκην, τολμῆσαι βούλομαι καὶ ἀφροσύνης ἔργον ἐπιδείξασθαι. Ἑβραῖοί εἰσι, κἀγώ· Ἰσραηλῖταί εἰσι, κἀγώ· σπέρμα Ἀβραάμ εἰσι, κἀγώ. ἐπὶ τούτοις φησὶ μεγαλοφρονοῦσι; μὴ νομιζέτωσαν λείπεσθαι ἡμᾶς· καὶ γὰρ καὶ ἡμεῖς τῶν αὐτῶν μετέχομεν. εἶτα ἐπήγαγε· διάκονοι Χριστοῦ εἰσι, παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ.

A & arbitror quòd vnus homo omnes virtutes congregarit, & perfecerit: verùm nos ne vnum quidem bonum opus vel mediocre facere volumus. Quis igitur nos eripiet à ſupplicio ineuitabili? Nam cùm eiuſdem ille nobiſcũ fuerit naturæ, & iiſdem obnoxius affectionibus, & in tanta temporũ difficultate quotidie, vt ita dicam, trahebatur, lacerabatur, & publicè rapiebatur ab his qui prædicationẽ oppugnabãt, qui & ſæpe ipſum mortuum exiſtimabãt: & quaſi deſtinatam animo cædem perpetraſſent, ipſum relinquebant: inuenitúrne aliquis
B noſtrum, qui ſic [illegible] ſumus, & tot peccatis impliciti, tantam virtutum magnitudinem præ ſe ferre? Verùm quanta beatus ille præclara opera fecit, & fortitudinẽ, quam pro religionis prædicatione quotidie declarauit, non à noſtra audite lingua, ſed ipſummet audite dicentẽ. Quando enim in eam deuenit neceſſitatẽ, vt propter pſeudoapoſtolorum impoſturas res ſuas enarrare cogeretur (tam graue enim iſtud & moleſtum ipſi erat, vt excuſaret, & nunquam in
C medium ea afferre vellet: ſed & ſeipſum audebat vocare blaſphemum, & perſecutorem.) Quoniam autem 1. Tim. 1.
per neceſſari[illegible]m eſſe videret, vt impoſtorum ora obſtrueret, & diſcipulis paruam aliquam daret conſolationem: ſic ferè cœpit poſt multa alia dicere: In quocunque autem quis audet, per inſipientiam loquor, audeo & ego. Conſidera piam animam non ſolum audet, ſed & inſipientiam rem eam vocat: docens & nos ne vnquam citra neceſſitatem, & nullo vrgente, quæ à nobis facta ſunt, euul- 2. Cor. 11. 21.
D gemus, ſi quidem aliqui ex nobis inueniantur qui bonum aliquod ſunt operati. In quocunque autem quis, inquit, audet, per inſipientiam loquor, audeo & ego: hoc eſt, quoniam ego multam video neceſſitatem, audere volo, & inſipientiæ opus declarabo. Hebræi ſunt, ſum & ego: Iſraëlitæ ſunt, ſum & ego: ſemen Abrahæ ſunt, ſum & ego. De hoc, inquit, ſublime ſapiunt & gloriantur: ne putent ea nobis deeſſe, etiam nos eorumdem participes ſumus. Deinde ſubiecit: Miniſtri Chriſti ſunt, delirans loquor, excellẽtius ſum ego,

Vide hîc quæſo beatæ huius animæ virtutẽ. Nam poſtquam ſe audacem eſſe, & inſipientiam dixit, quod à ſe factum, quamuis in tanta eſſet neceſſitate conſtitutus, neque ſic tamen dictis contentus fuit: ſed quum demonſtraturus eſſet quòd illos præcelleret ipſe magno interuallo, vt ne quis eum putet ob philautiam, & ſui ipſius amorem hæc dicere, iterum delirium vocat quod à ſe dicebatur: quaſi diceret: Non ſum neſcius quòd rem facio quæ ipſos offendat, & quæ neque me deceat: ſed me compellit magna neceſſitas, ideo ignoſcite mihi inſipientiæ verba loquenti. Huius vel vmbram imitemur nos, qui tantis preminur peccatis, & ſæpe ſi parum quiddam rectè facimus, neque ipſum in promptuario mentis noſtræ repoſitum manere patimur, ſed vt gloriolam aliquam ab hominibus venemur, diuulgamus, & ob intempeſtiuam nugacitatem diuina retributione noſmetipſos fraudamus. At nihil tale beato Paulo accidebat. Sed quid? Miniſtri Chriſti ſunt: delirans, inquit, loquor excellentius ſum ego. Dein adducit in medium ea quibus pſeudoapoſtoli planè carebant. Neque enim ea habebant hi qui veritatem impugnabant, & prædicationi religionis obſiſtebant: & propter hoc omnia faciebant, vt mentes ſimpliciorum ſubuertere poſſent. Igitur vt dixit, Excellentiùs ſum ego: enumerat poſtea fortitudinis ſuæ præclara opera, & inquit: In laboribus copioſius, in verberibus ſupra modum, in mortibus frequenter. Quid dicis? Eſt hoc rarum & admirabile, quod à te dicitur: Eſtne poſſibile, vt quis ſæpe moriatur? Etiam, inquit, quamuis non mortis experientia, attamen moriendi propoſito: docens nos, quòd ſubinde ſe illis expoſuerit mortiferis periculis ob prædicationem, ſed Dei gratia in mediis periculis athletam ſeruauit, quò diſcipulis magis prodeſſet. In mortibus, inquit, frequenter: à Iudæis quinquies quadraginta plagas vna minus accepi, ter virgis cæſus fui, ſemel lapidatus, ter naufragium feci, noctem ac diem in profundo egi,

2. Cor. 11.

A θέα μοι ἐνταῦθα ἀγαπητὲ τοῦ μακαρίου τούτου τῆς ψυχῆς τὴν ἀρετήν. ἐπειδὴ γὰρ καὶ τόλμαν καὶ ἀφροσύνην ἐκάλεσε τὸ γεγενημένον ὑπ' αὐτοῦ, καί τοι εἰς τοσαύτην ἀνάγκην καταστὰς οὐδὲ οὕτως ἠρκέσθη τοῖς εἰρημένοις· ἀλλ' ὅτε ἔμελλεν ἑαυτὸν δεικνύναι πολλῷ τῷ μέτρῳ ἐκείνοις ὑπερακοντίζοντα, ἵνα μήτις νομίσῃ ἀπὸ φιλαυτίας αὐτὸν ταῦτα φθέγγεσθαι, πάλιν ἀφροσύνην καλεῖ τὸ παρ' αὐτοῦ λεγόμενον, μονονουχὶ λέγων· μὴ γὰρ οὐκ οἶδα, ὅτι πρᾶγμα ποιῶ τοῖς πολλοῖς B προσιστάμενον, καὶ οὐκ ἐμοὶ πρέπον; ἀλλ' ἡ πολλή με ἀνάγκη εἰς τοῦτο συνωθήσασα ἐκβιάζεται· διὸ συγγνῶτέ μοί φησι παραφροσύνης ῥήματα φθεγγομένῳ. τούτου κἂν τὴν σκιὰν μιμησώμεθα ἡμεῖς οἱ τοσαῦτα φορτία ἁμαρτημάτων ἔχοντες ἐπικείμενα, καὶ πολλάκις ἔν τι βραχὺ κατορθοῦντες, καὶ οὐδὲ τοῦτο εἰς τὰ ταμεῖα τῆς διανοίας φυλάττειν ἀνεχόμενοι, ἀλλὰ διὰ τὸ τὴν παρὰ τῶν ἀνθρώπων θηρᾶσθαι δόξαν ἐκπομπεύοντες, καὶ εἰς μέσον προτιθέντες, καὶ διὰ τῆς ἀκαίρου ταύτης φλυαρίας τῆς παρὰ τοῦ θεοῦ ἀμοιβῆς ἑαυτοὺς ἀποστεροῦντες. C ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτόν τι πέπονθεν. ἀλλὰ τί; διάκονοι γάρ εἰσί φησι, παραφρονῶν λέγω, ὑπὲρ ἐγώ. εἶτα λοιπὸν ἐντεῦθεν ἐκεῖνα εἰς μέσον ἄγει, ὧν οἱ ψευδαπόστολοι οὐδὲν ἦσαν ἐπιδεδειγμένοι. πῶς γὰρ οἱ καὶ τῇ ἀληθείᾳ πολεμοῦντες καὶ πρὸς τὸ ἐμποδίσαι τῷ κηρύγματι τῆς εὐσεβείας πάντα διαπραττόμενοι, καὶ τῶν ἀφελεστέρων τὰς διανοίας παρασαλεύοντες. εἰπὼν τοίνυν, ὑπὲρ ἐγώ, ἀπαριθμεῖται λοιπὸν τὰ τῆς ἀνδρείας αὐτοῦ κατορθώματα, καί φησιν· ἐν κόποις περισσοτέρως, D ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις. τί λέγεις; ξένον, τί καὶ παράδοξόν ἐστι τὸ παρὰ σοῦ λεγόμενον. ἔστι γὰρ πολλάκις θάνατον ὑπομεῖναι; ναί φησιν, εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ γνώμῃ, διδάσκων ἡμᾶς, ὅτι τοιούτοις διηνεκῶς ἑαυτὸν κινδύνοις ἐξεδίδου διὰ τὸ κήρυγμα τοῖς θάνατον αὐτῷ τίκτουσιν. ἀλλ' ἡ τοῦ θεοῦ χάρις ἐν αὐτοῖς μέσοις τοῖς κινδύνοις τὸν ἀθλητὴν διεφύλαττεν, ὥστε τοῖς μαθητευομένοις πολλὴν γίνεσθαι παρ' αὐτοῦ τὴν ὠφέλειαν. ἐν θανάτοις πολλάκις. ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρεῖς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρεῖς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα,

A ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν ψευδαδέλφοις, κινδύνοις ἐν πόλεσιν, κινδύνοις ἐν ἐρημίαις, κινδύνοις ἐν θαλάσσῃ. μὴ ἁπλῶς παρατρέχωμεν ἀγαπητοὶ τὰ εἰρημένα, ἕκαστον γὰρ τούτων καθ' ἑαυτὸ μόνον πέλαγος ἡμῖν ὑποδείκνυσι τῶν πειρασμῶν. οὐδὲ γὰρ ἁπλῶς ὁδοιπορίαν μίαν εἶπεν, ἀλλ' ὁδοιπορίαις φησὶ πολλάκις, οὐδὲ κίνδυνον ποταμῶν, ἀλλὰ πολλοὺς καὶ διαφόρους κινδύνους, καὶ πάντα μετὰ πολλῆς τῆς ὑπερβολῆς ὑπέμεινε, καὶ μετὰ ταῦτα ἅπαντα πάλιν φησίν. ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις B πολλάκις, ἐν λιμῷ καὶ δίψει. ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι· χωρὶς τῶν παρεκτός. ὅρα πάλιν ἄλλο πέλαγος ἡμῖν πειρασμῶν ἀνοιγόμενον. εἰπὼν γὰρ χωρὶς τῶν παρεκτός, ᾐνίξατο ὅτι τὰ παραλειφθέντα πλείονα εἰκὸς εἶναι τῶν εἰρημένων, καὶ οὐδὲ μέχρι τούτου ἔστη. ἀλλὰ πάλιν ἡμᾶς διδάσκει τὰς ἐπισυστάσεις καὶ τὰς συστροφάς, ἃς ὑπέμεινεν οὕτω λέγων. ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν· ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν; ἰδοὺ πάλιν καὶ τοῦτο ἱκανὸν κατόρθωμα, εἰ καὶ μόνον τυγχάνῃ εἰς C αὐτὴν αὐτὸν ἀναγαγεῖν τὴν ἄκραν κορυφὴν τῆς ἀρετῆς. ἡ μέριμνα φησὶ πασῶν τῶν ἐκκλησιῶν. οὐχὶ μιᾶς καὶ δύο καὶ τριῶν, ἀλλὰ πασῶν τῶν κατὰ τὴν οἰκουμένην. ὅσην γὰρ ἥλιος διατρέχει γῆν τὰς οἰκείας ἀκτῖνας ἀφιείς, τοσαύτην καὶ ὁ μακάριος οὗτος εἶχε τὴν μέριμναν, καὶ τὴν φροντίδα. εἶδες πλάτος ψυχῆς; εἶδες διανοίας μέγεθος; καὶ τὸ ἑξῆς δὲ ἐπαγόμενον πάλιν ἅπαντα ὡς εἰπεῖν τὰ εἰρημένα ὑποκρύπτει. τίς γὰρ ἀσθενεῖ φησι, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; βαβαὶ πόση τοῦ ἀνδρὸς τούτου ἡ φι- D λοστοργία· πόση ἡ ἀγρυπνία· πόση ἡ μέριμνα· ποία μήτηρ οὕτω διακόπτεται τὰ σπλάγχνα τοῦ παιδὸς αὐτῆς πυρέττοντος καὶ ἐπὶ τῆς κλίνης κειμένου ὡς ὁ μακάριος οὗτος ὑπὲρ τῶν ἐν ἑκάστῳ τόπῳ ἀσθενούντων μᾶλλον ἠσθένει καὶ ὑπὲρ τῶν σκανδαλιζομένων ἐπυροῦτο; σκόπει γάρ μοι λέξεως ἔμφασιν· οὐκ εἶπε, τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ λυποῦμαι· ἀλλὰ πυροῦμαι φησι, τὴν ἐπίτασιν ἡμῖν τῆς ὀδύνης δηλῶν, καὶ μονονουχὶ δεικνὺς ἐμπυριζόμενον ἑαυτὸν καὶ καιόμενον ἔνδοθεν ὑπὲρ τῶν τὰ σκάνδαλα ὑπομενόντων·

in itineribus ſæpe; in periculis fluminum, periculis latronum, periculis ex genere, periculis ex gentibus, periculis ex falſis fratribus, periculis in ciuitatibus, periculis in ſolitudine, periculis in mari. Ne ſimpliciter prætereamus dicta hæc dilecti: nam quodlibet horum per ſe pelagus aliquod tentationum ſecum fert. Non enim ſimpliciter iter vnum dixit: ſed, in itineribus ſæpe: neque vnum periculum in fluuiis, ſed multa & varia: & omnia tulit magna quadam conſtantia. Et poſthæc omnia iterum inquit: In labore & moleſtia; in vigiliis ſæpe, in fame & ſiti, in ieiuniis ſæpe, in frigore & nuditate, abſque his quæ extrinſecus accidunt. Vide iterum aliud pelagus tentationum nobis aperiri. Vt enim dixit, Abſque his quæ extrinſecus accidunt, inſinuauit prætermiſſa plura eſſe veriſimiliter, quàm quæ dicta ſunt. Et neque his contentus, præterea alia nos docet, preſſuras & conſpirationes quas ſuſtinuit, ſic dicens: inſtantia mea quotidiana, cura omnium eccleſiarum: Ecce & hoc bonum opus vel vnicum ſufficiens eſt, vt ſummus ipſi virtutum apex tribuatur, cura omnium eccleſiarum, non vnius vel duarum, vel trium; ſed omnium quæ in toto orbe. Nam quantam terram ſol radiis ſuis illuſtrat, tantam curam & ſollicitudinem habuit Paulus. Vidiſti latitudinem animæ? vidiſti mentis magnitudinem? iam quod ſubſequitur, omnia ſuperiora obſcurat. Quis enim infirmatur, inquit, & ego non infirmor? Quis ſcandalizatur, & ego non vror? Papę, quantus viri huius in filios amor & indulgentia! quanta vigilantia! quanta cura! Quæ mater ſic cruciatur intra viſcera filio febre laborante, & in lecto decumbente, vt beatus ille pro quouis infirmo, quocunque ille loco eſt, infirmatur, & pro ſcandalizatis vritur? Conſidera enim quęſo verborum latentem vim & emphaſin. Non dixit, Quis ſcandalizatur, & ego non contriſtor? ſed vror, inquit, intenſum nobis dolorem declarans: quaſi demonſtraret, quòd intrinſecus accęderetur & vreretur pro his qui offendebantur.

Id eſt, inſtãtia, incurſus, cõſpiratio.

A Scio quòd in magnam prolixitatem extendi doctrinam, quamuis ſtatueram hodie breuior eſſe, vt paululum à ieiunij labore poſſitis reſpirare: ſed neſcio quómodo, vt in diuitias bonorum operum huius ſancti incidi, linguam mihi, quaſi rapidi fluminis vis rapuit. Propterea hîc finem dicendi faciens, oro charitatem veſtram, vt continuè illum in mente circumferatis: & ſubinde cogitetis, quòd eadem nobiſcum natura communicans, iiſdem affectionibus obnoxius, opifex vilis & contemptibilis, pellium ſutor, & in officinis frequens, quia voluit & decreuit virtutum ſtudio ſe mancipare, & idoneum ſe conſtituere receptaculum Spiritus ſancti, largius quoque ſuperna liberalitate potitus eſt. Et nos item, ſi voluerimus quod noſtrum eſt facere, nihil prohibebit eadem nos bona conſequi. Liberalis enim eſt dominus, & vult omnes homines ſaluos fieri, atque ad agnitionem veritatis venire. (1. Tim. 2. 4.) Idoneos igitur nosipſos exhibeamus, & feruenti alacritate virtutem vel nunc ſaltem apprehendamus, & affectiones noſtras corrigentes, efficiamus vt Spiritus ſancti accommoda ſimus habitacula. Quod vt mereamur, concedat gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre ſimul, & Spiritu ſancto ſit gloria, imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

οἶδα ὅτι εἰς πολὺ μῆκος ἐξέτεινα τὴν διδασκαλίαν, καὶ ταῦτα προειρημένος σήμερον συστεῖλαι, ἵνα μικρὸν ἐκ τοῦ τῆς νηστείας πόνου ἀνεθῆναι δυνηθῆτε· ἀλλ' οὐκ οἶδ' ὅπως ἐμπεσὼν εἰς τὸν πλοῦτον τῶν κατορθωμάτων τοῦ ἁγίου τούτου καθάπερ ὑπὸ ῥύμης ὑδάτων σφοδροτάτης ὑπὸ τὴν γλῶτταν παρεσύρην. διὸ μέχρι τούτου στήσας τὸν λόγον παρακαλῶ τὴν ὑμετέραν ἀγάπην διηνεκῶς τοῦτον ἐν διανοίᾳ περιφέρειν, καὶ τοῦτο λογίζεσθαι συνεχῶς, ὅτι τῆς αὐτῆς ἡμῖν κοινωνὸν φύσεως, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκείμενος, καὶ ἐπιτήδευμα ἔχων εὐτελὲς καὶ εὐκαταφρόνητον, καὶ δέρματα ῥάπτων, καὶ B ἐπὶ ἐργαστηρίου ἑστηκώς, ἐπεὶ ἠβουλήθη καὶ ἠθέλησε πρὸς τοὺς τῆς ἀρετῆς πόνους ἑαυτὸν ἐκδοῦναι, καὶ ἄξιον ἑαυτὸν καταστῆσαι τῆς ὑποδοχῆς τοῦ ἁγίου πνεύματος δαψιλεστέρας ἀπήλαυσε τῆς ἄνωθεν φιλοτιμίας. καὶ ἡμεῖς τοίνυν ἐὰν βουληθῶμεν τὰ παρ' ἑαυτῶν ἐπιδείξασθαι, οὐδὲν τὸ κωλύον τῶν αὐτῶν ἡμᾶς ἀπολαῦσαι. φιλότιμος γὰρ ὁ δεσπότης, καὶ βούλεται πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν τῆς ἀληθείας ἐλθεῖν. ἀξίους τοίνυν ἑαυτοὺς κατασκευάσωμεν, καὶ μετὰ προθυμίας ζεούσης τῆς ἀρετῆς ὀψέ γοῦν ποτε ἐπιλαμβανώμεθα, C καὶ τὴν ἐν ἡμῖν παθῶν τὴν διόρθωσιν ἐπιδειξάμενοι ἐπιτηδείους ἑαυτοὺς ἀπεργασώμεθα πρὸς τὴν τοῦ πνεύματος ὑποδοχήν, ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

HOMILIA XII.

Gen. 2. *De iis quæ ſequuntur creationem: Iſte eſt liber generationis coeli & terræ, quando facta ſunt: quo die fecit Deus coelum & terram.*

AGE promiſſum noſtrum hodie impleamus: & conſuetam doctrinam tractantes, dicenda nunc, his quæ ſupra dicta ſunt, contexamus. Scitis enim quòd ſemel atque iterum hoc facere decreuerimus, & ad hoc properauerimus, ſed linguam noſtram cura fratrum, quam gerimus, in illorum admonitionem aliò rapuit.

Ὁμιλία ιβ.

D Εἰς τὰ ἀκόλουθα τῆς κτίσεως, αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο, ἡ ἡμέρα ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

Φέρε δὴ σήμερον πληρώσωμεν ἡμῶν τὴν ὑπόσχεσιν, καὶ τῆς συνήθους ἁψώμεθα διδασκαλίας, καὶ τῇ ἀκολουθίᾳ τῶν εἰρημένων συνάψωμεν καὶ τὰ μέλλοντα ῥηθήσεσθαι. ἴστε γάρ, ὅτι καὶ ἅπαξ καὶ δεύτερον σπεύδοντας ἡμᾶς, καὶ βουλομένους τοῦτο ποιῆσαι, ἡ περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους πρόνοια τὴν γλῶτταν ἡμῶν εἰς τὴν πρὸς ἐκείνους παραίνεσιν μετήγαγε.

A ποτὲ μὲν γὰρ τοὺς νενοσηκότας τῶν ἀδελφῶν, καὶ διὰ συνήθειαν πρότερον ἡμῶν ἀποσχίζοντας ἑαυτοὺς τοῦ συλλόγου τούτου τοῦ πνευματικοῦ, καὶ τὴν ἡδονὴν τῆς ἁγίας ἑορτῆς ἡμῖν ἀκρωτηριάζοντας διὰ τῆς πολλῆς παρακλήσεως καὶ συμβουλῆς ἐπείθομεν μὴ ἐπὶ πολὺ χωρίζειν ἑαυτοὺς τῆς τοῦ Χριστοῦ ποίμνης, μηδὲ ἔξω τοῦ σηκοῦ τούτου τοῦ πνευματικοῦ πλανᾶσθαι. καὶ τῷ μὲν λόγῳ καὶ τῷ ὀνόματι ἡμῖν ἑνῶσθαι, τῇ δὲ ἀληθείᾳ τοῖς Ἰουδαίοις κατακολουθεῖν τοῖς ἐπὶ τῇ σκιᾷ παρακαθημένοις, καὶ τῷ λύχνῳ προσηλωμένους μετὰ τὴν ἔλλαμψιν τοῦ τῆς δικαιοσύνης ἡλίου. ποτὲ καὶ τῶν ἐνταῦθα συνειλεγμένων τοὺς

B ἀμυήτους παρεκαλέσαμεν ἐπιδραμεῖν τῇ κλήσει τῇ πνευματικῇ, καὶ πάντα ὕπνον καὶ πᾶσαν ῥᾳθυμίαν ἀποτιναξαμένους πόθῳ ζέοντι καὶ προθυμίᾳ συντεταμένῃ ἑτοίμους ἑαυτοὺς πρὸς τὴν ὑποδοχὴν τῆς βασιλικῆς δωρεᾶς ἀπεργάσασθαι, καὶ σπεῦσαι πρὸς τὸν τὴν ἄφεσιν τῶν πεπλημμελημένων δωρούμενον, καὶ τὰ μυρία ἀγαθὰ μετὰ δαψιλείας παρέχοντα. ἐπεὶ οὖν καὶ τῶν περὶ τὴν τοῦ πάσχα ἑορτὴν σφαλλομένων, καὶ διὰ τῆς νομιζομένης ταύτης μικρᾶς παρατηρήσεως μεγάλα ἑαυτοὺς ζημιούντων τὴν ἡμῖν ἁρμόττουσαν πρό-

C νοιαν ἐποιησάμεθα, κατάλληλον αὐτῶν τῷ τραύματι τὴν θεραπείαν ἐπαγαγόντες, καὶ τοῖς ἀμυήτοις τὴν προσήκουσαν νουθεσίαν προσηγάγομεν, ἀκόλουθον ἂν εἴη λοιπὸν, ἐπειδὴ πρὸς τὰ κατεπείγοντα τῶν νοημάτων ἔστημεν, καὶ τὸ αὐτῶν ἐπληρώσαμεν, κοινὴν πᾶσιν ἡμῖν σήμερον ἑστίασιν παραθεῖναι τὴν πνευματικήν. ὥσπερ γὰρ πρὶν ἢ τῶν ἀδελφῶν τῶν ἡμετέρων τὴν ἐπιμέλειαν ποιήσασθαι, εἰ τὴν πρὸς ἐκείνους παραίνεσιν καταλιπόντες τῆς ἀκολουθίας ἐχόμενοι παρείδομεν κάμνοντας αὐτούς, εἰκότως ἄν τις ἡμῖν μέμψαιτο ὡς τὸν ἐπιτήδειον

D καιρὸν παραδραμοῦσιν· οὕτω νῦν, ἐπειδὴ μηδὲν παραλέλειπται τῶν εἰς δύναμιν ἡμετέραν, ἀλλὰ τὸν τῆς διδασκαλίας λόγον ἐποιησάμεθα, καὶ τὸ ἀργύριον κατεβάλομεν, καὶ τὰ σπέρματα τῇ γῇ ταύτῃ τῇ πνευματικῇ παρακατεθέμεθα; ἀκόλουθόν ἐστι πάλιν τὰ παρὰ τοῦ μακαρίου Μωυσέως ἀναγνωσθέντα εἰς μέσον προσθεῖναι, ἵνα τὸ ἐξ αὐτῶν κέρδος καρπωσάμενοι οὕτως οἴκαδε ἀναχωρήσωμεν. τίνα οὖν ἐστιν, ἀκούσωμεν. αὕτη βίβλος φησὶ γενέσεως οὐρανοῦ καὶ τῆς γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρα ὅτε ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ

A Quandoquidem interdum infirmis fratribus quibus ob prius receptam conſuetudinem ; ſequeſtrare ſe ab hoc ſpirituali conuentu, & mutilare nobis ſanctæ feſtiuitatis gaudia mos fuit : ſuaſimus conſulendo & exhortando, ne diutius ab ouili Chriſti abſint, & extra caulam hanc ſpiritualem aberrent : nomine quidem & appellatione nobis vniti, reuera autem Iudæos ſectantes, qui adhuc vmbræ aſſident, lucernæque addicti ſunt. Interdum autem obſecrauimus etiam eos qui adſunt, & parum adhuc de ſacris

B inſtructi, vt in ſpirituali vocatione currant, excuſſóque omni ignauiæ ſomno, feruenti deſiderio, & & intenta alacritate paratos ſe ad ſuſcipienda regia munera præſtent, & properent ad eum, qui remiſſionem donat peccatorum, & liberaliter innumera bona ſuppeditat. Itaque cùm vulneribus, prout requirebat neceſſitas, medicamenta impoſuerimus, & nobis congruam curam impenderimus : partim arguentes illos qui de paſchali feſto

C malè ſentientes labuntur, & obſeruatiuncula iſta recepta multum ſibi incommodant : partim admonentes alioqui rudes, indoctos & tepidos : nunc quidem, poſteaquam morbis vrgentibus obſtitimus, illiſque ſatisfecimus, reliquum fuerit, vt omnibus vobis ſpirituale paretur conuiuium. Nam ſicut iure quis nos reprehendiſſet, vt temporis opportunitatem & rationem negligentes, ſi priuſquam fratrum noſtrorum curam habuiſſemus, infirmitate ipſorum contempta, cœ-

D ptam materiam ſectati eſſemus : ita nunc, quia nihil prætermiſſum eſt, quantum noſtræ vires ſinunt, ſed verbum doctrinæ adhibuimus, pecuniam dinumerauimus, ſemina terræ ſpirituali commendauimus : conſentaneum eſt, vt iterum in medium afferantur, quæ ex beato Moſe ſunt lecta, quò fructu inde collecto, domum proficiſci liceat. Quænam igitur ſint iſta, audiamus. *Iſte eſt liber,* inquit, *generationis coeli & terræ, quando facta ſunt, quo die fecit Deus coelum & terram, & omne virgultum agri ante-*

quam oriretur ſuper terram: omnémque herbam agri, priuſquam oriretur. Non enim pluerat Deus ſuper terram, & homo non erat qui coleret eam. Fons autem aſcendebat de terra, & irrigabat vniuerſam faciem terræ. Conſidera mihi rurſus obſecro, beati huius prophetæ admirabilem ſapientiam, imò ſancti Spiritus doctrinam. Nam poſtquam nobis per partes enarrauit creaturas omnes, & ſex dierum pertractauit opera, & formationem hominis, poteſtatémque viſibilium omnium illi conceſſam: nunc iterum ſummatim omnia recapitulans, inquit: Iſte eſt liber generationis cœli & terræ, quando facta ſunt. Operæprecium hîc fuerit inquirere, quare ſcriptura librum hunc vocauerit cœli & terræ, quamuis multa alia in ſe contineat, & doceat nos de pluribus aliis, nempe de iuſtorum virtutibus, & de benignitate Dei, & indulgentia, quam erga primùm creatum hominem, & omne humanum genus declarauit: & de aliis multis, quæ huius temporis non fuerit declarare. Ne mireris dilecte: mos enim hic eſt ſacræ ſcripturæ, vt non vbique omnia particulatim enarret: ſed cùm generaliſſima, & ea quæ plurima complectuntur, dicere cœperit, relinquat ſequentia his, qui ſtudioſis auribus excipiunt, quæ dicuntur conſideranda. Et vt diſcas quòd ita ſit, manifeſtum faciam ex his quæ nunc ſunt lecta. Ecce enim in ſuperioribus, cùm nos docuit diuina ſcriptura particulatim formationem omnium: nunc non omnium meminit, ſed inquit: Iſte eſt liber generationis cœli & terræ, quando facta ſunt, die quo fecit Deus cœlum & terram, & cætera. Vide quomodo totum ſermonem ad cælum & terram conuertit, in illis alia omnia nobis contuenda relinquens. Cùm ergo dicit, cœlum & terram: omnes creaturas ſimul comprehendit tam eas quæ in cœlo, quàm quæ in terra. Sicut igitur in enarratione creaturarum non omnia deinceps dicit, ſed maximè generalia tantum commemorat, & non etiam ſigillatim enarrat, ita & librum totum, librum generationis cœli & terræ appellauit,

A πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι. οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν, πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. σκόπει μοι πάλιν τοῦ θαυμαστοῦ τούτου προφήτου τὴν σύνεσιν, μᾶλλον δὲ τοῦ ἁγίου πνεύματος τὴν διδασκαλίαν. μετὰ γὰρ τὸ διηγήσασθαι ἡμῖν κατὰ μέρος τὰ τῆς δημιουργίας ἅπαντα, καὶ τὰ ἔργα τῶν ἓξ διελθεῖν ἡμερῶν, καὶ τὴν τοῦ ἀνθρώπου δημιουργίαν, καὶ τὴν ἐξουσίαν τὴν παρασχεθεῖσαν αὐτῷ πάντων τῶν ὁρωμένων, νῦν πά-
B λιν ἀνακεφαλαιούμενος τὰ πάντα φησίν· αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ τῆς γῆς, ὅτε ἐγένετο. ἄξιον ἐνταῦθα ζητῆσαι, τίνος ἕνεκεν βίβλον αὐτὴν καλεῖ οὐρανοῦ τε καὶ γῆς, καί τοι πολλὰ ἕτερα τῆς βίβλου περιεχούσης καὶ διδασκούσης ἡμᾶς, καὶ περὶ ἑτέρων πλειόνων καὶ περὶ τῆς τῶν δικαίων ἀρετῆς, καὶ περὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας καὶ τῆς συγκαταβάσεως, ἣν ἐπεδείξατο περί τε τὸν πρωτόπλαστον, καὶ περὶ ἅπαν τὸ τῶν ἀνθρώπων γένος, καὶ περὶ ἑτέρων δὲ πολλῶν, ἅπερ οὐκ ἂν εἴη τοῦ παρόντος καιροῦ κατα-
C λέγειν. μὴ ξενισθῇς ἀγαπητέ. ἔθος γὰρ τοῦτο τῇ θείᾳ γραφῇ μὴ πανταχοῦ κατὰ μέρος ἡμῖν ἅπαντα διηγεῖσθαι, ἀλλ' ἀπὸ τῶν συνεκτικωτάτων ἀρχομένην καταλιμπάνειν τὰ ἑξῆς σκοπεῖν τοῖς εὐγνώμοσιν ἀκοαῖς δεχομένοις τὰ λεγόμενα. καὶ ἵνα μάθῃς, ὅτι τοῦτο οὕτως ἐστὶν, ἐξ αὐτῶν τῶν νῦν ἀνεγνωσμένων τοῦτο δῆλον ὑμῖν καθίστημι. ἰδοὺ γὰρ ἐν τοῖς παρελθοῦσι διδάξασα ἡμᾶς ἡ θεία γραφὴ τὴν κατὰ μέρος ἁπάντων δημιουργίαν, νῦν οὐ πάντων μέμνηται, ἀλλά φησιν· αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίη-
D σεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ὁρᾷς πῶς πάντα τὸν λόγον εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν περιστρέφει, ἡμῖν καταλιμπάνουσα ἐκ τούτων πάντα τὰ ἄλλα συνιδεῖν. ὅταν γὰρ εἴπῃ οὐρανὸν καὶ γῆν, πάντα ὁμοῦ συνελοῦσα εἶπε, τά τε ἐν τῇ γῇ τά τε ἐν τῷ οὐρανῷ. ὥσπερ οὖν τῆς τῶν δημιουργημάτων διηγήσεως οὐ πάντα καθεξῆς λέγει, ἀλλὰ τῶν συνεκτικωτάτων μνημονεύουσα οὐκέτι καθ' ἓν ἡμῖν ἅπαντα διηγεῖται, οὕτω καὶ τὴν βίβλον πᾶσαν, εἰ καὶ πολλὰ ἕτερα περιέχει, βίβλον γενέσεως οὐρανοῦ τε καὶ γῆς ὠνόμασεν,

A ἡμῖν καταλιμπάνουσα λοιπὸν διὰ τῆς τούτων μνήμης ἀναλογίζεσθαι, ὅτι πάντα ἀνάγκη ἐν ταύτῃ τῇ βίβλῳ περιέχεσθαι τὰ ὁρώμενα, τά τε ἐν τῷ οὐρανῷ, τά τε ἐν τῇ γῇ. ἡ ἡμέρα φησὶν ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι. οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν. πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. πολὺς ὁ ἐγκεκρυμμένος θησαυρὸς τοῖς βραχέσι τούτοις ῥήμασι· διὸ προσήκει μετὰ πολλῆς τῆς συνέσεως ὑπὸ τῆς τοῦ θεοῦ χάριτος ὁδηγουμένους ἡμᾶς ἀναπτύξαι τὰ B εἰρημένα, καὶ κοινωνοὺς ὑμᾶς λαβεῖν τοῦ πλούτου τούτου πνευματικοῦ. τὸ γὰρ πνεῦμα τὸ ἅγιον τὰ μέλλοντα προγινώσκον, ἵνα μηδενὶ τῶν μετὰ ταῦτα ἐξῇ φιλονεικεῖν, καὶ ἀπεναντίας τῇ θείᾳ γραφῇ τὰ ἀπὸ τῶν οἰκείων λογισμῶν ἐπιφέρειν τοῖς τῆς ἐκκλησίας δόγμασι, καὶ νῦν πάλιν μετὰ τὸ διδάξαι τῶν δημιουργηθέντων τὴν τάξιν, καὶ τί μὲν πρῶτον παρήχθη, τί δὲ δεύτερον, καὶ ὅτι τὰ ἀπὸ τῆς γῆς σπέρματα τῷ λόγῳ καὶ τῷ προστάγματι ὑπηρετουμένη τοῦ δεσπότου ἐξέδωκεν ἡ γῆ, καὶ C πρὸς τὰς ὠδῖνας διηγέρθη, οὔτε τοῦ ἡλίου πρὸς συνεργίαν δεηθεῖσα· πῶς γὰρ τοῦ μηδέπω δημιουργηθέντος; οὔτε τῆς τῶν ὑετῶν ἐπιμελείας, οὔτε τῆς τοῦ ἀνθρώπου ἐργασίας, οὐδὲ γὰρ οὐκ ἦν παραχθεὶς εἰς τὸ μέσον· διὰ τοῦτο πάλιν κατὰ μέρος πάντων μνημονεύει, ἵνα τῶν ἀναισχυντεῖν ἐπιχειρούντων ἐπιστομίσῃ τὴν ἀκόλαστον γλῶτταν. τί γάρ, φησιν; ἡ ἡμέρα ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶν χλωρὸν ἀγροῦ, πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι. οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν. πηγὴ δὲ D ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. τοῦτο βούλεται εἰπεῖν, ὅτι τῷ λόγῳ αὐτοῦ καὶ τῷ προστάγματι τὰ πρότερον μὴ ὄντα εἰς τὸ εἶναι παρέστη, καὶ ἄφνω οὐκ ἦν ταῦτα ἀθρόον ἐδείκνυτο. ὁ χόρτος ὁ ἐκ τῆς γῆς ἀναδιδόμενος. χόρτον δὲ ὅταν εἴπῃ, τὰ σπέρματα ἅπαντα λέγει. καὶ περὶ τῶν ὑετῶν διδάσκουσα ἡμᾶς πάλιν ἡ θεία γραφὴ ἐπήγαγεν· οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, τουτέστιν οὐδέπω οὐδὲ ὑετοὶ ἄνωθεν κατεφέροντο, καὶ μετὰ τοῦτο λοιπὸν δείκνυσιν ἡμῖν, ὅτι οὐδὲ τῆς τοῦ

nobis ex horum commemoratione, quod reliquum eſt conieƈtandum relinquens: neceſſe eſt enim omnia in hoc libro viſibilia contineri, tam ea quæ in cælo, quàm quæ in terra. Quo die, inquit, fecit Deus cœlum & terram, & omne virgultum agri, antequam fieret ſuper terram, & omnem herbam agri antequam orietur. Non enim pluerat Deus ſuper terram, neque homo erat qui coleret illam: ſed fons aſcendebat è terra & irrigabat vniuerſam faciem terræ. Grandis theſaurus in pauculis verbis illis reconditus eſt. Vnde magna prudentia, quæ dicuntur iuuante nos Dei gratia, congruit explicare, & facere vos ſpiritualium harum diuitiarum participes. Spiritus enim ſanƈtus futurorum præſcius, vt nulli poſthac contendere, & eccleſiaſticis dogmatibus, ex propriis ſenſibus, aduerſa diuinis ſcripturis immiſcere liceat: etiam nunc denuo, poſtquam creaturarum ordinem docuit: quòd hoc quidem primum, iſtud autem ſecundò produƈtum: & quòd ſemina ſua tellus verbo mandatóque domini miniſtrans edidit, & producendi vim accepit: cùm neque ſolis cooperatione egeret, qui nondum erat, neque pluuiarum humiditate, neque hominis cultura: nam & ille nondum in medium prodierat: ideo iterum repetit particulatim omnia, vt indomitæ impudenter blaterantium linguæ compeſcantur. Quid autem inquit? Die quo fecit Deus cœlum & terram, & omne virgultum agri, priuſquam fieret ſuper terram, omnémque herbam agri, priuſquam orireur. Non enim pluerat Deus ſuper terram, nec erat homo qui coleret illam. Fons autem aſcendebat è terra, & rigabat vniuerſam faciem terræ. Hoc vult dicere, quòd ſermone & præcepto illius quæ prius non erant, vt eſſent prouenerunt, & quæ non erant, ſubitò comparuerunt. Herba eſt, quæ ex terra prouenit: hîc autem herbam dicens, ſemina omnia dicit. Et de pluuiis docens nos iterum ſcriptura ſubdit: Non enim pluerat Deus ſuper terram: hoc eſt, nondum pluuię deſuper ferebantur. Denique oſtendit, quòd neque

Non eſt admiſcẽ dũ quicquã aduerſum Scripturæ.

hominis operatione habuit opus (non enim erat homo qui operaretur terram) quaſi clamans & dicens poſteris omnibus : Audite hæc, & diſcite, quomodo ab initio omnes terræ prouentus ſint producti, & ne terram colentium diligentiæ omnia tribuite, neque eis hanc germinandi vim aſcribite : ſed mandato & præcepto, quòd à conditore ſuo audiit. Hæc autem omnia fiunt, vt ſciamus terram ad edenda ſemina ſua aliorum elementorum cooperatione non egere, ſed conditoris mandato contentam eſſe. Eſt & hoc minimè vulgare & admirandum, quòd is qui nunc terram verbo ad tot ſemina producenda fœcundam fecit, & declarauit potentiam ſuam, quæ humanæ rationis captum tranſcendit, hanc ipſam tam grauem & tantum ſupra dorſum ſuum ferentem mundum ſuper aquas fundauit, ſicut & propheta dicit : Qui fundauit terram ſuper aquas. Quæ humana ratio comprehendere hoc poteſt? Nam cùm homines domus ædificant, & fundamenta iacere volunt, prius fodiunt: & vbi ad profunda peruenerint, ſi vel paruum humorem viderint omnia faciunt, vt omnem ipſum exhauriant, & ſic fundamenta locent : propterea opifex omnium omnia ſecus quàm homines facit, vt ex hoc diſcas ineffabilem eius potentiam, & quod quandocunque voluerit, elementa hæc planè contrarium quàm ſolent effectum iuxta conditoris præceptum oſtendunt. Et vt id quod dicitur, dilucidius nobis fiat, iam de hoc aliquid diſſeramus, poſtea ad aliud tranſituri. Hoc enim contra aquarum naturam eſt, ferre corpus tam graue: & iterum contra naturam terræ, ſedem ſuam in tali fundamento habere. Et quid miraris? In quacunque creatura ſcrutari volueris, inuenies immenſam opificis potentiam, & quòd ſua voluntate gubernat omnia. Videre enim hoc licet in igne, cui abſumptiua natura eſt : omnia enim domat, materiam lignorum, lapidum, corporum, & ferri, idque magna facilitate: at poſtquam imperauit dominus, corpora tenera & corruptibilia non

Pſal. 23. 2.

A τῆς τοῦ ἀνθρώπου ἐργασίας ἐδεήθη. ἄνθρωπος γάρ φησιν οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν. μονονουχὶ βοῶσα, καὶ λέγουσα τοῖς μετὰ ταῦτα ἅπασιν, ὅτι ταῦτα ἀκούοντες μάθετε, πῶς ἐξ ἀρχῆς ἅπαντα προήχθη τὰ ἀπὸ τῆς γῆς ἀναδιδόμενα, καὶ μὴ τῇ ἐπιμελείᾳ τῶν τὴν γῆν θεραπευόντων τὸ πᾶν λογίζεσθε, μηδὲ ἐκείνοις τὰς ὠδῖνας ταύτας ἐπιγράφετε, ἀλλὰ τῷ λόγῳ καὶ τῷ ἐπιτάγματι τῷ ἐξ ἀρχῆς πρὸς αὐτὴν παρὰ τοῦ δημιουργήσαντος αὐτὴν γενομένῳ. ταῦτα δὲ ἅπαντα γέγονεν, ἵνα μάθωμεν, ὅτι οὐκ ἐδεήθη τῆς τῶν ἄλλων στοιχείων συνεργείας πρὸς τὴν τῶν οἰκείων σπερμάτων ἀνάδοσιν, ἀλλ' ἠρκέσθη

B τῷ ἐπιτάγματι τοῦ δημιουργοῦ. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον τοῦτό ἐστιν, ὁ νῦν τῷ οἰκείῳ λόγῳ πρὸς τὴν τῶν τοσούτων σπερμάτων βλάστην αὐτὴν διεγείρας, καὶ τὴν οἰκείαν δύναμιν ἐπιδειξάμενος, ὑπερβαίνουσαν τὸν ἀνθρώπινον λογισμὸν ταύτην αὐτὴν τὴν βαρεῖαν, καὶ τὸν τοσοῦτον κόσμον ἐπὶ τῶν οἰκείων νώτων φέρουσαν ἐπὶ τῶν ὑδάτων ἐθεμελίωσε, καθὼς ὁ προφήτης φησὶν, ὁ θεμελιώσας ἐπὶ τῶν ὑδάτων τὴν γῆν. ποῖος λογισμὸς ἀνθρώπινος ἐφικέσθαι τούτων δυνήσεται; ἐπειδὴ γὰρ οἱ ἄνθρωποι οἰκίας οἰκοδομούμενοι, καὶ θεμελίους καταβάλλειν

C βουλόμενοι, πρότερον διασκάπτοντες, καὶ εἰς τὸ βάθος κατιόντες, κἂν μικρὰν νοτίδα ἴδωσι, πάντα ποιοῦσιν, ὥστε πᾶσαν αὐτὴν ἐξαντλῆσαι, καὶ οὕτω τοὺς θεμελίους καταβάλλειν· διὰ τοῦτο καὶ ὁ τῶν ἁπάντων δημιουργὸς ἀπεναντίας τῇ ἀνθρωπίνῃ φύσει ἅπαντα δημιουργεῖ, ἵνα μάθῃς καὶ ἐκ τούτων αὐτοῦ τὴν ἄφατον δύναμιν, καὶ ὅτι ἐπειδὰν βουληθῇ καὶ αὐτὰ τὰ στοιχεῖα τὰ ἐναντία τῇ οἰκείᾳ ἐνεργείᾳ ἐπιδείκνυται, τῷ ἐπιτάγματι τοῦ δημιουργήσαντος ὑπερετούμενα. καὶ ἵνα σαφέστερον ἡμῖν γένηται τὸ λεγόμενον, τέως ἐπ' αὐτοῦ τοῦ προκειμένου τὸν λόγον γυμνά-

D σωμεν, καὶ τότε καὶ ἐφ' ἕτερον μεταβησόμεθα. τοῦτο γὰρ αὐτὸ ἐναντίον ἐστὶ τῇ φύσει τῶν ὑδάτων τὸ οὕτω βαρὺ σῶμα φέρειν, καὶ τῇ γῇ πάλιν ἐναντίον τὸ ἐπὶ τούτῳ θεμελίῳ τὴν ἕδραν ἔχειν. καὶ τί θαυμάζεις; κἂν γὰρ ἐφ' ἑκάστου τῶν γενομένων διερευνῆσαι βουληθῇς, εὑρήσεις τοῦ δημιουργήσαντος ἄπειρον τὴν δύναμιν, καὶ ὅτι τῇ οἰκείᾳ βουλήσει ἡνιοχεῖ πάντα τὰ ὁρώμενα. τοῦτο γὰρ καὶ ἐπὶ τοῦ πυρὸς ἔστιν ἰδεῖν γινόμενον. τὸ γὰρ δαπανητικὴν ἔχον ἐνέργειαν, καὶ πάντων περιγινόμενον, καὶ πᾶσαν ὕλην λίθων καὶ ξύλων καὶ σωμάτων καὶ σιδήρου μετ' εὐκολίας καταναλίσκον, ἐπειδὴ προσέταξεν ὁ δημιουργὸς σωμάτων

ἁπαλῶν καὶ φθαρτῶν οὐχ ἥψατο, ἀλλ' ἀβλαβεῖς τοὺς παῖδας διεφύλαττεν ἐν μέσῃ τῇ καμίνῳ. καὶ μὴ θαυμάσῃς, εἰ τῶν σωμάτων αὐτῶν οὐχ ἥψατο, ἀλλ' εὐταξίαν τοσαύτην ἐπεδείξατο τὸ ἄλογον στοιχεῖον, ὅσην οὐδὲ ἔστιν εἰπεῖν. οὐδὲ γὰρ ταῖς θριξὶν ἐλυμήνατο, ἀλλ' ἐκύκλου μὲν αὐτούς, καὶ εἶλεν ἔνδον, καθάπερ δὲ ὑπακοὴν πληροῦσα ἡ τοῦ πυρὸς οὐσία, καὶ δεσπότου ἐπιτάγματι ὑπηρετουμένη ἀκεραίους καὶ ἀβλαβεῖς διεφύλαττε τοὺς θαυμαστοὺς ἐκείνους παῖδας, καὶ ὥσπερ ἐν λειμῶνι καὶ παραδείσῳ βαδίζοντες μετὰ τοσαύτης ἀδείας ἐν τῇ καμίνῳ διῆγον. καὶ ἵνα μὴ νομίσῃ τις, ὅτι οὐκ ἦν ἐνέργεια τοῦ πυρὸς τὸ ὁρώμενον, διὰ τοῦτο ὁ φιλάνθρωπος δεσπότης οὐ τὴν ἐνέργειαν αὐτοῦ ἐπέδησεν, ἀλλ' ἀφεὶς μένειν τὴν ἐνέργειαν αὐτοῦ τὴν καυστικὴν τοὺς ἰδίους θεράποντας ἀνωτέρους τῆς ἐκ τούτου βλάβης εἰργάζετο. ἀλλ' ἵνα μάθωσι καὶ οἱ ἐμβαλόντες ὅση τοῦ τῶν ὅλων θεοῦ ἡ δύναμις, ἐπ' ἐκείνων μὲν τὴν οἰκείαν ἐνέργειαν ἐπεδείκνυτο τὸ πῦρ, καὶ τὸ αὐτὸ ἐκείνους μὲν περιέστελλεν ἔνδον, τούτους δὲ ἔξω ἑστῶτας κατέφλεγε, καὶ ἀνήλισκεν. εἶδες πῶς, ὅταν ὁ δεσπότης βούληται, ἕκαστον τῶν στοιχείων πρὸς τὴν ἐναντίαν μεθίστησιν οὐσίαν; δημιουργὸς γάρ ἐστι καὶ δεσπότης, καὶ πρὸς τὸ οἰκεῖον θέλημα ἅπαντα οἰκονομεῖ. βούλεσθε καὶ ἐπὶ τῶν ὑδάτων πάλιν ἰδεῖν τὸ αὐτὸ τοῦτο γινόμενον; καθάπερ γὰρ ἐνταῦθα τὸ πῦρ τῶν μὲν ἔνδον ὄντων ἀπέσχετο, καὶ ἐπελάθετο τῆς οἰκείας ἐνεργείας, ἐπὶ δὲ τῶν ἔξω τυγχανόντων τὰ ἑαυτοῦ ἐπλήρου, οὕτω καὶ τὰ ὕδατα ὀψόμεθα τοὺς μὲν ὑποβρυχίους ἐργαζόμενα, ἑτέροις δὲ ὑποχωροῦντα, ὥστε ἀβλαβῶς αὐτοὺς διελθεῖν. ἀναμνήσθητέ μοι νῦν τοῦ Φαραὼ καὶ τῶν Αἰγυπτίων, καὶ τοῦ δήμου τῶν Ἑβραίων, ὅπως ἐκεῖνοι μὲν διὰ τὸ πρόσταγμα τοῦ δεσπότου, τοῦ μεγάλου Μωυσέως προηγουμένου καθάπερ ἐπὶ ξηρᾶς οὕτω διέβαινον διὰ τῆς θαλάσσης τῆς ἐρυθρᾶς· οἱ δὲ Αἰγύπτιοι μετὰ τοῦ Φαραὼ τὴν αὐτὴν αὐτοῖς ἐλθεῖν ὁδὸν βουληθέντες ὑποβρύχιοι γινόμενοι κατεποντίζοντο. οὕτως οἶδε καὶ τὰ στοιχεῖα αἰδεῖσθαι τοὺς τοῦ δεσπότου θεράποντας, καὶ τὴν οἰκείαν ὁρμὴν ἔσω κατέχειν. ἀκούσωμεν ὅσοι θυμώδεις, ὅσοι ὀργίλοι, ὅσοι ὑπὸ τῶν ἄλλων παθῶν διὰ ῥαθυμίαν ἁλισκόμενοι τὴν ἑαυτῶν προδίδομεν σωτηρίαν, καὶ μιμησώμεθα τῶν ἀλόγων τούτων στοιχείων τὴν τοσαύτην ὑπακοὴν, ἡμεῖς οἱ λόγῳ τετιμημένοι.

A tetigit, ſed illæſos pueros ſeruauit in medio camino. Et ne miremini quòd corpora illorum nõ tetigit, ſed irrationale elementum tanta moderatione obſecutum eſt, vt nullus dicere queat: nam nec capillis illorum nocebat, ſed circumibat illos, & vim ſuam intra ſe claudebat: ignis autem eſſentia tanquam obedientiam exhibens, & domini mandato ſeruiens, illæſos & intactos ſeruabat admirabiles illos pueros, qui quaſi in prato & horto ambulantes, tanta ſecuritate in camino verſabantur. Et ne quis putaret viſibilem illum ignem operatione carere, B idcirco benignus dominus illius efficaciam & operationem non impediuit: ſed vim illam vrendi illæſam ſeruauit, & ſeruos ſuos illo ſuperiores fecit, quàm vt illius nocumento læderentur. Cæterùm vt ſcirent qui pueros iniecerãt, quanta eſſet omnium Dei potentia, in illos ignis ſuã operationem exercuit. Et illis quidem qui intra caminum erant, & circa quos ſtabat, pepercit: eos autem qui foris erant, idem ignis exuſſit & abſumpſit. Vidiſti quòd C quando dominus vult, elementa omnia in contrariam mutat eſſentiam? Conditor enim eſt & dominus, & pro ſua voluntate omnia diſpenſat. Vultis & in aquis idipſum videre factum? Nam ſicut ignis hîc his qui intus erant nihil nocebat, ſed illis parcebat, oblitus ſuæ operationis: in eos autem qui foris erant, ſæuiebat more ſuo: ſic & aquas videbimus alios quidem ſubmergere, aliis autem cedere & viam dare, ita vt abſque damno tranſeant. Recordamini hîc Pharaonis & Ægyptiorum, & ex alia D parte populi Hebræorum, quomodo hi ad mandatum domini, magno Moſe duce, per mare rubrum quaſi per aridam tranſierunt: Ægyptij autem qui eandem viam cum Pharaone ire volebant, aquis obruti ſubmerſi ſunt. Ita ſolent elementa reuereri ſeruos domini, & à ſuo ſe continere impetu. Audiamus nos, quotquot feroces & iracundi, & aliis affectionibus ob noſtram ignauiam impliciti, noſtram ſalutem peſſundamus, & imitemur tantam rationne carentium elementorum obedientiam, nos, qui ratione inſigniti ſumus.

Dan. 3. & ſeq.

Nam ſi ignis, qui ita edax, ita vehe- A mens, corporibus corruptibilibus & tam teneris pepercit: quam meretur veniam homo, ſuum refrænare furorem propter mandatum domini, & iram erga proximum è pectore ſuo eliminare nolens? Et quod maius eſt, ignis tantam vrendi vim habet, & ſuam operationem non oſtendit: homo autem manſuetum animal, & rationale, & benignum, contraria ſuæ naturæ facit, & negligentia mores ſuos in ferinos vertit? Idcirco & diuina ſcriptura propter affectiones illas interturbantes, ab irrationabilibus & à feris B agnominationes his qui ratione inſigniti ſunt, imponit. Eſaiæ 56. 10. Interdum canes ob impudentiam & impetum Hier. 5. 8. vocat, dicens: Canes muti, non valentes latrare. Interdum ob libidinem equos. Nam equi in fœminam inſanientes, vnuſquiſque vxori proximi ſui adhinniebat. Interdum verò aſinos, ob ſtupiditatem & ruditaPſal. 48. 21. tem. Comparatus eſt enim, inquit ſcriptura, iumentis inſipientibus, & Oſee 13. ſimilis factus eſt illis. Interdũ etiam leones & pardos vocat, ob rapacitatem & habendi auiditatem. C Aliquando autem aſpides, ob fraudulentiam. Venenum, inquit, aſpidum Pſal. 13. & 139. ſub labiis eorum. Nonnunquam ſerMatth. 3. 7. pentes & viperas, ob latẽs venenum & malitiam: ſicut & beatus Ioannes clamabat, dicens: Serpentes progenies viperarum, quis vobis demonſtrauit fugere à ventura ira? Inſuper & alia affectionibus reſpondentia nomina imponit, vt ſic vel tandem confuſi, ad ſuam aliquando redeant nobilitatem, & ſuo generi confœderentur, affectionibúſque ſuis diuinas leges præferant, quibus ſeſe de- D linquendo permiſerunt. Sed neſcio quomodo à ſermonis impetu abreptus in hæc digreſſus ſum. Age nunc ad inſtitutum redeamus: & videamus quidnam etiam aliud nos docere velit beatus ille propheta. Nam vt dixit, Iſte eſt liber generationis: progreſſus vltrà, narrat iterum diligentius hominis formationem. Et quia ſuperius breuiter dixerat, Et fecit Deus hominem, ad imaginem Dei fecit illum: nunc dicit: *Et formauit Deus hominem puluerem de terra,*

A εἰ γὰρ τὸ πῦρ τὸ οὕτω δαπανητικὸν τὸ οὕτω σφοδρὸν σωμάτων φθαρτῶν καὶ οὕτως ἁπαλῶν ἀπέσχετο, ποίας ἂν τύχῃ συγγνώμης ἄνθρωπος μὴ βουλόμενος τὸν ἑαυτοῦ χαλινῶσαι θυμὸν διὰ τὸ ἐπίταγμα τοῦ δεσπότου καὶ τὴν ὀργὴν τὴν πρὸς τὸν πλησίον ἐκβαλεῖν; καὶ τὸ δὴ θαυμαστὸν, ὅτι πῦρ ταύτην ἔχον τὴν οὐσίαν τὸ καίειν λέγω, τὴν οἰκείαν ἐνέργειαν οὐκ ἐπεδείξατο, ὁ δὲ ἄνθρωπος τὸ ἥμερον ζῶον τὸ λογικὸν τὸ ἐπιεικὲς τὰ ἐναντία τῇ οἰκείᾳ φύσει διαπράττεται, καὶ διὰ ῥαθυμίαν εἰς τὴν τῶν θηρίων ὠμότητα ἑαυτὸν ἐξάγει. διὰ τοῦτο καὶ ἡ θεία γραφὴ πρὸς τὰ πάθη B τὰ ἐνοχλοῦντα οὕτω καὶ τὰς τῶν ἀλόγων προσηγορίας, πολλαχοῦ δὲ καὶ τῶν θηρίων τοῖς λόγῳ τετιμημένοις ἐπιτίθησι, ποτὲ μὲν κύνας καλοῦσα διὰ τὸ ἀναίσχυντον καὶ ἰταμόν· κύνες γάρ φησιν ἐνεοὶ, οὐ δυνάμενοι ὑλακτεῖν. ποτὲ δὲ ἵππους διὰ τὸ λάγνον· ἵπποι γὰρ θηλυμανεῖς ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον χρεμετίζοντες· ποτὲ δὲ ὄνους, διὰ τὴν ἀγνωμοσύνην καὶ διὰ τὴν ἄνοιαν· παρασυνεβλήθη γάρ φησι τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς· ποτὲ δὲ λέοντας καὶ παρδάλεις, διὰ τὸ ἁρπακτικὸν καὶ C πλεονεκτικόν· ποτὲ δὲ ἀσπίδας, διὰ τὸ δολερὸν, ἰὸς γάρ φησιν ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν· ποτὲ δὲ ὄφεις καὶ ἔχεις, διὰ τὸν ἰὸν καὶ τὴν πονηρίαν, καθὼς καὶ ὁ μακάριος Ἰωάννης ἐβόα λέγων, ὄφεις γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; καὶ ἕτερα δὲ κατάλληλα τοῖς πάθεσιν ὀνόματα ἐπάγει, ἵνα κἂν οὕτως αἰδεσθέντες ὀψέποτε πρὸς τὴν οἰκείαν εὐγένειαν ἐπανέλθωσι, καὶ πείσωνται πρὸς τὸ ὁμογενὲς, καὶ τοὺς τοῦ θεοῦ νόμους προτιμοτέρους ἡγήσωνται τῶν οἰκείων παθῶν, οἷς διὰ ῥαθυμίαν ἑαυτοὺς ἐκδεδώκασιν. D ἀλλ' οὐκ οἶδα, πῶς ὑπὸ τῆς τοῦ λόγου ῥύμης εἰς ταῦτα ἐξέβημεν· φέρε δὴ λοιπὸν ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον, καὶ ἴδωμεν τί καὶ ἕτερον σήμερον ἡμᾶς διδάξαι βούλεται ὁ μακάριος οὗτος προφήτης. εἰπὼν γὰρ, αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς· προϊὼν διηγεῖται ἡμῖν πάλιν ἀκριβέστερον τὴν τοῦ ἀνθρώπου δημιουργίαν, καὶ ἐπειδὴ ἀνωτέρω συντόμως εἶπε, καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτὸν νῦν φησι, καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον λαβὼν χοῦν ἀπὸ τῆς γῆς, καὶ

ἐνεφύσησεν

A ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. μέγα τὸ εἰρημένον καὶ πολλῆς ἐκπλήξεως γέμον, καὶ ὑπερβαῖνον τὴν διάνοιαν ἀνθρωπίνην. καὶ ἔπλασέ φησιν ὁ θεὸς τὸν ἄνθρωπον λαβὼν χοῦν ἀπὸ τῆς γῆς. ὥσπερ ἐπὶ τῶν κτισμάτων τῶν ὁρωμένων ἁπάντων ἔλεγον, ὅτι ἀπεναντίας τῇ φύσει τῇ ἀνθρωπίνῃ ἅπαντα διαπράττεται ὁ τῶν ὅλων δημιουργός, ἵνα καὶ διὰ τούτου ἡ ἄφατος αὐτοῦ δύναμις δειχθῇ, οὕτω καὶ ἐπὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως εὑρήσομεν νῦν γεγονός. ὅρα γάρ, τὴν γῆν ἐπὶ τῶν ὑδάτων ἐθεμελίωσεν, ὅπερ οὐ χωρεῖ δέξασθαι λογισμὸς ἀνθρώπινος ἄνευ B πίστεως, καὶ τὰς οὐσίας δὲ πάσας ἐπειδὰν βουληθῇ, καθάπερ ἀπεδείξαμεν, ἐναντία τῇ οἰκείᾳ ἐνεργείᾳ παρασκευάζει διαπράττεσθαι. τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς πλάσεως τοῦ ἀνθρώπου νῦν ἡμῖν ἐμφαίνει γεγονὸς ἡ θεία γραφή. ἔπλασε γάρ φησιν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς λαβών. τί λέγεις; χοῦν λαβὼν ἀπὸ τῆς γῆς ἔπλασε τὸν ἄνθρωπον; ναί φησι, καὶ οὐχ ἁπλῶς εἶπε γῆν, ἀλλὰ χοῦν, ὡς ἂν εἴποι τις. αὐτῆς τῆς γῆς τὸ λεπτότερον καὶ ἀτιμότερον. μέγα σοι καὶ παράδοξον εἶναι δοκεῖ τὸ εἰρημένον. ἀλλ' ἐὰν ἐν- C νοήσῃς τίς ὁ δημιουργός, οὐκέτι ἀπιστήσεις τῷ γινομένῳ, ἀλλὰ θαυμάσεις καὶ προσκυνήσεις τοῦ δημιουργοῦντος τὴν δύναμιν. ἐὰν δὲ μέλλῃς πρὸς τὴν ἀσθένειαν τῶν σῶν λογισμῶν ταῦτα περιεργάζεσθαι, εἰκός γε κἀκεῖνό σε εἰς ἔννοιαν λαβεῖν, ὅτι ἀπὸ γῆς σῶμα οὐκ ἂν γένοιτό ποτε, ἀλλ' ἢ πλίνθος ἢ ὄστρακον, σῶμα δὲ τοιοῦτον οὐκ ἂν γένοιτο. ὁρᾷς ὅτι ἐὰν μὴ τὴν δύναμιν εἰς ἔννοιαν λάβωμεν τοῦ δημιουργοῦντος, καὶ τοῖς οἰκείοις λογισμοῖς τοῖς πολλὴν τὴν ἀσθένειαν περιβεβλημένοις κατευνάσωμεν, οὐ δυνάμεθα τῶν εἰρημένων D τὸ ὕψος δέξασθαι, τῶν γὰρ πίστεως ὀφθαλμῶν δεῖται τὰ λεγόμενα, καὶ ταῦτα μετὰ πολλῆς τῆς συγκαταβάσεως, καὶ διὰ τὴν ἀσθένειαν τὴν ἡμετέραν οὕτω ῥηθέντα. καὶ αὐτὸ γὰρ τὸ εἰπεῖν ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον, καὶ ἐνεφύσησεν, ἀνάξιον θεοῦ· ἀλλὰ δι' ἡμᾶς καὶ τὸ ἀσθενὲς τὸ ἡμέτερον τοῦτο διηγεῖται ἡ θεία γραφὴ ἡμῖν συγκαταβαίνουσα, ἵνα ταύτης ἀξιωθέντες τῆς συγκαταβάσεως ἀνελθεῖν πρὸς τὸ ὕψος ἐκεῖνο ἰσχύσωμεν.

& inſpirauit in faciem eius ſpiraculum vitæ, & factus eſt homo in animam viuentem. Magnum eſt hoc quod hîc dixit, & ſtupore plenum, ac humanam tranſcendens mentem. Et formauit, inquit, Deus hominem puluerem accipiens de terra. Sicut de omnibus creaturis viſibilibus dicebam, quòd omnia præter humanæ naturæ morem agat omnium opifex, quò & per hoc ineffabilis ipſius monſtretur virtus: ita & in hominis formatione inueniemus nunc factum. Vide enim quomodo ſuper aquas terram fundauit, id B quod citra fidem humana ratio non capit: & quomodo quandocunque voluerit, ſicut oſtendimus, omnes ſubſtantiæ contraria earum naturæ vt agant efficit. Simili modo & in hominis formatione nunc nobis quid factum ſit diuina ſcriptura declarat. Formauit Deus, inquit, hominem, puluerem accipiens de terra. Quid dicis? Acceptóne de terra puluere formauit hominem? Etiam, inquit, & non ſimpliciter, nec quamuis fortuitò terram dicit, ſed puluerem: C quaſi ſi quis dicat, tenuiſſimum & viliſſimum quod eſt in terra. Magnum tibi & admirabile videtur quod dictum eſt. Verùm ſi cogites quis opifex, neutiquam fidem adhibere facto recuſabis, ſed miraberis & adorabis conditoris potentiã. Quòd ſi hæc iuxta cogitationũ tuarum imbecillitatem emetiri volueris, & curioſius explorare: probabile eſt quòd tibi in mentem veniat, ex terra corpus nunquam fieri, ſed vel laterem, vel teſtam, & non tale corpus. Vides quòd niſi potentiam conD ditoris attenta mente conſiderare voluerimus, & ſi noſtris rationibus tam imbecillibus innitamur, non poſſumus dictorum capere ſublimitatem? Nam quæ dicuntur, fidei oculis indigent, ſuntque hæc ob noſtram infirmitatem tanta verborum attẽperatione deſcripta: quandoquidem iſtucipſum quod inquit: Formauit Deus hominem, & inſpirauit, indignum Deo fuerit: ſed propter nos, & propter infirmitatem noſtram hæc ſic narrat ſcriptura, ad noſtram ſe tenuitatem ſubmittens: vt quoniam nos tanta familiaritate dignatur, ad faſtigium illud aſcendere poſſimus.

Et formauit, inquit, Deus hominem, puluerem accipiens de terra. Hinc ſi attendere volumus, non parua nobis humilitatis offertur doctrina. Nam cùm cogitauerimus, vnde conſtitutionis ſuæ initium natura noſtra ſuſceperit, etiamſi ſexcenties ſupercilia ſurrigamus, ea reprimemus, & humiliabimur, & ſubſtantiæ noſtræ qualitatem perpendentes, modeſtiam diſcemus. Et propterea Deus, cui tanta ſalutis noſtræ cura, ad noſtri eruditionem prophetæ linguam ſic direxit. Quippe cùm ſuperius dixiſſet diuina ſcriptura, Et fecit Deus hominem, ſecundum imaginem Dei fecit eum: & dedit illi omnium viſibilium poteſtatem, vt ne ignorando quomodo conſtitutus ſit, magnus ſibi videatur, & præſcriptos ſibi limites tranſeat: propterea repetendo docet & formationis eius originem, & vnde ac quomodo primus homo productus ſit. Nam quum poſt hanc doctrinam, qua agnouit ſe è terra habere originem, ex qua & cætera animalia, quamuis formatio, animæque ſubſtantia incorporalis multò excellentior per benignitatem Dei conceſſa ſit: per hanc enim accepit quòd rationalis ſit, & omnibus aliis dominetur: quum, inquam, poſt hanc doctrinam, ſerpentis deceptione parem aliquam cum Deo æqualitatem imaginatus eſt is qui de terra formatus: ſi priori narratione contentus fuiſſet propheta, & non repetitis omnibus diligenter nos docuiſſet, in quam non incidiſſemus inſaniam? Itaque plurimum ad erudiendum nos conducit ſcire vnde ſubſtantia noſtra primùm originem acceperit. Et formauit, inquit, Deus hominem, puluerem accipiens de terra, & inſufflauit in faciem eius ſpiraculum vitæ. Quoniam hominibus loquebatur, aliter audire non valentibus, hac verborum ſimplicitate & craſſitudine vſus eſt, quam audire & accipere poſſemus. Et vt doceat nos, quòd formatum illum de terra, benignitas domini rationalem animæ eſſentiam habere voluerit, per quam animal hoc abſolutum & perfectum fieret, & inſpirauit, inquit, in faciem eius ſpiraculum vitæ.

A καὶ ἔπλασε φησὶν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς. τέως οὐ μικρὰ ἡμῖν ἐντεῦθεν τίκτεται, ἐὰν νήφειν βουλώμεθα, ταπεινοφροσύνης διδασκαλία. ὅταν γὰρ ἐννοήσωμεν, πόθεν ἔσχε τὴν ἀρχὴν τῆς συστάσεως ἡ φύσις ἡ ἡμετέρα, κἂν μυριάκις τὰς ὀφρῦς ἀνασπάσωμεν, συστελλόμεθα, ταπεινούμεθα, τὴν οὐσίαν ἑαυτῶν ἀναλογιζόμενοι μετριάζειν παιδευόμεθα. διὰ τοῦτο γὰρ καὶ ὁ θεὸς κηδεμὼν ὢν ἡμῶν τῆς σωτηρίας οὕτως ὡδήγησε τοῦ προφήτου τὴν γλῶτταν πρὸς τὴν ἡμετέραν διδασκαλίαν. ἐπειδὴ γὰρ εἶπε προλαβοῦσα ἡ θεία γραφὴ, καὶ B ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, καὶ τὴν ἀρχὴν αὐτῷ πάντων παρέδωκε τῶν ὁρωμένων, ἵνα μὴ ἀγνοῶν τῆς οἰκείας οὐσίας τὴν σύστασιν μεγάλα φαντασθῇ, καὶ ὑπερβῇ τοὺς οἰκείους ὅρους, διὰ τοῦτο ἐπαναλαμβάνουσα διδάσκει καὶ τὸν τρόπον τῆς συστάσεως, καὶ τῆς γενέσεως τὴν ἀρχὴν, καὶ ὅθεν ὁ πρῶτος ἄνθρωπος παρήχθη, καὶ πῶς παρήχθη. εἰ γὰρ καὶ μετὰ ταύτην τὴν διδασκαλίαν, καὶ μετὰ τὸ γνῶναι, ὅτι ἀπὸ τῆς γῆς ἔσχε τὴν ἀρχὴν τῆς συστάσεως, ἐξ ἧς τὰ σπέρματα, ἐξ ἧς τὰ C ἄλογα ζῶα, εἰ καὶ ἡ διάπλασις καὶ τῆς ψυχῆς ἡ οὐσία ἡ ἀσώματος πολλὴν αὐτῷ προεδρείαν διὰ τὴν τοῦ θεοῦ φιλανθρωπίαν κεχάρισται· διὰ γὰρ ταύτην καὶ τὸ λογικὸς εἶναι, καὶ τὴν κατὰ πάντων ἀρχὴν ἐδέξατο· εἰ τοίνυν καὶ ταῦτα μαθὼν διὰ τὴν παρὰ τοῦ ὄφεως ἀπάτην ἰσοθεΐαν ἐφαντάσθη ὁ ἐκ γῆς πλασθείς· εἰ τῇ προτέρᾳ διηγήσει ἠρκέσθη ὁ μακάριος οὗτος προφήτης, καὶ μὴ ἐπαναλαβὼν πάντα μετ' ἀκριβείας ἡμᾶς ἐδίδαξε, ποῦ οὐκ ἂν μανίας ἐξωκείλαμεν; ὥστε μέγιστον ἡμῖν ἐστιν εἰς διδασκαλίαν φιλοσοφίας, D τὸ μαθεῖν πόθεν ἐξ ἀρχῆς τὴν σύστασιν τῆς οὐσίας ἐσχήκαμεν. καὶ ἔπλασεν φησὶν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. ἐπειδὴ ἀνθρώποις διελέγετο οὐ δυναμένοις ἑτέρως ἀκοῦσαι, ἢ ὡς ἀκοῦσαι ἡμᾶς δυνατὸν ἦν, οὕτω τῇ παχύτητι τῶν λόγων κέχρηται, καὶ ἵνα διδάξῃ ἡμᾶς, ὅτι τοῦτον τὸν ἐκ τῆς γῆς πλασθέντα ἡ φιλανθρωπία τοῦ δεσπότου ἐβουλήθη καὶ ψυχῆς οὐσίαν ἔχειν λογικὴν, δι' ἧς τὸ ζῶον τοῦτο ἄρτιον καὶ τέλειον ἀπεδείκνυτο, καὶ ἐνεφύσησε φησὶν ὁ θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς.

A ζωτικὴν φησὶν ἐνέργειαν τὸ ἐμφύσημα ἐχαρίσατο τῷ ἐκ γῆς πλασθέντι, καὶ τοῦτο ἐγένετο σύστασις τῆς οὐσίας τῆς ψυχῆς. ἐπήγαγε γοῦν, καὶ ἐγένετο ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, ἐκεῖνος ὁ πλασθεὶς ὁ ἀπὸ τοῦ χοὸς δεξάμενος τὸ ἐμφύσημα τὴν πνοὴν τῆς ζωῆς, ἐγένετό φησιν εἰς ψυχὴν ζῶσαν. τί ἐστιν εἰς ψυχὴν ζῶσαν; ἐνεργοῦσαν, ἔχουσαν ὑπηρετούμενα τὰ μέλη τοῦ σώματος ταῖς αὐτῆς ἐνεργείαις, καὶ τῷ βουλήματι αὐτῆς ἑπόμενα. ἀλλ' οὐκ οἶδα πῶς ἡμεῖς ἀντεστρέψαμεν τὴν τάξιν, καὶ τοσαύτη γέγονεν ἡ τῆς κακίας ἐπίτασις, ὡς ταύτην ἀναγκάζειν τοῖς τῆς σαρκὸς βουλήμασιν ἐξακολουθεῖν, καὶ τὴν ἐν τάξει δεσποίνης ὀφείλου- B σαν προκαθῆσθαι, καὶ ἐπιτάττειν καταβιβάσαντες ἀπὸ τοῦ θρόνου ὑπακούειν ταῖς τῆς σαρκὸς ἡδοναῖς καταναγκάζομεν ἀγνοοῦντες αὐτῆς τὴν εὐγένειαν, καὶ ὅση ταύτης ἡ προεδρία τυγχάνει. ἐννόησον γάρ μοι τὴν τάξιν τῆς διαπλάσεως, καὶ λογίζου πρὸ τοῦ ἐμφυσήματος τοῦ δεσπότου, ὅπερ αὐτῷ γέγονεν εἰς πνοὴν ζωῆς, καὶ ἐγένετο εἰς πνοὴν ζῶσαν, τί ἦν ὁ πλασθείς; ἁπλῶς εἰκὼν ἄψυχος, καὶ ἀνενέργητος, καὶ εἰς οὐδὲν χρήσιμος, ὥστε τὸ πᾶν καὶ τὸ εἰς τοσαύτην αὐτὸν τιμὴν ἀγαγὸν, ἐκεῖνό ἐστι τὸ παρὰ τοῦ θεοῦ γεγονὸς εἰς αὐτὸν ἐμφύ- C σημα. καὶ ἵνα τοῦτο μὴ ἐκ τῶν τότε γεγενημένων, ἀλλὰ καὶ ἐκ τῶν νῦν καθ' ἑκάστην ἡμέραν συμβαινόντων κατίδοις, ἐννόει μοι μετὰ τὴν τῆς ψυχῆς ἔξοδον τὸ σῶμα τοῦτο πῶς ἀηδὲς καὶ ἀτερπὲς φαίνεται. καὶ τί λέγω ἀηδὲς καὶ ἀτερπές; πῶς φευκτὸν, δυσωδίας ἐμπεπλησμένον, πάσης ἀμορφίας πεπληρωμένον. τὸ δὲ πρὸ τούτου ἡνίκα τὴν ψυχὴν εἶχεν ἐνοικοῦσαν φαιδρὸν, χαρίεν, πολλῆς τῆς εὐμορφίας ἐμπεπλησμένον, πολλῆς τῆς συνέσεως πεπληρωμένον, πολλὴν ἐπιτηδειότητα ἔχον, πρὸς

Ηθικόν. τὴν τῶν ἀγαθῶν πράξεων ἐνέργειαν. ταῦτα δὴ πάντα ἐννοοῦντες καὶ λογιζόμενοι τὴν ἐνέργειαν D τῆς ἡμετέρας ψυχῆς, μηδὲν ἀνάξιον αὐτῆς διαπραττώμεθα, μηδὲ καταρρυπαίνωμεν αὐτὴν ταῖς ἀτόποις πράξεσι καθέλκοντες αὐτὴν εἰς τὴν τῆς σαρκὸς ὑποταγὴν, καὶ περὶ τὴν οὕτως εὐγενῆ, καὶ τοσαύτης ἠξιωμένην προεδρίας οὕτως ἀσυμπαθεῖς γινόμενοι, καὶ ἀγνώμονες. διὰ γὰρ τὴν ταύτης οὐσίαν ἡμεῖς οἱ σώματι συμπεπλεγμένοι, ἐὰν βουληθῶμεν, δυνησόμεθα τῆς παρὰ τοῦ θεοῦ ῥοπῆς ἡμῖν συνεφαπτομένης ταῖς ἀσωμάτοις ἁμιλλᾶσθαι δυνάμεσι, καὶ ἐν γῇ βαδίζοντες ὡς ἐν οὐρανῷ διάγοντες οὕτω πολιτεύεσθαι

Vitalem dicere vult operandi efficaciam, ei qui de terra formatus eſt, ſpiraculum datum eſſe, & hoc fuit conſtitutio ſubſtantiæ animæ. Vnde ſubdit: Et factus eſt homo in animam viuentem. Ille formatus, inquit, & de puluere ſuſceptus, inſpiratus ſpiraculo vitæ, factus eſt in animã viuentem. Quid eſt in animam viuentem? hoc eſt, efficaciter operantẽ, cui membra corporis ſeruiant, cuiúſque voluntati ac efficaciæ auſcultent. Cæterùm haud ſcio, quomodo nos eum ſubuerterimus ordinem, & vſque adeò inualuerit malitia, quę in tantum cogit carnis concupiſcentiis obſequi, vt deturbent à throno ſuo reginã, cuius erat præſidere, ordinare, & imperare. Cogimus enim illam carnis parêre voluptatibus, ignorantes ipſius generoſitatem, & quantam præ iſta eminentiam ſortita ſit. Nam cogita, obſecro, formationis ordinem: & expende tecum, antequam inſpiraretur à domino ſpiraculum vitæ, quis erat formatus ille? ſimpliciter inanimis quædam imago, operatione carens, & ad nihil vtilis. At totum illud quod in tantum honorem ipſum prouehit, non eſt niſi ſpiraculum illud à Deo inſpiratum. Cęterùm vt hoc non ſolùm ex his quæ tunc facta ſunt, ſed & ex his quæ nũc quotidie contingunt, videas: cogita tecum, quomodo poſt animæ emigrationem, corpus hoc tam inſuaue & iniucundum apparet. Et quid dico, inſuaue & iniucundum? quomodo fœtore impletum, & deformitate horrendum fugitur, quod antea cùm ab anima regeretur, clarũ, amabile, iucundum, ſpecioſum, prudens, ad bona opera facienda valde accommodum. Hæc vtique omnia nobis cogitanda ſunt, & maximè animæ nobilitas quanta ſit, ne quid ea indignum operemur, ne coinquinemus eam illicitis operibus, ne ſub carnis ſeruitutem eam ſubiugemus, ne tam nobilem, tantáque dignitate ſublimem, ſic crudeliter & immiſericorditer tractemus. Nam propter illius ſubſtantiam nos qui corpore inuoluti ſumus, ſi velimus, poſſumus cum incorporeis virtutibus, adiuuante nos diuina gratia, certare: & in terra obambulantes, quaſi in cœlo viuere, Morale.

& nihil minus quàm cœleſtes facere, & quodammodo aliquid amplius. Et quomodo hæc? ego dicam. Quando enim quis inuentus fuerit corruptibili hoc corpore circumdatus, eodem modo vitam agens vt ſupernæ illæ virtutes, quomodo non propenſiorem Dei gratiam ſortitus fuerit, quia & corporis neceſſitatibus obnoxius, incorruptam & inuiolatam animæ generoſitatem ſeruauit? Et quis vnquam, dicis, poterit inueniri talis? Meritò impoſſibilis nobis hæc res videtur, ob immodicam virtutis ſublimitatem. At ſi vis diſcere quòd non ſit hoc impoſſibile, cogita oro omnes iuſtos, qui domino ab initio vſque ad præſens tempus placuerunt: magnum illum Eliam, & infœcundæ filium, & eremi ciuem Ioannem: Paulum quoque magiſtrum orbis, & omnem ſanctorum numerum, qui eandem quam nos naturam habuere, iiſdem corporis neceſſitatibus obnoxij fuere. Et ne vltrà impoſſibile eſſe opus puta, neque ſegnior fias ad virtutem, ad quam faciliter amplexandam tantas à domino nactus es occaſiones. Sciens enim benignus dominus noſtræ voluntatis infirmitatem, & ad labendum procliuitatem, magna nobis medicamina in ſacrarum ſcripturarum lectione reliquit: quæ cùm ſubinde vulneribus noſtris imponimus, & vitam illorum beatorum virorum ante oculos proponimus, ad æmulandum prouocemur, & virtutem non negligamus: ſed fugiamus peccatum, & omnia faciamus, ne indignos nos ineffabilibus illis bonis exhibeamus. Quod nobis omnibus concedatur gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri & Spiritui ſancto ſit gloria imperium, & honor in ſecula ſeculorum. Amen.

A καὶ μηδὲν ἐκείνων ἔλαττον ἔχειν, ἀλλὰ τάχα κατά τι καὶ πλέον, καὶ πῶς, ἐγὼ λέγω. ὅταν γὰρ εὑρεθῇ τις μετὰ τοῦ σώματι φθαρτῷ συμπεπλέχθαι, τὰ αὐτὰ ταῖς ἄνω δυνάμεσι πολιτευόμενος, πῶς οὐ πλείονος ἀξιωθήσεται τῆς παρὰ τοῦ θεοῦ ῥοπῆς, ὅτι καὶ ταῖς ἀνάγκαις τοῦ σώματος ὑποκείμενος ἀκέραιον τῆς ψυχῆς τὴν εὐγένειαν διετήρησε; καὶ τίς ἂν δυνηθείη φησὶ τοιοῦτος εὑρεθῆναί ποτε; εἰκότως ἀδύνατον ἡμῖν τὸ πρᾶγμα νενόμισται διὰ τὸν πολὺν τῆς ἀρετῆς αὐχμόν. εἰ δὲ βούλει μαθεῖν, ὅτι οὐκ ἔστι τοῦτο τῶν ἀδυνάτων, ἐννόησόν μοι ἐξ ἀρχῆς μέχρι τοῦ παρόντος τοὺς εὐαρεστήσαντας τῷ
B δεσπότῃ, τὸν μέγαν Ἠλίαν ἐκεῖνον, τὸν τῆς στείρας υἱὸν, τὸν τῆς ἐρήμου πολίτην, Παῦλον τὸν τῆς οἰκουμένης διδάσκαλον, καὶ πάντα τῶν ἁγίων τὸν ὁρμαθὸν, οἳ τῆς αὐτῆς ἡμῖν φύσεως ἐτύγχανον, ταῖς αὐταῖς ἀνάγκαις τοῦ σώματος ὑποκείμενοι, καὶ μηκέτι λοιπὸν ἀδύνατον εἶναι τὸ πρᾶγμα νόμιζε, μηδὲ ὀκνηρότερος γίνου περὶ τὴν ἀρετὴν τοσαύτας λαβὼν τὰς ἀφορμὰς παρὰ τοῦ δεσπότου πρὸς τὸ μετ᾽ εὐκολίας αὐτὴν ἀσπάσασθαι. καὶ γὰρ εἰδὼς ὁ φιλάνθρωπος ἡμῶν δεσπότης τὸ ἀσθενὲς ἡμῶν τῆς προαιρέσεως, καὶ τὸ εὐόλισθον, μεγάλα
C φάρμακα ἡμῖν κατέλιπε τὴν ἐκ τῶν γραφῶν ἀνάγνωσιν, ἵνα ταῦτα ἐπιθέντες ἑαυτοῖς συνεχῶς, καὶ τοὺς βίους ἀναλογιζόμενοι τῶν θαυμαστῶν ἐκείνων, καὶ μεγάλων ἀνδρῶν εἰς ζῆλον ἐναγώμεθα, καὶ μὴ ἀμελῶμεν τῆς ἀρετῆς, ἀλλὰ φεύγωμεν κακίαν καὶ πάντα ποιῶμεν, ὥστε μὴ ἀναξίους ἑαυτοὺς καταστῆσαι τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα κράτος τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
D ἀμήν.

A

Ὁμιλία ιγ.

Καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν.

Ὁρῶν ὑμῶν τὸν πόθον τὸν ἀκόρεστον, καὶ τὴν ἐπιθυμίαν τὴν πολλήν, καὶ συντεταμένην τὴν διάνοιαν, καὶ πάντας κεχηνότας, καὶ ἀνεπτερωμένους περὶ τὴν πνευματικὴν διδασκαλίαν, καίτοι πολλὴν ἐμαυτοῦ πενίαν συνειδὼς συνεχῶς καὶ καθ' ἑκάστην ἡμέραν τὴν πτωχὴν ταύτην καὶ εὐτελῆ τράπεζαν ὑμῖν παρατιθέναι σπουδάζω, θαρρῶν, ὅτι τῇ ἐπιθυμίᾳ ἐκκαιόμενοι μετὰ προθυμίας δέξεσθε τὰ λεγόμενα, ἐπεὶ καὶ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων τοῦτο συμβαῖνον ἴδοι τις ἄν. ὅταν μὲν γὰρ διεγηγερμένην ἔχωσι τὴν ὄρεξιν οἱ δαιτυμόνες, κἂν πτωχή τις τύχῃ ἡ τράπεζα, κἂν εὐτελὴς ᾖ ὁ ἑστιάτωρ, μετὰ πολλῆς τῆς ἡδονῆς δαπανῶσι τὰ παρατιθέμενα· ὅταν δὲ καταβεβλημένην ἔχωσι τὴν ὄρεξιν οἱ ἑστιώμενοι, κἂν πολυτελὴς τύχῃ ἡ τράπεζα καὶ πολλὰ ἔχῃ τὰ διάφορα τὰ ἐδέσματα, οὐδὲν ὄφελος οὐκ ὄντων τῶν δυναμένων χρήσασθαι τοῖς παρασκευασθεῖσιν. ἐνταῦθα δὲ ἐπειδὴ διὰ τὴν τοῦ θεοῦ χάριν καὶ ἡ προθυμία ὑμῶν διεγηγερμένη τυγχάνει, καὶ ἡ τράπεζα πνευματική, μετὰ πολλοῦ τοῦ πόθου καὶ αὐτοὶ λέγομεν εἰδότες, ὅτι νηφούσαις ἀκοαῖς παρατιθέμεθα τὰ θεῖα ταῦτα διδάγματα, ἐπεὶ καὶ γεηπόνος ἐπειδὰν λιπαρὰν εὕρῃ καὶ βαθύγειον ἄρουραν τὰ παρ' ἑαυτοῦ πάντα εἰς αὐτὴν ἐπιδειξάμενος, καὶ τὰς αὔλακας ἀνατεμών, καὶ τὸ ἄροτρον ἑλκύσας, καὶ τὰς ἀκάνθας ἀνασπάσας μετὰ δαψιλείας καταβάλλει τὰ σπέρματα, καὶ ταῖς χρησταῖς ἐλπίσιν ἤδη τρεφόμενος καθ' ἑκάστην ἡμέραν τὴν βλάστησιν ἀναμένει τῶν καταβληθέντων τῷ γονίμῳ τῆς γῆς προσέχων, καὶ πολλαπλασίονα τῶν σπερμάτων ἕτοιμος ὢν ὑποδέξασθαι τὸν ἀμητόν. κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς ὁρῶντες ὑμῶν ἐφ' ἑκάστης ἡμέρας αὐξανομένην τὴν προθυμίαν τὸν πόθον ἀκμάζοντα, τὴν σπουδὴν ἐπίδοσιν λαμβάνουσαν, καὶ περὶ ὑμῶν χρηστὰς ἔχομεν τὰς ἐλπίδας, καὶ αὐτοὶ πλείονι προθυμίᾳ καὶ σπουδῇ τὰ εἰς δύναμιν ἡμετέραν εἰσφέρειν ἐπειγόμεθα εἰς οἰκοδομὴν τῆς ὑμετέρας ἀγάπης, εἰς δόξαν θεοῦ,

HOMILIA XIII.

Et plantauit dominus Deus paradiſum in Edem ad orientem, & poſuit illic hominem quem formauit. Gen. 2. 8.

VIDENS veſtrum inexplebile deſiderium, & immodicam auiditatem, mentémque attentam, nec non omnes ad ſpiritualem hanc doctrinam anhelantes & accelerantes, quamuis B valde ſim meæ inopiæ mihi conſcius, quotidie tamen inopem & tenuem hanc menſam vobis proponere ſtudeo, confidens quòd flagrantes deſiderio, maiori promptitudine quæ dicuntur ſuſcepturi ſitis, quandoquidem & in ſenſibilibus eduliis videre poteſt quiuis hoc contingere. Excitato enim conuiuarum appetitu, etiamſi paupercula menſa ſit, & inops quidam qui conuiuio excipit, C magna tamen cum voluptate ſumuntur appoſita. At ſi faſtidioſus epulantium fuerit ſtomachus, etiamſi ſumptuoſum fuerit epulum, & varia & copioſa edulia: nullum inde commodum, cùm nemo ſit qui vti appoſitis queat. Hîc autem quia gratia Dei alacres & famelici ad ſpiritualem menſam acceditis, & ipſi magno deſiderio dicimus, ſcientes quòd ſobriis auribus apponimus diuinas haſce narrationes. Quoniam & agricola, qui pinguem & fertilem agrum inuenit, nihil ſui officij intermittit, ſulcos ſecat, a- D ratrum ducit, ſentes excindit, largiter ſeminat, ſpe paſcitur: & quotidie agri fertilitatem conſiderans, ſementis germen, ſegetem, & meſſem expectat. Similiter & nobis, cùm videmus alacritatem veſtram quotidie increſcere, deſiderium vigere, ſtudium incrementa ſumere, egregia ex vobis ſpes eſt. Vnde & maiori ſtudio ac promptitudine, quantum vires noſtræ ſuppetunt, in ædificationem veſtræ charitatis, in gloriam Dei,

in gloriationem eccleſię Dei aliquid afferre anhelamus. Agè igitur, ſi placet, repetis breuiter his quæ heri dicta ſunt, conſequenter hodie lecta tractemus. Quid autem eſt quod pridie tractabatur, & quouſque ſermonem extendimus, & vbi miſſum

Gen. 2. 7 fecimus? Et formauit Deus hominem, puluerem accipiens de terra. Et inſpirauit in faciem eius ſpiraculum vitæ, factúſque eſt homo in animam viuentem. Quod tunc dicebam, id & nunc dicam: & ſubinde memorare non ceſſabo, quòd magna & ineffabilis eſt benignitas communis omnium domini erga genus noſtrum, & ob ſalutem noſtram vſus eſt multum nobis congruenti dicendi modo, magnóque animal hoc, hominem dico, honore proſecutus eſt: nec non verbis & rebus declarauit, quòd maiorem eius quàm viſibilium omnium curam habuerit. Quid igitur prohibet etiam hodie de iiſdem inueſtigare apud charitatem veſtram? Nam ſicut aromata quantò magis digitis atteruntur, tantò maiorem natura ſua fragrantiam reddunt: ita & in ſcripturis vſuuenit, quantò quis illas amplius tractare ſtuduerit, tantò magis videre poterit latentem in ipſis theſaurum, pluréſque percipere indicibilium diuitiarum fructus. Et formauit, inquit, Deus hominem, puluerem accipiens de terra. Animaduerte, obſecro, quanta ſtatim varietas ex ipſo verborum procemio. In omnibus enim aliis creaturis docuit nos beatus Moſes modum formationis, dicendo: Dixit Deus: Fiat lux, & facta eſt lux: fiat firmamentnm, congregetur aqua, fiant luminaria, germinet terra herbam fœni, producant aquæ reptilia animarum viuentium, & producat terra animam viuentem. Vidiſti quomodo verbo omnia formata ſint? Sed videamus quid poſtea, quum hominem format, inquit: Et formauit Deus hominem. Vide quomodo verbis quæ noſtræ paruitati congruunt, vſus eſt: ſimul & modum formationis, & in formando diuerſitatem docens, & quaſi, vt humano more dicam,

Iob. 10. 8. manibus Dei ipſum foſmari depingit: ſicut & alius propheta inquit:

A εἰς καύχημα τῆς τοῦ θεοῦ ἐκκλησίας. Φέρε οὖν εἰ δοκεῖ μικρὰ τῶν πρώην εἰρημένων ἀναλαβόντες ἀκολούθως τοῖς σήμερον ἀναγνωσθεῖσιν ἐπεξέλθωμεν. τί δὲ ἡμῖν ἦν τὸ πρώην κινούμενον; καὶ μέχρι που τὸν λόγον ἐκτείναντες κατελύσαμεν τὴν διδασκαλίαν, ἀναγκαῖον εἰπεῖν. καὶ ἔπλασεν φησὶν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ὅπερ τότε ἔλεγον, τοῦτο καὶ νῦν ἐρῶ, καὶ διηνεκῶς λέγων οὐ παύσομαι, ὅτι πολλὴ καὶ ἄφατος ἡ φιλανθρωπία τοῦ κοινοῦ πάντων δεσπότου ἡ περὶ τὸ

B γένος τὸ ἡμέτερον. καὶ γὰρ πολλῇ συγκαταβάσει ἐχρήσατο διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν καὶ πολλῆς τιμῆς ἠξίωσε τοῦτο τὸ ζῶον, τὸν ἄνθρωπον λέγω, καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων δεικνὺς ὡς πάντων τῶν ὁρωμένων πλείονα τὴν περὶ αὐτὸν κηδεμονίαν ἐπιδείκνυται. οὐδὲν γὰρ κωλύει καὶ σήμερον τὰ αὐτὰ διερευνήσασθαι ἐπὶ τῆς ὑμετέρας ἀγάπης. καθάπερ γὰρ ἡ τῶν θυμιαμάτων φύσις ὅσῳ ἂν ὑπὸ τῶν δακτύλων τῶν ἡμετέρων περιστρέφηται, πλείονα τὴν εὐωδίαν παρέχει· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῶν γραφῶν ἔστιν

C ἰδεῖν γινόμενον· ὅσῳ ἄν τις ἐπὶ πλέον ταύταις ἐπιέναι σπουδάζοι, τοσούτῳ μᾶλλον κατοπτεύειν δύναται τὸν ἐγκεκρυμμένον θησαυρὸν, καὶ πολὺν καὶ ἄφατον πλοῦτον ἐντεῦθεν καρποῦσθαι. καὶ ἔπλασεν φησὶν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς. σκόπει μοι τὴν διαφορὰν, εὐθέως ἐξ αὐτοῦ τοῦ προοιμίου τῶν λόγων. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἁπάντων δημιουργηθέντων ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωυσῆς τὸν τρόπον λέγων τῆς δημιουργίας. ὅτι εἶπεν ὁ θεὸς, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· γενηθήτω στερέωμα, καὶ συναχθήτω τὸ ὕδωρ φη-

D σί. καὶ γενηθήτωσαν φωστῆρες, καὶ βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, καὶ ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. εἶδες πῶς λόγῳ τὰ πάντα ἐδημιουργήθη, ἀλλ' ἴδωμεν λοιπὸν ἐπὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας τί φησι. καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον. διὰ τῆς τῶν ῥημάτων συγκαταβάσεως, οἷς διὰ τὴν ἡμετέραν ἀσθένειαν ἐχρήσατο ὁμοῦ καὶ τὸν τρόπον τῆς δημιουργίας διδάσκει, καὶ τὸ ἐνηλλαγμένον, καὶ μονονουχὶ ἵνα ἀνθρωπίνως εἴπω, ταῖς χερσὶν αὐτὸν διαπλαττόμενον ὑποδείκνυσι τοῦ θεοῦ, καθὼς καὶ ἕτερος προφήτης φησίν.

αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με. εἰ γὰρ A προσέταξεν ἁπλῶς, εἰπέ μοι, ἐκ τῆς γῆς ἀναδοθῆναι τὸν ἄνθρωπον, οὐκ ἂν παρήχθη τὸ προσταχθέν; ἀλλ' ἵνα διὰ τοῦ τρόπου τῆς δημιουργίας διδασκαλίαν ἡμῖν ἐναποθῆται διηνεκῆ, ὥστε μὴ πλέον τι τῆς φύσεως φαντάζεσθαι, διὰ τοῦτο οὕτω μετὰ ἀκριβείας ἅπαντα διηγεῖται καί φησιν· ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς. ὅρα καὶ ἐν τούτῳ αὐτοῦ τὴν τιμήν. οὐ γὰρ ἁπλῶς γῆν λαμβάνει, ἀλλὰ χοῦν τὸ λεπτότατον ὡς ἂν εἴποι τις τῆς γῆς, καὶ τοῦτον αὐτὸν τὸν χοῦν τὸν ἀπὸ B τῆς γῆς τῷ οἰκείῳ προστάγματι εἰς σώματος φύσιν μετέστησεν. ὥσπερ γὰρ αὐτὴν τὴν οὐσίαν τῆς γῆς οὐκ ὑφεστῶσαν παρήγαγεν, οὕτω καὶ νῦν ὅτε ἐβουλήθη, τὸν χοῦν τὸν ἀπὸ τῆς γῆς εἰς σῶμα μετέστησεν. ἐνταῦθα ἀναβοῆσαι καλὸν τὸ παρὰ τοῦ μακαρίου Δαβὶδ εἰρημένον· τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ὅτι ἀπὸ χοὸς τοιοῦτον ζῶον ἀνέδειξε, καὶ εἰς τοσαύτην τὴν τιμὴν ἀνήγαγε, καὶ τοσαύτας εὐεργεσίας εἰς αὐτὸν ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐπιδείκνυται, δεικνὺς διὰ πάντων τὴν οἰκείαν φι- C λανθρωπίαν. καὶ ἐνεφύσησέ φησιν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ἐνταῦθά τινες τῶν ἀγνωμόνων ἐξ οἰκείων λογισμῶν κινούμενοι, καὶ οὐδὲν θεοπρεπὲς ἐννοοῦντες, οὔτε τὴν συγκατάβασιν τῶν ῥημάτων λογιζόμενοι λέγειν ἐπιχειροῦσιν, ὅτι ἐκ τῆς τοῦ θεοῦ οὐσίας ἐστὶν ἡ ψυχή. ὢ τῆς μανίας· ὢ τῆς παραφροσύνης. πόσας ὁδοὺς ἀπωλείας ὁ διάβολος ἐνέτεμε τοῖς αὐτὸν θεραπεύειν βουλομένοις. καὶ ἵνα μάθῃς, σκόπει πῶς ἀπεναντίας ἀλλήλοις ἔρχονται. οἱ μὲν γὰρ αὐτῶν φασὶν ἐπιλαμβανόμενοι D τῆς λέξεως τῆς λεγούσης, ὅτι ἐνεφύσησε λέγουσιν, ὅτι ἐκ τῆς οὐσίας τοῦ θεοῦ τυγχάνουσιν αἱ ψυχαί. ἕτεροι πάλιν φασίν, ὅτι καὶ εἰς τὴν τῶν ἀτιμοτάτων ἀλόγων οὐσίαν μεθίστανται αὐταί. τί ταύτης τῆς ἀνοίας χεῖρον γένοιτ' ἄν; ἐπειδὴ γὰρ ἐσκοτίσθη ὁ λογισμὸς αὐτῶν, καὶ τὸν ἀληθῆ τῆς γραφῆς νοῦν ἠγνόησαν, καθάπερ πηρωθέντες τὸ ὄμμα τῆς διανοίας ἀπεναντίας ἀλλήλοις κατὰ κρημνῶν φέρονται. οἱ μὲν γὰρ ὑπὲρ τὴν ἀξίαν αὐτὴν ἀνάγοντες, οἱ δὲ παρὰ τὴν ἀξίαν κατάγοντες. εἰ γὰρ μέλλοιεν διὰ τὸ λέγειν τὴν γραφήν, ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ στόμα περιτιθέναι τῷ θεῷ, ἀνάγκη καὶ χεῖρας αὐτῷ περιάπτειν. ἐπειδὴ εἶπεν,

Manus tuæ fecerunt me, & plaſmauerunt me. Nam ſi imperaſſet ſimpliciter ex terra produci hominem, nónne productus fuiſſet, qui productus eſt? Sed vt per formationis modum doctrinam nobis relinqueret perpetuam, vt non ſupra quàm oportet de nobis ſentiremus, ideo tanta diligentia ſingula enarrat, & inquit: Formauit Deus hominem, puluerem accipiens de terra. Vide & in hoc huius dignitatem. Non enim ſimpliciter terram accipit, ſed puluerem, & tenuiſſimum, vt ita quis dixerit, de terra. Et hunc puluerem terræ, ſuo præcepto in corporis naturam vertit. Nam ſicut ſubſtantiam terræ quum non eſſet, produxit, ita & nunc quum vellet, puluerem terræ in corpus vertit. Hîc exclamare iuuat pulchrum illud beati Dauid dictum: Quis loquetur potentias domini, auditas faciet omnes laudes eius? quia de puluere tale animal produxit, & tanto honore venuſtauit, tantiſque beneficiis ſtatim ab initio proſecutus eſt, monſtrans per omnia ſuam benignitatem? Et inſpirauit inquit in faciem eius ſpiraculum vitæ. Et factus eſt homo in animam viuentem. Hîc inſenſatorum aliqui ſuis moti opinionibus, nihilque Deo dignum cogitantes, neque verborum diſpenſationem animaduertentes, dicere audent, animam ex Dei eſſentia eſſe. O inſaniam, ô delirium! Quot perditionis vias diabolus peperit ſuis cultoribus? Et vt diſcas, conſidera quomodo diuerſis inter ſe viis incedunt. Nam alij anſam ex verbulo, inſpirauit, rapientes, aſſerunt ex Dei eſſentia eſſe animas: alij autem, quòd animæ in viliſſimorum brutorum ſubſtantiam tranſeant. Quid hac amentia deterius fieri poteſt? Nam quoniam obtenebrata eſt ratio eorum, etiam veram ſcripturæ mentem ignorauerunt. Sicut capti oculis in diuerſa præcipitia feruntur, & illi quidem infra dignitatem animam efferunt, alij autem dignitatem dehoneſtant. Nam ſi ideo quòd ſcriptura dicit, inſpirauit in faciẽ eius ſpiraculum vitæ: os Deo affingimus, neceſſe erit & manus ei tribuere, quandoquidem inquit:

Pſal. 105. 2.

Et formauit hominem. Sed ne illorum ineptias in medium proferentes, etiam ipſi indecora dicere cogamur: agè ipſorum ſtultitiam & multifariam dementiam deuitantes, ad ipſum diuinæ ſcripturæ ſcopum incedamus, quæ ſeipſam interpretatur, tantùm ne craſſis verbis addicti ſimus: ſed cogitemus, craſſorum illorum verborum cauſam eſſe noſtram hebetudinem & infirmitatem. Nequeunt enim aliter humanæ aures quæ dicuntur accipere, niſi tantum adhibeatur temperamentum. Proinde animaduertẽtes tantam noſtram imbecillitatem, & quia de Deo ſunt dicta, ita illa accipiamus, vt par eſt ea de Deo accipere. Ne ſubiiciamus Deum membrorum compoſitioni, & figurarum delineationi, ſed honeſtè de Deo, & vt de illo conuenit, imaginemur. Simplex enim & incõpoſitus eſt Deus & figura caret. Nam ſi Deo membra & lineamenta attributuri ſumus, mox in Gentilium impietatem imprudentes incidemus. Igitur quum audieris ſcripturam dicentem: Formauit Deus hominem: cogita virtutem eandem, quam dum dicit, fiat. Et iterum quando audis: Inſpirauit in faciem eius ſpiraculum vitæ: hoc iterum cogita, quòd viſum eſt ipſi. Et ſicut incorporeas virtutes produxit: ita certè corpus illud ex puluere factum, rationalem animam habere iuſſit, quę corporeis membris vti poſſit. Formatum enim corpus hoc iuxta præceptum domini, quaſi inſtrumentum erat, quod agebat aliquo ſe mouente: imò ſicut lyra, quæ opus habet aliquo, qui poſſit arte & ſcientia ſua per membra quaſi per fiſtulas conuenientem illi melodiam domino repræſentare. Inſpirauit in faciem eius ſpiraculum vitæ, & factus eſt homo in animam viuentem. Quid eſt, inſpirauit ſpiraculum vitæ? Voluit & imperauit, vt hoc corpus formatum haberet vitalem vim, quæ facta eſt animali in animam viuentem: hoc eſt, efficaciter operantem, & ſuam artem membrorum motu oſtendere valentem. Et vide etiam in hoc ipſo, quàm diuerſa ratione hoc admirabile rationale animal, & cætera irrationalia formata ſint.

A ἔπλασε τὸν ἄνθρωπον. ἀλλ᾽ ἵνα μὴ βουλόμενοι τὴν ἐκείνων λῃρωδίαν εἰς μέσον προτιθέναι ἀναγκαζώμεθα καὶ αὐτοὶ τὰ μὴ πρέποντα φθέγγεσθαι, φέρε δὴ λοιπὸν τὴν μὲν ἄνοιαν αὐτῶν καὶ τὴν πολλὴν φρενοβλάβειαν ἐκτρεπώμεθα, κατακολουθήσωμεν δὲ τῷ σκοπῷ τῆς θείας γραφῆς ἑαυτὴν ἑρμηνευούσης, μόνον ἐὰν ἡμεῖς μὴ τῇ παχύτητι τῶν ῥημάτων προσέχωμεν, ἀλλ᾽ ἐκεῖνο ἐννοῶμεν, ὅτι αἰτία τῆς τῶν λέξεων παχύτητος ἡ ἀσθένεια τυγχάνει ἡ ἡμετέρα. οὐδὲ γὰρ ἦν ἑτέρως τὴν ἀκοὴν τὴν ἀνθρωπίνην δέξασθαι τὰ λεγόμενα μὴ τοσαύτης ἀπολαύσασαν τῆς συγ-
B καταβάσεως. ἐννοοῦντες τοίνυν καὶ τὴν ἑαυτῶν ἀσθένειαν, καὶ ὅτι περὶ θεοῦ ἐστι τὰ λεγόμενα, οὕτω δεχώμεθα τὰ εἰρημένα, ὡς εἰκὸς περὶ θεοῦ λέγεσθαι, μὴ εἰς σωμάτων σχηματισμὸν καὶ μελῶν σύνθεσιν τὸ θεῖον κατάγοντες, ἀλλὰ θεοπρεπῶς ἅπαντα νοοῦντες. ἁπλοῦν γὰρ καὶ ἀσύνθετον καὶ ἀσχημάτιστον τὸ θεῖον· ἐπεὶ εἰ μέλλοιμεν ἐξ ἑαυτῶν ὁρμώμενοι, καὶ μελῶν σύνθεσιν περιτιθέναι τῷ θεῷ, λανθάνομεν ἑαυτοὺς εἰς τὴν Ἑλληνικὴν ἀσέβειαν ἐκπίπτοντες. ὅταν οὖν ἀκούσῃς τῆς γραφῆς λεγούσης ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον, τὴν
C αὐτὴν νόει δύναμιν τῷ γενηθήτω, καὶ πάλιν ὅταν ἀκούσῃς, ὅτι ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, τοῦτο πάλιν λογίζου, ὅτι ἔδοξεν αὐτῷ, καὶ καθάπερ τὰς ἀσωμάτους δυνάμεις παρήγαγεν, οὕτω καὶ τὸ σῶμα τοῦτο τὸ ἀπὸ τοῦ χοὸς ψυχὴν ἔχειν λογικὴν τὴν τοῖς μέλεσι τοῦ σώματος κεχρῆσθαι δυναμένην. δημιουργηθὲν γὰρ τουτὶ τὸ σῶμα κατὰ τὸ πρόσταγμα τοῦ δεσπότου καθάπερ ὄργανον ἔκειτο δεόμενον τοῦ κινοῦντος αὐτὸ, μᾶλλον δὲ καθάπερ λύρα χρῄζουσά τινος τοῦ δυναμένου διὰ τῆς οἰκείας τέχνης καὶ σοφίας ὥσπερ διὰ δονάκων τινῶν
D διὰ τῶν μελῶν τῶν ἐν ἑαυτῷ τὴν προσήκουσαν μελῳδίαν ἀναφέρειν τῷ δεσπότῃ. ἐνεφύσησέ φησιν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. τί ἐστιν ἐνεφύσησε πνοὴν ζωῆς; τὸ σῶμά φησι τοῦτο τὸ δημιουργηθὲν ἐβουλήθη καὶ προσέταξε ζωτικὴν ἔχειν δύναμιν, ἥτις ἐγένετο τῷ ζώῳ εἰς ψυχὴν ζῶσαν τουτ᾽ ἐστὶν ἐνεργοῦσαν καὶ τὴν ἑαυτῆς τέχνην διὰ τῆς τῶν μελῶν κινήσεως ἐπιδείκνυσθαι δυναμένην. καὶ σκόπει καὶ ἐν αὐτῷ τούτῳ τὴν διαφορὰν τοῦ θαυμαστοῦ τούτου ζώου τοῦ λογικοῦ καὶ τῆς τῶν ἀλόγων δημιουργίας.

ἐπ' ἐκείνων μὲν γὰρ φησίν, ἐξαγαγέτω τὰ ὕδατα A ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ ὁμοῦ ἀνεδίδοτο ἐκ τῶν ὑδάτων ζῶα ἔμψυχα· καὶ ἐπὶ τῆς γῆς πάλιν ὡσαύτως ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐχ οὕτως, ἀλλὰ πρότερον ἀπὸ τοῦ χοὸς τὸ σῶμα δημιουργεῖται, καὶ μετὰ ταῦτα ἡ ζωτικὴ δύναμις αὐτῷ δίδοται, ὅπερ ἐστὶν ἡ τῆς ψυχῆς οὐσία. διὰ τοῦτο καὶ περὶ τῶν ἀλόγων ἔλεγε Μωυσῆς, ὅτι τὸ αἷμα αὐτοῦ ἡ ψυχὴ αὐτοῦ ἐστιν. ἐπὶ δὲ τοῦ ἀνθρώπου, οὐσία τίς ἐστιν ἀσώματος καὶ ἀθάνατος πολλὴν πρὸς τὸ σῶμα τὴν ὑπεροχὴν κεκτημένη, καὶ τοσαύτην, ὅσην εἰκὸς τὸ ἀσώματον τοῦ σώματος. ἀλλ' ἴσως εἴποι τις ἂν καὶ τίνος ἕνεκεν εἰ B τιμιωτέρα ἡ ψυχὴ τοῦ σώματος τὸ ἔλαττον πρότερον δημιουργεῖται, καὶ τότε τὸ μεῖζον καὶ ὑπερέχον; οὐχ ὁρᾷς ἀγαπητέ, ὅτι καὶ ἐπὶ τῆς κτίσεως τὸ αὐτὸ τοῦτο γέγονεν; ὥσπερ γὰρ οὐρανὸς καὶ γῆ καὶ ἥλιος καὶ σελήνη καὶ τὰ ἄλλα πάντα ἐδημιουργήθη καὶ τὰ ζῶα τὰ ἄλογα καὶ μετὰ ταῦτα ἅπαντα ὁ ἄνθρωπος ὁ τούτων ἁπάντων καὶ τὴν ἀρχὴν μέλλων ἐγχειρίζεσθαι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν αὐτῇ τῇ διαπλάσει τοῦ ἀνθρώπου πρότερον τὸ σῶμα παράγεται, καὶ τότε ἡ ψυχὴ ἡ τιμιωτέρα. ὃν γὰρ τρόπον τὰ ἄλογα τὰ πρὸς ὑπηρεσίαν μέλλοντα τῷ C ἀνθρώπῳ εἶναι χρήσιμα πρὸ τοῦ ἀνθρώπου δημιουργεῖται, ἵνα ἑτοίμην ἔχῃ τὴν ὑπηρεσίαν ὁ μέλλων τῆς τούτων χρείας ἀπολαύειν, οὕτω καὶ πρὸ τῆς ψυχῆς τὸ σῶμα δημιουργεῖται, ἵνα ἐπειδὰν κατὰ τὴν ἀπόρρητον αὐτοῦ σοφίαν ἡ ψυχὴ παραχθῇ, ἔχῃ τὰς οἰκείας ἐνεργείας ἐπιδείκνυσθαι διὰ τῆς τοῦ σώματος κινήσεως. καὶ ἐφύτευσεν ὁ φησιν θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ ἄνθρωπον, ὃν ἔπλασεν. ἐπειδὴ τὴν οἰκείαν φιλανθρωπίαν ἐπεδείξατο ὁ τῶν ὅλων δεσπότης, καὶ δι' ὃν πάντα τὰ ὁρώμενα ἐδημιούργησεν, D καὶ παρήγαγεν εἰς μέσον, εὐθέως ἄρχεται τὰς εἰς αὐτὸν εὐεργεσίας κατατίθεσθαι. καὶ ἐφύτευσεν ὁ θεὸς φησι παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς. σκόπει καὶ ἐνταῦθα ἀγαπητέ, ὅτι ἐὰν μὴ θεοπρεπῶς τὰ ῥήματα δεχώμεθα, εἰς βαθὺν κρημνὸν ἀνάγκη κατενεχθῆναι, τί γὰρ ἂν εἰπεῖν ἔχοιεν καὶ ἐπὶ τούτου τοῦ ῥήματος οἱ πάντα περὶ τοῦ θεοῦ λεγόμενα ἀνθρωπίνως ἐκλαμβάνειν τολμῶντες; καὶ ἐφύτευσεν ὁ θεὸς φησι παράδεισον. τί οὖν εἰπέ μοι καὶ σκαπάνης ἐδεήθη καὶ γεωργίας καὶ τῆς ἄλλης ἐπιμελείας, ἵνα καλλωπίσῃ τὸν παράδεισον; μὴ γένοιτο.

De illis enim inquit, Producant aquæ reptilia animarum viuentium, & ſimul prodierunt ex aquis animalia animata. Sic & de terra, Producat terra animam viuentem. De homine autem non ſic, ſed prius de puluere corpus formatur, & poſtea vitalis illi virtus datur, quæ ſcilicet animæ eſt ſubſtantia. Et idcirco de brutis dicebat Moſes. Sanguis eius anima eius eſt. In homine autem ſubſtantia quædam eſt incorporea & immortalis, multo interuallo corpus excellens, & tanto, quanto corporeis eminent incorporea. Et fortè diceret aliquis: Quare ſi anima dignior eſt corpore, indignius primò formatum eſt, & poſtea quod maius, & eminentius? Non vides dilecte, quòd & in creaturis hoc idẽ vſu euenit? Sicut enim cœlum & terra, & ſol & luna, & cætera omnia formata ſunt, & expertia rationis animalia, & poſt hæc omnia homo, horum principatum ſuſcepturus: ita & in hac hominis formatione prius corpus producitur, & poſtea anima, quæ dignior. Sicut enim bruta animalia miniſterio hominis vtilia futura, ante hominem formantur, vt paratum haberet miniſterium is ad cuius vſum creabantur: ita etiam corpus ante animam formatur, vt cùm ſecundum ineffabilem conditoris ſapientiam anima produceretur, poſſet ſuas potentias proferre per corporis motionem. *Et plantauit Deus paradiſum in Edem ſecundum Orientem, & poſuit illic hominem quem formauit.* Poſtquam omnium dominus ſuam nobis declarauit benignitatem, & illum propter quem omnia viſibilia formata ſunt, in medium adduxit, ſtatim incipit in illum beneficia. Et plantauit Deus conferre in Edem ſecundum Orientem. Conſidera & hîc dilecte, quòd niſi vt dignum eſt, de Deo verba hæc recipiantur, neceſſe eſt vt in profunda errorum detrudamur. Quid enim dicere poterunt & de his verbis, qui omnia quæ de Deo dicuntur, humano more accipere audent? Et plantauit Deus paradiſum. Quid? num foſſione, quæſo, & agricultura, & alia cura, opus habuit vt paradiſi hortum exornaret? abſit.

Leuit. 7. & 17. 14

Iterum enim etiam hoc loco verbum illud, plantauit, ſic intelligendum, quòd imperauerit paradiſum in terra fieri, ita vt productus homo in eo verſaretur. Propter hunc enim paradiſum produxit, de quo audi ſcripturam, dicentem: Et plantauit Deus paradiſum in Edem, ſecundum Orientem, & poſuit illic hominem quem formauit. Et idcirco nomen loci ſcripturis inſeruit beatus Moſes, vt non liceat nugari volentibus imponere ſimpliciorum auribus, & dicere, nullum eſſe in terra paradiſum, ſed in cœlo, & fabulas quaſdam eiuſmodi ſomniare. Nam cùm diuina ſcriptura tanta vſa ſit diligentia, non refugiunt quidam, loquacitate ſapientiáque peregrina inflati, aduerſa ſcripturis loqui, & dicere, non eſſe ſuper terram paradiſum: multáque alia præterea quæ dicta ſunt introducentes, quòd non ſicut ſcripta ſunt, ſed alia ratione ſint intelligenda: & quòd ea quæ de terra, de his quæ in cœlis ſunt, dicta eſſe arbitrandum ſit: niſi humilitate & congruenti nobis ſermonum familiaritate beatus Moſes vſus foret, Spiritu ſancto linguam eius mouente, quò non deuoluti eſſent? Quamuis ſacra ſcriptura, cùm nos tale quiddam docere vult, ſeipſam exponit, & auditorem errare non ſinit. Sed quia plerique non vt commodi quidpiam ex ſacris litteris aucupentur, ſed voluptatis gratia aures accommodant his qui plauſibilia narrant, & propterea non eos qui magis proſunt, ſed qui magis oblectant, vt audire poſſint, quærunt. Oro igitur, vt omnibus illis præcluſis auribus, ad amuſſim canonem ſacræ ſcripturæ ſequamur. Et quando audis dilecte, quòd plantauit Deus hortum in Edem ſecundùm Orientem: hoc quod dicit, plantauit, vt decet, de Deo intelligas, nẽpe quod præcepit. At quod reliquum eſt, crede quòd & paradiſus factus ſit, & in illo loco vbi ſcriptura ſignificauit. Cæterùm non credere his quæ in diuina ſcriptura continentur, ſed alia quædam ex propria ſententia inferre, opinor plurimum periculi ſecum aduehere his, qui talia audẽt. Et poſuit illic hominẽ, quem formauit.

Vbi ſit paradiſus.

A πάλιν γὰρ καὶ ἐνταῦθα τὸ ἐφύτευσεν οὕτω δεῖ νοεῖν, ὅτι προσέταξε παράδεισον ἐν τῇ γῇ γενέσθαι, ὥστε τὸν παραχθέντα ἄνθρωπον τούτῳ ἐνδιαιτᾶσθαι. ὅτι γὰρ διὰ τοῦτον παράδεισον παρήγαγεν, ἄκουσον αὐτῆς τῆς γραφῆς λεγούσης· καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν. διὰ τοῦτο καὶ τὸ ὄνομα τοῦ τόπου ἐντίθησιν ἐν τοῖς γράμμασιν ὁ μακάριος Μωυσῆς, ἵνα μὴ ἐξῇ τοῖς φλυαρεῖν μάτην βουλομένοις ἀπατᾶν τῶν ἀφελεστέρων τὰς B ἀκοάς, καὶ λέγειν, μὴ εἶναι ἐν τῇ γῇ τὸν παράδεισον, ἀλλ' ἐν οὐρανῷ, καὶ μυθολογίας ταύτας ὀνειροπολεῖν. Εἰ γὰρ καὶ τοσαύτην χρησαμένης ἀκριβείᾳ τῆς θείας γραφῆς οὐ παρῃτήσαντό τινες τῶν ἐπὶ εὐγλωττίᾳ μεγαλοφρονούντων, καὶ τῇ σοφίᾳ τῇ ἔξωθεν ἀπεναντίας τοῖς γεγραμμένοις φθέγγεσθαι, καὶ εἰπεῖν, μὴ ἐπὶ τῆς γῆς εἶναι τὸν παράδεισον, καὶ πολλὰ ἕτερα τῶν εἰρημένων παρεγχυοῦντες μὴ ὡς γέγραπται φρονεῖν, ἀλλ' ἀπεναντίας ἔρχεσθαι, καὶ τὰ ἐπὶ τῆς γῆς εἰρημένα περὶ τῶν ἐν οὐρανοῖς νομίζειν εἰρῆσθαι, C εἰ μὴ τῇ ταπεινότητι τούτων τῶν λόγων καὶ τῇ συγκαταβάσει ὁ μακάριος Μωυσῆς ἐχρήσατο τοῦ ἁγίου πνεύματος τὴν γλῶτταν αὐτοῦ κινοῦντος ποῦ οὐκ ἂν ἐξεκυλίσθησαν; καί τοι γε τῆς ἁγίας γραφῆς, ἐπειδὰν βούληταί τι τοιοῦτον ἡμᾶς διδάσκειν, ἑαυτὴν ἑρμηνευούσης, καὶ οὐκ ἀφιείσης πλανᾶσθαι τὸν ἀκροατήν. ἀλλ' ἐπειδὴ οἱ πολλοὶ οὐ διὰ τὸ καρπώσασθαί τι κέρδος ἐκ τῶν θείων γραφῶν, ἀλλὰ τέρψεως ἕνεκεν τὰς ἀκοὰς ὑπέχουσι τοῖς τὰ παρισάμενα λέγουσι, διὰ τοῦτο οὐ τοῖς ὠφελοῦσιν, ἀλ- D λὰ τοῖς τέρπειν μᾶλλον δυναμένοις προσέχειν σπουδάζουσι. διὸ παρακαλῶ πᾶσι τοῖς τοιούτοις τὰς ἀκοὰς ἀποτειχίσαντες τῷ κανόνι τῆς ἁγίας γραφῆς κατακολουθήσωμεν, καὶ ὅταν ἀκούσῃς ἀγαπητέ, ὅτι ἐφύτευσε παράδεισον ὁ θεὸς ἐν Ἐδὲμ κατὰ ἀνατολάς, τὸ μὲν ἐφύτευσε, θεοπρεπῶς ἐπὶ θεοῦ νόει, ὅτι προσέταξε, τὸ δὲ ἑξῆς πίστευε, ὅτι καὶ παράδεισος γέγονε, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα καὶ ἡ θεία γραφὴ ἐπεσημήνατο. τὸ γὰρ μὴ πιστεύειν τοῖς ἐν τῇ θείᾳ γραφῇ κειμένοις, ἀλλ' ἕτερα ἐπεισάγειν ἐξ οἰκείας διανοίας πολὺν ἡγοῦμαι κίνδυνον φέρειν τοῖς τοῦτο ποιεῖν τολμῶσι. καὶ ἔθετό φησιν ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν.

ὅρα εὐθέως, πόσην τιμὴν τὴν εἰς αὐτὸν ἐπιδείκνυται. A ἔξω τοῦ παραδείσου τοῦτον δημιουργήσας εὐθέως αὐτὸν παραγαγὼν, ἵνα διὰ τῶν πραγμάτων αἴσθησιν αὐτῷ τῆς εὐεργεσίας παράσχῃ, καὶ γνῷ διὰ τῶν ἔργων τὴν τιμὴν, ἣν εἰς αὐτὸν ἐπιδείκνυται, εἰς τὸν παράδεισον αὐτὸν εἰσήγαγε. καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε. καὶ τὸ ἔθετο πάλιν οὕτω νοῶμεν ἀντὶ τοῦ προσέταξεν ἐκεῖ αὐτὸν διάγειν, ἵνα καὶ ἡ ὄψις καὶ ἡ διαγωγὴ πολλὴν αὐτῷ τὴν ἡδονὴν παρέχῃ, καὶ εἰς εὐχαριστίας εὐγνωμοσύνην αὐτὸν διεγείρῃ ἐννοοῦντα πῶς εὐεργέτηται οὐδὲν οὐδέπω ἐπιδειξάμενος. μὴ τοίνυν ξενιζέτωσε ἡ τοῦ ἔθετο λέξις· ἔθος B γὰρ ἀεὶ τῇ γραφῇ δι' ἡμᾶς καὶ τὴν ὠφέλειαν τὴν ἡμετέραν ταῖς ἀνθρωπίναις κεχρῆσθαι λέξεσι. καὶ ἵνα μάθῃς, ὅρα πῶς προλαβοῦσα καὶ ἐπὶ τῆς τῶν ἀστέρων δημιουργίας τῇ αὐτῇ λέξει ἐχρήσατο εἰποῦσα, καὶ ἔθετο αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, οὐχ ἵνα ἐμπεπηγέναι αὐτοὺς τῷ οὐρανῷ νοήσωμεν. καὶ γὰρ ἕκαστος αὐτῶν τὸν οἰκεῖον δρόμον διανύει τόπους ἐκ τόπων ἀμείβων, ἀλλ' ἵνα διδάξῃ, ὅτι ἐν τῷ οὐρανῷ αὐτοὺς εἶναι προσέταξε, καθάπερ καὶ τὸν ἄνθρωπον ἐν τῷ παραδείσῳ διάγειν. καὶ ἐξανέτειλέ φησιν ὁ C θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. ἰδοὺ καὶ ἕτερον εὐεργεσίας εἶδος πάλιν διὰ τὴν εἰς τὸν δημιουργηθέντα τιμήν. ἐπειδὴ γὰρ αὐτὸν ἐν τῷ παραδείσῳ διάγειν ἐβουλήθη προσέταξεν ἐκ τῆς γῆς ἀναδοθῆναι δένδρα διάφορα, ὁμοῦ καὶ τέρπειν αὐτὸν δυνάμενα διὰ τῆς θέας καὶ πρὸς βρῶσιν ἐπιτήδεια. πᾶν γὰρ ξύλον ὡραῖον εἰς ὅρασιν, τουτέστιν εἰς θέαν, καὶ καλὸν εἰς βρῶσιν, τοῦτ' ἔστι καὶ εὐφραίνειν D δυνάμενα διὰ τῆς ὄψεως, καὶ ἡδονὴν πολλὴν παρέχοντα διὰ τῆς βρώσεως, καὶ τῷ πλήθει δὲ καὶ τῇ ἀφθονίᾳ πολλὴν τὴν εὐφροσύνην προξενοῦντα τῷ μέλλοντι τούτων ἀπολαύειν. πᾶν γάρ φησι ξύλον, ὅσαπερ ἂν εἴπῃς ἀναδοθῆναι πεποίηκεν. εἶδες διαγωγὴν ἀταλαίπωρον. εἶδες βίον θαυμαστὸν; καθάπερ γὰρ ἄγγελός τις, οὕτως ἐπὶ τῆς γῆς διέτελεν ὁ ἄνθρωπος, σῶμα μὲν περικείμενος, ἔξω δὲ τῶν σωματικῶν ἀναγκῶν τυγχάνων, καὶ καθάπερ βασιλεὺς ἁλουργίδι καὶ διαδήματι κεκοσμημένος καὶ πορ-

Vide, quantum honorem ſtatim homini dedit. Extra paradiſum quidem formauit illum, ſed mox introduxit, vt re ipſa ſenſu beneficiorum frueretur, ſciretque quantus illi honor eſſet conceſſus. Et poſuit hominem illic quem formauit. Verbum, poſuit, iterum ſic intelligamus, pro eo quod præcepit illi vt eſſet illic, vt ex aſpectu & conuerſatione multam perciperet voluptatem prouocaretúrque ad gratitudinem, intelligens quantis ſit affectus beneficiis, quum nullum adhuc boni ſpecimen præbuiſſet. Ne mireris ergo verbum hoc, poſuit. Perpetuus enim ſcripturæ mos eſt, propter nos, & propter noſtram vtilitatem humanis vti verbis. Et vt ſcias, vide quomodo ſuperius cùm de formatione ſtellarum ageret, eadem dictione ſit vſus, cùm dixit: Et poſuit eas in firmamento cœli. Non, quòd affixerit eas cœlo, cogitandum (nam vnaquæque earum ſuum perficit curſum, de loco ad locum tranſiens) ſed vt diſcas, quòd in cœlo eas eſſe præceperit, quomodo & hominem in paradiſo voluit verſari. *Et oriri fecit Deus præterea de terra omne lignum pulchrum ad videndum, & bonum ad edendum, & lignum vitæ in medio horti, & lignum ad ſciendum notitiam boni & mali.* Ecce ſecundam beneficentiæ ſpeciem & honorem, quem in hominem recens formatum collocauit. Nam poſtquàm illum in paradiſo conuerſari voluit, præcepit varias arbores ex terra prouenire, quæ ſimul & oblectare illum poſſent, vtpote ſpectatu iucundæ, & eſui accommodæ. Omne enim, inquit, lignum pulchrum ad viſionem, hoc eſt, ad ſpectaculum, & bonum ad eſum, hoc eſt, quæ poterant exhilarare aſpectu, & voluptatem præbere eſu: & quia erant tam multa, & copioſa, mirificam fruituro contuliſſent voluptatem. Omnium enim lignorum quæcunque dixeris, prouentum fecit. Vidiſti miſeriæ neſciam conuerſationem? vidiſti vitam admirandam? Quaſi angelus aliquis viuebat homo ſuper terram, corpore quidem amictus, ſed extra corporis neceſſitates conſtitutus: & ſicut rex paludamento & diademate ornatus,

Gen. 1. 17.

& purpura veſtitus ita in paradiſo impauidè verſabatur in magna rerum copia. Et lignum vitæ in medio paradiſi, & lignum ſciendi notitiam boni & mali. Poſtquam nos docuit, quòd terra produxit omne lignum iuxta mandatum domini, & iucundum viſu, & bonum eſu, tunc ait: Et lignum vitæ in medio paradiſi, & lignum ad ſciendum notitiam boni & mali. Benignus enim dominus, cùm vt creator præſciret ex multa ſecuritate ac, licentia, procedente tempore, nocumentum exoriturum, produxit lignum vitæ in medio horti, & lignum ſciendi notitiam boni & mali: quandoquidem non multò pòſt abſtinere ab iſto iuſſurus erat, vt ſcire poſſit quòd gratia & liberalitate illis frueretur, eſſétque dominus aliquis & naturæ ſuæ, & omnium viſibilium: propter hoc iam ligni memoriam fecit, & narrauit nobis conſequenter fluminum nomina, & illorum ſeparationem quandam, vt ita dicam, & quod ex illo quo rigatur paradiſus, alia per quatuor origines diuiduntur, atque ita mundi climata nobis diſtinxerunt. Sed fortè ſunt qui ex propria ſententia quæ libet dicere volunt: hi iterum neque flumina concedunt eſſe flumina: neque aquas, aquas: ſed perſuadere conantur iis qui ſibi aures accommodare volunt, vt aliud quiddam imaginentur. Cæterùm nos, obſecro, ne feramus tales, ſed obturemus illoram dictis aures, credamus diuinæ ſcripturæ, & ea quæ in illa dicuntur ſectemur: ſanas doctrinas in pectora noſtra reponamus, & cum his etiam vitam diligenter inſtituamus, vt vita teſtificetur doctrinæ, & doctrina longè fideliorem vitam declaret. Nam neq; ſi recta ſciamus fidei dogmata, vitam autem negligamus, aliquid nobis profuerit: neque ſi vitam habeamus, & recta negligamus dogmata, lucrifacere aliquid quod ad ſalutem noſtram ſit vtile, poterimus. Nam ſi voluerimus & gehenna liberari, & regnum aſſequi, operæprecium eſt vtrinque ornari, & dogmatum rectitudine, & vitæ diligentia. Quid enim vtile fuerit, dic obſecro, arbori, quæ in ſummum ſe extẽdit, & foliis frondet, ſi fructu careat?

A φειδῶ ἀναβεβλημένος οὕτως ἐνετρύφα τῇ τοῦ παραδείσου διαγωγῇ μετ' ἀδείας πολλὴν ἔχων τὴν ἀφθονίαν. καὶ τὸ ξύλον φησὶ τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. μετὰ τὸ διδάξαι ἡμᾶς, ὅτι πᾶν ξύλον ἐξέδωκεν ἡ γῆ κατὰ τὸ τοῦ δεσπότου πρόσταγμα, καὶ ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν. τότε φησὶ καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. προειδὼς γὰρ ὁ φιλάνθρωπος δεσπότης ὡς δημιουργὸς τὴν ἐκ τῆς πολλῆς ἀδείας μέλλουσαν τοῦ χρόνου προϊόντος τίκτεσθαι βλά- B βην, ἀνῆκε καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. ἐπειδὴ μετ' οὐ πολὺ μέλλει τὴν τούτου ἀποχὴν αὐτοῦ κελεύειν ἵνα εἰδέναι ἔχῃ, ὅτι χάριτι καὶ φιλανθρωπίᾳ τὴν ἀπόλαυσιν ἔχει, καὶ ἔστι δεσπότης καὶ δημιουργὸς καὶ τῆς αὐτοῦ φύσεως, καὶ πάντων τῶν ὁρωμένων. διὰ τοῦτο ἤδη τοῦ ξύλου τὴν μνήμην ἐποιήσατο, καὶ διηγεῖται ἡμῖν ἐφεξῆς τῶν ποταμῶν τὰ ὀνόματα, καὶ τούτων τὸν ἀφορισμὸν ὡς ἂν εἴποι τις, καὶ ὅτι ἐξ ἐκείνου τοῦ τὴν ἄρδειαν τῷ παραδείσῳ παρέχοντος ἕτεροι εἰς τέσ- C σαρας ἀρχὰς διαιρεθέντες οὕτω τὰ κλίματα τῆς γῆς διενείμαντο. ἀλλ' ἴσως οἱ τὰ ἀπὸ τῆς οἰκείας σοφίας φθέγγεσθαι βουλόμενοι πάλιν οὔτε ποταμοὺς συγχωροῦσιν εἶναι τοὺς ποταμοὺς οὔτε τὰ ὕδατα ἀλλ' ἕτερόν τι φαντάζεσθαι ἀναπείθουσι τοὺς ἐκδιδόναι αὐτοῖς τὰς ἀκοὰς αἱρουμένους. ἀλλ' ἡμεῖς παρακαλῶ τούτων μὲν μὴ ἀνεχώμεθα, ἀλλ' ἀποφράττωμεν αὐτοῖς τὰς ἀκοὰς, πειθώμεθα δὲ τῇ θείᾳ γραφῇ, καὶ τοῖς ὑπ' αὐτῆς εἰρημένοις κατακολουθοῦντες τὰ ὑγιῆ δόγματα σπουδάζωμεν ἐναποτίθεσθαι ταῖς ἑαυτῶν ψυχαῖς, καὶ μετὰ τού- D των καὶ βίου ἀκρίβειαν ἐπιδείκνυσθαι, ἵνα καὶ ὁ βίος μαρτυρῇ τοῖς δόγμασι, καὶ τὰ δόγματα τὸν βίον ἀξιοπιστότερον ἀποφαίνῃ. οὔτε γὰρ ἐὰν ἔχωμεν δόγματα μὲν ὀρθὰ, βίου δὲ ἀμελῶμεν, ὄφελος ἡμῖν ἔσται τι· οὔτε, ἐὰν βίον ἔχοντες ὀρθῶν δογμάτων ἀμελῶμεν, κερδᾶναί τι χρήσιμον, καὶ πρὸς σωτηρίαν ἡμετέραν δυνησόμεθα. προσήκει γὰρ, εἰ βουλοίμεθα καὶ γεέννης ἐλευθερωθῆναι, καὶ βασιλείας ἐπιτυχεῖν, ἀμφοτέρωθεν κοσμεῖσθαι, καὶ δογμάτων ὀρθότητι, καὶ βίου ἐπιμελείᾳ. τί γὰρ ὄφελος εἰπέ μοι δένδρου εἰς ὕψος πολὺ ἐκτεινομένου, καὶ τοῖς φύλλοις κομῶντος, ὅταν καρποῦ ἔρημον ᾖ;

οὕτω

A οὕτω τὸν Χριστιανὸν οὐδὲν ὀνίνησι τὰ ὀρθὰ δόγματα, ἐὰν τῆς κατὰ τὸν βίον πολιτείας ἀμελῇ. διὰ τοῦτο καὶ ὁ Χριστὸς τοὺς τοιούτους ἐμακάριζε λέγων· μακάριος ὁ ποιήσας καὶ διδάξας. τῆς γὰρ διὰ τῶν λόγων διδασκαλίας ἡ διὰ τῶν ἔργων ἀκριβεστέρα καὶ ἀξιοπιστοτέρα πολλῷ. ὁ γὰρ τοιοῦτος καὶ σιγῶν καὶ μὴ ὁρώμενος παιδεύειν δύναται, τοὺς μὲν διὰ τῆς θέας, τοὺς δὲ διὰ τῆς ἀκοῆς, καὶ πολλῆς ἀπολαύσεται τῆς παρὰ τοῦ θεοῦ εὐνοίας, οὐ μόνον δι' ἑαυτοῦ, ἀλλὰ καὶ διὰ τῶν εἰς αὐτὸν ὁρώντων παρασκευάζων δοξάζεσθαι τὸν αὐτοῦ δεσπότην· ὁ τοιοῦτος διὰ μυρίων γλωσσῶν καὶ διὰ πολλῶν στομάτων τὰς εὐχαριστίας καὶ τοὺς ὕμνους ἀνοίσει τῷ τῶν ὅλων θεῷ. B οὐδὲ γὰρ οἱ γνώριμοι μόνον καὶ μάρτυρες τοῦ βίου ὄντες καὶ αὐτὸν θαυμάσονται καὶ τὸν αὐτοῦ δεσπότην, ἀλλὰ καὶ οἱ ἀγνοοῦντες παρ' ἑτέρων ταῦτα μανθάνοντες, καὶ οἱ πόρρωθεν οἰκοῦντες, καὶ οἱ μακρὰν ἀπῳκισμένοι, καὶ οὐ φίλοι μόνον ἀλλὰ καὶ ἐχθροὶ αἰδεσθήσονται τῆς ἀρετῆς τὴν ὑπερβολήν. τοσαύτη γὰρ ταύτης ἡ ἰσχὺς, ὡς καὶ τῶν πολεμούντων αὐτῇ ἀποφράττειν τὰ στόματα, καὶ τὴν γλῶτταν ἐπιστομίζειν, καὶ ὥσπερ πρὸς τὰς ἀκτῖνας τὰς ἡλιακὰς οἱ ἀσθενεῖς τὰς ὄψεις ἀντιβλέψαι οὐ τολμῶσιν, C οὕτως οὐδὲ πρὸς τὴν ἀρετὴν ἡ κακία ἀντιβλέψαι δυνήσεταί ποτε, ἀλλὰ παραχωρήσει, καὶ νῶτα δώσει, καὶ τὴν ἧτταν ὁμολογήσει. ὃ δὴ καὶ πεπεισμένοι ἀντεχώμεθα τῆς ἀρετῆς, καὶ μετὰ ἀσφαλείας τὸν ἑαυτῶν βίον οἰκονομῶμεν, καὶ τῶν μικρῶν καὶ εὐτελῶν εἶναι δοκούντων ἁμαρτημάτων εἴτε ἐν λόγοις, εἴτε ἐν πράγμασιν ἀπέχεσθαι σπουδάζωμεν. οὕτω γὰρ οὐδέποτε τοῖς μείζοσι περιπεσούμεθα τῶν ἁμαρτημάτων, ἐὰν τῶν μικρῶν ἀποσχώμεθα, καὶ τοῦ χρόνου προϊόντος δυνησόμεθα καὶ τῆς ἄνωθεν ῥοπῆς ἀπολαύοντες τῆς ἄκρας ἀρετῆς ἐπιλαβέσθαι, καὶ τὴν κόλασιν D διαφυγεῖν τὴν ἀποκειμένην, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα κράτος τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Sic & Chriſtiano nihil proderunt recta dogmata, ſi vitam ſuam non bene inſtituat. Propter hoc & Chriſtus tales beatos dixit, inquiens: Matth. 5.19. Beatus qui fecerit, & docuerit. Multò enim fidelior & certior doctrina operum, quàm ſermonum. Nam qui talis eſt, etiam ſilens, & cùm non videtur, docere poteſt, & alios quidem qui illum vident, alios verò qui de illo audiunt: & multa fruetur Dei gratia, cum efficiat vt non ſolum per ſe, ſed & per alios qui illum vident, dominus ſuus glorificetur. Talis per mille linguas, & ora multa, gratias & laudes offeret Deo. Neque enim noti ſoli teſtes ſunt vitæ illius, & ipſum mirantur ac ipſius dominum: ſed & qui non cognoſcunt, & ab aliis diſcunt, & qui valde procul habitant, & diuiſi ſunt: & non amici ſoli, ſed & inimici reuerebuntur virtutis eminentiam. Tanta enim eſt virtutis potentia, vt & compeſcat ora & linguas eorum qui ipſi infeſti ſunt. Et ſicut ad ſolis radios infirmi oculis non audent reſpicere, ita neque virtutem malitia contueri audebit vnquam, ſed dorſo obiecto diſcedet, victámque ſe fatebitur. Id quod & perſuaſum nobis ſit, vt virtutem arripiamus, & diligenter noſtram vitam inſtituamus, & à peccatis, cum adhuc parua apparent, ſiue in ſermone, ſiue in opere ſtatim deſiſtere ſtudeamus. Neque enim vnquam in maiora incidemus peccata, ſi à paruis nobis cauerimus: & ſic procedente tempore poterimus, ſuperna gratia fauente, & excelſam virtutem apprehendere, reconditámque effugere pœnam, & æterna conſequi bona, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri, Spirituíque ſancto ſit gloria, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A

HOMILIA XIV.

Gen. 2. 15. *Et accepit dominus Deus hominem quem formauit, & poſuit eum in horto voluptatis, vt coleret illum & cuſtodiret.*

ITERVM, ſi libet, etiam hodie ex contextu eorum quæ heri dicta ſunt, ſpiritualem vobis doctrinam vt contexamus, dabimus operam. Multa enim & in his quæ modo ſunt lecta, reconditiora ſunt: & opus eſt vt in profundiora deſcendamus: diligentérque ſcrutemur omnia, quò fructum aliquem lucrifaciamus. Nam ſi id agunt, qui precioſos lapides in mari inuenire cupiunt, magnum laborem & moleſtiam ferentes, periculóque indomitarum aquarum ſe exponentes, quò deſideratis potiantur: multò magis noſtrum fuerit animum intendere, vt perluſtratis his quæ in profundo dictorum latent, precioſos illos lapides comprehendamus. Sed ne timueris dilecte, quum audis profunditatem. Non enim hîc eſt tanta vis æſtuantium vndarum, ſed Spiritus ſancti gratia mentem noſtram illuſtrans, & facilè inueniri deſiderata concedens, omnem laborem alleuiat. Et gemmas illas inueniſſe inuentori non multum profuit, ſæpe autem & nocuit, & innumerorum naufragiorum occaſio fuit, neque tantam in inueniendo habuit lætitiam is qui inuenit, quantam inuentis illis iniucunditatem pertulit, aduerſus ſe inuidorum oculis concitatis, & auaris ad bellum armatis. Et adeo nequit noſtræ vitæ prodeſſe illas reperire, vt & multorum bellorum ſit cauſa. Auaritiæ enim materia eſt, & caminum cupiditatis ſuccendit, captorúmque animam expugnat. Atqui de ſpiritualibus noſtris theſauris nihil tale formidare oportet: ſed & diuitiæ quæ inde colliguntur, immenſæ, & voluptas immarceſcibilis, & multo interuallo ſuperans omnium hominum lætitiam. Et quòd hoc verum ſit, audi beatum Dauid dicentem:

Pſal. 18. 11.

Ὁμιλία ιδ.

Καὶ ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἐργάζεσθαι αὐτὸν, καὶ φυλάσσειν.

Πάλιν, εἰ βούλεσθε, καὶ σήμερον τῆς ἀκολουθίας τῶν χθὲς εἰρημένων ἀψάμενοι ἐντεῦθεν ὑμῖν τὴν διδασκαλίαν τὴν πνευματικὴν ὑφᾶναι σπουδάσομεν. πολλὴ γὰρ καὶ τῶν προσφάτως ἀναγνωσθέν-
B των ἡ ἐγκεκρυμμένη δύναμις, καὶ προσήκει πρὸς τὸ βάθος ἡμᾶς καθιέντας, καὶ ἅπαντα μετ' ἀκριβείας διερευνησαμένους τὸ ἐξ αὐτῶν κέρδος καρπώσασθαι. εἰ γὰρ οἱ τοὺς ἀπὸ τῆς θαλάσσης λίθους εὑρίσκειν βουλόμενοι τοσοῦτον πόνον καὶ ταλαιπωρίαν ὑπομένουσι τῇ τῶν ἀτάκτων ὑδάτων ῥύμῃ ἑαυτοὺς ἐκδιδόντες, ἵνα τῶν σπουδαζομένων ἐπιτύχωσι· πολλῷ μᾶλλον ἡμᾶς ἀκόλουθον συνθεῖναι τὴν διάνοιαν, καὶ τὰ ἐν τῷ βάθει καταδύσαντας τῶν εἰρημένων οὕτω τῶν τιμίων τούτων λίθων ἐπιλαβέσθαι. ἀλλὰ μὴ δείσῃς ἀγαπητὲ βάθος ἀκούων.
C οὐ γάρ ἐστιν ἐνταῦθα ὑδάτων ἄτακτος φορὰ, ἀλλὰ πνεύματος χάρις καταυγάζουσα ἡμῶν τὴν διάνοιαν, καὶ τὴν εὕρεσιν τῶν ζητουμένων μετ' εὐκολίας ἡμῖν παρεχομένη, καὶ πάντα πόνον ἐπικουφίζουσα. ἐκείνων μὲν οὖν τῶν λίθων ἡ εὕρεσις οὐ σφόδρα ὤνησε τὸν ἐπιτυχόντα, πολλάκις δὲ καὶ κατέβλαψε, καὶ μυρίων ναυαγίων ὑπόθεσις αὐτῷ γέγονε, καὶ οὐ τοσαύτην ἀπὸ τῆς εὑρέσεως ἐκαρπώσατο τὴν εὐφροσύνην, ὅσην μετὰ τὴν εὕρεσιν τὴν ἀηδίαν ὑπέμεινε τοὺς τῶν βασκάνων ὀφθαλμοὺς ἀναπληρώσας καθ' ἑαυτοῦ, τοὺς πλεονέκ-
D τας διεγείρας εἰς τὸν κατ' αὐτοῦ πόλεμον. οὕτως οὐ μόνον οὐδὲν ὄφελος εἰς τὸν βίον εἰσάγει τὸ ἡμέτερον ἡ ἐκείνων εὕρεσις, ἀλλὰ καὶ πολλῶν πολέμων ὑπόθεσις γίνεται. ὕλη γάρ ἐστι πλεονεξίας, καὶ κάμινον ἀνάψασα φιλαργυρίας πολιορκεῖ τὴν ψυχὴν τῶν ἁλόντων. ἐπὶ δὲ τῶν πνευματικῶν τούτων καὶ τιμίων λίθων οὐδέν ἐστι δεῖσαί τι τοιοῦτον, ἀλλὰ καὶ ὁ πλοῦτος ὁ ἐντεῦθεν συλλεγόμενος ἄφατος καὶ ἡδονὴ ἀμάραντος καὶ ἐκ πολλοῦ τοῦ περιόντος νικῶσα πᾶσαν τὴν ἐκεῖθεν προσγινομένην τοῖς ἀνθρώποις εὐφροσύνην. καὶ τοῦτο ἄκουε τοῦ μακαρίου Δαβὶδ λέγοντος,

A ὅτι ἐπιθυμητὰ τὰ λόγιά σου ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. ὁρᾷς πῶς τὰς τιμιωτέρας νομιζομένας τῶν ὑλῶν εἰς μέσον παραγαγὼν οὐ μόνον ταύτῃ τῇ συγκρίσει ἠρκέσθη, ἀλλὰ καὶ προσέθηκε πολύν, καὶ τότε τὴν ἐντεῦθεν ἡμῖν ὑπεροχὴν ἐδήλωσεν; ὑπὲρ χρυσίον φησὶ καὶ λίθον τίμιον πολύν. οὐκ ἐπειδὴ τοσοῦτον μόνον ἐστὶν ἐπιθυμητὰ τὰ θεῖα λόγια, ἀλλ᾽ ἐπειδὴ ταύτας μόνας τὰς ὕλας τοῖς ἀνθρώποις εἶδε τὴν ἀνωτάτω προεδρείαν ἐχούσας, διὰ τοῦτο ταύτας παραγαγὼν εἰς μέσον οὕτω τὴν ὑπεροχὴν ἔδειξε, καὶ τὴν ἐπιθυμίαν τῶν τοῦ πνεύματος λογίων σφοδροτέραν οὖσαν. καὶ ἵνα μάθητε, ὅτι τοῦτο ἔθος ἀεὶ τῇ θείᾳ B γραφῇ τοῖς αἰσθητοῖς παραβάλλειν πράγμασι τὴν ἐντεῦθεν ὠφέλειαν, καὶ οὕτω τὴν ὑπεροχὴν ἐπιδείκνυσθαι, ἄκουε καὶ τῶν ἑξῆς. ἐπήγαγε γοῦν. καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. καὶ ἐνταῦθα οὐκ ἐπειδὴ τοσοῦτο μόνον ἐστὶ γλυκύτερα, οὐδὲ ἐπειδὴ τοσαύτην παρέχειν δύναται τὴν ἡδονήν, ἀλλ᾽ ἐπειδὴ οὐδὲν ἕτερον εἶχεν ἐν τοῖς αἰσθητοῖς παραβάλλειν τῇ ἡδονῇ τῶν θείων λόγων, διὰ τοῦτο τούτων μνημονεύσας οὕτω πάλιν τὴν ὑπεροχὴν ἔδωκε, καὶ τὴν ἡδονὴν πλείονα ἔφησεν εἶναι C τῶν πνευματικῶν διδαγμάτων. τῷ αὐτῷ κανόνι εὑρήσεις καὶ τὸν Χριστὸν ἐν τοῖς εὐαγγελίοις κεχρημένον. ὅτε γὰρ τοῖς μαθηταῖς διελέγετο καὶ ἐπιθυμοῦσι μαθεῖν τὴν ἑρμηνείαν τῆς παραβολῆς τοῦ σπείραντος τὸ καλὸν σπέρμα ἐν τῷ ἀγρῷ, καὶ τοῦ ἐχθροῦ τοῦ τὰ ζιζάνια ἀναμέσον τοῦ σίτου ἐπεμβαλόντος, κατὰ μέρος πᾶσαν διέλυσε τὴν παραβολὴν εἰπών, τίς ἐστιν ὁ τὸ καλὸν σπέρμα σπείρας, καὶ τίς ὁ ἀγρός, καὶ τίνα ἐστὶ τὰ ζιζάνια, καὶ τίς ὁ ταῦτα κατασπείρας, καὶ τίνες οἱ θερίζοντες, καὶ τίς ὁ θερισμός, καὶ ὅτε πάντα σαφῶς αὐτοῖς ἐξεκάλυψε, τότε φησίν· οἱ δίκαιοι ἐκλάμψου- D σιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. οὐκ ἐπειδὴ τοσαύτην μόνην τὴν λαμπηδόνα ἕξουσιν οἱ δίκαιοι, ἀλλὰ δηλῶν ὅτι πολλῷ μείζονα. τοσαύτην δὲ εἶπεν, ἐπειδὴ μείζονα ταύτης εἰκόνα ἐν τοῖς ὁρωμένοις οὐκ ἦν εὑρεῖν. ἐπειδὰν οὖν τι τοιοῦτον ἀκούσωμεν, μὴ μέχρι τῶν λεγομένων ἐναπομείνωμεν, ἀλλὰ ἀναλογιζώμεθα ἀπὸ τῶν αἰσθητῶν καὶ ὁρωμένων τῶν πνευματικῶν μάλιστα τὴν ὑπεροχήν. εἰ τοίνυν καὶ τὴν ἐπιθυμίαν σφοδροτέραν ἔστιν ἐνταῦθα εὑρεῖν καὶ τὴν ἡδονὴν ἀκριβεστέραν·

Deſiderabilia eloquia tua ſuper aurum & lapidem precioſum multum. Vides quòd cùm in medium attulerit materias, quæ precioſiores reputantur, non ſolum hac comparatione non contentus fuit, ſed & appoſuit, multum: atque ita excellentiam, quæ inde eſt, nobis manifeſtauit? Super aurum, inquit, & lapidem precioſum multũ: non quòd in tãtum duntaxat ſint deſiderabilia eloquia Dei, ſed q̃a ſolas haſce materias vidit apud homines in maiori precio haberi præ aliis: propter hoc adductis illis in medium, ita excellentiã mõſtrauit, & ꝙ deſiderium eloquiorũ ſpiritus vehementius ſit. Et vt ſciatis quòd ſemper is mos ſit ſacræ ſcripturæ, vtilitatem quæ hinc eſt, ſenſibilibus rebus conferre, & ſic excellentiã oſtendere, audi & quæ deinceps ſubdit: Et dulciora ſuper mel & fauum. Et hîc, non ꝙ tantam, & non maiorẽ poſſit prębere voluptatem: ſed quia nihil aliud habebat in rebus ſenſibilibus, quod diuinorum eloquiorum voluptati cõpararet: idcirco cùm hoc commemoraſſet, iterum ſic excellentiam docuit, & maiorem voluptatem eſſe docuit ſpiritualium doctrinarum. Eadem regula inuenies & Chriſtum in euangeliis vſum. Nam cùm diſcipulis loqueretur, cupientibus diſcere interpretationem parabolæ eius, qui ſeminauit bonum ſemẽ in agro, & inimici zizania inter triticum ſeminantis: particulatim omnem ediſſeruit parabolam: Quis fuerit qui ſeminauit bonum ſemen, & quis ager, & quæ ſint zizania, & quis iſta interſeuit, & qui meſſores, & quæ meſſis. Et poſtquam omnia illis manifeſtè detexit, tunc dixit: Iuſti fulgebunt ſicut ſol in regno patris eorum: non quòd nõ maiorem claritudinem habituri ſint iuſti, ſed monſtrat quòd multò maiorem. Tantam autem dixit, quoniam maiorem hac ſimilitudinem in rebus viſibilibus inuenire non licebat. Quando igitur tale aliquid audiuerimus, non tantum maneamus in his quæ dicuntur: ſed ex ſenſibilibus & viſibilibus, ſpiritualiũ maximam eminentiam colligamus. Itaque quandoquidem hîc vehementius deſiderium inueniri poteſt, & voluptas ſuauior & certior,

Mos ſcripturæ in ſimilitudinibus.

Matth. 13.24.

Ibidem. 43.

(diuina enim eloquia sũt hæc, & ſpiritualia, & quæ multò maiorem animæ parere poſſunt lætitiam ſpiritualem) dictis attendamus magna promptitudine, vehementique deſiderio, vt veras diuitias hinc nobis acquirentes, & ad philoſophiam Chriſti plurimis ſuſceptis ſeminibus, tandem domum redeamus. Audiamus igitur quæ hodie ſunt lecta: ſed obſecro, attenta ſitis mente, & excuſſis curis ſecularibus, omníque ignauia depoſita, hæc quæ dicuntur accipite. Diuinæ enim leges ſunt, & cælitus allatæ ob ſalutem noſtram. Nam ſi cùm regiæ leguntur litteræ, vbique eſt ſilentium, abéſtque ſtrepitus & tumultus, omnibus aſtantibus, & aures arrigentibus, vt ſciant quæ regiis litteris manifeſtentur: & quiſquis vel parum tumultuatus fuerit, & quæ leguntur interruperit, in magno periculo eſt: multò magis his cum magno timore & tremore aſtãdum, & altum habendum ſilentium, & pellendæ cogitationes turbulentæ, vt quæ dicuntur intelligere poſſitis: quò rex cœleſtis approbata obediẽtia veſtra, maioribus vos muneribus remunerare dignetur. Videamus itaque quid nunc nos doceat beatus ille Moſes non ſuâ lingua ſolùm hæc dicens, ſed à Spiritu ſancto afflatus. *Et accepit dominus Deus hominem quem formauit.* Bene ſtatim ab initio duo hæc poſuit. Non enim dixit dominus. & tacuit: ſed adiunxit, Deus: occultum aliquod myſterium hîc nos docens, vt ſcire poſſemus, ſiue dicamus dominum, ſiue Deum, nullam in nominibus eſſe differentiam. Hoc autem nõ abſque ratione commemoraui: ſed vt cùm audieris Paulum dicentem: Vnus Deus pater, ex quo omnia: & vnus dominus Ieſus Chriſtus, per quem omnia, ne putes in dictionibus eſſe diuerſitatem, & vnam maius aliquid ſignificare, alteram minus. Et idcirco ſcriptura abſque diſcrimine illis vtitur, vt contentioſis ea quæ ex ſua ſententia excogitarũt, ad dogmatum rectitudinem afferre non liceat. Et quòd diuina ſcriptura neutrum horum cum ſingulari quadam obſeruatione & ſuperſtitione enunciet, ex iſthoc ipſo quod nũc dicitur, diligẽter cõſidera.

1. Cor. 8. 6.

A θεῖα γάρ ἐστι τὰ λόγια, καὶ πνευματικὰ, καὶ πολλὴν δυνάμενα τίκτειν τῇ ψυχῇ τὴν εὐφροσύνην τὴν πνευματικήν. μετὰ πολλοῦ τοῦ πόθου καὶ σφοδρᾶς τῆς ἐπιθυμίας τὰς ἀκοὰς ὑπέχωμεν τοῖς λεγομένοις, ἵνα τὸν ἀληθῆ πλοῦτον ἐντεῦθεν ἑαυτοῖς περιποιησάμενοι, καὶ πρὸς τὴν κατὰ θεὸν φιλοσοφίαν πολλὰ δεξάμενοι τὰ σπέρματα οὕτως οἴκαδε ἀναχωρῶμεν. ἀκούσωμεν τοίνυν τίνα ἐστὶ τὰ σήμερον ἀναγνωσθέντα, ἀλλὰ συντείνατέ μοι τὴν διάνοιαν, καὶ πᾶσαν ῥαθυμίαν ἀποτιναξάμενοι, καὶ φροντίδα βιωτικὴν οὕτω τοῖς λεγομένοις προσέχετε. θεῖοι γάρ εἰσι νόμοι ἄνωθεν ἐκ τῶν οὐρανῶν κατενεχθέντες

B διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. εἰ γὰρ βασιλικῶν γραμμάτων ἀναγινωσκομένων πολλὴ γίνεται ἡ ἡσυχία, καὶ πᾶς θόρυβος, καὶ ταραχὴ ἐκποδὼν πάντων συντεταμέναις ταῖς ἀκοαῖς ἑστώτων καὶ ἐπιθυμούντων ἀκοῦσαι, τίνα ἐστὶν ἃ δηλοῖ τὰ γράμματα τὰ βασιλικὰ, καὶ κίνδυνος μέγιστος ἕπεται τῷ κἂν πρὸς βραχὺ θορυβήσαντι, καὶ διακόψαντι τὴν τῶν ἀναγινωσκομένων τὴν ἀκολουθίαν· πολλῷ μᾶλλον ἐνταῦθα μετὰ φόβου καὶ τρόμου ἑστάναι δεῖ, καὶ πολλὴν παρέχειν τὴν σπουδὴν, καὶ τὸν τῶν λογισμῶν τὸν τάραχον φυγαδεύειν, ἵνα καὶ συνιέναι δυνηθῇ τε τὰ λεγόμενα,

C καὶ τῆς ὑπακοῆς ἀποδεξάμενος ὑμᾶς ὁ βασιλεὺς τῶν οὐρανῶν μειζόνων καταξιώσῃ τῶν δωρεῶν. ἴδωμεν τοίνυν τί διδάσκει ἡμᾶς καὶ νῦν ὁ μακάριος Μωσῆς οὐκ οἰκείᾳ γλώττῃ μόνον ταῦτα λέγων, ἀλλ' ὑπὸ τῆς τοῦ πνεύματος χάριτος ἐνηχούμενος. καὶ ἔλαβέ φησιν ὁ θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε. καλῶς εὐθέως ἐκ προοιμίων τὰ δύο τέθεικεν. οὐδὲ γὰρ εἶπε κύριος, καὶ ἐσίγησεν, ἀλλὰ προσέθηκε κύριος ὁ θεὸς, λανθάνον τι καὶ κεκρυμμένον ἐντεῦθεν ἡμᾶς διδάσκων, ἵνα εἰδέναι ἔχωμεν, ὅτι κἄν τε κύριον ἀκούσωμεν, κἄν τε θεὸν, οὐδεμία ἐν τοῖς ὀνόμασίν ἐστι

D διαφορά. τοῦτο δὲ νῦν οὐχ ἁπλῶς ἐμνημόνευσα, ἀλλ' ἵνα ὅταν ἀκούσῃς Παύλου λέγοντος, Εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, μὴ νομίσῃς διαφορὰν εἶναι ἐν ταῖς λέξεσι, καὶ τὴν μὲν μεῖζόν τι δηλοῦν, τὴν δὲ ἔλαττον, διὰ τοῦτο καὶ διαφόρως ἡ γραφὴ τούτοις κέχρηται τοῖς ὀνόμασιν, ἵνα μὴ ἐξῇ τοῖς φιλονείκως διακειμένοις τὰ ἐξ οἰκείας ὑπονοίας ἐπεισφέρειν τῇ τῶν δογμάτων ὀρθότητι. καὶ ἵνα μάθῃς ὅτι ὡς οὐδὲν τοιούτων παρατετηρημένως καὶ ἀποκεκληρωμένως φθέγγεται ἡ θεία γραφὴ, ἐξ αὐτοῦ τοῦ νῦν λεγομένου σκόπει μετὰ ἀκριβείας.

A καὶ ἔλαβέ φησι κύριος ὁ θεός. περὶ τίνος αὐτὸ βούλεται εἰρῆσθαι ὁ αἱρετικός; περὶ τοῦ πατρὸς μόνου; καλῶς. ἄκουε τοίνυν Παύλου λέγοντος, εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι᾽ οὗ τὰ πάντα. ὁρᾷς πῶς τὸ κύριος ὄνομα, τῷ υἱῷ προσένειμε; τί ἂν οὖν εἴποιεν τὴν κύριος προσηγορίαν μείζονα εἶναι τοῦ θεός; ὁρᾶτε ὅσον τὸ ἄτοπον, καὶ ὅση τῆς βλασφημίας ἡ ἐπίτασις, ἐπὰν γὰρ μὴ βούληταί τις ἀνέχεσθαι κατακολουθεῖν τῷ κανόνι τῆς θείας γραφῆς, ἀλλὰ τοῖς οἰκείοις λογισμοῖς ἐθέλοι διδόναι χώραν, ταράττει τὴν διάνοιαν, καὶ λογομαχίας καὶ ζητήσεις ἀπεράντους ἐπιφέρει τῇ ὑγιεῖ τῶν δογμάτων ὀρθότητι. B καὶ ἔλαβέ φησιν ὁ θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. ὅρα πόσῃ κέχρηται προνοίᾳ περὶ τὸν δημιουργηθέντα ἄνθρωπον. ἐπειδὴ γὰρ χθὲς ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωυσῆς λέγων, ὅτι ἐφύτευσεν ὁ θεὸς τὸν παράδεισον, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ἀντὶ τοῦ ἐβουλήθη αὐτὸν ἔχειν τὸ οἰκητήριον, καὶ ἐνδιαιτᾶσθαι τῇ ἀπολαύσει τοῦ παραδείσου, σήμερον πάλιν δείκνυσιν ἡμῖν τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, C ἣν περὶ αὐτὸν ἐπιδείκνυται, καὶ ἐπαναλαμβάνων τὸν λόγον φησί. καὶ ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς. οὐχ ἁπλῶς εἶπεν ἐν τῷ παραδείσῳ, ἀλλὰ προσέθηκε καὶ τῆς τρυφῆς, ἵνα τὴν ὑπερβάλλουσαν ἡδονὴν, ἧς ἀπήλαυσεν ἐκ τῆς αὐτόθι οἰκήσεως ἐμφήνῃ ἡμῖν, καὶ εἰπὼν ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, φησιν, ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν, πολλῆς καὶ τοῦτο κηδεμονίας. ἐπειδὴ γὰρ τῆς τρυφῆς ἁπάσης πεπλήρωτο ἡ αὐτόθι διαγωγὴ, καὶ τὴν ἀπὸ τῆς θέας τέρψιν ἔχουσα, καὶ D τὴν ἀπὸ τῆς ἀπολαύσεως εὐφροσύνην, ἵνα μὴ ἀποσκιρτήσῃ ἐκ τῆς ὑπερβαλλούσης ἀνέσεως ὁ ἄνθρωπος· πᾶσαν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία· διὰ τοῦτο προσέταξεν αὐτὸν ἐργάζεσθαι καὶ φυλάσσειν. τί οὖν φησι, τῆς παρ᾽ αὐτοῦ ἐπιμελείας ἐδεῖτο ὁ παράδεισος; οὐ τοῦτο λέγω, ἀλλ᾽ ἐβουλήθη τέως μικράν τινα καὶ σύμμετρον αὐτὸν ἔχειν μέριμναν περί τε τὴν φυλακὴν περί τε τὴν ἐργασίαν. εἰ γὰρ πόνου παντὸς ἦν ἀπηλλαγμένος, εὐθὺς ἀπέκλινεν ἂν πρὸς ῥαθυμίαν πολλῇ κεχρημένος ἀνέσει·

Et accepit dominus Deus. De quo vult hæreticus eſſe dictum? De patre ſolum? Eſto: ſed audi Paulum dicentem: Vnus Deus pater, ex quo omnia: & vnus dominus Ieſus Chriſtus, per quem omnia. Vides quomodo nomen domini filio attribuit? Quare ergo dicunt nomen, dominus, maioris eſſe momenti quàm nomē, Deus? Videte quanta ſit abſurditas, & quāta blaſphemia, cum enim quis non ipſam diuinæ ſcripturæ regulam ſequi dignatur, ſed ſuis opinionibus locum dare vult, ſententiam diſturbat: & verborum pugnas, & infinitas quæſtiones ſanis rectiſque dogmatibus immiſcet. Et accepit dominus Deus hominem quem formauit, & poſuit illum in horto voluptatis, vt coleret illum, & cuſtodiret. Vide quantam formati hominis curam habuit. Poſtquam enim heri nos docuit beatus Moſes, dicens: Plantauit Deus paradiſum, & poſuit illic hominem: id eſt, voluit illum illic habere domicilium, & verſari ibi, ac paradiſi deliciis frui: hodie iterum oſtendit nobis ineffabilem benignitatem Dei, quam in illum contulit: & repetens ſermonem, inquit: Et accepit dominus Deus hominem, quem formauit, & poſuit eum in paradiſo voluptatis. Non ſimpliciter dixit, in paradiſo: ſed appoſuit, voluptatis, vt excellentem voluptatem, qua fruiturus eſſet inhabitando, nobis declararet. Et vt dixit, Poſuit illum in paradiſo voluptatis: addit, vt coleret illum, & cuſtodiret. Etiam hoc magnæ curæ & prouidentiæ noſtri, argumentum eſt. Nam cùm omnibus deliciis potirentur ibi vitam agentes, tam oblectamentis eorum quæ videbant, quàm lætitia eorum quibus fruebantur, vt ne immodica proſperitate homo inſoleſceret, (omnem enim malitiam docuit otium) propterea præcepit Deus, vt operaretur illum, & cuſtodiret. Quid autem, dicet aliquis, illius cura indigebat paradiſus? Non hoc dico, ſed voluit tum vt paruam quandam, ſibique congruam gereret curam, partim cuſtodiendo, partim operando. Si enim laboris omnis fuiſſet expers, protinus ex multo ocio in ignauiam prolapſus eſſet:

voluptatis, deliciarum.

Eccli. 33. 29.

nunc verò in operatione occupatus, quæ neque dolorem, neque moleſtiam adferret, moderatior vtique ac continentior eſſe debuit. Cæterùm quod dicit, cuſtodiret: non abſque cauſa appoſitum eſt, ſed congruunt verba, vt planè ſcire poſſit, quòd ſub domino agat, qui hanc largitus ſit fruitionem, & cum illa etiam cuſtodiam commiſerit. Deus enim omnia facit & operatur propter noſtram vtilitatem, & cum illa etiam fruitionem & refocillationem præbet. Nam cùm ob excellentem ſuam miſericordiam, etiam priuſquam nos produceret, ineffabilia bona præparauerit, ſicut ipſe dicit: Venite benedicti patris mei, poſſidete in hæreditatem præparatum vobis regnum ab initio mundi: multò magis præſentia omnia largiter præbebit. Poſtquam igitur tanta beneficia in iam conditum contulit; ac primùm cùm non eſſet, dedit illi vt eſſet, & ex puluere corpus formare dignatus eſt: & poſt hæc dominam, animam dico incorpoream, per inſpirationẽ dedit: dein paradiſum fieri iuſſit, & illic illum viuere præcepit: poſt hæc ex contrario, ſicut clemens pater tenero filio omni copia fruenti, ne inſolens fiat, paruam & congruam quandam curam excogitat: ſic & dominus Deus Adæ operationem & cuſtodiam præcepit, vt vna cum voluptate multaque ſecuritate ac delectatione hæc duo haberet, quæ aliquantulum procliuitatem illius morarentur & impedirent. Porrò vt hęc quę iam erant condito homini, ita & quæ ſequuntur, magnam & excellẽtem Dei in illum nobis declarãt benignitatem, quam ſola bonitate ſua exhibuit. Et quid eſt quod inquit ſcriptura, & præcepit dominus Deus Adæ? Ecce iterum hîc etiam eadem conſuetudine vtitur: vt cùm ſæpe idẽ inculcatur, diligentiori memoria doctrina ſuſcipiatur: neq; vltrà feramus temerè nomina diſcernentes, qui aliud patri, aliud filio tribuũt. Nã quoniam vna eſt vtriuſque eſſentia, idcirco indiſcriminatim tribuit ſcriptura eandem appellationem nunc patri, nũc filio. Et præcepit dominus Deus Adæ, dicens. Dignum & hîc fuerit obſtupeſcere benignitatem Dei,

Matth. 25.34.

Voces Deus & Dominus Patri & Filio cómunes.

A νῦν δὲ ἐργαζόμενος ἐργασίαν ἀνώδυνόν τινα καὶ ταλαιπωρίας ἐκτὸς σωφρονέστερον ἂν διετέθη. καὶ τὸ εἰπεῖν δὲ ὅτι φυλάσσειν οὐχ ἁπλῶς πρόσκειται, ἀλλὰ συγκατάβασίς ἐστι τῶν ῥημάτων, ἵνα ὅλως εἰδέναι ἔχῃ φησίν, ὅτι ὑπόκειταί τινι τῷ τὴν τοσαύτην ἀπόλαυσιν αὐτῷ χαρισαμένῳ, καὶ μετὰ τῆς ἀπολαύσεως τὴν φυλακὴν ἐπιτρέψαντι. πάντα γὰρ ποιεῖ ὁ θεός, καὶ πραγματεύεται διὰ τὴν ὠφέλειαν τὴν ἡμετέραν, καὶ μετὰ τούτου καὶ τὴν ἀπόλαυσιν καὶ τὴν ἄνεσιν δωρεῖται. εἰ γὰρ διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ B φιλανθρωπίαν, καὶ πρὶν ἡμᾶς παραγαγεῖν τὰ ἀπόρρητα ἐκεῖνα ἡμῖν ἀγαθὰ ηὐτρέπισε, καθὼς αὐτὸς λέγει· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου, πολλῷ μᾶλλον τὰ ἐνταῦθα πάντα μετὰ δαψιλείας παρέξει. ἐπεὶ οὖν τοσαύτας εὐεργεσίας εἰς τὸν δημιουργηθέντα κατέθετο, πρῶτον ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν αὐτόν, καὶ ἀπὸ τοῦ χοὸς σῶμα διαπλάσαι καταξιώσας, καὶ μετὰ ταῦτα τὸ κυριώτερον τὴν ψυχὴν τὴν ἀσώματον διὰ τοῦ ἐμφυσήματος χαρισάμενος, εἶτα τὸν παράδεισον γενέσθαι κελεύσας, καὶ ἐκεῖ αὐτὸν ἐνδιαιτᾶσθαι C προστάξας, μετὰ ταῦτα πάλιν καθάπερ πατὴρ φιλόστοργος παιδὶ νέῳ πολλῆς ἀδείας καὶ ἀνέσεως ἀπολαύοντι, ὥστε μὴ ἀποσκιρτῆσαι μικράν τινα καὶ σύμμετρον ἐπινοεῖ φροντίδα, οὕτω καὶ ὁ δεσπότης θεὸς τῷ Ἀδὰμ τὴν ἐργασίαν καὶ τὴν φυλακὴν προσέταξεν, ἵνα μετὰ τῆς τρυφῆς τῆς πολλῆς καὶ τῆς ἀδείας καὶ τῆς ἀνέσεως ἠρέμα πως ἔχῃ ταῦτα ἀμφότερα ἐγκόπτοντα αὐτοῦ τὴν εἰς τὸ πρόσω φοράν. ταῦτα μὲν οὖν τὰ ἤδη ὑπάρξαντα τῷ δημιουργηθέντι. τὰ δὲ ἑξῆς ἐπαγόμενα πάλιν, πολλὴν καὶ ὑπερβάλλουσαν ἡμῖν D ἐμφαίνει τὴν περὶ αὐτὸν φιλανθρωπίαν, τήν τε συγκατάβασιν ἣν διὰ τὴν οἰκείαν ἀγαθότητα ἐπιδείκνυται. τί γάρ φησιν ἡ γραφή, καὶ ἐνετείλατο κύριος ὁ θεὸς τὸν Ἀδάμ; ἰδοὺ πάλιν καὶ ἐνταῦθα τῇ αὐτῇ συνηθείᾳ ἐχρήσατο, ἵνα τῇ πυκνότητι τῶν λεγομένων ἀκριβῆ τὴν διδασκαλίαν δεξώμεθα, καὶ μηκέτι ἀνεχώμεθα τῶν τολμώντων ἀποκληροῦν τὰς τῶν ὀνομάτων προσηγορίας, καὶ τὴν μὲν τῷ πατρί, τὴν δὲ τῷ υἱῷ προσνέμειν. ἐπειδὴ γὰρ ἀμφοτέρων ἡ οὐσία μία, διὰ τοῦτο καὶ ἡ θεία γραφὴ ἀδιαφόρως ποτὲ μὲν τῷ πατρί, ποτὲ δὲ τῷ υἱῷ τὴν αὐτὴν προσηγορίαν εὑρίσκεται ἀποκληροῦσα. καὶ ἐνετείλατό φησι κύριος ὁ θεὸς τῷ Ἀδὰμ λέγων. ἄξιον ἐνταῦθα ἐκπλαγῆναι τὴν πάντα λόγον ὑπερβαίνουσαν τοῦ θεοῦ φιλανθρωπίαν,

A ἣν ἐνδείκνυται ἡμῖν διὰ τῆς βραχείας ταύτης λέξεως. Καὶ ἐνετείλατο φησι. Βλέπε ἐκ προοιμίων πόσῃ τιμῇ κέχρηται περὶ τὸν ἄνθρωπον. Οὐδὲ γὰρ εἶπε προσέταξεν ἢ ἐκέλευσεν, ἀλλὰ τί; ἐνετείλατο. Καθάπερ φίλος φίλῳ περί τινων ἀναγκαίων ἐντελλόμενος διαλέγεται, οὕτω καὶ ὁ θεὸς πρὸς τὸν Ἀδὰμ διατίθεται, μονονουχὶ διὰ τῆς τοσαύτης τιμῆς ἐπισπάσασθαι βουλόμενος αὐτὸν πρὸς τὴν ὑπακοὴν τῶν ἐντελλομένων ὑπ' αὐτοῦ. Καὶ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Ἀδὰμ λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ, ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, B θανάτῳ ἀποθανεῖσθε. Πολὺ τῆς ἐντολῆς τὸ ἀνεπαχθές. Ἀλλὰ δεινὸν ἀγαπητὲ ῥᾳθυμία· ὥσπερ γὰρ αὕτη καὶ τὰ εὔκολα δύσκολα ἡμῖν φαίνεσθαι ποιεῖ, οὕτως ἡ σπουδὴ καὶ ἡ ἀγρυπνία καὶ τὰ δύσκολα εὔκολα ἡμῖν ἀπεργάζεται. Τί γὰρ εἰπέ μοι τούτου ἀνεπαχθέστερον; τί ταύτης τῆς τιμῆς μεῖζον γένοιτ' ἄν; παρέχειν ἐνδιαιτᾶσθαι τῷ παραδείσῳ, τῷ κάλλει τέρπεσθαι τῶν ὁρωμένων, καὶ τὴν ὄψιν ἐκεῖθεν εὐφραίνειν, καὶ διὰ τῆς ἀπολαύσεως πολλὴν τὴν ἡδονὴν καρποῦσθαι. Ἐννόησον γὰρ ὅσον ἦν ὁρᾷν τὰ δένδρα τοῖς καρποῖς βεβριθότα, τὴν τῶν ἀνθῶν ποικιλίαν, C τὴν βοτανῶν τὴν διαφορὰν, τὴν φύλλων τὰς κόμας, τὰ ἄλλα ὅσα εἰκὸς ἐν τῷ παραδείσῳ τυγχάνειν, καὶ ἐν παραδείσῳ ὑπὸ τοῦ θεοῦ φυτευθέντι. Διὰ γὰρ τοῦτο προλαβοῦσα ἡ θεία γραφὴ εἶπεν, ὅτι ἐξανέτειλεν ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, ἵνα εἰδέναι ἔχωμεν ὅσης ἀφθονίας ἀπολαύων εἰς τὴν δοθεῖσαν αὐτῷ ἐντολὴν ἐξύβρισε διὰ πολλὴν ἀκρασίαν καὶ ῥᾳθυμίαν. Ἐννόησον γάρ μοι ἀγαπητὲ τῆς τιμῆς τὴν ὑπερβολὴν, ἧς αὐτὸν ἠξίωσεν, ἰδιάζουσαν καὶ ἀφωρισμένην αὐτῷ τράπεζαν τὴν ἐν τῷ παραδείσῳ δωρησάμενος, ἵνα μὴ νομίσῃ τὴν αὐτὴν τοῖς ἀλόγοις καὶ D αὐτῷ τροφὴν ὑπάρχειν, ἀλλ' ἔχῃ καθάπερ βασιλεὺς ἐνδιαιτώμενος τῇ τοῦ παραδείσου διαγωγῇ, ἐντρυφᾷν τῇ ἐκεῖθεν ἀπολαύσει, καὶ καθάπερ δεσπότης κεχωρισμένος τῶν εἰς ὑπηρεσίαν αὐτῷ παραχθέντων, καὶ ἀφωρισμένην ἔχῃ τὴν διαγωγήν. Καὶ ἐνετείλατό φησι κύριος ὁ θεὸς τῷ Ἀδὰμ λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε θανάτῳ ἀποθανεῖσθε· μονονουχὶ λέγων πρὸς αὐτὸν,

quæ omnem tranſcendit rationem, quam breui hoc verbo nobis exhibet. Et præcepit, inquit. Vide ſtatim ab initio, quanto honore hominem proſequitur. Neque enim dixit, imperauit, vel iuſſit: ſed quid? Præcepit. Sicut amicus amico de rebus neceſſariis præcipiens loquitur, ita & Deus erga Adamum afficitur, quaſi hoc honore ipſum ad obediendum his quæ à ſe præcipiebantur, attracturus. [16] *Et præcepit dominus Deus Adæ, dicens: De omni ligno quod eſt in paradiſo, comedendo comedes: de ligno autem ſciendi bonum & malum, non comedetis. Quocunque autem die comederitis ex eo, morte moriemini.* Magna huius præcepti facilitas eſt. Sed, dilecte, graue malum eſt deſidia, facítque vt facilia omnia, videantur difficilia: ſicut ſtudio & vigilantia, etiam omnia ardua & difficilia, facilia nobis fiunt. Quid enim, dic quæſo, hoc mandato facilius? quid hoc honore maius? Concedebat verſari in paradiſo; & viſibilium formoſitate oblectari, & aſpiciendo exhilarari, & fruendo magnam voluptatem percipere. Cogita quàm iucundum fuerit videre arbores fructibus oneratas, florum varietatem, herbarum diuerſitatem, foliorum comas, atque alia quæ veriſimile eſt in paradiſo eſſe, & in paradiſo à Deo plantato. Propter hoc enim ſuperius diuina ſcriptura dicit: Oririque fecit adhuc ex terra omne lignum pulchrum ad videndum, & bonum ad comedendum: vt ſcire poſſimus, quomodo fruens tanta vbertate, per magnam intemperantiam & negligentiam, datum ſibi mandatum præuaricatus ſit. Cogita obſecro honoris eminentiam qua illum proſecutus eſt, data illi menſa propria & ſegregata in paradiſo, vt ne putet eandem ſibi & iumentis inſtrui: ſed haberet quaſi rex, in paradiſo agens, deliciarum copiam, & quaſi dominus aliam quàm miniſtri habitationem ſortiretur. Et præcepit dominus Deus Adæ, dicens: Ex omni ligno quod eſt in paradiſo, comedens comedes: ex ligno autem ſciendi bonum & malum, nõ comedetis ex eo.

Præcepit, mãdauit.

Nam quocunque die comederitis, morte moriemini: Quaſi diceret ad illum: Num moleſtum aliquid & graue peto ex te? frui enim omnibus tibi permitto, vnum præcipio ne tetigeris. Et magnam pœnam decerno, vt vel timore coercitus, datum à me mandatum cuſtodias. Hæc faciebat, quaſi dominus aliquis liberalis, domum magnam alicui concredens, & vt dominium ſibi ſaluum maneat, paruam tantum pecuniam dãdam ab illo præſcribat. Sic ſanè & benignus noſter dominus, conceſſo omnium quæ in paradiſo ſunt fructu, ab vno tantùm ligno abſtinere iuſſit, vt ſcire poſſit, quòd ſit ſub domino, cui obedire debeat, & parêre ſi quid ille imperarit. Quis pro dignitate admirabitur communis omnium noſtris domini liberalitatem? Quum nullum adhuc bonitatis ſpecimen præ ſe ferret Adam, tanta à Deo beneficia accepit. Neque enim dimidiatam illi dedit rerum fruitionem, neque à pluribus abſtinere iuſſit, & cæteris frui: ſed participẽ omnium quæ ſunt in paradiſo eſſe voluit: ab vno ſolo ligno abſtinere præcepit, monſtrans re ipſa, nullius alterius gratia hoc ipſum ſe facere, quàm vt tantorum beneficiorum authorem agnoſcere poſſit. Et conſidera cum aliis etiam hîc bonitatem Dei, quanto honore etiam mulierem proſequitur, quæ ex illo formanda erat. Nõdum ea enim producta, quaſi vtrique mãdaret, dicebat: Ne comederitis ex eo: & quocunque die comederitis, morte moriemini: manifeſtans iam inde ab initio, quod vnum ſunt vir & mulier, ſicut & Paulus inquit: Caput mulieris vir: & propterea quaſi vtrique loquitur, vt poſthac formata ex viro muliere, occaſionem illi præbeat docendi illã ipſius præcepta. Iam ſcio quidem vulgatiſſimam eſſe de hoc ligno quæſtionem: & quòd multi temerè loquuntur, & culpam ab homine in Deum transferre nituntur, audéntque blaterare: Cuius rei gratia dedit mandatum, quod ſciebat hominem tranſgreſſurum? Et iterum: Quare iuſſit lignum fieri in medio paradiſi? Et multa alia. Sed ne nunc ante tempus præuaricationis videamur proſilire ad ea enarranda, operæprecium,

Epheſ. 5.23.

A μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς ἀπαιτῶ παρὰ σοῦ; πάντων τὴν ἀπόλαυσιν ἐπιτρέπω, ἑνὸς τούτου μόνον μὴ ἅψασθαι ἐντέλλομαι, ἀλλὰ καὶ τὸ ἐπιτίμιον μέγα ὁρίζω, ἵνα κἂν τῷ φόβῳ σωφρονιζόμενος, φυλάξῃς τὴν παρ' ἐμοῦ δοθεῖσαν ἐντολήν, τοῦτο ποιῶν, ὥσπερ ἂν εἴ τις δεσπότης φιλότιμος οἰκίαν μεγάλην τινὶ ἐμπιστεύσειε, καὶ ὑπὲρ τοῦ τὴν δεσποτείαν αὐτῷ ἀκέραιον μένειν βραχύ τι ἀργύριον τυπώσειε παρ' αὐτοῦ δίδοσθαι· οὕτω δὴ καὶ ὁ φιλάνθρωπος ἡμῶν δεσπότης πάντων τῶν ἐν τῷ παραδείσῳ τὴν ἀπόλαυσιν αὐτῷ χαρισάμενος, τοῦ ἑνὸς ξύλου μόνου ἀπέχεσθαι ἐκέλευσεν, ἵνα εἰδέναι B ἔχῃ, ὅτι ὑπὸ δεσπότην ἐστίν, ᾧ προσήκει αὐτὸν πείθεσθαι, καὶ τοῖς ὑπ' ἐκείνου προσταττομένοις εἴκειν. τίς ἂν κατ' ἀξίαν θαυμάσειε τοῦ κοινοῦ πάντων δεσπότου τὴν φιλοτιμίαν; οὐδὲν οὐδέπω ἐπιδειξάμενον πόσης ἀξιοῖ εὐεργεσίας; οὐδὲ γὰρ ἐξ ἡμισείας αὐτῷ τὴν ἀπόλαυσιν ἔδωκεν, οὐδὲ τῶν πλειόνων ἀπέχεσθαι ἐκέλευσεν, ἀλλὰ πάντων τῶν ἐν τῷ παραδείσῳ μετέχειν αὐτὸν βουληθεὶς τοῦ ἑνὸς ξύλου μόνου ἀπέχεσθαι προσέταξε, δεικνὺς διὰ τῶν πραγμάτων, ὅτι οὐδενὸς ἑτέρου ἕνεκεν τοῦτο πεποίηκεν, ἀλλ' ἵνα τὸν αἴτιον εἰδέναι ἔχῃ τῶν C τοσούτων εὐεργεσιῶν. καὶ σκόπει μετὰ τῶν ἄλλων καὶ ἐντεῦθεν τοῦ θεοῦ τὴν ἀγαθότητα, ὅσῃ τῇ τιμῇ κέχρηται περὶ τὴν μέλλουσαν ἐξ αὐτοῦ διαπλάττεσθαι γυναῖκα. οὐδέπω γὰρ αὐτῆς παραχθείσης ὡς πρὸς ἀμφοτέρους τὴν ἐντολὴν ποιεῖται λέγων, οὐ φάγεσθε ἀπ' αὐτοῦ, καὶ ᾗ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε, δηλῶν ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὅτι ἕν εἰσιν ἀνὴρ καὶ γυνή, καθὼς καὶ Παῦλός φησι· κεφαλὴ τῆς γυναικὸς ὁ ἀνήρ. διὰ τοῦτο τοίνυν ὡς πρὸς ἀμφοτέρους διαλέγεται, ἵνα μετὰ ταῦτα διαπλάσας ἐξ αὐτοῦ τὴν γυναῖκα ἀφορ-D μὰς αὐτῷ παράσχῃ τοῦ γνωρίσαι αὐτῇ τὰ πρὸς αὐτὸν ἐνταλθέντα. καὶ οἶδα μέν, ὅτι πολυθρύλλητόν ἐστι τὸ περὶ τοῦ ξύλου ζήτημα, καὶ ὅτι πολλοὶ τῶν ἀπερισκέπτως φθεγγομένων ἀπὸ τοῦ ἀνθρώπου ἐπὶ τὸν θεὸν τὴν αἰτίαν μετάγειν ἐπιχειροῦσι, καὶ λέγειν τολμῶσι· τίνος γὰρ ἕνεκεν ἐδίδου αὐτῷ τὴν ἐντολὴν εἰδώς, ὅτι παραβήσεται; καὶ πάλιν διὰ τί γὰρ τὸ ξύλον προσέταξε φύεσθαι ἐν τῷ παραδείσῳ; καὶ πολλὰ ἕτερα. ἀλλ' ἵνα μὴ νῦν πρὸ τοῦ καιροῦ τῆς παραβάσεως δόξωμεν προπηδᾶν εἰς τὴν περὶ τούτων ἐξήγησιν, ἀναγκαῖον ἀναμεῖναι,

καὶ ἡμᾶς τὴν τοῦ μακαρίου Μωυσέως διήγησιν, ἵν᾽ A
οὕτως εἰς τὸν τόπον ἀφικόμενοι εὐκαίρως, ἅπερ ἂν ἡ
τοῦ θεοῦ χάρις χορηγήσῃ, περὶ τούτου κινήσαντες
διδάξωμεν τὴν ὑμετέραν ἀγάπην τὸν ἀληθῆ τῆς
γραφῆς νοῦν· ἵν᾽ εἰδότες τὴν ἀλήθειαν τῶν γεγραμ-
μένων καὶ τὴν προσήκουσαν δοξολογίαν ἀναφέ-
ρητε τῷ δεσπότῃ, καὶ μὴ καταλιπόντες τὸν ἡμαρ-
τηκότα ἐπὶ τὸν ἀναίτιον θεὸν τὴν αἰτίαν μεταγά-
γητε. τέως δὲ ἐπὶ τοῦ παρόντος εἰ δοκεῖ τὰ ἑξῆς τοῦ
ἀναγνώσματος ἐπέλθωμεν. καὶ εἶπέ φησι κύριος
ὁ θεός, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον. ἰδοὺ πάλιν
ὁμοίως εἶπε καθάπερ καὶ πρότερον κύριος ὁ θεός,
ἵνα ἐμπήξαντες ἡμῶν τῇ διανοίᾳ τὰ λεγόμενα B
μὴ τὰ ἀπὸ τῶν ἀνθρωπίνων λογισμῶν τῆς θείας
γραφῆς κυριώτερα εἶναι νομίζωμεν. καὶ εἶπέ φησιν
ὁ θεός, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον. σκόπει πῶς
οὐχ ἵσταται ὁ ἀγαθὸς θεός, ἀλλ᾽ εὐεργεσίας εὐεργε-
σίαις προστίθησι καὶ πλουτῶν ἀγαθότητι, πάσῃ τι-
μῇ περιβαλεῖν βούλεται τὸ ζῶον τοῦτο λογικόν, καὶ
μετὰ τῆς τιμῆς καὶ εὐκολίαν αὐτῷ διαγωγῆς χα-
ρίσασθαι. εἶπε γάρ φησι κύριος ὁ θεός, οὐ καλὸν
εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν
κατ᾽ αὐτόν. ἰδοὺ πάλιν καὶ ἐνταῦθα τὸ ποιήσωμεν.
καθάπερ γὰρ ἐξ ἀρχῆς ἔλεγεν ἐπὶ τῆς τοῦ ἀνθρώ- C
που διαπλάσεως, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰ-
κόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν· οὕτω καὶ νῦν μέλ-
λων τὴν γυναῖκα διαπλάττειν τῷ αὐτῷ κέ-
χρηται ῥήματι, καί φησι ποιήσωμεν. πρὸς τίνα
διαλέγεται; οὐ πρὸς κτιστὴν δύναμιν, ἀλλὰ πρὸς
τὸν ἐξ αὐτοῦ γεννηθέντα, τὸν θαυμαστὸν σύμβουλον,
τὸν ἐξουσιαστήν, τὸν ἄρχοντα τῆς εἰρήνης, τὸν μο-
νογενῆ αὐτοῦ παῖδα. καὶ ἵνα μάθῃ ὁ Ἀδάμ, ὅτι
ὁμότιμον αὐτῷ τὸ ζῶον μέλλει εἶναι τὸ διαπλατ-
τόμενον, διὰ τοῦτο καθάπερ ἐπ᾽ αὐτοῦ ἔλεγε
ποιήσωμεν, οὕτω καὶ νῦν φησι, ποιήσωμεν αὐτῷ D
βοηθὸν κατ᾽ αὐτόν, ἀμφότερα πολλὴν ἔχει τὴν
δύναμιν καὶ τὸ βοηθὸν καὶ τὸ πρὸς κατ᾽ αὐτόν. οὐ
βούλομαί φησι μόνον αὐτὸν εἶναι, ἀλλ᾽ ἔχειν τινὰ πα-
ραμυθίαν ἐκ τῆς συνουσίας, καὶ οὐ τοῦτο μόνον,
ἀλλὰ καὶ κατάλληλον αὐτῷ βοηθὸν παραγαγεῖν
δεῖ τὴν γυναῖκα, αἰνιττόμενος διὰ τοῦτό φησι,
ποιήσωμεν αὐτῷ βοηθόν, καὶ προσέθηκε δὲ κατ᾽
αὐτόν, ἵν᾽ ὅταν ἴδῃς εὐθὺς τὰ θηρία παρα-
γινόμενα, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ,

A vt & nos expectemus beatum Moſem enarrantem: vt quum ad eum locum peruenerimus, tempeſtiuè, quæcunque Dei gratia dederit, de ea re dicentes, verum ſcripturæ ſenſum veſtram doceamus charitatem: quò ſcientes ſcripturarum veritatem, debitam Domino gloriam offeratis, nec eo qui peccauit omiſſo, culpam inculpatiſſimo Deo imputetis. Iam autem ſi libet de præſenti lectione, quod ſequitur proſequamur. *Et dixit dominus Deus: Non eſt bonum hominem eſſe ſolum.* Ecce iterum ſimiliter dixit, ſicut & prius, dominus Deus: vt
B bene figentes animo dicta, ne putemus diuina ſcriptura noſtras opiniones præſtantiores eſſe. *Dixitque dominus Deus: Non eſt bonum eſſe hominem ſolum.* Conſidera, quomodo non ceſſat bonus Deus, ſed beneficia beneficiis cumulat, & abundans bonitate omni honore circumdare vult animal hoc ratione præditum, vt non ſolùm honeſtè, ſed & commodè viuat. *Et dixit dominus Deus: Non eſt bonum hominem eſſe ſolum, faciamus illi adiutorem ſecundum*
C *illum.* Ecce iterum etiam hîc dicit, faciamus. Sicut enim in principio, cum de homine formando diceret, Faciamus hominem ſecundùm imaginem noſtram, & ſecundùm ſimilitudinem: ita & nunc mulierem formaturus, eodem verbo vtitur, & inquit: Faciamus. Cui hoc dicit? Non creatæ alicui potentiæ, ſed ei qui ex ſe natus eſt, conſiliario admirabili, potenti, principi pacis, vnigenito filio ſuo. Et vt ſciret Adam, quòd animal formandum æqualis cum ipſo dignitatis
D eſſet futurum: idcirco quemadmodum de ipſo dicebat, faciamus, ſic & nunc dicit: Faciamus illi adiutorem ſecundum illum, vtrumque multum habet ponderis, tum quum ait, adiutorium, tum quum addit, ſecundum illum. Nolo, inquit, illum ſolum eſſe, ſed habere ex contubernio conſolationem aliquam, neque hoc ſolum, ſed producendus erit adiutor ipſi congruus, mulierem inſinuans: & propterea cùm dixiſſet: Faciamus illi adiutorem, addidit, ſecundum illum: vt cùm videris ſtatim adduci beſtias, & omnia volatilia cœli,

ne putes de illis eſſe dictum. Nam licet adiuuent illum in laboribus ſuis multa irrationabilia animantia, nullum tamen par eſt rationali mulieri. Vnde ob hoc quum dixiſſet adiutorẽ ſecundum illum, ſubdit: [19] *Et formauit Deus adhuc de terra omnes beſtias agri, & omnia volatilia coeli, & duxit illa ad Adam, vt videret quid vocaret illa. Et omne quodcunque vocauit Adam animam viuentem, iſtucipſum eſt nomen illi.* Non temerè, neque abſque cauſa hoc factum eſt, ſed propter futura. Deus enim præſcius quid non multò pòſt euenturum eſſet oſtendit nobis quantam ſapientiam condito à ſe homini dedit, vt quum præuaricatio mandati à Deo dati contingat, non putetur per ignorantiam peccaſſe, ſed ſcire poſſis, quòd lapſus ille ex deſidia fuerit. Nam quòd magna ſapiẽtia præditus fuerit, diſce ex his quæ nunc fiunt. Et adduxit illa, inquit, ad Adam, vt videret quid vocaret illa. Fecit hoc Deus, demonſtraturus nobis magnam illius ſapientiam. Et iterum: Quod vocauit, inquit, Adam, hoc eſt nomen illi. Factum autem hoc eſt, non vt diſcamus illius ſapientiam ſolùm, ſed vt & ſymbolum dominij per nominum impoſitionem cognoſcatur. Nam & hominibus mos eſt hoc facere in ſignum dominij, vt cùm ſeruos emerint, ipſorum nomina mutent. Vnde & Adam inſtruit, vt hominibus brutis tanquam dominus nomina indat. Ne igitur hîc ſubitò prætereas dilecte quod dicitur: ſed cogita quantæ fuerit ſapiẽtiæ, volatilibus, reptilibus, feris, iumentis, & aliis brutis domeſticis, & agreſtibus, & in aqua vitam agentibus, & è terra productis, & in ſumma omnibus, propria & conuenientia ſuæ naturæ imponere nomina. Nam quodcunque vocauit Adam, inquit, hoc nomen eſt illi. Vidiſti conſummatam potentiam? vidiſti dominij authoritatem? Perpende cum aliis etiam hoc, quòd & leones, & pardi, & viperæ, & ſcorpij, & ſerpentes, & alia omnia etiam illis truculentiora, ad illum quaſi dominum omni cum ſubiectione acceſſerunt, & nomina acceperunt: nec vllum illorum veritus eſt Adam. Ne igitur arguat aliquis, quòd à Deo ſunt creata,

Adami ſapiẽtia.

A μὴ νομίσῃς περὶ τούτων εἰρῆσθαι. εἰ γὰρ καὶ συνεφάπτεται τῶν καμάτων αὐτοῦ πολλὰ τῶν ἀλόγων, ἀλλ᾽ οὐδὲν ἴσον τῆς λογικῆς γυναικός. διὰ τοῦτο εἶπε βοηθὸν κατ᾽ αὐτόν, καὶ ἐπήγαγε, καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά, καὶ πᾶν ὃ ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτοῦ. οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο γέγονεν, ἀλλὰ διὰ τὰ μέλλοντα μετ᾽ οὐ πολὺ συμβαίνειν, ἃ προειδὼς ὁ θεὸς δείκνυσιν ἡμῖν τὴν πολλὴν σοφίαν, ἣν κεχάρισται τῷ ὑπ᾽ αὐτοῦ δημιουργηθέντι, ἵν᾽ ὅταν

B τὰ τῆς παραβάσεως τῆς ἐντολῆς τῆς ὑπὸ τοῦ θεοῦ δοθείσης γένηται, μὴ νομίσῃς δι᾽ ἄγνοιαν αὐτὸν παραβεβηκέναι, ἀλλ᾽ εἰδέναι ἔχῃς, ὅτι ῥᾳθυμίας ἐστὶ τὸ σφάλμα. ὅτι γὰρ σοφίας πολλῆς ἐπεπλήρωτο, μάνθανε ἐκ τῶν νῦν γινομένων. καὶ ἤγαγεν αὐτά φησι πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά. ἀπόδειξιν ἡμῖν τῆς πολλῆς αὐτοῦ σοφίας παρέχειν βουλόμενος τοῦτο ποιεῖ, καὶ πάλιν. ὃ ἐκάλεσεν αὐτό φησιν Ἀδὰμ τοῦτο ὄνομα αὐτοῦ. οὐχ ἵνα δὲ τὴν σοφίαν αὐτοῦ μόνον καταμάθωμεν, τοῦτο γέγονεν· ἀλλ᾽ ἵνα καὶ τὸ σύμβολον τῆς δεσποτείας

C διὰ τῆς τῶν ὀνομάτων θέσεως ἐπιδείξηται. καὶ γὰρ καὶ τοῖς ἀνθρώποις ἔθος, τοῦτο ποιεῖσθαι σύμβολον δεσποτείας, ἐπειδὰν οἰκέτας ὠνήσωνται, μετατιθέναι αὐτῶν τὰς προσηγορίας. διὰ τοῦτο καὶ τὸν Ἀδὰμ παρασκευάζει καθάπερ δεσπότην πᾶσι τοῖς ἀλόγοις ἐπιθεῖναι τὰς προσηγορίας. μὴ γὰρ ἁπλῶς παραδράμῃς ἀγαπητὲ τὸ εἰρημένον. ἀλλ᾽ ἐννόησόν μοι πόσης ἦν σοφίας τοσούτοις γένεσι πετεινῶν, θηρίων, κτηνῶν καὶ τῶν ἄλλων ἀλόγων τῶν ἡμέρων, τῶν ἀγρίων, τῶν ἐν τοῖς ὕδασι διαιτωμένων τῶν ἐκ τῆς γῆς ἀναδοθέντων πᾶσι τούτοις ἐπιθεῖναι τὰς προσηγο-

D ρίας τὰς κυρίας, καὶ καταλλήλους ἑκάστῳ φύσει. πᾶν γάρ φησιν ὃ ἐκάλεσεν αὐτὸ Ἀδάμ, τοῦτο ὄνομα αὐτοῦ. εἶδες ἐξουσίαν ἀπηρτισμένην; εἶδες δεσποτείας αὐθεντείαν; λογίζου μετὰ τῶν ἄλλων καὶ τοῦτο, ὅτι καὶ λέοντες καὶ πάρδαλεις καὶ ἔχεις καὶ σκόρπιοι καὶ ὄφεις καὶ τὰ ἄλλα ἅπαντα τὰ τούτων θηριωδέστερα καθάπερ πρὸς δεσπότην μετὰ πάσης ὑποταγῆς παραγενόμενα τὰς προσηγορίας ἐδέξατο, καὶ οὐδὲν τῶν θηρίων τούτων ἐδεδοίκει ὁ Ἀδάμ. μὴ τοίνυν ἐπισκηπτέτω τις τοῖς γεγενημένοις παρὰ τοῦ δεσπότου,

A καὶ τὴν γλῶτταν ἀκονάτω κατὰ τοῦ δημιουργοῦ, μᾶλλον δὲ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς, καὶ λεγέτω τὰ ἀνόητα ἐκεῖνα ῥήματα· τίνος ἕνεκεν τὰ θηρία παρήχθη; ὅτι γὰρ ἅπαντα ὁμοίως τοῖς ἡμέροις τὴν δουλείαν ἐπεγίνωσκε, καὶ τὴν δεσποτείαν δείκνυσιν ἡμῖν ἀκριβῶς ἡ τῶν ὀνομάτων θέσις. αἱ γὰρ προσηγορίαι ἐκεῖναι ἃς ἔθετο αὐτοῖς μέχρι τοῦ παρόντος διαμένουσιν. οὕτως αὐτὰς ἐκύρωσεν ὁ θεὸς, ἵνα διηνεκῆ ὑπόμνησιν ἔχωμεν καὶ τῆς τιμῆς, ἣν ἐξ ἀρχῆς ἐδέξατο παρὰ τοῦ δεσπότου τοῦ πάντων τούτων τὴν ὑποταγὴν λαβὼν, B καὶ τῆς ἀφαιρέσεως αὐτῷ τὴν αἰτίαν ἐπιγράφωμεν διὰ τῆς ἁμαρτίας τὴν ἐξουσίαν ἀκρωτηριάσαντι. καὶ ἐκάλεσεν Ἀδὰμ φησὶν ὀνόματα πᾶσι τοῖς κτήνεσι καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς. ἐντεῦθεν ἤδη σκόπει μοι ἀγαπητὲ τῆς προαιρέσεως τὸ αὐτεξούσιον, καὶ τῆς συνέσεως αὐτοῦ τὴν ὑπερβολήν; καὶ μὴ λέγε ὅτι ἠγνόει τί μὲν καλὸν, τί δὲ κακόν. ὁ γὰρ δυνηθεὶς καταλλήλους προσηγορίας τοῖς κτήνεσιν ἐπιθεῖναι, καὶ τοῖς πετεινοῖς καὶ τοῖς θηρίοις, καὶ μὴ συγχέας τὴν τάξιν, μηδὲ τὰς μὲν τοῖς ἡμέροις ζώοις ἁρμοζούσας προσηγορίας τοῖς ἀγρίοις ἐπιθεῖναι, C μηδὲ τὰς τοῖς ἀγρίοις προσηκούσας τοῖς ἡμέροις ἀφορίσαι, ἀλλὰ πᾶσι τὰς καταλλήλους ὀνομασίας δοῦναι, πῶς οὐ πάσης σοφίας καὶ συνέσεως πεπλήρωτο; λογίζου ἐντεῦθεν λοιπὸν ὅση τοῦ ἐμφυσήματος ἐκείνου ἡ δύναμις, καὶ πόση τῆς ἀσωμάτου ψυχῆς ἡ σοφία, ἣν ὁ δεσπότης αὐτῷ κεχάρισται ζῶον τοιοῦτον τὸ θαυμαστὸν καὶ λογικὸν ἐκ δύο οὐσιῶν συστησάμενος, τὴν ἀσώματον οὐσίαν τῆς ψυχῆς συμπλέξας τῷ σώματι καθάπερ ὀργάνῳ τινὶ τεχνίτην ἄριστον. ὅταν οὖν ἐννοήσῃς τοῦ ζώου τούτου τὴν τοσαύτην σοφίαν, ἐκπλήττου τοῦ δημιουργή- D σαντος τὴν δύναμιν. εἰ γὰρ τοῦ οὐρανοῦ τὸ κάλλος ὁρώμενον τὸν εὐγνώμονα θεατὴν εἰς τὴν τοῦ δημιουργήσαντος παραπέμπει δοξολογίαν, πολλῷ μᾶλλον τὸ λογικὸν τοῦτο ζῶον ὁ ἄνθρωπος δυνήσεται τὰ κατὰ τὴν οἰκείαν διάπλασιν ἀναλογιζόμενος καὶ τῆς τιμῆς τῆς παρασχεθείσης αὐτῷ τὴν ὑπερβολὴν καὶ τῶν δωρεῶν τὰ μεγέθη καὶ τὰς ἀφάτους εὐεργεσίας διηνεκῶς ἀνυμνεῖν τὸν παραγαγόντα, καὶ τὴν κατὰ δύναμιν δοξολογίαν ἀναφέρειν τῷ δεσπότῃ. ἐβουλόμην (Ἠ[illegible]ιόν.) καὶ τοῖς ἑξῆς ἐπεξελθεῖν· ἀλλ' ἵνα μὴ τῷ πλήθει τῶν λεγομένων καταχώσωμεν τὴν μνήμην τῶν ἤδη λεχθέντων, ἀναγκαῖον ἐνταῦθα στῆσαι τὸν τῆς διδασκαλίας λόγον.

neque contra opificem linguam acuat, imò contra ſuum caput dicendo illa inutilia verba: Cuius gratia feræ productæ ſunt? Nam omnia perinde ac manſueta ſeruitutem agnouerunt & dominium: id quod monſtrat nobis manifeſtè nominum impoſitio. Nomina enim quæ impoſuit illis, vſque in hodiernum diem permanẽt. Ita enim hæc firmauit Deus, vt perpetuam habeamus memoriam, quem honorem initio, cùm adhuc obediens eſſet Adam, à domino omnium accepit, & ablati huius cauſam illi aſcribamus, qui peccato ſuo hanc ſuam poteſtatem mutilauit. Et donauit Adam nomina omnibus pecoribus, & omnibus volatilibus cœli, & omnibus beſtiis terræ. Hinc iam cōſidera voluntatis libertatem, & ſapientiæ eius eminentiam, & ne dicas, quòd ignorarit quid bonum, quid malum. (Libertas arbitrij.) Nam qui poteſt congruis nominibus iumenta appellare, & volatilia cœli, & alias beſtias, neque ordinem confundit, neque manſuetis animalibus conuenientia feris imponit, nec feris congruentia manſuetis attribuit, ſed omnibus ſua dat nomina, quomodo non omni ſapientia induſtria pollet? Expende tandem, quanta huius ſpiraculi in illo potentia, & quanta incorporeæ animæ ſapientia, quam Dominus illi dedit: quàm admirabile ſit rationabile animal hoc, ex duabus naturis conſtitutum, & incorporea animæ ſubſtantia, corpori quaſi optima artifex, inſtrumentó coniuncta. Igitur cùm tecum cogitabis tantam huius animalis ſapientiam, obſtupeſce & admirare opificis potentiam. Nam ſi cœli pulchritudo à cordato ſpectatore viſa, illum in conditoris glorificationem perducit: quantò magis rationale hoc animal, cùm ſuam formationem & gloriam à Deo ſibi datam, eminentiámque & magnitudinem donorum, & ineffabilia beneficia conſiderat, authorem horum continuis laudibus prædicare, & pro ſuis viribus glorificare Deum poterit? Vellem & de ſequentibus agere: ſed ne multitudine eorum quæ dicuntur, dictorum obruam memoriam, operæprecium fuerit ſermonem hoc loco claudere. (Moralis exhort.)

Neque enim hoc ſolum nobis curæ eſt, vt multa dicamus: ſed ideo dicimus, vt bene ea animis veſtris commendentur, nec ſolùm ſciantur quæ in diuinis ſcripturis continentur: ſed vt & aliis fiatis doctores, poſſitiſque & alios admonere. Hoc oro, vt omnes qui hinc egrediuntur, cum proximis de nunc dictis inter ſe mutuò conferant: & ita omnia colligentes, ac recenti memoria tenentes, domum concedite, apud vos ipſos ruminantes diuinas haſce doctrinas: vt huc omni cura veſtra conuerſa, ménteque in his occupata, poſſitis facilè & turbulentas animi affectiones vincere, & diaboli inſidias effugere. Nam cùm malus ille dæmon videt animam de diuinis rebus ſollicitam, & perpetuò illas verſantem, ne accedere quidem propius audet, ſed celeriter reſilit, à ſpiritus operatione, quaſi à ſuccenſo rogo abactus. Vt igitur & nobis plurimum ſit lucri, & illum vincere valeamus, & ſupernè nobis copioſior præſtetur gratia, his vacet animus noſter. Nam ita proſperabuntur in manibus noſtris omnia, & erunt facilia omnia quæ difficilia erant: & bonum exitum ſortientur, quæcunque contriſtabant, nec quicquam præſentium nos triſtitia afficere poterit. Quandoquidem ſi nobis curæ fuerint diuina, & ipſe quoque Deus pro nobis ſollicitus erit, & magna ſecuritate per pelagus huius vitæ nauigabimus, ac deducente nos magno illo gubernatore Deo ipſo, ad illius clementię portum appellemus. Cui gloria, & imperium, cum vnigenito eius filio & Deo, ſimúlque ſancto & viuifico illius ſpiritui, nunc, & ſemper, & in infinita ſecula ſeculorum. Amen.

A οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶν ἡμῖν τὸ σπουδαζόμενον ἁπλῶς πολλὰ εἰπεῖν· ἀλλὰ διὰ τοῦτο λέγομεν, ὥστε αὐτὰ διηνεκῶς ὑμᾶς ἔχειν ἐμπεπηγότα ταῖς διανοίαις ταῖς ὑμετέραις· ἵνα μὴ μόνον αὐτοὶ εἰδῆτε τὰ ἐν ταῖς θείαις γραφαῖς ἐγκείμενα· ἀλλὰ καὶ ἑτέροις διδάσκαλοι γίνησθε δυνάμενοι καὶ ἄλλους νουθετεῖν. ἕκαστος τοίνυν ὑμῶν παρακαλῶ ἐντεῦθεν ἐξιὼν μετὰ τοῦ πλησίον ἀναλαμβανέτω τῶν εἰρημένων τὴν μνήμην, καὶ τὰ παρ' ἑαυτοῦ εἰσφέρων δεχέσθω καὶ τὰ παρ' ἑτέρου μνημονευθέντα, καὶ οὕτω συλλέγοντες ἅπαντα, καὶ ἔναυλον αὐτῶν ἔχοντες τὴν μνήμην οἴκαδε ἀναχω- B ρεῖτε καὶ καθ' ἑαυτοὺς ἀναμαρυκώμενοι τὰ θεῖα ταῦτα διδάγματα· ἵνα ἐν τούτοις ἔχοντες τὴν μέριμναν ἅπασαν, καὶ ἀσχολοῦντες ὑμῶν τὴν διάνοιαν, δύνησθε μετ' εὐκολίας περιγίνεσθαι καὶ τῶν παθῶν τῶν ἐνοχλούντων, καὶ τὰς τοῦ διαβόλου μηχανὰς διαφυγεῖν. ἔνθα γὰρ ἂν ἴδῃ ὁ πονηρὸς δαίμων ἐκεῖνος ψυχὴν τὰ τοῦ θεοῦ μεριμνῶσαν, καὶ διηνεκῶς ἐκεῖνα φανταζομένην, καὶ ταῦτα περιστρέφουσαν, οὐδὲ προσεγγίσαι τολμᾷ, ἀλλὰ ταχέως ἀποπηδᾷ καθάπερ ἀπὸ πυρός τινος ὑπὸ τῆς τοῦ πνεύματος ἐνεργείας φυγαδευόμενος. ἵν' C οὖν καὶ αὐτοὶ τὰ μέγιστα κερδαίνωμεν, κἀκείνου περιγίνεσθαι δυνηθῶμεν, καὶ τὴν παρὰ θεοῦ ῥοπὴν μειζόνως ἐπισπασώμεθα, ἐν τούτοις ἀσχολῶμεν ἡμῶν τὴν διάνοιαν. οὕτω γὰρ ἡμῖν καὶ τὰ ἐν χερσὶ πάντα ἐξευμαρισθήσεται, καὶ τὰ δύσκολα εὔκολα γενήσεται, καὶ τὰ δοκοῦντα εἶναι λυπηρὰ χρηστὸν λήψεται τέλος, καὶ οὐδὲν ἡμᾶς τῶν παρόντων λυπῆσαι δυνήσεται. ἐὰν γὰρ τὰ τοῦ θεοῦ μεριμνῶμεν, τὰ ἡμέτερα αὐτὸς μεριμνήσει, καὶ μετὰ πολλῆς ἀδείας τὸ πέλαγος τοῦ παρόντος βίου διαπλευσόμεθα, καὶ ὑπὸ τοῦ μεγάλου κυβερνήτου τοῦ ἐπὶ πάντων θεοῦ ὁδηγούμενοι καταντήσομεν εἰς τὸν λι- D μένα τῆς τούτου φιλανθρωπίας, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

Ὁμιλία ιε.

Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ, καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ καὶ ὕπνωσε, καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς, καὶ ᾠκοδόμησε κύριος ὁ θεὸς τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα.

Πολλὰς ὑμῖν ἔχω χάριτας, ὅτι μετὰ πολλῆς τῆς προθυμίας χθὲς ἐδέξασθε τὴν παρ' ἡμῶν παραίνεσιν, καὶ πρὸς τὸ μῆκος τῶν εἰρημένων οὐ μόνον οὐκ ἐδυσχεράνατε, ἀλλὰ καὶ μέχρι τοῦ τέλους οὕτω παρηκολουθήσατε, ὡς ἀκμάζοντα ὑμῖν ἐναπομεῖναι τὸν τῆς ἀκροάσεως πόθον· ὅθεν καὶ χρηστὰς ἡμῖν τὰς ἐλπίδας ὑπεφήνατε, ὡς διὰ τῶν ἔργων ἐπιδειξάμενοι τὰ τῆς ἡμετέρας συμβουλῆς. ὁ γὰρ μετὰ τοσαύτης ἡδονῆς ἀκούων δῆλος ἂν εἴη καὶ πρὸς τὴν διὰ τῶν ἔργων πρᾶξιν παρεσκευασμένος, ἄλλως δὲ καὶ ἡ νῦν ὑμῶν συνδρομὴ τεκμήριον ἂν γένοιτο τῆς κατὰ ψυχὴν ὑμῶν ὑγιείας. ὥσπερ γὰρ τὸ πεινῆν σωματικῆς εὐεξίας σημεῖόν ἐστιν· οὕτω τὸ λογίων θείων ἐρᾶν ψυχικῆς ὑγιείας τεκμήριον ἂν γένοιτο μέγιστον. ἐπεὶ οὖν ὁ καρπὸς τῆς ὑμετέρας σπουδῆς δείκνυσι τῆς ὑπακοῆς τὴν ἐκπλήρωσιν· φέρε καὶ ἡμεῖς τὸν μισθὸν, ὃν ὑπεσχόμεθα χθὲς, καταβάλωμεν ὑμῶν τῇ ἀγάπῃ, τὴν πνευματικὴν ταύτην λέγω διδασκαλίαν, τὸν μισθὸν καί μοι τῷ καταβάλλοντι δυνάμενον αὐξῆσαι τὴν περιουσίαν, καὶ ὑμᾶς τοὺς ὑποδεχομένους πλουσίους ἀπεργαζόμενον. τοιαῦτα γὰρ ἅπαντα τὰ πνευματικά, ὅπερ ἐπὶ τῶν αἰσθητῶν πραγμάτων οὐκ ἔνι. ἐκεῖ μὲν γὰρ ὁ καταβαλὼν ἠλάττωσεν αὐτοῦ τὴν περιουσίαν, καὶ τὸν ὑποδεξάμενον εὐπορώτερον κατέστησεν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ ὁ καταβαλὼν ταύτῃ μᾶλλον τὸν οἰκεῖον πλοῦτον αὔξει, καὶ τοῖς ὑποδεχομένοις μείζων ἡ περιουσία γίνεται. ἐπεὶ οὖν καὶ ἡμεῖς ἕτοιμοι πρὸς εὐγνωμοσύνην, καὶ ὑμεῖς οἱ ὑποδέχεσθαι μέλλοντες τὸν πλοῦτον τοῦτον τὸν πνευματικὸν εὐτρεπισμένους ἔχετε τοὺς κόλπους τῆς διανοίας· φέρε τὴν ὑπόσχεσιν πληρώσωμεν, καὶ τῆς ἀκολουθίας πάλιν τῶν παρὰ τοῦ μακαρίου Μωυσέως ἀνεγνωσμένων ἁψάμενοι ἐντεῦθεν ὑμῖν τὸν μισθὸν καταβάλωμεν. τίνα οὖν ἐστι τὰ σήμερον ἀνεγνωσμένα, ἀναγκαῖον εἰς μέσον προθεῖναι

HOMILIA XV.

Adæ verò non inuentus eſt adiutor ſimilis illi. Et immiſit Deus exceſſum in Adam, & dormiuit, & accepit vnam coſtarum eius, & impleuit carnem pro illa. Et ædificauit Deus coſtam, quam accepit de Adam in mulierem. Gen. 2. 20.

MAGNAM vobis habeo gratiã, quòd tanta alacritate heſternam meam accepiſtis admonitionem, & dictorum prolixitate non ſolum non eſtis B offenſi, ſed & eodem rigoris tenore perpetuum audiendi deſiderium vſque ad finem ſeruaſtis: vnde in magna expectatione ſumus, quòd & opera ipſa, quæ à nobis conſulta ſunt, facturi ſitis. Nam qui tanta voluptate audit, declarat ad opera quoque facienda ſe paratum. (Amor verbi diuini.) Alioqui creber etiam nunc iſte veſter conuentus, certum argumentum eſt quàm bene valeatis anima. Nam ſicut eſurire, ſignum eſt bonæ valetudinis corporalis: C ita amare diuina eloquia, ſpiritualis ſanitatis indicium fuerit maximum. Quoniam autem fructus veſtri ſtudij pollicetur, quod & obediendo adimpleturi ſitis: agè & nos mercedem quam heri pollicebamur, hodie veſtræ chariritati dinumerabimus. Spiritualem doctrinam mercedem dico, quæ poteſt & meam augere ſubſtantiam cùm dinumerauero, & vos qui recipitis, ditiores efficere. Hoc enim modo ſe habent ſpiritualia omnia. Id quod in rebus ſenſibilibus non eſt. D Nam in illis ij qui dinumerant pecuniam, ſuam imminuunt ſubſtantiam, & locupletiores fiunt qui recipiunt: hîc autem non ſic: ſed & is qui dinumerat, ſuas facultates magis auget, & recipientium diuitiis multum accedit. Itaque cùm & nobis prompta ſit beneuolentia, & vos ſpirituales illas opes ſuſcepturi, ſinus mentis habeatis capaces: agè præſtemus quod recepimus, & iterum in manus acceptis his quæ ex contextu beati Moſis lecta ſunt, inde vobis mercedem dinumeremus. Quæ igitur ſunt, quæ hodie lecta in medium afferri debẽt,

vt theſauros ſenſuum in verbis latentes, diligenter quæſitos, charitati veſtræ proponamus? Audiſtis enim modo ſcripturam dicentem, *Adæ verò non inuentus eſt adiutor ſimilis illi.* Quid vult breuis hæc dictio, Adæ verò? quare apponit coniunctionem? an non ſufficiebat dicere, Adæ? Non abſque ratione, neq; curioſitatis gratia inquirendi talia nobis ſtudium eſt: ſed vt diligenter omnia vobis interpretantes, doceamus vos, neque dictionem paruam, neque ſyllabam vnam in diuinis litteris contentam, eſſe prætereundam. Non enim verba qualiacunque ſunt, ſed & Spiritus ſancti verba: & propterea magnum in his theſaurum inuenire licet, etiam in vna dictione. Auſcultate igitur obſecro magna diligentia, nullus deſes, nullus ſomniculoſus ſit, omnes vigili animo adeſte. Nullus externis occupationibus mentem diſtrahat, nullum ſeculares curæ ſibi vindicent: ſed cogitet vnuſquiſque ſpiritualis huius congregationis dignitatem, & quòd ea quæ audiuimus, Deus per prophetarum linguas nobis loquitur: atque ſic arrectas ſimul mētem & aures adhibeat, ne aliquid eorum quæ ſeminamus, in petram cadat, vel ſecus viam, vel inter ſpinas, ſed omne ſemen in terram bonam, latitudinem dico mentis veſtræ, proiectum, largum vobis fructum afferre queat, & à nobis cōcredita multiplicet. Cæterùm videamus quid ſibi velit huius coniunctionis copula, Adæ verò non inueniebatur adiutor ſimilis illi. Vide obſecro diuinæ ſcripturæ accuratam diligentiam. Nam poſtquā dixit, Adæ verò non inuentus eſt adiutor: non ibi ſubſtitit, ſed adiecit, ſimilis illi: additamento illo cauſam nobis declarans, ob quam coniunctionis copulam addiderit. Exiſtimo acutiores coniectare poſſe, & præuidere quid dicturi ſimus: verùm quia noſtri officij eſt, quoniam communem omnibus doctrinam proferimus, omnibus etiam manifeſta facere quæ à nobis dicuntur: age doceamus vos cuius gratia ſic dixerit, ſed parumper ſuſtinete. Nam poſtquam in ſuperioribus dictis, ſicut memores eſtis, ſcriptura diuina dixiſſet,

A ἵν' οὕτω μετ' ἀκριβείας διερευνώμενοι τὸν τοῖς ῥήμασιν ἐναποκεκρυμμένον πλοῦτον τῶν νοημάτων προθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης· ἠκούσατε γὰρ ἀρτίως τῆς θείας γραφῆς λεγούσης. τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. τί βούλεται ἡ βραχεῖα αὕτη λέξις, τῷ δὲ Ἀδάμ; τίνος ἕνεκεν προσέθηκε τὸν σύνδεσμον; οὐ γὰρ ἤρκει εἰπεῖν τῷ Ἀδάμ; οὐχ ἁπλῶς ταῦτα διερευνᾶσθαι σπουδάζομεν φιλοτιμίας ἕνεκεν περιττῆς· ἀλλ' ἵνα μετ' ἀκριβείας ὑμῖν ἅπαντα ἑρμηνεύοντες παιδεύσωμεν ὑμᾶς μηδὲ βραχεῖαν λέξιν, μηδὲ συλλαβὴν μίαν παρατρέχειν τῶν ἐν ταῖς θείαις
B γραφαῖς κειμένων. οὐ γὰρ ῥήματά ἐστιν ἁπλῶς, ἀλλὰ τοῦ πνεύματος τοῦ ἁγίου ῥήματα, καὶ διὰ τοῦτο πολλὴν ἔστι τὸν θησαυρὸν εὑρεῖν καὶ ἐν μιᾷ συλλαβῇ. προσέχετε οὖν παρακαλῶ μετ' ἀκριβείας, μηδεὶς νωθὴς, μηδεὶς ὑπνηλὸς, πάντες διεγηγερμένην μοι τὴν διάνοιαν παρέχετε· μηδεὶς ἔξω ῥεμβέσθω τὸν λογισμὸν, μηδὲ φροντίδας βιωτικὰς ἐπισυρόμενος ἐνταῦθα ἑστηκέτω· ἀλλ' ἐννοῶν τῆς πνευματικῆς ταύτης συνόδου τὸ ἀξίωμα, καὶ ὅτι διὰ τῆς τῶν προφητῶν γλώττης τοῦ θεοῦ πρὸς ἡμᾶς διαλεγομένου ἀκούομεν, οὕτω τὴν ἀκοὴν
C προσεχέτω, καὶ συντεταμένον ἐχέτω τὸν νοῦν· ἵνα μηδὲν τῶν παρ' ἡμῶν καταβαλλομένων σπερμάτων εἰς πέτραν κατενεχθῇ, ἢ παρὰ τὴν ὁδὸν ἢ παρὰ τὰς ἀκάνθας, ἀλλ' ὁλόκληρον τὸ σπέρμα εἰς τὴν γῆν τὴν καλὴν καταβληθὲν, τὸ πλάτος λέγω τῆς διανοίας τῆς ὑμετέρας, δαψιλῆ τὸν καρπὸν ὑμῖν ἐνέγκαι δυνηθῇ, καὶ πολυπλασιάσῃ τὰ παρ' ἡμῶν καταβαλλόμενα. ἀλλ' ἴδωμεν λοιπὸν τί βούλεται ἡμῖν αὕτη ἡ τοῦ συνδέσμου συμπλοκὴ, τῷ δὲ Ἀδάμ φησιν οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. θέα μοι τῆς γραφῆς τὴν ἀκρίβειαν. εἰποῦσα, τῷ δὲ
D Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν ὅμοιος αὐτῷ, τῇ προσθήκῃ ταύτῃ παραδηλοῦσα ἡμῖν τὴν αἰτίαν, δι' ἣν τοῦ συνδέσμου τὴν συμπλοκὴν ἐποιήσατο. οἶμαι λοιπὸν τοὺς ὀξύτερον ἐπιβάλλειν δυναμένους ἤδη προορᾶν τὸ μέλλον ὑφ' ἡμῶν ῥηθήσεσθαι. ἀλλ' ἐπειδὴ προσήκει ἡμᾶς κοινὴν πρὸς ἅπαντας ποιουμένους τὴν διδασκαλίαν πᾶσι σαφῆ ποιεῖν τὰ παρ' ἡμῶν λεγόμενα, φέρε διδάξωμεν ὑμᾶς τίνος ἕνεκεν οὕτως εἴρηκεν. ἀλλὰ μικρὸν ἀνάσχεσθε. ἐπειδὴ γὰρ ἐν τοῖς πρώην ῥηθεῖσι, καθάπερ μνημονεύετε, εἰποῦσα ἡ θεία γραφή,

ὅτι ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν, εὐθέως ἐδί- A
δαξεν ἡμᾶς τὴν τῶν θηρίων, καὶ τῶν ἑρπετῶν καὶ τῶν
ἀλόγων ἁπάντων δημιουργίαν· φησὶ γάρ· καὶ ἔπλα-
σεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία, καὶ τὰ πε-
τεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ
ἰδεῖν τί καλέσει αὐτά. καὶ καθάπερ δεσπότης πᾶσιν
ἐπέθηκε τὰ ὀνόματα, καὶ τὴν οἰκείαν προσηγορίαν
ἑκάστῳ γένει τῶν θηρίων, καὶ τῶν πετεινῶν καὶ πάντων
τῶν ἀλόγων κατὰ τὴν παρασχεθεῖσαν αὐτῷ σοφίαν
ἀπένειμεν· ἵνα εἰδέναι ἔχωμεν λοιπὸν ὅτι ἐκεῖνα μὲν
ἅπαντα τὰ γενόμενα εἰ καὶ ὑπηρεσίαν τινὰ
πληροῖ, καὶ συνεφάπτεται τῶν καμάτων αὐτῷ· ἀλλ'
ὅμως ἄλογά ἐστι, καὶ πολλῷ τῷ μέτρῳ λειπόμενα τοῦ B
ἀνθρώπου. καὶ ἵνα μὴ νομίζωμεν ὅτι περὶ τούτων
εἶπε, ποιήσωμεν αὐτῷ βοηθόν· εἰ γὰρ καὶ βοηθεῖ καὶ πρὸς
πολλὰ χρήσιμα καθέστηκε τῇ τοῦ ἀνθρώπου ὑπη-
ρεσίᾳ, ἀλλ' ὅμως ἄλογά ἐστιν. ὅτι μὲν γὰρ βοηθεῖ,
δείκνυσιν αὐτὴ ἡ πεῖρα τῶν πραγμάτων. καὶ γὰρ τὰ
μὲν πρὸς τὴν τῶν ἀναγκαίων μετακομιδὴν ἡμῖν
ἐστὶν ἐπιτήδεια, τὰ δὲ πρὸς τὴν τῆς γῆς ἐργασίαν.
βοῦς μὲν γὰρ ἄροτρον ἕλκει, καὶ αὔλακας ἀνατέμνει,
καὶ πολλὴν ἑτέραν χρείαν πρὸς τὴν γεωργίαν ἡμῖν
εἰσφέρει. ὄνος δὲ πάλιν πρὸς τὴν τῶν ἀναγκαίων
μετακομιδὴν πολλὴν παρέχει τὴν χρείαν, καὶ ἕτε- C
ρα δὲ πολλὰ τῶν ἀλόγων ἡμῖν ὑπηρετεῖται πρὸς
τὰς τοῦ σώματος χρείας. καὶ γὰρ τὰ πρόβατα τὴν ἐκ
τοῦ ἐρίου ἡμῖν χρείαν παρέχει πρὸς τὴν τῶν ἐνδυ-
μάτων κατασκευήν, καὶ αἱ αἶγες πάλιν ὡσαύτως
καὶ τὴν ἀπὸ τῶν τριχῶν ἡμῖν λειτουργίαν εἰσφέ-
ρουσι, καὶ τὴν ἀπὸ τοῦ γάλακτος, καὶ ἕτερα ἡμῖν
ἐπιτήδεια πρὸς τροφήν. ἵν' οὖν μὴ περὶ τούτων
εἰπεῖν νομίσῃς τῶν ἀνωτέρω εἰρημένων, ὅτι ποιήσω-
μεν αὐτῷ βοηθόν, διὰ τοῦτο νῦν ἀρχόμενος τοῦ λό-
γου φησί, τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος
αὐτῷ, μονονουχὶ διδάσκων ἡμᾶς ὁ μακάριος Μωϋ- D
σῆς, καὶ ταῦτα λέγων τὰ ῥήματα, ὅτι ταῦτα μὲν
ἅπαντα παρήχθη, καὶ τὰς τῶν ὀνομάτων προση-
γορίας ἔλαβε παρὰ τοῦ Ἀδάμ, ἀλλ' ὅμως οὐδὲν
ἄξιον τούτων αὐτοῦ πρὸς τὴν βοήθειαν εὑρέθη. διὸ
βούλεται ἡμᾶς διδάξαι τοῦ μέλλοντος ζώου παρά-
γεσθαι τὴν διάπλασιν, καὶ ὅτι τοῦτο ὃ μέλλον δη-
μιουργεῖσθαι ζῶον τοῦτό ἐστι περὶ οὗ ἔλεγε, ποιήσω-
μεν αὐτῷ βοηθὸν κατ' αὐτόν, ὅμοιον αὐτῷ φησι, τῆς
αὐτῆς αὐτῷ οὐσίας, ἄξιον αὐτοῦ, μηδὲν αὐτοῦ λειπό-
μενον· διὰ τοῦτο ἔλεγε, τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοη-
θὸς ὅμοιος αὐτῷ· δεικνὺς ἡμῖν ὁ μακάριος οὗτος

Faciamus illi adiutorem ſecundum eum: ſtatim docuit nos beſtiarum, & reptilium, & brutorum omnium formationem: inquit enim, Et formauit Deus adhuc de terra omnes beſtias, & volucres cœli, & duxit illa ad Adam, vt videret quid vocaret illa. Et quemadmodum dominus omnibus impoſuit nomina, & vnicuique beſtiarum, & volucrum, & brutorum omni generi, ſuum vocabulum iuxta conceſſam ſibi ſapientiam diſtribuit: vt ſcire poſſemus, quòd omnes illæ creaturæ, licet homini miniſtrent, & nos adiuuent cooperando nobiſcum, irrationabiles tamen ſunt, & homine longè inferiores. Vnde ne putemus illum de illis dixiſſe, faciamus illi adiutorem. Nam licet adiuuent, & in multis miniſterio ſuo ſeruiant, ratione tamen carent. Sanè quòd iuuent nos animalia illa, rerum docet experientia: alia enim vtilia ſunt ad conuehenda neceſſaria, alia ad colendam terram. Quandoquidem bos aratrum trahit, ſulcos ſecat, & varia agriculturæ opera exercet. Aſinus autem ad conuehenda neceſſaria vtilis eſt, & pleraque animalia alia corporis noſtri vſui ſeruiunt. Etenim oues lanam ad parandas veſtes præbent, & capræ ex ſuis pilis aliquid noſtro miniſterio afferunt, lacteque & alio quoque modo nos paſcunt. Proinde ne exiſtimes, quod ſuprà dicit, Faciamus illi adiutorem, de illis dictum: ideo nunc ſermonem incipiens, inquit, Adæ verò non inuentus eſt adiutor ſimilis ei. Quaſi doceret nos beatus Moſes, & hæc diceret verba: hæc omnia quidem producta ſunt, & ab Adam ſua acceperunt nomina, nihil tamen ex his omnibus dignum fuit inuentum illius adiutorio. Ideo volens nos docere producendi animalis formationem, & quòd animal hoc producendum, iſtucipſum ſit de quo dicebat, Faciamus illi adiutorem ſecundum illum: id eſt, ſimilem illi inquit, hoc eſt, eiuſdem ſubſtantiæ, ipſo dignum, id eſt, ipſo nihil inferiorem & hanc ob rem dicebat, Adæ verò non inueniebatur adiutor ſimilis illi: monſtrans nobis beatus ille,

quòd quantumcunque nobis miniſterium exhibent hæc bruta, aliud tamen quoddam adiutorium eſt multis numeris excellentius, quod à muliere Adæ præſtatur. Itaque omnibus animalibus iam productis, & ſuum nomen ab homine primigenio ſortitis, benignus Deus ſimilem illi adiutorem vt produceret inquirebat. Qui omnia propter hominem à ſe formatum diſpenſat, & propter hũc omnem viſibilem creaturam produxit, is cum aliis omnibus & mulierem format. Et vide quàm diligenter formationem nos doceat. Nàm poſtquam nos docuit, quòd vellet producere illi adiutorium ſimile ipſi: nam ſuperius dixerat, Faciamus illi adiutorium ſecundum illum: & hìc inquit, Non inueniebatur adiutor ſimilis illi: eam ob cauſam ex illius ſubſtantia ipſam format, & inquit, *Et immiſit dominus Deus exceſſum in Adam, & dormiuit: & accepit vnam coſtarum illius, & impleuit carnem pro illa. AEdificauítque dominus Deus coſtàm, quam accepit de Adam, in mulierem, & duxit illam ad Adam.* Magna verborum vis eſt, & omnem humanum captum tranſcendens. Non enim aliter poſſunt hæc magna intelligi, quàm fidei oculis conſpecta. Et immiſit Deus exceſſum in Adam, & dormiuit. Vide quàm accurata ſit & eximia doctrina: vtraque poſuit beatus ille propheta, imò Spiritus ſanctus per illius linguam, docens nos factorum ſeriem. Immiſit, inquit, exceſſum in Adam, & dormiuit. Quod tunc fiebat, neque exceſſus ſolus erat, neque ſomnus ſolitus: ſed quia ſapiens & potens noſtræ naturæ opifex, vnam ex coſtis illius ablaturus erat: vt ne ſentiendo dolorem, mulieri ex ſe formatæ poſtea doloris memor inſeſus fieret: eapropter immiſſo exceſſu, tanto illũ ſomno oppreſſit, vt quaſi grauedine quadã correptus, nullũ rei quę fiebat ſenſũ caperet: ſed ſicut optimus artifex auferret ꝙ ſibi videbatur: & ſuppleret vbi quid deerat, & ꝙ inde ſũpſerat, iuxta ſuam formaret clementiã. Immiſit, inquit, exceſſum in Adã, & dormiuit: accepitque vnam coſtarum illius, & impleuit carnẽ pro illa:

A ὅτι ὅσην ἂν παρέχηται χρείαν ἡμῖν πρὸς ὑπηρεσίαν ταυτὶ τὰ ἄλογα, ἑτέρα τίς ἐστι βοήθεια καὶ πολλῷ τῷ μέτρῳ ὑπερακοντίζουσα τῷ Ἀδὰμ παρεχομένη παρὰ τῆς γυναικός. ἐπεὶ οὖν πάντων παραχθέντων τῶν ζώων καὶ τὰς προσηγορίας δεξαμένων παρὰ τοῦ πρωτοπλάστου ἐπεζήτει τὸν ὅμοιον αὐτῷ βοηθὸν ὁ φιλάνθρωπος δεσπότης παραγαγεῖν, ὁ πάντα διὰ τὸν δημιουργηθέντα ὑπ' αὐτοῦ οἰκονομῶν, καὶ πᾶσαν τὴν κτίσιν ταύτην τὴν ὁρωμένην διὰ τοῦτον παραγαγὼν μετὰ τῶν ἄλλων ἁπάντων καὶ τὴν γυναῖκα δημιουργεῖ. καὶ ὅρα πῶς μετὰ ἀκριβείας ἡμᾶς διδάσκει καὶ τῆς δημιουργίας αὐτῆς τὴν διάπλασιν. ἐπειδὴ γὰρ ἐδίδαξεν B ἡμᾶς, ὅτι βούλεται βοηθὸν αὐτῷ παραγαγεῖν ὅμοιον αὐτῷ· καὶ γὰρ ἀνωτέρω ἔλεγε, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν, καὶ ἐνταῦθά φησιν οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ· διὰ τοῦτο ἐκ τῆς οὐσίας αὐτοῦ ταύτης τὴν διάπλασιν ἐργάζεται, καί φησι· καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ καὶ ὕπνωσε, καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς, καὶ ᾠκοδόμησε κύριος ὁ θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ. μεγάλη τῶν εἰρημένων ἡ δύναμις, καὶ πάντα λογισμὸν ἀνθρώπινον ὑπερβαίνουσα. C οὐδὲ γὰρ δυνατὸν ἑτέρως τούτων συνιέναι τὸ μέγεθος μὴ τοῖς τῆς πίστεως ὀφθαλμοῖς ἅπαντα κατοπτεύοντα. καὶ ἐπέβαλεν ὁ θεός φησιν ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσεν. ὅρα τὴν ἀκρίβειαν τῆς διδασκαλίας. ἀμφότερα τέθεικεν ὁ μακάριος οὗτος προφήτης, μᾶλλον δὲ τὸ πνεῦμα τὸ ἅγιον διὰ τῆς τούτου γλώττης, καὶ παιδεῦον ἡμᾶς τῶν γεγενημένων τὴν ἀκολουθίαν. ἐπέβαλέ φησιν ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ καὶ ὕπνωσεν. οὔτε ἔκστασις μόνον ἦν τὸ σύμπαν, οὐδὲ ὕπνος ὁ συνήθης. ἀλλ' ἐπειδὴ ὁ σοφὸς καὶ εὐμήχανος τῆς ἡμετέρας φύσεως δημιουργὸς ἔμελλεν ἐκ τῆς πλευρᾶς D αὐτοῦ μίαν ἀφαιρεῖσθαι, ἵνα μὴ ἡ αἴσθησις ὀδύνην αὐτῷ ἐργάσηται, καὶ μετὰ ταῦτα πρὸς τὴν ἐξ ἐκείνης τῆς πλευρᾶς διαπλαττομένην ἀπεχθῶς ἔχῃ διακεῖσθαι, καὶ μισήσῃ τὸ πλαττόμενον ζῶον τῆς ὀδύνης μεμνημένος, διὰ τοῦτο τοσοῦτον αὐτῷ ὕπνον ἐπήγαγεν ἔκστασιν ἐπιβαλών, καὶ ὥσπερ κάρῳ τινὶ κατενεχθῆναι παρασκευάσας, ἵνα μηδεμίαν αἴσθησιν δέξηται τῶν γινομένων, ἀλλὰ καθάπερ τεχνίτης ἄριστος καὶ ἀφέληται τὸ δοκοῦν, καὶ ἀναπληρώσῃ τὸ λεῖπον, καὶ οὕτω τὸ ληφθὲν δημιουργήσῃ κατὰ τὴν οἰκείαν φιλανθρωπίαν. ἐπέβαλε γάρ φησιν ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ καὶ ὕπνωσε, καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς

A ἵνα μὴ ἔχῃ μετὰ τὴν τοῦ ὕπνου ἀπαλλαγὴν ἐκ τοῦ λείποντος αἰσθάνεσθαι τοῦ γεγενημένου. εἰ γὰρ καὶ ἐν τῷ τῆς ἀφαιρέσεως καιρῷ ἠγνόησεν, ἀλλ' ὅμως ἔμελλε μετὰ ταῦτα ἐπιγινώσκειν τὸ γεγονός. ἵν' οὖν μήτε ἐν τῷ ἀφαιρεῖσθαι ὀδύνην αὐτῷ ἐμποιήσῃ, μήτε μετὰ ταῦτα ἡ ἔλλειψις ἀθυμίαν ἐργάσηται, ἀμφότερα οὕτως ᾠκονόμησε, καὶ ἀφελόμενος ἀνωδύνως, καὶ πληρώσας τὸ λεῖπον, καὶ μὴ συγχωρήσας μηδένος αὐτὸν τῶν γεγενημένων αἴσθησιν δέξασθαι. λαβὼν οὖν φησὶ ταύτην τὴν πλευρὰν ᾠκοδόμησε κύριος ὁ θεὸς εἰς γυναῖκα. παράδοξον τὸ εἰρημένον, καὶ νικῶν μετὰ πολλῆς τῆς ὑπερβολῆς τὸν ἡμέτερον λογισμόν. τοιαῦτα γὰρ B ἅπαντα τὰ παρὰ τοῦ δεσπότου. τοῦ γὰρ ἀπὸ τοῦ χοὸς πλασθῆναι τὸν ἄνθρωπον οὐκ ἔλαττον τοῦτο. καὶ ὅρα τὴν συγκατάβασιν τῆς θείας γραφῆς, ὅσοις ῥήμασι κέχρηται διὰ τὴν ἡμετέραν ἀσθένειαν. καὶ ἔλαβε φησὶ μίαν τῶν πλευρῶν αὐτοῦ. μὴ ἀνθρωπίνως δέχου τὰ λεγόμενα, ἀλλὰ τὴν παχύτητα τῶν λέξεων τῇ ἀσθενείᾳ λογίζου τῇ ἀνθρωπίνῃ. εἰ γὰρ μὴ τούτοις τοῖς ῥήμασιν ἐχρήσατο, πῶς ἂν μαθεῖν ἠδυνήθημεν ταῦτα τὰ ἀπόρρητα μυστήρια; μὴ τοῖς ῥήμασιν οὖν μόνοις ἐναπομείνωμεν, ἀλλὰ θεοπρεπῶς ἅπαντα νοῶμεν ὡς ἐπὶ θεοῦ. C τὸ γὰρ ἔλαβε, καὶ ὅσα τοιαῦτα διὰ τὴν ἀσθένειαν τὴν ἡμετέραν εἴρηται. σκόπει δὲ πῶς καὶ ἐνταῦθα πάλιν τῇ αὐτῇ συνηθείᾳ ἐχρήσατο, ᾗ καὶ ἐπὶ τοῦ Ἀδάμ. ὥσπερ γὰρ ἐκεῖ καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις εἶπε, καὶ ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ πάλιν, καὶ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Ἀδάμ, καὶ πάλιν, καὶ εἶπε κύριος ὁ θεός, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν, οὕτω καὶ νῦν φησι, καὶ ᾠκοδόμησε κύριος ὁ θεὸς τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, D εἰς γυναῖκα, καὶ ἀνωτέρω, καὶ ἐπέβαλε κύριος ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, ἵνα μάθῃς ὡς οὐδεμία διαφορά ἐστι πατρὸς καὶ υἱοῦ ἐν ταῖς λέξεσιν, ἀλλὰ διὰ τὸ μίαν εἶναι τὴν οὐσίαν ἀμφοτέρων, ἀδιαφόρως ἡ γραφὴ κέχρηται τοῖς ὀνόμασιν. ἰδοὺ γοῦν καὶ ἐπὶ τῆς διαπλάσεως τῆς γυναικὸς τῇ αὐτῇ συνηθείᾳ ἐχρήσατο εἰποῦσα, καὶ ᾠκοδόμησε κύριος ὁ θεὸς τὴν πλευρὰν ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα. τί ἂν εἴποιεν ἐνταῦθα οἱ αἱρετικοὶ οἱ πάντα περιεργάζεσθαι βουλόμενοι,

vt ne poſſet diſcuſſo ſomno, quod factum erat, ex defectu ſentire. Nam quamuis eo tempore quo auferebatur, ignorauit, poſtea tamen cogniturus erat. Itaque vt ne illum in auferendo, dolore: neque ob ablationem, triſtitia afficeret, vtraque ſic diſpenſauit, vt & citra cruciatum illius auferret, & impleto eo loco vnde abſtulerat, factorum ſenſum percipere non ſineret. Igitur acceptam hanc coſtam ædificauit dominus Deus in mulierem. Admirabile dictum, noſtram rationem nimia excellentia vincens. Eiuſmodi enim ſunt omnia quæ fiunt à Domino. Iſtud enim, quàm hominem è puluere formari, non eſt minus. Et vide iterum quomodo diuina ſcriptura verbis noſtræ infirmitati accommodis vſa ſit. Et accepit, inquit, vnam coſtarum illius. Ne humano more accipias quæ dicũtur, ſed craſſa verba hæc humanæ imbecillitati conuenire cogites. Nam niſi his verbis ſcriptura fuiſſet vſa, quomodo tam arcana myſteria diſcere potuiſſemus? Ne igitur verbis tantum addicti ſimus, ſed omnia vt par eſt de Deo ſentiamus. Quandoquidem dum dicitur, accepit, & omnia talia, propter noſtram infirmitatem ita dicta ſunt. Animaduerte autem quomodo & hîc eadem vſa eſt conſuetudine, qua ſuprà, quum de Adam ageret. Nam vt ibi ſemel ac iterum, & ſæpius dixit, Et accepit dominus Deus hominem: & iterum, Et præcepit dominus Deus Adæ: & iterum, Dixitque dominus Deus: faciamus illi adiutorem ſimile illi: ſic & nunc inquit, Et ædificauit dominus Deus coſtam, quam accepit ab Adã, in mulierem. Et paulò ſuperius, Et immiſit dominus Deus exceſſum in Adam: vt diſcas quòd nullam patris & filij diuerſitatem hæ dictiones indicent: quia vtriuſque eſt vna eſſentia, indiſcriminatim nominibus iſtis ſcriptura vtitur. Ecce igitur & hanc conſuetudinem, cùm de formatione mulieris agit, ſimiliter obſeruauit, dicens: Et ædificauit dominus Deus coſtam quam accepit ab Adam, in mulierem. Quid ergo hic dicent hæretici, qui omnia curioſius explorare volunt,

Dominus & Deus de Patre & Filio.

A Verùm expecta, & vide doctrinam quam ſubiicit: dicit enim: Verumtamen neque vir ſine muliere, neque mulier ſine viro. Quo docet nos, quòd poſtea vtriuſque congreſſu, vtrorumque & viri mulieris conſtitutio erit. Et idcirco & Adam dicebat: Hoc nunc os ex oſſibus meis, & caro ex carne mea. Deinde vt ſcias huius prophetiæ certitudinem, & quomodo in hunc diem & vſque ad conſummationem affulgeant illius dicta, audi ſequentia.

B 23 *Iſta vocabitur mulier, quia ex viro ſuo ſumpta eſt ipſa. Propter hoc derelinquet homo patrem ſuum, & matrem ſuam, & adhærebit vxori ſuæ, & erunt duo in carnem vnam.* Vidiſti quomodo omnia nobis diligenter aperuit, & ſingula per prophetiam ſuam explanauit? Iſta, inquit, vocabitur mulier, quia de viro ſuo ſumpta eſt. Iterum nobis ablationem coſtæ inſinuat: deinde manifeſtans euentura, inquit, Propter hoc relinquet homo patrem ſuum, & matrem ſuam, & adhærebit vxori

C ſuæ, & erunt duo in carnem vnam. Vnde dic oro, habuit ille vt hæc diceret? Vnde ſciebat futura, & quòd multiplicandum eſſet humanum genus, & quòd hoc viri mulierîſque congreſſu futurum, vnde noſcebat? Congreſſus enim ille poſt præuaricationem fuit. Nam vſque ad illam quaſi angeli verſabantur in paradiſo, non concupiſcentiis flagrantes, non ab aliis affectionibus infeſtati, non naturæ neceſſitatibus obnoxij: ſed prorſus incorruptibiles &

D immortales conditi, neque vel veſtimentorum amictu ibi egebant. Erant enim, inquit, ambo nudi, & non erubeſcebant. Peccato enim & præuaricatione nondum præſente, gloria, quæ ſupernè venerat, veſtiti erant: & ideo non erubeſcebant. Poſt tranſgreſſionem autem præcepti, introgreſſa eſt & erubeſcentia, & nuditatis agnitio. Vnde igitur dic quæſo, habuit, vt hæc diceret? Nónne propheticæ gratiæ particeps, omnia hæc ſpiritualibus videbat oculis? Hæc nunc non abſque ratione prolixioribus verbis dico, ſed vt etiam hinc immodicam Dei benignitatem diſcatis, quam huma-

Gen. 2. 25.

A ἀλλ' ἀνάμεινον, καὶ ὅρα διὰ τοῦ ἐπαγομένου τὴν ἀκριβῆ διδασκαλίαν. φησὶ γὰρ, πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρὸς, διδάσκων ἡμᾶς, ὅτι λοιπὸν διὰ τῆς ἀμφοτέρων συνουσίας ἡ σύστασις ἔσται καὶ ἀνδρὸς καὶ γυναικός. διὰ τοῦτο καὶ ὁ Ἀδὰμ ἔλεγε, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. εἶτα ἵνα μάθῃς αὐτοῦ τῆς προφητείας τὴν ἀκρίβειαν, καὶ ὅπως μέχρι τοῦ νῦν καὶ μέχρι τῆς συντελείας αὐτῆς διαλάμπει τὸ παρ' αὐτοῦ εἰρημένον, ἄκουε καὶ τῶν ἑξῆς. αὕτη κληθήσεται

B γυνὴ φησὶν, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη. ἀντὶ τούτου, καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. εἶδες πῶς ἅπαντα ἡμῖν περιήνοιξε διὰ τῆς οἰκείας προφητείας ἕκαστον μετ' ἀκριβείας δηλώσας; αὕτη φησὶ κληθήσεται γυνὴ, ὅτι ἐξ ἀνδρὸς αὐτῆς ἐλήφθη. πάλιν ἡμῖν τὴν ἀφαίρεσιν τῆς πλευρᾶς αἰνίττεται, εἶτα δηλῶν τὰ μέλλοντα συμβήσεσθαί φησιν, ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ

C προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. πόθεν εἰπέ μοι ταῦτα ἐπῆλθεν αὐτῷ φθέγξασθαι; πόθεν ᾔδει τὰ μέλλοντα, καὶ ὅτι εἰς πλῆθος ἐπιδώσει τὸ τῶν ἀνθρώπων γένος; ὅτι γὰρ συνουσία ἔσται ἀνδρὸς καὶ γυναικὸς πόθεν ἠπίστατο; μετὰ γὰρ τὴν παράβασιν τὰ τῆς συνουσίας γέγονεν, ἐπεὶ μέχρις ἐκείνου καθάπερ ἄγγελοι οὕτω διῆγον ἐν τῷ παραδείσῳ οὐχ ὑπὸ ἐπιθυμίας φλεγόμενοι, οὐχ ὑπὸ ἑτέρων παθῶν πολιορκούμενοι, οὐ ταῖς ἀνάγκαις τῆς φύσεως ὑποκείμενοι, ἀλλὰ δι' ὅλου ἄφθαρτοι κτισθέντες καὶ ἀθάνατοι, ὅπου

D γε οὐδὲ τῆς τῶν ἱματίων περιβολῆς ἐδέοντο. ἦσαν γάρ φησιν οἱ δύο γυμνοὶ, καὶ οὐκ ᾐσχύνοντο. οὐδέπω γὰρ τῆς ἁμαρτίας ὑπεισελθούσης, καὶ τῆς παρακοῆς τῇ ἄνωθεν ἦσαν δόξῃ ἠμφιεσμένοι, διὸ οὐδὲ ᾐσχύνοντο· μετὰ δὲ τὴν παράβασιν τῆς ἐντολῆς τότε καὶ ἡ αἰσχύνη ἐπεισῆλθε καὶ ἡ γνῶσις τῆς γυμνότητος. πόθεν οὖν εἰπέ μοι ταῦτα αὐτῷ ἐπῆλθε φθέγξασθαι; ἢ δῆλον ὅτι προφητικοῦ χαρίσματος μετέχων πρὸ τῆς παρακοῆς πάντα ταῦτα ἑώρα τοῖς πνευματικοῖς ὀφθαλμοῖς; ταῦτα δὲ οὐχ ἁπλῶς νῦν μηκύνω, ἀλλ' ἵνα ἐντεῦθεν ἤδη καὶ τὴν ὑπερβάλλουσαν τοῦ θεοῦ φιλανθρωπίαν καταμάθητε, ἣν

περὶ τὸν ἄνθρωπον ἐπεδείξατο ἀγγελικὸν αὐτῷ A βίον ἐξ ἀρχῆς χαρισάμενος, καὶ μυρίας εἰς αὐτὸν εὐεργεσίας ποιησάμενος, καὶ μετὰ τῶν ἄλλων ἁπάντων καὶ προφητικοῦ χαρίσματος αὐτὸν ἀξιώσας, καὶ τοῦ ἀνθρώπου δὲ τὴν μετὰ τοσαύτας εὐεργεσίας ῥαθυμίαν ἰδόντες μηκέτι ἐπὶ τὸν θεὸν τὴν αἰτίαν μετάγητε, ἀλλὰ τούτῳ τὸ πᾶν λογίζεσθε. αὐτὸς γὰρ ἑαυτῷ πάντων αἴτιος γέγονε τῶν κακῶν, ὡς καὶ μετὰ ταῦτα μαθήσεσθε καὶ τῆς ἐκπτώσεως τῶν τοσούτων ἀγαθῶν καὶ τῆς καταδίκης, ἣν διὰ τὴν παρακοὴν ὑπέμεινεν. ὅταν γὰρ ἐννοήσω τῆς διαγωγῆς αὐτοῦ τὴν κατάστασιν, ἣν ὁ δεσπότης αὐτῷ ἐχαρίσατο, οὕτω δαψιλῆ εἰς αὐτὸν εὐεργεσίας ἐπιδειξά- B μενος, καὶ πρῶτον μὲν ὅτι καὶ πρὸ τῆς αὐτοῦ διαπλάσεως τοῦτον ὅλον τῆς κτίσεως τὸν κόσμον δι' αὐτὸν παρήγαγε, καὶ τότε αὐτὸν ἐδημιούργησεν, ἵνα γενόμενος ἀπολαύσῃ πάντων τῶν ὁρωμένων. εἶτα τὸν παράδεισον φυτεύεσθαι προστάξας ἐκεῖ αὐτὸν διαιτᾶσθαι ἠβουλήθη, χωρίσας τῶν ἀλόγων ζώων, καὶ πάντων αὐτῷ τὴν ἐξουσίαν δεδωκὼς, καθάπερ δεσπότην τινὰ δούλοις καὶ ὑπηκόοις τὰ ὀνόματα θεῖναι πᾶσιν ἐπέταξεν. εἶτα ἐπειδὴ μόνος ὢν ἐδεῖτό τινος τῆς αὐτῆς αὐτῷ κοινωνοῦντος οὐσίας βοηθοῦ, οὐδὲ τοῦτο παρέλιπεν, ἀλλὰ τὴν γυναῖκα παραγα- C γὼν, καθ' ὃν αὐτὸς ἐβουλήθη τρόπον, ἐνεχείρισεν αὐτῷ ταύτην καὶ μετὰ τούτων ἁπάντων καὶ προφητείας αὐτῷ ἀξίωμα χαρισάμενος, καὶ μετὰ τὰς ἀφάτους ταύτας εὐεργεσίας καὶ τὸ κεφάλαιον ἁπάντων ἐδωρήσατο πάντων αὐτὸν ἐλευθερώσας τῶν τοῦ σώματος φροντίδων, καὶ μήτε ἱματίων περιβολῆς, μήτε ἑτέρας τινὸς χρείας δεῖσθαι συγχωρήσας· ἀλλὰ καθάπερ ἔφθην εἰπὼν ὡς ἄγγελον ἐπίγειον οὕτως αὐτὸν ἐπὶ τῆς γῆς διάγειν βουληθείς. ὅταν τοίνυν πάντα ταῦτα λογίσωμαι, καὶ τοῦ δεσπότου ἐκπλήττομαι τὴν περὶ τὸ γένος τὸ ἡμέ- D τερον φιλανθρωπίαν, καὶ τοῦ ἀνθρώπου τὴν ῥαθυμίαν καὶ τοῦ διαβόλου τὴν βασκανίαν. οὐ γὰρ ἤνεγκεν ὁ πονηρὸς δαίμων ὁρᾶν ἐν σώματι ἀνθρωπίνῳ ἀγγελικὴν διαγωγήν. ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος τὸν λόγον ἐκτείνωμεν, εἰ δοκεῖ τὰ κατὰ τὴν τοῦ πονηροῦ δαίμονος ἐπιβουλὴν εἰς τὴν ἑξῆς ταμιευσάμενοι ἐνταῦθα καταπαύσωμεν τὸν λόγον, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην μεμνῆσθαι τῶν εἰρημένων μετὰ ἀκριβείας. καὶ καθ' ἑαυτοὺς ἅπαντα ἀναλογίζεσθαι, ἵνα ἔχητε αὐτὰ ἐνιδρυμένα ταῖς διανοίαις ὑμετέραις.

no generi exhibuit, data illi ab initio vita angelica, & innumeris in illum collatis beneficiis, & cum aliis omnibus etiam prophetica dignitate conceſſa: vt cùm videritis hominem poſt tot beneficia delinquere, culpam in Deum ne reieceritis, ſed ipſi totum imputetis. Ipſe enim ſibimetipſi omnium malorum author fuit, quod & poſtea diſcetis, tum quòd tantis bonis excidit, tum quòd ob præuaricationem condemnatus eſt. Nam cùm cogito vitæ illius ſtatum, quem illi Dominus dedit, tam multifaria in ipſum beneficia cumulando: & primùm quidem quòd ante ipſius formationem, propter ipſum, totum hunc mundum & creaturas condidit: & poſtea ipſum formauit, vt factus viſibilibus omnibus frueretur. Dein quòd vt iuſſit eſſe paradiſum, in illo ſtatim ipſum vitam agere voluit, animalia bruta ab illo ſeparauit, & omnium illi dedit poteſtatem, quaſi dominum ſeruis & ſubditis nomina imponere iubendo. Poſtea, quia ſolus erat, cùm indigeret aliquo adiutore, qui naturæ eius particeps eſſet: neque hoc omiſit, ſed producta muliere, modo quo ſibi placuit, illam ipſi in manus concredidit: præter hæc omnia, prophetiæ quoque dignitate illum inſigniuit. Et poſt immenſa ſumma & caput aliorum eſt beneficia id etiam quod, donauit illi vt ab omnibus curis & ſollicitudinibus corporis liber eſſet: neque vllis veſtium indumentis, neque alio aliquo indigere illum permiſit: ſed vt dixi, quaſi angelum terreſtrem ſuper terram illum verſari voluit. Cùm igitur omnia hæc ſupputo, obſtupeſco & Domini clementiam in humanum genus, & hominis deſidiam, & diaboli inuidentiam. Non enim ferebat malus ille dæmon videre in corpore hominem angelicam vitam agentem. Cæterùm ne nimia prolixitate ſermonem extendamus, ſi placet, reponemus in poſterum quæ de diaboli inſidiis ſequuntur, veſtram orantes charitatem, vt diligenter ea quæ dicta ſunt memoriæ commendetis, & vobiſcum expendatis ea omnia, vt profundius in cogitationibus veſtris conſidant.

Moralis epilog.

A Nam ſi continuò beneficiorum Dei, quæ in noſtrum genus contulit, recordemur, & ipſi grati erimus, & ad virtutis viã magna id erit extimulatio. Quippe manifeſtum, quòd beneficia Dei ſecum recogitans, operam dat ne illis indignus videatur: ſed tanti ſtudij & gratitudinis eſt, vt & alia conſequenter mereatur. Ita liberalis eſt dominus noſter, vt quando videt nos bene & cum gratitudine vti his quæ iam nobis conceſſit, vltrà nos potioribus maioribúſque muneribus impleat. Tantum nobis noſtra ſalus curæ ſit, ne ita incogitanter & abſque fructu tempus tranſigamus: neque hoc attendamus, quod dimidium quadrageſimæ tranſierit, ſed ſi qua in hoc tempore à nobis bene geſta ſunt, & ſi quas affectiones quæ nos perturbant correxerimus. Nam ſi quotidianis ſpiritualibus doctrinis refocillati, ſemper iidem manſerimus, neque in virtutibus creuerimus, neque peccatorum genera è pectoribus noſtris effugauerimus, non ſolum inde nihil erit vtilitatis, ſed & plurimum nocumẽti: quandoquidem qui in tanta cura nihil lucrifacit, neque proficit, maiorem ſibi coaceruabit gehẽnæ ignem. Ideo oro, vt ſaltem reliquum ieiunij tempus, vt decet, inſumamus, vt ſingulis hebdomadis, imò ſingulis diebus nos ipſos conſideremus, & negligentiam ab animabus noſtris repellamus, & bonorum operum poſſeſſionem conquiramus, ſicut propheta noſter admonuit: Declinemus à malis, & ad virtutem tranſeamus. Hoc etenim verum eſt ieiunium. Iracundus ferocem perturbationem pia cogitatione ab anima eliminet; manſuetudinem autem, & lenitatem amplexetur. Deſes & intemperans, & formoſorum corporum curioſior ſpectator cogitationes ſuas refrænet, & in latitudine mentis ſuæ inſcribat legem Chriſti dicentem: Qui inſpexerit mulierem vt concupiſcat illam, iam adulterium commiſit cum illa in corde ſuo. Vnde incontinentiæ vitium effugiat, & ſobrietatis virtutem operetur. Qui præcipitis & temerariæ linguæ eſt, & quæcunque obuenientia effutit, imitetur beatum prophetam, & dicat:

Liberalitas Dei in homines.

Pſal. 36. 27.

Matth. 5.28.

ἐὰν γὰρ συνεχῶς ἀναμιμνησκώμεθα τῶν εὐεργεσιῶν τοῦ θεοῦ, ὧν εἰς τὴν ἡμετέραν φύσιν κατέθετο, αὐτοί τε εὐγνώμονες ἐσόμεθα, καὶ πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν προτροπὴ ἡμῖν μεγίστη τοῦτο γένηται. ὁ γὰρ τῶν εὐεργεσιῶν μεμνημένος τοῦ θεοῦ δηλονότι σπουδάσει μὴ ἀνάξιον ἑαυτὸν ἀποφῆναι, ἀλλὰ τοσαύτην ἐπιδείξασθαι τὴν σπουδήν, καὶ τὴν εὐγνωμοσύνην ὡς καὶ ἑτέρων πάλιν ἀξιωθῆναι. φιλότιμος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος [illegible]δὰν ἴδῃ περὶ τὰ ἤδη ἡμῖν ὑπάρξαντα παρ' αὐτοῦ εὐγνώμονας γινομένους, πολλὴν ἐπιδαψιλεύεται τὴν χάριν, καὶ μειζόνων ἡμᾶς πάλιν ἀξιοῖ τῶν B δωρεῶν, μόνον ἐὰν ἡμεῖς τῆς ἑαυτῶν σωτηρίας φροντίζοντες μὴ ἁπλῶς τὸν χρόνον παρατρέχωμεν, μηδὲ τοῦτο σκοπῶμεν, εἰ τὸ ἥμισυ τῆς ἁγίας τεσσαρακοστῆς παρέδραμεν, ἀλλ' εἴ τινα ἡμῖν κατώρθωται ἐν τούτῳ τῷ χρόνῳ, καὶ εἴ τι τῶν ἐνοχλούντων ἡμῖν παθῶν διωρθώσαμεν. εἰ γὰρ μέλλοιμεν καθ' ἑκάστην ἡμέραν τῆς πνευματικῆς διδασκαλίας ἀπολαύοντες οἱ αὐτοὶ διαμένειν, καὶ μὴ ἐπιδιδόναι πρὸς ἀρετήν, μηδὲ τὰ τῆς κακίας εἴδη ἐξορίζειν τῆς ἑαυτῶν ψυχῆς, οὐ μόνον ἡμῖν οὐδὲν ὄφελος ἔσται, ἀλλὰ καὶ πλείων ἡ βλάβη. ὅταν γὰρ C τῆς καὶ ἐπιμελείας τοσαύτης ἀπολαύων μηδὲν κερδαίνῃ, μεῖζον ἑαυτῷ ἐπισωρεύει τὸ τῆς γεέννης πῦρ. διὸ παρακαλῶ κἂν τῷ ὑπολειπομένῳ χρόνῳ τῆς νηστείας εἰς δέον χρησώμεθα, καὶ καθ' ἑκάστην ἑβδομάδα, μᾶλλον δὲ καθ' ἑκάστην ἡμέραν ἑαυτοὺς περισκοπῶμεν, καὶ τὰ μὲν ἐλαττώματα ἡμῶν ἐξορίζωμεν τῆς ἑαυτῶν ψυχῆς, κατορθωμάτων δὲ κτῆσιν προσλαμβάνωμεν καθάπερ ὁ προφήτης παρῄνεσεν, ἐκκλίνωμεν ἀπὸ τῶν κακῶν, καὶ μετέλθωμεν ἐπὶ τὴν ἀρετήν. αὕτη γὰρ ἡ ἀληθὴς νηστεία. ὁ θυμώδης τὸ μὲν πάθος τὸ ἐνοχλοῦν τῷ εὐσεβεῖ λογισμῷ ἐξοριζέτω τῆς D ψυχῆς, πρᾳότητα δὲ καὶ τὴν ἐπιείκειαν ἀσπαζέσθω· ὁ ῥᾴθυμος καὶ ἀκόλαστος καὶ μετ' ἀδείας πρὸς τὰ κάλλη τῶν σωμάτων ἐπτοημένος, χαλινώσας αὐτοῦ τὸν λογισμόν, καὶ τὸν νόμον τοῦ Χριστοῦ εἰς τὸ πλάτος αὐτοῦ τῆς διανοίας ἐγγράψας τὸν λέγοντα· ὁ ἐμβλέπων γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ, τὸ μὲν τῆς ἀκολασίας πάθος φυγαδευέτω, τὴν δὲ σωφροσύνην κατορθούτω. ὁ προπετὴς ἐν γλώττῃ καὶ ἁπλῶς τὰ ἐπιόντα φθεγγόμενος μιμείσθω πάλιν τὸν μακάριον προφήτην καὶ λεγέτω·

θοῦ κύριε φυλακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου, καὶ μηδέποτε ἁπλῶς καὶ ὡς ἔτυχε προφερέτω τὰ ῥήματα, ἀλλ' ἀκουέτω Παύλου λέγοντος, πᾶσα κραυγὴ καὶ θυμὸς καὶ βλασφημία καὶ αἰσχρολογία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ, καὶ πάλιν, εἴ τις λόγος ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι. καὶ τοὺς ὅρκους δὲ παντελῶς φευγέτω ἀκούων τῆς ἀποφάσεως τοῦ Χριστοῦ τῆς λεγούσης, ὅτι ἐρρήθη ἐν τοῖς ἀρχαίοις, οὐκ ἐπιορκήσεις· ἐγὼ δὲ λέγω ὑμῖν μηδὲ ὀμόσαι ὅλως. μὴ τοίνυν μοι λέγε, ὅτι ἐπὶ δικαίῳ ὄμνυμι· οὐκ ἔστι γὰρ οὔτε ἐπὶ δικαίῳ, οὔτε ἐπὶ ἀδίκῳ ὀμνύναι. καθαρὸν τοίνυν τηρῶμεν ὅρκων τὸ στόμα, καὶ τούτοις ἅπασι τειχίζωμεν ἡμῶν καὶ τὴν γλῶτταν, καὶ τὰ χείλη, καὶ τὴν διάνοιαν, ὥστε μὴ ἔνδοθεν τίκτεσθαί τι τῶν πονηρῶν λογισμῶν, μήτε διὰ γλώττης προφέρεσθαι, καὶ τὰς ἀκοὰς δὲ ἀσφαλῶς ἀποφράττωμεν, ὥστε μήτε ἀκοὴν ματαίαν παραδέχεσθαι, καθάπερ ὁ μακάριος Μωυσῆς παρήγγειλε λέγων, ἀκοὴν ματαίαν μὴ παραδέξῃ, καὶ πάλιν ὁ μακάριος Δαβὶδ ἔλεγε, τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ τοῦτον ἐξεδίωκον. εἶδες ἀγαπητὲ ὅσης ἡμῖν ἀγρυπνίας χρεία; ὅσου πόνου πρὸς τὴν ἀρετήν; πῶς βραχὺ μέρος ἀμεληθὲν ὁλόκληρον ἡμῖν ἐπάγει τὸν κίνδυνον; διὰ τοῦτο καὶ ἑτέρωθι ἐβόα ὁ μακάριος Δαβὶδ ἐγκαλῶν τῷ τοῦτο ποιοῦντι· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθης σκάνδαλον. ἐὰν οὕτως ἡμῶν ἅπαντα τὰ μέλη τειχίζωμεν, δυνησόμεθα πρὸς τὰ τῆς ἀρετῆς ἔργα διεγερθῆναι, καὶ τὴν μὲν γλῶτταν πρὸς δοξολογίαν καὶ ὕμνους τοὺς εἰς τὸν τῶν ὅλων θεὸν ἀπασχολεῖν, τὴν δὲ ἀκοὴν πρὸς ἀκρόασιν καὶ μάθησιν τῶν θείων λογίων καὶ τὴν διάνοιαν πρὸς τὴν κατανόησιν τῶν πνευματικῶν δογμάτων, καὶ τὰς χεῖρας μὴ πρὸς ἁρπαγὴν καὶ πλεονεξίαν, ἀλλὰ πρὸς ἐλεημοσύνην καὶ τὴν τῶν ἀγαθῶν πράξεων ἐργασίαν, καὶ τοὺς πόδας μὴ εἰς θέατρα καὶ ἱπποδρομίας καὶ τὰς ἐπιβλαβεῖς θεωρίας, ἀλλ' εἰς ἐκκλησίαν καὶ εἰς εὐκτηρίους οἴκους, καὶ πρὸς τὰς τῶν ἁγίων μαρτύρων θήκας, ἵνα τὴν παρ' αὐτῶν εὐλογίαν καρπούμενοι ἀχειρώτους ἑαυτοὺς καταστήσωμεν ταῖς τοῦ διαβόλου παγίσιν. ἐὰν οὕτως ὦμεν μεμεριμνημένοι, καὶ τῆς ἑαυτῶν σωτηρίας φροντίζοντες, δυνησόμεθα καὶ

A Pone domine cuſtodiam ori meo, &
oſtium munitionis labiis meis. Et Pſal.140
nunquam temerè & abſque vtilitate 3.
proferat verba, ſed audiat Paulum,
dicentem: Omnis vociferatio, & fu- Epheſ.5.
ror, & blaſphemia, & obſcœnitas, & 4.
vrbanitas tollatur à vobis cum omni
malitia. Et iterum: Si quis ſermo bo- Ibidem.
nus, ad ædificationem vtilis, vt det 4. 29.
gratiam audientibus. Iuraméta quoque modis omnibus fugiat: audiens
ſententiam Chriſti, quæ dicit: Dictum eſt antiquis: Nō peierabis: ego Matth.5.
B autem dico vobis, non iurandum o- 34.
mnino. Ne igitur dicat aliquis, In re iuſta iuro. Neque enim in re iuſta neque iniuſta iurare licet. Purum igitur à iuramentis ſeruemus os. Et his omnibus muniamus noſtram linguam, labia, & mentem, ne vel quid malarum cogitationum intrinſecus naſcatur, vel per linguam foras proferatur. Aures quoque diligenter ſepiamus, ne vanam auditionem ſuſcipiant. Sicut & beatus Moſes præ- Exod.
cepit, dicens: Auditionem vanam 23.1.
C non ſuſcipies. Et iterum beatus Da- Pſal.100
uid dicebat: Obtrectantem ſecretò 5.
proximo ſuo, hunc perſequebar. Vidiſti dilecte, quanta nobis contentione, quanta vigilantia ad virtutem parandã opus ſit? quomodo & parua particula neglecta, totius periculum infert? Quocirca & alibi clamat beatus Dauid, accuſans hoc facientem, Pſal.49.
& dicens: Sedens aduerſus fratrem 20.
tuum obloquebaris, & contra filium matris tuæ ponebas ſcandalum. Si ſic noſtra omnia membra muniuerimus, poterimus ad virtu-
D tis opera excitari, & linguam in laudibus & glorificatione Dei occupare: aures autem in auditu & diſciplina diuinorum eloquiorum, & mentem in ſpiritualibus dogmatibus contemplandis: manus verò non in rapina & auaritia, ſed miſericordia & bonis operibus faciendis, & pedes non in theatris & ſpectaculis damnoſis, equeſtribúſque ludis, ſed in eccleſiis, & domibus precationum, & ſanctorum martyrum loculis, vt ab illis benedictionem percipiamus, & nos à diabolicis laqueis irretiri non ſinamus. Si ſic ſolliciti noſtram ſalutem curauerimus, poterimus & ex ieiunio lucrum facere,

& dæmonis inſidias effugere, & magnam ſupernè gratiã aſſequi: quam vt nos omnes aſſequamur, concedat gratia & miſericordia domini noſtri Ieſu Chriſti, cum quo patri, ſanctóque ſpiritui ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

HOMILIA XVI.

Gen. 2. 25. *In prævaricationem primùm creatorum. Et erant ambo nudi & Adam, & vxor eius, & non erubeſcebant.*

HODIE vobis, dilectiſſimi, ſpiritualem theſaurum aperire volo: qui licèt inter multos diuidatur, nunquã tamen abſumitur: qui omnes locupletat, & in nullo imminuitur, ſed & augetur. Nam ſi quis de ſenſibili theſauro vel paruam acceperit portionem, multas tamen diuitias inde ſibi parabit: ita & in diuinis ſcripturis, etiam in parua dictione, ſenſuum grauitas, & immenſæ inueniuntur diuitiæ. Talis enim natura huius theſauri, vt abundare faciat eos qui ſe inueniunt, & nunquam deficiat. Fontis enim huius ſcaturigo eſt Spiritus ſanctus. Reliquum veſtrum fuerit, quæ propoſita ſunt, ſumma ſeruare memoriæ diligentia. Cæterùm, vt facilè dicta aſſequi poſſitis, tantum quod noſtrum eſt, magno ſtudio afferamus. Gratia enim parata eſt, & requirit eos qui ſe largiter ſuſcipiant. Audiamus igitur quæ hodie ſunt lecta, vt diſcamus immenſam Dei benignitatem, & quanto ſalutis noſtræ gratia ſermonis temperamento ſit vſus.[25] *Et erant ambo nudi, tam Adam, quàm vxor eius, & non erubeſcebant.* Conſidera, quæſo, eminentem beatitudinem, quomodo ſuperiores fuerint omnibus corporalibus neceſſitatibus, quomodo terram quaſi cœlum incoluerint? & quum eſſent in corpore, nihil corporale tulerint: neque tecto, neque veſte, neque alio tali opus habentes. Porrò diuina ſcriptura non ſimpliciter & abſque ratione hoc nobis ſignificauit:

A τὸ ἀπὸ τῆς νηστείας κέρδος καρπώσασθαι, καὶ τὰς τοῦ πονηροῦ μηχανὰς διαφυγεῖν, καὶ πολλὴν τὴν ἄνωθεν ῥοπὴν ἐπισπάσασθαι. ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα κράτος τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὁμιλία ις.

Εἰς τὴν παράβασιν τῶν πρωτοπλάστων. καὶ ἦσαν γυμνοὶ ὅ τε Ἀδὰμ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.

B Βούλομαι σήμερον ἀγαπητοὶ θησαυρὸν ὑμῖν πνευματικὸν ἀνοῖξαι μεριζόμενον, καὶ μηδέποτε δαπανώμενον· πάντας πλουτίζοντα, καὶ ἐν μηδενὶ ἐλαττούμενον, ἀλλὰ καὶ προστιθέμενον. καθάπερ γὰρ ἐπὶ τοῦ αἰσθητοῦ θησαυροῦ κἂν μικρόν τις ψῆγμα λαβεῖν δυνηθείη, πολὺν ἑαυτῷ τὸν πλοῦτον ἐργάζεται· οὕτω δὴ καὶ ἐπὶ τῆς θείας γραφῆς καὶ ἐν βραχείᾳ λέξει πολλὴν ἔστιν εὑρεῖν τῶν C νοημάτων τὴν δύναμιν, καὶ ἄφατον τὸν πλοῦτον. τοιαύτη γὰρ ἡ φύσις τοῦ θησαυροῦ τούτου, τοὺς ὑποδεχομένους εὐπόρους ἐργαζόμενος οὐδέποτε ἐπιλείπει· πηγὴ γὰρ τοῦτον ἀναβλύζει τοῦ πνεύματος τοῦ ἁγίου. ὑμέτερον δ' ἂν εἴη λοιπὸν μετ' ἀκριβείας φυλάττειν τὰ παρακατιθέμενα, καὶ τὴν μνήμην ἀδιάπτωτον διασώζειν, ἵνα μετ' εὐκολίας δύνησθε παρακολουθεῖν τοῖς λεγομένοις, μόνον μετὰ σπουδῆς τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν. ἡ γὰρ χάρις ἑτοιμός ἐστιν ἐπιζητοῦσα τοὺς μετὰ δαψιλείας ταύτην ὑποδεχομένους. ἀκούσωμεν D δὲ τῶν σήμερον ἀνεγνωσμένων, ἵνα μάθωμεν τοῦ θεοῦ τὴν ἄφατον φιλανθρωπίαν, καὶ ὅσῃ συγκαταβάσει κέχρηται διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. καὶ ἦσαν οἱ δύο γυμνοὶ, ὅτε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο. ἐννόησόν μοι μακαριότητος ὑπερβολὴν, πῶς ἀνώτεροι ἦσαν τῶν σωματικῶν ἁπάντων, πῶς καθάπερ τὸν οὐρανὸν οὕτω τὴν γῆν ᾤκουν, καὶ ἐν σώματι τυγχάνοντες τὰ τῶν σωμάτων οὐχ ὑπέμενον. οὔτε γὰρ στέγης, οὔτε ὀρόφου, οὔτε ἱματίου, οὔτε ἄλλου οὐδενὸς τῶν τοιούτων ἐδέοντο. καὶ οὐχ ἁπλῶς, οὐδὲ εἰκῆ τοῦτο ἡμῖν ἐπεσημήνατο ἡ θεία γραφὴ,

ἀλλ'

ἀλλ' ἵνα μαθόντες τὴν ἄλυπον αὐτῶν ταύτην διαγωγὴν, καὶ τὸν ἀνώδυνον βίον, καὶ τὴν ἀγγελικὴν ὡς εἰπεῖν κατάστασιν, ἐπειδὰν ἴδωμεν μετὰ ταῦτα τούτων ἁπάντων ἐρήμους αὐτοὺς γινομένους, καὶ καθάπερ ἀπὸ πολλοῦ πλούτου περιουσίας εἰς ἐσχάτην πενίαν κατενεχθέντας, τῇ ῥαθυμίᾳ αὐτῶν τὸ πᾶν ἐπιγράψωμεν. ἀναγκαῖον δὲ ἀκοῦσαι τῶν ἀνεγνωσμένων. εἰπὼν γὰρ ὁ μακάριος Μωυσῆς, ὅτι γυμνοὶ ἦσαν καὶ οὐκ ᾐσχύνοντο, οὐδὲ γὰρ ᾔδεσαν ὅτι γυμνοὶ ἦσαν τῆς δόξης τῆς ἀφάτου περιεσταλμένης αὐτοὺς, καὶ παντὸς ἱματίου μᾶλλον αὐτοὺς κοσμούσης, φησὶν, ὁ δὲ ὄφις ἦν φρονιμώτατος τῶν θηρίων πάντων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός. καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί ὅτι εἶπεν ὁ θεὸς, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου; ὅρα πονηροῦ δαίμονος βασκανίαν, καὶ πολύπλοκον μηχανήν· ἐπειδὴ εἶδεν ἐν τῇ ἀνωτάτω τιμῇ τυγχάνοντα τὸν δημιουργηθέντα ἄνθρωπον, καὶ οὐδὲν σχεδὸν ἔλαττον ἔχοντα τῶν ἀγγέλων, καθάπερ καὶ ὁ μακάριος Δαβὶδ φησιν, ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· καὶ τοῦτο δὲ αὐτὸ τὸ βραχὺ ἡ τῆς παρακοῆς ἁμαρτία εἰσήγαγε. μετὰ γὰρ τὴν παρακοὴν τοῦτο ἐφθέγξατο ὁ προφήτης· ὁρῶν τοίνυν ἄγγελον ἐπίγειον ἐπὶ γῆς τυγχάνοντα, καὶ ὑπὸ τῆς βασκανίας τηκόμενος ὁ ἀρχέκακος δαίμων, ἐπειδὴ αὐτὸς ἐν ταῖς ἄνω δυνάμεσι τελῶν διὰ μοχθηρίαν προαιρέσεως καὶ κακίας ὑπερβολὴν, ἐκ τοῦ ὕψους ἐκείνου ἐρρίφη κάτω, πολλῇ κέχρηται τῇ μηχανῇ, ὥστε τῆς εὐνοίας τοῦ θεοῦ ἀποστερῆσαι τὸν ἄνθρωπον, καὶ ἀγνώμονα αὐτὸν ἀπεργασάμενος γυμνῶσαι τῶν τοσούτων ἀγαθῶν τῶν διὰ τῆς τοῦ θεοῦ φιλανθρωπίας παρασχεθέντων αὐτῷ. καὶ τί ποιεῖ; εὑρὼν τὸ θηρίον τοῦτο, τὸν ὄφιν λέγω, τὰ ἄλλα θηρία τῇ φρονήσει νικῶντα, καθάπερ καὶ ὁ μακάριος Μωυσῆς ἐμαρτύρησεν εἰπὼν, ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός, τούτῳ ὥσπερ ὀργάνῳ τινὶ χρώμενος, δι' αὐτοῦ τὸ ἄπλαστον καὶ ἀσθενέστερον σκεῦος, τὴν γυναῖκα λέγω, διὰ τῆς ὁμιλίας εἰς τὴν ἑαυτοῦ ἀπάτην ἐκκαλεῖται. καὶ εἶπε φησιν ὁ ὄφις τῇ γυναικί. λογίζου ἀγαπητὲ ἐκ τούτου, πῶς οὐδὲν ἦν ἐν προοιμίοις φοβερὸν τῶν θηρίων τῶν γεγενημένων, οὔτε τῷ ἀνδρὶ, οὔτε τῇ γυναικὶ, ἀλλὰ τὴν ὑποταγὴν καὶ τὴν δεσποτείαν ἐπιγίνωσκε.

A ſed vt cùm didicerimus vitam illorum triſtitiæ doloríſque expertem, & angelicum quendam ſtatum (vt ita dicam) & poſtea viderimus illos omnibus illis deſtitui, & quaſi è magnis diuitiis in extremã inopiam redigi, ipſorum negligentiæ totum quod fit aſcribamus. Operæprecium autem lecta ipſa audire. Nam vt dixit beatus Moſes, quòd nudi erant, & non erubeſcebant, neque enim ſciebant ſe nudos eſſe, mira gloria amicti, & maiori quàm vllus veſtitus B poſſet ornare, inquit, [1] *Serpens autem erat prudentiſſimus omnium beſtiarum, quæ ſuper terram, quas fecerat dominus Deus. Et dixit ſerpens mulieri: Quid quòd dixit Deus, ne comedatis ex omni ligno quod eſt in paradiſo?* Vide maligni dæmonis inuidentiam, & multiplices technas. Quandoquidem ſciuit hominem formatum in ſummo eſſe honore, & propemodum nihil minus habere angelis ipſis, ſicut & beatus Dauid inquit: Minuiſti eum paulò minus ab angelis: atque hoc C ipſum paulò minus inobedientiæ peccatum introduxit. Nam poſt præuaricationem hoc locutus eſt propheta. Videbat igitur ſuper terram angelum terreſtrem, & à ſua rodebatur inuidia dæmon malorum author. Quoniam cùm ipſe inter ſupernas virtutes eſſet, & ob voluntatis ſuæ nequitiam, & malitiam excellentem, è ſummo illo cœlo proiectus fuerit, magna vſus eſt machinatione, vt & hominem gratia Dei priuare, & ingratum factum, tantis bonis per diuinam bonitatem ipſi D conceſſis, nudare poſſet. Et quid fecit? Inuento animali hoc, ſerpentem dico, qui cætera calliditate ſua vincebat, ſicut & Moſes teſtatus eſt, cùm dixit; Erat autem ſerpens prudentiſſimus, omnium beſtiarum quæ ſuper terram, quas fecit dominus Deus: eo quaſi inſtrumento quodam vſus eſt, per quod mulierem, vtpote ſimplicius & infirmius vas, illius familiaritate in errorem & deceptionem prouocaret. Et dixit, inquit, ſerpens mulieri. Collige hinc, quòd ab initio nulla beſtiarum ſuper terram terrebat vel virum, vel mulierem: ſed dominium & ſubiectionem agnoſcebant omnia.

Gen.3.1. Cur dixit De[us], vel, quid quod dixit De[us]: quaſi peteret, quid? eſt ne verũ quod Deus dixerit, & ſic prohibuerit? Pſal.8.c.

Et ſicut nunc domeſtica animalia, ita & fera & immanſueta tunc ſubdita erant. At fortè hîc dubitauerit quis, & vt ſciat quæſierit, num & hoc animal rationis fuerit particeps. Nõ ita eſt: abſit. Nam ſequentes ſcripturam hoc expendere debent, quòd verba quidem ſunt diaboli, quem ſua inuidia concitabat, vt ita hominem falleret: animali autem hoc vt inſtrumento accommodo vtebatur diabolus, quò ſuarum fraudium eſca deuorata, ſupplantare primùm poſſet mulierem, quę facilius decipi poterat, & poſtea per illam etiam protoplaſtum ſupplantaret. Itaque hoc bruto vtitur ad inſidiarum ſuarum machinationes, & per ipſum mulieri loquitur, & inquit: Quare dixit Deus, ne comedatis ex omni ligno quod eſt in paradiſo? Conſiderate, obſecro, malignitatis excellentem ſubtilitatem. Inducit enim ſub ratione conſilij, & interrogationis, etiam quòd nõ erat dictum, quaſi ſcilicet curam ipſorum haberet: id quod oſtenditur, cùm inquit: Cur dixit Deus, ne comedatis de omni ligno quod eſt in paradiſo? quaſi diceret malignus ille dæmon: Quare Deus priuauit vos tanta fruitione? cur non concedit vt participes ſitis bonorum quæ ſunt in paradiſo? ſed præſtitit quidem vt viſu frueremini, non tamen eo frui ſinit, & maiori voluptate interdicit. Cur dixit Deus? Quare, inquit, hoc? quæ vtilitas verſari in paradiſo, & non frui his quæ in illo ſunt? Sed ideo maiorem fertis dolorem, quòd ſpectare quidem vobis licet, frui non licet. Vidiſti quomodo per verba, quaſi per eſcam virus ſuum immittit? Debebat mulier ex ipſo aggreſſu eminentem coniectare malitiam, tum quòd de induſtria quæ non erãt dicebat: tum quòd quaſi curam ipſorũ gereret, vt ſcire poſſet quæ illis à Deo præcepta, & ſic ad præuaricationem ipſos traheret. Igitur cùm poſſet ſtatim illius impoſturam videre, & auerſari verba vti nugacia, & ſeipſam in tantam humilitatem non deiicere, noluit. Oportebat (inquam) initiò colloquium illius non ferre, ſed illi ſoli loqui, propter quẽ, & in cuius adiutorium producta erat, particeps dignitatis illius facta.

A καὶ καθάπερ νῦν τὰ ἥμερα, οὕτω καὶ τὰ ἄγρια καὶ ἀτίθασσα τότε χειροήθη ἐτύγχανεν. Ἀλλ' ἴσως ἐνταῦθα διαπορήσειέ τις, καὶ μαθεῖν ζητήσειεν, εἰ καὶ τὸ θηρίον λόγου μετεῖχεν. οὐ τοῦτο, μὴ γένοιτο· ἀλλ' ἀεὶ ἀκολουθοῦντας τῇ γραφῇ τοῦτο λογίζεσθαι χρή, ὅτι τὰ μὲν ῥήματα ἦν τοῦ διαβόλου διὰ τὸν οἰκεῖον φθόνον πρὸς τὴν ἀπάτην ταύτην διεγερθέντος, τῷ δὲ θηρίῳ τούτῳ ὥσπερ ἐπιτηδείῳ ὀργάνῳ ἐχρήσατο, ἵνα δυνηθῇ τὸ δέλεαρ τῆς οἰκείας ἀπάτης ἐνιεὶς ὑποσκελίσαι πρότερον μὲν τὴν γυναῖκα, ἅτε ἀεὶ εὐχειρωτέραν δυναμένην ἀπατηθῆναι, ἔπειτα δὲ δι' αὐτῆς καὶ τὸν πρωτόπλαστον. τῷ οὖν ἀλόγῳ **B** τούτῳ χρησάμενος πρὸς τὴν τῆς ἐπιβουλῆς κατασκευὴν δι' αὐτοῦ τῇ γυναικὶ διαλέγεται, καί φησι· τί ὅτι εἶπεν ὁ θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου; σκοπεῖτε ἐνταῦθα κακουργίας ὑπερβολὴν λεπτοτάτην, τὸ μὴ ῥηθὲν ὑπὸ τοῦ θεοῦ ἐν τάξει συμβουλῆς καὶ ἐρωτήσεως εἰσάγει, καὶ ὡσανεὶ τὴν ὑπὲρ αὐτῶν κηδεμονίαν ποιούμενος. τοῦτο γάρ ἐστιν ἐνδεικνυμένου τὸ λέγειν, τί ὅτι εἶπεν ὁ θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου, μονονουχὶ λέγων ὁ πονηρὸς οὗτος δαίμων, τίνος ἕνεκεν ἀπεστέρησεν ὑμᾶς τῆς τοσαύ- **C** της ἀπολαύσεως; διὰ τί οὐ συγχωρεῖ μετέχειν τῶν ἐν τῷ παραδείσῳ ἀγαθῶν, ἀλλὰ τῆς μὲν θέας τὴν ἀπόλαυσιν ἐδωρήσατο, οὐκ ἀφίησι δὲ μεταλαβεῖν, καὶ πλείονα καρποῦσθαι τὴν ἡδονήν; τί ὅτι εἶπεν ὁ θεός; διὰ τί φησι τοῦτο; τί τὸ ὄφελος τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς, ὅταν μὴ ἐξῇ τῶν ἐν αὐτῷ ἀπολαύειν, ἀλλὰ ταύτῃ μάλιστα πλείονα τὴν ὀδύνην ἔχειν, ὅτ' ἂν θέα μὲν ᾖ, ἀπόλαυσις δὲ ἡ ἀπὸ τῆς μεταλήψεως μὴ γίνηται; εἶδες πῶς καθάπερ δέλεαρ διὰ τῶν ῥημάτων ἐνίησιν αὐτοῦ τὸν ἰόν; δέον τὴν γυναῖκα ἐξ αὐτῆς τῆς ἐπιχειρήσεως κατανοῆσαι τῆς μανίας τὴν ὑπερβολήν, καὶ ὅτι τὰ μὴ **D** ὄντα ἐπιτηδὲς λέγει, καὶ ἐν τάξει δῆθεν κηδεμονίας, ἵνα μαθεῖν δυνηθῇ τὰ παρὰ τοῦ θεοῦ αὐτοῖς ἐνταλθέντα, οὕτω πρὸς τὴν παράβασιν αὐτοὺς ἑλκύσῃ. δυναμένη τοίνυν εὐθέως συνιδεῖν αὐτοῦ τὴν ἀπάτην, καὶ ἀποστραφῆναι λοιπὸν τὴν πρὸς αὐτὸν διάλεξιν ὡς περιττὰ λέγοντα, καὶ μὴ ἑαυτὴν εἰς τοσαύτην ταπεινότητα καταγαγεῖν, οὐκ ἠθέλησεν. ἔδει μὲν γὰρ μηδὲ ἐξ ἀρχῆς ἀνέχεσθαι τῆς πρὸς αὐτὸν διαλέξεως, ἀλλ' ἐκείνῳ μόνῳ διαλέγεσθαι, δι' ὃν παρήχθη, καὶ κοινωνὸς κατὰ τὴν ἀξίαν γέγονε, καὶ εἰς βοήθειαν ἐδημιουργήθη.

ἐπειδὴ δὲ οὐκ οἶδ' ὅπως παρασυρεῖσα ἠνέσχετο τῆς ὁμιλίας πρὸς τὸν ὄφιν, καὶ ἐδέχετο τὰ ὀλέθρια ῥήματα τοῦ διαβόλου διὰ τούτου ὡς δι' ὀργάνου, ἀκόλουθον ἦν εὐθέως μαθοῦσαν ἐκ τῶν παρ' αὐτοῦ λεχθέντων τὴν ἐναντίωσιν τῶν ῥημάτων, καὶ ὅτι ἕτερα μὲν ὁ δημιουργήσας προσέταξεν, ἕτερα δὲ οὗτος, καὶ ἀπεναντίας τῷ δημιουργῷ λέγει, ἀποστραφῆναι καὶ φυγεῖν λοιπὸν τὴν πρὸς αὐτὸν ὁμιλίαν, καὶ βδελύξασθαι τὸν τολμήσαντα τὴν οἰκείαν γλῶσσαν ἀκονῆσαι κατὰ τῆς δοθείσης αὐτοῖς ἐντολῆς. ἀλλὰ διὰ τὴν πολλὴν ἀπροσεξίαν οὐ μόνον οὐκ ἀπεστράφη, ἀλλὰ καὶ τὴν ἐντολὴν ἅπασαν αὐτῷ ἐκκαλύπτει, καὶ τοὺς μαργαρίτας τῷ χοίρῳ περιτίθησι, καὶ πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ εἰρημένον· μὴ βάλητε γάρ φησι τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς, ὃ δὴ καὶ νῦν γέγονε. προέθηκε γὰρ τῷ χοίρῳ τῷ πονηρῷ τούτῳ θηρίῳ, ἤτοι τῷ δαίμονι τῷ δι' αὐτοῦ ἐνεργοῦντι τοὺς θείους μαργαρίτας, καὶ οὐ μόνον αὐτοὺς κατεπάτησε, καὶ ἀντετάξατο τοῖς ῥήμασιν, ἀλλὰ καὶ στραφεὶς οὐκ αὐτὴν μόνον, ἀλλὰ μετ' αὐτῆς καὶ τὸν πρωτόπλαστον εἰς τὸ τῆς παρακοῆς ῥῆγμα κατήγαγε. τοσοῦτόν ἐστι κακὸν ἁπλῶς καὶ ὡς ἔτυχεν ἀνέδην πᾶσιν ἐκκαλύπτειν τὰ θεῖα μυστήρια. ἀκουέτωσαν οἱ ἁπλῶς καὶ ἀδιαφόρως πρὸς ἅπαντας διαλεγόμενοι. οὐδὲ γὰρ ἐκεῖ περὶ χοίρων αἰσθητῶν ὁ Χριστὸς λέγει, ἀλλὰ τοὺς χοιρώδεις τῶν ἀνθρώπων αἰνιττόμενος, καὶ ὁμοίως τοῖς ἀλόγοις ἐγκυλινδουμένους τῷ τῆς ἁμαρτίας βορβόρῳ, παιδεύων ἡμᾶς εἰδέναι καὶ προσώπων διαφορὰν, καὶ πολιτείας ἐπιζητεῖν ἀκρίβειαν, ἡνίκα ἂν δέῃ τι τῶν θείων λογίων ἐκκαλύπτειν, ἵνα μὴ κἀκείνους καὶ ἑαυτοὺς λυμαινώμεθα. οἱ γὰρ τοιοῦτοι οὐ μόνον οὐδὲν κερδαίνουσιν ἀπὸ τῶν λεγομένων, ἀλλὰ καὶ τοὺς ἀνεξετάστως παραθέντας τοὺς καλοὺς τούτους μαργαρίτας εἰς τὸ αὐτὸ αὐτοῖς βάραθρον τῆς ἀπωλείας πολλάκις κατήγαγον. διὸ χρὴ μετ' ἀκριβείας ταῦτα παραφυλάττεσθαι, ἵνα μὴ τὰ αὐτὰ τοῖς νῦν ἀπατηθεῖσιν ὑπομένωμεν. εἰ γὰρ καὶ νῦν ἡ γυνὴ ἐβουλήθη τοὺς θείους μαργαρίτας μὴ προθεῖναι τῷ χοίρῳ, οὐκ ἂν οὔτε αὐτὴ εἰς τὸν κρημνὸν τοῦτον κατηνέχθη, οὔτε τὸν ἄνδρα συγκατέσπασεν. ἀλλ' ἀκούσωμεν τί πρὸς αὐτὸν ἀποκρίνεται. εἰπόντος γὰρ ἐκείνου, τί ὅτι εἶπεν ὁ θεὸς ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου οὐ μὴ φάγητε;

A Quia autem neſcio quomodo allecta, colloquium ſerpentis tulit: per quem, vt inſtrumentum, pernicioſa diaboli verba ſuſcepit: congruũ erat ſtatim quum diſceret ex verbis ab illo dictis, quòd diuerſa à verbis Dei eſſent: & quòd alia quidem conditor imperaſſet, alia autem ille, & planè contraria Deo diceret: vt ipſa auerſaretur, & fugeret illius conſuetudinem, abominaretúrque illum, qui ſuam linguam contra datum illis mandatum acuere audebat. Verùm quia præ mágna negligentia non attendebat, non ſolum non eſt illum a- B uerſata, ſed omne mandatum illi detexit, & porco margaritas obiecit, impletúrque quod à Chriſto dictum eſt: Ne mittatis margaritas veſtras ante porcos: ne fortè conculcent illas pedibus ſuis, & conuerſi vos diſrumpant. (Matth. 7. 6.) Id quod & hic factum eſt. Appoſuit enim porco, huic malæ beſtiæ, dæmoni videlicet, qui per ſerpentem operabatur, diuinas margaritas: & non ſolum illas conculcauit, & dictis ſe oppoſuit: ſed & cõuerſus, non ipſam ſolum, ſed cum ipſa primi- C genium hominem quoque in morbum inobediẽtiæ perduxit. Tantum malum eſt abſque delectu cuiuis & promiſcuè diuina myſteria detegere. Audiãt qui ſine diſcrimine ſimpliciter cum omnibus colloquuntur. Neque enim ibi Chriſtus de ſenſibilibus porcis præcepit, ſed homines porcinis moribus denotat, qui ſicut bruta illa in peccati luto inuoluũtur: docẽs nos, vt perſonarum diuerſitatem dignoſcamus, & vitæ rationes inquiramus, quando aliquid diuinorum eloquiorum exponere opus fuerit, ne & D illos, & noſmetipſos lædamus. Nam qui tales ſunt, non ſolum nihil lucri ex dictis capiunt, ſed & eos qui bonas illas margaritas abſque diſquiſitione illis propoſuerant, ſecum in ſuæ perditionis profundum pertrahunt. Ideo cum diligentia obſeruanda ſunt hæc, ne eadem patiamur quæ illi qui hîc decepti ſunt. Nam & nunc ſi voluiſſet mulier non proponere margaritas porco, neque ipſa in præcipitiũ ruiſſet, neque virum ſecum traxiſſet. Sed audiamus quid illi reſpondeat. Nam vt dixerat, cur dixit Deus: de omni ligno paradiſi ne cõmedatis?

Porci dicti homines quinã

A inquit mulier ſerpenti: [2] *De omni ligno paradiſi comedimus:* [3] *de fructu autem ligni, quod eſt in medio paradiſi, dixit Deus, ne comedatis, neque attigeritis ipſum, vt non moriamini.* Vidiſti malignitatem? dixit quod non erat, vt in colloquium prouocaret, & diſceret id quod erat. Mulier enim poſtea confidens quòd beneuolè erga ſe affectus eſſet, totum mandatum detexit, diligentérque recenſuit omnia, & reſponſo ſuo omnem ſibimet ipſi defenſionē abſtulit. Quid enim potes dicere, ô mulier? Dixit Deus: ne comedatis de omni ligno quod eſt in paradiſo. B Oportebat te auerſabundam ab eo, qui diuerſa à Deo dixerat, dicere: Apage, impoſtor es tu, neſcis neque mandati nobis dati potentiam, neque quantis fruimur, neque copiam eorum quæ nobis ſuppeditantur. Nam tu quidem ais Deum dixiſſe, quòd nullum deguſtare debeamus lignum. Dominus autem & conditor, ob immodicam ſuam bonitatem nobis permiſit frui, & poteſtatem habere omnium, & ab vno tantum abſtinere iuſſit, C idque noſtræ curæ gratia, vt ne guſtato illo, morte occumberemus. Oportebat, ſi quidem prudens fuiſſet, his ad illum dictis illum omnino auerſari, nihílque vltrà illi loqui, neque audire loquentem: ſed iſta reuelato præcepto, & narratis Dei verbis, aliud lethiferum & pernicioſum conſilium ab illo accipit. Nam poſtquam dixit mulier: De omni ligno paradiſi edimus, de fructu autem ligni quod eſt in medio paradiſi, dixit Deus, Ne comedatis ex illo, neque attigeritis ipſum, D ne moriamini: iterum malignus ſalutis noſtræ inimicus contrarium Deo conſilium affert. Quippe cùm benignus Deus, ob magnam noſtri curam ſumere prohibuerit, vt ne per inobedientiam mortales fieremus: ille dicit mulieri: Non morte moriemini. Quali venia dignabitur vllus mulierem? omnino enim aures occludere potuerat, illo temeraria hæc dicente. Nam cùm Deus dixerit, ne comedatis, vt ne moriamini: ille inquit, non morte moriemini. Dein non contentus quòd dixerat contraria dictis Dei,

A φησὶν ἡ γυνὴ τῷ ὄφει· ἀπὸ καρποῦ τοῦ ξύλου τοῦ παραδείσου φαγούμεθα· ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου εἶπεν ὁ θεὸς οὐ φάγεσθε, οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. εἶδες κακουργίαν; εἶπε τὸ μὴ ὄν, ἵνα ἐκκαλεσάμενος αὐτὴν εἰς διάλεξιν μάθῃ τὸ ὄν. ἡ γὰρ γυνὴ λοιπὸν ὡς εὐνοϊκῶς περὶ αὐτὴν διακειμένου θαρρήσασα πᾶσαν ἐκκαλύπτει τὴν ἐντολήν, καὶ λέγει πάντα μετ᾽ ἀκριβείας, καὶ δι᾽ ὧν ἀπεκ[redacted]πάσης ἑαυτὴν ἀποστερεῖ τῆς ἀπολογίας. τί γὰρ ἂν ἔχοις εἰπεῖν ὦ γύναι; εἶπεν ὁ θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου. B δέον σε ὡς ἐναντία εἰρηκότα ἀποστραφῆναι καὶ εἰπεῖν πρὸς αὐτόν· ἄπαγε ἀπατεὼν εἶ σύ, οὐκ οἶσθα οὐδὲ τῆς ἐντολῆς τῆς δεδομένης ἡμῖν τὴν δύναμιν, οὐδὲ τῆς ἀπολαύσεως τὸ μέγεθος, τὴν δαψίλειαν τῆς χορηγίας. σὺ μὲν γὰρ ἔφης εἰρηκέναι τὸν θεὸν ἀπὸ μηδενὸς ξύλου ἡμᾶς ἀπογεύσασθαι, ὁ δὲ δεσπότης καὶ δημιουργὸς διὰ πολλὴν ἀγαθότητα πάντων ἡμῖν ἀνεὶς τὴν ἀπόλαυσιν, καὶ τὴν ἐξουσίαν πλὴν ἑνὸς μόνου ἀπέχεσθαι ἑνὸς μόνου ἀπέχεσθαι ἐκέλευσε, καὶ τοῦτο πάλιν διὰ τὴν περὶ ἡμᾶς κηδεμονίαν, ὥστε μὴ μεταλαβόντας ἁλῶναι τῷ θανάτῳ. C δέον εἴπερ εὐγνώμων ἦν, ταῦτα πρὸς αὐτὸν εἰποῦσαν ῥήματα πάντη ἀποστραφῆναι, καὶ μηκέτι μήτε διαλεχθῆναι, μήτε ἀκοῦσαί τι τῶν παρ᾽ αὐτοῦ λεγομένων· ἀλλὰ τὴν ἐντολὴν ἐκκαλύψασα καὶ εἰποῦσα τὰ παρὰ τοῦ θεοῦ αὐτῇ ῥηθέντα ἄλλην δέχεται παρ᾽ αὐτοῦ συμβουλὴν ὀλεθρίαν καὶ θανάσιμον. ἐπειδὴ γὰρ εἶπεν ἡ γυνή, ὅτι ἀπὸ καρποῦ τοῦ ξύλου φαγούμεθα, ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου εἶπεν ὁ θεὸς οὐ φάγητε ἀπ᾽ αὐτοῦ, οὐδ᾽ οὐ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε, D πάλιν ὁ πονηρὸς καὶ ἐχθρὸς τῆς ἡμετέρας σωτηρίας ἐναντίαν τῷ δεσπότῃ τὴν συμβουλὴν εἰσάγει. τοῦ γὰρ φιλανθρώπου θεοῦ διὰ κηδεμονίαν τὴν μετάληψιν κωλύσαντος, ἵνα μὴ διὰ τῆς παρακοῆς θνητοὶ γένωνται, οὗτός φησι τῇ γυναικί, οὐ θανάτῳ ἀποθανεῖσθε. ποίας ἂν τις ἀξιώσειε συγγνώμης τὴν γυναῖκα, ὅτι ὅλως κἂν ἀποφράξαι ἠδύνατο τὰς ἀκοὰς τοῦ οὕτω τολμηρὰ φθεγγομένου; εἰπόντος γὰρ τοῦ θεοῦ μὴ ἅψησθε, ἵνα μὴ ἀποθάνητε, οὗτός φησιν, οὐ θανάτῳ ἀποθανεῖσθε. εἶτα οὐκ ἀρκεσθεὶς τῷ ἀντιφθέγξασθαι τοῖς παρὰ τοῦ θεοῦ ῥηθεῖσι,

A καὶ ὡς φθονερὸν διαβάλλει τὸν δημιουργὸν, ἵν' οὕτω τὴν ἀπάτην εἰσαγαγεῖν δυνηθείη, καὶ τὴν γυναῖκα ὑποσκελίσας τὸν οἰκεῖον σκοπὸν ἀποπληρώσῃ. οὐ θανάτῳ φησὶν ἀποθανεῖσθε. ᾔδει γὰρ ὁ θεὸς, ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. ἰδοὺ τὸ δέλεαρ ἀπέδω. πληρώσας γὰρ τὴν κύλικα δηλητηρίου φαρμάκου ἐπέδωκε τῇ γυναικὶ, ἣ δὲ τὸ θανάσιμον ἰδεῖν οὐ βουληθεῖσα· ἐδύνατο γὰρ εἴπερ ἐβούλετο ἐκ προοιμίων τοῦτο γνῶναι· ἀλλ' ἀκούσασα παρ' B αὐτοῦ ὅτι διὰ τοῦτο τὴν μετάληψιν ἐκώλυσεν ὁ θεὸς, ἐπειδὴ ᾔδει, ὅτι διανοιγήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν, τῇ ἐλπίδι τῆς ἰσοθείας φυσηθεῖσα, μεγάλα ἤδη λοιπὸν φανταζομένη. τοιαῦτα γὰρ τὰ παρὰ τοῦ ἐχθροῦ μηχανήματα· ὅταν εἰς πολὺ ὕψος διὰ τῆς ἀπάτης ἀναγάγῃ τὸ τηνικαῦτα εἰς τὸν βαθὺν κρημνὸν κατάγει. φαντασθεῖσα γὰρ ἰσοθείαν ἐπὶ τὴν μετάληψιν ἔσπευδε, καὶ λοιπὸν ἔτεινε καὶ τὸν λογισμὸν καὶ τὴν διάνοιαν, καὶ οὐδὲν ἕτερον περιεσκόπει, ἢ πῶς τὴν κύλικα ἐκπίῃ, C τὴν παρὰ τοῦ πονηροῦ δαίμονος κερασθεῖσαν. μετὰ γὰρ τὸ δέξασθαι τὸν ὀλέθριον ἐκεῖνον ἰὸν διὰ τῆς συμβουλῆς τοῦ ὄφεως, ἵνα μάθῃς ὅτι περὶ τούτων τὴν σπουδὴν εἶχεν, ἄκουε τῆς θείας γραφῆς λεγούσης· καὶ εἶδεν ἡ γυνὴ, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, ἔλαβεν ἀπὸ τοῦ καρποῦ αὐτοῦ καὶ ἔφαγεν. ἀληθῶς, φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί; διὰ τί γὰρ πρὸ τῆς συμβουλῆς τοῦ πονηροῦ δαίμονος ἐκείνου μηδὲν τοιοῦτον ἔπαθε, μηδὲ κατενόησε τὸ ξύλον, μηδὲ εἶ- D δεν αὐτοῦ τὴν ὡραιότητα; ἐπειδὴ ἐδεδοίκει τοῦ θεοῦ τὴν ἐντολὴν καὶ τὸ μέλλον ἐπιτίμιον ἔσεσθαι ἐκ τῆς μεταλήψεως, νυνὶ δὲ ἐπειδὴ ἠπατήθη παρὰ τοῦ πονηροῦ θηρὸς τούτου, ὅτι οὐ μόνον οὐδὲν πείσονται, ἀλλὰ καὶ ἰσόθεοι ἔσονται, τότε λοιπὸν ἡ ἐλπὶς τῆς ὑποσχέσεως ἐπὶ τὴν μετάληψιν αὐτὴν παρώρμησε, καὶ οὐκ ἀνασχομένη μεῖναι ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλὰ τὸν ἐχθρὸν καὶ πολέμιον τῆς σωτηρίας τῆς ἡμετέρας ἀξιοπιστότερον εἶναι νομίσασα τῶν παρὰ τοῦ θεοῦ ῥημάτων, ἐμάνθανε διὰ τῆς πείρας αὐτῆς μετ' οὐ πολὺ τῆς συμβουλῆς τὸ ὀλέθριον καὶ τὴν ἐκ τῆς μεταλήψεως καταληψομένην αὐτοὺς συμφοράν. ἰδοῦσα γάρ φησιν

incuſat eum etiam vt inuidum opificem, quò ſic fraudes ſuæ procedant, & ſupplantata muliere propoſitum ſuum impleat. *Non morte moriemini. Sciebat enim Deus, quòd quocunque die comedetis ex eo, aperientur oculi veſtri, & eritis ſicut dij, ſcientes bonum & malum.* Ecce nihil niſi eſcam: calicem enim perniciali veneno plenum mulieri dedit, quæ lethiferum hoc eſſe videre noluit. Poterat enim, ſi voluiſſet, ab initio hoc ſcire: ſed vt audiuit ab illo, quòd ideo eſum hunc prohibuiſſet Deus, quia ſciret oculos ipſorum aperiendos, eóſque ſicut Deos fore, ſcientes bonum & malum: æqualis diuinitatis ſpe inflata, magna quædam ſecum concipiebat. Tales enim ſunt machinationes inimici, vt quando per deceptionem in ſublime ſubduxerit, tandem & in profundum per præceps deiiciat. Igitur vt diuinitatem mente ſua imaginata eſt, ad eſum properauit, & illuc poſtea fixit & cogitationem, & mentem. Et nihil aliud conſiderabat, quàm vt calicem à maligno dæmone temperatum, epotaret. Nam quòd accepto pernicioſo illo ſerpentini conſilij veneno, tale ipſi ſtudium fuerit, audi ſcripturam dicentem: *Et vidit mulier, quòd bonum eſſet lignum ad veſcendum, & gratum oculis ad videndum, formoſúmque ad contemplandum: & accepit de fructu illius, & comedit.* Verè corrumpunt bonos mores colloquia praua. Quare enim non ante diabolicum conſilium, illi tale quid in mentem venit, nec lignum hoc conſiderauit, eiúſque pulchritudinem vidit? Quia timebat mandatum Dei, & ſubſecuturum ſupplicium: nunc autem poſtquam à mala hac beſtia decepta eſt, ita vt crederet quòd per hoc non ſolum non offendantur, ſed & Deo æquales ſint futuri: tunc illam ſpes promiſſionis ad ſumendum cibum impulit: neque intra ſuos limites contenta, ſed inimico & hoſti ſalutis noſtræ maiorem fidem habens, quàm verbis Dei: didicit experientia ipſa non multò pòſt conſilij perniciem, & quanta calamitas ipſos deprehenſura eſſet. Nam vt vidit, inquit,

1. Cor. 15. 33.

A quòd lignum eſſet bonum ad veſcendum, & quòd oculis gratum ad videndum, & formoſum ad contemplandum, cogitauit ſecum, fortè ex diaboli deceptione, quam per ſerpẽtem ille afferebat, ſi & ad veſcendum bonum eſt lignum, in quo tanta formoſitas, & quod tantum oblectare poteſt oculos, inſuper etiam præbebit nobis eius ſumptio ſummum honorem, & habebimus eandem quam conditor dignitatem: quare non ſumeremus de eo? Vidiſti quomodo illam diabolus captiuam duxit, & allexit rationem, fecítque vt quæ ſu-B pra ſuam dignitatem erant, ſapere auderet, quò inflata ſpe vana, & ab his quoque quæ ipſi conceſſa erant, excideret? *Et accepit de fructu illius, & comedit. Et dedit etiam viro ſuo, qui erat cum illa, & comederunt:* [7] *& aperti ſunt oculi illorum, & cognouerunt quòd nudi eſſent.* Quid feciſti ô mulier? Quare pernicioſo conſilio accepto, legem à Deo datam conculcaſti, & mandatum contempſiſti, & in tantam veniſti intemperantiam, vt non contẽta tot tantorúmque fruitione, etiam vnicum hoc lignum, de quo ne co-C mederes præceperat Dominus, auſa ſis contrectare? & fide habita his quæ à ſerpente dicta ſunt, fidelius putaſti illius conſilium, quàm mandatum à conditore datum? & in tantum decepta es, vt ne venia quidem digna Dei ſis? Num enim eiuſdem naturæ erat qui hoc conſulebat? ex ſubditis erat & ſeruis, & ſub tua poteſtate erat. Quare ſic teipſam confudiſti? quare illo relicto, propter quem formata es, ad cuius auxilium producta es, cuius dignitatum particeps, & cum quo eiuſdem es ſubſtantiæ & D vocis, in familiaritatem ſerpentis venire ſuſtinuiſti, vt à diabolo per hanc beſtiam acciperes conſilium, manifeſtè contrarium his, quæ à Deo ſunt iniuncta: neque ſic auerſata es illum, ſed ſpe promiſſionis, de cibo illo ſumere auſa es? Eſto igitur, teipſam in tantum præcipitium depuleris, & honore maximo priuaueris: quare & virum tantæ ruinæ ſocium facis? & cuius te adiutricem eſſe oportebat, illius facta es inſidiatrix, & ob minimum cibi illum quoque tecum à gratia Dei ab alienas?

ὅτι καλὸν εἰς βρῶσιν καὶ τοῖς ὀφθαλμοῖς ἀρεστὸν ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, λογισαμένη πρὸς ἑαυτὴν ἴσως ἐκ τῆς παρὰ τοῦ διαβόλου ἀπάτης, ἣν διὰ τοῦ ὄφεως αὐτῇ προσήγαγεν, εἰ καὶ εἰς βρῶσιν καλὸν τὸ ξύλον καὶ τοὺς ὀφθαλμοὺς οὕτω τέρπειν δύναται, καὶ ὡραιότης τις ἐστὶν ἄφατος ἐν αὐτῷ, παρέξει δὲ ἡμῖν ἡ τούτου μετάληψις καὶ τὴν ἀνωτάτω τιμὴν, καὶ τὴν αὐτὴν ἀξίαν τῷ δημιουργῷ ἕξομεν, τίνος ἕνεκεν οὐ μεταληψόμεθα τούτου; εἶδες ὅπως αὐτὴν αἰχμάλωτον ὁ διάβολος ἀπήγαγε, καὶ ὑπέσυρε τοῦ λογισμοῦ τὸν λογισμὸν, καὶ παρεσκεύασε μείζονα τῆς οἰκείας ἀξίας φρονῆσαι, ἵνα κεναῖς ἐλπίσι φυσωμένη ἐκπέσῃ τῶν ἤδη παρασχεθέντων; καὶ ἔλαβε φησὶν ἀπὸ τοῦ καρποῦ καὶ ἔφαγε, καὶ ἔδωκε τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον, καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν. τί πεποίηκας ὦ γύναι; οὐ μόνον αὐτὴν τὴν ὀλεθρίαν συμβουλὴν δεξαμένη τὸν παρὰ τοῦ θεοῦ δεδομένον νόμον κατεπάτησας, καὶ ἐξύβρισας εἰς τὴν ἐντολὴν, καὶ τοσαύτῃ ἐχρήσω τῇ ἀκρασίᾳ, ὡς μὴ ἀρκεσθῆναι τῇ τοσαύτῃ ἀπολαύσει, ἀλλὰ καὶ τοῦ ἑνὸς ξύλου, οὗ προσέταξεν ὁ δεσπότης, μὴ ἐφάψασθαι, ἐτόλμησας ἐπιλαβέσθαι, καὶ ἐπίστευσας τοῖς παρὰ τοῦ ὄφεως εἰρημένοις, καὶ ἀξιοπιστοτέραν τὴν τούτου συμβουλὴν ἐνόμισας τῆς παρὰ τοῦ δημιουργήσαντος δοθείσης ἐντολῆς, καὶ τοσαύτην ἀπατηθῆναι ἀπάτην μηδὲ συγγνώμης ἀξίαν· μὴ γὰρ ὁμογενής σοι ἦν ὁ τὴν συμβουλὴν εἰσαγαγών; τῶν ὑποτεταγμένων ἐτύγχανε τῶν δούλων τῶν ὑπὸ τὴν σὴν ἐξουσίαν τυγχανόντων. τίνος ἕνεκεν οὕτω σαυτὴν κατῄσχυνας, καὶ ἐκεῖνον καταλιποῦσα, δι' ὃν ἐδημιουργήθης, ᾧ πρὸς βοήθειαν παρήχθης, ᾧ κοινωνὸς τῆς ἀξίας ἐγένου, καὶ ὁμοούσιος, καὶ ὁμόφωνος, τῷ ὄφει εἰς ὁμιλίαν ἐλθεῖν κατεδέξω, καὶ διὰ τοῦ θηρίου τούτου τὴν παρὰ τοῦ διαβόλου δέξασθαι συμβουλὴν, καὶ φανερῶς ἀπεναντίας οὖσαν τῆς τοῦ δημιουργήσαντος νομοθεσίας; οὐδὲ οὕτως ἀπεστράφης, ἀλλὰ τῇ ἐλπίδι τῆς ὑποσχέσεως κατετόλμησας τῆς μεταλήψεως; ἔστω τοίνυν, σαυτὴν εἰς τοσοῦτον κρημνὸν κατήγαγες, καὶ τῆς τιμῆς τῆς ὑπερβαλλούσης ἀπεστέρησας, τίνος ἕνεκεν καὶ τὸν ἄνδρα κοινωνὸν λαμβάνεις τοῦ χαλεποῦ τούτου πταίσματος, καὶ ᾧ βοηθὸς εἶναι ἐτάχθης τούτου ἐπίβουλος γίνῃ, καὶ διὰ μικρᾶς βρώσεως τῆς εὐνοίας τῆς παρὰ τοῦ θεοῦ ἀλλοτριοῖς κἀκεῖνον μετὰ σαυτῆς;

ποία μανίας ὑπερβολὴ εἰς ταύτην σε τὴν τόλμαν ἤγαγεν; οὐκ ἤρκει σοι τὸν ἀταλαίπωρον ζῆν τὸν βίον, τὸ σῶμα μὲν περικεῖσθαι, μηδενὸς δὲ δεῖσθαι τῶν σωματικῶν; τὸ πάντων τῶν ἐν τῷ παραδείσῳ ἀπολαύειν πλὴν ἑνὸς ξύλου, τὸ πάντα τὰ ὁρώμενα ὑπὸ τὴν ἐξουσίαν εἶναι τὴν ὑμετέραν, καὶ τὴν κατὰ πάντων ἀρχὴν κεκτῆσθαι· ἀλλ' ἀπατηθεῖσα ταῖς ἐλπίσι προσεδόκησας καὶ εἰς αὐτὴν τὴν ἀνωτάτω κορυφὴν ἥξειν; διὰ τοῦτο μαθήσῃ δι' αὐτῶν τῶν πραγμάτων, ὅτι οὐ μόνον ἐκείνων οὐκ ἐπιτεύξῃ, ἀλλὰ καὶ πάντων τῶν ἤδη δεδομένων ἀποστερήσεις καὶ σαυτήν, καὶ τὸν ἄνδρα, καὶ εἰς τοσαύτην ἥξετε μεταμέλειαν ὡς ὑμᾶς μὲν ἄπρακτα μεταγινώσκειν, τὸν δὲ πονηρὸν δαίμονα τὸν τὴν ὀλεθρίαν ταύτην συμβουλὴν εἰσαγαγόντα ἐπιγελᾶν, καὶ ἐπεμβαίνειν ἅτε δὴ λοιπὸν κειμένοις, καὶ τὰ αὐτὰ αὐτῷ πεπονθόσι. καθάπερ γὰρ ἐκεῖνος τὰ ὑπὲρ τὴν ἀξίαν φρονήσας, καὶ τῆς παρασχεθείσης ἀξίας ἐξεβλήθη, καὶ ἐκ τῶν οὐρανῶν εἰς τὴν γῆν κατηνέχθη· τὸ αὐτὸ δὴ καὶ ὑμᾶς ἐργάσασθαι ἠβουλήθη, καὶ διὰ τῆς παραβάσεως τῆς ἐντολῆς εἰς τὸ τοῦ θανάτου ἐπιτίμιον ἀγαγεῖν, καὶ τὸν οἰκεῖον φθόνον πληρῶσαι, καθὼς καὶ σοφός τις ἔλεγε. Φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθε. καὶ ἔδωκέ φησι καὶ τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον, καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί. πολλὴ καὶ τοῦ ἀνδρὸς ἡ ῥᾳθυμία. εἰ γὰρ καὶ ὁμογενὴς ἦν, καὶ γυνὴ ἦν, ἀλλ' ἐχρῆν ἔναυλον ἔχοντα τοῦ θεοῦ τὴν ἐντολὴν προτιμοτέραν ταύτην ποιήσασθαι τῆς ἀκαίρου ἐπιθυμίας ἐκείνης, καὶ μὴ κοινωνῆσαι τῆς παραβάσεως, μηδὲ διὰ βραχεῖαν ἡδονὴν τῶν τοσούτων ἀγαθῶν ἑαυτὸν ἀποστερῆσαι, καὶ προσκροῦσαι τῷ οὕτως εὐεργέτῃ, καὶ τοσαύτην φιλανθρωπίαν ἐπιδειξαμένῳ, καὶ οὕτως ἀνώδυνον, καὶ μόχθου παντὸς ἀπηλλαγμένον βίον χαρισαμένῳ. μὴ γὰρ οὐκ ἐξῆν τῶν ἄλλων ἁπάντων τῶν ἐν τῷ παραδείσῳ μετὰ δαψιλείας ἀπολαύειν; τίνος οὖν ἕνεκεν οὕτως εὔκολον οὖσαν τὴν ἐντολὴν φυλάξαι οὐδὲ αὐτὸς ἠβουλήθης; ἀλλ' ἴσως ἀκούσας παρὰ τῆς γυναικὸς τῆς ὀλεθρίας συμβουλῆς τὴν ὑπόσχεσιν, καὶ τῇ ἐλπίδι καὶ αὐτὸς φυσηθεὶς ἑτοίμως ἐκοινώνησας τῆς βρώσεως, διὰ τοῦτο καὶ τὸ ἐπιτίμιον ἀμφοτέρους διαδέχεται, καὶ τῶν πραγμάτων ἡ πεῖρα διδάξει ὑμᾶς μὴ τοῦ θεοῦ ἀξιοπιστοτέραν ἡγεῖσθαι τὴν τοῦ πονηροῦ δαίμονος συμβουλήν. καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς καὶ ἔφαγον, καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ

A Quæ te prodigioſa inſania in tantam audaciam induxit? Non ſatis erat tibi beatam hanc vitam agere, & corpore quidem veſtiri, neque corporalis alicuius indigam eſſe: omnibus in paradiſo frui, excepto vnico hoc ligno: viſibilia omnia ſub tua eſſe poteſtate, & te eſſe omnium dominam, ſed vanis decepta promiſſionibus, ſperaſti etiam in ſummum peruenire honoris faſtigium. Idcirco diſces re ipſa, quòd non ſolum illa non aſſequeris, ſed & omnibus iam à Deo tibi datis priuabis & teipſam, & virum, atque in tantam B pœnitudinem venietis, vt & ſerus veſter dolor futurus, & malignus hoſtis (qui hoc damnoſum vobis cōſilium ſuggeſſit) riſurus, vobiſque inſultaturus ſit, vtpote iacentibus, & eadem quæ ipſe paſſis. Etenim ſicut ille ſupra quàm decebat de ſe ſentiens, à conceſſa dignitate deturbatus, & è cœlis in terram deiectus eſt: iſtucipſum & vos facere, & per mandati præuaricationem in mortis venire pœnam voluit, ita ſuæ ſatisfaciens inuidiæ: ſicut & ſapiens quiC dam dicebat, Inuidia autem diaboli, mors in mundum intrauit. *Et dedit etiam viro ſuo. & comederunt: &* Sap. 2. 24. *aperti ſunt oculi illorum.* Magna etiam viri negligentia. Nam licet illa eiuſdem generis eſſet, & vxor, attamen oportebat virum pluris facere præceptum Dei recens, quàm illicitam hanc concupiſcentiam: & non fieri præuaricationis participem, neque ob minimas voluptates tantis ſeipſum priuare bonis, & offendere benefactorem, qui illum tanta liberalitate amplexatus eſt, vitámque D doloris & laboris omnis expertem cōceſſit. An non enim licebat omnibus aliis quę in paradiſo erāt abunde frui? Quare tam leue mandatum neque ipſe voluiſti ſeruare? Sed fortè audiuiſti à muliere pernicioſi conſilij promiſſionem, & ſpe etiam ipſe inflatus, cibi ſtatim particeps factus es, & idcirco vterque ſupplicium luetis. Docebítque vos rerum experientia, non eſſe fidelius maligni dæmonis conſilium, quàm Dei præceptum. *Et dedit etiam viro ſuo, & comederunt,* 7 *& aperti ſunt oculi amborum, & cognouerunt quòd nudi eſſent*

Queſtio magna nobis hinc naſcitur, ea ſcilicet, quam pridie pollicebar charitati veſtræ. Meritò enim quis rogauerit, quam virtutem habuerit hoc lignum, cuius eſus illorum oculos aperuerit, & quare lignum ſcientiæ boni & mali vocetur. Et ſi placet expectate, vt pauca etiam de his diſſerens charitatem veſtram doceam. Quòd ſi voluerimus prudenter, quæ in diuina ſcriptura dicuntur, intelligere, nihil dictorum nobis difficile erit. Neque enim eſus ex eo ligno oculos illorum aperuit. Nam & ante eſum videbant. Sed quia guſtus ille inobedientiæ erat argumentum, & præuaricatio mandati à Deo traditi: ob quam cauſam poſtea ablata eſt gloria, quæ illos circundabat, quia ſe indignos tali honore fecerant: propterea ſcriptura morem ſuum obſeruans, inquit: Comederunt, & aperti ſunt oculi illorum, & cognouerunt quòd nudi eſſent. Nudati propter peccatum, ſupernæ gratiæ amictu, & ſenſibilis ſuæ ſpoliationis ſenſum acceperunt, vt per erubeſcentiam, quæ inuadebat ipſos, certò ſcirent in quantam ruinam ipſos adduxiſſet mandati dominici præuaricatio. Qui enim antea fruebantur tanta fiducia, & neque ſibi conſcij erant ſeſe nudos eſſe, nec nudi erant, quandoquidem ſuperna ipſos gloria quouis veſtimento honeſtius tegebat: poſt eſum autem, hoc eſt, poſt præuaricationem præceptorum in tantam humilitatem redacti ſunt, vt ob intolerabilem erubeſcentiam veſtem tunc quærerent. Quippe mandati præuaricatio vt ſuperuenit, veſtem illam nouam & admirabilem, gloriæ (inquam) ac ſupernæ beneuolentiæ, expoliauit,& tam confuſione immodica circumdedit, quàm nuditatis ſenſum præbuit. 7 *Et conſuerunt folia ficus, & fecerunt ſibimetipſis ſuccinctoria.* Obſecro dilecte, cogita, quomodo, & à quanto faſtigio in profundum præcipitium deiecit illos diaboli conſilium. Nam tanta gloria dudum circumdati, nunc folia ficus conſuunt, & ſibi ſuccinctoria faciunt. Hoc diabolicæ deceptionis lucrum eſt:

A ἦσαν. ζήτημα μέγιστον ἡμῖν ἐντεῦθεν τίκτεται, ὅπερ πρώην ὑπεσχόμην τῇ ὑμετέρᾳ ἀγάπῃ. δικαίως γὰρ ἄν τις ἔροιτο τίνα τὴν ἰσχὺν εἶχε τὸ ξύλον ἐκεῖνο, ὥστε τὴν ἐξ αὐτοῦ βρῶσιν τοὺς ὀφθαλμοὺς αὐτῶν διανοῖξαι, καὶ διὰ τί γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται. καὶ εἰ βούλεσθε, ἀνάσχεσθε· μικρὰ γὰρ ὑμῖν καὶ περὶ τούτου διαλεχθῆναι βούλομαι, καὶ διδάξαι τὴν ὑμετέραν ἀγάπην, ὅτι εἰ βουληθείημεν εὐγνωμόνως δέχεσθαι τὰ ἐν τῇ θείᾳ γραφῇ λεγόμενα, οὐδὲν ἡμῖν τῶν εἰρημένων δυσχερὲς φανεῖται. οὐδὲ γὰρ ἡ ἐκ τοῦ ξύλου βρῶσις αὐτῶν τοὺς ὀφθαλμοὺς διήνοιξε· καὶ γὰρ καὶ πρὸ τῆς
B βρώσεως ἔβλεπον· ἀλλ᾽ ἐπειδὴ ἡ τοιαύτη βρῶσις παρακοῆς ὑπόθεσις, καὶ τῆς παρὰ τοῦ θεοῦ δοθείσης ἐντολῆς παράβασις, δι᾽ ἣν αἰτίαν λοιπὸν καὶ τὴν δόξαν τὴν περιστέλλουσαν αὐτοὺς ἀφῃρέθησαν, ἀναξίους ἑαυτοὺς τῆς τιμῆς τῆς τοσαύτης καταστήσαντες· διὰ τοῦτο τῇ οἰκείᾳ συνηθείᾳ κατακολουθοῦσα ἡ γραφή φησιν· ἔφαγον καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, διὰ τὴν παράβασιν τῆς ἐντολῆς γυμνωθέντες τῆς ἄνωθεν ῥοπῆς αἴσθησιν λαμβάνουσι καὶ τῆς αἰσθητῆς γυμνότητος, ἵνα διὰ τῆς καταλαβούσης αὐ-
C τοὺς αἰσχύνης γνῶσιν ἀκριβῶς εἰς οἷον αὐτοὺς ὄλισθον ἤγαγε τὸ παραβῆναι τὴν ἐντολὴν τοῦ δεσπότου. οἱ γὰρ πρὸ τούτου τοσαύτης παρρησίας ἀπολαύσαντες, καὶ οὐδὲν ἰδόντες ὅτι γυμνοὶ τυγχάνουσιν. οὐδὲ γὰρ ἦσαν γυμνοί. ἡ γὰρ ἄνωθεν δόξα παντὸς ἱματίου μᾶλλον αὐτοὺς περιέσκεπε. μετὰ δὲ τὴν βρῶσιν τουτέστι μετὰ τὴν παράβασιν τῶν προσταχθέντων εἰς τοσαύτην ταπεινότητα κατηνέχθησαν, ὡς σκέπην λοιπὸν ἐπιζητεῖν, διὰ τὸ μὴ φέρειν τὴν αἰσχύνην. ἡ γὰρ παράβασις τῆς ἐντολῆς ἐπεισελθοῦσα, τὸ ἱμάτιον ἐκεῖνο τὸ καινὸν καὶ παράδοξον, τὸ τῆς δόξης λέγω, καὶ τῆς ἄνωθεν
D εὐνοίας, ὅπερ ἦσαν ἠμφιεσμένοι περιελοῦσα, καὶ τῆς γυμνότητος αἴσθησιν παρέσχε, καὶ αἰσχύνῃ ἀφάτῳ περιέβαλε. καὶ ἔρραψαν φησὶ φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα. ἐννόησόν μοι ἀγαπητὲ ἀπὸ ποταποῦ ὕψους πῶς εἰς βαθὺν κρημνὸν αὐτοὺς κατήγαγεν ἡ παρὰ τοῦ διαβόλου συμβουλή. οἱ γὰρ τοσαύτῃ δόξῃ περιεσταλμένοι, νῦν φύλλα συκῆς ῥάπτουσι, καὶ ποιοῦσιν ἑαυτοῖς περιζώματα. τοῦτο τῆς τοῦ διαβόλου ἀπάτης τὸ κέρδος· αὕτη τῆς

συμβουλῆς ἐκείνου ἡ μηχανὴ τὸ μὴ μόνον τὰ μείζονα περιζενῆσαι, ἀλλὰ καὶ τῶν ὄντων γυμνὸν καὶ ἔρημον ἀποφῆναι. ἐπεὶ οὖν ἡ τοιαύτη πρόφασις τῆς βρώσεως τὴν παρακοὴν εἰργάσατο, διὰ τοῦτό φησιν ἡ γραφή, καὶ ἔφαγον καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί, οὐ περὶ τῶν αἰσθητῶν ὀφθαλμῶν φάσκουσα, ἀλλὰ περὶ τῆς κατὰ διάνοιαν αἰσθήσεως. ἐπειδὴ γὰρ παρέβησαν τὰ προστεταγμένα, αἰσθάνεσθαι αὐτοὺς λοιπὸν ἐποίησεν, ὧν πρότερον οὐκ ἐλάμβανον τὴν αἴσθησιν διὰ τὴν εὔνοιαν, ἣν περὶ αὐτοὺς ὁ δεσπότης ἐπεδείκνυτο. ὅταν οὖν ἀκούσῃς διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί, τοῦτο νόει, ὅτι παρεσκεύασεν αὐτοὺς αἴσθησιν λαβεῖν λοιπὸν τῆς γυμνότητος, καὶ τῆς ἐκπτώσεως τῆς δόξης, ἧς πρὸ τῆς βρώσεως ἀπήλαυον. ὅτι δὲ τοῦτο τῆς γραφῆς ἐστι τὸ ἔθος, ἄκουε καὶ ἀλλαχοῦ λεγούσης. ἡνίκα γὰρ ἡ παιδίσκη τῆς Σάρρας ἀποδιδράσκουσα τὴν δεσποτείαν ἐπλανᾶτο, ῥίψασα τὸ παιδίον πλησίον μιᾶς ἐλάτης ἀπὸ διαστήματος περιεσκόπει τούτου τὴν τελευτήν, καί φησι· διήνοιξεν ὁ θεὸς τοὺς ὀφθαλμοὺς τῆς Ἄγαρ, οὐκ ἐπειδὴ πρὸ τούτου οὐκ ἔβλεπεν, ἀλλ᾽ ὅτι τὴν διάνοιαν αὐτῆς διήγειρεν. ὁρᾷς ὅτι τὸ διήνοιξεν οὐ περὶ τῶν σωματικῶν ὀφθαλμῶν λέγει, ἀλλὰ περὶ τῆς αἰσθήσεως τῆς κατὰ διάνοιαν; τὸ αὐτὸ ἂν εἴποιμεν καὶ περὶ τοῦ ἑτέρου ζητήματος τοῦ ἐντεῦθεν ἀνακύπτοντος. φασὶ γὰρ διατί τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται; καὶ γὰρ πολλοὶ τῶν φιλονείκως διακειμένων λέγειν ἐπιχειροῦσιν, ὅτι μετὰ τὴν βρῶσιν τοῦ ξύλου τὴν γνῶσιν ἔσχεν ὁ Ἀδὰμ τοῦ διακρίνειν τὸ καλὸν καὶ τὸ χεῖρον. τοῦτο δὲ τῆς ἐσχάτης ἂν εἴη ἀνοίας. διὰ τοῦτο γὰρ πρώην ταῦτα προορῶντες τοσαῦτα περὶ τῆς σοφίας τοῦ θεοῦ παρασχεθείσης τῷ ἀνθρώπῳ διεξήλθομεν, δεικνύντες ταύτην ἐκ τῆς τῶν ὀνομάτων θέσεως, ἣν τοῖς θηρίοις πᾶσι, καὶ τοῖς πετεινοῖς, καὶ τοῖς ἀλόγοις ἐπέθηκεν, καὶ ὅτι μετὰ τῆς ἀφάτου ταύτης σοφίας καὶ προφητικοῦ χαρίσματος ἦν ἠξιωμένος, ἵνα μηδενὶ ἐξῇ τοῦτο λέγειν. ὁ τοίνυν καὶ τὰς προσηγορίας ἐπιθείς, καὶ προφητεύσας τὴν οὕτω θαυμαστὴν προφητείαν περὶ τῆς γυναικός, καθάπερ ἤδη εἰρήκαμεν, πῶς ἠγνόει τί μὲν καλόν, τί δὲ πονηρόν; εἰ γὰρ δὴ τοῦτο καταδεξώμεθα, ὃ μὴ γένοιτο· πάλιν εἰς τὸν δημιουργὸν τὰ τῆς βλασφημίας μετενεχθήσεται. πῶς γὰρ καὶ ἐνετέλλετο ἀγνοοῦντι, ὅτι κακὸν ἡ παράβασις; ἀλλ᾽ οὐκ ἔστι τοῦτο, μὴ γένοιτο· ἀλλ᾽ ᾔδει σαφῶς. διὰ γὰρ τοῦτο ἐξ ἀρχῆς αὐτεξούσιον τουτὶ τὸ ζῶον κατεσκεύασεν.

A Hoc machinabatur illius conſolatio, vt non ſolum maiora non conferret, ſed & acquiſitis nudaret, & deſtitutos ab his quæ habebant oſtenderet. Itaque quia cibi occaſio præuaricationem fecit: idcirco inquit, & comederunt, & aperti ſunt oculi amborum: non de ſenſibilibus oculis dicens, ſed de ſenſu mentis. Nam quoniam mandata tranſgreſſi ſunt, Deus eos ſentire fecit ea, quæ ante ob ſingularem illius in ſe beneuolentiam non ſentiebant. Igitur cùm audieris, quòd aperti ſunt oculi illorum: hoc cogita, quòd fecit illos

B poſtea nuditatem ſentire, & ablationem gloriæ qua ante eſum fruebantur. Quòd autem hæc ſit ſcripturæ conſuetudo, audi illam alibi dicentem: Nam cùm ancilla Sarræ dominium fugiens, erraret, & poſito iuxta abietem puero, à longe conſideraret illius mortem, inquit: Aperuit Deus oculos Agar, non quòd ante hac non viderit, ſed quòd mentem illius excitarit. Vides quòd verbum, Aperuit, non de corporalibus oculis dicit, ſed de ſenſu mentali? Idipſum

Gen. 21. 19.

C & de altera quæſtione dixerimus, quæ hinc exoritur. Dicunt enim: Quare lignum ſcientiæ boni & mali vocatur? Sunt enim contentioſi multi qui dicere audent, quòd poſt eſum ligni ſciẽtiam habuerit Adam ad diſcernendum bonum & malum: id quod extremæ fuerit amentiæ. Nam propter hoc pridem cùm præuiderimus hæc, de ſapientia homini à Deo tradita tam multis tractauimus, oſtendentes hanc ex nominum impoſitione, quæ feris omnibus & volucribus cœli, & brutis indidit: &

Cur lignum ſcientiæ dicatur.

D quòd cum tam hac inenarrabili ſapientia & prophetiæ gratiam fuerit aſſecutus, vt ne quis hoc dicere auſit. Igitur qui nomina animantibus dedit, quique admirabilem prophetiæ gratiam fuit aſſecutus, quam de muliere pronunciauit, ſicut iam diximus, quomodo ignoraret quid bonum, & quid malum? Quod ſi receperimus, iterum blaſphemias in conditorem transferemus. Nam quomodo præceptum daret ignoranti, quòd malum ſit trãgreſſio? Verùm non ita eſt, abſit: ſed ſciuit clarè

Enimuerò hac de cauſa animal hoc ab initio libero arbitrio præditum eſſe voluit. Quod ſi non fuiſſet, neque cùm mandatum præuaricatus eſt, illum puniri: neque ſi ſeruaſſet, laudari oportebat. Quòd enim factus ſit mortalis propter præuaricationem, & ex hoc mandato, & his quæ ſecuta ſunt, claret. Audi enim mulierem ipſam loquentem ſerpenti: De fructu ligni, quod eſt in medio paradiſi, dixit Deus, ne comedatis ex eo, vt non moriamini. Itaque ante præuaricationem immortales erant, alioqui poſt cibum non hoc ſupplicij loco impoſuiſſet. Quis ergo ferret dicere volentes quòd homo poſt eſum de ligno acquireret primò ſcientiam boni & mali, qui & anteà tanta ſapientia plenus erat, & cum ſcientia etiam propheticam gratiam aſſecutus fuit? Et quomodo hoc rationi cōſonum, vt ſciat caprarum, & ouium, & omnium brutorum naturam, quæ herba ſalutaris, & cibo vtilis, & quæ pernicioſa, vt illam inquirat, hanc fugiat: & hominem rationale animal neſcire quid bonum & quid malum? Sed ecce, inquit, ſcriptura lignum hoc vocat lignum ſcientiæ boni & mali. Neque me hoc latet: ſed ſi proprietates diuinæ ſcripturæ diſcere volueris, ſcies quare hoc nomen huic ligno tribuit: non enim quòd homini ſcientiam dederit, ſic vocatum eſt: ſed quia per illud facta eſt tranſgreſſio mandati. Et ex illo poſtea intrauit peccati cognitio, & erubeſcentia, & propterea ſic appellatum eſt. Mos enim diuinæ ſcripturæ eſt, à rebus contingentibus nomina locis imponere, vbi res contingunt. Eâque propter lignum hoc vocatum eſt lignū ſcientiæ boni & mali, quia circa illud obſeruatio & trāſgreſſio mādati erat. Benignus enim Deus à principio docens hominē, quòd habeat conditorem & factorē eum qui viſibilia omnia produxit, ipſúmq; formauit: per paruum iſtud mandatum declarauit ſe dominū eſſe: & quaſi liberalis dominus, magnam & admirabilem quandam domum alicuius vſui donans, nec recipere vult quod ſe decet: ſed paruulā aliquam partē accipit, vt dominij ius ſaluū ſibi maneat:

Idiotiſmus ſcripturæ.

A εἰ γὰρ μὴ τοῦτο ἦν· οὔτε παραβάντα τὴν ἐντολὴν κολασθῆναι ἔδει, οὔτε φυλάξαντα ἀποδοχῆς ἀξιωθῆναι. ὅτι γὰρ διὰ τὴν παράβασιν θνητὸς γέγονε, δῆλον καὶ ἐξ αὐτῆς τῆς ἐντολῆς, καὶ ἐκ τῶν μετὰ ταῦτα συμβάντων, ἀκούεις αὐτῆς τῆς γυναικὸς λαλούσης τῷ ὄφει, ἀπὸ καρποῦ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου εἶπεν ὁ θεὸς οὐ μὴ φάγεσθε ἀπ' αὐτοῦ, ἵνα μὴ ἀποθάνητε· ὥστε πρὸ τῆς βρώσεως ἀθάνατοι ἐτύγχανον. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν μετὰ τὴν βρῶσιν ἐν τάξει τιμωρίας αὐτοῖς ἐπήγαγε τὸν θάνατον. τίς ἂν οὖν ἀνάσχοιτο τῶν λέγειν βουλομένων, ὅτι μετὰ τὴν ἀπὸ τοῦ ξύλου B βρῶσιν, ἔσχε τὴν γνῶσιν τοῦ τε καλοῦ καὶ τοῦ πονηροῦ ὁ ἄνθρωπος, ὁπότε καὶ πρὸ τῆς βρώσεως τοσαύτης ἦν σοφίας πεπληρωμένος καὶ μετὰ τῆς σοφίας καὶ προφητικοῦ χαρίσματος ἠξιωμένος; καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον; αἶγας μὲν καὶ πρόβατα, καὶ πᾶσαν τὴν τῶν ἀλόγων φύσιν εἰδέναι, ποία μὲν βοτάνη πρὸς τροφὴν ἐπιτηδεία, ποία δὲ ὀλεθρία, καὶ τῆς μὲν ἀπέχεσθαι μετὰ πολλῆς τῆς σπουδῆς, ταῖς δὲ ἐπιτρέχειν· τὸν δὲ ἄνθρωπον τὸ λογικὸν ζῷον ἀγνοεῖν τί μὲν καλὸν, τί δὲ πονηρόν; ἀλλ' ἰδοὺ φησὶ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ C αὐτὸ ἐκάλεσεν ἡ γραφή. οἶδα κἀγὼ, ἀλλ' ἐὰν τὰ ἰδιώματα τῆς θείας γραφῆς μαθεῖν βουληθῇς, εἴσῃ τίνος ἕνεκεν τὴν ὀνομασίαν ταύτην ἐπέθηκε τῷ ξύλῳ. οὐ γὰρ ἐπειδὴ αὐτὸ τὴν γνῶσιν παρεῖχεν, οὕτως ἐκαλεῖτο, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ γέγονεν ἡ παράβασις τῆς ἐντολῆς, καὶ ἐξ ἐκείνου λοιπὸν τῆς ἁμαρτίας ἐπεισῆλθεν ἡ γνῶσις, καὶ ἡ αἰσχύνη, διὰ τοῦτο οὕτως ἐκέκλητο. ἔθος γὰρ τῇ θείᾳ γραφῇ ἀπὸ τῶν συμβαινόντων πραγμάτων τὴν ὀνομασίαν τοῖς τόποις ἐπιτιθέναι, ἔνθα καὶ συμβαίνει τὰ πράγματα. διὰ τοῦτο οὖν καὶ τὸ ξύλον D γνωστὸν καλοῦ καὶ πονηροῦ ὠνόμασεν ἡ θεία γραφὴ, ἐπειδὴ περὶ αὐτὸ ἦν ἡ παράβασις καὶ ἡ φυλακὴ τῆς ἐντολῆς. ὁ γὰρ φιλάνθρωπος δεσπότης ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων παιδεύων τὸν ἄνθρωπον, καὶ διδάξαι βουλόμενος αὐτὸν, ὅτι ἔχει δημιουργὸν καὶ ποιητὴν τὸν τὰ ὁρώμενα πάντα παραγαγόντα, καὶ αὐτὸν διαπλάσαντα, διὰ τῆς μικρᾶς ταύτης ἐντολῆς τὴν οἰκείαν αὐτοῦ δεσποτείαν δεικνῦναι ἐβούλετο, καὶ ὡσανεὶ δεσπότης φιλότιμος οἶκον μέγαν καὶ θαυμαστόν τινι παρέχων καὶ πρὸς ἀπόλαυσιν οὐ τὴν ἀξίαν τιμὴν, ἀλλὰ βραχύ τι μέρος λαμβάνειν βούλεται, ὥστε καὶ αὐτῷ τὰ τῆς δεσποτείας φυλάττεσθαι,

A κἀκεῖνον ἀκριβῶς εἰδέναι, ὡς οὐ τῆς κτήσεως δεσπότης ἐστὶν, ἀλλὰ καὶ χάριτι καὶ φιλοτιμίᾳ τῆς χρήσεως ἀπολαύει· οὕτω καὶ ὁ δεσπότης ὁ ἡμέτερος πάντα τὰ ὁρώμενα ἐμπιστεύσας τῷ ἀνθρώπῳ, καὶ τὴν ἐν τῷ παραδείσῳ διαγωγὴν, καὶ πάντων τῶν ἐν αὐτῷ τὴν ἀπόλαυσιν, ἵνα μὴ κατὰ μικρὸν ὑποσυρεὶς τὴν διάνοιαν, νομίσῃ καὶ αὐτόματα εἶναι τὰ ὁρώμενα, καὶ πλέον τι τῆς οἰκείας ἀξίας φαντασθῇ, κελεύει τοῦ ἑνὸς ἀπέχεσθαι ξύλου σφοδρὸν τὸ ἐπιτίμιον ὁρίσας, εἰ παραβαίη, ἵνα εἰδέναι ἔχῃ ὡς ὑπὸ δεσπότην ἐστὶ καὶ δημιουργὸν, καὶ ὅτι καὶ τῶν λοιπῶν μετέχει διὰ τὴν τοῦ δεσπότου φιλοτιμίαν. ἀλλ' ἐπειδὴ πολλῇ ἀπερισκεψίᾳ χρησάμενος ἅμα τῇ γυναικὶ εἰς τὸν ὄλισθον τοῦτον κατέπεσεν ἐκ τοῦ παραβῆναι τὴν δοθεῖσαν ἐντολὴν, καὶ τοῦ ξύλου ἀπογεύσασθαι, διὰ τοῦτο ξύλον αὐτὸ γνωστὸν καλοῦ καὶ πονηροῦ ὠνόμασεν. οὐκ ἐπειδὴ περὶ τούτου ἠγνόει τὸ καλὸν καὶ πονηρόν. οὕτω γὰρ οὐκ ἠγνόει, ὡς τὴν γυναῖκα πρὸς τὸν ὄφιν διαλεγομένην εἰπεῖν, ὅτι εἶπεν ὁ θεὸς οὐ φάγεσθε ἀπ' αὐτοῦ, ἵνα μὴ ἀποθάνητε· ὥστε ᾔδει ὅτι τιμωρία ὁ θάνατος, εἰ παραβῶσι τὴν ἐντολήν· ἀλλ' ἐπειδὴ μετὰ τὴν τούτου βρῶσιν καὶ τῆς ἄνωθεν ἐγυμνώθησαν δόξης, καὶ τῆς αἰσθητῆς γυμνώσεως πεῖραν ἔλαβον, διὰ τοῦτο γνωστὸν αὐτὸ καλοῦ καὶ πονηροῦ ὠνόμασεν, ἐπειδὴ περὶ αὐτὸ ὡς ἂν εἴποι τις ἡ γυμνασία ἦν τῆς ὑπακοῆς, καὶ τῆς παρακοῆς. ἐμάθετε τίνος ἕνεκεν εἶπεν ὅτι διηνοίχθησαν οἱ ὀφθαλμοὶ καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν; ἔγνωτε τίνος ἕνεκεν γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖ τὸ ξύλον; ἐννόησον γὰρ ὅσης αἰσχύνης πλήρεις γεγόνασι λοιπὸν μετὰ τὴν τούτου βρῶσιν παραβάντες τὴν ἐντολὴν τοῦ δεσπότου, ἔρραψαν γάρ φησι φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα. ὅρα ἀφ' οἵας δόξης εἰς οἵαν εὐτέλειαν κατηνέχθησαν οἱ πρὸ τούτου καθάπερ ἐπίγειοι ἄγγελοι διάγοντες. τὴν ἀπὸ τῶν φύλλων σκέπην ἑαυτοῖς ἐπινοοῦσι, τοσοῦτόν ἐστιν ἁμαρτία κακόν. οὐ μόνον γὰρ τῆς ἄνωθεν εὐνοίας ἡμᾶς ἀφίστησιν, ἀλλὰ καὶ εἰς πολλὴν ἡμᾶς αἰσχύνην καὶ ταπεινότητα κατάγει, καὶ τῶν ἤδη ὑπηργμένων ἀγαθῶν ἀποστερήσασα πάντων ἡμῶν ἀφαιρεῖται τὴν παῤῥησίαν. ἀλλ' ἵνα μὴ δι' ὅλου σκυθρωπὸν ποιῶμεν τὸν λόγον, τὴν ἁμαρτίαν περιστρέφοντες τὴν ἀπὸ τῆς τοῦ ξύλου βρώσεως καὶ τῆς παρακοῆς καταλαβούσης τὸν ἄνθρωπον, φέρε εἰ δοκεῖ ἀπὸ τοῦ ξύλου τούτου

Ηθικόν.

& ille interim ſciat, quòd non ædificij dominus ſit; ſed gratia & miſericordia domini fruatur huius vſu. Sic vtique & dominus noſter, cùm viſibilia hæc omnia homini concederet, & præſtaret illi vt verſaretur in paradiſo, & frueretur omnibus quæ in illo ſunt: vt ne paulatim diſtracta mente putet viſibilia hæc per ſe eſſe, ſentiátque aliquid ſupra ſe: iuſſit ab vno ligno abſtinere, magna definita pœna, ſi hoc tranſgrediatur: vt ſcire poſſit, quòd dominum habeat, cuius beneuolentia & cæteris fruatur. Verùm quia multum inconſideratè ſe gerens vnà cum vxore in tantam ruinam concidit; propterea quòd præceptum tranſgreſſus ſit, & de ligno guſtauerit, ideo lignum ipſum ſcientiæ boni & mali nominauit, non quòd antea ignorauerit. Nam ſic non ignorauit, vt ſerpenti mulier dixerit: Dixit Deus, ne comedatis ex illo, ne moriamini. Itaque ſciebat quòd mors pœna eſſet, ſi mandatum præuaricarentur: ſed quia poſt huius eſum, & ſuperna gloria ſpoliati, & ſenſibilem nudationem experti ſunt: ideo vocauit lignum ſcientiæ boni & mali. Erat enim circa illud, quaſi quædam obedientiæ Dei exercitatio. Didiciſtis, quare dixit quòd aperti ſunt oculi illorum, & cognouerunt quòd nudi erant? Cognouiſtis, quare lignum hoc ſcientiæ boni & mali vocetur? Cogita enim quanta confuſione digni facti ſunt. Denique poſt huius eſum, cùm tranſgreſſi fuiſſent præceptum Domini: conſuerunt enim folia ficus, & fecerunt ſibi ſuccinctoria. Vide à quanta gloria in quantam vilitatem deducti ſint, qui antea quaſi terreſtres angeli viuebant: tegmen ſibi ex foliis excogitant; tantum malum eſt peccatum. Non ſolum enim nos à ſuperna beneuolentia alienos facit; ſed & ad multam confuſionem & humilitatem deducit: & cùm nos priuat à bonis quæ iam poſſidebamus, omnem etiam fiduciam aufert. Sed ne omnino triſtem faciam ſermonem, ſurſum deorſúmque verſando peccatum, quod per eſum ligni & inobedientiam hominem deiecit: age ſi

Moralis exhortatio.

placet, ab hoc ligno ad lignum crucis ſermonem vertamus, & videamus quænam mala illud intulit, & quæ bona iſtud conciliauit. Imò neque lignum attulit mala, ſed voluntas peccans, & contemptus circa præceptum habitus. Lignum illud mortem introduxit: nam poſt præuaricationem mors intrauit, ſed iſtud immortalitatem largitum eſt. Illud è paradiſo eiecit, iſtud in cœlos nos reduxit: illud propter vnam tranſgreſſionem tanti ſupplicij reum Adam fecit, iſtud nos plurimis peccatorum ſarcinis exonerauit, fiduciámque ad Dominum nobis conceſſit. Vidiſti ligni & ligni differentiam? Vidiſti diaboli malignitatem, & hominis peccatum, & domini miſericordiam? Armemus itaque noſipſos obſecro chariſſimi armis ligni huius viuifici, ipſiúſque potentia pernicioſos animo affectus mortificemus; vti & Apoſtolus Paulus ſic quodammodo dicit. Qui verò ſunt Chriſti, carnem crucifixerunt cum affectibus & concupiſcentiis. Quod autem dicit, eſt huiuſmodi; qui ſe totos Chriſto dedicarunt, abſurdam omnem concupiſcentiam mortificarunt carni incumbentem, vt omnes animi corrumpat operationes. Hos igitur & nos imitantes, membra noſtra compeſcamus, efficiamúſque, vt reſiſtant aduerſus vim ex diabolica ſuggeſtione in nos inſurgentem, vt & in præſenti vita turbulentum hoc & periculoſum mare intrepidè traiiciamus, & ad diuinæ benignitatis tranquillos portus peruenientes, bona Deum diligentibus promiſſa conſequi valeamus, in Chriſto Ieſu domino noſtro: cui gloria, cum patre, & ſancto Spiritu, nunc, & ſemper, in ſecula ſeculorum. Amen

ad Gal. 5.

A ἐφ' ἕτερον μετάγωμεν τὸν λόγον, ἀπὸ τοῦ ξύλου τούτου ἐπὶ τὸ ξύλον τοῦ σταυροῦ, καὶ ἴδωμεν τίνα τοῦτο εἰσήγαγε κακά, τίνα δὲ ἐκεῖνο προεξένησεν ἀγαθά· μᾶλλον δὲ οὐδὲ τὸ ξύλον εἰσήγαγε τὰ κακά, ἀλλ' ἡ προαίρεσις ἡ ῥάθυμος καὶ ἡ καταφρόνησις, ἣν περὶ τὴν ἐντολὴν ἐπεδείξατο. ἐκεῖνο τὸ ξύλον θάνατον ἐπεισήγαγε· μετὰ γὰρ τὴν παράβασιν ὁ θάνατος ἐπεισῆλθεν· ἀλλὰ τοῦτο τὴν ἀθανασίαν ἐχαρίσατο. ἐκεῖνο παραδείσου ἐξέβαλε· τοῦτο εἰς οὐρανοὺς ἡμᾶς ἀνήγαγεν. ἐκεῖνο διὰ μίαν παράβασιν τοσαύτῃ τιμωρίᾳ ὑπεύθυνον τὸν Ἀδὰμ κατέστησε· τοῦτο τὰ μυρία ἡμῶν φορτία τῶν ἁμαρτη-B μάτων ἀφανίσαν τὴν πρὸς τὸν δεσπότην ἡμῶν παρρησίαν δεδώρηται. εἴδετε ξύλου καὶ ξύλου διαφοράν; εἴδετε διαβόλου κακουργίαν, καὶ ἀνθρώπου ῥαθυμίαν καὶ δεσπότου φιλανθρωπίαν; καθοπλίσωμεν τοίνυν, παρακαλῶ τὴν ὑμετέραν ἀγάπην, ἑαυτοὺς τῷ ὅπλῳ τοῦ ζωοποιοῦ τούτου ξύλου, καὶ νεκρώσωμεν τὰ ψυχοφθόρα πάθη τῇ τούτου δυνάμει καθὼς καὶ ὁ ἀπόστολος Παῦλος οὕτω πως φησίν· οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οἱ ὁλικῶς ἀναθέντες ἑαυτοὺς τῷ Χριστῷ ἀπενέ-C κρωσαν πᾶσαν ἐπιθυμίαν ἐπιγινομένην τῇ σαρκὶ πρὸς τὸ λυμήνασθαι πάσας τὰς τῆς ψυχῆς ἐνεργείας. τούτοις οὖν καὶ ἡμεῖς κατακολουθοῦντες ἀνενέργητα ἡμῶν κατασκευάσωμεν τὰ μέλη πρὸς τὴν τυραννίδα τὴν ἐκ διαβολικῆς ἐνεργείας ἡμῖν ἐπανισταμένην, ἵνα καὶ ἐν τῷ παρόντι βίῳ ἀταράχως διαπλεύσωμεν τὸ ζαλῶδες τοῦτο καὶ ἐπικίνδυνον πέλαγος, καὶ εἰς τοὺς γαληνοὺς λιμένας καταντήσαντες τῆς τοῦ θεοῦ φιλανθρωπίας ἐπιτυχεῖν ἀξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, D ᾧ ἡ δόξα σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

A

Ὁμιλία ιζ΄.

Καὶ ἤκουσαν τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν.

Ἱκανῶς οἶμαι κατὰ δύναμιν τὴν ἡμετέραν πρώην τὴν διὰ τοῦ ξύλου ἑρμηνείαν διεξήλθομεν διδάξαντες τὴν ὑμετέραν ἀγάπην, τίνος ἕνεκεν γνωστὸν καλοῦ καὶ πονηροῦ αὐτὸ ἐκάλεσεν ἡ θεία γραφή. διὸ βούλομαι σήμερον τοῖς ἑξῆς ἐπεξελθεῖν, ἵνα μάθητε τοῦ θεοῦ τὴν φιλανθρωπίαν, καὶ ὅσῃ κέχρηται συγκαταβάσει διὰ τὴν περὶ τὸ γένος τὸ ἡμέτερον κηδεμονίαν. πάντα γὰρ ἐποίησε καὶ ἐπραγματεύσατο, ὥστε τὸ ζῷον τοῦτο λογικὸν τὸ ὑπ' αὐτοῦ δημιουργηθὲν ἐν πάσῃ τιμῇ τυγχάνειν, καὶ κατὰ μηδὲν ἐλαττοῦσθαι τῆς τῶν ἀγγέλων διαγωγῆς, ἀλλὰ καὶ ἐν σώματι τὴν ἐκείνων ἀπάθειαν κεκτῆσθαι. ἐπειδὴ δὲ διὰ ῥαθυμίαν εἶδε παραβάντας ἀμφοτέρους τὰ ὑπ' αὐτοῦ προστεταγμένα, καὶ ταῦτα προαναστείλαντος αὐτοῦ διὰ τῆς ἀπειλῆς, καὶ ἀσφαλεστέρους ἐργασαμένου, οὐδὲ οὕτως ἵσταται τῆς φιλανθρωπίας τῆς ἑαυτοῦ, ἀλλὰ τὴν οἰκείαν ἀγαθότητα μιμούμενος, καθάπερ πατὴρ φιλόστοργος τὸν ἑαυτοῦ παῖδα ὁρῶν διὰ ῥαθυμίαν ἀνάξια τῆς αὐτοῦ εὐγενείας διαπραττόμενον, καὶ ἀπὸ τῆς ἀνωτάτω τιμῆς εἰς ἐσχάτην εὐτέλειαν κατενεχθέντα τοῖς πατρικοῖς σπλάγχνοις διαθερμαινόμενος οὐδὲ οὕτως αὐτὸν περιιδεῖν ἀνέχεται, ἀλλὰ πάλιν τὰ παρ' αὐτοῦ ἐπιδείκνυται, βουλόμενος κατὰ μικρὸν τῆς εὐτελείας ἐκείνης ἀπαλλάξαι, καὶ εἰς τὴν ἀρχαίαν ἀναγαγεῖν τιμήν. τὸν αὐτὸν δὴ τρόπον ὁ ἀγαθὸς θεὸς οἰκτείρας τὸν ἄνθρωπον τῆς ἐπιβουλῆς, ἣν ὑπέμεινε συναπατηθεὶς τῇ γυναικί, καὶ δεξάμενος τὴν τοῦ διαβόλου συμβουλὴν διὰ τοῦ ὄφεως, καθάπερ ἰατρὸς τὸν ἀρρωστοῦντα καὶ κάμνοντα καὶ κείμενον καὶ δεόμενον πολλῆς τῆς θεραπείας καὶ τῶν τοῦ ἰατροῦ χειρῶν παραγίνεται πρὸς αὐτόν. ἀλλ' ἵνα καὶ ἐξ αὐτῶν τῶν ῥημάτων μάθητε τὴν ἄφατον τοῦ θεοῦ συγκατάβασιν, ἀναγκαῖον ἀκοῦσαι τῶν ἀνεγνωσμένων. καὶ ἤκουσαν φησὶ τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. μὴ ἁπλῶς παραδράμωμεν ἀγαπητοὶ τὰ εἰρημένα παρὰ τῆς θείας γραφῆς

HOMILIA XVII.

Et audiuerunt vocem Domini Dei deambulantis in paradiſo in meridie. Gen. 2:8.

SATIS opinor, pro noſtra virili heri locum de ligno interpretantes enarrauimus. Docuimus enim charitatem veſtram, quare diuina ſcriptura lignum cognoſcendi bonum & malum ipſum vocarit: proinde hodie animus eſt ad ſequentia pergere, vt diſcatis ineffabilem Dei B benignitatem, & quanta ſermonis attemperatione vſus ſit noſtræ naturæ prouidentiam & curam habens. Omnia enim fecit & operatus eſt, vt rationale hoc animal à ſe conditum, in omni honore eſſet, & in nullo angelorum vita deterius foret, ſed & in corpore illorum poſſideret impaſſibilitatem. Cæterùm vt vidit vtroſque peccando tranſgreſſos per negligentiam ea quæ à ſe præcepta erant, idque poſtquam minis eos munierat & retraxerat, ne ſic quidem à beni- C gnitate ſua ceſſat: ſed ſemper ſibi ſimilis, quemadmodum clementiſſimus pater, filium indignum quid nobilitate ſua per negligentiam ſuam commiſiſſe, & à ſummo honore in extremam vilitatem redactum videns, paternis viſceribus commotus, non illum conſilij inopem, & auxilio deſtitutum ſinit: ſed iterum ſuũ agit officium, paulatim illum à vilitate liberatum, priſtinæ reſtituens dignitati. Simili modo bonus Deus miſertus eſt hominis cum vxore ſua circumuenti diaboli inſidiis, cuius per D ſerpentem cõſilium acceperat. Nam veluti medicus ad inualidum, & ægrotantem, iacentémque, ac indigentem cura & medici manu, protinus illum accedit. Sed vt & ex verbis diſcatis quàm ineffabilis ſit Dei benignitas, operæprecium fuerit audire quæ lecta ſunt. [8] *Et audiuerunt*, inquit, *vocem domini Dei deambulantis in paradiſo ad meridiem, & delituerunt tam Adam quàm vxor illius à facie Domini in medio ligni paradiſi.* Dilecti, ne inconſideranter prætereamus quæ à diuina ſcriptura dicta ſunt,

neque in verbis ipſis hæreamus: ſed conſideremus ob noſtram imbecillitatem tantam hic eſſe verborum humilitatem. Nam ſi vellemus verba vt ſunt pronunciata ſectari, & non dignè vt decet de Deo exponere: dic quæſo, quomodo non multa ſimul ſequentur abſurda? Ecce enim ſtatim ex his quæ principio lecta ſunt, ſpectare hoc licet. Et audierunt vocem domini Dei deambulantis in horto ad meridiem, & delituerunt. Quid enim dicis? deambulat Deus? pedes ipſi tribuemus? & de eo nihil ſublime cogitabimus? Non ambulat Deus: abſit. quomodo enim ambularet, qui vbique præſens eſt, & omnia implet? cui cœlum thronus, & terra ſcabellum, ipſe in horto continetur? quis cordatus hoc diceret? quid igitur eſt, Audiuerunt vocem domini Dei deambulantis in horto ad meridiẽ? Voluit illos hæc tali modo ſentire, vt in magno mentis angore conſtituerentur: id quod & factum eſt. Tantum ſiquidem ſenſu affecti ſunt, vt cum aduenißet Deus, ſeſe occultare conati ſint. Mox enim vt intrauit peccatũ, & præuaricatio, tumultuatio ſimul eos inuaſit & erubeſcẽtia. quippe iudex incorruptus, conſcientiã puta, cùm aduerſus hominẽ exurgit, clara voce clamat, & accuſat, & oſtendit, & quaſi ante oculos ſcribit peccatorum magnitudinem. Eámque ob rem benignus Dominus principiò cùm formaret hominem, conſcientiam illi indidit accuſatricem perpetuam, quæ decipi, & deceptionem ferre poſſet nunquam. Et licet quis admiſſo peccato, perpetratóque aliquo facinore illicito, omnes homines celet, illam tamen accuſatricem non poterit latere: nam hanc intrinſecus habentes, vbicunque ſumus, circumferimus. Ipſa nos circumit, obturbat, laniat, flagellat, nunquam quieſcit: ſed & domi, & in foro, & in templis, & in menſa, & dormientem, & ſurgentem adoritur, rationem delictorum exigit, obque oculos proponit & delictorum grauitatem, & ſubſecuturam pœnam, & quaſi medicus optimus non ceſſat ſua medicamenta apponere: & ſi ſemel depellatur, neque ſic deſiſtit, ſed continuam curam gerit.

A μηδὲ ταῖς λέξεσιν ἐναπομείνωμεν, ἀλλ' ἐννοῶμεν, ὅτι διὰ τὴν ἡμετέραν ἡ ταπεινότης τῶν λέξεων ἔγκειται, καὶ θεοπρεπῶς ἅπαντα γὰρ διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. εἰπὲ γάρ μοι, εἰ βουληθείημεν τῇ προφορᾷ τῶν ῥημάτων κατακολουθῆσαι, καὶ μὴ θεοπρεπῶς ἐκλαβεῖν τὰ λεγόμενα, πῶς οὐ πολλὰ ἕψεται ἄτοπα; ἰδοὺ γὰρ ἐξ αὐτοῦ τοῦ προοιμίου τῶν ἀνεγνωσμένων σκοπήσωμεν. καὶ ἤκουσάν φησι τῆς φωνῆς τοῦ κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινὸν, καὶ ἐκρύβησαν. τί λέγεις; ὁ θεὸς περιπατεῖ; καὶ πόδας αὐτῷ περιάψομεν; καὶ οὐδὲν ὑψηλὸν ἐκ τούτου ἐν-
B νοήσομεν; οὐ περιπατεῖ θεὸς, μὴ γένοιτο· πῶς γὰρ ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν; οὗ ὁ οὐρανὸς θρόνος, ἡ δὲ γῆ ὑποπόδιον, ἐν τῷ παραδείσῳ ἐμπεριέχεται; καὶ τίς ταῦτα ἂν εἴποι τῶν νοῦν ἐχόντων; τί οὖν ἐστὶ τὸ ἤκουσαν τῆς φωνῆς τοῦ κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν; αἴσθησιν αὐτοῖς τοιαύτην ἠβουλήθη παρασχεῖν, ἵνα εἰς ἀγωνίαν αὐτοὺς ἐμβάλῃ, ὃ δὴ καὶ γέγονε. τοσαύτην γὰρ ἔσχον τὴν αἴσθησιν, ὡς τοῦ θεοῦ παραγινομένου καὶ κρύπτεσθαι ἐπιχειρεῖν. ἐπῆλθε γὰρ ἡ ἁμαρτία καὶ ἡ παράβασις, καὶ κατεσκεδάσθη
C αὐτοῖς ἡ αἰσχύνη. ὁ γὰρ ἀδέκαστος δικαστὴς, τὸ συνειδὸς, κατεξανιστάμενος λαμπρᾷ τῇ φωνῇ ἐβόα, καὶ ἐκατηγόρει καὶ ἐδείκνυ, καὶ ὡσανεὶ πρὸ τῶν ὀφθαλμῶν ὑπέγραφεν αὐτοῖς τῶν ἁμαρτημάτων τὸ μέγεθος. διὰ τοῦτο γὰρ ὁ φιλάνθρωπος δεσπότης ἄνωθεν καὶ ἐκ προοιμίων διαπλάττων τὸ συνειδὸς αὐτῷ ἐνέθετο κατήγορον ἀδιάλειπτον, παραλογισθῆναι μὴ δυνάμενον, μηδὲ ἀπάτην ὑπομεῖναί ποτε. ἀλλὰ κἂν πάντας ἀνθρώπους λαθεῖν τις δυνηθείη τὴν ἁμαρτίαν ἐργασάμενος, καὶ τὴν ἄτοπον πρᾶξιν ἐπιτελέσας, ἐκεῖνον τὸν κατήγο-
D ρον λαθεῖν οὐ δύναται, ἀλλὰ περιέρχεται διηνεκῶς αὐτὸν ἔνδον ἔχων ἐνοχλοῦντα, καταξαίνοντα, μαστίζοντα, οὐδέποτε ἠρεμοῦντα, ἀλλὰ καὶ ἐν οἰκίᾳ καὶ ἐν ἀγορᾷ καὶ ἐν συλλόγοις καὶ ἐν τραπέζῃ, καὶ καθεύδοντι, καὶ διανισταμένῳ ἐπιτιθέμενον, καὶ δίκην ἀπαιτοῦντα τῶν πεπλημμελημένων, καὶ ὑπ' ὄψιν ἄγοντα, καὶ τῶν ἡμαρτημένων τὴν ἀτοπίαν, καὶ τὴν ἑπομένην κόλασιν, καὶ καθάπερ ἰατρὸς ἄριστος οὐ παύεται τὰ παρ' ἑαυτοῦ φάρμακα ἐπιτιθεὶς, κἂν ἤδη διακρουόμενον, οὐδὲ οὕτως ἀφίσταται, ἀλλὰ διηνεκῆ τὴν ἐπιμέλειαν ποιεῖται.

A τοῦτο γὰρ αὐτοῦ ἔργον ἀδιάλειπτον τὴν ὑπόμνησιν εἰσάγειν, καὶ μὴ συγχωρεῖν αὐτοῦ λήθην ποτὲ ποιήσασθαι τῶν εἰργασμένων, καὶ ὑπ' ὄψιν αὐτοῦ τιθέναι, ἵνα κἂν ταύτῃ ὀκνηροτέρους ἡμᾶς ἐργάσηται πρὸς τὸ τοῖς αὐτοῖς περιπεσεῖν. εἰ γὰρ καὶ τὴν ἐντεῦθεν ἔχοντες συμμαχίαν, καὶ τὴν ἀπὸ τοῦ συνειδότος βοήθειαν, καὶ τοῦτον τὸν σφοδρὸν κατήγορον ἐπικείμενον, καὶ μαστίζοντα ἡμῶν τὸ συνειδός, καὶ καταξαίνοντα τὴν καρδίαν, καὶ δημίου παντὸς βαρύτερον ἐπικείμενον, ὅμως ἔτι οἱ πολλοὶ τῆς ῥαθυμίας περιγινόμεθα· εἰ μὴ ταύτην εἴχομεν τὴν βοήθειαν, πῶς οὐκ ἂν B ταχέως ἐξωκείλαμεν; διά τοι τοῦτο καὶ ὁ πρωτόπλαστος νῦν αἴσθησιν λαβὼν τοιαύτην, καὶ τὴν παρουσίαν τοῦ δεσπότου ἐννοήσας εὐθέως κρύπτεται. τίνος ἕνεκεν εἰπέ μοι; ἐπειδὴ ἑώρα σφοδρὸν αὐτοῦ τὸν κατήγορον ἐφεστῶτα, τὸ συνειδὸς λέγω. οὐδένα γὰρ ἕτερον εἶχε τὸν διελέγχοντα καὶ μάρτυρα ὄντα τῶν ἐσφαλμένων, ἀλλ' ἐκεῖνον μόνον, ὃν ἔνδοθεν περιέφερεν. ἄλλως δὲ μετὰ τῆς τοῦ συνειδότος κατηγορίας καὶ ἡ ἀφαίρεσις τῆς δόξης τῆς πρότερον αὐτοὺς καθάπερ ἱμάτιον λαμπρὸν περιστειλάσης, ἐδίδασκεν αὐτοὺς διὰ τῆς γυμνότητος τῆς ἁμαρτίας τῆς εἰργα- C σμένης τὸ μέγεθος. ἐπεὶ οὖν μετὰ τὴν ἁμαρτίαν ἐκείνην τὴν χαλεπὴν αἰσχύνῃ περιεβλήθησαν, κρύπτεσθαι ἐπιχειροῦσιν. ἤκουσαν γάρ φησι τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ παραδείσου. οὐδὲν ἁμαρτίας χεῖρον ἀγαπητέ. αὕτη γὰρ λοιπὸν ἐπεισελθοῦσα οὐ μόνον αἰσχύνης ἡμᾶς πληροῖ, ἀλλὰ καὶ ἀνοήτους ἐργάζεται τοὺς πρότερον συνετούς, καὶ σοφίας πολλῆς πεπληρωμένους. ἐννόησον γάρ μοι πόσῃ τῇ ἀνοίᾳ λοιπὸν κέχρηται D ὁ τοσαύτης μετέχων σοφίας πρὸ τούτου, ὁ διὰ τῶν πραγμάτων ἡμῖν τὴν παραχθεῖσαν αὐτῷ παρὰ θεοῦ σοφίαν ἐπιδεικνύμενος, ὁ τοιαῦτα προφητεύσας. ἀκούσας φησὶ τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινὸν ἐκρύβη αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. πόσης οὐκ ἂν εἴη τοῦτο ἀνοίας; τὸν θεὸν τὸν πανταχοῦ παρόντα, τὸν δημιουργὸν τὸν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγόντα, τὸν τὰ λανθάνοντα ἐπιστάμενον, τὸν πλάσαντα κατὰ μόνας τὰς καρδίας τῶν ἀνθρώπων καὶ συνιέντα εἰς πάντα τὰ ἔργα αὐτῶν, τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς, τὰ αὐτὰ τὰ κινήματα τῆς καρδίας ἡμῶν ἐπιστάμενον κρύπτεσθαι ἐπεχείρουν.

Hoc enim conſciẽtiæ opus eſt, vt iugiter memoriã ingerat; nec permittat vnquam in factorum obliuionem nos venire: ſed ob oculos proponat, vti vel hac ratione nos tardiores faciat, ne in eadẽ peccata prolabamur. Porrò ſi cùm hinc tantum nobis eſt ſubſidij, & tãtum adiutorij, & aſſidet nobis tã importuna accuſatrix, quæ noſtram mentem flagellet, & cor lãcinet, & quouis carnifice grauius apprehendat, plerique neque ſic peccata vincimus: ſi hoc deſtitueremur ſubſidio, quò non tunc ſtatim excideremus? Et propterea primigenius homo vt illum ſenſum accepit, aduẽtum Domini ſecum cogitans, ſtatim ſe occultauit. Quare dic oro? Quoniam videbat ſibi trucẽ aſtare accuſatorem, conſcientiam dico. Neque enim alium obiurgatorem habebat & teſtem peccatorum, ſed vnicum illum quem intrinſecus circumferebat. Docebat tamen peccati magnitudinem alioquin & nuditas, & priuatio gloriæ, quæ illos antea quaſi veſtimẽtum fulgidum veſtierat. Itaque poſt graue peccatum illum, confuſione amicti, deliteſcere tentauerunt. Audiuerunt enim, inquit, vocẽ domini Dei deambulantis in horto ad meridiem, & occultauerunt ſe tã Adam quàm vxor eius à facie domini Dei in medio ligni paradiſi. Nihil peccato peius, dilecte: ipſum enim vt introierit, non ſolùm confuſione totos nos replet, ſed & inſipientes facit eos qui antea intellectu & ſapientia multa præditi fuerant. Animaduerte obſecro, quàm inſipienter agit nunc, qui antea tãta pollebat ſapientia, qui reipſa traditam ſibi ſapientiam nobis declarabat, qui talia prophetabat: audita voce Dei deambulantis in horto ad meridiẽ, occultauit ſe tam ipſe quàm vxor ipſius à facie domini Dei in medio ligni paradiſi. Quantæ hoc eſt inſipientiæ, quòd à Deo, qui vbique præſens eſt, qui ex nihilo res vt eſſent produxit, qui abſcondita ſcit, qui finxit ſigillatim corda hominum, & nouit omnia opera eorum, qui ſcrutatur corda & renes, qui etiam ipſos cordis motus cognoſcit, abſcondere ſe tentant?

Pſal. 43. Pſal. 32. Pſal. 7. & Hier. 17. & Apoc. 2.

Sed ne mireris dilecte: talis enim peccantium conſuetudo eſt, vt tametſi occultari non poſſint, occultari tamen velint, & ſtudeant. Vt autem ſcias eos non ferentes confuſionem, qua poſt peccatum veſtiebantur, nudati incorruptibili illa gloria, hoc feciſſe, conſidera ſimul vbi occultentur: in medio paradiſi. Nam ſicut flagriones & ingrati quidam famuli, cùm non poſſint à domino ſuo occultari, huc & illuc in angulos domus currere ſolent, metu illorum conſcientias concutiente: ita & hi nullum inuenientes effugium, in ipſa domo, paradiſo (inquam) circumaguntur. Nec abſque ratione tempus aſſignatur. Audiuerunt enim, inquit, vocem domini Dei deambulantis in paradiſo in meridie. Sed vt diſcas Domini benignitatem, quòd ne modicum quidem diſtulit: ſed mox vt vidit quod factum erat, & vlceris magnitudinem, ad opitulandum feſtinauit: vt ne vlcus graſſando fieret incurabile vulnus: idcirco vt præueniat accelerat, & velociter creſcenti vlceri adeſt, & pro ſua bonitate neque ad paruum tempus à cura ſua illum deſtitutum relinquit. Nam ſicut tantam præ ſe ferebat rabiem ſalutis noſtræ inimicus, qui ſemper noſtris bonis inuidet, vt mox ſub initium moliretur inſidias, & ſuo pernicioſo conſilio ipſos admirabili illa vita priuaret: ita contra optimus & omnipotens Deus, qui ſua ſapientia res noſtras diſpenſat, videns diaboli malignitatem, & hominis peccatum, per quod cum muliere deceptus, in tantam incidit confuſionem: mox aſſiſtit, & quaſi manſuetus & benignus iudex in tribunali terrore & horrore pleno ſedet, & examinat diligenter: per hoc nos docendo, ne quem fratrum noſtrorum condemnemus, niſi cauſa antea diligenter cognita. Audiamus igitur, ſi placet, quæ iudex rogat, & quæ rei reſpondent, & quas pœnas ferunt: & cui condemnationi obnoxius fuit, qui in illos tantas inſidias machinatas eſt. Sed obſecro animum attendite, & multo cum timore dicta auſcultate.

A Ἀλλὰ μὴ θαυμάσῃς ἀγαπητέ· τοιοῦτον γὰρ τῶν ἁμαρτανόντων τὸ ἔθος, κἂν μὴ δύνωνται λανθάνειν, ὅμως σπουδάζουσι λανθάνειν. ὅτι γὰρ οὐ φέροντες τὴν αἰσχύνην, ἣν μετὰ τὴν ἁμαρτίαν ἑαυτοὺς περιέβαλον, γυμνωθέντες ἑαυτοὺς τῆς ἀφθάρτου δόξης ἐκείνης, τοῦτο ἐποίουν, ἐννόει καὶ ποῦ κρύπτονται, ἐν μέσῳ τοῦ παραδείσου. καθάπερ γὰρ μαστιγίαι τινὲς καὶ οἰκέται ἀγνώμονες οὐ δυνάμενοι λαθεῖν τὸν οἰκεῖον δεσπότην ὧδε κἀκεῖ περὶ τὰς γωνίας τοῦ οἴκου περιτρέχειν ἐπιχειροῦσι, τοῦ φόβου κατασείοντος αὐτῶν τὴν διάνοιαν· τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι, οὐδεμίαν εὑρίσκοντες ἀποφυγὴν, B ἐν αὐτῷ τῷ οἴκῳ περιστρέφονται, τοῦτ' ἔστιν ἐν τῷ παραδείσῳ. οὐχ ἁπλῶς δὲ προσκεῖται ὁ καιρός. ἤκουσαν γάρ φησι τῆς φωνῆς κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, ἵνα μάθῃς τοῦ δεσπότου τὴν φιλανθρωπίαν, ὅτι οὐδὲ τυχὸν ἀνεβάλετο, ἀλλ' εὐθέως εἶδε τὸ γεγονός, καὶ τοῦ ἕλκους τὸ μέγεθος, καὶ ἐπὶ τὴν ἰατρείαν ἔσπευσεν, ἵνα μὴ νομὴν ἐργασάμενον τὸ ἕλκος ἀνίατον τὸ τραῦμα κατασκευάσῃ. διὰ τοῦτο προκαταλαμβάνειν ἐπείγεται, καὶ εὐθέως πρὸς τὴν νομὴν τοῦ ἕλκους ἵσταται, καὶ οὐδὲ πρὸς C βραχὺ κατέλιπεν ἀπρονόητον τὴν οἰκείαν ἀγαθότητα μιμούμενος. καὶ γὰρ τοσαύτην ἐπεδείξατο τὴν μανίαν ὁ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας, ὁ ἀεὶ βασκαίνων τοῖς ἡμετέροις ἀγαθοῖς, ὡς ἐξ αὐτῶν τῶν προοιμίων τὴν ἐπιβουλὴν ἐργάσασθαι, καὶ διὰ τῆς ὀλεθρίου συμβουλῆς τῆς θαυμαστῆς ἐκείνης διαγωγῆς αὐτοὺς ἀποστερῆσαι. ἀλλ' ὁ εὐμήχανος θεὸς ὁ κατὰ τὴν αὐτοῦ σοφίαν τὰ ἡμέτερα οἰκονομῶν, ὁρῶν μὲν καὶ τοῦ διαβόλου τὴν γενομένην κακουργίαν, καὶ τοῦ ἀνθρώπου τὴν ῥᾳθυμίαν, δι' ἧς εἰς τοσαύτην αἰσχύνην ἑαυτὸν περιέβαλε συναπατηθεὶς τῇ γυναικί, ἐφίσταται, καὶ καθάπερ D δικαστὴς ἥμερος καὶ φιλάνθρωπος καθίζει δικαστήριον φόβου καὶ φρίκης γέμον, καὶ τὴν ἐξέτασιν μετὰ ἀκριβείας ποιεῖται ἡμᾶς διὰ τούτου παιδεύων μὴ πρότερον τοὺς ὁμοφύλους καταδικάζειν, πρὶν ἂν ἀκριβῆ ἐξέτασιν ποιησώμεθα. ἀκούσωμεν τοίνυν εἰ δοκεῖ τίνα μὲν ὁ δικαστὴς ἐπερωτᾷ, τίνα δὲ οἱ κατάδικοι ἀποκρίνονται, καὶ ὁποίας τιμωρίας δέχονται, καὶ ποίᾳ καταδίκῃ ὑπεύθυνος γὰρ ὁ τὴν τοσαύτην ἐπιβουλὴν εἰς αὐτοὺς ἐργασάμενος. ἀλλὰ συντείνατέ μοι παρακαλῶ τὴν διάνοιαν, καὶ μετὰ πολλοῦ τοῦ φόβου τοῖς λεγομένοις προσέχετε.

A εἰ γὰρ δικαστὴν ὁρῶντες ἐπὶ θρόνου ἐφ' ὑψηλοῦ βήματος καθήμενον, καὶ τοὺς καταδίκους εἰς μέσον ἄγοντα, καὶ κατατείνοντα, καὶ τιμωρούμενον, μετὰ πολλοῦ τοῦ δέους παρεστήκαμεν ἀκοῦσαι βουλόμενοι, τί μὲν ὁ δικαστὴς λέγει, τί δὲ ὁ ὑπεύθυνος ἀποκρίνεται· πολλῷ μᾶλλον τοῦτο ποιεῖν ἡμᾶς δίκαιον ὁρῶντας τὸν δημιουργὸν τῆς φύσεως δίκην εἰσπραττόμενον τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων. ἀλλ' ἐὰν προσέχητε μετ' ἀκριβείας, ὄψεσθε πόσον τὸ μέσον τῆς τοῦ θεοῦ φιλανθρωπίας, καὶ τῆς τῶν ἀνθρώπων περὶ τοὺς ὁμογενεῖς αὐστηρότητος. καὶ ἐκάλεσε κύριος ὁ θεὸς τὸν Ἀδὰμ, καὶ εἶπεν αὐτῷ, Ἀδὰμ ποῦ εἶ; ἐξ αὐτῆς τῆς ἐρωτήσεως ἄξιον ἐκπλαγῆναι τοῦ θεοῦ τὴν ὑπερβάλ- B λουσαν φιλανθρωπίαν, οὐχ ὅτι ἐκάλεσε μόνον, ἀλλ' ὅτι καὶ δι' ἑαυτοῦ ἐκάλεσεν. ὃ παρ' ἀνθρώπων τις οὐκ ἄν ποτε ἀνάσχοιτο ἐπὶ τῶν ὁμογενῶν, καὶ τῆς αὐτῆς αὐτῷ φύσεως κοινωνούντων. ἴστε γὰρ ὅτι ἐπειδὰν ἐφ' ὑψηλοῦ τοῦ βήματος δίκην εἰσπράττονται τοὺς τὰ φαῦλα ἐργασαμένους, οὐκ ἀξιοῦσιν αὐτοὺς τῆς οἰκείας ἀποκρίσεως, καὶ διὰ τούτου δεικνύντες αὐτοῖς, ὅσην ἀτιμίαν ἑαυτοῖς περιέβαλον διὰ τῆς τῶν πονηρῶν πραγμάτων ἐργασίας, ἀλλ' ὁ μὲν δικαστὴς ἀποκρίνεται, ἕτερος δέ τις ἔξω διαβιβάζει τὰ παρὰ τοῦ δικαστοῦ τῷ ὑπευθύνῳ, καὶ C τὰ παρ' ἐκείνου πάλιν διαπορθμεύει τῷ δικαστῇ, καὶ τοιοῦτον ἄν ἴδοι τις τῶν δικαζόντων πανταχοῦ τὸ ἔθος. ἀλλ' ὁ θεὸς οὐχ οὕτως, ἀλλὰ τί; αὐτὸς δι' ἑαυτοῦ καλεῖ. καὶ ἐκάλεσε φησὶ κύριος ὁ θεὸς τὸν Ἀδὰμ, καὶ εἶπεν αὐτῷ, Ἀδὰμ ποῦ εἶ; ὅρα πόση δύναμις ἔγκειται ἐν τῇ βραχείᾳ ταύτῃ λέξει. καὶ αὐτὸ δὴ τὸ καλέσαι πολλῆς καὶ ἀφάτου φιλανθρωπίας, καὶ τὸ τῷ καταισχυνομένῳ, καὶ μηδὲ ἆραι τὸ στόμα τολμῶντι μηδὲ διανοῖξαι γλῶτταν καὶ ἀφορμὴν δοῦναι διὰ τῆς ἐρωτήσεως, πολλῆς ἀγαθότητος· τὸ δὲ λέγειν ποῦ εἶ, πολλὴν ἔχει τὴν ἰσχὺν μετὰ τῆς φιλανθρωπίας. μονονουχὶ γὰρ αἰνίττεται αὐτῷ διὰ D τούτου λέγων πρὸς αὐτόν· τί γέγονεν; ἑτέρωθί σε κατέλιπον, καὶ ἑτέρωθι νῦν εὑρίσκω. ἑτέρᾳ δόξῃ ἠμφιεσμένον καταλιπὼν νῦν εὗρον ἐν γυμνότητι. ποῦ εἶ; πόθεν σοι συνέβη τοῦτο; τίς σε εἰς τοσαύτην ἤγαγε μεταβολήν; ποῖος λῃστὴς καὶ τοιχωρύχος οὕτως ἀθρόον ἅπασαν τοῦ πλούτου τὴν περιουσίαν ἀφελόμενος ἐν τοσαύτῃ σε πενίᾳ κατέστησε; πόθεν σοι τῆς γυμνώσεως ἡ αἴσθησις γέγονε; τίς σοι αἴτιος τῆς ἀφαιρέσεως τοῦ θαυμαστοῦ ἐκείνου ἐνδύματος, ὃ περιβεβλημένος ἐτύγχανες;

Si enim cùm videmus terrenum iudicem in ſublimi ſella ſedentem, & reos in medium producentem, & ſupplicijs afficientem, non ſine timore aſtamus, audire volentes quidnam iudex dicat, & quid reſpondeat reus: multò magis nunc hoc nobis faciendum, cùm videmus opificem naturæ pœnam ſuis creaturis intentare. Verùm diligenter attendite, & videbitis, quantum interſit inter miſericordiam Dei, & hominum inter ſe auſteritatem.

10 *Et vocauit dominus Deus Adam, & dixit illi: Adam vbi es?* Vel ex ipſa interrogatione hæc dignum eſt, vt obſtupeſcamus ad eminentem Dei clementiam: non ſolùm quòd vocauit, ſed quòd per ſeipſum vocauit. Id quod homines facere nunquam ferrent inter ſe, licet eandem naturam ſortiti ſint. Scitis enim, cùm iudices in alto ſolio ſedent, ſupplicijſque malefactores afficiunt, nec ſuo eos reſponſo dignantur: hoc ipſo oſtendentes illis, quanta ignominia ſeſe aſperſerint ſuis flagitijs: & iudex quidem reſpondet, ſed alius quiſpiam à iudice hæc excipiens, reo annunciat, & iudici quoque quæ reus dixerit: & hic fermè vbique iudicantium mos eſt. Verùm Deus non ſic agit, ſed quomodo? Ipſe per ſeſe vocat: Et vocauit, inquit dominus Deus Adam, & dixit illi: Adam vbi es? Vide in breui hac dictione quanta vis recondita ſit. Nam & ipſum vocare, magnæ & ineffabilis eſt clementiæ, tum ob benignam interrogationem, quæ erubeſcentem, & neque os aperire, neque linguam mouere audentem, animabat: tum quòd ipſum dicere, Vbi es? plurimam vna cum benignitate vim habet. Significat enim quaſi ita diceret ad illum: Quid factum eſt? In alio te ſtatu reliqui, in alio te inuenio: alia gloria veſtitum te reliqui, nunc in nuditate te inuenio. Vbi es? Vnde tibi hoc accidit? Quis te in tantam induxit viciſſitudinem? Quis latro vel fur ſic ſemel omnē diuitiarum ſubſtantiam auferens, in tantam te inopiam deduxit? Vnde nuditatis ſenſus tibi contigit? Quænam tibi cauſa fuit, vt auferretur à te veſtimentum illud admirabile, quo amictus eras?

Quæ repentina hæc mutatio? Quæ tanta tempeſtas ita ſubitò omnes tuas merces demerſit? Quid accidit quòd ab eo qui tibi tanta beneficia præſtitit, & in tantum honorem te euexit, occultari attentas? Quem nunc timens, deliteſcere ſtudes? Num aſtat tibi qui accuſet? Num premunt teſtes? Vnde tanta formido, tantúſque metus te inuaſit? 10

Tuam, inquit, deambulantis in paradiſo vocem audiui, & timui, quia nudus ſum, & abſcondi me: Et vnde tibi nuditatis tuæ ſcientia contigit? Dic obſecro, quid hoc noui & rari? Quis hoc vnquam annunciare potuiſſet tibi, niſi ipſe huius confuſionis author eſſes factus? niſi à ligno, de quo præcepi, vt ex eo ſolo non comederes, comediſſes? Vide excellentem miſericordiam & patientiam Domini. Nam cùm poſſet ne reſpōſo quidem dignari eum, qui peccauerat, ſed ſtatim pœnam infligere, quam prius ſtatuerat præuaricaturo: longanimis tamen eſt, & ſuffert, & interrogat, & reſponſum accipit: & iterum interrogat, quaſi ad defenſionem eum prouocans: vt arrepta occaſione etiam poſt tantam præuaricationem, ſuam erga illum miſericordiam declaret. Quo etiam nos docet, vt quando & nos reis ius dicimus, non tam crudeliter illis loquamur, neq; ferina in illos vtamur ſæuitia: ſed longanimiter & miſericorditer agamus, vtpote noſtris ipſorum membris vis dicturi, & cogitantes illos nobis ſecundum naturam cognatos, ſupplicium miſericordia temperemus. Non enim fruſtra tanta verborum humilitate noſtræ tenuitati congrua vtitur diuina ſcriptura, ſed verbis craſſis docet, pro viribus noſtris humanis debere nos Domini benignitatem æmulari.

11 *Dixítque: Quis annunciauit tibi quòd nudus eſſes, niſi de ligno, de quo ſolo præcepi tibi ne comederes, de illo ipſo comediſti?* Vnde, inquit, poſſes hoc ſcire, te tanta confuſione veſtiri, niſi multum intemperans fuiſſes, & mandatum meũ contempſiſſes? Conſidera dilecte, bonitatis Dei excellentiam, quomodo quaſi amicus amico loquitur, & quaſi expoſtulat cum eo qui man-

A τίς ἡ ἀθρόα αὕτη μεταβολή; ποία καταιγὶς οὕτω σφοδρὰ ταχέως ἅπαντά σου τὸν φόρτον κατέδυσε; τί γέγονεν, ὅτι τὸν τοσαῦτα εὐεργετήσαντα, καὶ εἰς τοσαύτην ἀναγαγόντα τιμὴν κρύπτεσθαι ἐπιχειρεῖς; τίνα δεδοικὼς νῦν λανθάνειν σπουδάζεις; μὴ γὰρ κατήγορος παρέστηκε; μὴ γὰρ μάρτυρες ἐφεστήκασι; πόθεν σοι ἡ τοσαύτη δειλία καὶ ὁ φόβος κατεσκεδάσθη; τῆς φωνῆς σου ἤκουσα, φησι, περιπατοῦντος ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. πόθεν σοι ἡ γνῶσις τῆς γυμνώσεως γέγονεν εἰπέ μοι; τί τὸ καινὸν καὶ παράδοξον; τίς ἂν τοῦ-

B το ἠδυνήθη ποτὲ ἀναγγεῖλαί σοι εἰ μὴ σὺ σαυτῷ ταύτης αἴτιος ἐγένου τῆς αἰσχύνης, εἰ μὴ ἀπὸ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; ὅρα φιλανθρωπίαν δεσπότου καὶ ἀνεξικακίας ὑπερβολήν. δυνάμενος γὰρ εὐθέως μηδὲ ἀποκρίσεως ἀξιῶσαι τὸν τοσαῦτα ἡμαρτηκότα, ἀλλ' ὑπὸ τὸ ἐπιτίμιον ἀγαγεῖν, ὃ προλαβὼν ὥρισεν, εἰ παραβαίη, μακροθυμεῖ, καὶ ἀνέχεται, καὶ ἐρωτᾷ, καὶ ἀπόκρισιν δέχεται, καὶ πάλιν ἐρωτᾷ μονονουχὶ εἰς ἀπολογίαν αὐτὸν ἐκκαλούμενος, ἵνα ἀφορμὴν λαβὼν τὴν

C οἰκείαν φιλανθρωπίαν, καὶ μετὰ τὴν τοσαύτην παράβασιν περὶ αὐτὸν ἐπιδείξηται, παιδεύων ἡμᾶς καὶ διὰ τούτου ἐπειδὰν δικάζωμεν τοῖς ὑπευθύνοις, μὴ ἀνημέρως αὐτοῖς προσφέρεσθαι, μηδὲ τὴν τῶν θηρίων ὠμότητα περὶ αὐτοὺς ἐπιδείκνυσθαι, ἀλλὰ πολλῇ τῇ μακροθυμίᾳ, καὶ τῇ φειδοῖ κεχρῆσθαι, ἅτε δὴ ὡς οἰκείοις μέλεσι δικάζοντας, καὶ τὸ ὁμογενὲς ἐννοοῦντας φιλανθρωπίᾳ τὴν τιμωρίαν κεραννύναι. οὐδὲ γὰρ ἁπλῶς τοσαύτῃ συγκαταβάσει ἡ θεία γραφὴ κέχρηται, ἀλλὰ διὰ τῆς παχύτητος τῶν λέξεων διδάσκουσα

D ἡμᾶς τήν τε τοῦ θεοῦ φιλανθρωπίαν, καὶ εἰς ζῆλον ἄγουσα, ὥστε κατὰ δύναμιν ἀνθρωπίνην μιμεῖσθαι τοῦ δεσπότου τὴν ἀγαθότητα. καὶ εἶπεν αὐτῷ, τίς ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; πόθεν ἂν ἠδυνήθης τοῦτο γνῶναι, καὶ τοσαύτῃ αἰσχύνῃ περιβληθῆναι, εἰ μὴ πολλῇ τῇ ἀκρασίᾳ ἐχρήσω, καὶ κατεφρόνησάς μου τῆς ἐντολῆς; σκόπει ἀγαπητὲ τῆς ἀγαθότητος τοῦ θεοῦ τὴν ὑπερβολήν, ὅπως καθάπερ φίλος φίλῳ διαλεγόμενος καὶ ἐγκαλῶν ὡς παραβάντι τὰς παρ' αὐτοῦ ἐν-

παλθέντα, οὕτω πρὸς αὐτὸν τὴν διάλεξιν ποιεῖται. τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; οὐ μικρὰν ἔμφασιν ἔχει καὶ τὸ λέγειν τούτου μόνου. μὴ γὰρ ἐστενοχώρησά σου φησὶ τὴν ἀπόλαυσιν; οὐχὶ πᾶσάν σοι ἄδειαν παρέσχον, καὶ πάντων τῶν ἐν τῷ παραδείσῳ τὴν ἐξουσίαν δεδωκὼς ἑνὸς τούτου μόνου ἀπέχεσθαι ἐνετειλάμην, ἵνα εἰδέναι ἔχῃς, ὅτι ὑπὸ δεσπότην εἶ, καὶ ὀφείλεις ὑπακοήν τινα ἐπιδείκνυσθαι; τίς οὖν ἡ τοσαύτη ῥαθυμία, ὥστε τοσαύτην ἔχοντα ἀπόλαυσιν μὴ ἀνασχέσθαι μηδὲ τούτου τοῦ ἑνὸς ἀποσχέσθαι, ἀλλ' οὕτω ταχέως εἰς τὴν παρ' ἐμοῦ δοθεῖσαν ἐντολὴν ἐξυβρίσαι, καὶ τοσούτοις κακοῖς ἑαυτὸν περιβαλεῖν; τί σοι τὸ ὄφελος γέγονεν; οὐ προλαβὼν ταῦτα εἶπον; οὐ τῷ φόβῳ τοῦ ἐπιτιμίου προανατεῖλαι ἠβουλήθην, καὶ ἀσφαλεστέρους ἐργάσασθαι; οὐκ εἶπον τὸ μέλλον ὑμῖν συμβήσεσθαι; οὐ διὰ τοῦτο τὴν βρῶσιν ἐκώλυσα ἵνα μὴ τούτοις περιπέσητε; τίς ἄν σε συγγνώμης ἀξιώσειε τὸν μετὰ τοσαύτας παραγγελίας οὕτως ἀγνώμονα γενόμενον; οὐ καθάπερ παιδὶ γνησίῳ οὕτω πάντα διεστειλάμην, καὶ ἐδίδαξα τῶν μὲν ἄλλων ἀπογεύσασθαι, τούτου δὲ ἀπέχεσθαι, ἵνα μὴ πᾶσί σου τοῖς ἀγαθοῖς λυμήνηται; ἀλλ' ἴσως ἀγαθὴν, καὶ ἀξιοπιστοτέραν ἡγησάμενος τῆς ἐμῆς ἐντολῆς τὴν ἑτέρου συμβουλὴν, καὶ προσδοκήσας μειζόνων ἐφικέσθαι τοῦτο πεποίηκας καὶ τὰς ἐμὰς ἐντολὰς παρωσάμενος κατετόλμησας τῆς τοῦ ξύλου βρώσεως. ἰδοὺ διὰ τῆς πείρας, ὧν πέπονθας ἔμαθες, ὅσον τῆς συμβουλῆς ἐκείνης τὸ ὀλέθριον. εἴδετε δικαστοῦ φιλανθρωπίαν; εἴδετε ἡμερότητα καὶ ἀνεξικακίαν ἄφατον; εἴδετε συγκατάβασιν πάντα λόγον ὑπερβαίνουσαν; εἴδετε πῶς διὰ τῆς ἐρωτήσεως καὶ τοῦ λέγειν, τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; θύρας αὐτῷ ἀνοῖξαι βούλεται ἀπολογίας, ἵνα καὶ πρὸς τὸν οὕτως ἡμαρτηκότα τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται; ἀκούσωμεν τοίνυν καὶ τοῦ καταδίκου τί πρὸς ταῦτα ἀποκρίνεται. καὶ εἶπέ φησιν ὁ Ἀδάμ· ἡ γυνὴ, ἣν ἔδωκας μετ' ἐμοῦ αὕτη μοι ἔδωκε ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον.

A data præuaricatus erat. Quis annunciaſſet tibi quòd nudus eſſes, niſi de ligno de quo ſolo præcepi tibi ne comederes, de illo ipſo comediſſes? Non caret emphaſi, & latenti quadam vi, quod dicit, De quo ſolo: quaſi diceret, Num adeò anguſtos fructuum bonorum limites tibi præſcripſi? Nónne omnem copiam præbui? nónne omnium quæ in paradiſo ſunt poteſtatem tibi dedi? & duntaxat ab hoc vnico vt abſtineres præcepi: vt ſcire poſſes te ſub domino quodam eſſe, cui obedientiam debes? Quæ igitur tanta negligentia
B illa, vt tantis fructibus non contentus, ab hoc vnico abſtinere nolueris, & ſic ſtatim ad violandum mandatum, quod dedi proruperis, temetipſum tantis malis immergendo? Quæ tibi inde vtilitas? An non hæc prædixi? Nónne metu pœnæ volui vos coërcere & munire? Nónne hac de cauſa, ne in tanta mala incideretis, hunc cibum prohibui? Quis te poſt tanta mandata adeò inſenſatum factum venia dignaretur? Nónne ſicut pater dilectum filium, de
C omnibus ſatis dilucidè & diſtinctè inſtruxi: & vt de aliis quidem guſtares, ab hoc autem abſtineres, vt ne præuaricando omnia tua bona ſimul perderes? Sed fortè ratus es, alterius conſilium meo mandato meliùs & fideliùs, & expectatione maiorum bonorum hæc feciſti, & contempto mandato meo, de ligno edere auſus es: ecce quid tibi acciderit, nunc re ipſa didiciſti, & expertus es quanta conſilij illius pernicies. Vidiſtis iudicis clementiam? vidiſtis manſuetudinem & tolerantiam Domi-
D ni? vidiſtis verborum attemperationem, omni ſermone & cogitatione ſuperiorem? vidiſtis, quomodo per interrogationem, & dicendo, Quis annunciaſſet tibi, niſi de ligno, de quo ſolo præcepi tibi ne comederes, de illo ipſo comediſſes? ianuas illi aperire vult defenſionis, vt & miſericordiam ſuam erga eum, qui tantum peccauerat, declararet? Audiamus & reum, quid ad hæc reſpondeat. [12] *Et dixit Adam: mulier quam dediſti vt ſit mecum: ipſa mihi dedit de ligno, & comedi.*

Miſerabilia ſcilicet verba ,& magna miſeratione plena, & digna quæ ad miſericordiam dominum prouocent,tam manſuetum , & bonitate ſua vincentem noſtra peccata. Nam poſtquam magna longanimitate illius mentem commouit, & oſtendit peccati magnitudinem,quaſi defenſione contexta inquit Adam: Mulier quam dediſti vt ſit mecum, ipſa mihi dedit de hoc ligno, & comedi. Scio, inquit , me peccaſſe : ſed mulier quam dediſti vt ſit mecum, de qua ipſe dixiſti : Faciamus illi adiutorium ſecundum eum : ipſa mihi huius ruinæ cauſa fuit. Mulier quam dediſti vt ſit mecum. Quando enim expectaſſem vt tanta confuſione me reſpergeret, quæ ideo condita , vt mihi ſolatio eſſet ? Tu mihi ipſam dediſti , tu ipſam mihi adduxiſti. Ipſa, neſcio vnde mota, dedit mihi de ligno, & comedi. Videntur hæc quidem defenſionem quandam præ ſe ferre : ſed prorſus venia carent. Qua enim venia dignus es, inquit,qui mea præçepta obliuiſceris, & qui mulieris donũ meis verbis præferendum putas ? Nam licet mulier cibum dederit,ſufficiebat tamen mandatum meum , & timor ſupplicij ad fugam eſcæ incutiẽdam. Num ignorabas? nũ neſciebas? Ideo curam veſtri gerens prædixi, ne in hæc incideretis : itaque licet mulier tibi ad tranſgreſſionem mandati miniſtrarit , tu propterea inſons non eris. Maiorem enim fidem mandato meo te habere oportebat, & non ſolum vt tu ipſe ab eſu caueres, ſed & vt mulierem doceres peccatorum magnitudinem. Caput enim es mulieris , & propter te illa producta eſt: tu autem ordinem inuertiſti, & non ſolum illam non correxiſti, ſed & ipſe ſimul abreptus es. Et oportebat corpus reliquum capiti obſequi : ſed diuerſo modo res euenit , corporíque reliquo caput obſecutum eſt, & quæ ſurſum erant, in infimum locum venerunt. Propterea quoniam omnem ordinem inuertiſti, hoc loco nunc es, qui antea tanta gloria veſtitus eras. Quis te ſatis dignè deplorauit, cui tot & tanta bona ablata ſunt?

A ἐλεεινὰ τὰ ῥήματα, πολλοῦ τοῦ οἴκτου γέμοντα, καὶ ἱκανὰ πρὸς φιλανθρωπίαν ἐπισπάσασθαι τὸν δεσπότην, τὸν οὕτως ἥμερον, καὶ ἀγαθότητι νικῶντα τὰ ἡμῶν πλημμελήματα. ἐπειδὴ γὰρ διὰ τῆς πολλῆς μακροθυμίας κατέσεισεν αὐτοῦ τὴν διάνοιαν, καὶ ἔδειξεν αὐτῷ τοῦ ἁμαρτήματος τὸ μέγεθος, μονονουχὶ ἀπολογίαν Ἀδὰμ συνθείς φησι πρὸς αὐτόν, ἡ γυνὴ ἣν ἔδωκας μετ᾽ ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. οἶδα φησὶν ἡμαρτηκώς, ἀλλ᾽ ἡ γυνὴ ἣν ἔδωκας μετ᾽ ἐμοῦ, περὶ ἧς αὐτὸς εἶπας, ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾽ αὐτόν, αὕτη μοι αἰτία τοῦ ὀλίσθου γέγονεν. ἡ γυ-
B νὴ ἣν ἔδωκας μετ᾽ ἐμοῦ. πότε γὰρ προσεδόκησα ταύτην τῇ αἰσχύνῃ με ταύτῃ περιβαλεῖν τὴν διὰ τοῦτο δημιουργηθεῖσαν, ἵνα μοι τὴν παρ᾽ ἑαυτῆς παραμυθίαν εἰσαγάγῃ; σύ μοι αὐτὴν ἔδωκας, σὺ αὐτὴν ἤγαγες πρός με. αὕτη τοίνυν οὐκ οἶδα πόθεν κινουμένη ἔδωκέν μοι ἀπὸ τοῦ ξύλου καὶ ἔφαγον. ταῦτα δοκεῖ μὲν ἀπολογίαν τινὰ ἔχειν· πάσης δὲ ἀπεστέρηται συγγνώμης. ποίας γὰρ ἂν εἴη συγγνώμης ἄξιος φησὶ τῶν ἐμῶν ἐντολῶν ἐπιλαθόμενος, καὶ τῶν παρ᾽ ἐμοῦ ῥηθέντων, προτιμοτέραν ἡγησάμενος τὴν
C παρὰ τῆς γυναικὸς δόσιν; εἰ γὰρ καὶ ἡ γυνὴ ἔδωκεν, ἀλλ᾽ ἡ ἐντολὴ ἡ ἐμὴ καὶ ὁ φόβος τοῦ ἐπιτιμίου ἱκανὸς ἦν παρασκευάσασθαι φυγεῖν τὴν μετάληψιν. μὴ γὰρ οὐκ ᾔδεις; μὴ γὰρ ἠγνόεις; προλαβὼν διὰ τοῦτο εἶπον κηδόμενος ὑμῶν, ἵνα μὴ τούτοις περιπέσητε. ὥστε εἰ καὶ ἡ γυνή σοι πρὸς τὴν παράβασιν τῆς ἐντολῆς ὑπηρετήσατο· ἀλλ᾽ οὐδὲ οὕτως ἀνεύθυνος ἔσῃ. ἀξιοπιστοτέραν γὰρ ἐχρῆν ἡγήσασθαι τὴν παρ᾽ ἐμοῦ ἐντολήν, καὶ οὐ μόνον αὐτόν σε παραιτήσασθαι τὴν βρῶσιν· ἀλλὰ καὶ τῇ γυναι-
D κὶ δεῖξαι τῶν ἡμαρτημένων τὸ μέγεθος. κεφαλὴ γὰρ εἶ τῆς γυναικός, καὶ διὰ σὲ ἐκείνη παρήχθη· σὺ δὲ τὴν τάξιν ἀνέστρεψας, καὶ οὐ μόνον ἐκείνην οὐ διώρθωσας, ἀλλὰ καὶ συγκατεσπάσθης, καὶ δέον τὸ λοιπὸν σῶμα τῇ κεφαλῇ ἕπεσθαι, τὸ ἐναντίον γέγονε, καὶ ἡ κεφαλὴ τῷ λοιπῷ σώματι ἐξηκολούθησε, καὶ τὰ ἄνω κάτω γέγονε. διὰ τοῦτο, ἐπειδὴ τὴν τάξιν ἅπασαν ἀντέστρεψας, ἐν τούτοις εἶ νῦν, τοσαύτῃ δόξῃ πρὸ τούτου περιβεβλημένος. τίς σε κατ᾽ ἀξίαν ὀδύρεται τῆς ἀφαιρέσεως τῶν τοσούτων ἀγαθῶν; ἀλλ᾽ ὅμως,

Εἰ καὶ ταῦτά σοι ἅπαντα συμβέβηκε, μηδενὶ ἑτέρῳ τὴν αἰτίαν ἐπίγραφε, ἀλλὰ σαυτῷ καὶ τῇ σῇ ῥαθυμίᾳ. οὐ γὰρ εἰ μὴ ἠβουλήθης, ἡ γυνή σε ἠδύνατο εἰς τὸν ὄλισθον τοῦτον ἀγαγεῖν. μὴ γὰρ παρεκάλεσε; μὴ γὰρ διελέχθη; μὴ γὰρ ἠπάτησεν; ἔδωκε μόνον, καὶ εὐθέως μετὰ τοσαύτης εὐκολίας ἐπὶ τὴν μετάληψιν παρῆλθες οὐδεμίαν μνήμην ποιησάμενος τῆς ἐμῆς ἐντολῆς, ἀλλ' ἐνόμισας ἠπατῆσθαι παρ' ἐμοῦ, καὶ διὰ τοῦτο μὴ συγχωρηθῆναί σοι τὴν βρῶσιν, ἵνα μὴ μειζόνων ἐπιτύχῃς. καὶ πῶς ἂν ἔχοι λόγον παρ' ἐμοῦ ἠπατῆσθαί σε, τοῦ τοσαύτας εὐεργεσίας εἰς σὲ καταθεμένου; καὶ τοῦτο δὲ αὐτὸ ὅσης ἦν εὐεργεσίας μέγεθος τὸ προλαβεῖν, καὶ διαστείλασθαι τὴν ἀποχὴν, ὥστε μὴ τούτοις περιπεσεῖν, οἷς νῦν ἑαυτὸν περιέβαλες; ἀλλὰ πάντα ταῦτα παρ' οὐδὲν θέμενος, ἰδοὺ διὰ τῆς πείρας ἔμαθες τῶν ἡμαρτημένων σοι τὸ μέγεθος· λοιπὸν μηδὲ τῇ γυναικὶ μόνῃ τὴν αἰτίαν ἐπίγραφε, ἀλλὰ τῇ ῥαθυμίᾳ σαυτοῦ. ἐπεὶ τοίνυν ἀρκούντως πρὸς τὸν Ἀδὰμ διελέχθη, καὶ τὴν ὁμολογίαν ἐκεῖνος ἐποιήσατο τῶν ἡμαρτημένων, ὡς ἐνόμισε τὴν γυναῖκα μεταθείς. ὅρα τὸν ἀγαθὸν δεσπότην, πόσῃ τῇ συγκαταβάσει πάλιν κέχρηται, καὶ ἀξιοῖ καὶ ταύτην τῆς παρ' αὐτοῦ ἀποκρίσεως. καὶ εἶπέ φησιν ὁ θεὸς τῇ γυναικί, τί τοῦτο ἐποίησας; ἤκουσας φησὶ τοῦ ἀνδρὸς ἐπὶ σὲ τὴν αἰτίαν μεταφέροντος καὶ τὸ πᾶν ἐπιγράφοντός σοι τῇ πρὸς βοήθειαν αὐτῷ δεδομένῃ, καὶ διὰ τοῦτο παραχθείσῃ, ἵνα τὴν παρὰ σαυτῆς παραμυθίαν εἰσαγάγῃς αὐτῷ, οἷα δὴ ὁμογενὴς καὶ τῆς αὐτῆς αὐτῷ φύσεως κοινωνοῦσα. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησας ὦ γύναι, καὶ διὰ τί καὶ σαυτῇ καὶ τῷ ἀνδρὶ τοσαύτης αἰσχύνης αἰτία κατέστης; τί σοι τὸ ὄφελος γέγονεν ἀπὸ τοσαύτης ἀκρασίας; τί σοι τῆς ἀπάτης τὸ κέρδος, ἣν ἑκοῦσα ἠπατήθης, καὶ τὸν ἄνδρα κοινωνὸν τῆς ἀπάτης εἰργάσω; τί οὖν ἡ γυνή; ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον. ὅρα ταύτην ἐν πολλῇ δειλίᾳ καθεστῶσαν, καὶ ἀπολογουμένην ὑπὲρ τῶν ἡμαρτημένων. καθάπερ γὰρ ὁ ἀνὴρ τὴν αἰτίαν ἐπὶ τὴν γυναῖκα ἔδοξε μετάγειν λέγων, ἡ γυνὴ ἤνεγκε, καὶ ἔδωκέ μοι, καὶ ἔφαγον· οὕτω καὶ αὐτὴ οὐδεμίαν εὑρίσκουσα ἀποφυγὴν ὁμολογεῖ τὸ γεγενημένον, καί φησιν, ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον. τὸ πονηρὸν ἐκεῖνο θηρίον τοῦ ἐν ἡμῖν τὸν ὄλισθον προεξένησεν, ἐκείνου ἡ ὀλέθριος συμβουλὴ εἰς ταύτην ἡμᾶς τὴν αἰσχύνην ἤνεγκεν, ἐκεῖνός με ἠπάτησε καὶ ἔφαγον.

A Verumtamen licet omnia hæc tibi acciderint, nulli tamē alteri cauſam aſſcribe; ſed tibiipſi & tuæ ignauiæ. Neutiquam enim te nolentem mulier in tantam induxiſſet ruinam. Num enim obſecrauit? num diſſeruit? num decepit? Dedit tantùm; & ſtatim, támque facilè ad ſumendum cibum adductus es, nullam mandati vel memoriam feciſti: putaſti à me te deceptum eſſe, & propterea cibum hunc tibi non dediſſe, vt ne maioribus fruereris. Et quomodo rationi conſonum, quòd ego te fallerem, qui tot in te bene-
B ficia contuli? Et iſtuc ipſum quanta beneficentiæ magnitudo erat, vt prædicendo diſtinguerem à quo abſtinendum eſſet, quò non incideres in quæ incidiſti? Sed hæc omnia non magni faciebas. Ecce nunc experientia te docet, quanta peccatorum ſit magnitudo: reliquum eſt, vt ſoli mulieri culpam non aſcribas, ſed negligentiæ tuæ. Igitur cùm ſatis Adæ dictum eſt, & confeſſionem ille fecit commiſſorum, vt putabat, peccato in mulierem tranſlato: vide bonum
C dominum, quanta iterum verborum humilitate dignatur etiam illam ſuo reſponſo. *Et dixit*, inquit, *Deus mulieri: Cur hoc feciſti?* Audiſti virum in te culpam transferentem, & omnia tibi aſcribentem, quæ ipſi in adiutricem data es, atque ideo condita, vt tuis ſolatiis ipſum foueres, vtpote eandem naturam cum ipſo ſortita. Cur hoc feciſti ô mulier? cur & tibi, & viro tantæ confuſionis facta es autor? Quæ vtilitas ex hac intemperantia tibi accreuit? Quod ex hoc errore lucrum tibi acceſſit, quò
D ſponte decepta, etiam virum eius mali participem facere voluiſti? quid ergo ad hæc mulier? *Serpens decepit me, & comedi.* Vide etiam hanc perterritam peccata ſua defendere. Nam ſicut vir culpam in mulierem reiicere videtur dicens: Mulier eulit, & dedit, mihi & comedi: ſic & ipſa nullum effugium inueniens fatetur factum, & inquit: Serpens decepit me, & comedi. Mala illa, inquit, beſtia hunc nobis lapſum attulit. Illius pernicioſum conſilium, in hanc nos confuſionem adegit. Ille me decepit, & comedi.

Dilecti, ne tranſeamus ſimpliciter quæ nunc dicuntur, ſed diligenter ſcrutemur. Nam plurimam inde vtilitatem percipiemus. Terribile enim iudicium eſt, & horrore plenum. Et ſanè quiſquis bene audierit, magnũ theſaurum menti ſuæ inferet. Conſidera igitur & virum dicentem, Mulier, quam dediſti vt ſit mecum, ipſa mihi dedit, & comedi. nuſquã neceſſitas, nuſquam violẽtia, ſed electio & voluntas: dedit ſolum, & non coëgit, nec vim attulit. quin & ipſa quoque apologiã concinnans non dixit: Serpens coëgit me & comedi: ſed quid? Serpens decepit me: vt autẽ deciperetur, aut non deciperetur, in ipſius erat poteſtate. Serpens, inquit, decepit me. Vide namq; inimicus noſtræ ſalutis opera huius malæ beſtiæ vſus, conſilium dedit & decepit: non vim fecit, neque coëgit, ſed pernicioſo conſilio fraudes ſuas opere compleri fecit: quoniam mulierem offendit, quæ deceptionem facilè admiſſura erat, nulla venia dignam. Serpens decepit me, & comedi. Vide bonũ dominum, illorum verbis contentum; & ad plura dicenda non cogentem. Quandoquidem enim hęc non ignorans interrogabat, ſed conſcius, & valde conſcius: cæterùm vt ſuam declaret miſericordiam, ad illorum ſe infirmitatem demittit, & ad peccatorum confeſſionem prouocat. Hac igitur de cauſa nihil vlterius ex eis quærit. An non & ſpecies impoſturæ diſcenda erat? Verùm vt nobis oſtendat, quòd non ignorans interrogauerit, contentus fuit dictis. Nam dicendo: Serpens decepit me, & comedi: aperuit pernicioſum conſilium, quod à diabolo per ſerpentẽ accepit, quòd poſt eſum futuri eſſent tanquã dij. Vidiſtis quanta diligentia Adam interrogatus eſt? cum quanta tolerãtia in iudicium adducta eſt mulier? quomodo vterque ſe defendit? Videte conſequenter hîc ineffabilem miſericordiæ iudicis excellẽtiam. quia poſtquam mulier dixit: Serpens decepit me, & comedi: non iam ſerpẽtem dignatur, vt audiatur, & locum habeat defendendi: neque rogat ſicut virum & mulierem: ſed accepta ab illis defenſione, in illum, quaſi malorum authorem, impetũ facit. Et

A μὴ ἁπλῶς παρατρέχωμεν ἀγαπητοὶ τὰ λεγόμενα, ἀλλ' ἀκριβῶς διερευνώμενοι πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν ὠφέλειαν. δικαστήριον γάρ ἐστι φοβερὸν, καὶ φρίκης γέμον, καὶ δεῖ πάντα μετ' ἀσφαλείας ἀκούσαντας πολὺν τὸν ἀπὸ τῶν λεγομένων θησαυρὸν ἐναποτίθεσθαι τῇ διανοίᾳ. σκόπει γὰρ τὸν ἄνδρα λέγοντα, ὅτι ἡ γυνὴ ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκε καὶ ἔφαγον. οὐδαμοῦ ἀνάγκη, οὐδαμοῦ βία, ἀλλὰ προαίρεσις καὶ γνώμη, ἔδωκε μόνον, οὐκ ἠνάγκασεν, οὐκ ἐβιάσατο, καὶ αὐτὴ πάλιν ἀπολογίαν συντιθεῖσα, οὐκ εἶπεν, ὁ ὄφις ἠνάγκασέ με καὶ ἔφαγον. ἀλλὰ τί; ὁ

B ὄφις ἠπάτησέ με· τοῦ δὲ ἀπατηθῆναι, καὶ μὴ ἀπατηθῆναι κυρία ἦν. ὁ ὄφις φησὶν ἠπάτησέ με. ὅρα γάρ· ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας ἐνεργήσας διὰ τοῦ πονηροῦ ἐκείνου θηρίου, καὶ τὴν συμβουλὴν εἰσαγαγὼν ἠπάτησεν, οὐκ ἠνάγκασεν, οὐκ ἐβιάσατο, ἀλλὰ διὰ τῆς ὀλεθρίας συμβουλῆς τὴν ἀπάτην εἰς ἔργον ἤγαγεν ἐπειδὴ εὗρε τὴν γυναῖκα εὐκόλως δυναμένην δέξασθαι τὴν ἀπάτην τὴν πάσης τῆς συμβουλῆς ἐστερημένην, ὁ ὄφις φησὶν ἠπάτησέ με καὶ ἔφαγον. ὅρα τὸν ἀγαθὸν δεσπότην ἀρκούμενον αὐτῶν τοῖς ῥήμασι, καὶ οὐδὲν

C περαιτέρω καταναγκάζοντα λέγειν. ἐπειδὴ γὰρ οὐκ ἀγνοῶν ταῦτα ἠρώτα, ἀλλ' εἰδὼς καὶ σφόδρα εἰδώς· ἵνα δὲ τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται, συγκαταβαίνει αὐτῶν τῇ ἀσθενείᾳ, καὶ ἐκκαλεῖται αὖθις εἰς ὁμολογίαν τῶν ἐπταισμένων. διὰ τοῦτο οὖν οὐδὲν πλέον ἐρωτᾷ, ἐχρῆν γὰρ ἄρα μαθεῖν καὶ τὸ εἶδος τῆς ἀπάτης, ἀλλ' ἵνα ἡμῖν δείξῃ ὅτι οὐκ ἀγνοίας ἦν ἡ ἐρώτησις ἀρκεῖται τοῖς ῥηθεῖσιν. εἰποῦσα γὰρ, ὁ ὄφις ἠπάτησέ με καὶ ἔφαγον, ἐκείνην ἠνίξατο τὴν ὀλεθρίαν συμβουλὴν, ἣν ἐδέξατο παρὰ τοῦ διαβόλου διὰ τοῦ ὄφεως, ὅτι ἔσε-

D σθε μετὰ τὴν βρῶσιν ὡς θεοὶ εἴδετε. μεθ' ὅσης ἀκριβείας ἠρωτήθη ὁ Ἀδάμ; μεθ' ὅσης ἀνεξικακίας εἰσήχθη εἰς τὸ δικαστήριον καὶ ἡ γυνὴ, πῶς ἑκάτερος αὐτῶν τὴν ἀπολογίαν ἐποιήσατο; βλέπετε λοιπὸν ἐνταῦθα τῆς ἀφάτου φιλανθρωπίας τοῦ δικαστοῦ τὴν ὑπερβολήν. ἐπειδὴ εἶπεν ἡ γυνὴ, ὅτι ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον· οὐκέτι λοιπὸν ἀποκρίσεως ἀξιοῖ τὸν ὄφιν, οὐδὲ ἀπολογίας χώραν αὐτῷ παρέχει. οὐδὲ γὰρ ἐρωτᾷ καθάπερ τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα. ἀλλὰ τὰς παρ' ἐκείνων ἀπολογίας δεξάμενος ἐπὶ τοῦτον ὡς αἴτιον τῶν ὅλων κακῶν γεγενημένων ὁρμᾷ. καὶ

ὅπερ ὡς θεὸς καὶ τὰ ἀπόρρητα ἐπιστάμενος ἤδει, ὅτι αὐτὸς ἦν ὁ ὑπηρετησάμενος τῇ τοῦ διαβόλου ἐπιβουλῇ, καὶ τῇ βασκανίᾳ, ἣν περὶ τὸν ἄνθρωπον ἐπεδείξατο, ἵνα μάθῃς αὐτοῦ τὴν ἀγαθότητα, πῶς ἐπ' ἐκείνων μὲν καὶ εἰδὼς τῷ μὲν ἔλεγε, ποῦ εἶ, τίς ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ; τῇ δὲ ἔλεγε, τί τοῦτο ἐποίησας; ἐπὶ δὲ τοῦ πονηροῦ τούτου θηρίου οὐδὲν τοιοῦτον, ἀλλὰ τί; καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο. εἶδες διαφοράν; τῇ μὲν γυναικὶ ἔλεγε, τί τοῦτο ἐποίησας; τῷ δὲ ὄφει, ὅτι ἐποίησας τοῦτο, ὅτι τὸ κακὸν τοῦτο εἰργάσω, ὅτι τὴν ὀλέθριον συμβουλὴν ταύτην εἰσήγαγες, ὅτι τοσαύτῃ βασκανίᾳ ὑπηρετήσω, ὅτι οὕτω τὸν φθόνον ἐκίνησας κατὰ τοῦ δημιουργηθέντος ὑπ' ἐμοῦ, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. ἐπὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου, καὶ ἀνὰ μέσον τῆς γυναικὸς, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου, καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς, αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. σκόπει μοι ἐνταῦθα τάξιν καὶ ἀκολουθίαν φιλανθρωπίας πεπληρωμένην. τὴν μὲν γὰρ ἐρώτησιν ποιούμενος ἀπὸ τοῦ ἀνδρὸς ἤρξατο, εἶτα μετῆλθεν ἐπὶ τὴν γυναῖκα. καὶ ἐπειδὴ εἶπεν αὐτὴ τὸν αἴτιον αὐτῇ γεγενημένον ἐλθὼν ἐπὶ τὸν ὄφιν, καὶ οὐκέτι αὐτὸν ἀποκρίσεως ἀξιώσας τὴν τιμωρίαν ἐπάγει ὡς καὶ τοιαύτην ἅπαντι τῷ χρόνῳ παρεκτείνεσθαι, καὶ διὰ τῆς ὄψεως διηνεκῆ διδάσκαλον γίνεσθαι τοῖς ἑξῆς ἅπασι, μηκέτι δέχεσθαι τὴν ὀλεθρίαν ἐκείνην συμβουλὴν, μηδὲ ἀπατᾶσθαι τοῖς παρ' ἐκείνου μηχανήμασιν. ἀλλ' ἴσως εἴποι τις ἂν καὶ εἰ ὁ διάβολος ἐνεργήσας διὰ τοῦ ὄφεως τὴν συμβουλὴν εἰσήγαγε, τίνος ἕνεκεν θηρίον τοσαύτην ὑπέμεινε τιμωρίαν; καὶ τοῦτο τῆς ἀφάτου φιλανθρωπίας ἔργον γέγονε. καθάπερ γὰρ πατὴρ φιλόστοργος τὸν ἀπεκτακότα τὸν υἱὸν τὸν ἑαυτοῦ τιμωρούμενος καὶ τὴν μάχαιραν καὶ τὸ ξίφος, δι' οὗ τὸν φόνον εἰργάσατο διαφθείρει, καὶ εἰς πολλὰ κατατέμνει μέρη· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ ἀγαθὸς θεὸς, ἐπειδὴ ὥσπερ μαχαίρᾳ τινὶ ὑπηρετήσατο τὸ θηρίον τοῦτο, τῇ τοῦ διαβόλου πονηρίᾳ, ἐπάγει αὐτῷ διηνεκῆ τὴν τιμωρίαν· ἵνα διὰ τῶν αἰσθητῶν τούτων καὶ ὁρωμένων λογιζώμεθα ἐν ὅσῃ ἀτιμίᾳ κἀκεῖνος τυγχάνει. εἰ γὰρ τοῦτο καθάπερ ὄργανον ὑπηρετησάμενος τοσαύτης ἐπειράθη τῆς ἀγανακτήσεως, ποίαν εἰκὸς ἐκεῖνον δέξασθαι τιμω-

A Et quia Deus, cùi etiam ineffabilia, & arcana nota ſunt, ſciebat ꝙ ſerpẽs miniſtrauerat diaboli inſidiis & inuidiæ, qua hominem perſequebatur: vt diſcas ipſius bonitatem, quomodo cùm & illorũ res cognoſceret, ad Adam quidẽ ait: Vbi es? Quis annũciauit tibi quòd nudns ſis? Euæ autẽ dixit: Cur hoc feciſti? huic verò malæ beſtiæ nihil tale dicit. Sed quid? Et dixit dominus Deus ſerpenti: Quia feciſti hoc. Vidiſti differentiam? Mulieri dixit: Cur hoc feciſti? Serpenti autẽ: Quia feciſti hoc. Quia hoc malum, inquit, operatus es: quia perni-
B ciosum hoc conſilium induxiſti, quia huic inuidiæ miniſtraſti, quia inuidiã acuiſti aduerſus creaturam meam:
[14] *Maledictus tu præ omnibus pecoribus, & præ omnibus beſtiis terræ. Super pectus tuum & vẽtrem tuum gradieris, & terrã comedes omnibus diebus vitæ tuæ.* [15] *Et inimicitias ponã inter te, & inter mulierẽ: & inter ſemen tuũ, & inter ſemẽ illius. Ipſe obſeruabit caput tuũ, & tu obſeruabis eius calcaneũ.* Attende oro hîc ordinẽ cõtextus, refertum Dei erga homines beneuolentia. Nã interrogans à viro
C incepit, deinde ad mulierem trãſiit. Et poſtquã ipſa dixit, quis ſibi author fuerit: vt vẽtum eſt ad ſerpentẽ, non iam illum dignatur, vt reſponſum ex eo audiat, ſed pœnam intentat, & talem quæ omni tempore duret, & ſui ſpectaculo omnibus poſthac futuris doctrina ſit, ne vltrà peſtilẽs illud audiatur cõſilium, neque locus concedatur doloſis ipſius inſidiis. Sed fortè dixerit aliquis: Cùm diabolus ſerpẽtis opera vſus, malũ attulit conſiliũ, cur beſtiæ illi pœna infligitur? Eſt & hoc ineffabilis benignitatis Dei opus. Nam ſicut clementiſſimus pater
D puniens eum, qui filium ſuum occiderit, & gladium & enſem, per quæ filius ſuus occiſus, deſtruit, & in multas partes diuidit: eodem modo Deus egit. Quippe ſerpens quaſi gladius quidam diabolicæ ſeruiuit malitiæ, vnde & perpetua ipſi pœna intentata eſt. Quò per viſibile & ſenſibile hoc ratiocinemur & expendamus, in quanta ignominia ſit & diabolus. Nam ſi is qui vt inſtrumentũ miniſtrauit, tantam expertus eſt indignationem, quale ſupplicium veriſimile eſt ſuſcepturum diabolum?

Cur ſerpẽs beſtia punitur.

Imò hoc nos iam docuit in diuinis euangeliis Chriſtus, dicens ad eos,
Matth. 25.41. qui à ſiniſtra ſteterunt: Diſcedite à me maledicti in ignem æternũ, qui præparatus eſt diabolo ; & angelis eius. Illi enim olim præparatus eſt inextinguibilis iſte ignis. Quid ergo miſerius illis, qui negligendo ſalutẽ ſuam, ſeipſos ſupplicio illi obnoxios reddunt, quod diabolo præparatum eſt? Nam nobis, ſi voluerimus virtutem amplexari, & leges à Chriſto ſtatutas ſequi, paratum eſt regnum, de quo ipſum audi loquentem. Venite
Ibid. 34. benedicti patris mei, in hæreditatem accipite regnum, quod vobis præparatum eſt à conſtitutione mũdi. Vidiſti illi inextinguibilem ignẽ præparatum, nobis autem, niſi deſides fuerimus, regnum? Hæc igitur cogitantes, & vitæ noſtræ curam agamus, & malitiam fugientes, nunquam diabolicis artibus decipiamur. At ſi & vos volueritis & nondum feſſi eſtis, iterum in medium afferamus pœnam quæ ſerpenti inflicta eſt, vt paulatim ad finem iudicij properantes, videamus diuinæ clementiæ magnitudinem. Nam ſi homines iudicem videntes publicè ſedentem, & contra reos ſententiam pronunciantem, ſæpe toto die ibi manent, nec inde abſcedunt, donec ſurrexiſſe viderint iudicem: multò magis nunc nos decebit iudicem maiori cum alacritate videre bonum Deum, quomodo ſerpenti grauem pœnam impoſuerit, vt per ſenſibilis huius beſtiæ pœnas, qua quaſi organo vſus eſt malignus ille dæmon, intelligamus, quas illi perpetuas in futuro ſeculo inflicturus eſt. Quomodo item congrua & miſericordi correptione virum & mulierem caſtigat, quæ admonitio potius ſit quàm punitio: vt his omnibus diligenter animaduerſis, admiremur clementis Dei prouidentiam, quam ille noſtræ naturæ exhibet. Quid ergo illi dictum? [14] *Et dixit dominus Deus ſerpenti: Quia feciſti hoc, maledictus tu præ omnibus pecoribus, & præ omnibus beſtiis quæ ſunt ſuper terram. Super pectus tuum & ventrem tuum gradieris, & terram comedes omnibus diebus vitæ tuæ.* [15] *Et inimicitias ponam inter te, & inter mulierem,*

A εἶεν; μᾶλλον δὲ καὶ τοῦτο ἤδη ἡμᾶς ἐδίδαξεν ὁ Χριστός, διὰ τῶν θείων εὐαγγελίων φάσκων πρὸς τοὺς ἐξ εὐωνύμων ἑστῶτας, πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκείνῳ γὰρ πάλαι ἡτοίμασται, καὶ ἐκεῖνο τὸ ἄσβεστον πῦρ αὐτὸν ἐκδέχεται. τί οὖν ἂν εἴη ἀθλιώτερον τῶν διὰ ἀμέλειαν τῆς οἰκείας σωτηρίας ἑαυτοὺς ἐκείνῃ τῇ τιμωρίᾳ καθιστώντων ὑπευθύνους τῇ ἐκείνῳ ἡτοιμασμένῃ; ὅτι γὰρ ἡμῖν εἰ βουληθείημεν ἀρετὴν ἐπιδείκνυσθαι, καὶ τοῖς παρὰ τοῦ Χριστοῦ τεθεῖσι νόμοις ἕπεσθαι, ἡ βασιλεία ἡτοίμασται, αὐτοῦ πάλιν ἄκουσον λέ-
B γοντος· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. εἶδες ἐκείνῳ μὲν τὸ ἄσβεστον πῦρ ἡτοιμασμένον, ἡμῖν δὲ εἰ μὴ ῥαθυμήσαιμεν τὴν βασιλείαν; ταῦτα τοίνυν ἐννοοῦντες καὶ βίου ἐπιμελώμεθα, καὶ τὴν κακίαν φεύγωμεν, καὶ μηδέποτε ἀπατώμεθα ταῖς τοῦ διαβόλου μηχαναῖς. ἀλλ᾽ εἰ βούλεσθε καὶ μὴ ἀποκάμνετε, πάλιν εἰς μέσον ἀγάγωμεν τὴν τιμωρίαν τὴν τῷ ὄφει ἐπαγομένην, ἵν᾽ οὕτω κατὰ μικρὸν εἰς τὸ τέλος τῆς δίκης φθάσαντες ἴδωμεν τῆς φιλανθρωπίας
C τοῦ θεοῦ τὸ μέγεθος. εἰ γὰρ ἄνθρωποι δικαστὴν ὁρῶντες πολλάκις δημοσίᾳ καθήμενον, καὶ τὴν κατὰ τῶν καταδίκων ψῆφον ἐκφέροντα διὰ πάσης ἡμέρας παραμένουσι, καὶ οὐκ ἀφίστανται μέχρις ἂν ἴδωσιν ἀναστάντα τὸν δικαστήν, πολλῷ μᾶλλον ἡμᾶς νῦν προσήκει μετὰ πλείονος τῆς προθυμίας ἰδεῖν τὸν ἀγαθὸν θεόν, πῶς μὲν τῷ ὄφει σφοδρὰν τὴν τιμωρίαν ἐπιτίθησιν, ἵνα διὰ τοῦ αἰσθητοῦ τούτου θηρίου, ᾧ ὥσπερ ὀργάνῳ ἐχρήσατο ὁ πονηρὸς δαίμων, αἴσθησιν ἡμῖν παράσχῃ τῆς μελλούσης ἐκεῖνον τιμωρίας ἐκδέχεσθαι, πῶς δὲ
D μετὰ φειδοῦς σύμμετρον ἐπάγει καὶ τῇ γυναικὶ καὶ τῷ ἀνδρὶ τὴν ἐπιτίμησιν νουθεσίαν μᾶλλον ἔχουσαν, ἢ κόλασιν, ἵνα ταῦτα μετὰ ἀκριβείας σκοπήσαντες θαυμάσωμεν τὴν τοῦ φιλανθρώπου θεοῦ κηδεμονίαν, ἣν περὶ τὴν φύσιν ἐπιδείκνυται τὴν ἡμετέραν. τί οὖν φησι; καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ σου πορεύσῃ, καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ ἔχθραν θήσω ἀναμέσον σου καὶ ἀναμέσον τῆς γυναικός,

καὶ ἀνα-

καὶ ἀναμέσον τοῦ σπέρματός σου, καὶ ἀναμέσον τοῦ σπέρματος αὐτῆς. καὶ αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. μεγάλη καὶ σφοδρὰ ἡ ἀγανάκτησις, ἐπειδὴ καὶ μεγάλη ἡ τῆς ἀπάτης ὑπερβολή, ἣν δι' αὐτοῦ προσήγαγεν ὁ πονηρὸς διάβολος. καὶ εἶπε κύριος ὁ θεός, ὅτι ἐποίησας τοῦτο. ἐπειδὴ τοιαύτῃ ὑπηρετήσω πανουργίᾳ, καὶ οὕτω τὴν ἀπάτην εἰς ἔργον ἤγαγες, ὀλεθρίαν συμβουλὴν εἰσαγαγών, καὶ τὸ δηλητήριον αὐτοῖς φάρμακον κεράσας· ἐπειδὴ τοῦτο εἰργάσω, καὶ τῆς ἐμῆς εὐνοίας ἐκβαλεῖν ἠβουλήθης τοὺς ὑπ' ἐμοῦ δημιουργηθέντας ὑπηρετησάμενος τῇ τοῦ πονηροῦ δαίμονος γνώμῃ τοῦ διὰ τὴν βασκανίαν καὶ τὴν ὑπερβάλλουσαν ὑπερηφανίαν ἐκ τῶν οὐρανῶν εἰς τὴν γῆν κατενεχθέντος, διὰ τοῦτο ἐπειδὴ ἐν τούτοις ὀργάνῳ σοι ἐχρήσατο, διηνεκῆ σοι τὴν τιμωρίαν ἐπιτίθημι, ἵνα διὰ τῶν εἰς σὲ γινομένων κἀκεῖνος εἰδέναι ἔχῃ, οἵα τιμωρία αὐτὸν ἐκδέχεται, καὶ οἱ ἑξῆς ἄνθρωποι παιδεύωνται μηκέτι ὑπάγεσθαι ταῖς τούτου συμβουλαῖς, μηδὲ τὴν ἀπάτην προσίεσθαι, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσωσι. διὰ τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν. ἐπειδὴ οὐκ εἰς δέον ἐχρήσω τῇ φρονήσει, ἀλλὰ τὸ προτέρημα, ὅπερ εἶχες ὑπὲρ ἅπαντα τὰ θηρία, τοῦτό σοι γέγονε τῶν κακῶν ἁπάντων αἴτιον· ὁ γὰρ ὄφις φησίν, ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, διὰ τοῦτο ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ τῶν θηρίων τῆς γῆς γενήσῃ. ἀλλ' ἐπειδὴ τὸ τῆς κατάρας οὐκ ἦν αἰσθητόν, οὐδὲ ὀφθαλμοῖς φαινόμενον. διὰ τοῦτο καὶ αἰσθητὴν αὐτῷ τιμωρίαν ἐπάγει, ἵνα διηνεκῶς πρὸ τῶν ὀφθαλμῶν ἔχωμεν ὁρᾶν τῆς τιμωρίας αὐτοῦ τὰ ὑπομνήματα. ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ἐπειδὴ γὰρ τῇ διαπλάσει οὐ δεόντως ἐχρήσω, ἀλλὰ καὶ εἰς ὁμιλίαν ἐλθεῖν ἐτόλμησας τῷ ὑπ' ἐμοῦ δημιουργηθέντι λογικῷ ζώῳ· καθάπερ τοίνυν ὁ διάβολος ὁ ἐνεργήσας διὰ σοῦ καὶ ὀργάνῳ σοι χρησάμενος, ἐπειδὴ ὑπὲρ τὴν οἰκείαν ἀξίαν ἐφρόνησεν, ἐκ τῶν οὐρανῶν κατηνέχθη· τὸν αὐτὸν δὴ τρόπον καί σε ἕτερον σχῆμα διαπλάσεως ἀναλαβεῖν, προστάττω καὶ ἐπὶ τῆς γῆς σύρεσθαι, καὶ ταύτην ἔχειν τροφήν, ὥστε μὴ ἐξεῖναί σοι λοιπὸν ἀνανεύειν ἄνω, ἀλλὰ διηνεκῶς ἐν ταύτῃ τυγχάνειν τῇ καταστάσει, καὶ παρὰ πάντα λοιπὰ τὰ θηρία τὴν γῆν σιτεῖσθαι, καὶ οὐδὲ τοῦτο μόνον

A *& inter ſemen tuum, & ſemen eius. Ipſe tuum obſeruabit caput, & tu obſeruabis eius calcaneum.* Grauis indignatio, ſed magna etiam & eminens impoſtura, quam per illum malignus dæmon intulit. Et dixit dominus Deus: Quia feciſti hoc. Quia tali, inquit, malitiæ miniſtraſti, vt impoſtura illa opere compleretur, malum conſilium afferendo, & lethale poculum temperando: quia ſic miniſtraſti, & à mea beneuolentia excidere voluiſti creaturas meas miniſterio maligni dæmonis ſententiæ exhibito, qui ob excellentem inui-
B diam & ſuperbiam ſuam è cœlis in terram deiectus eſt: & propterea quia te in his vt inſtrumẽto eſt vſus, perpetuam tibi pœnam impono, vt per ea quæ tibi fiunt, & ille ſcire poſſit, quænam ipſum maneat pœna, & futuri homines erudiantur, non accedendum ad diaboli conſilia, neque illius fraudes accipiendas, vt ne in eaſdem incidant pœnas. Propterea maledictus es tu inter omnia pecora, quia calliditate malè, & non vt oportebat es vſus: ſed priuilegium
C quod ſuper omnia animantia poſſidebas, hoc tibi in omnium malorum ceſſit occaſionem. Inquit enim: Serpens erat prudentiſſima omnium beſtiarum, quæ erant ſuper terrãm. Propterea maledictus tu inter omnia iumenta & omnes beſtias terræ futurus es. Et quia maledictio non erat ſenſibilis, neque oculis videri poterat, propter hoc & ſenſibilem illi pœnam infert, vt continuò ante oculos videre poſſimus ſupplicij eius monimenta. Super pectus & ſuper ventrem gradieris, & ter-
D ram comedes omnibus diebus vitæ tuæ. Quia & ſtatura tua & formatione abuſus es, & in familiaritatem rationalis animalis à me cõditi venire nõ formidaſti. Sicut igitur diabolus, qui per te operatꝰ, & te vt inſtrumento vſus eſt, è cœlis deorſũ depulſus eſt: quia plus quàm dignitatis ſuæ erat, ſapere volebat: ita ſimiliter impero, vt & tu aliam formationis figuram habeas; & ſuper terrã repas, eáq; alaris: atque adeò ne liceat tibi poſthac ſuſpicere: ſed ſemper in hoc maneas ſtatu, & ſolus ex animalibus terra paſcaris: & neque hoc ſolum

Q

Nam & inimicitias ponam inter te, & inter mulierẽ, inter ſemen tuũ, & ſemẽ eius. Neque hoc cõtentus ero, quòd ſuper terrã reptes, ſed & inimicã fœderiſque neſciã faciam tibi mulierem: neque eam ſolã, ſed & ſemen eius ſemini tuo hoſtem perpetuũ faciam. Ipſe tuum obſeruabit caput, & tu eius obſeruabis calcaneũ. Tantũ enim illi robur concedam, vt continuò incumbat capiti tuo, te autem faciam ſub pedibus eius iacere. Vide hîc dilecte, quomodo per pœnam huic beſtiæ deputatam, quanta humani generis cura Deo ſit, demonſtretur. Et hoc quidem de viſibili ſerpente: licet autem volenti poſt hoc conſiderare ſcriptorum tenorem, & cognoſcere, quòd ſi de ſenſibili ſerpente hæc dicta ſunt, multò magis accipienda ſunt hæc de ſpirituali ſerpente. Etenim & illum pedibus noſtris ſubiecit humiliatum, & nos incumbere illius capiti fecit. An non hoc ſignificat dicens, Calcate ſuper ſerpentes, & ſcorpiones? Deinde enim ne putemus de ſenſibilibus ſerpentibus eſſe dictum, ſubdit: Et ſuper omnem virtutem inimici. Vidiſtis ex his quæ dicta ſunt de pœna inſtrumento diabolico inflicta, ingentem Dei miſericordiam? veniamus iterum, ſi placet, ad mulierem. Serpens quia impoſturam intulit, propterea & pœnam ipſe primus accepit. Et quia primò mulierem decepit, ideo & ipſa prior plectitur pœna, magnam admonitionem habente. 16 *Et mulieri dixit: Multiplicans multiplicabo triſtitias tuas, & gemitum tuum. In triſtitiis paries filios: & ad virum tuum conuerſio tua, & ipſe tui dominabitur.* Vide bonitatem Domini, quomodo poſt tantam præuaricationem manſuetudine vtitur. Multiplicans multiplicabo triſtitias tuas. Ego quidem volebam, inquit, te citra dolorem & ærumnam viuere, liberámque ab omni mœrore & triſtitia, & omni voluptate repleri, & licet corpore circumdatam, corporalium ſenſu non affici: at quia nõ vſa es vt oportet tanta proſperitate, ſed affluentia bonorum in tantam te ingratitudinem inuexit: propterea tibi frænum impono, vt ne amplius laſciuias,

Spiritualis ſerpẽs Diabolus.

Luc. 10. 19.

A ἀλλὰ καὶ ἔχθραν θήσω ἀναμέσον σοῦ καὶ ἀναμέσον τῆς γυναικὸς καὶ ἀναμέσον τοῦ σπέρματός σου καὶ ἀναμέσον τοῦ σπέρματος αὐτῆς. καὶ οὐδὲ τούτῳ ἀρκεσθήσομαι, τῷ ἐπὶ τῆς γῆς σύρεσθαί σε, ἀλλὰ καὶ ἐχθρὰν ἄσπονδόν σοι καταστήσω τὴν γυναῖκα καὶ οὐκ αὐτὴν μόνην, ἀλλὰ καὶ τὸ σπέρμα αὐτῆς τῷ σπέρματί σου πολέμιον διηνεκῆ ἐργάσομαι. αὐτός σου τηρήσει κεφαλὴν καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν, καὶ γὰρ τοσαύτην ἐκείνῳ παρέξω τὴν ἰσχὺν, ὡς διηνεκῶς ἐπικεῖσθαι τῇ σῇ κεφαλῇ, σὲ δὲ τοῖς ἐκείνου ποσὶν ὑποκεῖσθαι. ὅρα ἀγαπητὲ διὰ τῆς κατὰ τοῦ θηρίου τούτου τιμωρίας ὅσην ἡμῖν ἐνδείκνυται B τὴν κηδεμονίαν, ἣν περὶ τὴν τῶν ἀνθρώπων φύσιν ἔχει. καὶ ταῦτα μὲν περὶ τοῦ αἰσθητοῦ ὄφεως· ἔξεστι δὲ τῷ βουλομένῳ μετὰ τοῦτο τηρεῖν τῶν ἐγγεγραμμένων τὴν ἀκολουθίαν, καὶ εἰδέναι, ὅτι εἰ περὶ τοῦ αἰσθητοῦ ταῦτα εἴρηται, πολλῷ μᾶλλον ἐκλαμβάνειν τὰ εἰρημένα δεῖ καὶ περὶ τοῦ νοητοῦ ὄφεως. καὶ γὰρ ἐκεῖνον ὑπὸ τοὺς πόδας ἡμῶν ταπεινώσας κατέβαλε, καὶ ἡμᾶς ἐπικεῖσθαι αὐτοῦ τῇ κεφαλῇ πεποίηκεν. ἢ οὐχὶ τοῦτο σημαίνει λέγων, πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων. εἶτα ἵνα μὴ νομίσωμεν περὶ τῶν αἰσθητῶν θηρίων ταῦτα εἰρῆσθαι, ἐπή- C γαγε· καὶ ἐπὶ πᾶσαν δύναμιν τοῦ ἐχθροῦ. εἴδετε καὶ ἐκ τῆς ἐπαχθείσης τῷ ὀργάνῳ τοῦ διαβόλου τιμωρίας τὴν ὑπερβάλλουσαν τοῦ θεοῦ φιλανθρωπίαν, μετέλθωμεν πάλιν εἰ δοκεῖ ἐπὶ τὴν γυναῖκα. ἐπεὶ μὲν γὰρ οὗτος τὴν ἀπάτην εἰσήγαγε, διὰ τοῦτο οὗτος πρῶτος τὴν τιμωρίαν ἐδέξατο, καὶ ἐπεὶ πρώτην τὴν γυναῖκα ἠπάτησε, καὶ τότε ἐκείνη τὸν ἄνδρα συγκατέσπασε, διὰ τοῦτο ἐκείνην δεύτερον τιμωρεῖται τιμωρίαν νουθεσίαν πολλὴν ἔχουσαν. καὶ τῇ γυναικὶ εἶπε· πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς D τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ὅρα δεσπότου ἀγαθότητα, ὅσῃ κέχρηται τῇ ἡμερότητι μετὰ τὴν τοσαύτην παράβασιν. πληθύνων πληθυνῶ τὰς λύπας σου. ἐγὼ μὲν ἐβουλόμην φησὶν ἀνώδυνον καὶ ἀταλαίπωρόν σε ἔχειν τὴν ζωὴν πάσης λύπης καὶ ἀθυμίας ἀπηλλαγμένην, καὶ πάσης ἡδονῆς πεπληρωμένην, καὶ μηδενὸς αἰσθάνεσθαι τῶν σωματικῶν σῶμα περικειμένην· ἐπειδὴ δὲ οὐκ ἐχρήσω εἰς δέον τῇ τοσαύτῃ ἀνέσει, ἀλλ' ἡ περιουσία τῶν ἀγαθῶν εἰς τοσαύτην σε ἀγνωμοσύνην ἤγαγε, διὰ τοῦτό σοι χαλινὸν ἐπιτίθημι, ὥστε μὴ ἐπὶ πλέον ἀποσκιρτῆσαι,

καὶ λύπαις, καὶ στεναγμοῖς σε καταδικάζω. Πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου, ἐν λύπαις τέξῃ τέκνα. Τὴν ὑπόθεσίν φησι τῆς πολλῆς εὐφροσύνης, καὶ τῶν τέκνων τὴν διαδοχὴν ἀπὸ λύπης ἄρχεσθαί σοι παρασκευάσω, ἵνα διηνεκῆ ἔχῃς καὶ αὐτὴν τὴν ὑπόμνησιν διὰ τῶν καθ' ἕκαστον καιρὸν ὠδίνων, καὶ τῶν λυπηρῶν τῶν καθ' ἑκάστῳ τικτομένων τῆς ἁμαρτίας ταύτης καὶ τῆς παρακοῆς τὸ μέγεθος, καὶ μὴ τοῦ χρόνου προϊόντος λήθῃ παραδῷς τὸ γεγενημένον, ἀλλ' εἰδέναι ἔχῃς ὡς ἡ ἀπάτη αὕτη τούτων σοι αἴτιος γεγένηται. Διὰ τοῦτο πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου, ἐν λύπαις τέξῃ τέκνα. Τὰς ὠδῖνας ἐνταῦθα αἰνίττεται καὶ τὸν πολὺν κάματον ἐκεῖνον, ὃν ὑπομένειν ἀνάγκη, καθάπερ φορτίον ἐν μησὶ τοσούτοις τὸ βρέφος βαστάζουσιν, καὶ τὰς κατὰ μέρος φυομένας ἐντεῦθεν ἀλγηδόνας καὶ τῶν μελῶν διασπασμόν, καὶ τὰς ὀδύνας ἐκείνας τὰς ἀφορήτους, ἃς ἐκεῖναι μόναι ἴσασιν, αἱ διὰ τῆς πείρας ἐλθοῦσαι· ἀλλ' ὅμως τοσαύτην ὁ φιλάνθρωπος θεὸς παρέσχε μετὰ τῶν λυπηρῶν τὴν παραμυθίαν, ὡς ἰσόρροπον εἶναι τὴν διὰ τὸ τεχθὲν βρέφος εὐφροσύνην τῶν ὀδυνῶν ἐκείνων τῶν ἐν τοσούτοις μησὶ τὸν γαστέρα διακοπτόντων. αἱ γὰρ τοσοῦτον πόνον ὑπομένουσαι, καὶ οὕτως ὑπὸ τῶν ἀλγηδόνων σπαραττόμεναι, καὶ ὡς εἰπεῖν πρὸς αὐτὴν τὴν ζωὴν ἀπαγορεύουσαι, μετὰ τὸ τεκεῖν καὶ τῆς ἀπὸ τῶν καμάτων εὐφροσύνης ἀπολαῦσαι πάλιν ὥσπερ ἐπιλαθόμεναι τῶν γεγενημένων ἁπάντων ἑαυτὰς ἐκδιδόασι πρὸς τὴν τῶν τέκνων γονήν, τοῦ φιλανθρώπου θεοῦ οὕτως οἰκονομήσαντος πρὸς σύστασιν τῆς τῶν ἀνθρώπων σωτηρίας. ἡ γὰρ ἐλπὶς ἀεὶ τῶν μελλόντων ἀγαθῶν κούφως ποιεῖ φέρειν τὰ μέλλοντα παρόντα λυπηρά. καὶ τοῦτο ἴδοι τις ἂν καὶ τοὺς ἐμπόρους ὑπομένοντας, καὶ μακρὰ πελάγη διαπερῶντας, καὶ ναυαγίων ἀνεχομένους, καὶ πειρατῶν καὶ μετὰ τοὺς πολλοὺς κινδύνους ἐκείνους πολλάκις καὶ διαμαρτόντας τῆς προσδοκίας, καὶ μηδὲ οὕτως ἀποστάντας, ἀλλὰ πάλιν τῶν αὐτῶν ἁπτομένους. τοῦτο καὶ ἐπὶ τῶν γεωπόνων ἔστιν εἰπεῖν. καὶ γὰρ καὶ οὗτοι ὅτε βαθεῖαν αὔλακα ἀνατέμωσι, καὶ πολλὴν τὴν ἐπιμέλειαν τῆς γῆς ἐπιδείξωνται, καὶ δαψιλῆ σπέρματα καταβάλωσι, πολλάκις αὐχμοῦ γενομένου ἢ ἐπομβρίας, ἢ πρὸς αὐτῷ τῷ τέλει τῶν δραγμάτων ἐρυσίβης κατενεχθείσης τῆς ἐλπίδος διήμαρτον·

A ad triſtitias & gemitus te condemnans. Multiplicans multiplicabo triſtitias tuas, & gemitum tuum. In triſtitiis paries filios. Rem, inquit, magnæ lætitiæ & filiorum propagationem à triſtitia te incipere faciam, vt & ipſa, quanta ſit peccati & inobedientiæ magnitudo, perpetuam habeas memoriam ex perpetuis doloribus, & præſertim tempore partus. Et ne proceſſu temporis obliuioni tradas quod factum eſt, ſed noſcas quod hæc impoſtura horum tibi cauſa facta ſit, propterea multiplicans multiplicabo triſtitias tuas, & gemitum tuum. In triſtitiis paries filios. B Hîc ſignificat parturientium dolores, multiplicémque illum laborem, quem ferre neceſſe eſt: vtpote tot menſibus geſtare vterum, velut ſarcinam pueri, & ſentire ſingulares, qui inde oriuntur, dolores, & membra diſtendi, & ferre intolerabiles illos dolores, quos ſolæ illæ ſciunt, quę expertæ ſunt. Verumtamen doloribus tanta ſolatia ſimul admiſcuit benignus Deus, vt fermè cõferendum ſit gaudium quod ex nato puero habetur, C cum doloribus illis qui tot menſibus ventrem diſſecant. Nam tantum laborem, tótque dolorum cruciatus ferentes, & penè de ipſa vita deſperantes, poſtquam pepererint, & doloribus fuerint ſolutæ, lætitiáque fruî cœperint, iterum quaſi oblitæ laborum omnium, ſeipſas filiorum generationi accommodant: ſic diſpenſante benigno Deo, vt hominum ſaluetur genus. Semper enim futurorum bonorum ſpes, præſentia incommoda leuius ferri facit. Id quod in negociatoribus quis viderit, qui remota maria tranſeunt, D & naufragia ferunt, & piratas, & præterea pericula multa, quibus illorum ſpes fruſtratur: neque ſic tamen deſiſtunt, ſed iterum eadem attentant. Hoc etiam de agricolis poſſemus dicere. Etenim & illi cùm profundè ſecuerint terram, & diligenter excoluerint, ac ſementem fecerint, ſæpe ariditate, vel immodicis pluuiis, vel tandem quando manipuli colligendi, rubigine vel calamitate ſuperueniente, ſpe ſua excidunt:

Spes boni futuri mala leuat præſentia.

verumtamen neque illi ſic deſiſtunt, ſed iterum vt tempus appetierit, agriculturam exercent. Et in quibuſcunque ſtudiis hoc obuium eſt. Sic mulier quoque & ipſa ſæpe poſt menſes illos, poſt intolerabiles dolores, poſt noctes inſomnes, poſt membrorum diſtenſiones, paruo quodam interuallo facto, licèt ante ſtatutum tempus partum abortiuerit informem, & nondum lineamentis figuratum: etiam formatum quidem, non integrum autem, neque ſanum, vel etiam ſæpe mortuum, vix è periculis elapſa: attamen quaſi oblita horum omnium, eadem quæ antea fert & tolerat. Et quid dico eadem? ſæpe cum fœtu nato commori eas contingit, & neque hoc cæteras terret, neque perſuadet vt rem fugiant: tantam Deus triſtibus illis inſeuit lætitiam & voluptatem. Propter hoc dicebat: Multiplicans multiplicabo triſtitias tuas, & gemitum tuum. In triſtitiis paries filios. Hoc etiam Chriſtus dicebat diſcipulis ſuis, monſtrans tam doloris magnitudinem, quàm lætitiæ excellentiam: Mulier quando parit, triſtitiam habet, quoniam venit hora eius. Deinde volens nobis declarare quomodo triſtitiæ ſimul è medio tollantur, gaudium autem & lætitia ſuccedant, inquit: Quando autem pepererit puerum, non iam memor eſt afflictionis, propter gaudium, quia natus eſt homo in mundum. Vidiſti prouidentiam & curam noſtri eximiam? Vidiſti pœnam admonitionis plenam? In triſtitiis paries filios: deinde, Ad virum tuum conuerſio tua, & ipſe dominabitur tui. Quaſi ſe defendens apud mulierem, hæc dicit benignus Deus. Ego, inquit, ab initio honore parem te formaui, & eiuſdem dignitatis in omnibus participem, & ſicut viro, ita & tibi omnium principatum concredidi: cæterùm quia abuſa es honoris dignitate, ſubiicio te viro: & ad virum tuum conuerſio tua. Quia relicto eo qui dignitate par, & cuius naturæ particeps, & propter quem formata es, familiaritatem cum ſerpente mala illa beſtia habere, & eius accipere conſilium voluiſti:

Ioan.16. 21.

A ἀλλ' οὐδὲ οὕτως ἀφίστανται, ἀλλὰ πάλιν τοῦ καιροῦ καταλαβόντος ἅπτονται τῆς γεωργίας. καὶ τοῦτο ἐφ' ἑκάστου εὕροι τις ἂν ἐπιτηδεύματος γινόμενον. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ γυνή, καὶ γὰρ αὐτὴ πολλάκις μετὰ τοὺς πολλοὺς μῆνας ἐκείνους μετὰ τὰς ὠδῖνας τὰς ἀφορήτους μετὰ τὰς νύκτας τὰς ἀύπνους, μετὰ τὸν τῶν μελῶν διασπασμὸν μικρᾶς τινος παρεκτάσεως γενομένης πρὸ τοῦ προσήκοντος καιροῦ τὸ βρέφος ὠθήσασα ἀμόρφωτον καὶ ἀδιατύπωτον, ἢ μεμορφωμένον μέν, οὐκ ἄρτιον δὲ οὐδὲ ὑγιὲς ἢ καὶ νεκρὸν πολλάκις, μόλις τὸν κίνδυνον διέφυγε, καὶ ὅμως ὥσπερ ἐπι-

B λαθομένη τούτων ἁπάντων τῶν αὐτῶν ἀνέχεται, καὶ τὰ αὐτὰ ὑπομένει. καὶ τί λέγω τὰ αὐτά; πολλάκις καὶ συναποθανεῖν τῷ τεχθέντι συνέβη, καὶ οὐδὲ τοῦτο τὰς λοιπὰς ἐσωφρόνισε, καὶ ἀνέπεισε φυγεῖν τὸ πρᾶγμα, τοσαύτην ὁ θεὸς ἐγκατέσπειρε τοῖς λυπηροῖς τούτοις τὴν ἡδονήν, καὶ τὴν εὐφροσύνην. διὰ τοῦτο ἔλεγε, πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν στεναγμόν σου, ἐν λύπαις τέξῃ τέκνα. τοῦτο τοίνυν καὶ ὁ Χριστὸς διαλεγόμενος τοῖς μαθηταῖς καὶ δεικνὺς καὶ τῆς ὀδύνης τὸ μέγεθος καὶ τῆς εὐφροσύνης τὴν ὑπερ-

C βολὴν ἔλεγεν. ἡ γυνὴ ὅταν τίκτῃ λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς. εἶτα παραστῆσαι βουλόμενος ὅπως τὰ μὲν τῆς λύπης ἀθρόον ἐκποδὼν γίνεται, τὰ δὲ τῆς χαρᾶς καὶ τῆς εὐφροσύνης διαδέχεται, φησίν, ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαράν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. εἶδες κηδεμονίαν ὑπερβάλλουσαν; εἶδες τιμωρίαν νουθεσίας πεπληρωμένην; ἐν λύπαις τέξῃ τέκνα. εἶτα πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει, μονονουχὶ ἀπολογούμενος πρὸς

D τὴν γυναῖκα ὁ φιλάνθρωπος θεὸς ταῦτά φησιν, ὅτι ἐγὼ μὲν ἐξ ἀρχῆς ὁμότιμόν σε ἐδημιούργησα, καὶ τῆς αὐτῆς ἀξίας ἐν ἅπασιν αὐτῷ κοινωνεῖν ἠβουλήθην, καὶ ὥσπερ τῷ ἀνδρὶ οὕτω καὶ σοὶ τὴν κατὰ πάντων ἀρχὴν ἐνεχείρισα· ἀλλ' ἐπειδὴ οὐκ ἐχρήσω εἰς δέον τῇ ὁμοτιμίᾳ, διὰ τοῦτό σε ὑποτάττω τῷ ἀνδρί, καὶ πρὸς τὸν ἄνδρα σου φησὶν ἡ ἀποστροφή σου. ἐπειδὴ καταλιποῦσα τὸν ὁμότιμον, καὶ τὸν τῆς αὐτῆς σοι φύσεως κοινωνοῦντα, καὶ δι' ὃν ἐδημιουργήθης, τῷ πονηρῷ θηρίῳ τῷ ὄφει εἰς ὁμιλίαν ἐλθεῖν ἠβουλήθης, καὶ τὴν παρ' ἐκείνου δέξασθαι συμβουλήν·

Διὰ τοῦτό σε λοιπὸν τούτῳ ὑποτάττω, καὶ τοῦτον A
σου κύριον ἀποφαίνω, ὥστε τὴν τούτου δεσποτείαν
ἐπιγινώσκειν, καὶ ἐπειδὴ οὐκ ἔγνως ἄρχειν, μάθε
καλῶς ἄρχεσθαι. πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή
σου, καὶ αὐτός σου κυριεύσει. βέλτιόν σε ὑπὸ
τοῦτον εἶναι, καὶ τὴν τούτου δεσποτείαν τυγχάνειν,
ἢ ἀδείας ἀπολαύουσαν καὶ ἐξουσίας κατὰ κρημνῶν
φέρεσθαι, ἐπεὶ καὶ ἵππῳ λυσιτελὲς ἂν γένοιτο
χαλινὸν ἔχειν, καὶ εὔτακτα βαδίζειν, ἢ ἄνευ τούτου
κατὰ κρημνῶν φέρεσθαι. τὸ συμφέρον τοίνυν σκοπῶν
τὸ σὸν, πρὸς τοῦτόν σε ἔχειν ἀποστροφὴν βούλομαι.
καὶ καθάπερ σῶμα κεφαλῇ ἕπεσθαι, καὶ
τὴν δεσποτείαν μεθ' ἡδονῆς ἐπιγινώσκειν. οἶδα ὅτι B
ἀπεκάμετε πρὸς τὸ μῆκος τῶν εἰρημένων· ἀλλὰ
διεγέρθητε μικρὸν παρακαλῶ, μὴ ἀτέλεστον τὴν
δίκην καταλίπωμεν, μηδὲ ἀφέντες ἔτι τὸν δικαστὴν
καθήμενον ἀναχωρήσωμεν· καὶ γὰρ λοιπὸν
πρὸς αὐτὸ τὸ τέλος ἀπηντήκαμεν. ἴδωμεν τοίνυν
τί μετὰ τὴν γυναῖκα πρὸς τὸν ἄνδρα φησὶ, καὶ
ποίαν καὶ τούτῳ τιμωρίαν ἐπάγει. τῷ δὲ Ἀδὰμ
εἶπεν· ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ
ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου
μόνου, μὴ φαγεῖν ἀπ' αὐτοῦ, ἔφαγες, ἐπικατάρατος
ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἐν λύπαις φαγῇ C
αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ἀκάνθας, καὶ
τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ
ἀγροῦ, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν
ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ
ἧς ἐλήφθης, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. μεγάλη
καὶ ἄφατος καὶ ἐντεῦθεν δείκνυται ἡ περὶ τὸν
ἄνθρωπον τοῦ δεσπότου κηδεμονία· ἀλλ' ἀκούσωμεν
ἀκριβῶς ἕκαστον τῶν εἰρημένων. τῷ δὲ Ἀδὰμ
εἶπεν, ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ
ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου
μόνου μὴ φαγεῖν ἀπ' αὐτοῦ, ἔφαγες. ἐπειδὴ ἤκουσας
φησὶ τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, D
καὶ τῆς ἐμῆς ἐντολῆς προετίμησας τὴν παρ'
ἐκείνης συμβουλὴν, καὶ οὐκ ἠβουλήθης τοῦ ξύλου τοῦ
ἑνὸς τούτου μόνου οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν.
μὴ γὰρ πολλῶν σε ἀπέχεσθαι ἐκέλευσα; ἑνὸς μόνου,
καὶ οὐδὲ τούτου ἠνέσχου, ἀλλ' ἐπιλαθόμενος τῶν
ἐμῶν ἐντολῶν ἐπείσθης τῇ γυναικὶ, διὰ τοῦτο μαθήσῃ
δι' αὐτῶν τῶν ἔργων ὅσον εἰργάσω κακὸν. ἀκουέτωσαν
ἄνδρες· ἀκουέτωσαν καὶ γυναῖκες· οἱ
μὲν ἵνα μὴ ἀνέχωνται τῶν πονηρὰ συμβουλευόντων·
αἱ δὲ ἵνα μὴ τοιαῦτα συμβουλεύωσιν.

propterea poſthac illi te ſubiicio, & illum Dominum tuum aſſero, vt illius ſcilicet dominium agnoſcas. Et quia neſciuiſti imperare, diſce bene regi. Ad virum enim tuum, inquit, conuerſio tua, & ipſe dominabitur tui. Melius eſt vt tu ſub illo ſis, & illum Dominum habeas, quàm impauidè & liberè viuens per præcipitia feraris. Nam & equo vtilius eſt fræno regi, & compoſitè ingredi, quàm ſine illo per præcipitia ferri. Itaque conſiderans quod tibi vtile, ad illum te habere volo conuerſionem: & ſicut corporis eſt caput ſequi, & dominium eius ſuauiter agnoſcere. Scio quòd dictorum prolixitate fatigamini, ſed excitemini aliquantulum oro, ne imperfectum iudicium relinquamus, neque relicto adhuc iudice ſedente diſcedamus: ſiquidem fermè ad finem peruenimus. Videamus itaque quid poſt ſermonem mulieri factum, viro dicat, & quam illi pœnam intentet. [17] *Adæ autem dixit: Quia audiſti vocem vxoris tuæ, & comediſti de ligno, de quo mandaui tibi, vt ex eo ſolo non comedas, de illo ipſo comediſti: maledicta terra in operibus tuis. In triſtitiis comedes illam omnibus diebus vitæ tuæ:* [18] *ſpinas & tribulos tibi producet, & comedes fœnum agri.* [19] *In ſudore faciei tuæ veſceris pane tuo, donec reuertaris tu in terram, de qua ſumptus es. Quia terra es, & in terram abibis.* Plurima & ineffabilis etiam hoc loco oſtenditur Dei erga hominem prouidentia, & cura: ſed audiamus diligenter vnumquodque dictorũ. Adæ autem dixit: Quia audiſti vocẽ mulieris tuæ, & comediſti de ligno, de quo præceperam tibi, vt ex eo ſolo non comedas, de illo ipſo comediſti. Quoniam, inquit, audiſti mulierem tuam, & comediſti de ligno, & cõſilium illius meo mandato maioris feciſti, & noluiſti ab vnico hoc ligno abſtinere, de quo ſolo præcepi tibi ne comederes num enim tibi præcepi vt à multis abſtineres, ab vno ſolo, & neque ab illo abſtinuiſti, ſed oblitus mandatorum meorum, à muliere perſuaſus es: idcirco re ipſa diſcas, quantum malum ſis operatus. Audiant viri, audiant mulieres, & illi quidem, vt ne ferant mala conſulentes: hæ autem, vt ne talia conſulant.

Nam ſi hic culpam in mulierem reiecta, nullam veniam aſſecutus eſt, qualem quis haberet veniam, dicens: Propter vxorem hoc & hoc peccaui, & hoc & hoc feci? Ea enim de cauſa ſub tua poteſtate facta eſt, & dominus eius pronunciatus es, vt illa tibi pareat, & non caput pedes ſequatur: verum non rarò videmus contrarium vſu euenire, vt is qui ſuo ordine caput eſſe deberet, neque pedum ordinem ſeruet: & ea quæ in pedum loco eſt, in caput conſtituatur. Idcirco & beatus Paulus magiſter orbis, hæc omnia prævidens, clamabat: Quî namque ſcis mulier, an virum ſis ſaluatura? aut quî ſcis vir, an vxorem ſis ſaluaturus? Verumtamen viri eſt, vt diligenti opera malè conſulentem repellat: mulier verò ſemper in auribus ſonans habeat ſupplicium, quod Euæ irrogatum eſt, quæ peſtiferum illud conſilium viro ſuggeſſerat: ne audeat talia conſulere, neque imitetur Euam: ſed illius exemplo prudentior fiat, & talia conſulat, quæ ipſam, & virum omni ſupplicio liberatura ſint. Porrò ad inſtitutum redeamus. Adæ autem dixit Deus: Quia audiſti vocem mulieris tuæ, & comediſti de ligno, de quo præcepi tibi de eo ſolo ne comederes, de illo ipſo comediſti. Quoniam, inquit, tam negligens fuiſti in obſeruando meo mandato, neque timor te coërcuit, neque procedens interminatio calamitatis eſum conſecuturæ tibi quicquam profuit, ſed in tantam mollitiem perueniſti, vt neque ab vnico hoc ligno tibi temperaueris, tametſi tot & tantis tibi frui liceret: ideo maledicta erit terra in operibus tuis. Vide benignitatem Domini, quomodo ſerpentem punit, quomodo idem & rationale animal. Illi enim dixit: Maledictus tu de terra: hîc autem non ſic: ſed quid? maledicta terra in operibus tuis. Et meritò. Nam quia propter hominem producta eſt, vt ille poſſet frui his quæ ex ea naſcuntur: ideo iterum propter hominem peccantem maledictum ei inditur: quia maledictum terræ eueniens, hominis ſecuritati quieti & obeſt. Maledicta terra in operibus tuis.

1.Cor.6. 16.

A εἰ γὰρ οὗτος ἐπὶ τὴν γυναῖκα τὴν αἰτίαν μεταγαγὼν, οὐδὲ μιᾶς ἠξιώθη συγγνώμης· ποίαν αὐτὸς ἀπολογίαν σχοίη λέγων, ὅτι διὰ τὴν γυναῖκα τὸ, καὶ τὸ ἥμαρτον, καὶ τὸ, καὶ τὸ ἔπραξα; διὰ τοῦτο γὰρ ὑπὸ τὴν δεσποτείαν γέγονε τὴν σὴν, καὶ κύριος ἀπεφάνθης, ἵνα ἐκείνη σοι κατακολουθῇ καὶ μὴ ἡ κεφαλὴ τοῖς ποσὶν ἕπηται· ἀλλὰ νῦν ἐστὶν ἰδεῖν πολλάκις τὸ ἐναντίον συμβαῖνον, καὶ τὸν ἐν τάξει κεφαλῆς εἶναι ὀφείλοντα, οὐδὲ τὴν τῶν ποδῶν τὴν τάξιν ἐπέχοντα. καὶ τὴν ἐν τάξει ποδῶν οὖσαν ταύτην ἐν τάξει κεφαλῆς καθισταμένην. διὸ καὶ ὁ μακάριος Παῦλος ὁ τῆς οἰκουμένης B διδάσκαλος ταῦτα πάντα προορῶν ἐβόα. τί γὰρ οἶδας γύναι εἰ τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; ἀλλ' ὅμως καὶ ὁ ἀνὴρ πολλὴν τὴν φυλακὴν ἐπιδεικνύσθω, ὥστε τὰ ὀλέθρια συμβουλευούσαν ἀποσείεσθαι, καὶ ἡ γυνὴ ἔναυλον ἔχουσα τὴν τιμωρίαν ἣν ἐδέξατο ἡ Εὔα τὴν ὀλεθρίαν ἐκείνην συμβουλὴν εἰσαγαγοῦσα τῷ ἀνδρὶ μὴ τολμάτω τοιαῦτα συμβουλεύειν, μηδὲ μιμείσθω τὴν Εὔαν, ἀλλὰ τῷ ὑποδείγματι σωφρονιζέσθω, κἀκεῖνα συμβουλευέτω, ἃ καὶ τὴν αὐτὴν καὶ τὸν ἄνδρα C πάσης ἀπαλλάξει κολάσεως καὶ τιμωρίας. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. τῷ δὲ Ἀδάμ, φησιν, εἶπεν ὁ θεὸς ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες. ἐπειδὴ τοσαύτῃ ῥαθυμίᾳ ἐχρήσω περὶ τὴν φυλακὴν τῆς παρ' ἐμοῦ δοθείσης ἐντολῆς, καὶ οὔτε ὁ φόβος, οὔτε προλαβόντα με διαστείλασθαι τὰ μέλλοντα συμβήσεσθαι ὑμῖν ἀπὸ τῆς βρώσεως εἰς τοσαύτην κακίαν ἐξώκειλας, ὡς μὴ δυνηθῆναι μήτε τοῦ ἑνὸς ἀπέχεσθαι μετὰ τὴν τοσαύτην ἀπόλαυσιν· διὰ τοῦτο, ἐπικατάρατος ἔσται ἡ γῆ ἐν D τοῖς ἔργοις σου. ὅρα φιλανθρωπίαν δεσπότου· πῶς μὲν τὸν ὄφιν τιμωρεῖται· πῶς δὲ τὸ λογικὸν τοῦτο ζῶον. ἐκείνῳ γάρ φησιν, ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς· ἐνταῦθα δὲ οὐχ οὕτως. ἀλλὰ τί; ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· καὶ εἰκότως. ἐπειδὴ γὰρ δι' αὐτὸν ἄνθρωπον παρήχθη, ἵνα οὗτος ἀπολαύειν δύνηται τῶν ἐξ αὐτῆς ἀναδιδομένων, διὰ τοῦτο πάλιν διὰ τὸν ἄνθρωπον ἁμαρτόντα ταύτην τὴν κατάραν ἐπιτίθησιν, ἐπειδὴ εἰς αὐτὴν κατάρα πάλιν τοῦ ἀνθρώπου ἐλυμαίνετο τῇ ἀνέσει, καὶ ἀδείᾳ. ἐπικατάρατός φησιν ἡ γῆ ἐν τοῖς ἔργοις σου.

εἶτα ἵνα μάθης τί ἐστιν ἐπικατάρατος, ἐπήγαγεν, ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ὅρα ἑκάστην τιμωρίαν τῷ αἰῶνι παρεκτεινομένην· ἵνα μὴ μόνον αὐτοὶ κερδάνωσιν, ἀλλὰ καὶ οἱ εἰς τὸ ἑξῆς μέλλοντες γίνεσθαι δι' αὐτῶν τῶν πραγμάτων διδάσκωνται; πόθεν αὐτοῖς τὰ τῆς τιμωρίας ταύτης ἐπήχθη. ἐν λύπαις φησὶ φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. εἶτα ἀκριβέστερον διδάσκων τῆς κατάρας τὸ εἶδος, καὶ τῆς λύπης τὴν αἰτίαν ἐπήγαγεν· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι. ἰδοὺ τῆς κατάρας τὰ ὑπομνήματα. ἀκάνθας φησὶν ἐκδώσει καὶ τριβόλους ὥστε πολὺν τὸν πόνον καὶ τὴν ταλαιπωρίαν ἐργάσασθαι, καὶ μετὰ λύπης πάντα τὸν χρόνον διάγειν σε ποιήσω, ἵνα τοῦτο χαλινός σοι γένηται τοῦ μὴ ὑπὲρ ἀξίαν φαντάζεσθαι, ἀλλὰ διηνεκῶς ἔχῃς ἔννοιαν τὴν σαυτοῦ οὐσίαν, καὶ μηδέποτε ἀνάσχῃ τοιαῦτα ἀπατηθῆναι. καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου. ὅρα πῶς ἀπεναντίας τῆς προτέρας διαγωγῆς τὰ μετὰ τὴν παρακοὴν ἅπαντα αὐτῷ ἐπήχθη. ἐγὼ μὲν γάρ φησι παραγαγών σε εἰς τόνδε τὸν κόσμον ἠβουλήθην ἄνευ λύπης καὶ μόχθων καὶ ταλαιπωρίας καὶ ἄνευ ἱδρώτων διάγειν, καὶ ἐν ἀπολαύσει εἶναι καὶ εὐημερίᾳ, καὶ μηδὲ ταῖς τοῦ σώματος ἀνάγκαις ὑποκεῖσθαι, ἀλλὰ πάντων τούτων ἀπηλλάχθαι, καὶ ἐν ἐλευθερίᾳ πάσῃ τυγχάνειν· ἐπεὶ δὲ οὐκ ὤνησέν σε ἡ τοιαύτη ἄδεια, διὰ τοῦτο καὶ τὴν γῆν καταράσομαι, ὥστε μὴ ἄσπαρτά σοι καὶ ἀνήροτα καθάπερ πρότερον τὰ ἐξ αὐτῆς ἀναδιδόμενα παρέχειν, ἀλλὰ καὶ μετὰ πολλοῦ τοῦ πόνου καὶ τοῦ μόχθου καὶ τῆς ταλαιπωρίας, καὶ λύπαις σε διηνεκέσι καὶ ἀθυμίαις περιβαλῶ, καὶ μετὰ ἱδρώτων πάντα σε κατορθοῦν παρασκευάσω, ἵνα τούτοις πιεζόμενος ἔχῃς διδασκαλίαν διηνεκῆ τοῦ μετριάζειν, τοῦ τὴν ἑαυτοῦ φύσιν ἐπιγινώσκειν, καὶ τοῦτο οὐ πρὸς ὀλίγον οὐδὲ πρὸς βραχὺν χρόνον ἔσται, ἀλλὰ παντὶ τῷ τῆς ζωῆς χρόνῳ παρεκταθήσεται· ἐν ἱδρῶτι γὰρ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. μέχρις ἐκείνου ταῦτα ὑπομένεις, ἕως ἂν τὸ τέλος τῆς ζωῆς σοι ἐπαχθήσεται, καὶ εἰς ἐκείνην διαλυθῇς, ἐξ ἧς καὶ ἐπλάσθης. εἰ γὰρ καὶ σώματος σοι φύσιν ἐχαρισάμην διὰ τὴν ἐμαυτοῦ φιλανθρωπίαν, ἀλλ' αὐτὸ τὸ σῶμα ἀπὸ γῆς ὄν, γῆ πάλιν ἔσται.

A Exin vt diſcamus quid ſit, maledicta, ſubdit: In triſtitiis comedes eam omnibus diebus vitæ tuæ. Vide quot nunc ſeculis hanc pœnam luimus: vt non ſolum illis vtile ſit, ſed & poſteri iiſdem rebus doceantur, vnde illis hæc ſupplicia ſunt inuecta: In triſtitiis, inquit, comedes eam omnibus diebus vitæ tuæ. Poſt hoc diligentius docens nos maledicti ſpeciem, & triſtitiæ cauſam, ſubdit: Spinas & tribulos tibi producet. Ecce maledicti monimenta. Spinas, inquit, & tribulos proferet terra: itaque multis laboribus & B ærumnis operandum tibi, & omni tempore cum triſtitia viuere te faciam, vt hoc tibi frænum ſit, ne quid ſupra dignitatem de te ſentias: ſed continuò cogites tuam ipſius ſubſtantiam, neque feras vt poſthac ſic decipiaris. *Et comedes foenum agri.* 19 *In ſudore faciei tuæ veſceris pane tuo.* Animaduerte quo pacto poſt peccatum & inobedientiam omnia contigerint contraria priori vitæ conditioni: quaſi diceret: Ego quidem cùm in hunc mundum te C prodire feci, volebam te degere abſque doloribus, laboribus, ſudoribus, & ærumnis, & omni felicitate frui, neque corporalibus neceſſitatibus obnoxium eſſe, ſed ab omnibus illis liberum. Quia verò non profuit tibi tanta ſecuritas, eapropter & terræ maledicam, ita vt abſque ſatione & aratione non proferat ſuos fructus, ſicut antea: ſed & cum multo labore, moleſtiis, & ærumnis, afficiam te triſtitiis, & continuis fatigationibus. Efficiam item vt nihil promoueas abſque ſudoribus, vt his D exercitatus, perpetuam doctrinam habeas modeſtè agendi, tuámque ipſius naturam agnoſcendi. Neque hoc ad modicum & breue tempus erit, ſed omni tempore vitæ durabit. In ſudore enim faciei tuæ veſceris pane tuo, donec reuertaris tu in terram, de qua ſumptus es. Quia terra es, & in terram abibis. Hæc ſuſtinebis vſque ad finem vitæ tuæ, & donec in illam reſoluaris, ex qua formatus es. Nam quamuis tibi corporis dederim naturam ob meam bonitatem, ipſum tamen hoc corpus ex terra exiſtens, iterum erit terra.

Terra enim es, & in terram abibis. Enimuerò vt ne hæc fierent, dixi, ne comedatis de hoc ligno. Quocũque enim die comederitis, morte moriemini. Non enim hoc volebam: ſed quia eorum quæ ad me attinebant, nihil intermiſſum eſt: tu autem teipſum in hæc conieciſti, ne in alium cauſam retuleris, ſed tuæ ipſius deſidiæ totum aſcribito. Iam denuò alia nobis quæſtio hîc naſcitur, qua, ſi placuerit, breuiter abſoluta, finẽ ſermonis hîc faciemus. Dixit, inquit,
Gen.2. 17. Deus: Quocunque die comederitis ex eo, morte moriemini: multorum autem annorum numero oſtenditur vixiſſe illos poſt inobedientiam, & cibi vetiti eſum. Et quæſtio quidem aliqua eſſe videtur his qui à ſuperficie ſalutant diuinas literas: at ſi quis magno ſtudio aures adhibeat, manifeſtum eſt quod dicitur, neque quæſtio fuerit attendẽti. Nam licèt multos annos vixerint, attamen à quo tẽpore audierunt: Terra es, & in terrã abibis: & ſententiã acceperunt mortis, mortales fuerunt: & ex illo tempore fuerunt perinde, ac ſi quis illos dicat mortuos fuiſſe. Hoc igitur & ſcriptura ſignificans, dixit, Quocunque die comederitis, morte moriemini: hoc eſt, ſententiam accipietis, mortales poſthac vos futuros. Sicut enim in humanis iudiciis, quãdo quis ſententia lata vt capite mulctetur, iterum in carcerem coniicitur, & licèt ibi multo tẽpore agat, nihil melius tamẽ habet defunctis & mortuis, vtpote iam per ſententiam mortuus: eodem modo & illi, ab eo die à quo mortalitatis ſententiam acceperunt, tametſi longo tempore durauerint, nihilominus ſententia mortui erant. Scio quòd hæc doctrina pluribus prolixioribúſq; tractata ſit: ideo quia gratia Dei, pro noſtris viribus omnia in medium prolata ſunt, & his quæ lecta ſunt finem impoſuimus, nunc
Epilogus homiliæ. ſermonem contrahamus. Poſſent quidem & alia proferri, & iterum monſtrari, inflictam hinc pœnam, & mortales nos factos multum habere diuinæ miſericordiæ: ſed ne multitudine dictorum mentem veſtram obruamus: age, obſecremus vos, vt cùm hinc abieritis, ne in conuenticula inſipientium vos conferatis,

A γῆ γὰρ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. ἵνα γὰρ μὴ ταῦτα γένηται, διὰ τοῦτο εἶπον, μὴ ἅψησθε τοῦ ξύλου, εἰπών, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· οὐ γὰρ ἐβουλόμην τοῦτο· ἀλλ' ἐπειδὴ τὰ μὲν παρ' ἐμοῦ ἅπαντα γεγένηται, σὺ δὲ σαυτῷ ταῦτα προεξένησας, ἐπεὶ μηδένα ἕτερον τὴν αἰτίαν ἐπίγαγε, ἀλλὰ τῇ σαυτοῦ ῥαθυμίᾳ πᾶν ἐπίγραφε. ἀλλὰ πάλιν ἡμῖν ἕτερον ζήτημα ἐντεῦθεν τίκτεται ὅπερ εἰ βούλεσθε συντόμως διαλύσαντες καταπαύσομεν τὸν λόγον. εἶπε φησίν, ᾗ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε. δείκνυνται δὲ ζήσαντες μετὰ τὴν παράβασιν, καὶ τὸ τῆς
B βρώσεως μεταχεῖν, πολλῶν ἐτῶν ἀριθμόν. τοῦτο δοκεῖ μὲν ἁπλῶς τοῖς ἐπιπολαίως ἐντυγχάνουσι τοῖς ἐγκειμένοις, ἔχειν ζήτησιν. εἰ δέ τις εὐγνωμόνως τὴν ἀκοὴν ὑπόσχοιτο σαφές ἐστι τὸ εἰρημένον, καὶ οὐδεμίαν τῷ προσέχοντι ζήτησιν ἔχον. εἰ γὰρ καὶ πολὺν ἐτῶν χρόνον ἔζησαν· ἀλλ' ὅμως ἀφ' ἧς ἤκουσαν, τό, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, καὶ τὴν ἀπόφασιν ἐδέξαντο τοῦ θανάτου, καὶ θνητοὶ γεγόνασι καὶ ἐξ ἐκείνου ἄν τις εἶπεν αὐτοὺς τεθνηκέναι. τοῦτο οὖν καὶ ἡ γραφὴ αἰνιττομένη εἶπεν, ὅτι ᾗ δ' ἂν ἡμέρᾳ φάγητε θανάτῳ ἀπο-
C θανεῖσθε· ἀντὶ τοῦ τὴν ἀπόφασιν δέξεσθε τοῦ θνητοὶ λοιπὸν εἶναι. καθάπερ γὰρ ἐπὶ τῶν δικαστηρίων τῶν ἀνθρώπων, ἐπειδὰν ἀπόφασίν τις δεξάμενος τοῦ πάντως τὴν κεφαλὴν ἀποθμηθῆναι, εἶτα εἰς δεσμωτήριον ἐμβληθῇ, κἂν ἐπὶ πολὺν χρόνον διαμένῃ, οὐδὲν ἄμεινον τῶν νεκρῶν καὶ τεθνηκότων διάκειται, τῇ ἀποφάσει τεθνηκώς· τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι, ἐξ ἐκείνης τῆς ἡμέρας, ἐξ ἧς τὴν ἀπόφασιν ἐδέξαντο τῆς θνητότητος, εἰς πολὺν διήρκεσαν χρόνον, ἀλλὰ τῇ ἀποφάσει τεθνήκασιν. οἶδα ὅτι πολλὰ τὰ εἰρημένα καὶ εἰς πολὺ μῆκος
D ἡμῖν ἐξετάθη τὰ τῆς διδασκαλίας· διὰ ἐπειδὴ τῇ τοῦ θεοῦ χάριτι κατὰ δύναμιν ἡμετέραν πάντα εἰς μέσον ὑμῖν προθέντες τέλος ἐπεθήκαμεν τοῖς ἀναγνωσθεῖσι, συστείλωμεν τὸν λόγον. ἐνῆν μὲν γὰρ καὶ ἕτερα προσθέντας δεῖξαι πάλιν, καὶ ταύτην αὐτὴν τὴν τιμωρίαν τὴν ἐπαχθεῖσαν, καὶ τό, θνητοὺς γενέσθαι πολλὴν ἔχουσαν ἄβυσσον φιλανθρωπίας. ἀλλὰ ἵνα μὴ τῷ πολλῷ πλήθει καταχώσωμεν ὑμῶν τὴν διάνοιαν, φέρε παρακαλέσωμεν ὑμᾶς ἐντεῦθεν ἐξελθόντας μὴ εἰς ἀνοήτους συλλόγους ἑαυτοὺς ἐκδιδόναι, μηδὲ εἰς φλυαρίας ἀκαίρους,

ἀλλὰ καθ' ἑαυτοὺς συνιόντας μετ' ἀλλήλων συλλέγειν τὰ εἰρημένα, καὶ εἰς ὑπόμνησιν ἑαυτοὺς ἄγειν, τί μὲν ὁ δικαστὴς ἀπεκρίνατο, τί δὲ οἱ ὑπεύθυνοι ἀπελογήσαντο, καὶ πῶς ὁ μὲν ἐπ' ἐκείνην τὴν αἰτίαν μετήγαγεν, ἐκείνη δὲ ἐπὶ τὸν ὄφιν, καὶ πῶς τοῦτον ἐτιμωρήσατο, καὶ ὅτι διηνεκῆ καὶ τῷ παντὶ αἰῶνι συμπαρεκτεινομένην αὐτῷ τὴν τιμωρίαν ἐπήγαγε, καὶ σφοδρὰν τὴν κατ' αὐτοῦ ἀγανάκτησιν ἐποιήσατο, καὶ διὰ τούτου δείκνυς τὴν πρὸς τοὺς ἀπατηθέντας κηδεμονίαν. δι' ὧν γὰρ τὸν ἀπατήσαντα οὕτως ἠμύνατο δῆλον, ὅτι εἰς τοὺς πάνυ αὐτῷ περισπουδάστους τὴν ἀπάτην εἰργάσατο. εἶτα ἐντεῦθεν μνημονεύσατε τοῦ ἐπιτιμίου τῆς γυναικός, τῆς κολάσεως ἐπαχθείσης αὐτῇ καὶ μᾶλλον δὲ τῆς νουθεσίας, καὶ οὕτω τὰ πρὸς τὸν Ἀδὰμ εἰρημένα μνημονεύσαντες, καὶ τῆς ἀποφάσεως εἰς ἔννοιαν ἐλθόντες, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, ἐντεῦθεν ἐκπλάγητε τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, ὅτι ἡμᾶς τοὺς ἐκ τῆς γῆς ὄντας, καὶ εἰς γῆν διαλυομένους, εἰ βουληθείημεν ἀρετὴν μετελθεῖν, καὶ κακίαν φυγεῖν, τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιοῦν ἐπηγγείλατο, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. χάριν τοίνυν πολλὴν ὀφείλομεν ἡμεῖς ὁμολογεῖν τῷ δεσπότῃ ὑπὲρ τῶν τηλικούτων εὐεργεσιῶν, καὶ μηδέποτε λήθῃ ταῦτα παραπέμπειν, ἀλλὰ διὰ τῶν ἀγαθῶν ἔργων καὶ τῆς πολλῆς τῶν φαύλων ἀποφυγῆς τοῦτον ἐξιλεωσώμεθα καὶ εὐμενῆ ἡμῖν καταστήσωμεν. πῶς γὰρ οὐ πάσης τοῦτο ἀγνωμοσύνης δεῖγμα, εἰ αὐτὸς μὲν θεὸς ὢν καὶ ἀθάνατος, τὴν φύσιν ἀναλαβέσθαι τὴν θνητὴν ἡμῶν καὶ γήϊνον οὐσίαν οὐ παρῃτήσατο, καὶ τῆς ἀρχαίας νεκρώσεως ἀπαλλάξαι, καὶ ὑπὲρ τὸν οὐρανὸν ταύτην ἀναβιβάσαι, καὶ τῇ πατρικῇ συνεδρίᾳ τιμῆσαι, καὶ ὑπὸ πάσης τῆς οὐρανίας στρατιᾶς προσκυνεῖσθαι καταξιῶσαι· ἡμεῖς δὲ τὰ ἐναντία τούτῳ ἀνταμείψαι οὐ κατῃδέσθημεν, ἀλλὰ καὶ τὴν ἀθάνατον ψυχήν, ὡς ἂν τις εἴποι, τῇ σαρκὶ προσκολλήσαντες, γήϊνον αὐτὴν καὶ νεκρὰν καὶ ἀνενέργητον γενέσθαι κατεσκευάσαμεν; μή, παρακαλῶ, μὴ οὕτως ἀγνώμονες ὦμεν περὶ τὸν τοσαῦτα ἡμᾶς εὐεργετηκότα, ἀλλὰ τοῖς αὐτοῦ νόμοις ἑπόμενοι τὰ αὐτῷ δοκοῦντα καὶ εὐάρεστα ὄντα διαπραττώμεθα, ἵνα καὶ τῶν αἰωνίων ἀγαθῶν ἀξίους ἡμᾶς ἀναδείξῃ, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου

A neque intempeſtiuæ nugacitati vacetis: ſed intelligite & colligite vobiſcum quæ dicta ſunt, & in memoriam referte, quidnam iudex reſponderit, quid rei pro ſe dixerint: & quomodo Adam quidem culpam in vxorem tranſtulerit, illa verò in ſerpentem: & quomodo Deus etiam hunc punierit, & pœnam illi toto ſeculo duraturam inflixerit, grauémque in illum indignationem declarauerit: atque ex hoc oſtendit ſuam in deceptos curam. Ex eo enim quod impoſtorem ſic vltus eſt, intelligitur ab eo deceptos eos fuiſſe, qui Deo
B valde grati, erant & pro quibus multum ſollicitus fuerat. Dein mementote ſupplicij mulieris, & pœnæ quæ illi intentata, imò potius admonitionis, & ſic quoque recordemini, quæ ſint Adæ dicta, ſententiáque in mente veſtra ſcribatur, Terra es, & in terram abibis. Hinc obſtupeſcite ineffabilem Dei miſericordiam, quòd nos, qui ex terra ſumus, & in terram diſſoluemur, ſi voluerimus virtutem amplexari, & vitia fugere, aſſequi poterimus ineffa-
C bilia illa bona, quæ parauit & promiſit diligentibus ſe, quę oculus non vidit, nec auris audiuit, nec in cor hominis aſcenderunt. Gratias igitur illi multas domino noſtro debemus, pro tot talibúſq; beneficiis: & ea nequaquã ex memoria dimittendo, per bona opera, & diligẽti malorũ fuga ipſũ mitigemus. Quomodo enim nõ omnis ingratitudinis ſignũ fuerit, ſi ipſe quidem cùm Deus ſit & immortalis naturæ, nõ refugit aſſumere mortalẽ & terreſtrẽ noſtrã ſubſtantiã, vt & ab antiqua morte nos liberaret, ſupra
D cœlos eueheret, honore quo patri cõſidet, exaltaret, & ab omni cœleſti exercitu adorari faceret? Nos autem cõtraria illi retribuere non erubeſcimus, ſed & immortalẽ animam, quaſi dixerit quis carni agglutinatã, terrenam ipſam & mortuam, & nihil operari valentem, facere curamus. Obſecro ne ſic fiat, ne ſic ingrati ſimus erga benefactorem noſtrum: ſed illius præceptis obedientes, quæ ipſi grata ſunt & probantur, operemur: vt & nos æternis bonis dignos efficiat. quæ nos omnes aſſequi contingat gratia & benignitate domini

noſtri Ieſu Chriſti, cui cum patre & Spiritu ſancto ſit gloria, & imperium nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

HOMILIA XVIII.

Gen. 3. 20.

Et vocauit Adam nomen vxoris ſuæ Vitam, quia ipſa eſt mater omnium viuentium. Et fecit Dominus Deus Adæ & vxori eius veſtes pelliceas & induit illos, & ait Ecce Adam factus eſt ſicut vnus ex nobis.

VIDISTIS heri iudicis benignitatē? Vidiſtis examen bonitate refertū? Vidiſtis ſuppliciorum diuerſitatem? quomodo punitus ſit doloſus ille ſupplantator: quomodo etiam deceptis pœna ſit intentata, quę magnam Dei præ ſe ferret benignitatem? Vidiſtis quomodo nobis commodorū occaſio fuit, aſſiſtere tribunali, & videre quomodo proceſſerit examen? Cognouimus enim, quantis ſeipſos bonis mandati tranſgreſſione priuarint Adam & Eua, nudati gloria illa ineffabili, & vita non inferiore quàm angelica. Vidimus patientiam Domini, didicimus quantum malum ſit deſidia, quomodo & præſentibus ſpoliet, & magna ignominia denigret. Idcirco obſecro, ſobrij ſimus, fiántque nobis illorum lapſus, remedia: & illorum deſidia, ſecuritatis cauſa: quandoquidem maior pœna eſt eorum qui poſt illos peccant, & tantis exemplis emendare ſe nolunt. Non enim qui poſtea eadem peccāt quæ primi, in eandem pœnam incident. Id quod breuiter ab orbis doctore ſapientiſſimo (beato Paulo inquam) diſcere poſſumus, qui dicit,

Rom. 2. 12.

Quicunque enim ſine lege peccauerunt, ſine lege etiam peribunt: & quicunque in lege peccauerunt, per legem iudicabuntur. His verbis dicit, non eandem luituros pœnam eos qui ante legem, & eos qui poſt legē peccarunt. Grauius enim punientur qui poſt legem datam peccauerint. Nam quicunque ſine lege peccauerunt, etiam ſine lege peribunt. Proficiet illis ad leuiorem pœnam, quòd legis doctrina & adminiculo carue-

Grauior pœna manet eis, qui poſt legē peccant.

A ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία ιη.

Ἐκάλεσεν Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ ζωή, ὅτι αὐτὴ μήτηρ πάντων τῶν ζώντων, καὶ ἐποίησε κύριος ὁ θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς, καὶ εἶπεν· ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν.

Εἴδετε χθὲς δικαστοῦ φιλανθρωπίαν;
B εἴδετε ἐξέτασιν ἀγαθότητος γέμουσαν; εἴδετε τιμωριῶν διαφοράν; πῶς μὲν ὁ διὰ τῆς ἀπάτης ὑποσκελίσας ἐπιμωρήθη· πῶς δὲ ἡ τοῖς ὑποσκελισθεῖσιν ἐπαχθεῖσα τιμωρία πολλὴν δείκνυσι τοῦ θεοῦ φιλανθρωπίαν; εἴδετε πόσης ἡμῖν ὠφελείας γέγονεν ὑπόθεσις τὸ παραστῆναι τῷ δικαστηρίῳ, καὶ ἰδεῖν, ὅπως προεχώρησεν ἡ ἐξέτασις; ἐγνώκαμεν γὰρ ὅσων τε καὶ ἡλίκων ἀγαθῶν ἑαυτοὺς ἀπεστέρησαν ὅ τε Ἀδάμ, ἥ τε Εὔα διὰ τῆς παραβάσεως τῆς δοθείσης ἐντολῆς
C γυμνωθέντες τῆς δόξης ἐκείνης τῆς ἀφάτου, καὶ τῆς ζωῆς τῆς οὐδὲν ἔλαττον ἐχούσης τῶν ἀγγέλων. οἴδαμεν τὴν ἀνεξικακίαν τοῦ δεσπότου. ἐπαιδεύθημεν ὅσον κακόν ἐστι ῥαθυμία, καὶ ὅπως καὶ τῶν ἤδη ὑπηργμένων γυμνοὺς καὶ ἐρήμους ἡμᾶς ἐργάζεται, καὶ ἐν πολλῇ καθίστησι τῇ αἰσχύνῃ. διὸ παρακαλῶ νήφωμεν, καὶ τὰ ἐκείνων πτώματα ἡμῖν γινέσθω φάρμακα, καὶ ἡ ἐκείνων ῥαθυμία ἡμῖν γινέσθω ἀσφαλείας ὑπόθεσις· ἐπεὶ καὶ μείζων ἡ τιμωρία τοῖς εἰς τὸ ἑξῆς τὰ αὐτὰ πλημμελοῦσιν, ὅσῳ μηδὲ τοῖς ὑποδείγμασι σωφρονέστεροι γίνεσθαι
D ἠβουλήθησαν. οὐδὲ γὰρ οἱ μετὰ ταῦτα τὰ αὐτὰ τοῖς προτέροις ἁμαρτάνοντες τὴν αὐτὴν εἰσπράττονται δίκην. καὶ τοῦτο συντόμως μαθεῖν ἔξεστιν ἀπὸ τοῦ σοφοῦ διδασκάλου τῆς οἰκουμένης τοῦ μακαρίου Παύλου λέγοντος· ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, καὶ ὅσοι ἐννόμως ἥμαρτον διὰ νόμου κριθήσονται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ τὴν αὐτὴν δώσουσι δίκην οἱ πρὸ τοῦ νόμου, καὶ μετὰ τὸν νόμον, ἀλλὰ βαρυτέρας ὑποστήσονται τιμωρίας οἱ μετὰ τὴν τοῦ νόμου δόσιν ἁμαρτάνοντες. ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, τουτέστιν ἡμερωτέραν αὐτοῖς ποιεῖ τὴν τιμωρίαν τὸ μὴ ἔχειν τὴν ἀπὸ τοῦ νόμου διδασκαλίαν καὶ

βοηθῆσαι. καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κρι- A
θήσονται. οὗτοι δέ φησιν ἐπειδὴ καὶ τὸν νόμον ἔχον
διδάσκαλον, καὶ οὐδὲ οὕτως ἐσωφρονίσθησαν, ἀλ-
λὰ τὰ αὐτὰ ἐκείνοις ἥμαρτον, μείζονα δίκην τίσου-
σι. ἀλλ' ἀκούσωμεν καὶ τῶν σήμερον ἀναγνωσθέν-
των. καὶ ἐκάλεσε φησὶν Ἀδὰμ τὸ ὄνομα τῆς γυ-
ναικὸς αὐτοῦ Εὔα, ὅπερ ἐστὶ ζωή. ὅτι αὕτη μήτηρ
πάντων τῶν ζώντων. ὅρα τῆς θείας γραφῆς τὴν
ἀκρίβειαν, πῶς οὐδὲ τοῦτο παρῆκεν, ἀλλ' ἐδίδαξεν
ἡμᾶς, ὅτι καὶ τῇ γυναικὶ τὴν προσηγορίαν Ἀδὰμ
ἐπέθηκεν. ἐκάλεσε φησὶ τὸ ὄνομα τῆς γυναικὸς
αὐτοῦ Εὔα ὅπερ ἐστὶ ζωή, ὅτι αὕτη μήτηρ πάντων
τῶν ζώντων, τουτέστιν αὕτη ἀρχή ἐστι τῶν ἐξ αὐτῆς B
ἐσομένων, ῥίζα καὶ θεμέλιος τῆς μετὰ ταῦτα γε-
νεᾶς. εἶτα μετὰ τὸ διδάξαι ἡμᾶς τὴν ἐπιτεθεῖσαν
τῇ γυναικὶ προσηγορίαν, πάλιν δείκνυσιν ἡμῖν τοῦ
θεοῦ τὴν ἀγαθότητα, ὅπως οὐ περιορᾷ ἐν τῇ τοσαύτῃ
αἰσχύνῃ καὶ γυμνότητι τοὺς ὑπ' αὐτοῦ δημιουργη-
θέντας. καὶ ἐποίησε φησὶ κύριος ὁ θεὸς τῷ Ἀδὰμ καὶ
τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν
αὐτούς. καθάπερ πατὴρ εὔσπλαγχνος παῖδα ἔχων
εὐγενῆ, καὶ μετὰ πάσης ἐπιμελείας τρεφόμενον, καὶ
τρυφῆς ἁπάσης ἀπολαύοντα, καὶ ἐσθῆτα λαμπρὰν
κεχρημένον, καὶ σηρικὰ ἱμάτια περιβεβλημένον, C
καὶ μετὰ ἀδείας τῇ περιουσίᾳ καὶ τῷ πλούτῳ κεχρη-
μένον τῷ πατρικῷ, ὁρῶν ὕστερον ἀπὸ τῆς ἀνέσεως
ταύτης τῆς πολλῆς εἰς κρημνὸν κακίας ἐξωκείλαν-
τα, πάντων ἐκείνων ἀποστερήσας καὶ τῇ ἑαυτοῦ ἐξου-
σίᾳ ὑποτάξας, καὶ τῆς ἐσθῆτος γυμνώσας ἱμά-
τιον εὐτελὲς αὐτῷ πολλάκις καὶ δουλικὸν περιτίθη-
σιν, ὥστε μὴ πάντη γυμνὸν εἶναι καὶ ἀσχημονεῖν. οὕτω
δὴ καὶ ὁ φιλάνθρωπος θεὸς ἐπειδὴ ἀναξίοις ἑαυτοὺς
κατέστησαν τοῦ λαμπροῦ ἐκείνου καὶ φαιδροῦ ἐν-
δύματος τοῦ περιστέλλοντος αὐτούς, καὶ παρασκευά-
ζοντος ἀνωτέρους εἶναι τῶν σωματικῶν ἀναγκῶν,
γυμνώσας αὐτοὺς τῆς δόξης ἐκείνης ἁπάσης, καὶ τῆς D
ἀπολαύσεως, ἧς πρότερον μετεῖχον, πρὶν ἢ πε-
σεῖν τὸ πτῶμα τοῦτο τὸ χαλεπόν, πολὺν περὶ αὐ-
τοὺς τὸν οἶκτον ἐπιδεικνύμενος καὶ ἐλεῶν αὐτοὺς τῆς
ἐκπτώσεως, καὶ ὁρῶν πολλὴν τὴν ἀσχημοσύνην
περιβεβλημένους, καὶ οὐκ εἰδότας, ὅ τι καὶ πράξουσι,
πρὸς τὸ μὴ γυμνοὺς εἶναι καὶ ἀσχημονεῖν, χιτῶνας
αὐτοῖς ἐργάζεται δερματίνους καὶ ἀμφιέννυσι. τοιαῦτα
γὰρ τὰ παρὰ τοῦ διαβόλου μηχανήματα. ἐπειδὰν γὰρ
εὕρῃ τοὺς αὐτῷ πειθομένους διὰ τῆς βραχείας ἡδονῆς
ὑποσκελίσας, καὶ εἰς αὐτὸν τὸν τῆς κακίας τὸν βυθὸν κα-

runt. Et quicunque ſub lege peccauerunt, per legem & iudicabuntur. Iſti, inquit, quia & legem habuerunt magiſtram, & neque ſic emendati ſunt: ſed eadem quæ illi peccauerunt, grauiorem quoque pœnam dabunt. Porrò audiamus quæ hodie ſunt lecta. *Et vocauit*, inquit, *Adam nomen vxoris ſuæ, Eua, id quod eſt vita: quia ipſa eſt mater omnium viuentium.* Vide diuinæ ſcripturæ diligentiam, quomodo neque hoc præterit, ſed docet nos, quòd & mulieri nomen Adam impoſuerit. Vocauit, inquit, nomen vxoris ſuæ Eua, id quod eſt vita: quia ipſa mater eſt omnium viuentium: hoc eſt, ipſa eſt origo eorum, qui ex illa ſunt futuri, radixque & fundamentum poſteritatis. Dein poſtquam docuit nos quomodo mulieri impoſitum nomen, iterum oſtẽdit nobis Dei bonitatem, quæ non deſpexit ſuas creaturas in tanta nuditate & ignominia verſantes: *Et fecit*, inquit, *dominus Deus Adæ & vxori illius veſtes pelliceas, & induit illos.* Sicut miſericors pater filium habens bona indole præditum, & omni cura educatum, & fruentem omnibus deliciis, & veſte nitida & ſericis amictũ, & paternis opibus ſecurè vtentem, cum viderit eum nimia proſperitate in malitiæ præcipitium prolapſum, priuat illis omnibus, & ſuæ poteſtati ſubiicit, & veſte ſpoliat, & vilem ſeruilémque veſtem illi induit, ne omnino nudus ſit & turpis: ita & benignus Deus, quoniam Adam & Eua indignos ſeſe exhibuerunt indumento glorioſo illo & nitido, & quod tegendo nullis corporalibus eos neceſſitatibus obnoxios eſſe ſinebat: exuit nunc omni illa gloria & fruitione, qua ante grauem hanc ruinam gaudebant: multámque erga illos declarans miſerationem, miſericordia motus ob tantam ruinam, vidénſque magna confuſione circumamictos, & neſcios quid facerent, ne nudi eſſent, & indecorè ſe gererent, veſtes ipſis pelliceas facit, eóſque contegit. Tales enim ſunt diaboli machinationes, vt ſi quando aliquem inuenit qui ſibi pareat, eum voluptatula quadam ſupplantatum, & in profundum malitiæ proiectum, omníque confuſione

Indumento glorioſo nudati parẽtes primi.

& ignominia plenum, iacere relinquat, miſerabile omnibus qui illum vident ſpectaculum. At animarum noſtrarum curator videns illos in tantis difficultatibus, ipſos non omnino deſtituit præſidio, ſed velamentum illis excogitat, per veſtem vilem, oſtendens qualibus ſe veſtimentis dignos fecerint. *Et fecit dominus Deus Adæ & vxori illius veſtes pelliceas, & induit illos.* Vide oro, quantam ſermonis humilitatem nobis attemperat diuina ſcriptura. Sed quod ſæpe dixi, id & nunc dico, vt omnia ita intelligamus, ſicut par eſt de Deo intelligi. Et verbum, fecit, accipe pro eo quod eſt imperauit vt eſſent. Iuſſit enim tunicis pelliceis veſtiri in perpetuam memoriam, quòd inobedientes fuiſſent Domino. Audiant opulenti, & qui luxuriant in vermium operibus, & veſtiuntur ſericis, diſcántque quomodo ab initio humanam naturam benignus Dominus docuerit. Quia propter träſgreſſionem, pœnæ mortis reus erat factus homo primigena, opúſque habebat veſte quæ confuſionem tegeret, pelliceas fecit veſtes: quo docuit nos, vt mollem & diſſolutam vitam fugiamus, neque inertem & remiſſam ſectemur, ſed magis auſteram amplexemur. Sed fortè grauatim ferentes hæc diuites, dicent: Igitur pellibus veſtiri nos iubes? Non hoc dixerim. Nam neque illi perpetuò vſi fuerunt his veſtibus. Benignus enim Dominus prioribus beneficiis recentiora quædam ſuperaddidit. Nam poſtquam ſeſe corporalibus neceſſitatibus obnoxios fecere, & ab indolentia illa & angelica vita exciderunt: diſpenſauit Deus, vt ex ouium velleribus homines indumenta ſibi pararent, non alia de cauſa, quàm vt tegumentum habeant, & ne rationale animal hoc non ſecus ac bruta in nuditate & dedecore vitam degeret. Itaque veſtium amictus continuum nobis ſit monimentum, quo memores ſimus, quantis bonis exciderimus, & diſcanius quanto ſupplicio humanum genus ob inobedientiam ſit affectum. Dicant igitur nobis, qui tanto vtuntur apparatu, vt iam vſum lanæ prorſus noſſe

Quid amictus ueſtrum nos doceat.

A ταγαγὼν, καὶ πάσης αἰσχύνης καὶ ἀτιμίας πληρώσας, ἀφίησι κεῖσθαι κάτω, ἐλεεινὸν θέαμα τοῖς ὁρῶσιν. ἀλλ' ὁ τῶν ἡμετέρων ψυχῶν κηδεμὼν ὁρῶν αὐτοὺς ἐν ἀμηχανίᾳ πολλῇ, οὐδὲ οὕτω περιιδεῖν ἀνέχεται, ἀλλὰ σκέπην αὐτοῖς ἐπινοεῖ διὰ τῆς εὐτελείας τοῦ ἐνδύματος δεικνὺς αὐτοῖς οἵων ἑαυτοὺς κατέστησαν ἀξίους ἐνδυμάτων. καὶ ἐποίησε γάρ φησι κύριος ὁ θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους. ὅρα πόση τῆς θείας γραφῆς ἡ συγκατάβασις. ἀλλ' ὅπερ πολλάκις εἶπον, καὶ νῦν λέγω, θεοπρεπῶς ἅπαντα νοῶμεν, καὶ τὸ ἐποίησεν ἀντὶ τοῦ προσέταξεν. ἐκέλευσε χιτῶνας

B δερματίνους αὐτοὺς περιβαλέσθαι ὑπόμνημα διηνεκὲς τῆς παρακοῆς. ἀκουέτωσαν οἱ πλουτοῦντες, οἱ ἐντρυφῶντες τοῖς τῶν σκωλήκων νήμασι, καὶ τὰ σηρικὰ περιβαλλόμενοι, καὶ μανθανέτωσαν πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων παιδεύων τὴν ἀνθρωπίνην φύσιν ὁ φιλάνθρωπος δεσπότης, ἐπειδὴ διὰ τὴν παράβασιν τῇ ἐπιτιμίᾳ τοῦ θανάτου γέγονεν ὑπεύθυνος ὁ πρωτόπλαστος, ἔχρῃζε δὲ ἱματίου αὐτῷ περιτεθῆναι τὸ τὴν αἰσχύνην καλύπτον, δερματίνους αὐτοῖς ἐποίησε χιτῶνας διδάσκων ἡμᾶς φεύγειν τὸν ὑγρὸν

C καὶ διαλελυμένον βίον, καὶ μὴ τὸν ἀνειμένον, καὶ βλακείας γέμοντα μεταδιώκειν, ἀλλὰ τὸν αὐστηρὸν μᾶλλον ἀσπάζεσθαι. ἀλλ' ἴσως ἀχθόμενοι πρὸς τὰ λεγόμενα οἱ πλουτοῦντες ἐροῦσιν, τί οὖν; δερματίνους ἡμᾶς χιτῶνας κελεύεις περιβαλέσθαι; οὐ τοῦτο λέγω, οὐδὲ γὰρ ἐκεῖνοι εἰς τὸ διηνεκὲς ἐκείνοις τοῖς χιτῶσιν ἐκέχρηντο. ὁ γὰρ φιλάνθρωπος δεσπότης ἀεὶ ταῖς προλαβούσαις εὐεργεσίαις ἑτέρας προστίθησιν. ἐπειδὴ γὰρ λοιπὸν ὑπευθύνους ἑαυτοὺς κατέστησαν ταῖς σωματικαῖς ἀνάγκαις τῆς ἀπαθείας ἐκείνης καὶ τῆς ἀγγε-

D λικῆς διαγωγῆς ἀποστερηθέντες, μετὰ ταῦτα ᾠκονόμησεν, ἀπὸ τῶν ἐρίων τῶν προβάτων τὰ ἐνδύματα τοῖς ἀνθρώποις κατασκευάζεσθαι, οὐδενὸς ἑτέρου ἕνεκεν, ἢ ὥστε σκέπην γίνεσθαι, καὶ μὴ τὸ λογικὸν τοῦτο ζῶον κατὰ τὸ αὐτὸ τοῖς ἀλόγοις ἐν γυμνότητι καὶ ἀσχημοσύνῃ διάγειν. ἡ τοίνυν τῶν ἱματίων περιβολὴ ὑπόμνησις ἡμῖν γινέσθω διηνεκὴς τῆς τῶν ἀγαθῶν ἐκπτώσεως, καὶ τῆς τιμωρείας διδασκαλία, ἣν διὰ τὴν παρακοὴν τὸ τῶν ἀνθρώπων γένος ἐδέξατο. λεγέτωσαν τοίνυν ἡμῖν οἱ τοσαύτῃ κεχρημένοι τῇ φαντασίᾳ, ὡς μηδὲ εἰδέναι λοιπὸν τὰ ἀπὸ τοῦ ἐρίου τῶν προβάτων ἐνδύματα.

ἐνδύματα, ἀλλὰ τὰ σηρικὰ περιβαλλόμενοι, καὶ εἰς τοσοῦτον ἐξοκείλαντες μανίας ὡς καὶ χρυσίον συνυφαίνειν τοῖς ἐνδύμασι. μάλιστα γὰρ τὸ τῶν γυναικῶν γένος ταύτην ἡμῖν ἐπιδείκνυται τὴν βλακείαν. τίνος γὰρ εἰπέ μοι τούτοις τὸ σῶμα καλλωπίζεις, καὶ χαίρεις τῇ ἐντεῦθεν περιβολῇ, καὶ οὐκ ἐννοεῖς ὅτι ἀντὶ μεγίστης τιμωρίας διὰ τὴν παράβασιν ἡ σκέπη αὕτη ἐπενοήθη; διὰ τί γὰρ μὴ ἀκούεις καὶ Παύλου λέγοντος· ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα; ὁρᾷς ὅτι ἑνὸς μόνου δεῖ φροντίζειν τοῦ μὴ γυμνὸν εἶναι τὸ σῶμα; τοῦ σκέπεσθαι μόνον, μηκέτι δὲ καὶ περὶ διαφορᾶς ἐσθῆτος φροντίδα ποιεῖσθαι; B καὶ εἶπε κύριος ὁ θεὸς, ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα. καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη. ὅρα πάλιν θεοῦ συγκατάβασιν. καὶ εἶπε φησὶ κύριος ὁ θεὸς ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. εἶδες πόση τῆς λέξεως ἡ ταπείνωσις; ταῦτα δὲ ἅπαντα θεοπρεπῶς νοῶμεν. C βούλεται γὰρ ἐνταῦθα διὰ τῶν ῥημάτων τούτων τῆς ἀπάτης ἡμᾶς ὑπομνῆσαι, ἣν ἠπατήθησαν ὑπὸ τοῦ διαβόλου διὰ τοῦ ὄφεως. ἐπειδὴ γὰρ ἔλεγεν ἐκεῖνος, ὅτι ἐὰν φάγητε, ἔσεσθε ὡς θεοὶ, καὶ ἰσοθείας ἐλπίδι τῆς βρώσεως κατετολμήσαμεν. διὰ τοῦτο ὁ θεὸς πάλιν ἐντρέψαι αὐτοὺς βουλόμενος, καὶ εἰς αἴσθησιν ἀγαγεῖν τῶν ἐπταισμένων, καὶ τῆς παρακοῆς τὸ μέγεθος δεῖξαι, καὶ τῆς ἀπάτης τὴν ὑπερβολὴν φησίν· ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν. μεγάλη τοῦ ῥήματος ἡ ἐντροπὴ, καθικέσθαι δυναμένη τοῦ παραβάντος. D διὰ τοῦτο φησὶ καταφρονήσας τῆς ἐντολῆς τῆς ἐμῆς, ἰδοὺ γέγονας ὃ προσεδόκησας, μᾶλλον δὲ οὐχ ὃ προσεδόκησας, ἀλλ' ὅπερ ἦς ἄξιος γενέσθαι· ἰδοὺ φησὶ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. τοῦτο γὰρ ὁ ἀπατεὼν διάβολος αὐτοῖς ἔλεγε διὰ τοῦ ὄφεως, ὅτι διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα, καὶ ἅψηται τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα.

A nolint, ſed ſerico veſtiantur, eóque inſaniæ peruenere, vt aurum veſtibus intexant. In primis enim mulieres huic mollitiei deditæ ſunt. Quare, dic obſecro, corpus ita ornas, & gaudes eiuſcemodi amictu? Non cogitas quòd pro magno ſupplicio, propter tranſgreſſionem tegmen hoc excogitatum eſt? & quare non audis Paulum dicentem: Habentes victum & amictum, illis contenti erimus? 1. Tim. 6.8. Vides quòd vnius duntaxat rei habenda ſit hîc cura: videlicet, ne corpus nudum ſit, ſed vt tegatur, nec amplius de varietate veſtium eſſe nos ſollicitos oportet? Cæterùm ad ſequentia veniamus.

22 *Et dixit dominus Deus: Ecce Adam factus eſt ſicut vnus ex nobis, ad ſciendum bonum & malum. Et nunc ne forte extendat manum ſuam, & accipiat de ligno vitæ, & comedat, & viuat in ſeculū.* 23 *Et emiſit illum dominus Deus ex paradiſo deliciarum, vt operaretur terram, de qua ſumptus erat.* Hîc quoque vide quàm cōgruis & idoneis infirmitati noſtræ verbis vtatur Deus Et dixit, inquit, Dominus Deus: Ecce Adā factus eſt quaſi vnus ex nobis ad ſciendum bonum & malum. Vidiſti quāta dictionis humilitas? Hæc autem vt decet, dignè de Deo intelligamus. Vult enim hîc per verba hæc in memoriam referre, quomodo decepti fuerint à diabolo per ſerpentem. Quandoquidē ille dicebat, ſi comederitis, eritis vt dij, & ſpe potiendæ diuinitatis cibum hunc ſumere auſi ſunt. Atque hac de cauſa Deus iterū illos monere volens, vt ſentirēt quàm grauiter eſſent lapſi per inobedientiā & deceptionē, inquit: Ecce Adam factus eſt quaſi vnus ex nobis. Ita acriter verbū hoc vibratur, vt tranſgreſſorē tāgere valeat. Propter hoc, inquit, contempſiſti mandatū meum æqualē te Deo fore arbitratus? ecce factus es quod expectaſti: imò non quod expectaſti, ſed qualem te fieri dignum erat. Ecce Adam factus eſt quaſi vnus ex nobis, ad ſciendum bonum & malum. Hoc enim impoſtor diabolus dicebat per ſerpentem, aperientur oculi veſtri, eritiſque ſicut dij, ſcientes bonum & malum. Et nunc ne fortè extendat manum, & tangat lignum vitæ, & comedat, & viuat in æternum.

Vide oro, hîc miſericordiam Domini. Oportet enim quod dictum eſt diligenter ſcrutari, vt nihil eorum quæ in fundo ſunt abſcondita, latere nos queat. Quũ Deus Adamo mandatum daret, à nullo alio abſtinere præcepit, quàm ab vnico ligno: de quo quia edere fuit auſus, pœna capitalis irrogata eſt: id quod cùm præciperet illi definiuit, ſi auderet. De ligno autem vitæ nihil ſignãter præceperat. Quandoquidem enim, vt exiſtimo, & eſt veriſimile, immortalem illũ feciſſet, potuiſſet ipſe, ſi voluiſſet, cum aliis etiam de hoc veſci, quod perpetuam illi contuliſſet vitã, eò quòd nullum mandatum de illo acceperat. Si autem curioſulus aliquis rogat, quare lignum vitæ ſit appellatum: ſciat, ſi noſtris rationibus innitamur, non poſſe hominem omnia Dei opera contueri. Viſum enim fuit Domino, vt exercitationem quandam obediẽtiæ & inobediẽtiæ haberet homo à ſe factus, & in paradiſo degens, vt duo iſta ligna ibi cõſtitueret, alterum quidem vitæ, alterum verò (vt ſic loquar) mortis. Nam eſus & tranſgreſſio mandati, mortem illi attulit. Quãdo igitur, vbi de hoc accepit, mortalis factus eſt, corporiſque neceſſitatibus obnoxius, & originem accepit peccati ingreſſus, propter quod & mors à Domino vtiliter diſpenſata eſt: non poſthac in paradiſo relinquit Adam, ſed exire inde iubet: monſtrans quòd propter nihil aliud hoc faciat, quàm propter benignitatem qua illum proſequebatur. Et vt hoc accuratè diſcamus, operæprecium fuerit verba diuinæ ſcripturæ denuò legere. Et nunc, inquit, ne quando extendat manum, & accipiat de ligno vitæ, & comedat, & viuat in æternum. Nam quia magna intemperantiæ, inquit, indicia exhibuit, præuaricandóque mandatum mortalis factus eſt, ne nunc & lignum, quod vitam præbet continuam, attingere audeat, peccaturus perpetuò: ſatius fuerit hinc ipſum eiici, ita vt magis prouidentiæ, quàm indignationis fuerit illa eiectio. Hic enim mos eſt domini noſtri, vt puniens non minus quàm benefaciens ſuam erga nos declaret prouidentiã.

Mos Dei in ſuppliciis irrogãdis.

ὅρα μοι ἐνταῦθα φιλανθρωπίαν δεσπότου. δεῖ γὰρ μετ' ἀκριβείας διερευνῆσαι τὸ εἰρημένον, ἵνα μηδὲν ἡμᾶς λαθεῖν δυνηθῇ τῶν ἐν τῷ βάθει κεκρυμμένων. ἡνίκα τὴν ἐντολὴν ἐδίδου τῷ Ἀδὰμ, ὁ θεὸς, οὐδενὸς ἑτέρου ἀπέχεσθαι αὐτὸν προσέταξεν ἢ μόνον τοῦ ξύλου, οὗ τῆς βρώσεως κατατολμήσας τὸ ἐπιτίμιον τοῦ θανάτου ἐδέξατο, ὅπερ ἐντελλόμενος αὐτῷ ὥρισεν εἰ παραβαίη, περὶ τοῦ τῆς ζωῆς ξύλου οὐδὲν διαστειλάμενος. ἐπειδὴ γὰρ ὡς ἡγοῦμαι καὶ ἔστι συνιδεῖν, ἀθάνατον αὐτὸν ἐδημιούργησεν, ἐξῆν αὐτῷ, εἴπερ ἐβούλετο, μετὰ τῶν ἄλλων καὶ ἐκείνου μεταλαμβάνειν δυναμένου διηνεκῆ τὴν ζωὴν αὐτῷ παρέξειν. διόπερ οὐδεμίαν ἐντολὴν περὶ ἐκείνου δέχεται. Εἰ δέ τις βούλοιτο περίεργος ὢν ζητεῖν διὰ τί ξύλον ζωῆς ἐκαλεῖτο, μανθανέτω μὴ πάντα μετ' ἀκριβείας τοῖς οἰκείοις λογισμοῖς ἀκολουθοῦντα δύνασθαι τὸν ἄνθρωπον καὶ τὰ τοῦ θεοῦ ἔργα κατοπτεύειν. ἔδοξε γὰρ τῷ δεσπότῃ, ἵνα γυμνάσιον ἔχῃ ὑπακοῆς καὶ παρακοῆς, ὁ ὑπ' αὐτοῦ δημιουργηθεὶς ἄνθρωπος ἐν τῷ παραδείσῳ διάγων καὶ τὰ δύο ταῦτα ξύλα ἐκεῖ ἀναδεῖξαι, τὸ μὲν τῆς ζωῆς, τὸ δὲ ὡς εἰπεῖν τοῦ θανάτου. ἡ γὰρ τούτου βρῶσις καὶ ἡ παράβασις τῆς ἐντολῆς τὸν θάνατον αὐτῷ ἐπήγαγεν. ἐπεὶ οὖν τούτου μετασχὼν θνητὸς γέγονε, καὶ ταῖς τοῦ σώματος ἀνάγκαις λοιπὸν ὑπεύθυνος, καὶ ἀρχὴν ἔλαβε τῆς ἁμαρτίας ἡ εἴσοδος, δι' ἣν καὶ ὁ θάνατος ὑπὸ τοῦ δεσπότου συμφερόντως ᾠκονομήθη, οὐκέτι λοιπὸν ἀφίησιν ἐν τῷ παραδείσῳ τὸν Ἀδὰμ, ἀλλ' ἐξελθεῖν ἐκεῖθεν προστάττει δεικνὺς, ὅτι δι' οὐδὲν ἕτερον τοῦτο ποιεῖ, ἢ διὰ τὴν φιλανθρωπίαν τὴν περὶ αὐτόν. καὶ ἵνα μάθωμεν ἀκριβῶς, ἀναγκαῖον αὐτὰ πάλιν ἀναγνῶναι τὰ ῥήματα τῆς θείας γραφῆς. καὶ νῦν φησι μήποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα. ἐπειδὴ γὰρ πολλῆς ἀκρασίας δείγματα παρέσχε διὰ τῆς ἤδη δοθείσης ἐντολῆς, καὶ θνητὸς γέγονεν, ἵνα μὴ πάλιν φησὶ κατατολμήσῃ καὶ τούτου τοῦ ξύλου ἐφάψασθαι τοῦ τὴν ζωὴν παρέχοντος τὴν διηνεκῆ, καὶ μέλλῃ ἀθάνατα ἁμαρτάνειν, βέλτιον αὐτὸν ἐντεῦθεν ἐξωθεῖσθαι· ὥστε κηδεμονίας μᾶλλον ἦν ἢ ἀγανακτήσεως ἡ ἐκβολὴ τοῦ παραδείσου. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος, καὶ τιμωρούμενος οὐκ ἔλαττον ἢ εὐεργετῶν τὴν περὶ ἡμᾶς κηδεμονίαν ἐνδείκνυται.

καὶ τὴν τιμωρίαν δὲ ἕνεκεν νουθεσίας ἡμῖν ἐπάγει. ὡς εἴγε ἤδει ἡμᾶς μὴ χείρους γινομένους τῷ ἀτιμωρητὶ ἁμαρτάνειν, οὐκ ἂν οὐδὲ ἐτιμωρήσατο. ἀλλὰ παραναστέλλων ἡμῶν τὴν ἐπὶ τὸ χεῖρον πρόοδον, καὶ τὴν πονηρίαν ἐκκόπτων τὴν ἐπὶ τὸ πρόσω τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος φιλανθρώπως τιμωρεῖται, ὃ δὴ καὶ νῦν πεποίηκε κηδόμενος τοῦ πρωτοπλάστου ἐκβληθῆναι τοῦ παραδείσου αὐτὸν προσέταξε. καὶ ἐξαπέστειλεν αὐτόν φησι κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη. ὅρα μοι πάλιν τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, ἐξαπέστειλεν αὐτόν φησι κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη. ἰδοὺ τὰς ἀποφάσεις αὐτοῦ εἰς ἔργον ἄγει, καὶ ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐξαγαγὼν ἐργάζεσθαι τὴν γῆν αὐτὸν ποιεῖ, ἐξ ἧς ἐλήφθη. καὶ οὐχ ἁπλῶς εἶπε τὴν γῆν, ἐξ ἧς ἐλήφθη· ἀλλ᾽ ἵνα διηνεκῆ τὴν ὑπόμνησιν ἔχῃ τῆς ταπεινοφροσύνης τὴν ἐργασίαν, καὶ εἰδέναι ἔχῃ ὡς ἐκεῖθεν αὐτῷ ἡ σύστασις, καὶ ἡ οὐσία τοῦ σώματος καὶ αὐτὸς ἐκ τῆς γῆς ἐξ ἧς ἐξ ἀρχῆς γεγένηται· ἐκείνην φησὶν ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς καὶ αὐτὸς συνέστη. τοῦτο γὰρ καὶ ἐν τῇ ἀποφάσει ἔλεγεν, ὅτι ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου· τὸ αὐτὸ τοίνυν καὶ νῦν λέγει διὰ τοῦ εἰπεῖν ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη. εἶτα ἵνα μάθωμεν πόσῳ διαστήματι αὐτὸν ἀπῴκισε τοῦ παραδείσου, καὶ τοῦτο διδάσκει ἡμᾶς ἡ θεία γραφὴ λέγουσα. καὶ ἐξέβαλε κύριος ὁ θεὸς τὸν Ἀδὰμ καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς. σκόπει πῶς ἕκαστον τῶν γινομένων ὑπὸ τοῦ κοινοῦ δεσπότου φιλανθρωπίας ὑπόθεσις ἦν, καὶ ἑκάστου τιμωρίας εἶδος ἀγαθότητος γέμει πολλῆς. οὐ γὰρ τὸ ἐκβαλεῖν μόνον φιλανθρωπίας καὶ ἀγαθότητος ἦν. ἀλλὰ καὶ τὸ ἀπέναντι τοῦ παραδείσου ἐγκατοικίσαι αὐτὸν, ἵνα ἀδιάλειπτον ὀδύνην ἔχῃ καθ᾽ ἑκάστην ἡμέραν ἀναλογιζόμενος, οἵων ἐκπεπτωκὼς εἰς οἵαν ἑαυτὸν κατάστασιν ἤγαγεν. ἀλλ᾽ ὅμως εἰ καὶ ὀδύνην ἀφόρητον ἡ θέα εἶχεν· ἀλλ᾽ οὐ μικρᾶς ὠφελείας ὑπόθεσίς ἐστι, καὶ πρὸς τὸ ἑξῆς ἀσφάλεια τῷ ὀδυνωμένῳ ἡ συνεχὴς θέα ἐγίνετο πρὸς τὸ μὴ τοῖς αὐτοῖς πάλιν περιπεσεῖν. καὶ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τῆς ἀνθρωπίνης φύσεως τοιοῦτόν τὸ ἔθος, ἐπειδὰν ἐν ἀπολαύσει τῶν ἀγαθῶν ὄντες μὴ εἰδῶμεν αὐτοῖς κεχρῆσθαι δεόντως τῇ στερήσει σωφρονιζόμεθα,

A Quippe & hanc pœnam admonitionis gratia nobis irrogauit. Quia vtique ſi ſciſſet nos non peiores fieri impunè peccando, neutiquam vltrà puniiſſet: ſed vt reprimat noſtrũ ad deteriora progreſſum, & tollat malitiã vlterius graſſantem, ſuam ſeruando miſericordiã, punit: id quod & nunc fecit. Curam enim agens primigenij hominis, eiici ipſum è paradiſo præcepit. Et emiſit illum dominus Deus ex paradiſo voluptatis, vt operaretur terram, de qua ſumptus eſt. Iterum oro, vt hîc diuinæ ſcripturæ diligentiam videas. Emiſit illum, inquit, do- B minus Deus ex paradiſo voluptatis, vt operatur terram, de qua ſumptus eſt. Ecce ſentẽtiam ſuam re ipſa exequitur: & ex paradiſo voluptatis eiectum, terram de qua ſumptus erat operari facit. Nec temerè dixit, de quã ſumptus eſt: ſed vt perpetuò commonefieret humilitatis inter operandũ, ſciréque poſſit quòd inde ſit conſtitutus, & ſubſtãtiam habeat corporis ab initio. Et illam ipſam, inquit, operetur terram, ex quã & ab initio conſtitutus eſt. Nam hoc quod in ſentẽ- C tia dicebat, In ſudore faciei tuæ veſceris pane tuo: idipſum & nũc dicit, quando inquit, vt operetur terrã de qua ſumptus eſt. Poſthac vt diſcamus quanto ſpacio ipſum à paradiſo habitare fecit, etiam illud ipſum ſcriptura diuina nos docet. *Eiecitque dominus Deus Adam, & habitare fecit eum è regione paradiſi deliciarum.* Animaduerte quòd dominus noſter in ſingulis operibus, benignitatis argumentum oſtendit, & ſingulæ pœnarum ſpecies bonitate plenæ ſunt. Non enim hoc ſolum miſericordiæ D & benignitatis argumentum erat, quòd emittebat & eiiciebat: ſed & quòd cõtra paradiſum illum habitare faciebat, vt iugem dolorẽ haberet, quotidie cogitans vnde exciderit, & in quem ſtatum ſe coniecerit. Et quamuis grauiſſimi doloris ſpectaculum erat, eſt tamen magnæ vtilitatis occaſio, vt dolens continuo aſpectu, munitior & cautior eſſet in aliis, ne iterum in eadem peccata incideret. Nam quoniam hic hominis (vt plurimum) mos eſt, vt dum bonis fruimur, ipſis, vt oportet, vti neſciamus, illorum priuatione emendamur,

Cur ex aduerſo paradiſi poſitus Adam.

& tunc experientia docti ſentire noſtram deſidiam incipimus, atque ita tanta rerũ mutatione docemur, & à quibus excidimus, & quibus noſipſos malis iniecimus. Itaque quòd propè, & è regione paradiſi eum qui illinc exciderat habitare iuſſit, maximæ prouidentiæ & curæ ſignum fuit, vt & ſpectando memor eſſet, & inde lucrum faceret, & neque immodica viuendi auiditate concupiſcere, neque foris exiſtens de ligno comedere præſumeret. Diuina enim ſcriptura omnia nobis, provt noſtræ infirmitati congruunt, narrat. *Et collocauit Cherubim & flammeum gladium verſatilem ad cuſtodiendam viam ligni vitæ.* Quorum tam negligens iam fuerat in mandato tradito, hinc factum eſt, vt tanta diligentia ingreſſus muniretur & præcluderetur. Obſecro animaduerte hîc, quòd benignus Deus non ſolum contentus fuit hominem è regione paradiſi habitare, ſed præcepit etiam vt flammeus gladius ille verſatilis, & virtutes illæ Cherubim cuſtodirent viam, quæ illuc inducit. Nec abſque cauſa addidit, verſatilis ille: ſed vt doceat nos, quòd omnis via illò ducens præcluſa ſit, eo quòd gladius ille dum verſatur, obturet & præmuniat omnes vias, quæ illuc ferunt, & vt continuã memoriam & timorem incutere illi

Cap. 4. poſſit. *Adã autẽ cognouit Euam vxorem ſuam.* Conſidera quando hoc factum ſit. Poſt inobedientiam, poſt paradiſi amiſſionem, tunc primùm vſus rei Venereæ cœpit. Ante inobedientiã enim angelicam vitam imitabantur, & nullus de re Venerea ſermo erat. Quî enim potuit, cum neque corporalibus neceſſitatibus obnoxij fuerint? Itaque ab initio virginitas palmam principatus accepit: ſed poſtquam per deſidiam intrauit inobedientia, & aditus patefactus eſt peccato, illa quidem auolauit, vtpote ab his qui indigni tantæ virtutis magnitudine facti erant: ſubintrauit autem rei Venereæ lex. Cogita igitur dilecte, quanta virginitatis dignitas, quam ſublimis & magna poſſeſſio, & quæ ſupra humanam naturam, & quæ opus habeat manu ſuperna.

A καὶ τότε διὰ τῆς πείρας μαθόντες αἴσθησιν λαμβάνομεν τῆς οἰκείας ῥαθυμίας, καὶ οὕτω διὰ τῆς τῶν πραγμάτων μεταβολῆς διδασκόμεθα τίνων μὲν ἐξεπέσαμεν, τισὶ δὲ ἑαυτοὺς περιεπείραμεν. ὥστε καὶ τὸ πλησίον καὶ ἀπέναντι τοῦ παραδείσου προστάξαι κατοικεῖν τὸν ἐκεῖθεν ἐκπεπτωκότα, μεγίστης κηδεμονίας σημεῖον ἦν, καὶ ἵνα καὶ τὴν ἐκ τῆς θέας ὑπόμνησιν ἔχῃ, καὶ τοῦ ἐντεῦθεν κέρδους ἀπολαύῃ, καὶ μηδὲ ἐπιθυμίαν τῆς φιλοζωΐας ἔχων καὶ ἔξω τυγχάνων κατατολμήσῃ τῆς τοῦ ξύλου βρώσεως. ὡς γὰρ πρὸς τὴν ἀνθρωπίνην ἀσθένειαν συγκαταβαίνουσα ἅπαντα διαλέγεται ἡμῖν ἡ θεία γραφή. B καὶ ἔταξε τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ἔσοδον τοῦ ξύλου τῆς ζωῆς. ἡ ῥαθυμία αὖθις, ἣν ἤδη περὶ τὴν δοθεῖσαν ἐντολὴν ἐπεδείξαντο, αἴτιον γέγονε τοῦ μετὰ τοσαύτης ἀσφαλείας ἀποτειχισθῆναι αὖθις τὴν εἴσοδον. ἐννόησον γάρ μοι ὅτι οὐδὲ τῇ ἀπέναντι τοῦ παραδείσου οἰκήσει ἠρκέσθη ὁ φιλάνθρωπος, ἀλλ' ἔταξε τὰς δυνάμεις ταύτας τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τὴν ἐκεῖσε εἰσάγουσαν. οὐχ C ἁπλῶς δὲ προσέθηκε τὴν στρεφομένην, ἀλλ' ἵνα διδάξῃ ἡμᾶς, ὅτι πᾶσα ὁδὸς αὐτοῦ ἀποτετείχισται τῆς ῥομφαίας ἐκείνης διὰ τοῦ στρέφεσθαι πάσας τὰς ἐκεῖ φερούσας ὁδοὺς ἀποφραττούσης, καὶ διηνεκῆ τὸν φόβον αὐτοῦ καὶ τὴν ὑπόμνησιν παρέχειν δυναμένης. Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, σκόπει πότε τοῦτο ἐγένετο· μετὰ τὴν παρακοήν, μετὰ τὴν ἔκπτωσιν ἐκ τοῦ παραδείσου, τότε τὰ τῆς συνουσίας ἀρχὴν λαμβάνει. πρὸ γὰρ τῆς παρακοῆς ἀγγελικὸν ἐμιμοῦντο βίον, καὶ οὐδαμοῦ συνουσίας λό- D γος. πῶς γάρ, ὁπότε οὐδὲ ταῖς τῶν σωμάτων ἀνάγκαις ὑπέκειντο; ὥστε ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τὰ τῆς παρθενίας ἀρχὴν ἐλάμβανεν. ἀλλ' ἐπειδὴ ἐπεισῆλθε διὰ ῥαθυμίαν ἡ παρακοή, καὶ εἴσοδον ἔσχε τὰ τῆς ἁμαρτίας, ἐκείνη μὲν ἀπέπτη ἅτε δὴ ἀναξίων αὐτῶν γινομένων τοῦ τοσούτου μεγέθους τῶν ἀγαθῶν· ἐπεισῆλθε δὲ λοιπὸν ὁ τῆς συνουσίας νόμος. ἐννόησόν μοι τοίνυν ἀγαπητέ, ὅσον τῆς παρθενίας τὸ ἀξίωμα, ὅπως ὑψηλόν τι ἐστὶ καὶ μέγα χρῆμα, καὶ ὑπεραναβαῖνον τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ τῆς ἄνωθεν δεόμενον χειρός.

ὅτι γὰρ ἐν σώματι τὰ τῶν ἀσωμάτων ἐπιδείκνυνται A δυνάμεων οἱ τὴν παρθενίαν προθύμως ἑλόμενοι ἄκουε τοῦ Χριστοῦ λέγοντος τοῖς Σαδδουκαίοις. ἐπειδὴ γὰρ τὸν περὶ τῆς ἀναστάσεως κινοῦντες λόγον πυνθάνεσθαι ἐβούλοντο λέγοντες· διδάσκαλε ἦσαν παρ' ἡμῖν ἑπτὰ ἀδελφοί, καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε μὴ ἔχων τέκνα, καὶ ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ· καὶ ὁ δεύτερος ἐτελεύτησε, καὶ μὴ ἔχων σπέρμα ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ. ὁμοίως ὁ τρίτος καὶ ὁ τέταρτος καὶ ὁ πέμπτος καὶ ὁ ἕκτος καὶ ὁ ἕβδομος· ἐν τῇ οὖν ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται γυνή; πάντες γὰρ ἔσχον αὐτήν. τί οὖν ὁ Χριστὸς πρὸς αὐτούς; B πλανᾶσθε μὴ εἰδότες τὰς γραφάς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται. ἀλλ' εἰσὶν ὡς ἄγγελοι. Εἶδες πῶς ἐν γῇ βαδίζοντες καὶ σώματι συμπεπλεγμένοι τὴν ἀγγελικὴν μιμοῦνται διαγωγὴν οἱ τὸν τῆς παρθενίας κλῆρον ἀναδεξάμενοι διὰ τὸν τοῦ Χριστοῦ πόθον; ὅσον γὰρ μέγα καὶ ὑψηλὸν τὸ πρᾶγμα, τοσοῦτον, μᾶλλον δὲ καὶ πολλῷ μείζους οἱ στέφανοι, καὶ αἱ ἀντιδόσεις, καὶ τὰ ἐπηγγελμένα ἀγαθὰ τοῖς μετ' αὐτῆς καὶ τὴν τῶν ἀγαθῶν πράξεων ἐργασίαν ἐπιδειξαμένοις. Ἀδὰμ δέ, φησιν, C ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν. ἐπειδὴ ἐπῆλθεν ἡ ἁμαρτία διὰ τῆς παρακοῆς καὶ ἡ ἀπόφασις θνητοὺς αὐτοὺς εἰργάσατο, λοιπὸν εὐμήχανος θεὸς κατὰ τὴν αὐτοῦ σοφίαν τὴν διαμονὴν τοῦ τῶν ἀνθρώπων γένους οἰκονομῶν συνεχώρησε διὰ τῆς συνουσίας αὐξηθῆναι τὸ γένος. καὶ εἶπεν, ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ. ὅρα πῶς τὸ γενόμενον ἐπιτίμιον σωφρονεστέραν εἰργάσατο τὴν γυναῖκα· τὸ γὰρ τεχθὲν παιδίον οὐ τῇ φύσει, ἀλλὰ τῷ θεῷ λογίζεται, καὶ τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται. εἶδες πῶς ἡ τιμωρία νουθεσίας ὑπόθεσις αὐτοῖς γέγονεν; ἐκ- D τησάμην γάρ φησιν ἄνθρωπον διὰ τοῦ θεοῦ. οὐχ ἡ φύσις φησὶ τὸ παιδίον μοι ἐχαρίσατο, ἀλλ' ἡ ἄνωθεν χάρις δεδώρηται. καὶ προσέθετο τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ. ἐπειδὴ εὐγνώμων γέγονεν ἐπὶ τῷ τεχθέντι, καὶ ἐπέγνω τὴν προτέραν εὐεργεσίαν, ἐπέτυχε καὶ τῆς δευτέρας. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος· ἐπειδὰν ἐπὶ τοῖς προλαβοῦσι τὴν ἑαυτῶν εὐγνωμοσύνην ἐπιδειξώμεθα, καὶ τὸν εὐεργέτην ἐπιγνῶμεν, ἐπιδαψιλεύεται τὰς ἑαυτοῦ δωρεάς. καὶ αὕτη τοίνυν ἐπειδὴ τῷ θεῷ τὸν τόκον ἐλογίσατο, διὰ τοῦτο καὶ ἕτερον λαμβάνει παιδίον.

Quod enim hi qui virginitatem alacriter arripiunt, in corpore ea agant quæ incorporearum ſunt virtutum, audi Chriſtum Iudæis dicentem. Nam de reſurrectione quæſtionem mouentes, & in ſermone eum capere volentes, dicebant: Magiſter, erant apud nos ſeptem fratres, & primus vxore ducta defunctus eſt, non habens liberos, & dimiſit vxorem ſuam fratri ſuo. Similiter & ſecundus, & tertius, & quartus, & quintus, & ſextus, & ſeptimus. In reſurrectione ergo cuius è ſeptem illis erit vxor? omnes enim habuerunt illam. Quid igitur dicit illis Chriſtus? Erratis, neſcientes ſcripturas, neque virtutem Dei. In reſurrectione enim neque vxores ducunt, neque nubunt, ſed ſunt ſicut angeli. Vidiſti quomodo in terra ambulantes, & corpore circundati angelicam vitam imitantur, qui Chriſti amore virginitatis ſortem acceperunt? Nam quantò hæc maior eſt & ſublimior, tantò maiores ſunt & coronæ, & retributiones, & repromiſſa bona eorum, qui cum hac in aliis bonis operibus ſe exercēt. *Adam autem,* inquit, *cognouit Euam vxorem ſuam, & vt concepit, peperit Cain.* Poſtquam per inobedientiam intrauit peccatum, & ſententia mortales illos fecit, conſequenter omnipotens Deus ſecundùm ſuam ſapientiam humani generis durationem gubernans, conceſſit per coitum auctum iri noſtrum genus. Et dixit, *Poſſedi virum per Deum.* Vide quomodo pœna inflicta mulierem emendauerit, meliorémque reddiderit. Nam puellum natum nō natutæ, ſed Deo acceptū refert, ſuámque gratitudinem declarat. Vidiſti quomodo pœna admonitionis loco illis fuerit? Poſſedi enim, inquit, hominem per Deum. Non natura, inquit, puerulum mihi dedit, ſed diuina gratia. *Et adiecit vt pareret fratrem illius Abel.* Quia pro nato filio grata fuit, & prius beneficium agnouit, aſſecuta eſt & aliud. Talis enim eſt Dominus noſter, quando in primis gratitudinem declaramus, & benefactorem agnoſcimus, largius ſua dona nobis erogat. Itaque quia & iſta Deo partum aſcripſit, propterea & alium accipit puerulum.

Matth. 22. 24. Luc. 20. & Marc. 12.

Summa enim, poſteaquam ſubintrauit mortalitas, conſolatio erat filiorum ſucceſſio. Et idcirco benignus Deus, puniendi ſeueritatem imminuens, & terribilem mortis perſonam auferens, liberorum ſucceſſionem largitus eſt: & quodammodo imaginem reſurrectionis per hoc ſubindicans, & diſpenſans, vt pro cadentibus alij reſurgant. *Et factus eſt*, inquit, *Abel paſtor ouiũ; & Cain operabatur terram.* Docuit nos diuina ſcriptura, quam vterque natorum artem exercuerit. Nam Abel vitam paſtoralem, Cain agriculturam delegit. *Et factum eſt poſt dies, obtulit Cain de fructibus terræ ſacrificium Deo.* Conſidera, quomodo naturæ conditor ſcientiam conſcientiæ indidit. Quis enim illum, dic oro, ad hanc cognitionem perduxiſſet? nullus alius quàm quæ in animo conſcio ſcientia. Obtulit, inquit, de fructibus terræ ſacrificium Domino. Sciebat enim, & clarè ſciebat, quòd congruum eſſet ex ſuis poſſeſſionibus aliquid Deo offerre: non quòd eo Dominus indigeat, ſed vt ſuam gratitudinem declaret, qui tali beneficio fruitur. Nulla enim re indiget Deus, nulliſque noſtris opus habet. Cæterum ob ineffabilem benignitatem ita noſtræ infirmitati ſe attemperat, & propter ſalutem noſtram hæc fieri tolerat, vt Dei agnitio humanæ naturæ virtutis ſit ſchola. *Et Abel etiam ipſe obtulit de primogenitis ſuarum pecudum.* Non abſque ratione in ſermonibus prioribus veſtram docui charitatem, quòd dominus noſter varietatem perſonarum ignoret: ſed à voluntate examinans, mentem & intentionem coronat. En & nunc attende idem factum: ſed auſcultemus diligenter dictis, & videamus quid de Cain narret ſcriptura, & quid de Abel: & ne inconſideranter tranſeamus. Nihil enim temerè vel fortuitò loquitur diuina ſcriptura, ſed & ſyllaba, & apiculus vnicus reconditum habet theſaurum. Nam in hunc modum ſe habent ſpiritualia omnia. Quid igitur inquit? Et factum eſt poſt dies, obtulit Cain de fructibus terræ ſacrificium Domino,

A μεγίστη γὰρ ἦν λοιπὸν παραμυθία τῆς θνητότητος ἐπεισελθούσης ἡ τῶν παίδων διαδοχή. διὰ τοι τοῦτο καὶ ὁ φιλάνθρωπος θεὸς εὐθέως καὶ ἐξ ἀρχῆς τὸ σφοδρὸν τῆς ἐπιτιμήσεως ὑποτεμνόμενος, καὶ τοῦ θανάτου τὸ φοβερὸν προσωπεῖον περιαιρῶν τὴν τῶν παίδων διαδοχὴν ἐχαρίσατο ὡς ἂν εἴποι τις εἰκόνα ἀναστάσεως ἐντεῦθεν ὑποφαίνων, καὶ ἀντὶ τῶν πιπτόντων ἑτέρους ἀνίστασθαι οἰκονομῶν. καὶ ἐγένετό φησιν Ἄβελ ποιμὴν προβάτων· Κάϊν δὲ ἦν ἐργαζόμενος τὴν γῆν. ἐδίδαξεν ἡμᾶς ἡ θεία γραφὴ ἑκάστου τῶν τεχθέντων τὰ ἐπιτηδεύματα, καὶ ὅτι ὁ μὲν τὴν ποιμαντι-
B κὴν εἵλετο, ὁ δὲ τὴν γῆν εἰργάζετο. καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ κυρίῳ. σκόπει πῶς τῷ συνειδότι τὴν γνῶσιν ἐναπέθετο τῆς φύσεως ὁ δημιουργός. τίς γὰρ ἂν εἰπέ μοι τοῦτον ὡδήγησε πρὸς τὴν τοιαύτην ἔννοιαν; οὐδεὶς ἕτερος, ἀλλ' ἡ ἐν τῷ συνειδότι γνῶσις. ἤνεγκέ φησιν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ κυρίῳ. ᾔδει γὰρ καὶ ἠπίστατο, ὅτι προσήκει καθάπερ δεσπότῃ τῶν οἰκείων κτημάτων προσαγαγεῖν τι τῶν γινομένων· οὐκ ἐπειδὴ αὐτὸς δεῖται, ἀλλ' ἵνα τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδεί-
C ξηται αὐτὸς τῆς τοιαύτης εὐεργεσίας ἀπολαύων. ἀνενδεὴς γὰρ ὁ θεὸς, καὶ οὐδενὸς χρήζει τῶν παρ' ἡμῖν· διὰ δὲ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν συγκαταβαίνων ἡμῖν διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν, ἀνέχεται ταῦτα γίνεσθαι, ἵνα διδασκαλεῖον ἀρετῆς εἴη τῇ τῶν ἀνθρώπων φύσει ἡ ἐπίγνωσις τοῦ δεσπότου. καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ. οὐχ ἁπλῶς οὐδὲ εἰκῆ προοιμιαζόμενος ἐν ἀρχῇ τοῦ λόγου ἐδίδασκον ὑμῶν τὴν ἀγάπην, ὅτι διαφορὰν προσώπων οὐκ οἶδεν ὁ δεσπότης ὁ ἡμέτερος,
D ἀλλὰ ἐκ προαιρέσεως ἐξετάζων τὴν γνώμην στεφανοῖ. ἰδοὺ γοῦν καὶ νῦν καὶ τοῦτο γεγενημένον. προσέχωμεν τοίνυν μετὰ ἀκριβείας ἀγαπητοὶ τοῖς εἰρημένοις, καὶ ἴδωμεν τί μὲν περὶ τοῦ Κάϊν διηγεῖται ἡ γραφὴ, τί δὲ περὶ τοῦ Ἄβελ, καὶ μὴ ἁπλῶς παραδράμωμεν. οὐδὲν γὰρ ἁπλῶς καὶ ὡς ἔτυχεν φθέγγεται ἡ θεία γραφὴ, ἀλλὰ κἂν συλλαβὴ τυγχάνῃ, κἂν κεραία μία, ἔχει τινὰ ἐγκεκρυμμένον θησαυρόν. τοιαῦτα γὰρ ἅπαντα τὰ πνευματικά. τί οὖν φησι; καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ κυρίῳ.

καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν. τοῖς ὀξύτερον ἐπιβάλλειν δυναμένοις ἤδη καὶ ἐκ τῆς ἀναγνώσεως δῆλόν ἐστι τὸ εἰρημένον. ἀλλ' ἐπειδὴ προσήκει ἡμᾶς πάντων κοινῶς ποιεῖσθαι τὴν πρόνοιαν· οὐ γὰρ οἶδε διαφορὰν ἡ πνευματικὴ διδασκαλία· φέρε σαφέστερον ὑμῖν ἐκκαλύψωμεν τὰ εἰρημένα πάλιν τὰ αὐτὰ ἐπαναλαμβάνοντες. Κάϊν φησὶν ἤνεγκεν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ κυρίῳ. εἶτα βουλομένη καὶ περὶ τοῦ Ἄβελ διδάξαι ἡμᾶς ἡ θεία γραφὴ φησίν· ὅτι καὶ αὐτὸς ἀπὸ τοῦ ἐπιτηδεύματος αὐτοῦ, καὶ ἐκ τῆς ποιμαντικῆς τὴν θυσίαν προσήνεγκε. ἤνεγκε γάρ φησι καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν. σκόπει πῶς ἡμῖν αἰνίττεται τὸ φιλόθεον τούτου τῆς γνώμης, καὶ ὅτι οὐχ ἁπλῶς ἀπὸ τῶν προβάτων προσήνεγκεν, ἀλλ' ἀπὸ τῶν πρωτοτόκων, τουτέστιν ἀπὸ τῶν τιμίων, τῶν ἐξαιρέτων. εἶτα καὶ ἐξ αὐτῶν τούτων τῶν πρωτοτόκων πάλιν τὰ τιμιώτερα, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν τῶν εὐπαθεστέρων, τῶν τιμιωτέρων. ἐπὶ δὲ τοῦ Κάϊν οὐδὲν τοιοῦτον ἐπισημήνατο, ἀλλ' ὅτι προσήνεγκεν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν ὡς ἂν εἴποι τις τὰ τυχόντα, οὐδεμίαν σπουδὴν οὐδὲ ἀκρίβειαν ἐπιδειξάμενος. πάλιν λέγω, καὶ λέγων οὐ παύσομαι, οὐκ ἐπειδὴ ὁ θεὸς τῶν παρ' ἡμῶν δεῖται ἀνέχεται τῶν προσαγομένων δώρων, ἀλλὰ βούλεται καὶ διὰ τούτων δείκνυσθαι τὴν ἡμετέραν εὐγνωμοσύνην. τὸν γὰρ θεῷ προσάγοντα καὶ ἐκ τῶν αὐτοῦ προσάγοντα, καὶ ἐννοοῦντα τὸ μέσον τῆς φύσεως, καὶ ὅτι ἄνθρωπος ὢν τοσαύτης ἀξιοῦται τῆς τιμῆς, ἐχρῆν κατὰ τὸ ἐγχωροῦν τὰ παρ' ἑαυτοῦ ἐπιδείκνυσθαι, καὶ τὰ τιμιώτερα προσάγειν. ἀλλ' ὅρα μοι ἀγαπητὲ καὶ ἐντεῦθεν, ὅτι ἔχων ἀφορμὰς πρὸς τὸ συνιδεῖν τὸ δέον, εἰκότως εὐθύνας δίδωσι διὰ ῥαθυμίαν τὴν οἰκείαν προδιδοὺς σωτηρίαν. οὔτε γὰρ ἐκεῖνος τινὰ εἶχε τὸν διδάσκοντα, οὔτε οὗτος τινὰ ὑποτιθέμενον καὶ συμβουλεύοντα, ἀλλ' ἕκαστος ἐκ τῆς τοῦ συνειδότος διδασκαλίας καὶ τῆς ἄνωθεν σοφίας τῷ τῶν ἀνθρώπων γένει χορηγηθείσης κινούμενος ὥρμησεν ἐπὶ τὴν τοιαύτην προσαγωγήν, ἀλλ' ἡ διαφορὰ τῆς γνώμης λοιπὸν καὶ τῆς προαιρέσεως ἡ ῥαθυμία τοῦ μὲν εὐπρόσδεκτον ἐποίησε τὴν προσαγωγήν, τοῦ δὲ ἀπόβλητον. καὶ ἐπεῖδεν ὁ θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ. ὅρα πῶς πληροῦται ἐνταῦθα

A & Abel obtulit etiam ipſe de primogenitis ouium ſuarum, & de adipibus illarum. His qui acutius valent intueri, iam ex lectione ipſa liquidum eſt quid dicatur: verùm quia omnium communiter habenda eſt cura, & reſpectum perſonarum neſcit ſpiritualis doctrina: age manifeſtius vobis detegamus quæ dicta ſunt, iterum ea repetentes. Cain, inquit, obtulit de fructibus terræ ſacrificium Domino: deinde volens & de Abel docere nos ſcriptura diuina, dicit, quòd & ipſe de ſua arte, nempe paſtoritia, ſuum attulerit ſa- B crificium. Tulit enim, inquit, & ipſe de primogenitis ouium ſuarum, & de adipibus illarum. Obſerua quomodo nobis pientiſſima illius mens ſignificatur, & quòd non tantum de ouibus obtulerit, ſed de primogenitis, hoc eſt, de precioſiſſimis, & maximè eximiis. Deinde & ex illis ipſis primogenitis precioſiſſima quæque. Et de adipibus, inquit illarum, hoc eſt, de pinguiſſimis & optimis. De Cain nihil tale adnotatum eſt. Sed quòd obtulit de frugibus terræ ſa- C crificium: quaſi diceret: qualiacunque obueniebant, nulla ad delectum adhibita opera vel diligentia. Iterum dico, & dicere non ceſſabo. Non quia Deus rebus noſtris indiget, oblata ſuſcipit, ſed vult & per hæc oſtendi noſtram gratitudinem. Nam eum qui Deo offert, & offert ex his quæ Dei ſunt, & intelligit quantum differat natura, & cum homo ſit, tantum ſit honorem ſortitus: oportebat, quantum ſibi conceditur, ſuum teſtari officium, & precioſiſſima offerre. Sed vide obſecro dilecte. D Habes hîc occaſiones vt quod oportet contempleris, meritò pœnas luere eum, qui ſuam ob ignauiam amittit ſalutem. Neque enim ille doctorem aliquem habuit, neque hic ſuggeſtorem & conſiliarium: ſed vterque conſcientiæ ſuæ magiſterio, & ſapientia diuinitus humano generi ſuppeditata, ad hanc oblationem incitatur: ſed varietas mentis & voluntatis ſegnities, illius quidem acceptiſſimam fecit oblationem, huius autem repudiatam. *Et aſpexit Deus Abel, & ad dona ipſius.* Vide quomodo impletur hîc

Perſonarum reſpectũ neſcit ſpiritualis doctrina.

A quod in euangelio eſt dictum: Primi
Matth. 20.16. Marc. 10.34. erunt vltimi, & vltimi primi. Ecce
enim qui ob primogenituram priui-
legium habebat, & proinde prior
offerebat, minor viſus eſt fratre, vt
qui ſecus offerret quàm oportebat.
Nam cùm vterque obtuliſſet, di-
cit diuina ſcriptura: Et aſpexit Deus
ad Abel, & ad dona eius. Quid eſt,
Et aſpexit? id eſt, approbauit, lau-
dauit mentem, coronauit volunta-
tem: & quaſi quis dicat, facto con-
tentus fuit. Nam & ſi de Deo loqui-
mur, & de immortali natura ape-
rire os audemus: ſed cum homines
B ſimus, non poſſumus hæc aliter
quàm per linguam percipere. At-
tende rem miram: Aſpexit, inquit,
Deus ad Abel, & ad dona ipſius.
Ouium oblationem dona vocauit:
quia precioſa, eximia, & immaculata
obtulerat. Aſpexit igitur ad ipſum,
quia ſano & ſyncero animo obtule-
rat: & ad dona oblata, non quòd
nullis maculis aſperſa tantùm, ſed
quòd vndequaque precioſa erant,
tum ob mentem eius qui obtulerat,
tum quòd primogenita erant, & ex
C illis electiſſima, & ex adipibus ipſis,
hoc eſt, ex optimis optima. Et aſpexit
Deus ad Abel, & ad dona ipſius: ad
Cain autem, & ad ſacrificia ipſius nõ
attendit. Quia recta intentione, &
ſyncera mente obtulerat, Aſpexit,
inquit, Deus ad Abel, hoc eſt,
accepit, gratum habuit, laudauit.
Cæterum oblata vocauit dona, vt
per hoc offerentis animo maiorem
honorem haberet. Ad Cain au-
tem, & ad ſacrificia illius non at-
tendit. Ne pigeat videre ſcriptu-
ræ diligentiam. Nam cùm dicit,
D non attendit, monſtrauit repro-
bationem oblatorum. Et iterum
aliud nos docet, vocando oblatio-
nes fructuum terræ, ſacrificia. Ecce
quomodo per facta & verba ipſa
docet Dominus, quòd hæc omnia
à nobis vult fieri, vt animi noſtri
per ea quæ à nobis fiunt, manife-
ſti reddantur, & vt ſciamus quòd
dominum habemus & conditorem
rem eum, qui ex nihilo nos vt eſ-
ſemus produxit. Oues enim no-
minando diuina ſcriptura mune-
ra, terræ autem fructus ſacrificia

A τὸ ἐν τῷ εὐαγγελίῳ εἰρημένον, ὅτι ἔσονται οἱ πρῶ-
τοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι· ἰδοὺ γὰρ καὶ
ἀπὸ τῶν πρωτοτόκων ἔχων προτέρημα, καὶ πρῶ-
τος δῆθεν προσενεγκὼν, ἐπειδὴ μὴ δεόντως προσ-
ήνεγκεν, ἐλάττων ὤφθη τοῦ ἀδελφοῦ. ἀμφοτέ-
ρων γὰρ προσενεγκάντων φησὶν ἡ θεία γραφή, καὶ
ἐπεῖδεν ὁ θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ.
τί ἐστι καὶ ἐπεῖδεν; ἀντὶ τοῦ ἀπεδέξατο, ἐπῄνεσε
τὴν γνώμην, ἐστεφάνωσε τὴν προαίρεσιν, ἠρ-
κέσθη ὡς ἂν εἴποι τις τῷ γεγονότι. εἰ γὰρ καὶ
περὶ θεοῦ φθεγγόμεθα καὶ περὶ τῆς ἀκηράτου
φύσεως ἐκείνης, τολμῶμεν διαίρειν στόμα, ἀλλ'
B ἄνθρωποι ὄντες οὐκ ἄλλως δυνηθείημεν ταῦ-
τα ἢ διὰ τῆς γλώττης νοεῖν. σκόπει δὲ τὸ θαυ-
μαστόν. ἐπεῖδε δέ φησιν ὁ θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ
τοῖς δώροις αὐτοῦ· τὴν τῶν προβάτων προσα-
γωγὴν δῶρα ἐκάλεσε διὰ τὸ τίμιον, διὰ τὸ
ἐξαίρετον, διὰ τὸ ἄμωμον τῶν προσενεχθέντων.
ἐπεῖδε τοίνυν καὶ ἐπ' αὐτὸν, ὅτι ὑγιεῖ γνώμῃ τὴν
προσαγωγὴν ἐποιήσατο, καὶ ἐπὶ τὰ δῶρα τὰ
προσενεχθέντα οὐχ ὅτι ἀκηλίδωτα μόνον, ἀλλ' ὅτι
πανταχόθεν τίμια φαινόμενα, ἀπό τε τῆς γνώμης
τοῦ προσάγοντος, ἀπό τε τοῦ πρωτότοκα εἶναι καὶ
C τούτων τὰ ἐξαίρετα, καὶ ἀπὸ τῶν στεάτων αὐ-
τῶν, καὶ αὐτῶν τούτων τὰ βέλτιστα. καὶ ἐπεῖδε
φησιν ὁ θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐ-
τοῦ. ἐπὶ δὲ Κάϊν, καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσ-
έσχεν. ἐπειδὴ ὀρθῇ γνώμῃ καὶ εἰλικρινεῖ διανοίᾳ
προσήνεγκεν Ἄβελ, ἐπεῖδε φησιν ὁ θεὸς, τουτέστιν
ἐδέξατο, ἠρέσθη, ἐπῄνεσε, καὶ δῶρα ἐκάλεσε τὰ
προσενεχθέντα τιμῶν καὶ διὰ τούτου τὸν προσενεγ-
κόντος τὴν γνώμην. ἐπὶ δὲ Κάϊν φησὶ καὶ ἐπὶ
ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε. σκόπει τῆς γρα-
φῆς τὴν ἀκρίβειαν, τῷ εἰπεῖν οὐ προσέσχεν ἔδει-
D ξε τὴν ἀποβολὴν τῶν προσενεχθέντων, καὶ τὸ θυ-
σίας καλέσαι τὰ ἀπὸ τῆς γῆς προσενεχθέντα
πάλιν ἕτερον ἡμᾶς τι διδάσκει. ὅρα γὰρ πῶς δεί-
κνυσι δι' αὐτῶν τῶν γεγενημένων καὶ διὰ τῶν ῥη-
μάτων, ὅτι ταῦτα ἅπαντα βούλεται παρ' ἡμῶν
ὁ δεσπότης γίνεσθαι, ἵνα τὰ τῆς γνώμης ἡμῶν
διὰ τῶν ὑφ' ἡμῶν πραττομένων δῆλα καθί-
στηται, καὶ ἵνα εἰδέναι ἔχωμεν, ὅτι ὑπὸ δεσπό-
την ἐσμὲν καὶ δημιουργὸν ἀπὸ τοῦ μὴ ὄντος εἰς
τὸ εἶναι ἡμᾶς παραγαγόντα. τὰ γὰρ πρόβατα δῶρα
ὀνομάσασα ἡ θεία γραφή, καὶ τὰ ἀπὸ τῆς γῆς θυσίαν

A προσειποῦσα παιδεύει ἡμᾶς, ὅτι οὔτε ἡ τῶν ἀλόγων προσκομιδὴ, οὔτε ἡ τῶν ἀπὸ τῆς γῆς καρπῶν προσαγωγὴ ζητεῖται παρὰ τοῦ δεσπότου, ἀλλ' ἡ τῆς γνώμης διάθεσις μόνον. ὅθεν καὶ νῦν ὁ μὲν ἀπ' αὐτῆς ἀπόδεκτος γέγονε μετὰ τοῦ δώρου· ὁ δὲ πάλιν διὰ ταύτην ἀπεβλήθη μετὰ τῆς θυσίας. τὸ δὲ ἐπεῖδεν ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε, θεοπρεπῶς νοοῦμεν. βούλεται γὰρ εἰπεῖν, ὅτι τοιαύτην αὐτοῖς γνῶσιν ἐνέθηκεν, ὅτι τοῦ μὲν ἠρέσθη τῇ προαιρέσει, τοῦ δὲ ἀπεσείσατο τὴν ἀγνωμοσύνην. ἀλλὰ τὰ μὲν παρὰ τοῦ θεοῦ τοιαῦτα· ἴδωμεν δὲ λοιπὸν τὰ ἑξῆς. B καὶ ἐλύπησέ φησι τὸν Κάϊν λίαν, καὶ συνέπεσε τὸ πρόσωπον αὐτοῦ. τί ἐστι καὶ ἐλύπησε τὸν Κάϊν λίαν; διπλῆ τὰ τῆς λύπης αὐτῷ γέγονεν· οὐχ ὅτι αὐτὸς μόνος ἀπόβλητος γέγονεν, ἀλλ' ὅτι καὶ τὸ τοῦ ἀδελφοῦ δῶρον προσεδέχθη. καὶ ἐλύπησέ φησι τὸν Κάϊν λίαν, καὶ συνέπεσε τὸ πρόσωπον αὐτοῦ. τί ἐλύπησεν αὐτόν; ἀμφότερα αὐτὸν ἐλύπησε καὶ τὸ μὴ προσχεῖν τῇ θυσίᾳ αὐτοῦ τὸν δεσπότην, καὶ τὸ εὐπρόσδεκτον γενέσθαι τὸ τοῦ ἀδελφοῦ δῶρον. C δέον οὖν τὴν αἰτίαν συνειδότα ἐξ αὐτῶν τῶν γεγενημένων διορθώσασθαι τὸ πλημμεληθέν. φιλάνθρωπος γὰρ ὢν ὁ δεσπότης ὁ ἡμέτερος ἐπειδὰν πλημμελήσωμεν οὐχ οὕτως ἡμᾶς ἀποστρέφεται διὰ τὸ πλημμεληθὲν ὡς ἐπειδὰν ἐπιμείνωμεν τῷ πλημμελήματι. ὁ δὲ λόγον οὐδένα τούτου ποιεῖται. καὶ ἵνα τοῦτο μάθῃς ἀκριβῶς, καὶ ἴδῃς ἄφατον μέγεθος φιλανθρωπίας, σκόπει ἐκ τῶν νῦν γινομένων τῆς ἀγαθότητος αὐτοῦ τὴν ὑπερβολὴν, καὶ τῆς ἀνεξικακίας αὐτοῦ τὸ μέγεθος. ἐπεὶ γὰρ ἴδεν ἀμέτρως αὐτὸν λυπηθέντα, καὶ ὡς εἰπεῖν μέλλοντα καταβαπτίζεσθαι ὑπὸ τῶν τῆς λύπης κυμάτων, οὐ περιορᾷ, ἀλλ' D ἣν ἐπεδείξατο φιλανθρωπίαν περὶ τὸν τούτου πατέρα, ἀφορμὰς αὐτῷ διδοὺς ἀπολογίας καὶ παρρησίας αὐτῷ θύραν ἀνοίγων καὶ λέγων, ποῦ εἶ; μετὰ τὸ χαλεπὸν ἐκεῖνο παράπτωμα, τὴν αὐτὴν καὶ νῦν ἐπιδείκνυται περὶ τὸν οὕτως ἀγνώμονα γεγονότα, καὶ ὡσπερεὶ μέλλοντα κατακρημνοῦν φέρεσθαι χεῖρα ὀρέγων, καὶ πρόφασιν παρασχεῖν βουλόμενος τοῦ διορθώσασθαι τὸ πλημμέλημα φησὶ πρὸς αὐτόν· ἵνα τί περίλυπος ἐγένου, καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέ-

appellando, docet nos, quòd Deus neque vt bruta adducantur, neque vt terræ fructus offerantur, ſed tantum mentis affectionem quærit. Vnde & nunc propter mentis affectionem ille quidem cum donis approbatus eſt, & gratus fuit: iſte verò cum ſacrificio ſuo reiectus eſt. Quòd autem aſpexit ad Abel, & ad munera ipſius: ad Cain autem, & ad ſacrificia illius non attendit, intelligamus vt Deum decet. Vult enim dicere, quòd cognoſcere illos fecerit, ſe illius approbare voluntatem, huius autem repellere ingratitudinem. Et talia ſunt quæ ad Deum ſpectantia egerunt. Videamus autem ſequentia. *Et triſtitia affecit Cain valde. Et concidit vultus eius.* Quid eſt, Et triſtitia affecit Cain valde? Duplex illi triſtitia facta eſt, & quòd ſolus ipſe repudiatus fuit, & quòd fratris donum acceptum fuit. Et triſtitia affecit Cain valde, & concidit vultus illius. Quid affecit illum triſtitia? Vtraque hæc valde triſtitia affecerunt, & quòd Dominus non attendit ſacrificium ipſius, & quòd donum fratris acceptum ei fuit. Igitur opus erat, vt delictum corrigeret is, qui ex his quæ egerat cauſæ conſcius erat. Nam dominus noſter, cum benignus ſit, quando delinquimus non tam nos auerſatur ob delictum, quàm quando perſeueramus in delicto, cuius iſte nullam rationem habuit. Et vt hoc euidenter ſcias, & benignitatis ipſius magnitudinem ineffabilem videas, vide ex his quæ nunc fiunt, bonitatis illius excellentiam, & patientiæ magnitudinem. Nam poſtquam vidit illum ſupra modum mœſtum, &, vt ita dicam, à triſtitiæ fluctibus ſubmerſum iri, non deſpexit: ſed quam erga patrem ipſius benignitatem declarauerat, dando illi ſatisfaciendi occaſiones, & fiduciæ ianuam aperiens, & dicens: Vbi es? poſt grauem illam ruinam, benignitatem & nunc erga ingratum illum declarat, manum illi quaſi in præceps eunti porrigens, & occaſionem præbere volens, vt delictum corrigat, illi dicit: *Quare mœſtus factus es? & quare concidit vultus tuus? Nonne, ſi rectè obtuleris, rectè autem*

non diuiſeris, peccaſti? Quieſce. Ad te conuerſio illius, & tu illius dominaberis. Expende oro dilecte ineffabilem benignitatem, & in docendo nobis congruam humilitatem. Quia poſtquam vidit illum ab inuidentiæ affectione oppugnari, vide quomodo pro ſua bonitate congrua ipſi remedia appônit, vt ſtatim educatur, & aquis non obtegatur. Quare triſtis factus es, & quare concidit vultus tuus? quare tanta detineris triſtitia, vt & in facie mœroris magnitudinẽ oſtendas? quare cõcidit vultus tuus? quare ira te inuaſit? quare non à te ipſo quod oportebat fieri, conſideraſti? Num homini ſacrificiũ obtuliſti, qui falli poſſit? ignoras, quòd mihi nõ eſt opus vt aliquid offeratur, ſed ſanam offerẽtium mentẽ volo? Quare concidit vultus tuus? Nónne ſi rectè obtuleris, non autem rectè diuidas: hoc quidem quod in animum acce piſti, eſſe offerendum, laude dignum eſt: quòd verò non rectè diuidis, oblati repudiationem operatum eſt.

In oblationib⁹ quid ob ſeruandum ſit.

Oportet enim offerentem Deo, in diſcernendo magnam adhibere diligentiam: & quantum differunt qui offert & qui accipit, tanta & in diſcretione faciendi diuerſitas. At horum nihil tu cogitaſti, ſed vt fortuitò contigit, obtuliſti. Atque idcirco non potuerunt eſſe accepta. Nam ſicut intentio tua, cum qua oblationem feciſti, nihil diſtare exiſtimans, reiectanea fecit, quæ à te ſunt oblata: ſic fratris tui animus, qui rectus fuit, & dignum in diſcernendo ſtudium habuit, accepta illius dona fecit. Verumtamen neque ſic pœnam delicti repeto, ſed oſtendo duntaxat delictum, & conſilium affero, quod ſi accipere volueris, & peccatum emendabis, & teipſum grauioribus malis non inuolues. Itaque peccaſti, & grauiter peccaſti, ſed non punio, propter delictum. Benignus enim ſum, & nolo mortem peccatoris, ſed vt conuertatur & viuat.

Ezech. 18. 23.

Igitur quia peccaſti, quieſce, tranquillitatem facito tuarum cogitationum, & libera mentem à procellis fluctuum inundantium: cohibe tumultus illos tuos, ne addas priori peccato grauius aliud: neque conſilium aliquod immedicabile arripias. Ne

λῃς, ἥμαρτες; ἡσύχασον. πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ. σκόπει μοι ἀγαπητὲ συγκατάβασιν κηδεμονίας ἄφατον. ἐπειδὴ γὰρ ἴδεν αὐτὸν πολιορκούμενον ὡς εἰπεῖν ὑπὸ τῆς βασκανίας τοῦ πάθους, ὅρα πῶς τὴν οἰκείαν ἀγαθότητα μιμούμενος κατάλληλα αὐτῷ τὰ φάρμακα ἐπιτίθησιν, ὥστε ταχέως αὐτὸν ἀνιμήσασθαι, καὶ μὴ ὑποβρύχιον γενέσθαι. ἵνα τί φησι περίλυπος ἐγένου, καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; τίνος ἕνεκεν φησὶ τοσαύτῃ λύπῃ κατεσχέθης, ὡς καὶ διὰ τοῦ προσώπου δείκνυσθαι τῆς ἀθυμίας τὸ μέγεθος; ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; διὰ τί οὕτω σου ἥψατο τὸ γεγενημένον; τίνος ἕνεκεν οὐκ ἀφ' ἑαυτοῦ συνεῖδες τὸ δέον; μὴ γὰρ ἀνθρώπῳ προσέφερες παραλογισθῆναι δυναμένῳ; οὐκ ᾔδεις ὅτι οὐχὶ τῶν προσαγομένων ἐδεόμην, ἀλλὰ τῆς τῶν προσαγόντων ὑγιοῦς γνώμης; ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, τὸ μὲν εἰς ἔννοιαν ἐλθεῖν τοῦ προσενεγκεῖν ἐπαινετόν, τὸ δὲ μὴ ὀρθῶς διελεῖν, τοῦτο τὴν ἀποβολὴν εἰργάσατο τοῦ προσενεχθέντος; ἔδει γὰρ θεῷ προσάγοντα πολλὴν ἐπιδείξασθαι περὶ τὴν διαίρεσιν τὴν ἀκρίβειαν, καὶ ὅσον ἐστὶ τὸ μέσον τοῦ δεχομένου καὶ τοῦ προσάγοντος τοσαύτην ποιήσασθαι καὶ ἐν τῇ διαιρέσει τὴν διαφοράν. ἀλλὰ τούτων οὐδὲν ἐννοήσας σὺ ἁπλῶς τὰ τυχόντα προσήγαγες. διὰ τοῦτο οὐδὲ δεκτὰ γενέσθαι ἠδυνήθη. ὥσπερ γὰρ ἡ σὴ γνώμη, μεθ' ἧς τὴν προσαγωγὴν ἐποιήσω, οὐδὲν τὸ μέσον λογισάμενος, ἀποβληθῆναι ἐποίησε τὴν παρὰ σοῦ προσενεχθεῖσαν θυσίαν· οὕτως ἡ τοῦ ἀδελφοῦ γνώμη ὀρθὴ τυγχάνουσα, καὶ πολλὴν ἐπιδειξαμένη ἐν τῇ διαιρέσει τὴν ἀκρίβειαν, εὐπρόσδεκτα αὐτοῦ τὰ δῶρα πεποίηκεν. ὅμως οὐδὲ οὕτω δίκην ἀπαιτῶ τοῦ πλημμελήματος, ἀλλὰ δείκνυμι μόνον τὸ ἁμαρτηθὲν καὶ συμβουλὴν εἰσάγω σοι, ἣν βουληθῇς δέξασθαι συμβουλήν, καὶ τὸ ἁμαρτηθὲν διορθώσῃ, καὶ χείροσιν οὐ περιβαλεῖς σαυτὸν κακοῖς. τί οὖν ἥμαρτες, καὶ μέγα ἥμαρτες, ἀλλ' οὐ κολάζω διὰ τὸ ἁμαρτηθέν· φιλάνθρωπος γάρ εἰμι, καὶ οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ἐπεὶ οὖν ἥμαρτες, ἡσύχασον. γαλήνην ἐργάσαι σου τοῖς λογισμοῖς, καὶ ἀπαλλάγηθι τῆς τῶν κυμάτων σφοδρότητος τῶν πολιορκούντων σου τὴν διάνοιαν, κατάστειλον τὴν ταραχήν, μὴ τῷ προλαβόντι ἁμαρτήματι ἕτερον χαλεπώτερον προσθῇς, μηδὲ βουλεύσῃ μηδὲν τῶν ἀνη-

χέστων. μὴ αἰχμάλωτον αὐτὸν ἐκδῷς τῷ πονη- A ρῷ δαίμονι. ἥμαρτες, ἡσύχασον ἤδη καὶ ἐκ προοιμίων τὴν μέλλουσαν ἐπιχείρησιν κατὰ τοῦ ἀδελφοῦ γίνεσθαι, καὶ διὰ τούτων αὐτὴν προαναστέλλει τῶν ῥημάτων. ἐπεὶ γὰρ ὁ θεὸς καὶ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος ἤδη τῆς καρδίας αὐτοῦ τὰ κινήματα, τῇ πολλῇ παραινέσει καὶ τῇ τῶν ῥημάτων συγκαταβάσει κατάλληλον αὐτῷ τὴν ἰατρείαν εἰσφέρει τὰ παρ' ἑαυτοῦ ἅπαντα πληρῶν, εἰ καὶ ἐκεῖνος τὸ φάρμακον ἀπωσάμενος εἰς τὸ τῆς ἀδελφοκτονίας βάραθρον ἑαυτὸν κατεκρήμνισεν. ἥμαρτες, ἡσύχασον. μὴ νομίσῃς φησὶν, εἰ καὶ ἀπεστράφην σου τὴν θυσίαν διὰ τὴν οὐκ ὀρθὴν γνώμην, καὶ ἐπὶ B τὸ τοῦ ἀδελφοῦ δῶρον προσεδεξάμην διὰ τὴν ὑγιῆ προαίρεσιν, ὅτι τῶν πρωτείων σε ἀποστερῶ, καὶ τῆς ἀξίας τῶν πρωτοτόκων ἐκβάλλω, ἡσύχασον. εἰ γὰρ καὶ τῆς παρ' ἐμοῦ τιμῆς ἠξίωται, καὶ εὐπρόσδεκτα αὐτοῦ γέγονε τὰ δῶρα, ἀλλὰ πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ. ὥστε καὶ μετὰ τὴν ἁμαρτίαν ταύτην ἔχειν σε συγχωρῶ τὰ πρωτερήματα τῆς πρωτοτοκίας, κἀκεῖνον ὑπὸ τὴν σὴν ἐξουσίαν εἶναι κελεύω, καὶ ὑπὸ τὴν ἀρχὴν τὴν σήν. ὅρα φιλανθρωπίαν δεσπότου, πῶς αὐτοῦ βούλεται τὸν θυμὸν καὶ τὴν μανίαν καταστεῖλαι, καὶ C τὴν ὁρμὴν ἐκκόψαι διὰ τῶν ῥημάτων τούτων. τὰ γὰρ κινήματα τῆς διανοίας αὐτοῦ κατοπτεύων, καὶ τῆς φονικῆς αὐτοῦ γνώμης ἐπιστάμενος τὸ ἀπηνὲς, ἤδη προλεᾶναι αὐτοῦ βούλεται τὸν λογισμὸν, καὶ γαλήνην ἐργάσασθαι αὐτοῦ τῇ διανοίᾳ ὑποτάττων αὐτῷ τὸν ἀδελφὸν, καὶ τὴν ἐξουσίαν αὐτοῦ μὴ ὑποτεμνόμενος. ἀλλὰ καὶ μετὰ τὴν τοσαύτην ἐπιμέλειαν, καὶ μετὰ τοσαῦτα φάρμακα οὐδὲν πλέον ὁ Κάϊν ἀπώνατο. τοσοῦτόν ἐστι γνώμης διαφορὰ καὶ κακίας ὑπερβολή. ἀλλ' ἵνα μὴ ἐπὶ πλέον ἐκτείναντες τὸν λόγον δόξωμεν παρενοχλεῖν τὴν ὑμετέραν ἀγάπην, καὶ προσκο- D ρὴς ὑμῖν νομισθῇ ἡ παρ' ἡμῶν ὁμιλία, τὰς ἀκοὰς ὑμῶν ἀποκναίουσα, ἐνταῦθα καταπαύσαντες τὸν λόγον ἐκεῖνο παρακαλέσωμεν ὑμῶν τὴν φιληκοΐαν μισῆσαι τὴν τοιαύτην μίμησιν, καὶ τῇ κακίᾳ πολλὰ χαίρειν προσειπόντας τὰς τοῦ κυρίου ἐντολὰς μετ' ἐπιμελείας πολλῆς, καὶ ἐξ ὅλης καρδίας μετέρχεσθαι, καὶ μάλιστα μετὰ τοσούτων καὶ τηλικούτων παραδειγμάτων. οὐδὲ γὰρ εἰς ἄγνοιαν λοιπὸν ἡμῶν τις καταφυγεῖν δυνήσεται. εἰ γὰρ ἐκεῖνος, λέγω δὴ ὁ

teipſum maligno dæmoni captiuum tradas. Peccaſti, quieſce. Sciebat ab initio quòd fratrem hic adoriturus eſſet, & ideo antea verbis reprimit. Nam quia tanquam Deus, cui etiam arcana ſunt cognita, ſciebat cordis illius motus, multum admonendo, & verba illius infirmitati accommoda proferendo, congruam ipſi medicinam protulit, ſua omnia faciens, tametſi ille repulſo medicamento, in fratricidij profundum ſe præcipitarit. Peccaſti, quieſce. Ne putes, inquit, licet tuum auerſatus ſim ſacrificium ob prauam mentem, fratrı́ſque oblationem acceptam habuerim ob ſanam intentionem, quòd ideo primatu te deſtituam, & primogenituræ dignitatem à te auferam. Quieſce nam licèt honore ego illum proſecutus fuerim, acceptáque fuerint illius dona: verumtamen ad te conuerſio illius, & tu ipſius dominaberis. Itaque poſt peccatum hoc permitto, vt primogenituræ priuilegiis gaudeas, illúmque ſub tua poteſtate & dominio eſſe iubeo. Vide benignitatem Domini, quomodo furorem & inſaniam illius demulcere, & verbis his impetum auferre nititur. Quippe motus mentis illius videns, & crudelem ac ſanguinariam illius voluntatem ſciens, nunc præmitigare eius rationem vult, & ſerenitatem menti inducere, ſubiiciendo ipſi fratrem, & poteſtatem ipſius nihil minuendo. Verumtamen poſt tantam curam, & tanta remedia, nihil commodi amplius inde ſenſit. Tantum valet mentis diuerſitas & malitiæ excellentia. Sed ne longius protracta charitati veſter moleſtiam exhibere videatur oratio noſtra, neue tædium vobis afferre hic ſermo noſter cenſeatur & aures veſtras obtundat, hic finem dicendi facientes veſtrum audiendi ſtudium cohortemur, vt caueatis, ne iſtum imitemini, & relicta omni malitia, mandata Domini attentè ac diligenter perficiatis, præſertim poſt tanta taliáque exempla. Neque enim ad ignorantiam deinceps quiſquam noſtrum confugere poterit. Nam ſi hic,

Moralis epilog⁹.

A Cain inquam, nullum ante ſe inuenit, qui tale quiddam egerit, nihilominus tamen intolerabilem & grauem illam ſuſtinuit pœnam, quam & vos poſtea ſcietis: quid veriſſimile eſt nos paſſuros, qui eadem, vel etiam grauiora peccamus, idque poſt tantam gratiæ largitatem, nónne certum quòd ignis æternus, vermis qui non interibit, ſtridor dentium, tenebræ externæ, gehenna ignis, & aliæ ineuitabiles pœnæ nobis intentabūtur? Nulla enim defenſio nobis relicta eſt, ſi ita negligentes & ignaui fuerimus. Nónne ſcimus omnes B quæ ſint facienda, quæ non facienda? & quòd qui faciunt quæ oportet, principales coronas aſſequentur, alij autem extremæ extremorum ſuppliciorum pœnæ addicentur? Ideo precor atque obſecro ne conuentus iſte noſter inutilis ſit & fruſtra factus: ſed vt quæ auribus hauſta ſunt, eadem & factis expromantur, vt nobis bene conſcij, atque interim bona ſpe freti, difficile hoc præſentis vitæ pelagus facile traiicientes, in portum benignitatis Dei peruenire, C & ineffabilia bona illa conſequi valeamus, quæ diligentibus ſe promiſit, gratia & miſericordia vnigeniti eius filij, cum quo ſancto & adorando eius ſpiritui gloria, honor, & imperium, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Κάϊν μηδένα ἔχων τῶν πρὸ αὐτοῦ γεγονότων εὑρεῖν τοιοῦτόν τι διαπραξάμενον, ὅμως τὴν ἀνύποιστον ἐκείνην καὶ χαλεπὴν ὑπέμεινε τιμωρίαν, ὡς μετέπειτα γνωσθήσεται, τί πείσεσθαι ἡμᾶς εἰκὸς τὰ αὐτὰ ἢ καὶ χείρονα ἁμαρτάνοντας μετὰ τὴν τοσαύτην τῆς χάριτος δαψίλειαν ἢ πάντως τὸ πῦρ τὸ αἰώνιον τὸν σκώληκα τὸν ἀτελεύτητον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὸ σκότος τὸ ἐξώτερον, τὴν γέενναν τοῦ πυρὸς, καὶ τὰς ἄλλας τὰς ἀπαραιτήτους τιμωρίας ἡμᾶς ὑποδέξασθαι; οὐδὲ γὰρ ἀπολογία τις λοιπὸν ὑπολείπεται οὕτω ῥαθύμως ἡμῶν διακειμένων καὶ ἀναπεπτωκότων. μὴ γὰρ οὐκ ἴσμεν ἅπαντες τὰ πρακτέα καὶ τὰ μὴ τοιαῦτα; καὶ ὅτι οἱ μὲν τὰ πρέποντα πράττοντες τὰ πρωτεῖα τῶν στεφάνων ἕξουσιν, οἱ δὲ τοῖς ἐσχάτοις ὑποπεσόντες τῶν ἐσχάτων ὑποστήσονται κολαστηρίων τὴν καταδίκην; διὸ παρακαλῶ καὶ δέομαι καὶ ἀντιβολῶ μὴ ἀνόνητος ἡμῖν ἡ ἐνταῦθα συνέλευσις γενέσθω, ἀλλὰ τῇ τῶν λόγων ἀκροάσει καὶ τὰ ἔργα ἐπακολουθείτω, ἵνα τὴν ἀπὸ τοῦ συνειδότος ἔχοντες πληροφορίαν, καὶ ταῖς χρησταῖς ἐλπίσιν ἤδη τρεφόμενοι δυνηθῶμεν τὴν δυσχερῆ τοῦ παρόντος βίου εὐμαρῶς τὸ πέλαγος διαπλεύσαντες εἰς τὸν λιμένα καταντῆσαι τῆς τοῦ θεοῦ φιλανθρωπίας καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἐπιτυχεῖν, ὧν ἐπηγγείλατο κύριος τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ ἁγίῳ καὶ προσκυνητῷ αὐτοῦ πνεύματι δόξα κράτος τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Homilia XIX.

Et dixit Cain ad Abel fratrem ſuum, egrediamur in campum.

D QVEMADMODVM incurabilia vulnera, neque auſteris medicamentis cedunt, neque lenientibus: ita & anima ſemel captiua, ſi ſe peccato cuipiam obnoxiam fecerit, & conſiderare noluerit quæ ſibi ſunt vtilia: etiam ſi quis innumera inculcet illius auribus, nihil proficiet: ſed quaſi mortuæ eſſent aures, nullam ex admonitione ſuſcipit vtilitatem: non quia non poteſt, ſed quia non vult. Non enim

Ὁμιλία ιθ.

Καὶ εἶπε Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ· διέλθωμεν εἰς τὸ πεδίον.

Καθάπερ τὰ ἀνίατα τῶν τραυμάτων οὐδὲ τοῖς αὐστηροῖς τῶν φαρμάκων εἴκει, οὐδὲ τοῖς γλυκαίνειν αὐτὰ δυναμένοις· οὕτω καὶ ἡ ψυχὴ ἐπειδὰν ἅπαξ αἰχμάλωτος γένηται, καὶ ἑαυτὴν ἐκδῷ ᾧ τινι δήποτε πλημμελήματι, καὶ μὴ βούληται τὸ ἑαυτῆς συμφέρον συνιδεῖν, κἂν μυρία τις ἐνηχῇ, οὐδὲν κερδαίνει, ἀλλὰ καθάπερ νεκρὰς ἀκοὰς κεκτημένη οὐδεμίαν ἀπὸ τῆς παραινέσεως δέχεται τὴν ὠφέλειαν, οὐκ ἐπειδὴ μὴ δύναται, ἀλλ' ἐπειδὴ μὴ βούλεται. οὐδὲ γὰρ καθάπερ ἐπὶ

τῶν

τῶν σωματικῶν ἐστὶν ἰδεῖν, οὕτω καὶ ἐπὶ τῆς προαιρέσεως. ἐπὶ μὲν γὰρ τῶν σωματικῶν ἀκίνητα ἐστὶ πολλάκις τὰ τῆς φύσεως πάθη· ἐπὶ δὲ τῆς προαιρέσεως οὐδὲν τοιοῦτον, ἀλλ' ἔστι καὶ τὸν φαῦλον θελήσαντα μεταβαλέσθαι, καὶ γενέσθαι καλὸν, καὶ τὸν καλὸν ῥαθυμήσαντα πρὸς τὴν κακίαν ἐξολισθῆσαι. ἐπεὶ οὖν αὐτεξούσιον ἡμῶν τὴν φύσιν εἰργάσατο, τὰ μὲν παρ' ἑαυτοῦ ἅπαντα ἐπιδείκνυται, καὶ τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, καὶ τὰ ἀπόρρητα καὶ ἐν τοῖς βάθεσι τῆς διανοίας κινούμενα ἐπιστάμενος παραινεῖ, συμβουλεύει, παραστέλλει τῆς κακῆς ἐπιχειρήσεως. οὐ μὴν ἀνάγκην ἐπιτίθησιν, ἀλλὰ τὰ φάρμακα κατάλληλα ἐπιτιθεὶς ἀφίησιν ἐν τῇ γνώμῃ τοῦ κάμνοντος κεῖσθαι τὸ πᾶν. τοῦτο τοίνυν καὶ ἐπὶ τοῦ Κάϊν νῦν γέγονεν. ἀλλ' ὅρα μετὰ τοσαύτην κηδεμονίαν εἰς ὅσην μανίαν ἐξώκειλε. δέον γὰρ συνειδότα τὴν ἁμαρτίαν περὶ τὴν ταύτης διόρθωσιν λοιπὸν ἀσχοληθῆναι, ὁ δὲ καθάπερ μεθύων τῷ πάθει καὶ τῷ τραύματι τῷ προλαβόντι ἕλκος ἕτερον συνάπτων, καὶ τὴν ἰατρείαν οὐ προσιέμενος τὴν μετὰ τοσαύτης ἐπιμελείας προσαχθεῖσαν, ἀλλὰ τὸν οἰκεῖον φόνον εἰς ἔργον ἀγαγεῖν ἐπειγόμενος ἀπὸ δόλου καὶ πανουργίας τὴν ἀρχὴν ποιεῖσθαι, καὶ τοῖς πεπλανημένοις ῥήμασιν ἀπατᾷ τὸν ἀδελφόν. τοσοῦτον θηριώδης ἐστὶν ἄνθρωπος εἰς κακίαν ἀποκλίνας. ὥσπερ γὰρ μέγα καὶ τίμιον τὸ λογικὸν τοῦτο ζῶον, καὶ μάλιστα ἐπειδὰν ἐπὶ τὴν τῆς ἀρετῆς ἐργασίαν ὁρμήσῃ, οὕτως ὅταν πρὸς κακίαν ἀποκλίνῃ, τῶν ἀνημέρων θηρίων μιμεῖται τὴν ὠμότητα. ἀλλὰ καὶ εἰς τὴν ἐκείνων πάλιν μεταπεσὼν ἀγριότητα τὸ ἥμερον τοῦτο καὶ λογικὸν ζῶον ἐκ πολλοῦ τοῦ περιόντος νικᾷ τὴν ἐκείνων θηριωδίαν. ἴδωμεν οὖν καὶ ἐνταῦθα τί γίνεται. καὶ εἶπε φησὶ Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ· διέλθωμεν δὴ εἰς τὸ πεδίον. τὰ μὲν ῥήματα ἀδελφοῦ, ἡ δὲ γνώμη φονική. τί ποιεῖς ὦ Κάϊν; οὐκ οἶδας πρὸς τίνα διαλέγῃ; οὐκ ἐννοεῖς, ὅτι πρὸς ἀδελφόν σοι γίνεται ἡ διάλεξις; οὐ λογίζῃ ὅτι τὰς αὐτὰς σοι ἔλυσεν ὠδῖνας; οὐ λαμβάνεις εἰς ἔννοιαν τὸ μυσαρὸν τῆς ἐπιχειρήσεως; οὐ φοβῇ τὸν ἀδέκαστον δικαστήν; οὐ φρίττεις τὴν ἔννοιαν τοῦ τολμήματος; τίνος γὰρ ἕνεκεν εἰς τὸ πεδίον ἕλκεις τὸν ἀδελφὸν, καὶ ἔξω τῶν ἀγκαλῶν τῶν πατρικῶν ἐξάγεις;

A ſicut & in corporalibus vulneribus videri ſolet, ita & in voluntate eſt. Nam in corporalibus naturæ affectiones ſæpe immobiles ſunt, in voluntate autem non ita ſe res habet. Sæpe enim ſi voluerit, etiam qui malus eſt, mutatur, & fit bonus: & qui bonus, per ignauiam excidit, & fit malus. Quia ergo liberi arbitrij eſſe noſtram naturam fecit omnium dominus, ipſe quidem quæ ſua ſunt, omnia pro ſua miſericordia ſemper exhibet: & ſciens abſcondita in profundo mentis & arcana, hortatur, conſulit, conatúſque noſtros malos

Homo libertate arbitrij donatus.

B reprimit. Et neceſſitatem vtique nõ imponit, ſed congruis remediis appoſitis totum ſitum eſſe in ægrotantis ſententia dimittit. Hoc igitur & in Cain factum eſt nunc. Vide enim poſt tantam prouidentiam & ſui curam, in quantam inciderit inſaniam. Oportebat enim conſcium peccati ſui in emendando poſtea occupatum eſſe. At ille quaſi ebrius, affectioni & vulneri priori aliud vlcus coniungens, & medicinam tanta diligentia adhibitam non admit-

C tens, ſed deſtinatam cædem in opus perducere feſtinans, à dolo & verſutia exorditur, & fallacibus verbis fratrem decipit. Tam efferus & pecuinus eſt homo, qui in peccatum declinauit. Nam ſicut magnum & venerandum eſt rationale hoc animal, & maximè quando in virtutis viam contendit: ita quando in malum declinat, truculentarum beſtiarum imitatur crudelitatẽ. Quin & cùm feroces illarum mores aſſumpſerit, quamuis rationale & manſuetum animal ſit, multis tamen nominibus illarum ſuperat ferociam.

D Videamus igitur & de iſtis quid acciderit. [s] *Et dixit Cain,* inquit, *ad Abel fratrem ſuum: Egrediamur obſecro in campum.* Verba quidem fratris, mens autem homicidæ. Quid facis ô Cain? neſcis cui loqueris? Non cogitas, quòd tibi cum fratre colloquium eſt? Non reputas, quòd eodem quo tu vtero natus eſt? Non expendis abominabiles conatus? Non times iudicem qui falli nequit? Non horret mens tua facinus? Quamobrem in campum vocas fratrem, & foras à paternis vlnis abducis?

Quare ipſum paterno auxilio deſtituis? Quid noui accidit, quòd nunc fratrem in campum trahis? & id quod prius non feciſti, nunc facere attentas? & amicitiæ occaſione fraternam beneuolentiam prætexendo, hoſtilia quæque perpetrare deliberas? Quæ inſania? Quæ rabies? Eſto excæcatus mente, fraternæ affectionis nullam rationem habeas, neque naturam agnoſcas: cur aduerſus illum ad bellum te inſtruis, qui nulla te iniuria affecit? Quid item habes, quod parentibus obiicias, quos tanta mœſtitia affligere B deliberas, & auctor eſſe terribilis tragœdiæ, vt primus eis violentam hanc mortem oſtendas? Has illis retributiones reddis ſuæ educationis? Quæ diaboli ars in hoc te flagitium impulit? Habèſne quod dicas? An gratia Domini erga illum, ipſum aduerſum te extolli fecit? Nónne præcauens ob hanc ſanguinariam tuam mentem ſubiecit illum tibi, & ſub tua poteſtate eſſe fecit? Et dixit, quia ad te cõuerſio illius, & tu ipſius dominaberis. Nam hoc de fratris ſubiectione accipiendum eſt. C Sunt enim aliqui dicentes, quòd de ſacrificio oblato ab eo Deus dixerit talia. Ad te conuerſio, inquit, doni, & tu ipſius dominaberis: id eſt, eo frueris. Et ideo vtrunque ſenſum dixi, relinquens veſtræ prudentiæ, id quod dictis magis congruum videtur, eligendum. Mihi enim videtur de fratre eſſe dictum. 9 *Et factum eſt, cùm eſſent ipſi in campo, ſurrexit Cain contra fratrem ſuum, & occidit illum.* Horrendum facinus, periculoſi auſus, abominabile opus, incondonaD bile peccatum, efferatæ animæ ſententia. Surrexit, inquit, contra Abel fratrem ſuum, & occîdit illum. O abominabilem manum, ô dexteram miſerabilem! imò non manum oportet vocare abominabilem & miſerabilem, ſed mentem, cui membrum ſeruiuit. Dicamus igitur ſic, O audacem mentem, & abominabilem & miſerabilem, & quicquid dici poteſt, non ſatis dicetur. quomodo non obtorpuit eius manus? quomodo potuit tenere gladium, & infligere plagam? quomodo non auolauit à corpore anima?

A τίνος ἕνεκεν ἔρημον ποιεῖς τῆς πατρικῆς αὐτὸν βοηθείας; τί δὲ ξένον, ὅτι νῦν εἰς τὸ πεδίον ἕλκεις τὸν ἀδελφὸν, καὶ ὅπερ πρότερον οὐκ ἐποίησας νῦν ποιεῖν ἐπιχειρεῖς, καὶ προφάσει φιλοφροσύνης εὔνοιαν ἀδελφικὴν περιβαλλόμενος τὰ τῶν πολεμίων αὐτοῦ διαθῆναι βούλει; τίς ἡ μανία; τίς ἡ λύσσα; ἔστω πηρωθεὶς τὸν λογισμὸν οὐδένα λόγον ποιῇ τῆς ἀδελφικῆς διαθέσεως, οὔτε τὴν φύσιν αὐτὴν ἐπιγινώσκεις, ἀλλὰ πρὸς τὸν οὐδὲν ἠδικηκότα οὕτως ἐξεπολεμώθης; τί καὶ τοῖς γονεῦσιν ἔχων ἐγκαλεῖν τοσαύτῃ αὐτοὺς κατηφείᾳ περιβαλεῖν βούλει, καὶ ἀρχηγὸς γενέσθαι τοῦ φοβεροῦ τούτου δράματος, καὶ πρῶτος τὸν βίαιον B τοῦτον θάνατον αὐτοῖς ὑποδεῖξαι; ταύτας αὐτοῖς ἀποδίδως τὰς ἀμοιβὰς τῆς ἀνατροφῆς; ποία τοῦ διαβόλου μηχανὴ εἰς ταύτην σε τὴν πρᾶξιν παρώρμησε; μὴ γὰρ ἔχεις εἰπεῖν, ὅτι ἡ εὔνοια τοῦ κοινοῦ πάντων δεσπότου ἡ περὶ αὐτὸν ἐπαρθῆναι αὐτὸν ἐποίησε κατὰ σοῦ; οὐχὶ προλαβὼν διὰ ταύτην σου τὴν φονικὴν γνώμην ἐπέταξεν αὐτὸν, καὶ ὑπὸ τὴν σὴν ἐξουσίαν εἶναι πεποίηκε, καὶ εἶπεν, ὅτι πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ ἄρξεις; καὶ γὰρ περὶ τῆς τοῦ ἀδελφοῦ ὑποταγῆς C τοῦτο ἐκλαμβάνειν δεῖ. εἰσὶ γάρ τινες λέγοντες, ὅτι περὶ τῆς θυσίας τῆς προσενεχθείσης εἶπεν, ὅτι πρὸς σὲ παρ' αὐτοῦ ὁ θεὸς πρὸς αὐτὸν διελέχθη τὰ τοιαῦτα, ὅτι πρὸς σὲ ἡ ἀποστροφή φησι τοῦ δώρου, καὶ σὺ ἄρξεις αὐτοῦ, ἀντὶ τοῦ αὐτοῦ ἀπολαύσεις. διὰ τοῦτο οὖν ἀμφότερα εἰπὼν καταλιμπάνω τῇ ὑμετέρᾳ συνέσει, ἵν' ὅπερ ἂν ὑμῖν ἀκολουθότερον φανῇ, δέξησθε καὶ αὐτοὶ τοῦτο. ἐμοὶ γὰρ δοκεῖ περὶ τοῦ ἀδελφοῦ εἰρῆσθαι τοῦτο. καὶ ἐγένετό φησιν ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν. D φοβερὰ ἡ πρᾶξις, ἐπικίνδυνον τὸ τόλμημα, μυσαρὰ ἡ ἐπιχείρησις, ἀσύγγνωστον τὸ ἁμάρτημα, τεθηριωμένης ψυχῆς ἡ γνώμη. ἀνέστη φησὶν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν. ὦ μιαρᾶς χειρός· ὦ δεξιᾶς ἐλεεινῆς· μᾶλλον δὲ οὐ τὴν χεῖρα ἐλεεινὴν δεῖ καλεῖν καὶ μιαρὰν, ἀλλὰ τὴν γνώμην, ᾗ καὶ τὸ μέλος ὑπηρετήσατο. εἴπωμεν τοίνυν οὕτως· ὦ γνώμης τολμηρᾶς, καὶ μιαρᾶς καὶ ἐλεεινῆς, καὶ ὅπερ ἂν εἴποι τις, οὐδὲν ἄξιον ἐρεῖ. πῶς οὐκ ἐνάρκησεν αὐτοῦ ἡ χείρ; πῶς ἠδυνήθη κατασχεῖν τὸ ξίφος, καὶ τὴν πληγὴν ἐπαγαγεῖν; πῶς οὐκ ἀπέπτη τοῦ σώματος ἡ ψυχή;

A πῶς ἴσχυσεν εἰς ἔργον ἀγαγεῖν τὸ ἀνόσιον τοῦτο τόλμημα; πῶς οὐκ ἐπεκάμφθη, καὶ μετέβαλε τὴν γνώμην; πῶς οὐκ ἔλαβεν ἔννοιαν τῆς φύσεως; πῶς οὐκ ἐλογίσατο περὶ τῆς ἐπιχειρήσεως τὸ τέλος τοῦ γινομένου; πῶς ἤνεγκε μετὰ τὴν ἀναίρεσιν ἰδεῖν τὸ σῶμα τοῦ ἀδελφοῦ σπαῖρον ἐπὶ τῆς γῆς; πῶς ἴσχυσε θεάσασθαι σῶμα νεκρὸν ἐπὶ τῆς γῆς ἐρριμμένον, καὶ οὐ διελύθη εὐθὺς ἀπὸ τῆς θέας; Εἰ γὰρ ἡμεῖς μετὰ τοσούτων ἐτῶν ἀριθμὸν καθ' ἑκάστην ἡμέραν ὁρῶντες τοὺς τελευτῶντας, καὶ ταῦτα οἰκείᾳ τελευτῇ τῆς ζωῆς μεθισταμένους καὶ οὐδαμόθεν ἡμῖν προσήκοντας κατακλώμεθα, κἂν ἐχθροὺς ἦ καταλυόμεν τὴν ἔχθραν. B πολλῷ δὴ μᾶλλον τοῦτον εἰκὸς ἦν διαλυθῆναι, καὶ ἀθρόον ἀφεῖναι τὴν ψυχὴν ὁρῶντα τὸν πρὸ μικροῦ διαλεγόμενον ἀδελφὸν τὸν ὁμομήτριον, τὸν ὁμοπάτριον, τὸν τὰς αὐτὰς αὐτῷ λύσαντα ὠδῖνας, τὸν τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν ἐπισπασάμενον ἐξαίφνης ἄπνουν καὶ ἀνενέργητον κείμενον, καὶ ἐπὶ τῆς γῆς σπαίροντα; ἀλλ' ἴδωμεν πάλιν καὶ μετὰ τὴν ἀνοσίαν ταύτην πρᾶξιν, καὶ μετὰ τὸ τολμῆσαι τοῦτο τὸ πάσης συγγνώμης ἀπεστερημένον πόσῃ κέχρηται συγκαταβάσει καὶ φιλανθρωπίᾳ C ὁ τῶν ἁπάντων θεός. καὶ εἶπεν ὁ θεὸς πρὸς Κάϊν. αὐτὸ τοῦτο μόνον πόσης ἐστὶν ἀγαθότητος τὸν τοιαῦτα ἐργασάμενον ἀποκρίσεως ἀξιῶσαι; Εἰ γὰρ ἡμεῖς πολλάκις τοὺς ὁμογενεῖς βδελυττόμεθα, ἐπειδὰν ἴδωμεν τοιοῦτόν τι τόλμημα ἐργασαμένους· πολλῷ μᾶλλον τὸν ἀγαθὸν θεὸν ἐκπλήττεσθαι δεῖ τοσαύτῃ τῇ ἀνεξικακίᾳ κεχρημένον, καὶ μάλα εἰκότως. ἰατρὸς γάρ ἐστι καὶ πατὴρ, φιλόστοργος, καὶ ὡς μὲν ἰατρὸς πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε τοὺς ἐν χαλεπαῖς ἀρρωστίαις τυγχάνοντας πρὸς ὑγίειαν D ἐπαναγαγεῖν· ὡς δὲ πατὴρ φιλόστοργος τοὺς τὴν οἰκείαν εὐγένειαν διὰ ῥαθυμίαν προδεδωκότας βούλεται διὰ τῆς πατρικῆς φιλοστοργίας εἰς τὴν προτέραν ἀγαγεῖν εὐημερίαν. ἐπεὶ οὖν πολὺ τῆς ἀγαθότητός ἐστιν αὐτοῦ τὸ μέγεθος, βούλεται καὶ πρὸς τὸν τὰ τοιαῦτα τετολμηκότα πολλὴν τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπιδείξασθαι. Φησὶ γὰρ πρὸς αὐτόν· ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; πολλὴ καὶ ἄπειρος καὶ ἀνεξικακία τοῦ θεοῦ. οὐ γὰρ ἐπειδὴ ἠγνόει ἠρώτα, ἀλλ' ὥσπερ ἐπὶ τοῦ πατρὸς αὐτοῦ πεποίηκεν. οὐδὲν γὰρ κωλύει πάλιν τὸ αὐτὸ εἰπεῖν.

A quomodo valuit operari tam nefandum facinus? quomodo non inflexa eſt, & mutauit ſententiam? quomodo non cogitauit naturam? quomodo non expendit antequam adoriretur nefas, operis finem? quomodo ferre potuit poſt facinus, vt videret corpus fratris ſpiritum efflans & palpitans ſuper terram? quomodo potuit videre mortuum & proiectum ſuper terram, & à ſpectaculo non ſtatim periit? Nam quum nos poſt tot annorum numerum, cùm quotidie morientes videmus, quamuis naturali morte, & B ſanguine nihil nobis iunctos, viribus deſtituimur: & ſi inimicus ſit, inimicitiarum finem facimus, quantò magis hunc diſperire par erat, & ſtatim expirare debuiſſe animam, cùm videret fratrem, qui paulò antea loquebatur, eadem matre natum, eodem patre genitum, eiuſdem vteri partu editum, Deo ſingulari gratia acceptum, ſubitò abſque ſpiritu & operatione iacentem, & ſuper terram palpitantem? At videamus poſt nefarium illud facinus, C & poſt flagitium nulla venia dignum, quanta iterum verborum humilitate, quantáque benignitate omnium Deus vtitur. *Et dixit Deus ad Cain.* Idipſum vel ſolum quantæ bonitatis fuerit, quòd eum qui tanta commiſerit, colloquio dignatur? Nam cùm nos ſæpe cognatos noſtros abominemur, ſi quando viderimus eos tale quoddam facinus perpetraſſe: quantò magis bonum Deum obſtupeſcimus tanta vti tolerantia? & valde meritò. Medicus enim eſt, & clementiſſimus pater. D Nam & ſicut medicus nihil non facit vt graui morbo impliciti confirmentur: & ſicut clementiſſimus pater filios, qui nobilitatem ſuam ignauia amiſere, paterna indulgentia ad priſtinam fœlicitatem reducere cupit. Proinde quia immenſæ bonitatis eſt, iterum benignitatem ſuam illi, qui talia fuerat auſus, oſtendere vult. Dicit enim illi. *Vbi eſt Abel frater tuus?* Multa & immenſa Dei patientia eſt. Non enim interrogat quaſi ignoret: ſed idipſum agit, quod & patri illius fecerat. Nihil enim obſtat, quin idē denuò dicatur:

Exaggerat ſcelus parricidæ Cain.

Nam quemadmodum illum, cùm ſe præ confuſione nuditatis tegeret, rogabat: Vbi es? non ignorans, ſed fiduciæ occaſiones illi præbens, vt per confuſionem peccati, delictum ipſius ablueretur: hunc enim morem habet, vt ab initio à nobis peccatorum exigat confeſſionem, & veniam præbeat: ita & nunc rogat Cain, & inquit: Vbi eſt Abel frater tuus? Ignorantiam ſimulat benignus dominus, hac interrogatione eum, qui talia commiſerat, præparans, vt ad peccati confeſſionem adduceretur, poſſetque veniam fortè & miſericordiam aſſequi. Vbi eſt Abel frater tuus? Quid igitur ad hæc ingratus & ſtupidus, temerarius & impudens? Debebat cogitare quòd Deus non ignarus rei rogaret, ſed ab ipſo confeſſionem criminis exigeret: & nos doceret, nunquam cauſa non examinata ſententiam contra fratres debere ferri, & memori mente ſeruare conſiliũ Domini: & quòd hũc illius conatum reprimens, & cõſcius etiam antequam eueniret, quid ille habebat in animo remediis præſeruatoriis vſus eſt. Oportebat his omnibus cogitatis finem facere inſaniæ, & dicere quid factum, & oſtẽdere medico vlcus, & accipere ab illo pharmaca. Verùm ille iterum auget vulnus, & vlcus increſcere facit, & dixit, inquit. *Haud ſcio.* Vide reſponſi impudentiã. Num enim homini loqueris, quem fortè decipere poſſes? Neſcis infelix & miſer, quis eſt qui tibi loquitur? Non cogitas, quòd ob bonitatẽ magnam quærit, occaſionem quandam inuenire cupiens, per quam ſuam tibi declaret humanitatem, & vt poſtea tentatis à ſe omnibus, nullam habens defenſionem, pœnæ teipſum obnoxium conſtituas? *Et dixit*, inquit, *Haud ſcio. Num cuſtos fratris mei ſum ego?* Cogita hîc obſecro conſcientiæ accuſationem, & quomodo qui conſcientia impellebatur (vt ita dicam) nec vbi dixerit, haud ſcio, quieſcere poteſt, ſed ſubdit: Num cuſtos fratris mei ſum ego? tantum non ſeipſum iudicans. Tametſi, quia grandior ætate, etiam ſecundùm naturæ leges cuſtodem fraternæ ſalutis eum eſſe oportebat.

Sup. ca. 3.9.

Accuſatio conſcientiæ quam grauis.

A καθάπερ ἐκεῖνον ὁρῶν διὰ τὴν αἰσχύνην τῆς γυμνότητος κρυπτόμενον ἠρώτα, ποῦ εἶ, οὐκ ἀγνοῶν, ἀλλὰ παρρησίας αὐτῷ ἀφορμὰς διδούς, ὥστε διὰ τῆν ὁμολογίας τοῦ πλάσματος ἀπονίψασθαι τὸ πλημμέλημα· τοῦτο γὰρ ἔθος αὐτῷ ἄνωθεν καὶ ἐξ ἀρχῆς τὴν ὁμολογίαν ἀπαιτεῖν παρ' ἡμῶν τῶν ἡμαρτημένων, καὶ συγχώρησιν παρέχειν· ἐρωτᾷ καὶ νῦν τὸν Κάϊν καί φησι, ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; ἄγνοιαν προσποιεῖται ὁ φιλάνθρωπος δεσπότης, ἵνα διὰ τῆς ἐρωτήσεως παρασκευάσῃ τὸν τοιαῦτα εἰργασμένον ἐπειχθῆναι πρὸς τὴν ὁμολογίαν τοῦ πλημμελήματος, καὶ δυνηθῇ συγγνώμης τινός, B ἴσως καὶ φιλανθρωπίας ἐπιτυχεῖν. ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; τί οὖν ὁ ἀγνώμων καὶ ἀναίσθητος; ὁ ἰταμὸς καὶ ἀναίσχυντος; δέον ἐννοῆσαι, ὅτι οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ τὴν παρ' αὐτοῦ ἀπαιτῶν ἀπολογίαν, καὶ ἡμᾶς παιδεύων μηδέποτε πρὸ τῆς ἀποδείξεως καταψηφίζεσθαι τῶν ἀδελφῶν τῶν ἡμετέρων, καὶ εἰς ἔννοιαν ἐλθεῖν τῆς τοῦ δεσπότου συμβουλῆς, καὶ ὅτι ταύτην αὐτοῦ τὴν ἐπιχείρησιν ἀναστέλλων, καὶ εἰδὼς καὶ πρὸ τῆς ἐκβάσεως τὴν ἐν τῇ διανοίᾳ αὐτοῦ κίνησιν προφυλακτικοῖς ἐχρήσατο φαρμάκοις· δέον ταῦτα πάντα C ἐννοήσαντα μέχρι τούτου στῆσαι τὰ τῆς μανίας, καὶ εἰπεῖν τὸ γεγονός, καὶ δεῖξαι τῷ ἰατρῷ τὸ ἕλκος, καὶ δέξασθαι τὰ παρ' αὐτοῦ φάρμακα· ὁ δὲ πάλιν ἐπιτείνει τὰ τραύματα καὶ τὴν νομὴν τῶν ἑλκῶν βαρυτέραν ἐργάζεται. καὶ εἶπέ φησιν, οὐ γινώσκω. ὅρα ἀποκρίσεως ἀναίδειαν. μὴ γὰρ ἀνθρώπῳ διαλέγῃ, ὃν ἴσως καὶ παραλογίσασθαι δυνατὸν ἦν; οὐκ οἶδας ἄθλιε καὶ ταλαίπωρε, τίς ἐστιν ὁ πρός σε διαλεγόμενος; οὐ λογίζῃ, ὅτι διὰ πολλὴν ἀγαθότητα πυνθάνεται βουλόμενος ἀφορμήν τινα εὑρεῖν, δι' ἧς τὴν οἰκείαν ἐπιδείξε- D ται φιλανθρωπίαν; καὶ ἵνα λοιπὸν τὰ παρ' ἑαυτοῦ ἅπαντα ἐπιδειξαμένου μηδεμίαν ἔχῃς ἀπολογίαν τῇ τιμωρίᾳ σαυτὸν ὑπεύθυνον καταστήσας; καὶ εἶπε, φησιν, οὐ γινώσκω. μὴ φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ; ἐννόει μοι ἐνταῦθα τοῦ συνειδότος τὴν κατηγορίαν, καὶ ὅπως ὠθούμενος ὡς εἰπεῖν ὑπὸ τῆς συνειδήσεως οὐκ ἔστη μέχρι τοῦ εἰπεῖν, οὐ γινώσκω· ἀλλ' ἐπήγαγε, μὴ φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ, μονονουχὶ ἑαυτὸν ἐλέγχων. καίτοι εἰ σοι κατὰ ἀκολουθίαν ἅπαντα ἐπέπρακτο καὶ κατὰ τὸν τῆς φύσεως νόμον, ἐχρῆν σε καὶ φύλακα εἶναι τῆς τοῦ ἀδελφοῦ σωτηρίας.

A τοῦτο γὰρ ἡ φύσις ἐπέτρεπε, καὶ ἔδει τοὺς τὰς αὐτὰς λυσαμένους ὠδῖνας ἀλλήλων φύλακας εἶναι. εἰ δὲ μὴ τοῦτο ἐβούλου, μηδὲ ἤθελες εἶναι φύλαξ τοῦ ἀδελφοῦ, τίνος ἕνεκεν καὶ σφαγεὺς ἐγένου, καὶ τὸν οὐδὲν ἠδικηκότα ἐφόνευσας, καὶ ἐνόμισας μηδὲ τὸν ἐλέγχοντα ἔχειν; ἀλλ' ἀνάμεινον, καὶ ὄψει αὐτόν σου κατήγορον γινόμενον τὸν ἀνῃρημένον, καὶ νεκρὸν κείμενόν σου τοῦ ζῶντος καὶ βαδίζοντος λαμπρᾷ τῇ φωνῇ κατηγοροῦντα. καὶ εἶπεν ὁ θεός τί ἐποίησας τοῦτο; πολλὴ καὶ τοῦ ῥήματος ἡ ἔμφασις. τίνος ἕνεκέν φησι τοῦτο διεπράξω; τί ἐποίησας τοῦτο τὸ ἀνόσιον τόλμημα, τὸ μιαρὸν ἐπιχείρημα, τὴν πρᾶξιν τὴν ἀσύγγνωστον, τὴν μανίαν B τὴν ἀφόρητον, τὸν φόνον τὸν καινὸν καὶ ξένον, καὶ πρῶτον τῷ τῶν ἀνθρώπων βίῳ εἰσενεχθέντα διὰ τῆς σῆς δεξιᾶς; τί ἐποίησας τοῦτο τὸ μέγα καὶ φοβερὸν, τὸ μὴ ἔχον ἑτέραν ὑπερβολὴν ἁμαρτήματος; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρὸς μὲ ἐκ τῆς γῆς. μὴ γὰρ ἄνθρωπός εἰμι φησιν ἐκείνης μόνης τῆς φωνῆς τῆς διὰ γλώττης προφερομένης ἀκούων; θεός εἰμι δυνάμενος καὶ δι' αἵματος ὑπακούειν βοῶντος, καὶ χαμαί που κάτω κειμένου. ἰδοὺ γὰρ πόσον ἵπταται τοῦ αἵματος τούτου ἡ φωνὴ, ὡς ἀπὸ τῆς C γῆς εἰς τὸν οὐρανὸν ἀναβαίνειν, καὶ παρατρέχειν τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ τὰς ἀνωτέρω δυνάμεις, καὶ παρ' αὐτὸν ἵστασθαι τὸν θρόνον τὸν βασιλικὸν, καὶ τὴν σὴν μιαιφονίαν ἀποδύρεσθαι, καὶ τῆς ἀνοσίας πράξεως κατηγορεῖν. φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρὸς μὲ ἐκ τῆς γῆς. μὴ γὰρ φησιν εἰς ξένον καὶ ἀλλότριον τὴν παρανομίαν ταύτην εἰργάσω; εἰς τὸν ἀδελφὸν τὸν σὸν, τὸν οὐδὲν ἠδικηκότα. ἀλλ' ἴσως ἡ περὶ ἐμοῦ εὔνοια τὸν φόνον αὐτοῦ τοῦτον ἔτεκε, καὶ μὴ δυνάμενος ἐμοὶ μάχεσθαι εἰς ἐκεῖνον τὸν ἀκάθεκτον θυμὸν ἐξεκένω- D σας. διά τοι τοῦτο τοιαύτην ἐπάξω σοι τιμωρίαν, ὡς μηδὲ λήθῃ παραδοθῆναι τὸ τολμηθὲν, καὶ τὴν διὰ τοῦτο ἐπενεχθεῖσαν τιμωρίαν· ἵνα τὰ εἰς σὲ γινόμενα σωφρονισμὸς γένηται τοῖς μετὰ ταῦτα ἅπασι. καὶ νῦν ἐπειδὴ τοῦτο εἰργάσω, καὶ εἰς ἔργον ἤγαγες τὰ κακῶς σοι δόξαντα, καὶ ὑπὸ τοῦ φθόνου τοῦ πολλοῦ εἰς τὸν φόνον ὥρμησας, ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς. ὁρᾷς τῆς κατάρας τὴν διαφορὰν ἀγαπητέ; μὴ ἁπλῶς παραδράμῃς.

Hoc enim natura decreuit, & oportet eos qui ex eodem vtero nati ſunt, mutuò eſſe cuſtodes. Quòd ſi hoc nolebas, & noluiſti cuſtos eſſe fratris: quare ergo illius interfector es factus? & eum qui te nulla affecit iniuria, perdidiſti? & putaſti nec fore aliquem qui te de hoc reprehenſurus eſſet. Sed expecta, & videbis accuſatorem tuum fore eum, qui interfectus & proſtratus iacet, & te viuente & ambulante, clara voce clamaturum. *Et dixit Deus: Quid feciſti hoc?* Magna huius verbi recondita vis eſt, & emphaſis. Quare, inquit, hoc operatus es? Quare feciſti nefarium hoc facinus? abominabile opus, factum inexpiabile, inſaniam intolerabilem, cædem nouam & raram, iam primùm hominum vitæ tua dextra inuectam? Cur feciſti hoc tam magnum, tam terribile, quo non eſt peccatum aliud grauius? *Vox ſanguinis fratris tui clamat ad me de terra.* Num enim homo ſum, inquit, qui ſolam illam vocem audiam, quæ per linguam profertur? Deus ſum, qui poſſum & per ſanguinem audire clamantem, & alicubi proſtratum, & in terra iacentem. Ecce quouſque volat vox ſanguinis huius. Et vſque in cœlum à terra aſcendit, & prætercurrens cœlum, cœlóque ſuperiores virtutes, regio throno aſſiſtit, & tuum deplorat homicidium, ac nefarium hoc ſcelus accuſat. Vox ſanguinis fratris tui clamat ad me de terra. Num enim, inquit, in alienũ & hoſpitem iniquitatem hanc patraſti? in fratrem tuũ, illum qui nulla te iniuria affecerat, ſæuiiſti. Sed fortè mea beneuolentia hanc illi cædem peperit, & cùm non poſſes mecum pugnare, in illũ effudiſti furorem tuum indomitum. Eapropter talem tibi pœnam infero, vt audax iſtud facinus obliuioni tradi nõ poſſit, & quæ in te fiunt, omnibus poſthac ſecuturis caſtigatio & admonitio ſint. Et nunc quia hoc feciſti, & malam voluntatẽ ad effectum deduxiſti, & per inuidiam cædem commiſiſti: *Maledictus tu de terra.* Vides maledictionis diuerſitatem, dilecte? Ne igitur inconſideranter hinc tranſeas,

ſed ex maledicti magnitudine, flagitij immanitatem expende. Nam quantò maius ſit peccatum hoc præuaricatione primigenæ hominis, ex maledictionis varietate ſcire volenti licet. Illic enim inquit: Maledicta terra in operibus tuis: & in terram effuſa eſt maledictio, oſtenſa ſua in hominem cura. Hîc verò quia res pernicioſa, facinus iniquum, & inexpiabile flagitium, ipſe pœnam luit. Et nunc maledictus, inquit, tu de terra. Nam quia fermè eadem egit quæ ſerpens, & quaſi organum ſeruiuit diaboli ſententiæ: & ſicut ille fraude mortalitatem introduxit, ſic & hic deceptum fratrem & in campum eductum, armata in illum manu occidit. Et propterea ſicut illi dixit, Maledictus tu inter omnes beſtias terræ: ſic & huic, qui eadem quæ ille operatus fuit. Nam ſicut diabolus, qui odio & inuidia mouetur, ferre non potuit tot ineffabilia beneficia, quæ in hominem ab initio collocata ſunt, inuidia ad deceptionem extimulatus eſt, quæ mortem induceret: ita & hîc Deum erga fratrem ſuum videns beneuolentia magna affici, ex inuidia ad homicidium proſiliit. Idcirco dicit illi: Et nunc maledictus tu de terra. *Maledictus*, inquit, *eris, & terræ illi quæ aperuit os ſuum, vt ſanguinem fratris tui de manu tua exciperet.* Et terræ illi, inquit, eris maledictus, quæ ſuſtinuit tali ſanguine irrigari, qui tanta abominatione effuſus eſt. Dein ſcriptura diuina maledictionem interpretans, manifeſtius dicit: *Quando operatus fueris terram, non adyciet vt det tibi robur ſuum.* Magna pœnæ ſpecies, & graue indignationis pondus. Laborem quidem, inquit, ſuſtinebis, & quæ tu facere potes, omnia facies: & operaberis terram tali ſanguine coinquinatam: non ſenties autem aliquem fructum tam multorum laborum, ſed inutilis erit omnis labor tuus quem feceris. Neque hic finis erit pœnæ, ſed & gemens & tremens eris ſuper terram. Rurſus & hoc maximum eſt ſupplicij genus aſſiduò gemere ac tremere. Quia enim, inquit, abuſus es robore corporis, & membrorum viribus,

Gen. 3. 17.

A ἀλλ' ἐκ τοῦ μεγέθους τῆς κατάρας ἐννόει τοῦ τολμήματος τὴν ὑπερβολήν, καὶ ὅσῳ μεῖζον τοῦτο τὸ ἁμάρτημα τῆς παραβάσεως τοῦ πρωτοπλάστου ἐκ τῆς διαφορᾶς τῆς κατάρας ἔξεστι τῷ βουλομένῳ συνιδεῖν. ἐκεῖ μὲν γάρ φησιν, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, καὶ ἐπὶ τὴν γῆν τὴν κατάραν ἐξέχεε, τὴν κηδεμονίαν τὴν περὶ τὸν ἄνθρωπον ἐπιδεικνύμενος. ἐνταῦθα δὲ ἐπειδὴ ἡ πρᾶξις ὀλεθρία, καὶ τὸ τόλμημα παράνομον, καὶ τὸ ἐπιχείρημα ἀσύγγνωστον αὐτὸς τὴν κατάραν δέχεται· ἐπικατάρατος γάρ φησι σὺ ἀπὸ τῆς γῆς. ἐπειδὴ γὰρ τὰ αὐτὰ σχεδὸν τῷ ὄφει εἰργάσατο καθάπερ ὀργάνῳ ὑπηρετησαμένῳ B τῇ τοῦ διαβόλου γνώμῃ, καὶ καθάπερ ἐκεῖνος διὰ τῆς ἀπάτης τὴν θνητότητα εἰσήγαγεν· οὕτω καὶ οὗτος ἀπατήσας τὸν ἀδελφόν, καὶ εἰς τὸ πεδίον ἐξαγαγὼν τὴν δεξιὰν ὥπλισε κατ' αὐτοῦ, καὶ τὸν φόνον εἰργάσατο. διὰ τοῦτο ὥσπερ ἐκείνῳ ἔλεγεν· ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. οὕτω καὶ τούτῳ ἐπειδὴ τὰ αὐτὰ ἐκείνῳ εἰργάσατο. ὥσπερ γὰρ ὁ διάβολος ὑπὸ φθόνου καὶ βασκανίας κινούμενος, καὶ οὐ φέρων τὰς ἀφάτους εὐεργεσίας τὰς εἰς τὸν ἄνθρωπον γεγενημένας, ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἀπὸ τοῦ φθόνου ἐπὶ τὴν ἀπάτην ὥρμησε τὴν τὸν C θάνατον εἰσάγουσαν· οὕτω καὶ οὗτος θεασάμενος εὐνοϊκῶς τὸν δεσπότην πρὸς τὸν ἀδελφὸν διακείμενον, ἀπὸ τοῦ φθόνου ἐπὶ τὸν φόνον ὥρμησε. διό φησι πρὸς αὐτόν· ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς. κατηραμένος ἔσῃ φησὶ καὶ αὐτῇ τῇ γῇ ἐκείνῃ ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου, καὶ αὐτῇ τῇ γῇ ἔσῃ φησὶ κατηραμένος τῇ ἀναγκαζομένῃ τοιούτῳ αἵματι ἀρδευθῆναι τοσούτου μύσους πεπληρωμένῳ, καὶ ὑπὸ χειρὸς οὕτως ἀνοσίας ἐκχεομένῳ. εἶτα ἑρμηνεύουσα ἡ θεία γραφὴ σαφέστερον τὴν κατάραν φησίν· ὅτε ἐργᾷ τὴν γῆν, D καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι. μέγα τιμωρίας εἶδος, καὶ πολὺς ὄγκος τῆς ἀγανακτήσεως. τὸν μὲν πόνον φησὶν ὑπομενεῖς, καὶ τὰ σαυτοῦ ἅπαντα ἐπιδείξῃ, καὶ ἐργάσῃ τὴν γῆν τοιούτῳ αἵματι μολυνθεῖσαν, οὐ καρπώσῃ δέ τινα αἴσθησιν τῶν πολλῶν πόνων ἐκείνων, ἀλλ' ἀνόνητος ἔσται σοι πᾶς ὁ κόπος, ὃν ἂν ἐπιδείξῃ. καὶ οὐ μέχρι τούτου τὰ τῆς τιμωρίας στήσεται, ἀλλὰ καὶ στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. πάλιν καὶ τοῦτο μέγιστον τιμωρίας εἶδος τὸ διηνεκῶς στένειν καὶ τρέμειν. ἐπειδὴ γὰρ οὐκ εἰς δέον ἐχρήσω φησὶ τῇ ἰσχύι τοῦ σώματος, οὔτε τῇ τῶν μελῶν εὐεξίᾳ;

διὰ τοῦτο διηνεκῶς σοι τὸν σάλον καὶ τὸν τρόμον ἐπιτίθημι· ἵνα μὴ μόνον αὐτὸς ἔχῃς ἀδιάλειπτον νουθεσίαν καὶ ὑπόμνησιν τῆς ἀνοσίας πράξεως ταύτης, ἀλλ' ἵνα καὶ πάντες οἱ εἰς σὲ βλέποντες διὰ τῆς ὄψεως καθάπερ διὰ φωνῆς τινος λαμπρᾶς βοώσης μανθάνωσι μὴ τοιαῦτα τολμᾶν, ἵνα μὴ τὰ τοιαῦτα πάθωσι; καὶ ἡ εἰς σὲ τιμωρία διδάσκαλος ἅπασι γένηται μηκέτι τοιούτῳ αἵματι τὴν γῆν μολῦναί ποτε. διά τοι τοῦτο οὐδὲ σύντομόν σοι τὴν τελευτὴν ἐπάγω, ἵνα μὴ λήθῃ παραδοθῇ τὸ γεγονός, ἀλλὰ ζωὴν θανάτου βαρυτέραν ὑπομένειν σε ποιῶ· ἵνα δι' αὐτῶν τῶν ἔργων μάθῃς οἷα ἐτόλμησας. καὶ εἶπε Κάϊν πρὸς κύριον· μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με. μέγα τι καὶ σφόδρα λυσιτελὲς πρὸς τὴν σωτηρίαν τὴν ἡμετέραν ἔξεστιν ἐντεῦθεν καταμαθεῖν, ἐὰν βουλώμεθα προσέχειν. καὶ εἶπε Κάϊν μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με. ἰδοὺ ὁμολογία ἀπηρτισμένη· τοιοῦτον γάρ ἐστι φησὶ τὸ ἁμάρτημα τὸ παρ' ἐμοῦ γεγονός, ὡς μὴ δύνασθαι συγχώρησιν δέξασθαι. ἰδοὺ φησὶν ἐξωμολογήσατο, καὶ ἐξωμολογήσατο μετὰ πολλῆς τῆς ἀκριβείας· ἀλλ' οὐδὲν τὸ κέρδος, ἀγαπητέ· ἄκαιρος γὰρ ἡ ἐξομολόγησις. τοῦτο γὰρ ἐχρῆν ποιῆσαι ἐν τῷ καιρῷ τῷ δέοντι, ὅτε δυνατὸν ἦν καὶ τῆς παρὰ τοῦ δικαστοῦ τυχεῖν φιλανθρωπίας. μνημονεύσατέ μοι νῦν ὧν πρὸ μικροῦ ἔλεγον, ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν, καὶ τὸ κριτήριον ἐκεῖνο τὸ ἀδέκαστον, καὶ ἡμῶν ἕκαστος μεταγνώσεται ἐπὶ τοῖς ἡμαρτημένοις ὁρῶν πρὸ τῶν ὀφθαλμῶν τὰ φοβερὰ ἐκεῖνα κολαστήρια, καὶ τὰς εὐθύνας τὰς ἀπαραιτήτους· ἀλλ' οὐδεμίαν ἕξει τὴν ὄνησιν προδεδομένος ὑπὸ τοῦ καιροῦ. ἡ γὰρ μετάνοια πρὶν τὴν τιμωρίαν ἐπαχθῆναι καιρὸν ἔχει καὶ ἰσχὺν ἄφατον. διὸ παρακαλῶ ὅτε δυνατὸν ἐνεργῆσαι τὸ θαυμαστὸν τοῦτο φάρμακον, τότε τὴν παρ' αὐτοῦ ὠφέλειαν καρπωσώμεθα, καὶ ὡς ἔτι ἐσμὲν ἐν τῷ παρόντι βίῳ τὴν ἀπὸ τῆς μετανοίας ἰατρείαν ἑαυτοῖς ἐπαγώμεθα, μαθόντες ἀκριβῶς ὡς οὐδὲν ἡμῖν ὄφελος ἔσται τότε μεταγινώσκουσι μετὰ τὸ λυθῆναι τὸ θέατρον, καὶ τὸν τῶν παλαισμάτων καιρὸν ἀναιρεθῆναι. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. δέον γὰρ ἡνίκα ἠρωτᾶτο παρὰ τοῦ δεσπότου ποῦ Ἄβελ ὁ ἀδελφός σου, τότε ὁμολογῆσαι τὸ πλημμέλημα, καὶ προσπεσεῖν καὶ δεηθῆναι καὶ συγγνώμην αἰτῆσαι· ὁ δὲ τότε μὲν τὴν ἰατρείαν ἀπεπέμψατο·

A propter hoc continuum hunc tremorem & motum tibi infero, vt non ſolum ipſe habeas iugem admonitionem & memoriam huius nefaſti ſceleris: ſed vt & omnes qui te vident, viſo te, quaſi clara illis voce annunciaretur, diſcant ne talia audeant: & pœna tua alios doceat omnes, ne vltrà tali ſanguine terram inceſtent: & præterea non breui te morte plectam, vt ne factum obliuioni tradatur: ſed vitam morte grauiorem ſuſtinere te faciam, vt per hæc diſcas qualia perpetraueris.

12 *Et dixit Cain domino: Maior eſt iniquitas mea, quàm vt dimittar ego.* B Magnum aliquid, & ſaluti noſtræ plurimum conducibile hic, ſi attenti fuerimus, licebit addiſcere. Et dixit Cain: Maior eſt cauſa mea, quàm vt dimittar ego. Ecce abſoluta confeſſio. Tale tantúmque eſt, inquit, peccatum quod commiſi, vt non poſſim accipere veniam. Ecce, inquit aliquis, confeſſus eſt, & ſic confeſſus eſt, vt omnem excederet diligentiam: ſed nihil inde lucri, dilecte. Intempeſtiua enim confeſ-
C ſio eſt. Hoc enim facere oportebat tempore cõgruo, quando adhuc impetrari poterat à iudice miſericordia. Memores nunc eſtote oro, quod ante breue tempus dixi, quòd terribili illo die, & iudicium illud nõ poterit deprauari, & vnuſquiſque noſtrum ob peccata pœnitentia ducetur, videns ante oculos terribilia illa tormenta, & ineuitabiles pœnas, ſed nullam eſt inde habiturus vtilitatem, tempore deſtitutus. Pœnitentia enim priuſquam pœna inferatur, tempus habet, & ineffabilem vim. Proinde obſecro, cùm adhuc efficax
D eſt mirificum hoc pharmacum, commoda & fructus inde percipiamus, & cùm adhuc ſumus in præſenti vita, pœnitentiæ medicamen non aſpernemur, ſcientes liquidò, quòd nihil tunc nobis pœnitudo proderit, cùm ſolutum fuerit ſpectaculum, & tempus certaminum ablatum. Verum ad inſtitutum redeamus. Oportebat enim tunc cùm interrogaretur à domino, Vbi eſt Abel frater tuus? confiteri peccatum & procidere, & orare, & veniam petere. Ipſe verò tunc quidem medicinam reiecit:

Pœnitentia ante pœnam vtilis.

nunc autem poſt ſententiam, poſt finem omnibus impoſitum, poſtquam clara voce accuſatus eſt à ſanguine in terra iacentis, confitetur, nihilque inde lucrifacit. Vnde propheta dicebat : Iuſtus ſuiipſius accuſator in principio ſermonis. Et hic quoque ſi præueniſſet domini reprehenſionem, omnino miſericordiam conſecutus fuiſſet, propter immenſam domini benignitatem. Nullum enim eſt peccatum quantumcunque graue ſit, quod illius miſericordiam vincat: modo tempore debito pœnitentiam agamus, & veniam petamus. Et dixit Cain: Maior eſt cauſa mea, quàm vt dimittar ego. Sufficiens confeſſio, ſed intempeſtiua. *Et dixit : Si eieceris me hodie à facie terræ, & à facie tua abſcondar, & ero gemens & tremens ſuper terram. Et erit, omnis qui inuenerit me, occidet me.* Vide quàm miſerabilia verba, tum quia intempeſtiua, tum quia tempore elapſo nullum fructum afferentia. Et dixit : Si eieceris me hodie à facie terræ, & à facie tua abſcondar, & ero gemens & tremens ſuper terram. Et erit, omnis qui me inuenerit, interficiet me. Si in terra, inquit, maledictum me feciſti, & ipſe me auerſaris, tantæque pœnæ tradidiſti me, ita vt gemam & tremã: nihil prohibebit poſtea, quin quiſquis in me vel fortuito inciderit, nudatum tua gratia, interficiat. Facilè inuadere me poterit, inquit, ſi quis interficere volet. Neque enim ipſe obluctari potero, tam diſſoluta imbecilliáque membra circumferens, & vndique tremiſcens: inſuper & hoc, quòd ſciunt omnes tua me gratia deſtitutum, ſi quis vult occidere, vt ad cædem meam proſiliat, armabit. Quid ergo miſericors & bonus dominus? 14 *Et dixit illi dominus Deus: Non ſic.* Ne putes, inquit, hæc ita fieri. Neque enim licet, vt te, quiſquis volet, interficiat. Extendam enim vitam tuam, maiórque inde tibi dolor erit, & relinquam te poſteritati magiſtrum, vt tui ſpectaculum illi ſit admonitio & caſtigatio, nullúſque exemplum tuum ſequatur. *Et dixit dominus Deus : Non ſic. Omnis qui occiderit Cain, ſepties vltione exquiſita ſoluet.*

Prou.18. 17.

A νῦν δὲ μετὰ τὴν ἀπόφασιν μετὰ τὸ λαβεῖν τέλος ἅπαντα, μετὰ τὸ λαμπρᾷ τῇ φωνῇ τὴν κατηγορίαν ὑπὸ τοῦ αἵματος γενέσθαι τοῦ κειμένου, ἐξομολογεῖται, καὶ οὐδὲν ἐντεῦθεν κερδαίνει. διὸ καὶ ὁ προφήτης ἔλεγε· δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. καὶ οὗτος τοίνυν εἰ προέλαβε τὸν τοῦ δεσπότου ἔλεγχον, ἴσως ἂν ἠξιώθη τινὸς φιλανθρωπίας διὰ τὴν ἄπειρον αὐτοῦ ἀγαθότητα. οὐδὲν γάρ ἐστιν ἁμάρτημα, κἂν σφόδρα μέγα ᾖ, νικῶν αὐτοῦ τὴν φιλανθρωπίαν, ἐὰν ἡμεῖς ἐν καιρῷ τῷ δέοντι τὴν μετάνοιαν ἐπιδειξώμεθα, καὶ τὴν συγγνώμην αἰτῶμεν. καὶ εἶπε Κάϊν μείζων ἡ αἰτία
B μου τοῦ ἀφεθῆναί με. ἱκανὴ ἐξομολόγησις, ἀλλ' ἄκαιρος. καὶ εἶπεν, εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς. καὶ ἔσται πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με. ὅρα πῶς ἐλεεινὰ τὰ ῥήματα, καὶ διὰ τὴν ἀκαιρίαν, καὶ διὰ τὸ παραδεδόσθαι ὑπὸ τοῦ καιροῦ οὐδεμίαν τὴν ἰσχὺν κεκτημένα. καὶ εἶπεν εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι. καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς,
C καὶ ἔσται ὁ εὑρίσκων με ἀποκτενεῖ με. εἰ τῇ γῇ φησιν ἐπικατάρατόν με ἐποίησας, καὶ αὐτός με ἀπεστράφης, καὶ τοσαύτῃ τιμωρίᾳ παρέδωκας, ὥστε στένειν καὶ τρέμειν οὐδὲν τὸ κωλῦον λοιπὸν τὸν ἐν τούτοις ὄντα καὶ γυμνωθέντα τῆς παρὰ σοῦ ῥοπῆς ὑπὸ τοῦ τυχόντος ἀναιρεθῆναι. εὐεπιχείρητός φησιν ἔσομαι παντὶ τῷ βουλομένῳ με ἀνελεῖν. οὔτε γὰρ αὐτὸς ἰσχύω ἀντιστῆναι διαλελυμένα τὰ μέλη περιφέρων, καὶ πανταχόθεν σαλευόμενος, καὶ τὸ εἰδέναι ἅπαντας, ὅτι τῆς σῆς ἐγυμνώθην ῥοπῆς παρασκευάσει τὸν βουλόμενον ἐπὶ τὴν ἀναίρεσιν τὴν
D ἐμὴν ὁρμῆσαι. τί οὖν ὁ φιλάνθρωπος καὶ ἀγαθὸς δεσπότης; καὶ εἶπεν αὐτῷ κύριος ὁ θεὸς οὐχ οὕτω. μὴ νομίσῃς φησὶ ταῦτα οὕτω γίνεσθαι. οὐδὲ γὰρ ἔξεστι τῷ βουλομένῳ σε ἀνελεῖν, ἀλλὰ τῇ παρατάσει τῆς ζωῆς τῆς σῆς καί σοι πλείονα τὴν ὀδύνην ἐργάσομαι, καὶ διδάσκαλον καταλείψω ταῖς εἰς τὸ ἑξῆς γενεαῖς, ἵνα ἡ σὴ θέα σωφρονισμὸς αὐτοῖς γένηται, καὶ μηδεὶς τῇ σῇ γνώμῃ κατακολουθήσῃ. καὶ εἶπε κύριος ὁ θεὸς οὐχ οὕτω· πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ

ἐκδικούμενα παραλύσει. τάχα πολλὰ τὰ εἰρη-
μένα, καὶ πολὺν τῷ σώματι κάματον προσε-
ξενήσαμεν. ἀλλὰ τί πάθω; ὁρῶν ὑμῶν τὴν φι-
ληκοΐαν, καὶ ἀκμάζοντα τὸν πόθον ἐπιδεικνυμέ-
νην, βούλομαι καὶ τοῖς λειψάνοις ἐπεξελθεῖν, καὶ
κατὰ δύναμιν τὴν ἐμὴν ἑρμηνεῦσαι. τί ἐστι τὸ
ἑπτὰ ἐκδικούμενα παραλύσει; ἀλλὰ πάλιν
δέδοικα μὴ τῷ πλήθει τῶν λεγομένων καὶ τὴν
μνήμην καταχώσωμεν τῶν εἰρημένων, καὶ προσ-
κορεῖς ὑμῖν νομισθείημεν. ἀλλ' εἰ μὴ ἀπεκά-
μετε, ἀνάσχεσθε, καὶ διαλύσαντες τὸ προ-
κείμενον οὕτω καταπαύσομεν τὸν λόγον. καὶ εἶ-
πε φησὶν αὐτῷ κύριος ὁ θεὸς, οὐχ οὕτω· πᾶς ὁ
ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύ-
σει, καὶ ἔθετο κύριος ὁ θεὸς σημεῖον τῷ Κάϊν τοῦ
μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν.
τοῦτο δέδοικας φησι, τοῦ μὴ ἀναιρεθῆναι; θάρσει
ὅτι οὐκ ἔσται τοῦτο. καὶ γὰρ ὁ τοῦτο πεποιηκὼς
ἑπτὰ τιμωρίαις ἑαυτὸν ὑπεύθυνον καταστήσει.
διά τοι τοῦτο καὶ σημεῖον ἐπιτίθημί σοι, ὥστε
μηδένα ἀγνοήσαντα, καὶ ἀνελόντα σε ὑπεύ-
θυνον ἑαυτὸν ταῖς τοιαύταις τιμωρίαις καταστῆ-
σαι. ἀλλὰ σαφέστερον ἡμᾶς προσήκει διδάξαι,
πῶς ἑπτὰ τιμωρίαις ὑπεύθυνος γίνεται ὁ τὸν
Κάϊν ἀνελών· ἀλλὰ προσέχετε παρακαλῶ.
εἰ γὰρ μὴ νῦν, καθάπερ ἐν ταῖς προλαβούσαις ἡμέ-
ραις εἰρήκαμεν πολλάκις πρὸς τὴν ὑμετέραν ἀγά-
πην, ὅτε νηστείας καιρὸς, καὶ τοσαύτης γαλήνης ἀπο-
λαυόμεν, καὶ ἀπηλλαγμένοι τῶν λογισμῶν τῶν τα-
ραττόντων ἡμῶν τὴν διάνοιαν, τὰ ἐν ταῖς θείαις
γραφαῖς ἐγκείμενα κατανοήσωμεν μετ' ἀκρι-
βείας, πότε δυνησόμεθα ταῦτα μαθεῖν ἐν ἑτέρῳ
καιρῷ; διὸ παρακαλῶ, καὶ δέομαι καὶ ἀντιβολῶ καὶ
μονονουχὶ καὶ τῶν γονάτων ὑμῶν καθάπτομαι μετὰ συν-
τεταμένης διανοίας τοῖς λεγομένοις προσέχωμεν,
ἵνα καρπωσάμενοί τι γενναῖον καὶ ὑψηλὸν οὕτως οἴ-
καδε ἐπανέλθωμεν. τί οὖν ἐστι τὸ ἑπτὰ ἐκδικού-
μενα παραλύσει; πρῶτον μὲν ὁ τῶν ἑπτὰ ἀριθμὸς
ἐπὶ πλήθους λαμβάνεται ἐν τῇ θείᾳ γραφῇ, καὶ τοῦτο
πολλαχοῦ εὕροι τις ἂν οὕτω κείμενον, ὡς τὸ στεῖρα
ἔτεκεν ἑπτὰ καὶ ὅσα τοιαῦτα. αἰνίττεται δὲ ἡμῖν ἐνταῦθα
τοῦ πλημμελήματος τὸ μέγεθος, καὶ ὅτι οὐχ ἕν ἐστι τὸ
ἁμάρτημα τὸ παρ' ἐκείνου γεγονὸς, ἀλλ' ἑπτὰ
ἁμαρτήματα, καὶ μεγάλην ἐφ' ἑκάστῳ ἁμαρτή-
ματι τὴν τιμωρίαν ὤφειλεν ὑποσχεῖν. πῶς οὖν
αὐτὰ ἀπαριθμησόμεθα; εἰ τοῦτο λογισόμεθα,

A Fortaſſis multa ſunt quæ dixi, & prolixitate corpori moleſtiam attulimus. Sed quid faciam? Quia video veſtram in audiendo auiditatem, & ingens deſiderium, reliqua etiam pertractabo, & pro viribus meis interpretabor. Quid eſt ſepties vltione exquiſita ſoluet? Sed iterum vereor ne dictorum multitudine memoriam his quæ dicuntur adobruam, & videar vobis faſtidium adferre: ſed ſi non fatigamini, ſuſtinete, & abſoluto hoc contextu, ſermonem finiemus. Et dixit illi dominus Deus: Non ſic. B Omnis qui occiderit Cain, ſepties vltione exquiſita ſoluet. *Et poſuit dominus Deus ſignum in Cain, ne omnis qui inueniret, illum occideret.* Hoc timuiſti, inquit, ne occiderere: Confide, hoc non erit. Nam quiſquis hoc facere attentauerit, ſeptuplici pœnæ ſe faciet obnoxium: & ideirco hoc ſignum tibi impono, vt nullus ignorans interfecto te, pœnis illis ſe obnoxium faciat. Et hanc ob cauſam ſignum hoc tibi impono. Sed decet vt manifeſtius vos do- C ceam, quomodo qui Cain occidit, ſeptem pœnarum reus ſit. Vos precor attendite. Nam ſi nunc, ſicut & in ſuperioribus diebus ſæpe charitati ueſtræ diximus, cùm ieiunij tẽpus eſt, & tanta tranquillitate fruimur, & liberati ſumus à cogitationibus, quæ mentem noſtram perturbant, non ſumma diligentia addiſcimus quæ in diuinis ſcripturis continentur, quando ea aliis temporibus diſcere poterimus? Ideo oro & precor, & ſupplico, & quaſi genua veſtra contingo, intenta mente his D quæ dicuntur auſcultemus, vt fructu aliquo nobili & præcipuo accepto, domum poſtea redeamus. Quid igitur eſt ſepties vltione exquiſita ſoluet? Primùm quidẽ ſeptenarius numerus de multitudine dicitur in diuina ſcriptura: id quod ſæpe in ſcripturis occurrit, vt quòd ſterilis peperit ſeptem: & ſimilia. Coniectare autem hîc licet peccati magnitudinẽ, & quòd non vnum peccatum commiſerit, ſed ſeptẽ, quorũ quoduis per ſe magna pœna luendũ. Igitur quomodo hæc numerabimus? Primùm

1. Reg. 2. 5.
Hier. 15. 9.

inuidet ipſi, q̀ Deo ſit gratus: quod ſolum ſi adfuiſſet, ad accerſendũ illi exitium ſuffeciſſet. Secũdò, fratrem fratri ſuo inuidet. Tertiò, fraudes cõſuit. Quartò, cædem opere implet. Quintò, fratrem occidit. Sextò, primus mortem operatus eſt. Septimò, Deo mentitus eſt. Num aſſequuti eſtis dicta, an vero vultis vt ea iterum recenſeamus, quò ſciatis quomodo vnumquodque per ſe ſufficiebat, vt maxima plecteretur pœna? Nam quis vel venia dignaretur alteri inuidentem, quòd plus diuina gratia potiatur? Ecce vnum maximũ & inexpiabile peccatũ. Deinde hoc maius oſtenditur, quia frater erat cui inuidebat, & nulla illum prorſus iniuria affecerat. Ecce & hoc quoque non vulgare peccatum eſt. Iam tertium quòd dolos nexuit, decepto & in campũ tracto fratre, neque ipſam naturam reueritus. Quartum peccatum ipſa erat cædes, quam perpetrauit. Quintum, quòd fratrem occidit, eodem ex vtero prognatum. Sextũ, quòd primus cædis ſpecimen introduxit. Poſtremum, quòd rogatus à Deo omnium domino, Vbi eſt Abel frater tuus? mẽtiri illi auſus eſt. Dicit igitur: Qui te occidere attentauerit, ſeptem maximis pœnis ſeipſum reum faciet. Ne igitur hoc metuas. Ecce enim & ſignum in te pono, ita vt nullus qui te inuenerit, ignoret. Nam iſta in toto vitæ tuæ decurſu neruorum reſolutio poſteritatis vtilis erit: & id quod ſolus nullo præſente operatus es, hoc diſcẽt omnes qui gementẽ & trementem videbunt, & quaſi per corporis tremorẽ clamantem, & omnibus dicentẽ: Nullus talia audeat, qualia ego, vt ne in eandẽ pœnam incidat.

Moralis epilogus.

Hæc audientes dilecti, quæ dicta ſunt, non inconſiderãter prætercurramus, neq; hoc ſolùm ſpectemus, vt huc quotidie conueniẽdo ſpirituali mẽſa fruamur. Nulla enim ſolius auditꝰ vtilitas fuerit, niſi adſint obedientia & opera. Sed cogitãtes vnde in hoc expiabile & graue peccatũ Cain ſeipſum impulerit, vt innoxium ac fratrem aggrederetur dolo, & occideret: ne fugiamꝰ aduerſa & mala pati, ſed potius caueamus ne aliis mala per nos inferantur. Ille enim eſt, qui verè malè affligitur,

A πρῶτον ὅτι ἐβάσκηνε τῷ ἀδελφῷ διὰ τὴν εὔνοιαν τὴν παρὰ τοῦ θεοῦ. ὅπερ καὶ μόνον περισσὸν ἱκανὸν ἦν αὐτῷ τὸν ὄλεθρον ἐπαγαγεῖν. δεύτερον ὅτι τὸν ἴδιον ἀδελφόν. τρίτον ὅτι δόλον ἔρραψε. τέταρτον ὅτι τὸν φόνον ἔπραξε. πέμπτον ὅτι τὸν ἀδελφὸν ἐφόνευσεν· ἕκτον, ὅτι πρῶτος τὸν φόνον εἰργάσατο. ἕβδομον, ὅτι τὸν θεὸν ἐψεύσατο. παρηκολουθήσατε τοῖς ῥηθεῖσιν, ἢ βούλεσθε ἄνωθεν αὐτὰ πάλιν ἀπαριθμησώμεθα, ἵνα εἰδῆτε, πῶς ἕκαστον τούτων καὶ μόνον ἱκανὸν ἦν τῆς μεγίστης αὐτὸν ἀξιῶσαι τιμωρίας; τίς γὰρ ἂν ἀξιώσειε συγγνώμης τὸν βασκαίνοντα τῷ ἀπολαύοντι τῆς παρὰ τοῦ B θεοῦ εὐνοίας; ἰδοὺ μία μεγίστη καὶ ἀσύγγνωστος ἁμαρτία. πάλιν αὕτη μείζων δείκνυται, ὅταν ἀδελφὸς ᾖ ὁ βασκαινόμενος, καὶ μηδὲν ἠδικηκώς. ἰδοὺ καὶ αὕτη πάλιν οὐχ ἡ τυχοῦσα ἁμαρτία· τρίτη πάλιν, ὅτι δόλον ἔρραψεν ἀπατήσας τὸν ἀδελφόν, καὶ ἑλκύσας εἰς πεδίον, καὶ οὐδὲ αὐτὴν τὴν φύσιν αἰδεσθείς. τέταρτον ἁμάρτημα αὐτὸς ὁ φόνος, ὃν εἰργάσατο. πέμπτον, ὅτι ἀδελφὸν ἐφόνευσε τὸν τὰς αὐτὰς αὐτῷ λύσαντα ὠδῖνας. ἕκτον, ὅτι πρῶτος τοῦ φόνου τὸ εἶδος εἰσήνεγκεν. ἕβδομον, ὅτι ἐρωτώμενος παρὰ τοῦ θεοῦ ψεύσασθαι ἐτόλμησεν. ὁ τοίνυν C φησὶν ἀνελεῖν σε ἐπιχειρήσας ἑπτὰ τιμωρίαις ἑαυτὸν ὑπεύθυνον καταστήσει. μὴ τοίνυν δείδιθι τοῦτο. ἰδοὺ γὰρ καὶ σημεῖον ἐπιτίθημί σοι, ὥστε μηδένα τῶν εὑρισκόντων, σε ἀγνοῆσαι. ἡ γὰρ πάσης τῆς ζωῆς σου πάρεσις λυσιτελὴς ἔσται ταῖς μετὰ ταῦτα γενεαῖς, καὶ ὅπερ μόνος μηδενὸς παρόντος ἔπραξας, τοῦτο μαθήσονται πάντες ὁρῶντές σε στένοντα καὶ τρέμοντα, καὶ μονονουχὶ βοῶντα διὰ τοῦ τρόμου τοῦ σωματικοῦ καὶ πᾶσι διαλεγόμενον καὶ λέγοντα, μηδεὶς ἕτερος τολμήσῃ, οἷάπερ ἐγώ, ἵνα μὴ τοιαύτην δέξηται τιμωρίαν. Ταῦτα ἀκούοντες ἀγαπητοὶ μὴ ἁπλῶς D παρατρέχωμεν τὰ εἰρημένα, μηδὲ τοῦτο μόνον σκοπῶμεν, εἰ καθ' ἑκάστην ἐνταῦθα συνερχόμενοι πνευματικῆς τραπέζης ἀπολαύομεν. οὐδὲν γὰρ ὄφελος τῆς ἀκροάσεως μόνης δίχα τῆς διὰ τῶν ἔργων ὑπακοῆς. ἀλλ' ἐννοοῦντες πόθεν εἰς ταύτην τὴν ἀσύγγνωστον καὶ χαλεπὴν ἁμαρτίαν συνήλασεν ἑαυτὸν ὁ Κάϊν, καὶ ὅτι ἀπὸ τοῦ φθονῆσαι τὸν μηδ' ὅλως αὐτὸν ἀδικῆσαί ποτε ἐπιχειρήσαντα τὴν τοιαύτην εἰς πρᾶξιν, μᾶλλον δὲ ἀναίρεσιν εἰς τὸν ἴδιον ἀδελφὸν τετόλμηκε, μὴ τὸ κακῶς παθεῖν φεύγωμεν, ἀλλὰ μᾶλλον τὸ κακῶς ἑτέροις διατεθῆναι. ἐκεῖνος γάρ ἐστιν ὄντως ὁ κακῶς πεποι-

Ἠθικόν.

A θεὶς ὁ τὸν πλησίον ἑαυτοῦ κατεργάζεσθαι βουλόμενος. καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθὲς, ὅρα μοι ἐνταῦθα τίς ἐστιν ὁ κακῶς πεπονθὼς, ὁ ἀνελὼν ἢ ὁ ἀναιρεθείς; δῆλον ὅτι ὁ ἀνελών. διὰ τί; ὅτι ὁ μὲν ἀναιρεθεὶς καὶ μέχρι τοῦ νῦν ᾄδεται παρὰ τοῖς ἁπάντων στόμασι, καὶ ἀνακηρύττεται, καὶ στεφανοῦται ὡς τῆς ἀληθείας πρωτομάρτυς, καθάπερ φησὶ καὶ ὁ μακάριος Παῦλος· ἀποθανὼν Ἄβελ ἔτι λαλεῖ. ὁ δὲ ἀνελὼν καὶ τότε μὲν ἐλεεινότερον πάντων ἀνθρώπων βίον ἔζη, μετὰ δὲ ταῦτα παρὰ πάντων ταῖς κατηγορίαις βάλλεται, καὶ ὡς βδελυκτὸς παρὰ τῷ θεῷ, καὶ κατηραμένος ὑπὸ τῆς θείας γραφῆς παραδειγματίζεται. καὶ ταῦτα μὲν ἐν τῷ παρ- B όντι καὶ συγκαταλυομένῳ βίῳ· τὰ δὲ ἐν τῷ μέλλοντι αἰῶνι ἀπαντῆσαι ἀμφοτέροις ὀφείλοντα, καὶ καταλλήλως ἑκάστῳ τῆς ἑαυτοῦ πράξεως ἀπολαβεῖν παρὰ τοῦ δικαίου κριτοῦ τίς λόγος παραστῆσαι δυνήσεται, ἢ τὰ ἀγαθὰ ἢ τὰ ἐναντία; οὐκ ἔστιν οὐδεὶς οὔτε τὰ χρηστὰ οὔτε τὰ λυπηρά. καὶ γὰρ ἐκεῖνον μὲν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ αἰώνιοι σκηναὶ, καὶ οἱ χοροὶ πατριαρχῶν προφητῶν τε καὶ ἀποστόλων καὶ πάντων τῶν ἁγίων ὅμιλος ὑποδέξονται συμβασιλεύσοντα εἰς αἰῶνας ἀτελευτήτους τῷ βασιλεῖ Χριστῷ Ἰησοῦ τῷ τοῦ θεοῦ μονογενεῖ υἱῷ καὶ θεῷ· C τοῦτον δὲ ἡ γέεννα τοῦ πυρὸς, καὶ τὰ ἄλλα ἅπαντα ἀθάνατα βασανιστήρια διαδέξονται εἰς αἰῶνας ἀπεράντους τιμωρούμενον μετὰ καὶ πάντων τῶν τὰ παραπλήσια αὐτῷ πεπραχότων, καὶ μάλιστα τοὺς μετὰ ταῦτα τοῖς αἰσχίστοις πάθεσιν ἁλόντας, ὅσον καὶ μείζων ἡ τιμωρία παρὰ τοῦ κοινοῦ δεσπότου ἐκφέρεται. ἄκουε γὰρ τοῦ μακαρίου Παύλου λέγοντος· ἢ ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, τουτέστιν ἐλαφροτέραν ὑποστήσονται τὴν τιμωρίαν διὰ τὸ μὴ ἔχειν ἐλέγχοντα τὴν ἐκ τοῦ νόμου ἀπειλήν τε καὶ διόρθωσιν· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ D νόμου κριθήσονται. οὗτοι δέ φησιν οἱ καὶ μετὰ τὴν ἐκ τοῦ νόμου βοήθειαν τὰ αὐτὰ ἐκείνοις πεπραχότες βαρυτέρας καὶ ἀφορητοτέρας ὑπομενοῦσι καὶ τὰς κολάσεις· καὶ μάλα εἰκότως· ὅτι οὔτε ὁ νόμος, οὔτε τὸ ἑτέρους ἰδεῖν τοσούτοις κακοῖς ὑποβληθέντας σωφρονεστέρους αὐτοὺς ἀπειργάσατο. διὸ παρακαλῶ κἂν γοῦν ἀπὸ τοῦ νῦν τοῖς ἑτέρων παιδεύμασι σωφρονίσωμεν ἑαυτοὺς, καὶ τὸν βίον τὸν ἑαυτῶν ἰθύνωμεν πρὸς τὴν τοῦ κυρίου ὑποταγὴν τοῖς αὐτοῦ ὑπείκοντες νόμοις, καὶ μήτε φθόνος,

qui proximo ſuo negocium facit. Et vt verum hoc eſſe ſcias, vide hîc obſecro, quis eſt qui mala patitur, an occidens, vel occiſus? manifeſtum ꝗ occidens. Et occiſus vſque ad noſtra tempora, in ore omnium decãtatur, & prædicatur, & coronatur, vt veritatis primus teſtis: ſicut dicit & beatus Paulus: Mortuus Abel adhuc lo- Hebr. 11. quitur. Sed qui occidebat, etiam tũc vitam agebat miſerabiliorem quàm vllus homo, & poſtea ab omnibus malè audit, vt abominabilis, & vt à Deo maledictus à diuina ſcriptura traducitur, & hoc quidem in præſenti vita, quæ ſimul intercidet: quæ Rom. 2. autem in futuro ſeculo occurrere Apoc. 20. debeãt, cùm vnicuique pro ſuo opere reddet iuſtus iudex, quis ſermo dicere poſſet, quæ bona, vel quæ mala? Nullus, nullus planè, neque iucunda neque triſtia narrauerit. Enimuerò Abelis quidem eſt regnum cœlorũ: & perpetua habitacula, & chori patriarcharum, prophetarum, & Apoſtolorum, & omnium ſanctorum cõgregatio illum ſuſcipiẽt ſimul in immortalitate regnaturum, in Chriſto Ieſu domino noſtro, vnigenito Dei filio & Deo: huius autem, Cain inquam, eſt gehenna ignis, aliáque immortalia omnia tormenta ipſum excipient, vt puniant in infinita ſecula, & cum illo omnes qui ſimilia egerunt, & maximè poſt iſta turpiſſimis affectionibus captos, quantò & maior pœna à domino omnium pronunciatur. Audi enim beatum Paulum dicentem, Quicunque enim ſi- Rom. 2. 12. ne lege peccauerunt, ſine lege peribunt: hoc eſt, leuiorem ferent pœnam, eò quòd non habuerint legem quæ minaretur & corrigeret. Et quicunque in lege peccauerunt, per legem quoque iudicabuntur. Hi autem, inquit, qui eadem faciunt quæ illi, & legis adminiculum habuere, grauiores & intolerabiliores ſuſtinebunt cruciatus: & meritò: quia neque lex, neque quod alios tot malis obiectos viderint, modeſtiores & meliores eos reddiderit. Quocirca obſecro, vt vel ſaltem nunc aliorum correptionibus noſipſos emendemus, & vitam noſtram corrigamus ad domini obedientiam, illius obtẽperantes legibus, vt neq; liuor,

neque inuidia, neque corporalis amor, neque huius vitæ gloria & potentia, neque ventris voluptas, neque alia quædam abſurda concupiſcentia dominetur animæ noſtræ: ſed expurgati ab omni cœno, voluptatéque temporali, & vale dicto omnibus fœdiſſimis abſurdiſſimíſque affectionibus, ad beatam illam vitam, & ineffabilia illa bona, quæ Deus ſe diligentibus promiſit, feſtinemus: quæ omnibus nobis concedantur, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri, ſimul & Spiritui ſancto ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A μήτε βασκανία, μήτε τῶν σωμάτων ἔρως, μήτε ἡ τοῦ παρόντος βίου δόξα τε καὶ δυναστεία, μήτε ἡ τῆς γαστρὸς ἡδονή, μήτε ἄλλη τις ἄτοπος ἐπιθυμία κατακυριευέτω τῶν ἐν τῇ ψυχῇ ἡμῶν λογισμῶν, ἀλλ' ἐκκαθάραντες ἑαυτοὺς ἀπὸ πάσης ἰλύος καὶ τύρβης βιωτικῆς καὶ πολλὰ χαίρειν εἰπόντες τοῖς αἰσχίστοις καὶ ἀτοπωτάτοις πάθεσι πρὸς τὴν μακαρίαν ἐκείνην ζωὴν ἐπειγώμεθα, καὶ τὰ ἀπόρρητα ἀγαθά, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἠγαπηκόσιν αὐτόν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα
B κράτος τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Homilia XX.

Ὁμιλία κ.

Gen. 4. 16. *Egreſſus eſt autem Cain à faue Dei, & habitauit in terra Naïd è regione Edem, & reliqua.*

Ἐξῆλθε δὲ Κάϊν ἀπὸ προσώπου τοῦ θεοῦ, καὶ ᾤκησεν ἐν γῇ Ναΐδ κατέναντι Ἐδέμ, καὶ τὰ ἑξῆς.

AGE iterum hodie in manus ſumentes quæ in contextu lecta ſunt, inde vobis doctrinam apponamus, & ſolitum ex libris beati Moſis colloquium habeamus, imò ex ſancti Spiritus eloquiis, quæ per prophetæ linguam diuina gratia nos docuit. Sed quò manifeſtior ſermo noſter ſit, operæprecium fuerit, vt in memoriam vobis referamus, vbi doctrinam nuper abſoluerimus, vt eadem hodie repetita, & de nunc lectis dicere incipiamus. Scitis enim, quòd argumentum de Cain & Abel narrauimus, oſtendentes tam ex his quæ facta ſunt, quàm ex his de quibus obtulerunt domino, quomodo faciendorum & non faciendorum agnitio animis noſtris inſita ſit, & quòd omnium opifex nos liberi arbitrij fecerit, & vbique vel coronat, vel condemnat, ſecundum quod noſtra eſt intentio: ob hoc enim ſacrificium Cain repudiatum fuit, dona verò Abel accepta: & quòd hinc inuidia orta Cainum in cædem fratris extimulauit, qui & poſt impium facinus, volente Deo ipſum prouocare ad confeſſionem peccatorum, neque remedium ſanitatis accepit,

Φέρε πάλιν τῆς ἀκολουθίας σήμερον τῶν ἀνεγνωσμένων ἁψάμενοι ἐντεῦθεν ὑμῖν τὴν διδασκαλίαν παραθῶμεν, καὶ ἐκ τῆς βίβλου τοῦ
C μακαρίου Μωυσέως τὴν συνήθη διάλεξιν πρὸς ὑμᾶς ποιησώμεθα· μᾶλλον δὲ ἐκ τῶν τοῦ πνεύματος λογίων, ἅπερ διὰ τῆς τούτου γλώττης ἡμᾶς ἐδίδαξεν ἡ θεία χάρις. ἀλλ' ἵνα σαφέστερος ὑμῖν γένηται ὁ λόγος, ἀναγκαῖον ὑπομνῆσαι τὴν ὑμετέραν ἀγάπην τῶν ἤδη ῥηθέντων, καὶ ὅπου τὴν διδασκαλίαν κατελύσαμεν. ἵνα ἐκεῖθεν αὐτὴν σήμερον ἀναλαβόντες, οὕτω τῆς ἀρχῆς τῶν ἀνεγνωσμένων ἁψώμεθα. ἴστε γάρ, ὅτι τὴν κατὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ ὑπόθεσιν κινήσαντες ἐδείκνυμεν ἐξ αὐτῶν τῶν γεγενημένων, καὶ ἐξ ὧν ἕκαστος τὰς
D θυσίας προσήνεγκε τῷ δεσπότῃ, ὅπως ἔγκειται τῇ ἡμετέρᾳ φύσει ἡ γνῶσις τῶν πρακτέων καὶ τῶν μὴ πρακτέων, καὶ ὅτι αὐτεξουσίους ἡμᾶς εἰργάσατο ὁ τῶν ἁπάντων δημιουργός, καὶ πανταχοῦ ἀπὸ τῆς γνώμης τῆς ἡμετέρας ἢ κατακρίνει, ἢ στεφανοῖ· ἀπὸ γὰρ ταύτης τοῦ μὲν ἀπόβλητος γέγονεν ἡ θυσία, τοῦ δὲ τὰ δῶρα προσεδέχθη· καὶ ὅτι ἐντεῦθεν ὑπὸ βασκανίας κινηθεὶς ὁ Κάϊν ἐπὶ τὸν τοῦ ἀδελφοῦ φόνον ὥρμησε, καὶ μετὰ τὴν φονικὴν ταύτην πρᾶξιν βουλομένου τοῦ θεοῦ ἐκκαλέσασθαι αὐτὸν εἰς ἐξομολόγησιν τῶν ἡμαρτημένων οὐδὲ οὕτω τὸ φάρμακον τῆς ἰατρείας ἐδέξατο, ἀλλὰ

A ἀλλὰ τῷ μυσαρῷ ἐκείνῳ φόνῳ τὸ ψεῦδος συνάψας τὴν χαλεπὴν ἐκείνην τιμωρίαν ἐπεσπάσατο, καὶ γυμνὸν καὶ ἔρημον ἑαυτὸν κατέστησε τῆς ἄνωθεν ῥοπῆς, ὑπόδειγμα σωφρονισμοῦ πᾶσι τοῖς μετὰ ταῦτα προκείμενος, καὶ διὰ τῆς ἀποφάσεως, ἧς ἐδέξατο, παντὶ τῷ τῶν ἀνθρώπων γένει διαλεγόμενος, καὶ μονονουχὶ βοῶν καὶ λέγων· μηδεὶς ὑμῶν τοιοῦτόν τι τολμήσῃ ποτὲ, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσῃ. εἴδετε δεσπότου φιλανθρωπίαν, ὅπως διὰ τῆς εἰς ἐκεῖνον τιμωρίας οὐκ ἐκεῖνον μόνον σωφρονίσαι ἠβουλήθη, ἀλλὰ καὶ τοὺς εἰς τὸ ἑξῆς ἅπαντας διδάξαι παντὶ φεύγειν τὸ τολμηθὲν τοῦτο ἐπιχείρημα; B φέρε λοιπὸν τῶν ἑξῆς ἁψώμεθα, καὶ ἴδωμεν τί διηγεῖται ἡμῖν ὁ μακάριος προφήτης ὑπὸ τοῦ πνεύματος ἐνηχούμενος. ἐπειδὴ γὰρ τὴν ἀπόφασιν δεξάμενος ὁ Κάϊν ἐξῆλθέ φησιν ἀπὸ προσώπου τοῦ θεοῦ τουτέστιν ἐγυμνώθη τῆς παρ᾽ αὐτοῦ προστασίας διὰ τὴν μυσαρὰν ἐκείνην πρᾶξιν, καὶ ᾤκησεν ἐν γῇ Ναῒδ κατέναντι Ἐδέμ. λέγει ἡμῖν καὶ τὸν τόπον ἔνθα τὴν κατοίκησιν ἐποιήσατο, καὶ διδάσκει, πῶς καὶ ὅτι οὐ πόῤῥω τοῦ παραδείσου διῆγεν, ἵνα κατέναντι ὢν διηνεκῆ τὴν ὑπόμνησιν ἔχῃ C καὶ τῶν τῷ πατρὶ συμβεβηκότων διὰ τὴν παράβασιν, καὶ τοῦ μεγέθους τῶν αὐτῷ τετολμημένων. καὶ γὰρ τὴν τοσαύτην τιμωρίαν ἐδέξατο μηδὲ τῇ τοῦ πατρὸς τιμωρίᾳ σωφρονισθείς. καὶ αὐτὸς δὲ ὁ τόπος ἔνθα κατῴκει ὑπόμνησις ἀδιάλειπτος ἦν οὐκ αὐτῷ μόνῳ, ἀλλὰ καὶ ταῖς μετὰ ταῦτα γενεαῖς τοῦ σάλου καὶ τρόμου. τὸ γὰρ Ναῒδ ὄνομα Ἑβραϊκὴ λέξις ἐστὶν, ἑρμηνεύεται δὲ σάλος. ἵν᾽ οὖν ὥσπερ ἐν στήλῃ χαλκῇ ἀνεξάλειπτον ἔχῃ καὶ ἀπὸ τοῦ τόπου τὴν κατηγορίαν, ἐκεῖ αὐτὸν κατῴκισεν. εἶτα φησί· καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώχ. θνητοὶ λοιπὸν γενόμενοι εἰ- D κότως περὶ τὴν τῶν τέκνων διαδοχὴν τὴν σπουδὴν εἶχον. ἀλλ᾽ ἴσως εἴποι τις. πῶς οὐδαμοῦ τῆς γραφῆς μνημονευσάσης ἑτέρας γυναικὸς ὁ Κάϊν ἔσχε τὴν γυναῖκα; μή σε ξενίσῃ τοῦτο ἀγαπητέ. οὐδαμοῦ γὰρ θηλειῶν τέως κατάλογον ποιεῖται μετὰ ἀκριβείας, ἀλλὰ τὸ ἀπέριττον φυλάττουσα ἡ θεία γραφὴ ἐκ μέρους τῶν ἀῤῥένων μνημονεύει, καὶ οὐδὲ αὐτῶν πάντων,

ſed ſceleſto homicidio mendacium coniunxit, & grauem illam pœnam ſibi conciliauit, ſupernáque gratiâ ſe nudauit, poſteris in correctionis exemplum propoſitus; quia ob ſententiam in ſe acceptam, omni hominum generi loquitur quaſi clamans & dicens: Ne tale quid vllus veſtrum vnquam audeat, ne quis in ſimiles incidat pœnas. Vidiſtis domini benignitatem, quomodo ſua in illum pœna, non ipſum ſolum caſtigare, ſed per ipſum ſimul poſteros omnes modis omnibus fugiendum tam temerarium facinus docere voluit? Agè nunc ſequentia attingamus, & videamus quid hodie nobis narret beatus ille propheta, Spiritus ſancti afflatu eruditus. Nam poſtquam à Domino ſententiam Cain accepit: [15] *Egreſſus*, inquit, *à facie Dei.* Quid eſt, exiit à facie Dei? hoc eſt, nudatus eſt præſidio Dei, propter abominabile & perniciosum facinus. *Et habitauit in terra Naid, è regione Edem.* Narrat nobis diuina ſcriptura locum in quo poſtea habitauit, & docet quomodo & hic non procul à paradiſo verſatus ſit, vt è regione illius exiſtens, continuò memor eſſet, tum eorum quæ patri ſuo ob præuaricationem contigerunt, tum magnitudinis eorum, quæ ipſe perpetrauerat, propter quæ tãta ſibi neque patris correptione emendato, pœna irrogata eſt. Et vero locus ille in quo habitauit, perpetua memoria fuit, non illi ſoli, ſed & ſeculis poſterioribus, ob tremorem & motionem. Nomen enim Naïd, Hebraïca dictio eſt, & vertitur motio. Itaque vt crimen illius notum eſſet etiam à loco, quaſi in columna ærea ſcriptum, illic eum collocauit. Deinde inquit: [17] *Et cognouit Cain vxorem ſuam: & vt concepit, peperit Enoch.* Mortales deinceps facti homines, meritò de filiorum ſucceſſione curam habebant. Sed fortè dixerit aliquis: Quomodo, cùm ſcriptura nuſquam alterius mulieris meminit, dicit quòd Cain habuerit vxorem? Ne mireris dilecte. Nuſquam enim catalogum mulierum diligenter facit; ſed ſcriptura cauens, ne quid ſuperfluum proferat, ſingulos viros commemorat, non omnes tamen.

Cur habitet Cain è regione Edem.

A ſed ſuccinctius nobis narrat, dicens quòd generauerint filios & filias, & mortui ſint. Veriſimile igitur etiam nunc Euam filiam peperiſſe poſt Cain & Abel, quam in vxorem acceperat Cain. Nam quia initia erant, debebátque augeri humanum genus, ſorores vt acciperent concedebatur. Et ideo conſectanea hæc nobis coniectanda relinquit ſcriptura, & hoc ſolùm narrat, dicens: *Et cognouit Cain vxorem ſuam, & vt concepit, peperit Enoch. Et erat ædificans ciuitatem in nomine filij ſui Enoch.* Vide quomodo paulatim inſtituuntur. B Quippe hominibus factis mortalibus ſtudium fuit, vt immortalem ſuam memoriam facerent, partim ex filiis, quos generabant, partim ex locis, quibus filiorum nomina imponebant. Hæc omnia rectè quis diceret peccatorum & ruinæ primæ monimenta, qua è priſtina gloria exciderunt, in qua quum eſſent nullo horum indigebant Adam & Eua, vtpote affectionibus ſuperiores, & nihil obnoxij. [17] *Porrò Enoch ipſi natus eſt*, vt inquit, *Gaidad, & Gaidad genuit Maleleel, & Maleleel* C *genuit Mathuſala, & Mathuſala genuit Lamech.* Vide quàm curſim tranſit genealogias. Et virorum tantum mẽtionem facit beatus ille, nuſquam verò mulierum meminit. Sed quemadmodum de Cain dictum eſt, quòd Cain cognouit vxorem ſuam, cùm nuſquam nos docuerit, neque dixerit vnde habuerit vxorem: ſic ſanè & hîc inquit: [18] *Et accepit ſibi Lamech duas vxores, nomen vni Ada, & nomen ſecundæ Sella.* [19] *Et peperit Ada*, inquit, *Iobel: hîc fuit pater habitantium in tabernaculis paſtorum.* [20] *Et* D *nomen fratri illius Iubal: hic fuit is qui demonſtrauit pſalterium, & citharam.* Vide ſcripturæ diligentiam. docuit nos & nomina eorum, qui nati ſunt ex vxore Lamech, & docuit nos quæ ſtudia illorum fuerint: nempe quòd vnus alendis pecoribus fuerit deditus, & alter excogitauerit pſalterium & citharam. [21] *Sella autem*, inquit, *& ipſa peperit Thobel, & erat malleator, & faber æris & ferri.* Iterũ & artem illius qui ex Sella natus erat non obticet, quia ferrariam exercebat.

In malã partem accepit: poſſet tamen & in bonã accipi, pro, inſtituũtur, & prudentiam acquirũt: vt & mox de arte ferraria locutus idem fere dicit.

ἀλλὰ συντομώτερον ἡμῖν διηγεῖται λέγουσα, ὅτι ὁ δεῖνα ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανεν. εἰκὸς οὖν καὶ νῦν τὴν Εὔαν καὶ θυγατέρα τεκεῖν μετὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ, ἣν εἰς γυναῖκα ἔλαβε Κάϊν. ἐπειδὴ γὰρ προοίμια ἦν, καὶ ἔδει λοιπὸν αὐξηθῆναι τὸ γένος, καὶ ταῖς ἀδελφαῖς συγγενέσθαι συνεχώρουν. διά τοι τοῦτο καταλιποῦσα ἡ γραφὴ ἡμῖν συνιδεῖν τὸ ἀκόλουθον τοῦτο μόνον διηγεῖται λέγουσα· καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώς, καὶ ἦν οἰκοδομῶν τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ. ὅρα πῶς σοφίζονται λοιπὸν κατὰ μικρόν. ἐπειδὴ γὰρ θνητοὶ γεγόνασι, διηνεκῆ αὐτῶν σώζεσθαι τὴν μνήμην βούλονται ἀπό τε τῶν τικτομένων ἀπό τε τῆς ὀνομασίας τῶν τόπον, οἷς τὰς προσηγορίας ἐπιτιθέασι τῶν παίδων. ταῦτα πάντα ὑπομνήματα ἄν τις εἴποι δικαίως εἶναι τῶν ἡμαρτημένων αὐτοῖς, καὶ τῆς ἐκπτώσεως τῆς δόξης ἐκείνης, ἐν ᾗ τυγχάνοντες οὐδενὸς τούτων ἐδέοντο ὅτε Ἀδὰμ ἥ τε Εὔα, ἀλλ' ἀνωτέρω πάντων καθειστήκεσαν. ἐγεννήθη δὲ τῷ Ἐνὼς φησὶ Γαϊδάδ, καὶ Γαϊδὰδ ἐγέννησε τὸν Μαλελεὴλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα, καὶ Μαθουσάλα ἐγέννησε τὸν Λάμεχ. ὁρᾷς πῶς παρέδραμε τὰς γενεαλογίας τῶν ἀρρένων μόνον μνημονεύσας ὁ μακάριος οὗτος, καὶ οὐδαμοῦ τῶν θηλειῶν ἐπιμνησθείς, ἀλλὰ καθάπερ ἐπὶ τοῦ Κάϊν εἶπεν, ὅτι ἔγνω τὴν γυναῖκα αὐτοῦ μηδὲν διδάξας ἡμᾶς μηδὲ εἰπὼν πόθεν ἔσχε τὴν γυναῖκα. οὕτω δὴ καὶ ἐνταῦθα πάλιν φησί. καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ δύο γυναῖκας· ὄνομα τῇ μιᾷ Ἀδὰ καὶ ὄνομα τῇ δευτέρᾳ Σελλά. καὶ ἔτεκεν Ἀδά φησι τὸν Ἰωβήλ. οὗτος ἦν πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων, καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰουβάλ. οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν. σκόπει τῆς γραφῆς τὴν ἀκρίβειαν. ἐδίδαξεν ἡμᾶς καὶ τὰ ὀνόματα τῶν τεχθέντων ὑπὸ τῆς γυναικὸς τοῦ Λάμεχ, καὶ τίνα τὰ ἐπιτηδεύματα εἶχον, καὶ ὅτι ὁ μὲν περὶ τὴν κτηνοτροφίαν ἐξέδωκεν, ὁ δὲ ἐπενόησε ψαλτήριον καὶ κιθάραν. Σελλὰ δέ φησιν ἔτεκε καὶ αὐτὴ τὸν Θωβέλ, καὶ ἦν σφυροκόπος χαλκεὺς χαλκοῦ καὶ σιδήρου. πάλιν καὶ τοῦ παρὰ τῆς Σελλᾶς τεχθέντος τὸ ἐπιτήδευμα ἡμῖν ἐδήλωσεν, ὅτι τὴν χαλκευτικὴν τέχνην εἵλετο.

ὅρα πῶς κατὰ μικρὸν τὰ τῆς συστάσεως τοῦ τῶν ἀνθρώπων γένους ᾠκονόμητο. καὶ πρῶτον μὲν ὁ Κάϊν τῷ ὑπ' αὐτοῦ τεχθέντι τὴν ὑπ' αὐτοῦ οἰκοδομουμένην πόλιν ἐπωνόμασεν. εἶτα οἱ ὑπὸ τῶν γυναικῶν τοῦ Λάμεχ τεχθέντες ὁ μὲν τῇ κτηνοτροφίᾳ ἑαυτὸν ἐξέδωκεν· ὁ δὲ ἕτερος τὴν χαλκευτικὴν εἵλετο, ὁ δὲ ψαλτήριον καὶ κιθάραν κατέδειξεν· ἀδελφὴ δέ φησι Θόβελ Νοέμαν. τί τὸ καινὸν καὶ παράδοξον; νῦν γὰρ ἡμῖν πρῶτον δείκνυται θηλείας μνήμην ὀνομαστὶ ποιησάμενος, οὐχ ἁπλῶς οὐδὲ εἰκῆ, ἀλλά τι κεκρυμμένον ἡμῖν ἐντεῦθεν ἐμφαίνων τοῦτο πεποίηκεν ὁ μακάριος προφήτης, ὅπερ εἰς ἕτερον καιρὸν ὑμῖν ταμιευσάμενοι νῦν τῆς ἀκολουθίας ἐχώμεθα. οὐδὲ γὰρ τὸ τυχόν ἐστι τὸ ἐπαγόμενον, ἀλλὰ καὶ σφόδρα πολλοῦ τοῦ ἀγῶνος δεόμενον, καὶ ἀκριβεστέρας τῆς ἑρμηνείας, ὥστε δυνηθῆναι μετὰ σαφηνείας ἅπαντα διερευνησαμένους πολλὴν ἡμῖν τὴν ὠφέλειαν ἐντεῦθεν παρασχεῖν. εἶπε γάρ φησι Λάμεχ ταῖς ἑαυτοῦ γυναιξὶ Ἀδᾷ καὶ Σελλᾷ· ἀκούσατέ μου τῆς φωνῆς γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους· ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν· ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά. συντείνατέ μοι τὴν διάνοιαν παρακαλῶ, καὶ πάντα τὸν βιωτικὸν λογισμὸν ἀπωσάμενοι μετὰ ἀκριβείας τὰ εἰρημένα διερευνησώμεθα. ἵνα μηδὲν ἡμᾶς λαθεῖν δυνηθῇ, ἀλλ' ὅσον ἡμῖν οἷόν τε πρὸς τὸ βάθος αὐτὸ καθιέντες ἑαυτοὺς θηρᾶσαι δυνηθῶμεν τὸν ἐγκεκρυμμένον θησαυρὸν τοῖς βραχέσι τούτοις ῥήμασιν. εἶπε δέ φησι Λάμεχ ταῖς ἑαυτοῦ γυναιξὶν Ἀδᾷ καὶ Σελλᾷ, ἀκούσατέ μου τῆς φωνῆς γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους. σκόπει μοι εὐθέως ἐκ προοιμίων πόσον ὤνησε τοῦτον ἡ εἰς τὸν Κάϊν γεγενημένη τιμωρία. οὐ μόνον γὰρ οὐ περιμένει τὸν παρ' ἑτέρου ἔλεγχον, ὡς τῷ αὐτῷ ἁμαρτήματι ἢ καὶ χείρονι περιπεσών, ἀλλὰ καὶ μηδενὸς ἐγκαλοῦντος, μηδὲ ἐπιτιμῶντος αὐτὸς ἑαυτὸν κατάδηλον ποιεῖ, καὶ ἐξαγορεύει τὰ εἰργασμένα, καὶ ταῖς γυναιξὶ διηγεῖται τοῦ πλημμελήματος τὸ μέγεθος, μονονουχὶ ἐκεῖνο πληρῶν τὸ εἰρημένον παρὰ τοῦ προφήτου, ὅτι δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. μέγιστον γάρ ἐστιν εἰς διόρθωσιν τῶν ἁμαρτημάτων ἡ ὁμολογία,

A Vide quomodo, quæ ad vſum humani generis, quò melius ſubſiſtere queat, ſpectant, paulatim prouiſa ſint. Et primum Cain à filio ſuo ciuitatem ædificatam nominauit. Deinde eorum qui ex vxoribus Lamech nati, vnus paſcendis pecoribus occupabatur, alius ferrariam exercebat, alius etiam pſalterium & citharam demonſtrauit. *Soror autem*, inquit, *Thobel Noëman.* Quid hoc nouum ſibi vult, quòd nunc primùm nominatim mulieris meminit? Non ſimpliciter, neque temerè: ſed vt occultum quid nobis hîc B declaret, hoc fecit beatus propheta: id quod in aliud tempus vobis reponemus, nunc hiſtoriam ſequamur: neque enim fortuitum quiddam eſt, quod ſubditur, & plurimo labore habet opus, & diligentiore inquiſitione, ita vt ſi poſſent omnia ad amuſſim à nobis perquiri, multum hinc vtilitatis nobis accederet.

fortuitū, vulgare, vile, triuiale.

22 *Dixit*, inquit, *Lamech vxoribus*
ſuis, Adæ & Sellæ: Audite vocem
meam vxores Lamech, auribus per-
cipite ſermones meos: quia virum occi-
C *di in vulnus mihi, & adoleſcentulum*
in cicatricem mihi. 23 *Quia ſepties vltio*
ſumpta eſt de Cain, de Lamech verò ſe-
ptuagies ſepties. Obſecro mente in-

tenta eſtote, & omnia quæ ad ſeculares curas pertinent, ſeponite: cum diligentia quæ dicuntur perſcrutemur, vt nihil eorum nos lateat, ſed quantum poſſibile ad profundum ingreſſi, occultum theſaurum venari poſſimus in paucis illis verbis latentem. Dixit autem, inquit, Lamech vxoribus ſuis, Adæ & Sellæ: Audite meam vocem vxores Lamech, & auribus percipite ſermones D meos. Conſidera obſecro ſtatim ab initio, quantum illi profuerit pœna Cain irrogata. Non ſolum enim non expectat, vt ab alio arguatur, quòd in idem & grauius peccatum lapſus ſit: ſed nullo vel accuſante vel increpante ipſe ſemetipſum manifeſtum facit, & confitetur quæ facta ſint, mulieribúſque narrat delicti magnitudinem: quaſi illud quod à propheta dictum eſt, implens: Iuſtus ſuiipſius accuſator eſt in principio ſermonis. Prou. 18.17. Plurimum enim ad emendanda peccata valet confeſſio,

Vtique ſicut grauius eſt peccatis ipſis, poſt peccata commiſſa, peccata inficiari: id quod fratricida ille agebat, & rogatus à miſericorde Deo, non ſolùm non confeſſus eſt, quod auſus fuerat patrare facinus, ſed & Deo mentiri auſus eſt: & propterea vt prolõgaretur vita ſua, fecit. Cæterùm & hic in illa ipſa peccata inciderat: ſed animo expendens, quòd negatio grauiorem illi paraſſet pœnam, vocatis mulieribus ſuis, nullo reprehendente vel arguente, ipſe ſua lingua & confeſſionem peccatorum facit, & conferens quæ à ſe facta erant, cum his quæ à Cain, pœnam ſibiipſi definit. Vidiſti prouidentiam Domini? quomodo pœnæ illius occaſio ſunt miſericordiæ, & quòd miſericordia ſua non ſolùm ad illum pertingit, qui pœna plectitur: ſed & multis aliis vtile efficit inde remedium, modo velint inde aliquem fructum capere. Vnde enim aliunde, dic quæſo, Lamech ad hanc confeſſionem adductus eſſet, niſi eorum quæ illi contigerunt, memoriam habuiſſet, quæ illius continuò mentem concutiebat? Dixit, inquit: Audite vocem meam, & auribus percipite ſermones meos. Vide quomodo contra ſeipſum iudicium conſidere facit, & eas hoc modo hortatur, ne dicta negligenter acciperent. Dicendo enim: Audite vocem meã, & auribus percipite ſermones meos: Mentem veſtram, inquit, intentam præbete, & diligenter auſcultate quæ dicturus ſum. Non enim de rebus vulgaribus vobis loquar, ſed occultas quaſdam res vobis aperiam, & confitebor ea quæ nullus alius ſcit: ſed ſolus ego, & oculus ille qui ſopiri neſcit, quem timens feſtino & anhelo, vt vobis manifeſta faciam, quæ à me ſunt acta, & quantis pœnis ego meipſum nefariis obnoxium fecerim operibus. Quia virum occidi in vulnus mihi, & adoleſcentem in cicatricem mihi. Quoniam ſepties vltio ſumpta eſt de Cain, de Lamech autem ſeptuagies ſepties. Magnum quid dictum eſt, & valde magnum. Multiplex piáque viri probitas: non ſolùm enim factum confitebatur, & cædes in medium afferebat, quas operatus erat:

Pœna occaſio miſericordiæ.

A ὥσπερ οὖν βαρύτερον τῶν ἡμαρτημένων τυγχάνει τὸ μετὰ τὴν πρᾶξιν τῆς ἁμαρτίας ἐπὶ τὴν ἄρνησιν ἔρχεσθαι, ὅπερ καὶ ὁ ἀδελφοκτόνος ἐκεῖνος πέπονθε, καὶ ἐρωτώμενος παρὰ τοῦ φιλανθρώπου θεοῦ οὐ μόνον οὐχ ὡμολόγησε τὸ ὑπ' αὐτοῦ τολμηθὲν, ἀλλὰ καὶ ἐτόλμησε ψεύσασθαι θεῷ, καὶ διὰ τοῦτο παραταθῆναι αὐτοῦ τὴν ζωὴν ἐποίησεν. ὁ τοίνυν Λάμεχ τοῖς αὐτοῖς περιπεσὼν, καὶ εἰς ἐκείνην ἐλθὼν τὴν ἔννοιαν, ὅτι ἐκεῖνον ἡ ἄρνησις χαλεπωτέραν δέξασθαι παρεσκεύασε δέξασθαι τὴν τιμωρίαν, καλέσας τὰς αὐτοῦ γυναῖκας οὐδενὸς καταναγκάζοντος, οὐδὲ διελέγχοντος αὐτὸς διὰ τῆς οἰκείας B γλώττης καὶ τὴν ὁμολογίαν τῶν ἡμαρτημένων ποιεῖται, καὶ συγκρίνων τὰ ὑπ' αὐτοῦ εἰργασμένα τοῖς παρὰ τοῦ Κάϊν πεπραγμένοις ἑαυτῷ τὴν τιμωρίαν ὁρίζει. εἶδες κηδεμονίαν δεσπότου, πῶς καὶ αἱ τιμωρίαι αὐτοῦ φιλανθρωπίας ὑποθέσεις εἰσὶ, καὶ ὅτι οὐ μέχρι τοῦ τὴν τιμωρίαν δεχομένου τὰ τῆς φιλανθρωπίας ἵσταται, ἀλλὰ καὶ τοῖς λοιποῖς χρήσιμον κατασκευάζει τὸ φάρμακον εἰ βουληθεῖεν τὴν ἐξ αὐτοῦ ὠφέλειαν καρπώσασθαι; πόθεν γὰρ εἰπέ μοι ὁ Λάμεχ ἑτέρωθεν ἐπὶ τὴν τοσαύτην ἐξομολόγησιν ἐπείχθη, εἰ μὴ τὴν ἐκ τῶν ἐκείνῳ συμ- C βάντων ὑπόμνησιν εἶχε διηνεκῶς αὐτοῦ τὴν διάνοιαν κατασείουσαν; Εἶπε φησιν· ἀκούσατέ μου τῆς φωνῆς, καὶ ἐνωτίσασθέ μου τοὺς λόγους. ὅρα πῶς καθ' ἑαυτὸν δικαστήριον καθίσας οὕτω τὴν παράκλησιν αὐταῖς προσάγει, ὥστε μὴ παρέργως δέξασθαι τὰ λεγόμενα. τὸ γὰρ εἰπεῖν, ἀκούσατέ μου τῆς φωνῆς, καὶ ἐνωτίσασθέ μου τοὺς λόγους, τοῦτο δηλοῦντός ἐστι, συντείνατε ὑμῶν φησι τὴν διάνοιαν, καὶ μετὰ ἀκριβείας προσέχετε, οἷς ἐρεῖν μέλλω. οὐδὲ γὰρ περὶ τῶν τυχόντων ὑμῖν διαλέξομαι, ἀλλὰ πράγματα ὑμῖν ἐξαγορεύσω λανθάνοντα, καὶ ἃ μηδεὶς ἕτερος οἶδεν, ἀλλ' ἢ μόνος ἐγὼ, καὶ D ὁ ἀκοίμητος ἐκεῖνος ὀφθαλμὸς, ὃν δεδοικὼς σπεύδω καὶ ἐπείγομαι φανερὰ ὑμῖν καταστῆσαι τὰ ὑπ' ἐμοῦ πεπραγμένα, καὶ ὅσαις τιμωρίαις ἑαυτὸν ὑπεύθυνον κατέστησα διὰ τῶν ἀνοσίων πράξεων. ὅτι ἄνδρα ἀπέκτεινα φησιν εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά. μέγα τὸ εἰρημένον, καὶ σφόδρα μέγα, καὶ πολλὴ τοῦ ἀνδρὸς ἡ εὐγνωμοσύνη. οὐ μόνον γὰρ ὁμολογεῖ τὸ γεγονὸς, καὶ τοὺς φόνους εἰς μέσον ἄγει, οὓς εἰργάσατο,

ἀλλὰ καὶ διὰ τῆς συγκρίσεως τῶν ὑπ᾽ ἐκείνου A καὶ ὑπ᾽ αὐτοῦ γεγονότων τὸ ἐπιτίμιον ἑαυτῷ ἐπιτίθησι. ποίας γὰρ εἴην φησὶ συγγνώμης ἄξιος ὁ μηδὲ τῇ ἑτέρου τιμωρίᾳ σωφρονισθεὶς, ἀλλὰ καὶ ἔναυλον ἔχων τὴν μνήμην, καὶ προσέτι ἐπὶ τούτοις διπλοῦν εἰργασμένος φόνον; ὅτι ἄνδρα φησὶν ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. οὐ τοσοῦτον ἠδίκησα, φησὶν ἐκείνους, οὓς ἀνεῖλον, ὅσον ἐμαυτόν. εἰς ἄφυκτον γὰρ τιμωρίαν ἑαυτὸν ἐνέβαλον ὡς ἁμαρτήματα ἐργασάμενος συγγνώμης ἐπέκεινα. εἰ γὰρ ἐκεῖνος ὑπὲρ τοῦ ἑνὸς φόνου ἑπτὰ τιμωρίαις ὑπεύθυνος γέγονεν, ἐγὼ δίκαιος ἂν εἴην ἑβδομηκοντάκις ἑπτὰ τι- B μωρίας ὑποσχεῖν. τίνος ἕνεκεν καὶ διὰ τί; εἰ γὰρ καὶ φόνον ἐκεῖνος εἰργάσατο, καὶ ἀδελφοῦ φόνον, ἀλλ᾽ οὐδένα οὐδέποτε πρότερον θεασάμενος τοῦτο πεποιηκότα, οὐδὲ κατιδὼν ἕτερον διὰ τὴν πρᾶξιν τιμωρηθέντα καὶ τοσαύτης πειραθέντα τῆς ἀγανακτήσεως, ἅπερ ἀμφότερα ἐμοὶ αὔξει τὰς τιμωρίας, ὅτι καὶ πρὸ τῶν ὀφθαλμῶν ἔχων τὸ ὑπ᾽ ἐκείνου τολμηθὲν, καὶ τὴν τιμωρίαν ὁρῶν οὕτως ἀνήκεστον οὖσαν, οὐδὲ οὕτως ἐσωφρονίσθην. διὰ τοῦτο κἂν ἑβδομηκοντάκις ἑπτὰ τιμωρίας ἐκείνου ὑποστῶ, C οὐδὲ οὕτω τὴν ἀξίαν δώσω δίκην. ὁρᾷς ἀγαπητὲ πῶς αὐτεξούσιον ἡμῶν τὴν γνώμην ὁ θεὸς ἐδημιούργησε, καὶ ὥσπερ ῥαθυμοῦντες ὑποσκελιζόμεθα, οὕτω καὶ νῆψαι βουληθέντες συνορῶμεν τὸ δέον; τίς γὰρ εἰπέ μοι τοῦτον ἐπὶ τοσαύτην ἐξομολόγησιν κατήπειξεν; οὐδεὶς ἕτερος, ἀλλ᾽ ἢ τὸ συνειδὸς καὶ ὁ δικαστὴς ἐκεῖνος ὁ ἀδέκαστος. ἐπειδὴ γὰρ εἰς ῥαθυμίαν ἀποκλίνας εἰς ἔργον ἤγαγε τὴν κακὴν ἐπιχείρησιν, εὐθέως κατεξανέστη τὸ συνειδὸς καταβοῶν καὶ δεικνύον καὶ τῶν ἁμαρτηθέντων τὸ μέγεθος, καὶ ὅσαις τιμωρίαις ἑαυτὸν ὑπεύθυνον εἰργάσατο. D τοιοῦτον γὰρ ἡ ἁμαρτία. πρὶν ἢ μὲν γὰρ παραχθῆναι, καὶ εἰς ἔργον ἐλθεῖν σκοτοῖ τὸν λογισμὸν, καὶ ἀπατᾷ τὴν διάνοιαν· ἐπειδὴ δὲ τελεσθῇ, τότε δήλην ἡμῖν τὴν αὐτῆς ἀτοπίαν καθίστησι· καὶ ἡ βραχεῖα ἐκείνη καὶ ἄτοπος ἡδονὴ διηνεκῆ τὴν ὀδύνην ἡμῖν ἐντίθησι, καὶ τοῦ συνειδότος ἀφαιρεῖται τὴν παρρησίαν, καὶ αἰσχύνῃ περιβάλλει τὸν ἁλόντα. ὁ γὰρ φιλάνθρωπος δεσπότης τοιοῦτον ἡμῖν τὸν κατήγορον τοῦτον ἐπέστησεν,

ſed & pœnam ſibi inferebat comparans peccatum ſuum peccato Cain. Qua enim venia, inquit, fuerit dignus, qui alterius pœna emendatior non fit, ſed recentem & auribus inſonantem habens eius memoriam, inſuper duplex homicidium patrauit? Quia virũ, inquit, occidi in vulnus mihi, & adoleſcentem in cicatricem mihi. Non tantum, inquit, nocui illis quos occidi, quantum mihi ipſi. In pœnam enim quam effugere non poſſum, meipſum conieci, peccata operatus tanta, quæ veniam non merentur. Nam ſi ille pro vna cæde ſeptem pœnis obnoxius factus eſt, ego dignus fuerim ſeptuagies ſepties pœnã luere. Cuius rei gratia, & quare? Nam licet cædẽ ille patrauit, idque fratris, attamen nullo vnquam antea conſpecto, qui hoc fecerat, neque alio viſo qui pœnã dederat eiuſmodi facinoris, & tãtam iram fuerat expertus, quæ vtraque mihi pœnas augent. Quia & ante oculos habens quod ab illo perpetratum, & pœnam videns ſic immedicabilem eſſe, cautior factus non ſum. Propterea licet ſeptuagies ſepties magis quàm ille puniter, attamen neque ſic dignam luerem pœnam. Vidiſti dilecte, quomodo noſtram Deus mentem fecit liberi arbitrij, & ſicut deſides ſupplantamur, ità & ſi vigiles eſſe voluerimus, cõtuemur quod oportet? Quis enim iſtum, dic obſecro, talem ad confeſſionem adegit? nullus alius quàm conſciẽtia, & incorruptus ille iudex. Nam ſimul ac in peccatum declinauerat, & opere perfecerat malum conatum: ſtatim inſurrexit conſcientia, inclamánſque, & oſtendens peccatorum magnitudinem, & quantis ſeipſum pœnis obnoxium reddidiſſet. Ita enim ſe habet peccatum, vt priuſquam fiat, & ad opus perueniat, obtenebret & decipiat mentem: poſtquam autem conſummatum fuerit, manifeſtè ſuam nobis abſurditatem proferat & oſtendat. Vnde breuis illa & abſurda voluptas continuum menti dolorem inſerit, conſcientiæque fiduciam aufert, atque illum qui ſuccubuerit, confuſione perfundit. Benignus enim Deus eiuſcemodi nobis accuſatorem aſſiſtere voluit,

Liberũ arbitriũ hominis.

vt nunquam ſoli relinquamur: ſed indeſinenter ille congrediēs clamet, & pœnam exigat delictorum. Et hoc quis viderit manifeſtè ex factis ipſis. Scortator enim, vel adulter, vel qui aliud tale quiddam admiſit, etiam ſi omnes latere queat, nunquam tamē ſic in tranquillitate viuit, quin habēs acrem illum accuſatorem ſuſpiciones timeat, vmbras tremiſcat, & eos qui conſcij ſunt, & qui non ſunt: perpetuáque in animo eius tempeſtas eſt, & reciprocantes ac contrarij fluctus. Inſuper neque ſomnus ei ſuauis, ſed terrore & formidine plenus: neque cibus voluptatem præbet, neque amicorum colloquia talem refocillare, vel liberare ab vrgente anxietate poſſunt: ſed quaſi carnificem circumgeſtaret, ſe lancinantem, & flagellantem continuò, ita poſt abſurdum facinus obambulat, nullo conſcio ſuſtinens intolerabiles pœnas illas, & iudex ſuiipſius factus, & accuſator. Attamen qui hæc fecit, ſi voluerit, vt decet, vti conſcientiæ adiumento, & ad confeſſionem facinorum feſtinare, & medico oſtendere vlcus, qui curet & non exprobret, atque ab illo remedia accipere, & ſoli ei loqui, nullo alio conſcio, & omnia dicere cum diligentia, facilè peccata ſua emendabit. Confeſſio enim peccatorum, abolitio etiam eſt delictorum. Quòd ſi Lamech ille ſuis mulieribus cædes à ſe commiſſas detegere & confiteri non refugit: quali erimus venia digni, ſi ei qui omnia noſtra accuratè nouit delicta, confiteri peccata nolumus? Num enim quia ignorat? diſcere vult? Nequaquam quia ignorat, confeſſionem à nobis requirit, qui omnia ſcit antequam fiant: ſed volens per confeſſionem nos quoque peccatorum habere ſenſum, & gratitudinem erga ſe oſtendere. Num enim opes aliquæ hîc ſunt expendendæ? Num via prolixa eunda eſt? Num dolorem & cruciatus affert hæc medicina? Abſque ſumptu & cruciatu eſt præſens pharmacum, & quam celerrimè curat. Vt enim diligens eſt ac intentus accedentis animus, ſic & remedia vulnerum largitur dominus. Igitur qui vult ſtatim ad ſanitatem ſuam redire, animæque

Cur à nobis confeſſionem exigat Deus.

A ὡς μηδέποτε ἠρεμεῖν, ἀλλ' ἀδιαλείπτως συνόντα καταβοᾶν, καὶ δίκην ἀπαιτεῖν τῶν πεπλημμελημένων, καὶ τοῦτο ἄν τις ἴδοι σαφῶς ἐξ αὐτῶν τῶν πραγμάτων. ὁ γὰρ πόρνος ἢ ὁ μοιχὸς ἢ ἕτερόν τι τοιοῦτον εἰργασμένος, κἂν πάντας λαθεῖν δυνηθῇ, οὐδὲ οὕτως ἐν ἠρεμίᾳ διάγει, ἀλλ' ἔχων τοῦτον τὸν σφοδρὸν κατήγορον τὰς ὑποψίας δέδοικε, τὰς σκιὰς τρέμει, τοὺς εἰδότας τοὺς οὐκ εἰδότας, διηνεκῆ χειμῶνα ἔχων ἐν ψυχῇ καὶ κύματα ἐπάλληλα, καὶ οὔτε ὕπνος τῷ τοιούτῳ ἡδὺς, ἀλλὰ φόβου καὶ δειμάτων πεπληρωμένος, οὔτε τροφὴ ἡδονὴν ἔχουσα, οὔτε διάλεξις φίλων τὸν τοιοῦτον μεταγαγεῖν B δυνήσεται ἢ ἀπαλλάξαι τοῦ ἀγῶνος τοῦ ἐπικειμένου· ἀλλὰ καθάπερ δήμιον περιφέρων καταξαίνοντα αὐτὸν καὶ μαστίζοντα διηνεκῶς, οὕτω μετὰ τὴν ἄτοπον πρᾶξιν ἐκείνην περιέρχεται οὐδενὸς εἰδότος τὰς ἀφορήτους ἐκείνας τιμωρίας ὑπέχων καὶ δικαστὴς ἑαυτοῦ γινόμενος καὶ κατήγορος. ἀλλ' ὁ ταῦτα εἰργασμένος ἐὰν βουληθῇ εἰς δέον χρήσασθαι τῇ ἀπὸ τοῦ συνειδότος βοηθείᾳ, καὶ ἐπὶ τὴν ἐξομολόγησιν τῶν πεπραγμένων ἐπειχθῆναι, καὶ τῷ ἰατρῷ δεῖξαι τὸ ἕλκος τῷ θεραπεύοντι, καὶ μὴ ὀνειδίζοντι, καὶ τὰ παρ' ἐκείνου φάρμακα δέ- C ξασθαι, καὶ μόνος αὐτῷ διαλεχθῆναι μηδενὸς εἰδότος, καὶ πάντα εἰπεῖν μετ' ἀκριβείας, ταχεῖαν ποιήσει τὴν διόρθωσιν τῶν ἐπταισμένων. ἡ γὰρ ὁμολογία τῶν ἡμαρτημένων ἀφανισμὸς γίνεται τῶν πλημμελημάτων. Εἰ γὰρ δὴ ὁ Λάμεχ οὗτος ταῖς ἑαυτοῦ γυναιξὶ τοὺς παρ' αὐτοῦ γενομένους φόνους ἐξαγορεῦσαι οὐ παρῃτήσατο, ποίας ἂν εἴημεν συγγνώμης ἄξιοι τῷ πάντα μετ' ἀκριβείας εἰδότι τὰ ἡμέτερα πλημμελήματα μὴ βουλόμενοι ἐξαγορεύειν τὰ ἡμαρτημένα; μὴ γὰρ ἐπειδὴ ἀγνοεῖ μαθεῖν βούλεται; οὐκ ἐπειδὴ ἀγνοεῖ τὴν παρ' ἡμῶν ὁμολογίαν D ἐπιζητεῖ ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν· ἀλλὰ βουλόμενος ἡμᾶς ὁμοῦ καὶ αἴσθησιν λαβεῖν τῶν ἐπταισμένων διὰ τῆς ὁμολογίας, καὶ τὴν εὐγνωμοσύνην τὴν παρ' ἑαυτῶν ἐπιδείξασθαι. μὴ γὰρ χρήματα ἔπεστιν ἐνταῦθα δαπανῆσαι; μὴ γὰρ ὁδὸν μακρὰν στείλασθαι; μὴ γὰρ ὀδύνην καὶ ἀλγήματα παρέχει ἡ ἰατρεία αὕτη; καὶ ἀδάπανός ἐστι καὶ ἀνώδυνος καὶ ταχεῖαν παρέχουσα τὴν θεραπείαν. πρὸς γὰρ τὸν τόνον τῆς διαθέσεως τοῦ προσιόντος, οὕτω καὶ τὰ φάρμακα τῶν τραυμάτων χαρίζεται ὁ δεσπότης. ὁ τοίνυν βουλόμενος θᾶττον πρὸς ὑγίειαν ἐπανελθεῖν καὶ τὰ τῆς ψυχῆς

ἕλκη θεραπεῦσαι μετὰ νήψεως προσιέτω πάντων A ἑαυτὸν ἀποστήσας τῶν βιωτικῶν, θερμὰ δάκρυα προχεέτω, προσεδρείαν πολλὴν ἐπιδεικνύσθω, πίστιν ἀκριβῆ εἰσφερέτω, καὶ θαῤῥείτω τοῦ ἰατροῦ τῇ τέχνῃ, καὶ παραχρῆμα τῆς ὑγείας ἀπολαύσεται. εἶδες ἰατροῦ φιλοτιμίαν πάντος πατρὸς φιλοστοργίαν ἀποκρύπτοντος; μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς παρ' ἡμῶν ἐπιζητεῖ; συντριβὴν καρδίας, λογισμοῦ κατάνυξιν, ὁμολογίαν πταίσματος, προσεδρείαν συντεταμένην, καὶ οὐ μόνον τῶν τραυμάτων θεραπείαν χαρίζεται, καὶ τῶν ἡμαρτημένων καθαροὺς ἀποδείκνυσιν, ἀλλὰ καὶ τὸν πρὸ τούτου μυρίοις βαρυνόμενον φορτίοις ἁμαρτημάτων δίκαιον B ἀπεργάζεται. ὢ φιλανθρωπίας μέγεθος. ὢ ἀγαθότητος ὑπερβολή. τὸν ἡμαρτηκότα, ἐπειδὰν ὁμολογήσῃ τὰ ἡμαρτημένα συγγνώμην αἰτήσας, καὶ τὴν εἰς τὸ ἑξῆς ἀσφάλειαν ἐπιδείξηται, ἀθρόον δίκαιον ἀποφαίνει. καὶ ἵνα μάθῃς τοῦτο σαφῶς, ἄκουε τοῦ προφήτου λέγοντος· λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. οὐχ ἁπλῶς εἶπε λέγε σὺ τὰς ἀνομίας σου, ἀλλὰ προσέθηκε πρῶτος, τουτέστι μὴ ἀναμείνῃς τὸν ἐλέγχοντα, μηδὲ ἐκδέξῃ τὸν κατήγορον· αὐτὸς προλαβὼν ἅρπασον τὰ πρωτο- C λόγια, ἵνα ἀποκλείσῃς τοῦ κατηγόρου τὴν γλῶτταν. εἶδες δικαστοῦ φιλανθρωπίαν; ἐπὶ μὲν γὰρ τῶν ἀνθρωπίνων δικαστηρίων, ὅταν τις τοῦτο ποιῆσαι καταδέξηται, καὶ τοὺς ἐλέγχους προλαβὼν ὁμολογήσῃ τὰ εἰργασμένα, τὰς μὲν βασάνους καὶ τὰς ἐπαλλήλους τιμωρίας ἴσως διαφυγεῖν δυνήσεται, καὶ ταῦτα εἰ ἡμέρου τινὸς ἐπιτύχῃ δικαστοῦ, τὴν μέντοι ἀπόφασιν τὴν πρὸς θάνατον ἀπάγουσαν πάντως δέχεται. ἐπὶ δὲ τοῦ φιλανθρώπου θεοῦ καὶ τοῦ ἰατροῦ τῶν ἡμετέρων ψυχῶν ἄφατος ἡ ἀγαθότης καὶ πάντα λόγον ὑπερβαίνουσα ἡ φιλοτιμία. ἐὰν γὰρ προλαβόντες τὸν ἀντίδι- D κον τὸν ἡμέτερον, τὸν διάβολον λέγω, τὸν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κατὰ πρόσωπον ἡμῶν ἱστάμενον, καὶ ἤδη ἐν τῷ παρόντι βίῳ πρὸ τῆς εἰς τὸ δικαστήριον εἰσόδου ὁμολογήσωμεν τὰ πεπραγμένα, καὶ τὴν πρωτολογίαν ἁρπάσωμεν, καὶ αὐτοὶ ἑαυτῶν κατήγοροι γενώμεθα, εἰς τοσαύτην φιλανθρωπίαν ἐκκαλεσόμεθα τὸν δεσπότην, ὡς μὴ μόνον τὴν ἐλευθερίαν τῶν ἡμαρτημένων ἡμῖν δωρήσασθαι, ἀλλὰ καὶ εἰς τὸν τῶν δικαίων κατάλογον ἡμᾶς καταριθμῆσαι. εἰ γὰρ ὁ Λάμεχ ἐκεῖνος μήτε νόμου δεδομένου τοῦ διδάσκειν δυναμένου, μήτε προφητῶν ἀκούσας,

curare vlcera, diligenter medicum adeat, ab omnibus ſecularibus curis ſe abdicans; calidas lachrymas profundat, ſedulitatem plurimam præ ſe ferat, fidem firmam afferat, & medici confidat arti; & protinus ſanitatem conſequetur. Vidiſti medici gloriam, ad quam ſi omnium patrum amor conferatur, obſcurabitur. Num graue aliquid & moleſtum à nobis requirit? contritionem vult cordis, compunctionem mentis, confeſſionem ruinæ, ſedulitatem continuam: & non ſolum largitur vulnerum curam, & à peccatis mundos oſtendit: ſed & eum qui antea innumeris peccatorum ſarcinis grauabatur, iuſtum efficit. O miſericordiæ magnitudinem! O bonitatis excelſiam! Qui peccauit, quando confitetur peccata, & veniam petit, accipit poſthac ſecuritatem; repentéque iuſtus apparet. Et quò clarè hoc diſcas, audi prophetam dicentem: Dic tu prior iniquitates tuas: vt iuſtificeris. Non ſimpliciter inquit, Dic tu iniqutates tuas: ſed adiecit, prior: hoc eſt, ne expectes te arguentem, ne præſtoleris actorem. Ipſe præueni, & rape ſermonis principiũ, vt accuſatoris linguam obmuteſcere facias. Vidiſti iudicis benignitatem? In humanis qu... iudiciis ſi quis hoc faceret, & ante accuſationem facinora confiteretur, quamuis apud humanum fortaſſe iudicem tormenta & ſibi ſuccedentes pœnas effugeret, tamen ſententiam capitalem omnino in ſuum caput accerſeret: at miſericordis Dei, & animarum noſtrarum medici tanta eſt támque ineffabilis bonitas & clementia, vt omnem etiam ſermonem excedat. Nam ſi aduerſarium noſtrum præuerterimus, diabolum dico, qui in die illo ob faciem noſtram ſtabit: & iam in præſenti vita antequam ad tribunal ingredimur, facinora confeſſi fuerimus, dicendíque principium rapuerimus, noſtri ipſorum facti accuſatores, in tantam miſericordiam prouocabimus dominum, vt non ſolùm nobis donet liberari à peccatis, ſed & in iuſtorum catalogo numerari. Enimuerò ſi Lamech ille, qui neque legem habuit vnde hoc diſcere poſſet, neque prophetas audiuit,

Eſaiæ 43.

neque vllam aliam admonitionem, ex iudicio, quod naturæ datum, conſcius eorum quæ auſus fuit, & in medium attulit quę patrauit, & ſeipſum condemnauit : quomodo aliquam defenſionem nos habere poterimus, vulnera non omni diligentia domino oſtendentes, eorum iam medicinam ab eo ſuſcepturi ? id quod niſi nunc fecerimus, quando ieiunij tempus eſt, quando tanta mentium tranquillitas, quando luxus omnis ablatus è medio : quando ad cogitanda facinora noſtra vt veniamus vacabit? Idcirco ſemper vos obſecro, vt ſobrij ſitis & vigiles, & præſentem vitam omnem in hoc inſumatis, vt ſedulitate perſeuerantiáque in bonis operibus, intolerabile illud ſuppliciū effugiamus, & ignem gehennæ non ingrediamur. Maximè autem nunc, maioríque ſtudio id curandū, quando propter ieiunij tempus continuis maioribúſque fruimini admonitionibus. 24 *Cognouit autem*, inquit, *Adam Euam vxorem ſuam : & vt concepit, peperit filium, & appellauit nomen illius Seth, dicens : Excitauit enim mihi Deus ſemen aliud pro Abel, quem occidit Cain.* Poſtquam ſcriptura diuina genealogicam vſque ad Lamech deduxit, iterum ad Adam & vxorem illius regreditur : & dicit, Cognouit autem Adam Euam vxorem ſuam: & vt concepit, peperit filium, appellauítque nomen illius Seth, dicens: Excitauit enim mihi Deus ſemen aliud pro Abel, quem occidit Cain. Peperit, inquit, filium, appellauítque nomen illius Seth. Nec contēta mater quòd impoſuiſſet illi nomen, dicit: Excitauit enim mihi Deus ſemen aliud pro Abel, quem occidit Cain. Vide hîc quomodo & mater per appellationem nati filij, memoriam ſceleſti huius operis continuam mentibus inſerit. Atque vt etiam poſteri ſciant, quid Cain patrare auſus fuerit, dicit, pro Abel, quem occidit Cain. Dolentis animæ verba ſunt, & confuſæ ob facinoris memoriam. Partim autem gratias agit Eua pro nato puero, partim appellando puerum, quaſi infamat Cain. Nam verè luctum non mediocrem parentibus attulerat, qui dextram ſuam aduerſus fratrem armauerat:

Seth, id eſt, poſitus, vel poſuit.

A μήτε ἑτέρας τινὸς παραινέσεως, ἀπὸ τοῦ ἐγκειμένου τῇ φύσει κριτηρίου συνειδὼς ἅπερ ἐτόλμησε, καὶ εἰς μέσον ἤγαγε τὰ εἰργασμένα, καὶ ἑαυτοῦ κατεψηφίσατο, πῶς ἡμεῖς δυνησόμεθα ἀπολογίας τινὸς τυχεῖν μὴ μετὰ πάσης σπουδῆς τὰ ἡμέτερα τραύματα ἐπιδεικνύντες τῷ δεσπότῃ καὶ τὴν αὐτοῦ τούτων ἰατρείαν δεχόμενοι; ὅπερ εἰ μὴ νῦν ποιήσαιμεν, ὅτε νηστείας καιρὸς, ὅτε τοσαύτη τῶν λογισμῶν ἡ γαλήνη, ὅτε πᾶσα τρυφὴ ἐκποδὼν, πότε δυνησόμεθα εἰς ἔννοιαν ἐλθεῖν τῶν ἡμῖν πεπραγμένων; διὸ παρακαλῶ πάντοτε μὲν νήφειν καὶ ἐγρηγορέναι, καὶ τὴν παροῦσαν ζωὴν ἅπασαν B εἰς τοῦτο καταδαπανᾶν, ἵνα τῇ προσεδρείᾳ δυνηθῶμεν τὴν ἀφόρητον ἐκείνην κόλασιν διαφυγεῖν, καὶ ἐκτὸς γενέσθαι τοῦ τῆς γεέννης πυρὸς, μάλιστα δὲ νῦν μετὰ πλείονος τῆς σπουδῆς τοῦτο δεῖ ποιεῖν, ὅτε διὰ τὸν τῆς νηστείας καιρὸν καὶ πλείονος καὶ συνεχοῦς ἀπολαύετε τῆς διδασκαλίας. ἔγνω δέ φησιν Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σὴθ λέγουσα· ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ ὃν ἀπέκτεινε Κάϊν. μέχρι τοῦ Λάμεχ τὴν γενεαλογίαν στήσασα ἡ θεία γρα- C φὴ ἐπανῆλθε πάλιν ἐπὶ τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα αὐτοῦ, καί φησιν· ἔγνω δὲ Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σὴθ λέγουσα, ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. ἔτεκέ φησιν υἱὸν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σὴθ, καὶ οὐκ ἠρκέσθη ἡ μήτηρ τῇ τεθείσῃ προσηγορίᾳ φησίν· ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. ὅρα καὶ τὴν μητέρα, ὅπως διὰ τῆς προσηγορίας τοῦ τεχθέντος παιδίου τὴν μνήμην τῆς πο- D νηρᾶς ἐκείνης πράξεως διηνεκῆ ἐναποτίθεται, καὶ ἵνα καὶ οἱ εἰς τὰς ἑξῆς γενεὰς εἰδέναι ἔχωσι τὸ τολμηθὲν ὑπὸ τοῦ Κάϊν φησίν· ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν· ὀδυνωμένης ψυχῆς τὸ ῥῆμα, συγχεομένης ὑπὸ τῆς μνήμης τοῦ γεγονότος, καὶ εὐχαριστούσης μὲν ὑπὲρ τοῦ τεχθέντος, μονονουχὶ δὲ στηλιτευούσης ἐκεῖνον διὰ τῆς τοῦ παιδὸς προσηγορίας. καὶ γὰρ ἀληθῶς οὐ τὸ τυχὸν πένθος εἰργάσατο τοῖς γονεῦσι τὴν ἑαυτοῦ δεξιὰν ὁπλίσας κατὰ τοῦ ἀδελφοῦ,

καὶ τὸν ποθεινὸν καὶ ἐπέραστον, δείξας αὐτοῖς χαμαὶ ἐῤῥιμμένον νεκρὸν καὶ ἀναίσθητον. εἰ γὰρ καὶ τὸ ἐπιτίμιον ἐδέξατο ὁ Ἀδὰμ, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, καὶ ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε· ἀλλ᾽ ὅμως ἐν ῥήμασιν ἦν τέως τὰ τῆς ἀποφάσεως, καὶ οὐδέπω εἰδόσαν, τί ἦν τοῦ θανάτου τὸ εἶδος. ἀλλ᾽ οὗτος πρῶτος λαβὼν διὰ τὸ μῖσος τὸ περὶ τὸν ἀδελφὸν, καὶ τὸν φθόνον τὸν ἔνδοθεν αὐτὸν τήκοντα ἐπὶ τὴν σφαγὴν ὥρμησε τοῦ Ἄβελ, καὶ δεινὸν θέαμα παρέσχε τοῖς γονεῦσιν ἰδεῖν. διά τοι τοῦτο ἡ μήτηρ μικρὸν ἀναπνεύσασα, καὶ μόλις ὀψέ ποτε τοῦ ἀφορήτου πένθους ἐκείνου παραμυθίαν εὑρεῖν δυνηθεῖσα διὰ τοῦ τεχθέντος παιδὸς, καὶ τὴν εὐχαριστίαν ἀναφέρει τῷ δεσπότῃ, καὶ τοῦ ἀδελφοκτόνου στηλιτεύει τὴν πρᾶξιν, ταύτην αὐτῷ καὶ αὐτὴ μεγίστην τιμωρίαν ἐπάγουσα τὸ διηνεκῆ τὴν μνήμην ἐναποθέσθαι τῷ παρ᾽ αὐτοῦ γεγενημένῳ. εἴδετε ὅσον κακόν ἐστιν ἁμαρτία; πῶς εἰς αἰσχύνην καὶ ὄνειδος περιτίθησι τοῖς ταύτην εἰργασμένοις; εἴδετε πῶς τῆς ἄνωθεν χάριτος διὰ ταύτην γυμνὸς γέγονε, καὶ ἅπασι προκείμενος εἰς καταγέλωτα; εἴδετε πῶς καὶ τοῖς γονεῦσι τοῖς ὑπὸ τῆς φύσεως αὐτῆς ὠθουμένοις εἰς φιλοστοργίαν βδελυκτὸς κατέστη διὰ τὴν κακὴν ἐπιχείρησιν; φεύγωμεν τοίνυν παρακαλῶ τὴν ἁμαρτίαν τὴν τοσούτοις ἡμᾶς περιβάλλουσαν κακοῖς, ἵνα καὶ τὴν ἀρετὴν ἑλώμεθα, καὶ ἵνα τὴν ἄνωθεν εὔνοιαν ἐπισπασώμεθα, καὶ τὴν κόλασιν διαφύγωμεν. καὶ τῷ Σὴθ φησιν ἐγένετο υἱὸς, ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἐνώς. οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ. ὅρα πῶς κατὰ μικρὸν λοιπὸν παιδεύονται ταῖς προσηγορίαις τῶν τικτομένων ἐναποτίθεσθαι τῆς οἰκείας εὐγνωμοσύνης τὴν ἀπόδειξιν. καὶ οὗτος γάρ φησιν ὁ Σὴθ γεννήσας υἱὸν ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἐνώς. εἶτα ἑρμηνεῦσαι ἡμῖν βουλομένη ἡ θεία γραφὴ τοῦ ὀνόματος τὴν προσηγορίαν φησίν· οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ. καὶ γὰρ ἐκ τούτου λοιπὸν τὴν ἀρχὴν μέλλει ποιεῖσθαι ὁ μακάριος προφήτης τῆς γενεαλογίας, τοῦ Κάϊν τὴν μνήμην ἀποπεμψάμενος, καὶ τῶν ἐξ αὐτοῦ μέχρι τοῦ Λάμεχ γεγονότων. καὶ ἐπειδὴ τὴν ἀπὸ τῆς φύσεως αὐτῷ προεδρίαν χαρισθεῖσαν, τὰ τῶν πρωτοτόκων λέγω, τῇ κακίᾳ τῆς προαιρέσεως ἐλυμήνατο, ἐκβάλλεται μὲν αὐτὸς καὶ οἱ ἐξ αὐτοῦ τοῦ καταλόγου, ὁ δὲ Σὴθ λοιπὸν ὅπερ οὐκ εἶχεν ἀπὸ τῆς φύσεως, τούτου διὰ τὴν τῆς προαιρέσεως εὐγνωμοσύνην ἀξιοῦται.

A & tam charum illum & amabilem illis oſtenderat humi iacentem mortuum, & ſenſu carentem. Nam licet ſententiam acceperit Adam, Terra es, & in terram abibis: &, quocunque die comederitis, morte moriemini: ſententiam tamen in verbis hactenus cognoſcebant, & nondum nouerant qualis eſſet mortis ſpecies: ſed hic primus ob odium in fratrem, & liuorem qui intrinſecus illum rodebat, in fratricidium ruit, graue parentibus ſpectaculum exhibens. Proinde mater, quæ parum reſpirauit, & vix tandem aliquando tanti luctus B conſolationem inuenit, gratias agit domino ob natum puerum, & fratricidæ ſcelus infamat: hac maxima illũ pœna afficiens, vt factum illius perpetuæ commendaretur memoriæ. Vidiſtis quantum malum ſit peccatum? & quomodo peccantibus confuſionem & opprobrium inurat? Vidiſtis quomodo propter hoc diuina gratia ſpoliatus, & omnibus ridiculus factus ſit? Vidiſtis quomodo & parentibus, natura ad amandos filios propenſis, propter peſſimum hoc faC cinus abominabilis fuerit? Igitur fugiamus obſecro peccatũ, quod tantis nos malis inuoluit, & virtutem arripiamus, vt & Dei nobis gratiam conciliemus, & ſupplicium effugiamus.

Gen. 3. 19. & 2. 17.

Peccatũ opprobrium inurit.

[25] *Et Setho, inquit, natus eſt filius. Appellauit autem nomẽ illius Enos: hic ſperauit inuocare nomen domini Dei.* Vide hîc, quomodo poſtea paulatim docentur & prudentes fiũt, in appellationibus filiorum ſuæ gratitudinis indicium reponentes. Quia & hîc dicit, quòd Seth nati filij nomẽ appellauit Enos, & deinde ſcriptura volens nobis noD minis appellationem interpretari, inquit, Hic ſperauit inuocare nomen domini Dei. Ex hoc enim poſthac beatus propheta genealogiam memoraturus eſt, reiecta memoria Cain, & eorum qui vſque ad Lamech ab eo deſcenderunt. Nam quia primatum natura ſibi datum, primogenituræ dignitatem inquam, ſuæ voluntatis malitia dehoneſtarat, & ipſe, & qui ex eo nati, catalogo eiiciuntur. Seth verò quod ſibi natura negatum erat, id mentis dexteritate conſequitur, nempe in ſe tranſlatum primogenituræ ius.

Et quamuis non natura, attamen ob voluntatis intētionem ac iudicium, etiam qui ex eo nati ſunt, in genealogiis recenſentur. Et ſicut hic Enos vocatus eſt, eò ꝙ inuocauit nomen Domini Dei: ſic & q. ex eo deinceps ducūt originem, eandem ſortiuntur appellationem. Et propterea beatus hic propheta narrando hîc ſubſiſtēs, aliud iterum principium facit. Cæterùm ne in cœpta lectione, aliquātò prolixiorem faciamus ſermonē, hîc etiam nos cum beato propheta ſermoni finem imponamus, ſequentem interpretationem in alium ſermonē reponentes. Iam autem admonitum charitatē veſtram vellē, quò ampliorem quendam ex dictis noſtris fructum percipiatis, vt quotidie vos examinetis, quid ex hoc ſermone, & quid ex alio lucrifeceritis: & non ſolùm auribus percipiatis noſtra dicta, ſed & menti veſtræ bene commendetis, & quotidiana meditatione memoriam veſtram firmetis. Vellem enim vos non vobis tantum proficere, ſed & aliorum fieri magiſtros, ita vt poſſitis etiam alios admonere: neque hoc verbis duntaxat agere, ſed & operibus erudire proximos ad præclarum virtutis officium. Cogitate oro, quòd ſi vos, qui hîc affuiſtis, quotidie portiunculam tantum accepiſſetis ad emendandas affectionum perturbationes, iam ad ſummum aliquod faſtigium perueniſſetis. Nam non ceſſamus quotidianis ſermonibus inculcare auribus veſtris, quæ ad inſtituendam optimam vitam attinent, vt eradicentur mali iſti affectus, iram dico, inuidiam & liuorem: quibus ſublatis, facilius & inſania illa in colligendis pecuniis emendationem admitteret: & ceſſante inſania auaritiæ, maiori ſecuritate illicitæ fœdæque cogitationes comprimerentur. Radix enim omnium malorum eſt auaritia. Quòd ſi radicem funditus extirpauerimus, facilius ramos licebit amputare. Arx enim malorum, & colophon, vt ita dicam, peccatorum, eſt rabies illa colligendarum diuitiarum: quam ſi domare voluerimus, nihil vetat, quin ſimul & hac inſania liberemur, & cum hac euellamus, & eradicemus omnes pernicioſos affectus.

Moralis exhortatio cōtra auaritiam.

1. Tim. 6.1.

A καὶ εἰς τοῦτον μεθίσταται λοιπὸν τὰ τῆς πρωτοτοκίας, εἰ καὶ μὴ διὰ τὴν φύσιν, ἀλλὰ διὰ τὴν τῆς προαιρέσεως γνώμην, καὶ οἱ ἐκ τούτου τικτόμενοι τῆς γενεαλογίας ἀξιοῦνται. καὶ ὥσπερ οὗτος Ἐνὼς ἐκλήθη διὰ τὸ ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ, οὕτω καὶ οἱ ἐκ τούτου λοιπὸν τὸ γένος καταγόμενοι τῆς αὐτῆς ἀξιοῦνται προσηγορίας. διὰ τοῦτο καὶ ὁ μακάριος οὗτος προφήτης ἐνταῦθα στήσας τὴν διήγησιν πάλιν ἀρχὴν ἑτέραν ποιεῖται. ἀλλ' ἵνα μὴ ἀρξάμενοι τοῦ ἀναγνώσματος εἰς πολὺ μῆκος ἐκτείνωμεν τὴν διδασκαλίαν, ἐνταῦθα καὶ ἡμεῖς καθάπερ ὁ μακάριος οὗτος προφήτης καταπαύσωμεν τὸν *Ηθικόν*
B λόγον εἰς τὴν ἑξῆς ἐὰν ὁ θεὸς ἐπιτρέπῃ τὴν ἑπομένων τὴν ἑρμηνείαν ταμιευσάμενοι. τέως δὲ ἐπὶ τοῦ παρόντος ἐκεῖνο παρακαλέσαι τὴν ὑμετέραν ἀγάπην βούλομαι, ὥστε καρποῦσθαί τι πλέον ἐκ τῶν παρ' ἡμῶν λεγομένων, καὶ καθ' ἑκάστην ἡμέραν ἑαυτοῖς διερευνᾶσθαι, τί μὲν ἐκ ταύτης τῆς διδασκαλίας ἐκερδάνατε, τί δὲ ἐκ τῆς ἑτέρας, καὶ μὴ μόνον μέχρι τῆς ἀκοῆς δέχεσθαι τὰ παρ' ἡμῶν λεγόμενα, ἀλλὰ καὶ εἰς τὴν διάνοιαν ὑμῶν αὐτὰ ἐναποτίθεσθαι, καὶ τῇ συνεχεῖ μελέτῃ παγίαν αὐτῶν τὴν μνήμην ποιεῖσθαι. βούλομαι γὰρ ὑμᾶς μὴ μόνον ἑαυτοῖς ἀρκεῖν, ἀλλὰ καὶ ἑτέροις δι-
C δασκάλους γίνεσθαι, ὥστε δύνασθαι καὶ ἑτέρους νουθετεῖν, καὶ μὴ διὰ λόγων μόνον τοῦτο ποιεῖν, ἀλλὰ καὶ διὰ τῶν ἔργων παιδεύειν τοὺς πλησίον πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν. ἐννόησον γάρ μοι, ὅτι εἰ ἐβουλήθητε καθ' ἑκάστην ἡμέραν ἐνταῦθα παραγινόμενοι μικρόν τι μέρος καρποῦσθαι, καὶ τῶν ἐνοχλούντων ὑμῖν παθῶν διόρθωσιν ποιήσασθαι, πῶς κατ' ὀλίγον εἰς αὐτὴν τῆς ἀρετῆς τὴν ἄκραν κορυφὴν ἐληλύθειτε. οὐδὲ γὰρ παυόμεθα ἐφ' ἑκάστης διαλεγόμενοι, καὶ περὶ τῆς ἀρίστης πολιτείας ὑμῖν ἐνηχοῦντες, ὥστε τὰ ὀλέθρια ταῦτα πάθη ἐκκόπτειν, τὸν θυμὸν λέγω, τὴν βασκα-
D νίαν, τὸν φθόνον. τούτων γὰρ ἀναιρεθέντων εὐκολώτερον καὶ ἡ περὶ τὰ χρήματα μανία διόρθωσιν λήψεται, καὶ τῆς περὶ τὰ χρήματα μανίας πάλιν παυθείσης μετὰ πλείονος τῆς ἀδείας οἱ ἄτοποι λογισμοὶ καὶ αἱ αἰσχραὶ ἐνθυμήσεις καταστελοῦνται. ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία. ἂν τοίνυν τὴν ῥίζαν ἐκτέμωμεν, καὶ ἐξ αὐτοῦ τοῦ βάθους αὐτὴν ἀνασπάσωμεν, εὐκολώτερον τῶν κλάδων περιεσόμεθα. ἡ γὰρ ἀκρόπολις τῶν κακῶν καὶ ὁ κολοφὼν ὡς εἰπεῖν τῶν ἁμαρτημάτων ἐστὶν, ἧς εἰ βουληθείημεν περιγενέσθαι οὐδὲν τὸ κωλῦον καὶ ταύτης τὴν μανίαν ἐκφυγεῖν, καὶ μετὰ ταύτης συνανασπᾶσαι καὶ ἐκτεμεῖν πάντα

τὰ ὀλέθρια πάθη. καὶ μὴ νομίσητε μέγα τι καὶ φορτικὸν εἶναι τὸ χρημάτων ὑπεριδεῖν. ὅταν γὰρ ἐννοήσω, ὅτι πολλοὶ τῶν ἀνθρώπων διὰ κενὴν καὶ ἀνόητον φιλοτιμίαν πολλὰ χρυσοῦ τάλαντα ἐξέχεον εἰς οὐδὲν δέον, ἀλλ᾽ ἵνα τὴν παρὰ τῶν ἀγοραίων καὶ τριοβολιμαίων πολλάκις ἀνθρώπων εὐφημίαν καρπώσωνται τὴν περὶ τῆς ἑσπέρας τέλος λαμβάνουσαν, πολλάκις δὲ οὐδὲ μέχρι τῆς ἑσπέρας διαμένουσαν, ἀλλὰ καὶ πρὶν μὴ πληρωθῆναι τὴν ἡμέραν μυρίοις αὐτοὺς περιβάλλουσαν κακοῖς. ἕτεροι δὲ τῶν ἐπὶ τῇ πλάνῃ τῆς Ἑλληνικῆς προκατειλημμένων πάλιν διὰ τὸ πρὸς τὴν τῶν ἀνθρώπων ἐπτοῆσθαι δόξαν, καὶ ταύτην περὶ πολλοῦ ποιεῖσθαι, πάντα τὰ ὄντα ῥίψαντες, καὶ ἓν μόνον τριβώνιον ἑαυτοῖς καταλιπόντες καὶ βακτηρίαν, οὕτω τὸν ἅπαντα βίον διάγουσι πάντα τὸν πόνον ἐκεῖνον καὶ τὴν ταλαιπωρίαν διὰ τὴν παρὰ τῶν ἀνθρώπων εὐφημίαν ὑπομένειν αἱρούμενοι. ὅταν οὖν ταῦτα λογίσωμαι, οὐκ οἶδα ποίαν ἕξομεν ἀπολογίαν ἢ συγγνώμην οὐδὲ τὸ πολλοστὸν ἐκείνων διὰ τὴν παρὰ τοῦ θεοῦ δοθεῖσαν ἐντολὴν προέσθαι ἀνεχόμενοι, καὶ διὰ τὴν δόξαν ἐκείνην τὴν ἀθάνατον καὶ πέρας οὐκ ἔχουσαν, ἀλλὰ καὶ ἐκείνων χείρους γινόμενοι, καὶ μηδὲ τὸ μέσον ἐννοοῦντες, ὅτι ἐκεῖνοι μὲν διὰ τὴν παρὰ τῶν ἀνθρώπων τῶν ὁμογενῶν ἀνόητον εὐφημίαν τοσαῦτα προΐενται. ἡμεῖς δὲ διὰ τὸν δεσπότην τὸν ἡμέτερον τὸν καὶ τῶν ὑπηργμένων χορηγόν, καὶ ἐκείνας τὰς ἀπορρήτους δωρεὰς ἐπαγγελλόμενον, οὐδὲ τὸ τυχὸν πολλάκις μεταδιδόναι τοῖς πενομένοις αἱρούμεθα. καὶ ποίοις ὀφθαλμοῖς ὀψόμεθα τὸν κριτὴν τῆς οὕτως εὐκόλου ἐντολῆς καταμελοῦντες; μὴ γὰρ πάντα τὰ ὄντα ῥίψαι προτρέπω; ἀπόλαυε πάσης ἀνέσεως, καὶ τὴν ἑαυτοῦ χρείαν πληρώσας τὰ περιττὰ καὶ εἰκῇ κείμενα ταῦτα ἀναγκαῖα ποίησον, καὶ τοῖς λιμῷ πιεζομένοις, καὶ ὑπὸ τοῦ κρυμοῦ πηγνυμένοις τούτοις διανεῖμαι, καὶ διὰ τῆς τούτων χειρὸς εἰς τὴν ἑαυτοῦ πατρίδα διαπέμπου, ἣν μετ᾽ οὐ πολὺ λήψῃ. οὗτοι γὰρ μάλιστα δυνήσονταί σοι συλλαβέσθαι πρὸς τὴν ἐκεῖ μετακομιδήν, ἵν᾽ ὅταν ἀπέλθῃς ἐκεῖ, ἅπαντα εὕρῃς εὐτρεπισμένα, καὶ πλείονος ἀπολαύσῃς ἐκεῖ τῆς εὐπορίας, ὁρῶν ταῦτα ὑπὸ τῶν μετακομισάντων, μᾶλλον δὲ ὑπὸ τῆς τοῦ θεοῦ φιλανθρωπίας πολυπλασιασθέντα.

A Iam ne exiſtimetis magnum aliquid eſſe, opum contemptum: quia cùm mecum reputo, quòd tam multi ob inanem & inutilem gloriam multa auri talenta effundunt in nullam vtilitatem, ſed vt à circunforaneis, & triuialibus homunculis aucupentur nonnunquam nominis celebritatem, quæ ad veſperam finem ſumit: & ſæpe non vſque ad veſperam durat, ſed & priuſquam dies compleatur, innumeris malis circumdatur. Alij autem Gentilium errore præoccupati, etiam ipſi ad humanam reſpicientes gloriam, quam maximi fa-
B ciunt, abiectis ſimul omnibus, & pallio tantum atque baculo ſeruatis, omnem vitam ſic exigunt, omnem laborem illum & miſeriam ob vani nominis celebritatem aſſumentes. Cùm igitur hæc mecum reputo, neſcio quam habituri ſimus vel excuſationem, vel veniam, qui neque ob mandatum à Domino traditum, neque ob gloriam illam immortalem & interminam, vt minimam rerum noſtrarum portionem relinquere ſuſtinemus, quin & deterio-
C res illis reddimur, neque quantum ſit diſcrimen cogitamus. Nam illi ob hominum, qui eiuſdem naturæ ſunt, inutilem gloriam, eouſque peruenerunt, vt tam multa proiiciant: nos autem propter dominum noſtrum, qui ſuppeditat ea quæ poſſidemus, & ineffabilia illa dona pollicetur, ſæpe neque parum quiddam inopibus erogare volumus. Et qualibus oculis videbimus iudicem, negligentes mandatum illius tam facile? Num enim adhortor, vt omnia veſtra abiicia-
D tis? Fruere omni proſperitate, & cùm ſatis feceris tuo vſui, quæ ſuperuacua tibi & ocioſa iacent, in neceſſarium vſum conuerte, aliiſque diſtribue fame laborantibus, & gelu rigeſcentibus: & per illorum manus in tuam patriam tranſmitte, in quam propediem tibi pergendum, vt ibi accipias. Illi enim plurimum tibi prodeſſe poterunt ad tranſuehendas illuc opes: vt quando abieris, omnia illic inuenias bene diſpoſita, maiorique illic fruaris abundantia, videns ea à tranſuehentibus, imò à benignitate Dei ita multiplicata.

Nullum laborem habet id negocij, A nullam curam, nullam ſollicitudinẽ. Ad hæc tranſuehẽda nullo tibi opus eſt iumento, non cuſtode, neque vllo alio. Nullus enim latro vel fur hac via vadit, vt nocere queat iis quæ à te mittuntur illuc: ſed ea quæ repoſueris in egenorum manus, illa in ſecurum promptuarium, nempe manum Dei repoſita erunt: quæ inuiolata & cuſtodita præbebit, & cùm redieris in patriam, illis redditis etiam prædicabit laudes tuas, & coronabit, & te in latitudine conſtituens, ſecurum & felicem faciet. Effundamus ergo, precor, repoſita in B pauperum ventres, & ſeminemus dum tempus eſt, vt opportuno tempore metamus, & ne tranſmiſſa temporis commoditate, poſthac fruſtra nos pœniteat. Haccine de cauſa benignus Deus plura tibi largitus eſt, vt in tuum ſolius vſum impendas quæ dedit, & reliqua in arculis & promptuariis recondas? non ea de cauſa, ſed vt iuxta apoſtolicam admonitionem, abundantia tua alio-
2.Cor.8. 14. rum inopiam ſuppleat. Et tu quidem forſitan etiam plus quàm opus eſt C his frueris, in deliciis veſtibus, alióque luxu, ſeruis quoque & brutis argentum diuidens: pauper autem nihil horum à te petit, ſed tantum vt famem mitiges, vt quotidianum illi cibum, ac neceſſarium vſum tribuas, vt viuat, & non pereat: & neque vt hoc facias te accommodas, neque cogitas, quòd plerunque ſubito abreptus, omnia quæ collecta ſunt, hic relinques, & interdum in hoſtes & inimicos transferuntur, ipſe autem peccatis omnibus, per quæ hæc collegiſti, tecum receptis hinc migras. Et quid tunc dices in die illo terribi- D li? quomodo te excuſabis, qui ita negligenter vitam tuam inſtituiſti? Propterea mihi obtempera, & cùm adhuc tempus habes, opes ſuperuacuas diſtribue, vt prius illic in tuam repoſita habeas ſalutem, & pro illis perpetua bona conſequaris. quæ nos omnes obtinere contingat, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri ſimul, & ſancto Spiritui ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

μὴ γὰρ κάματον ἔχει τὸ πρᾶγμα; μὴ γὰρ φροντίδα τινὰ καὶ μέριμναν; οὐχ ὑποζυγίων σοι χρεία πρὸς τὴν μετακομιδὴν, οὐ τοῦ φυλάττοντος, οὐκ ἄλλου οὐδενὸς τοιούτου. οὔτε γὰρ λῃστὴς, οὐ τοιχωρύχος ἐκείνην βαδίζει τὴν ὁδὸν, ἵνα λυμήνηται τοῖς παρὰ σοῦ πεμπομένοις, ἀλλ' ἅπερ ἂν ἀποθῇς εἰς τὰς τῶν πενήτων χεῖρας, ταῦτα εἰς ἀσφαλὲς ταμεῖον ἀποθήσῃ τὴν τοῦ θεοῦ χεῖρα. αὕτη γὰρ ἀκέραιον καὶ τὴν τούτων φυλακὴν τηρήσει, καὶ ἐπειδὰν ἐπανέλθῃς εἰς τὴν οἰκείαν πατρίδα, μετὰ τῆς ἐκείνων ἀποδόσεως καὶ ἀνακηρύξει σε, στεφανώσει σε ἐν πάσῃ εὐρυχωρίᾳ καὶ ἀνέσει καταστήσει. ἐκχέωμεν τοίνυν παρακαλῶ τὰ ἀποκείμενα εἰς τὰς τῶν πενήτων γαστέρας, καὶ σπείρωμεν ὡς ἔτι καιρὸς, ἵνα εἰς τὸν δέοντα καιρὸν θερίσωμεν, καὶ μὴ περιιέμενοι τὴν παροῦσαν εὐκαιρίαν ὕστερον ἀνόνητα μεταμελώμεθα. μὴ γὰρ διὰ τοῦτο πλείονά σοι κεχάρισται ὁ φιλάνθρωπος δεσπότης, ἵνα εἰς τὴν ἑαυτοῦ μόνου χρείαν καταναλώσῃς τὰ δοθέντα, καὶ τὰ λοιπὰ ταμείοις καὶ κιβωτίοις ἐναποκλείσῃς; οὐ διὰ τοῦτο, ἀλλ' ἵνα κατὰ τὴν παραίνεσιν τὴν ἀποστολικὴν τὸ σὸν περίσσευμα γένηται εἰς τὸ τῶν ἄλλων ὑστέρημα. καὶ σὺ μὲν ἴσως καὶ ὑπὲρ τὴν χρείαν ἀπολαύεις, καὶ ἐν τῇ τρυφῇ καὶ ἐν τοῖς ἐνδύμασι καὶ ἐν ἄλλῃ πολυτελείᾳ πολλῷ τῷ ἀργύρῳ κεχρημένος, καὶ μέχρι τῶν οἰκετῶν καὶ τῶν ἀλόγων τοῦτο κερματίζων· ὁ δὲ πένης οὐδὲν τούτων ζητεῖ παρὰ σοῦ ἢ μόνον λιμὸν παραμυθήσασθαι, καὶ τὴν ἀναγκαίαν χρείαν καὶ τὴν ἐφήμερον αὐτῷ τροφὴν παρασχεῖν, ὥστε συστῆναι, καὶ μὴ διαφθαρῆναι· καὶ οὐδὲ τοῦτο ἀνέχῃ ποιῆσαι, οὐδὲ λογίζῃ, ὅτι πολλάκις ἄφνω ἀναρπασθεὶς τὰ μὲν συλλεγέντα ἅπαντα ἐντεῦθεν καταλιμπάνεις, καὶ ἐνίοτε εἰς ἐχθροὺς καὶ πολεμίους ταῦτα μεταστήσεται· αὐτὸς δὲ τὰ ἁμαρτήματα ἅπαντα, ἐξ ὧν ταῦτα συνελέγης, μεθ' ἑαυτοῦ λαβὼν ἄπεις. καὶ τί ποτε ἐρεῖς κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν; τί δὲ ἀπολογήσῃ οὕτω ῥαθύμως τὰ κατὰ τὴν ἑαυτοῦ σωτηρίαν οἰκονομήσας; διὰ τοῦτο ἐμοὶ πείθου, καὶ ὡς ἔτι καιρὸν ἔχεις, διάνειμαι τὰ περιττὰ τῶν χρημάτων, ἵνα τὴν ἐκεῖ σαυτῷ προαποθῇ σωτηρίαν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

Ὁμιλία κα.

Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδάμ, κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῶν Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς.

Πολὺς καὶ ἄφατος ὁ θησαυρὸς ἀγαπητοὶ ἐν τοῖς προσφάτως ἀναγνωσθεῖσι. καὶ οἶδα μέν, ὅτι πολλοὶ πρὸς τὸν τῶν ὀνομάτων κατάλογον ἀφορῶντες καὶ ἐξεπιπολῆς τοῖς ἀνεγνωσμένοις προσέχοντες νομίζουσι μηδὲν πλέον ἔχειν τὰ εἰρημένα, ἀλλ᾽ ἢ ἁπλῶς ὀνομάτων εἶναι προσηγορίας· ἐγὼ δὲ παρακαλῶ πάντας ὑμᾶς μὴ ἁπλῶς παρατρέχειν τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα. οὐδὲν γάρ τῶν ἐνταῦθα γεγραμμένων ἐστίν, ὃ μὴ πολὺν νοημάτων πλοῦτον ἔχει. ἐπειδὴ γὰρ πνεύματι θείῳ ἐνηχούμενοι ἐξέθεντο οἱ μακάριοι προφῆται, διὰ τοῦτο ἅτε πνεύματι γεγραμμένα πολὺν ἔχουσιν ἐγκεκρυμμένον θησαυρόν. καὶ μὴ θαυμάσῃς, εἰ ἐν τῷ καταλόγῳ τῶν ὀνομάτων νῦν ἐπαγγέλλομαι ὑμῖν δεικνύναι πολὺν ἐγκεκρυμμένον πλοῦτον νοημάτων. οὐδὲ γὰρ συλλαβή, οὐδὲ κεραία μία ἐστὶν ἐγκειμένη παρὰ τῇ γραφῇ, ἣ μὴ πολὺς ἐναπόκειται θησαυρὸς ἐν τῷ βάθει. διά τοι τοῦτο προσήκει ἡμᾶς ὑπὸ τῆς ἄνωθεν χάριτος ὁδηγουμένους, καὶ τὴν παρὰ τοῦ ἁγίου πνεύματος ἔλλαμψιν δεξαμένους οὕτως ἐπιέναι τὰ θεῖα λόγια. οὐδὲ γὰρ σοφίας ἀνθρωπίνης δεῖται ἡ θεία γραφὴ πρὸς τὴν κατανόησιν τῶν γεγραμμένων, ἀλλὰ τῆς τοῦ πνεύματος ἀποκαλύψεως, ἵνα τὸν ἀληθῆ νοῦν τῶν ἐγκειμένων καταμαθόντες πολλὴν ἐκεῖθεν δεξώμεθα τὴν ὠφέλειαν. Εἰ γὰρ ἐν τοῖς βιωτικοῖς πράγμασι τὰ ὑπὸ τῶν D ἀνθρώπων συντελούμενα γραμματεῖα πολλάκις τῷ χρόνῳ διαφθαρέντα ὑπὸ τοῦ ἐγκειμένου χρόνου τῷ προοιμίῳ τοῦ γραμματείου καὶ ἀπὸ μιᾶς συλλαβῆς πολλὴν ἔχει τὴν ἰσχύν, πολλῷ μᾶλλον ἐπὶ τῶν θείων γραφῶν τῷ πνεύματι ἁγίῳ συγκειμένων τοῦτό ἐστιν εὑρεῖν, μόνον ἐὰν νήφωμεν, καὶ μὴ ἁπλῶς παρατρέχωμεν, ἀλλὰ συντείνοντες ἡμῶν τὸν λογισμὸν καταπλεύσωμεν ἅπαντα μετὰ ἀκριβείας, καὶ μὴ χείρους γινώμεθα τῶν περὶ τὰ αἰσθητὰ τοσαύτην σπουδὴν ἐπιδεικνυμένων. καὶ γὰρ οἱ τὴν μεταλλικὴν γῆν ἀνορύττοντες οὐ μέχρι τῆς ἐπιφανείας ἵστανται,

Homilia XXI.

Iſte eſt liber generationis hominum die, quo fecit Deus Adam, ſecundùm imaginem Dei fecit illum, maſculum & foeminam fecit illos, & vocauit nomen eorum Adam quâ die fecit eos.

Dici nequit, chariſſimi, quàm multiplex theſaurus in verbis modò lectis reconditus ſit. Et ſcio quidem, quòd B opinantur aliqui nihil amplius dici, quàm illorum nominum enumerationem & appellationem: ſpectant enim tales ad ſolam ſuperficiem: ego autem omnes vos obſecro, ne ſimpliciter ea quæ in ſcripturis ſacris contenta ſunt tranſeatis. Nihil enim hîc ſcriptum eſt, quod non multas ſenſuum habeat diuitias. Quandoquidem diuino Spiritu afflati prophetæ locuti ſunt, ideo vti à Spiritu ſcriptæ ingentem in ſe continent theſaurum. Et ne mireris quòd in C hac nominum enumeratione multas latentéſque diuitias ſententiarum vobis me oſtenſurum pollicear. Neque enim vel ſyllaba, vel apiculus eſt in ſacris litteris, in cuius profundo non ſit grandis quiſpiam theſaurus: proinde nobis opus eſt diuina gratia ducamur, & Spiritu ſancto illuſtrati eloquia diuina adeamus. Neque opus habet diuina ſcriptura hominum ſapientia, vt intelligatur, ſed reuelatione Spiritus, vt hauſto inde vero ſenſu, magnum nobis hinc lucrum accreſcat. Nam D ſi in ſcriptis, quæ de ſecularibus negociis ab hominibus conficiuntur, ſæpéque tempore corrumpuntur, vel vnam prooemij ſyllabam deeſſe, multum momenti habet: multo magis hoc in ſcripturis diuinis à Spiritu ſancto compoſitis inuenitur, modò ſobrij ſimus, & non temerè progrediamur: ſed intenta mente diligenter omnia conſideremus, & non negligentiores ſimus aliis, qui hoc ſtudio in prophanis vtuntur. Enimuerò qui metalla effodiunt, non in ſuperficie manent,

Etiã in ipſa nominum enumeratione theſaurus latet.

A ſed cùm valde profundè deſcenderint, & auri ramenta habere potuerint, magno labore & ſedulitate ea à terra ſeparant, póſtque multum illum laborem, breuem aliquam laborum inueniunt conſolationem. Verumtamen licet hi ſciant, quòd ſæpe vtilitatem percipiant laboribus non reſpondentem, vtpote minorē: & quòd ſæpe poſt tot vigilias, & labores, etiam expectatione ſua fruſtrentur: neque ſic deſiſtunt, ſed ſpe aluntur, & ſenſu laboris carēt. Quòd ſi illi tantum præ ſe ferunt ſtudium in corruptibilibus, incertis, & caducis: multò magis addecet, vt nos, vbi B diuitiæ auferri nequeunt, & theſaurus abſumi non poteſt, & ſpe non aberratur, par vel maius ſtudium adhibeamus: vt hinc aliquo fructu percepto, deſiderata aſſequi poſſimus, agnitáque ineffabili benignitate Dei, gratias agentes domino noſtro, eius nobis fauorem conciliemus, & diaboli retibus non illaqueemur. Agè ergo prolatis in medium quæ nunc lecta ſunt, diligenter ſingula perſcrutemur: vt ſolita refocillati doctrina, domum iterum concedatis. C [1] *Iſte eſt liber generationis hominum,* inquit, *die quo fecit Deus Adam, ſecundum imaginem Dei fecit illum,* [2] *maſculum & fœminam fecit illos. Et nominauit nomen eorum Adam, die quo fecit illos.* Attende obſecro prophetæ huius admirabilem ſapientiam, imò ſancti Spiritus doctrinam. Ab illo enim, vt ſæpe dictum eſt, afflatus, nobis hæc omnia loquitur. Et linguam quidem propheta commodauit, gratia autem Spiritus ſancti per illam omnia humanum genus manifeſtè docet. Vide ergo quomodo ad D originem ſermonem reducit, & ſuperiora iterum reſumit. Quare, & propter quam cauſam? Quia vidit eos qui tunc erant, magnam præ ſe ferre ingratitudinem, nec meliores fieri ex his quæ primo parenti facta, ſed in idem malitiæ profundum præcipitari. Nam cùm ex illo natus ſtatim concitante inuidia ad fratricidium ruit, & ideo grauiſſimam pœnam tulit, ſicut ſuperius charitatem veſtram docuimus: & poteſtas eius nihil ea caſtigatione profecit, ſed peior facta eſt,

ἀλλ' ἐπειδὰν εἰς πολὺ βάθος κατέλθωσι, καὶ καταλαβεῖν δυνηθῶσι τοῦ χρυσίου τὰ ψήγματα μετὰ πολλοῦ τοῦ πόνου καὶ τῆς εὐτονίας τῆς γῆς χωρίζουσι, καὶ μετὰ τὸν πολὺν ἐκεῖνον πόνον βραχεῖάν τινα τῶν πόνων εὑρίσκουσι παραμυθίαν. καὶ ὅμως εἰδότες, ὅτι ἐλάττονα τῶν πόνων καρποῦνται τὴν ὠφέλειαν, πολλάκις δὲ καὶ μετὰ τὴν πολλὴν ἀγρυπνίαν καὶ τὸν κάματον καὶ τῆς προσδοκίας διήμαρτον, καὶ οὐδὲ οὕτως ἀφίστανται, ἀλλὰ τῇ ἐλπίδι τρεφόμενοι τῶν πόνων αἴσθησιν οὐ λαμβάνουσιν. εἰ τοίνυν ἐκεῖνοι περὶ τὰ φθαρτὰ καὶ ἐπίκηρα, ἔνθα καὶ ἀδηλία πολλή, τοσαύτην ἐπιδείκνυνται τὴν σπουδήν, πολλῷ μᾶλλον προσήκει ἡμᾶς ὅπου καὶ ὁ πλοῦτος ἀναφαίρετος καὶ ὁ θησαυρὸς ἀδαπάνητος, καὶ διαμαρτεῖν οὐκ ἔνι, τὴν ἴσην καὶ πλείονα σπουδὴν ἐπιδείκνυσθαι, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν σπουδαζομένων, καὶ τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσάμενοι, καὶ καταμαθόντες τοῦ θεοῦ τὴν ἄφατον φιλανθρωπίαν εὐγνώμονές τε γενώμεθα περὶ τὸν ἡμέτερον δεσπότην, καὶ τὴν ἐκεῖθεν εὔνοιαν ἐπισπασάμενοι. ἀχείρωτοι καταστῶμεν ταῖς τοῦ διαβόλου παγίσι. φέρε οὖν τὰ πρόσφατον ἀναγνωσθέντα εἰς μέσον προθέντες διερευνησώμεθα μετ' ἀκριβείας ἕκαστον, ἵνα τῆς συνήθους ἀπολαύσαντες διδασκαλίας, οὕτως οἴκαδε ἀναχωρήσητε. αὕτη ἡ βίβλος φησὶ γενέσεως ἀνθρώπων, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδάμ, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῶν Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς. θέα μοι τοῦ θαυμαστοῦ τούτου προφήτου τὴν σύνεσιν· μᾶλλον δὲ τοῦ ἁγίου πνεύματος τὴν διδασκαλίαν. ἐκεῖθεν γὰρ ἐνηχούμενος ἅπαντα ἡμῖν φθέγγεται, καὶ τὴν γλῶτταν μὲν οὗτος ἐδάνεισεν· ἡ δὲ τοῦ πνεύματος χάρις πάντα σαφῶς διὰ τούτου τὴν ἡμετέραν διδάσκει φύσιν. σκόπει τοίνυν πῶς εἰς ἀρχὴν τὸν λόγον ἀνήγαγε, καὶ ἄνωθεν ὡς εἰπεῖν πάλιν τὴν διήγησιν ποιήσασθαι βούλεται. τίνος ἕνεκεν καὶ διὰ τί; ἐπειδὴ γὰρ εἶδε τοὺς ἤδη γεγονότας πολλὴν τὴν ἀγνωμοσύνην ἐπιδειξαμένους, καὶ μηδὲ τοῖς εἰς τὸν πρωτόπλαστον γεγενημένοις σωφρονισθέντας, ἀλλ' εἰς αὐτὸν τὸν κρημνὸν τῆς κακίας κατενεχθέντας· ὅ τε γὰρ ὑπ' αὐτοῦ τεχθεὶς εὐθέως διὰ βασκανίαν εἰς ἀδελφοκτονίαν ὥρμησε, διὸ καὶ τὴν τιμωρίαν ἐκείνην τὴν χαλεπωτάτην ἐδέξατο, καθὼς φθάσαντες ἐδιδάξαμεν τὴν ὑμετέραν ἀγάπην. εἶτα πάλιν οἱ μετ' ἐκεῖνον οὐδὲ τῇ τούτου τιμωρίᾳ σωφρονισθέντες χείροσι κακοῖς ἑαυτοὺς περιέβαλον.

A καὶ καθάπερ ἠκούσατε χθὲς τοῦ Λάμεχ τὴν οἰκείαν ἁμαρτίαν διηγουμένου ταῖς ἑαυτοῦ γυναιξὶ, καὶ καθ' ἑαυτοῦ τὸ ἐπιτίμιον ὁρίζοντος, ἐπεὶ κατὰ μικρὸν εἶδεν αὐξανομένην αὐτῶν τὴν κακίαν καθάπερ ῥεῦμα πονηρὸν μέλλον κατὰ παντὸς διατρέχειν τοῦ σώματος, ἵστησι τῆς κακίας τὴν φορὰν, καὶ τὰς γενεὰς ταύτας λοιπὸν τὰς ἐκ τοῦ Κάϊν μέχρι τοῦ Λάμεχ γενομένας, οὐδὲ μνήμης ἀξιοῖ, ἀλλ' ὥσπερ ἀρχήν τινα ποιούμενος, καὶ τὸ πένθος τοῦ Ἀδὰμ καὶ τῆς Εὔας παραμυθήσασθαι βουλόμενος, ᾧ περιέβαλεν αὐτοὺς ἐτόλμησεν ὁ ἀδελφοκτόνος, τὴν δεξιὰν ὁπλίσας κατὰ τοῦ Ἄβελ, οὕτως ἄρχεται τῆς διηγήσεως, καί φησιν, αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων, B ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδὰμ, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῶν Ἀδὰμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς. σκόπει πῶς τοῖς αὐτοῖς ῥήμασι κέχρηται, ὡς καὶ ἐν τοῖς προοιμίοις, ἵνα διδάξῃ ἡμᾶς, ὅτι ὡς ἀδοκίμους γενομένας τὰς γενεὰς ἐκείνας οὐδὲ μνήμης λοιπὸν ἀξιοῖ, ἀλλ' ἐκ τοῦ νῦν τεχθέντος, τοῦ Σὴθ λέγω, τῆς γενεαλογίας ἄρχεται, ἵνα καὶ ἐκ τούτου μάθῃς, ὅσος τοῦ θεοῦ λόγος τῆς ἀνθρωπίνης φύσεως, καὶ ὅπως ἀποστρέφεται τοὺς φονικὴν ἔχοντας τὴν γνώμην. C ὡς γὰρ μηδὲ γενομένων λοιπὸν ἐκείνων εἰς τὸν βίον, οὕτως αὐτῶν τὴν μνήμην παραλιμπάνει, δεικνὺς ἡμῖν, ὅσον ἐστὶ κακία χαλεπὸν, καὶ ὅτι ἑαυτοὺς τὰ μέγιστα λυμαίνονται οἱ ταύτην ἀσπαζόμενοι. ἰδοὺ γὰρ οὗτοι μὲν τοῦ καταλόγου λοιπὸν ἐξαλείφονται, ἐπὶ τοσοῦτον δὲ μνήμης ἠξιώθησαν μόνον, ὥστε τὴν κακίαν αὐτῶν στηλιτεύεσθαι, καὶ ταῖς εἰς τὸ ἑξῆς γενεαῖς γενέσθαι σωφρονισμοῦ ὑπόθεσιν. ὁ δὲ ἀδίκως ἀναιρεθεὶς, καὶ ὑπὸ τῆς ἀδελφικῆς χειρὸς φονευθεὶς ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἐν τοῖς ἁπάντων ᾄδεται στόμασι, καὶ οὔτε ὁ χρόνος τούτου τὴν μνήμην ἔσβεσεν, οὔτε ἐκείνου D τὴν κατηγορίαν ὑπετέμετο, ἀλλὰ καὶ οὗτος καθ' ἑκάστην ἡμέραν παρὰ πάντων ἀνακηρύττεται, καὶ ἐκεῖνος διηνεκῶς στηλιτεύεται. εἴδετε ὅση τῆς κακίας ἡ λύμη, καὶ ὅση τῆς ἀρετῆς ἡ ἰσχὺς, καὶ ὅπως ἡ μὲν καὶ πολεμοῦσα καὶ περιγινομένη σβέννυται καὶ ἀφανίζεται, ἡ δὲ πολεμουμένη καὶ τὰ μυρία δεινὰ ὑπομένουσα ταύτῃ μᾶλλον καὶ λαμπροτέρα καὶ φαιδροτέρα γίνεται; ἐνῆν μὲν καὶ ἑτέρων πραγμάτων ὁμοίως συμβάντων τὴν δεῖξαι νῦν ἐπὶ τῆς ὑμετέρας ἀγάπης·

ſicut audiuiſtis heri, Lamech ſuum peccatum ſuis mulieribus enarrantem, pœnámque aduerſus ſe decernentem: itaque quia paulatim vidit increſcere malitiam illorum, quaſi malum humorem per totum corpus defluentem, ſiſtit malitiæ impetum, & generationes illas, quæ ex Cain vſque in Lamech, ne memoria quidem dignatur: ſed quaſi principiũ quoddam faciens, & luctum Adæ & Euæ demulcere volens, in quem illos inieccerat fratricida, armata cõtra Abel dextra: ſic narrationem exorditur, & inquit: Iſte eſt liber generationis hominum, die quo fecit Deus Adam, ſecũdum imaginem Dei fecit illum: maſculum & fœminam fecit illos: & nominauit nomẽ eorum Adam, die, quo fecit illos. Conſidera quomodo iiſdem verbis vſus fuerit, quibus & in initio, vt doceret nos, quòd generationes illas quaſi reprobas factas, neque memoria poſthac dignetur: ſed ex Seth, qui nunc illis natus eſt, genealogiam orditur, vt & ex hoc diſcas, quantam Deus humani generis rationem habeat, & quomodo illos auerſetur, quibus ſanguinaria mens eſt. Nam illorum memoriam, quaſi nunquam vixiſſent, ita ſilentio præterit: monſtrando nobis quàm graue malum ſit peccatum, quod qui agunt, ſe primum & maximè peſſundant. Ecce enim illi è catalogo expunguntur; & catenus tantùm memoriam aſſecuti ſunt; vt infametur ipſorum malitia, & poſterioribus ſeculis emendationis ſint occaſio. At qui iniuſtè occiſus, & fraterna manu interemptus, ex eo tempore vſque in hoc noſtrum, omnium decantatur ore, & neque tempus huius memoriam extinxit, neque illius crimen imminuit: ſed & hic quotidie prædicatur, & ille continuè infamatur. Vidiſtis quantum malitiæ damnum, & quantum virtutis robur? & quomodo malitia etiam ſi infeſtet & dominetur, extinguitur tamen & aboletur: virtus autem licet infeſtetur, & innumera grauia ſuſtineat, ea occaſione illuſtrior fit & clarior? Et liceret quidem hoc etiam aliis operibus, quæ ſimiliter eueniunt, charitati veſtræ oſtendere:

ſed ne ab inſtituto noſtro digrediamur, agè denuo quæ dicta ſunt, repetamus. Iſte eſt liber generationis hominum, die quo fecit Deus Adam, ſecundùm imaginem Dei fecit illum, maſculum & fœminam fecit illos. Et appellauit nomen eius Adam, die quo fecit illos. Vide quomodo iterum narratione ab initio repetita, diuina ſcriptura nobis commemorat quantum honorem à conditore ſortitus ſit homo. Die quo, inquit, fecit Adam, ſecundum imaginem Dei fecit illum: hoc eſt, principem illum conſtituit omnium viſibilium. Hoc enim eſt ſecundum imaginem, ſecundum rationem dominij & principatus. Nam ſicut omnium Deus principatum habet, ſuper omnia tam viſibilia quàm inuiſibilia, qui omnium conditor & opifex eſt: ſic & cùm formauit rationale hoc animal, voluit omnium viſibilium præfectura inſigne eſſe. Proinde & animæ ſubſtantiam illi largitus eſt, volẽs ipſum immortalem eſſe & perpetuum: verum vbi per deſidiam excidit, & tranſgreſſum eſt mandatum ſibi traditum, neque ſic omnino ipſum auerſatus eſt: ſed pro ſua miſericordia immortalitatẽ quí illi ademit, morti autem adiudicatum, fermè ita reliquit, vt principio conditum eſt. Deinde cùm ex illo natus in tantam prorupit inſaniam, vt & primus mortis ſpeciem inueheret, violentam illam mortem monſtrando, & magnam ingratitudinem præ ſe ferret, cædi mendacium coniungendo, diuturna caſtigatione emendari illum voluit, vt non ſolùm ille lucrum faceret ex his quæ ipſi contingebant, ſed & poſteros doceret commiſſorum magnitudinem, & ſceleris fœditatem. Cæterùm quia magna ignauia, & poſteri illius paulatim grauius peccabant, volens, vt ita dicam, ſolari Adamum, qui non ſolum ob ſuam tranſgreſſionem adeò mœrebat, ſed & ob flagitium Cain luctum grauiſſimum habebat, eò quòd viderat mortem ſuis oculis (neque enim mortis ſpeciem ſcierant, tametſi lata eſſet ſententia.) vnde & duplex eorum, ac triplex luctus eſt factus, quia & primùm viderũnt mortem in vitam introductam,

Quid ſit ſecundũ imaginẽ Dei creari.

A ἀλλ' ἵνα μὴ τῆς προκειμένης ἀκολουθίας τέως ἐκπέσωμεν, φέρε πάλιν ἐπαναλάβωμεν αὐτὰ τὰ εἰρημένα. αὕτη ἡ βίβλος φησὶ γενέσεως ἀνθρώπων ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδάμ, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῶν Ἀδὰμ ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς. ὅρα πῶς πάλιν τῆς διηγήσεως ἄνωθεν ἀρξαμένη ἡ θεία γραφὴ ὑπομιμνήσκει ἡμᾶς, ὅσης ἠξίωται τιμῆς ὁ δημιουργηθεὶς ἄνθρωπος. ᾗ ἡμέρᾳ φησὶν ἐποίησε Ἀδάμ, κατ' εἰκόνα ἐποίησεν αὐτὸν, ἀντὶ τοῦ ἄρχοντα αὐτὸν κατέστησε πάντων τῶν ὁρωμένων. τοῦτο γάρ ἐστι κατ' εἰκόνα B κατὰ τὸν τῆς ἀρχῆς λόγον καὶ κατὰ τὸν τῆς δεσποτείας. ὥσπερ γὰρ ὁ τῶν ὅλων θεὸς τὴν κατὰ πάντων ἀρχὴν ἔχει τῶν τε ὁρατῶν, τῶν τε ἀοράτων δημιουργὸς ἁπάντων τυγχάνων, οὕτω καὶ τὸ ζῶον τοῦτο τὸ λογικὸν δημιουργήσας ἐβουλήθη πάντων τῶν ὁρωμένων τὴν ἀρχὴν αὐτὸν ἔχειν. διὸ καὶ τὴν τῆς ψυχῆς οὐσίαν αὐτῷ ἐχαρίσατο βουληθεὶς αὐτὸν καὶ ἀθάνατον εἶναι εἰς τὸ διηνεκές, ἀλλ' ἐπειδὴ διὰ ῥᾳθυμίαν ὤλισθε, καὶ παρέβη τὴν δοθεῖσαν αὐτῷ ἐντολὴν, οὐδὲ οὕτω τέλεον ἀπεστράφη τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, ἀλλὰ C τῆς μὲν ἀθανασίας ἀπεστέρησε, θανάτῳ δὲ καταδικάσας ἐπὶ τῆς αὐτῆς ἀρχῆς σχεδὸν ἀφῆκεν εἶναι. εἶτα ἐπειδὴ ὁ ἐξ αὐτοῦ τεχθεὶς εἰς τοσαύτην μανίαν ἐξώκειλε, καὶ πρῶτος τὸ εἶδος τοῦ φόνου εἰσήνεγκε, καὶ τὸν βεβιασμένον θάνατον κατέδειξε, καὶ πολλὴν ἐπεδείξατο ἀγνωμοσύνην, ψεῦδος τῷ φόνῳ συνάψας τῇ διηνεκεῖ τιμωρίᾳ σωφρονίσαι αὐτὸν ἠβουλήθη, ἵνα μὴ μόνον αὐτὸς κερδάνῃ ἐκ τῶν εἰς αὐτὸν γεγενημένων, ἀλλὰ καὶ τοὺς μετὰ ταῦτα διδάσκῃ καὶ τῶν τετολμημένων τὸ μέγεθος καὶ τῆς ἀτοπίας τὴν D ὑπερβολήν. ἀλλ' ἐπειδὴ διὰ πολλὴν ῥᾳθυμίαν καὶ οἱ ἐκ τούτου γεγενημένοι κατὰ μικρὸν χείροσιν ἑαυτοὺς περιέβαλον κακοῖς, παραμυθήσασθαι ὡς εἰπεῖν βουλόμενος τὸν Ἀδὰμ οὐ μόνον διὰ τὴν οἰκείαν παράβασιν ἐν τοσαύτῃ τυγχάνοντα κατηφείᾳ, ἀλλὰ καὶ διὰ τὸ τόλμημα τοῦ Κάϊν, καὶ τὸ πένθος ἐκεῖνο τὸ ἀφόρητον περιεῖδε τοῖς οἰκείοις ὀφθαλμοῖς. οὔτε γὰρ τοῦ θανάτου ᾔδεσαν τὸ εἶδος, εἰ καὶ τὴν ἀπόφασιν ἐδέξαντο, καὶ διπλοῦν αὐτῷ καὶ τριπλοῦν τὸ πένθος ἐγένετο, ὅτι τέ καὶ τὸν θάνατον πρῶτον εἶδον εἰσενεχθέντα εἰς τὸν βίον, καὶ βίαιον θάνατον,

καὶ ὑπὸ τοῦ παιδὸς τολμηθέντα, καὶ εἰς ἀδελφὸν ὁμομήτριον καὶ ὁμοπάτριον καὶ οὐδὲν ἠδικηκότα. βουλόμενος τοίνυν ὁ φιλάνθρωπος θεὸς ἀντίρροπον αὐτῷ τῆς λυπηρᾶς τὴν παραμυθίαν εἰσαγαγεῖν, ἕτερον αὐτῷ παρέχει παῖδα τὸν Σήθ, καὶ ἀρκοῦσαν αὐτῷ τὴν παράκλησιν, ἐντεῦθεν ποιησάμενος ἀπὸ τούτου λοιπὸν τῆς γενέσεως τὴν ἀρχὴν συνίστησι. διὰ τοῦτο καὶ ὁ μακάριος προφήτης οὕτως ἤρξατο λέγων· αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων. εἶτα ἐπαγγειλάμενος τὴν γένεσιν τῶν ἀνθρώπων διηγήσασθαι σκόπει, οἵᾳ κέχρηται ἀκολουθίᾳ· ἔζησε φησὶν Ἀδὰμ ἔτη διακόσια τριάκοντα, καὶ ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ. ἐγένοντο δὲ αἱ ἡμέραι αὐτοῦ ἔτη ἑπτακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἀδὰμ ἔτη ἐννακόσια τριάκοντα, καὶ ἀπέθανεν. οὐ καλῶς ἔλεγον ἐν τοῖς προοιμίοις, ὅτι οὐδέν ἐστιν εὑρεῖν ἁπλῶς καὶ εἰκῇ γεγραμμένον ἐν τῇ θείᾳ γραφῇ; ἰδοὺ γὰρ καὶ νῦν πόσῃ τῇ ἀκριβείᾳ ἐχρήσατο ὁ μακάριος οὗτος προφήτης· ἐγέννησε δέ φησι Ἀδὰμ κατὰ τὴν εἰκόνα αὐτοῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, ἐπὶ δὲ τοῦ προτέρου τεχθέντος τοῦ Κάϊν λέγω οὐδὲν τοιοῦτον ἐπεσημήνατο, ἀλλ' ἄνωθεν προμηνύων αὐτοῦ τὴν ἐπὶ τὴν κακίαν ὁρμήν, καὶ εἰκότως. οὐ γὰρ ἔσωζε τοὺς πατρικοὺς χαρακτῆρας, ἀλλ' εὐθέως πρὸς τὴν κακίαν ηὐτομόλησεν. ἐνταῦθα δέ φησι κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ, τουτέστιν ὁμότροπον τῷ γεγεννηκότι, τοὺς αὐτοὺς τῆς ἀρετῆς χαρακτῆρας διασώζοντα, τὴν εἰκόνα τὴν πατρικὴν διὰ τῶν ἔργων δεικνύντα, ἀνακαλέσασθαι δυνάμενον διὰ τῆς οἰκείας ἀρετῆς τοῦ προλαβόντος τὸ πλημμέλημα. οὐδὲ γὰρ περὶ σωματικῶν χαρακτήρων ἐνταῦθα ἡμῖν διαλέγεται ἡ γραφὴ λέγουσα κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ, ἀλλὰ περὶ τῆς ἐν τῇ ψυχῇ καταστάσεως· ἵνα μάθωμεν, ὅτι οὗτος οὐκ ἔσται τοιοῦτος, διὸ καὶ ἡ μήτηρ τὴν προσηγορίαν ἐπιθεῖσα τῷ παιδὶ μετ' εὐχαριστίας ταύτην ἐπιτίθησι, καὶ οὐδὲ τῇ φύσει οὐδὲ τῷ τόκῳ λογίζεται τὸ τεχθὲν παιδίον, ἀλλὰ τῇ τοῦ θεοῦ δυνάμει. ἐκείνη γὰρ καὶ τὴν φύσιν διήγειρε πρὸς τὸν τόκον, καί φησιν, ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σὴθ λέγουσα· ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ

A & violentam mortem, & à filio perpetratam, & in fratrem eodem patre eademque matre natum, & qui in nullo nocuerat. Volens ergo benignus Deus parem pro triſtitia afferre conſolationem, alium illi dat filium, Seth videlicet. Quo vt ipſum ſatis ſolatus eſt, ab illo poſtea generationis initium ducit. Propterea & beatus propheta ſic exorſus eſt, dicens: Iſte eſt liber generationis hominum. Deinde vt promiſit ſe narraturum natiuitatem hominum, vide qua conſequentia vtitur.³ *Vixit Adam annis ducentis triginta, & genuit*
B *ſecundùm ſpeciem ſuam, & ſecundùm imaginem ſuam. Et appellauit nomen illius Seth. Fuerunt autē ipſius anni ſeptingenti, & genuit filios & filias. Et facti ſunt omnes dies Adam, anni nongenti triginta, & mortuus eſt.* Nónne bene dicebam in exordio ſermonis, nihil eſſe ſimpliciter & abſque vtilitate in ſacra ſcriptura poſitum? Ecce enim & nunc quanta diligentia vſus eſt beatus ille propheta: Genuit, inquit, Adam ſecundum ſpeciem ſuam, & ſecundùm imaginem ſuam, & appellauit nomen illius Seth.
C Cùm dè priore loqueretur filio, Cain dico, nihil tale ſignificauit, nimirum iam antea indicans illius in malum procliuitatem. Et meritò: non enim ſeruauit paterna lineamenta & mores, ſed protinus ad malitiam confugit. Hîc autem inquit, ſecundùm ſpeciem & ſecundum imaginem ſuam, hoc eſt, eorundem morum, quibus ille qui genuerat, & qui ſeruet paternos characteres, operibúſque paternos mores exprimat, qui reparare poſſit ſua virtute prioris peccatum.
D Neque enim de corporalibus lineamentis, & characteribus ſcriptura nobis diſſerens hoc dicit: ſecundum ſpeciem ſuam, & ſecundum imaginem ſuam: ſed de ſtatu animæ, vt diſcamus quòd hic non erit talis. Ideo & mater nomine impoſito filio, cum gratiarum actione hoc nomen indidit: & neque naturæ neque partui aſcribit natum puerum, ſed Dei virtuti. Illa enim naturam fœcundauit ad partum, & dicit: Cognominauit nomen illius, Seth, dicens: Excitauit enim mihi Deus ſemen aliud pro Abel,

quem occidit Cain. Vide verbi dili-
gentiam. Non dixit: Dedit mihi
Deus: ſed, excitauit mihi. Vide quo-
modo obſcurè nobis hoc verbo re-
ſurrectionis exordia hîc oſtendit.
Nam dicebat, quaſi diceret aliquis:
Pro eo qui cecidit, excitauit mihi
hunc. Ille, inquit, in terram dextra
fratris percuſſus cecidit, & mortis
periculum fecit: ſed Dei virtus pro
lapſo hunc mihi ſuſcitauit. Sed quia
nondum tempus erat reſurrectionis,
non lapſum ſuſcitauit, ſed alium pro
illo: quamobrem & ipſa dixit: Suſci-
tauit mihi Deus ſemẽ aliud pro Abel,
quẽ occidit Cain. Vidiſti gratitudi-
nem mulieris? Vidiſti benignitatem
domini? quomodo acceleratam illis
conſolationẽ excogitauit? hanc imi-
temur omnes, & totũ ſupernæ gratię
tribuamus. Nã licet natura operetur,
non tamen ſua virtute, ſed præcepto
illius, qui ipſam fecit, obediens ope-
ratur. Et nunquam doleant mulieres
quando non pariunt, ſed gratum ani-
mum præ ſe ferentes, ad naturæ opi-
ficem confugiant, & ab illo petant,
qui naturæ dominus eſt, & neque
coniugum congreſſui, neque alteri
alicui filiorum imputent generatio-
nem ſed conditori omnium, qui ex
nihilo naturam noſtram produxit vt
eſſet, & claudicantem corrigere po-
teſt: quandoquidem & iſta ex oc-
caſione luctus glorificandi Deum
ſumpſit argumentum, & domino to-
tum tribuit, dicens: Excitauit mihi
Deus ſemen aliud pro Abel, quem
occidit Cain. Vides quomodo non
ſolùm non grauatim tulit, neque tri-
ſte aliquid locuta eſt (non enim in-
termiſiſſet diuina ſcriptura, ſiquidẽ
tale quiddã ab illa dictum foret) ve-
rùm generosè ferens quod fiebat, cõ-
ſolationem ſtatim meretur, & maio-
rem gratitudinem præ ſe fert, domi-
ni beneficium prædicans? Vide enim
quàm benignè dominus quę ſuarum
ſunt partium, exequitur. Nam datur
illi non ſolùm filius alius, ſed & vir-
tute præditum fore antea oſtendi-
tur. Genuit enim, inquit, ſecun-
dum ſpeciem ſuam, & ſecundum
imaginem ſuam. Et vt ſtatim di-
ſcas nati virtutem, vide quia &
ipſe ſtatim per appellationem ſui
nati oſtendit ſuæ mentis pietatem.

Reſurrectio ſignificatur in nomine.

A ὃν ἀπέκτεινε Κάϊν. ὅρα τοῦ ῥήματος τὴν ἀκρί-
βειαν. οὐκ εἶπεν ἔδωκέ μοι ὁ θεός, ἀλλ' ἐξανέστησέ
μοι. σκόπει πῶς ἀμυδρῶς τὰ προοίμια τῆς ἀνα-
στάσεως ἐντεῦθεν δείκνυται ἤδη διὰ τοῦ ῥήματος. ὡς
γὰρ ἂν εἴποι τις ἐλέγχων· ἀντὶ τοῦ πεσόντος ἀνέστησέ
μοι τοῦτον. εἰ καὶ ἐκεῖνός φησιν ἀπὸ τῆς ἀδελφικῆς
δεξιᾶς εἰς τὴν γῆν κατέπεσε, καὶ τοῦ θανάτου
πεῖραν ἔλαβεν, ἀλλ' ἡ τοῦ θεοῦ δύναμις ἀντὶ τοῦ
πεσόντος τοῦτον ἤγειρεν. ἐπειδὴ γὰρ οὐδέπω καιρὸς
ἦν τῆς ἀναστάσεως, οὐχὶ τὸν πεσόντα ἤγειρεν, ἀλλ'
ἕτερον ἀντ' ἐκείνου· διὸ καὶ αὐτή φησιν· ἐξανέστησε
γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέ-
B κτεινε Κάϊν. εἶδες εὐγνωμοσύνην γυναικός; εἶ-
δες φιλανθρωπίαν δεσπότου; πῶς ταχεῖαν αὐ-
τοῖς τὴν παραμυθίαν ἐπενόησε; ταύτην μιμώ-
μεθα ἅπαντες, καὶ τὸ πᾶν τῇ ἄνωθεν χάριτι λογι-
ζώμεθα. εἰ γὰρ καὶ ἡ φύσις ἐργάζεται, ἀλλ' οὐκ οἰ-
κείᾳ δυνάμει, ἀλλὰ τῷ προστάγματι τοῦ δημιουρ-
γήσαντος εἴκουσα, καὶ μηδέποτε ἀλγείτωσαν γυ-
ναῖκες, ἐπειδὰν μὴ τίκτωσιν, ἀλλὰ γνώμην εὐ-
χάριστον ἐπιδεικνύμεναι ἐπὶ τὸν τῆς φύσεως δη-
μιουργὸν καταφευγέτωσαν, καὶ παρ' ἐκείνου αἰτεί-
τωσαν τοῦ τῆς φύσεως δεσπότου, καὶ μήτε τῇ συ-
C νουσίᾳ τῶν συνοικούντων μήτε ἑτέρῳ τινὶ λογιζέ-
σθωσαν τὴν τῶν παίδων γονήν, ἀλλὰ τῷ δημιουρ-
γῷ τῶν ὅλων τῷ καὶ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πα-
ραγαγόντι τὴν φύσιν τὴν ἡμετέραν, καὶ χωλεύου-
σαν πάλιν διορθῶσαι δυναμένῳ· ἐπεὶ καὶ αὕ-
τη τὴν τοῦ πένθους ὑπόθεσιν δοξολογίας ἀφορ-
μὴν ἐποιήσατο, καὶ τῷ δεσπότῃ τὸ πᾶν λογίζεται
λέγουσα, ἐξανέστησέ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ
Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. ὁρᾷς πῶς οὐ μόνον οὐκ
ἐδυσχέρανε, οὐδὲ ἐφθέγξατό τι λυπηρόν· οὐ γὰρ
ἂν παρέλιπεν ἡ θεία γραφή, εἴ γέ τι τοιοῦτον εἴρητο
D παρ' αὐτῆς· ἀλλὰ γενναίως ἐνεγκοῦσα τὸ συμ-
βὰν ταχείας ἀξιοῦται τῆς παραμυθίας, καὶ πλείο-
να τὴν εὐγνωμοσύνην ἐπιδείκνυται, ἀνακηρύτ-
τουσα τοῦ δεσπότου τὴν εὐεργεσίαν; ὅρα γὰρ μεθ'
ὅσης φιλοτιμίας ὁ δεσπότης τὰ παρ' ἑαυτοῦ ἐπιδεί-
κνυται. οὐ μόνον γὰρ υἱὸν ἕτερον ἐχαρίσατο, ἀλλὰ
καὶ ἐνάρετον αὐτὸν ἔσεσθαι ἤδη προμηνύει.
ἐγέννησε γάρ φησι κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ κα-
τὰ τὴν εἰκόνα αὐτοῦ. καὶ ἵνα μάθωμεν εὐθέως
τοῦ τεχθέντος τὴν ἀρετήν, ὅρα καὶ αὐτὸν πάλιν
διὰ τῆς προσηγορίας τοῦ ὑπ' αὐτοῦ τεχθέν-
τος δεικνύντα τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης.

καὶ τῷ Σὴθ φησὶν ἐγένετο υἱός, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἐνώς. οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ. εἶδες προσηγορίαν διαδήματος λαμπροτέραν; ἁλουργίδος φαιδροτέραν; τί γὰρ ἂν εἴη μακαριώτερον τοῦ τοιούτου τῇ ἐπικλήσει τοῦ θεοῦ καλλωπιζομένου, καὶ τοῦτο ἀντὶ ὀνόματος κεκτημένου; ὁρᾷς πῶς ὅπερ ἐξ ἀρχῆς ἔλεγον, καὶ ἐν αὐταῖς ψιλαῖς ταῖς προσηγορίαις πολὺς ἐναπόκειται πλοῦτος νοημάτων; οὐ μόνον γὰρ τῶν γονέων ἐντεῦθεν δείκνυται τὸ φιλόθεον, ἀλλὰ καὶ ἡ πολλὴ περὶ τοὺς παῖδας αὐτῶν ἐπιμέλεια· καὶ ὅπως ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐπαίδευον τὰ τικτόμενα παιδία διὰ τῆς προσηγορίας, ἣν αὐτοῖς ἐπετίθεσαν, τῆς ἀρετῆς ἀντέχεσθαι, καὶ οὐ καθάπερ οἱ νῦν ἁπλῶς, καὶ ὡς ἔτυχε τὰς προσηγορίας ποιοῦνται. εἰς τὸ ὄνομα φησὶ τοῦ πάππου καὶ τοῦ ἐπιπάππου καλείσθω τὸ παιδίον. ἀλλ' οἱ παλαιοὶ οὐχ οὕτως, ἀλλὰ πᾶσαν σπουδὴν ἐποιοῦντο τοιαύτας προσηγορίας ἐπιτιθέναι τοῖς τικτομένοις, αἳ μὴ μόνον αὐτοὺς τοὺς τὴν προσηγορίαν δεχομένους εἰς ἀρετὴν ἐνῆγον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι καὶ ταῖς μετὰ ταῦτα γενεαῖς διδασκαλία φιλοσοφίας ἁπάσης ἐγίνοντο. καὶ τοῦτο εἰσόμεθα κατὰ μικρὸν προϊόντος τοῦ λόγου. μὴ τοίνυν μηδὲ ἡμεῖς τὰς τυχούσας προσηγορίας ἐπιτιθῶμεν τοῖς παισίν, μηδὲ τῶν πάππων καὶ τῶν ἐπιπάππων, καὶ τῶν πρὸς γένος διαφερόντων τὰς ὀνομασίας αὐτοῖς χαριζώμεθα, ἀλλὰ τῶν ἁγίων ἀνδρῶν τῶν ἐν ἀρετῇ διαλαμψάντων, τῶν πολλὴν παρρησίαν πρὸς τὸν θεὸν ἐσχηκότων· μᾶλλον δὲ μηδὲ ταῖς τούτων προσηγορίαις ἁπλῶς θαρρείτωσαν μήτε οἱ γονεῖς, μήτε οἱ παῖδες, οἱ τὰς προσηγορίας δεχόμενοι. οὐδὲ γὰρ ὀνίνησί τι προσηγορία ἀρετῆς ἔρημος οὖσα, ἀλλὰ δεῖ ἐν τῇ κατορθώσει τῆς ἀρετῆς τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, καὶ μήτε ἐπὶ προσηγορίᾳ μέγα φρονεῖν, μήτε ἐπὶ ἄλλῳ μηδενί, ἀλλ' ἐπὶ τῇ τῶν οἰκείων ἔργων παρρησίᾳ· μᾶλλον δὲ μηδὲ ἐπὶ ταύτῃ μέγα φρονεῖν, ἀλλὰ τότε μᾶλλον κατεστάλθαι καὶ μετριάζειν, ὅταν πολὺν τὸν πλοῦτον τῆς ἀρετῆς συναγαγεῖν δυνηθῶμεν. οὕτω γὰρ καὶ αὐτοὶ μετὰ ἀσφαλείας τὸν συλλεγέντα πλοῦτον συνάξομεν, καὶ τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν ἐπισπασόμεθα. διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς μαθηταῖς, ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν,

A *Et Setho, inquit, factus eſt filius, & appellauit nomen illius Enos: hic ſperauit inuocare nomen domini Dei.* Vidiſti appellationem diademate clariorem, purpura meliorem? Quid fuerit illo beatius, qui inuocatione Dei ornatur, idque pro nomine poſſidet? Vides id quod ab initio dicebam, & in paruis appellationibus magnas ſententiarum diuitias reconditas eſſe? Non ſolùm enim hîc parentum monſtratur pietas, ſed & magna erga liberos diligentia. Et quomodo ſtatim & à principio erudiebant puerulos qui ipſis naſce- (Nominum impoſitio recens natis.) B bantur, admonentes appellationibus, quas illis impoſuerant, vt virtutem exercerent? Et non ſicut nunc fortuitò & abſque cauſa nomina fiunt. Dicunt enim, iuxta nomen aui vel proaui nominetur puer: at priſci non ita, ſed omnem operam adhibebant, vt talia natis imponerent nomina, quæ non ſolum illos qui nomina ſortiebantur, in virtutes adducerent, ſed & alios omnes etiam qui ſequentibus ſeculis futuri ſunt, nullam non ſapien- C tiam docerent. Id quod ſciemus, ſi ſermo aliquanto amplius proceſſerit. Igitur nos neque quæuis nomina pueris indamus, neque auorum & proauorum, & eorum qui genere clari fuerunt, nomina tribuamus: ſed ſanctorum virorum, qui virtutibus fulſerunt, plurimáque apud Deum gratia valuerunt. Imò neque horum nominibus fidant vel parentes, vel pueri quibus talia nomina contingunt. Nihil enim prodeſt alicui vocabulum virtute vacuum, ſed habenda eſt ſalutis D expectatio in omni virtutis operatione. Et neque in appellatione ſublimè ſapere, neque in cognatione ſanctorum virorum, neque in aliquo alio, ſed in fiducia propriorum operum, imò neque in illis multum de ſe ſentire: ſed tunc magis humilem & modeſtum eſſe oportet, cùm magnas virtutum diuitias congerere poſſumus: ſic enim & ipſi collectas diuitias cuſtodiemus, & gratiam Dei nobis conciliabimus. Enimuerò propter hoc & Chriſtus diſcipulis ſuis dicebat: Cum omnia feceritis, dicite: (Lucæ 17.10.)

Inutiles ſerui ſumus, in omnibus eorum confidentiam reprimens, & ad modeſtiam eos reuocans, vt bonis operibus, non extollantur, ſed ſciant maximam virtutum eſſe in bonis operibus modeſtè & humiliter ſe habere. Porrò ad contextum ſermonis redeamus, & videamus eos qui poſtea nati ſunt. Probabile eſt enim, quòd paulatim procedendo maiores inueniamus theſauros & diuitias. [9] *Et vixit Enos (iſte Sethi filius) annos centum nonaginta, & genuit Cainan*[12] *: & Cainan genuit Malaleel*[15]*, & Malaleel genuit Iared, & Iared genuit Enoch.*[21] *Et vixit Enoch annis centum ſexaginta quinque & genuit Mathuſala.*[22] *Placuit autem Enoch Deo. Et vixit Enoch poſtquam genuit Mathuſala, annis ducentis, & genuit filios & filias.*[23] *Et fuerunt dies Enoch trecenti ſexaginta quinque. Et placuit Enoch Deo, & non inuentus eſt, quia tranſtulit illum Deus.* Num bene dicebam, quòd procedendo magnum theſaurum in illis nominibus inuenturi eſſemus? Animaduerte enim obſecro hîc dilecte & iuſti virtutem, & Dei bonitatem eminentem, & ſcripturæ diligentiam. Et vixit Enoch annis centum ſexagintaquinque, & genuit Mathuſala. Et placuit Enoch Deo, poſtquam genuit Mathuſala. Audiant viri & mulieres, & diſcant iuſti virtutem, nec putent nuptias in cauſa eſſe quò minus quis Deo placeat. Nam idcirco diuina ſcriptura ſemel & iterum id ſignificauit dicens: Genuit Mathuſala, & tunc placuit. Et idem ingeminat ac repetit, dicens: Et placuit, poſtquam genuit: vt ne quis arbitretur obſtaculum virtutis eſſe coniugium. Quia ſi ſobrij ſumus, neque educatio, neque coniugium, neque aliud quid nobis oberit, quo minns placeamus Deo. Ecce enim & hic eiuſdem naturæ erat, cuius & nos ſumus: & neque lex tradita erat, neque ſcripturæ docebant, neque aliud quidquam ad honeſtatis ſapientiæque ſtudium impellebat. Domi ipſi natum eſt, & ex voluntate profectum quod Deo placuit, vt vſque hodie perduret nondum mortis guſtum expertus.

A πανταχοῦ καταστέλλων αὐτῶν τὰ φρονήματα, καὶ πείθων μὲν μετριοφρονεῖν, καὶ μὴ ἐπαίρεσθαι ἐπὶ κατορθώμασιν, ἀλλ' εἰδέναι ὡς ἡ μεγίστη ἀρετὴ αὕτη μάλιστα πάντων ἐστὶ τὸ ἐν κατορθώμασιν ὄντα τινὰ μετριάζειν. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν πάλιν ἐπανέλθωμεν τοῦ λόγου, καὶ ἴδωμεν τοὺς ἑξῆς τεχθέντας. εἰκὸς γὰρ κατὰ μικρὸν προϊόντας μείζονα θησαυρὸν εὑρεῖν καὶ πολὺν καὶ ἄφατον πλοῦτον. καὶ ἔζησε φησὶν Ἐνώς, οὗτος ὁ τοῦ Σὴθ υἱὸς, ἔτη ἑκατὸν ἐνενήκοντα, καὶ ἐγέννησε τὸν Καϊνάν, καὶ Καϊνὰν ἐγέννησε τὸν Μαλελεήλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Ἰαρέδ, καὶ Ἰαρὲδ ἐγέννησε τὸν Ἐνώχ, καὶ ἔζησεν B Ἐνὼχ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἐγέννησε τὸν Μαθουσάλα. εὐηρέστησε δέ φησι τῷ θεῷ Ἐνώχ. καὶ ἔζησεν Ἐνὼχ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα ἔτη διακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἐγένοντο αἱ ἡμέραι Ἐνὼχ ἔτη τριακόσια ἑξήκοντα πέντε, καὶ εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός. οὐ καλῶς ἔλεγον, ὅτι προϊόντες πολὺν καὶ ἄφατον εὑρήσομεν πλοῦτον πνευματικὸν ἐν τούτοις τοῖς ὀνόμασιν; ἐννόει γάρ μοι ἐνταῦθα, ἀγαπητὲ, καὶ τοῦ δικαίου τὴν ἀρετὴν, καὶ τοῦ ἀγαθοῦ C θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, καὶ τῆς γραφῆς τὴν ἀκρίβειαν. ἔζησε φησὶν Ἐνὼχ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἐγέννησε τὸν Μαθουσάλα, καὶ εὐηρέστησέ φησιν Ἐνὼχ τῷ θεῷ μετὰ τὸ γεννῆσαι αὐτὸν Μαθουσάλα. ἀκουέτωσαν καὶ ἄνδρες καὶ γυναῖκες, καὶ παιδευέσθωσαν τοῦ δικαίου τὴν ἀρετὴν, καὶ μὴ νομιζέτωσαν τὸν γάμον κώλυμα εἶναι πρὸς τὴν εὐαρέστησιν τὴν πρὸς τὸν θεόν. διὰ γὰρ τοῦτο καὶ ἅπαξ καὶ δεύτερον ἐπεσημήνατο λέγουσα ἡ θεία γραφὴ, ὅτι ἐγέννησε τὸν Μαθουσάλα, καὶ τότε εὐηρέστησε, καὶ πάλιν D τὸ αὐτὸ ἐδιπλασίασε λέγουσα· καὶ εὐηρέστησε μετὰ τὸ γεννῆσαι αὐτὸν, ἵνα μή τις νομίσῃ ἐμποδίζεσθαι πρὸς τὴν ταύτης κατόρθωσιν. ἐὰν γὰρ νήφωμεν, οὔτε γάμος, οὔτε διατροφὴ, οὔτε ἕτερόν τι ἐμποδίσαι ἡμῖν δυνήσεται εἰς τὴν εὐαρέστησιν. ἰδοὺ γάρ καὶ οὗτος τῆς αὐτῆς ἡμῖν φύσεως τυγχάνων, καὶ οὔτε νόμου δοθέντος, οὔτε γραφῶν κειμένων τῶν διδασκουσῶν, οὔτε ἑτέρου τινὸς εἰς φιλοσοφίαν ἐνάγοντος, οἴκοθεν καὶ ἀπὸ προαιρέσεως τοσαύτην ἐπεδείξατο τὴν εὐαρέστησιν, ὡς μέχρι τῆς σήμερον διαρκέσαι, καὶ μηδέπω καὶ νῦν πεῖραν θανάτου λαβεῖν.

Εἰ γὰρ ὁ γάμος ἀγαπητὲ καὶ ἡ παιδοτροφία κώλυμα ἤμελλε γίνεσθαι πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν, οὐκ ἂν εἰσήνεγκε γάμον εἰς τὸν βίον τὸν ἡμέτερον ὁ τῶν ὅλων δημιουργὸς, ἵνα μὴ ἐν τοῖς καιρίοις καὶ σφόδρα ἀναγκαιοτέροις ἡμᾶς λυμαίνηται. ἀλλ' ἐπειδὴ οὐ μόνον οὐδὲν ἡμῖν ἐμποδίζει πρὸς τὴν κατὰ θεὸν ἡμῖν φιλοσοφίαν ἐὰν βουλώμεθα νήφειν, ἀλλὰ καὶ πολλὴν ἡμῖν εἰσάγει τὴν παραμυθίαν μαινομένην τὴν φύσιν καταστέλλουσα, καὶ οὐκ ἀφιεῖσα πελάγιον σαλεύειν, ἀλλὰ διηνεκῶς ἐν λιμένι τὸ σκάφος ὁρμεῖν παρασκευάζουσα, διὰ τοῦτο καὶ τὴν ἐντεῦθεν παραμυθίαν ἐχαρίσατο τῷ τῶν ἀνθρώπων γένει. ὅτι γὰρ ἀληθῆ τὰ παρ' ἡμῶν λεγόμενα, δείκνυσιν ὁ δίκαιος οὗτος. μετὰ γὰρ τὸ γεννῆσαι φησὶ τὸν Μαθουσάλα, εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ, καὶ οὐ βραχύν τινα ἀριθμὸν διήρκεσε τὴν ἀρετὴν μετιὼν, ἀλλὰ, φησὶ, διακόσια ἔτη. καὶ ἐπειδὴ μετὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν εὑρέθη ἄνθρωπος πρὸς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς ἀνιὼν, καὶ τὴν τοῦ προπάτορος ἁμαρτίαν ἀνακαλούμενος διὰ τῆς οἰκείας εὐαρεστήσεως, ὅρα τοῦ ἀγαθοῦ θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν. ἐπειδὴ εὗρε δυνηθέντα ἀνακαλέσασθαι τὸ ἁμάρτημα τοῦ Ἀδὰμ, δείκνυσι δι' αὐτῶν τῶν πραγμάτων, ὅτι οὐ βουλόμενος τὸν θάνατον ἐπαγαγεῖν τῷ γένει τῷ ἡμετέρῳ διὰ τὴν τῆς ἐντολῆς παράβασιν τούτῳ κατεδίκασε τὸν τὴν ἐντολὴν δεξάμενον, τοῦτον ζῶντα μεθίστησι. καὶ εὐηρέστησε φησὶν Ἐνὼχ τῷ θεῷ, καὶ οὐχ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός. ὁρᾷς σοφίαν δεσπότου; μετέθηκε ζῶντα, οὐχὶ ἀθανασίαν ἐχαρίσατο, ἵνα μὴ ἐκλύσῃ τοῦ πλημμελήματος τὸν φόβον, ἀλλ' ἀφῆκεν ἀκμάζειν τῷ τῶν ἀνθρώπων γένει. διὰ τοῦτο πάλιν ἀμυδρῶς ὡς εἰπεῖν καὶ λανθανόντως ἀνακαλέσασθαι βούλεται τὴν ἀπόφασιν, ἣν κατὰ τοῦ Ἀδὰμ ἐξενήνοχε. ἀλλ' οὐ ποιεῖ αὐτὸ φανερὸν, ἵνα ὁ φόβος ἀντὶ σωφρονισμοῦ γένηται. διὰ τοῦτο εὐαρεστήσαντα τὸν Ἐνὼχ μετέθηκεν. εἰ δέ τις βούλοιτο περιεργάζεσθαι, καὶ λέγειν, καὶ ποῦ αὐτὸν μετέθηκε, καὶ εἰ μέχρι τοῦ παρόντος διήρκεσε, μανθανέτω μὴ λογισμοῖς ἀνθρωπίνοις κατακολουθεῖν, καὶ τὰ παρὰ τοῦ θεοῦ πολυπραγμονεῖν, ἀλλὰ πιστεύειν τοῖς λεγομένοις. ὅταν γὰρ ὁ θεὸς ἀποφαίνηταί τι, οὐ δεῖ

A Nam ſi nuptiæ, dilecti, vel puerorum educatio, præpedimentum forent in virtutum itinere, nequaquam in hanc noſtram vitam nuptias introduxiſſet vniuerſorum dominus, vt ne in rebus præcipuis & maximè neceſſariis nos læderet. Sed quia non ſolum nihil nobis obſtant ad philoſophandum Deo, ſi voluerimus eſſe ſobrij, ſed & magnam afferunt conſolationem, dum comprimunt inſanum naturæ impetum, nec turbari quaſi mare ſinunt, ſed efficiunt vt ſcapha feliciter in portum appellat, ideo conſolationem hanc humano generi tribuit. Quod quàm verum ſit, oſtẽdit iuſtus ille. Quia poſtquam, inquit, genuit Mathuſala, placuit Deo Enoch. Neque paruo tempore in virtutum meditatione perſeuerauit, ſed vixit, inquit, annis ducentis. Et quia poſt tranſgreſſionem Adæ inuentus eſt homo qui ad virtutum culmen aſcenderet, & primi parentis peccatum reuocaret, ob ſuam quam apud Deum habebat gratiam: vide boni Dei excellentem clementiam. Nam quia inuenit aliquem, qui potuit peccatum Adæ reuocare: monſtrando re ipſa quia non volens mortem humano generi inferre, propter mandati tranſgreſſionem, cùm eum qui mandatum acceperat condemnauerit, nunc viuentem iſtum transfert. Et placuit, inquit, Enoch Deo, & non inuentus eſt, eò quòd tranſtulit illum Deus. Vides ſapientiam domini? viuentem tranſtulit, non immortalitatem largitus eſt, ne peccandi metum eneruaret, ſed morti in humanum genus ſuum ius reliquit. Propter hoc iterum obſcurè, vt ita dicam, & latenter reuocare vult ſententiam, quam contra Adam protulit, ſed manifeſtum hoc non facit, vt timor illius emendationi ſeruiat. Et idcirco Enoch, cum ſibi multum placeret, tranſtulit. Iam ſi quis curioſius rogare velit, & dicere: & quò ipſum tranſtulit? & num vſque ad præſens vixerit? diſcat, non conuenire humanis cogitationibus obſequi, & curioſius ea quæ à Deo fiunt explorare, ſed credere his quæ dicuntur. Nam quando Deus aliquid pronunciat, dictis ipſius contradicẽdum non eſt, ſed fide digniora habenda ſunt quæ à Deo pro-

nunciantur, etiamſi non compareant, quàm quæ oculis noſtris ſubiecta ſunt. Enimuerò ſcriptura dixit, quòd tranſtulit illum; & quòd viuentem tranſtulit, nec mortem expertus ſit, ſed ob ſuum, quem apud Deum habebat fauorem, ſuperior factus ſit diuina ſententia contra humanum genus prolata. Quò autem illum tranſtulerit, & quomodo nunc agat, hoc non adiecit. Vidiſti bonitatem domini, quomodo inuentum virum, qui virtutem operatus eſt, non fraudauit dignitate, quam primigenæ homini ante mandati tranſgreſſionem largitus erat: docens nos, quòd & illum, niſi dæmonis deceptionem pluris feciſſet quàm traditum mandatum, eodem vel maiori honore dignatus fuiſſet. [25] *Et vixit,* inquit, *Mathuſala annos centum & octogintaſeptem, & genuit Lamech:* [28] *& vixit Lamech annos centum octoginta,* [29] *& genuit filium, & appellauit nomen illius Noë, dicens: Hic requieſcere faciet nos à laboribus noſtris, & à moleſtiis manuum noſtrarum, & à terra quam maledixit dominus Deus.* Vide iterum per appellationem nũc nati ex Lamech, ſacramentorum magnitudinem, & vaticinij excelcellentiam, & boni Dei ineffabilem benignitatem. Quoniam enim præſcientia ſua præuidebat futura, vt vidit malitiam hominum in dies magis atque magis increſcere, prædicit per appellationem pueri mala, quæ totum humanum genus inuaſura eſſent, vt vel timore caſtigati, abducerentur à vitiis, & amplexarentur virtutem. Et vide longanimitatem domini facientis, vt ante tantum tempus vaticinium præcederet, vt & ſuam oſtenderet miſericordiam, & omni priuaret defenſione eos, qui pœnæ futuri erant obnoxij. Sed fortè quis dixerit: Vnde Lamech hoc habuit; vt tantum vaticinium prædiceret? non enim meminit ſcriptura, quòd multa virtute claruerit, admirabiliſque fuerit. Ne mireris dilecte. Dominus enim noſter ſapiens & omnipotens & per indignos ſæpe concedit prædici magnas mirabileſque res: id quod non in veteri teſtamento ſolum, ſed & in nouo videre quis poterit. Audi enim Euangeliſtam de Caipha Iudæorum

Per indignos futura prædici vult Deus.

A ἀντιβλέπειν τοῖς ῥηθεῖσιν, ἀλλὰ τὰ παρὰ τοῦ θεοῦ λεγόμενα ἀξιωπιστότερα ἡγεῖσθαι, κἂν μὴ φαίνηται τῶν ὑπὸ τοῖς ὀφθαλμοῖς κειμένων τοῖς ἡμετέροις. ὅτι γὰρ μετέθηκεν αὐτὸν εἶπεν ἡ θεία γραφὴ, καὶ ὅτι ζῶντα μετέθηκε, καὶ πεῖραν μὴ λαβόντα θανάτου, ἀλλὰ διὰ τῆς οἰκείας εὐαρεστήσεως ἀνώτερον γεγονότα τῆς ἐξενεχθείσης ἀποφάσεως κατὰ τοῦ τῶν ἀνθρώπων γένους. εἶδες ἀγαθότητα δεσπότου, πῶς εὑρὼν ἄνδρα τὴν ἀρετὴν κατωρθωκότα οὐκ ἀπεστέρησεν αὐτὸν τῆς ἀξίας, ἣν τῷ πρωτοπλάστῳ ἐχαρίσατο πρὸ τῆς παραβάσεως τῆς ἐντολῆς διδάσκων ἡμᾶς, ὅτι κἀκεῖνος, εἰ μὴ B τὴν ἀπάτην προετίμησε τῆς δοθείσης ἐντολῆς, τῶν αὐτῶν ἂν ἠξίωτο καὶ μειζόνων; καὶ ἔζησέ φησι Μαθουσάλα ἔτη ἑκατὸν ὀγδοήκοντα ἑπτὰ, καὶ ἐγέννησε τὸν Λάμεχ, καὶ ἔζησε Λάμεχ, καὶ ἐγέννησεν υἱὸν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Νῶε λέγων· οὗτος δὴ ἀναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν, καὶ ἀπὸ τῶν λυπηρῶν τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο κύριος ὁ θεός. ὅρα πάλιν διὰ τῆς προσηγορίας τοῦ νῦν τεχθέντος ὑπὸ τοῦ Λάμεχ μυστηρίων τὸ μέγεθος, καὶ προρρήσεως ὑπερβολὴν, καὶ φιλανθρωC πίαν ἄφατον τοῦ ἀγαθοῦ θεοῦ. ἐπειδὴ γὰρ τῇ οἰκείᾳ προγνώσει τὰ μέλλοντα προεώρα, ἰδὼν τὴν κακίαν τῶν ἀνθρώπων αὐξανομένην προλέγει διὰ τῆς τοῦ παιδὸς προσηγορίας τὰ μέλλοντα καταλήψεσθαι κακὰ ἅπαν τὸ τῶν ἀνθρώπων γένος, ἵνα κἂν τῷ φόβῳ σωφρονισθέντες ἀπόσχωνται τῆς κακίας, ἕλωνται δὲ τὴν ἀρετήν. καὶ ὅρα μακροθυμίαν δεσπότου, πρὸ πόσου χρόνου τὴν πρόρρησιν γίνεσθαι ποιεῖ, ἵνα καὶ τὴν οἰκείαν ἐπιδείξηται φιλανθρωπίαν, καὶ πάσης ἀπολογίας ἀποστερήσῃ τοὺς τὴν τιμωρίαν D μέλλοντας δέχεσθαι. ἀλλ' ἴσως ἄν τις εἴποι, καὶ πόθεν τῷ Λάμεχ τὸ τοσοῦτον μέγεθος τῆς προρρήσεως; μὴ γὰρ μέμνηται ἡ γραφὴ, ὅτι ἐνάρετός τις ἦν καὶ θαυμαστός; μὴ ξενισθῇς ἀγαπητέ· σοφὸς γὰρ ὢν καὶ εὐμήχανος ὁ δεσπότης, καὶ δι' ἀναξίων πολλάκις συγχωρεῖ προλέγεσθαι θαυμαστὰ καὶ μεγάλα πράγματα, καὶ οὐκ ἐν τῇ παλαιᾷ μόνον τοῦτο, ἀλλὰ καὶ ἐν τῇ καινῇ. ἄκουε γὰρ τοῦ εὐαγγελιστοῦ περὶ τοῦ Καϊάφα τοῦ τῶν Ἰουδαίων

A ἀρχιερέως λέγοντος· τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλ' ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, προεφήτευσεν, ὅτι ἤμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν, οὐχ ὑπὲρ τοῦ λαοῦ μόνον, ἀλλ' ἵνα καὶ τὰ ἔθνη τὰ ἐσκορπισμένα συναγάγῃ εἰς ἕν. εὑρήσεις τοιοῦτόν τι πάλιν καὶ ἐπὶ τοῦ Βαλαὰμ γινόμενον. κληθεὶς γὰρ καταράσασθαι τὸν λαὸν οὐ μόνον οὐ κατηράσατο, ἀλλὰ καὶ προεφήτευσε μεγάλα καὶ θαυμαστὰ πράγματα οὐ περὶ τοῦ λαοῦ μόνον, ἀλλὰ καὶ περὶ τῆς τοῦ σωτῆρος ἐπιδημίας. μὴ τοίνυν ξενίζου, εἰ καὶ νῦν ὁ Λάμεχ προσηγορίαν ἐπιθεὶς τῷ παιδὶ τοιαύτην ἐπιτίθησιν, ἀλλὰ τῷ θεῷ λόγισαι τὸ πᾶν τῷ διὰ τῆς εὐμηχάνου αὐτοῦ σοφίας πάντα οἰκονο- B μοῦντι. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νῶε. ἑρμηνεύεται γὰρ αὐτοῦ τὸ ὄνομα ἀνάπαυσις. τὴν οὖν πανωλεθρίαν ἐκείνην τὴν μετὰ τοσοῦτον ἐτῶν ἀριθμὸν συμβήσεσθαι μέλλουσαν ἀνάπαυσιν καλεῖ, καθάπερ καὶ ὁ Ἰὼβ φησι· θάνατος ἀνδρὶ ἀνάπαυσις. ἐπειδὴ γὰρ πολὺν καὶ σφόδρα μέγαν εἶχε τὸν κάματον ἡ κακία, τὴν ταύτης ἀποχὴν καὶ τὴν ἀναίρεσιν, ἣν διὰ τοῦ κλυδωνίου ἐκείνου ἔμελλον ὑφίστασθαι, ἀνάπαυσιν καλεῖ. καὶ ἐκάλεσέ φησι τὸ ὄνομα αὐτοῦ Νῶε. εἶτα ἑρμηνεύων ἡμῖν τοῦ ὀνόματος τὴν προσηγορίαν φησίν· οὗτος διαναπαύσει C ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν, ἀπὸ τῆς κακίας φησὶν ἀποστήσει, καὶ ἀπὸ τῶν λυπηρῶν τῶν χειρῶν ἡμῶν. καὶ πάλιν τὸ αὐτὸ, ἀπὸ τῶν πράξεών φησι τῶν πονηρῶν. οὐδὲ γὰρ ἐπειδὴ αἱ χεῖρες ἐλυποῦντο, ἀλλ' ἐπειδὴ διὰ τῆς τούτων ἐργασίας καὶ τῆς πονηρᾶς πράξεως τὰ τῆς λύπης αὖθις ηὔξετο. καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο κύριος ὁ θεὸς, ἐλευθερώσει ἡμᾶς. πάντων φησὶ τῶν ἐπικειμένων κακῶν, καὶ τοῦ περὶ τὴν γῆν πονεῖσθαι καὶ ταλαιπωρεῖσθαι τὴν κατάραν δεξαμένην διὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν. ἐννόει γάρ μοι λοιπὸν ἀγα- D πητὲ πῶς τὸ παιδίον τοῦτο κατὰ μικρὸν αὐξανόμενον διδασκαλίας ὑπόθεσις ἅπασι τοῖς ὁρῶσιν ἐγίνετο. μόνον γάρ τις ἐπυνθάνετο τοῦ παιδίου τὴν προσηγορίαν, καὶ εὐθέως ἡ ἑρμηνεία τῆς προσηγορίας ἐδίδασκε τῶν μελλόντων συμβήσεσθαι τὸν ὄλεθρον. εἰ μὲν γάρ τις ἁπλῶς εἶπεν ἐνηχηθεὶς, ὅτι τόδε ἔσται, κἂν λήθῃ παρεδόθη τὸ ῥηθὲν, καὶ οὐκ ἂν πάντες ἐγίνωσκον τῆς τιμωρίας τὸ ἀφόρητον· νυνὶ δὲ οὗτος ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς στρεφόμενος εὐκαίρως ἀκαίρως ὑπόμνησις ἐγίνετο τῆς τοῦ θεοῦ ἀγανακτήσεως. καὶ

pontifice dicentem : Hoc autem à ſemetipſo non dixit, ſed cùm eſſet Ioan. 11. 51 pontifex anni illius, prædixit quòd moriturus eſſet Ieſus non ſolum pro populo, ſed vt gentes diſperſas congregaret in vnum. Inuenies item & à Balaam tale quid factum : vocatus Numer. 24. 3. enim vt malediceret populum, non ſolum non maledixit, ſed & prædixit multas miráſque res, tum de populo, tum de aduentu ſaluatoris noſtri. Non igitur mireris, ſi etiam nunc Lamech ita puerum appellarit, ſed Deo totum tribue, qui ſolerti ſua ſapientia cuncta diſpenſat. Et vocauit nomen illius Noë. Apud nos hoc nomen, ſi quis interpretetur, quietem dicit. Quietem autem vocat generalem illum interitum poſt multos annos futurum: ſicut & Iob dicit: Mors viro quies: Iob. 3. 23 quoniam multus eſt & valde magnus labor malitiæ, eius abſtinentiam & perditionem per diluuium futuram, quietem vocat. Et vocauit nomen illius Noë. Conſequenter appellationem nominis interpretatur, & dicit: Hic vtique quietem nobis præſtabit ab operibus noſtris: à malitia, inquit, deſiſtere faciet, & à moleſtiis manuum noſtrarum : & iterum hoc ipſum, ab operibus, inquit, malis: non enim hoc dicit, quòd manus malè habuerint: ſed quia per illarum opera & malas actiones, moleſtiæ & triſtitiæ auctæ ſint. Et à terra, quam maledixit dominus Deus: Liberabit nos, inquit, ab omnibus malis prementibus, & laboribus & miſeriis quas ſubimus in terra colenda, quæ maledictioni facta eſt obnoxia propter primigenæ hominis tranſgreſſionem. Hic obſecro animaduertite dilecti, quomodo puellus iſte paulatim creſcens, omnibus ipſum videntibus diſcendi occaſio fuit. Nam mox vt quis nomen pueri ſciſcitatus eſt, ex interpretatione vocabuli didicit euenturum generalem interitum. Nam ſi quis diuino Spiritu afflatus ſimpliciter hoc futurum dixiſſet, & ſtatim fuiſſet obliuioni traditum, & grauitas pœnæ non fuiſſet tota cognita: nunc autem quia hic ante omnium verſatur oculos, tempeſtiuè & intempeſtiuè diuinam commemorat indignationē. Porrò

vt certò ſciamus, quanto tempore A perſeuerauerit filius per ſui nominis appellationem omnes admonere, vt deſiſtant à peccato; & virtutem amplexentur, quò iram hanc effugere valeant; dicit: *Et erat Noë annorum quingentorum, & genuit tres filios.* Vide iterum alium iuſtum cum vxore & filiis; qui bene operando placuit Deo, & contrà quà omnes agebant, virtutis viam elegit: & neque nuptiis, neque filiorum educatione prohibitus eſt. Porrò obſtupeſcenda eſt ineffabilis longanimitas Dei, & prodigioſa hominum, qui tunc erãt, ingratitudo. B Ecce enim quingentis annis vixerat iuſtus ille, clamans & teſtificans ſuo nomine futurum per vniuerſum orbem diluuium, ob nimias hominum malitias, & neque ſic à malitia abſtinere voluerunt. At clemens Deus neque poſt tantum vaticinium, neque poſt tot annorum numerum pœnam inducit: ſed denuo ſuam aucturus longanimitatem, & alios non paucos annos ſuæ tolerantiæ adiungit. Neque enim ideo produxit humanum genus vt puniret, C ſed planè è diuerſo, vt donaret nobis innumera bona quibus frueremur. Et propterea ipſum vbique vides cunctantem, & moras nectentem in pœnis infligendis. Veruntamen ne dictorum multitudine memoriam veſtram obruamus, hîc ſermonem ſiſtentes, cætera vſque in craſtinum reponemus. Hoc autem charitatem veſtram rogauerimus, ne ſimpliciter & inconſideranter hæc audiatis: ſed erudite voſipſos, & virtutum curam agite, & maximo loco habueritis, Deo bene placere, & neque domus gubernationem, neque D vxoris curam, neque filiorum ſollicitudinem, neque aliud quiddam prætexamus: quod putemus ſatis eſſe ad excuſandam noſtram negligentem, deſidémque vitam. Neque frigida illa verba proferamus, & dicamus: Mundanus ſum, & vxorem habeo, & liberorum curam gero: qui multis mos eſt vt ita dicant, ſi quando eos rogamus vt ad virtutum labores ingrediantur, vel ſtudium adhibeant in ſacris litteris legendis. Non eſt hoc meum dicit. Nunquid renunciaui ſeculo? Nunquid monachus

Moralis epilogus.

ἵνα μάθωμεν ἀκριβῶς ἐπὶ πόσον χρόνον διήρκεσεν ὁ υἱὸς διὰ τῆς προσηγορίας τῆς ἑαυτοῦ πᾶσι παραινῶν ἀποστῆναι μὲν τῆς κακίας, ἑλέσθαι δὲ τὴν ἀρετήν, καὶ διαφυγεῖν τὴν τοσαύτην ἀγανάκτησιν φησί. καὶ ἦν Νῶε ἐτῶν πεντακοσίων, καὶ ἐγέννησε Νῶε τρεῖς υἱούς. ὅρα πάλιν ἄλλον δίκαιον μετὰ γυναικὸς καὶ τέκνων πολλὴν τὴν περὶ τὸν θεὸν εὐαρέστησιν κατωρθωκότα, καὶ ἀπεναντίας ἅπασι τὴν τῆς ἀρετῆς ὁδὸν ἑλόμενον, καὶ οὐδὲν οὔτε ὑπὸ τοῦ γάμου, οὔτε ὑπὸ τῆς παιδοτροφίας κωλυθέντα. τέως δὲ ἀναγκαῖον ἐκπλαγῆναι τοῦ θεοῦ τὴν ἄφατον μακροθυμίαν, καὶ τῶν τότε ἀνθρώπων τὴν ἀγνωμοσύνην τὴν ὑπερβάλλουσαν. ἰδοὺ γὰρ πεντακόσια ἔτη τέως διήρκεσεν ὁ δίκαιος οὗτος βοῶν, καὶ διαμαρτυρόμενος διὰ τῆς ἑαυτοῦ προσηγορίας τὸ μέλλον ἔσεσθαι κλυδώνιον κατὰ πάσης τῆς οἰκουμένης διὰ τὴν τῆς κακίας ἐπίτασιν, καὶ οὐδὲ οὕτως ἀποστῆναι τῆς κακίας ἠβουλήθησαν. ἀλλ' ὁ φιλάνθρωπος θεὸς οὐδὲ μετὰ τὴν τοσαύτην πρόρρησιν οὐδὲ μετὰ τὸν τοσούτων ἀριθμὸν ἐτῶν τὴν τιμωρίαν ἐπάγει, ἀλλὰ πάλιν αὔξων αὐτοῦ τὴν μακροθυμίαν, καὶ ἕτερον οὐκ ὀλίγων ἐτῶν ἀριθμὸν προστίθησι τῇ οἰκείᾳ ἀνεξικακίᾳ. οὐ γὰρ διὰ τοῦτο παρήγαγε τὴν τῶν ἀνθρώπων φύσιν, ὥστε τιμωρήσασθαι, ἀλλὰ τοὐναντίον ἅπαν, ὥστε τῶν μυρίων ἀγαθῶν τὴν ἀπόλαυσιν δωρήσασθαι. διὰ τοῦτο ὁρᾷς αὐτὸν πανταχοῦ μέλλοντα καὶ ἀναβαλλόμενον ἐν ταῖς τιμωρίαις. ἀλλ' ἵνα μὴ τῷ πλήθει τῶν λεγομένων καταχώσωμεν ὑμῶν τὴν μνήμην, μέχρι τούτου στήσαντες τὸν λόγον εἰς τὴν ἐπιοῦσαν τὰ λείψανα ταμιευσόμεθα. ταῦτα δὲ μὴ ἁπλῶς ἀκούωμεν ἀγαπητοί, ἀλλὰ παιδευώμεθα τῆς ἀρετῆς ἐπιμελεῖσθαι, καὶ τὴν περὶ τὸν θεὸν εὐαρέστησιν περὶ πολλοῦ ποιεῖσθαι, καὶ μήτε οἰκίας προστασίαν, μήτε γυναικὸς φροντίδα, μήτε παίδων ἐπιμέλειαν, μήτε ἄλλο μηδὲν προβαλλώμεθα, καὶ νομίσωμεν ἀρκεῖν ἡμῖν εἰς ἀπολογίαν τοῦ ῥαθύμως καὶ ἠμελημένως ζῆν, μηδὲ τὰ ψυχρὰ ἐκεῖνα καὶ ἀνόνητα ῥήματα προφέρωμεν καὶ λέγωμεν· κοσμικός εἰμι, γυναῖκα ἔχω, καὶ τέκνων φροντίδα ποιοῦμαι. ταῦτα τοῖς πλείοσιν ἔθος λέγειν, ἐπειδὰν αὐτοὺς προσκαλῶμεν εἰς τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους, ἢ περὶ τὴν τῶν γραφῶν ἀνάγνωσιν πολλὴν ποιεῖσθαι τὴν σπουδήν. οὐκ ἔστιν ἐμὸν τοῦτο φησί. μὴ γὰρ ἀπεταξάμην; μὴ γὰρ μοναχός

Ἠθικόν.

εἰμι

εἶμι; τί λέγεις ἄνθρωπε; ἐκείνοις γὰρ μόνοις ἀπο- A
κεκλήρωται τὸ τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως;
πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνω-
σιν ἀληθείας ἐλθεῖν, καὶ οὐδένα βούλεται ἀρετῆς
ἀμελεῖν. ἄκουε γὰρ αὐτοῦ διὰ τοῦ προφήτου λέ-
γοντος· οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς
τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. μήτι γέγονεν εἰπέ μοι
τούτῳ τῷ δικαίῳ κώλυμα ἡ συνουσία τῆς γυναι-
κὸς ἢ ἡ τῶν παίδων φροντίς; μὴ τοίνυν παρακα-
λῶ μηδὲ ἡμεῖς ἀπατῶμεν ἑαυτούς, ἀλλ' ὅσῳ
ταύταις ταῖς φροντίσιν ἐνεχόμεθα, τοσούτῳ μᾶλ-
λον τὰ ἀπὸ τῆς ἀναγνώσεως τῶν θείων γραφῶν δε-
χώμεθα φάρμακα. μὴ γὰρ καὶ οὗτοι οὐ τῆς αὐτῆς B
ἡμῖν φύσεως ἦσαν, καὶ οὐδὲ τοσαύτας ἀφορμὰς
εἶχον τὰς ἐναγούσας αὐτοὺς πρὸς τὴν τῆς ἀρετῆς
ἐργασίαν; ποίας οὖν ἂν εἴημεν συγγνώμης ἄξιοι
εἰ καὶ διδασκαλίας τοσαύτης ἀπολαύοντες, καὶ
τοσαύτης χάριτος ἀξιωθέντες, καὶ τῆς ἄνωθεν
συμμαχίας ἀπολαύοντες, καὶ τῶν ἀπορρήτων
ἐκείνων ἀγαθῶν τὴν ἐπαγγελίαν δεξάμενοι, ἐὰν
μὴ πρὸς τὸ τῶν παλαιῶν ἀνδρῶν φθάσωμεν τῆς
ἀρετῆς μέτρον; εἰ γὰρ βουλοίμεθα νήφειν, ἱκανὰ
τὰ σήμερον ἡμῖν κινηθέντα διεγεῖραι ἡμᾶς πρὸς
τὸν πόθον τῆς ἀρετῆς, καὶ μηδέποτε νομίζειν κώ- C
λυμα ἡμῖν γενέσθαι πρὸς τὴν ταύτης ὁδόν. εἰ γὰρ
οἱ πρὸ τοῦ νόμου ἀπὸ τῆς ἐν τῇ φύσει κειμένης δι-
δασκαλίας εἰς τοσαύτην ἔφθασαν ἀρετήν, τί
ἔχομεν εἰπεῖν ἡμεῖς οἱ μετὰ τοσαύτην βοήθειαν, καὶ
τὴν τοῦ Χριστοῦ παρουσίαν, καὶ τὰ μυρία θαύ-
ματα πόῤῥω τῆς ἀρετῆς τυγχάνοντες; διὸ παρα-
καλῶ μὴ ἁπλῶς ἐπερχώμεθα τὰ ἐν ταῖς θείαις
γραφαῖς κείμενα, ἵνα τὴν ἐξ αὐτῶν ὠφέλειαν
καρπούμενοι, ὀψέ γοῦν ποτε τῆς κατὰ θεὸν ἀρε-
τῆς ἀντιλαβέσθαι δυνηθῶμεν. εἰ γὰρ δὴ μέλ-
λοιμεν καὶ ἡμεῖς καθ' ἑκάστην ἡμέραν ὑμῖν ἐκ- D
χεῖν τὴν πνευματικὴν ταύτην διδασκαλίαν, καὶ
ὑμεῖς ἐπὶ τῆς αὐτῆς ῥαθυμίας μένητε, ποῖον ὑμῖν
ὄφελος ἔσται ἐκ τῆς συνεχοῦς διδασκαλίας, ἢ ἡμῖν
τίς ἔσται παραμυθία ὁρῶσι τὸν τοσοῦτον ἡμῶν κά-
ματον ἀνόνητον γινόμενον, καὶ οὐδεμίαν προκοπὴν
γινομένην ἐκ τῆς ἡμετέρας σπουδῆς; εἰπὲ γάρ
μοι οὐχὶ ἀπὸ δύο οὐσιῶν συνεστήκαμεν, ἐκ ψυχῆς
λέγω καὶ σώματος; τίνος οὖν ἕνεκεν μὴ τὴν ἴσην αὐτοῖς
πρόνοιαν ἀμφοτέροις ἀπονέμομεν, ἀλλὰ τὸ μὲν
σῶμα παντὶ τρόπῳ θεραπεύειν σπουδάζομεν,
καὶ ἰατροῖς χρήματα διδόντες, καὶ αὐτοὶ πολλὴν περὶ

ſum? Quid dicis homo? An hoc ad ſolos monachos pertinet, vt bene Deo placeant? Omnes homines vult ſaluos fieri, & ad agnitionem veritatis venire, nullúmque virtutem negligere. Audi enim eum per prophetam dicentem: Nolo mortem peccatoris, ſed vt conuertatur & viuat. Nunquid, dic oro, iuſto huic vxoris conſuetudo, vel liberorum cura fuit obſtaculo? Oro igitur ne noſmetipſos fallamus, ſed quantò magis huiuſcemodi curis implicamur, tantò magis remedia ex lectione diuinarum ſcripturarũ ſuſcipiamus. Nónne & illi eiuſdem, cuius nos ſumus, fuerũt naturæ, & neque tam multas habuerunt commoditates, quæ ad operandum virtutes eos iuuarent? Qua ergo erimus venia digni, qui tali fruimur doctrina, & tãtam gratiam aſſecuti ſumus, & ſupernè ſubſidium habemus, & ineffabilium illorum bonorum promiſſionem accepimus, ſi non ad mẽſuram virtutum peruenimus, quibus antiqui patres pollebãt? Nam ſi voluerimus ſobrij eſſe, ſufficiunt vel ea quæ hodie dicta ſunt ad virtutis amorem nos excitare, ne vllam putemus ad illius viam eſſe impedimentum. Nam ſi hi qui ante legem, à doctrina naturæ ſuæ inſita ad tantam pertigerunt virtutem: quid nos poterimus dicere, qui poſt tantũ adminiculum, & poſt Chriſti aduentum, & innumera eius miracula, adhuc tam procul à virtute ſumus? Proinde obſecro, ne ad ea quæ in ſacris ſcripturis ſunt contenta, ſimpliciter ingrediamur, ſed cum attentione legamus, vt ex illis percepta vtilitate, vel ſaltem tardè aliquãdo virtutem, quam Deus probat, capeſſere valeamus. Nam ſi ſpiritualem hanc doctrinam etiam nos quotidie vobis clamaturi ſumus, vóſque in eadem manetis ignauia, quæ veſtra erit vtilitas ex continua doctrina? aut nobis quæ conſolatio erit, cum videmus nos in tantum laborare fruſtra, & nihil proficere tanto ſtudio? Dic mihi: Nónne ex duabus ſubſtantiis conſtituti ſumus, ex anima dico, & corpore? Cur ergo non parem vtrique curam impendimus, ſed corpus quidem omnibus modis curatur, & accerſuntur medici, & nos quoq;

1. Tim. 2.4.

Ezech. 18.23.

diligentes ſumus, veſtitu precioſo illud tegimus, & cibū ſupra quàm ſat eſt, ſumimus, & in continua proſperitate illud eſſe volum⁹: & ſi fortè quid obturbet, omnem mouemus machinam, vt quod moleſtiā affert emendetur? Et hoc de corpore dico, quod ſecundùm ſubſtātiam minus eſt: aut quid maius, animáne, an corpus? Nā ſi vis videre diuerſitatem, vide quia nullius momenti eſt corpus, ſi anima à corpore diſceſſerit. Igitur qui tantam habet corporis curam, cuius gratia, & propter quid tantum animæ contemptum admittit, & neque cōgruum illi cibum impartitur? admonitionem dico ex ſacris ſcripturis, neque vulneribus & vlceribus quæ illi⁹ robur debilitant, & fiduciam ſubneruāt, idonea remedia apponit: ſed fert vt deſpecta & fame cōtabeſcat, & ab vlceribus putrefiat, & obiecta quaſi canibus (liceat ſic dicere) à malis & illicitis cogitationibus dilaceretur, omníſque firmitas eius diſſoluatur. Quare nō ſicut viſibilis corporis gerimus curā, ita & animæ, quæ incorporea & inuiſibilis? præſertim cum cura eius leuis ſit & facilis, & nihil inſumatur, neque laboretur? Atq; hîc quidem cum eſt corpus curandum, & ſanandi morbi corporis, magnam neceſſe eſt pecuniā impendere, nunc in medicos, nūc in alia neceſſaria, vtpote in veſtes & alimēta: ne quid interim dicā de his quæ præter neceſſariū vſum luxu abſumuntur, anima autē nullo horum indiget: ſed ſi volueris, ſicut quotidie corpori cibum ſuppeditas, ita & animā non deſpicere, vt ne fame pereat: ſed dare ipſi cōgruum cibū, admonitionē videlicet ex lectione ſcripturarū & ſpiritualis adhortationis: (Nō enim in pane, dicit, ſolū viuet homo, ſed in omni verbo quod egreditur per os Dei:) optimè de his ſtatueris, & parti, quæ nobis magis eſt propria rectè proſpexeris. Sicut igitur corpori varia præbes indumenta, & rationē habes anni tēpeſtatū, ſimiliter neq; animā deſpicito, vt ne nuda bonis operibus obambulet, ſed decētib⁹ illā veſtib⁹ indue, ſtatim eā reparabis, & ad naturalē ſanitatē reduces. Et q̄ ſūt animæ indumēta? eleemoſyna & largitas in pau-

Matth. 4. 4. Lucæ 4. 4.

A αὐτὸ τὴν ἐπιμέλειαν ἐπιδεικνύμενοι, καὶ ἐσθῆτι πολυτελεῖ περιβάλλοντες, καὶ τροφὴν πλέον τοῦ δέοντος παρέχοντες, καὶ ἐν ἀνέσει διηνεκεῖ αὐτὸ εἶναι βουλόμεθα, καὶ ὑπὸ μηδενὸς ὅλως ἐνοχλεῖσθαι νοσήματος. ἀλλὰ κἂν τὸ τυχὸν τὸ ἐνοχλοῦν ᾖ, πᾶσαν κινοῦμεν μηχανὴν, ὥστε τὸ λυποῦν διορθώσασθαι; καὶ ἐπὶ μὲν τοῦ σώματος, τῆς ἐλάττονος λέγω τὴν οὐσίαν· τί γὰρ ἴσον εἰπέ μοι ψυχὴ καὶ σῶμα; εἰ γὰρ βούλει τὴν διαφορὰν ἰδεῖν, σκόπει πῶς οὐδενὸς λόγου ἄξιον εὑρίσκεται τὸ σῶμα τῆς ψυχῆς ἀναχωρησάσης. ὁ τοίνυν τοῦ σώματος τοσαύτην πρόνοιαν ποιούμενος τίνος ἕνεκεν καὶ διὰ τί τοσαύτην περὶ τὴν τῆς ψυχῆς πρόνοιαν ὑπεροψίᾳ κε- B χρῆσθαι βούλει, καὶ οὔτε τροφὴν αὐτῇ κατάλληλον παρέχειν, τὴν ἐκ τῶν θείων γραφῶν λέγω παραίνεσιν, οὔτε τοῖς τραύμασιν αὐτῆς καὶ τοῖς ἕλκεσι τοῖς καθαιροῦσιν αὐτῆς τὴν ἰσχὺν, καὶ τὴν παρρησίαν ὑποτεμνομένοις τὰ ἐπιτήδεια φάρμακα ἐπιτιθέναι, ἀλλὰ καὶ περιορᾷν ἀνέχῃ αὐτὴν, καὶ λιμῷ τηκομένην, καὶ ὑπὸ τῶν ἑλκῶν διαφθειρομένην, καὶ παρακειμένην ὡς εἰπεῖν καθάπερ κυσὶ τοῖς πονηροῖς καὶ ἀτόποις λογισμοῖς, ὥστε διασπᾶν, καὶ τὸν τόνον αὐτῆς ἅπαντα καθαιρεῖν. διὰ τί μὴ καθάπερ τοῦ σώματος τοῦ ὁρωμένου ποιούμεθα τὴν πρόνοιαν, οὕτω δὴ τρόπον καὶ τῆς ψυχῆς τῆς ἀσωμάτου καὶ C μὴ ὁρωμένης, ὁπότε καὶ ἡ περὶ ταύτην ἐπιμέλεια οὐ μόνον εὔκολος καὶ κούφη, ἀλλὰ καὶ ἀδάπανος καὶ οὐδενὸς καμάτου δεομένη; καὶ ἐνταῦθα μὲν ἐπὶ τῆς τοῦ σώματος ἐπιμελείας, καὶ τῆς τοῦ σώματος ἀρρωστήματος ἀνάγκη καὶ χρημάτων πολλὴν δαπάνην γενέσθαι, καὶ τὰ μὲν αὐτῶν τοῖς ἰατροῖς προσαναλίσκειν, τὰ δὲ εἰς τὴν ἄλλην ἅπασαν θεραπείαν, πρὸς τροφὴν λέγω καὶ πρὸς ἐνδύματα, καὶ οὔπω φημὶ ὅτι καὶ ὑπὲρ τὴν χρείαν οἱ πλείους ταῦτα δαπανῶσιν ἀμετρίᾳ πολλῇ κεχρημένοι· ἐπὶ δὲ τῆς ψυχῆς οὐδενὸς τῶν τοιούτων δεῖ, ἀλλ᾽ εἰ βουληθείης καθάπερ ἐφ᾽ ἑκάστης ἡμέρας τῷ σώματι τὴν τροφὴν D χορηγεῖς, καὶ τὰ χρήματα καταναλίσκων οὕτω καὶ τὴν ψυχὴν μὴ περιορᾷν λιμῷ φθειρομένην παρέχειν αὐτῇ τὴν κατάλληλον τροφὴν τὴν ἐκ τῆς τῶν γραφῶν ἀναγνώσεως, καὶ τῆς πνευματικῆς νουθεσίας παραίνεσιν· οὐκ ἐπ᾽ ἄρτῳ μόνον γάρ φησι ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ, ἄριστα περὶ τούτων διατιθέμενος ἔσῃ, καὶ περὶ τὸ παρ᾽ ἡμῶν οἰκειότερον προσηκόντως διανοούμενος. ὥσπερ τοίνυν τῷ σώματι διάφορα παρέχεις ἐνδύματα καὶ ἐπιτηδεύεις πρὸς τὴν τῶν καιρῶν τροπὴν, καὶ τὴν τῶν ἐνδυμάτων ποικιλίαν, κατὰ τὸ αὐτὸ μηδὲ τὴν ψυχὴν περιόρα γυμνὴν περιιοῦσαν τῶν ἀγαθῶν πράξεων, ἀλλὰ καὶ αὐτὴν περίβαλλε ἐνδύμασι τοῖς αὐτῇ πρέπουσι. ποῖα δὲ ἂν εἴη ταύτης ἐνδύματα; ἐλεημοσύνη καὶ ἡ περὶ τοὺς πένητας δαψιλεία.

τοῦτο γὰρ μέγιστον τῆς ψυχῆς περιβόλαιον, τοῦτο γὰρ φαιδρὸν αὐτῆς ἱμάτιον. εἰ δὲ βούλει μὴ μόνον ἐνδύματα παρέχειν, ἀλλ' ὁμοίως τῷ σώματι καλλωπίζειν, περίθες καὶ τὴν διὰ τῶν εὐχῶν βοήθειαν καὶ τὴν τῶν ἁμαρτημάτων ἐξομολόγησιν, καὶ τῇ συνεχείᾳ τῶν δακρύων ἀποσμήχων αὐτῆς τὸ πρόσωπον μὴ διαλίπῃς. καθάπερ γὰρ πάσῃ σπουδῇ τὴν ὄψιν τοῦ σώματος καθ' ἑκάστην ἡμέραν ἐκπλύνεις, ὥστε μηδαμοῦ ῥύπον τινὰ ἐπικείμενον τῇ ὄψει δυσειδῆ αὐτὴν δεικνύναι· ὡσαύτως καὶ ἐπὶ τῆς ψυχῆς ποιεῖν σπούδαζε, καὶ καθ' ἑκάστην αὐτὴν ἀπόπλυνε θερμὰ δάκρυα περιχέων. τούτῳ γὰρ τῷ ὕδατι ἐκείνη τὸν ῥύπον ἀποτιθεμένη φαιδροτέρα γίνεται. ἐπειδὴ δὲ αἱ πλείους τῶν γυναικῶν διὰ πολλὴν βλακείαν τοῦ παραγγέλματος τοῦ ἀποστολικοῦ ὑπερφρονοῦσαι τοῦ κελεύοντος μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ ἑαυτὰς κοσμεῖν, μετὰ πολλῆς τῆς δαψιλείας τοῦτο ἐργάζονται, οὐ γυναῖκες δὲ μόνον, ἀλλὰ καὶ ἀνδρῶν ὅσοι βλακώδεις, καὶ παρὰ τὴν τῶν γυναικῶν εὐτέλειαν ἑαυτοῖς κατάχρυσοι δακτυλίους περιτιθέμενοι, καὶ τοῖς μεγέθεσι καὶ τοῖς ὄγκοις τῶν λίθων καλλωπιζόμενοι, ἐφ' οἷς αἰσχύνεσθαι καὶ ἐγκαλύπτεσθαι ἐχρῆν· καὶ οὗτοι τοίνυν κἀκεῖναι εἰ τῶν ἡμετέρων ἀνάσχοιντο λόγων, τὰ χρυσία ταῦτα τὰ πολλὴν καὶ τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶ τὴν λύπην παρέχοντα εἰς τὸν τῆς ψυχῆς κόσμον μᾶλλον μεταγέτωσαν, καὶ ἐκείνην διὰ τούτων καλλωπιζέτωσαν. ὥσπερ γὰρ τῷ σώματι περικείμενα, κἂν εὔμορφον ᾖ, δυσειδέστερον τοῦτο ἀπεργάζεται, οὕτω τῇ ψυχῇ περιτεθέντα, κἂν ἄμορφος ᾖ, εἰς τὴν ἄκραν εὐμορφίαν αὐτὴν μεθίστησι. καὶ πῶς, φησι, δυνατὸν τῇ ψυχῇ περιθεῖναι τὰ χρυσία; πάλιν διὰ τῆς τῶν πενήτων χειρός. οὗτοι γὰρ δεχόμενοι τὴν ταύτης εὐμορφίαν κατασκευάζουσιν. ἐκείνοις ἐγχείρισον τὰ χρυσία καὶ διάνειμε εἰς τὰς αὐτῶν γαστέρας, καὶ τοσαύτην τῆς ψυχῆς εὐμορφίαν σοι παραδιδόασιν, ὡς αὐτὸν τὸν ἀληθῆ νυμφίον διὰ τῆς ὥρας ἐπισπάσασθαι, καὶ τὰ μυρία σοι ἀγαθὰ διὰ τούτου προξενῆσαι. ὅταν γὰρ διὰ τοῦ κάλλους ἐπισπάσῃ τὸν δεσπότην, πάντων τῶν ἀγαθῶν ἕξεις τὴν χορηγίαν καὶ τὴν ἄφατον εὐπορίαν ἐκτήσω. εἰ τοίνυν βουλόμεθα ἐπέραστοι γενέσθαι τῷ δεσπότῃ, καταλιπόντες τὸν περὶ τὸν τοῦ σώματος καλλωπισμὸν ἐσπουδάσθαι, τὴν ἐκείνης εὐμορφίαν καθ' ἑκάστην ἡμέραν περισκοπῶμεν, ἵνα καὶ τὴν εὔνοιαν ἐπισπασώμεθα τοῦ φιλανθρώπου θεοῦ, καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, κράτος, τιμὴ ἅμα τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A peres: hoc enim maximũ animæ veſtimentũ eſt, hoc clarum illius indumentum. Si autem vis non ſolum veſtimẽta parare, ſed illam ornare etiã, ſicut corpus ſolet, appone adiutoriũ quod ex precibus eſt, & peccatorum confeſſionem, & cõtinuis lachrymis faciem tuam lauare ne ceſſes. Nam ſicut faciem corporis tui quotidie abluis, ne qua fortè macula faciei inhærens fœdã illam reddat: ſic & animæ curam habe, quotidie lachrymis eam abluens calidis. Hac enim aqua maculæ deponũtur, fitque facies admodum luculenta. Et quia mulieres 1. Tim. 2.9.

B pleræque ob mollitiem, apoſtolicum mandatum contemnentes, quod iubet ne tortis crinibus, vel auro, vel margaritis, vel veſte ſumptuoſa ſe ornent, magno hoc luxu faciũt, neque mulieres tantũ, ſed & viri quicunque molles vilibꝰ mulierculis ſimiles fiũt, annulos digitis geſtãt, & magnis grauibúſque lapidibus ſe ornant, de quibus erubeſcere oportebat: & illæ ergo & hi, ſi meis parcerẽt ſermonibus, aurea hæc, & viris & mulieribus dãnoſa, in ornatum animæ redigerent,

C & iſtis illam adornarẽt. Nã ſicut corpori circũpoſita, etiãſi formoſum ſit, ipſum deforme reddunt: ita ſi animæ circumponãtur, etiam deformi ſummam pulchritudinem afferent. Et quomodo, dicis, poſſunt animæ circumponi aurea? iterum dico, per manus pauperum. Illi enim accipientes, formoſam illam faciũt. Illis trade, & aurum in illorum ventrem diſpenſato, tantámque tibi viciſſim dabunt pulchritudinem, vt verus ille ſponſus tibi concilietur, multáque dona propter hoc concedat. Quòd ſi pulchri-

D tudine ſponſum dominum allexeris, ſuppeditabuntur tibi bona omnia, & immenſis opibus abundabis. Si ergo amabiles fieri domino volumus, iam non ornatum corporis tanti faciamus, ſed animæ formoſitatem quotidie magna diligentia curemus, vt & gratiam benigni Dei nobis conciliemus, & ineffabilia bona conſequamur, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri ſimul & ſpiritui ſancto gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

HOMILIA XXII. A

Gen.6.1.

Et erat Noë annorum quingentorum, & genuit Noë tres filios, Sem, Cham, & Iapheth. [1] *Et factum eſt quando coeperunt homines multiplicari ſuper terram, & filiæ natæ ſunt eis.*

RELIQVIAS heſternæ menſæ vobis hodie proponere volo. Sed ne ægrè feras dilecte, quòd reliquias dico. In ſenſibilibus quidem alimentis ita ſe habet, vt B poſt vnum & alterum diem marcida fiant edulia, & ad veſcendum inutilia: in ſpirituali verò menſa nihil tale vereri oportet. Ipſa enim, quantò plus temporis præteriit, tantò maiorem gratiam habet, & recentior atque vegetior inuenitur. Age igitur promiſſionem, quam heri polliciti ſumus, impleamus, & debitum doctrinæ cum gratitudine aliqua dinumeremus. Non enim hoc vtile eſt accipientibus duntaxat, vt in aliis debitis, ſed & mihi dinumeranti. Et C quid dico mihi dinumeranti? Talis eſt ſpiritualis debiti natura, quòd quantò magis ſoluitur, tantò magis augetur, & ſubſtantiam magis multiplicat, & ineffabiles diuitias adfert tam danti, quàm accipienti. Vidiſti nouam debiti naturam, & raram ſolutionis ſpeciem? In hunc enim modum ſe habent ſpiritualia, vt diſtributione magis creſcant, & cum multi ſunt participes, vberior ſit abundantia: & qui dinumerauit, non ſentiat ſe aliquid dinumeraſſe: quandoquidem eius opes creſcunt, D & qui acceperunt, etiam ipſi abundantiores fiunt. Quia igitur talis eſt ſpiritualium iſtorum natura: magna alacritate etiam nos ad ſolutionem feſtinemus, & vos ad ſuſcipiendum aures accommodetis, vt omnes cùm ſumpſeritis latis animi ſinibus, quæ à nobis dicuntur, tãdem domum proficiſcamini. Iterum autem argumentum de iuſto Noë in medium afferre volo, vt iuſti magnam virtutem, & ineffabilem Dei miſericordiam & longanimitatem, quæ omnem animi captum tranſcendit diſcatis.

Debiti ſpiritualis natura quæ.

Ὁμιλία κβ.

Καὶ ἦν Νῶε ἐτῶν πεντακοσίων, καὶ ἐγέννησε Νῶε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ, καὶ ἐγένετο, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς.

ΤΑ λείψανα τῆς χθεσινῆς τραπέζης ὑμῖν παραθεῖναι βούλομαι τήμερον. ἀλλὰ μὴ δυσχεράνῃς ἀγαπητὲ λείψανα ἀκούων. ἐπὶ μὲν γὰρ τῶν αἰσθητῶν B ἐδεσμάτων μετὰ μίαν καὶ δευτέραν ἡμέραν ἕωλα πολλάκις γινόμενα τὰ ἐδέσματα ἄχρηστα γέγονε, καὶ ἀνεπιτήδεια πρὸς τροφήν· ἐπὶ δὲ τῆς πνευματικῆς τραπέζης οὐδέν ἐστι τοιοῦτον δεῖσαι, ἀλλ᾽ ὅσος ἂν παρέλθῃ χρόνος, τοσούτῳ μᾶλλον πλείονα τὴν χάριν ἐπιδείκνυται, καὶ νεαρώτερα καὶ ἀκμαιότερα εὑρίσκεται. Φέρε οὖν τὴν ὑπόσχεσιν, ἥνπερ χθὲς ὑπεσχόμεθα, εἰς ἔργον ἀγάγωμεν, καὶ τὸ χρέος τῆς διδασκαλίας καταβάλωμεν, καὶ τὴν εὐγνωμοσύνην ἐπιδειξώμεθα. οὐδὲ γὰρ τοῖς ὑποδεχομένοις μόνον λυσιτελὴς αὕτη τυγχάνει, καθάπερ C ἐπὶ τῶν χρεῶν, ἀλλὰ καὶ ἐμοὶ τῷ καταβάλλοντι. καὶ τί λέγω ἐμοὶ τῷ καταβάλλοντι; τοιαύτη τοῦ χρέους τοῦ πνευματικοῦ ἡ φύσις, ὅτι ὅσῳ ἂν καταβάλληται, τοσούτῳ μᾶλλον αὔξεται, καὶ πλείονα τὴν περιουσίαν ἐργάζεται, καὶ ἄφατον τὸν πλοῦτον καὶ τῷ καταβάλλοντι καὶ τοῖς ὑποδεχομένοις. εἶδες καινὴν χρέους φύσιν καὶ ξένον καταβολῆς εἶδος; τοιαῦτα γὰρ τὰ πνευματικά, τῇ διανομῇ μᾶλλον αὔξεται, καὶ τῇ τῶν πλειόνων μεταλήψει πλείων ἡ περιουσία γίνεται, καὶ οὔτε ὁ καταβάλλων αἴσθησίν τινα τῆς καταβολῆς λαμβάνει, ἀλλὰ καὶ αὔξεται αὐτῷ τὰ τῆς περιουσίας, καὶ οἱ ὑποδεχόμενοι ἐν πλείονι D περιουσίᾳ καθίστανται. ἐπεὶ οὖν τοιαύτη τῶν πνευματικῶν τούτων ἡ φύσις, μετὰ πάσης προθυμίας καὶ ἡμεῖς πρὸς τὴν ἔκτισιν σπεύδωμεν, καὶ ὑμεῖς πρὸς τὴν ὑποδοχὴν τὰς ἀκοὰς εὐτρεπίσατε, ἵνα ἕκαστος ὑμῶν ἡπλωμένοις τοῖς τῆς διανοίας κόλποις ὑποδεξάμενος τὰ παρ᾽ ἡμῶν λεγόμενα, οὕτως οἴκαδε ἀναχωρήσῃ. πάλιν γὰρ τὴν κατὰ τὸν δίκαιον Νῶε ὑπόθεσιν εἰς μέσον ἀγαγεῖν βούλομαι, [illegible] τοῦ δικαίου τὴν πολλὴν ἀρετὴν καταμάθητε, καὶ τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, καὶ τὴν μακροθυμίαν τὴν πάντα λόγον ὑπερβαίνουσαν.

ἐμάθετε χθὲς, πῶς ἐκ προοιμίων τῆς γεννήσεως ὁ δίκαιος οὗτος δεξάμενος παρὰ τοῦ πατρὸς τὴν προσηγορίαν πᾶσι τοῖς τότε ἀνθρώποις οὖσι περιῄει διδάσκαλος τῶν συμφορῶν, μονονουχὶ βοῶν, καὶ λέγων διὰ τοῦ οἰκείου ὀνόματος· ἀπόστητε τῆς κακίας, μετέρχεσθε τὴν ἀρετὴν, φοβήθητε τὴν ἐπηρτημένην κόλασιν. κοινὸν ἅπασι τῶν ἀκουομένων καταλήψεται κλυδώνιον. πολλὴ τῆς ἀγανακτήσεως ἡ ὑπερβολὴ, ἐπειδὴ καὶ πολλὴ τῆς κακίας ἡ φορά. καὶ τοῦτο οὐκ ἐπὶ δυσὶν ἢ τρισὶν ἔτεσιν ἐποίει, ἀλλ᾽ ἐπὶ πεντακόσια ἔτη διήρκεσε ταῦτα παραινῶν. εἴδετε μακροθυμίαν δεσπότου; εἴδετε ἀγαθότητος ὑπερβολήν; εἴδετε ἀνεξικακίαν ἄφατον; εἴδετε κακίας ἐπίτασιν; εἴδετε ἀγνωμοσύνης μέγεθος; μέχρι γὰρ τούτου ὡς ἴστε χθὲς ἡμῖν τὰ τῆς διδασκαλίας τέλος ἔλαβεν· ἀναγκαῖον τοίνυν σήμερον καταμαθεῖν, ὅπως ὁ φιλάνθρωπος δεσπότης τὴν οἰκείαν ἀγαθότητα μιμούμενος οὐδὲ μέχρι τῶν πεντακοσίων ἐτῶν ἔστη, ἀλλὰ καὶ ἑτέραν προσθήκην περὶ τοὺς τοσαῦτα ἡμαρτηκότας προνοίας ἐπεδείξατο. καὶ ἦν Νῶε φησιν ἐτῶν πεντακοσίων. ἐπίτηδες ἡμῖν τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ δικαίου ἐπεσημήνατο ἡ θεία γραφή, ἵνα μάθωμεν ἐν πόσῳ χρόνῳ διετέλεσε παραινῶν αὐτοῖς, καὶ πῶς ἐκεῖνοι μὲν τὴν τῆς κακίας ὁδὸν ἐλόμενοι ἐν ταύτῃ κατεδαπανῶντο· ὁ δὲ δίκαιος ἀπεναντίας ἅπασι πορευόμενος τὴν ἄκραν ἀρετὴν ἐπεδείξατο, ὥστε καὶ τὴν παρὰ τοῦ θεοῦ ἐπισπάσασθαι εὔνοιαν, καὶ πάντων ὑποβρυχίων τῇ τιμωρίᾳ γινομένων. αὐτὸν μόνον διαφυγεῖν μετὰ τῶν αὐτῷ προσηκόντων. ἐντεῦθεν μανθάνομεν, ὅτι ἐὰν νήφωμεν, καὶ μὴ ῥαθυμῶμεν, οὐ μόνον οὐδὲν ἡμᾶς βλάπτει τὸ μεταξὺ τῶν κακῶν ἀναμεμίχθαι, ἀλλὰ καὶ ἀκριβεστέρους περὶ τὴν ἀρετὴν ἐργάζεται. διὰ γὰρ τοῦτο καὶ ὁ φιλάνθρωπος θεὸς οὕτως ᾠκονόμησε κατὰ ταὐτὸν ἅπαντας εἶναι καὶ τοὺς πονηροὺς, καὶ τοὺς ἀγαθοὺς, ἵνα καὶ τῶν πονηρῶν ἡ κακία ἐκκόπτηται, καὶ τῶν ἀγαθῶν ἡ ἀρετὴ λαμπροτέρα δεικνύηται, καὶ τὰ μέγιστα κερδαίνωσιν οἱ ῥάθυμοι, ἐὰν βούλωνται ἀπὸ τῆς τῶν σπουδαίων συνουσίας. ἐννόει γάρ μοι τοῦ δικαίου τούτου τὸ ἐνάρετον, ὅπως ἐν πλήθει τοσούτῳ πολλῇ τῇ ῥύμῃ πρὸς τὴν κακίαν φερομένων μόνος αὐτὸς τὴν ἐναντίαν ἦλθεν ὁδὸν τὴν ἀρετὴν προτιμοτέραν τῆς κακίας ἐλόμενος, καὶ οὔτε ἡ συμφωνία, οὔτε τὸ τοσοῦτον πλῆθος ὀκνηρότερον αὐτὸν εἰργάσατο πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν, ἀλλ᾽ ἤδη προλαβὼν ἐπλήρου τὸ παρὰ τοῦ μακαρίου Μωυσέως μέλλον ῥηθήσεσθαι,

A Didiciſtis heri, quomodo à natiuitate ſua iuſtus ille accepto à patre nomine, obambulabat, omnibus q; tunc erant doctor calamitatum, quaſi clamans & dicens per nomen ſuũ: Deſiſtite à malo, operamini virtutem, timete pœnam impendentẽ. Commune diluuiũ in toto orbe erit. (Pſal. 26. 9.) Magna & excellens Dei indignatio eſt, quia & magna in malitiam procliuitas. Et hoc non duobus vel tribus tantũ annis faciebat, ſed quingentos annos vixit hæc admonens. Vidiſtis longanimitatem domini? vidiſtis bonitatis excellentiam? vidiſtis ineffabilẽ patientiam? B vidiſtis malitiæ incremẽta? vidiſtis ingratitudinis magnitudinẽ? Hucuſque enim, vt ſcitis, heri ſermo noſter proceſſit: operæpretiũ eſt igitur vt hodie diſcamus, quomodo miſericors Deus pro ſua bonitate, neq; quingentis annis ad tolerantiam cõtẽtus fuit, ſed addidit annos alios ad ſuperiores eis qui tantũ peccauerãt. Et erat Noë, inquit, quingentorum annorum. Ad vtilitatem noſtram diuina ſcriptura numerũ annorũ iuſti aſſignauit, vt diſcamus, quanto tempore vixerit admonens illos, & C quomodo illi quidẽ malitiæ viam ſectati, in ea conſumpti ſunt. Iuſtus autẽ ſecus quàm alij ambulãs, tanta virtute præcelluit, vt & ſibi Dei gratiam cõciliaret: & cum omnes alij pœnis obnoxij fierent, ipſe ſolus cum his qui ipſi propinqui erant, effugeret. Hinc diſcimus, quòd ſi ſobrij fuerimus & non deſides, non ſolum nihil nobis nocet inter medios malos verſari & miſceri: ſed & multò nos facit virtutum ſtudioſiores. Nam ideo benignus Deus ſic diſpenſauit, vt ſimul D eſſent boni & mali, quò malorũ ſubneruaretur malitia, bonorúmq; virtus clarius euceſceret, & deſides à ſtudioſorum conſuetudine plurima commoda lucrifacerent, modo velint. Cogita hîc obſecro, quantæ virtutis fuerit ille iuſtus, quomodo in tanta multitudine, quæ multo impetu in malum ruebat, ſolus ipſe diuerſa ambulauit via, vitutem malitiæ præferens. Neque enim aliorum conſenſus, & tanta frequentia reddebat eum ſegniorem ad virtutis iter: ſed iam prius implebat quod beatus Moſes olim dicturus erat:

Exod. 23. 2.

Non eris cum pluribus in malitia. Et quod magis admirabile, multos habebat, imò omnes, qui ad malum & ad praua opera cohortabantur, & nullus erat qui ad bonum induceret: tanta illi erat ſpontanea ſtrenuitas, vt viam diuerſam à vulgari, quam omnis multitudo inambulabat, iret: & neque timeret, neque vereretur prauorum conſpirationem: neque illi tale quid euenit, quale veriſimile eſt ignauis accidere: qui ſi quando viderint multos ſimul conſpirare, hoc velamen, & hanc occaſionem ſuæ ignauiæ prætexunt, ac dicunt: Cur ego nouum quippiam & ſingulare prẹter illos omnes facturus ſum, aduerſarius tantæ multitudinis, & cum tanto populo bellum ſuſcepturus? Nunquid illis omnibus ego ſum admirabilior? Quæ vtilitas foret tantarum inimicitiarum? Quod commodum tanti odij? Nihil talium inutilium cogitabat, neque animo verſabat: ſed & hoc, quod poſtea à propheta dictum, prius ipſe implebat: Melior eſt vnus faciens voluntatem Domini, quàm innumeri præuaricatores.

Eccli.16. 4.

Num ſocietas, inquit, multitudinis ad malum ruentis, & ſimul rapientis, à cruciatu me eripiet? Sciebat enim, ſciebat liquidò, quòd pro ſua quique ſalute rationem reddituri ſunt: neque vnquam fiet, vt alio peccante alius pœnam ſuſtineat, vel retributionem ſortiatur. Et idcirco iuſtus quaſi ſcintilla in medio mari verſans, non ſolum non extinctus eſt: ſed quotidie fulgidiori luce prodibat, omnes ſuis operibus docens. Vidiſti quomodo ſui iuris naturam noſtram Dominus formauit? Vnde enim, dic oro, illi ad malitiam properabat, & ſeipſos pœnis faciebant obnoxios, iſte autem virtutem eligebat, & fugiens eorum ſocietatem, pœnam non ſuſtinuit? Nónne manifeſtum, ſua quenque voluntate vel malitiam, vel virtutem eligere? Nam niſi ita eſſet, & naturæ noſtræ poteſtas inſita eſſet, neque illos puniri, neque iſtos virtutum retributiones accipere oportebat. Verùm quia in noſtra voluntate totum poſt gratiam Dei relictum eſt, ideo & peccantibus ſupplicia propoſita ſunt, & bene operantibus retributiones & præmia.

Liberũ arbitriũ.

A ὅτι οὐκ ἔσῃ μετὰ πολλῶν ἐπὶ κακίᾳ, καὶ τὸ θαυμαστὸν καὶ παράδοξον, ὅτι καὶ πολλοὺς ἔχων, μᾶλλον δὲ ἅπαντας ἐπὶ τὴν κακίαν προτρεπομένους, καὶ τὴν τῶν πονηρῶν πράξεων ἐργασίαν, καὶ οὐδενὸς ὄντος τοῦ πρὸς τὴν ἀρετὴν ἀνάγοντος, οἴκοθεν ἐπὶ ταύτην μετὰ τοσαύτης ὥρμησε τῆς σφοδρότητος, ὥστε τοσούτῳ πλήθει ἀπεναντίας ἐλθεῖν, καὶ οὔτε ἔδεισεν, οὔτε ἐφείδετο τὴν κακὴν συμφωνίαν, οὔτε ἔπαθέ τι τοιοῦτον, οἷον εἰκὸς ἦν τοὺς ῥαθυμοῦντας παθεῖν, οἳ ἐπειδὰν ἴδωσι πολλοὺς κατὰ ταὐτὸ συμφωνίαν ἐπιδεικνυμένους, ταύτην ἀφορμὴν, καὶ προκάλυμμα τῆς οἰκείας ῥαθυμίας προβαλλόμενοί B φασι· τί δὴ μέλλω ἐγὼ παρὰ τούτους ἅπαντας ξένον τι καὶ καινὸν βουλεύεσθαι, καὶ τοσούτῳ πλήθει ἐναντιοῦσθαι, καὶ πρὸς τοσοῦτον δῆμον πόλεμον ἀναδέχεσθαι; μὴ γὰρ δὴ καινότερος ἐγὼ παρὰ τούτους ἅπαντας τυγχάνω; τίς μοι χρεία τῆς τοσαύτης ἀπεχθείας; τί μοι ὄφελος τοῦ τοσούτου μίσους; οὐδὲν τῶν ἀνοήτων τούτων ἐβουλεύσατο, οὐδὲ ἐνενόησεν. ἀλλὰ πάλιν ἐκεῖνο προλαβὼν ἐπλήρου τὸ εἰρημένον παρὰ τοῦ προφήτου, ὅτι κρείσσων εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μυρίοι παράνομοι. μὴ γὰρ ἡ κοινωνία φησὶ, καὶ τὸ συγκατασπᾶσθαι τῷ πλήθει C πρὸς τὴν κακίαν αὐτομολοῦντι ἐξελέσθαι με δυνήσεται τῆς τιμωρίας; ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι ἕκαστος ὑπὲρ τῆς οἰκείας σωτηρίας τὰς εὐθύνας δώσει, καὶ οὐκ ἔστιν ἕτερον ὑπὲρ τοῦ ἁμαρτάνοντος οὔτε κόλασιν ὑπομεῖναι, οὔτε ἀμοιβῆς τινος ἐπιτυχεῖν. διὰ τοῦτο ὁ δίκαιος καθάπερ σπινθὴρ ἐν μέσῳ πελάγει τυγχάνων οὐ μόνον οὐκ ἐσβέννυτο, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν λαμπρότερον ἠφίει τὸ φῶς διδάσκαλος πᾶσι γινόμενος διὰ τῶν αὐτοῦ ἔργων. εἶδες ὡς αὐτεξούσιον ἡμῶν τὴν φύσιν ὁ δεσπότης ἐδημιούργησε; πόθεν γὰρ εἰπέ μοι ἐκεῖνοι μὲν πρὸς τὴν κακίαν ἔσπευδον, καὶ τῇ τιμωρίᾳ ὑπευ- D θύνους ἑαυτοὺς καθίστων, οὗτος δὲ τὴν ἀρετὴν ἑλόμενος καὶ τὴν πρὸς ἐκείνους κοινωνίαν φυγὼν τῆς τιμωρίας πεῖραν οὐκ ἐλάμβανεν; οὐκ εὔδηλον, ὅτι διὰ τὸ ἕκαστον οἰκείᾳ προαιρέσει ἢ τὴν κακίαν, ἢ τὴν ἀρετὴν αἱρεῖσθαι; εἰ γὰρ μὴ τοῦτο ἦν, μηδὲ ἐν τῇ φύσει τῇ ἡμετέρᾳ τὰ τῆς οὐσίας ἔκειτο, οὔτε ἐκείνους κολάζεσθαι ἔδει, οὔτε τούτους ἀμοιβὰς λαμβάνειν τῆς ἀρετῆς· ἀλλ' ἐπειδὴ ἐν τῇ προαιρέσει τῇ ἡμετέρᾳ κατέλιπε μετὰ τὴν ἄνωθεν χάριν τὸ πᾶν, διὰ τοῦτο καὶ τοῖς ἁμαρτάνουσι κολάσεις ἀπόκεινται, καὶ τοῖς κατορθοῦσιν ἀντιδόσεις καὶ ἀμοιβαί.

καὶ ἦν φησι Νῶε ἐτῶν πεντακοσίων, καὶ ἐγέννησε τρεῖς υἱοὺς τὸν Σὴμ τὸν Χὰμ τὸν Ἰάφεθ. σκόπει τῆς θείας γραφῆς τὴν ἀκρίβειαν. ἐπειδὴ διηγήσατο ἡμῖν τῶν ἐτῶν τοῦ δικαίου τὸν ἀριθμόν, δεικνῦσα τῆς μακροθυμίας τοῦ δεσπότου τὴν ὑπερβολὴν βούλεται πάλιν καὶ τὴν ἐπίτασιν τῆς ἀνεξικακίας τοῦ δεσπότου δήλην ἡμῖν ποιῆσαι, καὶ τῆς κακίας τῶν ἀνθρώπων τὴν πολλὴν φοράν. ἀλλ' ἀκούσωμεν αὐτῶν τῶν παρὰ τοῦ Μωυσέως ῥηθέντων. πνεύματι γὰρ φθεγγόμενος ἅπαντα μετὰ ἀκριβείας ἡμᾶς διδάξαι βούλεται. καὶ ἐγένετο, φησιν, ἡνίκα ἤρξαντο ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς. οὐχ ἁπλῶς προσέθηκε τὸ, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς, ἀλλ' ἵνα τὸ πολὺ πλῆθος ἡμῖν ἐμφήνῃ. ὅπου γὰρ τοσοῦτον τὸ τῶν ῥιζῶν πλῆθος, ἀνάγκη πολλοὺς τίκτεσθαι τοὺς κλάδους. ἰδόντες δὲ, φησιν, οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν ὧν ἐξελέξαντο. ἑκάστην λέξιν τῶν εἰρημένων σαφῶς κατοπτεύσωμεν, ἵνα μηδὲν ἡμᾶς παραδράμῃ τῶν ἐν τῷ βάθει κεκρυμμένων. καὶ γὰρ ἀναγκαῖον τούτου τοῦ χωρίου πολλὴν τὴν ἔρευναν ποιήσασθαι, καὶ ἀνατρέψαι τὰς μυθολογίας τῶν ἀπερισκέπτως πάντα φθεγγομένων· καὶ πρότερον μὲν εἰπεῖν ἅπερ λέγειν τολμῶσι, καὶ δείξαντας τὴν ἀτοπίαν τῶν παρ' αὐτῶν λεγομένων, οὕτω τὸν ἀληθῆ νοῦν τῆς γραφῆς διδάξαι τὴν ὑμετέραν ἀγάπην, ὥστε μὴ ἁπλῶς ὑπέχειν τὰς ἀκοὰς τοῖς τὰ βλάσφημα ἐκεῖνα φθεγγομένοις, καὶ κατὰ τῆς ἑαυτῶν κεφαλῆς τολμῶσι λέγειν. φασὶ γὰρ ὅτι οὐ περὶ ἀνθρώπων τοῦτο εἴρηται, ἀλλὰ περὶ ἀγγέλων. τούτους γὰρ υἱοὺς θεοῦ προσηγόρευσε, καὶ πρότερον μὲν δειξάτωσαν, ποῦ ἄγγελοι υἱοὶ θεοῦ προσηγορεύθησαν, ἀλλ' οὐκ ἂν ἔχοιεν οὐδαμοῦ δεῖξαι. ἄνθρωποι μὲν γὰρ ἐκλήθησαν υἱοὶ θεοῦ, ἄγγελοι δὲ οὐδαμῶς. ἀλλὰ περὶ μὲν τῶν ἀγγέλων φησίν· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. περὶ δὲ τῶν ἀνθρώπων· ἐγὼ εἶπα θεοί ἐστε· καὶ πάλιν· υἱοὺς ἐγέννησα· καὶ πάλιν· πρωτότοκός μου υἱός μου Ἰσραήλ. ἄγγελος δὲ οὐδαμοῦ υἱὸς ἐκλήθη, οὐδὲ υἱὸς θεοῦ. ἀλλὰ τί φασι; ναὶ ἄγγελοι μὲν ἦσαν· διὰ τὸ δὲ πρὸς τὴν παράνομον ταύτην πρᾶξιν κατελθεῖν, τῆς ἀξίας ἐξέπεσον. πάλιν ἕτερον μυθωδέστερον. τί οὖν νῦν ἐξέπεσον, καὶ αὕτη τῆς πτώσεως αὐτοῖς ἐστιν ἡ αἰτία. καὶ μὴν ἡ

A Et erat, inquit, Noë annorum quingentorum, & genuit tres filios, Sem, Cham, & Iaphet. Conſidera diuinæ ſcripturæ diligentiam. Poſtquam numerum annorum iuſti nobis narrauit, monſtrans excellentem Domini longanimitatem, iterum ſummam tolerantiam eius, & malitiam hominum propenſiſſimam declarare vult. Sed audiamus ipſa verba Moſis: ſpiritu enim loquens, omnia nos diligenter docet. *Et factum eſt*, inquit, *quando coeperunt homines multiplicari ſuper terram, & filiæ natæ ſunt illis.* Non abſque ratione addidit, Et B filiæ natæ ſunt illis: ſed vt magnam multitudinem ſic inſinuet. Nam vbi tanta radicum eſt multitudo, neceſſe eſt etiam multos ramos enaſci.

Cap. 6. v. 1.

2 *Vt viderunt*, inquit, *filij Dei filias hominum, quod pulchræ eſſent, ſumpſerunt ſibi vxores ex omnibus, quas elegerant.* Singulas dictiones diligenter conſideremus, ne quid in fundo latens nos prætereat. Operæprecium enim fuerit bene ſcrutari hunc locum, vt ſubuertamus fabulas omnia inconſideratè loquentium. Et primùm dicenda C ea quæ dicere audent, & monſtrata eorum quæ ab illis dicuntur abſurditate, germanus quoque ſcripturæ ſenſus veſtræ charitati aperiendus eſt, vt ne ſimpliciter & facilè aures accommodetis tam blaſphema dicentibus, & aduerſum capita ſua blaterare audentibus. Aſſerunt enim, quòd non de hominibus hoc dictum ſit, ſed de angelis. Hos enim filios Dei appellauit. Primum oſtendant, vbi angeli filij Dei appellati ſint: ſed non poterunt vſquam monſtrare. Homines quidem filij Dei D dicti ſunt, angeli autem nunquam. Atqui de angelis dicit: Qui facit angelos ſuos ſpiritus, & miniſtros ſuos flammam ignis: de hominibus autem: Ego dixi dij eſtis. Et iterum: Filios genui, & exaltaui. Et iterum: Primogenitus meus filius meus Iſraël, Angelus autem nuſquam vocatus eſt filius, neque filius Dei. Cæterum quid dicunt? Profectò angeli quidem erant, ſed quia ad iniquum hoc opus deſcenderunt, dignitate ſua exciderunt. En iterum fabuloſius aliud. Itaque nunc exciderunt, & hæc ruinæ illorum cauſa.

Pſal. 103. 4. Pſal. 81. 6. Eſaiæ 1. 2. Exod. 4. 22.

Verum ſcriptura nos aliter docet, quòd antequam formaretur primigenius homo, à ſua dignitate exciderunt & diabolus, & qui cum eo maiorem quàm decebat dignitatem ambiebant: ſicut & ſapiens quidam
Sap. 2. 24. inquit: Inuidia autem diaboli mors intrauit in mundum. Dic oro mihi, ſi non ante factum hominem excidit, quomodo in tanta dignitate manens inuidit homini? Quomodo rationi conſonum eſt, angelum incorporeum, & in tali dignitate conſtitutum, homini inuidere corpore circumamicto? Sed inuidit qui à ſuperna gloria in extremam ignominiam deiectus eſt, licet eſſet incorporeus: videns autem formatum hominem, & in corpore tantum honorem conditoris beneuolentia ſortitum, inuidia exarſit, & deceptione, ad quam ſerpentis opera vſus eſt, hominem mortis ſupplicio obnoxiũ fecit. Talis enim eſt malitia, non poteſt non grauiter ferre aliorum felicitatem. Manifeſtum eſt igitur, quòd & diabolus, & omnis eius cohors olim à gloria illa exciderunt, & ignominioſi facti erant. Alioquin etiam quanta nõ dementia plenum fuerit, dicere angelos deiectos, vt cũ mulieribus rem habeãt, & incorporea illa natura copuletur corporibus? An non audis Dominum dicentem de angelorum
Matth. 22.30. Lucæ 20.35. ſubſtantia: In reſurrectione enim neque matrimoniũ contrahunt, neque elocantur, ſed ſunt ſicut angeli Dei? Neque enim poſſibile eſt incorpoream naturam, talem vnquam concupiſcentiam habere. Ad hæc etiam cogitare oportet, quòd hoc omnibus modis abſurdiſſimum fuerit in animum inducere. Nam ſi ſancti & qui Spiritum ſanctum aſſecuti ſunt, neque viſionem angelorum videre potuerunt: enimuerò vir deſideriorum conſpecta angeli præſentia, non tamen ſubſtantia: quo pacto enim videri poſſet incorporalis ſubſtantia? ſed transformatione ſolùm quadam viſa parum aberat quin & animam relinqueret, defectis viribus: & tantus ac talis vir penè abſque ſpiritu iacebat: quis etiam valde inſanus comprobaret talia verba dementiæ plena, quòd incorporea & ſpiritualis natura corporis complexum ferret? Sed

A γραφὴ ἄλλως ἡμᾶς διδάσκει, ὅτι καὶ πρὸ τῆς τοῦ πρωτοπλάστου δημιουργίας τῆς ἀξίας ἐκείνης κατηνέχθησαν, καὶ ὁ διάβολος καὶ οἱ μετ' αὐτοῦ μεῖζον τῆς ἀξίας φρονήσαντες, καθάπερ καὶ σοφός τις φησι, φθόνῳ δὲ τοῦ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν. εἰ μὴ γὰρ πρὸ τῆς τοῦ ἀνθρώπου δημιουργίας ἐκπεπτωκὼς, πῶς ἂν ἐπὶ τῆς ἀξίας μένων ἐβάσκανε τῷ ἀνθρώπῳ; ποῖον γὰρ ἂν ἔχοι λόγον ἄγγελον ἀνθρώπῳ βασκαίνειν, τὸν ἀσώματον καὶ ἐν τοσαύτῃ τιμῇ τυγχάνοντα τῷ σώματι περικειμένῳ; ἀλλ' ἐπειδὴ ἀπὸ τῆς ἀνωτάτω δόξης εἰς ἐσχάτην ἀτιμίαν κατηνέχθη, B καὶ ταῦτα ἀσώματος ὤν, εἶδε δὲ τὸν ἄνθρωπον δημιουργηθέντα καὶ ἐν σώματι τοσαύτης τιμῆς ἀξιωθέντα διὰ τὴν τοῦ δημιουργήσαντος φιλανθρωπίαν εἰς φθόνον ἐξήφθη, καὶ διὰ τῆς ἀπάτης, τῆς διὰ τοῦ ὄφεως προσήγαγε τῇ τοῦ θανάτου ἐπιτιμίᾳ ὑπεύθυνον τὸν ἄνθρωπον κατεσκεύασε. τοιοῦτον γὰρ ἡ πονηρία· οὐ δύναται πράως φέρειν τὴν ἑτέρων εὐημερίαν. ὅτι μὲν οὖν πάλαι καὶ ὁ διάβολος καὶ πᾶσα αὐτοῦ ἡ φάλαγξ ἐκ τῆς δόξης ἐκείνης ἐξέπεσον, καὶ τῶν ἠτιμωμένων γεγόνασι, δῆλον ἅπασιν. ἄλλως δὲ καὶ ποίας οὐκ ἂν C εἴη ἀνοίας ἀνάμεστον τὸ λέγειν, ὅτι ἄγγελοι πρὸς συνουσίαν γυναικῶν κατηνέχθησαν, καὶ ἡ ἀσώματος ἐκείνη φύσις πρὸς τὴν συναλλαγὴν τῶν σωμάτων ὑπήχθη. ἢ οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος περὶ τῆς τῶν ἀγγέλων οὐσίας, ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι θεοῦ; οὐδὲ γὰρ οἷόν τε τὴν ἀσώματον φύσιν ἐκείνην τοιαύτην ἐπιθυμίαν δέξασθαί ποτε. πρὸς τούτοις δὲ κἀκεῖνο ἐννοῆσαι δεῖ, ὅτι πάντη τῶν ἀτοπωτάτων ἐστὶ τοῦτο δέξασθαι τῷ λογισμῷ. εἰ γὰρ οἱ ἅγιοι D καὶ πνεύματος ἁγίου ἠξιωμένοι οὐδὲ ὀπτασίαν ἀγγέλων ἰδεῖν ἴσχυσαν· καὶ γὰρ ὁ ἀνὴρ τῶν ἐπιθυμιῶν θεασάμενος ἀγγέλου παρουσίαν οὐκ αὐτὴν τὴν οὐσίαν· πῶς γὰρ οἷόν τε ἀσώματον οὐσίαν ἰδεῖν; ἀλλὰ μετασχηματισθεῖσαν τὴν ἐνέργειαν· μικροῦ δεῖν καὶ αὐτὴν τὴν ψυχὴν ἀφῆκεν, καὶ ὁ τοσοῦτος, καὶ τηλικοῦτος ἀνὴρ ἄπνους σχεδὸν ἔκειτο, τίς ἂν κἂν σφόδρα μεμηνὼς ᾖ, καταδέξαιτο τὸ βλάσφημον τοῦτο ῥῆμα καὶ πολλῆς γέμον τῆς ἀνοίας, καὶ ὅτι ἡ ἀσώματος φύσις καὶ νοερὰ σωμάτων συμπλοκῆς ἠνέσχετο; ἀλλ' ἵνα μὴ ἐπὶ πλὺ ταῦτα

A ἵνα μὴ ἐπὶ πολὺ ταῦτα κινοῦντες καὶ αὐτοὶ δόξωμεν εἰκῇ τὸν χρόνον κατατρίβειν, φέρε ἐπειδὴ διὰ τῶν πραγμάτων ἐπληροφορήσαμεν ὑμῶν τὴν ἀγάπην, ὡς τῶν ἀδυνάτων τοῦτο καθέστηκε, τὴν ἀλήθειαν τῶν ἐγκειμένων διδάξωμεν ὑμᾶς, πάλιν ἀναγνόντες τὰ παρὰ τῆς θείας γραφῆς εἰρημένα. καὶ ἐγένετό φησιν, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς, ἰδόντες οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. προλαβόντες ἐδιδάξαμεν ὑμᾶς, ὅτι ἔθος τῇ γραφῇ καὶ τοὺς ἀνθρώπους υἱοὺς θεοῦ καλεῖν. ἐπεὶ οὖν ἀπὸ τοῦ B Σὴθ οὗτοι κατῆγον τὸ γένος, καὶ ἀπὸ τοῦ ὑπ' αὐτοῦ τεχθέντος καὶ προσαγορευθέντος Ἐνώς· οὗτος γάρ φησιν ἤλπισεν ἐπικαλεῖσθαι τῷ ὀνόματι κυρίου τοῦ θεοῦ· ἐξ ἐκείνου οἱ ἑξῆς τικτόμενοι υἱοὶ θεοῦ προσηγορεύθησαν παρὰ τῆς θείας γραφῆς, διὰ τὸ μιμεῖσθαι μέχρις ἐκείνου τῶν προγόνων τὴν ἀρετήν. υἱοὺς δὲ ἀνθρώπων ἐκάλεσε τοὺς πρὸ τοῦ Σὴθ γεγονότας τοὺς ἀπὸ τοῦ Κάϊν καὶ τοὺς ἐξ ἐκείνου τὸ γένος κατάγοντας. ἐγένετο γάρ φησιν, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς, ἰδόντες C οἱ υἱοὶ τοῦ θεοῦ, οἱ ἀπὸ τοῦ Σὴθ καὶ τοῦ Ἐνώς, τὰς θυγατέρας τῶν ἀνθρώπων, ἐκείνας τὰς ὑπ' ἐκείνων τεχθείσας, περὶ ὧν εἶπεν, ὅτι καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς, ὅτι καλαί εἰσιν. ὅρα πῶς διὰ τῆς λέξεως πᾶσαν ἡμῖν αὐτῶν τὴν ἀσέλγειαν ἐνέφηνεν. οὐδὲ γὰρ δι' ἐπιθυμίαν παιδοποιίας ἐπὶ τὴν πρᾶξιν ταύτην ὥρμησαν, ἀλλὰ δι' ἀκρασίαν ἡδονῆς. ἰδόντες γάρ φησι τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν. ἡ ἐπιθυμία εἰς τὸν ὄλεθρον αὐτοὺς τοῦτον ἤνεγκε, καὶ τὸ κάλλος τῆς ὄψεως καὶ τῆς πορνείας, καὶ τῆς ἀσελ- D γείας αὐτοῖς γεγένηται αἴτιον. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ προσέθηκεν· ἔλαβον δὲ αὐτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. καὶ τοῦτο πάλιν ἐμφαίνοντός ἐστι τὴν πολλὴν αὐτῶν ἀσέλγειαν, [illegible] κάλλει ἡττήθησαν, καὶ χαλινὸν ἐπιθεῖναι τῇ ἀτάκτῳ ἐπιθυμίᾳ οὐκ ἠβουλήθησαν, ἀλλὰ ὑποβρύχιοι γεγόνασιν ὑπὸ τῆς θέας χειρωθέντες, καὶ διὰ τὴν παράνομον ταύτην πρᾶξιν ἐρήμους ἑαυτοὺς καταστήσαντες τῆς ἄνωθεν προνοίας. καὶ ἵνα μάθωμεν, ὅτι οὐ νόμῳ γάμου, οὐδὲ παιδοποιίας ἕνεκεν τοῦτο διεπράξαντο,

ne pluribus iſta excutientes terere tempus videamur, agè quia ſufficientibus argumentis charitati veſtræ declarauimus, quàm ſit hoc impoſſibile: doceamus nunc quæ rei ſit veritas, iterum tamen lectis, quæ in diuina ſcriptura ſunt dicta. Et factum eſt, inquit, quando cœperunt homines multiplicari ſuper terram, & filiæ natæ ſunt illis: vt viderunt filij *Dei filias hominum, quòd pulchræ eſſent, ſumpſerunt ſibimetipſis* vxores de omnibus, quas elegerant. Prius docuimus vos, morem eſſe ſcripturæ, vt homines filios Dei vocet. Et quia iſti à Setho originem trahebant, & ab eius filio qui appellatus eſt Enos: dicit enim: iſte ſperauit vocari nomine domini Dei: ab illo poſtea nati, vocati ſunt filij Dei in diuinis ſcripturis, propterea quòd eouſque parentum virtutem imitati ſunt. Filios autem Cain, & qui ex eo nati, & qui ante Seth geniti fuerunt, filios hominum vocat. Factum eſt, inquit, cum cœperunt homines multiplicari ſuper terram, & filiæ natæ ſunt illis, vt viderunt filij Dei, qui à Seth & ab Enos progeniti, filias hominum illas quæ ab aliis natæ ſunt, de quibus dixit quòd filiæ natæ ſint illis, & quòd pulchræ eſſent. Vide quomodo per verbum hoc, omnem nobis eorum intemperantiam inſinuat. Non enim ob deſiderium procreandorum filiorum conueniebant: ſed ob voluptatem & intemperantiam. Vt viderunt, inquit, filias hominum, quòd pulchræ eſſent. Concupiſcentia illos in hanc induxit perniciem, pulchritudo aſpectus, & ſcortationis, & intemperantiæ eis occaſio fuit. Et neque hoc contenta, addit: Sumpſerunt ſibiipſis vxores de omnibus quas elegerãt. quod etiam magnam illorum intemperantiam inſinuat, quòd à pulchritudine victi ſunt, & frænum imponere inordinatæ concupiſcentiæ ſuæ non valuerunt: ſed ſpectando capti, ſubmerſique ſunt, & ob impium hoc opus indignos ſe fecerunt, quorum ſupernè Deus curam ageret. Et vt diſcamus quòd non lege nuptiarum, neque procreãdorum filiorum gratia hoc fecerunt,

Homines filij Dei dicti in Scriptura.

propter hoc dicit: Vt viderunt quòd pulchræ eſſent, ſumpſerunt ſibimetipſis vxores de omnibus quas elegerant. Quid igitur? Reprehendétne aliquis aſpectum oculorum? Non: neque enim oculus ruinæ cauſa fuit, ſed voluntatis negligentia & effrænata concupiſcentia. Nam oculus propterea factus eſt, vt dum videt creaturas Dei, ipſarum conditor glorificetur. Itaque oculi opus eſt videre: malè autem videre, à mento eſt, quæ intrinſecus gubernat. Nam membra noſtra, vtpote vtilia, ad facienda bona condita ſunt à Domino, & gubernari poſſunt ab incorporea ſubſtantia, de anima dico. Poſtquam autem hæc negligens eſſe, & habenas laxare cœperit, quemadmodum auriga neſciens indomitorum equorum ferociam compeſcere, permiſſis frænis, & equos currum trahẽtes, & ſeipſum in præceps ire facit: ſic planè & voluntas noſtra quandoquidem neſcit membris vt oportet vti, indulgens inordinatis concupiſcentiis, ſeipſam ſubmergi facit. Propterea dominus noſter Chriſtus, ſciens fragilem noſtram naturam, & voluntatis negligentiam, legem poſuit quæ muniret & prohiberet curioſam conſiderationem: vt naſcens in nobis incendium, cùm adhuc à longe eſt, extinguat, & inquit: Qui aſpicit mulierem, vt concupiſcat illam, iam adulterium commiſit cum illa in corde ſuo. Propter hoc, inquit, interdico vobis illicitum viſum, vt ab opere illicito vos liberem. Ne putes, inquit, quòd congreſſus ſolum peccatum faciat. Animus eſt qui condemnatur. Igitur & hi viſæ pulchritudinis ſpectaculo capti ſunt Viderunt enim, inquit, quòd pulchræ eſſent, & ſumpſerunt ſibi vxores ex omnibus quas elegerant. Sed videamus & poſt illicitam illorum operationem & intemperantem animum, domini Dei bonitatem. *Dixit*, inquit, *dominus Deus: Neutiquam permanebit ſpiritus meus in hominibus his in ſeculum, eò quòd ipſi carnes ſint Erunt autem dies ipſorum cẽtum vinginti anni.* Hîc in breuibus verbis abyſſus miſericordiæ videri poteſt. Spiritũ enim hîc vocat vim ſuam, qua curã noſtri agit, illorum interitum prenuncians.

Matth. 5.28.

A διὰ τοῦτό φησιν ἰδόντες ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. τί οὖν; τῶν ὀφθαλμῶν τὴν θέαν ἄν τις αἰτιάσαιτο; οὐδαμῶς, οὐδὲ γὰρ ὁ ὀφθαλμὸς τοῦ ὀλίσθου αἴτιος γέγονεν, ἀλλ' ἡ τῆς προαιρέσεως ῥαθυμία, καὶ τὸ τῆς ἐπιθυμίας ἀχαλίνωτον. ὁ γὰρ ὀφθαλμὸς διὰ τοῦτο ἐδημιουργήθη, ὥστε διὰ τούτου καθορῶντας τὰ τοῦ θεοῦ δημιουργήματα δοξάζειν τὸν τούτων ποιητήν. τοῦ ὀφθαλμοῦ τοίνυν ἐστὶν ἔργον τὸ ὁρᾶν, τὸ δὲ κακῶς ὁρᾶν ἀπὸ τοῦ ἔνδοθεν ἡνιοχοῦντος λογισμοῦ γίνεται. τὰ γὰρ μέλη πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν ἡμῖν εἶναι χρήσιμα ἐδημιούργησεν ὁ δεσπότης, καὶ ἡνιοχεῖσθαι συνεχώρησεν ὑπὸ τῆς ἀσωμάτου οὐσίας, τῆς ψυχῆς B λέγω. ἐπειδὰν οὖν ἐκείνη εἰς ῥαθυμίαν ἀποκλίνῃ, καὶ τὰς ἡνίας χαλάσῃ καθάπερ ἡνίοχος οὐκ εἰδὼς τὰ ἄτακτα τῶν ἵππων σκιρτήματα καταστέλλειν, ταῖς ἡνίαις ἐνδοὺς, καὶ τοὺς ἵππους τοὺς τὸ ἅρμα ἕλκοντας καὶ ἑαυτὸν κατακρημνίζει· οὕτω δὴ καὶ ἡ προαίρεσις ἡ ἡμετέρα ἐπειδὰν μὴ εἰδῇ τοῖς μέλεσι δεόντως κεχρῆσθαι ταῖς ἀτάκτοις ἐπιθυμίαις ἐνδοῦσα ὑποβρύχιον ἑαυτὴν ἐργάζεται. διὰ τοῦτο ὁ δεσπότης ἡμῶν Χριστὸς εἰδὼς τῆς φύσεως ἡμῶν τὸ εὐεπηρέαστον, καὶ τῆς προαιρέσεως τὴν ῥαθυ- C μίαν νόμον ἔθηκεν ἀποτειχίζοντα, καὶ κωλύοντα τὴν περίεργον θεωρίαν, ἵνα ἐκ πολλοῦ τοῦ διαστήματος τὴν ἐν ἡμῖν τικτομένην πυρὰν σβέσῃ, καί φησιν, ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. διὰ τοῦτό φησιν ἀπαγορεύω τὴν ἀκόλαστον ὄψιν, ἵνα ἐλευθερώσω τῆς ἀτόπου πράξεως. μὴ γὰρ δὴ νομίσῃς φησὶν, ὅτι ἡ συμπλοκὴ μόνον τὴν ἁμαρτίαν ἐργάζεται. ἡ γνώμη ἐστὶν ἡ τὴν κατάκρισιν δεχομένη. καὶ οὗτοι τοίνυν ἐπὶ τὸ κάλλος ἰδόντες ἑάλωσαν τῇ θέᾳ. εἶδον γάρ φη- D σιν, ὅτι καλαί εἰσι, καὶ ἔλαβον ἑαυτοῖς ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. ἀλλ' ἴδωμεν καὶ μετὰ τὴν ἄτοπον ταύτην πρᾶξιν καὶ τὴν ἀκόλαστον γνώμην, τοῦ θεοῦ τὴν ἀγαθότητα. καὶ εἶπέ φησι κύριος ὁ θεὸς, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας. ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσι. ἄβυσσον φιλανθρωπίας ἐστὶν ἰδεῖν ἐν τοῖς βραχέσι τούτοις ῥήμασι. τὸ πνεῦμα ἐνταῦθα τὴν προνοητικὴν αὐτοῦ δύναμιν ἐκάλεσε, τὴν ἀπώλειαν αὐτῶν ἤδη προμηνύων. καὶ ἵνα μάθῃς, ὅτι περὶ

A τούτου ἦν ὁ λόγος, ὅρα τὸ ἐπαγόμενον. διὰ τὸ εἶναι αὐτοὺς φησι σάρκας, τουτέστι διὰ τὸ σαρκικαῖς πράξεσιν αὐτοὺς κατεδαπανῆσθαι, καὶ μὴ εἰς δέον κεχρῆσθαι τῇ τῆς ψυχῆς οὐσίᾳ, ἀλλ' ὡς σάρκα μόνον περικειμένους καὶ ψυχῆς ἐρήμους ὄντας οὕτω τὸν ἑαυτῶν βίον καταναλίσκειν. ἔθος γὰρ ἀεὶ τῇ θείᾳ γραφῇ σάρκα τοὺς σαρκικοὺς καλεῖν, ὥσπερ τοὺς ἐναρέτους ἀσάρκους ὀνομάζειν, καθάπερ ὁ Παῦλός φησιν· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί. οὐκ ἐπειδὴ σάρκα οὐ περιέκειντο, ἀλλ' ἐπειδὴ σάρκα περικείμενοι ἀνώτεροι τῶν σαρκικῶν ἦσαν φρονημάτων, ὥσπερ οὖν καὶ τοῖσδε διὰ τὸ ὑπερορᾶν τῶν σαρκικῶν ἔλεγεν· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί. οὕτω καὶ ἐπὶ τούτων, ἐπειδὴ περὶ B τὰς σαρκικὰς πράξεις διηνεκῶς ἦσαν ἠσχολημένοι, σάρκας αὐτοὺς ἐκάλεσε. διὰ τὸ εἶναι αὐτοὺς σάρκας οὐκ ἔτι συγχωρήσω τοῖς ἁμαρτίαις αὐτῶν καταρρυπαίνεσθαι. εἶδες ἀγανακτήσεως μέγεθος; εἶδες ἀπειλῆς ὑπερβολήν; σκόπει πῶς τῇ ἀπειλῇ καὶ τῇ ἀγανακτήσει τὴν φιλανθρωπίαν ἔμιξε. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος. ἀπειλεῖ πολλάκις, οὐχ ἵνα εἰς ἔργον ἀγάγῃ τὴν ἀπειλήν. ἀλλ' ἵνα διορθωσάμενος αὐτοὺς μηκέτι τὴν ἀπειλὴν εἰς ἔργον εἰσενέγκῃ. εἰ γὰρ ἐβούλετο τιμωρήσασθαι, τίνος ἕνεκεν καὶ προέλεγεν; ἀλλ' ἐπειδὴ μὴ βούλεται, C διὰ τοῦτο ἀεὶ μέλλει, καὶ ἀναβάλλεται, καὶ προλέγει ἀφορμὴν παρέχων τοῖς ὑπευθύνοις φυγεῖν μὲν τὴν κακίαν, ἑλέσθαι δὲ τὴν ἀρετὴν καὶ τῆς τιμωρίας τὴν πεῖραν διαφυγεῖν. ἐπεὶ οὖν ἠπείλησε τῇ πανωλεθρίᾳ αὐτοὺς παραδώσειν· τοῦτο γάρ ἐστιν, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας, ἀντὶ τοῦ, οὐκ ἐάσω αὐτοὺς λοιπὸν ζῆν· οὐκ ἀρκεσθεὶς τῇ τῶν πεντακοσίων ἐτῶν μακροθυμίᾳ, ἣ διὰ πάσης τῆς ζωῆς τοῦ Νῶε διὰ τῆς προσηγορίας ἐπαιδεύοντο, νῦν πάλιν ἐπιτείνων τὴν ἀγανάκ- D τησιν ἑτέραν αὐτοῖς προθεσμίαν δείκνυσι, καὶ φησίν· ἠπειλησάμην καὶ εἶπον, καὶ δήλην ἐποίησα τὴν ἐμὴν ἀγανάκτησιν, ἣν διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων τῶν εἰργασμένων ἐπαγαγεῖν ὑμῖν ἐστιν ἀκόλουθον. ἀλλ' ἐπειδὴ καὶ τοὺς τὰ ἀνίατα ἡμαρτηκότας σωθῆναι βούλομαι, καὶ μηδένα ἀπόλλυσθαι, διὰ τοῦτο καὶ ἑκατὸν εἴκοσι ἐτῶν χρόνον ἐνδίδωμι, ἵνα, εἰ βούλησθε, καὶ τὰ ἡμαρτημένα ἀπονίψασθαι διὰ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς καὶ τὴν ἀρετὴν ἑλόμενοι, τῆς τιμωρίας τὴν πεῖραν ἐκφύγητε.

Et vt ſcias quòd de hoc ſit ſermo, vide quid ſubdatur. Eo ꝙ ipſi, inquit, carnes ſint: hòc eſt, eò ꝙ carnalibus operibus ſeipſos totos dedunt, & animæ ſubſtantia abutũtur, & quaſi ſola carne circumdati anima carerent, ſic vitam ſuã abſumũt. Perpetuus enim ſcripturæ mos eſt, carnẽ vocare carnales: ſicut & virtute præſtantes, carnis expertes nominat: quemadmodũ Paulus dicit: Vos autem non eſtis in carne: non ꝙ non carne circumdati eſſent, ſed quia carne circumdati, ſuperiores erãt carnalibus affectionib9, & ſenſibus. Nã ſicut iſtis dicebat: Vos autẽ non eſtis in carne, eò ꝙ carnalia deſpiciebant: ita & de illis dicitur, ꝙ ſint carnes, eò ꝙ carnalibus rebus cõtinuò erãt occupati. Et quia ipſi ſunt carnes, non iam concedã eis peccatis ſuis coinquinari. Vidiſti indignationis magnitudinẽ? vidiſti minarũ excellentiã? conſidera etiam quomodo indignationi, & interminationi miſericordiã admiſcuit. Talis enim eſt dominus noſter, minatur ſæpe, non vt opere compleat minas: ſed vt correctis nobis minas non ad opus perducat. Alioqui ſi punire vellet, cur prædiceret? Sed quia nõ vult, ſemper cũctatur, & moram nectit, & differt, & prædicit, occaſionem reis præſtãs, vt fugiendo malitiam, & ſectãdo virtutem pœnas non experiantur. Itaq; poſtquam interminatus eſt illos ſe exterminationi generali traditurũ: hoc enim eſt, Non permanebit ſpiritus meus in hominibus iſtis, eò quòd ipſi ſunt carnes: pro eo, non ſinam illos poſthac viuere: non contentus quingentorum annorum lõganimitate, qua per omnem vitam Noë, audito illius nomine docebantur: nunc iterum producens & differens indignationẽ, aliud illis tempus præſcribit, & dicit: Interminatus ſum, & dixi, & manifeſtaui meam indignationem, quam ob multitudinẽ peccatorũ, quæ operati eſtis, vobis inferri iuſtũ eſt: ſed quia etiã eos qui incurabiliter peccauerunt, ſaluari volo, nullúmque perire: idcirco vobis indulgeo & tempus centum viginti annorũ: vt ſi volueritis, & peccata ablueritis, reſipiſcendóque & in meliora vos conuertendo, virtuti ſtudueritis, & pœnas & pericula effugiatis.

Rom. 8. 9.

Erunt enim,inquit, dies eorum anni centum viginti. 4 *Gigantes autem,*inquit,*erant ſuper teram in diebus illis. Et poſteaquam ingreßi ſunt filij Dei ad filias hominum,illæque ſibi genuerunt, illi erāt gigantes,qui à ſeculo viri nobiles*. Gigātes hîc à ſcriptura dici opinor robuſtos corpore : ex illis,inquit, generatio illorum aucta eſt : id quod & alio loco videre licet dictum : Gigantes, inquit, veniunt, vt furorem meum placent. Hunc autem centum viginti annorum numerum, aliqui putant terminum vitæ eſſe. Non hoc autem ſignificat, ſed nunc longanimitatem declarare vult, quam & poſt hęc peccata in ipſos oſtendit. Igitur vt diſcamus, quòd illi poſt indignationem, & minas & tanti remporis longanimitatem, quam ipſis in pœnitentià dederat, non ſolùm nihil profecerunt, ſed in iiſdem moribus perſeuerauerunt: propterea dicit, poſtquam ingreſſi ſunt filij Dei ad filias hominū, illæque ſibi genuerunt, iſti erant gigātes, qui à ſeculo viri nobiles. Vidiſti ingratitudinis excellentiam? vidiſti ſtupidas & doloris ſenſu carentes animas? Neque pœnæ timor, neque longanimitatis tempus arcuit illos à malis operibus: ſed ſemel in præceps deiecti, & mentis oculo excæcati, à mala concupiſcentia, quaſi ab ebrietate quadā demerſi, redire vltrà noluerunt: quemadmodum & ſapiens quidā dicit: Impius cum in profundum ceciderit malorū, contemnit. Graue enim, graue eſt dilecti, capi laqueis diaboli. Anima enim poſteà quaſi in retibus comprehenſa trahitur, & ſicut ſus in luti volutabro oblectatur, ſic & iſta à mala cōſuetudine obruta, ne ſentit quidē peccatorū fœtorē. Ideò opus eſt vt ſobrij & vigiles ſimus, ne ab initio diabolo ingreſſum concedamus, vt ne dum obtenebrata fuerit noſtra ratio & excęcata mentis perſpicacia, faciat quaſi priuatos huius ſolis lumine, ne valeas in radios ſoli iuſtitiæ contueri, & ita in præceps feraris : id quod & illis tunc accidit. Audi enim iterum bonitatis Dei tolerantiam. *Vt vidit autem,*inquit, *Dominus Deus,quòd multiplicatæ ſunt malitiæ hominum ſuper terrā.* Quid ſibi vult hoc dictum, vt vidit autē? Num ignorauit Domin⁹? abſit:

Gigātes robuſti homines.

Eſa.13.3.

Prou. 18 3.

A ἔσονται γὰρ φησὶν αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσι. οἱ δὲ γίγαντές φησιν ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ μετ᾽ ἐκεῖνα ὡς ἂν εἰσεπορεύοντο υἱοὶ τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς. ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ᾽ αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί. γίγαντας ἐνταῦθα τοὺς ἰσχυροὺς τὸ σῶμα οἶμαι λέγειν τὴν θείαν γραφήν. ἐξ ἐκείνων φησὶν ἡ γενεὰ αὐτῶν ηὐξήθη. καὶ γὰρ καὶ ἀλλαχοῦ ἐστιν ἰδεῖν τοῦτο εἰρημένον. γίγαντές φησιν ἔρχονται τὸν θυμόν μου παῦσαι. τοῦτον δὲ τὸν τῶν ἑκατὸν εἴκοσι ἐτῶν ἀριθμόν τινες νομίζουσι τὸν ὅρον τῆς ζωῆς εἶναι, οὐ τοῦτο δὲ σημαίνει, ἀλλὰ τέως τὴν μακροθυ-
B μίαν ἐνδείξασθαι βούλεται, ἣν καὶ μετὰ τοσαῦτα ἁμαρτήματα ἐπ᾽ αὐτοὺς ἐπιδείκνυται. ἵν᾽ οὖν μάθωμεν καὶ μετὰ τὴν ἀγανάκτησιν καὶ τὴν ἀπειλήν, καὶ τὴν τοσαύτην τοῦ χρόνου μακροθυμίαν, ἣν εἰς μετάνοιαν αὐτοῖς δέδωκεν οὐ μόνον οὐδὲν ἐκέρδαινον, ἀλλὰ καὶ τοῖς αὐτοῖς ἐπέμειναν, διὰ τοῦτό φησιν ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ θεοῦ πρὸς θυγατέρας τῶν ἀνθρώπων καὶ ἐγεννῶσαν ἑαυτοῖς, ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ᾽ αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί. εἶδες ἀγνωμοσύνης ὑπερβολήν; εἶδες ψυχὴν ἀνάλγητον; οὔτε ὁ τῆς τιμωρίας φόβος οὔτε ὁ τῆς μακροθυμίας χρόνος
C ἀπέστησεν αὐτοὺς τῶν πονηρῶν πράξεων, ἀλλ᾽ ἅπαξ κατὰ κρημνῶν κατενεχθέντες, καὶ τὸ τῆς διανοίας ὄμμα πηρωθέντες οὐκ ἔτι λοιπὸν καθάπερ ὑπὸ μέθης τινὸς τῆς πονηρᾶς ἐπιθυμίας καταβαπτισθέντες ἀνενεγκεῖν ἠβουλήθησαν, καθάπερ καὶ σοφός τίς φησιν· ἀσεβὴς ἐμπεσὼν εἰς βάθος κακῶν καταφρονεῖ. δεινὸν γάρ, δεινὸν ἀγαπητὲ ἁλῶναι ταῖς τοῦ διαβόλου παγίσιν. ἡ γὰρ ψυχὴ λοιπὸν καθάπερ ἐν δικτύοις ἀπειλημμένη, καὶ ὥσπερ ὗς ἐγκυλιομένη βορβόρῳ ἥδεται, οὕτω καὶ αὐτὴ ὑπὸ τῆς κακῆς συνηθείας καταχωσθεῖσα οὐδὲ αἴσθησιν λαμβάνει τῆς τῶν ἁμαρτη-
D μάτων δυσωδίας. διὸ χρὴ νήφειν καὶ ἐγρηγορέναι, ὥστε μηδεμίαν τῷ πονηρῷ δαίμονι παρὰ τὴν ἀρχὴν εἴσοδον παρέχειν, ἵνα μὴ σκοτώσας ἡμῶν τὸν λογισμὸν καὶ τὸ διορατικὸν τῆς διανοίας ἀποτυφλώσας παρασκευάσῃ καθάπερ ἀπεστερημένους τοῦ ἡλιακοῦ τούτου φωτὸς πρὸς τὰς ἀκτῖνας τοῦ τῆς δικαιοσύνης ἡλίου ὁρᾷν μὴ δυναμένους κατὰ κρημνῶν φέρεσθαι, ὅπερ καὶ οὗτοι τότε πεπόνθασιν. ἄκουε γὰρ πάλιν τῆς τοῦ θεοῦ ἀγαθότητος τὴν ἀνεξικακίαν. ἰδὼν δέ φησι κύριος ὁ θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς. τί βούλεται τὸ εἰρημένον, ἰδὼν δέ; οὐκ ἐπειδὴ ἠγνόει ὁ δεσπότης, μὴ γένοιτο.

ἀλλὰ

A ἀλλὰ πρὸς τὴν ἀσθένειαν τὴν ἡμετέραν ἅπαντα διηγεῖται ἡ θεία γραφή, ἵνα ἡμᾶς διδάξῃ, ὅτι καὶ μετὰ τὴν τοσαύτην αὐτοῦ μακροθυμίαν τοῖς αὐτοῖς ἐπέμενον, ἢ καὶ χείροσι περιέβαλον ἑαυτοὺς κακοῖς, φησιν, ἰδὼν δὲ ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς. ἐκ γὰρ τῆς πονηρᾶς ταύτης πράξεως καθάπερ ἀπὸ πηγῆς τινος καὶ ἕτερα πολλὰ αὐτοῖς ἐτίκτετο ἁμαρτήματα, διὰ τοῦτό φησιν αἱ κακίαι τῶν ἀνθρώπων. ὅπου γὰρ πορνεία καὶ ἀσέλγεια, καὶ τοσαύτη ἀκολασία, εἰκὸς καὶ μέθην καὶ πορνείαν, καὶ πολλὴν ἀδικίαν, καὶ πλεονεξίαν καὶ τὰ μυρία τίκτεσθαι κακά. ἰδὼν δέ φησι κύριος ὁ θεός, ὅτι ἐπληθύνθησαν αἱ κα- B κίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ, πάσας τὰς ἡμέρας. ὅρα πῶς ἕκαστον τῶν εἰρημένων δείκνυσι τὸ μέγεθος τῶν ἡμαρτημένων. ἐπειδὴ γὰρ εἶπε καθολικῶς, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, ἐπήγαγε, καὶ πᾶς τις· μεγάλη τοῦ ῥήματος ἡ ἔμφασις. οὐχ ὁ νέος, φησὶν, ἀλλὰ καὶ ὁ πρεσβύτης τὰ αὐτὰ τῷ νέῳ διαπράττεται, οὐδὲ ἀνὴρ μόνον, ἀλλὰ καὶ γυνή. οὐ δοῦλος, ἀλλὰ καὶ ἐλεύθερος· οὐ πλούσιος, ἀλλὰ καὶ πένης. καὶ τὸ διανοεῖται, πολλὴν ἔχει τὴν δύναμιν. οὐ γὰρ ἐκ C συναρπαγῆς τοῦτο ὑπομένουσιν, ἀλλ' ἐν τῇ καρδίᾳ διανοούμενοι, καὶ ταῦτα καθ' ἑκάστην ὥραν βουλευόμενοι, καὶ ἐν τούτοις τὴν σπουδὴν ἔχοντες, καὶ οὐδὲ ἁπλῶς, καὶ ὡς ἔτυχεν ἅπαξ ἢ δεύτερον ὑποσκελισθέντες ὑπὸ τῆς ἁμαρτίας ἵστανται τῆς κακίας, ἀλλ' ἐπιμελῶς ταύτην μετέρχονται, καὶ τὰ πονηρὰ διαπράττονται, τοῦτ' ἔστι μετὰ πολλῆς τῆς σπουδῆς, οὐδὲν παρέργως, οὐδὲν ἠμελημένως ὑπ' αὐτῶν γὰρ, οὐδὲ πρὸς βραχὺν χρόνον, ἀλλὰ πάσας τὰς ἡμέρας, πᾶσαν αὐτῶν τὴν ζωὴν εἰς τοῦτο κατηναλίσκουσιν. εἶδες πονηρίας ἐπίτασιν; εἶδες πῶς D μελέτην τὸ πρᾶγμα ἐποιοῦντο ἐπιμελῶς ἅπαντα τὰ πονηρὰ διαπραττόμενοι, καὶ πᾶσα ἡλικία πρὸς τὴν τῆς κακίας ἐργασίαν ηὐτομόλει· πᾶς τις φησιν, οὐδὲ ἡ ἄωρος ἡλικία οὐδὲ ἡ ἀπειρόκακος ἄμοιρος ἦν, ἀλλ' εὐθέως ἐκ προοιμίων τὴν κακὴν ταύτην ἅμιλλαν πάντες ἐποιοῦντο, ἕκαστος τὸν πλησίον ὑπερβάλλεσθαι φιλονεικῶν ἐν τῇ τῶν πράξεων παρανομίᾳ. ἐννόει γάρ μοι ἐνταῦθα τὴν ὑπερβάλλουσαν τοῦ δικαίου σοφίαν, ὅτι ἐν τοσαύτῃ κακῶν συμφωνίᾳ ἴσχυσε τὴν λύμην διαφυγεῖν, καὶ μηδεμίαν ἐντεῦθεν δέξασθαι βλάβην,

ſed ꝓ noſtrá infirmitate omnia narrat diuina ſcriptura, vt nos doceat, ꝙ & poſt tantam Dei longanimitatem in iiſdem manſerunt malis, aut etiam in peiora ſe coniecerunt: Vt vidit autem, inquit, dominus Deus, ꝙ multiplicatæ ſunt malitię hominum ſuper terrã. Ex hoc enim malo opere, quaſi è fonte quodã multa etiam alia ſuboriebantur peccata: & ideo dicit, malitiæ hominum. Nam vbi ſcortatio, & luxuria, & tãta intemperantia, veriſimile eſt ibi & ebrietatem, & crapulam, & magnam iniuſtitiam, & auaritiam, & innumera alia naſci mala. [5] *Vt vidit autẽ,* inquit, *dominus Deus quòd multiplicatæ ſunt malitiæ hominum ſuper terrã, & quòd vnuſquiſque cogitat in corde ſuo diligenter ad mala omnibus diebus.* Vide quomodo ſingula quæ dicuntur, peccatorum oſtendũt magnitudinẽ. Quia enim in genere dixit, ꝙ multiplicatæ ſunt malitiæ hominum ſuper terrã: ſubdidit, & vnuſquiſque. Magna huius verbi emphaſis & vis eſt. Non, inquit, adoleſcens ſolum, ſed & ſenex eadem agit quæ adoleſcẽs: neq; vir ſolum, ſed & mulier: neque ſeruus ſolùm, ſed & liber: non diues ſolum, ſed & pauper. Et verbum, cogitat, multum habet momenti. Nõ enim ex ſubreptione hoc illis accidit, ſed in corde cogitant, & hæc per ſingulas horas voluũt, in his ſtudium ſuum collocãt, & neque ſemel & iterum vel fortuitò ſupplãtati à peccato, à malitia ſibi temperant, ſed diligenter eam exercent; & mala operantur: hoc eſt, magno ſtudio, nihil obiter, nihil negligẽter ab eis fit, neque breui tempore, ſed omnibus diebus, omnem ſuam vitam in hoc impendunt. Vidiſti malitiæ immanitatem? vidiſti quomodo dedita opera rem fecerunt, diligẽter omnia mala operantes: & omnis ætas ad agendum malum ſua ſponte acceſſerit? Vnuſquiſque inquit, neque ætas immatura, & alioquin inexperta, malorum expers erat: ſed ſtatim & ab incunabulis omnes malum hoc præliũ certabant, contendentes vt malis operibus alter alterum ſuperaret. Hîc oro animo expende miram huius iuſti Noë ſapientiam, qui in tanta malorum conſpiratione malitiam effugere valuit, & nihil inde dãni ſenſit:

ſed quaſi ex alia natura conſtitutus; ſic forti animo præditus,& non aliũde adiutus, virtutis operationi deditus, & malam eorum conſpirationẽ effugit;& à cõmuni omniũ perditione eſt extemptus. 6 *Et animo retractauit,* inquit, *dominus Deus, quòd fecit hominem in terra.* Vide iterũ verbum craſſum, & noſtræ paruitati idoneũ. Animo retractauit, inquit, pro pœnituit, non quòd pœnituerit Deũ, abſit: ſed iuxta humanam conſuetudinem loquitur nobis Deus, vt nos doceat quòd enormia illorum peccata clementem Deum indignari fecerũt. Et animo retractauit, inquit, dominus Deus ꝙ fecit hominem ſuper terrã. Num enim propter hoc ipſum produxi, inquit, vt tanta ruina lapſus, ſibiipſi perditionis fieret author? Nã hac de cauſa primùm tanto honore eum inſigniui, & tantam eius curam me habere declaraui, vt virtuti vacãs, alienus à perditione fieret. Quoniam autem clementia mea abuſus eſt, ſatius poſthac fuerit, malos eius conatus impedire. Et cogitauit, dixítque dominus Deus, inquit, Delebo hominẽ quem feci à facie terræ, ab homine vſque ad pecus, & à reptilibus vſque ad volatilia cœli: quia animo retractaui quòd feci eos. Quæ mei officij erant, inquit, omnia exhibui. Ex nihilo, vt eſſet, illum produxi, naturæ illius ſcientiam faciendorum & non faciendorum indidi, liberum arbitrium donaui, ineffabili longanimitate vſus ſum, & poſt longum illud tempus, & poſt indignationem & minas quas dixi, & aliud præfiniui tempus, volens vt ſua peccata illo ſentiente, indignatio mea reuocaretur. Et quia etiam ſic, nihil lucrifacio, nec proficio, cogit neceſſitas vt minas opere compleam, & omnibus modis deleri illos faciam, & ſicut malum quoddam fermentum aboleam totum illorum genus, vt ne poſterioribus ſeculis peccandi authores & doctores fiant. Et dixit dominus Deus: Delebo hominem quem feci, à facie terræ, ab homine vſque ad pecus. Iam fortè dixerit aliquis: Quare cum homo in malum declinauit, etiam bruta eandem pœnam ſuſtinent? Num propter ſuum ipſorum vſum producta ſunt bruta?

Cur ita hominẽ honorarit deus.

A ἀλλὰ καθάπερ ἐξ ἑτέρας φύσεως συγκείμενος οὕτως ἐῤῥωμένον φρόνημα ἀναλαβὼν, καὶ οἴκοθεν ἐπὶ τὴν τῆς ἀρετῆς κατόρθωσιν σπεύσας, καὶ τὴν κακὴν αὐτῶν συμφωνίαν διέφυγε, καὶ τῆς κοινῆς πάντων ἐνεδρευθείσης πανωλεθρίας ἐκτὸς γέγονε. καὶ ἐνεθυμήθη, φησὶ, κύριος ὁ θεὸς, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς. ὅρα πάλιν λέξεως παχύτητα καὶ συγκατάβασιν. ἐνεθυμήθη φησὶν, ἀντὶ τοῦ μετεμελήθη. οὐκ ἐπειδὴ μεταμέλεται θεός· μὴ γένοιτο· ἀλλὰ κατὰ τὴν συνήθειαν τὴν ἀνθρωπίνην ἡμῖν διαλέγεται ἡ θεία γραφὴ, ἵνα διδάξῃ ἡμᾶς, ὅτι ἡ ὑπερβολὴ τῶν ἡμαρτημένων αὐτοῖς εἰς τοσαύτην ἀγανάκτησιν B τὸν φιλάνθρωπον θεὸν ἤγαγε. καὶ ἐνεθυμήθη φησὶ κύριος ὁ θεὸς, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς. μὴ γὰρ διὰ τοῦτο φησιν αὐτὸν παρήγαγον, ἵνα εἰς τοσοῦτον ὄλισθον κατενεχθεὶς ἀπωλείας ἑαυτῷ αἴτιος καταστῇ; διὰ τοῦτο ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τοσαύτης ἠξίωσα αὐτὸν τῆς τιμῆς, καὶ τοσαύτην περὶ αὐτὸν ἐπεδειξάμην τὴν πρόνοιαν, ἵνα τὴν ἀρετὴν ἑλόμενος ἐκτὸς τῆς ἀπωλείας γένηται. ἐπειδὴ δὲ οὐκ εἰς δέον ἐχρήσατο τῇ φιλανθρωπίᾳ τῇ ἐμῇ, βέλτιον λοιπὸν ἐκκόψαι αὐτοῦ τὴν κακὴν ἐπιχείρησιν. καὶ διενοήθη, καὶ εἶπε κύριος ὁ θεὸς, ἀπαλεί- C ψω τὸν ἄνθρωπον, ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ, ὅτι ἐνεθυμήθην, ὅτι ἐποίησα αὐτούς. τὰ παρ' ἐμαυτοῦ πάντα, φησὶν, ἐπεδειξάμην, ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγον, τὴν γνῶσιν τῶν πρακτέων καὶ τῶν μὴ πρακτέων ἐνέθηκα τῇ φύσει, τὸ αὐτεξούσιον ἐδωρησάμην, ἀφάτῳ τῇ μακροθυμίᾳ ἐχρησάμην, καὶ μετὰ τὸν πολὺν χρόνον ἐκεῖνον, καὶ τὴν ἀγανάκτησιν καὶ τὴν ἀπειλὴν, ἣν εἶπον καὶ ἑτέραν προθεσμίαν ὥρισα βουλόμενος αὐτοὺς εἰς αἴσθησιν ἐλθόντας τῶν οἰκείων D πλημμελημάτων ἀνακαλέσασθαι τὴν ἐμὴν ἀγανάκτησιν. ἐπειδὴ δὲ οὐδὲ οὕτως ἐκερδάνόν τι πλέον, ἀνάγκη τὴν ἀπειλὴν εἰς ἔργον ἀγαγεῖν, καὶ παντελῆ ἐξάλειψιν αὐτῶν ἐργάσασθαι, καὶ καθάπερ ζύμην τινὰ πονηρὰν ἀφανίσαι τούτων τὸ γένος, ἵνα μὴ καὶ ταῖς εἰς τὸ ἑξῆς γενεαῖς τῆς κακίας διδάσκαλοι γένωνται. καὶ εἶπε κύριος ὁ θεὸς, ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους. ἀλλ' ἴσως εἴποι τις ἄν. τίνος ἕνεκεν τοῦ ἀνθρώπου πρὸς κακίαν ἀποκλίναντος, καὶ τὰ ἄλογα τὴν αὐτὴν αὐτῷ τιμωρίαν ὑπομένει; μὴ γὰρ διὰ τὴν ἑαυτῶν χρείαν τὰ ἄλογα γέγονε,

A διὰ τὸν ἄνθρωπον ταῦτα παρήχθη. τούτου τοίνυν ἐκ τοῦ μέσου αἰρουμένου ποία ἐκείνων χρεία γένοιτ' ἄν; διὰ τοῦτο καὶ ταῦτα τῆς τιμωρίας κοινωνεῖ, ἵνα μάθητε τῆς ἀγανακτήσεως τὴν ὑπερβολήν. καὶ καθάπερ ἐξ ἀρχῆς τοῦ πρωτοπλάστου ἁμαρτόντος ἡ γῆ τὴν κατάραν ἐδέξατο, οὕτω καὶ νῦν τοῦ ἀνθρώπου μέλλοντος ἀφανίζεσθαι καὶ τὰ ἄλογα κοινωνεῖ τῆς τιμωρίας. ὥσπερ δὴ εὐδοκιμοῦντος τοῦ ἀνθρώπου καὶ ἡ κτίσις κοινωνεῖ τῇ τοῦ ἀνθρώπου εὐημερίᾳ, καθάπερ καὶ ὁ Παῦλός φησιν, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῶν τέκνων τῆς δόξης τοῦ θεοῦ· οὕτω καὶ νῦν διὰ τὸ πλῆθος τῶν B ἁμαρτημάτων μέλλοντος τούτου κολάζεσθαι, καὶ πανωλεθρίᾳ παραδίδοσθαι, καὶ τὰ κτήνη καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ συναπολαύει τοῦ κλύδωνος τοῦ πᾶσαν τὴν οἰκουμένην καταλαμβάνειν μέλλοντος. καὶ καθάπερ ἐν οἰκίᾳ τοῦ προεστῶτος ὑπὸ τὴν δεσποτικὴν ἀγανάκτησιν γεγονότος, καὶ τοὺς συνυπηρετοῦντας πάντας εἰκὸς κοινωνεῖν τῆς κατηφείας. τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα καθάπερ ἐν οἰκίᾳ τῶν ἀνθρώπων ἀπολλυμένων ἅπαντα τὰ ἐν τῇ οἰκίᾳ, καὶ τὰ ὑπὸ τὴν δεσποτείαν τυγχάνοντα ἀνάγκη ὑπὸ τὴν αὐτὴν τιμωρίαν πεσεῖν. καὶ ἐνεθυμήθην, C φησὶν, ὅτι ἐποίησα αὐτούς. πόσης συγκαταβάσεως τουτὶ πεπλήρωται τὸ ῥῆμα; μὴ γὰρ ἐβουλόμην φησὶ τοσαύτῃ τιμωρίᾳ αὐτοὺς περιβαλεῖν; αὐτοί με τῇ ὑπερβολῇ τῆς παρανομίας εἰς τοσαύτην ἐξήνεγκαν τὴν ἀγανάκτησιν. εἶτα ἵνα μὴ νομίσωμεν ἀφανισμὸν παντελῆ τοῦ τῶν ἀνθρώπων γίνεσθαι γένους, μηδὲ πρόρριζον τὴν ἡμετέραν φύσιν ἀφανίζεσθαι, ἀλλὰ μάθωμεν ὅσον κακὸν ἁμαρτία, καὶ ὅσον ἀγαθὸν ἀρετὴ, καὶ ὅτι κρείττων εἷς ποιῶν θέλημα κυρίου, ἢ μυρίοι παράνομοί φησι· Νῶε δὲ εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ. εἰ καὶ τὸ πλῆθος D ἅπαν φησὶ πρὸς τοσαύτην κακίαν ἐξώκειλεν· ἀλλ' ὁ δίκαιος οὗτος τὸν σπινθῆρα τῆς ἀρετῆς διετήρησεν ὁμοῦ καὶ τούτοις ἅπασι διὰ παντὸς τοῦ χρόνου διαλεγόμενος, καὶ παραινῶν ἀπαλλαγῆναι τῆς κακίας, καὶ ἑαυτὸν τῆς ἀπ' αὐτῶν λύμης ἐλεύθερον καθιστάς. καὶ ὥσπερ οὗτοι διὰ τῶν πονηρῶν πράξεων εἰς ἀγανάκτησιν τὸν φιλάνθρωπον ἐπεσπάσαντο, οὕτω καὶ οὗτος τὴν ἀρετὴν ἑλόμενος χάριν εὗρεν ἐναντίον κυρίου τοῦ θεοῦ. οὐ γάρ ἐστι προσωπολήπτης ὁ θεὸς, ἀλλὰ κἂν εὕρῃ ἐν τοσούτῳ πλήθει τὰ αὐτῷ δοκοῦντας διαπραττόμενον, οὐ περιορᾷ,

propter hominē facta ſunt. Hic igitur cum à medio aufertur, quis illorū vſus eſſet? idcirco & iſtam pœnam communem ferunt, vt interim pœnę grauitatē addiſcatis. Et ſicut ab initio cum primigenius homo peccaſſet, terra maledictionem accepit: ſic & nunc cum abolendus eſſet homo, bruta quoque cladis ſocia fiunt. Sicut enim cum homo gratus ſit Deo, creatura quoque humanæ felicitatis particeps eſt, quemadmodum beatus Paulus inquit: Et creatura hæc liberabitur à ſeruitute corruptionis in libertatem filiorum gloriæ Dei: ſic & nunc homine ob multitudinem peccatorum puniendo, & vniuerſali perditioni tradendo, etiam iumenta, & reptilia, & volatilia cœli ſimul pereūt diluuio, quod totū orbem inuaſurū erat. Et ſicut in domo quando is qui præeſt, in indignationē domini incidit, veriſimile eſt cōminiſtras omnes ei cōdolere: ita & hîc quaſi in domo hominibus pereuntibus, omnia quæ in domo, & quæ ſub illius ſunt dominio, neceſſe eſt in eandem pœnā incidāt. *Et animo retractaui*, inquit, *quod feci illos.* Verbo hoc quantū ſe noſtræ humilitati attemperat? Num volebā, inquit, tāta illos pœna plecti? ipſi me peccatorum immanitate in tantam inuexerunt indignationē. Cæterum ne putemus omnimodam abolitionem humani generis fieri, ſtirpitúſque naturam noſtram eradicandam: ſed diſcamus quantū malum ſit peccatum, & quantum bonum virtus: & quòd melior ſit vnus faciens voluntatem Domini, quàm decem millia præuaricatorum, dicit: *Noë autem inuenit gratiam coram Domino Deo.* Tametſi multitudo omnis, inquit, in tantam malitiam exciderit, iuſtus tamē hic ſcintillam virtutis ſeruauit, dum his omnibus omni tempore loquitur, & dum adhortatur vt à malitia deſiſtant, ſimul ſe interim liberum ab illorum luc ſeruauit. Inſuper ſicut illi malis operibus clementem Deum ad indignationem prouocauerant: ſic ipſe virtute pollens, gratiam inuenit coram domino Deo. Non eſt enim perſonarum acceptor Deus. Verum & ſi in tanta multitudine inueniat hominem vnum, quæ ſibi placita ſunt facientē nō deſpicit:

Rom. 8. 21.

Eccli. 16. 3.

ſed ſua illum dignatur cura, & tantò maiorem illius rationem habet, quãtò cùm tot tantíque ſint, qui ad malum eum trahunt, ipſe conſtantius virtutis viam ſectatur. Id ſcientes, ad id vnum ſpectemus, quod ipſi placet, & efficit vt ipſius gratiam nobis conciliemus: neque hominum amicitiæ, neque conſuetudini ita ſeruiamus, vt virtutis faciamus iacturam, ſed Dei longanimitate, prout decet, vtamur: & dum adhuc tempus habemus, omnem deponentes ignauiam, virtutẽ amemus, peccatúmque odio habeamus. Niſi enim & ad iſtam amore & deſiderio quodam immenſo nos contulerimus, & ignauiam valde oderimus: neque huius damnum effugere, neque illam amplexari poterimus. Quod enim virtus opus habeat his qui eam cõcupiſcunt, & eius deſiderio exardeſcunt, de hoc prophetam audi dicentem: Iudicia domini vera, iuſtificata in idipſum, deſiderabilia ſuper aurum & lapidem precioſum multum. Non quòd non magis deſiderabilia, ſed quia apud nos non inueniuntur alia, quæ his materiis ſint precioſiora: propter ea ſubdit: Et dulciora ſuper mel & fauum. Et hîc quoque quia nõ inuenit quòd natura melle dulcius eſſet, hac ſimilitudine vſus eſt. Igitur ſicut hi qui in opibus colligendis inſaniũt deſiderio & concupiſcentia quadam, in hoc incumbunt magno ſtudio & conatu, & nunquã explentur: Auaritia enim inſatiabilis eſt ebrietas: & ſicut ebrij, quantò plus vini ingurgitant, tantò magis ad ſitim inflammantur: ſic & iſti quoque inſaniam hanc indomitam nunquam ſiſtere poſſunt, ſed quantò magis ſuas opes augeri vident, tantò & concupiſcentia magis flagrant: neque antea à peſſimo appetitu hoc abſiſtunt, donec in ipſum malitiæ profundum deſcenderint: igitur ſi illi pernicioſam hanc concupiſcentiam malorum omnium cauſam cum tanta contentione curant: multo iuſtius eſt nos iudicia domini, quæ ſuper aurum ſunt & argentum, ſemper in mente noſtra verſare, nihílque precioſius virtute ipſa exiſtimare, ſed excindere ex animo noſtro affectiones illas peſtiferas omnes,

Morale.

Pſal. 18. 10.

A ἀλλὰ τῆς οἰκείας αὐτὸν ἀξιοῖ προνοίας, καὶ ταύτῃ μᾶλλον πλείονα τὴν περὶ αὐτὸν κηδεμονίαν ἐπιδείκνυται, ὅσῳ καὶ τοσούτων ὄντων τῶν ἐπὶ τὴν κακίαν ἑλκόντων τὴν τῆς ἀρετῆς ὁδὸν εἵλετο. ὃ δὴ γινώσκοντες πρὸς ἓν μόνον ὁρῶμεν τὸ αὐτῷ δοκοῦν, καὶ τὸ ποιοῦν ἡμᾶς τὴν ἐκεῖθεν εὔνοιαν ἐπισπάσασθαι, καὶ μήτε φιλίᾳ χαριζόμενοι, μήτε συνηθείᾳ τινὶ δουλεύοντες ἀμελῶμεν τῆς ἀρετῆς, ἀλλὰ τῇ τοῦ θεοῦ μακροθυμίᾳ εἰς δέον χρησώμεθα, καὶ ὡς ἔτι καιρὸν ἔχομεν, πᾶσαν ῥαθυμίαν ἀποθέμενοι ποθήσωμεν τὴν ἀρετήν, μισήσωμεν τὴν κακίαν. ἐὰν γὰρ μὴ καὶ πρὸς ταύτην πόθῳ καὶ ἐπι-
B θυμίᾳ μετέλθωμεν, καὶ πρὸς ἐκείνην μῖσος πολὺ κτησώμεθα, οὔτε ἐκείνης τὴν λύμην διαφυγεῖν, οὐδὲ ταύτης ἐπιλαβέσθαι δυνησόμεθα. ὅτι γὰρ ἐπιθυμούντων χρείαν ἔχει ἡ ἀρετή, καὶ ἐκκαιομένων εἰς τὸν περὶ αὐτῆς πόθον, ἄκουε τοῦ προφήτου λέγοντος· τὰ κρίματα κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό, ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. οὐκ ἐπειδὴ τοσοῦτον μόνον ἐστὶν ἐπιθυμητά, ἀλλ' ἐπειδὴ τούτων τῶν ὑλῶν οὐκ ἔστιν ἑτέραν εὑρεθῆναι παρ' ἡμῖν τιμιωτέραν· διὸ καὶ ἐπήγαγε, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον·
C καὶ ἐνταῦθα πάλιν ἐπειδὴ μὴ εἶχε φύσιν εὑρεῖν τοῦ μέλιτος γλυκυτέραν, ταύτῃ ἐχρήσατο τῇ εἰκόνι. καθάπερ οὖν οἱ περὶ τὴν τῶν χρημάτων συλλογὴν μεμηνότες ἐπιθυμίᾳ τινὶ καὶ πόθῳ ἐπὶ τούτῳ πᾶσαν τὴν ὁρμὴν ἔχειν σπουδάζουσι, καὶ οὐδέποτε κόρον λαμβάνουσι· μέθη γὰρ ἀκόρεστός ἐστιν ἡ φιλαργυρία, καὶ καθάπερ οἱ μεθύοντες ὅσῳ ἂν πλείονα τὸν ἄκρατον ἐκχέωσιν ἐν ἑαυτοῖς, τοσούτῳ μᾶλλον πρὸς τὸ δίψος ἐκκαίονται· οὕτω δὴ καὶ οὗτοι τὴν μανίαν ταύτην τὴν ἀκάθεκτον οὐδέποτε στῆσαι δύνανται, ἀλλ' ὅσῳ
D ἂν αὐξομένην ἴδωσιν αὐτοῖς τὴν περιουσίαν, τοσούτῳ καὶ τὴν ἐπιθυμίαν ἀνάπτουσι, καὶ οὐ πρότερον λήγουσι τῆς πονηρᾶς ταύτης ὀρέξεως, μέχρις ἂν εἰς αὐτὸν τῆς κακίας τὸν πυθμένα κατενεχθῶσιν. εἰ τοίνυν οὗτοι τὴν ὀλέθριον ταύτην ἐπιθυμίαν, καὶ πάντων τῶν κακῶν αἰτίαν γινομένην, μετὰ τοσούτου ἐπιδείκνυνται τοῦ τόνου· πολλῷ μᾶλλον ἡμᾶς δίκαιον τὰ κρίματα κυρίου τὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν τυγχάνοντα ταῦτα διόλου στρέφειν ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ, καὶ μηδὲν τῆς ἀρετῆς ἡγεῖσθαι προτιμότερον, ἀλλὰ καὶ τὰ ὀλέθρια ταῦτα πάθη ἐκτέμνειν τῆς ἑαυτῶν ψυχῆς,

Ἠθικόν.

καὶ εἰδέναι ὅτι ἡ πρόσκαιρος αὕτη ἡδονὴ ὀδύνην τίκτειν εἴωθε διηνεκῆ καὶ βάσανον πέρας οὐκ ἔχουσαν, καὶ μὴ ἀπατᾶν ἑαυτοὺς, μήτε νομίζειν ὅτι μέχρι τοῦ παρόντος βίου ἵσταται τὰ ἡμέτερα; Εἰ γὰρ καὶ μὴ τοῖς ῥήμασι ταῦτα φθέγγονται οἱ πολλοὶ, ἀλλὰ καὶ πιστεύειν λέγουσι τῷ τῆς ἀναστάσεως λόγῳ, καὶ τῇ τῶν μελλόντων ἀντιδόσει, ἀλλ' ἐγὼ οὐ τοῖς ῥήμασι προσέχω, ἀλλὰ τοῖς καθ' ἑκάστην ἡμέραν γινομένοις. εἰ γὰρ ἀνάστασιν προσδοκᾷς καὶ ἀντίδοσιν, τίνος ἕνεκεν οὕτω περὶ τὴν τοῦ παρόντος βίου δόξαν ἐπτόησαι; τίνος ἕνεκεν εἰπέ μοι κόπτεις σαυτὸν καθ' ἑκάστην ἡμέραν, ὑπὲρ τὴν ἄμμον τὰ χρήματα συλλέγων, καὶ ἀγροὺς καὶ οἰκίας καὶ βαλανεῖα ὠνούμενος, πολλάκις ἐξ ἁρπαγῆς καὶ πλεονεξίας ταῦτα περιβαλλόμενος, καὶ πληρῶν ἐκεῖνο τὸ παρὰ τοῦ προφήτου εἰρημένον· οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι; ἢ οὐχὶ ταῦτά ἐστι καθ' ἑκάστην ἡμέραν ἰδεῖν γινόμενα; καὶ ὁ μὲν φησιν, ἐπισκοτεῖ μοι τοῦ δεῖνος ἡ οἰκία, καὶ μυρίας προφάσεις ἐπινοεῖ, ἵνα ταύτην ἀφέληται· ἕτερος δὲ τὸν ἀγρὸν τοῦ πένητος λαβὼν συνῆψε τῷ ἑαυτοῦ, καὶ τὸ δὴ μεῖζον καὶ καινὸν καὶ ξένον καὶ οὐδὲ συγγνώμης ἔχον, ὅτι ἐν ἑνὶ τόπῳ αὐτὸς καθήμενος, καὶ πολλάκις οὐδὲ θέλων, ἑτέρωσε διαβῆναι δυνάμενος, ἢ δι' ἑτέραν τινὰ πραγμάτων περίστασιν, ἢ καὶ ὑπὸ τῆς τοῦ σώματος ἀῤῥωστίας πεπεδημένος πανταχοῦ καὶ ἐν πάσαις ὡς εἰπεῖν ταῖς πόλεσι βούλεται ὑπομνήματα τῆς οἰκείας πλεονεξίας κεκτῆσθαι, καὶ στήλας ἀθανάτους τῆς οἰκείας κακίας παρὰ πᾶσιν ἔχειν. καὶ τὰ μὲν ἁμαρτήματα, ἐξ ὧν ἅπαντα ταῦτα συνελέγη, τῇ οἰκείᾳ ἐπιτίθεται κεφαλῇ, καὶ φορτίον βαρὺ καὶ δυσβάστακτον ἐπιφερόμενος οὐκ αἰσθάνεται· τὴν δὲ ἐκ τούτων ἀπόλαυσιν ἑτέροις παραχωρεῖ, οὐ μετὰ τὴν τῆς ζωῆς μετάστασιν μόνον, ἀλλὰ καὶ πρὸ τῆς ἐντεῦθεν ἐξόδου. κἂν γὰρ μὴ ἄκων αὐτῶν γυμνωθῇ, ὑπὸ τῶν οἰκειωμένων διασπᾶται ὡς εἰπεῖν, καὶ διαρπάζεται ἅπαντα ταῦτα· καὶ οὐδὲ τοῦ πολλοστοῦ αὐτῶν μέρους ἐν ἀπολαύσει γίνεται. τί δὲ λέγω ἐν ἀπολαύσει; ἂν γὰρ βουληθῇ, πῶς ἀρκέσει μίαν ἔχων γαστέρα πρὸς τοσοῦτο πλῆθος χρημάτων; ἀλλὰ τῶν κακῶν ἁπάντων τὸ αἴτιον ἡ κενοδοξία, καὶ τὸ βούλεσθαι τὴν προσηγορίαν ἐπικεῖσθαι τὴν αὐτοῦ τοῖς ἀγροῖς, τοῖς βαλανείοις, ταῖς οἰκίαις. τί σοι τὸ ὄφελος, ἄνθρωπε,

A & ſcire quòd temporalis illa voluptas perpetuum parere ſolet dolorem, & finem carentia tormenta: ne decipiamus nos ipſos, neque putemus quòd hîc finem habituræ ſint res noſtræ. Id vero ſentiũt plerique, licet verbis non loquantur: quia credere ſe dicunt reſurrectionem, & futuram retributionem. Sed ego non attendo verba, ſed ea quæ quotidie fiunt. Nam ſi reſurrectionem expectas & retributionem, quare ita præſentis vitæ gloriæ deditus es? Quare, dic mihi, quotidie crucias te, pecunias plures quàm arena ſit colligens, B & agros, & domos, & balnea emens, atque hæc ſæpe per rapinam & auaritiam corradendo? & illud prophetæ dictum implendo: Væ qui coniungunt domum ad domum, & agrum agro copulant, vt vicino auferant aliquid? An non hæc quotidie videri poſſunt? Et ille quidem dicit: Huius domus obſcuram & tenebroſam meam facit, & infinitos prætextus excogitat, vt eam rapiat: alius autem raptum à paupere agrum, ſuo coniungit. Hoc autem C multò maius, & magis admirabile, minúſque venia dignum, quòd vnus vno eodémque loco habitans & ſedens, ſæpe aliò tranſire, neque ſi vellet, valens, vel ob varias occupationes, vel corporis valetudine alligatus: vbique tamen & in omnibus ferme ciuitatibus, monimenta ſuæ auaritiæ poſſidere, & immortales ſuæ malitiæ columnas ſtatuere vult: & peccata quidem, ex quibus omnia hæc collecta ſunt, ſuo imponit capiti, ferénſque grauem ac ingeſtabilem molem non ſentit: aliis autem vſum qui ex his haberi poteſt, D concedit, non ſolùm poſt emigrationem ex hac vita, ſed etiam antequam hinc egrediatur. Nam etiamſi non inuitus eis nudetur, à familiaribus diſſipantur, & vt ita dicam, dilacerantur omnia hæc: & neque ipſe vel milleſima eorum parte fruitur. Et quid dico fruitur? quomodo, cùm illi non ſit niſi vnus venter, ſufficeret ad tot opum multitudinem abſumendam? At malorum omnium cauſa eſt vana gloria: quia vult nomen ſuum imponi agris, balneis, & ædibus. Quæ tibi hinc vtilitas, homo,

Eſaiæ. 5. 8.

cum non multò pòſt, vbi febricula quapiam corripieris, anima ſubito euolans, nudum & vacuum te faciet: imò virtute quidem nudatum, veſtitum autem iniuſtitia, rapinis, auaritia, gemitibus, eiulatibus, lachrymis orphanorum, inſidiis, dolis? Quomodo poteris grandes prementéſque illas ſarcinas peccatorum ferens, per anguſtam hanc portam intrare, quæ capere nequit molem tantæ magnitudinis? neceſſarium itaque foris manere, & oneribus illis grauatum fruſtra pœnitere, cùm iam ante oculos parata videbis tormenta, & ignem illum terribilem ac nunquam extinguendum, vermémque inconſumptibilem: Cæterùm ſi quam noſtræ ſalutis habemus rationem, dum adhuc tempus habemus, deſiſtamus à peccatis, ſectemur virtutem, vanam gloriam deſpiciamus. Nam idcirco vana dicitur, quia euanida eſt, & nihil habet ſtabile neque firmum: ſed ſolum eſt oculorũ deceptio, & priuſquam appareat, auolat. An non & videmus ſæpe ꝙ is quem hodie præcedunt lictores, & ſtipãt ſatellites, cras in carcerem coniicitur, & cum malefactoribus verſatur? Quid hac vana & inani gloria fallacius? Quòd ſi in hac vita præſenti viciſſitudinẽ hanc euadit, omnino mors veniens fœlicitatem reſecabit, & quem hodie in foro magna pompa comitabatur, & qui in carcerem coniiciebat, & ſuper thronum reſidebat, & inflabatur, & homines alios quaſi vmbras deſpiciebat, is ſubitò poſtea iacebit mortuus abſque ſpiritu, fœtulentus, petitus innumeris cõuiciis, & ab his quos pridem iniuria affecit, & quos nulla affecit iniuria: condolentibus tamen his qui ab iſto iniuria affecti fuerunt. Quid hoc miſerabilius fuerit? Item collecta omnia ſæpenumero inimici & hoſtes inter ſe partiuntur & diſtribuunt: peccata autem per quæ hæc coaceruata ſunt, ſecum aufert, de quibus diligens & accurata ratio exigetur. Ideo obſecro, vt fugientes vanam hanc gloriam, veram deſideremus, & quæ omnibus duret ſeculis: & neque opum amor nos ſupplãtet, neque concupiſcentiæ flamma exurat, neq; liuor & inuidia corrumpãt, neque furor & ira nos incendant:

A ὅταν μετ' οὐ πολὺ πυρετοῦ καταλαβόντος ἀθρόον ἀφιπταμένη ἡ ψυχὴ καταλιμπάνῃ ἔρημον καὶ γυμνόν, μᾶλλον δὲ ἀρετῆς μὲν γεγυμνωμένον, περιβεβλημένον δὲ τὰς ἀδικίας, τὰς ἁρπαγάς, τὰς πλεονεξίας, τοὺς στεναγμούς, τὸν ὀδυρμόν, τὰ δάκρυα τῶν ὀρφανῶν, τὰς ἐπιβουλάς, τοὺς δόλους. πῶς δυνήσῃ τὰ μεγάλα ταῦτα φορτία τῶν ἁμαρτημάτων ἔχων ἐπιχειρῆσαι, τὴν στενὴν πύλην ἐκείνην διαβῆναι, τὴν οὐ δυναμένην δέξασθαι τὸν ὄγκον τοῦ τοσούτου μεγέθους; ἀνάγκη τοίνυν ἔξω μένοντα καὶ ὑπὸ τῶν φορτίων τούτων βαρούμενον ἀνήνυτα μεταγινώσκειν ἤδη πρὸ τῶν ὀφθαλμῶν τὰ κολαστήρια ὁρῶντα ηὐτρεπισμένα, καὶ τὸ πῦρ B ἐκεῖνο τὸ φοβερὸν καὶ μηδέποτε σβεννύμενον, καὶ τὸν σκώληκα τὸν ἀτελεύτητον. ἀλλ' εἴ τις ἡμῖν λόγος τῆς σωτηρίας τῆς ἡμετέρας, ὡς ἔτι καιρὸν ἔχομεν, ἀποστῶμεν τῆς κακίας, τὴν ἀρετὴν μεταδιώξωμεν, τῆς κενοδοξίας ὑπερίδωμεν. διὰ τοῦτο γὰρ καὶ κενὴ λέγεται, ἐπειδὴ διάκενός ἐστι καὶ οὐδὲν ἔχουσα βέβαιον, οὐδὲν μόνιμον, ἀλλ' ἀπάτη μόνον ὀφθαλμῶν τυγχάνει, πρὶν ἢ φανῆναι ἀφιπταμένη. ἢ οὐχ ὁρῶμεν τὸν σήμερον ὑπὸ τῶν ῥαβδούχων προπεμπόμενον, καὶ ὑπὸ τῶν δορυφόρων κυκλούμενον, C αὔριον πολλάκις δεσμωτήριον οἰκοῦντα καὶ μετὰ τῶν κακούργων στρεφόμενον; τί ταύτης τῆς κενῆς καὶ ματαίας δόξης ἀπατηλότερον; εἰ δὲ καὶ μὴ ἐν τῷ παρόντι τὰ τῆς μεταβολῆς αὐτὸν ἐκδέξηται, ὁ θάνατος πάντως ἐπελθὼν διέκοψε τὴν εὐημερίαν, καὶ ὁ σήμερον σοβῶν ἐπὶ τῆς ἀγορᾶς, καὶ εἰς δεσμωτήριον ἐμβάλλων, καὶ ἐπὶ τοῦ θρόνου καθήμενος, καὶ μεγάλα φυσῶν, καὶ τοὺς ἅπαντας ἀνθρώπους ὡς σκιὰς ὁρῶν ἀθρόον τῇ ἑξῆς κεῖται νεκρὸς ἄπνους, δυσωδίας ἐμπεπλησμένος, μυρίαις κατηγορίαις βαλλόμενος, ὑπὸ τῶν ἀδικηθέντων, ὑπὸ D τῶν μηδὲν ἀδικηθέντων, συναλγούντων τοῖς ἀδικηθεῖσι. τί τοῦ τοσούτου ἐλεεινότερον γένοιτ' ἄν; καὶ τὰ μὲν συλλεγέντα ἅπαντα πολλάκις ἐχθροὶ καὶ πολέμιοι πρὸς ἀλλήλους διενείμαντο· τὰ δὲ ἐκ τούτων ἐπισωρευθέντα αὐτῷ ἁμαρτήματα λαβὼν ἄπεισι, τὰς ὑπὲρ τούτων ἀπολογίας μετὰ πολλῆς ἀπαιτούμενος τῆς ἀκριβείας. διὸ παρακαλῶ φεύγοντες τὴν κενὴν ταύτην δόξαν τὴν ἀληθῆ ποθήσωμεν, καὶ διαιωνίζουσαν, καὶ μήτε χρημάτων ἔρως ἡμᾶς ὑποσκελιζέτω, μήτε ἐπιθυμίας φλὸξ κατακαιέτω, μήτε φθόνος καὶ βασκανία τηκέτω, μήτε θυμὸς ἐμπρησμὸν ἡμῖν ἀπεργαζέσθω.

A ἀλλὰ πάντα ταῦτα τὰ πονηρὰ καὶ ὀλέθρια πάθη τῇ δρόσῳ τοῦ πνεύματος κατασβέσαντες ὑπερίδωμεν τῶν παρόντων, ποθήσωμεν τὰ μέλλοντα, ἔννοιάν τινα λάβωμεν τῆς μελλούσης ἡμέρας, καὶ πολλὴν τοῦ βίου τὴν ἀκρίβειαν ἐπιδειξώμεθα. οὐ γὰρ διὰ τοῦτο εἰς τὸν βίον τοῦτον παρήχθημεν, ἵνα μόνον ἐσθίωμεν καὶ πίνωμεν. οὐ τὸ ζῆν διὰ τὸ φαγεῖν καὶ πιεῖν γέγονεν, ἀλλὰ διὰ τὸ ζῆν τὸ φαγεῖν καὶ πιεῖν. μὴ τοίνυν ἀντιστρέφωμεν τὴν τάξιν, μήτε ὡς δι' αὐτὸ γενόμενοι οὕτω τῇ γαστρὶ δουλεύωμεν, καὶ ταῖς τῆς σαρκὸς ἡδοναῖς, ἀλλὰ τὴν ἐντεῦθεν ἡμῖν τικτομένην βλάβην ἀναλογιζόμενοι κατασέλλωμεν τῆς σαρκὸς τὰ κινήματα, καὶ μὴ ῥαθυμῶμεν, μηδὲ B συγχωρῶμεν αὐτὴν κατεξανίστασθαι τῆς ψυχῆς. εἰ γὰρ Παῦλος ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ καθάπερ ὑπόπτερος τὴν οἰκουμένην καταδραμὼν ἅπασαν, καὶ τῶν σωματικῶν ἀνάγκης ἀνώτερος γεγονώς, καὶ τῶν ἀρρήτων ἐκείνων ῥημάτων ἀκοῦσαι καταξιωθείς, ὧν μέχρι τῆς σήμερον οὐδεὶς ἄλλος ἤκουσε γράφων ἔλεγεν· ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι· εἰ τοίνυν ἐκεῖνος ὁ τοσαύτης ἀξιωθεὶς χάριτος μετὰ τοσαῦτα καὶ τηλικαῦτα κατορθώματα ἐδεῖτο τοῦ ὑπωπιάζειν καὶ δουλαγωγεῖν καὶ ὑποτάττειν C τῇ τῆς ψυχῆς ἐξουσίᾳ καὶ ὑπὸ τὴν ταύτης ἀρχὴν εἶναι ποιεῖν τοῦ σώματος τὰ σκιρτήματα· ὑπωπιάζει γάρ τις τὸ κατεξανιστάμενον, καὶ δουλαγωγεῖ τὸ ἀφηνιάζον· τί ἂν εἴποιμεν ἡμεῖς οἱ πάντων ἔρημοι τῶν ἀγαθῶν, οἱ φορτίοις ἁμαρτημάτων βεβαρημένοι, καὶ πρὸς τούτοις πολλὴν τὴν ῥαθυμίαν ἐπιδεικνύμενοι; μὴ γὰρ ἀνακωχὴν ἔχει ὁ πόλεμος οὗτος; μὴ γὰρ καιρὸν ἐπιθέσεως κέκτηται; πάντοτε νήφειν καὶ ἐγρηγορέναι δεῖ, καὶ μηδέποτε ἐν ἀδείᾳ εἶναι· ἐπεὶ μηδέ ἐστι καιρὸς ὡρισμένος τῆς τοῦ πολεμοῦντος καὶ ἐπεμβαίνοντος ἡμῖν ἐπιθέσεως. D ἀεὶ τοίνυν φροντίζωμεν, ἀεὶ μεριμνῶμεν περὶ τῆς σωτηρίας τῆς ἡμετέρας, ἵνα οὕτω δυνηθῶμεν καὶ αὐτοὶ ἀνάλωτοι μεῖναι καὶ τὰς παρὰ τοῦ πολεμίου μηχανὰς διαφυγόντες τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα κράτος τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ſed has omnes malas & pernicioſas affectiones rore ſpiritus extinguentes, deſpiciamus præſentia, deſideremus futura, in memoria habeamus futurum diem, magnáque diligentia vitam inſtituamus. Neque enim hac de cauſa in hanc vitam nati ſumus, vt ſolum comedamus & bibamus. Non vita eſt propter cibum & potum, ſed propter vitam cibus & potus. Ne ergo inuertamus ordinem, neque ſic ventri & carnis voluptatibus ſeruiamus, quaſi eam ob cauſam facti ſimus: ſed reputantes damnum quod inde naſcitur, caſtigemus motus carnis: ne ſimus ſegnes, ne permittamus illis vt aduerſus animam inſurgant. Nam ſi Paulus ille talis & tantus, qui quaſi alatus per totum orbem tranſcurrebat, & corporalibus neceſſitatibus ſuperior factus, & arcanorvm illorum verborum auditor, quæ vſque in hunc diem alius audiuit nullus, ſcribens dicebat: Caſtigo corpus meum, & in ſeruitutem redigo, ne fortè aliis prædicans ipſe reprobus inueniar: Si igitur ille, cui tanta contigit gratia, poſt tanta & talia opera, opus habebat vt caſtigaret, & in ſeruitutem redigeret, & ſubiiceret poteſtati & dominio animæ corporis laſciuias: caſtigat enim quis quòd inſurgit, & in ſeruitutem redigit quòd fræna reiicit: quid dicemus nos, qui omnibus virtutibus deſtituti, omnibus peccati onerati ſumus: & præterea magnam ignauiam præ nobis ferimus? Num inducias habet hoc bellum? Num tempus aggrediendi dilatum? Omnes nos vigilare & ſobrios eſſe oportet, & nunquam in ſecuritate eſſe: quia non eſt præfinitum tempus quando nos aggreſſurus eſt hoſtis. Igitur ſemper nobis cura ſit, ſemper ſolliciti ſimus de ſalute noſtra, vt ſic nunquam capiamur: & hoſtiles effugientes inſidias, miſericordiam à Deo aſſequamur gratia & miſerationibus domini noſtri Ieſu Chriſti, cum quo patri, ſimul & ſancto Spiritui ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Vita nõ eſt propter cibum.

1. Cor. 9. 27.

A

HOMILIA XXIII.

Gen.6.8 *Noë autem inuenit gratiam coram domino Deo. Iſtæ autem ſunt generationes Noë. Noë homo iuſtus, perfectus exiſtens in generatione ſua: Deo placuit Noë.*

VIDISTIS in his quæ dicta ſunt, quanta diuinæ miſericordiæ magnitudo, quàm excellens longanimitas? Vidiſtis hominum qui tunc erãt, portentoſam malitiam? didiciſtis quanta fuerit in media tanta multitudine iuſti virtus, & quàm nihil ei nocuerit vel illorum in malum conſpiratio, vel quòd ſolus in medio iſtorũ interceptus, longè diuerſa inceſſerit via? Nam quaſi gubernator aliquis, mentis clauum magna vigilantia arripiens, nauim ſuam ab irruentibus malitię procellis ſubmergi non eſt paſſus: ſed factus tempeſtate potentior, licet in alto iactatus, quaſi in portu ſederet, quatiebat mare, virtutis gubernaculum dirigebat; & à diluuio totum orbem deuaſtaturo ſe eripiebat. Tanta res eſt virtus, tam immortalis, tam inuicta; tam nihil cedens huius vitæ varietatibus: ſed ſuper malitiæ retia volitans, quaſi è ſublimi ſpecula quadam, ſic omnia humana deſpicit, nihil quod aliis moleſtum eſt ſentit. Et ſicut is qui ſuper excelſam petram ſtat, fluctus ridet, quos videt ad petram magno impetu diſrumpi, ac protinus in ſpumam ſolui: ita & virtuti vacans in ſecuro conſtitutus loco, nihil inſuaue fert à rebus turbulentis, ſed tranquillus animo & quietus ſedet, intelligitque res huius vitæ nihil differre ab amnium fluentis, tam rapidò curſu tranſeuntibus. Nam ſicut videre licet maris fluctus nunc quidem in altum extolli, mox autem & deprimi: ita & videmus eos qui virtutem contemnunt, & malitiam operantur, nunc quidem ſublime ſapere, & ſupercilia ſurrigere, & huius

Ὁμιλία κγ.

Νῶε δὲ εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ. αὗται δὲ αἱ γενέσεις Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν πάσῃ τῇ γενεᾷ αὐτοῦ, τῷ θεῷ εὐηρέστησε Νῶε.

ΕἼδετε ἐν τοῖς ἤδη ῥηθεῖσιν, ὅσον τῆς φιλανθρωπίας τοῦ θεοῦ τὸ μέγεθος, καὶ πόση τῆς ἀνεξικακίας ἡ ὑπερβολή; εἴδετε τὴν τότε ἀνθρώπων τῆς κακίας
B τὴν ἐπίτασιν; κατεμάθετε ἐν μέσῳ τοσούτῳ πλήθει ὅση τοῦ δικαίου γέγονεν ἡ ἀρετή, καὶ ὅτι οὐδὲν αὐτὸν ἐλυμήνατο, οὐδὲ ἡ συμφωνία ἐκείνων ἐπὶ τὴν κακίαν ῥέπουσα, οὔτε τὸ μόνον ἐν μέσῳ τούτων ἀπειλῆφθαι, καὶ τὴν ἐναντίαν ὁδεύειν ὁδόν; καθάπερ γὰρ κυβερνήτης ἄριστος τοὺς τῆς διανοίας οἴακας μετὰ πολλῆς τῆς ἀγρυπνίας μεταχειριζόμενος οὐκ ἠφίει καταβαπτισθῆναι τὸ σκάφος ὑπὸ τῆς σφοδρότητος τῶν τῆς κακίας κυμάτων, ἀλλὰ ἀνώτερος τοῦ χειμῶνος γεγονώς, καὶ πελάγιος σαλεύων ὡς ἐν λιμένι καθήμενος οὕτω τῆς ἀρετῆς τὸ
C πηδάλιον ἰθύνων ἐκτὸς ἑαυτὸν κατέστησε τοῦ μέλλοντος κινδύνου τοὺς κατὰ τὴν οἰκουμένην ἅπαντας καταλήψεσθαι. τοιοῦτόν ἐστιν ἀρετή, πρᾶγμα ἀθάνατον καὶ ἀχείρωτον, οὐχ εἶκον ταῖς τοῦ παρόντος βίου ἀνωμαλίαις, ἀλλ᾽ ὑπεράνω τῶν τῆς κακίας δικτύων ἀφισταμένη, καθάπερ ἀφ᾽ ὑψηλῆς τινος σκοπιᾶς, οὕτως ἅπαντα τὰ ἀνθρώπινα καθορῶσα, οὐδενὸς ἐπαισθάνεται τῶν τοῖς ἄλλοις λυπηρῶν φαινομένων, ἀλλ᾽ ὥσπερ ὁ ἐπὶ πέτρας τινὸς ὑψηλῆς ἑστὼς καταγελᾷ τῶν κυμάτων, ἐπειδὰν ἴδῃ ταῦτα προσρηγνύμενα μὲν τῇ πέτρᾳ, εἰς
D ἀφρὸν δὲ εὐθὺς διαλυόμενα· οὕτω δὴ καὶ ὁ τὴν ἀρετὴν μετιὼν ἐν ἀσφαλεῖ χωρίῳ καθεστὼς οὐδὲν ἀηδὲς ὑπομένει ὑπὸ τῆς τῶν πραγμάτων ταραχῆς, ἀλλ᾽ ἐν ἡσυχίᾳ κάθηται τῇ τῶν οἰκείων λογισμῶν ἐντρυφῶν γαλήνῃ, καὶ ἐννοῶν ὡς οὐδὲν τῶν ποταμίων ῥευμάτων διενήνοχε τὰ τοῦ παρόντος βίου πράγματα μετὰ τοσαύτης εὐκολίας καὶ ῥύμης παρατρέχοντα. καθάπερ γάρ ἐστιν ἰδεῖν τὰ τῆς θαλάσσης κύματα νῦν μὲν εἰς ὕψος ἄφατον αἰρόμενα, ἀθρόον δὲ πάλιν ταπεινούμενα· τὸν αὐτὸν δὴ τρόπον καὶ τοὺς ἀρετῆς ἀμελοῦντας, καὶ τὴν κακίαν μετιόντας ὁρᾶν ἔστι, νῦν μὲν μεγαλοφρονοῦντας, καὶ τὰς ὀφρῦς ἀνασπῶντας, καὶ περὶ τὰ τοῦ παρόντος

βίου πράγματα ἐπτοημένους, ἀθρόον δὲ ταπεινουμένους καὶ εἰς ἐσχάτην ἐλαυνομένους πενίαν. τούτοις γὰρ καὶ ὁ μακάριος Δαβὶδ ὁ προφήτης αἰνιττόμενος ἔλεγε· μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. καὶ καλῶς εἶπε μὴ φοβοῦ, μή σε θορυβείτω φησὶν ἡ τοῦ πλούτου περιουσία, καὶ ἡ τῆς δόξης περιφάνεια. ὄψει γὰρ μετ' οὐ πολὺ χαμαὶ κείμενον, ἀνενέργητον νεκρὸν, ἐῤῥιμμένον, σκωλήκων γινόμενον τροφὴν, γυμνὸν τούτων ἁπάντων γινόμενον, καὶ οὐδὲν ὅλως μεθ' ἑαυτοῦ ἀπενεγκεῖν δυνηθέντα, ἀλλ' ἐνταῦθα ἅπαντα καταλιπόντα. μὴ τοίνυν τὰ παρόντα ἰδὼν ἀγωνιάσῃς, μηδὲ μακαρίσῃς τὸν μετὰ βραχὺν χρόνον ἐν ἐρημίᾳ τούτων μέλλοντα γίνεσθαι. τοιοῦτον γὰρ ἡ παροῦσα εὐημερία, καὶ ἡ τοῦ πλούτου φύσις, οὐ συναποδημεῖ τοῖς ἐντεῦθεν μεθισταμένοις, ἀλλ' ἐνταῦθα αὐτὴν ἅπασαν καταλιπόντες γυμνοὶ καὶ ἔρημοι ἀπίασι μόνην τὴν κακίαν περιβεβλημένοι, καὶ τὰ ἐκ ταύτης αὐτοῖς συλλεγέντα ἁμαρτημάτων φορτία. ἐπὶ δὲ τῆς ἀρετῆς τοιοῦτον οὐδὲν, ἀλλὰ καὶ ἐνταῦθα ἀνωτέρους τῶν ἐπιβουλευόντων καθίστησι, καὶ ἀναλώτους ἐργάζεται, καὶ διηνεκῆ τὴν ἡδονὴν χαρίζεται, καὶ οὐκ ἀφίησι τῆς τῶν πραγμάτων ἀνωμαλίας αἴσθησιν λαβεῖν, καὶ ἐντεῦθεν ἀποδημοῦσι συμμεθίσταται καὶ τότε μάλιστα, ὅτε χρήζομεν τῆς παρ' αὐτῆς συμμαχίας, καὶ κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν πολλὴν ἡμῖν παρέχει τὴν βοήθειαν, ἥμερον ἡμῖν καθιστῶσα τοῦ δικαστοῦ τὸ ὄμμα· καὶ καθάπερ ἐνταῦθα παρόντων τῶν δεινῶν ἀνωτέρους καθίστησι τῶν δεινῶν, οὕτω καὶ ἐν τῷ μέλλοντι ἐξαρπάζει τοὺς αὐτὴν ἐπιφερομένους τῶν κολαστηρίων ἐκείνων. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἔτι καὶ τῆς τῶν ἀποῤῥήτων ἀγαθῶν ἀπολαύσεως πρόξενος ἡμῖν γίνεται. καὶ ἵνα μάθῃς, ὅτι ταῦτα οὕτως ἔχει, καὶ οὐχ ἁπλῶς καὶ εἰκῇ ψυχαγωγοῦντες ὑμᾶς τούτοις κεχρήμεθα τοῖς ῥήμασιν, ἐκ τῶν νῦν προκειμένων δεῖξαι πειράσομαι τῇ ὑμετέρᾳ ἀγάπῃ. ὅρα γὰρ πῶς ὁ θαυμάσιος οὗτος ὁ Νῶε λέγω, παντὸς τοῦ τῶν ἀνθρώπων γένους εἰς τὴν κατ' αὐτῶν ἀγανάκτησιν ἐκκαλεσαμένου τὸν φιλάνθρωπον δεσπότην, οὗτος διὰ τῆς οἰκείας ἠδυνήθη ἀρετῆς καὶ τῆς ἀγανακτήσεως τὴν πεῖραν διαφυγεῖν, καὶ πολλὴν τὴν παρ' αὐτοῦ εὔνοιαν ἐφελκύσασθαι. καὶ εἰ βούλει τέως περὶ τῶν ἐν παρόντι βίῳ διαλεχθῶμεν. ἴσως γάρ τινες τοῖς μέλλουσι καὶ μὴ

vitæ curis intentos eſſe, ſubito verò ad extremam venire inopiam & abiectionem. Quos beatus Dauid notans, dicebat: Ne timueris cum diues factus fuerit homo, vel cum multiplicatur gloria domus eius: quia cum mortuus fuerit, non ſumet omnia hæc. Et bene dixit, Ne timueris. (Pſal. 48. 17.) Ne te conturbet, dicere vult, diuitis abundantia & celebris gloria. Videbis enim non multò pòſt humi iacentem, & operari valentem nihil, mortuum cadauer vermibus in cibos obiectum, nudúmque his omnibus factum. Omnino enim nihil horum ſecum auferre poteſt, ſed hîc relinquet omnia. Ne igitur anxius ſis, cum videris præſentia: neque beatum dicas eum, qui poſt breue tempus ab his omnibus deſtituetur. Eiuſmodi enim eſt præſens fœlicitas, & diuitiarum natura, vt non commigrent, vbi hinc fuerit abeundum. Diuites enim his omnibus relictis, nudi hinc migrant, tantum malitia veſtiti, & peccatorum oneribus inde collectis. At longè ſecus habet virtus, quæ hîc quoque potentior eſt inſidiatoribus, & planè inuictos facit ſuos, continuámque præbet voluptatem, & ne ſentire quidem ſinit rerum iſtarum inæqualitatem: ſed & hinc emigrantibus comitem ſe addit, & tunc potiſſimum, cùm eius ſubſidio egemus, ad hæc in die illo terribili magnum nobis præſtat auxilium, placans iudicem: & ſicut hîc ab ingruentibus infortuniis, ita & in futuro ſe colentes à tormentis illis eripit. Neque hoc ſolum agit, ſed & ineffabilia nobis bona, quibus fruamur, conciliat. Et vt ſcias hæc ita ſeſe habere, neque nos in vanum & fruſtra ad blandiendum his verbis vti: tentabo nunc ex his quæ propoſita ſunt charitati veſtræ id oſtendere. Vide enim quomodo beatus ille, Noë dico, vniuerſo hominum genere aduerſus ſemetipſum miſericordiam Domini ad iracundiam prouocante: ille inquam ſolus ſua virtute potuit & indignationis periculum effugere, & magnam Dei gratiam ſibi conciliare. Aut ſi placet, loquamur de his, quæ in præſenti vita eueniunt. Sunt enim fortaſſis aliqui parum futuris & inuiſi-

bilibus credentes. Videamus itaque ex his quæ hic fiunt, qualia contingunt his qui in malitia ambulant, & qualia accipit, qui virtutem ſectatur. Poſtquam enim bonus Deus ob malitiæ nimietatem ſententiam tulit, quòd vniuerſali perditione humanum genus ſit puniendum, & dixit: Delebo hominem, quem feci, à facie terræ: & monſtrans indignationis ſuæ magnitudinem, non contra humanum duntaxat genus ſententiam protulit: ſed & contra omnia iumenta, & reptilia, & volatilia: Perituris enim & ſubmergendis hominibus, propter quos hæc facta ſunt, dignum fuit, vt & illa quoque pœnæ conſortio paria fierent: Igitur cum ſententia nondum præfinita eſſet, qua alij ab aliis ſecernebantur, vt diſcas, quàm non ſit perſonarum acceptor Deus, ſed in corda noſtra ingrediens nullum deſpiciat, & ſi vel paruam quandam occaſionem nos afferamus, ineffabilem ſuam declarat miſericordiam, & vt ne totum genus humanum abolendum putemus: ſed ſciamus, quòd ob ſuam bonitatem relinquat ſcintillam & radicem quandam ſaluam, vt iterum humanum genus in proceros extendi poſſit ramos: *Noë autem*, inquit, *inuenit gratiam coram domino Deo.* Vide ſcripturæ diligentiam, quomodo ne ſyllabam quidem vnam inutilem contineat. Nam poſtquam nos docuit grauitatem peccati hominum, & pœnæ magnitudinem malis inferendam: docet nos de eo qui tanta multitudine potuerit ſynceram ſeruare virtutem. Eſt enim virtus etiam per ſeipſam admirabilis Quòd ſi verò quis illam in medio prohibentium colat, multò admirabiliorem ſe oſtendit. Et propterea diuina ſcriptura quaſi admirando iuſtum dicit, quòd in medio illorum qui indignationem Dei ſenſuri erant, Noë inuenerit gratiam coram domino Deo. Inuenit gratiam, ſed coram Deo: non ſimpliciter inuenit gratiam, ſed coram domino Deo: vt nos doceat, quòd vnum ille habuerit ſcopum, vt ab illo oculo laudaretur, qui dormitare ſopirique neſcit, nihílque curauerit humanam gloriam, vel ignominiam, vel irriſionẽ. Veriſimile enim

A ὁρωμένοις διαπιστοῦσιν. εἴδωμεν τοίνυν ἐκ τῶν ἐνταῦθα γινομένων, τίνα μὲν τοὺς περὶ τὴν κακίαν αὐτομολήσαντας διεδέξατο, τίνων δὲ ὁ τὴν ἀρετὴν ἑλόμενος ἠξιώθη. ἐπειδὴ γὰρ διὰ τὴν πολλὴν τῆς κακίας ἐπίτασιν ἀπεφήνατο ὁ ἀγαθὸς θεὸς πανωλεθρίᾳ τὸ τῶν ἀνθρώπων γένος καταδικάσαι εἰπὼν, ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, καὶ δεικνὺς τῆς ἀγανακτήσεως αὐτοῦ τὴν ὑπερβολὴν, οὐ κατὰ τῶν ἀνθρώπων γένους μόνον τὴν ἀπόφασιν ἐξήνεγκεν, ἀλλὰ καὶ κατὰ πάντων τῶν κτηνῶν, καὶ τῶν ἑρπετῶν, καὶ τῶν πετεινῶν· τῶν γὰρ ἀνθρώπων δι' οὓς ταῦτα παρήχθη
B ἀπόλλυσθαι μελλόντων, καὶ ὑποβρυχίων γίνεσθαι, εἰκότως καὶ ταῦτα τῆς τιμωρίας συναπήλαυσεν· ἐπειδὴ οὖν ἡ ἀπόφασις ἀόριστος ἦν, καὶ οὐδεμίαν ἔχουσα διαίρεσιν, ἵνα μάθῃς τὸ ἀπροσωπόληπτον τοῦ θεοῦ, καὶ ὅτι ταῖς καρδίαις ἡμετέραις ἐμβατεύων οὐδένα παρορᾷ, ἀλλὰ κἂν μικράν τινα ἀφορμὴν εὕρῃ παρ' ἡμῶν εἰσφερομένην, ἄφατον αὐτοῦ ἐπιδείκνυται τὴν φιλανθρωπίαν, φησὶν ἡ γραφὴ, ἵνα μὴ νομίσωμεν ὅτι παντελὴς ἀφανισμὸς γίνεται τοῦ τῶν ἀνθρώπων γένους, ἀλλὰ γνῶμεν, ὅτι διὰ τὴν οἰκείαν αὐτοῦ ἀγαθό-
C τητα ἀφίησι σπινθῆρά τινα σώζεσθαι καὶ ῥίζαν τοῦ τῶν ἀνθρώπων γένους, ὥστε πάλιν εἰς μακροὺς ἐκταθῆναι κλάδους· Νῶε δέ φησιν εὗρε χάριν ἐναντίον τοῦ θεοῦ. σκόπει τῆς γραφῆς τὴν ἀκρίβειαν, ὅπως οὐδὲ τὴν τυχοῦσαν συλλαβήν ἐστιν εὑρεῖν ἁπλῶς κειμένην. ἐπειδὴ γὰρ ἐδίδαξεν ἡμᾶς τὴν ὑπερβολὴν τῆς κακίας τῶν ἀνθρώπων καὶ τῆς τιμωρίας τὸ μέγεθος τῆς μελλούσης ἐπάγεσθαι τοῖς ταύτης ἐργάταις, διδάσκει ἡμᾶς καὶ τὸν ἐν τοσούτῳ πλήθει δυνηθέντα τὴν ἀρετὴν ἀκέραιον διασῶσαι. ἔστι μὲν γὰρ καὶ καθ' ἑαυτὴν ἡ ἀρετὴ θαυμαστή. ὅταν
D δὲ καὶ ἐν μέσῳ τῶν κωλυόντων τυγχάνων τις ταύτην μετίῃ, πολλῷ μᾶλλον θαυμαστοτέραν αὐτὴν ἀποφαίνει. διὰ τοῦτο ὥσπερ θαυμάζουσα τὸν δίκαιον ἡ θεία γραφή φησιν, ὅτι μεταξὺ τῶν τοσούτων διὰ τὴν κακίαν μελλόντων ἀγανακτήσεως πειρᾶσθαι, Νῶε δὲ εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ. εὗρε χάριν, ἀλλ' ἐναντίον τοῦ θεοῦ, οὐχ ἁπλῶς εὗρε χάριν, ἀλλ' ἐναντίον κυρίου τοῦ θεοῦ· ἵνα ἡμᾶς διδάξῃ ὅτι ἕνα τούτων εἶχε τὸν σκοπὸν, ὥστε τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν ἐπαινέτην ἔχειν, καὶ οὐδεὶς αὐτῷ λόγος τῆς τῶν ἀνθρώπων δόξης, οὐδὲ τῆς ἀτιμίας, καὶ τοῦ γέλωτος. Εἰκὸς γὰρ

αὐτὸν ἀπεναντίας ἅπασι τὴν ἀρετὴν μετιέναι A βουλόμενον πολλὴν ὑπομένειν τὴν χλεύην καὶ τὸν γέλωτα πάντων τῶν τὴν κακίαν μετιόντων εἰωθότων ἀεὶ σκώπτειν τοὺς ταύτην φεύγειν βουλομένους, καὶ ἀρετὴν αἱρουμένους, ὅπερ καὶ νῦν πολλάκις γίνεται, καὶ πολλοὺς τῶν ῥαθυμοτέρων ὁρῶμεν μὴ φέροντας τὸν γέλωτα, καὶ τὴν χλευασίαν, ἀλλὰ προτιμῶντας τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τῆς ἀληθοῦς, καὶ ἀεὶ μενούσης, ὑποσυρομένους καὶ συγκαταπιπτομένους τῇ τῶν ἑτέρων ἀνθρώπων κακίᾳ. ψυχῆς γάρ ἐστι γενναίας καὶ στερρῷ τῷ φρονήματι κεχρημένης τὸ δυνηθῆναι ἀντέχειν πρὸς τοὺς διασύρειν βουλομένους, καὶ μὴ πρὸς ἀρέσκειν τῶν ἀνθρώπων τι διαπράττεσθαι, B ἀλλὰ πρὸς τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν τείνειν τὸ ὄμμα, καὶ τὴν παρ' ἐκείνου εὐφημίαν μόνου ἀναμένειν, καὶ τούτων ὑπερορᾷν, καὶ μηδὲν ἡγεῖσθαι αὐτῶν τὸν ἔπαινον μήτε τὸν ψόγον, ἀλλὰ καθάπερ σκιὰς καὶ ὀνείρατα παρατρέχειν. καὶ ἐνταῦθα μὲν πολλοὶ πολλάκις τὴν ὕβριν οὐ φέροντες δέκα ἢ εἴκοσι ἀνθρώπων ἢ καὶ ἐλαττόνων ὑπεσκελίσθησαν καὶ κατέπεσον. ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν. οὐδὲ γὰρ τὸ τυχὸν ἐστὶν ὑπεριδεῖν τῶν ὀνειδιζόντων, καὶ καταγελώντων, καὶ κωμῳδεῖν βουλομένων. ἀλλ' ὁ δίκαιος οὗτος οὐχ οὕτως. οὐ μόνον γὰρ δέκα καὶ εἴκοσι καὶ ἑκατὸν ἀνθρώπων, C ἀλλὰ καὶ πάσης τῆς τῶν ἀνθρώπων φύσεως, καὶ μυριάδων τοσούτων ὑπερεῖδεν. εἰκὸς γὰρ ἅπαντας αὐτοῦ καταγελᾶν, κωμῳδεῖν, χλευάζειν, πολλὴν τὴν παροινίαν περὶ αὐτὸν ἐπιδείκνυσθαι. ἴσως δὲ ἂν καὶ βούλεσθαι διασπᾶν, εἰ οἷόν τε ἦν. πολλὴν γὰρ ἀεὶ τὴν μανίαν ἐπιδείκνυται ἡ κακία κατὰ τῆς ἀρετῆς. ἀλλ' οὐ μόνον οὐδὲν αὐτὴν βλάπτει, ἀλλὰ καὶ τὸ πολεμεῖν ἰσχυροτέραν αὐτὴν ἀπεργάζεται. τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχὺς, ὅτι ἐν τῷ πάσχειν τῶν τοιούτων περιγίνεται, καὶ ἐν τῷ πολεμεῖσθαι τῶν πολεμούντων ἀνωτέρα καθίσταται. καὶ τοῦτο ἔνεστι μὲν ἐκ πολλῶν συνιδεῖν· ἵνα δὲ ἀφορμὰς ὑμῖν παράσχωμεν· δίδου γάρ φησι σοφῷ ἀφορμὴν, D καὶ σοφώτερος ἔσται. ἀναγκαῖον καὶ ἐκ τῆς παλαιᾶς καὶ ἐκ τῆς καινῆς τὰ παραδείγματα ὑμῖν παραγαγεῖν. ἐννόει μοι τοίνυν τὸν Ἄβελ, οὐχὶ ἀνῃρέθη ὑπὸ τοῦ Κάϊν; οὐχὶ ἐπὶ τοῦ ἐδάφους ἦν ἐρριμμένος; ἀλλὰ μὴ τοῦτο σκόπει, ὅτι ἐκράτησε καὶ περιεγένετο, καὶ ἀνεῖλε τὸν φθονούμενον, καὶ οὐδὲν ἠδικηκότα· ἀλλὰ τὰ μετὰ ταῦτα λογίζου, ὅτι ἀναιρεθεὶς, ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἀνακηρύττεται, καὶ στεφανοῦται, καὶ ὁ τοσοῦτος χρόνος τὴν μνήμην οὐκ ἐμάρανεν· ὁ δὲ ἀνελὼν καὶ περιγενόμενος, καὶ τότε ζωὴν θανάτου βαρυτέραν ὑπέ-

eſt, cum præter morem omnium virtutem coleret, eum fuiſſe ſubſannatum & irriſum à malis omnibus, qui conſueuerant arguere ſuam fugientes malitiam, & virtutem amplexantes: id quod & nunc ſæpe fieri ſolet. Et videmus multos qui riſum & ſubſannationem ferre nequeunt, ſed præferunt humanam gloriam veræ & immortali, abſtracti & allecti ab aliorum hominum malitia. Animæ enim fortis & conſtantis eſt, poſſe obluctari his qui auellere moliuntur, & nihil facere vt hominibus placeat: ſed oculum ſuum intendere ad illum inſopitnm oculum, & ab eo ſolum gloriam expectare, & iſtorum gloriam deſpicere, nulliúſque pili facere humanam laudem vel conuicia, ſed pertranſire vt vmbras & ſomnia. Iam hic ſæpe multi non ferentes iniurias decem aut viginti hominum vel etiam pauciorum, ſupplantantur & ruunt. Eſt enim confuſio ducens in peccatum. Neque paruum eſt deſpicere irridentes & opprobrãtes & ſalibus inceſſentes: at iuſtus ille non tantum decem & viginti & centum homines, ſed & omnem hominum naturam & tot myriades deſpexit. Veriſimile enim omnes illos ridere, reprehendere, ſubſannare, & debacchari: & fortè etiam, ſi poſſibile fuiſſet, dilacerare voluiſſe. Semper enim contra virtutem inſanit malitia. Atqui non ſolum nihil illi nocet, ſed & infeſtando fortiorem reddit. Tantum enim virtutis robur, vt patiendo ſuperet negocium ſibi facientes, & cum impugnatur, hoſtibus fiat potentior. Atque id in multis videmus. Cæterum vt vobis occaſiones præbeamus: Da enim, inquit, ſapienti occaſionem, & ſapientior erit: operæprecium fuerit & ex veteri & ex nouo teſtamento ſcripturæ vobis afferre exempla. Itaque cogita, obſecro te: Abel nónne occiſus eſt ab Cain? nónne in pauimẽtum proſtratus? Sed ne ſpectes quòd preualuerit, occideritque eum cui inuidebat, etiam innoxium, ſed ſequẽtia expende. Ecce occiſus ille vſque nunc prædicatur & coronatur, & tantum tempus memoriam non obſcurat. At qui occidebat & præualebat, etiam tunc vitam morte grauiorem ſuſtinuit:

Eccli. 4. 25.

Prouer. 9. 9.

Geneſ. 4.

& ex eo tempore vſque in hodiernũ infamatur, & ab omnibus accuſatur, cùm ille quotidie omnium ore celebretur. Et hæc quidem in præſenti vita fiunt: quæ autem in futuro ſeculo contingent, quis ſermo, quæ mens enarrare poſſet? Ac ſcio quidẽ quòd vos, vtpote intellectu præditi, multa talia in ſcripturis cõtenta reperietis. Nam illę hac de cauſa in veſtrã vtilitatem ſunt ſcriptæ, vt hæc diſcentes, malitiam quidem fugiatis, virtutem autẽ colatis. Vis & in nouo teſtamẽto idipſum videre? Audi beatum Lucam iſtucipſum de apoſtolis narrantem, qui flagellati à concilio diſceſſerunt gaudentes, eò quòd digni fuiſſent habiti qui pro nomine Chriſti ferrent ignominiam. Tametſi flagella non gaudij ſint occaſiones, ſed triſtitiæ & mœroris: nihilominus flagella propter Deum, & cauſa propter quam flagellabantur, gaudium eis pariebant. At ij qui flagellarant, in magna animi conſternatione & hæſitatione neſciebant quid facerent. Audi enim illos quomodo poſt flagellationem animo fluctuent, & dicunt: Quid faciemus hominibus iſtis? Quid dicis? flagellaſtis, innumeris malis eos affeciſtis, & adhuc dubitatis? Tam fortis inuictáque res eſt virtus, & dum patitur, affligẽtes vincit. Sed ne prolixior fiat ſermo, neceſſarium fuerit, vt iterum ad iuſtum noſtrum redeamus, & cum ſtupore admiremur illius præſtantiam, quomodo tantum populum ridentẽ, ludificantem, ſubſannantẽ, obiurgantẽ (iterum enim eadem dico & dicere nõ ceſſabo) deſpicere & ſuperare potuerit. Quomodo? Ego dico. Quia continuo ad oculũ illum, qui falli ſopirique nequit, reſpexit, ad hunc ſuæ mentis oculum direxit, atque poſtea hæc omnia quaſi non eſſent curauit. Et profecto ſic ſe res habet, vt cũ quis hoc amore ſaucius fuerit, & in Deũ deſiderio ſuo tendat, nihil viſibilium videat: ſed continuo eum quem deſiderat imaginetur, & in nocte & in die, & cubans & ſurgens. Ne igitur mirum tibi ſit, ſi & iuſtus ille ſemel eò mente ſua intenta, non curauit eos qui ſupplantare ipſum conabantur. Nam adhibito ſtudio ſuo, & diuinam gratiam nactus, his omnibus

Act. 5. 41.

Act. 4. 16.

A καὶ ἐξ ἐκείνου μέχρι τοῦ νῦν οὗτος μὲν στηλιτεύεται, καὶ τὰς παρὰ πάντων κατηγορίας δέχεται, ἐκεῖνος δὲ καθ' ἑκάστην ἡμέραν ἐν τοῖς πάντων ᾄδεται στόμασι. καὶ ταῦτα μὲν ἐν τῷ παρόντι βίῳ· τὰ δὲ ἐν τῷ μέλλοντι αἰῶνι ποῖος λόγος, ποία διάνοια παραστῆσαι δυνήσεται; καὶ οἶδα μὲν ὅτι συνετοὶ ὄντες πολλὰ καὶ διάφορα τοιαῦτα εὑρήσετε ἐν ταῖς γραφαῖς κείμενα. διὰ γὰρ τοῦτο γέγραπται πρὸς ὠφέλειαν τὴν ἡμετέραν, ὥστε ταῦτα μανθάνοντας φεύγειν μὲν τὴν κακίαν, περιϊμᾶν δὲ τὴν ἀρετήν. βούλει καὶ ἐν τῇ καινῇ τὸ αὐτὸ τοῦτο ἰδεῖν; ἄκουε τοῦ μακαρίου Λουκᾶ τὸ αὐτὸ τοῦτο διηγουμένου περὶ B τῶν ἀποστόλων, ὅτι μαστιγωθέντες ἀνεχώρουν ἀπὸ τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος Χριστοῦ ἀτιμασθῆναι. καίτοιγε οὐ χαρᾶς ἦσαν ἀφορμαὶ, ἀλλὰ λύπης καὶ ἀθυμίας· ἀλλὰ διὰ τὸν θεὸν μάστιγες καὶ ἡ ὑπόθεσις, δι' ἣν ἐμαστίζοντο τὴν χαρὰν αὐτοῖς ἔτικτε, καὶ οἱ μὲν μαστιγώσαντες ἐν ἀπορίᾳ πολλῇ, καὶ ἀμηχανίᾳ καθειστήκεισαν, οὐκ εἰδότες ὅ τι πράξωσιν. ἄκουε γὰρ αὐτῶν καὶ μετὰ τὰς μάστιγας διαπορούντων, καὶ λεγόντων· τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; τί λέγεις; ἐμαστίξατε, μυρία C κακὰ διέθηκατε, καὶ ἔτι ἀπορεῖτε; τοσοῦτόν ἐστιν ἰσχυρὸν πρᾶγμα καὶ ἀχείρωτον ἡ ἀρετὴ, καὶ ἐν αὐτῷ τῷ πάσχειν τῶν ποιούντων περιγινομένη. ἀλλ' ἵνα μὴ μακρὸν ποιῶμεν τὸν λόγον, ἀναγκαῖον πάλιν ἐπανελθεῖν ἐπὶ τὸν δίκαιον τοῦτον, καὶ ἐκπλαγῆναι αὐτοῦ τῆς ἀρετῆς τὴν ὑπερβολὴν, πῶς ἴσχυσε τοῦτο δήμου καταγελῶντος, ἐπεμβαίνοντος, χλευάζοντος, κωμῳδοῦντος· πάλιν γὰρ τὰ αὐτὰ λέγω, καὶ λέγων οὐ παύσομαι· ὑπεριδεῖν, καὶ ἀνώτερος γενέσθαι. πῶς, ἐγὼ λέγω. ἐπειδὴ διηνεκῶς ἑώρα πρὸς τὸν ἀκοίμητον D ὀφθαλμὸν, ἐκεῖ τεταμένον εἶχε τῆς διανοίας τὸ ὄμμα, καὶ λοιπὸν τούτων ἁπάντων ὡς οὐδὲν ὄντων ἐφρόντιζε. καὶ γὰρ οὕτως ἔχει. ἐπειδὰν γάρ τις τρωθῇ τῷ ἔρωτι ἐκείνῳ, καὶ εἰς τὸν πρὸς τὸν θεὸν πόθον ἑαυτὸν ἐκτείνῃ, οὐδὲν ἕτερον ὁρᾷ τῶν ὁρωμένων, ἀλλὰ διηνεκῶς ἐκεῖνον φαντάζεται τὸν ποθούμενον καὶ ἐν νυκτὶ, καὶ ἐν ἡμέρᾳ, καὶ κοιταζόμενος, καὶ διανιστάμενος. μὴ τοίνυν σε ξενιζέτω, εἰ καὶ ὁ δίκαιος οὗτος ἅπαξ ἐκτείνας αὐτοῦ τὴν διάνοιαν, οὐδενὸς ἐφρόντιζε τῶν ὑποσκελίζειν ἐπιχειρούντων. τὰ γὰρ παρ' ἑαυτοῦ ἐπιδειξάμενος, καὶ τὴν ἄνωθεν χάριν ἐπισπασάμενος ἀνώτερος πάντων

ἐγένετο

Νῶε γὰρ φησὶν εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ. εἰ καὶ πάσῃ τῇ τῶν τότε ἀνθρώπων φύσει οὐκ ἦν ἐπίχαρις, οὐδὲ ποθεινός, διὰ τὸ μὴ βούλεσθαι τὴν αὐτὴν αὐτοῖς ὁδεύειν ὁδόν, ἀλλὰ πρὸς ἐκεῖνον τὸν τὰς καρδίας ἐμβατεύοντα χάριν εὗρε, καὶ ἐκεῖνος αὐτοῦ τὴν γνώμην ἀπεδέξατο. τί γὰρ εἰπέ μοι βλάβος ἐντεῦθεν ἐγένετο ἀπὸ τῆς τῶν ὁμογενῶν χλεύης, καὶ τοῦ καταγέλωτος τοῦ πλάσαντος τὰς καρδίας ἡμῶν, καὶ συνιέντος εἰς πάντα τὰ ἔργα ἡμῶν ἀνακηρύττοντος τὸν ἄνδρα καὶ στεφανοῦντος; τί δ' ὄφελος ἀνθρώπῳ γένοιτ' ἂν παρὰ πάσης τῆς οἰκουμένης θαυμαζομένῳ, καὶ ἐπαινουμένῳ, παρὰ δὲ τοῦ τῶν ὅλων δημιουργοῦ καὶ τοῦ ἀπαραλογίστου δικαστοῦ ἐπὶ τῆς ἡμέρας ἐκείνης τῆς φοβερᾶς κρινομένῳ; ταῦτα τοίνυν εἰδότες ἀγαπητοὶ μηδένα λόγον ποιώμεθα τοῦ παρὰ τῶν ἀνθρώπων ἐπαίνου, μηδὲ τὴν παρὰ τούτων εὐφημίαν ἐκ παντὸς τρόπου ζητῶμεν, ἀλλὰ καὶ δι' ἐκεῖνον μόνον τὸν ἐτάζοντα καρδίας καὶ νεφροὺς καὶ τὰ τῆς ἀρετῆς ἔργα μετίωμεν, καὶ τὴν κακίαν φεύγωμεν. διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς παιδεύων ἡμᾶς μὴ κεχηνέναι πρὸς τὰς παρὰ τῶν ἀνθρώπων εὐφημίας, μετὰ πολλὰ ἕτερα τελευταῖον καὶ τοῦτο ἐπήνεγκε λέγων· οὐαὶ ὑμῖν, ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι. σκόπει πῶς διὰ τοῦ οὐαὶ ἡμῖν ἐνεφάνισε, ποταπὴ τοῖς τοιούτοις κείσεται τιμωρία. τὸ γὰρ οὐαὶ τοῦτο θρηνῶδές ἐστιν ἐπίφθεγμα. μονονουχὶ γὰρ ταλανίζων αὐτούς φησιν, οὐαὶ ὑμῖν ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι. καὶ ὅρα τοῦ ῥητοῦ τὴν ἀκρίβειαν. οὐκ εἶπεν ἁπλῶς οἱ ἄνθρωποι, ἀλλὰ πάντες οἱ ἄνθρωποι. οὐδὲ γὰρ οἷόν τε τὸν ἐνάρετον, καὶ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν ὁδεύοντα, καὶ ταῖς ἐντολαῖς τοῦ Χριστοῦ κατακολουθοῦντα παρὰ πάντων ἀνθρώπων ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι. πολλὴ γὰρ τῆς κακίας ἡ ἐπίτασις καὶ ἡ πρὸς τὴν ἀρετὴν ἐναντίωσις. εἰδὼς οὖν ὁ δεσπότης, ὅτι τὸν μετ' ἀκριβείας τὴν ἀρετὴν μετιόντα, καὶ τὸν παρ' αὐτοῦ μόνον ἐκδεχόμενον ἔπαινον τῶν ἀδυνάτων ἂν εἴη παρὰ πάντων ἀνθρώπων ἐπαινεῖσθαι, καὶ καλῶς ἀκούειν, διὰ τοῦτο ταλανίζει τοὺς διὰ τὸν παρὰ τούτων ἔπαινον τῆς ἀρετῆς ἀμελοῦντας. ἡ γὰρ παρὰ πάντων εὐφημία τεκμήριον ἂν εἴη μέγιστον τοῦ μὴ πολὺν τῆς ἀρετῆς λόγον ποιεῖσθαι. πῶς γὰρ παρὰ πάντων ἐπαινεθείη ὁ ἐνάρετος, εἰ βούλοιτο τοὺς ἀδικουμένους ἐξαρπάζειν τῶν ἀδικούντων τοῖς ἐπηρεαζομένοις τῶν κακῶς ποιεῖν βουλομένων;

A Noë enim, inquit, inuenit gratiam coram domino Deo. Tametſi omni hominum generi, quod tunc erat, non eſſet gratus, neque amabilis, eò quòd nolebat eandem incedere viam, quam illi: fauit tamen illi is qui corda ſcrutatur, qui & illius mentem approbauit. Et quid damni, dic oro, hinc naſcitur viro, quòd ab hominibus ſubſannatur & irridetur: cùm is qui finxit corda hominum, & intelligit omnia opera eorum, prædicat illum & coronat? Et quæ vtilitas homini, ſi ipſum totus orbis apmiretur & laudet: conditor B autem omnium, & iudex qui decipi nequit, in die illo terribili condemnaturus ſit? Itaque dilecti, cùm hæc nobis comperta ſint, nullius penſi faciamus hominum laudem, neque ab illis celebrari quouis modo quæramus: ſed propter illum ſolum, qui probat corda & renes, virtutis opera faciamus, & peccata fugiamus. Nam & Chriſtus erudiens nos, vt ne captandis hominum laudibus inhiemus, poſt multa alia tandem & hoc intulit, dicens: Væ vobis quando C benedixerint vobis omnes homines. Conſidera quomodo per Væ nobis declarat quotuplex illos pœna maneat. Væ enim lamenti nuncium verbum eſt. Vnde quaſi miſeros eos vocans, dicit: Væ vobis, quando benedixerint vobis omnes homines. Et vide quàm cautè dictum. Non ſimpliciter dixit, homines: ſed, omnes homines. Impoſſibile enim eſt, vt qui anguſtam & arctam virtutis viam ambulat, & mandata ſequitur Chriſti, ab omnibus laudetur, & in admiratione ſit. Eſt enim & D illa excellens malitia, virtuti aduerſari. Proinde Dominus ſciens quòd impoſſibile ſit, vt is qui virtutem diligenter exercet, & ab ipſo tantum laudem vt accipiat præſtolatur, ab omnibus hominibus laudetur, & bene audiat: miſeros vocat eos, qui propter humanam laudem virtutem negligunt. Nam celebrari ab omnibus, maximum fuerit argumentum non magnam haberi virtutis rationem. quomodo enim ab omnibus probari poterit vir bonus, ſi vult iniuria affectos eripere ab his qui iniuria afficiunt?

Lucæ 6. 26.

Laudari Chriſtianus ab omnibus nequit.

A & iterum ſi vult corrigere peccantes, & laudare bene agentes, nonne veriſimile eſt, quòd ab aliis laudabitur, ab aliis verò audiet conuicia? Et propterea inquit: Væ vobis quando vobis benedixerint omnes homines. (Lucæ 6. 26.) Quomodo igitur non erit admiratione & laude dignus iuſtus iſte, qui ea quæ Chriſtus adueniens docuit, prius ipſe à lege naturæ edoctus, deditiſſima opera adimpleuit, laudémque humanam per virtutem cõtemnendo, gratiam apud Deum inuenire ſtuduit? Noë enim, inquit, inuenit gratiam coram domino Deo. Cæterùm quòd propter virtutes, quas habebat, inuenerit gratiam coram domino Deo, narrauit nobis admirabilis ille propheta, Spiritu ſancto afflatus: operæprecium itaque vt & ſequentia diſcamus, & videamus quid de illo ſentiat. *Iſtæ autem*, inquit, *ſunt generationes Noë. Noë homo iuſtus, perfectus in generatione ſua: Deo placuit Noë.* Rarus & nouus genealogiæ modus: nam vt ſcriptura dixit, Iſtæ ſunt generationes Noë: & aures noſtras excitauit, quaſi genealogiam illius narratura, & quis eius pater fuerit, & vnde genus duxerit: & quomodo in hanc vitam editus, & alia cuncta quæ mos eſt genealogias narrantibus recenſere: relictis tamen illis omnibus, & aliorum conſuetudinem ſuperans, inquit: Noë homo iuſtus, perfectus in generatione ſua: Deo placuit Noë. Vidiſti admirabilem genealogiam? Noë, inquit, homo: vide etiam naturæ commune nomen pro laude iuſti vſurpatum. Nam quia cæteri ob carnales voluptates, quibus immerſi erant, amiſerant eſſe homines; iſte, inquit, in tanto populo hominis imaginem ſeruauit. Tunc enim homo eſt, quando virtutem colit. Neque enim ſpeciem habere hominis, & oculos, & nares, & os, & genas, & cætera membra, hominem eſſe oſtendunt. Hæc enim membra ſunt corporis. Hominem illum dicimus, qui imaginem hominis ſaluam retinet. Quæ autem eſt imago hominis? rationalem eſſe. Quid ergo? an non & illi fuerunt rationales? Verùm non hoc ſolum fuerit hominem eſſe, ſed & virtutibus eſſe deditum,

πάλιν εἰ βούλοιτο διορθοῦν τοὺς ἁμαρτάνοντας, καὶ ἐπαινεῖν τοὺς κατορθοῦντας, οὐκ εἰκὸς τοὺς μὲν ἐπαινεῖν, τοὺς δὲ ψέγειν; διὰ τοῦτό φησιν, οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι. πῶς οὖν οὐκ ἄξιον θαυμάζειν καὶ ἐκπλήττεσθαι τὸν δίκαιον τοῦτον, ὅτι ἅπερ ὁ Χριστὸς παραγενόμενος ἐδίδασκε, ταῦτα παραλαβὼν ἀπὸ τοῦ ἐν τῇ φύσει ἐγκειμένου νόμου παιδευθεὶς μετὰ πολλῆς μετῄει τῆς ὑπερβολῆς, καὶ τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον ἀποπεμψάμενος διὰ τῆς τῶν βεβιωμένων ἀρετῆς τὴν παρὰ τῷ θεῷ χάριν εὑρεῖν ἐσπούδαζε; Νῶε γάρ φησιν εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ. B ἀλλ᾽ ὅτι μὲν διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ, διηγήσατο ἡμῖν ὁ μακάριος οὗτος προφήτης ἐνηχούμενος ὑπὸ τοῦ ἁγίου πνεύματος· ἀναγκαῖον δὲ καὶ τὰ ἑξῆς εἰρημένα καταμαθεῖν, καὶ ἰδεῖν τὴν ψῆφον τὴν παρὰ τοῦ θεοῦ περὶ αὐτοῦ γινομένην. αὗται δέ φησιν αἱ γενέσεις Νῶε, Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ θεῷ εὐηρέστησε Νῶε. ξένος γενεαλογίας τρόπος. εἰποῦσα γὰρ ἡ θεία γραφή, αὗται δὲ αἱ γενέσεις Νῶε, καὶ τὰς ἀκοὰς ἡμῶν ἀναπτερώσασα ὡς μέλλουσα τὴν γενεαλογίαν αὐτοῦ διηγεῖσθαι, C καὶ τίς μὲν αὐτοῦ πατὴρ ἐγένετο, πόθεν δὲ γένος κατῆγε, καὶ ὅπως εἰς τὸν βίον παρήχθη, καὶ τὰ ἄλλα ἅπαντα, ἅπερ ἔθος τοῖς τὰς γενεαλογίας ἐξηγουμένοις διηγεῖσθαι, ταῦτα πάντα καταλιποῦσα καὶ τῆς συνηθείας ἀνωτέρω γενομένη φησί, Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ τῷ θεῷ εὐηρέστησε Νῶε. εἶδες θαυμαστὴν γενεαλογίαν; Νῶε φησιν ἄνθρωπος. ὅρα καὶ τὸ κοινὸν ὄνομα τῆς φύσεως ἀντ᾽ ἐγκωμίου τῷ δικαίῳ γινόμενον; ἐπειδὴ γὰρ ἐκεῖνοι καὶ τὸ ἄνθρωποι εἶναι ἀπώλεσαν διὰ τὸ πρὸς τὰς τῆς σαρκὸς ἡδονὰς ὀλισθῆσαι, D οὗτός φησιν ἐν τοσούτῳ δήμῳ τοῦ ἀνθρώπου τὴν εἰκόνα διέσωσε. τοῦτο γὰρ ἄνθρωπος, ὅταν ἀρετὴν μετίῃ. οὐδὲ γὰρ τὸ μορφὴν ἔχειν τοῦ ἀνθρώπου, καὶ ὀφθαλμοὺς, καὶ ῥῖνα, καὶ στόμα, καὶ παρειάς, καὶ τὰ λοιπὰ μέλη τοῦτο ἄνθρωπον ἀποδείκνυσι. ταῦτα γὰρ μέλη τυγχάνει τοῦ σώματος, ἄνθρωπον δὲ ἐκεῖνον ἂν καλέσαιμεν τὸν τὴν εἰκόνα τοῦ ἀνθρώπου διασώζοντα. τί δέ ἐστι τοῦ ἀνθρώπου ἡ εἰκών; τὸ λογικὸν εἶναι. τί οὖν φησιν, ἐκεῖνοι οὐκ ἂν εἶεν λογικοί; ἀλλ᾽ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐνάρετον εἶναι,

καὶ τὰ κακὰ διαφεύγειν, καὶ ταῖς ἐντολαῖς τοῦ δεσπότου κατακολουθεῖν τοῦτο ἄνθρωπος. καὶ ἵνα μάθῃς, ὅτι ἔθος τῇ γραφῇ τοὺς τὴν κακίαν μετιόντας καὶ τῆς ἀρετῆς ἀμελοῦντας μηδὲ τῆς τοῦ ἀνθρώπου προσηγορίας ἀξιοῦν, ἄκουε τοῦ θεοῦ λέγοντος, καθάπερ χθὲς ἐλέγομεν· οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. ἐγὼ γάρ φησι μετὰ τῆς σαρκὸς καὶ τῆς ψυχῆς τὴν ἐξουσίαν ἐδωρησάμην, αὐτοὶ δὲ ὡς σάρκα μόνον περικείμενοι οὕτω τῆς κατὰ τὴν ψυχὴν ἀρετῆς ἀμελοῦντες ὅλοι τῆς σαρκὸς γεγόνασιν. εἶδες πῶς διὰ τὴν κακίαν σάρκα αὐτοὺς καλεῖ, καὶ οὐκ ἀνθρώπους; καὶ πάλιν προϊών, ὡς αὐτίκα B μάλα εἴσεσθε, γῆν αὐτοὺς ὀνομάζει ἡ θεία γραφή, διὰ τὸ τοῖς γηΐνοις φρονήμασι καταδεδαπανῆσθαι. φησὶ γάρ, ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, οὐ περὶ τῆς γῆς τῆς αἰσθητῆς λέγουσα, ἀλλὰ τοὺς ἐνοικοῦντας γῆν ὀνομάζουσα. ἀλλαχοῦ δὲ οὔτε σάρκα, οὔτε γῆν ὀνομάζει, ἀλλ' οὐδὲ εἶναι αὐτοὺς ἡγεῖται ἐν τῷ παρόντι βίῳ, διὰ τὸ τῆς ἀρετῆς ἐρήμους εἶναι. ἄκουε γὰρ τοῦ προφήτου βοῶντος, καὶ λέγοντος ἐν μέσῃ τῇ μητροπόλει τῶν Ἱεροσολύμων, ὅπου μυριάδες τοσαῦται, ὅπου ἄπειρα C πλήθη, ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος. οὐκ ἐπειδὴ μὴ παρῆσαν, ἀλλ' ἐπειδὴ παρόντες τῶν μὴ παρόντων οὐδὲν ἄμεινον διέκειντο. καὶ πάλιν ἑτέρωθι· περιδράμετέ φησι, καὶ ἴδετε, εἰ ἔστιν εἰς ποιῶν κρίμα καὶ δικαιοσύνην, καὶ ἵλεως ἔσομαι. εἶδες πῶς ἐκεῖνον μόνον οἶδε καλεῖν ἄνθρωπον ἡ ἁγία γραφὴ τὸν τὴν ἀρετὴν μετιόντα, τοὺς δὲ λοιποὺς οὐδὲ εἶναι νομίζει, ἀλλὰ ποτὲ μὲν σάρκας ὀνομάζει, ποτὲ δὲ γῆν; διὰ τοῦτο καὶ νῦν τὴν γενεαλογίαν τοῦ δικαίου διηγεῖσθαι ἐπαγγελλομένη ἡ θεία γραφή φησι, Νῶε ἄνθρω- D πος. οὗτος γὰρ μόνος ἄνθρωπος, οἱ δὲ λοιποὶ οὐκ ἄνθρωποι, ἀλλὰ μορφὴν μὲν ἔχοντες ἀνθρώπων, τῇ δὲ πονηρίᾳ τῆς προαιρέσεως τὴν εὐγένειαν τῆς φύσεως προδεδωκότες, καὶ ἀντὶ ἀνθρώπων πρὸς τὴν τῶν θηρίων ἀλογίαν ἐκπεσόντες. ὅτι γὰρ καὶ ἀνθρώποις τοῖς λογικοῖς, ἐπειδὰν πρὸς κακίαν ἀποκλίνωσι, καὶ τῶν ἀλόγων παθῶν αἰχμάλωτοι γίνωνται, τῶν θηρίων τὰς προσηγορίας ἐπιτίθησιν αὐτοῖς ἡ θεία γραφή, ἄκουε ποτὲ μὲν αὐτῆς λεγούσης, ἵπποι θηλυμανεῖς ἐγένοντο· ὅρα πῶς διὰ τὴν ἄμετρον λαγνείαν τὴν τῶν ἀλόγων

& vitia fugere, & illicitis affectionibus imperare, & mandatis dominicis obtemperare. Porrò vt diſcas morem eſſe ſcripturæ, quòd vitiis ſtudentes & virtutum negligentes, hominum nomine vocare non dignetur, audi Deum loquentem, ſicut heri dicebamus: Non permanebit ſpiritus meus in hominibus iſtis, eò quòd ipſi carnes ſunt. Ego enim, dicere vult, ſubſtantiam ex carne & anima illis dedi: ipſi autem quaſi ſola carne circumdati, ita virtutes animi negligunt, & ſolam carnem ſectantur. Vidiſti quomodo ob malitiam carnem eos vocat, & non homines? Et iterum vbi proceſſerimus, ſtatim audietis terram eos nominari à diuina ſcriptura, eò quòd terrenis cogitationibus abſumantur: dicit enim: Corrupta autem erat terra coram Deo. Non de terra ſenſibili loquitur, ſed inhabitatores terram vocat. Alio autem loco, neque terram, neque carnem nominat: ſed neque eſſe eos putat in præſenti hac vita, eò quòd virtute careant. Audi enim prophetam clamantem & dicentem in media Hieroſolymitanorum metropoli, vbi tot millia milliũ, & tot multitudines innumeræ. Veni, & non erat homo: vocaui, & non erat qui audiret. Non dicit, quia non aderant, ſed quia præſentes nihilo meliores erant, quàm ſi non fuiſſent præſentes. Et alio quoque loco: Diſcurrite & videte, ſi eſt vnus qui faciat iudicium & iuſtitiam, & propitius ero. Vidiſti quomodo illum ſolum ſcriptura ſancta hominem vocare ſolet, qui virtutem colit: cæteros autem neque eſſe putat, ſed aliquando vocat terram, & aliquando carnem? Hac de cauſa genealogiam iuſti narraturam ſe promittens diuina ſcriptura, dicit: Noë homo. Hic enim ſolus homo; cæteri autem non homines; ſed humanam gerẽtes formam, & ex hominibus in beſtias mutati, malitia volũtatis generoſitatem naturæ amiſerunt. Quod enim cùm in malum declinãt homines, & ſerui fiũt irrationalium affectionũ, diuina ſcriptura imponat illis beſtiarum nomina: audi vt quodam loco dicit: Equi, mulierum amatores facti ſunt. Vide quomodo ob immodicam ſala-

Impro-bos non appellat homines Scriptura.

Eſaiæ 50. 2.

Hier. 5. 1.

Hier. 8.

citatem hanc cognominationem ac-
ceperunt. Alibi autem: Venenum
Pſal. 13. aſpidum ſub labiis eorum. vbi eius
3. & 139. beſtiæ dolum & fallaciam imitari
4. eos docet. Canes quoque mutos a-
Eſaiæ lios vocat. Et iterum eos qui aures
56.10. ad doctrinam obturant, vocat quaſi
Pſal. 47. aſpides ſurdas, & obturantes aures
5. ſuas. Et multa alia quis nomina in-
ueniet impoſita à diuina ſcriptura
his qui in brutorum affectus per
ignauiam tranſeunt. Et non in ve-
teri ſolum iſtud videre licet, ſed &
in noua lege. Audi enim Baptiſtam
dicentem Iudæis: Progenies vipe-
Matth. rarum, quis vobis monſtrauit, vt à
3. 7. & futura ira fugiatis? Vidiſti quomo-
12. 33. do & hîc dolum mentis illorum, be-
ſtiæ nomine ſignificauit? Quid ergo
miſerabilius fuerit peccatoribus, qui
& ipſo hominis nomine priuantur,
& propter hoc maioribus pœnis di-
gni ſunt, quòd poſt acceptas à natu-
ra plurimas occaſiones, ad benefa-
ciendum monentes, deſerta ac pro-
dita virtute vltro ad vitia transfu-
giunt? Quoniam igitur qui tunc
erant, omnes ea ſe hominis appella-
tione indignos præſtabant: iuſtus
autem ille in tanta virtutis ſterilita-
te, tam excellenti virtute polluit,
ideo ſcriptura cùm cœpiſſet narrare
viri genealogiam, dixit: Noë homo.
Eſt & alius iuſtus quidam, cui hoc
nomen pro ſummo encomio conti-
git, & præ aliis omnibus hoc nomi-
ne prædicatur, vt ſic virtus illius di-
ligenter exponatur. Quis ille eſt?
Beatus Iob, ille pugil pietatis, athleta
orbis, qui ſolus incurabilia illa ſuſti-
nuit, & acceptis innumeris à diabolo
telis, vulnus non accepit: ſed ſicut
adamas quidam omnes impetus fer-
re potuit, & à tantis fluctibus non ſo-
lum non eſt ſubmerſus, ſed & præua-
luit, & acceptis in corpus ſuum om-
nibus qui in mundo doloribus, hac
ratione multò clarior euaſit. Non ſo-
lum enim non illum terrore perculit
ingruentium dolorum continuitas,
ſed & ad maiorem gratiarum actio-
nem excitauit. Vnde in omnibus
ſuam gratitudinem declarans, le-
thalem diabolo plagam inflixit, quò
ille intelligeret ſeſe fruſtra moli-
ri, & contra ſtimulum calcitrare.

A προσηγορίαν ἐπιτίθησιν, ἄλλοτε δὲ, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. ἐνταῦθα τοὺς τοῦ θηρίου τὸ ὕπουλον καὶ δολερὸν μιμουμένους ἐμφαίνει. καὶ πάλιν κύνας ἐνεοὺς ἑτέρους καλεῖ. καὶ πάλιν, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς, τοὺς πρὸς τὴν διδασκαλίαν τῆς ἀρετῆς τὰς ἀκοὰς ἀποφράττοντας αἰνιττομένη. καὶ πολλὰ εὕροι τις ἂν ὀνόματα ἐπιτιθέμενα παρὰ τῆς θείας γραφῆς τοῖς διὰ ῥαθυμίαν πρὸς τὰ τῶν ἀλόγων καταφερομένων πάθη, καὶ οὐκ ἐν τῇ παλαιᾷ μόνον τοῦτό ἐστιν ἰδεῖν, ἀλλὰ καὶ ἐν τῇ καινῇ. ἄκουε γὰρ τοῦ βαπτιστοῦ Ἰωάννου λέγοντος τοῖς Ἰουδαίοις, γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν
B ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; εἶδες πῶς καὶ ἐνταῦθα τῆς γνώμης αὐτῶν τὸ δολερὸν ἀπὸ τῆς τοῦ θηρίου προσηγορίας ᾐνίξατο; τί οὖν ἂν ἐλεεινότερον γένοιτο τῶν τὴν κακίαν μετιόντων, ὅταν καὶ αὐτῆς τῆς προσηγορίας τοῦ καλεῖσθαι ἄνθρωποι ἀποστερῶνται, καὶ διὰ τοῦτο πλείονα τὴν τιμωρίαν ὑπέχουσιν, ὅτι πολλὰς ἀπὸ τῆς φύσεως ἀφορμὰς δεξάμενοι, ταύτας προδεδώκασιν ἑκόντες, ὑποσυρέντες, καὶ πρὸς τὴν κακίαν αὐτομολοῦντες; ἐπεὶ οὖν οἱ τότε πάντες ἀναξίους ἑαυτοὺς τῆς προσηγορίας κατέστησαν, καὶ τοῦ ὀνομάζεσθαι ἄνθρωποι, ὁ δὲ
C δίκαιος οὗτος ἐν τοσούτῳ ἀρετῆς αὐχμῷ τοσαύτην ἐπεδείξατο τῆς οἰκείας ἀρετῆς τὴν ὑπερβολήν, ἀρξαμένη διηγεῖσθαι ἡ θεία γραφὴ τοῦ ἀνδρὸς τὴν γενεαλογίαν φησί· Νῶε δὲ ἄνθρωπος. ἔστι καὶ ἐπ' ἄλλου τοῦ δικαίου ταύτην εὑρεῖν τὴν προσηγορίαν ἀντὶ μεγίστου ἐγκωμίου ἐγκειμένην, καὶ πρὸ τῶν ἄλλων ἁπασῶν ἀπὸ ταύτης τῆς προσηγορίας ἀνακηρυττόμενον τὸν τὴν ἀρετὴν μετὰ ἀκριβείας ἐπιδεικνύμενον. τίς οὖν ἐστιν; ὁ μακάριος Ἰὼβ, ὁ τῆς εὐσεβείας ἀθλητὴς, ὁ τῆς οἰκουμένης στεφανίτης, ὁ μόνος τὰ ἀνήκεστα ἐκεῖνα ὑπομείνας, καὶ τὰ μυρία βέλη δεξάμενος παρὰ τοῦ πονηροῦ δαίμονος ἐκείνου, καὶ ἄτρωτος διαμείνας, καὶ
D καθάπερ ἀδάμας τις οὕτω πάσας τὰς προσβολὰς ἐνεγκεῖν δυνηθεὶς, καὶ οὐ μόνον οὐ καταβαπτισθεὶς ὑπὸ τῶν τοσούτων κυμάτων, ἀλλὰ καὶ ἀνώτερος τῶν κυμάτων γενόμενος, καὶ τὰ τῆς οἰκουμένης πάθη ἐν τῷ οἰκείῳ σώματι δεξάμενος, ταύτῃ μᾶλλον λαμπρότερος ἀνεδείκνυτο. οὐ μόνον γὰρ οὐ κατέπληξεν αὐτὸν ἡ συνέχεια τῆς τῶν ὀδυνῶν ἐμβολῆς, ἀλλὰ καὶ εἰς μείζονα εὐχαριστίαν αὐτὸν διήγειρε, καὶ δι' ἁπάντων τὴν οἰκείαν εὐγνωμοσύνην ἐπεδείκνυτο καιρίαν τῷ διαβόλῳ διδοὺς τὴν πληγὴν, καὶ δεικνὺς ὡς ἀνηνύτοις ἐπιχειρεῖ, καὶ πρὸς κέντρα λακτίζει.

τοῦτον τοίνυν τὸν ἅγιον καὶ πρὸ τῶν ἄθλων, καὶ πρὸ A τῶν ἀγώνων τῶν τοσούτων ἐπαινεῖ ὁ φιλάνθρωπος θεὸς καὶ ἀνακηρύττων φησὶ πρὸς τὸν διάβολον· προσέσχες τῇ διανοίᾳ σου τῷ θεράποντί μου Ἰώβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν ἄνθρωπος τῶν ἐπὶ τῆς γῆς, ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος; εἶδες καὶ τοῦτον ἀπὸ τοῦ κοινοῦ τῆς φύσεως ὀνόματος πρότερον ἀνακηρυττόμενον; προσέσχες φησὶ τῷ θεράποντί μου Ἰώβ, ὅτι οὐκ ἔστιν ὅμοιος αὐτῷ ἄνθρωπος; καὶ μὴν ἅπαντες ὅμοιοι, ἀλλ' οὐχὶ κατὰ τὴν ἀρετήν, ἀλλὰ κατὰ τὸν τῆς μορφῆς λόγον. οὐ τοῦτο δὲ ἄνθρωπος, ἀλλ' ὅταν τῆς B κακίας ἀπεχόμενος τὴν ἀρετὴν μετίῃ. εἶδες τίνας ἀνθρώπους εἴωθε καλεῖν ἡ θεία γραφή; διὰ τοῦτο καὶ ἐξ ἀρχῆς ἰδὼν τὸν ὑπ' αὐτοῦ δημιουργηθέντα ὁ τῶν ὅλων δεσπότης ἔλεγε· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, τοῦτ' ἔστιν, ἵνα ἄρχων ᾖ καὶ τῶν ὁρωμένων ἁπάντων, καὶ τῶν ἐν αὐτῷ τικτομένων παθῶν, ἵνα ἄρχῃ, καὶ μὴ ἄρχηται. ἐὰν μέντοι προδοὺς τὴν ἀρχὴν ἄρχηται μᾶλλον, ἢ ἄρχῃ, ἀπόλλυσι καὶ τὸ εἶναι ἄνθρωπος καὶ πρὸς τὴν τῶν ἀλόγων προσηγορίαν ἑαυτὸν μετατίθησι. διὰ τοι τοῦτο καὶ νῦν τὴν C ἀρετὴν τοῦ δικαίου τούτου ἀνακηρύξαι βουλομένη ἡ θεία γραφή φησιν, αὗται αἱ γενέσεις Νῶε, Νῶε ἄνθρωπος δίκαιος. ἰδοὺ καὶ ἕτερον ἐγκωμίου μέγιστον εἶδος, δίκαιος, διὰ ταύτης τῆς προσηγορίας τὴν καθόλου ἀρετὴν ταύτην ἐμφαίνει. τὸ γὰρ δίκαιος ὄνομα, ἔθος ἐστὶν ἡμῖν ἐπὶ τῶν πᾶσαν ἀρετὴν μετιόντων λέγειν. εἶτα ἵνα μάθῃς, ὅπως πρὸς αὐτὸ τὸ ἄκρον τῆς ἀρετῆς ἔφθασεν, ὅσαπερ καὶ τότε ἀπῃτεῖτο παρὰ τῆς φύσεως τῆς ἡμετέρας φησί, δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ. πάντα πληρώσας φησίν, ἅπερ ἐχρῆν ἄνθρωπον ἐπιδείξασθαι D ἀρετὴν ἑλόμενον. τοῦτο γάρ ἐστι τέλειος, οὐδὲν ἐλλελοιπώς, ἐν οὐδενὶ χωλεύων, οὐ τὸ μὲν κατορθώσας, ἐν τῷ δὲ διαμαρτὼν, ἀλλά γε ἐν πάσῃ ἀρετῇ τέλειος ἦν, τόγε ἐχρῆν αὐτὸν ἐπιδείξασθαι. εἶτα ἵνα ἐκ τοῦ χρόνου καὶ τῆς συγκρίσεως περιφανέστερον ἡμῖν τὸν δίκαιον ἀπεργάσηται φησί· τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, ἐν τῷ καιρῷ ἐκείνῳ, ἐν τῇ γενεᾷ αὐτοῦ, τῇ διεστραμμένῃ τῇ πρὸς τοσαύτην κακίαν ἀποκλινάσῃ, τῇ μηδὲ ἴχνος τῆς ἀρετῆς ἐπιδείξασθαι βουληθείσῃ

Hunc igitur ſanctum, etiam ante tot agones, & certamina, tantum laudauit miſericors Deus, & prædicans dixit diabolo: Animo tuo aduertiſti famulum meum Iob, quòd Iob. 1. non ſit homo ſimilis illi ſuper terram, homo inculpatus, iuſtus, verax, Deum colens, abſtinens ab omni opere malo? Vidiſti & hunc à communi naturæ nomine prius prædicari? Aduertiſti, inquit, quòd non ſit ſimilis illi homo? Et ſimiles vtique omnes ſumus, ſed non ſecundum virtutem, ſed ſecundum formæ rationem. At hoc non eſt homo, ſed quãdo abſtinens à malitia, virtutem operatur. Vidiſti quos diuina ſcriptura homines appellare ſolet? Quocirca & ab initio, cùm vidiſſet Deus factũ à ſe, dicebat: Faciamus hominem ſecundum imaginem noſtram, & ſecundum ſimilitudinem, hoc eſt, vt imperet & viſibilibus omnibus & paſſionibus ſuis: imperet, non ferat Geneſ. 1. imperiũ. Itaq; quia amiſſa dignitate 26. magis ſubditus eſt, & imperium fert potius, quàm imperat: amiſit & nomen quòd ſit homo, & brutorum in ſe nomina tranſtulit. Atque hac de cauſa nũc diuina ſcriptura virtutem illius commendare volens, dicit: Iſtæ ſunt generationes Noë: Noë homo iuſtus. Ecce & aliam maximam præconij ſpeciem, iuſtus, hac appellatione omnem virtutem complectitur. Hoc enim nomen, iuſtus, conſueuimus dicere de his qui omnigenam exercent virtutem. Poſtea vt diſcas quomodo ad ſummum virtutis faſtigium peruenerit, id quod & tũc exigebatur à natura noſtra, inquit: Iuſtus & perfectus exiſtẽs in generatione ſua. Omnia, inquit, impleuit quæcunque facere cõuenit eum qui virtutẽ amplexatur. Hic enim eſt perfectus. Nihil enim intermiſit, in nullo claudicauit: Non in hoc bene faciebat, in illo verò peccabat: ſed in omni virtute perfectus erat, qua tũc pollere illum cõgruebat. Præterea vt ex tempore quoque, & ex collatione cum aliis illuſtriorem nobis iuſtum exhiberet, inquit: Perfectus in generatione ſua, in tempore illo, in generatione illa peruerſa, quæ adeo in malum declinauit, quæ neque veſtigium virtutis præ ſe ferre voluit.

In illa igitur generatione, in illis tẽporibus iuſtus ille non ſolum virtutem præ ſe tulit, ſed & in tãtum peruenit virtutis culmẽ, perfectus, & in omnibus abſolutus: Nã id quod ante dixi, bene agere inter virtutis hoſtes, & inter eos qui virtutem prohibent, maius ſemper virtutis pondus teſtatur. Vnde hac ratione iuſtus ille maiores laudes nactus eſt. Neque hîc finem laudandi illum facit diuina ſcriptura, ſed adhuc virtutis illius excellentiam demonſtrat, & quòd diuino calculo probatus fuerit: quia poſtquam dixit, perfectus in generatione ſua, addit, Deo placuit Noë. Tanta erat virtutis illius gloria, vt & à Deo laudari promeruerit. Deo enim, inquit, placuit Noë, vt ſcias quòd approbatus fuerit à Deo: placuit illi oculo qui falli non poteſt, per ſua bona opera, & illius ſibi fauorem tantum conciliauit per bonæ vitæ opera, vt eum non ſolum ab indignatione in omnes effundenda liberarit, ſed & aliis præeſſe fecerit. Deo enim inquit, placuit Noë. Quis hoc beatior fuerit, qui tantam præ ſe ferre potuit virtutem, vt dominum vniuerſi habeat laudum ſuarum præconem? Hæc ab eo ſunt facta, quæ quibuſuis diuitiis, quauis abundantia, quauis gloria & potentia, quauis humana fœlicitate potiora duxerit quiſquis mentem habet. Hæc regno magis deſiderabilia fuerint ei, qui Deum ſyncero amore diligit. Verum enim regnum iſtud eſt, poſſe nos optima vita propitium & clementem nobis facere Deum. Vt enim gehennam timere non debemus propter ignem illum inextinguibilem, & pœnas terribiles, & perpetuos cruciatus: ſed quia offendimus tam bonum dominum, & ab illius gratia ſumus alieni: ita & ad regnum nobis feſtinandum, non niſi propter amorem in illum, vt eius gratia fruamur. Nam vt regno deſiderabilius eſt, clementem dominum noſtrum beneuolum eſſe nobis: ita gehenna grauius, ab illius beneuolentia excidere. Vidiſtis quantæ nobis vtilitatis fuit argumentum appellatio iuſti, & quantum ſententiarum theſaurum peperit abmirabilis huius viri genealogia? Se-

Quinã vere regnent.

A ἐν ἐκείνῃ τοίνυν τῇ γενεᾷ, ἐν ἐκείνοις τοῖς χρόνοις οὗτος ὁ δίκαιος οὐ μόνον ἀρετὴν ἐπεδείξατο, ἀλλὰ καὶ εἰς τὴν ἄκραν κορυφὴν ἔφθασε τέλειος γεγονὼς, καὶ ἐν ἅπασιν ἀπηρτισμένος. ὅπερ γὰρ ἔφθην εἰπὼν, μείζονα δείκνυσιν ἀεὶ τῆς ἀρετῆς τὸν ὄγκον τὸ μεταξὺ τῶν πολεμούντων αὐτὴν κατορθοῦσθαι, καὶ ἐν μέσῳ τῶν κωλυόντων τὴν αὐτὴν ἐπιδείκνυσθαι ἀκρίβειαν. διὸ δὴ καὶ ὁ δίκαιος οὗτος πλειόνων ἀξιοῦται τῶν ἐπαίνων. καὶ οὐδὲ μέχρι τούτου ἵσταται ἀνακηρύττουσα αὐτὸν ἡ θεία γραφὴ, ἀλλὰ δεικνύουσα ἡμῖν τῆς ἀρετῆς αὐτοῦ τὴν ὑπερβολὴν, καὶ ὅτι τὴν ψῆφον ἄνωθεν ἐδέξατο, εἰποῦσα· τέλειος ὢν B ἐν τῇ γενεᾷ αὐτοῦ φησι, τῷ θεῷ εὐηρέστησε Νῶε. τοσαύτη ἦν τῆς ἀρετῆς αὐτοῦ ἡ περιουσία, ὡς τὸν παρὰ τοῦ θεοῦ ἔπαινον ἐπισπάσασθαι· τῷ θεῷ γάρ φησιν εὐηρέστησε Νῶε, ἵνα εἴπῃ, ὅτι ἀποδεκτὸς παρὰ τῷ θεῷ γέγονεν, ἤρεσε τῷ ἀκοιμήτῳ ἐκείνῳ ὀφθαλμῷ διὰ τῶν αὐτῷ κατωρθωμένων, καὶ ἐκείνου τὴν εὔνοιαν ἐφελκύσατο ἡ τῶν βεβιωμένων πρᾶξις, καὶ οὐ μόνον τῆς μελλούσης κατὰ πάντων ἐκφέρεσθαι ἀγανακτήσεως ἠλευθέρωσεν, ἀλλὰ καὶ ἑτέρων προστάτην αὐτὸν ἀπειργάσατο. τῷ θεῷ γὰρ εὐηρέστησε Νῶε. τίς ἂν τούτου μακαριώτερος γένοιτ' ἂν, τοῦ δυνηθέντος τοσαύτην C ἐπιδείξασθαι τὴν ἀρετὴν, ὡς τὸν ἁπάντων δεσπότην ἐπαινέτην ἔχειν; τὸ μὲν οὖν αὐτῷ πεπραγμένων τοῦτο παντὸς πλούτου πάσης περιουσίας, πάσης δόξης καὶ δυναστείας, καὶ τῆς ἄλλης ἁπάσης ἀνθρωπίνης εὐημερίας τῷ νοῦν ἔχοντι προτιμότερον ἂν εἴη. τοῦτο τῷ γνησίαν περὶ τὸν θεὸν ἀγάπην ἐπιδεικνυμένῳ βασιλείας ἂν εἴη ποθεινότερον. ἡ γὰρ ἀληθὴς βασιλεία ἐστὶν αὕτη, τὸ δυνηθῆναι ἡμᾶς διὰ τῆς ἀρίστης πολιτείας εὐμενῆ καὶ ἵλεω καταστῆσαι αὐτοῖς τὸν δεσπότην. οὐδὲ γὰρ γέενναν διὰ τοῦτο φοβεῖσθαι ὀφείλομεν, ἐπεὶ δεδοικέναι τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον καὶ τὰς φοβερὰς τιμωρίας καὶ τὰς διηνεκεῖς κολάσεις, ἀλλὰ D διὰ τὸ προσκροῦσαι τῷ οὕτως ἀγαθῷ δεσπότῃ, καὶ τῆς ἐκείνου εὐνοίας ἐκτὸς ἡμᾶς εἶναι, ὥσπερ οὖν καὶ ἐπὶ τὴν βασιλείαν διὰ τοῦτο σπουδὴν ἡμᾶς χρὴ, διὰ τὸν περὶ αὐτὸν πόθον, ἵνα τῆς ἐκείνου ῥοπῆς ἀπολαύωμεν. ὥσπερ γὰρ βασιλείας ποθεινότερον τὸ εὐνοϊκῶς περὶ ἡμᾶς διακεῖσθαι τὸν φιλάνθρωπον ἡμῶν δεσπότην, οὕτω γεέννης χαλεπώτερον τὸ τῆς ἐκεῖθεν εὐνοίας ἐκπεσεῖν. εἴδετε πόσης ἡμῖν ὠφελείας γέγονεν ὑπόθεσις ἡ προσηγορία μόνη τοῦ δικαίου, καὶ ὅσον ἡμῖν θησαυρὸν νοημάτων ἔτεκεν ἡ γενεαλογία τοῦ θαυμασίου τούτου ἀνδρός;

A μιμώμεθα τοίνυν καὶ ἡμεῖς τῆς θείας γραφῆς τοὺς κανόνας, καὶ ἐὰν βουλώμεθά τινων γενεαλογίας ἐξηγεῖσθαι, μὴ πατέρας καὶ πάππους καὶ ἐπιπάππους εἰς μέσον φέρωμεν, ἀλλὰ τοῦ γενεαλογουμένου τὴν ἀρετὴν ἐκκαλύπτωμεν. οὗτος γὰρ ἄριστος γενεαλογίας τρόπος. τί γὰρ ὄφελος, ἐκ πατέρων εἶναι λαμπρῶν καὶ ἐναρέτων, αὐτὸν δὲ ἔρημον εἶναι τῆς ἀρίστης πολιτείας; ἢ πάλιν τί βλάβος ἂν γένοιτο ἐκ πατέρων εἶναι καὶ προγόνων δυσγενῶν καὶ ἀφανῶν, αὐτὸν δὲ πολλὴν κομᾷν τῇ ἀρετῇ; ἐπεὶ καὶ ὁ δίκαιος οὗτος τοιοῦτος γεγονώς, καὶ τὴν τοῦ θεοῦ εὔνοιαν ἐπισπασάμενος, οὐκ ἀπὸ τοιούτων γέγονε προγόνων· οὐδὲ γὰρ ὡς ἐναρέτων B αὐτῶν ἐμνημόνευσεν ἡ θεία γραφή· καὶ ὅμως ἴσχυσε τοσούτων ὄντων κωλυμάτων, καὶ ὑπὸ τοσούτων ἐμποδιζόμενος, εἰς αὐτὴν τὴν ἄκραν ἀνελθεῖν τῆς ἀρετῆς, ἵνα μάθῃς, ὅτι τὸν βουλόμενον νήφειν καὶ ἐγρηγορέναι, καὶ πολλὴν τῆς οἰκείας σωτηρίας ποιεῖσθαι τὴν πρόνοιαν οὐδέν ἐστι τὸ διακωλῦον. ὥσπερ γὰρ εἰς ῥαθυμίαν ἀποκλίναντες καὶ ὑπὸ τῶν τυχόντων βλαπτόμεθα, οὕτως ἐὰν βουληθῶμεν νήφειν, κἂν μυρίοι ὦσιν οἱ πρὸς κακίαν ἕλκοντες, οὐδὲν ἡμῶν τῇ σπουδῇ λυμήνασθαι C δυνήσονται, καθάπερ οὐδὲ τὸν δίκαιον τοῦτον οὐκ ἴσχυσαν τοσοῦτοι ὄντες ὀκνηρότερον περὶ τὴν ἀρετὴν ἐργάσασθαι. μηδεὶς τοίνυν ἕτερόν τινα αἰτιάσθω καὶ ἐφ' ἑτέρους τὴν αἰτίαν μεταγαγέτω. καὶ τί λέγω ἐφ' ἑτέρους; μηδὲ αὐτὸν τὸν διάβολον νομιζέτω τις ἱκανὸν εἶναι κωλῦσαι τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδὸν δύνασθαι, ἀλλ' ἀπατᾷ μὲν, καὶ ὑποσκελίζει τοὺς ῥαθυμοτέρους, οὐ μὴν κωλύει καὶ βιάζεται· καὶ τοῦτο αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα δείκνυσιν, ὅτι ἡνίκα μὲν ἂν βουλώμεθα νήφειν, τοσοῦτον τὸν τόνον ἐπιδεικνύμεθα, ὡς μηδὲ πολλῶν ὄντων τῶν προ- D τρεπόντων ἐπὶ τὴν τῆς κακίας ὁδὸν, ἀνέχεσθαι τῆς συμβουλῆς, ἀλλὰ παντὸς ἀδάμαντος στερροτέρους ἡμᾶς γίνεσθαι, καὶ ἀποφράττειν τοῖς τὰ φαῦλα συμβουλεύουσι τὰς ἀκοάς. ὅταν δὲ ῥαθυμῶμεν, καὶ μηδενὸς ὄντος τοῦ συμβουλεύοντος ἢ ὑποσκελίζοντος, οἴκοθεν κινούμενοι ἐπὶ τὴν κακίαν ὁρμῶμεν. εἰ γὰρ μὴ ἐν τῇ προαιρέσει ἡμῶν ἔκειτο, μηδὲ ἐν τῇ τῆς γνώμης ἐξουσίᾳ, μηδὲ αὐτεξούσιον ἡμῶν τὴν φύσιν ὁ φιλάνθρωπος θεὸς κατεσκεύασεν, ἐχρῆν ἢ ἅπαντας εἶναι κακοὺς τοὺς τῆς αὐτῆς φύσεως κοινωνοῦντας

A quamur igitur & nos diuinæ ſcripturæ regulas, & aliquorum genealogias enarrando, non patres, & auos, & abauos in medium afferamus, ſed eius ſolum, cuius eſt genealogia, virtutem detegamus. Hic optimus genealogiæ modus eſt. Quæ enim vtilitas, ex claris & probis parentibus originem ducere, te autem bonæ vitæ eſſe expertem? aut quod damnum fuerit, ſi parentes & progenitores fuerint ignobiles & obſcuri, ipſe autem virtutibus floreas? Quia & iuſtus ille talis fuit, & conciliauit ſibi gratiam Dei, non quòd à talibus fuerit parẽtibus. Neque enim ita eos cõmemorat ſcriptura, vt virtute nobiles. Nihilominus cum tanta eſſent obſtacula, & à tantis impediretur, in ipſum peruenire potuit virtutis faſtigium: vt diſcas quòd cum qui vigilat & ſobrius eſt, & ſuæ ſalutis curam agit, nihil eſt quod prohibeat. Nam ſicut vbi negligentes cœperimus eſſe, etiam à rebus minimis offendimur: ſic ſi voluerimus ſobrij eſſe, quamuis innumeri ſint qui ad malitiam trahant, neutiquam no- C ſtrum ſtudium poterunt offendere: ſicut neque illum iuſtum, tametſi tot eſſent irridentes, ſegniorem in exercenda virtute facere potuerunt. Proinde nullus alium arguat, & in alios culpam tranſcribat, ſed ſuæ ignauiæ totũ imputet. Et quid dico in alios? Neque diabolũ ipſum quis tam potentẽ putet, vt prohibere quempiam poſſit, quò minus in viam quæ ad virtutem ducit, eat. Supplantat quidem & decipit ſocordiores, non cogit autem, nec prohibet: id quod rerum experientia docet: quòd nunc quidem, ſi volumus ſapere, tantæ conſtantiæ ſpecimen exhibemus, quòd neque ſi multi eſsẽt ad malitiæ viam nos cohortantes, eorũ ferremus conſilium: ſed omni adamante firmiores, aures obturaremus tam praua conſulentibus. At ſi negligentes fuerimus, etiam ſi nullus ſit qui conſulat vel ſupplantet, noſtra ſponte ad malitiam proſiliemus. Nam ſi hoc non eſſet ſitum in voluntate noſtra, neque in poteſtate mentis, neque Deus ſui iuris naturam noſtram feciſſet: oportebat vel omnes malos eſſe, qui naturæ noſtræ participes ſunt,

Genealogiæ modus optim⁹.

& iiſdem obnoxij ſunt affectionibus, vel omnes bonos & virtute præditos: Cùm autem videmus congeneres noſtros, & eiſdem affectionibus obnoxios, non eadem quæ nos ferre: ſed & valida ratione gubernare naturam, & inordinatos motus domare, & refrænare concupiſcentiam, imperare furori & iræ, fugare inuidiam, eliminare inuidentiam, contemnere rabioſam in conquirendis pecuniis cupiditatem, minorem gloriæ curam habere, ridere omnem præſentis vitæ fœlicitatem, aſpirare ad veram gloriam, præponete viſibilibus omnibus laudẽ quæ à Deo eſt: nónne manifeſtum eſt quòd illi poſt gratiam Dei ſuo ſtudio bene agere poterũt, nos noſtra ignauia noſtram amittimus ſalutem, & eius gratia nos
Moralis exhortatio. ſpoliamus? Quapropter obſecro, vt hæc cogitantes, & in mente noſtra continuò verſantes, nunquam diabolum, ſed noſtram leuem ignauámque mentem arguamus. Et hæc di-
1. Pet. 5. 8. co, non quòd diabolum à ſuo crimine abſoluere velim: abſit: vadit enim ſicut leo vt rapiat, & rugiens, & quærens quem deuoret: ſed & nos cautiores reddere volui, vt ne exiſtimemus carere nos culpa, ſiquidem tam facilè ad malitiam prorumpimus: & ne friuola illa dicamus verba, Quare Deus dimiſit illum, talem qui improbus erat, ita vt ſupplantaret & proſterneret? ſunt enim hæc verba ingratitudinis ſummæ: verùm tu hoc tecum conſidera, quòd illum propter hoc potiſſimum reliquit, vt timore compulſi, & hoſtis inſidias expectantes, ſimus perpetuò ſobrij & vigiles, laborémque virtutis imminuamus ſpe retributionum & expectatione ineffabilium illorum bonorum. Et quid miraris, ſi ob hanc cauſam reliquit diabolum Deus, cui tanta noſtræ ſalutis cura, & qui ita noſtram ſomnolentiam excutit, materiámque coronarum nobis præparát? ipſam etiam gehennam propterea condidit, vt metus pœnæ, intolerabiliſque cruciatus ad regnum nos cogat. Vidiſti mirè induſtriam Domini benignitatem? quomodo omnia facit & tractat, vt non ſolum eos qui ab ſe conditi ſunt, ſaluet, ſed & in-

A καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκειμένους, ἢ πάντας εἶναι ἐναρέτους. ὅταν δὲ ἴδωμεν τοὺς ὁμογενεῖς ἡμῖν, καὶ ὑπὸ τῶν αὐτῶν παθῶν ἐνοχλουμένους οὐ τὰ αὐτὰ ἡμῖν ὑπομένοντας, ἀλλὰ καὶ ἐῤῥωμένῳ τῷ λογισμῷ ἡνιοχοῦντας τὴν φύσιν, καὶ περιγινομένους τῶν ἀτάκτων σκιρτημάτων, καὶ χαλινοῦντας ἐπιθυμίαν, κρατοῦντας ὀργῆς, βασκανίαν φυγόντας, φθόνον ἐξορίζοντας, τῆς λύσσης τῶν χρημάτων ὑπερορῶντας, δόξης ἔλαττον φροντίζοντας, πάσης τῆς τοῦ παρόντος βίου εὐημερίας καταγελῶντας, καὶ πρὸς τὴν ἀληθῆ δόξαν ἐπτοημένους, καὶ τὸν παρὰ τοῦ θεοῦ ἔπαινον πάντων τῶν ὁρωμένων προτιμῶν-
B τας, οὐκ εὔδηλον, ὅτι τῇ οἰκείᾳ σπουδῇ ταῦτα κατορθοῦν δυνήσονται μετὰ τὴν ἄνωθεν χάριν, καὶ ἡμεῖς τῇ οἰκείᾳ ῥαθυμίᾳ κεχρημένοι προδιδόαμεν ἡμῶν τὴν σωτηρίαν, ἐρήμους ἑαυτοὺς καθιστῶντες τῆς ἐκεῖθεν εὐνοίας; διὸ παρακαλῶ ταῦτα λογιζομένους καὶ συνεχῶς κινοῦντας ἐν τῇ διανοίᾳ μηδέποτε Ηθικόν.
τὸν διάβολον αἰτιᾶσθαι, ἀλλὰ τὴν ῥᾴθυμον ἡμῶν γνώμην. καὶ ταῦτα λέγω οὐκ ἐκεῖνον ἀπαλλάξαι βουλόμενος κατηγορίας· μὴ γένοιτο· καὶ γὰρ ἔρχεται ὡς λέων ἁρπάσαι, καὶ ὠρυόμενος, καὶ τίνα καταπίῃ ζητῶν, ἀλλὰ καὶ ἡμᾶς ἀσφαλεστέρους ποιῆσαι θέλων,
C ἵνα μὴ νομίζωμεν ἐκτὸς εἶναι ἐγκλημάτων, οὕτως εὐκόλως πρὸς τὴν κακίαν αὐτομολοῦντες, καὶ μὴ τὰ ψυχρὰ ἐκεῖνα λέγωμεν ῥήματα; τίνος ἕνεκεν ἀφῆκεν αὐτὸν ὁ θεὸς τοιοῦτον ὄντα πονηρὸν, ὥστε ὑποσκελίζειν καὶ καταβάλλειν; μεγίστης γὰρ ἂν εἴη ταῦτα τὰ ῥήματα ἀγνωμοσύνης· ἀλλ' ἐκεῖνο ἐν σεαυτῷ σκόπει, ὅτι διὰ τοῦτο μάλιστα αὐτὸν κατέλιπεν, ἵνα τῷ φόβῳ συνωθούμενοι καὶ τοῦ πολεμίου τὴν ἔφοδον προσδοκῶντες πολλὴν τὴν ἀγρυπνίαν καὶ διηνεκῆ τὴν νῆψιν ἐπιδεικνυώμεθα τῇ τῶν ἀμοιβῶν ἐλπίδι, καὶ
D τῇ ἀντιδόσει τῶν αἰωνίων ἐκείνων καὶ ἀποῤῥήτων ἀγαθῶν πάντα τῆς ἀρετῆς τὸν κάματον ὑποτεμνόμενοι. καὶ τί θαυμάζεις εἰ τὸν διάβολον διὰ τοῦτο κατέλιπε κηδόμενος ἡμῶν τῆς σωτηρίας, καὶ διεγείρων ἡμῶν τὴν ῥαθυμίαν, καὶ ὑπόθεσιν ἡμῖν στεφάνων κατασκευάζων; αὐτὴν τὴν γέενναν διὰ τοῦτο παρεσκεύασεν, ἵνα ὁ τῆς τιμωρίας φόβος καὶ τῆς κολάσεως τὸ ἀφόρητον πρὸς τὴν βασιλείαν ἡμᾶς συνωθήσῃ. εἶδες εὐμήχανον τοῦ δεσπότου φιλανθρωπίαν; πῶς πάντα ποιεῖ καὶ πραγματεύεται, ὡς μὴ μόνον σῶσαι τοὺς ὑπ' αὐτοῦ δημιουργηθέντας,

ἀλλὰ καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἀξιώσας; διὰ τοῦτο καὶ τὸ αὐτεξούσιον ἡμῖν δεδώρηται, καὶ ἐν τῇ φύσει καὶ ἐν τῷ συνειδότι ἡμῶν ἐναπέθετο τὴν γνῶσιν τῆς κακίας καὶ τῆς ἀρετῆς, καὶ τὸν διάβολον συνεχώρησεν εἶναι, καὶ τὴν γέενναν ἠπείλησεν, ἵνα μήτε τῆς γεέννης πεῖραν λάβωμεν, καὶ τῆς βασιλείας ἐπιτύχωμεν. καὶ τί θαυμάζεις εἰ ταῦτα ἅπαντα διὰ τοῦτο ἐπραγματεύσατο, καὶ μυρία ἕτερα; δούλου μορφὴν ὁ ἐν τοῖς κόλποις τοῖς πατρικοῖς τυγχάνων λαβεῖν κατεδέξατο, καὶ πάντα τὰ ἄλλα ὑπομεῖναι τὰ σωματικά, καὶ ἐκ γυναικὸς γεννηθῆναι, καὶ ἐκ παρθένου τεχθῆναι, καὶ ἐννεαμηνιαῖον κυοφορηθῆναι χρόνον, καὶ σπάργανα δέξασθαι, καὶ πατέρα αὐτοῦ νομισθῆναι τὸν Ἰωσήφ, τὸν μνηστῆρα τῆς Μαρίας, καὶ κατὰ μικρὸν αὐξηθῆναι, καὶ περιτμηθῆναι, καὶ θυσίαν ἀνενεγκεῖν, καὶ πεινῆσαι, καὶ διψῆσαι, καὶ κοπιάσαι, καὶ τελευταῖον καὶ θάνατον ὑπομεῖναι, καὶ θάνατον οὐχ ἁπλῶς, ἀλλὰ τὸν ἐπονείδιστον νομιζόμενον τὸν σταυρὸν λέγω, καὶ ταῦτα ἅπαντα δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν κατεδέξατο ὁ τῶν ἁπάντων δημιουργός, ὁ ἀναλλοίωτος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάντα παραγαγών, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, οὗ τῆς δόξης τὴν ἀστραπὴν οὐδὲ τὰ Χερουβὶμ αἱ ἀσώματοι δυνάμεις ἐκστῆναι ἰδεῖν δύνανται, ἀλλὰ ἀποστρέφουσι τὰς ὄψεις τῇ περιβολῇ τῶν πτερύγων τὸ θαῦμα ἡμῖν ἐπιδεικνύμεναι, ὃν διὰ παντὸς ὑμνοῦσιν ἄγγελοι, ἀρχάγγελοι, καὶ μυρίαι μυριάδες, οὗτος δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν ἄνθρωπος γενέσθαι κατεδέξατο, καὶ τῆς ἀρίστης πολιτείας ἡμῖν τὴν ὁδὸν ἔτεμε, καὶ δι' ὧν αὐτὸς ἦλθε τὴν αὐτοῦ φύσιν ἀναλαβὼν ἡμῖν ἀρκοῦσαν διδασκαλίαν ἐναπέθετο. ποία τοίνυν ἡμῖν λείπεται λοιπὸν ἀπολογία τοσούτων διὰ τὴν σωτηρίαν ἡμετέραν πραγματευομένων, εἰ μέλλοιμεν ἀνόνητα ἅπαντα δεικνύναι διὰ τῆς ῥᾳθυμίας τῆς τούτων προδιδόντες ἡμῶν τὴν σωτηρίαν; διὸ παρακαλῶ νήφειν, καὶ μὴ ἁπλῶς συνηθείᾳ τῶν ἄλλων κατακολουθεῖν, ἀλλὰ τὴν ἑαυτῶν ζωὴν καθ' ἑκάστην ἡμέραν πολυπραγμονεῖν, καὶ εἰδέναι, τί μὲν ἡμῖν ἡμάρτηται, τί δὲ κατώρθωται, καὶ οὕτω τῶν ἡμαρτημένων τὴν διόρθωσιν ποιώμεθα, ἵνα καὶ τὴν ἄνωθεν ῥοπὴν ἐπισπασώμεθα, καὶ εὐάρεστοι τῷ θεῷ γενώμεθα, καθάπερ ὁ δίκαιος οὗτος, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα, τῷ ἁγίῳ πνεύματι δόξα τιμὴ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A effabilibus bonis ditet? Et propterea liberum arbitrium nobis datum eſt, & in natura conſcientiáque noſtra repoſita ſcientia boni & mali, & diabolus, vt eſſet, permiſſus, & gehennam minatus eſt, vt gehennam non experiremur, ſed regnũ adipiſceremur. Et quid miraris ſi iſta omnia propter hæc facta ſunt, & innumera alia? Qui in ſinu patris eſt, formam ſerui ſuſcipere voluit, & omnia alia ſuſtinere quæ ad corpus pertinent: ex virgine naſci, nouem menſibus in vtero geſtari, & panniculis inuolui, patrem ſuum putari Ioſeph ſponſum
B Mariæ, paulatim creſcere, circumcidi, ſacrificium offerre, eſurire, ſitire, fatigari, & tandem etiam mortem ſuſtinere: & mortem non vulgarem, ſed eam quæ ignominioſiſſima habebatur, crucem dico: & hæc omnia propter nos noſtrámque ſalutem ſuſcepit omnium conditor, qui inalterabilis, qui omnia ex nihilo vt eſſent produxit, qui reſpicit ſuper terram, & facit eam tremere: cuius gloriæ fulgurantem maieſtatẽ neque Cherubim, incorporeæ illæ virtutes vi- Pſal. 103. 32.
C dere poſſunt: ſed auerſæ facies tegunt obiectis alis, quem ſemper laudant angeli & archangeli, & innumera millia, hic propter nos & propter noſtram ſalutem homo fieri voluit, & optimæ vitæ nobis viam parauit, & per ea ſufficientem nobis doctrinam conſignauit, per quæ hac ipſa noſtra natura aſſumpta trãſiuit. Quæ igitur poſthac nobis erit excuſatio, ſi cùm tot adiuuẽt ſalutem noſtram, in rebus inutilibus nos occupamus, ſola horũ negligẽtia noſtram amittentes ſalutem? Proinde obſe-
D cro, vt ſobrij ſimus, & non temere aliorum ſequamur conſuetudinem, ſed noſtram vitam quotidie diligenter excutiamus, videamúſque quid peccatum, quídve rectè à nobis geſtum ſit: vt ſic peccata noſtra emendemus, ſuperdámque nobis gratiam conciliemus, ac Deo placeamus, exemplo iuſti illius, & denique regnum aſſequamur cœlorum, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre Spiritúque ſancto ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A

Homilia XXIV.

Gen. 6. 10. *Genuit autem Noë tres filios, Sem, Cham, Iapheth: corrupta autem erat terra coram Deo, & repleta eſt terra iniuſtitia.*

HAVD vulgarem vtilitatẽ heri nobis attulit iuſti Noë genealogia. Nam & cognouimus mirabilẽ genealogiæ modum, & vidimus iuſtũ laudari, non à parẽtum claritudine, ſed à ſuarum virtutum moribus, propter quas & tantum accepit teſtimonium à diuina ſcriptura. Noë enim, inquit, homo iuſtus, perfectus exiſtẽs in generatione ſua: Deo placuit Noë. Totum enim ſermonem in verba hæc breuia inſumpſimus heri. Quandoquidem diuinorum eloquiorum natura in paucis verbis multas ſententiarum affert diuitias, & ineffabilem diligenter ſcrutari volentibus theſaurum largitur. Proinde obſecro, ne quid in ſacris literis aut contemnatur, aut obiter prætereatur, etiamſi nomina recenſeantur, vel hiſtoriæ narrentur, reconditum inueſtigemus theſaurum. Nam & Chriſtus dicebat: ſcrutamini ſcripturas. Quia non vbique in ſuperficie ſcripturæ, mens ſcripturæ inuenitur: ſed opus eſt ſcrutinio, vt ne quod in profundo latet, nobis remaneat abſconditum. Quòd ſi ſola naturæ appellatio, hoc nomen, Homo dico, tantæ nobis vtilitatis argumentum heri fuit: quantum lucrum percipiemus, ſi attenta ac vigili mente ſingula audierimus? Etenim miſericordem habemus dominum, & quando videt nos ſollicitos, & magnum deſiderium ad cognoſcenda diuina eloquia habere, non permittit nos vlla re indigere: ſed ſtatim illuſtrat mentem noſtram, & ſuum fulgorem largitur, & pro ſapientia illa ſua, mira induſtria omnem veram doctrinam animæ noſtræ inſerit. Eapropter cùm nos ad iſtud ipſum adhortaretur, & alacriores faceret, beatitudinem decreuit iis quibus tale eſt deſiderium, dicens:

Ioan. 5. 39. & 7. 52.

Ὁμιλία κδ´.

Ἐγέννησε δὲ Νῶε τρεῖς υἱοὺς τὸν Σὴμ, τὸν Χὰμ, τὸν Ἰάφεθ· ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας.

Οὐ τὰ τυχόντα ἡμᾶς ὠφέλησε χθὲς ἡ τοῦ δικαίου Νῶε γενεαλογία. καὶ γὰρ ἐγνώσαμεν θαυμαστὸν γενεαλογίας τρόπον, καὶ εἴδομεν τὸν δίκαιον ἀνακηρυττόμενον οὐκ ἀπὸ τῆς τῶν προγόνων

B

περιφανείας, ἀλλ᾽ ἀπὸ τῆς τῶν οἰκείων τρόπων ἀρετῆς, δι᾽ ἣν καὶ τοσαύτην ἐδέξατο μαρτυρίαν παρὰ τῆς θείας γραφῆς. Νῶε γάρ φησιν ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ θεῷ εὐηρέστησε Νῶε. εἰς ταῦτα γὰρ βραχέα τὰ ῥήματα ἅπασαν διδασκαλίαν χθὲς κατηναλώσαμεν. ἡ γὰρ τῶν θείων λογίων φύσις ἐν ὀλίγοις ῥήμασι πολὺν ἐπιδείκνυται τῶν νοημάτων τὸν πλοῦτον καὶ ἄφατον χαρίζεται τὸν θησαυρὸν τοῖς μετ᾽ ἀκριβείας τὴν ἔρευναν ποιεῖσθαι βουλομένοις. διὸ δὴ πα-

C

ρακαλῶ μηδὲν ἁπλῶς παρατρέχωμεν τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων, ἀλλὰ κἂν ὀνομάτων κατάλογος ᾖ, κἂν ἱστορίας διήγησις, τὸν ἐγκεκρυμμένον ἀνιχνεύωμεν θησαυρόν. διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· ἐρευνᾶτε τὰς γραφάς· ἐπειδὴ οὐ πανταχοῦ ἐξ ἐπιπολῆς ἐστιν εὑρεῖν τὸν νοῦν τῶν ἐγγεγραμμένων, ἀλλὰ χρεία καὶ πολλῆς ἐρεύνης ἐστὶν ἡμῖν, ὥστε μηδὲν ἡμᾶς λαθεῖν τῶν ἐν τῷ βάθει κειμένων. εἰ δὲ ἡ προσηγορία μόνη τῆς φύσεως, τὸ ἄνθρωπος ὄνομα λέγω, τοσαύτην ἡμῖν ἔτεκε χθὲς ὠφελείας ὑπόθεσιν, πόσον οὐ καρπωσόμεθα κέρδος,

D

εἰ ἕκαστον τῶν ἐν τῇ γραφῇ μετὰ προσοχῆς καὶ ἀγρύπνου διανοίας ἐπίωμεν; καὶ γὰρ φιλάνθρωπον ἔχομεν δεσπότην, καὶ ἐπειδὰν ἴδῃ μεριμνῶντας ἡμᾶς, καὶ πόθον πολὺν ἐπιδεικνυμένους περὶ τὴν τῶν θείων λογίων κατανόησιν, οὐκ ἀφίησιν ἑτέρου τινὸς δεηθῆναι, ἀλλ᾽ εὐθέως φωτίζει τὸν ἡμέτερον λογισμόν, καὶ τὴν παρ᾽ αὐτοῦ ἔλλαμψιν χαρίζεται, καὶ κατὰ τὴν εὐμήχανον αὐτοῦ σοφίαν πᾶσαν τὴν ἀληθῆ διδασκαλίαν ἐντίθησι τῇ ἡμετέρᾳ ψυχῇ. διὰ τοῦτο καὶ προτρέπων ἡμᾶς ἐπὶ τοῦτο, καὶ προθυμοτέρους ἐργαζόμενος μακαρισμοῦ ἀξίους ἀπέφηνε τοὺς τὸν τοιοῦτον πόθον ἐπιδεικνυμένους λέγων,

A μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. ὅρα σοφίαν διδασκάλου, οὐ διὰ τοῦ μακαρισμοῦ μόνον προέτρεψεν, ἀλλὰ καὶ τῷ εἰπεῖν, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ἐδίδαξε τοὺς ἀκούοντας μεθ' ὅσης προθυμίας προσήκει πρὸς τὴν τῶν πνευματικῶν λογίων ἔρευναν ὁρμᾷν. καθάπερ γάρ φησιν οἱ πείνης προηγησαμένης μετὰ προθυμίας ἀφάτου ἐπὶ τὴν τροφὴν ἐπείγονται, καὶ οἱ ἀπὸ τοῦ πολλοῦ δίψους ἐκκαιόμενοι τῷ πόματι προσίασι, κατὰ τὸν αὐτὸν δὴ τρόπον, προσήκει καθάπερ πεινῶντας καὶ διψῶντας οὕτω τῇ διδασκαλίᾳ τῇ πνευματικῇ προσιέναι. οἱ γὰρ τοιοῦτοι οὐ μόνον μακαρισμῶν ἄξιοι, ἀλλὰ καὶ τῶν B σπουδαζομένων ἐπιτεύξονται. καὶ γὰρ χορτασθήσονται φησί, τουτέστιν, ἐμπλησθήσονται, πληρώσουσιν αὐτῶν τὴν ἐπιθυμίαν τὴν πνευματικήν. ἐπεὶ οὖν τοιοῦτον ἔχομεν δεσπότην, οὕτω φιλότιμον, φέρε καὶ ἡμεῖς ἐπ' αὐτὸν καταφύγωμεν, καὶ τὴν παρ' αὐτοῦ ῥοπὴν ἐπισπασώμεθα, ἵνα καὶ αὐτὸς τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος φωτίσῃ ἡμῶν τὸν λογισμὸν πρὸς τὸ κατοπτεύειν τῶν θείων γραφῶν τὴν δύναμιν· καὶ ὑμεῖς δὲ μετὰ πολλῆς τῆς προθυμίας καθάπερ πεινῶντες καὶ διψῶντες οὕτω τὴν πνευματικὴν διδασκαλίαν ὑποδέξασθε. ἴσως γὰρ, ἴσως ὁ C ἀγαθὸς καὶ εὐμήχανος δεσπότης, κἂν ἡμεῖς εὐτελεῖς ὦμεν, καὶ μηδενὸς λόγου ἄξιοι, ἀλλὰ δι' ὑμᾶς καὶ τὴν ὠφέλειαν τὴν ὑμετέραν χορηγήσει λόγον ἡμῖν ἐν ἀνοίξει στόματος εἰς δόξαν αὐτοῦ καὶ εἰς οἰκοδομὴν ὑμετέραν. εἰς τὴν ἄνωθεν τοίνυν χάριν τὸ πᾶν ἐπιρρίψαντες, κἀκεῖνον ἐπικαλεσάμενοι τὸν σοφίζοντα τοὺς τυφλοὺς, καὶ τρανοῦντα τὰς γλώσσας τῶν μογιλάλων, ἁψώμεθα καὶ τῶν προσφάτως ἀνεγνωσμένων, ἵν' ἅπερ ἂν αὐτὸς χορηγήσῃ τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, ταῦτα παραθῶμεν τῇ ὑμετέρᾳ ἀγάπῃ. ἀλλὰ συντείνατέ μοι παρακαλῶ τὴν διάνοιαν, καὶ μετὰ ἀκριβείας προσ- D έχετε τοῖς λεγομένοις πάντα βιωτικὸν λογισμὸν ἑαυτῶν ἀποστήσαντες, ἵνα καθάπερ εἰς λιπαρὰν ἄρουραν τῶν βοτανῶν καὶ τῶν ἀκανθῶν ἐκκεκαθαρμένων, οὕτω τὸν πνευματικὸν σπόρον καταβάλωμεν. αὗται δέ φησιν αἱ γενέσεις Νῶε, Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ θεῷ εὐηρέστησε Νῶε. ἄχρι τούτου τέλος ἔσχε τὰ τῆς διδασκαλίας χθὲς, διὸ χρὴ τὰ λειπόμενα εἰς μέσον προθεῖναι. ἐγέννησε δέ, φησι, Νῶε τρεῖς υἱοὺς, τὸν Σὴμ, τὸν Χὰμ, τὸν Ἰάφεθ. οὐχ ἁπλῶς ἡμῖν ἡ θεία

Beati qui eſuriunt & ſitiunt iuſtitiam, quia ipſi ſaturabuntur. Vide ſapientiam doctoris, non ſolum nos per beatitudinem hortatur, ſed & dum dicit: Qui eſuriunt & ſitiunt iuſtitiam: (Matth. 5.6.) docuit audientes, quanta alacritate ad ſpiritualia eloquia inueſtiganda ire congruat: dicere enim vult, Quemadmodum, inquit, ij qui fame duce mira promptitudine ad cibos feſtinant, & qui ita ſitiunt, vt præ ſiti flagrent, ad potum magna cum alacritate accedũt: eodem modo ad ſpiritualem doctrinam, tanquam eſurientes & ſitientes accedere par eſt. Tales enim nõ ſolum beatitudinibus digni, ſed & quæ cupiũt aſſequuntur. Etenim ſatiabũtur, inquit, hoc eſt explebuntur: explebunt ſuum ſpirituale deſiderium. Igitur quia tam bonus, támq; liberalis dominus nobis eſt: age & nos ad ipſum confugiamus, & eius nobis gratiam conciliemus, vt & ipſe pro ſua miſericordia illuſtret noſtram mentem ad videndam diuinarum ſcripturarum virtutem: & vos quoque multa alacritate ſpiritualem doctrinã quaſi eſurientes & ſitientes ſuſcipite. Fortè enim, fortè bonus & omnipotens Dominus, etiam ſi nos humiles ſimus & abiecti, propter vos & veſtram vtilitatem ſuppeditabit nobis ſermonem in apertione oris in gloriam (Ephes. 6. 19.) ſuam, & in ædificationem veſtram. Proiecta igitur cura noſtra omni in Deum, cuius gratiam expectamus, & inuocato eo qui & ſapientiam dat paruulis, & illuminat cæcos, & expedite loqui cõcedit balbis, paulò ante lecta tractemus: vt quæ ipſe pro ſua miſericordia nobis ſuppeditarit, charitati veſtræ proponamus. Sed intenta obſecro adſitis mente, & diligenter iis quæ dicuntur attendite, omnéſque huius vitæ curas ſeponite, vt ſpirituale ſemen, quaſi in pinguem agrum, exuſtis ſpinis & herbis, proiiciam. Iſtæ autem, inquit, generationes Noë. Noë homo iuſtus, perfectus exiſtens in generatione ſua: Deo placuit Noë. In iis nuper finem docendi faciebamus, ideo ſequentia in medium proponenda ſunt. *Genuit autem*, inquit, *Noë tres filios, Sem, Cham, Iapheth.* Non abſque cauſa diuina ſcriptura

& tempus, & numerum nobis aſſignauit filiorum iuſti: ſed & hic nobis latenter inſinuare vult excellentem multiplicémque eius virtutem. Nam poſtquam ſuperius dixit, quòd Noë erat quingentorum annorum: tunc ſubdidit: Et genuit tres filios: docendo nos ſummam continentiæ illius magnitudinem tunc fuiſſe, cùm tantæ intemperantiæ dediti eſſent omnes homines, tantáque ſalacitate omnes ætates, vt ita dicam, ad malum ruerent. Audiſtis enim ſcripturam dicentem: Vt autem vidit Dominus quòd impletæ ſunt malitiæ ſuper terram, & nullus non cogitaret mala diligenter in corde ſuo à iuuentute. Vbi manifeſtè declarat, quòd & iuuenes vincebant prouectiores ætate, & ſenes non minus quàm iuuenes inſaniebant, & ad malum multa procliuitate propenſa erat ipſa etiam ætas malorum inexperta. Vt igitur diſcamus, quo pacto iis omnibus tantam inſaniam ac rabiem præ ſe ferentibus, iuſtus ille manſerit ſolus, continentiæ virtutem cum aliis ſtrenuè ſeruans, donec ad quingenteſimum annum peruenit: cùm dixiſſet: Erat Noë quingentorum annorum, tunc inquit: Et genuit Noë tres filios. Vidiſti dilecte excellentem iuſti temperantiam? Ne hoc ita perfunctoriè tranſeamus, ſed & tempus illud expendamus, & malitiam quæ ſuper omne hominum genus ob eorum deſidiam ſe extenderat, & cõſideremus quãtæ ſit virtutis & pietatis erga Deum, in tantam temporis longitudinem concupiſcentiæ rabiem refrænare, viámque longè ab aliis diuerſam ingredi: & non ſolum ab illicito coitu ſe cohibere, ſed & à legitimo & inculpato. *Et genuit,* inquit, *Noë tres filios: Sem, Cham, Iapheth.* [11] *Corrupta autẽ erat terra coram Deo, & repleta eſt terra iniuſtitia.* Mihi videtur diuina diſpenſatione factum, quòd iuſtus iſte etiam nunc à coitu abſtinet, & pueros iſtos habet. Quia enim ob malitiæ magnitudinem & excellentem prauitatem generali diluuio totum orbum deleturus erat miſericors Deus, quaſi radicem aliquam, & fermentum voluit iuſtum illum ſupereſſe, vt abolitis illis origo quædam eſſet futurorũ.

A καὶ τὸν καιρὸν καὶ τὸν ἀριθμὸν ἐπεσημήνατο τῶν παίδων τοῦ δικαίου. ἀλλὰ καὶ ἐντεῦθεν ἡμῖν λανθανόντως παραδηλῶσαι βουλομένη τῆς πολλῆς αὐτοῦ ἀρετῆς τὴν ὑπερβολήν. ἀνωτέρω γὰρ εἰποῦσα, ὅτι Νῶε ἦν ἐτῶν πεντακοσίων, τότε ἐπήγαγε, καὶ ἐγέννησε τρεῖς υἱοὺς διδάσκουσα ἡμᾶς τῆς ἐγκρατείας αὐτοῦ τὸ ὑπεράγαν μέγεθος, καὶ ὅτι πάντων τῶν τότε ὄντων ἀνθρώπων τοσαύτῃ ἀκρασίᾳ κεχρημένων, καὶ πολλὴν τὴν λαγνείαν ἐπιδεικνυμένων, καὶ πάσης ὡς εἰπεῖν τῆς ἡλικίας ἐπὶ τὴν κακίαν αὐτομολησάσης. ἠκούετε γὰρ τῆς θείας γραφῆς λεγούσης, ἰδὼν δὲ κύριος ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων B ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται τὰ πονηρὰ ἐπιμελῶς ἐν τῇ καρδίᾳ αὐτοῦ ἐκ νεότητος, καὶ σαφῶς ἡμῖν δεικνυούσης, ὅτι καὶ νέοι ἐνίκων τοὺς προβεβηκότας, καὶ οἱ γέροντες τῶν νέων οὐκ ἔλαττον ἐμαίνοντο, καὶ ὅτι καὶ αὐτὴ ἡ ἀπειρόκακος ἡλικία πρὸς τὴν κακίαν πολλὴν εἶχε τὴν ῥοπήν. ἵνα τοίνυν μάθωμεν, ὅπως τούτων ἁπάντων πολλὴν τὴν λύσσαν, καὶ τὴν μανίαν ἐπιδεικνυμένων ὁ δίκαιος οὗτος ἔμεινε μόνος τὸ τῆς σωφροσύνης ἆθλον μετὰ τῆς ἄλλης ἀρετῆς κατορθῶν μέχρις ὅτε εἰς τὸ πεντακοσιοστὸν ἔτος ἔφθασε, μετὰ τὸ εἰπεῖν, ἦν Νῶε ἐτῶν πεντακοσίων, C τότε φησὶ, καὶ ἐγέννησε Νῶε τρεῖς υἱούς. εἶδες ἀγαπητὲ τοῦ δικαίου τὴν ὑπερβάλλουσαν ἐγκράτειαν; μὴ γὰρ δὴ ἁπλῶς αὐτὰ παραδράμωμεν, ἀλλὰ καὶ τὸν καιρὸν ἐννοήσαντες ἐκεῖνον καὶ τὴν κακίαν τὴν κατὰ παντὸς τοῦ τῶν ἀνθρώπων γένους διὰ τὴν πολλὴν ῥαθυμίαν ἐπιπολάζουσαν σκοπήσωμεν πόσης ἦν ἀρετῆς καὶ φιλοθέου γνώμης, ἐν τοσούτῳ μήκει χρόνου τῆς ἐπιθυμίας τὴν λύτταν χαλινῶσαι, καὶ ἀπεναντίας τοῖς ἄλλοις ἅπασιν ἐλθεῖν, καὶ μὴ μόνον τῆς παρανόμου μίξεως ἀπέχεσθαι, ἀλλὰ καὶ τῆς νενομισμένης, καὶ τῆς ἔξω τυγχανούσης ἐγκλημάτων. D καὶ ἐγέννησε, φησι, Νῶε τρεῖς υἱοὺς τὸν Σὴμ, τὸν Χὰμ, τὸν Ἰάφεθ, ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας. ἐμοὶ δοκεῖ τῇ τοῦ θεοῦ οἰκονομίᾳ ὑπηρετούμενον τὸν δίκαιον τοῦτον, καὶ νῦν τῆς μίξεως ἀνασχέσθαι, καὶ τοὺς παῖδας τούτους ἔχειν. ἐπειδὴ γὰρ διὰ τὸ τῆς κακίας μέγεθος, καὶ τὴν ὑπερβάλλουσαν πονηρίαν πανωλεθρίᾳ ἤμελλε τὴν οἰκουμένην καταλήψεσθαι, ὁ δὲ φιλάνθρωπος θεὸς καθάπερ ῥίζαν τινὰ καὶ ζύμην ἐβούλετο τὸν δίκαιον καταλιπεῖν, ἵνα ἀρχὴ γένηται μετὰ τὸν ἐκείνων ἀφανισμὸν τῶν μετὰ ταῦτα μελλόντων ἔσεσθαι,

Ταύτης ἕνεκεν τῆς αἰτίας μετὰ πεντακόσια ἔτη τούτους τοὺς τρεῖς παῖδας ἐγέννησε, μέχρι τούτων ἵσταται, δεικνὺς δι' αὐτῶν τῶν πραγμάτων, ὅτι τῇ μελλούσῃ παρὰ τοῦ θεοῦ φιλανθρωπίᾳ εἰς τὸ τῶν ἀνθρώπων γένος ἔσεσθαι ὑπηρετούμενος τοῦτο πεποίηκε. καὶ ἵνα μάθῃς, ὅτι οὐχ ἁπλῶς στοχασμός ἐστι ταῦτα τὰ ῥήματα, σκόπει τῆς γραφῆς τὴν ἀκρίβειαν. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἔσχεν ὁ δίκαιος τοὺς τρεῖς υἱούς, εὐθέως ἐπήγαγεν· ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας. εἶδες ἐπὶ τῆς αὐτῆς φύσεως πολλὴν καὶ ἄφατον τὴν διαφοράν; ἐπὶ μὲν γὰρ τοῦ δικαίου ἔλεγεν ἡ γραφή, Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· ἐπὶ δὲ τῶν λοι- B πῶν ἁπάντων φησίν, ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας, τῷ ὀνόματι τῆς γῆς τὸ τῶν ἀνθρώπων πλῆθος ὀνομάζει. ἐπειδὴ γὰρ πᾶσαι αὐτῶν αἱ πράξεις γήιναι ἐτύγχανον, διὰ τοῦτο τῷ τῆς γῆς ὀνόματι τὴν εὐτέλειαν αὐτῶν ἐμφαίνει, καὶ τῆς κακίας τὴν ὑπερβολήν. καθάπερ γὰρ ἐπὶ τοῦ πρωτοπλάστου μετὰ τὴν παράβασιν καὶ τὴν ἀφαίρεσιν τῆς δόξης τῆς πρότερον περιστελλούσης αὐτόν, τῷ ἐπιτιμίῳ τοῦ θανάτου ἑαυτὸν ὑπαγαγὼν ἔλεγε, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, οὕτω δὴ καὶ ἐνταῦθα ἐπειδὴ πολλὴ τῶν κακῶν ἡ ἐπίτασις, φησίν, ἐφθάρη δὲ ἡ γῆ· καὶ οὐχ ἁπλῶς εἶπεν, ἐφθάρη ἡ γῆ, ἀλλ' ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ τῆς ἀδικίας. τῷ εἰπεῖν, ἐφθάρη, πᾶσαν τὴν κακίαν αὐτῶν ἐνέφηνεν. οὐδὲ γάρ ἐστιν εἰπεῖν, ὅτι ἑνὶ καὶ δύο ἁμαρτήμασιν ὑπευθύνους ἑαυτοὺς κατέστησαν, ἀλλὰ πάσας παρανομίας μετὰ πολλῆς τῆς δαψιλείας διεπράττοντο. διὸ καὶ ἐπήγαγε, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας. οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε τὴν κακίαν ἐπετήδευον, ἀλλ' ἑκάστην ἁμαρτίαν μετὰ πολλῆς τῆς ἐπιτάσεως ἐπεδείκνυντο. καὶ ὅρα πῶς λοιπὸν οὐδὲ μνήμης αὐτοὺς ψιλῆς ἀξιῶσαι D ἀνέχεται, ἀλλὰ τῷ τῆς γῆς ὀνόματι αὐτοὺς καλεῖ δεικνῦσα καὶ τῆς κακίας τὴν ὑπερβολὴν καὶ τῆς τοῦ θεοῦ ἀγανακτήσεως τὸ μέγεθος. ἐφθάρη δὲ ἡ γῆ, φησίν, ἐναντίον τοῦ θεοῦ, τοῦτ' ἔστιν ἀπεναντίας τοῖς τοῦ θεοῦ προστάγμασιν ἅπαντα διεπράττοντο καταπατοῦντες τοῦ θεοῦ τὰς ἐντολάς, καὶ τὸν ἐν τῇ φύσει κείμενον τῇ ἀνθρωπίνῃ διδάσκαλον διὰ τῆς οἰκείας ῥᾳθυμίας προδεδωκότες. καὶ ἐπλήσθη φησὶν ἡ γῆ ἀδικίας. εἶδες ἀγαπητὲ ὅσον κακὸν ἁμαρτία, πῶς καὶ αὐτῆς τῆς προσηγορίας καὶ τοῦ ἀνθρώποις ὀνομάζεσθαι λοιπὸν ἀναξίους ἀπεργάζεται;

A Huius rei gratia, cùm iam quingentorum eſſet annorum, haberétque filios iſtos tres, iſtis contentus fuit: re ipſa declarans hoc ſe feciſſe, vt diuinæ in humanum genus futuræ benignitati ſeruiret. Et quò ſcias hoc nō eſſe temeraria coniectura dictum, conſidera ſcripturæ diligentiā. Nam poſtquam dixit, quòd iuſtus ille tres habuérit filios, ſtatim ſubdidit: Corrupta eſt autem terra coram Deo, & impleta eſt terra iniuſtitia. Vidiſti in eadem natura magnam & ineffabilem varietatem? De iuſto enim dicebat ſcriptura: Noë homo iuſtus, perfectus exiſtens in generatione ſua: de reliquis autem omnibus inquit. Corrupta eſt terra coram Deo, & impleta eſt terra iniuſtitia. Nomine enim terræ, hominum multitudinē vocat, eò quòd omnia eorum operá terreſtria erant: & idcirco terræ nomine & eorum vilitatem, & malitiæ excellentiam ſignificat. Nam ſicut de protoplaſto, qui legem tranſgreſſus, gloriam qua tegebatur amiſit, mortiſque pœnæ obnoxius factus fuit, dicebat: Terra es, & in terram C abibis: Ita & hîc, quia plurimum inualuerant peccata, inquit, Corrupta autem erat terra. Neque ſimpliciter dicit, Corrupta autem erat terra: ſed, coram Deo: & impleta eſt terra iniuſtitia. Dicendo enim, Corrupa eſt, omnigenam illorum malitiam emphaſi quadam dixit. Non enim vnius vel duorum peccatorum tantum rei erant, ſed omnes iniquitates abſque modo committebant: ideo & ſubdit, Et impleta eſt terra iniuſtitia. Non obiter, neqúe vulgariter malitiæ ſtudebant, ſed peccata quæque feruenti contentione agebant. Et vide quomodo illos poſtea ne tenui quidem memoria dignatur, ſed nomine terræ vocat, ſimul indicans & Dei indignationem, & peccatorum grauitatem. Corrupta eſt autem terra, inquit, coram Deo, hoc eſt, ſecus quàm præceptum erat à Deo omnia faciebant, mandata Dei conculcantes, & magiſtrum naturæ humanæ inſitum amittentes. Et impleta eſt terra, inquit, iniuſtitia. Vidiſti dilecte quantum malum ſit peccatum, quomodo homines facit, vt ſuo nomine vocari non ſint digni?

Audi nunc quæ ſequuntur: [12] *Et vidit dominus Deus terrã, & erat corrupta.* (Gen. 6. 12.) Vide iterum quomodo eos terram vocet: & poſtea cum ſemel atque iterum & tertiò nominauit terram, vt ne quis de terra ſenſibili eum dixiſſe ſuſpicetur, inquit: Quia corrupit omnis caro viam ſuam ſuper terram. Neque nunc hominis appellatione eos dignatur, ſed carnem vocat: quo nos docere voluit, quòd non de terra hæc dicat, ſed de hominibus carne amictis, & terreſtribus negociis ſeſe totos impendẽtibus. Mos enim ſcripturæ eſt, vt ſæpe charitati veſtræ dixi, carnalia ſapientes, & nihil ſublime cogitantes, carnis nomine appellare, ſicut & beatus Paulus inquit: (Rom.8. 8.) Qui autẽ in carne ſunt, Deo placere non poſſunt. Quid igitur? non fuit in carne & is qui hęc dicebat? Non hoc dixit, quòd qui carne circumdati ſint, Deo placere non poſſint: ſed de his loquitur, qui nullam virtutis rationem habent, & nihil niſi carnale ſapientes, carnis voluptates ſectantur, nullámque animæ incorporeæ & ſpiritualis curam gerunt. Itaque quia dictis iſtis diuina ſcriptura docuit nos peccatorum multitudinem, malitiæ exceſſum, indignationis diuinæ magnitudinem, & quòd ob ſtudium malorum operum ſemel atque iterum ac tertiò terram eos qui tunc viuebant nominauit, carniſque nomine vocauit ſpoliatos communis naturæ vocabulo: nunc per ea quæ ſubdit, ineffabilem Dei miſericordiam, & condeſcenſionis eius excellentiam oſtendit nobis. Quid enim ait? Et dixit Dominus ad Noë. Vide ſummam bonitatem: ſiquidem iuſto huic, ſicut amicus amico cõmunicat, quam pœnam humano generi ſit intẽtaturus, & dicit: [13] *Tempus omnis hominis venit coram me. Quia impleta eſt terra iniuſtitia ex illis. Et ecce ego diſperdo illos & terram.* Quid eſt, tempus omnis hominis venit coram me? Magnam, inquit, oſtendi longanimitatem, magnam tolerantiam, nolens hanc inferre pœnam, quam illaturus ſum: ſed quia immodica peccatorum illorum multitudo in hoc tempus eos adduxit, & finem iis imponere oportet, excindíque illorum malitiam, ne vlterius progrediatur.

A ἄκουε πάλιν καὶ τῶν ἑξῆς. καὶ εἶδε κύριος ὁ θεὸς τὴν
γῆν, καὶ ἦν κατεφθαρμένη. ὅρα πάλιν γῆν αὐτοὺς
ὀνομαζομένους. εἶτα ἐπειδὴ ἅπαξ καὶ δεύτερον καὶ
τρίτον γῆν αὐτοὺς ὠνόμασεν, ἵνα μή τις ὑπολάβῃ
περὶ τῆς γῆς τῆς αἰσθητῆς ταῦτα εἰρῆσθαι, φησὶν,
ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς
γῆς. οὐδὲ νῦν ἀνθρώπους αὐτοὺς καλέσαι κατη-
ξίωσεν, ἀλλὰ τῷ τῆς σαρκὸς ὀνόματι μόνον ἐνδεί-
ξασθαι ἡμῖν βούλεται, ὅτι οὐ περὶ τῆς γῆς ταῦτά φη-
σιν, ἀλλὰ περὶ τῶν ἀνθρώπων τῶν σάρκα περικειμένων
καὶ ταῖς γηΐναις πράξεσιν ἑαυτοὺς καταναλωσάν-
των. ἔθος γὰρ τῇ γραφῇ καθάπερ πολλάκις εἴπομεν
B ἐπὶ τῆς ὑμετέρας ἀγάπης, τοὺς σαρκικὸν φρόνημα
ἐπιδεδειγμένους, καὶ μηδὲν ὑψηλὸν φανταζομένους
τῷ τῆς σαρκὸς ὀνόματι προσαγορεύειν, καθάπερ καὶ ὁ
μακάριος Παῦλός φησιν· οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ
ἀρέσαι οὐ δύνανται. τί οὖν; αὐτὸς ὁ ταῦτα λέγων
οὐχὶ σάρκα περιέκειτο; ἀλλ᾽ οὐ τοῦτό φησιν, ὅτι οἱ σάρ-
κα περικείμενοι οὐ δύνανται ἀρέσαι οὕτω τῷ θεῷ,
ἀλλ᾽ ὅτι οἱ μηδένα τῆς ἀρετῆς λόγον ποιούμενοι,
ἀλλὰ πάντα τὰ σαρκικὰ φρονοῦντες, καὶ περὶ τὰς
ταύτης ἡδονὰς κατασπώμενοι, καὶ μηδεμίαν τῆς ψυ-
χῆς τῆς ἀσωμάτου καὶ νοερᾶς φροντίδα ποιούμενοι.
C ἐπεὶ οὖν διὰ τῶν εἰρημένων ἐδίδαξεν ἡμᾶς ἡ θεία
γραφὴ τῶν ἁμαρτημάτων τὸ πλῆθος, τῆς κακίας τὴν ὑπερ-
βολὴν, τῆς ἀγανακτήσεως τοῦ θεοῦ τὸ μέγεθος, καὶ ὅτι
διὰ τὴν τῶν πονηρῶν ἔργων ἐπιτήδευσιν καὶ ἅπαξ καὶ
δεύτερον καὶ τρίτον γῆν αὐτοὺς ὠνόμασε, καὶ τῷ τῆς
σαρκὸς ὀνόματι προσηγόρευσεν, ἀποστερήσασα τοῦ τῆς
κοινῆς φύσεως ὀνόματος, διὰ τῶν ἐπαγομένων τὴν ἄ-
φατον ἡμῖν τοῦ θεοῦ φιλανθρωπίαν ἐνδείκνυται καὶ τῆς
συγκαταβάσεως τὴν ὑπερβολήν. τί γάρ φησι; καὶ
εἶπεν ὁ θεὸς πρὸς Νῶε. ὅρα ἀγαθότητος ὑπερβο-
λήν. καθάπερ γὰρ φίλος φίλῳ, οὕτω λοιπὸν κοινοῦ-
D ται τῷ δικαίῳ περὶ τῆς τιμωρίας, ἣν ἐπάγειν μέλ-
λει τῷ τῶν ἀνθρώπων γένει, καί φησι· καιρὸς παν-
τὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ, ὅτι ἐπλήσθη ἡ
γῆ ἀδικίας ἀπ᾽ αὐτῶν, καὶ ἰδοὺ ἐγὼ καταφθείρω αὐ-
τοὺς καὶ τὴν γῆν. τί ἐστι καιρὸς παντὸς ἀνθρώπου
ἥκει ἐναντίον ἐμοῦ; πολλήν φησιν ἐπεδειξάμην τὴν
μακροθυμίαν, πολλὴν τὴν ἀνεξικακίαν, οὐ βουλό-
μενος ταύτην ἐπάγειν τὴν τιμωρίαν, ἣν ἐπάγειν
μέλλω, ἀλλ᾽ ἐπειδὴ πολλὴ τῶν ἡμαρτημένων αὐτοῖς ἡ
ὑπερβολή, εἰς αὐτὸν ἤγαγεν αὐτοὺς τὸν καιρὸν καὶ
τέλος δεῖ λοιπὸν ἐπιθεῖναι, καὶ ἐκκόψαι αὐ-
τῶν τὴν κακίαν, ὥστε μὴ περαιτέρω προβῆναι·

A Καιρὸς γὰρ φησὶ παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ. ὅρα καὶ ἐνταῦθα, πῶς καθάπερ ἀνωτέρω ἔλεγε· πᾶς τις διανοεῖται, οὕτω καὶ νῦν, παντὸς ἀνθρώπου. πάντες γὰρ συμφωνοῦσι, πρὸς τὴν παρανομίαν ηὐτομόλησαν φησι, καὶ οὐκ ἔστιν εὑρεῖν ἐν τοσούτῳ πλήθει τινὰ τῆς ἀρετῆς λόγον ποιούμενον. καιρὸς γὰρ, φησὶ, παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ. καιρὸς, τουτέστιν, ἔφθασεν ὁ καιρὸς, καθ' ὃν δεῖ τὴν τομὴν ἐπιθεῖναι, καὶ τὴν νομὴν τοῦ ἕλκους ἐπισχεῖν. καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ, ὡσπερεὶ μηδενὸς ἐφορῶντος, καὶ μέλλοντος εὐθύνας ἀπαιτεῖν τῶν αὐτοῖς πεπλημμελημένων, οὕτω καὶ πρὸς τὰς παρανόμους πράξεις B ἑαυτοὺς ἐξέδωκαν, οὐκ ἐννοοῦντες ὅτι ἐμὲ λαθεῖν οὐχ οἷόν τε τὸν τὴν σύστασιν τῆς ζωῆς χαριζόμενον, καὶ σῶμα καὶ ψυχὴν χαρισάμενον, καὶ τοσούτων ἀγαθῶν τὴν χορηγίαν παρεσχηκότα, καιρὸς τοίνυν παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ. εἶτα ὥσπερ ἀπολογούμενος τῷ δικαίῳ, καὶ δεικνὺς ὅτι ἡ τῶν ἡμαρτημένων αὐτοῖς ὑπερβολὴ εἰς ταύτην αὐτὸν ἐκκαλεῖται τὴν ἀγανάκτησιν, φησιν, ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' αὐτῶν. μὴ γὰρ παρέλιπόν τι φησὶ τῶν εἰς κακίαν συντεινόντων; τοσοῦτον ἐπεδείξαντο τὸ μέγεθος, C ὡς καὶ ὑπερβλύζειν λοιπὸν τὴν κακίαν, καὶ πᾶσαν τὴν γῆν τῆς κακίας ἐμπεπλῆσθαι. διά τοι τοῦτο καὶ αὐτοὺς καταφθείρω καὶ τὴν γῆν. καὶ ἰδοὺ φησιν, ἐγὼ καταφθείρω αὐτοὺς καὶ τὴν γῆν. ἐπεὶ αὐτοὶ προλαβόντες διὰ τῶν παρανόμων πράξεων ἑαυτοὺς κατέφθειραν, διὰ τοῦτο πανωλεθρίαν ἐπάγω, καὶ ἀφανισμὸν ἐργάζομαι, καὶ αὐτῶν καὶ τῆς γῆς, ἵνα καθαρμόν τινα δυνηθῇ δέξασθαι ἡ γῆ, καὶ ἀποκαθήρασθαι τοῦ ῥύπου τῶν τοσούτων ἁμαρτημάτων. ἐννόει μοι λοιπὸν ποίαν εἰκὸς ἔχειν ψυχὴν τὸν δίκαιον τοῦτον ταῦτα ἀκούοντα παρὰ τοῦ δεσπότου. εἰ D γὰρ καὶ πολλὴν ἀρετὴν ἑαυτῷ συνῄδει, ἀλλ' ὅμως οὐκ ἀναλγήτως ἐδέχετο τὰ λεγόμενα. φιλόστοργον γὰρ τῶν δικαίων τὸ γένος, καὶ ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας πάντα ἂν ἕλοιντο εὐκόλως ὑπομεῖναι. πῶς τοίνυν εἰκὸς ἦν ἐκ τῶν ῥημάτων τούτων συνέχεσθαι τὸν θαυμάσιον τοῦτον ὑπογράφοντα ἤδη τῷ λογισμῷ τὴν ἁπάντων ἀπώλειαν, καὶ τὴν τῆς κτίσεως ἁπάσης φθορὰν, ἴσως οὐδὲ περὶ αὐτοῦ τι χρηστὸν ὑποπτεύοντα; οὐδέπω γὰρ ἦν αὐτῷ τοῦτο φανερόν.

Tempus enim, inquit, omnis hominis venit coram me. Vide & hic, quomodo ſuperius dicebat, Vnuſquiſque cogitat: ita & nunc omnis hominis Omnes enim conſentiunt, omnes ad iniquitatem transfugerunt, inquit, & in tanta multitudine non inueniri poteſt aliquis, cui virtutis ſit cura. Tempus enim, inquit, omnis hominis venit coram me. Tempus, hoc eſt, aduenit tempus quo ſecandum erit, & ſerpigo vlceris compeſcenda. Tempus omnis hominis venit coram me, quaſi nemo videret, rationémque delictorum ab ipſis exacturus eſſet, ſic ſeſe malis operibus manciparunt, non cogitantes quòd me nihil latere queat, qui vitam animámque & corpus dedi, tótque bona ſuppeditaui. Tempus igitur omnis carnis venit coram me. Dein quaſi ſatisfacturus, rationémque redditurus iuſto, monſtrat quòd in tantam ſe indignationem prouocarint homines peccatorum nimietate, inquiens: Quia impleta eſt terra iniuſtitia ex illis. Num prætermiſſum eſt aliquid, inquit, ab eis ita ad peccatum contendentibus? Tantam malitiæ magnitudinem videre licet, vt & affluat, & exundet, totámque terram impleat: propterea & ipſos corrumpo, & terram. Ecce, inquit, ego corrumpo illos & terram. Quia priores ipſi malis ſuis operibus ſeipſos corruperunt: idcirco generalem interitum inducam, aboleríque faciam & ipſos, & terram, vt purificationem accipiat terra, & à peccatorum maculis emundetur. Cogita nunc obſecro, qualem tunc habuiſſe putas animam iuſtum iſtum, cùm hæc à Domino audiret? Nam licet multarum virtutum ſuarum conſcius eſſet, non tamen abſque dolore quæ dicebantur accepit. Amicum enim, & ad diligendum propenſum eſt iuſtorum genus, & pro aliorum ſalute iuſti quæque ferre eligerent. Quomodo igitur eximius ille affectus fuit, cùm mente ſua omnium interitum & totius naturæ abolitionem tractaret, & fortaſſis nec ſibi ipſi iucundum quiddam polliceretur? Nondum enim quidquam de hac re comperti habebat.

Vt igitur mente non turbaretur, ſed paruam quandam conſolationem in tãta mœroris magnitudine accipere poſſet, poſtquam docuit eum malitiæ illorum grauitatem, & quòd tẽpus vrgeat exigens, vt profunda ſectione incidãtur, dicit ei: Illi quidem communi perditione interibũt:[14] *At tu fac tibiipſi arcam.* Quid eſt, At tu? Quia non communicaſti eorum peccato, ſed omnem in virtutibus vitam peregiſti: ideo tibi impero, vt extruas arcam ex lignis quadratis incorruptis. *Manſiunculas per arcam facies, & glutinabis intrinſecus & extrinſecus eam bitumine.* [15] *Sit autem trecentorum cubitorum longitudo, & quinquaginta latitudo, & triginta cubitorum altitudo. Colligens facies arcam, & in cubitum conſummabis eius ſummitatem.* [16] *Ianuam autem facies à latere, cubiculis bicameratis, & tricameratis facies eam.* Conſidera condeſcenſionem Dei, & ineffabilem virtutem miſericordiámque omnem rationem tranſcendentem. Simul declarat & ſuam erga iuſtum prouidentiam, vt fabricet arcam illi imperans: ordinánſque interim modum in quem conſtruenda, nempe in quam longitudiuem, latitudinem & ſublimitatem, & maximam ei conſolationem affert, ſpem ſalutis per arcæ conſtructionem oſtendens. Volebat autem illos quoque qui tam grauiter peccauerant, fabricatione arcæ admoneri, vt ſecum cogitarent quæ feciſſent, reſipiſcendóque indignationem non experirentur. Neque enim paruum illis tempus denuo ad reſipiſcentiam conceſſum, donec fabricaretur arca: ſed planè multum & ſufficiens fuiſſet, niſi adeo ingrati & ſtupidi fuiſſent, ad erratorum emendationem. Veriſimile enim, quòd quicunque ex eis viderit iuſtũ, qui fabricabatur arcam, & cauſam extructionis ſciſcitatus ſit, & poſtea cognouerit diuinam indignationem, inde, ſi voluiſſet, potuiſſet ad ſuorum peccatorum agnitionem venire. Verùm hæc illis nullam vtilitatem attulerunt, non quia non potuerunt, ſed quia noluerunt. Igitur poſtquam de conſtruenda arca iuſto præcepit, communicat & narrat ei etiam pœnæ ſpeciem, quam illaturus erat, & dicit:

Liberũ arbitriũ peccatorum.

A ἵν' οὖν μὴ διαταράττηται τὸν λογισμὸν, ἀλλὰ μικράν τινα παραμυθίαν ἐν τῷ τοσούτῳ μεγέθει τῆς ἀθυμίας ἔχειν δυνηθῇ, ἐπειδὴ ἐδίδαξεν αὐτὸν τῆς κακίας αὐτῶν τὴν ὑπερβολὴν, καὶ ὅτι καιρὸς κατεπείγει λοιπὸν ἀπαιτῶν βαθεῖαν αὐτοὺς δέξασθαι τὴν τομὴν, φησὶ πρὸς αὐτόν· ἐκείνοις μὲν κοινὸς ὄλεθρος ἐκδέξεται, σὺ δὲ ποίησον σεαυτῷ κιβωτόν. τί ἐστι σὺ δέ; ἐπειδὴ οὐκ ἐκοινώνησας αὐτοῖς τῆς κακίας, ἀλλὰ καὶ μετ' ἀρετῆς τὸν βίον ὅλον διήνυσας, διὰ τοῦτό σοι προστάττω κιβωτὸν κατασκευάσαι ἐκ ξύλων, τετραγώνων, ἀσήπτων, νοσσιὰς ποιήσεις τὴν κιβωτὸν, καὶ
B ἀσφαλτώσεις ἔξωθεν καὶ ἔσωθεν αὐτὴν τῇ ἀσφάλτῳ. ἔστω δὲ τριακοσίων πηχῶν τὸ μῆκος, καὶ πεντήκοντα τὸ πλάτος, καὶ τριάκοντα τὸ ὕψος. ἐπισυνάγων ποιήσεις τὴν κιβωτὸν καὶ εἰς πῆχυν συντελέσεις αὐτὴν ἄνωθεν, τὴν δὲ θύραν ποιήσεις ἐκ πλαγίων, κατάγαια διώροφα καὶ τριώροφα ποιήσεις αὐτήν. σκόπει θεοῦ συγκατάβασιν καὶ δύναμιν ἄφατον, καὶ φιλανθρωπίαν πάντα νοῦν ὑπερβαίνουσαν, ὁμοῦ δὲ τὴν περὶ τὸν δίκαιον πρόνοιαν ἐπιδείκνυται προστάττων αὐτῷ τὴν κιβωτὸν κατασκευάσαι, καὶ διαταξάμενος καὶ τὸν
C τρόπον τῆς κατασκευῆς καὶ τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος, καὶ παραμυθίαν αὐτῷ χαρίζεται μεγίστην, ἐλπίδας αὐτῷ σωτηρίας ὑπογράφων διὰ τῆς κατασκευῆς, κἀκείνους τοὺς τοσαῦτα ἡμαρτηκότας βουλόμενος διὰ τῆς κατασκευῆς τῆς κιβωτοῦ εἰς ἔννοιαν ἐλθόντας τῶν αὐτοῖς εἰργασμένων, καὶ μετάνοιαν ἐπιδειξαμένους τῆς ἀγανακτήσεως τὴν πεῖραν μὴ λαβεῖν. οὐδὲ γὰρ ὀλίγος χρόνος πάλιν αὐτοῖς πρὸς μετάνοιαν παρεσχέθη διὰ τῆς κατασκευῆς τῆς κιβωτοῦ, ἀλλὰ καὶ σφόδρα πολὺς καὶ ἱκανὸς,
D εἰ μὴ σφόδρα ἦσαν ἀγνώμονες καταπλῆξαι πρὸς τὴν διόρθωσιν τῶν ἐπταισμένων. εἰκὸς γὰρ ἕκαστον αὐτῶν ὁρῶντα τὸν δίκαιον τεκταινόμενον τὴν κιβωτὸν τὴν αἰτίαν πυνθάνεσθαι τῆς κατασκευῆς, εἶτα μαθόντα τοῦ θεοῦ τὴν ἀγανάκτησιν, εἰς αἴσθησιν ἐλθεῖν τῶν οἰκείων ἁμαρτημάτων, εἴπερ ἐβούλοντο. ἀλλ' ἐκεῖνοι οὐδὲ ἐντεῦθεν ἐκέρδανόν τι πλέον, οὐκ ἐπειδὴ οὐκ ἠδύναντο, ἀλλ' ἐπειδὴ οὐκ ἠβουλήθησαν. ἐπειδὴ τοίνυν τὰ περὶ τῆς κατασκευῆς τῆς κιβωτοῦ τῷ δικαίῳ διετάξατο, κοινοῦται αὐτῷ καὶ τῆς τιμωρίας τὸ εἶδος, ἧς ἤμελλεν ἐπάγειν, καί φησι·

σὺ μὲν ταύτην κατασκεύασον καθὰ διεταξάμην, A ἐγὼ δὲ ἐπειδὰν πληρώσῃς τὴν κατασκευὴν, καὶ τὰ κατὰ σὲ ἐν ἀσφαλείᾳ καταστήσω. ἐγὼ δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμὸν, ὕδωρ ἐπὶ τὴν γῆν καταφθεῖραι πᾶσαν σάρκα, ἐν ᾗ ἐστὶ πνεῦμα ζωῆς ὑποκάτω τοῦ οὐρανοῦ, καὶ ὅσα ἂν ᾖ ἐπὶ τῆς γῆς τελευτήσει. ὅρα πῶς καὶ διὰ τῆς ἀπειλῆς δείκνυσι τῶν ἡμαρτημένων αὐτοῖς τὸ μέγεθος, καί φησι, καὶ τὴν αὐτὴν τιμωρίαν ἐπάξω καὶ τοῖς λογικοῖς καὶ τοῖς ἀλόγοις. ἐπειδὴ γὰρ τὴν αὐτῶν προεδρείαν προδεδώκασι, καὶ πρὸς τὴν τῶν ἀλόγων μετέπεσον κακίαν, οὐδεμίαν διαφορὰν ἕξει ἡ τιμωρία. ἐπάγω γὰρ κατακλυσμὸν ὕδατος καταφθεῖραι πᾶσαν σάρκα, ἐν ᾗ B ἐστὶ πνεῦμα ζωῆς ὑποκάτω τοῦ οὐρανοῦ. καὶ τὰ κτήνη, φησὶ, καὶ τὰ πετεινὰ καὶ τὰ θηρία καὶ τὰ τετράποδα, καὶ ὅσα ἐστὶν ὑποκάτω τοῦ οὐρανοῦ καταφθαρήσεται. καὶ ἵνα μάθῃς, ὅτι οὐδὲν καταλειφθήσεται, φησι, καὶ ὅσα ἐστὶν ἐπὶ τῆς γῆς τελευτήσει. καὶ γὰρ καθαρσίου λοιπὸν δεῖται ἡ οἰκουμένη, ἀλλὰ τοῦτο μή σε ταραττέτω, μηδὲ συγχείτω σου τὸν λογισμόν. ὁρῶν γὰρ αὐτῶν τοῦ ἕλκους τὸ ἀνίατον, στῆσαι βούλομαι τὰ τῆς κακίας ῥεύματα, ἵνα μὴ μείζοσι τιμωρίαις ἑαυτοὺς ὑπευθύνους καταστήσωσι. διὰ καὶ νῦν τὴν ἑαυτοῦ φιλανθρωπίαν μιμούμενος καὶ ἀγα- C θότητι κεραννὺς τὴν ἀγανάκτησιν τοιαύτην ἐπάγω τὴν τιμωρίαν ὡς ἀνώδυνον αὐτοῖς γενέσθαι καὶ ἀναπαίσθητον. οὐδὲ γὰρ πρὸς τὸ τῶν ἡμαρτημένων αὐτοῖς μέγεθος ἀφορῶν οὐδὲ τίνων ἄξιοι τυγχάνουσιν, ἀλλὰ τὰ μετὰ ταῦτα προορῶν, καὶ τούτοις βούλομαι τὴν ἁρμόττουσαν τιμωρίαν ἐπαγαγεῖν, καὶ τοὺς ἑξῆς μέλλοντας ἔσεσθαι τῆς ἐκ τούτων ἀπαλλάξαι λύμης. μὴ τοίνυν κατηφὴς ἔσο, μηδὲ θορυβοῦ ταῦτα ἀκούων. εἰ γὰρ καὶ ἐκείνοις ἀξία τῶν ἡμαρτημένων δίκη καταλήψεται, ἀλλὰ στήσω τὴν διαθήκην μου μετὰ σοῦ. ἐπειδὴ D πάντες οἱ προλαβόντες ἀναξίους ἑαυτοὺς κατέστησαν, καὶ οὐ γεγόνασιν εὐγνώμονες περὶ τὰς ἐμὰς ἐντολὰς, μετὰ σοῦ λοιπὸν στήσω τὴν διαθήκην μου. καὶ γὰρ ὁ πρωτόπλαστος, μετὰ τοσαύτας εὐεργεσίας ἀπάτην ὑπομείνας παρέβη μου τὰς ἐντολὰς, καὶ ὁ ἐξ ἐκείνου πάλιν τεχθεὶς εἰς αὐτὸν τῆς κακίας τὸν πυθμένα ὤλισθε. διὸ καὶ διηνεκῆ τὴν τιμωρίαν ἐδέξατο μετὰ τῆς κατάρας. ἀλλ' οὐδὲ ταῖς τούτου τιμωρίαις οἱ μετ' αὐτὸν ἐσωφρονίσθησαν, ἀλλὰ καὶ ἐπεδαψιλεύσαντο, ὡς καὶ τῆς γενεαλογίας αὐτοὺς ἀποδοκιμασθῆναι.

Tu quidem hanc para, ſicut præcepi: ego autem vbi tu ædificium compleueris, etiam ea quæ ad te attinent tuta faciam.[17] *Ego autem*, inquit, *inducam diluuium, aquam ſuper terram, vt corrumpat omnem carnem, in qua eſt ſpiritus vitæ, ſubter coelum, & quæcunque fuerint ſuper terram, conſumentur.* Vide quomodo & per minas oſtendit quàm grauia illi peccauerint; & inquit: Etenim eandem pœnam inducam tam rationalibus, quàm rationis expertibus. Quia enim à ſua dignitate, qua brutis præfuerunt, excidêre: dignum eſt vt inter illos & iſta nulla ſit pœnarum differentia. Inducam enim diluuium aquæ, vt corrumpat omnem carnem, in qua eſt ſpiritus vitæ ſubter cœlum. Et iumenta, inquit, & volatilia, & feræ, & quadrupedia, & quæcunque ſub cœlo ſunt, conſumentur. Et vt diſcas quod nihil relinquatur, inquit: Et quæcunque ſunt ſuper terram conſumentur. Nam purificatione orbis opus habet, ſed hoc te non conturbet, neque mentem tuam confundat. Nam quia video vlcera eorum incurabilia, ſiſtere volo malitiæ fluenta, vt ne grauioribus pœnis obnoxios ſe faciant. Idcirco etiã nunc pro mea clementia cùm indignationem bonitate tempero, talem pœnam infero, quæ ſine dolore ſit, & non ſentiatur. Neque enim reſpiciens ad ea quæ peccauerãt, vel quæ meruerant: ſed præuidens futura, & in hos congrua pœna animaduertere, & poſteros ne ab his offendantur, liberare volo. Ne igitur mœſtus ſis, néve turberis hæc audiens. Nam etſi illi dignam peccatis ſuis pœnam luent, *tamen ſtatuam teſtamentum meum tecum.* Nam quia omnes priores indignos ſeſe præſtiterunt, neque de mandatis meis bene ſenſerunt, tecum poſthac ſtatuam teſtamentum meum. Etenim protoplaſtus poſt tot beneficia impoſturam paſſus, mandata mea tranſgreſſus eſt: & qui ex illo natus eſt, ipſe in idem malitiæ profundum incidit, vnde & continuam maledictionis pœnam accepit. Verùm neque illis pœnis poſteri emendatiores facti ſunt, ſed mala ſua ita coaceruarunt, vt & genealogiam ipſorum reprobarem.

Cur Enoch tranſlatus fuerit.

Sanè poſt hæc vt inueni Enoch, qui virtutis imaginem ſeruauit, quia valde mihi charus fuit, eum viuum tranſtuli: monſtrans omnibus virtutis cultoribus quantas mercedes & retributiones adipiſcantur: volebam enim vt cæteri illius imitatores fierent, eandémque viam ingrederentur. Cæterùm quia aliis omnibus poſtea malitiam ſectantibus, te ſolum inueni in tanta multitudine, qui primi parentis tranſgreſſionem reuocare poſſit, tecum ſtatuam teſtamentum meum. Nam bonæ tuæ vitæ opera declarant fidelem te in ſuſcipiendis mandatis meis. Denique ne adhuc iuſtus hæc audiés mœreat, quaſi ſolus ipſe liberandus ſit, iterum conſolatione eum, vt dicitur, demulcens, dicit: [18] *Ingredieris autem in arcam tu, & filij tui, & vxor tua, & vxores filiorum tuorum.* Nam licet multum à virtute iuſti illius abfuerint, alieni tamen erant à grauioribus ſui ſeculi peccatis. Aliàs quoque ob duas cauſas ſalute potiti ſunt. Vna, in honorem iuſti. Conſuetudo enim clementis Dei eſt, honorem hunc dare ſeruis ſuis, vt propter eos ſaluentur & alij. Id quod & beato Paulo conceſſum eſt, magiſtro illi orbis, qui vſquequaque ſuæ doctrinæ radios emittebat. Quandoquidem cùm ille Romam nauigaret, orta in mari tempeſtate magna, ita vt multi ſaluti ſuæ timerent, nullámque bonam ſpem propter procellarum magnitudinem haberent, vocatis omnibus dicit: Bono animo eſtote viri. Amiſſio enim animæ nullius erit ex nobis, præterquàm nauis. Aſtitit enim mihi nocte hac, Dei, cuius ſum, & cui deſeruio, angelus, dicens: Ne timeas Paule: dedit enim tibi Deus omnes qui tecum nauigant. Vidiſti quomodo virtus viri ſalutem illis conciliauit? imò non virtus tantum, ſed & clementia Domini. Ita ſimili modo & hoc loco factum eſt, & hæc prima cauſa eſt. Altera verò iſta: Volebat fermentum aliquod & radicem ad poſteritatis conſtitutionem relinquere: non quòd impoſſibile eſſet Deo iterum formare hominem, & ex vno generis iterum augmentum facere: ſed quia hoc ipſius bonitati probabatur.

Solet Deus propter iuſtos ſeruare alios.

Act. 27.

A μετὰ δὴ ταῦτα εὑρὼν τὸν Ἐνὼχ τῆς ἀρετῆς τὴν εἰκόνα διασώζοντα, διὰ τὴν πολλὴν εὐαρέστησιν ζῶντα αὐτὸν μετέθηκα δεικνὺς καὶ τοῖς τὴν ἀρετὴν μετιοῦσιν, ὅσων καταξιοῦνται τῶν ἀμοιβῶν, καὶ βουλόμενος τοὺς ἑξῆς ζηλωτὰς αὐτοῦ καταστῆναι, καὶ τὴν αὐτὴν ἐκείνῳ βαδίσαι ὁδόν. ἐπεὶ τοίνυν πάντων λοιπὸν ἐπὶ τὴν κακίαν αὐτομολησάντων σε μόνον εὗρον ἐν τοσούτῳ πλήθει δυνάμενον ἀνακαλέσασθαι τοῦ προπάτορος τὴν παράβασιν, μετὰ σοῦ στήσω τὴν διαθήκην μου. ἡ γὰρ τῶν βεβιωμένων σοι πρᾶξις ἀξιόπιστόν σε δείκνυσι πρὸς τὸ δέξασθαι τὰς παρ' ἐμοῦ ἐντολάς. Εἶτα ἵνα μὴ καὶ ταῦτα ἀ-

B κούων ὁ δίκαιος ἐκεῖνος ἔτι ἀθυμῇ, ὡς μόνος μέλλων καταλειφθήσεσθαι, παραμυθούμενος αὐτὸν ὡς εἰπεῖν πάλιν φησίν· εἰσελεύσῃ δὲ εἰς τὴν κιβωτὸν σὺ καὶ υἱοί σου, καὶ ἡ γυνή σου, καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ. Εἰ γὰρ καὶ πολὺ τῆς τοῦ δικαίου ἀρετῆς ἐλείποντο, ἀλλ' ὅμως τῆς ὑπερβαλλούσης ἐκείνων κακίας ἐκτὸς ἦσαν, ἄλλως δὲ καὶ διὰ δύο ταύτας τὰς αἰτίας τῆς σωτηρίας ἀπολαύουσι, μίαν μὲν εἰς τιμὴν τοῦ δικαίου. ἔθος γὰρ τῷ φιλανθρώπῳ θεῷ τιμᾶν τοὺς αὐτοῦ δούλους, καὶ χαρίζεσθαι αὐτοῖς πολλάκις τὴν

C ἑτέρων σωτηρίαν, ὃ καὶ ἐπὶ τοῦ μακαρίου Παύλου πεποίηκε τοῦ διδασκάλου τῆς οἰκουμένης, τοῦ πανταχοῦ τὰς ἀκτῖνας τῆς οἰκείας διδασκαλίας ἀφιέντος. ἡνίκα γὰρ ἐπὶ τὴν Ῥώμην ἀνήγετο, χειμῶνος κατὰ τὴν θάλατταν πολλοῦ γινομένου, καὶ πάντων τῶν ἐν τῷ πλοίῳ περὶ αὐτῆς τῆς σωτηρίας δεδοικότων, καὶ οὐδεμίαν ἐλπίδα χρηστὴν ἐχόντων διὰ τοῦ κλυδωνίου τὸ μέγεθος, καλέσας ἅπαντας φησιν, εὐθυμεῖτε ἄνδρες, ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν πλὴν τοῦ πλοίου. παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ τοῦ θεοῦ, οὗ εἰμι

D καὶ λατρεύω, ἄγγελος λέγων, μὴ φοβοῦ Παῦλε, κεχάρισται γάρ σοι ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. εἶδες πῶς ἡ ἀρετὴ τοῦ ἀνδρὸς τὴν σωτηρίαν ἐκείνοις προεξένησε; μᾶλλον δὲ οὐχ ἡ ἀρετὴ μόνον, ἀλλὰ καὶ ἡ φιλανθρωπία τοῦ δεσπότου. τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν διὰ μίαν μὲν αἰτίαν ταύτην· δι' ἑτέραν δὲ, ἐπειδὴ ἐβούλετο ζύμην τινὰ καὶ ῥίζαν τοῦ μέλλοντος εἰς τὸ ἑξῆς συνίστασθαι γένους καταλειφθῆναι. οὐκ ἐπειδὴ ἀδύνατον ἦν τῷ θεῷ, καὶ ἄνωθεν πάλιν διαπλάσαι, καὶ ἐξ ἑνὸς μόνου τὸ γένος αὐξῆσαι· ἀλλ' ἐπειδὴ οὕτως ἐδοκίμασε τὴν οἰκείαν ἀγαθότητα μιμούμενος.

σκόπει δὲ καὶ διὰ τῶν ἑξῆς τοῦ θεοῦ τὴν ἀγαθότητα. ὥσπερ γὰρ ἐν τῇ ἀπειλῇ τῆς τιμωρίας μετὰ τοῦ τῶν ἀνθρώπων γένους, καὶ τὰ κτήνη καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ καὶ τὰ θηρία ἀπολέσθαι εἶπεν· οὕτω καὶ ἐνταῦθα διὰ τὸν δίκαιον καὶ ἐκ τούτων εἰσαχθῆναι εἰς τὴν κιβωτὸν ἀφ' ἑκάστου γένους προστάττει μίαν συζυγίαν, ὥστε σπέρμα καὶ ἀπαρχὴν γενέσθαι τοῦ μετὰ ταῦτα μέλλοντος ἔσεσθαι πλήθους. καὶ ἀπὸ πάντων φησὶ τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων, καὶ ἀπὸ πάσης σαρκὸς δύο δύο ἀπὸ πάντων εἰσάξεις εἰς τὴν κιβωτὸν, ἵνα τρέφῃς μετὰ σεαυτοῦ. ἄρσεν καὶ θῆλυ ἔσονται. ἀπὸ πάντων τῶν ὀρνέων τῶν πετεινῶν κατὰ γένος, καὶ ἀπὸ τῶν κτηνῶν κατὰ γένος, καὶ ἀπὸ τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. δύο δύο ἀπὸ πάντων εἰσελεύσονται πρὸς σέ, τρέφεσθαι μετὰ σεαυτοῦ ἄρσεν καὶ θῆλυ. τοῦτο μὴ ἁπλῶς παραδράμῃς ἀγαπητέ. ἐννόησον γὰρ ὅσον ἔτικτε τῷ δικαίῳ τὸν θόρυβον ἐννοοῦντι τὴν πάντων ὅλων ἐπιμέλειαν. οὐ γὰρ ἤρκει αὐτῷ ἡ φροντὶς τῆς γυναικὸς καὶ τῶν παίδων καὶ τῶν τούτων γυναικῶν, ἀλλὰ καὶ ἡ μέριμνα τῶν τοσούτων ἀλόγων καὶ ἡ διατροφὴ προσετίθετο. ἀλλ' ἀνάμεινον μικρὸν, καὶ ὄψει τοῦ θεοῦ τὴν ἀγαθότητα, καὶ ὅπως ἐπικουφίζει τὴν ἐπικειμένην φροντίδα τῷ δικαίῳ. σὺ δὲ λήψῃ σεαυτῷ φησιν ἀπὸ πάντων βρωμάτων ὧν ἔδεσθε, καὶ συνάξεις πρὸς ἑαυτὸν, καὶ ἔσται σοὶ καὶ ἐκείνοις φαγεῖν. μὴ νομίσῃς φησὶν, ἀπρονόητόν σε καταλιμπάνεσθαι. ἰδοὺ γὰρ προστάττω καὶ τὰ πρὸς τὴν ὑμετέραν τροφὴν ἀρκοῦντα, καὶ τὰ πρὸς διατροφὴν τῶν ἀλόγων ἅπαντα εἰσαχθῆναι εἰς τὴν κιβωτὸν, ὥστε μήτε ὑμᾶς λιμοῦ καὶ στενοχωρίας πεῖραν λαβεῖν μήτε τὰ ἄλογα διαφθαρῆναι οὐκ ἔχοντα τὴν κατάλληλον τροφήν. καὶ ἐποίησε φησὶ Νῶε πάντα ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεὸς, οὕτως ἐποίησεν. ὅρα μοι πάλιν καὶ ἐνταῦθα ἐγκωμίου μέγεθος. ἐποίησε φησὶ Νῶε πάντα ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεός. οὐ τὸ μὲν τῶν ἐπιταχθέντων εἰς ἔργον ἤγαγε, τὸ δὲ ἠμέλησεν, ἀλλὰ πάντα τὰ ἐνταλθέντα ἐποίησε, καὶ οὕτως ἐποίησεν, ὥσπερ ἐνετείλατο αὐτῷ, οὐδὲν παρέλιπεν, ἀλλὰ πάντα ἐπλήρωσε, καὶ ἔδειξε καὶ δι' αὐτῶν τῶν ἔργων, ὅτι δικαίως ἠξιώθη εὐνοίας παρὰ τοῦ δεσπότου. πόσων στεφάνων οὐκ ἀξία ἂν γένοιτο ἡ μαρτυρία αὕτη, ἧς ἀπήλαυσε παρὰ τῆς θείας γραφῆς ὁ δίκαιος; τίς ἂν γένοιτο τούτου μακαριώτερος τοῦ πάντα

A Attende igitur Dei bonitatem etiam per ea quæ ſequuntur. Nam ſicut interminando pœnam, cum hominum genere & iumenta, & reptilia, & volatilia, & feras peritura dixit: ita & hîc propter iuſtum imperat, vt introducatur in arcam ex vnoquoque illorum genere par vnum, vt ſit ſemen & primitiæ multitudinis poſtea futuræ. [19] *Et ex omnibus*, inquit, *iumentis, & ex omnibus feris, & ex omni carne, bina ex omnibus induces in arcam, vt paſcas apud te, maſculus & fœmina erunt.* [20] *Ex omnibus auibus volatilibus ſecundum genus, & ex omnibus* B *reptilibus repentibus ſuper terram, ſecundum genus, bina ex omnibus intrabunt ad te, vt paſcantur apud temetipſum, maſculus & fœmina.* Ne obiter hæc præterieris dilecte, cogita quantum pepererit iuſto curarum tumultum, cogitanti apud ſe quantam hæc omnia curam exigerent. Non enim ſufficiebat ei cura mulieris & puerorum, & nuruum, ſed & ſollicitudo tot brutorum & educatio annectebatur. Verùm pauliſper expecta, videbiſque Dei bonitatem, quomodo in- C cumbentem iuſto curam leuet. [21] *Tu autem accipies*, inquit, *tibi ipſi de omnibus cibis, de quibus comeditis, & congregabis apud teipſum, & erunt tibi & illis in cibum.* Ne exiſtimes, inquit, deſtitutum te mea prouidentia relinqui. Ecce enim præcipio, vt quæ veſtræ alimoniæ ſufficiunt, & quæ ad alenda bruta ſpectant, omnia in arcam inferantur: ita vt nullam vel famem vel penuriam experiamini, & nec bruta pereant, vtpote cibum non habentia ſibi conuenientem. [22] *Et fecit*, inquit, *Noë omnia quæcunque ſibi præcepit dominus Deus,* D *ſic fecit.* Videas & hîc encomium amplum. Fecit, inquit, omnia quæcunque præcepit ei dominus Deus. Non aliud quidem opere exequebatur, aliud autem negligebat: ſed omnia quæ præcepta erant, fecit. Et ſic fecit vt præcepta erant ei: nihil intermiſit, ſed omnia impleuit, & operibus ſuis probauit, quòd iuſtè beneuolentiam Dei aſſecutus ſit. Quantis non coronis dignum fuerit teſtimonium hoc, quo à diuina ſcriptura fruitur iuſtus ille? Quis hoc fuerit beatior,

qui omnia opere compleuit, quæ ſibi à Deo præcepta fuerant, & tantam in iis quæ ſibi imperata erant obedientiam declarauit? Et vt ſcias quanta ab omnium conditore prædicta ſint, audi quæ ſequuntur.

Cap.7. 1 *Et dixit*, inquit, *dominus Deus ad Noë: ingredere tu, & omnis domus tua in arcam.* Deinde vt ſciamus quòd gratia non ſolum ſaluat iuſtum, ſed & laborum retributiones dat, & virtutum præmia, dicit: Ideo tibi impero, vt tu & domus tua omnis in arcam ingrediamini: quia te vidi iuſtum coram me in generatione iſta. Magnum & fide dignum teſtimonium. Quid enim hoc maius eſſet, cùm ipſe conditor, & qui eum vt eſſet produxit, talia de iuſto pronunciat? Quia te vidi iuſtum, inquit, coram me. Vera hæc virtus eſt, quando coram Deo quis illam approbat, quando oculus ille qui decipi nequit, ſuum fert calculum. Exin docens nos benignus Deus menſuram virtutis, quanta tunc ab iuſto exigebatur, (non enim eandem virtutis menſuram ob omnibus afferri vult, ſed pro varietate temporum, & virtutes differentes requirit) dicit: Quia te vidi iuſtum coram me in generatione iſta, quæ tam mala, quæ in tantam malitiam declinauit, quæ tantam ingratitudinem præ ſe fert. Te vidi iuſtum, te ſolum inueni gratum, te inueni virtutis rationem habere: tu ſolus coram me iuſtus apparuiſti, omnibus aliis pereuntibus, te iubeo ingredi cum omni domo tua in arcam. Ex animalibus puris iubeo te introducere ſeptena. Quia prius indiſtinctè præceperat, ex omnibus par vnum introduci: propter hoc nunc dicit. 19 *Ex puris autem ſeptena, ex impuris verò bina, maſculum & fœminam.* Poſtea autem cauſam docens, ſubdit: *Vt nutrias ſemen ſuper omnem terram.* Operæprecium autem hoc loco fuerit inquirere & videre, vnde ſciebat iuſtus, quænam pura, vel impura. Nondum enim erat diſtinctio hæc facta, quam poſtea Moſes Iudæis in legibus ſuis ſtatuit. Vnde ergo ſciebat? à ſeipſo, & ab inſita naturæ ſuæ doctrina, quam & ratio dictauit. Nihil enim immundum ex iis quæ Deus fecit.

A εἰς ἔργον ἀγαγόντος τὰ παρὰ τοῦ θεοῦ ἐνταλθέντα, καὶ τοσαύτην ὑπακοὴν περὶ τὰ ἐπιταχθέντα ἐπιδειξαμένου; καὶ ἵνα μάθῃς ὅσης ἀξιοῦται διὰ τοῦτο τῆς παρρησίας παρὰ τοῦ τῶν ἁπάντων δημιουργοῦ, ἄκουε τῶν ἑξῆς. καὶ εἶπε, φησὶ, κύριος ὁ θεὸς πρὸς Νῶε· εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς τὴν κιβωτόν. εἶτα ἵνα μάθωμεν, ὡς οὐ χάριτι μόνον σώζει τὸν δίκαιον, ἀλλὰ καὶ τῶν πόνων τὰς ἀμοιβὰς αὐτοῦ δίδωσι, καὶ τῆς ἀρετῆς τὰς ἀντιδόσεις. φησί· διὰ τοῦτό σε προστάττω εἰς τὴν κιβωτὸν εἰσελθεῖν μετὰ τοῦ οἴκου σου, ὅτι σε εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ. μεγάλη καὶ ἀξιόπιστος ἡ B μαρτυρία. τί γὰρ ἂν γένοιτο ταύτης μεῖζον, ὅταν αὐτὸς ὁ δημιουργὸς ὁ καὶ εἰς τὸ εἶναι παραγαγὼν τοιαῦτα ψηφίζεται περὶ τοῦ δικαίου; ὅτι σε φησὶν εἶδον δίκαιον ἐναντίον ἐμοῦ. ἡ ἀληθὴς ἀρετὴ αὕτη, ὅταν ἐναντίον τοῦ θεοῦ τις ταύτην ἐπιδείκνυται, ὅταν ὁ ὀφθαλμὸς ἐκεῖνος ὁ ἀπαραλόγιστος τὴν ψῆφον φέρῃ. εἶτα διδάσκων ἡμᾶς ὁ φιλάνθρωπος θεὸς, τὸ μέτρον τῆς ἀρετῆς, ὅπερ ἀπῄτει τότε παρὰ τοῦ δικαίου (οὐ γὰρ τὸ αὐτὸ μέτρον παρ' ἑκάστου βούλεται τῆς ἀρετῆς εἰσφέρεσθαι, ἀλλὰ τῇ διαφορᾷ τῶν χρόνων τὴν διαφορὰν τῆς ἀρετῆς ἐπιζη- C τεῖ) φησιν, ὅτι σε εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ εἰς κακίαν ἀποκλινάσῃ τοσαύτην, ἐν τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ τῇ τοσαύτην ἀγνωμοσύνην ἐπιδειξαμένῃ. σὲ εἶδον δίκαιον, σὲ μόνον εὗρον εὐγνώμονα, σὲ εἶδον τῆς ἀρετῆς πολὺν ποιούμενον λόγον. σὺ μόνος ἐναντίον μου δίκαιος ὤφθης τούτων ἁπάντων ἀπολλυμένων. σὲ προστάττω εἰσελθεῖν μετὰ τοῦ οἴκου σου πάντος εἰς τὴν κιβωτόν· ἀπὸ δὲ τῶν κτηνῶν τῶν καθαρῶν κελεύω σε εἰσαγαγεῖν ἑπτὰ ἑπτά. ἐπειδὴ περιλαβὼν προσέταξεν ἀδιορίστως ἀπὸ πάντων μίαν συζυγίαν εἰσα- D χθῆναι, διὰ τοῦτο νῦν φησιν, ἀπὸ δὲ τῶν καθαρῶν ἑπτὰ ἑπτὰ, ἀπὸ δὲ τῶν μὴ καθαρῶν δύο δύο, ἄρσεν καὶ θῆλυ. εἶτα τὴν αἰτίαν διδάσκων ἐπήγαγε, διαθρέψαι σπέρμα ἐπὶ πᾶσαν τὴν γῆν. ἄξιον δὲ ἐνταῦθα διερευνήσασθαι καὶ ἰδεῖν, πόθεν ᾔδει ὁ δίκαιος τίνα μὲν ἦν καθαρὰ, τίνα δὲ ἀκάθαρτα. οὐδέπω γὰρ ἦν ἡ διαίρεσις αὕτη γεγενημένη, ἣν μετὰ ταῦτα ὁ Μωυσῆς ἐνομοθέτησε τοῖς Ἰουδαίοις. πόθεν οὖν ᾔδει; οἴκοθεν κινούμενος ἀπὸ τῆς ἐν τῇ φύσει ἐναποκειμένης διδασκαλίας, μετὰ δὲ ταύτης καὶ ὁ λογισμὸς ὑπηγόρευσεν. οὐδὲν γὰρ ἀκάθαρτον τῶν παρὰ τοῦ θεοῦ γεγενημένων.

πῶς γὰρ ἀκάθαρτον καλέσαιμεν τι τῶν δημιουργηθέντων ἅπαξ τῆς ἄνωθεν ψήφου περὶ αὐτῶν γεγενημένης, καὶ εἰπούσης τῆς θείας γραφῆς, ὅτι εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν; ἀλλὰ λοιπὸν ἡ φύσις ἀφ' ἑαυτῆς κινουμένη τὴν διάκρισιν ταύτην ἐπεδείξατο. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἐννόησόν μοι ἔτι καὶ νῦν, ὅπως ἔν τισι μὲν τόποις τινῶν ἀπέχονται ἔνιοι ὡς ἀκαθάρτων, καὶ μὴ νενομισμένων. ἔνιοι δὲ τούτων πάλιν τὴν μετάληψιν ποιοῦνται τῆς συνηθείας αὐτοὺς ἐπὶ τοῦτο ἀγούσης. οὕτως οὖν καὶ τότε αὐτὴ ἡ ἐναποκειμένη γνῶσις τῷ δικαίῳ ἐδίδασκε, τίνα μὲν τὴν πρὸς βρῶσιν ἐπιτήδεια, τίνα δὲ ἀκάθαρτα, οὐκ ὄντα, ἀλλὰ νομιζόμενα. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ὄνον ἀκάθαρτον ἡγούμεθα, καί τοι οὐδὲν ἕτερον σιτούμενον ἢ σπέρματα, ἕτερα δὲ τῶν τετραπόδων πρὸς βρῶσιν ἐπιτήδεια νομίζομεν καί τοι ἀκαθάρτου τροφῆς μεταλαμβάνοντα; οὕτως ἡ παρὰ τοῦ θεοῦ χορηγηθεῖσα τῇ φύσει γνῶσις τούτων διδάσκαλος ἐγένετο. ἑτέρως δὲ ἔστιν εἰπεῖν, ὅτι καὶ ὁ προστάξας θεὸς τὴν γνῶσιν αὐτῷ τούτων δήλην ἐποίησεν. ἀλλὰ περὶ μὲν τῶν καθαρῶν καὶ ἀκαθάρτων ἀρκούντως εἰρήκαμεν, πάλιν δὲ ἕτερον ἡμῖν ἀνακύπτει ζήτημα, τί δή ποτε ἀπὸ μὲν τῶν ἀκαθάρτων δύο δύο, ἀπὸ δὲ τῶν καθαρῶν ἑπτὰ ἑπτά, καὶ πάλιν, τίνος ἕνεκεν οὐχ ἓξ οὐδὲ ὀκτώ, ἀλλ' ἑπτά. τάχα εἰς πολὺ μῆκος ὁ λόγος ἡμῖν ἐκτείνεται· ἀλλ' εἰ μὴ ἀπεκάμετε, καὶ βούλεσθε συντόμως, καὶ περὶ τούτων διδάξωμεν τὴν ὑμετέραν ἀγάπην, ἅπερ ἂν ἡ τοῦ θεοῦ χάρις χορηγήσῃ. πολλοὶ γὰρ περὶ τούτων μυθολογοῦσι, καὶ ἐντεῦθεν ἀφορμὴν λαμβάνοντες παρατηρήσεις ἀριθμῶν ἐπιδείκνυνται. ὅτι δὲ οὐκ ἔστι παρατήρησις, ἀλλ' ἡ ἄκαιρος φιλοπραγμοσύνη τῶν ἀνθρώπων ταῦτα ἀναπλάττειν ἐπιχειρεῖ, ὅθεν καὶ αἱ πλείους τῶν αἱρέσεων ἐτέχθησαν, αὐτίκα μάλα εἴσεσθε. καὶ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον, ἵνα δόξωμεν ὡς ἐκ περιουσίας ἐπιστομίζειν τοὺς τὰ ἀπὸ τῶν οἰκείων λογισμῶν ἐπεισφέροντας, εὑρίσκομεν ἐν ταῖς γραφαῖς μᾶλλον τὸν τῆς συζυγίας ἀριθμὸν σωζόμενον. καὶ γὰρ ἡνίκα ἀπέστελλε τοὺς μαθητάς, δύο δύο αὐτοὺς ἀπέστελλε, καὶ αὐτοὶ δὲ πάντες δώδεκα ἦσαν, καὶ τὰ εὐαγγέλια τέσσαρα τὸν ἀριθμόν ἐστιν. ἀλλὰ ταῦτα περιττόν ἐστι κινεῖν ἐπὶ τῆς ὑμετέρας ἀγάπης δεδιδαγμένης ἅπαξ τοῖς τοιούτοις ἀποφράττειν τὰς ἀκοάς. ἀναγκαῖον δὲ λοιπὸν εἰπεῖν, τίνος ἕνεκεν

A Quo pacto enim immundam vocaremus vllam creaturam, quæ ſemel ſupernè à conditore approbata? Dixit enim diuina ſcriptura: Quia vidit Deus omnia quæcunque fecit, & ecce bona valde. (Gen. 1. 31) Sed poſtea natura à ſeipſa ita diiudicauit. Et quòd hoc ſit verum, conſidera quomodo in nonnullis locis, ab aliquibus abſtinent aliqui vt immundis & non probatis, aliqui illis ipſis veſcuntur, conſuetudine ſe ad hoc inducente: ſic & tunc quoque erat. Ipſa ſcientia iuſto inſita, docebat quænam ad cibum accommoda, & quæ im- B munda: non quòd ita ſint, ſed quòd pro immundis habeantur. Qua enim de cauſa, dic oro, aſinum immundum cenſemus, quamuis ſeminibus tantum paſcatur, alia autem quadrupedia cibo conuenientia putemus, etiamſi immundo alimento paſcantur? Ita ſcientia à Deo nobis ſuppeditata, horum eſt doctrix. Poſſet autem & aliter dici: quia Deus qui præceperat, idem etiam illorum cognitionem ei manifeſtam fecit. Cæterùm de mundis ac immundis ſatis dictum eſt. C Verùm interim alia proſpectat quæſtio: quare ex immundis bina, ex mundis autem ſeptena: & hæc quoque quare non vel ſex, vel octo, ſed ſeptem paria. (Quæſtio de mundis animalibus cur certo numero.) Fortaſſis prolixius ſermo ille ſe extendit: ſed ſi non piget & vultis, breuibus de iis charitatem veſtram docebimus, ea ſcilicet quæ nobis diuina gratia conceſſerit. Multi enim varias de iis fabulas narrant, & hinc occaſione ſumpta, obſeruationes numerorum oſtentant. At non obſeruatio, ſed intempeſtiua hominum curioſitas talia fingere D molitur, vnde & multæ hæreſes ortæ, quod ſtatim ſcietis: etenim frequenter (vt videamur quaſi ex abundantia eos, qui ex ſuis opinionibus noua afferunt, compeſcere) inuenimus in ſcripturis copulæ numerum ſeruatum: quippe quando miſit diſcipulos, binos eos miſit. (Marc. 6. & Luc. 10.) Ipſi autem omnes duodecim erant, & Euangelia quatuor numero. At ſuperuacaneum fuerit hæc apud charitatem veſtram commemorare, quæ ſatis didicit huiuſmodi dictis obturare aures. Neceſſarium

autem vt poſthac doceamus, quare ſeptena ex puris introduci in arcam præceperit. Plura quidem præcepit ex mundis introduci, vt iuſtus, & qui cum illo erant, inde conſolarentur, ex illis vſum habentes. Quòd autem ſeptena, & hoc quoque, ſi cauſam diſceretis, ſummum indicium eſt piæ mentis iuſti. Nam quia cognouit benignus Deus viri virtutem: & quòd vt iuſtus, & tanta domini fretus miſericordia, vbi tantæ tempeſtatis effugiſſet periculum, liberatúſque fuiſſet à periculo, ſuam gratitudinem declaraturus, & pro gratiarum actione hoſtias & ſacrificia oblaturus eſſet, vt ne hoc faciendo mutilaret paria: ideo Dominus præſcius huius gratæ mentis, iubet ſeptena introduci ex ſingulis auium generibus; vt cùm ceſſaret vniuerſalis interitus, & ſuam mentem declararet, & coniugia volatilium, cæterorúmque animalium non læderentur: id quod ex procedente ſermone diſcetis, vbi in eum locum peruenerimus. Videbitis enim iuſtum illum hæc feciſſe. Didiciſtis cauſam ob quam ſeptena introducere præceptũ fuit? ne poſthac toleretis eos qui fabulari, duerſúſq. diuinam ſcripturam inſurgere, & quæ ex ſuo capite finxerunt, vt ſacra dogmata introducere nitũtur. Igitur poſtquã omnia clarè mãdata fuerũt, & de auibus, & de mundis, & de immundis, & de alimentis, dicit iuſto:[4] *Adhuc enim ſeptẽ dies ſunt, & ego induco pluuiam ſuper terram quadraginta diebus, & quadraginta noctibus, & delebo omnem ſubſtantiam quam feci, à facie terræ, ab homine vſque ad iumentum.* Attende obſecro, etiam ex iis quæ nunc dicta ſunt bonitatis diuinæ excellentiam, quomodo poſt tantam longanimitatem etiam nunc ante ſeptem dies prædicit: volens metu emendatiores illos reddere, & ad pœnitentiam reducere. Nam quòd ideo prædicit, ne ea quæ dicit, ſuper eos inducat, conſidera Niniuitas, & attende quanta horum & illorum ſit diſtãtia. quia cùm tot annis audiſſent quòd ante fores eſſet interitus, neque ſic à malitia ſua ceſſarunt. Et conſueuimus quidem negligentiores eſſe, quando differtur: & protrahitur punitio.

Septena cur ſumi velit.

Gen. 7. 4

Prædicit De⁹, ne inducat, mala.

A ἑπτὰ ἑπτὰ ἀπὸ τῶν καθαρῶν εἰσαχθῆναι εἰς τὴν κιβωτὸν προσέταξε. τὸ μὲν πλείονα προστάξαι τῶν καθαρῶν εἰσαχθῆναι, διὰ τὸ παραμυθίαν τινὰ ἔχειν καὶ τὸν δίκαιον καὶ τοὺς σὺν αὐτῷ τῆς ἐξ ἐκείνων ἀπολαύσεως μετέχοντας. τὸ δὲ ἑπτὰ ἑπτὰ, καὶ τοῦτο πάλιν, εἰ τὴν αἰτίαν μάθοιτε, ἀπόδειξις ἂν εἴη μεγίστη τῆς φιλοθέου γνώμης τοῦ δικαίου. ἐπειδὴ γὰρ ᾔδει ὁ φιλάνθρωπος θεὸς τοῦ ἀνδρὸς τὴν ἀρετὴν, καὶ ὅτι δίκαιος ὢν, καὶ τοσαύτης ἀπολαύσας παρὰ τοῦ δεσπότου φιλανθρωπίας, καὶ τοῦ τοσούτου κλύδωνος διαφυγὼν τὴν πεῖραν, ἤμελλε μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν καὶ τὸ ἐλευθερωθῆναι τῆς ἐν τῇ B κιβωτῷ διαγωγῆς τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυσθαι, καὶ βούλεσθαι θυσίας ἀνενέγκαι ὑπὲρ εὐχαριστίας τῶν γεγενημένων, καὶ ὑπηργμένων αὐτῷ, ἵνα μὴ τοῦτο ποιῶν ἀκρωτηριάσῃ τὰς συζυγίας, διὰ τοῦτο προειδὼς αὐτοῦ τῆς γνώμης τὸ εὐχάριστον κελεύει ἑπτὰ ἑπτὰ εἰσάγεσθαι ἀφ' ἑκάστου γένους τῶν ὀρνέων, ἵνα τῆς πανωλεθρίας παυσαμένης καὶ τὸν οἰκεῖον σκοπὸν ἐπιδείξηται, καὶ τῇ συζυγίᾳ τῶν πετεινῶν καὶ τῶν λοιπῶν ὀρνέων μὴ λυμήνηται, ὃ δὴ καὶ προϊούσης τῆς διδασκαλίας μαθήσεσθε, ἐπειδὰν εἰς αὐτὸν τὸν τόπον παραγενώμεθα. ὄψεσθε γὰρ C τὸν δίκαιον τοῦτον τοῦτο πεποιηκότα. ἐμάθετε τὴν αἰτίαν, δι' ἣν ἑπτὰ ἑπτὰ εἰσαγαγεῖν προσετάχθη; μηκέτι λοιπὸν ἀνέχεσθε τῶν μυθολογεῖν ἐπιχειρούντων, καὶ καταστοιχειουμένων τῆς θείας γραφῆς, καὶ τὰ ἀπὸ τοῦ οἰκείου νοὸς ἐπεισφερόντων τοῖς θείοις δόγμασιν. ἐπειδὴ τοίνυν διετάξατο πάντα σαφῶς, καὶ περὶ τῶν ὀρνέων καὶ περὶ τῶν καθαρῶν, καὶ τῶν ἀκαθάρτων, καὶ τῆς τούτων διατροφῆς, φησὶ πρὸς τὸν δίκαιον· ἔτι γὰρ ἡμέραι ἑπτὰ, καὶ ἰδοὺ, ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας, καὶ ἐξαλείψω πᾶσαν τὴν ἐξανάστασιν, ἣν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς ἀπὸ ἀν- D θρώπου ἕως κτήνους. σκόπει μοι καὶ ἐκ τῶν νῦν εἰρημένων τῆς ἀγαθότητος αὐτοῦ τὴν ὑπερβολὴν, πῶς μετὰ τὴν τοσαύτην μακροθυμίαν καὶ νῦν πρὸ ἑπτὰ ἡμερῶν προλέγει, βουλόμενος τῷ φόβῳ σωφρονεστέρους αὐτοὺς ποιῆσαι, καὶ εἰς μετάνοιαν ἀγαγεῖν. καὶ ὅτι διὰ τοῦτο προλέγει, ἵνα μὴ ἐπαγάγῃ τὰ παρ' αὐτοῦ εἰρημένα, ἐννόει μοι τοὺς Νινευΐτας, καὶ βλέπε πόση ἡ διαφορὰ τούτων κἀκείνων. μετὰ γὰρ τοσαῦτα ἔτη ἀκούσαντες ὅτι ἐπὶ θύραις ἐστὶ τὰ δεινὰ, οὐδὲ οὕτω τὴν κακίαν ἔστησαν. καὶ γὰρ εἰώθαμέν πως μελλούσης μὲν τῆς τιμωρίας ῥᾳθυμεῖν, καὶ διαναβάλλεσθαι

ἐπειδὰν δὲ πλησίον ὦμεν τῷ λιπεῖν δυναμένων, A τότε συστέλλεσθαι καὶ πολλὴν ἐπιδείκνυσθαι τὴν μεταβολήν· ὃ δὴ καὶ ἐπὶ τῶν Νινευιτῶν γέγονεν. ἐπειδὴ γὰρ ἤκουσαν, ὅτι ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται οὐ μόνον οὐκ ἀπηγόρευσαν, ἀλλὰ καὶ διανέστησαν πρὸς τὸ ῥηθὲν, καὶ τοσαύτην τῶν κακῶν τὴν ἀποχὴν ἐποιήσαντο, καὶ οὕτως ἀκριβῆ τὴν ἐξομολόγησιν ἐπεδείξαντο, ὡς καὶ μέχρι τῶν ἀλόγων ἐπεκτεῖναι αὐτοὺς τὰ τῆς ἐξομολογήσεως· οὐχ ὅτι δὲ τὰ ἄλογα ἐξομολογήσαντο· πῶς γὰρ τὰ λόγων ἔρημα; ἀλλ' ἵνα διὰ τούτων ἐπισπάσωνται εἰς τὴν περὶ αὐτοὺς φιλανθρωπίαν τὸν ἀγαθὸν δεσπότην. κηρύξαντες γάρ, φησι, νηστείαν προσέταξαν B οἱ περὶ τὸν βασιλέα καὶ τὰ κτήνη καὶ τοὺς βόας καὶ πάντα τὰ ἄλογα μήτε νομῆς μεταχεῖν, μήτε ὕδατος, ἀλλὰ πᾶσα τότε ἡ τῶν ἀνθρώπων φύσις σάκκον περιβαλλομένη, καὶ αὐτὸς ὁ ἐπὶ τοῦ θρόνου καθήμενος βασιλεὺς πολλὴν καὶ σύντονον τὴν ἐξομολόγησιν ἐποιήσαντο, καὶ ταῦτα οὐκ εἰδότες ὅτι διαφεύξονται τὴν τιμωρίαν. ἔλεγον γάρ, τίς οἶδεν, εἰ ἄρα μετανοήσει ὁ θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε ποιῆσαι ἡμῖν; εἶδες βαρβάρων εὐγνωμοσύνην; εἶδες πῶς οὐδὲ ἡ τῶν ἡμερῶν στενοχωρία αὐτοὺς ὀκνηροτέρους εἰργάσατο, οὐδὲ ἀπαγορεῦσαι πεποίηκεν; ὅρα καὶ τούτους C μετὰ τοσοῦτον ἀριθμὸν ἐτῶν ἀκούσαντας, ὅτι ἔτι ἑπτὰ ἡμέραι, καὶ ὁ κατακλυσμὸς ἐπάγεται, οὐδὲ οὕτως ἐπιστρεφομένους, ἀλλ' ἀναλγήτως διακειμένους. ὅθεν ὡμολογημένον ἂν εἴη, ὅτι ἡ προαίρεσις ἡ ἡμετέρα τῶν κακῶν ἁπάντων αἰτία. ἰδοὺ γὰρ καὶ οὗτοι ἄνθρωποι, κἀκεῖνοι ἄνθρωποι, καὶ τῆς αὐτῆς φύσεως, ἀλλ' οὐ τῆς αὐτῆς προαιρέσεως. διὸ οὐδὲ τῶν αὐτῶν ἀπήλαυσαν, ἀλλ' οἱ μὲν διέφυγον τὴν καταστροφὴν τοῦ ἀγαθοῦ θεοῦ ἀρκεσθέντος αὐτῶν τῇ μετανοίᾳ διὰ τὴν οἰκείαν φιλανθρωπίαν, οἱ δὲ ὑποβρύχιοι γενόμενοι πα- D νωλεθρίᾳ παρεδόθησαν. ἔτι γάρ φησιν ἡμερῶν ἑπτὰ ἐπάγω ὑετὸν ἐπὶ τῆς γῆς. εἶτα αὐξῆσαι τὸν φόβον βουλόμενός φησι· τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. τί γάρ; οὐκ ἦν αὐτῷ δυνατὸν εἴπερ ἐβούλετο ἐν μιᾷ ἡμέρᾳ πάντα τὸν ὑετὸν ἐπαγαγεῖν; τί δὲ λέγω ἐν μιᾷ ἡμέρᾳ; ἐν μιᾷ ῥοπῇ; ἀλλ' ἐπίτηδες τοῦτο ποιεῖ βουλόμενος ὁμοῦ καὶ τὸν φόβον ἐπιτεῖναι, καὶ ἀφορμὴν αὐτοῖς παρασχεῖν τοῦ κἂν πρὸς αὐταῖς ταῖς θύραις γενομένους τὴν τιμωρίαν διαφυγεῖν. καὶ ἐξαλείψω, φησί,

At ſi vicini ſimus his quæ offendere poſſunt, tunc humiliamur, & plurimam oſtentamus conuerſionem: id quod & in Niniuitis contigit. Quandoquidem vbi audierunt quòd adhuc tres dies, & Niniue ſubuertetur: non ſolùm non deſperauerunt, ſed & ad dictum hoc exurrexere, tantámque malorum fecerunt miſſionem, & tam diligentem confeſſionem declarauerunt, vt & ad bruta vſque extenderent ea quæ attinebant ad pœnitentiam. Et quid hæc ad bruta, & ſermone carentia? ſed vt per hoc miſericordiam boni Domini ſibi conciliarent. Prædicato enim ieiunio, inquit, Rex ipſe mandauit, vt neque oues, neque boues, neque alia bruta pabulum vel aquã acciperent: ſed omne hominum genus tunc ſaccis amictum, & ipſe quoque rex ſublimi throno ſedens, magnam & parem cum aliis egere pœnitentiam: fecerúntque hæc, licèt ignorarẽt an pœnam euaſuri eſſent. Dicebant enim: Quis ſcit, ſi fortè pœniteat Deus ſuper malitia, quam vt nobis faciat locutus eſt? Vidiſti barbarorum gratitudinem? vidiſti quomodo neque dierum anguſtia ſegniores fecit? vide & illos poſt numerum tot annorum, vbi audiuerũt quòd adhuc ſeptem dies & diluuiũ inducetur, neque ſic conuerſos ſed ſtupidos & ſine dolore manſiſſe. Vnde in confeſſo fuerit, quòd voluntas noſtra malorum omnium cauſa eſt. Ecce enim & hi, & iſti fuerunt homines, & eiuſdem cuius alij naturæ, ſed non eiuſdem voluntatis. Propterea nec idem eorum euentus, ſed Niniuitæ ſubuerſionem ſubterfugerunt, cùm bonus Deus eorum contentus eſſet pœnitẽtia propter ſuam clementiam: ſed iſti ſubmerſi, in communi abolitione perierunt. Adhuc enim, inquit, ſeptem dies, & ego induco pluuiam ſuper terram. Deinde magis augere volens terrorem, inquit: *Quadraginta diebus, & quadraginta noctibus.* Quid enim? non erat ei poſſibile, vt vno die totam pluuiam induceret? Quid inquam vno die? Vno momento poſſet: ſed hoc dedita opera facit, volens ſimul & timorem incutere, & occaſionem præſtare, qua poſſent pœnam, quæ iam in foribus eſſet, effugere. *Et delebo*, inquit,

Ionæ 3. tres legũt Græci, Hebræi verò quadraginta.

malitia, afflictione, pœna.

A *omnem ſubſtantiam quam feci, à facie terræ, ab homine vſque ad pecus.* Vide quomodo & ſemel, & iterum prædicit, & neque ſic illos tangit. Omnia autem hæc faciebat, vt nos doceret, quòd iuſtè eis tantam pœnam inflixerit, & nullus inſipientium arguere & dicere poſſet: Si longanimis fuiſſet, fortè pœnitentiam egiſſent, fortè à peccatis abſtitiſſent, & ad virtutẽ rediiſſent. Eáque de cauſa annorum quoque numerum manifeſtum nobis facit, & arcam fabricari iuſſit. Et poſt hæc omnia etiam ante dies ſeptem prædicit, vt omnium temerè loquentium B imprudentes linguas compeſcat. [5] *Et fecit,* inquit, *Noë omnia, quæcunque mandauit ei dominus Deus.* Vide quomodo & nunc prædicat iuſti gratitudinem & obedientiam diuina ſcriptura, docens nos quòd nihil quod imperatum erat prætermiſerit: ſed omnibus impletis, etiam per hoc virtutis ſuæ ſpecimen præbuerit. Illum igitur & nos imitemur iuſtum, & mandata à Deo tradita implere ſtudeamus, & leges à Chriſto nobis latas non deſpiciamus. Sonent autem continuò in C mente noſtra, feſtinemus ad bona opera, diligentes & ſtudioſi ſimus in his quæ ad ſalutem noſtram pertinent, præſertim cùm nunc longè maior virtutis menſura à nobis exigatur, quantò & meliora bona ſortiti ſumus. Ideo & Chriſtus dicebat: Niſi abundantior fuerit iuſtitia veſtra quàm ſcribarum & Phariſæorum, non intrabitis in regeum cœlorum. Conſideremus igitur hoc dictum, & non perfunctoriè tranſeamus: ſed cogitemus quanta pœna futura ſit eorum, qui non ſolùm non D operam dant vt illos tranſcendant, ſed & deteriores illis ſunt: neque hoc præſtant vt iram remittant proximo, vel linguam à iuramentis ſeruent puram, vel oculum muniant à nociuo ſpectaculo. Et cùm Dominus præcipiat, non ſolùm fortiter ferre ſi qua iniuria fuerimus affecti, ſed & beneficia in inimicos largiter collocare. Ait enim, Et qui tecum iudicio contendere, & pallium tollere vult, dimitte & tunicam. Nos autem ſæpe & proximo iniuriam facere nitimur.

Moralis exhortatio.

Matth. 5. 20.

Matth. 5. 40.

A πᾶσαν τὴν ἐξανάστασιν, ἣν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους. ὅρα πῶς καὶ ἅπαξ καὶ δεύτερον προλέγει, καὶ οὐδὲ οὕτω καθικνεῖται. ταῦτα δὲ πάντα ποιεῖ, ἵνα ἡμᾶς διδάξῃ, ὅτι δικαίως αὐτοῖς τὴν τοσαύτην τιμωρίαν ἐπήγαγε, καὶ μηδεὶς ἔχῃ μέμφεσθαι τῶν ἀνοήτων, καὶ λέγειν, ὅτι εἰ ἐμακροθύμησεν, ἆρα ἂν μετέγνωσαν, ἆρα ἂν ἀπέσχοντο τῆς κακίας, καὶ ἐπανῆλθον πρὸς τὴν ἀρετήν. διὸ καὶ τῶν ἐτῶν τὸν ἀριθμὸν δῆλον ἡμῖν ποιεῖ, καὶ τῆς κιβωτοῦ τὴν κατασκευὴν προστάττει γενέσθαι, καὶ μετὰ ταῦτα ἅπαντα καὶ πρὸ τῶν ἑπτὰ ἡμερῶν προλέγει, ἵνα B πάντων τῶν ἀπερισκέπτως φθέγγεσθαι βουλομένων ἐπιστομίσῃ τὴν ἀναίσχυντον γλῶσσαν. Καὶ ἐποίησε Νῶε πάντα, ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεός. ὅρα πῶς καὶ νῦν ἀνακηρύττει τοῦ δικαίου τὴν εὐγνωμοσύνην καὶ τὴν ὑπακοὴν ἡ θεία γραφὴ διδάσκουσα, ὡς οὐδὲν τῶν ἐπιταχθέντων παρέλιπεν, ἀλλὰ πάντα πληρώσας, τῆς οἰκείας ἀρετῆς καὶ διὰ τούτου τὴν ἀπόδειξιν παρέσχετο. τοῦτον τοίνυν καὶ ἡμεῖς μιμησώμεθα τὸν δίκαιον, καὶ τὰς παρὰ τοῦ θεοῦ ἐντολὰς ἡμῖν δεδομένας πληροῦν σπουδάζωμεν, καὶ μὴ καταφρονῶμεν τῶν παρὰ τοῦ C θεοῦ δεδομένων ἡμῖν νόμων, ἀλλ' ἔναυλον ἔχοντες τούτων τὴν μνήμην, πρὸς τὴν τούτων κατόρθωσιν ἐπειγώμεθα, καὶ μὴ ῥαθύμως τὰ κατὰ τὴν ἑαυτῶν σωτηρίαν οἰκονομῶμεν, καὶ μάλιστα ὅτι πολλῷ μεῖζον μέτρον ἀρετῆς νῦν ἀπαιτούμεθα, ὅσῳ καὶ μειζόνων ἀπηλαύσαμεν. διὸ καὶ ὁ Χριστὸς ἔλεγεν, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. σκοπῶμεν τοίνυν καθ' ἑαυτούς, καὶ μὴ ἁπλῶς παρατρέχωμεν τὸ εἰρημένον, ἀλλ' ἐννοήσωμεν, ὅση κείσεται D κόλασις τοῖς μὴ μόνον ὑπερβαίνειν ἐκείνους μὴ σπουδάζουσιν, ἀλλὰ καὶ ἔλαττον αὐτῶν ἔχουσι, καὶ μὴ ἀνεχομένοις μήτε ὀργὴν ἀφεῖναι τῷ πλησίον, μήτε καθαρὰν τὴν γλῶτταν διατηρεῖν ἀπὸ τῶν ὅρκων, μήτε τοὺς ὀφθαλμοὺς βουλομένοις ἀποτειχίζειν τὴν ἐπιβλαβῆ θέαν, καὶ τοῦ δεσπότου προστάττοντος μὴ μόνον ἀδικούμενον φέρειν γενναίως, ἀλλὰ καὶ ἐπιδαψιλεύεσθαι. τῷ θέλοντί σοί φησι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· ἡμεῖς δὲ πολλάκις καὶ ἀδικεῖν ἐπιχειροῦμεν τὸν πλησίον ἢ καὶ ἀμύνασθαι τὸν ἀδικοῦντα.

Ἠθικόν.

A καίτοι προστατλόμενοι μὴ μόνον τοὺς ἀγαπῶντας ἀγαπᾷν· τοῦτο γὰρ καὶ οἱ τελῶναι, φησὶ, ποιοῦσιν· ἀλλὰ καὶ πρὸς τοὺς ἐχθραίνοντας γνησίως διακεῖσθαι, οὐδὲ πρὸς τοὺς ἀγαπῶντας τὴν ἴσην ἀγάπην ἐπιδεικνύμεθα. διὰ ταῦτα ἀλγῶ καὶ ὀδυνῶμαι ὁρῶν τῆς μὲν ἀρετῆς τοσαύτην ἐν ἡμῖν τὴν σπάνιν, τῆς δὲ κακίας καθ' ἑκάστην ἡμέραν τὴν ἐπίτασιν γινομένην, καὶ οὔτε τῆς γεέννης τὸν φόβον ἐκκόπτοντα ἡμῶν τὴν ἐπὶ τῇ κακίᾳ ὁρμὴν, οὔτε τῆς βασιλείας τὸν πόθον προτρεπόμενον ἐπὶ τὴν τῆς ἀρετῆς ὁδὸν, ἀλλὰ πάντας ὡς εἰπεῖν βοσκημάτων δίκην ἀπαγομένους, καὶ οὐδεμίαν ἔννοιαν λαμβάνοντας οὔτε τῆς φοβερᾶς B ἐκείνης ὥρας, οὔτε τῶν παρὰ τοῦ θεοῦ τεθέντων ἡμῖν νόμων, ἀλλὰ πρὸς τὴν τῶν ἀνθρώπων ὑπόληψιν ἅπαντας ἑστηκότας, καὶ τὸν παρὰ τούτων ἔπαινον θηρωμένους, καὶ μηδὲ ἀκοῦσαι τοῦ εὐαγγελίου λέγοντος, πῶς δύνασθε ὑμεῖς πιστεῦσαι δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητοῦντες; ὥσπερ δὲ οἱ ταύτης ἐφιέμενοι ἐκείνης παντελῶς ἐκπίπτουσιν· οὕτως οἱ ἐκείνης διηνεκῶς ἐξηρτημένοι οὐδὲ ταύτης ἀποστεροῦνται. καὶ γὰρ αὐτὸς προλαβὼν C ἐπηγγείλατο λέγων, ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν, καὶ τῷ περὶ ἐκείνην ἔχοντι τὸν πόθον ταῦτα πάντα ἕπεται. ὁ γὰρ ἐκεῖ πτερώσας αὐτοῦ τὴν διάνοιαν πάσης τῆς παρούσης εὐημερίας ὡς οὐδὲ οὔσης ὑπερορᾷ. οἱ γὰρ τῆς πίστεως ὀφθαλμοὶ ὅταν ἐκεῖνα κατοπτεύσωσι τὰ ἀπόρρητα ἀγαθὰ, οὐδὲ αἴσθησιν λαμβάνουσι τῶν ὁρωμένων. τοσοῦτο τὸ μέσον ἐκείνων καὶ τούτων. ἀλλ' οὐδένα ὁρῶ προτιμῶντα τῶν ὁρωμένων τὰ μὴ ὁρώμενα. διὸ λύπη μοί ἐστι καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου, ὅτι οὐδὲ ἡ πεῖρα τῶν πρα- D γμάτων ἡμᾶς ἐπαίδευσεν, οὐδὲ αἱ τοῦ θεοῦ ὑποσχέσεις, οὐδὲ τῶν δωρεῶν τὸ μέγεθος πρὸς τὸν τῆς βασιλείας πόθον μεταστῆναι παρεσκεύασεν, ἀλλ' ἔτι χαμαὶ συρόμενοι προτιμῶμεν τὰ γήϊνα τῶν οὐρανίων, τὰ πρόσκαιρα τῶν μελλόντων, τὰ πρὶν ἢ φανῆναι ἀφιπτάμενα τῶν διαιωνιζόντων, καὶ τὴν πρόσκαιρον ἡδονὴν τῆς διηνεκοῦς ἡδονῆς, καὶ τὴν βραχεῖαν εὐημερίαν ταύτην τοῦ παρόντος βίου τῶν ἀτελευτήτων αἰώνων ἐκείνων. οἶδα ὅτι δάκνει τὴν ἀκοὴν ταυτὶ τὰ ῥήματα, ἀλλὰ σύγγνωτε.

Et quamuis nobis imperatum ſit non ſolum diligentes diligere (nam hoc, inquit, & publicani faciunt) ſed & bene & amicè affectos eſſe in eos qui nos hoſtiliter infeſtant: nos tamen ne amicis quidem parem charitatem exhibemus. Eapropter doleo & lugeo, quia video in nobis tantam virtutis raritatem, malitiam autem quotidie inualeſcere. Neque moratur gehennæ timor noſtrum in mala curſum, neque ad regni deſiderium adhortari ſufficit, vt in via virtutis ambulemus: ſed omnes vt ita dicam, quaſi pecudes abducimur: & neque cogitamus terribilem illam horam, vel leges à Domino nobis datas: ſed omnes ad hominum opiniones ſpectamus, & gloriolam ab illis venamur, neque audire volumus Euangelium dicens: Quomodo Ioan. 5. 44. vos poteſtis credere, gloriam ab hominibus accipientes, & gloriam quæ à ſolo Deo eſt, non quærentes? Quemadmodum enim qui illam humanam deſiderant, diuina prorſus excidunt: ita qui diuinam ſectantur continuò, neque hac priuantur: id quod ipſe prius promiſit: Quærite primum regnum Dei, Matth. 6.33. & hæc omnia vobis adiicientur. Etenim eum qui huius deſiderio tenetur, ſequuntur hæc omnia. Nam qui illuc mente ſua celer volat, omnem præſentem proſperitatem quaſi non eſſet, contemnit. Oculi enim fidei, quando vident ineffabilia illa bona, ne ſentiunt quidem hæc viſibilia: tantum inter hæc & illa intereſt. Sed neminem video, qui inuiſibilia viſibilibus præferat. Idcirco mihi mœror eſt, & indeſinens dolor cordi meo: Rom. 9. 2. quia non experientia docti eſtis, & operibus, neque Dei promiſſiones, neque munerum magnitudo, regni deſiderium & amorem nobis ingenerant: verùm adhuc humi reptantes prælegimus terrena cœleſtibus, præſentia futuris: & ea quæ prius auolant, quàm ſpectentur, his quæ omnibus durant ſeculis: & momentaneam voluptatem, perpetuæ voluptati: breuem hanc præſentis vitæ felicitatem, æternis illis, & fine carentibus bonis. Scio quòd aures veſtras offendunt & vellicant verba hæc, ſed ignoſcite.

Auidus veſtræ ſalutis hæc loquor, malens vos hîc aliquantiſper affligi æternam pœnam effugientes, quàm cum parua refocillatione perpetuã ferre pœnam. Nam ſi ſermo meus in vobis proficit, & priorem triſtitiam repelletis, & nunc maximè dum adhuc ſanctæ quadrageſimæ tempus vobis reliquum eſt puſillum, poteritis peccata abſtergere, magnámque à Deo clementiam vobis conciliare. Non enim multis diebus opus habet Dominus, neque tempore: ſed ſi voluerimus, & in duabus hebdomadis corrigere peccata noſtra poterimus. Nam ſi Niniuitas trium dierum pœnitentiam agentes, tanta dignatus eſt miſericordia, multò magis nos non deſpiciet. Tantùm verè pœniteamus, & deſiſtẽtes à peccato, viam quę ad virtutem ducit, ingrediamur. Enimuerò de illis, Niniuitas dico, ſcriptura teſtatur dicens: Quia vidit Deus quòd diſceſſit vnuſquiſque à via ſua mala. Igitur ſi viderit, quòd & nos nunc virtuti iunxerimus, & à malo deſtiterimus, feſtinemúſque ad bonorum operationem, approbabit & noſtram conuerſionem, & ſarcinis peccatorum exoneratis ſua largietur dona. Neque nos ſic à peccatis liberi eſſe & ſaluari cupimus, ſicut ipſe cupit & adeſſe feſtinat, vt & ab illis liberos nos faciat, & ſalute potiri concedat. Eapropter obſecro, excitemus noſtras mentes, & ſui quiſque ſcrutator ſit, an quid amplius à ſe præterito tempore cum laude geſtum ſit, vel quam vtilitatem habuerit ex continua hac doctrina: vel quid, quod proximo ſeruiat, fructuũ collegerit, vel quæ à ſe prætermiſſa negligentius geſta correxerit, vel quam promotionem melioris vitæ ex his noſtris quotidianis acceperit admonitionibus, vel quid bonis ſuis operibus adiecerit. Nunquam enim quieſcendum eſt à bona hac operatione. At ſi quis viderit conſuetudinem ſuam adhuc præualere, & ſe in iiſdem perſeuerare, cogat mentem ſuam ſuæ deſidiæ rationem reddere: nec ſinat progredi vlterius, ſed ibi conſuetudini finem imponat, moretur concitatum curſum, coërceat cogitationes, in mente reuoluat horrendum illum diem,

Ionæ. 3. 10.

A ἐπιθυμῶν τὴν ἡμῶν σωτηρίαν ταῦτα φθέγγομαι, καὶ βουλόμενος ἐνταῦθα μικρὸν ὑμᾶς λυπηθέντας τὴν αἰώνιον κόλασιν διαφυγεῖν, ἢ πρὸς ὀλίγον ψυχαγωγηθέντας διηνεκῆ τὴν τιμωρίαν ὑπέχειν. εἰ γὰρ ἀνάσχησθε τῶν ἐμῶν λόγων, καὶ τὴν προλαβοῦσαν ἀθυμίαν ἀποσείσεσθε, καὶ μάλιστα νῦν ὡς ἔτι ὁ βραχὺς οὗτος καιρὸς τῆς ἁγίας ὑμῖν ὑπολέλειπται τεσσαρακοστῆς, δυνήσεσθε καὶ τὰ ἡμαρτημένα ἀπονίψασθαι, καὶ πολλὴν ἀπὸ τοῦ θεοῦ τὴν φιλανθρωπίαν ἐπισπάσασθαι. οὐδὲ γὰρ πολλῶν ἡμερῶν δεῖται ὁ δεσπότης οὐδὲ χρόνου, ἀλλ᾽ ἐὰν θελήσωμεν ταῖς δυσὶ ταύταις ἑβδομάσι πολλὴν τὴν διόρθωσιν τῶν ἐπταισμένων
B ἡμῖν ποιησόμεθα. Εἰ γὰρ τοὺς Νινευΐτας, ἐπειδὴ τριῶν ἡμερῶν τὴν μετάνοιαν ἐπεδείξαντο, τοσαύτης ἠξίωσε φιλανθρωπίας, πολλῷ δὴ μᾶλλον ἡμᾶς οὐ παρόψεται, μόνον ἐὰν τὴν ἀληθῆ μετάνοιαν ἐπιδειξώμεθα, καὶ τῆς κακίας ἀποστάντες ἁψώμεθα τῆς ἐπὶ τὴν ἀρετὴν φερούσης ὁδοῦ. καὶ γὰρ περὶ ἐκείνων, τῶν Νινευϊτῶν λέγω, μαρτυροῦσα ἡ θεία γραφή φησιν, ὅτι εἶδεν ὁ θεὸς ὅτι ἀπέστη ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ πονηρᾶς. ἐὰν τοίνυν καὶ ἡμᾶς ἴδῃ μεταταξαμένους πρὸς τὴν ἀρετὴν καὶ ἐκκλίναντας μὲν ἀπὸ τῆς κακίας, ἐπὶ δὲ τὴν τῶν ἀγαθῶν ἐργασίαν σπεύδοντας, δέξεται,
C καὶ ἡμῶν τὴν ἐπιστροφήν, καὶ τῶν φορτίων ἐλευθερώσας τῶν ἁμαρτημάτων παρέξει τὰς παρ᾽ ἑαυτοῦ δωρεάς· οὐδὲ γὰρ ἡμεῖς οὕτω τῆς τῶν ἁμαρτημάτων ἀπαλλαγῆς ἐπιθυμοῦμεν, καὶ σωτηρίας ἐφιέμεθα ὡς αὐτὸς σπεύδει, καὶ ἐπείγεται κἀκείνων ἡμῖν τὴν ἀπαλλαγὴν δωρήσασθαι, καὶ τῆς σωτηρίας τὴν ἀπόλαυσιν παρασχεῖν. Διὸ παρακαλῶ διεγείρωμεν ἑαυτῶν τὸν λογισμόν, καὶ ἕκαστος ἐξεταστὴς ἑαυτοῦ γινέσθω, εἴ τι πλέον αὐτῷ κατώρθωται ἐν τῷ παρελθόντι χρόνῳ, ἢ τινα ὄνησιν ἔχει ἐκ τῆς συνεχοῦς ταύτης διδασκαλίας, εἴ τι ἐκαρπώσατο εἰς τὴν τοῦ πλησίον κατάστασιν, εἴ τινα τῶν ἐλαττωμάτων διώρθωσε τῶν ἑαυτοῦ, εἴ τινα πρὸς
D φιλοσοφίαν προσθήκην ἐδέξατο ἐκ τῆς καθημερινῆς ἡμῶν παραινέσεως· καὶ τοῖς μὲν ἤδη κατωρθωμένοις προσθήκην ἐπινοείτω, καὶ μηδέποτε παυέσθω τῆς καλῆς ταύτης ἐργασίας. εἰ δέ τις ἔτι ὑπὸ τῆς συνηθείας τῆς περὶ αὐτὸν κεκρατημένος, ὁρᾷ ἑαυτὸν τοῖς αὐτοῖς ἐπιμένοντα, βιασάσθω ἑαυτοῦ τὸν λογισμόν, δίκην ἀπαιτήσας τοσαύτης ῥαθυμίας, καὶ μὴ ἀνασχοίτο περαιτέρω προελθεῖν, ἀλλὰ μέχρι τούτου στήσας τὰ τῆς πονηρᾶς συνηθείας ἐκκοπτέτω τὴν ὁρμήν, ἀναχαιτιζέτω τὸν λογισμόν, εἰς ἔννοιαν ἑαυτὸν ἀγέτω τῆς φοβερᾶς ἐκείνης ἡμέρας,

ἀναλογιζέσθω τῆς φρικτῆς ταύτης τραπέζης τὴν ἀπόλαυσιν, καὶ τοῦ ἐντεῦθεν ἐκπηδῶντος πυρὸς τὴν φαιδρότητα, καὶ τὴν καυστικὴν δύναμιν, καὶ οἵαν ἀπαιτεῖ τοῦ προσιόντος εἶναι τὴν διάνοιαν, παντὸς ῥύπου πάσης κηλῖδος καθαρεύουσαν, καὶ τῶν ἀτόπων λογισμῶν τὴν συνουσίαν ἐκτρεπομένην, ἵν' οὕτως ἑαυτοὺς εὐτρεπίσαντες ταῖς μεταξὺ ταύταις ἡμέραις δυνηθῶμεν καθ' ὅσον οἷόν τε ἐκκαθάραντες ἑαυτοὺς, καὶ τῆς ἐντεῦθεν ἀπολαύσεως μεταλαβεῖν, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῆναι, ὧν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A cogitet menſæ huius tremendæ participationem & ſplendorem ignis inde reſilientis, & conflagrantem vim, & qualem conueniat eſſe accedentis mentem. Ab omni macula, ab omni labecula ſit pura, & illicitarum cogitationum aſſultus repellat, & familiaritatem ſubuertat: vt ſic interim diebus iſtis noſipſos queamus moderari, ac vt, quantum fieri poteſt, purificati, participes fieri poſſimus præſentis iſtius ſumptionis, & ineffabilibus illis bonis potiri, quæ promiſit diligentibus ſe, gratia & benignitate domini no-B ſtri Ieſu Chriſti: cum quo patri ſimul & Spiritui ſancto ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum, Amen.

Ὁμιλία κε.

Νῶε δὲ ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς.

Τῆς ὑποθέσεως βούλομαι πάλιν ἅψασθαι, περὶ ἧς πρῴην διελέχθην ὑμῶν τῇ ἀγάπῃ, καὶ τὴν κατὰ τὸν C δίκαιον Νῶε πάλιν ἱστορίαν εἰς μέσον ἀγαγεῖν. πολὺς γὰρ ὁ τῆς ἀρετῆς τοῦ δικαίου πλοῦτος, καὶ προσήκει ἡμᾶς κατὰ δύναμιν ἡμετέραν πάντα κατὰ μικρὸν διερευνησαμένους πολλὴν ὑμῖν τὴν εὐπορίαν ἐντεῦθεν παρασχεῖν. ἀλλὰ συντείνατέ μοι παρακαλῶ τὴν διάνοιαν, ἵνα μηδὲν ὑμᾶς ἐκφύγῃ τῶν ἐγκειμένων νοημάτων. ἀναγκαῖον δὲ πρότερον ὑπομνῆσαι ὑμῶν τὴν ἀγάπην μέχρι τίνος ἡμῖν πρῴην ἔληξε τὰ τῆς διδασκαλίας, ἵν' ἐκεῖθεν πάλιν ἀναλαβόν- D τες σήμερον τὸν λόγον, οὕτως ὑφάνωμεν τοῖς εἰρημένοις καὶ τὰ νῦν μέλλοντα ῥηθήσεσθαι. οὕτω γὰρ ἡμῖν εὐσύνοπτα ἔσται καὶ τὰ νῦν λεγόμενα. ποῦ οὖν τὸ τέλος ἔσχεν ἡμῖν τὰ τῆς διδασκαλίας; εἶπε, φησὶ, κύριος ὁ θεὸς τῷ Νῶε· εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς τὴν κιβωτὸν, ὅτι σε εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ, ἀπὸ δὲ τῶν κτηνῶν τῶν καθαρῶν εἰσάγαγε πρὸς σὲ ἑπτὰ ἑπτὰ, καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν δύο δύο. ἔτι γὰρ ἑπτὰ ἡμερῶν ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν τεσσαράκοντα ἡμέρας

Homilia XXV.

Noë autem annorum erat ſexcentorum, & diluuium aquæ factum eſt ſuper terram. Gen. 6. 7

ARGVMENTVM de quo heri charitati veſtræ diſſerui, denuo attingam, & iuſti Noë hiſtoriam iterum in medium afferam. Magnæ enim virtutum iuſti diuitiæ ſunt, noſtrique officij eſt omnibus pro noſtra virili diſquiſitis, curare vt veſtræ opes hinc auctiores fiant. Cæterum obſecro attenta mẽte adſitis, vt ne ſententias, quæ hic latent, ignoretis. Operæprecium autem fuerit, prius charitati veſtræ cõmemorare, vbinam heri docendi finem fecerimus, vt inde hodie ſermone repetito, dicenda dictis rectè contexamus. Sic enim manifeſtiora nobis erunt etiam ea quæ nunc dicuntur. Vbi ergo quæ docebamus heri, finem habuerunt? Dixit, inquit, dominus Deus ad Noë: Ingredere tu, & omnis domus tua in arcã: quia te vidi iuſtum coram me in generatione iſta. Ex iumentis vero mũdis induc ad te ſeptena: & ex iumẽtis quæ non ſunt munda, bina. Adhuc enim ſeptem dies, ego inducam pluuiã ſuper terrã quadraginta diebus,

A & quadraginta noctibus, & delebo omnem ſubſtantiam, quam feci à facie terræ, ab homine vſque ad pecus. Et fecit Noë omnia quæ præceperat ſibi dominus Deus. Hucuſque procedebat ſermo, hîc docendi finem faciebamus. Fortaſſis enim & ipſi meminiſtis quando charitati veſtræ cauſam reddidimus quare Deus ex mũdis ſeptena, ex immundis bina introduci iuſſerit. Age ergo hodie accedamus ad ea quæ conſequenter lecta ſunt, & videamus quid nobis diuina ſcriptura dicat poſt ingreſſum Noë in arcam. Nunc enim maximè, ſi vllo alio tempore, decet vt B amplius ſit noſtrum ſtudium, cùm ob ieiunij tempus & dulciſſima veſtra conſuetudine magis fruimur, & à voluptatibus voracitatéque liberamur, excitatíſque mentibus, dictis diligenter attẽdere poſſumus. Dicendum igitur, vnde hodie lectio cœpta eſt.

Gen. 7. *Noë autem erat annorum ſexcentorum*, inquit, *& diluuium aquæ factum eſt ſuper terram.* Attendite obſecro, & ne perfunctoriè dictum prætercurratis. Habent enim latẽtes diuitias breuia hæc verba. Quòd ſi mẽ- C tem intenderimus, licebit ex iſtoc ipſo miſericordiæ Domini excellentiam, malitiæque hominum, qui tũc erant, abundantiam deprehendere. *Noë autem annorum erat*, inquit, *ſexcentorum.* Non abſque cauſa annorum Noë numerum nos docuit diuina ſcriptura, neque vt iſtuc ipſum diſcamus, quot annorum fuerit iuſtus: ſed quia prius nos docuit ſcriptura dicens: Noë autem erat annorum

Gen. 8. 21. quingentorum: & poſtquam nobis annorum manifeſtauit numerum, tunc narrauit immodicam homi- D num in malum propenſionẽ, & quia incumbit cogitatio hominum diligenter in mala à iuuentute, ideo dixit Deus, Non permanebit ſpiritus meus in hominibus iſtis, eò quòd ipſi ſint carnes: prænunciando eis indignationis ſuæ excellentiam. Deinde vt daret eis idoneum tempus, quod ſufficeret pœnitentiæ, vt effugerent, & indignationem non experirentur, dicit: Erunt autem dies eorum anni centum & viginti: hoc eſt, adhuc longanimis ero etiam poſt quingentos illos annos,

καὶ τεσσαράκοντα νύκτας, καὶ ἐξαλείψω πᾶσαν τὴν ἐξανάστασιν, ἣν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους. καὶ ἐποίησε Νῶε πάντα, ὅσα ἐνετείλατο αὐτῷ κύριος ὁ θεός. μέχρι τούτου στήσαντες τὸν λόγον ἐνταῦθα κατεπαύσαμεν τὴν διδασκαλίαν. μέμνησθε γὰρ ἴσως καὶ αὐτοί, ὅτε τὴν αἰτίαν εἰρήκαμεν ὑμῶν τῇ ἀγάπῃ, τίνος ἕνεκεν ἀπὸ μὲν τῶν καθαρῶν ἑπτὰ ἑπτὰ προσέταξεν εἰσαχθῆναι, ἀπὸ δὲ τῶν ἀκαθάρτων δύο δύο. φέρε οὖν λοιπὸν σήμερον τοῖς ἑξῆς ἀναγνωσθεῖσιν ἐπεξέλθωμεν, καὶ ἴδωμεν τί διηγεῖται ἡμῖν ἡ θεία γραφὴ μετὰ τὴν εἴσοδον τοῦ Νῶε εἰς τὴν κιβωτόν. νῦν γὰρ εἰ καί ποτε ἄλλοτε μάλιστα πολλὴν ἐπιδείκνυσθαι ἡμᾶς προσήκει τὴν σπουδήν, ὅτε διὰ τὸν τῆς νηστείας καιρὸν, καὶ τῆς ἡδίστης ὑμῶν συντυχίας συνεχῶς ἀπολαύομεν, καὶ τῆς περὶ τὴν τρυφὴν ἀδηφαγίας ἀπηλλάγμεθα, καὶ διεγηγερμένον ἔχοντες τὸν λογισμὸν δυνάμεθα μετὰ ἀκριβείας προσέχειν τοῖς λεγομένοις. πόθεν οὖν ἡμῖν ἡ ἀρχὴ γέγονε τῶν σήμερον ἀναγνωσθέντων ἀναγκαῖον εἰπεῖν. Νῶε δὲ ἦν ἐτῶν ἑξακοσίων φησί, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς. προσέχετε παρακαλῶ, καὶ μὴ ἁπλῶς παραδράμωμεν τὸ εἰρημένον. ἔχει γάρ τινα πλοῦτον ἐγκεκρυμμένον ταυτὶ τὰ ῥήματα, καὶ ἐὰν συντείνωμεν ἡμῶν τὴν διάνοιαν, καὶ ἐξ αὐτοῦ τούτου δυνησόμεθα καταμαθεῖν τῆς τε φιλανθρωπίας τοῦ δεσπότου τὴν ὑπερβολὴν, καὶ τῆς τῶν τότε ἀνθρώπων κακίας τὴν πολλὴν ἐπίτασιν. Νῶε δὲ ἦν ἐτῶν, φησιν, ἑξακοσίων. οὐχ ἁπλῶς ἡμᾶς τὸν ἀριθμὸν τῶν ἐτῶν ἐδίδαξε τοῦ δικαίου, οὐδὲ ἵνα αὐτὸ τοῦτο μάθωμεν, πόσων ἦν ἐτῶν ὁ δίκαιος, ἀλλ' ἐπειδὴ προλαβοῦσα ἐδίδαξεν ἡμᾶς ἡ θεία γραφὴ ἤδη εἰποῦσα, ὅτι Νῶε δὲ ἦν ἐτῶν πεντακοσίων, καὶ μετὰ τὸ γνώριμον ἡμῖν ποιῆσαι τῶν ἐτῶν τὸν ἀριθμὸν, τότε διηγήσατο τῶν ἀνθρώπων τὴν πολλὴν περὶ τὴν κακίαν ῥοπὴν, καὶ ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. διό φησιν ὁ θεός, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας, προμηνύων αὐτοῖς τῆς ἀγανακτήσεως αὐτοῦ τὴν ὑπερβολήν. εἶτα ἵνα δῷ αὐτοῖς καιρὸν ἀρκοῦντα πρὸς τὸ μεταβάλλεσθαι, καὶ τὴν πεῖραν διαφυγεῖν τῆς ἀγανακτήσεως φησιν, ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσι ἀντὶ τοῦ, μακροθυμήσω ἔτι μετὰ τὰ πεντακόσια ἔτη.

A οὐδὲ γὰρ ἐπαύσατο ὁ δίκαιος οὗτος ἐν τοῖς πεντακοσίοις ἔτεσι διὰ τῆς οἰκείας προσηγορίας πάντας αὐτοὺς ὑπομιμνήσκων, καὶ ἐνάγων, εἴπερ ἐβούλοντο προσέχειν, ὥστε καὶ τῆς κακίας ἀποστῆναι καὶ πρὸς τὴν ἀρετὴν μετατάξασθαι. ἀλλ' ὅμως φησὶ καὶ νῦν ἔτι ἑκατὸν εἴκοσι ἐτῶν ἀριθμὸν ὑπισχνοῦμαι μακροθυμήσειν, ἵνα τῷ μεταξὺ χρόνῳ εἰς δέον χρησάμενοι, καὶ τὴν κακίαν φύγωσι, καὶ τῆς ἀρετῆς ἀντιλάβωνται. καὶ οὐ μόνον τῇ ὑποσχέσει τῶν ἐτῶν ρκʹ ἠρκέσθη, ἀλλὰ καὶ τῷ δικαίῳ προσέταξε κιβωτὸν τεκτήνασθαι, ἵνα καὶ αὐτὴ ἡ ὄψις τῆς κιβωτοῦ πάλιν ἀρκοῦσαν αὐτοῖς ὑπόμνησιν παράσχῃ, καὶ μηδεὶς ἀγνοήσῃ τῆς μελλούσης τι- B μωρίας ἐπάγεσθαι τὸ μέγεθος. αὐτὸ γὰρ τοῦτο τὸν δίκαιον ἐκεῖνον καὶ εἰς τὴν ἄκραν τῆς κορυφῆς φθάσαντα τοσαύτην ποιεῖσθαι σπουδὴν περὶ τὴν τῆς κιβωτοῦ κατασκευήν, ἱκανὸν πάντας τοὺς νοῦν ἔχοντας εἰς ἀγωνίαν καὶ φόβον ἐμβαλεῖν, καὶ πεῖσαι ἐξευμενίσασθαι τὸν οὕτως ἥμερον καὶ φιλάνθρωπον δεσπότην. εἰ γὰρ οἱ βάρβαροι ἐκεῖνοι, οἱ Νινευῖται λέγω· πάλιν γὰρ αὐτοὺς ἀναγκαῖον εἰς μέσον ἀγαγεῖν· ἵνα ταύτῃ καὶ μᾶλλον δειχθῇ καὶ τούτων ἡ ὑπερβάλλουσα κακία, κἀκείνων ἡ πολλὴ εὐγνωμοσύνη. καὶ γὰρ ὁ δεσπότης ἡμῶν τότε ἐν C τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, τῇ τῆς κρίσεως λέγω, δούλους καὶ δούλους εἰς μέσον ἄγων οὕτω τὴν κατάκρισιν ἐργάζεται, ὅταν δειχθῶσιν οἱ τῶν αὐτῶν ἀπολαύσαντες καὶ τῶν αὐτῶν μετασχόντες μὴ τὴν αὐτὴν ἀρετὴν μετελθόντες. πολλάκις δὲ καὶ ἐξ ἀνίσων ποιεῖται τὰς συγκρίσεις, ἵνα πλείονα τὴν κατάκρισιν τοῖς ῥαθυμηκόσιν ἐπαγάγῃ· διὰ τοῦτο καὶ ἐν τοῖς εὐαγγελίοις ἔλεγεν· ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδοὺ πλεῖον D Ἰωνᾶ ὧδε· μονονουχὶ λέγων, ὅτι οἱ βάρβαροι μηδεμιᾶς ἐπιμελείας ἀπολαύσαντες, μὴ προφητικῶν διδαγμάτων ἀκούσαντες, οἱ σημεῖα μὴ θεασάμενοι, οἱ θαύματα μὴ ἰδόντες· ἀλλ' ἑνὸς ἀνθρώπου ἐκ ναυαγίου διασωθέντος ῥήματα ἀκούσαντες πολλὴν αὐτοῖς τὴν ἀπόγνωσιν παρασχεῖν δυνάμενα, καὶ εἰς ἀμηχανίαν ἐμβαλεῖν, ὡς καὶ ὑπεριδεῖν τῶν παρ' αὐτοῦ λεγομένων, οὐ μόνον οὐ κατεφρόνησαν τῶν τοῦ προφήτου ῥημάτων,

in quibus iuſtus iſte ſuo nomine ſatis omnes illos admonebat & inducebat, ſi quidem attendere voluiſſent, vt & à malitia deſiſterent, & virtuti vacarent. Verumtamen & nunc polliceor me annos centum viginti longanimem futurum, vt tempore hoc quod intercedet, non abutantur; malitiam fugientes, & virtutem amplexantes. Et non ſolum contentus fuit centum & viginti annorum promiſſione, ſed iuſto præcepit vt arcam conſtrueret, quò & ipſe aſpectus arcæ iis ſufficientem memoriam ſuggeret, & nullus ignoraret inferendæ pœnæ magnitudinem. Nam iſtuc Ion. 3. 4. ipſum, quòd iuſtus ille, & qui in ſummum virtutis peruenerat faſtigium, tanto ſtudio exſtruebat arcam, ſatis eſſe debebat ad iniiciendum omnibus, quibus mens erat, angorem & formidinem, & perſuadendum, vt placarent tam manſuetum & clementem dominum. Nam ſi barbari illi, Niniuitas dico, quos iterum in medium adducere operæprecium eſt, vt etiam hac ratione magis demonſtretur & horum excellens malitia, & illorum ingens probitas. Etenim Dominus noſter in die illo terribili, iudicij inquam, ſeruos & ſeruos in medium producens, ſic condemnationem facit, quando monſtrantur ij, qui eadem bona ſortiti erant, & eorundem participes non eandem exercuerant virtutem. Sæpe autem etiam ex inæqualibus comparationes facit, vt magis deſides & peccatores condemnet. Quapropter & in Euangelio dicebat: Viri Niniuitæ reſurgent in iudicio cum Matth. generatione hac; & condemnabunt 12. 41. & eam, quia pœnitentiam ege- Luc. 11. runt in prædicatione Ionæ: & ec- 30. ce plus quàm Ionas hic: quaſi diceret, barbari quorum nulla cura eſt habita, qui prophetarum doctrinas non audierunt, qui ſigna non viderunt, qui miracula non ſpectarunt: ſed auditis tantum vnius hominis in naufragio ſeruari verbis, quæ eos, magnam deſperationem afferendo, conſilij inopes facere poterant, ita vt etiam contemnerent quæ dicebantur: non ſolum non deſpexerunt prophetæ verba,

ſed & in trium dierum anguſtia deprehenſi, tam diligentem & ſtudioſam facere pœnitentiam, vt & ſententiam Domini reuocarent. Illi igitur, inquit, condemnabunt generationem hanc, cui tanta cura contigit, quæ prophetarum libris enutrita eſt, quæ ſigna & miracula quotidie ſpectauit: Deinde vt & iſtorum incredulitatis eminentiam oſtenderet, etiam illorum ineffabilem virtutem ſubdit: quia pœnituerunt ad prædicationem Ionæ, & ecce plus plus quàm Ionas hic. Niniuitæ quidem, inquit, viſo abiecto homine Iona, & eius ſuſceperunt prædicationem, & conſummatam fecerunt pœnitentiam: Iſti autem videntes multò maiorem quàm Ionas erat, ipſúmque vniuerſi dominum ſecum ſimul verſantem, tantáque ac talia quotidie miracula operãtem, leproſos mundantem, mortuos ſuſcitantem, vitia naturæ corrigentem, dæmones expellentem, morbos curantem, poteſtate multa peccatorum remiſſionem prębentem: non illam quam barbari, exhibuerunt pœnitentiam. Verùm ad ſermonis noſtri contextum redeamus, vt videas quàm immodica iſtorũ fuerit ingratitudo, & quàm laborioſa illorũ gratitudo: & quòd Niniuitæ in triduum coartati, neque ſic de ſalute ſua deſperarunt, ſed ad pœnitentiam accelerauerunt, & peccata abluerũt, miſericordiáque Domini ſeſe dignos exhibuerunt: iſti autem, de quibus nunc ſermo, tempus centũ & viginti annorum ad pœnitentiam acceperant, neque aliquid inde lucrifecerunt. Proinde Dominus videns in multam illos excidiſſe malitiã, celerem ipſis inducit correctionem, abolétque & è medio tollit peccandi furorem. Propter hoc dicit: Noë autem erat annorum ſexcentorum, & diluuium aquæ factum eſt ſuper terram. Iam didicimus quòd quãdo indignatio & prædictio Domini facta eſt, Noë fuit annorum quingentorũ: quando autem inductũ eſt diluuium ſexcentorum: ita interceſſerunt anni inter prædictionem & diluuium, cẽtum: & in iis annis ne tantillum quidem profecerunt, licèt tãtopere docerentur à Noë arcam fabricante.

Niniuitæ Iudeos cõdemnabunt.

A ἀλλὰ καὶ εἰς τριῶν ἡμερῶν στενοχωρίαν ἀποκλειθέντες οὕτως ἀκριβῆ καὶ συντεταμένην μετάνοιαν ἐπεδείξαντο, ὥστε τὴν ἀπόφασιν ἀνακαλέσασθαι τοῦ δεσπότου. οὗτοι οὖν φησὶ κατακρινοῦσι ταύτην τὴν γενεὰν, τὴν τοσαύτης ἀπολαύσασαν ἐπιμελείας, τὴν προφητικαῖς ἐντραφεῖσαν βίβλοις, τὴν σημεῖα, καὶ τέρατα καθ᾽ ἑκάστην ἡμέραν θεωμένην. εἶτα ἵνα καὶ τούτων τῆς ἀπιστίας δείξῃ τὴν ὑπερβολὴν, κἀκείνων τὴν ἄφατον εὐγνωμοσύνην, ἐπήγαγεν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. ἐκεῖνοι μὲν φησὶν εὐτελῆ ἄνθρωπον θεασάμενοι τὸν Ἰωνᾶν, καὶ

B ἐδέξαντο τὸ παρ᾽ αὐτοῦ κήρυγμα, καὶ ἀκριβεστάτην ἐπεδείξαντο τὴν μετάνοιαν· οὗτοι δὲ οἱ πολλῷ πλείω, τοῦ Ἰωνᾶ καὶ αὐτὸν τὸν ὅλων δημιουργὸν ὁρῶντες σὺν αὐτοῖς συναναστρεφόμενον. καὶ τοσαῦτα καὶ τοιαῦτα θαυμάσια ἐφ᾽ ἑκάστης ἐργαζόμενον, λεπροὺς καθαίροντα, νεκροὺς ἐγείροντα, τὰ πηρώματα τῆς φύσεως διορθούμενον, δαίμονας ἐλαύνοντα, νόσους ἰώμενον, μετ᾽ ἐξουσίας πολλῆς ἁμαρτημάτων ἄφεσιν χαριζόμενον, οὐδὲ τὴν αὐτὴν τοῖς βαρβάροις πίστιν ἐπεδείξαντο. ἀλλ᾽ ἐπὶ τὴν ἀκολουθίαν ἐπανέλθωμεν τοῦ λόγου· ἵνα εἰδῇς

C καὶ τούτων τῆς ἀγνωμοσύνης τὴν ἐπίτασιν, καὶ ἐκείνων τῆς εὐγνωμοσύνης τὸ ἐπίπονον. καὶ ὅτι κἀκεῖνοι μὲν ἐν τρισὶν ἡμέραις στενοχωρηθέντες οὐδὲ οὕτως ἀπηγόρευσαν αὐτὴν τὴν σωτηρίαν, ἀλλ᾽ ἐπὶ τὴν μετάνοιαν σπεύσαντες καὶ τὰ ἡμαρτημένα ἀπενίψαντο, καὶ τῆς φιλανθρωπίας τοῦ δεσπότου ἀξίους ἑαυτοὺς κατέστησαν· οὗτοι δὲ αὐτοὶ ἑκατὸν εἴκοσι ἐτῶν προθεσμίαν λαβόντες πρὸς μετάνοιαν, οὐδὲ οὕτως ἀπώναντό τι πλέον. διὸ καὶ ὁ δεσπότης ὁρῶν αὐτῶν τῆς κακίας τὴν ὑπερβολὴν, καὶ ἐπει-

D δὴ εἶδεν εἰς πολλὴν κακίαν ἐξοκείλαντας, ταχεῖαν αὐτοῖς ἐπάγει τὴν διόρθωσιν τῆς κακῆς αὐτῶν γνώμης τὴν πονηρίαν ἀφανίσας, καὶ ἐκποδὼν ποιήσας. διὰ τοῦτό φησι· Νῶε δὲ ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς. τέως ἐμάθομεν ὅτι ἡνίκα μὲν ἡ ἀγανάκτησις γέγονε τοῦ δεσπότου, καὶ ἡ πρόῤῥησις πεντακοσίων ἦν ἐτῶν. ὅτε δὲ ἐπήχθη ὁ κατακλυσμὸς ἑξακοσίων, ὡς ἑκατὸν ἔτη ἐν τῷ μέσῳ γενέσθαι, καὶ μηδὲ ἐν τοῖς ἑκατὸν ἔτεσι κερδᾶναι αὐτούς τι πλέον, τοσαύτης ἀπολαύοντας διδασκαλίας ἐκ τῆς κατασκευαζομένης ὑπὸ τοῦ Νῶε κιβωτοῦ.

A ἀλλ' ἴσως αὐτῆς μαθεῖν ἐπιζητήσῃ τίνος ἕνεκεν εἰπὼν ἑκατὸν εἴκοσι ἔτη ἔσονται αἱ ἡμέραι αὐτῶν· καὶ ἐπαγγειλάμενος τοσαῦτα μακροθυμήσειν, πρὸ τῆς τούτων συμπληρώσεως τὴν πανωλεθρίαν ἐπήγαγε. καὶ τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας μέγιστον ἂν εἴη δεῖγμα. ἐπειδὴ γὰρ εἶδε καθ' ἑκάστην ἡμέραν ἀνίατα ἁμαρτάνοντας, καὶ οὐ μόνον οὐδὲν κερδαίνοντας ἐκ τῆς ἀφάτου μακροθυμίας, ἀλλὰ καὶ ἐπιτείνοντας τὰ ἕλκη· διὰ τοῦτο συνέτεμε τὸν χρόνον, ὥστε μὴ μείζονι τιμωρίᾳ ὑπευθύνους αὐτοὺς καταστῆναι. καὶ ποία φησὶ μείζων ἦν ταύτης τιμωρία; ἔστιν ἀγαπητὲ καὶ μείζων, καὶ φοβερωτέρα, καὶ διαρκὴς ἡ κατὰ τὸν B μέλλοντα αἰῶνα. ὅτι γὰρ κἂν ἐνταῦθα δίκην τινὲς ὑπόσχωσιν, οὐδὲ τὴν ἐκεῖ τιμωρίαν διαφεύξονται. ἀλλὰ κουφοτέραν ὑποστήσονται διὰ τῶν ἐνταῦθα συμβάντων, τὸ μέγεθος τῶν ἐκεῖ κολαστηρίων ὑποτεμνόμενοι. ἄκουε τοῦ Χριστοῦ λέγοντος καὶ ταλανίζοντος τὴν Βηθσαϊδά· οὐαί σοι Χοραζεὶμ φησιν, οὐαί σοι Βηθσαϊδά, ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν. διὸ λέγω ὑμῖν ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν. C ὁρᾷς ἀγαπητὲ πῶς τῷ εἰπεῖν ἀνεκτότερον ἔδειξεν, ὅτι καὶ οἱ τοσαύτην ἐνταῦθα δίκην δόντες, καὶ τὸν ἐμπρησμὸν ἐκεῖνον τὸν καινὸν καὶ ξένον ὑπομείναντες κἀκεῖ τινα τιμωρίαν ὑποστήσονται, κουφοτέραν δὲ ὅμως διὰ τὸ προλαβόντας ἐνταῦθα τοσαύτης πειραθῆναι τῆς ἀγανακτήσεως; ἵν' οὖν καὶ οὗτοι μὴ ἐπιτείνοντες τὰ ἁμαρτήματα μείζονος τιμωρίας ἑαυτοὺς ὑπευθύνους καταστήσωσιν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος δεσπότης ὁρῶν αὐτῶν τὸ ἀμετανόητον, ὃν ὑπέσχετο μακροθυμήσειν, χρόνον συνέτεμεν. ὥσπερ γὰρ ἐπὶ τῶν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδεικνυμένων διὰ τὴν προσοῦσαν D αὐτῷ ἀγαθότητα ἀνακαλεῖται τὰς παρ' αὐτοῦ ἀποφάσεις, καὶ μεταβαλλομένοις προσίεται, καὶ τῆς ἐπικειμένης ἀπαλλάττει τιμωρίας. οὕτω πάλιν ἐπειδὰν ἐπαγγέλληται ἢ ἀγαθά τινα παρέξειν ἢ προθεσμίαν μετανοίας, ἴδῃ δὲ ἀναξίους γενομένους, καὶ τότε πάλιν ἀνακαλεῖται αὐτοῦ τὰς ὑποσχέσεις. διὰ τοῦτο καὶ διὰ τοῦ προφήτου ἔλεγε. πέρας λαλήσω ἐπὶ ἔθνη καὶ ἐπὶ βασιλείας τοῦ ἀπολ-

Sed fortaſſe quæret aliquis : Quare cùm dixit Dominus, centum viginti anni erunt dies eorum : promiſeritque ſe tanto tempore longanimitate vſurum, antequam implerentur anni promiſſi, vniuerſale introduxit excidium? Etiam hoc ipſius clementiæ maximum eſt argumentum, & indicium. Nam quoniam vidit quotidie incurabiliter illos peccare , & non ſolum nihil ex ineffabili longanimitate ſua proficere : ſed & incrudeſcere vlcera ; propterea ſuccidit tempus , vt ne maiori ſcilicet pœnæ ſe obnoxios facerent. Et quæ (inquit aliquis) hac maior eſſet pœna? Eſt planè, eſt dilecte, pœna & maior , & terribilior, & durans : nempe quæ in futuro ſeculo. Nam qui pœnam hîc ſuſtinent, & illic non effugiunt, ſed leuiorem ſortiuntur ob eam quam hîc tulerunt : ij magnitudinem eorum quæ illic ſunt tormentorum minuunt. Audi enim Chriſtum dicentem, & miſeram vocantem Bethſaida: Væ tibi Chorozaim, inquit , Væ tibi Bethſaida: quia ſi in Sodomis factæ eſſent virtutes illæ quæ factæ ſunt in vobis, olim in ſacco & cinere pœnitentiam egiſſent. Idcirco dico vobis , quia tolerabilius erit terræ Sodomorum , & Gomorrhæ in die iudicij , quàm vobis. Vides dilecte, quomodo cùm dicit , tolerabilius erit , oſtendit quòd licet tantam hîc pœnam dederint , & incendium illud nouum & rarum tulerint, & alibi pœnam ſuſtinebunt, verumtamen leuiorem , eò quòd prius hîc tantam experti ſint indignationem? Vt igitur & ij peccata coaceruantes, maioribus ſe pœnis obnoxios non facerent, Dominus bonus & benignus duritiam illorum pœnitere neſciam videns , tempus quo ſe longanimem futurum promiſit, abbreuiauit. Nam ſicut eis , qui admonitionibus ſuis promptè parent, ob bonitatem ſibi peculiarem ſententias ſuas reuocat, & conuerſus appropinquat, ab imminentibus pœnis eos liberans : ita quoque cùm promittit vel bona aliqua ſe præditurum, vel pœnitentiæ tempus, videt autem fieri indignos, etiam tunc quoque ſuas promiſſiones reſcindit. Quocirca & per pro- Hier. 18.
phetam dicebat : Ad ſummam loquar ſuper gentes , & ſuper regna, vt perdam euer- 7.

Luc. 10. 13.

tam & ſi pœnitentiam egerint, agam & ego pœnitentiam ſuper his quæ locutus ſum vt facerem eis. Et iterum: Ad ſummam loquar ſuper gentes & regna, vt reædificem: & ſi peccauerint, pœnitentiam & ego agam ſuper his quæ locutus ſum vt facerem eis. Vidiſti quomodo & à nobis occaſiones accipit tam miſericordiæ, quam erga nos declarat, quàm indignationis? Idcirco etiam nunc tempus reſecat, cuius longitudine abutebantur. Beatus quoque Paulus ad ſtupidos illos, qui propter pœnitentiam, datam nobis ſalutem non aduertunt, di-

Rom. 2. 4. cebat: An diuitias bonitatis eius, & patientiæ, & longanimitatis contemnis, ignorans quòd benignitas Dei ad pœnitentiam te prouocat: ſecundum autem duritiam tuam, & cor pœnitentiæ neſcium, theſaurizas tibimetipſi iram in die iræ & reuelationis iuſti iudicij Dei? Vidiſti quomodo & eximius ille doctor orbis clarè nos docuit, quòd qui longanimitate Dei ad pœnitentiam nobis conceſſa abutuntur, maiori pœnæ & ſupplicio ſemetipſos obnoxios faciunt? Et hac de cauſa etiam nunc benignus Deus, quaſi ſatisfacturus nobis, rationemque reddens, quare antequam promiſſum tempus impleretur, diluuium induxerit, annorum iuſti numerum ponit, & dicit: Noë autem erat annorum ſexcentorum. Nam qui in centum annis conuerti noluerint; quid amplius proficerent ex annis viginti, quàm quòd plura adiicerent peccata? Enimuerò monſtrans ineffabilem ſuam miſericordiam, & excellentem bonitatem, non refugit etiam ante ſeptem dies, quin prædicet eis diluuium mox inducendum, vt vel anguſtia temporis correpti, conuerſionem aliquam oſtendant. Et vide clementiam Domini, quomodo quaſi bonus aliquis medicus, variis viis morbum eorum curare tentat. Nam quoniam incurabilia eorum erant vulnera, tam prolixum eis tempus præſcripſit, volens etiam ſi in tanto tempore agnoſcerent & reſipiſcerent, reuocare indignationis ſuæ ſententiam. Semper enim mos eius eſt, quoniam noſtræ ſalutis curam

A λύσειν καὶ κατασκάψειν, καὶ ἐὰν μετανοήσωσι, μετανοήσω κἀγώ, ἐφ' οἷς ἐλάλησα ποιῆσαι αὐτοῖς. καὶ πάλιν, πέρας λαλήσω ἐπὶ ἔθνη καὶ ἐπὶ βασιλείας τοῦ ἀνοικοδομεῖν, καὶ ἐὰν ἁμάρτωσι, μετανοήσω κἀγὼ ἐφ' οἷς ἐλάλησα ποιῆσαι αὐτοῖς. εἶδες πῶς παρ' ἡμῶν τὰς ἀφορμὰς λαμβάνει καὶ τῆς φιλανθρωπίας ἣν περὶ ἡμᾶς ἐπιδείκνυται καὶ τῆς ἀγανακτήσεως; διά τοι τοῦτο καὶ νῦν ἐπειδὴ οὐκ εἰς δέον ἐχρήσαντο τῇ τοῦ χρόνου παρατάσει, συντέμνει τὸν καιρόν· διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἔλεγε πρὸς τοὺς ἀναλγήτως διακειμένους καὶ τὴν διὰ τῆς μετανοίας δεδομένην ἡμῖν σω-

B τηρίαν οὐ προσιεμένους· ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει, κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θεοῦ; εἶδες πῶς καὶ ὁ θαυμάσιος οὗτος τῆς οἰκουμένης διδάσκαλος σαφῶς ἡμᾶς ἐδίδαξεν, ὅτι οἱ τῇ μακροθυμίᾳ τοῦ θεοῦ τῇ πρὸς μετάνοιαν ἡμῖν παρασχεθείσῃ μὴ χρώμενοι εἰς δέον μείζονι δίκῃ καὶ τιμωρίᾳ

C ἑαυτοὺς ὑπευθύνους καθιστῶσι; διὰ τοῦτο καὶ νῦν ὁ φιλάνθρωπος θεὸς μονονουχὶ ἀπολογούμενος καὶ δεικνὺς τὴν αἰτίαν, δι' ἣν καὶ πρὸ τῆς τῶν καιρῶν συμπληρώσεως ἐπήγαγε τὸν κατακλυσμόν, ἐπισημαίνεται ἡμῖν τῶν ἐτῶν τοῦ δικαίου τὸν ἀριθμόν, καί φησι· Νῶε δὲ ἦν ἐτῶν ἑξακοσίων. οἱ γὰρ ἐν τοῖς ἑκατὸν ἔτεσι μεταβάλλεσθαι μὴ βουληθέντες τί πλέον ἂν ἐκέρδανον ἀπὸ τῶν εἴκοσι ἐτῶν ἢ τὸ πλείονα τὴν παραθήκην ἐργάζεσθαι; δεικνὺς γὰρ αὐτοῦ τῆς ἀφάτου φιλανθρωπίας καὶ ἀγαθότητος τὴν ὑπερβολήν,

D καὶ πρὸ ἑπτὰ ἡμερῶν μηνύσαι αὐτοῖς τὴν ἐπαγωγὴν τοῦ κατακλυσμοῦ οὐ παρῃτήσατο, ἵνα κἂν τῇ στενοχωρίᾳ τοῦ καιροῦ συσταλέντες τινὰ μεταβολὴν ἐπιδείξωνται. καὶ ὅρα φιλανθρωπίαν δεσπότου, πῶς διαφόρως καθάπερ ἰατρὸς ἄριστος μεθοδεύσεν αὐτῶν τὴν νόσον. ἐπειδὴ γὰρ ἀνίατα ἦν αὐτῶν τὰ τραύματα, τοσοῦτον μῆκος αὐτοῖς προθεσμίας παρέσχε, βουλόμενος κἂν διὰ τοῦ πλήθους τοῦ χρόνου εἰς αἴσθησιν αὐτοὺς ἐλθόντας ἀνακαλέσασθαι αὐτοῦ τῆς ἀγανακτήσεως τὴν ἀπόφασιν. ἔθος γὰρ αὐτῷ ἀεί, ἐπειδὴ κήδεται τῆς σωτηρίας τῆς ἡμετέρας

προλέγει, ἃς μέλλει ἐπάγειν τιμωρίας. διὰ τοῦτο A
μόνον, ἵνα μὴ ἐπαγάγῃ, ὡς εἴγε ἐπαγαγεῖν ἐβού-
λετο, οὐκ ἂν εἶπεν, ἀλλ' ἐπιτηδες προλέγει, ἵνα
ἡμεῖς μαθόντες, καὶ τῷ φόβῳ σωφρονισθέντες με-
ταβαλώμεθα αὐτοῦ τὴν ἀγανάκτησιν, καὶ τὰς ἀπο-
φάσεις αὐτοῦ ἀκύρους καταστήσωμεν. οὐδὲν γὰρ οὕτως
αὐτὸν εὐφραίνει ὡς ἡ ἐπιστροφὴ ἡ ἡμετέρα, καὶ ἡ
ἀπὸ τῆς κακίας ἐπὶ τὴν ἀρετὴν ἐπάνοδος. σκό-
πει οὖν πῶς καὶ τούτων τὴν νόσον ἐμεθόδευσε, πρό-
τερον μὲν τοσοῦτον δοὺς αὐτοῖς χρόνον προθεσμίας
πρὸς μετάνοιαν, ἔπειτα ἐπειδὴ εἶδεν ἀναισθήτως
διακειμένους, καὶ οὐδὲν ἀπὸ τοῦ πλήθους τοῦ χρόνου
κερδαίνοντας, καὶ πρὸς αὐταῖς ταῖς θύραις ὡς εἰ- B
πεῖν τοῦ κατακλυσμοῦ προλέγει οὐ πρὸ τριῶν
ἡμερῶν, καθάπερ ἐπὶ τῶν Νινευϊτῶν, ἀλλὰ πρὸ
ἑπτά. καὶ γὰρ θαῤῥῶν ἂν εἴποιμι διὰ τὸ εἰδέναι τοῦ
δεσπότου τοῦ ἡμετέρου τῆς φιλανθρωπίας τὴν
ὑπερβολὴν, ὅτι καὶ ἐν ταῖς ἑπτὰ ἡμέραις, εἰ ἐβου-
λήθησαν ἀκριβῆ τὴν μετάνοιαν ἐπιδείξασθαι,
διέφυγον ἂν τοῦ κατακλυσμοῦ τὴν πεῖραν. ἐπεὶ
οὖν οὔτε ἡ παράτασις τοῦ τοσούτου χρόνου, οὔτε ἡ
στενοχωρία τοῦ καιροῦ καθελκύσαι αὐτοὺς τῆς κα-
κίας ἠδυνήθη, ἐπήγαγε κατακλυσμὸν ἐν τῷ ἑξα-
κοσιοστῷ ἔτει τοῦ Νῶε. Νῶε δὲ ἦν ἐτῶν ἑξακοσίων, C
καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς.
εἴδετε ἀγαπητοὶ, πόσης ἡμῖν ὠφελείας ὑπόθεσις
γέγονε τὸ γνῶναι τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ δικαίου,
καὶ ὅσων ἐτῶν ἦν, ἡνίκα ὁ κατακλυσμὸς ἐπῆλθε,
φέρε δὴ καὶ τοῖς ἀκολούθως εἰρημένοις ἐπεξέλθω-
μεν. ἐπειδὴ γὰρ ἤρξατο ὁ κατακλυσμὸς, φησιν, εἰ-
σῆλθε δὲ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ καὶ
αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ εἰς τὴν κιβωτὸν διὰ τὸ
ὕδωρ τοῦ κατακλυσμοῦ, καὶ ἀπὸ τῶν πετεινῶν τῶν
καθαρῶν, καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ καθαρῶν, καὶ
ἀπὸ τῶν κτηνῶν καὶ ἀπὸ τῶν ἑρπετῶν δύο δύο
ἀπὸ πάντων εἰσῆλθον πρὸς Νῶε εἰς τὴν κιβωτὸν D
ἄρσεν καὶ θῆλυ, καθ' ἃ ἐνετείλατο κύριος τῷ Νῶε.
οὐχ ἁπλῶς προσέθηκε τὸ καθ' ἃ ἐνετείλατο κύ-
ριος τῷ Νῶε, ἀλλ' ἵνα πάλιν αὐξήσῃ τοῦ δικαίου
τὸν ἔπαινον, καὶ ὅτι πάντα οὕτως ἐπλήρωσε καθά-
περ διετάξατο ὁ δεσπότης, καὶ οὐδὲν παρέλιπε τῶν
παρ' αὐτοῦ εἰρημένων αὐτῷ. καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ
ἡμέρας, καθάπερ ὑπέσχετό φησιν ὁ δεσπότης, καὶ
τὸ ὕδωρ τοῦ κατακλυσμοῦ ἐγένετο ἐπὶ τῆς γῆς ἐν
τῇ ζωῇ τοῦ Νῶε τοῦ δευτέρου μηνὸς, ἑβδόμῃ, καὶ
εἰκάδι τοῦ μηνός. ὅρα τῆς γραφῆς τὴν ἀκρίβειαν,

agit, prædicere, quas pœnas ſit illaturus, ob hanc tantum cauſam ne inferat, quas ſi inferre vellet, neutiquam diceret: ſed ſtudioſè prędicit, vt cùm nos didicerimus, & timore emendatiores facti, conuertamus ipſius indignationem, & ſententias irritas faciamus. Nihil enim eſt, quod ita illum exhilaret, atque conuerſio noſtra, & à peccato ad virtutem regreſſus. Animaduerte igitur quomodo & iſtorum valetudinem induſtria quadam curare nititur. Nam prius tantum temporis ad pœnitentiam dedit. Dein vbi vidit eos quaſi inſenſati eſſent, ita ſe gerere, nihilque proficere temporis lõgitudine, iam cum propemodum in foribus ipſis eſſet, diluuium, iterum prænunciat, non ante tres dies, ſicut de Niniuitis dicitur, ſed ante ſeptem. Et fidenter dixerim, excellentiam clementiæ Domini noſtri ſciens, ſi vel in ſeptem diebus iuſtam pœnitentiam agere voluiſſent, effugiſſent vtique diluuij periculum. Itaque quoniam neque productio tanti temporis, neque coarctatio à malis eos abducere potuit, induxit diluuium in ſexcenteſimo anno Noë.[6] *Noë autem*, inquit, *ſexcentorum annorum erat, & diluuium aquæ factum eſt ſuper terram.* Vidiſtis dilecti quantæ nopis vtilitatis materia facta ſit, cognoſcere numerum annorum iuſti, & quot annorum erat, quando diluuium venit? Age progrediamur ad ea, quæ conſequenter dicuntur. Nam vt cœpit diluuium, inquit: [7] *Ingreſſus eſt autem Noë, & filij eius, & vxor illius, & vxores filiorum illius in arcam, propter aquam diluuij:* [8] *& ex volatilibus mundis, & ex iumentis, & ex reptilibus bina. Ex omnibus intrauerunt ad Noë in arcam, maſculus & foemina, ſicut præceperat Dominus Noë.* Non abſque cauſa addidit, Sicut mandauit Dominus Noë: ſed vt iterum augeret laudem iuſti, quòd omnia impleuerit, ſicut præceperat, & quòd nihil ex dictis prætermiſerit.[12] *Et factum eſt poſt dies ſeptem, ſicut promiſerat*, inquit, *Dominus, & aqua diluuij facta eſt ſuper teram primo & ſexcenteſimo anno vitæ Noë, menſe ſecundo, viceſimo & ſeptimo menſis.* Vide ſcripturæ diligentiam,

Deus prædicit pœnas ne inferat.

quomodo non ſolum nos docuit quo anno factum ſit diluuium, ſed & quo menſe & die. Et vt maiori narratione emendatiores reddat poſteros, terrorem quoque factorum latius dicit: [11] *In die illo rupti ſunt omnes fontes abyſſi, & cataractæ coeli apertæ ſunt, & facta eſt pluuia ſuper terram quadraginta diebus & quadraginta noctibus.* Vide quanta dicendi attemperatione vtitur etiam nunc ſacra ſcriptura: omnia enim iuxta humanam conſuetudinem loquitur: non quòd cataractæ & feneſtræ ſint in cœlo, ſed omnia per familiaria nobis verba loquitur, quaſi diceret: Præcepit tantum Dominus, & ſtatim aquarum natura mandato conditoris obediuit, & vt confluxit, totum orbem inundauit. Iam quòd quadraginta diebus, & quadraginta noctibus inductum eſt diluuium, & iſtucipſum bonitatis maximum ſpecimen eſt. Volebat enim propter magnam miſericordiam, etiam aliquos ex eis caſtigatos generalem hanc internecionem effugere, cùm ante oculos viderent proximos ſuos perire, & imminere ſibi communem interitum. Veriſimile enim eſt primo die bonam aliquam partem diluuio periiſſe, & ſecundo die accreuiſſe aliquid diluuij: & ſimiliter die tertio, & quarto, & reliquis. Atque ita in quadraginta dies, & quadraginta noctes produxit, vt omnem defenſionis prætextum ademeret. Nam ſi voluiſſet ac imperaſſet, potuiſſet omnia in vno momento perdere diluuio, ſed pro ſua clementia tanta dierum productione vſus eſt. Deinde dicit: [13] *In die illa*
Cap. 8. *intrauit Noë in arcam, & Sem, & Cham, & Iapheth, & vxor Noë, & tres vxores filiorum illius.,* [14] *& omnes beſtiæ ſecundum genus, ſicut præceperat dominus Deus Noë.* Quando, inquit, cœpit diluuium, ſecundùm præceptum Domini, intrauit Noë in arcam cum filiis, & vxore ſua, & vxoribus filiorum ſuorum, & omnes beſtiæ ſecundùm genus. *Et clauſit,* inquit, *dominus Deus deforis eius arcam.* Animaduerte etiam hic verbi ad noſtram infirmitatem accommodationem. Clauſit Dominus forinſecus illius arcam, vt doceat quòd ad-

A πῶς οὐ μόνον τὸν ἐνιαυτὸν ἡμᾶς ἐδίδαξε, καθ' ὃν ὁ κατακλυσμὸς γέγονεν, ἀλλὰ καὶ τὸν μῆνα κατάδηλον ἐποίησε καὶ τὴν ἡμέραν. εἶτα ἵνα τῇ διηγήσει τοὺς μετὰ ταῦτα σωφρονεστέρους ἐργάσηται, καὶ τὸν φόβον αὐξήσῃ τῶν γεγενημένων φησίν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐρράγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταρράκται τοῦ οὐρανοῦ ἠνεῴχθησαν, καὶ ἐγένετο ὑετὸς ἐπὶ τῆς γῆς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. ὅρα πόσῃ κέχρηται καὶ νῦν ἡ ἁγία γραφὴ τῇ συγκαταβάσει, καὶ πρὸς τὴν συνήθειαν τὴν ἀνθρωπίνην πάντα διαλέγεται, οὐκ ἐπειδὴ καταρράκται εἰσὶν ἐν
B τῷ οὐρανῷ, ἀλλ' ἀπὸ τῶν συνήθων ἡμῖν ὀνομάτων. ἅπαντα διαλέγεται μονονουχὶ λέγουσα, ὅτι προσέταξε μόνον ὁ δεσπότης καὶ εὐθέως ἡ τῶν ὑδάτων φύσις ὑπήκουσε τῷ ἐπιτάγματι τοῦ δημιουργοῦ, καὶ πάντοθεν συρρέουσα πάντα τὸν κόσμον ἐπέκλυσε. καὶ τὸ ἐν τεσσαράκοντα ἡμέραις καὶ νυξὶν ἐπαγαγεῖν τὸν κατακλυσμόν, καὶ τοῦτο πάλιν μέγιστον εἶδος τῆς αὐτοῦ φιλανθρωπίας. ἐβούλετο γὰρ διὰ πολλὴν ἀγαθότητα καὶ ἐνίους ἐξ αὐτῶν σωφρονισθέντας διαφυγεῖν τὴν παντελῆ ἀπώλειαν, ὁρῶντας ἐν ὀφθαλμοῖς καὶ τῶν ὁμογενῶν
C τὴν ἀπώλειαν, καὶ τὴν μέλλουσαν αὐτοῖς καταλήψεσθαι πανωλεθρίαν. εἰκὸς γὰρ ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ φανερόν τι μέρος ἐπικλυσθῆναι, καὶ ἐν τῇ δευτέρᾳ προσθήκην τινὰ γενέσθαι, ὡσαύτως καὶ ἐν τῇ τρίτῃ καὶ ἐφεξῆς. καὶ διὰ τοῦτο εἰς τεσσαράκοντα ἡμέρας παρέτεινε καὶ τεσσαράκοντα νύκτας, ἵνα πᾶσαν αὐτῶν ἀπολογίας πρόφασιν περικόψῃ. εἰ γὰρ ἐβούλετο καὶ προσέταξεν, ἠδύνατο καὶ ἐν μιᾷ ῥοπῇ τὰ πάντα ἐπικλύσαι, ἀλλὰ τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος καὶ τῇ τοσαύτῃ παρατάσει τῶν ἡμερῶν ἐχρήσατο.
D εἶτά φησιν, ἐν τῇ ἡμέρᾳ ταύτῃ εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν καὶ Σήμ, καὶ Χάμ, καὶ Ἰάφεθ, καὶ ἡ γυνὴ τοῦ Νῶε καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν αὐτοῦ, καὶ πάντα τὰ θηρία κατὰ γένος καθάπερ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Νῶε. ὅτε φησὶν ἀρχὴν ἔλαβε τὰ τοῦ κατακλυσμοῦ κατὰ τὸ πρόσταγμα τοῦ δεσπότου, εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν μετὰ τῶν υἱῶν καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν γυναικῶν τῶν υἱῶν αὐτοῦ, καὶ πάντα τὰ θηρία κατὰ γένος, καὶ ἔκλεισε φησὶ κύριος ὁ θεὸς ἔξωθεν αὐτοῦ τὴν κιβωτόν. σκόπει καὶ ἐνταῦθα λέξεως συγκατάβασιν, ἔκλεισεν ὁ θεὸς ἔξωθεν αὐτοῦ τὴν κιβωτόν, ἵνα διδάξῃ ἡμᾶς, ὅτι ἐν

A ἀσφαλείᾳ πολλῇ κατέστησε τὸν δίκαιον. διὸ δὴ ἔκλεισε διὰ τοῦτο προσέθηκεν καὶ ἔξωθεν, ὥστε μὴ ἐξεῖναι τῷ δικαίῳ ὁρᾶν τὴν πανωλεθρίαν γινομένην, καὶ πλείονα καὶ αὐτὸν τὴν συντριβὴν ὑπομεῖναι. εἰ γὰρ καὶ ἀναλογιζόμενος ἐν διανοίᾳ τὸ χαλεπὸν ἐκεῖνο κλυδώνιον, καὶ ὑπογράφων τῷ λογισμῷ τὴν ἀπώλειαν τοῦ τῶν ἀνθρώπων γένους, τῶν ἀλόγων ἁπάντων τὴν κοινὴν τελευτήν, καὶ ἀνθρώπων καὶ κτηνῶν, καὶ αὐτῆς τῆς γῆς ὡς εἰπεῖν τὸν ἀφανισμόν, συνεχεῖτο καὶ διεταράττετο. εἰ γὰρ καὶ πονηροὶ ἦσαν οἱ ἀπολλύμενοι, ἀλλ' αἱ τῶν δικαίων ψυχαὶ πολλὴν εἰώθασι τὴν συμπάθειαν ἐπιδείκνυσθαι. ἐπειδὰν ἴδωσι B τιμωρουμένους τοὺς ἀνθρώπους, καὶ εὑρήσεις ἕκαστον τῶν δικαίων καὶ τῶν προφητῶν πολλὴν ὑπὲρ αὐτῶν τὴν ἱκετηρίαν τιθεμένους, καθάπερ ὁ πατριάρχης πεποίηκεν ἐπὶ τῶν Σοδόμων, καθάπερ οἱ προφῆται πάντες ποιοῦντες διετέλεσαν. καὶ γὰρ ὁ μὲν ἔλεγεν· οἴμοι κύριε ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ, ἕτερος δέ φησι· ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης οὐκ ἔχοντας ἡγούμενον; ἐπεὶ οὖν καὶ αὐτοῦ τούτου ὁ δίκαιος οὗτος διεταράττετο τὸν λογισμόν, καὶ συνεχεῖτο τὴν διάνοιαν, ἵνα μὴ καὶ ἡ ὄψις καὶ ἡ θέα εἰς πλείονα αὐτὸν C ἐμβάλῃ συντριβήν, καθάπερ ἐν δεσμωτηρίῳ κατακλείει αὐτὸν ἐν τῇ κιβωτῷ, ὥστε μὴ τοῖς ὀφθαλμοῖς ὁρᾶν τὰ γινόμενα, μηδὲ εἰς δειλίαν καταστῆναι. εἰκὸς γὰρ ἦν αὐτὸν ὁρῶντα τῶν ὑδάτων τὴν πλημμύραν ἀγωνιάσαι μὴ καὶ αὐτὸς ὑποβρύχιος γένηται. κηδόμενος τοίνυν αὐτοῦ ὁ φιλάνθρωπος θεὸς οὐ συγχωρεῖ οὐδὲ θεάσασθαι τῶν ὑδάτων τὴν φοράν, οὔτε ἰδεῖν τὴν γινομένην ἀπώλειαν, καὶ τὴν τῆς οἰκουμένης πανωλεθρίαν. ἐγὼ δὲ ὅταν λογίσωμαι τὴν ἐν τῇ κιβωτῷ τοῦ δικαίου τούτου διαγωγήν, ἐκπλήττομαι, καὶ θαυμάζω, καὶ πάλιν τῇ τοῦ θεοῦ D φιλανθρωπίᾳ τὸ πᾶν λογίζομαι. εἰ μὴ γὰρ ἐκείνη ἦν ἡ νευροῦσα αὐτοῦ τὸν λογισμόν, καὶ τὰ δύσκολα εὔκολα ἐργαζομένη, πῶς ἄν, εἰπέ μοι, ἐνεγκεῖν ἠδυνήθη καθάπερ ἐν εἱρκτῇ τινι καὶ δεσμωτηρίῳ χαλεπῷ οὕτως αὐτόθι ἐγκεκλεισμένος; πῶς δὲ ἴσχυσεν, εἰπέ μοι, ἀντισχεῖν πρὸς τὸν τοσοῦτον πάταγον τῶν κυμάτων; εἰ γὰρ ἐν πλοίῳ τυγχάνοντες οἱ ἄνθρωποι, καὶ ἱστίῳ κεχρημένοι, καὶ τὴν κυβερνήτην ὁρῶντες ἐπὶ τῶν οἰάκων καθήμενον, καὶ τῇ οἰκείᾳ τέχνῃ πρὸς τὴν τῶν ἀνέμων ῥύμην ἱστάμενον, ἐπειδὰν ἴδωσι κυμάτων σφοδρότητα, ἀποθνήσκουσι τῷ δέει, καὶ περὶ αὐτῆς ὡς εἰπεῖν σωτηρίας δεδοίκασι, τί

A modum ſecurum fecerit iuſtum. Quapropter adiecit, forinſecus, ita vt non poſſet videre iuſtus generalem omnium interitũ qui fiebat, vnde maiori dolore ipſe conficeretur. Nam ſi expendiſſet ſecum atrociſſimam illam tempeſtatem, deſcripſiſſétque in mente humani generis perditionem, communem brutorum omnium interitum, & hominum, & iumentorum, & ipſius terræ (vt ita dicam) abolitionem, mœſtitia correptus, & valde turbatus fuiſſet. Quanquam enim erant improbi, qui peribant: attamen bonorum viro- B rum animæ magnam compaſſionem habere ſolent, ſi quando vident puniri homines, & inuenies omnes prophetas & iuſtos plurimum pro illis Deo ſupplicare, ſicut patriarcha pro Sodomitis faciebat, ſicut & Prophe- Gen. 18. tæ continuò facere ſolebant. Etenim vnus quidem dicebat: Heu mihi Domine, delebis tu reliquias Iſraël? Ezech. 9.8. Alius autem inquit: Facies homines ſicut piſces maris, non habentes ducem? Habac. 1. 14. Igitur quia alioquin iuſtus confundebatur mente, & tur- C babatur, vt non & ſpectaculi triſtis aſpectu magis cruciaretur, in arca illum quaſi in carcere includit, vt ne oculis proſpiciens metuere inciperet. Veriſimile enim eſt, ſi vidiſſet inundationem tot aquarum, anxium futurum fuiſſe, ne & ipſe aquis periret. Eius igitur curam gerens benignus Deus, non permiſit ipſum vel aquarum ſpectare ſæuitiam, vel videre hominum excidium, & communem orbis internecionem. Ego autem quando reputo mecum in arca iuſti huius vitam, obſtupeſco & D miror, & iterum Dei clementiæ totum aſcribo. Nam niſi illa confirmaſſet illius mentem, & difficilia leuia feciſſet, quomodo, dic oro, ferre potuiſſet? Erat enim ibi incluſus quaſi in carcere quodam & moleſta cuſtodia. Et quomodo quæſo potuiſſet aduerſus tantos fluctuum impetus obſiſtere? Homines enim qui in naui ſunt, & velo vtuntur, & gubernatorem ad clauum ſedentem vident, & ſua arte ventorum vi obſiſtentem, ſi quando fluctuum vident inſaniam enecantur metu, & ſaluti ſuæ (propemodum) timent. Quid

A igitur dicet aliquis de iuſto hoc, qui quaſi in carcere (vt dixi) ſedens, hinc & inde circumferebatur, neque cœlum videre, neque aliquò oculos vertere valens: ſed intus tenebatur, nihílque prorſus videre poterat, quod conſolationem afferret? Et ij quidem qui in mari nauigant, etiamſi exurgant alti fluctus, poſſunt ſubinde in cœlum ſuſpicere, & cacumina montium videre, & ciuitates magnas ſpectare, ſicque aliquantam conſolationem capere. Quòd ſi grauior & intolerabilior fuerit tempeſtas, vndecim vel paulò pluribus diebus, & poſt multas illas tempeſtates, & pericula in terram eiecti, & paululum refecti, omnium illarum moleſtiarum obliuiſcuntur. Hic autem nihil tale, ſed anno toto nouum & rarum illum carcerem inhabitabat, neque aërem reſpirare valens. Quomodo? vndequaque enim arca clauſa erat, quomodo ſubſtitit? quomodo durauit? dic mihi. Nam ſi ferrea & adamantina illis fuiſſent corpora, quomodo potuiſſent, qui neque aëre fruebantur, neque vento, qui non minus quàm aër ad refocillanda corpora noſtra factus eſt: neque oculos paſcere poterant, aut cœli, aut terræ floribus pictæ ſpectaculo? Quomodo non excæcati oculi eorum, qui tamdiu ibi egerunt? Et ſi humanis rationibus hæc deprehendere volumus, & illud cogitandum, vnde fluuialis & potabilis aquæ copiam habebant in arca viuentes. Et vt hæc præteream, quomodo potuit iuſtus ille cum filiis & vxoribus conuerſationem cum feris & aliis animalibus ferre? Quomodo tulit fœtorem? Quomodo tulit cohabitationẽ? Et cur iſta dico? quomodo bruta ipſa potuerunt durare, & non perire in tanta temporis longitudine, quæ neque aërem attrahere valebant, neque moueri, ſed in vno loco coërcebantur? Scitis enim clarè, quòd & noſtra, & brutorum natura, etiamſi aëre fruamur, aliíſque omnibus, continuò autem in vno loco ſimus incluſi, perit & corrumpitur. Vnde igitur potuit iuſtus cum omnibus, qui in arca erant, tanto durare tempore? Non aliunde quàm ex ſuperna gratia, cui omnia ſunt poſſibilia.

ἂν εἴποι τις περὶ τοῦ δικαίου τούτου; καθάπερ γὰρ ἐν δεσμωτηρίῳ ὡς ἔφθην εἰπὼν τυγχάνων ἐν τῇ κιβωτῷ ὧδε κἀκεῖσε περιεφέρετο, οὐ τὸν οὐρανὸν ἰδεῖν δυνάμενος, οὐχ ἑτέρωθί που τοὺς ὀφθαλμοὺς ἀνατεῖναι, ἀλλ' ἔνδον συνεχόμενος καὶ οὐδὲν ὅλως ἰδεῖν ἔχων ὃ παραμυθίαν αὐτῷ τινα φέρειν ἠδύνατο. ἐπὶ μὲν γὰρ τῶν τὴν θάλατταν πλεόντων, κἂν τὰ κύματα κορυφωθῇ, ἔξεστι καὶ εἰς τὸν οὐρανὸν ἀναβλέποντα πολλάκις, καὶ κορυφὴν ὄρους θεασάμενον, καὶ πόλιν μακρὰν κατοπτεύσαντα μικράν τινα παραψυχὴν λαβεῖν. εἰ δὲ πολὺς καὶ ἀφόρητος ὁ χειμὼν γένοιτο, ἐν δέκα ἢ ὀλίγῳ πλείοσιν ἡμέραις
B καὶ μετὰ τοὺς πολλοὺς χειμῶνας ἐκείνους καὶ τοὺς κινδύνους εἰς τὴν γῆν ἐκπεσόντες, καὶ μικρὸν ἀνέντες πάντων ἐκείνων τῶν λυπηρῶν λήθην λαμβάνουσιν. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτο, ἀλλ' ἐπὶ ἐνιαυτὸν ὁλόκληρον τὸ καινὸν καὶ ξένον ᾤκει δεσμωτήριον, οὐδὲ τὸν ἀέρα ἀναπνεῦσαι δυνάμενος; πῶς γὰρ πανταχόθεν ἠσφαλισμένης τῆς κιβωτοῦ; πῶς ἀντέσχεν εἰπέ μοι; πῶς διήρκεσεν; εἰ γὰρ ἀπὸ σιδήρου καὶ ἀδάμαντος αὐτοῖς συνειστήκει τὰ σώματα, πῶς ἂν ἠδυνήθησαν μήτε ἀέρος ἀπολαύοντες, μήτε ἀνέμου, οἳ τοῦ ἀέρος οὐκ ἔλαττον τὰ σώματα ἡμέ-
C τερα ἀνακτήσασθαι πεφύκασι, μήτε τοὺς ὀφθαλμοὺς ἑστιᾶσαι ἔχοντες πρὸς τὴν τοῦ οὐρανοῦ θέαν, ἢ πρὸς τὴν τῶν ἀνθῶν τῶν ἀπὸ τῆς γῆς ποικιλίαν; πῶς δὲ οὐχὶ καὶ ἀπετυφλώθησαν αἱ ὄψεις ἐπὶ τοσοῦτον οὕτω διάγοντες, καὶ εἰ ἀνθρωπίνοις λογισμοῖς ταῦτα βουληθείημεν καταμαθεῖν, κἀκεῖνο δεῖ ἐννοῆσαι, πόθεν ὕδατος ποτίμου χορηγίαν εἶχον ἐν τῇ κιβωτῷ διάγοντες. καὶ ἵνα ταῦτα παρῶ, πῶς ἠδυνήθη ὁ δίκαιος σὺν μετὰ τῶν υἱῶν καὶ τῶν γυναικῶν τὴν μετὰ τῶν ἀλόγων καὶ τῶν θηρίων καὶ τῶν λοιπῶν κτηνῶν ἀναδέξασθαι διαγωγήν; πῶς ἠνέσχε τὴν δυσωδίαν; πῶς ἠνέσχετο τὴν σὺν αὐτοῖς οἴκησιν; καὶ
D τί ταῦτα λέγω; πῶς αὐτὰ τὰ ἄλογα ἠδυνήθη ἀντισχεῖν, καὶ μὴ διαφθαρῆναι, ἐν τοσούτῳ μήκει χρόνου, μήτε ἀέρος σπάσαι δυνάμενα, μήτε κινούμενα, ἀλλ' ἐνὶ τόπῳ καθειργμένα; ἴστε γὰρ, ἴστε, ὅτι καὶ ἐπὶ τῆς ἡμετέρας φύσεως καὶ ἐπὶ τῆς τῶν ἀλόγων, κἂν ἀέρος ἀπολαύωμεν, κἂν τῶν ἄλλων ἁπάντων διηνεκῶς δὲ ἐνὶ τόπῳ ὦμεν συγκεκλεισμένοι, οὐδὲν τὸ κωλῦον ἀπολέσθαι καὶ διαφθαρῆναι. πόθεν οὖν ἠδυνήθη ὁ δίκαιος σὺν μετὰ πάντων τῶν ἐν τῇ κιβωτῷ τοσοῦτον διαρκέσαι χρόνον; οὐδαμόθεν ἑτέρωθεν ἢ ἀπὸ τῆς ἄνωθεν ῥοπῆς τῆς πάντα δυναμένης.

A αὐτὸ γὰρ τὸ τὴν κιβωτὸν ὧδε κἀκεῖσε περιφερομένην μὴ καταποντισθῆναι ὑπὸ τῆς τοσαύτης τῶν ὑδάτων φορᾶς οὐδενὸς ὄντος τοῦ κυβερνῶντος, οὐ τῆς ἄνωθεν γέγονε ῥοπῆς; οὐδὲ γὰρ ἔχεις εἰπεῖν, ὅτι ἐν πλοίου σχήματι ἦν, ὡς δύνασθαι τέχνῃ τινὶ ἡνιοχεῖν αὐτῆς τὴν πορείαν. κιβωτὸς ἦν πάντοθεν πεφραγμένη, καὶ διὰ τὸ πρόσταγμα τοῦ δημιουργοῦ οὐ μόνον οὐδὲν αὐτὴν ἐλυμήνατο ἡ τῶν ὑδάτων φορὰ, ἀλλὰ καὶ ὑψηλοτέρα γινομένη ἐν πολλῇ ἀσφαλείᾳ καθίστη τοὺς ἐνοικοῦντας. ὅταν οὖν ὁ θεὸς ἐργάσηταί τι ἀγαπητὲ, μὴ βούλου λογισμοῖς ἀνθρωπίνοις ἐξετάζειν τὰ παρ' αὐτοῦ γινόμενα· ὑπερβαίνει γὰρ τὴν ἔννοιαν τὴν B ἡμετέραν, καὶ οὐκ ἄν ποτε δυνηθῇ ἀνθρωπίνη διάνοια ἐφικέσθαι καὶ καταλαβεῖν τὸν λόγον τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων. διὸ προσήκει ἀκούοντας ἡμᾶς, ὅτι ὁ θεὸς προσέταξε, πείθεσθαι, καὶ εἴκειν τοῖς παρ' αὐτοῦ λεγομένοις. δημιουργὸς γὰρ ὢν τῆς φύσεως κατὰ τὸ αὐτῷ δοκοῦν ἅπαντα μεταρρυθμίζει καὶ μεταπλάττει. καὶ ἔκλεισε κύριος ὁ θεὸς ἔξωθεν αὐτοῦ τὴν κιβωτόν. πολλὴ τοῦ δικαίου τούτου ἡ ἀρετὴ καὶ τῆς πίστεως ἡ ὑπερβολή. αὕτη γὰρ, αὕτη καὶ τεκτήνασθαι τὴν κιβωτὸν παρεσκεύασε, καὶ τὴν C οἴκησιν πράως ἐνεγκεῖν, καὶ τῆς στενοχωρίας ἀνασχέσθαι, καὶ τῆς μετὰ τῶν θηρίων διαγωγῆς, καὶ τῆς τῶν ἀλόγων ἁπάντων. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος εἰς μνήμην αὐτοῦ ἐλθὼν, καὶ ἀνακηρύττων αὐτὸν ἐβόα λέγων· πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος. εἶδες πῶς ἡ πίστις ἡ εἰς τὸν θεὸν καθάπερ ἄγκυρά τις ἀσφαλὴς παρεσκεύασεν αὐ- D τὸν, καὶ τῆς κιβωτοῦ τὴν κατασκευὴν ποιήσασθαι, καὶ τῆς οἰκήσεως ἀνασχέσθαι; αὕτη γὰρ αὐτῷ καὶ τῆς σωτηρίας ὑπόθεσις γέγονε, δι' ἧς, φησι, κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος. οὐκ ἐπειδὴ αὐτὸς ἔκρινεν, ἀλλ' ἐπειδὴ ὁ δεσπότης συγκρίσεως τὴν κατάκρισιν ἐπάγει. τῶν γὰρ αὐτῶν ἀπολαύσαντες τῷ δικαίῳ οὐ τὴν αὐτὴν αὐτῷ μετῆλθον τῆς ἀρετῆς ὁδὸν, διὰ πίστεως μὲν ἣν ἐπεδείξατο, κατέκρινεν ἐκείνους τοὺς πολλὴν τὴν ἀπιστίαν ἐπιδειξαμένους, καὶ μὴ πιστεύσαντας τῇ προρρήσει.

An non arcam hinc & inde moueri, & non ſubmergi à tanta aquarum vi, cùm nullus eſſet gubernator, ſupernæ erat gratiæ? Non enim dicere potes, quòd fuerit ad modum nauis, vt arte quadam illius iter dirigi potuerit. Arca erat vndequaque munita: & propter præceptum conditoris, non ſolum eam lædere non potuit aquarum impetus, ſed & ſublimior illis facta, inhabitantes admodum ſecuros fecit. Quando enim Deus operatur aliquid, dilecte, noli humana ratiocinatione exquirere quæ fiunt: tranſcendunt enim mentem noſtram, & nunquam poteſt humana cogitatio attingere & comprehendere eorum, quæ à Deo condita ſunt, rationem. Proinde par eſt, nos audientes quod Deus imperauit, obedire & credere iis quæ ab illo dicuntur. Nam cùm conditor ſit naturæ, omnia componit & transformat prout ſibi videtur. Et clauſit dominus Deus forinſecus illius arcam. Magna huius iuſti virtus fuit, & fidei excellentia. Illa ipſa enim arcam fabricari fecit, & cohabitationem æquo animo ferre, coarctationémque ſuſtinere, & conuerſationem cum feris reliquíſque brutis animalibus. Hinc eſt quòd & beatus Paulus eius mentione facta prædicans illum, clamabat, dicens: Per fidem oraculo admonitus Noë, de his quæ nondum videbantur, veritus, apparauit arcam ad ſalutem domus ſuæ, per quam condemnauit mundum, & eius quæ ſecundùm fidem eſt, iuſtitiæ factus eſt hæres. Vidiſti quomodo fides in Deum, quaſi ſecura quædam anchora, fecit, vt arcam fieri curaret, & inhabitationem ſuſtineret? Nam hæc illi & ſalutis fuit occaſio, per quam, inquit, condemnauit mundum, & eius quæ ſecundùm fidem eſt, iuſtitiæ factus eſt hæres: non quòd ipſe fuerit iudex, ſed comparationis gratia, condemnationem Dominus inducit. Cùm enim eadem habuerint quæ iuſtus, non tamen eandem veritatis viam ingreſſi ſunt, per fidem qua præditus fuit, condemnauit eos qui tantæ fuerunt incredulitatis, vt prædictioni non crederent.

Creatoris potentia incomprehenſibilis.

Heb. 11. 7.

A Ego autem ſupra omnia virtutem iuſti admiror, dominíque bonitatem & ineffabilem miſericordiam, quando conſidero, quomodo potuerit verſari in medio beſtiarum, leonum dico, & pardorum, & aliarum immitium ferarum. Recordare hic dilecte, obſecro; quantæ dignitatis fuerit homo primigenius ante inobedientiam: & Dei bonitatem animo obſerua. Poſteaquam enim illius præuaricatio hanc poteſtatem nobis datam mutilauerat & imminuerat, inuenit autem bonus Deus alium virum, qui potuit reparare imaginem priſtinam, & ſeruare virtutis characteres, magnámque in mandatis Dei obedientiam præ ſe tulit, ad primum ſuum honorem iterum eum reducit, quaſi docens nos operibus, quantam poteſtatẽ Adam ante inobedientiam habuerit. Virtus itaque iuſti, diuina clementia adiuta, primum reparauit dominium, agnouerúntque beſtiæ iterum ſubiectionem. Cùm enim illæ viderunt iuſtum, obliuiſcuntur naturæ ſuæ: imò non naturæ, ſed ferociæ, & naturæ inſitam ferociam in manſuetudinem conuertunt. Et vide interim quid & Danieli euenerit. Hic enim cum à leonibus circumdaretur, quaſi ab ouibus ſtiparetur, ſic intrepidè viuebat. Quandoquidem iuſti fiducia ferarum naturam frænabat, nec ſinebat, vt agerent ea quæ feræ ſolent. Simili modo etiam egregius ille magna facilitate ferarum ferebat conuictum, & neque loci anguſtia, neque tẽporis productio, neque quòd ſic incluſus erat, & aërem reſpirare non poſſet, moroſum, & difficilem reddebant: ſed ob fidem in Deum omnia ipſi facilia videbantur, & ſic verſabatur in graui illo carcere, ſicut nos in pratis & lucis. Præceptum enim Domini efficiebat, vt difficilia ipſi facilia viderentur. Talis enim iuſtorum mos eſt, vt quando aliquid propter Deum ferunt; non res ipſas quæ fiunt ſpectent, ſed cauſam ſecum expendentes, facilè omnia ferant. Quandoquidem & Paulus, gentium doctor, vincula, ad tribunalia abductiones, quotidiana pericula, multas illas & intolerabiles afflictiones, leues vocabat

Noë reſtituit quod Adam abſtulerat.

Dan. 6. 12.

Iuſti nõ res ſed cauſam ſpectãt.

A ἐγὼ δὲ μετὰ πάντων καὶ τοῦ δικαίου ἐκπλήττομαι τὴν ἀρετήν, καὶ τοῦ δεσπότου τὴν ἀγαθότητα, καὶ τὴν ἄφατον φιλανθρωπίαν, ὅταν ἐννοήσω, πῶς ἠδυνήθη μεταξὺ τῶν θηρίων διάγειν, τῶν λεόντων λέγω καὶ τῶν παρδάλεων καὶ τῶν ἄρκτων καὶ τῶν λοιπῶν τῶν ἀγρίων καὶ ἀτιθάσσων. ἀναμνήσθητί μοι ἐνταῦθα ἀγαπητὲ τῆς ἀξίας ἧς ἀπήλαυεν ὁ πρωτόπλαστος πρὸ τῆς παρακοῆς, καὶ λογίζου τοῦ θεοῦ τὴν ἀγαθότητα. ἐπειδὴ γὰρ ἡ παράβασις ἐκείνου ἠκρωτηρίασε τὴν δεδομένην ἐξουσίαν, εὗρε δὲ ὁ ἀγαθὸς δεσπότης ἕτερον ἄνδρα δυνάμενον ἀνακαλέσασθαι τὴν ἀρχαίαν εἰκόνα, καὶ διασώζοντα τῆς ἀρετῆς B τοὺς χαρακτῆρας, καὶ πολλὴν περὶ τὰς ἐντολὰς τὴν ὑπακοὴν ἐπιδεικνύμενον, πάλιν εἰς τὴν ἀρχαίαν τιμὴν αὐτὸν ἀνάγει μονονουχὶ διδάσκων ἡμᾶς δι' αὐτῶν τῶν πραγμάτων τῆς ἐξουσίας τοῦ Ἀδὰμ τὸ μέγεθος, ἣν εἶχε πρὸ τῆς παρακοῆς. ἡ ἀρετὴ τοίνυν τοῦ δικαίου ἐπιλαβομένη τῆς τοῦ θεοῦ φιλανθρωπίας ἀνεκαλέσατο τὴν προτέραν ἀρχήν, καὶ πάλιν τὰ θηρία τὴν ὑποταγὴν ἐπεγίνωσκον. ἔνθα γὰρ ἂν ἴδῃ θηρία δίκαιον, ἐπιλανθάνεται τῆς οἰκείας φύσεως μᾶλλον δὲ οὐ τῆς φύσεως, ἀλλὰ τῆς θηριωδίας, καὶ μένοντα ἐν τῇ φύσει τὴν θηριωδίαν C εἰς τὴν ἡμερότητα μεταβάλλει. καὶ ὅρα τοῦτο ἐπὶ τοῦ Δανιὴλ γινόμενον. ὑπὸ γὰρ τῶν λεόντων κυκλούμενος, ὥσπερ ὑπὸ προβάτων δορυφορούμενος, οὕτως ἀδεῶς διῆγεν, ἡ γὰρ τοῦ δικαίου παρρησία ἐχαλίνου τῶν θηρίων τὴν φύσιν, καὶ οὐκ εἴα τὴν τὰ τῶν θηρίων αὐτοὺς ἐπιδείκνυσθαι· τὸν αὐτὸν δὴ τρόπον ὁ θαυμάσιος οὗτος τὴν μετὰ τῶν θηρίων διαγωγὴν μετ' εὐκολίας ἔφερε, καὶ οὔτε ἡ στενοχωρία, οὔτε ἡ τοῦ χρόνου παράτασις, οὔτε τὸ οὕτως ἐγκεκλεῖσθαι, καὶ μήτε τὸν ἀέρα ἀναπνεῖν ναρκῆσαι αὐτὸν παρεσκεύασεν, ἀλλὰ τῇ πίστει τῇ εἰς τὸν θεὸν L ἅπαντα κοῦφα αὐτῷ ἐφαίνετο, καὶ οὕτω διῆγεν ἐν τῷ χαλεπῷ ἐκείνῳ δεσμωτηρίῳ ὡσανεὶ ἡμεῖς ἐν λειμῶσι καὶ δένδρεσι. τὸ γὰρ ἐπίταγμα τοῦ δεσπότου τὰ δυσχερῆ ῥᾴδια αὐτῷ φαίνεσθαι παρεσκεύασε. τοιοῦτον γὰρ τῶν δικαίων τὸ ἔθος· ὅταν τι δι' αὐτὸν ὑπομένωσιν, οὐ τῇ ὄψει τῶν γινομένων προσέχουσιν, ἀλλὰ τὴν ὑπόθεσιν λογιζόμενοι μετ' εὐκολίας ἅπαντα φέρουσιν. ἐπεὶ καὶ Παῦλος ὁ τῶν ἐθνῶν διδάσκαλος, τὰ δεσμωτήρια, τὰς ἀπαγωγάς, τοὺς καθημερινοὺς κινδύνους, τὰς πολλὰς ἐκείνας καὶ ἀφορήτους θλίψεις ἐλαφρὰς ἐκάλει,

A οὐκ ἐπειδὴ τῇ φύσει τοιαῦται ἦσαν, ἀλλ' ἐπειδὴ ἡ ὑπόθεσις τῶν γινομένων τοσαύτην αὐτῷ τὴν γνώμην παρεσκεύαζεν, ὡς μηδὲ ἐπιστρέφεσθαι πρὸς τὰ ἐπιόντα δεινά. ἄκουε γὰρ αὐτοῦ λέγοντος· τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται. ἡ προσδοκία φησὶ τῆς μελλούσης καταλήψεσθαι δόξης, καὶ τῆς διηνεκοῦς ἐκείνης ἀνέσεως κούφως ἡμᾶς ποιεῖ φέρειν τὰς ἐπαλλήλους ταύτας θλίψεις, καὶ ἐλαφρὰς αὐτὰς ἡγεῖσθαι. εἶδες ὅπως ὑποτέμνεται ὁ πρὸς τὸν θεὸν πόθος τὴν τῶν δεινῶν ἐπίτασιν, καὶ οὐδὲ αἴσθησιν συγχωρεῖ λαβεῖν τῶν ἐπιόντων; B διά τοι τοῦτο ὁ μακάριος οὗτος πάντα πρᾴως ἔφερε τῇ πίστει τῇ εἰς τὸν θεὸν καὶ τῇ ἐλπίδι τρεφόμενος. καὶ ἔκλεισε, φησι, κύριος ὁ θεὸς ἔξωθεν αὐτοῦ τὴν κιβωτόν, καὶ ἐγένετο ὁ κατακλυσμὸς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἐπὶ τῆς γῆς, καὶ ἐπεφέρετο ἡ κιβωτός. σκόπει πάλιν πῶς τῇ διηγήσει αὔξει τὸν φόβον, καὶ ἐξογκοῖ τὸ γεγενημένον. ἐγένετο γάρ φησιν ὁ κατακλυσμὸς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ ἐπληθύνθη τὸ ὕδωρ, καὶ ἐπῆρε τὴν κιβωτόν, καὶ ὑψώθη ἀπὸ τῆς γῆς, καὶ ἐπεκράτει τὸ ὕδωρ, καὶ ἐπληθύνετο C σφόδρα ἐπὶ τῆς γῆς, καὶ ἐπεφέρετο ἡ κιβωτὸς ἐπάνω τοῦ ὕδατος. τὸ δὲ ὕδωρ ἐπεκράτει σφόδρα σφοδρῶς ἐπὶ τῆς γῆς. ὅρα πῶς ἀκριβῶς ἡμῖν διηγεῖται τὴν πολλὴν τῶν ὑδάτων φοράν, καὶ ὅτι ἐφ' ἑκάστης αὔξησιν ἐλάμβανεν ἡ πλημμύρα τῶν ὑδάτων. ἐπεκράτει γὰρ τὸ ὕδωρ φησὶ σφόδρα σφοδρῶς, καὶ ἐπεκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλά, ἃ ἦν ὑποκάτω τοῦ οὐρανοῦ δεκαπέντε πήχεις ἐπάνω ὑψώθη τὸ ὕδωρ καὶ ἐπέκλυζεν ἅπαντα τὰ ὄρη. εἰκότως ᾠκονόμησεν ὁ φιλάνθρωπος δεσπότης κλεισθῆναι τὴν κιβωτόν, ὥστε μὴ ὁρᾷν τὸν δίκαιον τὰ γινόμενα. εἰ γὰρ ἡμεῖς μετὰ τοσοῦτον ἐτῶν ἀριθμόν, καὶ μετὰ τοσαύτας γενεὰς D ἀκούοντες μόνον τῆς γραφῆς τὴν διήγησιν συστελλόμεθα, καὶ ἐν ἀμηχανίᾳ γινόμεθα, τί εἰκὸς ἦν τὸν δίκαιον ἐκεῖνον παθεῖν, εἴγε τοῖς ὀφθαλμοῖς ἑώρα τὴν ἄβυσσον ἐκείνην τὴν ἀφόρητον; πῶς γὰρ ἠδυνήθη πρὸς βραχὺ ἀντισχεῖν, οὐχὶ δὲ εὐθέως ἐκ πρώτης ὄψεως ἂν ἐξέστη τῆς ψυχῆς ἀποστάσης, καὶ μηκέτι δυνηθείσης ἐνεγκεῖν τῶν τοσούτων δεινῶν τὴν θέαν. ἐννόει γάρ μοι ἀγαπητέ, πῶς νῦν μικρᾶς ἐπομβρίας γενομένης ἐναγώνιοι γινόμεθα, περὶ τοῦ παντὸς δεδοίκαμεν, περὶ αὐτῆς ὡς εἰπεῖν τῆς ζωῆς ἀπαγορεύομεν.

non quòd natura tales eſſent; ſed quia cauſa, propter quam fiebant, talem ei ſententiam ingenerabat; vt neque aduerteret, ſi quæ grauia talia obuenirent. Audi enim illum dicentem: Nam momentanea leuitas afflictionis noſtræ, mirè ſupra modum, æternum pondus gloriæ parit nobis. 2.Cor.4.17. Expectatio, inquit, gloriæ quam aſſequemur, & perpetuæ illius felicitatis, leuiter nos facit ferre continuas illas afflictiones, leuéſque eas haberi. Vidiſti quomodo amor in Deum grauitatem moleſtiarum imminuit, neque ſentiri ſinit, cùm nos inuaſerint? Sanè ob hoc & beatus ille omnia ſuauiter ferebat, vtpote qui fide & ſpe in Deum paſcebatur. *Et clauſit*, inquit, *dominus Deus deforis illius arcam*, [17] *& factum eſt diluuium quadraginta diebus, & quadraginta noctibus ſuper terram: & ſuperferebatur arca.* Attende iterum quomodo narratione augeat terrorem, & aggrauet factum. *Factum eſt enim*, inquit, *diluuium quadraginta diebus, & quadraginta noctibus, & multiplicata eſt aqua, & eleuauit arcam, & exaltata eſt à terra:* [18] *& inualuit aqua, & multiplicata eſt valde ſuper terram, & ſuperferebatur arca ſuper aquam: aqua autem inualeſcebat valde rurſus ſuper terram.* Vide valdè quomodo diligenter narrat magnam aquarum vim, & quotidianum ſæuitiæ illarum incrementum. *Inualeſcebat enim aqua*, inquit, *valde, valde: & occupauit omnes montes excelſos, qui erant ſub coelo.* [20] *Quindecim cubitis in ſublime exaltata eſt aqua, & operuit omnes montes.* Meritò ordinauit Deus claudi arcam, vt ne videret iuſtus quæ fiebant. Nam ſi nos poſt tot annorum numerum, & poſt tot ſecula, audientes duntaxat ſcripturæ narrationem, metu & ſtupore corripimur: quid veriſimile eſt iuſtum illum fuiſſe paſſurum, ſi quidem oculis vidiſſet intolerabilem illam abyſſum? Quomodo enim potuiſſet vel ad breue tempus reſiſtere? an non ſtatim primo aſpectu defeciſſet anima illius tota, & tam graue ac moleſtum ſpectaculum ferre vltrà non potuiſſet? Cogita namq; hîc dilecte, quomodo nunc cùm paruus imber ingruit, in angore ſumus, & de vniuerſo, déque ipſa quodammodo vita deſperamus.

Quid igitur veriſimile erat, iuſtum illum tunc fuiſſe paſſurum, ſi ad tantam ſublimitatem vidiſſet exaltatas aquas? Super montes enim, inquit, quindecim cubitis exaltata eſt aqua. Recordare igitur hic dilecte, quæ à Domino dicta fuerint, quando dicebat : Non permanebit ſpiritus meus in hominibus iſtis, eò quòd ipſi ſunt carnes. Et iterum: Corrupta eſt terra, & impleta eſt terra iniuſtitia. Et vidit Dominus terram, & erat corrupta : quia corruperat omnis caro viam ſuam. Itaque quia communi & integra purificatione orbis indigebat, & opus erat ab eo omnem maculam ablui, & omne fermentum prioris malitiæ ſuſtolli, & neque veſtigium malitiæ relinqui & quaſi reelementationem quandam fieri : ſicut bonus artifex, ſi quando videt vas aliquod inueteratum à rubigine quaſi conſumi, iniecto eo in ignem, facit vt quicquid habet rubiginis deponat, & transformans in priſtinum decorem reducat: Ita & dominus noſter totum orbem hoc diluuio purgauit, & à malitia hominum (vt ita dicam) & à coinquinatione & corruptione multa liberauit, & demùm eius clara reſtituta facie, pulchriorem fecit, ita vt non permiſerit vel veſtigium prioris deformitatis relinqui. *Exaltata eſt enim,* inquit, *ſuper montes quindecim cubitis aqua.* Non abs re narrat hæc ſcriptura, ſed vt diſcamus? quòd non ſolùm homines, & iumenta, & quadrupedia, & reptilia ſubmerſa ſint, ſed & volucres cœli, & quæcunque in montibus degunt, feras dico, & alia bruta animalia. Et idcirco dicit: Exaltata eſt ſuper montes quindecim cubitis aqua: vt diſcamus ſententiam Domini opere impletam. dixerat enim: Adhuc ſeptem dies, & inducam diluuium ſuper terram, & delebo omnem ſubſtantiam quam feci à facie terræ, ab homine vſque ad pecus, à reptilibus vſque ad volatilia cœli. Hæc nobis à ſcriptura narrantur, non vt tantùm ſciamus in quantam altitudinem aquæ peruenerint: ſed vt ſimul videamus nullum omnino animal, vel feram, vel iumentum relictum eſſe, ſed omnia cum humano genere deleta.

Gen. 6. 3.

A τί τοίνυν εἰκὸς ἦν τὸν δίκαιον ἐκεῖνον τότε παθεῖν πρὸς τοσοῦτον ὕψος ὁρῶντα τὰ ὕδατα κορυφούμενα; ἐπάνω γάρ φησι τῶν ὀρέων δεκαπέντε πήχεις ὑψώθη τὸ ὕδωρ. ἀναμνήσθητί μοι ἐνταῦθα ἀγαπητὲ τῶν παρὰ τοῦ δεσπότου ῥηθέντων, ὅτε ἔλεγεν, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. καὶ πάλιν. ἐφθάρη ἡ γῆ, καὶ ἐπλήσθη ἡ γῆ τῆς ἀδικίας. καὶ εἶδε κύριος τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς. ἐπεὶ τοίνυν ὁλοκλήρου καθαρσίου ἐδεῖτο ἡ οἰκουμένη, καὶ ἐχρῆν αὐτὴν ἅπαντα τὸν ῥύπον ἀποκαθήρασθαι, καὶ τὴν ζύ-
B μην ἅπασαν τῆς προλαβούσης πονηρίας ἀναιρεθῆναι, καὶ μηδὲ ἴχνος τῆς κακίας ἀπολειφθῆναι, ἀλλ' ὥσπερ ἀναστοιχείωσίν τινα γενέσθαι, καθάπερ τεχνίτης ἄριστος ἐπειδὰν λάβῃ σκεῦος ὑπὸ τοῦ χρόνου παλαιωθὲν καὶ καταδαπανηθὲν, ὡς εἰπεῖν ὑπὸ τοῦ ἰοῦ, καὶ εἰς τὸ πῦρ ἐμβαλὼν, καὶ παρασκευάσας πάντα τὸν ἰὸν ἀποθέσθαι μεταπλάττει καὶ μετασκευάζει καὶ εἰς τὴν ἀρχαίαν εὐμορφίαν ἐπανάγει· οὕτω καὶ ὁ δεσπότης ὁ ἡμέτερος ἅπασαν τὴν οἰκουμένην διὰ τοῦ τότε κατακλυσμοῦ καθάρας, καὶ ὡς εἰπεῖν ἐλευθερώσας τῆς κακίας τῶν
C ἀνθρώπων καὶ τοῦ μολυσμοῦ καὶ τῆς φθορᾶς τῆς πολλῆς λαμπροτέραν αὐτὴν ἀπειργάσατο, ἄνωθεν ἡμῖν δείξας αὐτῆς φαιδρὸν τὸ πρόσωπον, καὶ οὐ συγχωρήσας οὐδὲ ἴχνος τῆς προτέρας ἀμορφίας καταλειφθῆναι. ὑψώθη γάρ, φησιν, ἐπάνω τῶν ὀρέων δεκαπέντε πήχεις τὸ ὕδωρ. οὐχ ἁπλῶς ἡμῖν ταῦτα διηγεῖται ἡ γραφὴ, ἀλλ' ἵνα μάθωμεν, ὅτι οὐ μόνον ἄνθρωποι καὶ κτήνη καὶ τετράποδα καὶ ἑρπετὰ ὑποβρύχια γέγονεν, ἀλλὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὅσα ἐν τοῖς ὄρεσι διητᾶτο θηρία, λέγω καὶ ἕτερα ἄλογα ζῶα· διὰ τοῦτό φησι καὶ ὑψώθη
D ἐπάνω τῶν ὀρέων δεκαπέντε πήχεις, ἵνα μάθῃς ὅτι τὰ τῆς ἀποφάσεως τοῦ δεσπότου εἰς ἔργον ἐξῆλθεν, ἔλεγε γὰρ, ὅτι ἑπτὰ ἡμέραι, καὶ ἐπάγω κατακλυσμὸν ἐπὶ τὴν γῆν, καὶ ἐξαλείψω ἅπασαν τὴν ἐξανάστασιν ἣν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ. οὐχ ἵνα τοίνυν ἁπλῶς τὴν εἰς ὕψος τῶν ὑδάτων κορυφὴν ἡμᾶς διδάξῃ, ἡ θεία γραφὴ ταῦτα διηγεῖται, ἀλλ' ἵνα μετὰ τούτου συνειδέναι δυνηθῶμεν, ὅτι οὐδὲν ὅλως οὐ τῶν ἀλόγων, οὐ τῶν θηρίων, οὐ τῶν κτηνῶν ὑπελείφθη, ἀλλὰ πάντα ἐξηλείφθη μετὰ τοῦ τῶν ἀνθρώπων γένους.

ἐπειδὴ δι' αὐτὸν ἅπαντα ταῦτα παρήχθη, τούτου A μέλλοντος ἀφανίζεσθαι εἰκότως καὶ ταῦτα συναπολαύει τῆς ἀπωλείας. εἶτα ἐπειδὴ ἐδίδαξεν ἡμᾶς εἰς ὅσον ὕψος ἐκορυφώθη τῶν ὑδάτων ἡ φύσις, καὶ ὑπερανέβη τὰς κορυφὰς τῶν ὀρέων, ἑτέρους δέκα πέντε πήχεις, τὴν ἑαυτῆς ἀκρίβειαν μιμουμένη πάλιν φησί· καὶ ἀπέθανε πᾶσα σὰρξ κινουμένη ἐπὶ τῆς γῆς καὶ πετεινῶν καὶ τῶν θηρίων, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς καὶ πᾶς ἄνθρωπος, καὶ πάντα ὅσα ἔχει πνοὴν ζωῆς, καὶ πᾶς ὃς ἦν ἐπὶ τῆς ξηρᾶς ἀπέθανεν. οὐχ ἁπλῶς ἠνίξατο λέγουσα, καὶ πᾶς ὃς ἦν ἐπὶ τῆς ξηρᾶς, ἀλλ' ἵνα σε διδάξῃ, ὅτι πάντες μὲν ἀπολώλασιν, ὁ δὲ δίκαιος B μόνος μετὰ τῶν ἐν τῇ κιβωτῷ πάντων διεσώθη. ἐκεῖνοι γὰρ παραλαβόντες κατὰ τὴν τοῦ θεοῦ διαταγὴν καταλιπόντες τὴν ξηρὰν τὴν κιβωτὸν κατέλαβον. καὶ ἐξήλειψε πᾶν τὸ ἀνάστημα, ὃ ἦν ἐπὶ προσώπου πάσης τῆς γῆς ἀπὸ ἀνθρώπου καὶ ἕως κτήνους καὶ ἑρπετῶν καὶ πετεινῶν τοῦ οὐρανοῦ, καὶ ἐξηλείφθησαν ἀπὸ τῆς γῆς. ὅρα πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις πανωλεθρίαν διδάσκει τὴν γεγενημένην, καὶ ὅτι οὐδὲν τῶν ὄντων διέφυγεν, ἀλλὰ πάντες ὑπὸ τῶν ὑδάτων ἀπεπνίγησαν, καὶ τὸ τῶν ἀνθρώπων C γένος καὶ τὸ τῶν ἀλόγων. καὶ κατελείφθη, φησί, μόνος Νῶε, καὶ οἱ μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ, καὶ ὑψώθη ὕδωρ ἐπὶ τῆς γῆς ἑκατὸν πεντήκοντα ἡμέρας. ἐπὶ τοσαύτας φησὶν ἡμέρας ἔμεινε κορυφούμενον τὸ ὕδωρ. ἐννόει μοι πάλιν ἐνταῦθα τοῦ δικαίου τὴν μεγαλοψυχίαν καὶ τῆς ἀνδρείας τὴν ὑπερβολήν. τί οὐκ ἂν ἔπαθεν ὑπογράφων τῇ διανοίᾳ καὶ ὁρῶν ὡς εἰπεῖν τῷ λογισμῷ τὰ σώματα τὰ ἀνθρώπινα, καὶ τὰ τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀκαθάρτων τὸν κοινὸν θάνατον ὑπομείναντα, καὶ ὁμοῦ πεφυρμένα, D καὶ οὐδεμίαν διαφορὰν γινομένην, καὶ μετὰ τούτου πάλιν, ἐπειδὰν τὸ καθ' ἑαυτὸν ἀναλογιζόμενος, τὴν μόνωσιν, τὴν ἐρημίαν, τὴν διαγωγὴν ἐκείνην, τὴν ὀδυνηρὰν, καὶ οὐδεμίαν οὐδαμόθεν παραμυθίαν, οὐκ ἀπὸ συντυχίας, οὐκ ἀπὸ θέας, ἀλλ' οὐδὲ τὸν χρόνον εἰδὼς ἀκριβῶς, πόσον ἤμελλεν ἀνέχεσθαι τῆς ἐν τῷ δεσμωτηρίῳ ἐκείνῳ διαγωγῆς; ἕως γὰρ ὁ κτύπος τῶν ὑδάτων καὶ ὁ πάταγος ἦν, καθ' ἑκάστην ἡμέραν ἀκμάζοντα αὐτῷ τὸν φόβον ἐνειργάζετο.

Quoniam propter ipſum omnia producta erant, vnde abolendo eo, merito & hæc abolenda erant. Poſtea vbi docuit nos in quantam altitudinem ſublimata fuerit aquarum natura, nempe quòd tranſcenderit alta montium cacumina quindecim cubitis, ſolitam ſuam diligentiam ſeruans dicit: [21] *Et mortua eſt omnis caro, quæ mouebatur ſuper terram, volatilium & iumentorum, & ferarum, & omne reptile quod mouebatur ſuper terram: & omnis homo, &* [22] *omnia quæcunque habent ſpiritum vitæ, & quicunque erat ſuper aridam, mortuus eſt.* Neque hoc ſimpliciter & abſque cauſa dixit: Et omnis qui erat ſuper aridam, ſed vt te doceat quòd omnes quidem perierint, iuſtus autem ſolus cum omnibus iis qui in arca erant ſeruatus ſit. Nam iſti (iuxta mandatum Domini) relicta arida, arcam conſcenderant. [23] *Et deleuit omne ſurgens quod erat ſuper faciem omnis terræ, ab homine vſque ad pecus, & reptilia, & volatilia coeli, & deleta ſunt de terra.* Vide quomodo & ſemel, & iterum atque ſæpius communem omnium interitum docet factum, & nihil quod erat effugit: ſed ſub aquis ſuffocatum eſt omne tam hominum, quàm brutorum genus. *Et relictus eſt*, inquit, *ſolus Noë, & qui cum illo in arca.* [24] *Et exaltata eſt aqua ſuper terram, centum quinquaginta diebus.* Tot diebus, inquit, manſit ſublimis illa aquarum altitudo. Iterum etiam hic cogita iuſti magnanimitatem, & excellentem fortitudinem. Quid non paſſus eſt animo concipiens, ac propemodum videns mente corpora hominum & iumentorum, mundorum & immundorum, communem mortem ſuſtinentia, & ſimul commiſta, nullúmque in omnibus diſcrimen? Præterea quid paſſus eſt, quando apud ſe recogitabat ſolitudinem, vaſtitatem, vitam illam doloribus plenam, omni ſolatio vndequaque deſtitutam, neque colloquio, neque aſpectu iucundam: & ignorabat quanto tempore ferenda in illo carcere conuerſatio? Quandiu enim ſtrepitus aquarum, & æſtus erant, timorem in illo quotidie creſcentem generabant.

Quid enim iucundi ſuſpicari ipſe poterat, qui videbat centum quinquaginta dies aquas in eadem quantitate manentes, & in altum eleuatas, & non ſubſidere? Verumtamen ferebat fortiter, ſciens Domini omnipotentiam, & quòd ipſe conditor naturæ omnia facit, & transformat prout vult, neque ægrè tulit, quòd illic eſſet conuerſandum. Nam cooperatrix Dei gratia roborabat illius alacritatem, & ſufficientem præbebat conſolationem, neque ſinebat labi mentem, & cogitare aliquid aut parum virile, aut minus generoſum. Quippe qui prius quod ſuum erat adhibuit, vtpote virtutis diligentiam, iuſtitiæ vigorem, fidei excellentiam, etiam aſſecutus eſt ea quæ à Deo magna ſuppeditabantur vbertate: vtpotè patientiam, ac fortitudinem omnia manſuetè ferendi, ſuſtinendíque arcæ inhabitationem citra damni corruptioníſque ſenſum, neque beſtiarum conuictum faſtidiendi. Illum igitur iuſtum (obſecro) imitemur & nos, operámque demus, vt afferamus quæ noſtra ſunt, vt dignos nos ipſos paremus iis quæ à à Deo dantur. Nam idcirco expectat occaſiones ex nobis, vt multam exhibeat liberalitatem. Itaque ne propter deſidiam priuemus nos illius donis, ſed feſtinemus & vrgeamus, vt principium apprehendamus, & viam quæ ad virtutem inducit: vt ſuperno adiuti ſubſidio, etiam ad finem peruenire valeamus. Neque enim poſſibile eſt bonum aliquod nos rectè agere non habita ſuperna gratia. Igitur tales ſimus, qui appendamus nos in ſpem quæ in Deum eſt, quaſi in anchoram aliquam tutam & ſtabilem, & ne ad laborē reſpiciamus virtutis, ſed magis conſiderātes retributionem, quæ laborē ſequitur, leuiter omnia feramꝰ. Quia & negociator ſi quando egreſſus in mediū maris venerit, non iam piratas, non naufragia, non marinas belluas, non ventorum incurſus, & continuas tempeſtates, & multa infortunia cogitat ſolùm: ſed & quomodo illa effugiat, ſpéque lucrorum acquirendorum paſcitur, & omnes prædictas ærumnas animoſè excipit, vt auctis opibus ſuis domum redeat.

Naturæ cōditor trāsformat naturam vt vult.

Moralis exhortatio.

A τί γὰρ ἦν εἰκὸς αὐτὸν χρηστὸν ὑποπτεῦσαι ὁρῶντα ἐπὶ ἑκατὸν πεντήκοντα ἡμέρας ἐπὶ τῆς ταυτότητος τὰ ὕδατα μένοντα, καὶ εἰς ὕψος ἐγηγερμένα, καὶ οὐδὲ τὸ τυχὸν λήγοντα; ἀλλ' ὅμως ἔφερε γενναίως εἰδὼς τοῦ δεσπότου τὸ εὐμήχανον, καὶ ὅτι δημιουργὸς ὢν τῆς φύσεως ἅπαντα ποιεῖ καὶ μετασκευάζει πρὸς ὃ βούλεται, καὶ οὐκ ἐδυσχέραινε πρὸς τὴν ἐκεῖσε διαγωγήν. ἡ γὰρ τοῦ θεοῦ ῥοπὴ συνεφαπτομένη ἐνεύρου αὐτοῦ τὴν προθυμίαν, οὐκ ἀφεῖσα καταπεσεῖν τοὺς λογισμοὺς, καὶ οὐδὲ ἀγεννές τι καὶ ἄνανδρον λογίσασθαι. ἐπειδὴ γὰρ προλαβὼν τὰ παρ' ἑαυτοῦ παρέσχε, τῆς ἀρετῆς τὴν B ἀκρίβειαν, τῆς δικαιοσύνης τὴν ἐπίτασιν, τῆς πίστεως τὴν ὑπερβολὴν, καὶ τὰ παρὰ τοῦ δεσπότου λοιπὸν αὐτῷ μετὰ δαψιλείας ἐχορηγεῖτο, ἡ ὑπομονὴ, ἡ ἀνδρεία, τὸ πράως ἅπαντα φέρειν, τὸ ἀνασχέσθαι τῆς οἰκήσεως τῆς ἐν τῇ κιβωτῷ, τὸ μηδεμίαν λύμην ἐκεῖθεν δέξασθαι, τὸ μὴ διαφθαρῆναι, μηδὲ δυσχερᾶναι τὴν μετὰ τῶν ἀλόγων διαγωγήν. τοῦτον οὖν παρακαλῶ τὸν δίκαιον καὶ ἡμεῖς μιμώμεθα, καὶ τὰ παρ' ἑαυτῶν σπουδάζωμεν εἰσφέρειν, ἵνα ἀξίους ἑαυτοὺς κατασκευάσωμεν τῶν παρὰ τοῦ θεοῦ. διὰ τοῦτο γὰρ ἀναμέ- C νει τὰς παρ' ἡμῶν ἀφορμὰς, ἵνα πολλὴν ἐπιδείξηται τὴν φιλοτιμίαν. μὴ τοίνυν διὰ ῥαθυμίαν ἀποστερῶμεν ἑαυτοὺς τῆς παρ' αὐτοῦ δωρεᾶς, ἀλλὰ σπεύδωμεν, καὶ ἐπειγώμεθα τῆς ἀρχῆς ἐπιλαβέσθαι, καὶ τῆς ὁδοῦ τῆς ἐπὶ τὴν ἀρετὴν ἅψασθαι, ἵνα τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντες, καὶ πρὸς τὸ τέλος φθάσαι δυνηθῶμεν. οὐδὲ γὰρ οἷόν τέ τι χρηστὸν ἡμᾶς ποτε κατορθῶσαι μὴ τῆς ἄνωθεν ῥοπῆς ἀπολαύσαντας. καθάπερ οὖν εἰς ἄγκυραν ἀσφαλῆ καὶ βεβαίαν ἐξαρτήσαντες ἑαυτοὺς τῆς εἰς τὸν θεὸν ἐλπίδος, οὕτως ὦμεν, καὶ D μὴ πρὸς τὸν πόνον βλέπωμεν τῆς ἀρετῆς, ἀλλὰ τὴν μετὰ τὸν πόνον ἀμοιβὴν λογιζόμενοι κούφως ἅπαντα φέρωμεν. ἐπεὶ καὶ ἔμπορος, ἐπειδὰν τὸν λιμένα ἐκβαίνῃ, καὶ τοῦ πελάγους ἐν μέσῳ γένηται, οὐ τοὺς πειρατὰς καὶ τὰ ναυάγια, καὶ τὰ θηρία τὰ κατὰ θάλασσαν, καὶ τὰς τῶν ἀνέμων ἐμβολὰς, καὶ τοὺς ἐπαλλήλους χειμῶνας, καὶ ἀποτυχίας ἀναλογίζεται μόνον, ἀλλὰ καὶ μετὰ τὸ διαφυγεῖν ταῦτα, τὰ προσγινόμενα κέρδη καὶ τῇ ἐλπίδι τρεφόμενος ἅπαντα μετ' εὐκολίας καταδέχεται τὰ προλαβόντα μοχθηρὰ, ἵνα πλείονα περιβάλληται χρήματα,

Ἠθικόν.

καὶ οὕτως οἴκαδε ἐπανέλθῃ. καὶ ὁ γηπόνος δὲ οὐ τοὺς κατὰ τὴν γεωργίαν πόνους ἐννοεῖ μόνον καὶ τὰς ἐπομβρίας καὶ τῆς γῆς τὴν ἀτυχίαν, καὶ τῆς ἐρυσίβης τὴν ἔφοδον, καὶ τῶν ἀκρίδων τὴν λύμην, ἀλλὰ καὶ τὴν ἅλω καὶ τὰ δράγματα ὑπογράφων τοῖς λογισμοῖς ἅπαντα φέρει γενναίως οὐδεμίαν τῶν πόνων αἴσθησιν λαμβάνων διὰ τὴν τῶν χρηστῶν προσδοκίαν, καίτοι ἀδήλου τῆς ἐλπίδος οὔσης, ἀλλ' ὅμως ταῖς χρηστοτέραις ἐλπίσι τρεφόμενος, οὐκ ἀπαγορεύει πρὸς τοὺς πόνους, ἀλλὰ πάντα τὰ παρ' ἑαυτοῦ εἰσφέρει ἀναμένων τῶν πόνων λαβεῖν τὰς ἀμοιβάς. καὶ ὁ στρατιώτης δὲ πάλιν ὅπλα περιτίθεται, καὶ εἰς τὸν πόλεμον ἔξεισι, καὶ οὐκ ἐννοεῖ μόνον τὰ τραύματα καὶ τὰς σφαγὰς καὶ τὰς τῶν πολεμίων ἐφόδους καὶ τὰς ἄλλας ταλαιπωρίας, ἀλλὰ τὴν νίκην καὶ τὰ τρόπαια ἑαυτῷ ὑπογράφων οὕτω τὴν τῶν ὅπλων παντευχίαν περιβάλλεται, καὶ ἀδηλίας πολλῆς οὔσης καὶ ἀποτυχίας, πάντα τοῦτον ἀπωσάμενος λογισμόν, καὶ χρηστὰς ἐλπίδας ἑαυτῷ ὑπογράφων πάντα ὄκνον ἀποτίθεται, καὶ λαβὼν τὰ ὅπλα πρὸς τὴν τῶν πολεμίων παράταξιν ὁρμᾷ. εἰ τοίνυν, ἀγαπητοί, ἔμπορος καὶ γηπόνος καὶ στρατιώτης, ἔνθα καὶ ἄδηλος ἡ ἐλπίς, καὶ αἱ ἀποτυχίαι πλείους, καὶ τὰ κωλύματα, καθάπερ ἠκούσατε πολλὰ καὶ διάφορα, καὶ ὅμως οὐδεὶς τούτων ἀπαγορεύων πρὸς τοὺς πόνους ἀφίσταται τῆς χρηστοτέρας ἐλπίδος, ποίας οὖν ἡμεῖς συγγνώμης τευξόμεθα ἀποκνοῦντες πρὸς τὴν ἀρετήν, καὶ οὐχὶ πάντα πόνον αὐτομάτως καταδεχόμενοι οὕτως ἀσφαλοῦς οὔσης τῆς ἐλπίδος, καὶ τοσούτων ἀποκειμένων ἡμῖν ἀγαθῶν, καὶ μετὰ πολλῆς τῆς περιουσίας νικώσης τῆς ἀμοιβῆς πάντα τὰ παρ' ἡμῶν γινόμενα; ἄκουε τοίνυν τοῦ μακαρίου Παύλου λέγοντος μετὰ τὰς τοσαύτας καὶ τηλικαύτας θλίψεις, καὶ τὰς ἀπαγωγὰς καὶ τὰ δεσμωτήρια καὶ τοὺς θανάτους τοὺς καθημερινούς. οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. καὶ καθ' ἑκάστην ἡμέραν φησὶ θανάτοις ἑαυτοὺς ἐκδῶμεν, ὅπερ ἡ φύσις οὐ δέχεται, εἰ καὶ ἡ γνώμη νικῶσα τὴν φύσιν διὰ τὴν τοῦ δεσπότου φιλανθρωπίαν στεφανοῦται, οὐδὲν ἄξιον ὑπομένομεν τῶν μελλόντων ἡμᾶς φησι διαδέχεσθαι τῶν ἀγαθῶν, καὶ τῆς δόξης τῆς μελλούσης ἀποκαλύπτεσθαι εἰς ἡμᾶς. ὅρα πόσον τῆς δόξης τὸ μέγεθος ἧς ἀπολαύουσιν οἱ τὴν ἀρετὴν μεταδιώκοντες, ὡς νικᾶν αὐτὴν πάντα, ὅσαπερ ἄν τις ἐπιδείξασθαι δυνηθῇ, κἂν αὐτὴν τὴν κορυφὴν φθάσῃ, καὶ οὕτω λεί-

A Et agricola non agriculturæ tantum labores cogitat, & imbres, & terræ ſterilitatem, & rubiginis inſidias, & locuſtarum damna, ſed & aream, & manipulos animo ſecum deſcribens, fortiter fert omnia, & præ bonorum expectatione neque labores ſentit. Et quamuis incertæ ſpes ſint, verumtamen ſpe meliori paſcitur, nec renunciat laboribus: ſed omnia quæ ad ſe pertinent adferens, expectat vt aliquando laborum accipiat mercedes. Et miles quoque qui aſſumit arma, & in prælium egreditur, non cogitat vulnera tantum, & cædes, & hoſtium inſidias, & alias ærumnas, ſed B & victorias, & triumphos ſibi præfingens, omni armatura ſe munit: & cùm incertitudo ſit multa, & damna immineant, repulſis iis omnibus ex animo, propoſita bona ſpe, ponit omnem torporem, & receptis armis contra hoſtium progreditur inſultus. Igitur, dilecti, ſi negociator, & miles, & agricola, vbi & incerta ſpes, & plures fruſtrationes, atque impedimenta, ſicut audiſtis, multa & varia, non ita reformidat labores, C vt à meliori propterea ſpe deſiſtat: quali nos veniæ digni erimus ita negligentes ad capeſſendam virtutem, & non omnem laborem ſponte ſubeuntes, cùm tam ſecura noſtra ſpes ſit, tantáque bona nobis repoſita, vincántque magna abundantia retributiones & mercedes omnia, quæ à nobis facta ſunt? Audi igitur beatum Paulum dicentem, poſt tantas & tales afflictiones, & ad tribunalia abductiones, & carceres, & mortes quotidianas: Non ſunt condignæ paſſiones præſentis temporis ad futuram gloriam in D nobis reuelandam. Etiamſi quotidie, inquit, mortibus nos exponeremus, id quod natura non capit, licèt mens vincens naturam, per benignitatem Domini coronatur: nihil, inquit, ferremus par tantis, quæ nos accepturos ſperamus, bonis, gloriáque in nobis reuelanda. Vide quanta gloriæ magnitudine fruantur virtutis aſſeclæ. Atque adeo tanta eſt virtus, vt vincat omnia quæcunque nobis oſtendere aliquis poterit, etiamſi ſumma oſtendat, & tunc quoque deficiet.

Rom. 8. 18.

Quid enim tantum oſtendere poteſt homo, quod certet cũ Domini liberalitate? Quòd ſi Paulus talis & tãtus dicebat, non pares eſſe afflictiones præſentis ſeculi futuræ gloriæ in nobis reuelandæ, qui aliâs dicit: Quoti-
1.Cor.15 31. die morior, & rurſus, Plus omnibus
Ibidem. 10. laboraui: quid nos dicemus, qui neque vulgarem laborem pro virtute ſuſcipere volumus, ſed recreationes ſectamur, & hoc vnum conſideramus, ne quid triſte nobis accidat, quamuis ſciamus quòd non ſit poſſibile aliter aſſequi beatitudinem cœleſtem, niſi per præſentes afflictiones ad eam prius anhelemus? Afflictiones enim nos inducunt, vt Deo grati ſimus, & hîc vel parùm laborare, alibi nobis magnam fiduciam præbet: dummodo velimus iuxta conſilium illius magiſtri orbis ambulare. Conſidera, quòd licèt triſtia ſint quæ accidunt, ſunt tamen momentanea. Verum bona quæ alibi ſuſcepturi ſumus, immortalia ſunt & æterna.
2.Cor. 4.18. Quæ enim videntur, inquit, temporalia ſunt: quæ autem non videntur, æterna. Feramus ergo fortiter hæc temporalia, neque deſiſtamus à virtutum ſtudiis, vt æternis & ſemper manentibus bonis fruamur. Quæ oremus vt nobis omnibus concedantur gratia & miſericordia domini noſtri Ieſu Chriſti, cum quo patri ſimul, & Spiritui ſancto ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A πεται. τί γὰρ τοσοῦτον ἄνθρωπος ἐπιδείξασθαι δύναται, ὡς ἐπαξίως ἀθλῆσαι τῆς τοῦ δεσπότου φιλοτιμίας; εἰ δὲ Παῦλος ὁ τοσοῦτος καὶ τηλικοῦτος ἔλεγεν, οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, ὁ λέγων, καθ' ἡμέραν ἀποθνήσκω, καὶ πάλιν, περισσότερον πάντων ἐκοπίασα, τί ἂν εἴποιμεν ἡμεῖς, οἱ μηδὲ τὸν τυχόντα κάματον ὑπὲρ τῆς ἀρετῆς ἀναδέξασθαι βουλόμενοι, ἀλλ' ἀεὶ τὴν ἄνεσιν μεταδιώκοντες καὶ τοῦτο περισκοποῦντες, ὅπως μηδεμίαν πεῖραν λάβωμεν τῶν λυπηρῶν, καὶ ταῦτα εἰδότες, ὅτι οὐχ οἷόν τε ἑτέρως τῆς ἐκεῖ
B τυχεῖν ἀνέσεως, μὴ πρότερον ἐνταῦθα τὸν διὰ τῆς ἀθλήσεως ποθήσαντας βίον; αἱ γὰρ θλίψεις αὗται προξενοὶ γίνονται τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως, καὶ τὸ μικρὸν ἐνταῦθα κάμνειν πολλὴν ἡμῖν ἐκεῖ τὴν παρρησίαν χαρίζεται, μόνον ἐὰν βουλώμεθα κατὰ τὴν συμβουλὴν τούτου τοῦ τῆς οἰκουμένης διδασκάλου πορεύεσθαι. ἐννόει, ἀγαπητὲ, ὅτι κἂν λυπηρὰ ᾖ τὰ συμπίπτοντα, ἀλλὰ πρόσκαιρα· τὰ μέντοι ἐκεῖ διαδεξόμενα ἡμᾶς ἀγαθὰ, ἀθάνατα καὶ αἰώνια. τὰ γὰρ βλεπόμενα, φησι, πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. ἐνέγκωμεν
C τοίνυν γενναίως τὰ πρόσκαιρα, καὶ μὴ ἀποκάμωμεν πρὸς τοὺς τῆς ἀρετῆς πόνους, ἵνα τῶν αἰωνίων ἀπολαύσωμεν, καὶ ἀεὶ μενόντων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Homilia XXVI.

Gen.8.1. *Et recordatus eſt Deus Noë, & omnium beſtiarum, & omnium iumentorum, & omnium reptilium quæcunque erant cum illo in arca. Et adduxit Deus Spiritum ſuper terram, & ceſſauit aqua.*

MAGNA & ineffabilis Dei benignitas, excellenſq; eius bonitas ex iam lectis oſtenditur, quam non ſolùm erga rationale hoc animal, hominem dico, ſed & erga brutorum animalium declarauit naturam. Nam

Ὁμιλία κϛ.

Καὶ ἐμνήσθη ὁ θεὸς τοῦ Νῶε, καὶ πάντων τῶν θηρίων,
D καὶ πάντων τῶν κτηνῶν, καὶ πάντων τῶν πετεινῶν, καὶ πάντων τῶν ἑρπετῶν, ὅσα ἦν μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ. καὶ ἐπήγαγεν ὁ θεὸς πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασε τὸ ὕδωρ.

ΜΕγάλη καὶ ἄφατος ἐν τοῖς προσφάτως ἀναγνωσθεῖσι δείκνυται ἡ τοῦ θεοῦ φιλανθρωπία, καὶ τῆς ἀγαθότητος αὐτοῦ ἡ ὑπερβολή, ἣν οὐ μόνον περὶ τὸ λογικὸν τοῦτο ζῶον ἐπιδείκνυται, τὸν ἄνθρωπον λέγω, ἀλλὰ καὶ περὶ τὴν τῶν ἀλόγων ζώων φύσιν. δημιουργὸς

A γὰρ τῶν ἁπάντων τυγχάνων, εἰς πάντα τὰ ὑπ' αὐτοῦ δημιουργηθέντα τὴν οἰκείαν ἐκτείνει ἀγαθότητα, διὰ πάντων ἡμῖν ἐνδεικνύμενος, ὅσην ποιεῖται πρόνοιαν τοῦ τῶν ἀνθρώπων γένους, καὶ ὅτι πάντα ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐπραγματεύσατο διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν. κἂν κολάζῃ τοίνυν, κἂν τιμωρῆται, ἀπὸ τῆς αὐτῆς ἀγαθότητος καὶ ταῦτα κἀκεῖνα ποιεῖ. οὐδὲ γὰρ πάθει καὶ ὀργῇ τὰς τιμωρίας ἐπάγει, ἀλλὰ τὴν κακίαν ἐπισχεῖν βουλόμενος, καὶ ὥστε μὴ πάνυ αὐτὴν προβῆναι. ἐπεὶ καὶ νῦν, ὡς ἀκούετε, κατακλυσμὸν δι' οὐδὲν ἕτερον ἐπήγαγεν, ἀλλὰ κηδόμενος τῶν πρὸς τοσαύτην κακίαν ἑαυτοὺς ἐκδεδωκότων. καὶ ποία, φησὶ, κηδεμονία, τὸ πάντας ὑπὸ τῶν ὑδάB των ἀναιρεθῆναι; μὴ ἀπερισκέπτως φθέγγου, ἄνθρωπε, ἀλλ' εὐγνώμονι διανοίᾳ τὰ παρὰ τοῦ δεσπότου γινόμενα δέχου, καὶ τότε γνώσῃ ὅσης καὶ τοῦτο μάλιστα κηδεμονίας. τὸ γὰρ τοὺς τὰ ἀνήκεστα ἁμαρτάνοντας, καὶ καθ' ἑκάστην ἡμέραν τὰ τραύματα ἐπιτείνοντας καὶ τὰ ἕλκη ἀνίατα ἐργαζομένους, ἐκ τῆς κακίας ἀπαλλάττειν, οὐχὶ κηδεμονίας ἦν τῆς μεγίστης; καὶ αὐτὸς δὲ ὁ τῆς τιμωρίας τρόπος, οὐ πάσης γέμει φιλανθρωπίας; τὸ γὰρ τοὺς καὶ ἄνευ τούτου μέλλοντας τὸ τῆς φύσεως χρέος ἐκτίνειν οὕτως ἀλύπως ἐν μέρει τιμωρίας τὴν ζωὴν C ἀποθέσθαι, καὶ μήτε αἴσθησιν τοῦ γεγενημένου λαβεῖν, ἀλλ' ἀνωδύνως καὶ ἀναλγητὶ τὴν τιμωρίαν δέξασθαι, πόσης οὐκ ἂν εἴη σοφίας καὶ ἀγαθότητος; καὶ αὐτὸ γὰρ πάλιν εἴ τις εὐσεβεῖ λογισμῷ καταμάθοι τὸ γεγενημένον, ὅτι οὐκ εἰς τοὺς τιμωρηθέντας μόνον τὰ τῆς εὐεργεσίας γέγονεν, ἀλλὰ καὶ οἱ εἰς τὸ ἑξῆς μέλλοντες ἔσεσθαι δύο τὰ μέγιστα ἐντεῦθεν ἐκαρπώσαντο ἀγαθὰ, πόσην οὐκ ὤφειλον τῷ θεῷ χάριν ὑπὲρ τούτων ὁμολογεῖν, ὅτι καὶ τῇ τιμωρίᾳ ἐκείνων καὶ τῷ δέει τοῦ μὴ τὰ αὐτὰ παθεῖν, σωφρονέστεροι γεγόνασιν οἱ μετὰ ταῦτα, καὶ τῷ ἁπάσης τῆς κακίας καὶ πονηρίας τὴν ζύμην ἀναιρεθῆναι, D καὶ μηδένα καταλειφθῆναι διδάσκαλον αὐτοῖς τῆς κακίας καὶ τῆς πονηρίας; εἶδες πῶς καὶ αἱ κολάσεις αὐτοῦ καὶ αἱ τιμωρίαι, εὐεργεσίαι μᾶλλόν εἰσι, καὶ τὴν πρόνοιαν αὐτοῦ μάλιστα τὴν περὶ τὴν τῶν ἀνθρώπων φύσιν δεικνύουσι. καὶ εἴ τις βουληθείη ἄνωθεν καὶ ἐξ ἀρχῆς ταῦτα ἀπαριθμήσασθαι, εὑρήσει ἀπὸ τοῦ αὐτοῦ σκοποῦ ἁπάσας τὰς τιμωρίας ἐπάγοντα τοῖς ἡμαρτηκόσιν· ἐπεὶ καὶ τὸν Ἀδὰμ, ἡνίκα παρέβη, οὐ κολάζων μόνον, ἀλλὰ καὶ εὐεργετῶν ἐξέβαλε τοῦ παραδείσου. καὶ ποία, φησὶν, εὐεργεσία τὸ ἐκπεσεῖν τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς; μὴ ἁπλῶς τοῖς γινομένοις πρόσεχε, ἀγαπητὲ, μηδὲ

cum omnium ſit conditor, in omnia quæ à ſe ſunt condita, ſuam oſtendit bonitatem: per omnia notum faciens, quantam humani generis curam gerat, & quòd omnia olim & ab initio propter ſalutem noſtram fecerit: Itaque etſi puniat, etſi in nos animaduertat, ex eadem bonitate ſua hæc etiam facit. Non enim vel affectione vel ira pœnam infert: ſed malitiam morari vult, ne vltrà progrediatur. Quia & nunc, ſicut auditis, diluuium ob nihil aliud induxit, quàm vt curam ageret eorum qui iniquitati vacabant toti. Et qualis, inquis, cura hæc, omnes aqua ſuffocari? Ne temerè loquaris homo, ſed grato animo accipe ea quæ à Domino ſunt facta, & ſcies, quòd etiam hoc eſt maximæ curæ argumentum. Nam eos qui ſic incurabiliter peccant, & quotidie vulnera ſibi inferunt, & vlcera omni cura grauiora faciunt, ex tanto malo liberaſſe, nónne ſummæ fuerit prudentiæ? Et ipſe puniendi modus, nònne omni benignitate plenus eſt? Et ſic mori, vt ſolitum alioqui naturæ debitum non ſentias, ſed abſque dolore cruciatu ſupplicij loco vitam deponas, quantæ fuerit ſapientiæ & bonitatis? quin ſi quis animo pio expendat factum, quòd non ſolùm his qui puniti ſunt beneficia ſunt facta, ſed & poſteris, qui duo maxima inde perceperunt bona, quantum gratiarum pro illis debetur Deo? Etenim poſteriores pœna illorum, & metu, ne eadem quæ illi paterentur, meliores facti ſunt: atque etiam propterea quòd omne malitiæ fermentum ſublatum, & nullus relictus fuit eis malitiæ & iniquitatis magiſter. Vides quomodo & pœnæ, & ſupplicia beneficia ſunt, & Dei erga hominem prouidentiam declarant? Et ſi quis velit hæc à primis & ab initio repetere, inueniet omnes pœnas hac occaſione homini intentatas. Nam & Adam peccantem non puniens tantum, ſed & beneficio proſequens paradiſo eiecit. Et quale dicis beneficium, etiam paradiſi vita excidiſſe? Dilecte ne ſimpliciter attendas ad ea quæ geruntur, neque

obiter quæ à Deo fiunt addiſce: ſed A profundum illius bonitatis intuere, & inuenies omnia propter hoc ab ipſo fieri. Dic enim mihi, ſi Adam poſtquam ſic tranſgreſſus eſt, iiſdem adhuc frui potuiſſet; quò non exci-diſſet? Nam ſi tantis promiſſis acceptis, ſerpentem deceptorem audiuit, & inſidias approbauit, quas per eum diabolus intulit, ſpe videlicet obtinendæ diuinitatis inflatus, etiam in tantum præuaricationis peccatum iniectus, ſi in eadem conuerſatione manſiſſet, quomodo non multò fideliorem putaſſet malignum illum dæmonem, quàm rerum om- B nium conditorem, déque ſe ſublimiora, quàm dignitas ſua ferebat, animo concepiſſet? Etenim talis hominum natura eſt, vt ſi quando peccans non refrænatur, ſed ſecurè agit, vlterius procedat, & in præceps feratur. Alia tamen via poſſum oſtendere, quòd clementiam præ ſe ferens, Adamum paradiſo iuſſerit excedere, & mortis pœnæ fecerit obnoxium. Nam eiectione & propinqua habitatione caſtigatiorem, & in poſterum ſecuriorem faciens, re C ipſa docuit quantus impoſtor fuerit dæmon. Mortis autem ſupplicium propter hoc intulit, vt ne poſthac per inobedientiam peccato obnoxius effectus perpetuò peccaret. Non videntur tibi hæc eſſe maximæ clementiæ, & eiici à paradiſo, & pœna hac puniri? Poſſum autem & aliud præterea afferre. Et qualenam hoc? Hanc indignationem illi inferendo, non apud ipſum duntaxat beneficia collocauit, ſed & poſteros per ipſum corrigere voluit. Nam ſi poſtquam hæc euenerant, is qui ex eo natus eſt, Cain inquam, qui præ D oculis videbat patrem ex paradiſo eiectum, ineffabilem illam gloriam amiſſam, maledictionem illam mi-
Geneſ. 3. 19. ram, quæ dicebat: Terra es, & in terram abibis: melior factus non eſt, ſed grauioribus ſe inuoluit malis: ſi non vidiſſet quæ patri contigerant, in quam non perueniſſet inſaniam? Et hoc ſanè valde admiratione fuerit dignum, quòd & illum qui talia peccauit, & nefario homicidio dextram polluit, puniens, miſericordia pœnam miſcuit. Et vt ma-

παρέργως τὰ παρὰ τοῦ θεοῦ γινόμενα καταμάνθανε, ἀλλὰ πρὸς τὸ βάθος κατόπτευε τῆς πολλῆς αὐτοῦ ἀγαθότητος, καὶ εὑρήσεις ἅπαντα διὰ τοῦτο παρ' αὐτοῦ γινόμενα. εἰπὲ γάρ μοι, εἰ καὶ μετὰ τὴν παράβασιν τῶν αὐτῶν ἀπήλαυσεν ὁ Ἀδάμ, ποῦ οὐκ ἂν ἐξεκυλίσθη; εἰ γὰρ μετὰ τοσαύτας ἐπαγγελίας ἀνασχέσθαι κατεδέξατο τῆς ἀπάτης τοῦ ὄφεως, καὶ τὴν ἐπιβουλὴν δέξασθαι τοῦ διαβόλου, ἣν δι' αὐτοῦ προσήγαγε τῇ τῆς ἰσοθεΐας ἐλπίδι φυσήσας αὐτοὺς, καὶ εἰς τὴν τῆς παραβάσεως ἁμαρτίαν ἐμβαλὼν, εἰ καὶ μετὰ ταῦτα ἐπὶ τῆς αὐτῆς ἔμεινεν ἀξίας καὶ διαγωγῆς, πῶς οὐκ ἂν πολλῷ μᾶλλον ἀξιοπιστότερον ἡγήσατο τὸν πονηρὸν ἐκεῖνον δαίμονα τοῦ τῶν ὅλων δημιουργοῦ, καὶ μείζονα τῆς οἰκείας ἀξίας πάλιν ἐφαντάσθη; καὶ γὰρ τοιαύτη τῶν ἀνθρώπων ἡ φύσις· ὅταν ἁμαρτάνουσα μὴ ἀναχαιτίζηται, ἀλλ' ἀδείας ἀπολαύῃ, περαιτέρω προϊοῦσα κατὰ κρημνῶν ἄπεισιν. ἄλλως δὲ καὶ ἑτέρωθεν ἔχω δεῖξαι, ὅτι φιλανθρωπίαν τὴν ἑαυτοῦ ἐπιδεικνύμενος καὶ ἐξελθεῖν αὐτὸν τοῦ παραδείσου προσέταξε, καὶ τῷ τοῦ θανάτου ἐπιτιμίῳ ὑπεύθυνον κατέστησε, τῇ μὲν ἐκβολῇ, καὶ τῷ πλησίον κατοικίσαι σωφρονέστερον ἐργαζόμενος καὶ εἰς τὸ ἑξῆς ἀσφαλέστερον, καὶ διὰ τῶν ἔργων αὐτὸν διδάσκων τοῦ ἀπατεῶνος τὴν ἐπιβουλήν. τὸ δὲ τοῦ θανάτου ἐπιτίμιον πάλιν διὰ τοῦτο ἐπήγαγεν, ἵνα μὴ λοιπὸν διὰ τῆς παρακοῆς τῇ ἁμαρτίᾳ ὑπεύθυνος γενόμενος ἀθάνατα ἁμαρτάνῃ. οὐ δοκεῖ οὖν σοι ταῦτα πάντα τῆς μεγίστης εἶναι φιλανθρωπίας, καὶ τὸ ἐκβαλεῖν τοῦ παραδείσου, καὶ τὸ τιμωρήσασθαι τῷ τοῦ θανάτου ἐπιτιμίῳ; ἔχω δὲ καὶ ἕτερόν τι προσθεῖναι. ποῖον δὴ τοῦτο; ὅτι καὶ ταύτην αὐτῷ τὴν ἀγανάκτησιν ἐπήγαγεν, οὐκ εἰς αὐτὸν μόνον περιιστῶν τὰ τῆς εὐεργεσίας, ἀλλὰ καὶ τοὺς ἑξῆς βουλόμενος διὰ τῶν ἐξ ἐκείνου γεγενημένων σωφρονίσασθαι. εἰ γὰρ καὶ τούτων γενομένων ὁ ἐξ αὐτοῦ τεχθεὶς, ὁ Κάϊν λέγω, ὁρῶν ἐν ὀφθαλμοῖς τοῦ πατρὸς τὴν ἐκ τοῦ παραδείσου ἐκβολὴν, τῆς δόξης ἐκείνης τῆς ἀφάτου τὴν ἔκπτωσιν, τῆς κατάρας ἐκείνης τὸ μέγεθος τῆς λεγούσης, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, οὐδὲ οὕτως ἐσωφρονίσθη, ἀλλὰ μείζοσι κακοῖς ἑαυτὸν περιέπειρεν, εἰ μὴ εἶδε τὰ εἰς τὸν πατέρα γεγενημένα, ποῦ οὐκ ἂν μανίας ἤλασε; καὶ τὸ δὴ θαυμαστὸν, ὅτι καὶ αὐτὸν τὸν τὰ τοιαῦτα ἡμαρτηκότα, καὶ τῷ ἐναγεῖ φόνῳ τὴν δεξιὰν μολύναντα τιμωρούμενος, φιλανθρωπίᾳ τὴν τιμωρίαν ἐκέρασε. καὶ ἵνα μά-

θὴς ἐκείνῳ εἰς τοῦτον γεγενημένων τῆς ἀγαθότητος τοῦ θεοῦ τὸ μέγεθος, ἡνίκα μὲν εἰς αὐτὸν ὕβριζε, καὶ τὴν θυσίαν μέλλων προσάγειν πολλὴν τὴν καταφρόνησιν ἐπεδείξατο οὐκ ὀρθῶς διελὼν, ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχε τὴν προσαγωγὴν ποιησάμενος, οὐδὲν πρὸς αὐτὸν εἶπε βαρὺ οὐδὲ ἐπαχθές. καίτοιγε τὸ ἁμαρτηθὲν οὐ τὸ τυχὸν ἦν, ἀλλὰ καὶ σφόδρα μέγα. εἰ γὰρ ἀνθρώποις τοῖς ὁμογενέσιν οἱ τιμᾶν βουλόμενοι, τῶν πρωτείων καὶ τῶν ἐξαιρέτων αὐτοῖς παραχωροῦσι, κἀκεῖνα προσάγειν σπουδάζουσιν, ἃ μάλιστα πάντων αὐτοῖς τιμιώτερα εἶναι δοκεῖ· ἄνθρωπον δὲ ὄντα καὶ θεῷ προσάγοντα πῶς οὐκ ἐχρῆν τὰ τιμιώτερα καὶ ἐξαίρετα προσάγειν; τοσοῦτον τοίνυν αὐτοῦ ἁμαρτόντος, καὶ τοσαύτην ἐπιδειξαμένου τὴν καταφρόνησιν, οὐκ ἀπῄτησε δίκην, οὐδὲ τιμωρίαν ὑπὲρ τῶν γεγενημένων εἰσεπράξατο, ἀλλ' ὡσανεὶ φίλος φίλῳ μετὰ πάσης ἡμερότητος διαλεγόμενος οὕτω διελέχθη, λέγων· ἥμαρτες, ἡσύχασον. μόνον τὸ ἁμαρτηθὲν αὐτοῦ ἔδειξε, καὶ συνεβούλευσε μὴ περαιτέρω προβῆναι. εἶδες ὑπερβολὴν ἀγαθότητος; ἀλλ' ἐπειδὴ ἐκεῖνος οὐ μόνον οὐκ ἐκέρδανέ τι ἐκ τῆς τοσαύτης ἀνεξικακίας, ἀλλὰ καὶ τοῖς προλαβοῦσι μείζονα προσέθηκε, καὶ ἐπὶ τὴν σφαγὴν ἠπείχθη τοῦ ἀδελφοῦ, καὶ οὕτω μὲν πολλὴν εἰς αὐτὸν ἐπιδείκνυται τὴν μακροθυμίαν, πυνθανόμενος πρότερον, καὶ διδοὺς αὐτῷ τόπον ἀπολογίας· ἐπειδὴ δὲ ἐνέμεινεν ἀναισχυντῶν, τότε τὴν τιμωρίαν ἐπάγει σωφρονισμοῦ ἕνεκεν, πολλὴν καὶ αὐτὴν ἔχουσαν μεμιγμένην τὴν παρ' αὐτοῦ φιλανθρωπίαν. ὁρᾷς πῶς, ἡνίκα μὲν εἰς αὐτὸν ἥμαρτε, καὶ ἁμαρτίαν οὐ τὴν τυχοῦσαν, ἀπεπέμψατο· ὅτε δὲ κατὰ τοῦ ἀδελφοῦ τὴν δεξιὰν ὥπλισε, τότε καὶ τὴν ἐπιτίμησιν καὶ τὴν κατάραν ἐδέξατο. οὕτω νῦν καὶ ἡμεῖς ποιῶμεν, καὶ μιμώμεθα τὸν δεσπότην τὸν ἡμέτερον· καὶ τὰ μὲν εἰς ἡμᾶς ἁμαρτήματα παραπέμπωμεν, καὶ συγχωρῶμεν τοῖς εἰς ἡμᾶς πλημμελοῦσιν, ὅταν δὲ εἰς τὸν θεὸν συντείνῃ, τότε δίκας ἀπαιτῶμεν. ἀλλ' οὐκ οἶδ' ὅπως ἀπεναντίας ἅπαντα διαπραττόμεθα, καὶ τὰ μὲν εἰς τὸν θεὸν διαβαίνοντα ἁμαρτήματα οὐδὲ ὅλως ἐκδικεῖν σπουδάζομεν, ἂν δέ τι τῶν τυχόντων εἰς ἡμᾶς ἁμαρτηθείη, τούτου σφοδροὶ γινόμεθα ἐξετασταὶ καὶ κατήγοροι, οὐκ εἰδότες ὅτι ταύτῃ καὶ μειζόνως καθ' ἡμῶν μᾶλλον παροξύνομεν τὸν φιλάνθρωπον δεσπότην.

A niſeſtè ſcias diuinæ bonitatis, quæ & iſti exhibita eſt, magnitudinem: tum quidem cùm Deum graui contumelia afficeret offerendo ſacrificium,& magnum præ ſe ferendo cõtemptum(non enim diuidebat iuſtè, ſed offerebat ſimpliciter, & abſque delectu) nihil vel graue, vel moleſtum aduerſus illum locutus eſt Deus, quamuis peccatum ipſum non eſſet paruum & vulgare, ſed valde magnum. Nam ſi noſtri generis hominibus quos veneramur, prima & præcipua damus, illáque offerre maximè volumus, quæ præ omni-
B bus illis digna videntur: quomodo hominem offerentem Deo, non oportebat Deo precioſiora & magis eximia offerre? Igitur cùm tantum peccaret, & tantum præ ſe ferret contemptum ille, Deus tamen non petiuit pœnam, neque pro factis ſupplicium exegit: ſed quaſi amicus amico, cum omni lenitate loquens, ſic dixit: Peccaſti: quieſce. Geneſ. 4. 7. Peccatum duntaxat illi indicauit, & conſuluit ne vlterius progrederetur. Vidiſti bonitatis excellentiam? Sed
C quia ille non ſolùm nihil ex tanta patientia lucrifecit, ſed & grauiora primis adiecit, ad fratris necem feſtinans, & Deus quidem in eum adhuc magnam oſtendebat lenitatem, interrogans prius, & dans illi ſatisfactionis locum: ſed quia manſit impudens, tunc pœnam intulit ei emendationis gratia, quæ etiam ipſa multum habebat miſericordiæ admixtum. Vides quomodo Deus, quando in ipſum peccauit, peccatúmque non vulgare, dimiſit: quando autem in fratrem armauit dex-
D tram, maledictum intulit & increpauit? Sic nunc & nos faciamus, & imitemur dominum noſtrum, & dimittamus, ſi quid in nos peccatum fuerit, & remittamus his qui in nos deliquerunt: quando autem in Deum peccatum refertur, tunc pœnas exigamus. Sed neſcio quî fit, vt omnia ſecus faciamus, omnino peccata quæ ad Deum pertingunt, inulta eſſe ſinimus: ſi quis autem parum quid in nos peccauerit, eius graues ſumus vltores & accuſatores, non ignorantes quòd ea ratione miſericordem dominum magis exacerbamus.

Peccata in Deū punienda.

A Quòd enim mos ſit Deo vt ſæpe dimittat quæ in ſe peccata fuerint: verùm quæ in proximum, ea cum magna ſeueritate exquirat, audi beatum Paulum, dicentem: ſi quis vxorem habet infidelem, & ipſi gratum fuerit cohabitare illi, non dimittat illam. Et ſi qua mulier habet virum infidelem, & hic conſentit habitare cum illa, non dimittat illum. Vidiſti quanta ibi verborum attemperatio pro humana imbecillitate? Etiam ſi Gentilis fuerit, etiam ſi infidelis, probet autem cohabitationem, non refugiat. Et iterum: Et ſi Gentilis fuerit mulier, & infidelis, vúltque B cohabitare, non repellat. Quî ſcis, inquit, mulier, num virum ſaluatura ſis? aut quî ſcis vir num mulierem ſaluaturus ſis? Vide quomodo non prohibet Deo infidelem quempiam vel quampiam in contubernij legem aſſumi. Audi iterum ipſum Chriſtum dicentem diſcipulis: Dico enim vobis, omnis qui dimiſerit vxorem ſuam (excepta ſtupri cauſa) facit illam adulterari. Quàm excellens benignitas, etiam ſi infidelis fuerit vel pagana, retine. Si autem in te C peccauerit, & fœderum obliuiſcitur, & magis aliorum prætulerit communionem, licet tibi illam eiicere & repellere. Hæc cogitantes, ſtudeamus etiam Dominum propter hanc in nos beneuolentiam remunerari, & ſicut ipſe vult dimittere ea quæ in ſe peccata ſunt: quæ autem in nos, vlciſcitur, ídque magna ſeueritate: eodem ſanè modo & ipſi faciamus, & quæcunque in nos peccant proximi, remittamus: quæ autem contra Deum, ea magno ſtudio curemus vltum iri. Quod & nobis D proderit plurimum, & eis qui corriguntur non minus. Fortaſſis hodie prolixius iuſto prooemium fecimus. Sed quid faciam? hoc præter ſententiam mihi contigit, verborum fluxu rapto. Quoniam autem omnis ſermo noſter de diluuio eſt, opus nobis erat charitati veſtræ oſtendere, quòd pœnæ à Deo nobis illatæ, miſericordiæ magis ſunt, quàm pœnæ: ſic quoque erat & diluuium. Nam ſicut benignus erga filios pater, omnia ob curam in genus noſtrum facit. Vt autem ex iis quæ nunc propoſita,

1.Cor.7.12.

Matth. 5.13.

Pœnæ à Deo illatæ clementiæ coniunctæ.

ὅτι γὰρ ἔθος τῷ θεῷ τὰ μὲν εἰς αὐτὸν πολλάκις ἀποπέμπεσθαι, τὰ δὲ εἰς τοὺς πλησίον γινόμενα ἁμαρτήματα ταῦτα μετὰ πολλῆς ἐκδικεῖν τῆς σφοδρότητος, ἄκουε τοῦ μὲν μακαρίου Παύλου λέγοντος· εἴ τις γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. καὶ γυνὴ εἴ τις ἔχει ἄνδρα ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν. εἶδες πόση ἡ συγκατάβασις. κἂν ἕλλην ᾖ, φησι, κἂν ἄπιστος, καταδέχεται δὲ τὸ συνοικέσιον, μὴ παραιτήσῃ. καὶ πάλιν, κἂν ἐθνικὴ τυγχάνῃ ἡ γυνὴ, κἂν ἄπιστος, βούλεται δὲ συνοικεῖν, μὴ ἀπώσῃ. τί γὰρ, φησιν, οἶδας ὦ γύναι, εἰ τὸν ἄνδρα σώσεις, ἢ τί οἶδας ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; ὅρα πῶς οὐ κωλύει τὸν ἀπιστοῦντα αὐτῷ, ἢ τὴν ἀπιστοῦσαν καταδέχεσθαι εἰς τὸν τοῦ συνοικεσίου νόμον. ἄκουε δὲ πάλιν αὐτοῦ τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς· λέγω γὰρ ὑμῖν, ὅτι πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι. πολλὴ τῆς φιλανθρωπίας ἡ ὑπερβολή. κἂν ἄπιστος ᾖ, φησιν, ἡ ἐθνικὴ, καταδέχεται δὲ, κάτεχε· ἂν δὲ εἰς σὲ ἁμάρτῃ, καὶ τῶν συνθηκῶν ἐπιλάθηται, καὶ τὴν ἑτέρων κοινωνίαν προτιμήσῃ, ἔξεστί σοι ἐκβαλεῖν καὶ ἀπώσασθαι. ταῦτα λογιζόμενοι σπουδάζωμεν καὶ ἡμεῖς ἀμείβεσθαι τὸν δεσπότην τῆς εἰς ἡμᾶς εὐνοίας, καὶ ὥσπερ αὐτὸς τὰ μὲν εἰς αὐτὸν ἀποπέμπεσθαι καταδέχεται, τὰ δὲ ἡμέτερα ἐκδικεῖ καὶ μετὰ πολλῆς τῆς σφοδρότητος, τὸν αὐτὸν δὴ τρόπον καὶ αὐτοὶ ποιῶμεν· καὶ ὅσα μὲν εἰς ἡμᾶς ἁμαρτάνουσιν οἱ πλησίον συγχωρῶμεν, ὅσα δὲ εἰς τὸν θεὸν συντείνει, ταῦτα μετὰ πολλῆς τῆς σπουδῆς ἐκδικεῖν σπουδάζωμεν. τοῦτο γὰρ καὶ ἡμᾶς ὠφελήσει τὰ μέγιστα, καὶ τοὺς τὴν διόρθωσιν δεχομένους οὐ τὰ τυχόντα ὀνίνησι. τάχα εἰς πολὺ μῆκος ἡμῖν ἐξετάθη σήμερον τὰ προοίμια, καὶ τί πάθω; οὐχ ἑκὼν τοῦτο ὑπέμεινα, ἀλλ' ὑπὸ τῆς ἀκολουθίας τοῦ λόγου παρασυρείς. ἐπεὶ δὲ περὶ τοῦ κατακλυσμοῦ πᾶς ὁ λόγος ἐκινήθη ἡμῖν, ἀνάγκην ἔχομεν δεῖξαι τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτι καὶ αἱ τιμωρίαι αἱ παρὰ τοῦ θεοῦ, φιλανθρωπίαι μᾶλλόν εἰσιν ἢ τιμωρίαι, ὥσπερ οὖν καὶ αὐτὸς ὁ κατακλυσμός. καθάπερ γὰρ πατὴρ φιλόστοργος, κηδεμονίᾳ τῇ περὶ τὴν ἡμετέραν φύσιν πάντα διαπράττεται. ἵνα δὲ καὶ ἐκ τῶν νῦν ἡμῖν προκειμένων,

καὶ ἐκ

καὶ ἐκ τῶν σήμερον ἀναγνωσθέντων μάθητε A αὐτοῦ τῆς φιλανθρωπίας τὸ μέγεθος ἀκούσωμεν αὐτῶν τῶν τῆς θείας γραφῆς ῥημάτων. ἐπειδὴ γὰρ χθὲς ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Μωυσῆς λέγων, ὅτι ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς ἡμέρας ρν'· μέχρι γὰρ τούτου ἡμῖν ἐπληρώθη τὰ τῆς διδασκαλίας σήμερον, φησι, καὶ ἐμνήσθη ὁ θεὸς τοῦ Νῶε, καὶ πάντων τῶν θηρίων, καὶ πάντων τῶν κτηνῶν, καὶ πάντων τῶν πετεινῶν, καὶ πάντων τῶν ἑρπετῶν, ὅσα ἦν μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ. θέα μοι πάλιν τῆς θείας γραφῆς τὴν συγκατάβασιν. καὶ ἐμνήσθη, φησὶν, ὁ θεός. θεοπρεπῶς νοῶμεν, B ἀγαπητοὶ, τὰ λεγόμενα, καὶ μὴ τῇ ἀσθενείᾳ τῆς ἡμετέρας φύσεως λογιζώμεθα τῶν λέξεων τὴν παχύτητα. ὅσον γὰρ πρὸς τὴν ἄρρητον φύσιν ἐκείνην, ἀνάξιον τὸ ῥῆμα· ὅσον δὲ πρὸς τὴν ἡμετέραν ἀσθένειαν, ἀκολούθως εἴρηται. ἐμνήσθη, φησὶν, ὁ θεὸς τοῦ Νῶε. ἐπειδὴ γὰρ διηγήσατο ἡμῖν ἐν τοῖς ἤδη ῥηθεῖσι, καθάπερ προλαβόντες ἐδιδάξαμεν ὑμῶν τὴν ἀγάπην, ὅτι ἐν ταῖς τεσσαράκοντα ἡμέραις καὶ τοσαύταις νυξὶν ὁ ὑετὸς γέγονε, καὶ ἐν ρν' ἡμέραις ἐπὶ τῆς C ταυτότητος διέμεινεν ιε' πήχεις ὑψούμενον ἐπάνω τῶν ὀρέων, καὶ ὅτι τούτων γινομένων ὁ δίκαιος ἐν τῇ κιβωτῷ ἐτύγχανεν, οὐδὲ τὸν ἀέρα ἀναπνεῖν δυνάμενος, συνόντων αὐτῷ καὶ τῶν ἀλόγων ἁπάντων, διὰ τοῦτο, φησὶ, καὶ ἐμνήσθη ὁ θεὸς τοῦ Νῶε. τί ἐστιν ἐμνήσθη; ᾤκτειρε, φησὶν, ὁ θεὸς τὸν δίκαιον ἐν τῇ κιβωτῷ διάγοντα, ἠλέησεν αὐτὸν ἐν τοσαύτῃ στενοχωρίᾳ τυγχάνοντα, καὶ ἐν ἀμηχανίᾳ καθεστῶτα, καὶ οὐκ εἰδότα μέχρι τίνος στήσεται τὰ δεινά. ἐννόει γάρ μοι ποίους ἀνεκίνει καθ' ἑαυτὸν λογισμοὺς μετὰ τὰς μ' ἡμέρας D καὶ τὰς μ' νύκτας, ἃς ἡ τῶν ὑδάτων φορὰ κατεφέρετο, ὁρῶν ἐπὶ ρν' ἡμέρας ἐπὶ τοῦ αὐτοῦ μέτρου τὰ ὕδατα μένοντα, καὶ οὐδὲ ὅλως λήγοντα, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ αὐτοῖς ὀφθαλμοῖς εἶχεν ἰδεῖν τὰ γεγενημένα, ἀλλ' ἐγκεκλεισμένος, καὶ οὐ δυνάμενός ποθεν τῇ ὄψει ὑποβαλεῖν τὰ κατειληφότα δεινὰ, μείζονα τὴν ὀδύνην ὑπέμενε, καὶ βαρύτερα καθ' ἑκάστην ἀνελογίζετο.

& hodie lecta, diſcatis miſericordiæ illius magnitudinem; audiamus ipſa diuinæ ſcripturæ verba. Nam quia heri docuit nos beatus Moſes, dicens, Quòd exaltata eſt aqua ſuper terram diebus centum quinquaginta: & eò vſque docendo proceſſimus; hodie dicit: *Et recordatus* Gen. 8. 1. *eſt Deus Noë; & omnium ferarum, & omnium iumentorum, & omnium volatilium, & omnium reptilium, quæcunque erant cum illo in arca.* Vide hîc obſecro iterum, quàm ſe attemperat noſtræ infirmitati diuina ſcriptura. Et recordatus eſt, inquit, Deus. Dilectiſſimi intelligamus hæc vt dignum eſt de Deo intelligere, & craſſa hæc verba naturæ noſtræ infirmitati aſcribamus. Nam quantum ad ineffabilem naturam attinet, indignum fuiſſet hoc verbum: quantum autem ad noſtram imbecillitatem, appoſitè eſt dictum. Recordatus, inquit, eſt dominus Deus Noë. Quoniam narrauit nobis in iam dictis, ſicut prius charitati veſtræ diximus, quòd quadraginta diebus, & totidem noctibus fuerit pluuia; & diebus centum quinquaginta eadem durauerit aqua, quindecim cubitis ſuper montes exaltata: & quòd cùm hæc fierent, iuſtus manſerit in arca, & neque aërem ſpirare valens, habitantibúſque cum eo brutis vniuerſis, idcirco inquit: Et recordatus eſt Deus. Quid eſt, recordatus eſt? miſertus eſt, dicere vult, iuſti in arca agentis. Miſertus eſt; quòd in tanta eſſet anguſtia; & rerum difficultate conſtitutus, ignorarétque quando nam moleſtiæ illæ finem habituræ eſſent. Conſidera hîc quæſo; quales tunc illius fuerint cogitationes poſt quadraginta dies & quadraginta noctes, quibus impetu magno pluuiæ ingruebant, quum videret diebus centum quinquaginta in eadem altitudine manere aquas, neque omnino deſiſtere: & quod multò grauius, neque oculis videre potuit, quæ facta ſunt: ſed incluſus, quum non poſſet aliquando oculis aſſequi, quanta eſſent mala, maiorem ſuſtinebat dolorem, grauioráque quotidie ſuſpicabatur.

Ego verò admiror, quomodo præ triſtitia non fuerit abſorptus, cùm mentem illius ſubirent humani generis interitus, ſua ſolitudo, & difficilis illi vita. At cauſa bonorum omnium illi fuit ſua in Deum fides, per quam & reſtitit, & omnia fortiter tulit: cúmque ſpe paſceretur, nihil triſte ſentiebat. Quoniam igitur quod ſuum erat præſtitit, tam patientiam monſtrando, quàm copioſam fidem afferendo, nec non & miram fortitudinem præ ſe ferendo: vide quanta ſit, & quàm multiplex Dei erga ipſum miſericordia. *Et recordatus eſt*, inquit, *Deus Noë*. Non ſimpliciter & abſque cauſa dixit, Et recordatus: eſt ſed quia prius diuina ſcriptura manifeſtauerat nobis teſtimonium de iuſto illo, dicens: Ingredere in arcam, quia te vidi iuſtum in generatione hac, eapropter nunc inquit: Et recordatus eſt Deus Noë, hoc eſt, teſtimonij, quod de illo perhibuerat, neque valde neglexit iuſtum, ſed diſtulit, quouſque ferre potuit, & tunc ei ſuum beneficium & gratiam impartitus eſt. Nam ſciẽs infirmitatem noſtræ naturæ, ſi quando permittit tentationem inferri, eouſque ſinit, quouſque ſcit nos poſſe ſuſtinere: vt & retributionem quæ noſtræ congruat fortitudini tribuat, & ſuam miſericordiam declaret: ſicut & Paulus inquit; Fidelis autem Deus, qui non ſinet vos tentari ſuprà quàm poteſtis, ſed faciet cum tentatione etiam exitum, vt ferre poſſitis. Quoniam igitur iuſtus ille fortitudinem & patientiam præ ſe ferebat, ſua in Deum fide arcæ tædia ſuſtinens: propter hoc inquit, Et recordatus eſt Deus Noë. Deinde vt diſcas abyſſum diuinæ miſericordiæ, addidit diuina ſcriptura: *Et omnium ferarum, & omnium iumentorum, & omnium volatilium, & omnium reptilium, quæcunque erant cum illo in arca.* Vide quomodo omnia in honorem hominis facit. Nam ſicut de his qui diluuio perierunt, dictum eſt, quòd cum illis omne brutorum animalium genus perdidit: ita hic ſuam erga iuſtum illum miſericordiam declarare volens, in honorem eius, ſuam & bonitatem ac curam etiam in bruta,

1. Cor. 10.13.

Omnia in honorem hominis facta.

A ἐγὼ δὲ καὶ θαυμάζω πῶς ὑπὸ τῆς ἀθυμίας αὐτῆς οὐ κατεπόθη, εἰς ἔννοιαν ἐρχόμενος καὶ τῆς ἀπωλείας τοῦ ἀνθρώπων γένους, καὶ τῆς μονώσεως τῆς οἰκείας, καὶ τῆς χαλεπῆς ἐκείνης διαγωγῆς. ἀλλ' ἡ αἰτία πάντων αὐτῷ τῶν ἀγαθῶν, ἡ πίστις ἦν ἡ εἰς τὸν θεὸν, δι' ἣν καὶ ἀντεῖχε, καὶ πάντα γενναίως ἔφερε, καὶ τῇ ἐλπίδι τρεφόμενος οὐδενὸς ἐπῃσθάνετο τῶν λυπηρῶν. ἐπεὶ οὖν τὰ παρ' ἑαυτοῦ παρέσχε, καὶ τὴν ὑπομονὴν ἐπεδείξατο, καὶ δαψιλῆ τὴν πίστιν εἰσήνεγκε πολλὴν τὴν καρτερίαν ἐπιδειξάμενος, σκόπει τοῦ ἀγαθοῦ θεοῦ τὴν πολλὴν περὶ αὐτὸν φιλανθρωπίαν. καὶ ἐμνήσθη, φησὶν, ὁ θεὸς τοῦ
B Νῶε. οὐχ ἁπλῶς εἶπε, καὶ ἐμνήσθη· ἀλλ' ἐπειδὴ προλαβοῦσα ἡ θεία γραφὴ τὴν μαρτυρίαν τὴν παρὰ τοῦ θεοῦ δήλην ἡμῖν ἐποίησε περὶ τοῦ δικαίου λέγοντος, εἴσελθε εἰς τὴν κιβωτὸν, ὅτι σε εἶδον δίκαιον ἐν τῇ γενεᾷ ταύτῃ, διὰ τοῦτο νῦν φησι, καὶ ἐμνήσθη ὁ θεὸς τοῦ Νῶε, τουτέστι, τῆς μαρτυρίας ἣν περὶ αὐτοῦ ἐποιήσατο ἀνεμνήσθη, καὶ οὐ περιεῖδεν ἐπὶ πολὺ τὸν δίκαιον, ἀλλὰ μέχρι τοσούτου μακροθυμήσας μέχρις ὅτε ἀντέχειν ἠδύνατο, τότε λοιπὸν τὴν παρ' ἑαυτοῦ δωρεῖται χάριν. εἰδὼς γὰρ ἡμῶν τῆς φύσεως τὴν ἀσθένειαν, ἐπειδὰν συγχωρήσῃ
C πειρασμόν τινα ἐπενεχθῆναι, μέχρι τοσούτου ἀφίησι, μέχρις ὅτε οἶδε δυναμένους ὑπενεγκεῖν· ἵνα καὶ ἡμῖν τῆς καρτερίας ἀρκοῦσαν τὴν ἀμοιβὴν χαρίσηται, καὶ τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται· καθάπερ καὶ Παῦλός φησι, πιστὸς δὲ ὁ θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. ἐπεὶ οὖν καὶ ὁ δίκαιος οὗτος τὴν καρτερίαν καὶ τὴν ὑπομονὴν ἐπεδείξατο, πίστει τῇ εἰς τὸν θεὸν τὴν ἐν τῇ κιβωτῷ οἴκησιν διαφερόμενος, καὶ ἐμνήσθη, φησὶν, ὁ
D θεὸς τοῦ Νῶε. εἶτα ἵνα μάθῃς αὐτοῦ τῆς φιλανθρωπίας τὴν ἄβυσσον, προσέθηκεν ἡ θεία γραφὴ, καὶ πάντων τῶν θηρίων, καὶ πάντων τῶν κτηνῶν, καὶ πάντων τῶν πετεινῶν, καὶ πάντων τῶν ἑρπετῶν, ὅσα ἦν μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ. ὅρα πῶς ἅπαντα διὰ τὴν εἰς τὸν ἄνθρωπον τιμὴν ἐργάζεται. καθάπερ γὰρ ἐπὶ τῶν ἀπολωλότων ὑπὸ τοῦ κατακλυσμοῦ ἀνθρώπων, μετ' ἐκείνων καὶ τὴν τῶν ἀλόγων ζώων φύσιν ἅπασαν διέφθειρεν, οὕτω καὶ ἐνταῦθα μέλλων τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείκνυσθαι περὶ τὸν δίκαιον, διὰ τὴν εἰς αὐτὸν τιμὴν, καὶ περὶ τὴν τῶν ἀλόγων φύσιν,

καὶ τὰ θηρία, καὶ τὰ πετεινά, καὶ τὰ ἑρπετὰ ἐκ- A τείνῃ αὐτοῦ τὴν ἀγαθότητα. καὶ ἐμνήσθη, φησὶν, ὁ θεὸς τοῦ Νῶε, καὶ πάντων τῶν θηρίων, καὶ πάντων τῶν κτηνῶν, καὶ τῶν ἑρπετῶν, καὶ ὅσα ἦν μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ. καὶ ἐπήγαγεν ὁ θεὸς πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασε τὸ ὕδωρ. μνησθεὶς, φησὶ, τοῦ Νῶε καὶ τῶν μετ' αὐτοῦ ὄντων ἐν τῇ κιβωτῷ προσέταξεν ἐπισχεθῆναι τῶν ὑδάτων τὴν φορὰν, ἵνα κατὰ μικρὸν τὴν οἰκείαν ἐπιδείξηται φιλανθρωπίαν, καὶ λοιπὸν τὸν δίκαιον ἀναπνεῦσαι ποιήσῃ, καὶ τῆς τῶν λογισμῶν ταραχῆς ἐλευθερώσας εἰς γαλήνην αὐτὸν καταστήσῃ, χαρισάμενος καὶ τοῦ φωτὸς τὴν ἀπόλαυσιν καὶ τοῦ ἀέρος τὴν ἀναπνοήν. καὶ B ἐπήγαγεν ὁ θεὸς, φησι, πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασε τὸ ὕδωρ, καὶ ἐπεκαλύφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταῤῥάκται τοῦ οὐρανοῦ. ὅρα πῶς ἀνθρωπίνως ἡμῖν ἅπαντα διαλέγεται. ἐπεκαλύφθησαν γὰρ, φησιν, αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταῤῥάκται τοῦ οὐρανοῦ, καὶ συνεσχέθη ὁ ὑετὸς τοῦ οὐρανοῦ, μονονουχὶ λέγουσα, ὅτι ἔδοξε τῷ δεσπότῃ, καὶ πάλιν ἐπὶ τῆς οἰκείας χώρας τὰ ὕδατα ἔμεινε, καὶ οὐκ ἔτι πλεονασμὸς ἐγίνετο, ἀλλὰ κατὰ μικρὸν ἔληγε. καὶ ἐνεδίδου τὸ ὕδωρ πορευόμενον ἀπὸ τῆς γῆς, καὶ ἠλαττοῦτο τὸ ὕδωρ μετὰ ρν' ἡμέ- C ρας. ποῖος λογισμὸς τοῦτο καταλαβεῖν ἂν δυνηθείη ποτέ; ἔστω, ὁ ὑετὸς ἐπεσχέθη, αἱ πηγαὶ οὐκέτι πλεονασμὸν εἰργάσαντο, καὶ οἱ καταῤῥάκται τοῦ οὐρανοῦ ἐπεσχέθησαν. τὸ ὕδωρ τὸ τοσοῦτον πῶς ἔληξε; πάντα ἄβυσσος ἦν. πῶς οὖν ἡ τοσαύτη τῶν ὑδάτων ῥύμη ἀθρόον ἐλάττων ἐγίνετο; τίς ἂν τοῦτο ἀνθρωπίνῳ λογισμῷ εὑρεῖν δυνηθείη ποτέ; τί οὖν ἐστιν εἰπεῖν; τὸ τοῦ θεοῦ πρόσταγμα ἦν, τὸ ἐργαζόμενον τὰ πάντα. μὴ τοίνυν ἡμεῖς περιεργαζώμεθα τὸ πῶς, ἀλλὰ τοῦτο μόνον πιστεύωμεν, ὅτι ἐκέλευσε καὶ ὑψώθη ἡ ἄβυσσος· προσέταξε, καὶ πάλιν τὴν οἰ- D κείαν ἐπέσχε φορὰν, καὶ πρὸς τὸν οἰκεῖον τόπον ὑπανεχώρησεν, ὃν αὐτὸς οἶδε μόνος ὁ δημιουργήσας αὐτὴν δεσπότης. καὶ ἐκάθισε, φησιν, ἡ κιβωτὸς ἐν τῷ ἑβδόμῳ μηνὶ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς, ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ. τὸ δὲ ὕδωρ ἠλαττοῦτο, ἕως τοῦ δεκάτου μηνός. καὶ ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων ἐν τῷ δεκάτῳ μηνὶ, τῇ πρώτῃ τοῦ μηνός. σκόπει πῶς ἀθρόον ἡ μεταβολὴ γέγονε, καὶ πόσον ἔληξεν ἡ τῶν ὑδάτων φύσις, ὡς ἐπὶ τὰ ὄρη τὴν κιβωτὸν καθίσαι. ἀνωτέρω γὰρ εἰποῦσα ἡ γραφὴ, ὅτι ιε' πήχεις ἐπάνω τῶν ὀρέων ὑψώθη τὸ ὕδωρ, νῦν φησιν,

& feras, & volatilia, & reptilia vſque extendi voluit. *Et recordatus eſt*, inquit, *Deus Noë, & omnium ferarum, & omnium iumentorum, & omnium reptilium, quæcunque erant cum illo in arca. Et adduxit Deus ſpiritum ſuper terram, & ceſſauit aqua.* Et recordatus eſt, inquit, Dominus Noë, & omnium quæ cum illo erant in arca, præcepítque aquæ impetum detineri, vt paulatim ſuam commonſtret miſericordiam, & poſtea reſpirare faciat, & à turbatione cogitationum liberatum, in tranquillo ſtatu conſtituat, conceſſo & lucis vſu, & aëris reſpiratione. *Et adduxit Deus*, inquit, *ſpiritum ſuper terram, & ceſſauit aqua.* [2] *Et obtecti ſunt fontes abyſſi, & cataractæ coeli.* Vide quomodo more humano loquitur nobis omnia: ſunt obtecti, inquit, fontes abyſſi, & cataractæ cœli, & cohibita pluuia cœli. Quaſi diceret, quòd placuerit Domino vt iterum in ſua regione maneant aquæ, neque vltrà abundent, ſed paulatim deſinant. [3] *Et cedebat aqua vadens de terra, & minuebatur aqua poſt centum quinquaginta dies.* Quæ ratio poterit hoc vnquam comprehendere? Stetit pluuia, cohibiti fontes non amplius exundabant, & cataractæ cœli cohibitæ ſunt. Aqua tanta quomodo deſiit? Omnia abyſſus erant, quomodo igitur tantus aquarum impetus ſubitò minor factus eſt? Quis hoc humana ratione inuenire poterit vnquam? Quid igitur eſt? Dei præceptum, quod facit omnia. Ne igitur nos curioſius exploremus quomodo, ſed tantùm credamus quod iuſſit, & exaltata eſt abyſſus: præcepit, & iterum ſuum continuit impetum, & ad proprium conceſſit locum, quem ſolus ipſe Dominus ſcit, qui condidit. [4] *Et ſedit*, inquit, *arca menſe ſeptimo, viceſimaſeptima menſis ſuper montes Ararat.* [5] *Aqua autem ibat & decreſcebat vſque ad decimum menſem, & apparuerunt cacumina montium in decimo menſe, prima menſis.* Vide quanta ſimul facta mutatio, & quanta ſimul aquarum natura deſierit, vt ſupra montes arca reſideret. Supra enim dixit, quòd quindecim cubitis ſuper montes exaltata eſt aqua: nũc dicit,

quòd ſedit arca ſuper montes Ararat, & paulatim poſtea aqua vſque ad decimum menſem decreſcebat, & tandem decimo menſe viſa ſunt cacumina montium. Conſidera obſecro iuſti conſtantiam, quomodo durare potuerit tot menſibus, qui quaſi in tenebris erat incluſus. [6] *Et factum eſt*, inquit, *poſt quadraginta dies, & aperuit Noë feneſtram arcæ, quam fecerat, & emiſit coruum, vt videret num ceſſaſſet aqua.* Ecce iuſtus ille nondum per ſe audet videre, ſed coruum mittit, ac per illum diſcere vult, an bona rerum mutatio aliqua ſit expectanda. [7] *Et egreſſus*, inquit, *non rediit, donec ſiccaretur aqua à terra.* Et adiecit ſcriptura verbum hoc, donec, non quòd poſtea redierit, ſed idioma eſt ſcripturæ diuinæ. Et hanc conſuetudinem ſæpe quis inueniet, & poſſent multa talia inueniri, ac in medium afferri: ſed ne omnia à nobis diſcentes faciam negligentiores, vobis relinquimus, vt ſcripturam ſcrutemini, & inuenietis, ſcio vbi proprietatibus & idiomatibus huiuſcemodi vtatur. Iam autem fuerit operæpretium, vt dicatur cauſa quare non redierit hæc auis.

Cur nõ redierit coruus.

Fortaſſis auis illa, vti eſt immunda, cùm deſiiſſent aquæ, incidit in cadauera hominum & brutorum, quibus, inuento ſibi congruo cibo, inſedit. Quod etiam ipſum non paruum bonæ ſpei argumentum fuit iuſto. Quòd ſi minus, & neque conſolationem inueniſſet aliquam, reuerſa vtique fuiſſet. Atque vt hoc eſſe verum ſcias, poſtea iuſtus memeliore ſpe concepta, emittit columbam, auem mitem & familiarem, quæ miram præ ſe fert gratitudinem, & non niſi ſeminibus paſci ſolita, ex puris eſt auibus. *Et emiſit*, inquit, *poſt illum columbam à ſe, vt videret, num ceſſaſſet aqua à facie terræ.* [9] *At columba non inuenta requie pedibus ſuis, rediit ad ipſum in arcam: quia aqua erat ſuper omnem faciem terræ.* Par eſt, vt hìc diſquiramus quomodo cùm ſupra dixerit ſcriptura ſancta, quòd cacumina montium fuerint viſa: nunc dicit, quòd columba non inuenta requie, ad ipſum in arcam redierit: quia aqua erat ſuper omnem faciem terræ.

A ὅτι ἐκάθισεν ἡ κιβωτὸς ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ, καὶ κατὰ μικρὸν λοιπὸν μέχρι τοῦ δεκάτου μηνὸς ἠλαττοῦτο, καὶ τότε τῷ δεκάτῳ μηνὶ ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων. ἐννόει μοι τοῦ δικαίου τὴν καρτερίαν, πῶς διήρκεσεν ἐν τοσούτοις μησὶ καθάπερ ἐν σκότῳ κατακεκλεισμένος. καὶ ἐγένετο, φησι, μετὰ τὰς τεσσαράκοντα ἡμέρας, καὶ ἀνέῳξε Νῶε τὴν θυρίδα τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ ἀπέστειλε τὸν κόρακα ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ. ὅρα τὸν δίκαιον οὐδέπω τολμῶντα καταπλεῦσαι δι' ἑαυτοῦ, ἀλλὰ τὸν κόρακα ἀπέστειλε, δι' ἐκείνου μαθεῖν βουλόμενος, εἴ τινα ἐστὶ προσδοκῆσαι χρηστὴν

B μεταβολήν. καὶ ἐξελθών, φησιν, οὐκ ἀνέστρεψεν, ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς. οὐκ, ἐπειδὴ μετὰ ταῦτα ἀνέστρεψε, τὸ ἕως προστέθηκεν ἡ θεία γραφή· ἀλλ' ἰδίωμα τοῦτό ἐστι τῆς θείας γραφῆς, καὶ πολλαχοῦ ἄν τις εὕροι ταύτην τὴν συνήθειαν. καὶ ἐνῆν μὲν πολλὰ τοιαῦτα εὑρεῖν καὶ παραγαγεῖν εἰς μέσον, ἀλλ' ἵνα μὴ πάντα παρ' ἡμῶν μανθάνοντες ῥαθυμότεροι γίνησθε, ὑμῖν καταλιμπάνομεν διερευνᾶσθαι τὴν γραφήν, καὶ εὑρεῖν ὅπου τοῖς ἰδιώμασι τούτοις κέχρηται· τέως δὲ ἡμᾶς ἀναγκαῖον εἰπεῖν τὴν αἰτίαν, δι' ἣν οὐκ

C ἀνέστρεψε τὸ ὄρνεον. ἴσως ληξάντων τῶν ὑδάτων ἀκάθαρτον ὂν τὸ ὄρνεον, καὶ σώμασιν ἐντυχὸν τοῖς τε ἀνθρωπίνοις, τοῖς τε τῶν ἀλόγων, καὶ τὴν κατάλληλον εὑρὸν ἑαυτῷ τροφήν, ἐναπέμεινεν· ὅπερ καὶ αὐτὸ οὐ μικρὸν ἐγίνετο τῷ δικαίῳ τεκμήριον τῆς χρηστῆς ἐλπίδος. εἰ γὰρ μὴ τοῦτο ἦν, μηδὲ εὗρε μικράν τινα παραμυθίαν, ὑπέστρεψεν ἄν. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἐντεῦθεν λοιπὸν τὴν χρηστὴν προσδοκίαν ἐσχηκὼς ὁ δίκαιος ἐκπέμπει τὴν περιστεράν, ὄρνεον ἥμερον καὶ φιλοσυνήθες καὶ πολλὴν εὐγνωμοσύνην ἐπιδεικνύμενον, καὶ οὐκ ἀνεχόμενον ἕτερόν τι σιτεῖσθαι ἢ σπέρματα. τῶν γὰρ

D καθαρῶν τυγχάνει. καὶ ἀπέστειλε τὴν περιστεράν, φησι, παρ' αὐτοῦ ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς, καὶ μὴ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς ὑπέστρεψε πρὸς αὐτὸν εἰς τὴν κιβωτόν, ὅτι ὕδωρ ἦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. ἄξιον ἐνταῦθα διερευνήσασθαι πῶς ἀνωτέρω εἰποῦσα ἡ ἁγία γραφή, ὅτι αἱ κεφαλαὶ τῶν ὀρέων ὤφθησαν, νῦν φησιν, ὅτι οὐχ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν ὑπέστρεψε πρὸς αὐτὸν εἰς τὴν κιβωτόν, ὅτι τὸ ὕδωρ ἦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς.

μετὰ ἀκριβείας ἀναγνῶμεν τὸ εἰρημένον καὶ εἰσόμεθα τὴν αἰτίαν. οὐ γὰρ εἶπεν ἁπλῶς, οὐχ εὑροῦσα ἀνάπαυσιν, ἀλλὰ τοῖς ποσὶν αὐτῆς προσέθηκεν, ἵνα διδάξῃ ἡμᾶς, ὅτι εἰ καὶ ἔληξεν ἐκ μέρους τὰ ὕδατα καὶ αἱ κεφαλαὶ τῶν ὀρέων ὤφθησαν, ἀλλ' ἔτι ἀπὸ τῆς πλησμονῆς τῶν ὑδάτων καὶ αὐταὶ τῶν ὀρέων αἱ κεφαλαὶ βορβορώδεις, ἢ τελματώδεις ἰλύος ἦσαν πεπληρωμέναι. διὸ οὐδὲ στῆναί που ἰσχύουσα ἡ περιστερά, οὐδὲ τροφὴν κατάλληλον εὑρεῖν δυναμένη, ὑπέστρεψε, διὰ τῆς ἐπανόδου διδάσκουσα τὸν δίκαιον, ὡς ἔτι πολλὴ τῶν ὑδάτων ἐστὶν ἡ φορά. καὶ ἐκτείνας, φησί, τὴν χεῖρα ἔλαβεν αὐτὴν, καὶ εἰσήγαγεν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν κιβωτόν. εἶδες πόση τοῦ ὀρνέου ἡ εὐγνωμοσύνη, πῶς ἐπανελθοῦσα διὰ τῆς παρουσίας ἐδίδασκε τὸν δίκαιον ἔτι τινὰ μικρὰν μακροθυμίαν ἐνδείξασθαι; διὸ καὶ ἐπισχὼν, φησὶν, ἔτι ἑπτὰ ἡμέρας ἐξαπέστειλε τὴν περιστερὰν ἐκ τῆς κιβωτοῦ. καὶ ἀνέστρεψε πρὸς αὐτὸν ἡ περιστερὰ πρὸς ἑσπέραν, καὶ εἶχε φύλλον ἐλαίας κάρφος ἐν τῷ στόματι αὐτῆς. οὐχ ἁπλῶς ἐνταῦθα οὐδὲ εἰκῆ κεῖται, τὸ πρὸς ἑσπέραν, ἀλλ' ἵνα μάθωμεν ὅτι διὰ πάσης τῆς ἡμέρας διατραφεῖσα, καὶ εὑροῦσα τινὰ κατάλληλον δίαιταν, κατὰ τὴν ἑσπέραν ἐπανῆλθεν ἐπὶ τοῦ στόματος φέρουσα κάρφος ἐλαίας. τοιοῦτον γὰρ τὸ ζῶον, ἥμερον, καὶ ἀεὶ τὴν συνήθειαν ἐπιζητοῦν. διά τοι τοῦτο καὶ ὑπέστρεψε, καὶ διὰ τοῦ κάρφους τῆς ἐλαίας πολλὴν παραμυθίαν ἐκόμισε τῷ δικαίῳ. ἀλλ' ἴσως ἄν τις εἴποι, καὶ πόθεν εὗρε τὸ φύλλον τῆς ἐλαίας; τὸ μὲν πᾶν ἐγίνετο τῆς τοῦ θεοῦ οἰκονομίας, καὶ τὸ εὑρεθῆναι, καὶ τὸ τὴν περιστερὰν λαβοῦσαν ἐπὶ τοῦ στόματος ἐπανελθεῖν πάλιν πρὸς τὸν δίκαιον· ἄλλως δὲ καὶ τὸ δένδρον ἀειθαλές ἐστι, καὶ εἰκὸς τῶν ὑδάτων ὑπονοστησάντων, ἔτι τὸ δένδρον τὴν τῶν φύλλων ἔχειν κόμην. καὶ ἐπισχὼν, φησιν, ἔτι ζ ἡμέρας ἑτέρας ἐξαπέστειλε τὴν περιστερὰν, καὶ οὐ προσέθετο τοῦ ἐπιστρέψαι πρὸς αὐτὸν ἔτι. ὅρα διὰ πάντων τὸν δίκαιον ἱκανὴν παραμυθίαν λαμβάνοντα. ὥσπερ γὰρ ἐπανελθούσης αὐτῆς καὶ ἐπὶ τοῦ στόματος φερούσης τὸ φύλλον τῆς ἐλαίας χρηστὰς εἶχε τὰς ἐλπίδας, οὕτω καὶ νῦν τὸ ἐξελθοῦσαν μὴ ὑποστρέψαι πάλιν, δεῖγμα μέγιστον αὐτῷ παρέσχε τοῦ πολλὴν αὐτὴν εὑρηκέναι τὴν ἄνεσιν, καὶ λῆξιν γεγενῆσθαι τῶν ὑδάτων παντελῆ. καὶ ὅτι τοῦτο ἐστιν ἀληθὲς, ἄκουσον τῶν ἑξῆς. καὶ ἐγένετο, φησι, τῷ ἑνὶ καὶ χ' ἔτει, ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ πρώτου μηνὸς, ἐξέλιπε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς. καὶ ἀπεκάλυψε Νῶε τὴν στέγην τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς.

A Diligenter legamus quid ſit dictum, & ſciemus cauſam. Non enim ſimpliciter dixit, non inuenta requie: ſed appoſuit, pedibus ſuis, vt doceat nos, quòd licèt deſierant ex parte aliqua aquæ, & cacumina montium apparuerant, ſed adhuc ob abundantiam aquarum, etiam cacumina limo plena erant. Et ideo columba nondum ſtare, neque conuenientem ſibi cibum inuenire valens, reuerſa eſt, reditu ſuo docens iuſtum, eſſe adhuc magnam aquarum copiam. *Et extenta*, inquit, *manu accepit illam, & introduxit illam ad ſe in arcam.* B Vidiſti quanta auis gratitudo, quomodo rediens iuſtum docuit, vt aliquantiſper adhuc longanimitatem exhibeat? [10] *Ideo & cum ſuſtinuiſſet*, inquit, *adhuc ſeptem dies, emiſit columbam ex arca,* [11] *& reuerſa eſt ad ipſum columba ad veſperam, & habuit folium oliuæ ſurculum in ore ſuo.* Non abſque ratione, neque temerè adiunxit, ad veſperam: ſed vt diſcamus: quòd tota die fuerit paſta, & inuento ſibi conuenienti cibo, ad veſperam rediit; in ore ferens ſurculum oliuæ. C Tale quippe animal eſt, mite, & noſtra familiaritate gaudens, & idcirco rediit, & oliuæ ſurculo multum ſolatij iuſto attulit. Sed dixerit fortaſſe aliquis: Et vbi inuenit folium oliuæ? Totum hoc factum eſt diſpenſatione diuina; & quòd columba inuenit, & quòd ore receptum ad iuſtum attulit. Alioquin & arbor hæc ſemper virens eſt, & veriſimile eſt quòd cum aquæ redierint, arbor hæc adhuc habuerit foliorum comam. [12] *Et vt continuit*, inquit, *adhuc ſeptem dies, emiſit* D *columbam, & non adiecit, vt ad illum rediret.* Vide quomodo iuſtus in omnibus conſolationem iuſtam eccipit. Nam vt bona ſpe recreatus eſt, cùm rediret, & oliuæ folium in ore ferret: ita & nunc cùm egreſſa non redit, maximum illi indicium fuit, quòd ſufficientem inuenerit refocillationem, & aquæ in vniuerſum deſierint. Et hoc ita eſſe, audi ex ſequentibus. [13] *Et factum eſt*, inquit, *in vno & ſexcenteſimo anno vitæ Noë, primo menſe defecit aqua à facie terræ. Et reuelauit Noë tectum arcæ quod fecit, & vidit quod defecit aqua à facie terræ.*

Iterum hic me inuadit ſtupor, vt admirari cogar iuſti huius virtutem, & Dei clementiam. Quomodo enim quæſo poſt tantum tempus, vt ſe aëri commiſit, & oculos ad cœlum ſpectandum intendit, non captus eſt oculis & excæcatus? Probè namque ſcitis, hoc contingere hominibus ſolere, etiam ad paruam diei partem in tenebroſis caliginoſiſque locis agentibus, quum ſubitò in lucis fulgorem aſpicere volunt. Iuſtus autem ille anno integro, & tot menſibus in arca, quaſi in tenebris agens, etiam nunc viſo lucis iubare, nihil tale expertus eſt. Dei enim gratia erat, & patientia ab eo illi conceſſa, quæ etiam corporis ſenſus firmiores reddiderat, & potentiores quàm qui à corporalibus neceſſitatibus vincantur. [14] *In menſe autem ſecundo arefacta eſt terra, viceſimo & ſeptimo die menſis.* Non abſque ratione tantam diligentiam adhibet diuina ſcriptura, ſed vt diſcamus quod vſque ad primum diem anni illius completio fuerit facta, quo monſtretur iuſti patientia, & totius orbis purgatio facta. Deinde poſtquam quaſi à ſorde quadam abluta eſt omnis creatura, & depoſuit omnem maculam, quam ex humana contraxerat malitia, facieſque ei pura reddita eſt: tunc denique præcipit, vt iuſtus ex arca exeat, liberque à graui illo carcere fiat, & inquit: [15] *Dixit dominus Deus ad Noë: Egredere tu, & vxor tua, & filij tui, & vxores filiorum tuorum tecum,* [17] *& omnes beſtiæ quæcunque ſunt tecum, & omnis caro, à volatilibus vſque ad pecora, & omne reptile quod mouetur ſuper terram, educ tecum, & creſcite, & multiplicamini ſuper terram.* Expende hic Dei bonitatem, quomodo per omnia iuſtum conſolatur. Nam quia imperauit illi, vt exiret ex arca ipſe, & vxor, & filij, & vxores filiorum, & beſtiæ omnes: vt ne & iſtuc ipſum mœrorem aliquem ei afferret, & anxium relinqueret, cogitantem quomodo in ſolitudine eſſet futurus, tantam terræ latitudinem ſolus inhabitans, nullo iam alio viuente: ideo poſtquam dixit: Egredere & educ tecum: addit: Creſcite & multiplicamini ſuper terram.

A πάλιν ἐνταῦθα ἔπεισί μοι θαυμάζειν καὶ ἐκπλήττεσθαι καὶ τοῦ δικαίου τὴν ἀρετὴν, καὶ τοῦ θεοῦ τὴν φιλανθρωπίαν. πῶς γὰρ, εἰπέ μοι, μετὰ τοσοῦτον χρόνον προσβαλὼν τῷ ἀέρι, καὶ τὰς ὄψεις ἀνατείνας εἰς τὴν τοῦ οὐρανοῦ θέαν οὐκ ἀπετυφλώθη, καὶ ἐπηρώθη τὰς ὄψεις; ἴστε γὰρ, ἴστε, ὅτι μάλιστα τοῦτο πάσχειν ἔθος τοῖς ἀνθρώποις, κἂν πρὸς βραχὺ μέρος τῆς ἡμέρας ἐν σκοτεινοῖς τόποις καὶ ζοφωδεστέροις διάγοντες πρὸς τὴν τοῦ φωτὸς ἀθρόον αὐγὴν ἀτενίσαι βουληθῶσιν. ἀλλ' ὁ δίκαιος οὗτος ἐν ἐνιαυτῷ ὁλοκλήρῳ καὶ ἐν τοσούτοις μησὶ, καθάπερ ἐν σκότῳ, διάγων ἐν τῇ κιβωτῷ, καὶ νῦν ἀθρόον B πρὸς τὴν τοῦ φωτὸς αὐγὴν ἐπιδὼν, οὐδὲν τοιοῦτον ἔπαθεν. ἡ γὰρ τοῦ θεοῦ χάρις ἦν μετὰ τῆς παρασχεθείσης αὐτῷ ὑπομονῆς, ἣ καὶ τοῦ σώματος τὰς αἰσθήσεις ἰσχυρὰς ἀπεργαζομένη, καὶ ἀνωτέρας τῶν σωματικῶν ἀναγκῶν ταύτας ποιοῦσα. ἐν δὲ τῷ δευτέρῳ μηνὶ ἐξηράνθη ἡ γῆ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός. οὐχ ἁπλῶς τὴν τοσαύτην ἀκρίβειαν ποιεῖται ἡ θεία γραφὴ, ἀλλ' ἵνα μάθωμεν, ὅτι μέχρι μιᾶς ἡμέρας τοῦ ἐνιαυτοῦ ἐκείνου ἡ συμπλήρωσις γεγένηται, καθ' ὃν τοῦ δικαίου ἐδείχθη ἡ ὑπομονὴ, καὶ τῆς οἰκουμένης ἁπάσης τὸ καθάρσιον γέγονεν. C εἶτα ἐπειδὴ καθάπερ τινὰ ῥύπον ἀπεπλύνατο ἡ κτίσις ἅπασα, ἀποθεμένη τὴν ἅπασαν κηλῖδα, ἣν ἡ τῶν ἀνθρώπων κακία ἐν αὐτῇ κατεσκεύασε, καὶ φαιδρὸν αὐτῆς γέγονε τὸ πρόσωπον, τότε λοιπὸν προστάττει τὸν δίκαιον ἐξελθεῖν ἐκ τῆς κιβωτοῦ, καὶ ἐλευθεροῖ αὐτὸν τοῦ χαλεποῦ ἐκείνου δεσμωτηρίου, καί φησιν· εἶπε κύριος ὁ θεὸς τῷ Νῶε, ἔξελθε σὺ, καὶ οἱ υἱοί σου, καὶ ἡ γυνή σου, καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ, καὶ πάντα τὰ θηρία, ὅσα ἐστὶ μετὰ σοῦ, καὶ πᾶσα σὰρξ ἀπὸ πετεινῶν ἕως κτηνῶν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς ἐξάγαγε D μετὰ σεαυτοῦ. καὶ αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς. σκόπει θεοῦ ἀγαθότητα, πῶς διὰ πάντων παραμυθεῖται τὸν δίκαιον. ἐπειδὴ γὰρ προσέταξεν αὐτὸν ἐξελθεῖν ἐκ τῆς κιβωτοῦ, καὶ τοὺς υἱοὺς, καὶ τὴν γυναῖκα, καὶ τὰς γυναῖκας τῶν υἱῶν αὐτοῦ, καὶ τὰ θηρία πάντα, ἵνα μὴ καὶ αὐτὸ τοῦτο πάλιν πολλὴν αὐτῷ κατασκευάσῃ τὴν ἀθυμίαν, καὶ ἐναγώνιον αὐτὸν καταστήσῃ λογιζόμενον, ὡς ἐν ἐρημίᾳ ἔσται, ἐν τοσούτῳ πλάτει τῆς γῆς μόνος οἰκῶν, οὐδενὸς ὄντος ἑτέρου, εἰπὼν, ἔξελθε ἐκ τῆς κιβωτοῦ καὶ ἐξάγαγε ἅπαντα μετὰ σεαυτοῦ, προσέθηκε, καὶ αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς.

A ὅρα πῶς πάλιν ἄνωθεν ὁ δίκαιος οὗτος ἐκείνην δέχεται τὴν εὐλογίαν, ἣν πρὸ τῆς παραβάσεως ὁ Ἀδὰμ ἐδέξατο. ὥσπερ γὰρ ἡνίκα ἐκεῖνος ἐδημιουργήθη, ἤκουσε· καὶ εὐλόγησεν αὐτοὺς ὁ θεὸς λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ κατακυριεύσατε τῆς γῆς, οὕτω καὶ οὗτος νῦν, αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς. ὥσπερ γὰρ ἐκεῖνος ἀρχὴ καὶ ῥίζα γέγονε πάντων τῶν γενομένων πρὸ τοῦ κατακλυσμοῦ, οὕτω καὶ ὁ δίκαιος οὗτος ζύμη τις καὶ ἀρχὴ καὶ ῥίζα γέγονε πάντων τῶν μετὰ τὸν κατακλυσμόν. καὶ ἐντεῦθεν λοιπὸν τὰ τῆς τῶν ἀνθρώπων συστάσεως ἀρχὴν λαμβάνει, καὶ ἡ κτίσις ἅπασα τὸν οἰκεῖον ἀπολαμβάνει κόσμον, ἥ τε γῆ πρὸς καρποφορίαν διεγερμένη, καὶ τὰ ἄλλα πάντα, ὅσα διὰ τὴν τοῦ ἀνθρώπου ὑπηρεσίαν ἐδημιουργήθη. B καὶ ἐξῆλθε Νῶε, φησι, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ. καὶ πάντα τὰ θηρία, καὶ πάντα τὰ κτήνη, καὶ πᾶν πετεινὸν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν ἐξῆλθον ἐκ τῆς κιβωτοῦ. μετὰ τὸ τοῦ δεσπότου, φησὶ, πρόσταγμα δεξάμενος τὴν εὐλογίαν τὴν λέγουσαν, αὐξάνεσθε καὶ πληθύνεσθε, ἐξῆλθεν ἐκ τῆς κιβωτοῦ μετὰ τῶν ἄλλων ἁπάντων· καὶ νῦν λοιπὸν ἐν πάσῃ τῇ γῇ ὁ δίκαιος μόνος διάγων μετὰ C τῆς γυναικὸς καὶ τῶν παίδων καὶ τῶν τούτων γυναικῶν. καὶ εὐθέως ἐξελθὼν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται, καὶ ὑπέρ τε τῶν παρεληλυθότων, ὑπέρ τε τῶν μελλόντων τὰς εὐχαριστίας ἀναφέρει τῷ ἑαυτοῦ δεσπότῃ. ἀλλ' εἰ δοκεῖ, ἵνα μὴ μακρὸν ποιῶμεν τὸν λόγον, εἰς τὴν ἑξῆς ταμιευσώμεθα τὰ κατὰ τὴν εὐγνωμοσύνην τοῦ δικαίου, μέχρι τούτου στήσαντες τὸν λόγον, καὶ παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην διηνεκῶς τοῦτον τὸν μακάριον ἐν διανοίᾳ περιστρέφειν, καὶ τῆς ἀρετῆς αὐτοῦ μετὰ ἀκριβείας τὴν εὐμορφίαν καταμανθάνειν, καὶ D ζηλωτὰς αὐτοῦ γίνεσθαι. σκόπει γάρ μοι πόσος αὐτοῦ τῆς ἀρετῆς ὁ πλοῦτος, ὅτι σήμερον ἐν τοσαύταις ἡμέραις τὰ κατ' αὐτὸν διηγούμενοι οὐδέπω καὶ νῦν τέλος ἐπιθεῖναι ἰσχύσαμεν τῇ κατ' αὐτὸν ὑποθέσει. καὶ τί λέγω τέλος ἐπιθεῖναι; ὅσα ἂν εἴπωμεν, οὐ δυνάμεθα ἐφικέσθαι, ἀλλὰ κἂν ἡμεῖς πολλὰ δυνηθῶμεν εἰπεῖν, κἂν οἱ μεθ' ἡμᾶς, οὐδὲ οὕτω πρὸς τὸ τέλος φθάσαι δυνησόμεθα· τοσοῦτόν ἐστιν ἀρετή. ἐὰν γὰρ βουληθῶμεν, ἅπασαν ἡμῶν τὴν φύσιν οὗτος παιδεῦσαι δυνήσεται, καὶ πρὸς τὸν τῆς ἀρετῆς ζῆλον ἐναγαγεῖν.

Vide quomodo iuſtus ille denuo ſupernam accipit benedictionem, quam ante tranſgreſſionem acceperat Adam. Nam ſicut quando ille formatus eſt, audiuit, & benedixit eis Deus, dicens: Creſcite & multiplicamini, & dominamini terræ: Gen. 1. 28. ita & illi nunc dicitur: Creſcite & multiplicamini ſuper terram. Quippe ſicut ille origo & radix fuit omnium qui nati ſunt ante diluuium: ita & iuſtus hic fermentum quoddam, origo, & radix eſt omnium, qui poſt diluuium fuere: & hinc poſtea humanæ conſtitutionis principium factum eſt. (Noë fermentũ mundi.) Creatura quoque omnem ſuam accepit ornatum. Et terra ad ferendos fructus idonea facta eſt, aliáque omnia quæ propter hominis miniſterium ſunt condita. [18] *Et egreſſus eſt Noë*, inquit, *& vxor illius, & filij illius, & vxores filiorum illius cum eo, & omnes beſtiæ, & omnia pecora, & omne volatile, & omne reptile quod mouetur ſuper terram, iuxta genus ſuum exierunt ex arca.* Poſtquam accepit mandatum à Domino, & benedictionem dicentem: Creſcite & multiplicamini: exiit ex arca cum aliis omnibus. Et poſthac in tota terra ſolus viuebat iuſtus ille cum vxore, & filiis, & vxoribus illorum. Mox autem vt egreſſus eſt, ſuam declarans gratitudinem, tam pro iis quæ præterierant, quàm quæ futura erant, gratias Domino agebat. Verùm ſi placet, ne ſermo fiat prolixior, reſeruemus in diem poſterum, quę ad gratitudinem iuſti pertinent, miſſum hîc facientes ſermonem: & obſecrantes veſtram charitatem, vt cõtinuò beatum iſtum in memoria veſtra geratis, & illius virtutis pulchritudinem bene diſcatis, quò melius eum imitemini. Animaduerte enim obſecro, quantus virtutis illius theſaurus, quia per tot dies nunc de illo diſſeruimus, & nondum finem imponere narrationi potuimus eorum, quæ ad illum attinent. Quid dico finem imponere? Quamuis autem & nos, & qui nos ſequuntur, multa de illo dicere poſſimus, nondum tamen totum dicere poterimus. Tãta res eſt virtus. Porrò ſi nos voluerimus, poterit vniuerſum noſtram naturam ad virtutis imitationem inducere.

Nam ſi ille inter tot improbos verſans, neque habens familiarem aliquem, in tantum virtutis faſtigium perueniſſe inuentus eſt: quæ noſtra erit excuſatio, cùm nec talia nobis ſint præpedimenta, & tamen negligentes ſimus ad bona opera? Nolo enim dicas mihi ſolam illam quingentorum annorum vitam, quando ſubſannabatur & irridebatur, verſabatúrque in medio flagitioſorum: ſed & annum illum narra, quem totum in arca tranſegit, qui ſanè conferendus mihi videtur toti tempori ſuperiori. Tantam ibi afflictionem ferre cogebatur iuſtus ille, in tanta exiſtens anguſtia, & neque auram recentem captare valens, & ferarum brutorúmque conuictum ferens: qui & in omnibus mẽtem ſuam ſolidam declarabat, & voluntatem flecti neſciam, & fidem erga Deum, per quam facilè & leuiter omnia ſuſtinebat. Atque idcirco, quoniam quod ſuum erat, totum afferebat: & eorum quæ Deus dat, abundè potitus eſt. Quamuis enim multam ferret in arca anguſtiam, attamen terribilem tempeſtatem, & communem omnium internecionem effugiebat. Et propterea poſt anguſtiam illam & intolerabilem carcerem, ſecuritatem & quietem adeptus eſt vnà cum diuina benedictione. Et iterum ſuã gratitudinem operibus indicauit, & vbique inuenies illum primordia cõtuliſſe. Nam ſicut per ætatem primam omnem virtutem ſectatus eſt, & à vitiis ſe alienauit, quibus qui tũc viuebant, infecti erant: vnde neque pœnarum particeps fuit, & cùm alij omnes ſuffocarentur, ipſe ſolus ſeruatus eſt: ita rurſus quia fidem quoque habuit, & cum gratiarum actione ſuam in arca habitationem tulit, iterum diuina dona copioſè illi conceſſa ſunt. Et cùm egreſſus ex arca, & in priſtinum ſtatum reſtitutus eſſet, ſtatim benedictionem conſecutus eſt, & iterum ſolitam præ ſe tulit gratitudinem, factáque gratiarum actione etiam tunc maioribus beneficiis diuina gratia ipſum cumulauit. Mos enim diuinæ miſericordiæ eſt, vt ſi nos tenuia quædam & vilia obtulerimus, ſed tamen obtulerimus multa liberalitate nos remuneret.

A ὅταν γὰρ καὶ μεταξὺ τοσούτων πονηρῶν ἀναστρεφόμενος οὗτος ὁ δίκαιος καὶ μηδένα ἔχων εὑρεῖν ὁμότροπον, πρὸς τοσοῦτον μέτρον εὑρέθη φθάνων τῆς ἀρετῆς, τίς ἡμῖν ἔσται ἀπολογία, τοῖς μηδὲ τοσαῦτα κωλύματα ἔχουσι, καὶ ῥαθυμοῦσι πρὸς τὴν τοιαύτης κατόρθωσιν; μὴ γάρ μοι τὴν ἐν τοῖς πεντακοσίοις ἔτεσι διαγωγὴν λέγε μόνον, ὅτι κωμῳδούμενος, καὶ χλευαζόμενος διετέλει ὑπὸ τῶν τὴν κακίαν μετιόντων, ἀλλὰ καὶ τὴν ἐν τῇ κιβωτῷ διατριβήν. ὁ γὰρ ἐνιαυτὸς ἐκεῖνος ἀντίρροπος εἶναί μοι δοκεῖ τοῦ παντὸς χρόνου. τοσαύτην ἐκεῖ τὴν θλῖψιν ὑπομένειν ὁ δίκαιος
B ἠναγκάζετο, ἐν στενοχωρίᾳ τοιαύτῃ τυγχάνων, καὶ μηδὲ ἀναπνεῖν δυνάμενος, καὶ τῆς μετὰ τῶν θηρίων καὶ τῶν ἀλόγων διαγωγῆς ἀνεχόμενος, καὶ διὰ πάντων ἐδείκνυ αὐτοῦ τῆς γνώμης τὸ στερρὸν, καὶ τὸ ἀκλινὲς τῆς προαιρέσεως, καὶ τὴν πίστιν, ἣν περὶ τὸν θεὸν ἐπεδείκνυτο, δι' ἣν πάντα ῥᾳδίως καὶ κούφως ἔφερε. διὰ τοι τοῦτο, ἐπειδὴ τὰ παρ' αὐτοῦ πάντα εἰσήνεγκε, καὶ τῶν παρὰ τοῦ θεοῦ μετὰ δαψιλείας ἀπήλαυσεν. εἰ γὰρ καὶ στενοχωρίαν πολλὴν ὑπέμενεν ἐν τῇ διαγωγῇ τῆς κιβωτοῦ, ἀλλ' ὅμως τὸν κλυδώνιον τὸν φοβερὸν, καὶ τὴν πα-
C νωλεθρίαν ἐκείνην διέφυγε, καὶ διὰ τοῦτο μετὰ τὴν στενοχωρίαν ἐκείνην καὶ τὴν ἀφόρητον εἱρκτὴν καὶ ἀδείας καὶ ἀνέσεως ἀπήλαυσε, καὶ τῆς παρὰ τοῦ θεοῦ εὐλογίας ἠξιοῦτο, καὶ πάλιν τὴν οἰκείαν εὐγνωμοσύνην διὰ τῶν ἔργων ἐπλήρου· καὶ πανταχοῦ εὑρήσεις τὰς ἀρχὰς παρ' αὐτοῦ εἰσφερομένας. ὥσπερ γὰρ τὴν πρώτην ἅπασαν ἡλικίαν τὴν ἀρετὴν μεταδιώξας, καὶ τῆς κακίας ἐκείνων ἐκτὸς γενόμενος, οὐ συναπήλαυσεν αὐτοῖς τῆς τιμωρίας, ἀλλὰ πάντων ὑποβρυχίων γινομένων αὐτὸς μόνος διεσώζετο, οὕτω πά-
D λιν ἐπειδὴ πολλὴν τὴν πίστιν εἰσήνεγκε, καὶ μετ' εὐχαριστίας τῆς ἐν τῇ κιβωτῷ οἰκήσεως ἠνέσχετο, πάλιν τῶν παρὰ τοῦ θεοῦ ἠκολούθησε μετὰ πολλῆς τῆς φιλοτιμίας, καὶ ἐξενεχθεὶς τῆς κιβωτοῦ, καὶ εἰς τὴν προτέραν διαγωγὴν ἀποκατασταθεὶς, εὐθέως εὐλογίας ἀξιοῦται, καὶ πάλιν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξάμενος, καὶ τὴν δύναμιν εὐχαριστίαν ποιησάμενος, καὶ οὕτω μειζόνων ἀξιοῦται παρὰ τοῦ φιλανθρώπου θεοῦ. καὶ γὰρ ἔθος τοῦτο τῷ θεῷ, ἐπειδὰν μικρὰ καὶ εὐτελῆ παρ' ἡμῶν εἰσενεχθῇ, ὅμως δ' οὖν εἰσενεχθῇ, πολλὴν ἡμῖν τὴν παρ' αὐτοῦ δωρεῖσθαι φιλοτιμίαν.

A καὶ ἵνα μάθῃς καὶ τῆς ἀνθρωπίνης εὐτελείας τὴν ὑπερβολὴν, καὶ τοῦ δεσπότου σου τὴν φιλοτιμίαν, σκόπει μοι ἐνταῦθα. κἂν γὰρ βουληθῶμεν τι εἰσενεγκεῖν, τί τοσοῦτον δυνησόμεθα, ἢ ὅσον τὴν διὰ τῶν λόγων εὐχαριστίαν ἐπιδείξασθαι; τὰ μέν τοι παρ' αὐτοῦ διὰ τῶν ἔργων εἰς ἡμᾶς ἐκπληροῦται. πόθεν οὖν ἂν ἴσον γένοιτο, ἔργα καὶ λόγοι; ἀνενδεὴς γὰρ ὢν ἡμῶν ὁ δεσπότης, οὐδενὸς δεῖται τῶν παρ' ἡμῶν, εἰ μὴ τῶν ῥημάτων μόνον. καὶ αὐτὴν δὲ τὴν διὰ τῶν λόγων εὐχαριστίαν ἀπαιτεῖ, οὐχ ὡς ταύτης χρῄζων αὐτὸς, ἀλλ' ἵνα ἡμᾶς παιδεύσῃ εὐγνώμονας εἶναι, καὶ ἐπιγινώσκειν τὸν τῶν ἀγαθῶν χορηγόν. διὰ τοῦτο καὶ Παῦλος γράφων ἔλεγεν, εὐχάριστοι γίνεσθε. B οὐδὲν γὰρ οὕτως ἐπιζητεῖ παρ' ἡμῶν ὁ δεσπότης, ὡς τοῦτο τὸ κατόρθωμα. μὴ τοίνυν ἀγνώμονες γινώμεθα, μηδὲ δι' ἔργων εὐεργετούμενοι αὐτοὶ, ὀκνῶμεν τὴν διὰ τῶν λόγων εὐχαριστίαν ἀναφέρειν τῷ δεσπότῃ. πάλιν γὰρ εἰς ἡμᾶς τὸ κέρδος περιΐσταται. ἐὰν γὰρ ἐπὶ τοῖς φθάσασιν εὐχάριστοι γενώμεθα, καὶ πρὸς τὸ τῶν μειζόνων τυχεῖν ἑαυτοῖς πολλὴν προευτρεπίζομεν τὴν παρρησίαν. μόνον παρακαλῶ, καθ' ἑκάστην ἡμέραν καὶ ὥραν, εἰ οἷόν τε, ἀναλογιζώμεθα καθ' ἑαυτοὺς μὴ τὰς κοινὰς μόνον εὐεργεσίας, ἃς πάσῃ τῇ φύσει ὁ τῶν ὅλων δημιουργὸς κεχάρισται, C ἀλλὰ καὶ τὰς ἰδίᾳ καὶ καθ' ἕκαστον ἡμῖν παρεχομένας. καὶ τί λέγω τὰς ἰδίᾳ καὶ καθ' ἕκαστον παρεχομένας; καὶ ὑπὲρ ὧν ἀγνοοῦντες εὐεργετούμεθα, καὶ ὑπὲρ τούτων εὐχαριστῶμεν. ἐπειδὴ γὰρ κήδεται τῆς ἡμετέρας σωτηρίας, πολλὰ καὶ μὴ εἰδότας ἡμᾶς εὐεργετεῖ, καὶ πολλάκις καὶ κινδύνων ἐξαρπάζει, καὶ ἑτέρας εὐεργεσίας εἰς ἡμᾶς κατατίθεται. πηγὴ γάρ ἐστι φιλανθρωπίας, καὶ οὐδέποτε παύεται τὰ ἐκεῖθεν νάματα τῇ τῶν ἀνθρώπων φύσει παρέχουσα. ἂν τοίνυν ταῦτα λογιζώμεθα καὶ σπουδάζωμεν καὶ ὑπὲρ τῶν φθασάντων τὰς εὐχαριστίας ἀναφέρειν D τῷ δεσπότῃ, καὶ ὑπὲρ τῶν ἑξῆς τούτοις ἑαυτοὺς κατασκευάζειν, ὥστε μὴ ἀναξίους φανῆναι τῶν παρ' αὐτοῦ εὐεργεσιῶν, δυνησόμεθα καὶ πολιτείαν ἀρίστην ἐπιδείξασθαι, καὶ τῆς κακίας τὴν πεῖραν διαφυγεῖν. ἡ γὰρ μνήμη τῶν εὐεργεσιῶν ἱκανὴ διδάσκαλος ἡμῖν ἔσται τῆς κατ' ἀρετὴν πολιτείας, οὐκ ἀφιεῖσα ποτε εἰς ῥαθυμίαν ἐμπεσόντας καὶ λήθην, πρὸς τὴν κακίαν αὐτομολῆσαι. ἡ γὰρ νήφουσα καὶ ἐγρηγορυῖα ψυχὴ οὐ τότε μόνον, ἐπειδὰν κατὰ ῥοῦν φέρηται τὰ πράγματα, εὐγνωμοσύνην ἐπιδείκνυται, ἀλλὰ κἂν ἐναντία τις πραγμάτων περίστασις παρακολουθήσῃ,

Et vt diſcas, quanta ſit humana tenuitas, & quanta Dei magnificentia: nos etiam ſi quid voluerimus offerre, quid amplius offerre poſſumus, quàm quantum verbis gratias referimus? Ea ſanè quæ ipſe exhibet, opere præſtat. Quàm imparia autem ſunt verba & opera? Et Dominus nullarum rerum indigus eſt, nullàque rerum noſtrarum eget, præterquam verbis: atque hanc ipſam in ſermonibus gratiarum actionem exigit, non quòd ea ipſe opus habeat, ſed vt nos doceat gratos eſſe, & agnoſcere tantorum bonorum ſuppeditatorem. Et illam ob cauſam Paulus quoque ſcribens, dicebat: Grati eſtote. Nihil enim ſic requirit à nobis Dominus, vt iſtuc ipſum. Proinde ne ſimus ingrati, neque dum re ipſa beneficia experimur, grauemur offerre Domino verbis noſtris gratiarum actionem: redundat enim lucrum in nos. Quòd ſi de primis grati fuerimus, præterquam quòd maiora nanciſcimur, etiam fiduciam nobis magnam comparamus. Vnum hoc obſecro, ſingulis diebus & horis ſupputemus nobiſcum, non communia tantum beneficia quæ toti naturæ omnium opifex contulit, ſed & priuata, & quotidiana, & quæ ignorantibus nobis confert, próque his gratias agamus. Quandoquidem enim pro ſalute noſtra ſollicitus eſt, multa etiam in nos neſcios beneficia confert, ſæpe etiam è periculis eripit, atque alia beneficia præſtat. Fons enim eſt clementiæ, ſua fluenta ſemper humano generi profundens. Igitur ſi hæc cogitemus, operámque demus, vt & pro primis ſuis donis gratias offeramus Domino, & pro poſterioribus: dum nos non videmur indigni eius beneficiis, ſtatim vitam egregiam inſtituemus, & malitiæ periculum effugiemus. Beneficiorum enim memoria, idonea nobis eſt magiſtra ad vitam virtute præditam, non ſinens nos in torporem obliuionémque incidere, & malum ſectari. Mens enim ſobria & vigilans, non ſolùm cùm feliciter res ſuccedunt, ſed etiam quando preter ſententiam noſtram omnia aduerſa eueniunt,

Quanta ſit noſtra paupertas.

Coloſſ. 3.15.

non minus gratias agit, nihilóque ex rerum viciſſitudine remiſſior fit: ſed magis roboratur, & ineffabilem Domini miſericordiam conſiderat, qui quum ſit diues & potens, etiam per res aduerſas, quamuis hoc intelligere non poſſimus, ſuam declarat prouidentiam. Igitur ſic & nos omnia noſtra faciamus, vt qualitercunque cadant, vnicum noſtrum opus ſit, continuò pro illis gratias agere. Propter hoc enim rationales facti ſumus, & à brutis differimus, vt laudemus, celebremus, glorificemus iugiter Dominum omnium conditorem. Eapropter & animam nobis inſpirauit, & linguam dedit, vt eius in nos beneficia animis percipientes, Dominum agnoſcamus, & nos gratos exhibeamus, & pro viribus gratias agamus. Nam ſi homines, cum quibus eadem eſt natura nobiſcum, paruum aliquando ac vile nobis beneficium præſtiterint, expectant à nobis gratitudinem, non ob noſtram gratitudinem per ſe, ſed vt ipſi inde celebriores fiant: quantò magis id nobis faciendum in iis quæ à Deo accepimus, qui hoc ſolùm ob noſtram vtilitatem vult fieri? Nam ſicut cùm grati ſumus hominibus, qui nobis benefecerunt, illos clariores reddimus: ita & ſi in Deum fuerimus grati, noſipſos illuſtriores facimus. Quoniam non vt noſtra celebratione opus habens, hoc fieri vult: ſed vt quicquid id lucri eſt, iterum ad nos redeat, & dignos faciamus noſipſos maioribus ſubſidiis. Quamuis autem non poſſimus id facere, vt dignum eſt (Quî enim hoc fieri poſſet, cum tam fragiles natura ſimus? Et quid dico humanam naturam? ipſæ etiam incorporeæ, & inuiſibiles virtutes, & principatus, & poteſtates, & Cherubim, & Seraphim, vt dignus eſt, glorificare illum non poſſunt, etiam ſi iuxta vires ſuas gloriam illi offerant) Nihilominus iuſtum fuerit pro viribus gratiarum actionem offerre, & indeſinenter glorificare dominum noſtrum, & per benedictionem crebram, & per vitam optimam. Iſta enim eſt clariſſima Dei magnificatio,

Cur participes rationis ſimus.

A καὶ τότε τὴν ἴσην εὐχαριστίαν ἀναφέρει, οὐδὲν ἀπὸ τῆς τῶν πραγμάτων μεταβολῆς χαυνουμένη, ἀλλὰ ταύτῃ μᾶλλον νευρουμένη, καὶ τὴν ἄφατον τοῦ θεοῦ κηδεμονίαν λογιζομένη, καὶ ὡς εὔπορος ὢν καὶ εὐμήχανος δύναται καὶ διὰ ἐναντίων πραγμάτων, εἰ καὶ ἡμεῖς τὴν ἀκριβῆ κατάληψιν μὴ ἰσχύωμεν συνιδεῖν, τὴν ἑαυτοῦ κηδεμονίαν ἐπιδείξασθαι. οὕτω τοίνυν ἅπαντα τὰ καθ' ἡμᾶς διαχειρίζοντες, ὅπως ἂν φέρηται τὰ πράγματα, ἡμεῖς ἓν μόνον ἔργον ἔχωμεν, τὸ διηνεκῶς αὐτῷ εὐχαριστεῖν ὑπὲρ ἁπάντων. διὰ γὰρ τοῦτο λογικοί τινες γεγόναμεν, καὶ ταύτῃ τῶν ἀλόγων διεστήκαμεν, ἵνα ταῖς εὐφημίαις, καὶ τοῖς B ὕμνοις, καὶ διηνεκεῖς δοξολογίας ἀναφέρωμεν τῷ τῶν ὅλων δημιουργῷ. διὰ τοῦτο καὶ ψυχὴν ἡμῖν ἐνέπνευσε, καὶ γλῶσσαν ἐχαρίσατο, ἵνα τὰς παρ' αὐτοῦ εἰς ἡμᾶς εὐεργεσίας εἰς αἴσθησιν ἐρχόμενοι, καὶ τὴν δεσποτείαν ἐπιγινώσκωμεν, καὶ τὴν εὐγνωμοσύνην ἐπιδειξώμεθα, καὶ τὴν κατὰ δύναμιν εὐχαριστίαν ἀναφέρωμεν τῷ δεσπότῃ. εἰ γὰρ ἄνθρωποι οἱ τῆς αὐτῆς ἡμῖν φύσεως κοινωνοῦντες μικράν τινα πολλάκις καὶ εὐτελῆ εἰς ἡμᾶς εὐεργεσίαν καταθέμενοι ἀπαιτοῦσι τὴν ὑπὲρ ὧν πεπόνθαμεν εὐχαριστίαν, οὐ διὰ τὴν ἡμετέραν εὐγνωμοσύνην, ἀλλ' C ἵνα καὶ αὐτοὶ ἐντεῦθεν λαμπρότεροι φαίνωνται· πολλῷ μᾶλλον ἐπὶ τοῦ φιλανθρώπου θεοῦ τοῦτο πλείω ποιεῖν ἡμᾶς χρή, τοῦ διὰ τὴν ἡμετέραν ὠφέλειαν μόνον τοῦτο γίνεσθαι βουλομένου. ὥσπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων ἡ γινομένη εὐχαριστία εἰς τοὺς εὐεργετηκότας, ἐκείνους λαμπροτέρους ἐργάζεται, οὕτως ἐπὶ τοῦ φιλανθρώπου θεοῦ ὅταν τοῦτο ποιῶμεν, ἑαυτοὺς λαμπροτέρους ἀπεργαζόμεθα· ἐπεὶ οὐχὶ τῆς παρ' ἡμῶν δεόμενος εὐφημίας τοῦτο βούλεται γίνεσθαι, ἀλλ' ἵνα πάλιν εἰς ἡμᾶς περιστῇ τὸ κέρδος, καὶ μείζονος συμμαχίας ἑαυτοὺς ἀξίους D κατασκευάσωμεν. εἰ γὰρ καὶ μὴ δυνάμεθα κατ' ἀξίαν ποτὲ τοῦτο ποιῆσαι. πῶς γὰρ, τοσαύτῃ ἀσθενείᾳ φύσεως συνδεδεμένοι; καὶ τί λέγω τὴν ἀνθρωπίνην φύσιν; ἀλλ' οὐδὲ αὐταὶ αἱ ἀσώματοι καὶ ἀόρατοι δυνάμεις καὶ αἱ ἀρχαὶ καὶ αἱ ἐξουσίαι καὶ τὰ Χερουβὶμ καὶ τὰ Σεραφεὶμ τὴν κατ' ἀξίαν δοξολογίαν ἀναφέρειν εὐχαριστοῦντες δυνήσονται· ἀλλ' ὅμως τὴν κατὰ δύναμιν ἀνενεγκεῖν εὐχαριστίαν δίκαιον ἂν εἴη, καὶ διηνεκῶς δοξάζειν τὸν ἡμέτερον δεσπότην καὶ διὰ τῆς τῶν λόγων εὐφημίας, καὶ διὰ τῆς ἀρίστης πολιτείας. αὕτη γὰρ μάλιστα καὶ λαμπροτέρα γένοιτο ἡ εὐφημία,

ὅταν διὰ μυρίων γλωσσῶν τὴν δοξολογίαν ἀναφέρωμεν. ὁ γὰρ ἐνάρετος ἕκαστον τῶν εἰς αὐτὸν ὁρώντων παρασκευάζει τὸν αὐτοῦ δεσπότην ἀνυμνεῖν· καὶ ἡ παρ' ἐκείνων δοξολογία πολλὴν καὶ ἄφατον τῷ τὴν αἰτίαν παρέχοντι χαρίζεται τὴν παρὰ τοῦ δεσπότου εὔνοιαν. τί οὖν ἂν ἡμῶν μακαριώτερον γένοιτο, εἰ μέλλοιμεν μὴ μόνον αὐτοὶ διὰ τῆς οἰκείας γλώττης δοξάζειν τὸν ἀγαθὸν θεόν, ἀλλὰ καὶ πάντας τοὺς ὁμογενεῖς διεγείρειν εἰς τὴν ὑπὲρ ἡμῶν δοξολογίαν, τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχὺς, ὡς μυρίοις στόμασι δύνασθαι τὸν δημιουργὸν ἀνυμνεῖν. οὐδὲν γὰρ ἀρίστης πολιτείας ἴσον γένοιτο, ἀγαπητέ. διὰ τοῦτο καὶ ὁ κύριος ἔλεγε, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. εἶδες πῶς καθάπερ τὸ φῶς φανὲν ἀπελαύνει τὸ σκότος, οὕτω καὶ ἀρετὴ ὀφθεῖσα καὶ τὴν κακίαν φυγαδεύει, καὶ τῆς πλάνης τὸ σκότος ἀπελάσασα πρὸς δοξολογίαν κινεῖ τῶν ὁρώντων τὴν διάνοιαν; οὕτω τοίνυν σπουδάζωμεν ἡμῶν λάμπειν τὰ ἔργα, ὡς τὸν ἡμέτερον δοξάζεσθαι δεσπότην. ταῦτα δὲ ἔλεγεν ὁ Χριστός, οὐχ ἵνα πρὸς ἐπίδειξίν τι πράττωμεν (μὴ γένοιτο) ἀλλ' ἵνα μετ' ἀκριβείας καὶ κατὰ τὸ αὐτῷ δοκοῦν πολιτευόμενοι μήτε βλασφημίᾳ τινὶ χώραν παρέχωμεν, καὶ διὰ τῆς τῶν ἀγαθῶν ἔργων πράξεως παρασκευάζωμεν τοὺς ὁρῶντας δοξάζειν τὸν τῶν ὅλων θεόν. τότε γὰρ, τότε καὶ τὴν παρ' αὐτοῦ εὔνοιαν μειζόνως ἐπισπασόμεθα, καὶ τὴν κόλασιν διαφυγεῖν δυνησόμεθα, καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A quando per innumeras linguas glorificationem offerimus. Nam qui virtute prædictus eſt, facit vt omnes qui intuentur eum, dominum eius laudent: & glorificatio hæc ei qui occaſionem præbuit, magnam & ineffabilem Dei beneuolentiam conciliat. Quid igitur nobis beatius foret, ſi glorificaremus non ſolùm noſtris linguis bonum Deum, ſed & proximos quoque, vt noſtro nomine eum glorificent, incitaremus? Tantum enim virtutis robur eſt, vt innumeris linguis conditorem laudare queat. B Dilecte, nihil vtique vitæ virtutis ſtudioſæ comparari poteſt. Vnde & Chriſtus dicebat: Luceat lux veſtra coram hominibus, vt videant veſtra bona opera, & glorificent patrem veſtrum qui eſt in cœlis. Matth. 5.16. Vidiſti quomodo lumen cùm apparuerit, diſpellit tenebras? ita & virtus, ſi conſpicua fuerit, & malitiam effugat, & erroris tenebras abigit, mentémque videntium excitat ad eum glorificandum. Quocirca ſatagamus, vt ſic C luceant opera noſtra, quò & dominus noſter glorificetur. Hæc autem dixit Chriſtus, non vt ad oſtentationem aliquid faciamus; abſit: ſed vt diligenter, & vt ſibi probatur, vitam agamus, non blaſphemiæ cuipiam locum concedentes: ſed bonis operibus in laudem Dei prorumpere facientes omnes qui nos vident. Tunc enim, tunc ipſius nobis gratiam maiorem conciliabimus, & pœnam effugere, bonáque ineffabilia adipiſci poterimus gratia & miſericordia domi- D ni noſtri Ieſu Chriſti, cui cum patre & Spiritu ſancto ſimul ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

HOMILIA XXVII. A Ὁμιλία κζ.

Gen. 8. 20. *Et ædificauit Noë altare Domino, & accepit de omnibus pecoribus mundis, & obtulit holocauſtum ſuper altare.*

VIDISTIS heri clemētis domini bonitatē, quomodo ex arca iuſtum eduxit, ab eius habitatione liberauit, ex illo triſti ac moleſto carcere eripuit, & patientiam illius remunerauit, dicens: Creſcite & multiplicamini? B Diſcamus hodie quàm beneuolus, & quàm gratæ animæ fuerit Noë, & vnde ipſe ſibi multò vberiorem Dei erga ſe beneuolentiam elicuerit. Nam quando Deus talem aliquem videt, qui gratus eſt de prioribus, largius & cumulatius ſua dona in illum profundit. Demus igitur & nos operam, vt gratiarum actiones pro virili Domino offeramus, pro donis quæ ab eo pridem nobis præſtita, vt & maiora inde conſequamur, C & non obliuiſcamur Dei beneficia in nos collocata: ſed ſemper ea in mente noſtra verſemus, vt ad continuam gratiarum actionem mentem noſtram compellant, tametſi tot ſint, vt mens noſtra nō ſufficiat ad comprehendendum & enumerandum magnam, quæ nobis contigit, illorum vbertatem. Quomodo enim quis cogitare ſufficeret ea quæ in nos iam ſunt collata, quæ item promiſſa, quæ & quotidie conferuntur? quòd ex nihilo produxit vt eſſemus, quòd corpus & animam dedit, quòd rationa- D les nos formauit, quòd aërem reſpirationi conceſſit, quòd creaturam omnem propter humanum genus produxit: quòd ipſe quidem ab initio voluit hominem in paradiſo vitam agere citra omnem dolorem & laborem, & nihil minus habentem angelis & incorporeis illis virtutibus, exiſtentem in corpore, & corporalibus neceſſitatibus non obnoxiū? Deinde quando ob negligentiam deceptione diabolica per ſerpentem allata ſupplantatus fuit, neque ſic deſtitit præuaricatori benefacere:

Beneficiorum Dei memoria.

Καὶ ᾠκοδόμησε Νῶε θυσιαστήριον τῷ κυρίῳ, καὶ ἔλαβεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν, καὶ ἀνήνεγκεν ὁλοκάρπωσιν εἰς τὸ θυσιαστήριον.

Εἴδετε χθὲς τοῦ φιλανθρώπου δεσπότου τὴν ἀγαθότητα, ὅπως τὸν δίκαιον ἐξήγαγεν ἐκ τῆς κιβωτοῦ, ἐλευθερώσας καὶ τῆς ἐκεῖ διαγωγῆς, καὶ ἀπαλλάξας τοῦ χαλεποῦ ἐκείνου καὶ ξένου δεσμωτηρίου, καὶ τῆς ὑπομονῆς αὐτοῦ τὰς ἀμοιβὰς ἀποδέδωκεν εἰπών, αὐξάνεσθε καὶ πληθύνεσθε; μάθωμεν σήμερον τοῦ Νῶε τὴν εὐγνωμοσύνην, καὶ τὴν εὐχάριστον ψυχήν, δι᾽ ἧς πάλιν πλείονα καὶ πολλῷ μείζονα ἐξεκαλέσατο τοῦ θεοῦ τὴν περὶ αὐτὸν εὔνοιαν. καὶ γὰρ τοιοῦτος ὁ θεός. ἐπειδὰν ἴδῃ ἐπὶ τοῖς φθάσασιν εὐγνώμονας γεγενημένους, ἐπιδαψιλεύεται τὰς παρ᾽ ἑαυτοῦ δωρεάς. σπουδάζωμεν τοίνυν καὶ ἡμεῖς τὴν κατὰ δύναμιν εὐχαριστίαν ἀναφέρειν τῷ δεσπότῃ ὑπὲρ τῶν ὑπαρξάντων ἡμῖν παρ᾽ αὐτοῦ ἀγαθῶν, ἵνα καὶ μειζόνων ἀξιωθῶμεν, καὶ μηδέποτε ἐπιλανθανώμεθα τῶν παρὰ τοῦ θεοῦ εὐεργεσιῶν εἰς ἡμᾶς γεγενημένων, ἀλλὰ ἀεὶ ταῦτα στρέφωμεν ἐπὶ τῆς διανοίας τῆς ἡμετέρας, ἵνα ὑπὸ τῆς μνήμης συνωθούμενοι διηνεκῆ τὴν εὐχαριστίαν ποιώμεθα· εἰ καὶ τοσαῦται τὸ πλῆθός εἰσιν, ὡς μηδὲ ἀρκεῖν τὸν λογισμὸν τὸν ἡμέτερον ἐξαριθμήσασθαι τὴν εἰς ἡμᾶς φιλοτιμίαν αὐτοῦ γεγενημένην. τί γὰρ ἄν τις λογίσαιτο τὰ ἤδη εἰς ἡμᾶς γεγενημένα, τὰ ἐπηγγελμένα, τὰ καθ᾽ ἑκάστην ἡμέραν γινόμενα; ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν, ὅτι καὶ σῶμα καὶ ψυχὴν ἐχαρίσατο, ὅτι λογικοὺς ἡμᾶς ἐδημιούργησεν, ὅτι τὸν ἀέρα τοῦτον ἀναπνεῖν ἐχαρίσατο, ὅτι τὴν κτίσιν ἅπασαν διὰ τὴν ἀνθρωπίνην φύσιν παρήγαγεν, ὅτι αὐτὸς μὲν ἐβουλήθη ἐκ προοιμίων τῆς τοῦ παραδείσου διαίτης ἀπολαύειν τὸν ἄνθρωπον, καὶ ἀνώδυνον βίον ἔχειν, καὶ μόχθου παντὸς ἀπηλλαγμένον, καὶ μηδὲν ἔλαττον ἔχειν τῶν ἀγγέλων καὶ τῶν ἀσωμάτων ἐκείνων δυνάμεων ἐν σώματι τυγχάνοντα, ἀλλὰ καὶ ἀνώτερον εἶναι τῶν σωματικῶν ἀναγκῶν; εἶτα ἐπειδὴ διὰ ῥαθυμίαν ὑπηνέχθη τῇ ἀπάτῃ τοῦ διαβόλου τῇ διὰ τοῦ ὄφεως προσαχθείσῃ, οὐδὲ οὕτω διέλιπε, τὸν ἡμαρτηκότα, τὸν παραβεβηκότα εὐεργετῶν, ἀλλὰ

ἀλλὰ καὶ δι' ὧν ἐτιμωρήσατο καθάπερ καὶ χθὲς A ἐλέγομεν τῆς οἰκείας φιλανθρωπίας τὴν ὑπερβολὴν ἐπεδείξατο, καὶ πολλὰ ἕτερα καὶ ἀναρίθμητα εὐεργεσιῶν εἴδη εἰς αὐτὸν κατέθετο, καὶ λοιπὸν τοῦ χρόνου προϊόντος, καὶ τοῦ γένους αὐξανομένου καὶ εἰς κακίαν ἀποκλίναντος, ἐπειδὴ ἑώρα ἀνίατα γινόμενα τὰ τραύματα, καθάπερ ζύμην τινὰ πονηρὰν, τοὺς τῆς κακίας ἐργάτας ἠφάνισε, καταλιπὼν τὸν δίκαιον τοῦτον, ῥίζαν καὶ ἀρχὴν γενέσθαι τοῦ τῶν ἀνθρώπων γένους. καὶ πάλιν σκόπει πόσην περὶ αὐτὸν ἐπιδείκνυται τὴν φιλοτιμίαν. ἀπὸ τοῦ δικαίου τούτου υἱῶν ἅπασαν τὴν τῶν ἀνθρώπων φύσιν εἰς τοσοῦτον πλῆθος ἐπιδιδόναι παρεσκεύασε· καὶ B κατὰ μικρὸν τοὺς δικαίους ἐκλεξάμενος, τοὺς πατριάρχας λέγω, διδασκάλους ἐπέστησε τῷ λοιπῷ τῶν ἀνθρώπων γένει, διὰ τῆς οἰκείας ἀρετῆς ἅπαντας ἐνάγειν δυναμένους· καὶ καθάπερ ἰατροὺς τοὺς νενοσηκότας θεραπεύειν δυναμένους, ποτὲ μὲν εἰς τὴν Παλαιστίνην, ποτὲ δὲ εἰς Αἴγυπτον κατάγει, ὁμοῦ καὶ τῶν αὐτοῦ δούλων ἐγγυμνάζων τὴν ὑπομονὴν, καὶ τὴν οἰκείαν δύναμιν περιφανεστέραν δεικνύς· καὶ διηνεκῶς οὕτω διετέλεσε φροντίζων τῆς τῶν ἀνθρώπων σωτηρίας, προφήτας C ἀναδεικνὺς, καὶ σημεῖα καὶ θαύματα δι' αὐτῶν ἐπιτελεῖσθαι ποιῶν. εἶτα, ἵνα συντεμὼν εἴπω· καθάπερ γὰρ τῆς θαλάττης τὰ κύματα, κἂν μυριάκις βιασώμεθα, οὐκ ἄν ποτε δυνηθείημεν ἐξαριθμεῖσθαι, οὕτως οὐδὲ τὸ ποικίλον τῶν εὐεργεσιῶν τοῦ θεοῦ, ὧν περὶ τὴν ἡμετέραν φύσιν ἐπεδείξατο. τὸ δὲ τελευταῖον, ἐπειδὴ εἶδε μετὰ τοσαύτην πρόνοιαν, ἔτι πολλῆς καὶ ἀφάτου φιλανθρωπίας δεομένην τὴν τῶν ἀνθρώπων φύσιν, καὶ οὐδὲν πλέον ἰσχύσαντας, οὐ τοὺς πατριάρχας, οὐ τοὺς προφήτας, οὐ τὰ θαύματα ἐκεῖνα τὰ παράδοξα, οὐ τὰς τιμωρίας καὶ τὰς νουθεσίας τὰς καθ' ἑκάστην ἐπαγομένας, οὐ τὰς αἰχ- D μαλωσίας ἐκείνας τὰς ἐπαλλήλους, ὥσπερ οἰκτείρας τὸ γένος τὸ ἡμέτερον, τὸν τῶν ψυχῶν καὶ τῶν σωμάτων ἰατρὸν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἐκ τῶν κόλπων ἀναστήσας, ὡς εἰπεῖν, τῶν πατρικῶν, δούλου μορφὴν ἀναλαβόντα παρεσκεύασεν ἐκ παρθένου τεχθῆναι, καὶ συναναστραφῆναι ἡμῖν, καὶ πάντα ὑπομεῖναι τὰ ἡμέτερα, ἵνα τὴν ἡμετέραν φύσιν κάτω που κειμένην ὑπὸ τοῦ τῶν ἁμαρτημάτων πλήθους, ἀναγαγεῖν δυνηθῇ ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν. καὶ τοῦτο ἐκπληττόμενος ὁ τῆς βροντῆς υἱὸς, καὶ ἐννοῶν τῆς ἀγάπης τοῦ θεοῦ τὴν ὑπερβολὴν,

ſed & per illa ipſa, per quæ punierat, ſicut heri diximus, excellẽtem ſuam humanitatem declarauit. Atq; multas alias innumeras beneficiorum ſpecies in illum collocauit. Et poſtea præcedente tempore, & creſcente genere, ac in omnem malitiam vergente, quia videbat incurabilia eſſe vulnera, operatores malos, quaſi fermentum quoddam inutile aboleuit; relicto iuſto illo, qui radix & origo fieret generis humani. Et vide iterum, quantam erga iuſtum illum declaret liberalitatem, totum humanum genus ab eo & filiis eius inſtaurauit, & in tantam multitudinem excreſcere fecit, paulatimque iuſtos eligens, patriarchas dico, præceptores dedit reliquo hominum generi, qui ſua virtute omnes nos inſtituere, & quaſi medici ægrotantes curare poſſint. Et interim eos in Palæſtinam, iterim in Ægytum deducit, ſimul & ſeruorum ſuorum patientiam exercens, & ſuam virtutem clariorem monſtrans, manſitque ſemper eodem modo humanæ ſalutis curam gerens. Exhibuit prophetas, & per illos ſigna & prodigia fecit. Atque, vt ſuccinctius dicam: quemadmodum enim maris fluctus, quamuis iterum atque iterum conemur, enumerare nunquam poterimus: ita neque beneficiorum Dei, quæ in noſtram contulit naturam, varietatem. Tandem vbi vidit poſt tantam ſuam prouidentiam adhuc multa & ineffabili miſericordia indigere humanum genus, & nihil feciſſe vel patriarchas, vel prophetas, vel ſigna admirabilia, vel pœnas, vel admonitiones illas quotidie adhibitas, & captiuitates illas ſibi inuicem ſuccedentes: quaſi miſeratus genus noſtrum, miſit ad nos animarum corporúmque medicum, vnigenitum ſuum filium, ex paternis ſuis ſinibus excitans: fecítque ſuſcepta ſerui forma, è virgine naſci, & nobiſcum conuerſari, & omnia noſtra ferre, vt genus noſtrum peccatis oppreſſum iacens, à terris in cœlum ſubuehere poſſit. Et hoc obſtupeſcens tonitrui filius, conſideranſque charitatis diuinæ excellentiam,

quam erga genus noſtrum declarauit, clamabat & dicebat: Sic enim dilexit Deus mundum. Vide quanto miraculo plena hæc dictio: Sic inquit, magnitudinem expendens, quam dicturus erat: propterea ad hunc modum exorſus eſt: Sic dilexit. Dic igitur nobis beate Ioannes, quomodo ſic? dic menſuram, dic magnitudinem, doce nos excellentiam. Sic enim dilexit Deus mundum, vt filium ſuum vnigenitum daret, vt omnis qui credit in illum, non pereat, ſed habeat vitam æternam. Vidiſti cauſam aduentus filij hanc eſſe, vt per fidem in illum ij qui perituri erant, ſalutis occaſionem inuenirent? Quomodo cogitarit quis magnam & admirabilem illam, & quæ omnem rationem vincit, liberalitatem, quæ naturæ noſtræ per donum baptiſmi, omnium peccatorum noſtrorum remiſſionem donat? Sed quid dicam? neque mens ſufficit, neque ſermo valet cætera enumerare. Nam quantumuis dixero, multò plus prætereo. Iam quis pœnitentiæ viam cogitauerit, quam humano generi noſtro ob ineffabilem miſericordiam ſuam conceſſit, & poſt baptiſmi gratiam, mirabilia illa mandata, per quæ, ſi vellemus, poſſemus eius nobis præſidium cõciliare? Vidiſti dilecte abyſſum illius beneficiorum? Vidiſti quanta enumerauerimus, ſed nondum paruam eorum partem dicere potuimus? Quomodo enim humana lingua, quæ à Deo nobis facta, pertractari poſſent? Et licet tanta ac talia ſint, multò maiora & ineffabiliora ſunt beneficia, quæ in futuro ſeculo per virtutum viam incedentibus, & hinc migrantibus daturum ſe promiſit. Quorum magnitudinem vt paucis verbis nobis commẽdaret beatus Paulus, inquit: Quæ oculus non vidit, & auris non audiuit, & in cor hominis non aſcenderũt, quæ præparauit Deus iis qui diligunt ſe. Vidiſti dona excellentia? vidiſti beneficia illius omnem humanam cogitationem tranſcendentia? Dicit enim, in cor hominis non aſcẽderunt. Si igitur volumus illa animo reuoluere, & pro viribus noſtris gratias agere, poterimus multò maiorem illius gratiam nobis conciliare,

Ioan. 3. 16.

Cauſſa aduentus Chriſti.

1. Cor. 2. 9.

A ἣν περὶ τὸ τῶν ἀνθρώπων γένος ἐπεδείξατο, ἐβόα καὶ ἔλεγεν· οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον. ὅρα πόσου θαύματος γέμει ἡ λέξις· οὕτω φησὶ, τὸ μέγεθος ἀναλογιζόμενος, ὅπερ ἤμελλεν ἐρεῖν. διὰ τοῦτο οὕτως ἤρξατο. εἰπὲ οὖν ἡμῖν ὦ μακάριε Ἰωάννη· οὕτω, πῶς; εἰπὲ τὸ μέτρον, εἰπὲ τὸ μέγεθος, δίδαξον ἡμᾶς τὴν ὑπερβολήν. οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ δέδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. εἶδες τὴν αἰτίαν τῆς τοῦ υἱοῦ παρουσίας ταύτην οὖσαν, ὥστε τοὺς μέλλοντας ἀπόλλυσθαι σωτηρίας ἀφορμὴν εὑρεῖν διὰ

B τῆς εἰς αὐτὸν πίστεως; τί ἄν τις λογίσαιτο, εἰς ἔννοιαν ἐλθὼν τῆς φιλοτιμίας ἐκείνης τῆς μεγάλης καὶ θαυμαστῆς, καὶ πάντα νικώσης λόγον, ἣν ἐχαρίσατο τῇ φύσει τῇ ἡμετέρᾳ διὰ τῆς τοῦ βαπτίσματος δωρεᾶς, πάντων ἡμῖν τῶν πλημμελημάτων τὴν ἀπαλλαγὴν δωρησάμενος; ἀλλὰ τί εἴπω; οὔτε ἡ διάνοια ἐξαρκεῖ, οὐδὲ λόγος ἐξισχύει τὰ λοιπὰ ἐξαριθμήσασθαι. ὅσα γὰρ ἂν εἴπω, τοσαῦτά ἐστι τὰ λείποντα, ὡς νικᾶν τῶν ἤδη ῥηθέντων τὴν ὑπερβολήν. τί οὖν ἄν τις ἐννοήσειε τῆς μετανοίας τὴν ὁδὸν, ἣν ἐχαρίσατο διὰ τὴν ἄφατον αὐ-

C τοῦ φιλανθρωπίαν τῷ ἡμετέρῳ γένει, καὶ μετὰ τὴν τοῦ βαπτίσματος δωρεὰν τὰς ἐντολὰς τὰς θαυμαστὰς, δι' ὧν, εἰ βουληθείημεν, δυνησόμεθα τὴν παρ' αὐτοῦ ῥοπὴν ἐπισπάσασθαι; εἶδες, ἀγαπητὲ, ἄβυσσον εὐεργεσιῶν; εἶδες πόσας ἀπηριθμησάμεθα, οὐδέπω οὐδὲ τὸ πολλοστὸν εἰπεῖν ἠδυνήθημεν; πῶς γὰρ ἀνθρωπίνη γλῶττα δυνήσεται τὰ παρὰ τοῦ θεοῦ εἰς ἡμᾶς γεγενημένα λόγῳ διελθεῖν; τούτων τοίνυν τοσούτων καὶ τηλικούτων ὄντων, πάλιν πολλῷ μείζους καὶ ἀπορρητότεραί εἰσιν αἱ εὐεργεσίαι, ἃς μετὰ τὴν ἐντεῦθεν μετάστασιν ἐν τῷ μέλλοντι αἰῶνι

D ἐπηγγείλατο τοῖς τὴν ὁδὸν τῆς ἀρετῆς βαδίζουσι. καὶ ἵνα δι' ὀλίγων ῥημάτων τοῦ μεγέθους αὐτῶν τὴν ὑπερβολὴν ἡμῖν παραστήσῃ, φησὶν ὁ μακάριος Παῦλος· ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. εἶδες δωρεῶν ὑπερβολήν; εἶδες πᾶσαν ἔννοιαν ἀνθρωπίνην ὑπερβαινούσας αὐτοῦ τὰς εὐεργεσίας; ἐπὶ καρδίαν γάρ, φησιν, ἀνθρώπου οὐκ ἀνέβη. ἐὰν τοίνυν βουλώμεθα ταύτας ἀναλογίζεσθαι, καὶ τὴν κατὰ δύναμιν τὴν ἡμετέραν εὐχαριστίαν ποιῆσαι, δυνησόμεθα τὴν αὐτοῦ εὔνοιαν ἐπὶ πλέον ἐπισπάσασθαι,

καὶ πρὸς τὴν ἀρετὴν μᾶλλον διεγερθῶμεν. ἡ γὰρ τῶν εὐεργεσιῶν μνήμη ἱκανὴ προτρέψασθαι πρὸς τοὺς τῆς ἀρετῆς πόνους, καὶ παρασκευάσαι πάντων ὑπεριδεῖν τῶν παρόντων, καὶ πρὸς τὸν τοσαῦτα εὐεργετηκότα κεχηνέναι, καὶ τὸν περὶ αὐτὸν πόθον ἀκμάζοντα καθ' ἑκάστην ἡμέραν ἐπιδείκνυσθαι. ἐντεῦθεν γὰρ καὶ ὁ δίκαιος οὗτος τοσαύτης ἀπήλαυσε τῆς ἄνωθεν εὐνοίας καὶ τῆς τιμῆς, ἐπειδὴ πολλὴν ὑπὲρ τῶν φθασάντων τὴν εὐγνωμοσύνην ἐπεδείξατο. ἀλλ' ἵνα σαφέστερος ἡμῖν ὁ λόγος γένηται, αὐτὴν τὴν ἀρχὴν τῶν σήμερον ἀνεγνωσμένων ἀναγκαῖον προθεῖναι ἐπὶ τῆς ὑμετέρας ἀγάπης. ἐπειδὴ γὰρ ἐξῆλθεν ἐκ τῆς κιβωτοῦ κατὰ τὸ πρόσταγμα τοῦ δεσπότου μετὰ τῶν υἱῶν, καὶ τῆς ἑαυτοῦ γυναικὸς, καὶ τῶν γυναικῶν τῶν παίδων, καὶ πάντων τῶν θηρίων καὶ τῶν πετεινῶν, καὶ ἐδέξατο παρὰ τοῦ θεοῦ μετὰ τῆς ἐξόδου καὶ τὴν εὐλογίαν ἐκείνην τὴν πολλὴν αὐτῷ παραμυθίαν κομίζουσαν, τὴν λέγουσαν, αὐξάνεσθε καὶ πληθύνεσθε, διδάσκουσα ἡμᾶς ἡ θεία γραφὴ τοῦ δικαίου τὴν εὐγνωμοσύνην φησί· καὶ ᾠκοδόμησε Νῶε θυσιαστήριον τῷ κυρίῳ, καὶ ἔλαβεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν, καὶ ἀνήνεγκεν ὁλοκάρπωσιν ἐπὶ τὸ θυσιαστήριον. σκόπει μετὰ ἀκριβείας, ἀγαπητὲ, ἐκ τῶν νῦν ῥημάτων πάλιν, πῶς ἐν αὐτῇ τῇ φύσει ὁ τῶν ἁπάντων δημιουργὸς ἐναπέθετο τὴν γνῶσιν ἡμῖν ἀκριβῆ τῆς ἀρετῆς. πόθεν γὰρ, εἰπέ μοι, τοῦτο τῷ δικαίῳ ἐπῆλθεν; οὐδεὶς ἦν ἕτερος, πρὸς ὃν ἰδὼν εἶχεν. ἀλλὰ καθάπερ ἐν ἀρχῇ ὁ ὑπὸ τοῦ πρωτοπλάστου τεχθεὶς, Ἄβελ λέγω, οἴκοθεν κινούμενος τὴν προσαγωγὴν ἐποιήσατο μετὰ πολλῆς τῆς ἀκριβείας· οὕτω δὴ καὶ νῦν ὁ δίκαιος οὗτος ἐξ οἰκείας γνώμης καὶ προαιρέσεως ὑγιοῦς κατὰ τὴν ἀνθρωπίνην δύναμιν, ὡς ἐνόμισε, διὰ τῶν θυσιῶν τὰς εὐχαριστίας ἀναφέρει τῷ δεσπότῃ. καὶ ὅρα αὐτὸν μετὰ πολλῆς φιλοσοφίας ἅπαντα διαπραττόμενον. οὔτε γὰρ οἰκοδομῆς αὐτῷ ἔδει ποτὲ λαμπρᾶς, οὐ ναοῦ, οὐκ οἴκου τινὸς θαυμαστοῦ, οὐκ ἄλλου οὐδενός. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι γνώμην ἐπιζητεῖ μόνον ὁ δεσπότης. καὶ ἐσχεδιασμένον οἰκοδομήσας τὸ θυσιαστήριον, καὶ λαβὼν ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν, τὰς ὁλοκαρπώσεις ἀνήνεγκε, καὶ, ὅσον εἶχε δυνάμεως, τῆς οἰκείας προαιρέσεως τὴν εὐγνωμοσύνην ἐπεδείξατο· ἣν ἀποδεξάμενος ὁ φιλάνθρωπος θεὸς καὶ τὴν γνώμην ἐστεφάνωσε, καὶ τὴν παρ' ἑαυτοῦ πάλιν φιλοτιμίαν ἐπιδείκνυται.

A & ad virtutem magis idonei fieri. Memoria enim beneficiorum Dei ſufficiens eſt, quæ ad virtutum labores nos adhortetur, & præparet vt præſentia omnia deſpiciamus, & vt ei qui tanta in nos beneficia contulit, adhæreamus, amorem in illum ſingulis diebus augeri declarantes. Hinc etenim beatus iſte tantam Dei gratiam ſibi conciliauit, quia de prioribus valde gratus fuit. Sed vt manifeſtior vobis ille ſermo fiat, operæprecium eſt vt initium eorum quæ hodie lecta ſunt, charitati veſtræ proponam. Nam poſtquàm ex B arca exiuit iuxta mandatum Domini cum filiis, & ſua vxore, & vxoribus filiorum ſuorum, & omnibus feris & volatilibus, & accepit poſt egreſſum à Deo benedictionem illam tantum ſibi afferentem ſolatij, & dicentem: Creſcite & multiplicamini: docens nos ſcriptura iuſti gratitudinem, dicit: 20 *Et ædificauit Noë altare, & accepit de omnibus pecoribus mundis, & de omnibus volatilibus mundis, & obtulit holocauſtum ſuper altare.* Conſidera iterum diligenter chariſ- C ſime, ex præſentibus verbis, quomodo in natura noſtra conditor omnium inſeuit certam virtutis ſcientiam. Vnde enim, dic oro, iuſto illi hoc in mentem veniſſet? Nullus erat alius, quem videbat, vel à quo diſcebat. Sed ſicut principio dixi, Abel ille primigenij hominis filius à ſeipſo commonitus, magna diligẽtia oblationem perfecit: ſic vtique nunc & iuſtus ille, ſua voluntate & arbitrio ſano, quantum humanis viribus potuit, cenſuit Domino per ſacrificia gratiarum actionem offerendam. Et D vide ipſum quanta ſapientia exequitur omnia. Neque enim amplo opus habebat ædificio, neque templo, neque domo quapiam admirabili, neque alio quouis. Sciebat enim, ſciebat certò quòd mentem ſolam requirat Dominus, & extructo tumultuaria opera altari, cùm accepiſſet ex iumentis mundis, & auibus mundis, holocauſtum obtulit, ſuæque voluntatis gratitudinem quanta potuit facultate oſtendit: quam approbans miſericors Deus, & voluntatem coronauit, & iterum ſuam liberalitatem erga illum declarauit.

Suprà 4.

Dicit enim ſcriptura : [21] *Et odoratus eſt Dominus odorem fragrantiæ.* Vide quomodo animus offerētis fumum, & nidorem, & omnem quæ inde naſcitur inſuauitatem, multa flagrantia impleuit. Idcirco & Paulus dicebat, ſcribens, quòd bonus odor
2.Cor.2. 15. Chriſtus ſumus, in iis qui ſaluantur, & in iis qui pereunt : & his quidem odor mortis in mortem, illis autem odor vitæ in vitam. Odorem fragrantiæ. Ne offendaris verbo craſſiore : ſed huius verbi attemperationem tuæ infirmitati aſcribens intellige hinc, quòd accepta fuerit Deo oblatio iuſti, vt & per res ipſas ſciatur Dominũ illius indigere, & quòd propter nihil aliud hęc fieri permiſit, quàm vt homines ad gratitudinem adduceret. Et propterea conceſſit vt igni conſumerentur : vt ex iis quæ fiũt, diſcant etiã ij qui offerunt, quòd omnia propter ſuam vtilitatem fiãt. Quare autẽ, dic oro, hæc fieri omnino permittit ? & in hoc noſtræ infirmitatis habetur ratio. Quia enim homines paulatim à vero Dei cultu defecturi erant, & proprios Deos effecturi, quibus ſacrificia immolarent, prius voluit vt ſibi dona offerrentur : quò vel ſic depelleret à pernicioſo errore eos quibus inde periculum imminebat. Et vt intelligas, quòd hæc omnia indulta & conceſſa ſint ob noſtram infirmitatem, attende quomodo poſtea tempore procedente, voluit circumciſionem pro lege ſtatui, non quòd ad animæ ſalutem perficere hæc poſſit aliquid : ſed vt hoc gratitudinis indicium, quaſi ſignum & ſigillum circumferrent Iudæorum filij, & ne liceret eis commiſceri gentium congreſſibus. Hinc beatus Paulus ſignum hoc vocat, dicens : Et ſignum dedit circumciſionis, ſigil-
Rom.4. 11. lum. Nam quod ad iuſtitiam nihil conducat, ecce & hîc iuſtus, nondum ſtatuta circumciſione, ad eandem peruenit virtutem. Et quid dico ? Ipſe patriarcha Abraham priuſquam circumciſionem accipe-
Rom.4. 3. ret, iuſtificatus eſt. Nam ante circumciſionem, inquit : credidit Abraham Deo, & imputatum eſt illi in iuſtitiam. Quid igitur ſuperbis Iudæe in circumciſione? Diſce, quòd

A Φησὶ γὰρ ἡ γραφή· καὶ ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας. ὅρα πῶς ἡ γνώμη τοῦ προσάγοντος τὸν καπνὸν, καὶ τὴν κνίσσαν, καὶ πᾶσαν τὴν ἐντεῦθεν τικτομένην ἀηδίαν πολλῆς τῆς εὐωδίας ἐνέπλησε. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε γράφων· ὅτι Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις, οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν. ὀσμὴν εὐωδίας. καὶ ὠσφράνθη κύριος ὁ θεὸς ὀσμὴν εὐωδίας. μὴ τῇ παχύτητι δὲ τῆς λέξεως προσστῇς, ἀλλὰ τῇ σαυτοῦ ἀσθενείᾳ τῶν ῥημάτων τὴν συγκατάβασιν λογισάμενος νόει ἐντεῦθεν, ὅτι δεκτὴ γέγονεν
B ἡ προσαγωγὴ τοῦ δικαίου. ἵνα γὰρ καὶ δι' αὐτῶν τῶν πραγμάτων εἰδέναι ἔχωμεν τὸ ἀνενδεὲς τοῦ δεσπότου, καὶ ὅτι δι' οὐδὲν ἕτερον ταῦτα γίνεσθαι συνεχώρησεν, ἀλλ' ἵνα εἰς εὐγνωμοσύνην ἀγάγῃ τοὺς ἀνθρώπους· διὰ τοῦτο ἀφίησιν αὐτὰς τῷ πυρὶ καταναλίσκεσθαι, ἵνα καὶ αὐτοὶ οἱ προσάγοντες μάθωσιν ἐκ τῶν γινομένων, ὡς διὰ τὴν αὐτῶν ὠφέλειαν ἅπαντα γίνεται. τίνος δὲ ἕνεκεν, εἰπέ μοι, καὶ ὅλως συγχωρεῖ ταῦτα γίνεσθαι; καὶ τοῦτο πάλιν συγκαταβαίνων τῇ ἀσθενείᾳ τῇ ἀνθρωπίνῃ. ἐπειδὴ γὰρ ἔμελλον κατὰ μικρὸν οἱ ἄνθρωποι εἰς ῥα-
C θυμίαν ἀποκλίνοντες καὶ θεοὺς ἑαυτοῖς ἐπιφημίζειν, καὶ τούτοις τὰς θυσίας ἐπιτελεῖν, προλαβὼν καταδέχεται ἑαυτῷ ταῦτα προσάγεσθαι, ἵνα οὕτω γοῦν ἀποστήσῃ τῆς ὀλεθρίας πλάνης τοὺς μέλλοντας ὑποσύρεσθαι. καὶ ὅτι διὰ συγκατάβασιν πάντα ταῦτα παρ' αὐτοῦ συνεχωρήθη, σκόπει τοῦ χρόνου προϊόντος ὅτι καὶ περιτομὴν νομοθετεῖσθαι κατεδέξατο, οὐχ ὡς πρὸς τὴν τῆς ψυχῆς σωτηρίαν συντελέσαι τι ταύτης δυναμένης, ἀλλ' ἵνα ὥσπερ σημεῖόν τι καὶ σφραγῖδα περιφέρωσι, δεῖγμα τῆς οἰκείας εὐγνωμοσύνης, οἱ τῶν Ἰουδαίων
D παῖδες, καὶ μὴ ἐξῇ αὐτοῖς συναναφύρεσθαι ταῖς τῶν ἐθνῶν ἐπιμιξίαις. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος σημεῖον αὐτὸ καλεῖ λέγων· καὶ σημεῖον ἔδωκε περιτομῆς, σφραγῖδα. ὅτι γὰρ πρὸς τὴν δικαιοσύνην οὐδὲν αὐτὴ συντελεῖ, ἰδοὺ καὶ οὗτος ὁ δίκαιος μηδέπω τῆς περιτομῆς νομοθετηθείσης πρὸς τοσαύτην ἔφθασεν ἀρετήν. καὶ τί λέγω; αὐτὸς ὁ πατριάρχης Ἀβραὰμ, πρὶν ἢ τὴν περιτομὴν δέξασθαι, ἀπὸ τῆς πίστεως μόνης ἐδικαιώθη. πρὸ γὰρ τῆς περιτομῆς, φησι, καὶ ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. τί τοίνυν μέγα φρονεῖς ὦ Ἰουδαῖε ἐπὶ τῇ περιτομῇ; μάνθανε, ὅτι

περὶ ταύτης πολλοὶ δίκαιοι γεγόνασι. καὶ γὰρ ὁ
Ἄβελ ἐκ πίστεως τὴν προσαγωγὴν ἐποιήσατο,
καθάπερ καὶ Παῦλός φησι· πίστει πλείονα θυσίαν
Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ θεῷ, καὶ Ἐνὼχ
μετετέθη, καὶ ὁ Νῶε κατὰ τὴν πολλὴν δικαιοσύνην
τὸν κλυδώνιον ἐκεῖνο τὸ χαλεπὸν διέφυγε, καὶ ὁ
Ἀβραὰμ πρὸ ταύτης ἀπὸ τῆς εἰς τὸν θεὸν πίστεως
ἀνεκηρύχθη. οὕτως ἄνωθεν καὶ ἐξ ἀρχῆς ἀπὸ πίστεως
τὸ τῶν ἀνθρώπων γένος τῆς σωτηρίας ἐπέτυχε.
διά τοι τοῦτο καὶ τὰς θυσίας συνεχώρησεν ὁ φιλάν-
θρωπος δεσπότης αὐτῷ προσάγεσθαι, ἵνα ἐπειδὴ
ἔτι ἀτελέστερον διέκειτο ἡ φύσις ἡ ἡμετέρα, ὁμοῦ καὶ
τὴν οἰκείαν εὐγνωμοσύνην ἔχῃ ἐπιδείκνυσθαι, καὶ
τῆς περὶ τὰ εἴδωλα θεραπείας πάντη διαφύγῃ
τὴν λύμην. εἰ γὰρ καὶ τοσαύτης γινομένης συγκα-
ταβάσεως ὅμως οἱ πολλοὶ οὐ διέφυγον τὸν ὄλεθρον,
εἰ μὴ τοῦτο γέγονε, πῶς ἄν τις τὴν ἐκεῖθεν διέφυγε
βλάβην; καὶ ὠσφράνθη κύριος ὁ θεὸς ὀσμὴν εὐω-
δίας. ἀλλ' οὐκ ἐπὶ τῶν ἀγνωμόνων Ἰουδαίων οὕτως·
ἀλλὰ τί; ἄκουε τοῦ προφήτου λέγοντος, θυμίαμα
εἰς βδέλυγμά μοί ἐστι, μονονουχὶ δεικνύοντος τῆς
προαιρέσεως τῶν προσαγόντων τὴν μοχθηρίαν.
καθάπερ γὰρ ἐνταῦθα ἡ τοῦ δικαίου ἀρετὴ τὸν κα-
πνὸν καὶ τὴν κνίσσαν, ὀσμὴν εὐωδίας εἰργάσατο,
οὕτως ἐπ' ἐκείνων ἡ τῶν προσαγόντων πονηρία τὸ
θυμίαμα τὸ εὐῶδες εἰς βδέλυγμα ὀσφρανθῆναι
παρεσκεύασε. πανταχοῦ τοίνυν σπουδάζωμεν, πα-
ρακαλῶ, γνώμην ὑγιῆ ἐπιδείκνυσθαι. αὕτη γὰρ
αἰτία γίνεται πάντων τῶν ἀγαθῶν. ὁ γὰρ ἀγαθὸς δε-
σπότης οὐ τοῖς παρ' ἡμῶν γινομένοις προσέχειν εἴω-
θεν, ὡς τῇ ἔνδοθεν διανοίᾳ, ἀφ' ἧς ὁρμώμενοι ταῦ-
τα διαπραττόμεθα, καὶ πρὸς ἐκείνην βλέπων
ἢ προσίεται τὰ ὑφ' ἡμῶν γινόμενα, ἢ ἀποστρέφε-
ται. κἄν τε οὖν εὐχώμεθα, κἄν τε νηστεύωμεν, κἄν
τε ἐλεημοσύνην ἐργαζώμεθα (αὗται γὰρ ἡμῶν εἰ-
σιν αἱ πνευματικαὶ θυσίαι) κἄν τε ἕτερόν τι πνευ-
ματικὸν ἔργον ἐπιτελῶμεν, ἀπὸ γνώμης ὑγιοῦς
ὁρμώμενοι τοῦτο διαπραττώμεθα, ἵνα καὶ τῶν κα-
μάτων ἄξιον τὸν στέφανον κομισώμεθα. καὶ γὰρ ἂν
εἴη τῶν ἀτοπωτάτων τὸν μὲν πόνον ἡμᾶς ὑπομέ-
νειν, τῆς δὲ ἀμοιβῆς ἀποστερεῖσθαι, ὅταν μὴ κατὰ τοὺς
ὑπ' αὐτοῦ δοθέντας νόμους τὴν ἀρετὴν μετίω-
μεν. ἔστι γὰρ, ἐπὶ διὰ τὴν ἄφατον τοῦ θεοῦ φι-
λανθρωπίαν καὶ τὸ ἔργον μὴ ἐπιτελέσαντας, ἀπὸ
τῆς γνώμης μόνον τὸν στέφανον κομίσασθαι. καὶ ἵνα
μάθῃς, σκόπει μοι τοῦτο ἐπὶ τῆς ἐλεημοσύνης.

A ante hanc fuerunt iuſti multi. Et-
enim Abel fide oblationem fecit,
quemadmodum & Paulus dicit: Fi- Heb. 11.
de vberiorem hoſtiam obtulit Abel 4.
Deo quàm Cain, & Enoch tranſla-
tus eſt, & Noë ob multam iuſtitiam
tempeſtatem illam grauiſſimam ef-
fugit. Et Abraham ante hanc ob
ſuam in Deum fidem prædicatus eſt
iuſtus. Sic ab initio per fidem huma-
num genus ſalutem aſſecutum eſt.
Sanè propterea permiſit benignus
Deus ſacrificia ſibi offerri, vt quo-
niam natura noſtra imperfectius ſe
habebat, ſimul & ſuam gratitudi-
B nem declarare, & idolorum perni-
cioſum cultum effugere poſſit. Nam
cùm tantum nobis permiſerit Deus,
multi tamen à ruina ſibi non caue-
runt: ſi hoc non fuiſſet factum, quo
pacto quis damnum hoc effugiſſet?
Et odoratus eſt dominus Deus odo-
rem fragrantiæ. At non ita eſt de in-
gratis Iudæis: ſed quomodo, audi
prophetam dicentem: Thymiama Eſai. 1. 13
in abominationem mihi eſt: quaſi
oſtendat voluntatis offerentium ma-
litiam. Quemadmodum enim hîc
C iuſti virtus fumum & nidorem fecit
odorem fragrantiæ: ſic apud illos of-
ferentium nequitia, bene olens thy-
miama in abominationem conuer-
tit. Igitur vbique ſtudeamus quæſo
mentem afferre incorruptam. Iſta
enim cauſa eſt omnium bonorum.
Bonus enim dominus non conſueuit
attendere ad ea quæ à nobis fiunt,
ſed ad internam mentem, à qua, vt
hæc faciamus, impellimur, & ad
hanc ſpectans, vel approbat ea quæ
à nobis fiunt, vel auerſatur. Itaque
ſiue precemur, ſiue ieiunemus, ſiue
D eleemoſynam faciamus (illa enim
ſunt ſpirituales noſtræ hoſtiæ) ſiue
aliud ſpirituale quoddam opus fa-
ciamus, hoc faciamus bona mente
incitati: vt & laboribus dignam re-
feramus coronam. Eſſet enim per-
abſurdum, laborem nos ſuſtinere,
& retributione fraudari, quando
non iuxta leges ab illo nobis datas
virtutem exercemus. Fieri autem
poteſt ob magnam Dei benignita-
tem, vt opere nondum comple-
to, coronam quis accipiat à ſo-
la pia mente. Et vt hoc diſcas,
aduerte obſecro hoc in eleemoſyna.

A Nam ſi quando vides iacentem in foro, & extrema inopia detentum, & condoles mente in cœlum ſublata, quæ gratias agat Domino, tum propter ea quæ tibi conceſſa ſunt, tum propter inopis patiētiam: etiam ſi non poſſis explere & ſoluere illius famem, propter mentem piam, conſummatam recipies mercedem. Et ea de cauſa Dominus quoque dicebat: Si quis potauerit calicem aquæ frigidæ tantùm in nomine diſcipuli, amen dico vobis, non perdet mercedem ſuam. (Matth. 10. 42.) Num quid poculo aquæ frigidæ tenuius? ſed animus pius mercedem inde ſibi conciliat: B hoc & in oppoſito inueniemus. Operæprecium enim eſt, vt de iis loquamur charitati veſtræ, quò vobis hæc tenentibus, maius gratitudinis ſtudium ſit. Audi enim quid dicat Chriſtus: Qui ſpectat mulierem ad hoc vt concupiſcat eam, iam adulteratus eſt eam in corde ſuo. (Matth. 5.28.) Vides & hîc iterum malam mentem ſequi condemnationem, & ob inconſideratum intuitum, quaſi completum eſſet adulterij opus, pœnam inferri? C Itaque cum hæc ſciamus, vndequaque mentem noſtram bene muniamus, vt per eam fiant accepta quæ facimus. Nam ſi fumum & nidorem fecit fieri odorem ſuaueolentiæ: quid non è ſpiritualibus noſtris faceret cultibus, & quantam non gratiam cœlitus nobis procuraret? Et odoratus eſt, inquit, dominus Deus odorem fragrantiæ. Vidiſti quæ fecerit iuſtus, quomodo, quantum ad externum ſpectaculum pertinet, rem paruam: quantum autem ad animum, permagnam? Attende autem & vltrà immenſam clementis domini bonitatem. D *Et dixit dominus Deus in mente ſua:* [21] *Non adijciam vltra vt maledicam terræ propter opera hominum, quia incumbit mens hominis intentè in mala opera à iuuentute. Non igitur adijciam, vt percutiam omnem carnem viuentem, ſicut feci, vltrà omnibus diebus terræ.* O magnum beneficentiæ pondus, ô plurimam clementiæ magnitudinem, ô ineffabilem tolerantiæ excellentiam. Et dixit dominus Deus in mente ſua. Iterum humano more loquitur, & quaſi ad noſtrum genus:

ὅταν γὰρ ἴδῃς τὸν ἐπὶ τῆς ἀγορᾶς ἐρριμμένον καὶ ἐσχάτῃ πενίᾳ κατεχόμενον καὶ συναλγῇς, τείνας τε τὴν διάνοιαν εἰς τὸν οὐρανὸν, εὐχαριστήσῃς τῷ δεσπότῃ καὶ ὑπὲρ τῶν κατὰ σαυτὸν, καὶ ὑπὲρ τῆς ὑπομονῆς τοῦ πένητος, κἂν μὴ δύναιο ἐμπλῆσαι καὶ λῦσαι τὸν λιμὸν, ἀπὸ τῆς γνώμης ἀπηρτισμένον ἔλαβες τὸν μισθόν. διὰ γὰρ τοῦτο καὶ ὁ δεσπότης ἔλεγεν· ὃς ἐὰν ποτίσῃ ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. μή τι ψυχροῦ ποτηρίου εὐτελέστερον; ἀλλ' ἡ γνώμη τὸν μισθὸν αὐτῷ προξενήσει. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἐναντίου B εὑρήσομεν. ἀλλ' ἀναγκαῖον γοῦν ταῦτα κινεῖν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἵνα τούτων τὴν ἀκρίβειαν εἰδότες πολλὴν τῆς εὐγνωμοσύνης ποιῆσθε τὴν ἀσφάλειαν. ἄκουε γάρ τί φησιν ὁ Χριστός· ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. ὁρᾷς καὶ ἐνταῦθα πάλιν ἀπὸ τῆς μοχθηρᾶς γνώμης καὶ τὴν κατάκρισιν ἑπομένην, καὶ διὰ τὴν ἀπερίσκεπτον ὄψιν, ὡς εἰς ἔργον τῆς μοιχείας ἐξελθούσης αὐτῷ, τὴν κόλασιν ἐπηρτημένην. ταῦτα τοίνυν ἐννοοῦντες πανταχοῦ C τὴν γνώμην ἡμῶν ἀσφαλιζώμεθα, ἵνα αὐτὴ τὰ παρ' ἡμῶν γινόμενα παρασκευάσῃ εὐπρόσδεκτα γίνεσθαι. εἰ γὰρ τὸν καπνὸν καὶ τὴν κνίσσαν ὀσμὴν εὐωδίας ἐποίησε, τί οὐκ ἂν ἐργάσηται τὰς πνευματικὰς ἡμῶν ταύτας λατρείας, καὶ πόσης ἡμᾶς οὐ παρασκευάσῃ ἀπολαῦσαι τῆς ἄνωθεν εὐνοίας; καὶ ὠσφράνθη, φησὶ, κύριος ὁ θεὸς ὀσμὴν εὐωδίας. εἶδες τὰ παρὰ τοῦ δικαίου γεγενημένα, πῶς, ὅσον μὲν πρὸς τὴν ὄψιν τῶν γεγονότων, εὐτελῆ τυγχάνει, ἀπὸ δὲ τῆς ὑγιοῦς αὐτοῦ γνώμης καὶ πάνυ μεγάλα δείκνυται. σκόπει μοι λοιπὸν τοῦ φιλανθρώπου δεσπότου τὴν D ἄπειρον ἀγαθότητα. καὶ εἶπε κύριος ὁ θεὸς διανοηθεὶς, οὐ προσθήσω ἔτι τοῦ καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. οὐ προσθήσω οὖν πατάξαι πᾶσαν σάρκα ζῶσαν, καθὼς ἐποίησα, ἔτι πάσας τὰς ἡμέρας τῆς γῆς. πολὺς τῆς εὐεργεσίας ὁ ὄγκος, καὶ πολὺ τῆς φιλανθρωπίας τὸ μέγεθος, καὶ ἄφατος τῆς ἀνεξικακίας ἡ ὑπερβολή. καὶ εἶπε κύριος ὁ θεὸς διανοηθείς. τὸ διανοηθεὶς, πάλιν ἀνθρωπίνως, καὶ ὡς πρὸς τὴν ἡμετέραν φύσιν.

οὐ προσθήσω ἔτι τοῦ καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων. καὶ γὰρ ἐπὶ τοῦ πρωτοπλάστου κατηράσατο εἰπὼν, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ· καὶ ἐπὶ τοῦ Κάϊν πάλιν ὁμοίως. ἐπεὶ οὖν καὶ νῦν τὴν τοσαύτην πανωλεθρίαν ἐπήγαγεν, ἵνα παραμυθήσηται τὸν δίκαιον, καὶ θαρρεῖν παρασκευάσῃ, καὶ μὴ μέλλῃ λογίζεσθαι καθ' ἑαυτὸν, τί τὸ κέρδος τῆς γενομένης εὐλογίας, καὶ τοῦ εἰπεῖν, αὐξάνεσθε καὶ πληθύνεσθε, εἰ μέλλοιμεν πάλιν εἰς πλῆθος ἐπιδιδόντες ἀπόλλυσθαι. καὶ γὰρ καὶ ἤδη εἶπεν ἐπὶ τοῦ Ἀδὰμ, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ ἐπήγαγε κατακλυσμόν. ἵνα οὖν μὴ ταῦτα λογιζόμενος καὶ στρέφων ἐν τῇ διανοίᾳ διηνεκῶς τὴν ἀγωνίαν ἔχῃ, ὅρα φιλανθρωπίαν δεσπότου. οὐ προσθήσω, φησὶν, ἔτι καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων. ὅρα πῶς ἐπεσημήνατο, ὅτι διὰ τὴν τούτων μοχθηρίαν τὴν κατάραν ἐπήγαγε τῇ γῇ. εἶτα ἵνα μὴ νομίσωμεν, ὅτι ἐπειδὴ ἐπὶ τὸ βέλτιον μετεβάλοντο, διὰ τοῦτο αὐτὸς ταύτην ἐποιήσατο τὴν ἀπόφασιν, φησιν· ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. ξένον φιλανθρωπίας εἶδος. ἐπειδὴ ἔγκειται, φησιν, ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, διὰ τοῦτο οὐκέτι προσθήσω τοῦ καταράσασθαι τὴν γῆν. ἐγὼ μὲν γὰρ, φησι, τὰ παρ' ἐμαυτοῦ καὶ ἅπαξ καὶ δεύτερον ἐπεδειξάμην. ἐπειδὴ δὲ ὁρῶ τὴν κακίαν αὐξανομένην, ἐπαγγέλλομαι μηκέτι καταράσασθαι τὴν γῆν. εἶτα δεικνὺς αὐτοῦ τῆς φιλανθρωπίας τὸ μέγεθος ἐπήγαγεν, οὐ προσθήσω οὖν ἔτι πατάξαι πᾶσαν σάρκα ζῶσαν, καθὼς ἐποίησα, πάσας τὰς ἡμέρας. ὅρα μοι πῶς διὰ πάντων μεγίστην χαρίζεται τῷ δικαίῳ τὴν παραμυθίαν, μᾶλλον δὲ οὐ τῷ δικαίῳ, ἀλλὰ διὰ τὴν οἰκείαν ἀγαθότητα καὶ πάσῃ τῇ μελλούσῃ συνίστασθαι τῶν ἀνθρώπων φύσει. τὸ γὰρ, οὐ προσθήσω οὖν πατάξαι πᾶσαν σάρκα ζῶσαν, καὶ τὸ, καθὼς ἐποίησα, καὶ τὸ, πάσας τὰς ἡμέρας, τοῦτό ἐστιν ἐνδεικνυμένου, ὅτι οὐκέτι τοιοῦτον ἔσται κλυδώνιον, οὐδὲ τοσαύτη πανωλεθρία καταλήψεται τὴν οἰκουμένην. εἶτα καὶ τῆς εὐεργεσίας αὐτοῦ τὸ διηνεκές· ἐν πάσαις, φησὶ, ταῖς ἡμέραις, τοῦτ' ἐστι,

A Non adiiciam vltrà vt maledicam terræ propter opera hominũ. Et de homine, qui primus formatus eſt, dicebat, quum illi malediceret: Spinas & tribulos oriri faciet tibi: & de Cain ſimiliter. Quia autem nunc communem omnium inuexerat interitum, vt conſolationem det iuſto, & fiduciam ei addat, ne fortè cogitet apud ſe, Quæ vtilitas factæ benedictionis, quòd dixit: Creſcite & multiplicamini: cum iterum vbi multiplicati fuerimus, pereundum ſit nobis? Nam olim & ad Adam dixerat: Creſcite & multiplicamini: & Geneſ. 3. 18. & 4. 12.

B ſuperuenit tamen diluuium. Vt ergo ne cogitando ſecum talia in perpetuo angore eſſet, vide benignitatem domini. Non adiiciam, inquit, vltrà maledicere terræ propter opera hominum. Vide quomodo aſſignauit, quòd propter horum malitiam maledictionem terræ inuexit. Deinde vt ne putemus, quòd ideo hanc promiſſionem fecerit, quia ipſi iam in melius ſe conuerterint, inquit: Quia incumbit mens hominis intentè in mala opera à iuuentute. Rara Geneſ. 1. 28.

C benignitatis ſpecies. Quia, inquit, incumbit mens hominis diligenter in mala opera à iuuentute. Propter hoc inquit: Non vltrà adiiciam vt maledicam terræ. Ego enim, inquit, quæ ad me pertinent, ſemel atque iterum exhibui. Quia autem video malitiam ita increſcere, promitto me non vltrà maledicturum terræ. Deinde oſtendens ſuæ benignitatis magnitudinem, ſubiunxit. Non adiiciam igitur vltrà vt percutiam omnem carnem viuentem, ſicut feci, omnibus diebus. Vide obſecro, quan-

D tam conſolationem affert iuſto: imò non iuſto tantum, ſed & propter ſuam bonitatem etiam vniuerſo hominum generi poſt illum futuro. Nam quòd dicit: Non adiiciam igitur vt percutiam omnem carnem viuentem: & quòd dicit, Sicut feci: item quòd dicit, Omnibus diebus: per hoc nobis demonſtrare vult, quod non ſit vltrà tale diluuium venturum, & quòd neque talis hominum communis interitus totum orbem inuadet. Deinde etiam indicat beneficentiæ ſuæ perpetuitatẽ. Omnibus enim, inquit, diebus, hoc eſt,

In omnia ſecula promitto me non A induɛturum huiuſmodi indignationem, neque facturum tantam confuſionem & intemperiem temporum & qualitatum aëris. Ideo ſubdit: *Sementis & meſſis, frigus & æſtus, æſtas & ver, die ac nocte non requieſcent.* Immobilis, inquit, erit hæc ordinatio: terra nunquam deſinet ſuppeditare quæ hominum generi neceſſaria, neque ceſſabit proferre laborum & agriculturæ retributiones, neque anni partes aliis cõuerſionib. mutabuntur: ſed & frigus & calor, & æſtas & ver in anni circulo erunt. Nam quia per diluuij tempus fuit confu- B ſio quædam totius iſtius ordinis, & iuſtus ille in arca erat toto illo tempore quaſi continua nocte, ideo nũc inquit: Neque nox, neque dies ſuum relinquent curſum, ſed ad vſque ſeculi conſummationem immotum illorum permanebit miniſterium. Vidiſti dignam conſolationem, quæ potuit iuſti mentem refocillare? vidiſti qualem retributionem acceperit iuſti gratitudo? Sed & ex ſequentibus iterum audi ineffabi-

Cap. 9. lem liberalitatem. [1] *Et benedixit*, inquit, *Deus Noë, & filios illius, & dixit eis:* [2] *Creſcite & multiplicamini, & implete terram, & dominemini ei. Et tremor timórque veſtri erit ſuper omnes beſtias terræ, & ſuper omnes volucres coeli, & ſuper omnia, quæ mouentur ſuper terram, & ſuper omnes piſces maris: in manus veſtras omnia dedi.* [3] *Et omne reptile quod eſt viuens, vobis erit in cibum. Quaſi olera herbarum dedi vobis omnia. Verumtamen carnem in ſanguine animæ ne comedatis.* Dignum eſt vt hîc admiremur excellentem Domini bonitatem. Vide enim hîc quomodo D iuſtus ille iterum eandem benedictionem conſequitur, quam olim Adam, & ereptum recuperat principatum virtute ſua, imò ineffabili Domini clementia. Nam ſicut de illo dicebat, Creſcite & multiplicamini, & dominamini terræ, & imperate piſcibus maris, & reptilibus, & volatilibus, & feris: ſic nunc inquit: Et tremor & timor veſtri erit ſuper omnes beſtias terræ, & ſuper omnes volucres. Omne, inquit, reptile quod eſt viuens, vobis erit in cibum. Quaſi olera herbarum dedi vobis omnia.

πάντα τὸν αἰῶνα ἐπαγγέλλομαι μηκέτι τοσαύτην ἐπιδείξασθαι τὴν ἀγανάκτησιν, οὐδὲ οὕτω σύγχυσιν ἐργάσασθαι τῆς τῶν ὡρῶν κράσεως καὶ τῆς τῶν στοιχείων θέσεως. διὸ καὶ ἐπήγαγε, σπέρμα καὶ θερισμὸς, ψῦχος καὶ καῦμα, θέρος καὶ ἔαρ, ἡμέραν καὶ νύκτα οὐ καταπαύσουσιν. ἀκίνητος, φησιν, ἔσται αὕτη ἡ διάταξις, καὶ οὔτε ἡ γῆ διαλείψει ποτὲ τὰ παρ' ἑαυτῆς τῷ τῶν ἀνθρώπων γένει χορηγοῦσα, καὶ τῶν καμάτων καὶ τῆς γεωργίας ἀποδιδοῦσα τὰς ἀμοιβὰς, οὔτε αἱ τροπαὶ μετακινηθήσονται, ἀλλὰ ψῦχος καὶ καῦμα, καὶ θέρος καὶ ἔαρ καθ' ἕκαστον τοῦ ἐνιαυτοῦ κύκλον ἔσται. ἐπειδὴ γὰρ κατὰ τὸν τοῦ κατακλυσμοῦ καιρὸν ταύτης ὅλης τῆς διατάξεως σύγχυσίς τις γέγονε, καὶ καθάπερ ἐν μιᾷ νυκτὶ, οὕτως ἐν παντὶ τῷ χρόνῳ ἐν τῇ κιβωτῷ διῆγεν ὁ δίκαιος οὗτος, διὰ τοῦτό φησι, νῦν οὔτε ἡ ἡμέρα οὔτε ἡ νὺξ τὸν οἰκεῖον ἐλλείψει δρόμον, ἀλλὰ μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀκίνητος ἔσται τούτων ἡ λειτουργία. εἶδες παράκλησιν ἀρκοῦσαν καὶ δυναμένην ἀναστῆσαι τοῦ δικαίου τὸ φρόνημα; εἶδες τῆς εὐγνωμοσύνης οἵαν δέχεται τὴν ἀμοιβήν; ἄκουε καὶ ἐκ τῶν ἐπαγομένων πάλιν τὴν ἄφατον φιλοτιμίαν. καὶ εὐλόγησε, φησιν, ὁ θεὸς τὸν Νῶε καὶ τοὺς υἱοὺς αὐτοῦ. C καὶ εἶπεν αὐτοῖς, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. καὶ ὁ τρόμος ὑμῶν καὶ ὁ φόβος ἔσται ἐπὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ ἐπὶ πάντα τὰ ὄρνεα τοῦ οὐρανοῦ, καὶ ἐπὶ πάντα τὰ κινούμενα ἐπὶ τῆς γῆς, καὶ ἐπὶ πάντας τοὺς ἰχθύας τῆς θαλάσσης. ὑπὸ χεῖρας ὑμῖν πάντα δέδωκα. καὶ πᾶν ἑρπετὸν ὅ ἐστι ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν. ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα. πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. ἄξιον ἐνταῦθα θαυμάσαι τοῦ δεσπότου τὴν ὑπερβάλλουσαν ἀγαθότητα. ὅρα γάρ μοι πάλιν τὸν δίκαιον τοῦτον τῆς αὐτῆς εὐλογίας ἀξιούμενον τῷ Ἀδὰμ, καὶ τὴν ἀφαιρεθεῖσαν ἀρχὴν ἀνακαλεσάμενον διὰ τῆς οἰκείας ἀρετῆς, μᾶλλον δὲ διὰ τὴν ἄφατον τοῦ δεσπότου φιλανθρωπίαν. ὥσπερ γὰρ ἐπ' ἐκείνου ἔλεγεν, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς, καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν ἑρπετῶν, καὶ πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων τῆς γῆς, οὕτω νῦν φησι· καὶ ὁ τρόμος ὑμῶν καὶ ὁ φόβος ἔσται ἐπὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ ἐπὶ πάντα τὰ ὄρνεα, καὶ πᾶν ἑρπετὸν ὅ ἐστι ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν. ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα.

A πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. ὅρα τὸν αὐτὸν κανόνα ἑτέρως διαφυλαττόμενον, τὸν ἐπὶ τοῦ πρωτοπλάστου. καθάπερ γὰρ ἐκεῖ μετὰ τὸ πάντων ἐγχειρίσαι τὴν ἀρχὴν, καὶ τὴν ἐν τῷ παραδείσῳ παρασχεῖν τὴν ἀπόλαυσιν, ἑνὸς ξύλου μόνον ἀπέχεσθαι ἐκέλευσεν· οὕτω δὴ καὶ ἐνταῦθα μετὰ τὴν εὐλογίαν, καὶ τὸ φοβερὸν αὐτὸν καταστῆσαι τοῖς θηρίοις, καὶ πάντα τὰ πετεινὰ καὶ τὰ ὄρνεα ὑποχείρια ποιῆσαι, φησι, πᾶν ἑρπετὸν ζῶν ὑμῖν ἔσται εἰς βρῶσιν. ὡς λάχανα χόρτου ὑμῖν δέδωκα τὰ πάντα. ἐντεῦθεν ἀρχὴ κρεωφαγίας γίνεται, οὐχ ἵνα εἰς γαστριμαργίαν αὐτοὺς ἀλείψῃ, B ἀλλ' ἐπειδὴ ἤμελλον ἐξ αὐτῶν θυσίας ἀναφέρειν οἱ ἄνθρωποι, καὶ εὐχαριστίας ποιεῖσθαι τῷ δεσπότῃ, ἵνα μὴ δόξωσιν ὡς ἀφιερωμένων ἀπέχεσθαι, διὰ τοῦτο τῆς βρώσεως τὴν ἐξουσίαν χαρίζεται, καὶ πολλὴν τὴν ἄδειαν παρέχει. ὡς λάχανα χόρτου, φησὶ, δέδωκα ὑμῖν τὰ πάντα. εἶτα καθάπερ ἐπὶ τοῦ Ἀδὰμ τοῦ ἑνὸς ξύλου ἐνετείλατο μετὰ τὴν πάντων ἀπόλαυσιν ἀπέχεσθαι, οὕτω καὶ ἐνταῦθα, μετὰ τὸ πάντων ἀδεῶς ἐπιτρέψαι τὴν ἑστίασιν, φησι, πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. τί οὖν βούλεται τὸ εἰρημένον; τί ἐστι C κρέας ἐν αἵματι ψυχῆς; τοῦτ' ἔστι, πνικτόν. τοῦ γὰρ ἀλόγου ἡ ψυχὴ τὸ αἷμα τυγχάνει. ἐπεὶ οὖν τὰς θυσίας ἤμελλον ἐπιτελεῖν τὰς διὰ τῶν ἀλόγων, μονονουχὶ διδάσκει αὐτοὺς λέγων, ὅτι τὸ μὲν αἷμα ἐμοὶ ἀφώρισται, τὸ δὲ κρέας ὑμῖν. ταῦτα δὲ ποιεῖ, ἄνωθεν προαναστέλλων αὐτῶν τὴν ὁρμὴν τὴν περὶ τὴν ἀνδροφονίαν. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, καὶ εὐλαβεστέρους αὐτοὺς ἐντεῦθεν ποιῆσαι βουλόμενος ταῦτα διατάττεται, ἄκουε τῶν ἑξῆς. καὶ γὰρ τὸ ὑμέτερον αἷμα, φησι, τῶν ψυχῶν ὑμῶν ἐκζητήσω αὐτὸ ἐκ χειρὸς πάντων τῶν θηρίων, καὶ ἐκ χειρὸς ἀν- D θρώπου ἀδελφοῦ ἐκζητήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου. τί οὖν; ἡ ψυχὴ τοῦ ἀνθρώπου τὸ αἷμα τυγχάνει; οὐ τοῦτο λέγει· μὴ γένοιτο, ἀλλὰ τῇ συνηθείᾳ τῇ ἀνθρωπίνῃ κέχρηται· ὡς ἄν τις εἴποι τινὶ, τὸ αἷμά σου βαστάζω ἐν ταῖς χερσί μου, ἀντὶ τοῦ, τὴν ἐξουσίαν ἔχω τῆς ἀναιρέσεώς σου. ὅτι γὰρ οὐ τὸ αἷμά ἐστι τοῦ ἀνθρώπου ἡ ψυχὴ, ἄκουε τοῦ Χριστοῦ λέγοντος· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. καὶ ὅρα τὴν διαφορὰν ὅσην ἐποιήσατο.

Veruntamen carnem in ſanguine animæ ne comedatis. Attende eandem regulam, quæ aliter ſeruanda tamen. Nam vt ei qui primus formatus eſt, dictum eſt, poſtquam ei traditum eſt dominium ſuper omnia, vt frui poſſit omnibus quæ ſunt in paradiſo: abſtineret tantum ab vnico ligno: ita & hîc poſt benedictionem, & poſtquam terribilis factus eſt beſtiis, & ſub manus eius venerunt aues & volatilia, inquit: Omne reptile viuens vobis erit in cibum: vt olera herbarum vobis dedi omnia. Hic eſt initium edendarum carnium: non vt ipſos ad ventris ingluuiem paret & inſtruat, ſed quia ex ipſis erat Noë ſacrificaturus, & Deo gratias acturus, vt ne videamur quaſi à conſecratis abſtinere: idcirco edendi facultatem concedit, & valde ſecuros reddit. Quaſi olera herbarum vobis dedi omnia. Dein ſicut de Adam dictum eſt, vt de vno ligno ex omnibus non ederet: ita hîc dictum eſt, cum illi omnia ad eſum valde licenter permiſſa eſſent. [4] *Verumtamen carnem in ſanguine animæ ne comedatis.* Quid eſt caro in ſanguine animæ? hoc eſt ſuffocatum. Bruti enim anima ſanguis eſt. Quia igitur ſacrificia perfecturi erant ex brutis, quaſi docet illos, dicens: Quia ſanguis mihi ſegregatus eſt, vobis caro. Hoc autem facit ideo, vt primis illis temporibus comprimat illorum impetū & propenſionem ad homicidia. Et quod hoc ſit verum, quia per hoc eos magis pios facere voluerit, audi quæ ſequuntur. [5] *Etenim veſtrum ſanguinem,* inquit, *animarum veſtrarum exquiram, de manu omnium beſtiarum exquiram illum. Et de manu hominis fratris exquiram animam hominis.* Quid ergo? Animáne hominis ſanguis eſt? Non hoc dicit, abſit: ſed humana conſuetudine vſus eſt, quaſi quis dicat alicui: Sanguinem tuum porto in manibus meis: hoc eſt poteſtatem habeo interficiendi te. Nam quod anima hominis non ſit ſanguis, audi Chriſtum dicentem: Ne timueritis ab eis qui occidunt corpus, animam autem occidere non poterunt. Et vide quantam fecerit diuerſitatē.

Gen. 2. 17.

Matth. 10. 28.

6 *Qui effuderit*, inquit, *ſanguinem hominis, pro ſanguine eius ſanguis ipſius effundetur: quia in imagine Dei feci hominem.* Cogita obſecro, quantus hîc terror verbo adſtructus eſt. Etſi quod eiuſdē naturæ eſt, inquit, non te auocat, neque à tam peruerſo conatu repellit naturæ communio: ſed etſi totus impiè flagitioſus fraternum fœdus & compaſſionem nonagnoſcis, cogita quòd ad imaginem Dei formatus eſt, & quantis eum Deus dignatus ſit prærogatiuis, & quòd omni creaturæ præfectus ſit, & quieſce à mala voluntate. Quid ergo ſi innumeras quis patrauerit cædes, & tantum ſanguinis effundat, quomodo dignam dabit pœnam effuſo ſolo ipſius ſanguine? Non hoc conſidera homo, ſed intellige quòd tale non multo poſt accipiet corpus incorruptibile, quod poterit continuam & æternam pœnam ferre. Illud item conſidera, quàm diligenter præceptum ſit. Nam de homine inquit, Ne effundas ſanguinem: de brutis autem non dixit, Ne effundas? ſed, veruntamen carnem in ſanguine animæ ne comedatis. Illic dicit, Ne effundas: hîc ne comedas. Vides quàm nihil moleſtum habeant eius leges? quomodo leuia & facilia mandata? quomodo nihil graue neque oneroſum requirit à noſtra natura? Dicunt enim aliqui, brutorum ſanguinem, grauem, terreſtrem, & multarum ægritudinum cauſam, ſi comedatur: at nos propter prædictum ſermonem magis piè philoſophicum, & Domini mandatum id obſeruare debemus. Deinde vt diſcamus quare tam diligenter hoc præceptum ſtatuit, cohibens hominum cædis auidas mentes, dicit: Vos autem creſcite, & multiplicamini, & implete terram, & dominamini ei. Non temerè, & abſque cauſa dixit, Vos autem: ſed quaſi diceret, Vos qui pauci, & in paruo numero; omnem terram implete, & dominamini ei: hoc eſt, dominium habete, & poteſtatem, & fructum. Vide obſecro Dei benignitatem, quomodo prius magna beneficia donat, & tandem vnicum & leue mandatum dat. Et ſicut de Adam dictum eſt, poſtquam ei conceſſit vt habitaret in paradiſo,

Cureſus ſanguinis vetitus.

A ὁ ἐκχέων, φησὶν, αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐτοῦ τὸ αὐτοῦ ἐκχυθήσεται, ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον. ἐννόησόν μοι, ὅσον τὸν φόβον διὰ τοῦ ῥήματος ἐπετείχισεν. εἰ καὶ τὸ ὁμογενές, φησι, μὴ γίνεταί σοι κώλυμα, οὐδὲ ἡ κοινωνία τῆς φύσεως ἀφίστησί σε τῆς κακῆς ἐπιχειρήσεως, ἀλλὰ καὶ τὴν συμπάθειαν τὴν ἀδελφικὴν ἀπωσάμενος, ὅλος γίνῃ τοῦ μιαροῦ τούτου τολμήματος, ἐννόει ὅτι κατ' εἰκόνα θεοῦ δεδημιούργηται, καὶ ὅσης ἠξίωται παρὰ τοῦ θεοῦ τῆς προεδρίας, καὶ ὅτι πάσης τῆς κτίσεως τὴν ἐξουσίαν ἀναδέδεκται, καὶ παῦσαι τῆς μοχθηρᾶς γνώμης. τί B οὖν φησιν; ἐὰν μυρίους τις ἐργάσηται φόνους, καὶ τοσαῦτα αἵματα ἐκχέῃ, πῶς τὴν ἀξίαν δώῃ δίκην, τοῦ αἵματος αὐτοῦ μόνου ἐκχυθέντος; μὴ τοῦτο λογίζου ἄνθρωπε, ἀλλ' ἐννόει ὅτι τοιοῦτον μετ' οὐ πολὺ δέξεται σῶμα ἄφθαρτον, τὸ δυνάμενον διηνεκῆ καὶ αἰώνιον κόλασιν ὑπέχειν. κἀκεῖνο δὲ σκόπει, πῶς μετὰ ἀκριβείας διετάξατο. ἐπὶ μὲν γὰρ τοῦ ἀνθρώπου φησὶ, μὴ ἐκχέῃς αἷμα· ἐπὶ δὲ τῶν ἀλόγων οὐκ εἶπε, μὴ ἐκχέῃς, ἀλλὰ, πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. ἐκεῖ μὴ ἐκχέῃς, ἐνταῦθα C μὴ φάγῃς. εἶδες ὅσον τὸ ἀνεπαχθὲς ἔχουσιν αὐτοῦ αἱ νομοθεσίαι; πῶς κοῦφαι καὶ ῥᾴδιαι αἱ ἐντολαί; πῶς οὐδὲν βαρὺ οὐδὲ φορτικὸν ἐπιζητεῖ παρὰ τῆς ἡμετέρας φύσεως; λέγουσι γάρ τινες βαρὺ καὶ γεῶδες καὶ νοσοποιὸν εἶναι τὸ τῶν ἀλόγων αἷμα. ἀλλ' ἡμεῖς μὴ διὰ ἐκεῖνον τὸν φιλοσοφώτερον λόγον, ἀλλὰ διὰ τὴν τοῦ δεσπότου νομοθεσίαν τὴν φυλακὴν ὀφείλομεν ἐνδείκνυσθαι. εἶτα ἵνα μάθωμεν ἀκριβῶς τίνος ἕνεκεν τοσαύτην ταύτης τῆς ἐντολῆς τὴν ἀκρίβειαν ἐποιήσατο, καὶ ὅτι ἀναχαιτίζων τῶν ἀνθρώπων τὴν φονικὴν γνώμην φησὶν, ὑμεῖς δὲ D αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς· οὐχ ἁπλῶς εἶπεν ὑμεῖς δὲ, ἀλλὰ μονονουχὶ λέγων, ὑμεῖς οἱ ὀλίγοι, οἱ εὐαρίθμητοι πᾶσαν τὴν γῆν πληρώσατε, καὶ κατακυριεύσατε αὐτῆς· τοῦτ' ἔστι, τὴν ἀρχὴν ἔχετε καὶ τὴν ἐξουσίαν καὶ τὴν ἀπόλαυσιν. ὅρα μοι θεοῦ φιλανθρωπίαν, πῶς πρότερον μεγάλας τὰς εὐεργεσίας δωρούμενος, τότε καὶ νόμον καὶ ἐντολὴν δίδωσι. καὶ καθάπερ ἐπὶ τοῦ Ἀδὰμ μετὰ τὸ ἐγκαθοικίσαι ἐν τῷ παραδείσῳ, καὶ τὴν τοσαύ-

τὴν ἀπόλαυσιν χαρίσασθαι, τότε τὴν ἀποχὴν τοῦ ξύλου ἐνετείλατο· οὕτω καὶ ἐνταῦθα μετὰ τὸ ὑποσχέσθαι μηκέτι τοιαύτην ἐπάξειν πανωλεθρίαν, μηδὲ ἀγανάκτησιν τοιαύτην ἐπιδείξασθαι, ἀλλὰ ἀκίνητα μέχρι τῆς συντελείας ἐᾶν ἅπαντα τὰ στοιχεῖα διαμένειν, ἕκαστον τὸν οἰκεῖον δρόμον καὶ τὴν οἰκείαν τάξιν ἀποπληροῦντα, καὶ εὐλογίας αὐτοὺς ἀξιῶσαι, καὶ τὴν ἀρχαίαν ἐξουσίαν δωρήσασθαι τὴν κατὰ τῶν ἀλόγων ἁπάντων, καὶ τῆς κρεωφαγίας τὴν ἄδειαν παρασχεῖν, τότε φησί, πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. εἶδες πῶς πρότερον εὐεργετεῖ καὶ τὴν φιλοτιμίαν ἄφατον ἐπιδείκνυται, καὶ τότε ἐπιτάττει. καίτοι γε ἐπ' ἀνθρώπων οὐκ ἄν ποτε τοῦτο γένοιτο. οἱ γὰρ ἄνθρωποι πρότερον βούλονται τὰ παρ' ἑαυτῶν ἐπιταττόμενα εἰς ἔργον ἐκβῆναι, καὶ πολλὴν ἐπιδείξασθαι τὴν εὔνοιαν τοὺς τὰ ἐπιτάγματα δεχομένους, καὶ τὴν τούτων ἐκπλήρωσιν ποιουμένους, καὶ τότε ἄρα ἀμείβεσθαι τοὺς πολλὴν τὴν ὑπακοὴν ἐπιδειξαμένους. ἐπὶ δὲ τοῦ κοινοῦ πάντων δεσπότου τὸ ἐναντίον· πρότερον εὐεργετεῖ καὶ τῷ πλήθει τῶν εὐεργεσιῶν ἐφέλκεται τὴν ἡμετέραν φύσιν, καὶ τότε κοῦφα καὶ ῥᾴδια ἐπιτάττει, ἵνα καὶ τῇ εὐκολίᾳ τῶν ἐπιταγμάτων καὶ ταῖς προλαβούσαις εὐεργεσίαις διεγηγερμένοι, πρὸς τὴν τούτων ἐπειχθῶμεν ἐκπλήρωσιν. μὴ τοίνυν ῥαθυμῶμεν, ἀγαπητοί, μηδὲ ὀκνηρότεροι γινώμεθα περὶ τὴν ὑπακοὴν τῶν ἐπιταχθέντων, καὶ τὰς προλαβούσας εὐεργεσίας λογιζόμενοι, καὶ τῶν ἐπιταγμάτων τὴν εὐκολίαν, καὶ τῶν ἐπαγγελιῶν τῶν μετὰ τὴν ἐκπλήρωσιν ἡμῖν τεταμιευμένων. ἀλλὰ νήφωμεν, καὶ περὶ τὴν ἐργασίαν σπεύδωμεν τῶν παρὰ τοῦ θεοῦ δεδομένων ἡμῖν ἐντολῶν, καὶ τὰς ὁδούς, ἃς ἐχαρίσατο τῇ ἡμετέρᾳ φύσει πρὸς τὴν τῶν ψυχῶν ἡμῶν συντελούσας σωτηρίαν, μὴ ἀποπεμψώμεθα, ἀλλὰ τῷ ὑπολειπομένῳ τῆς ζωῆς ἡμῶν χρόνῳ εἰς δέον χρησάμενοι, καὶ τὰ ἡμαρτημένα ἀπονιψώμεθα, καὶ πολλὴν ἑαυτοῖς τὴν παρρησίαν προαποθώμεθα, καὶ μάλιστα νῦν, ὡς ἔτι ἐνέστηκε τὸ λειπόμενον τῆς ἁγίας τεσσαρακοστῆς μέρος. οὐδὲ γὰρ ὀλίγος ἐστὶν ὁ τῶν ἡμερῶν ἀριθμὸς ὁ ὑπολειπόμενος, εἰ βουληθείημεν μικρὸν ἀνανῆψαι. τοῦτο δὲ εἶπον, οὐκ ἐπειδὴ τοσούτου χρόνου μόνον δεῖται τῶν ἡμαρτημένων ἡμῖν ἡ διόρθωσις, ἀλλ' ἐπειδὴ δεσπότην ἔχομεν φιλάνθρωπον καὶ ἥμερον, καὶ οὐ δεῖται χρόνου πολλοῦ· μόνον ἐὰν μετὰ πολλῆς τῆς θερμότητος καὶ τῆς νήψεως αὐτῷ προσίωμεν,

& tot ac tantis frueretur, tandem ei præcepit, vt ab vnico ligno abſtineret: ita & hîc poſtquam promiſit non vltrà talem ſe illaturum generalem ſtragem, neque ita ſe indignaturum, ſed vſque ad conummationem mũdi immota permanſura omnia elementa, ita vt quæque ſuum curſum & ordinem impleant: & poſtquam ipſi benedictionem ſunt conſecuti, donatíque priſtina ſuper bruta omnia poteſtate, ac carnium eſu ſecurè permiſſo, tunc inquit, Veruntamen carnem in ſanguine animæ ne comedatis. Vidiſti quomodo prius benignitate ac ineffabili liberalitate vtitur, & tunc demum præcipit? Tametſi nunquam iſtud inter homines fieri ſolet. Homines enim primum volunt ea quæ præcipiunt opere compleri, magnáque obedientia & beneuolentia erga ſe vti ſubditos mandata ſuſcipientes, ac tunc vtique cogitant de remunerandis iis qui multam obediẽtiam præ ſe tulerint. Non ita ſe gerit communis omnium dominus: prius enim benefacit, & multitudine beneficiorum noſtram naturam ad ſe allicit, & poſtea imperat facilia atque leuia, vt facilitate mandatorum & beneficiis prioribus excitati, ad ea implenda inducamur. Ne igitur negligentes ſimus dilecti, circa mandatorum obedientiam: ſed beneficia priora cogitantes, & mandatorum facilitatem, & præmiorum poſt impleta mandata promiſſam magnitudinem, ſobriíque ſimus, & feſtinemus ad facienda mandata à Deo nobis tradita: & ne dimittamus vias, quas ad perficiẽdam animarum noſtrarum ſalutem præſcripſit, ſed tempore noſtræ vitæ quod reliquum eſt bene vtamur, & peccata abluamus, & in hac vita nobis fiduciam quandam reponamus, maximéque nunc cùm adhuc eſt reliqua quadrageſimæ pars. Neque enim paruus eſt dierum numerus qui reſtat, ſi voluerimus parumper reſipiſcere. Hoc autem dixi, non quòd ſolum tanto tempore opus habet peccatorum noſtrorum correctio, ſed quia dominum habemus clementem & benignum, & non indiget magno tempore, tantum magno feruore & ſobrietate ad ipſum accedamus,

Moralis epilogus

reiectis ſecularibus curis omnibus, & ſuperno auxilio innitamur. Nam & Niniuitæ tanta peccatorum multitudine aggrauati, quia magnam & veram pœnitentiam egerunt, non indigebant ampliori quàm trium dierum tempore ad prouocandam Dei bonitatem, & irritam reddendam quæ aduerſum ſe lata erat ſententiam. Et quid dico Niniuitas? latro in cruce neque vno die opus habebat. Et quid dico, die vno? neque breui hora. Tanta eſt Dei erga nos benignitas. Nam vbi viderit voluntatis noſtræ firmum propoſitum, & feruenti nos deſiderio ad ſe accedere, non tardat, neque differt: ſed accelerat, ſuámque ſolitam liberalitatem exhibens, dicit: Adhuc loquente, te dicam: Ecce adſum. Itaque exauditurus eſt & nos, ſi voluerimus in paucis diebus iſtis ſtudij ſpecimen quoddam afferre, & ieiunij ſubſidio non abuti, & excuſſa ſocordia continuis precibus placare dominum, calentes profundere lachrymas, delicta noſtra ſedulo confiteri, & quaſi medico proponere noſtra vulnera, & animarum vlcera declarare, nec abiicere quam ille dat medicinam, nec non & alia quæ à nobis exiguntur afferre: animo inquam conteri & compungi, eleemoſynam dare largam, affectiones quæ mentem noſtram interturbant refrænare, & ex anima eliminare: ita vt neque ab diuitiarum cupiditate mouegnemur, neque iniurias illatas vindicare cupiamus, neque hoſtiliter in proximũ affecti ſimus. Nihil enim omnium Deus ita odit & auerſatur, vt hominem vltionis auidum, & in animo ſuo perpetuas aduerſus proximum ſeruantem inimicitias. Tantum enim eius peccati damnum eſt, vt miſericordiam Dei reuocet, nec locum habere ſinat. Quod vt ſciatis, Euangelicam vobis parabolam refero, quomodo ille decem millium talentorum debitor, remiſſionem omnium à domino conſecutus ſit, eò quod ſupplicabat & orabat. Miſericordia enim motus, inquit, dominus eius, etiam debitum ei remiſit. Vidiſti miſericordiam domini? Ille procidit, ſupplicat, orat, vt longius ſibi tempus præfiniatur. Longa-

Ion. 3. 10.

Eſaiæ 58.9.

Matth. 18.27.

A ἀποστήσαντες ἑαυτοὺς τῶν βεβιωμένων ἁπάντων, καὶ προσηλώσαντες τῇ ἄνωθεν ῥοπῇ. καὶ γὰρ οἱ Νινευῗται τοσούτῳ πλήθει ἁμαρτιῶν βεβαρημένοι, ἐπειδὴ πολλῇ καὶ ἀκριβεῖ τῇ μετανοίᾳ ἐχρήσαντο, οὐκ ἐδεήθησαν πλέον ἢ τριῶν ἡμερῶν πρὸς τὸ ἐκκαλέσασθαι τοῦ θεοῦ τὴν ἀγαθότητα, καὶ τὴν καθ' αὐτῶν ἐξενεχθεῖσαν ἀπόφασιν ἄκυρον ἀποφῆναι. καὶ τί λέγω, οἱ Νινευῗται; ὁ λῃστὴς ὁ ἐπὶ τοῦ σταυροῦ οὐδεμιᾶς ἡμέρας ἐδεήθη. καὶ τί λέγω μιᾶς ἡμέρας; οὐδὲ βραχείας ὥρας. τοσαύτη ἐστὶν ἡ περὶ ἡμᾶς τοῦ θεοῦ φιλανθρωπία. ἐπειδὰν γὰρ ἴδῃ τὸν τόνον τῆς ἡμετέρας γνώμης, B καὶ πόθῳ ζέοντι προσιόντας ἡμᾶς, οὐ μέλλει οὐδὲ ἀναβάλλεται, ἀλλὰ ταχεῖαν παρέχει τὴν παρ' ἑαυτοῦ φιλοτιμίαν, καὶ λέγει· ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι. ἂν τοίνυν βουληθῶμεν καὶ ἡμεῖς ἐν ταῖς ὀλίγαις ἡμέραις ταύταις, σπουδήν τινα ἐπιδείξασθαι, καὶ τῇ συμμαχίᾳ τῇ ἀπὸ τῆς νηστείας εἰς δέον χρήσασθαι, καὶ τὴν ῥαθυμίαν ἀποτιναξάμενοι εὐχὰς ἐκτενεῖς ποιήσασθαι πρὸς τὸν δεσπότην, δάκρυα θερμὰ προχέειν, κατηγορεῖν συνεχῶς τῶν ἡμῖν πεπλημμελημένων, προστιθέναι καθάπερ ἰατρῷ τὰ ἡμέτερα τραύματα, C καὶ τὰ τῆς ψυχῆς ἕλκη δεικνύναι, καὶ τὴν παρ' αὐτοῦ ἰατρείαν ἐπιζητεῖν, καὶ τὰ ἄλλα τὰ παρ' ἑαυτῶν εἰσφέρειν, συντριβὴν διανοίας, κατάνυξιν ἀκριβῆ, ἐλεημοσύνην δαψιλῆ, τὰ λοιπὰ πάθη, τὰ διαταράττοντα ἡμῶν τὸν λογισμὸν, χαλινοῦν, καὶ ἐξορίζειν τῆς ἡμετέρας ψυχῆς, καὶ μήτε ὑπὸ τῆς τῶν χρημάτων ἐπιθυμίας πολιορκεῖσθαι, μήτε μνησικακεῖν πρὸς τοὺς πλησίον, καὶ ἐχθρωδῶς διακεῖσθαι πρὸς τοὺς ὁμογενεῖς. οὐδὲν γὰρ, οὐδὲν οὕτως ὁ θεὸς μισεῖ καὶ ἀποστρέφεται, ὡς τὸν μνησικακοῦντα ἄνθρωπον καὶ D τὴν ἔχθραν τὴν πρὸς τὸν πλησίον ἐπὶ τῆς ψυχῆς διηνεκῶς φυλάττοντα. τοσαύτη γὰρ ταύτης ἐστὶ τῆς ἁμαρτίας ἡ λύμη, ὅτι καὶ φιλανθρωπίαν θεοῦ ἀνεκαλέσατο. καὶ ἵνα μάθητε, ὑπομνῆσαι ὑμᾶς βούλομαι τῆς παραβολῆς τῆς ἐν τῷ εὐαγγελίῳ κειμένης, ὅπως ἐκεῖνος ὁ τῶν μυρίων ταλάντων τὴν συγχώρησιν δεξάμενος παρὰ τοῦ δεσπότου, ἐπειδὴ προσέπεσε καὶ ἐδεήθη καὶ ἱκέτευσε. σπλαγχνισθεὶς γὰρ, φησὶν, ὁ κύριος αὐτοῦ ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον συνεχώρησεν αὐτῷ. εἶδες εὐσπλαγχνίαν δεσπότου. ἐκεῖνος προσέπιπτεν ἱκετεύων προθεσμίαν αὐτῷ δοθῆναι. μακροθύμη-

σον γὰρ

σον γάρ ἐπ' ἐμοί, φησι, καὶ πάντα σοι ἀποδώσω. A ἀλλ' ὁ ἀγαθὸς δεσπότης, ὁ κηδεμὼν καὶ φιλάνθρωπος, ἐπικαμφθεὶς τῷ ἱκέτῃ, οὐχ ὅσον ᾔτησε, τοσοῦτον παρέσχεν, ἀλλ' ὅσον οὐδὲ ἐνενόησε. τοιοῦτον γὰρ αὐτοῦ ἔθος ἀεὶ νικᾶν καὶ προφθάνειν τὰς ἡμετέρας αἰτήσεις. ἐκείνου τοίνυν ἐνδοθῆναι παρακαλέσαντος καὶ ὑπισχνουμένου πάντα ποιήσασθαι τὴν ἔκτισιν, ὁ ἀγαθότητι νικῶν τὰ ἡμέτερα πλημμελήματα σπλαγχνισθεὶς λοιπὸν ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. εἶδες τί μὲν ὁ δοῦλος ᾐτήσατο, ὅσον δὲ ὁ δεσπότης ἐχαρίσατο; ὅρα πάλιν αὐτοῦ τούτου τὴν ἀπόνοιαν. δέον γὰρ μετὰ τὴν τοσαύτην φιλανθρωπίαν καὶ τὴν B ἄφατον εὐεργεσίαν τὴν εἰς αὐτὸν γεγενημένην συμπαθέστατον αὐτὸν καταστῆναι περὶ τοὺς ὁμογενεῖς, ὁ δὲ τὸ ἐναντίον ἐπιδείκνυται. ἐξελθὼν γάρ, φησιν, οὗτος αὐτός, ὁ τῶν μυρίων ταλάντων τὴν συγχώρησιν δεξάμενος ἀκούετε, παρακαλῶ, μετ' ἀκριβείας. τὰ γὰρ τούτῳ συμβάντα ἱκανὰ καθικέσθαι τῆς ἡμετέρας ψυχῆς, καὶ πεῖσαι τὸ χαλεπὸν τοῦτο νόσημα ἐξορίσαι τῆς διανοίας τῆς ἡμετέρας. οὗτος τοίνυν ἐξελθὼν εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ρ' δηνάρια. C σκόπει πόσον τὸ μέσον. ὧδε σύνδουλος ὁ ὀφείλων ρ' δηνάρια, ἐκεῖ δεσπότης ὁ ἀπαιτῶν, καὶ μύρια ἦν τάλαντα· καὶ ὅμως ἐπειδὴ εἶδεν ἱκετεύοντα καὶ παρακαλοῦντα, συνεχώρησεν· οὗτος δὲ κρατήσας αὐτὸν ἔπνιγε λέγων, ἀπόδος μοι εἴ τι ὀφείλεις. τί οὖν; πεσών, φησιν, ὁ σύνδουλος αὐτοῦ. ὅρα πῶς συνεχῶς στρέφει τὸ ῥῆμα τοῦτο ὁ εὐαγγελιστής, ὁ σύνδουλος αὐτοῦ· οὐχ ἁπλῶς, ἀλλ' ἵνα μάθωμεν, ὅτι οὐδὲν μεταξὺ αὐτῶν τὸ μέσον, καὶ ὅμως τὴν αὐτὴν ἱκετηρίαν πρὸς αὐτὸν ἐποιήσατο, ἣν καὶ οὗτος πρὸς τὸν δεσπότην λέγων, μακροθύμησον ἐπ' ἐμοί, καὶ D πάντα σοι ἀποδώσω. ὁ δέ, φησιν, ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς τὴν φυλακήν, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ. ὢ τῆς ἀγνωμοσύνης ὑπερβολή. ἔναυλον ἔχων τὴν μνήμην τῆς τοσαύτης γενομένης φιλοτιμίας, οὐδὲ οὕτως ἠνέσχετο συμπαθές τι λογίσασθαι· ἀλλὰ πρότερον μὲν ἔπνιγε, νῦν δὲ καὶ εἰς δεσμωτήριον ἐνέβαλεν. ἀλλ' ὅρα τί γίνεται.

nimis eſto in me, inquit, & omnia tibi reddam. Sed bonus dominus, miſericors, noſtrique curam agens, ſupplici bene volens, non ſolum quantum petiit, ſed quantum ne cogitare quidem auſus fuit, dedit. Is enim eius mos eſt, vt vincat, & præueniat petitiones noſtras. Illo itaque orante vt ſeueritatem dominus remitteret, & promittente ſoluturum ſe omnia: dominus bonitate ſua vincens noſtra delicta, miſericordia motus, inquit, dimiſit eum, debitumque totũ ei dimiſit. Vidiſti quid ſeruus orauerit, & quantum ei dominus dimiſerit? vide è diuerſo & ſerui inſolẽtiam: debebat enim iuxta tantam benignitatem & ineffabilem beneficentiam ſibi exhibitam, & ipſe proximo fuiſſe compatientiſſimus. Verùm ipſe planè diuerſo modo egit. Egreſſus enim, inquit, ille decem millium talentorũ debitor, & remiſſionem aſſecutus. Audite, obſecro, diligenter: nam quæ illi acciderunt, ſufficiunt ad corripiendas animas noſtras, & ad perſuadendum, vt tollatur grauis ille morbus è mente noſtra. Hic igitur, inquit, egreſſus inuenit vnum è conſeruis ſuis, qui debebat ſibi centum denarios. Vide quantum intereſt. Hîc conſeruus debebat centum denarios, illic dominus erat qui repetebat decem millia talentorum. Nihilominus quia vidit ſupplicantem & orantem, dimiſit. At iſte apprehenſum ſeruum ſtrangulabat, dicens: Redde mihi ſi quid debes. Quid igitur? Procidens, inquit, conſeruus eius. Vide quomodo ſubinde Euangeliſta verbum, conſeruus, verſat, non temerè, ſed vt diſcamus quòd pares illi nihil differebant. Veruntamen conſeruus ei ſupplicabat eodem modo, vt ille antea domino, dicens: Longanimis eſto in me, & omnia tibi reddam. Ille autem, inquit, egreſſus, coniecit hunc in carcerem, donec omne debitum ſibi dinumeraret. O ſummam ingratitudinem: habebat adhuc in recenti memoria quanta dominus liberalitate ſecum egerat, neque ſic aliqua compaſſione motus eſt: ſed prius quidem ſuffocabat, nunc verò in carcerem conijcit. Cæterum vide quid fit.

Vt viderunt, inquit, conſerui illius, contriſtati ſunt: & vt venerunt ad dominum ſuum, rem omnem manifeſtarunt. Non ille quidem qui ita malè affectus erat (quomodo enim potuiſſet ille, qui in carcerem coniectus?) ſed alij conſerui, & qui nulla iniuria affecti, quaſi iniuria affecti, ita mœſti erãt, dominóque, ad quem acceſſerunt, narrauerunt. Iam vide & domini indignationem. Tunc accerſito eo, inquit, dicit: Serue male. Verè hîc videre licet quantum malorum ſit iniuriarum reminiſci. Quoniam cum decem millia talenta conſumpſiſſet, non vocauit eum malum: ſed nunc quia conſeruo crudelis fuit. Male ſerue, inquit, omne debitum illud remiſi tibi, quia rogaſti me. Vide quomodo declarat excellentem eius malitiam. Num aliquid amplius feciſti? inquit. Nónne paucula tantum verba dixiſti, & ſuſcepta petitione tua totum illud grande & ineffabile debitum remiſi? Nónne & te miſereri oportebat conſerui tui, ſicut ego tui miſertus eram? Qua dignus eris venia? Ego dominus tantum pondus debitorum propter pauca illa nuda verba dimiſi: tu autem conſeruo tuo, qui eſt eiuſdem naturæ, non es miſertus, neque inflecti potuiſti, neque recordatus eorum quæ à me tibi conceſſa, vllam compaſſionem præ te tuliſti: ſed inhumanus fuiſti, & crudelis, conſeruóque miſereri noluiſti, idcirco hîc tandem re ipſa diſces quantorum tibi ipſi malorum author fueris. Et iratus dominus eius, tradidit illum tortoribus. Vide & nũc ipſum iraſci ob inhumanitatem erga ſeruum, & tortoribus illum tradere: id quod prius non fecit, cùm tot debitorum reus eſſet, nunc fieri iubet. Tradidit enim illum tortoribus, donec omne debitum redderet: donec, inquit, decem millia talenta, quæ iam remiſſa erant, dinumeraret. Magna & ineffabilis Dei clementia, cùm in ſe quidem peccatum eſt, ad nudas tantùm preces totum remittit: cùm autem in conſeruum videt crudelem & inhumanum, ſuam reuocat liberalitatem, monſtrans illi re ipſa quòd non tam illum, quàm ſeipſum offendiſſet.

A ἰδόντες δέ, φησιν, οἱ σύνδουλοι αὐτοῦ ἐλυπήθησαν, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γενόμενα· οὐκ ἐκεῖνος ὁ πεπονθώς (πῶς γάρ, καθειργμένος ἐν τῷ δεσμωτηρίῳ;) ἀλλ' οἱ σύνδουλοι, οἱ μηδὲν ἠδικημένοι, ὡς ἀδικηθέντες οὕτως ἠνιάθησαν, καὶ ἐλθόντες ἅπαντα ἐμήνυσαν. ἀλλ' ὅρα τοῦ δεσπότου λοιπὸν τὴν ἀγανάκτησιν. τότε προσκαλεσάμενος αὐτόν, φησι, λέγει, δοῦλε πονηρέ. ἀληθῶς ἐντεῦθέν ἐστιν ἰδεῖν ὅσος τῆς μνησικακίας ὁ ὄλεθρος. ἡνίκα γὰρ τὰ μυρία τάλαντα ἐμεθόδευεν, οὐκ ἐκάλεσεν αὐτὸν πονηρόν, ἀλλὰ νῦν ὅτε περὶ τὸν σύνδουλον γέγονεν B ἀπηνής, πονηρὲ δοῦλε, φησι, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με. ὅρα πῶς δείκνυσιν αὐτοῦ τῆς κακίας τὴν ὑπερβολήν. μὴ γὰρ πλέον τι ἐπεδείξω φησίν; οὐχὶ ῥήματα ψιλὰ ἐποιήσω; καὶ δεξάμενός σου τὴν ἱκεσίαν, πᾶσαν ἐκείνην τὴν μεγάλην καὶ ἀπόρρητον ὀφειλὴν συνεχώρησα; οὐκ ἔδει καί σε ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; ποίας ἂν εἴης ἄξιος συγγνώμης, εἰ ἐγὼ μὲν ὁ δεσπότης σου τοσοῦτον ὄγκον ὀφειλημάτων διὰ τὰ ψιλὰ ἐκεῖνα ῥήματα συνεχώρησα, σὺ δὲ τὸν σύνδουλόν σου C τὸν ὁμογενῆ οὐκ ἠλέησας, οὐδὲ ἐπεκάμφθης, οὐδὲ εἰς μνήμην ἐλθὼν τῶν ὑπαρξάντων σοι παρ' ἐμοῦ, ἐπεδείξω τινὰ περὶ αὐτὸν συμπάθειαν, ἀλλ' ἀνελεὴς ἐγένου καὶ ὠμός, καὶ ἐλεῆσαι τὸν σύνδουλόν σου οὐκ ἠθέλησας; διὰ τοῦτο ἐνταῦθα μαθήσῃ διὰ τῆς πείρας ὅσων κακῶν ἑαυτῷ αἴτιος κατέστης. καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς. ὅρα καὶ νῦν αὐτὸν ὀργιζόμενον διὰ τὴν εἰς τὸν σύνδουλον ἀπανθρωπίαν, καὶ τοῖς βασανισταῖς παραδιδόντα. καὶ ὃ πρότερον οὐκ ἐποίησεν, ἡνίκα τοσούτοις τοῖς D ὀφειλήμασιν ὑπεύθυνος ἦν, νῦν κελεύει γίνεσθαι. παρέδωκε γὰρ αὐτὸν τοῖς βασανισταῖς ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. ἕως οὗ, φησι, τὰ μυρία τάλαντα, ὧν τὴν συγχώρησιν ἤδη λαβὼν ἀπῆλθε, ταῦτα καταβάλλῃ. μεγίστη καὶ ἄφατος ἡ τοῦ θεοῦ φιλανθρωπία. ἡνίκα μὲν γὰρ αὐτὸς ἐμεθόδευεν, ἐπειδὴ τὴν ἱκεσίαν ἐποιήσατο, συνεχώρησεν· ἐπειδὴ δὲ εἶδεν αὐτὸν περὶ τὸν σύνδουλον ὠμὸν καὶ ἀπάνθρωπον γεγονότα, τότε λοιπὸν τὴν οἰκείαν ἀνακαλεῖται φιλοτιμίαν, δεικνὺς αὐτῷ διὰ τῶν πραγμάτων αὐτῶν, ὡς οὐ τοσοῦτον ἐκεῖνον ἠδίκησεν, ὅσον ἑαυτόν·

A καὶ καθάπερ ἐκεῖνος εἰς φυλακὴν ἔβαλεν ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον, οὕτω καὶ αὐτὸς τοῖς βασανισταῖς παραδέδωκεν, ἕως οὗ ἀποδῷ πᾶσαν τὴν ὀφειλήν. ταῦτα δὲ οὐ περὶ ταλάντων καὶ περὶ δηναρίων ἁπλῶς εἴρηκεν, ἀλλὰ περὶ ἁμαρτιῶν ὁ λόγος καὶ μεγέθους πλημμελημάτων, ἵνα μάθωμεν ὅτι ἡμεῖς μὲν μυρίων πλημμελημάτων δίκας ὀφείλοντες τῷ δεσπότῃ, διὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν συγχώρησιν παρ' αὐτοῦ δεχόμεθα. ἐὰν δὲ περὶ τοὺς ὁμοδούλους καὶ τοὺς ὁμογενεῖς καὶ τοὺς τῆς αὐτῆς ἡμῖν φύσεως κοινωνοῦντας ὠμοὶ καὶ ἀπάνθρωποι γινώμεθα, καὶ τὰ εἰς ἡμᾶς πλημμεληθέντα μὴ διαλύσωμεν, B ἀλλ' ὑπὲρ τῶν εὐτελῶν τούτων πονηρευώμεθα (ὅσον γὰρ ρ΄ δηνάρια πρὸς μυρία τάλαντα, τοσοῦτον τὸ μέσον τῶν ἡμετέρων πρὸς τὸν δεσπότην πλημμελημάτων, καὶ τῶν εἰς ἡμᾶς γινομένων παρὰ τῶν ὁμογενῶν) τότε καὶ τὴν ἀγανάκτησιν ἐπισπασόμεθα τοῦ δεσπότου, καὶ ὧν πρότερον τὴν συγχώρησιν ἐδεξάμεθα, τούτων πάλιν τὴν ὄφλησιν μετὰ βασάνων ἀπαιτεῖσθαι κελευόμεθα. ἵνα γὰρ μάθωμεν ἀκριβῶς ὅτι πρὸς ὠφέλειαν τῶν ψυχῶν τῶν ἡμετέρων τὴν παραβολὴν ταύτην παρήγαγεν ὁ δεσπότης, ἄκουε τοῦ ἐπαγομένου· C οὕτω καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ποιήσει ὑμῖν, φησὶν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν. μέγα τῆς παραβολῆς τὸ κέρδος, μόνον ἐὰν προσέχειν βουλώμεθα. τί γὰρ τοσοῦτον ἀφεῖναι δυνάμεθα, ὅσον ἀφίεται ἡμῖν παρὰ τοῦ δεσπότου; καὶ ἡμεῖς μὲν, ἐὰν τοῦτο βουληθῶμεν, ὁμοδούλοις ἀφίεμεν· αὐτοὶ δὲ παρὰ τοῦ δεσπότου τὴν συγχώρησιν δεχόμεθα. καὶ ὅρα καὶ τὴν ἀκρίβειαν τῶν εἰρημένων. οὐ γὰρ εἶπεν ἁπλῶς, ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ ἡμαρτημένα, ἀλλὰ τί; D ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν. σκόπει πῶς βούλεται αὐτὴν ἡμῶν τὴν καρδίαν ἐν γαλήνῃ καὶ ἡσυχίᾳ τυγχάνειν, καὶ τὸν λογισμὸν ἡμῶν ἀπαθῆ, καὶ πάντων ἀπηλλάχθαι παθῶν, καὶ πολλὴν τὴν πρὸς τοὺς πλησίον ἡμᾶς ἐπιδείκνυσθαι τὴν φιλαγαθωσύνην. καὶ ἀλλαχοῦ δὲ πάλιν ἔστιν αὐτοῦ ἀκοῦσαι λέγοντος· ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. μὴ τοίνυν νομίσωμεν ἑτέροις εὐεργετεῖν, ὅταν τοῦτο ποιῶμεν, ἢ μεγάλην τινὰ εἰς ἐκεῖνον κατατίθεσθαι χάριν.

Et ſicut conſeruum in carcerem cõiecit, donec debitum redderet: ita & ipſe tortoribus traditur, donec, quod debebat, rependat. Hæc autem non de talentis & denariis ſimpliciter dixit, ſed de peccatis erat ſermo, & delictorum magnitudine, vt diſcamus quòd nos quidem infinitorum peccatorum pœnas domino debentes, propter ineffabilem illius miſericordiam, remiſſionem ab ipſo accipimus. Si verò erga conſeruos & proximos, & eos qui eandem quam nos naturam ſortiti ſunt, crudeles & inhumani fuerimus, & quæ in nos commiſſa ſunt non dimiſerimus, ſed pro re friuola importuni fuerimus (quantum enim intereſt inter centum denarios, & decem millia talenta: tantum & inter ea quæ nos in dominum, & ea quæ alij in nos deliquerunt) tunc & nos in indignationem domini incidemus, & ea quę iam antea dimiſſa erant, ſoluere iterum in tormentis cogemur. Porrò vt diligenter diſcamus parabolam hanc ob animarum noſtrarum ſalutem à domino adductam, audi quæ inferuntur. Sic & pater veſter cœleſtis faciet vobis, inquit, ſi non vnuſquiſque fratri ſuo remiſeritis è cordibus veſtris delicta illorum. Matth. 18. 35. Magnum parabolæ lucrum, modo attendere voluerimus. Quid enim tantum poterimus dimittere, quantum nobis à domino dimittitur? Et nos quidem ſi hoc voluerimus, conſeruis remittimus, ipſi verò à domino remiſſionem accipimus. Et vide vt diligẽter ſingula ſunt dicta. Nõ enim dixit ſimpliciter, ſi nõ dimiſeritis hominibus peccata: ſed, ſi non vnuſquiſq; fratri ſuo remiſeritis è cordibus veſtris delicta illorũ. Aduerte quomodo vult cor noſtrum in quiete & trãquillitate eſſe, & mentem noſtram à perturbationibus alienam, affectionibúſque omnibus liberam, plurimúmque nos erga proximum miſericordiæ ſtudium declarare. Et alio quoque loco iterum dicentem audire licet: Si dimiſeritis hominibus, delicta illorum, dimittet & vobis pater veſter cœleſtis. Matth. 6. 14. Ne igitur putemus quòd dum benefacimus, alteri gratificemur, aut magnum quoddam beneficium apud illum deponamus.

Nam ipſi ſumus qui beneficio fruimur, & multum lucri inde nobis conciliamus: ſicut etiam ſi hoc non fecerimus, omnino nihil eos lædere poterimus, nobiſipſis autem intolerabilem gehennæ pœnam paramus. Idcirco obſecro, vt cogitantes hæc, nunquam admittamus, vt eorum qui nos contriſtarunt, ſed aliâs offenderunt, iniuriæ reminiſcamur, vel inimico animo erga illos afficiamur: ſed conſiderantes, quanta hoc nobis afferat beneficia, & quantam apud dominum fiduciam: & ante omnia, quòd reconciliari cum iis qui nos iniuria affecere, peccatorum noſtrorum abſumptio quædam eſt: feſtinemus & anhelemus vt paratum inde lucrum reputantes tam officioſi in eos ſimus, qui nos offendere, quàm ſumus in eos qui verè nobis benefaciunt. Nam ſi ſapimus, non ita nobis prodeſſe poterunt qui beneuoli in nos ſunt, & demereri cupiunt, atque iſtorum cultus & obſeruatio diuinum fauorem nobis conciliabit, noſque ſarcina peccatorum leuabit. Cogita obſecro dilecte, quanta ſit huius virtutis magnitudo, & diſce vel ex præmiis quæ propter illam vniuerſi dominus promiſit. Nam cùm dixiſſet, Diligite inimicos veſtros, benedicite eis qui perſequuntur vos, orate pro calumniantibus vos: quia ſublimia ſunt præcepta, ſummúmque verticem tangentia: inquit, vt efficiamini ſimiles patri veſtro, qui in cœlis eſt: quia ſolem ſuum oriri facit ſuper bonos & malos, & pluit ſuper iuſtos & iniuſtos. Vidiſti duntaxat pro humanis viribus, cui ſimilis fiat qui non ſolum non vlciſcitur eum qui offendit, ſed & pro eo orare ſtudet? Ne igitur negligentia noſtra talibus nos fraudemus bonis, & præmiis quæ omnem ſermonem tranſcendunt: ſed modis omnibus boni huius operis nobis cura ſit, cogatúrque & erudiatur mens vt pareat Dei præceptis. Nam propterea hanc admonitionem & ego nunc feci, & parabolam in medium attuli, & quanta ſit huius boni operis magnitudo, & quantum inde lucrum nobis accreſcat, oſtendi,

Matth. 5. & Lucæ 6.

A αὐτοὶ γάρ ἐσμεν οἱ τῆς εὐεργεσίας ἀπολαύοντες, καὶ πολὺ τὸ κέρδος ἑαυτοῖς ἐντεῦθεν προξενοῦντες· ὥσπερ ἐὰν μὴ τοῦτο ποιῶμεν, πάλιν ἐκείνους μὲν οὐδ' ὅλως ἀδικῆσαί τι δυνησόμεθα, ἑαυτοῖς δὲ τὴν ἀφόρητον τῆς γεέννης κόλασιν προευτρεπίζομεν. διὸ παρακαλῶ, ταῦτα λογιζόμενοι μηδέποτε ἀνεχώμεθα τοῖς λελυπηκόσιν ἡμᾶς, ἢ ἑτέρως πως ἀδικήσασι μνησικακεῖν, ἢ ἐχθρωδῶς πρὸς αὐτοὺς διακεῖσθαι, ἀλλ' ἐννοοῦντες ὅσης ἡμῖν εὐεργεσίας πρόξενοι καὶ παρρησίας παρὰ τῷ δεσπότῃ γίνονται, καὶ πρὸ πάντων ὅτι δαπάνη τυγχάνει τῶν ἡμετέρων B ἁμαρτημάτων ἡ πρὸς τοὺς λυπήσαντας καταλλαγή, σπεύδωμεν καὶ ἐπειγώμεθα, καὶ τὸ ἐκ τούτου κέρδος ἐννοοῦντες τοσαύτην ἐπιδειξώμεθα περὶ τοὺς ἠδικηκότας θεραπείαν, ὡσανεὶ πρὸς εὐεργέτας ἀληθῶς. ἐὰν γὰρ νήφωμεν, οὐχ οὕτως οἱ γνησίως περὶ ἡμᾶς διακείμενοι καὶ παντὶ τρόπῳ θεραπεύειν σπουδάζοντες ὠφελῆσαι ἡμᾶς δυνήσονται, ὡς ἡ περὶ τούτους θεραπεία, ἀξίους ἡμᾶς τῆς ἄνωθεν εὐνοίας ἀπεργαζομένη, καὶ τοῦ φορτίου τῶν ἡμαρτημένων ἡμῖν ἐπικουφίζουσα. ἐννόησον γάρ μοι, ἀγαπητέ, C ὅσον τῆς ἀρετῆς τὸ μέγεθος ταύτης ἀπὸ τῶν ἐπάθλων, ὧν ἐπηγγείλατο τοῖς ταύτην κατωρθωκόσιν ὁ τῶν ὅλων θεός. εἰπὼν γάρ, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ἐπειδὴ μεγάλα ἦν τὰ ἐπιτάγματα καὶ τῆς ἄκρας αὐτῆς ἁπτόμενα κορυφῆς, φησιν, ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. εἶδες κατὰ δύναμιν ἀνθρωπίνην τίνι παρόμοιος γίνεται ὁ μὴ μόνον μὴ ἀμυνόμενος τοὺς λελυπηκότας, D ἀλλὰ καὶ προσεύχεσθαι ὑπὲρ αὐτῶν σπουδάζων; μὴ τοίνυν ἀποστερῶμεν ἑαυτοὺς διὰ ῥαθυμίαν τοιούτων δωρεῶν καὶ τῶν ἐπάθλων τῶν πάντα λόγον ὑπερβαινόντων, ἀλλὰ παντὶ τρόπῳ τοῦτο κατορθῶσαι σπουδάζωμεν, καὶ βιασάμενοι τὸν λογισμὸν παιδεύσωμεν εἴκειν τῷ τοῦ θεοῦ ἐπιτάγματι. διὰ γὰρ τοῦτο κἀγὼ νῦν ἐποιησάμην ταύτην τὴν παραίνεσιν, καὶ τὴν παραβολὴν εἰς μέσον ἤγαγον, καὶ τοῦ κατορθώματος ἔδειξα τὸ μέγεθος, καὶ ὅσον ἡμῖν ἐκ τούτου κέρδος γίνεται,

ἵνα, ὡς ἔτι καιρὸς, ἕκαστος ἡμῶν εἴ τινα ἔχει ἐχθρωδῶς πρὸς αὐτὸν διακείμενον, σπουδὴν ποιήσηται διὰ τῆς πολλῆς θεραπείας καταλλάξαι αὐτὸν ἑαυτῷ. καὶ μή μοι λεγέτω τις, ὅτι καὶ ἅπαξ καὶ δεύτερον παρεκάλεσα, καὶ οὐ προσήκατο· εἰ ἀπὸ εἰλικρινείας τοῦτο πραττόμεθα, μὴ πρότερον παυσώμεθα μέχρις ἂν τῇ πολλῇ προσεδρίᾳ νικήσαντες ἐφελκυσώμεθα αὐτὸν, καὶ ἀποστήσωμεν τῆς πρὸς ἡμᾶς ἀπεχθείας. μὴ γὰρ ἐκείνῳ τι χαριζόμεθα; εἰς ἡμᾶς διαβαίνει τὰ τῆς εὐεργεσίας. τοῦ θεοῦ τὴν εὔνοιαν ἐπισπώμεθα, τῶν ἁμαρτημάτων τὴν συγχώρησιν ἑαυτοῖς προαποτιθέμεθα, παῤῥησίαν πολλὴν πρὸς τὸν δεσπότην ἐκ τούτου λαμβάνομεν. ἂν τοῦτο κατορθώσωμεν, δυνησόμεθα μετὰ καθαροῦ συνειδότος καὶ τῇ ἱερᾷ ταύτῃ καὶ φρικτῇ τραπέζῃ προσελθεῖν, καὶ τὰ ῥήματα ἐκεῖνα τὰ τῇ εὐχῇ συνεζευγμένα μετὰ παῤῥησίας φθέγξασθαι. ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον. διὸ τῷ ἑκάστου συνειδότι καταλιμπάνω εἰδέναι, πῶς μὲν κατορθωκότες τὴν ἐντολὴν μετὰ παῤῥησίας προΐεσθαι ταῦτα δυνάμεθα κατὰ τὸν καιρὸν ἐκεῖνον τὸν φοβερόν. εἰ δὲ ῥαθυμήσαιμεν, πόσης ἡμῖν οὐκ ἂν γένοιτο κατακρίσεως αἴτιον ἐναντία τοῖς ῥήμασι διαπραττομένοις, τολμᾶν ἁπλῶς καὶ εἰκῆ προφέρειν τὰ τῆς εὐχῆς ῥήματα, καὶ μεῖζον ἑαυτοῖς ἐπισωρεύειν τὸ πῦρ, καὶ τὴν ἀγανάκτησιν ἐκκαλεῖσθαι τοῦ δεσπότου; χαίρω καὶ εὐφραίνομαι ὁρῶν ὑμᾶς μεθ' ἡδονῆς ἀκούοντας τὰ λεγόμενα, καὶ διὰ τοῦ κρότου δεικνύντας, ὅτι ἕτοιμοι γενέσθαι σπουδάζετε καὶ εἰς ἔργον ἀγαγεῖν τὴν δεσποτικὴν ταύτην παραίνεσιν. τοῦτο γάρ ἐστι τὸ ἰατρεῖον τῶν ἡμετέρων ψυχῶν, τοῦτο φάρμακον τοῖς ἡμετέροις τραύμασιν, αὕτη ἀρίστη ὁδὸς τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως, τοῦτο μέγιστον δεῖγμα φιλοθέου ψυχῆς, τὸ διὰ τὸν τοῦ δεσπότου νόμον πάντα καταδέχεσθαι καὶ μὴ ἀποσύρεσθαι ἀπὸ τῆς τῶν λογισμῶν ἀσθενείας, ἀλλ' ἀνωτέρους γίνεσθαι τῶν παθῶν, ἐννοοῦντας τὰς ἐφ' ἑκάστης ἡμέρας παρὰ τοῦ θεοῦ εἰς ἡμᾶς εὐεργεσίας γεγενημένας. καὶ ὅσῳ περ ἂν ἐπιδειξώμεθα, οὐδὲ τὸ πολλοστὸν φθάσαι μέρος δυνησόμεθα τῶν τε ἤδη παρασχεθέντων ἡμῖν, τῶν τε καθ' ἑκάστην ἡμέραν εἰς ἡμᾶς γινομένων καὶ τῶν τεταμιευμένων ἡμῖν ἀγαθῶν, εἰ βουληθείημεν εἰς ἔργον ἀγαγεῖν τὰ παρ' αὐτοῦ προστεταγμένα. ἕκαστος τοίνυν ἐντεῦθεν ἐξιὼν, ἔργον τοῦτο ποιησάσθω, καὶ ὡς ἐπὶ θησαυρὸν μέγιστον σπευδέτω, καὶ μηδὲ τὸ τυχὸν ἀναβαλλέσθω.

A vt cùm adhuc tempus eſt, ſi quis ex vobis eſt qui alium habeat ſibi infenſum, operam det, vt officioſe reconcilietur. At ne quis mihi dicat: Semel atque iterum oraui, & non aſſenſit: Si hoc ſynceriter facimus, non prius quieſcamus, donec multa ſedulitate victoriam adepti, illum nobis conciliemus, & à ſuis in nos inimicitiis abducamus. Neque enim illi quid largimur, ſed in nos tranſeunt beneficia: Dei fauorem hinc aſſequimur, peccatorum noſtrorum macula detergi facimus, magnam apud Deum fiduciam accipimus. B Si hoc fecerimus, poterimus pura conſcientia ad ſanctam terribilémque hanc menſam accedere, & verba illa quæ precationi inſerta ſunt, fideliter dicere. Sciunt initiati illi quid dicatur. Proinde vniuſcuiuſque conſcientiæ relinquo quomodo mandato illo impleto, per illud terribile tempus fidenter dicere poſſimus. Quòd ſi negligentes fuerimûs, quanta hinc nobis condemnationis cauſa, qui cum ea quæ ſunt dictis noſtris contraria faciamus, C audemus temerè verba precum pronunciare, & maiorem nobis ipſis ignem extruere, irámque Dei in nos prouocare? Gaudeo & lætor, quia video vos tanta voluptate quæ dicimus audire, & plauſu oſtēdere vos ſtudere promptos eſſe, & ad dominici mandati adimpletionem paratos. Hæc enim animarum noſtrarum medicina eſt, hoc vulnerum noſtrorum pharmacum: hæc optima Deo placens via, hoc certiſſimum piæ animæ indicium, ſuſcipere omnia propter legem domini, & à cogitationum infirmitate D non retrahi, ſed affectionibus imperare, animo verſare beneficia nobis à Deo quotidie exhibita, & quantumuis conemur, vix vllam partem exponere poterimus eorum vel quæ olim in nos collata, vel quæ quotidie accipimus, vel quæ in futurum repoſita ſunt bona, ſi voluerimus mandata domini opere complere. Igitur hinc exeuntes, iſtud in primis agendum quique proponat, & quaſi ad theſaurum maximum feſtinent, neque differant, vt fieri ſolet,

Dimitte nobis, ſicut & nos dimittimus.

Etiamſi labore, vel inquiſitione, vel A longo itinere opus ſit, etiamſi moleſtiæ multæ ſint, omnia hæc auferamus impedimenta. Vnica nobis cura ſit, quomodo mandatum domini adimpleamus, & obedientiæ nobis afferatur merces. Scio quòd graue & moleſtum videtur, ad eum qui hoſtiliter in te affectus ſit, abire, cúmque eo ſtare & loqui: at ſi mandati cogitaueris dignitatem, & retributionis magnitudinem, & quòd non in illum, ſed in te recurrant beneficia, omnia tibi leuia & facilia videbuntur. Hæc igitur in mentibus noſtris verſantes, conſuetudinem noſtram vincamus, piáque mente dominica mandata adimpleamus, quò & à Chriſto remunerari mereamur, gratia & miſericordia bonitatis eius, cui cum patre, & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A κἂν καμεῖν δέῃ, κἂν ζητῆσαι, κἂν μακρὰν ὁδὸν ἀπελθεῖν, κἂν δυσκολίαι τινὲς ὦσι, πάντα ταῦτα τὰ κωλύματα ἀνέλωμεν. ἑνὸς μόνου γινώμεθα, πῶς τὸ παρὰ τοῦ δεσπότου ἐπιταχθὲν εἰς ἔργον ἀγαγεῖν δυνηθῶμεν, καὶ τῆς ὑπακοῆς τὸν μισθὸν κομίσασθαι. μὴ γὰρ οὐκ οἶδα ὅτι βαρὺ καὶ ἐπαχθὲς φαίνεται, τὸ πρὸς τὸν ἐχθρωδῶς διακείμενον καὶ πολεμίως, ἀπελθεῖν καὶ στῆναι καὶ διαλεχθῆναι; ἀλλ' ἐὰν ἐννοήσῃς τοῦ ἐπαγγέλματος τὸ ἀξίωμα, καὶ τῆς ἀμοιβῆς τὸ μέγεθος, καὶ ὅτι οὐκ εἰς ἐκεῖνον, ἀλλ' εἰς σὲ ἀνατρέχει τὰ τῆς εὐεργεσίας, πάντα σοι κοῦφα καὶ ῥᾴδια φανεῖται. ταῦτα τοίνυν στρέφοντες ἐν τοῖς B λογισμοῖς τοῖς ἡμετέροις περιγινώμεθα τῆς συνηθείας, καὶ εὐσεβεῖ λογισμῷ τῶν ἐπιταγμάτων τοῦ Χριστοῦ πληρωταὶ γινώμεθα, ἵνα καὶ τῶν παρ' αὐτοῦ ἀμοιβῶν ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τῆς αὐτοῦ ἀγαθότητος, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Homilia XXVIII.

Ὁμιλία κη.

Gen. 9.8 *Et dixit dominus Deus ad Noë, & ad*
filios eius cum eo. 9 *Ecce ego ſtatuo te-* C
ſtamentum meum vobiſcum, & cum
ſemine veſtro poſt vos, 10 *& omni ani-*
mæ viuenti vobiſcum, tam in volu-
cribus quàm in pecudibus, & omni-
bus beſtiis terræ.

Καὶ εἶπεν ὁ θεὸς τῷ Νῶε καὶ τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτοῦ, λέγων· καὶ ἰδοὺ ἐγὼ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν, καὶ τῷ σπέρματι ὑμῶν μεθ' ὑμᾶς, καὶ πάσῃ ψυχῇ ζώσῃ μεθ' ὑμῶν, ἀπό τε ὀρνέων καὶ ἀπὸ κτηνῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς.

HERI propoſita benedictione, quam conſecutus eſt à domino iuſtus, qui poſt egreſſum ex arca, altare ædificauit, & oblatis D hoſtiis ſuam declarauit gratitudinem, vlterius neque progredi, neque lectionem totam enarrare, neque quantum ſe humilitati noſtræ benignus Deus attemperet, oſtendere potuimus: nam ſermonem noſtrum, quia prolixius ſe extendebat, celeriter ſuccidimus, vt ne multitudine veſtra memoria adobrueretur, non ſine iactura eorum quæ dicenda erant. Non enim hoc ſolum nobis curæ eſt, vt multa dicamus: ſed tanta, quæ vobis facile ſit mente capere, quò cũ lucro hinc abire liceat.

Τὴν εὐλογίαν εἰς τὸ μέσον προθέντες χθὲς, ἧς ὁ Νῶε ἠξιώθη παρὰ τοῦ δεσπότου μετὰ τὴν ἔξοδον τὴν ἀπὸ τῆς κιβωτοῦ θυσιαστήριον οἰκοδομήσας, καὶ τὰς εὐχαριστηρίους θυσίας ἀναγαγὼν, καὶ τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξάμενος, οὐκ ἰσχύσαμεν περαιτέρω προελθεῖν, καὶ πάντῃ ἐπεξελθεῖν τῷ ἀναγνώσματι, καὶ δεῖξαι τοῦ φιλανθρώπου θεοῦ τὴν συγκατάβασιν καὶ τὴν κηδεμονίαν, ἣν περὶ τὸν δίκαιον ἐπεδείξατο. ἐπειδὴ γὰρ εἰς πολὺ μῆκος ἡμῖν ὁ λόγος ἐξετάθη, ταχέως αὐτὸν συνεστείλαμεν, ὥστε μὴ τῷ πλήθει καταχῶσαι τὴν μνήμην ὑμῶν, μηδὲ τοῖς μετὰ ταῦτα λεγομένοις λυμήνασθαι τοῖς ἤδη ῥηθεῖσιν. οὐδὲ γὰρ τοῦτο ἁπλῶς ἐσπουδάσαμεν μόνον, τὸ πολλὰ εἰπεῖν, ἀλλὰ τοσαῦτα βουλόμεθα λέγειν, ὅσα δυνατὸν καὶ ὑμᾶς τῇ μνήμῃ παρακατασχεῖν, καὶ κερδάναντας ἐντεῦθεν ἀπελθεῖν.

εἰ γὰρ

εἰ γὰρ δὴ μέλλομεν καὶ ἡμεῖς πλείονα τοῦ δέοντος λέγειν, καὶ ὑμεῖς μηδὲν ἐκ τῶν λεγομένων καρποῦσθαι, τί τὸ ὄφελος; εἰδότες τοίνυν ὅτι διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν τοῦτον ἀνεδεξάμεθα τὸν κάματον, καὶ αὐταρκοῦσαν ἀμοιβὴν εἰληφέναι νομίζομεν, εἰ τὴν ὑμετέραν θεασοίμεθα προκοπὴν μετὰ ἀκριβείας κατέχουσαν τὰ λεγόμενα, καὶ ἐν τοῖς κόλποις τῆς ὑμετέρας διανοίας ἐναπόθεσθε συνεχῶς ταῦτα κινοῦντες καὶ ἀναμαρυκώμενοι. ἡ γὰρ μνήμη τῶν ἤδη ῥηθέντων παρασκευάσει μετὰ πλείονος εὐκολίας ὑμᾶς δέχεσθαι καὶ τὰ μέλλοντα ῥηθήσεσθαι, καὶ οὕτω τοῦ χρόνου προϊόντος καὶ ἑτέροις διδάσκαλοι γενήσεσθε. τοῦτο γὰρ ἡμῶν ἡ πᾶσα ἀγρυπνία καὶ ἡ σπουδή, ὥστε πάντας ὑμᾶς τελείους καὶ ἀπηρτισμένους γενέσθαι, καὶ μηδὲν ὑμᾶς λανθάνειν τῶν ἐν ταῖς θείαις γραφαῖς κειμένων. ἡ γὰρ τούτων γνῶσις, εἰ βουληθείημεν νήφειν καὶ ἐγρηγορέναι, καὶ πρὸς τὴν ἀρίστην πολιτείαν τὰ μέγιστα ἡμῖν συμβαλεῖται, καὶ προθυμοτέρους ἐργάσεται πρὸς τοὺς τῆς ἀρετῆς πόνους. ὅταν γὰρ παιδευθῶμεν ὅτι ἕκαστος τῶν δικαίων τῶν πολλὴν παῤῥησίαν πρὸς τὸν θεὸν κτησαμένων, διὰ πειρασμῶν καὶ θλίψεων ὁδεύσας ἅπαντα τὸν βίον, καὶ πολλὴν τὴν ὑπομονὴν καὶ τὴν εὐχαριστίαν ἐπιδειξάμενος, οὕτω τῆς ἀμοιβῆς ἠξιώθη, πῶς οὐχὶ καὶ αὐτοὶ σπουδάσομεν τὴν αὐτὴν αὐτοῖς ὁδὸν ἐλθεῖν, ἵνα καὶ τῶν αὐτῶν αὐτοῖς τύχωμεν ἀμοιβῶν; διὸ παρακαλῶ καθ᾽ ἑκάστην ἡμέραν προσθήκην τινὰ ἐργάζεσθαι, καὶ αὔξειν ὑμῶν τὴν κατὰ θεὸν οἰκοδομήν, καὶ τὰ μὲν ἤδη κατορθωθέντα μετὰ ἀσφαλείας καὶ πολλῆς τῆς φυλακῆς διατηρεῖν, τὰ δὲ λείποντα προστιθέναι, ἵνα οὕτως εἰς αὐτὴν τὴν κορυφὴν τῆς ἀρετῆς φθάσητε εἰς καύχημα ἡμέτερον, εἰς οἰκοδομὴν τῆς ἐκκλησίας, εἰς δόξαν Χριστοῦ. καὶ γὰρ ὁρῶν ὑμῶν τὸ ἀκόρεστον περὶ τὴν πνευματικὴν διδασκαλίαν, οὐ παύομαι καθ᾽ ἑκάστην ἡμέραν, καίτοι πενίαν πολλὴν ἐμαυτῷ συνειδώς, τὴν ἑστίασιν ὑμῖν τὴν ἀπὸ τῶν θείων γραφῶν παρατιθείς, καὶ ἅπερ ἂν ἡ τοῦ θεοῦ χάρις διὰ τὴν οἰκείαν φιλανθρωπίαν, καὶ διὰ τὴν ὑμετέραν ὠφέλειαν χορηγήσῃ, ταῦτα ταῖς ὑμετέραις ἀκοαῖς παρατιθέμενος. φέρε οὖν καὶ σήμερον δείξωμεν ὑμῶν τῇ ἀγάπῃ τὸ τῆς τοῦ θεοῦ φιλανθρωπίας τὴν ὑπερβολήν, ἣν περὶ τὴν ἀνθρωπίνην φύσιν ἐπιδείκνυται, αὐτὰ τὰ παρὰ τοῦ θεοῦ ῥηθέντα τῷ Νῶε εἰς μέσον προστιθέντες. καὶ εἶπεν ὁ θεὸς τῷ Νῶε, καὶ τοῖς υἱοῖς αὐτοῦ. μετὰ τὸ εὐλογῆσαι αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἰπεῖν,

A Nam ſi nos plura quàm par ſit dixerimus, & vos nihil inde percipiatis, quæ vtilitas? Scitis enim, quòd propter veſtram vtilitatem hunc laborem ſuſcepimus, & iuſtam nos mercedem accepiſſe credimus, ſi veſtrum videamus profectum: & quòd diligenter quæ dicuntur teneatis in ſinibus animi veſtri repoſita, continuò ea memorantes & ruminantes. Memoria enim olim dictorum, faciet, vt maiori commoditate dicenda capere poſſitis, atque ita progreſſu temporis cæteros etiam docere. In hoc enim planè inuigilamus & B incumbimus, vt omnes vos perfecti & conſummati fiatis, & nihil eorum quæ in diuinis ſcripturis continentur vos lateat. Etenim eorum notitia, ſi vigiles ſobriíque eſſe volumus, & ad melioris vitæ frugem plurimum nobis conferet, alacrioréſque ad virtutis labores efficiet. Nam cum docemur, omnibus iuſtis magnam apud Deum eſſe fiduciam, qui afflicti & tentati per omnem vitam ſuam, patientiam & gratitudinem declararunt, & ſic præmia ſunt C adepti: quomodo non & nobis curæ erit, vt eandem incedamus viam, quò & eadem præmia obtineamus? Ideo obſecro, vt quotidie aliquid accedat boni operis, & creſcat veſtrum ædificium ſpirituale, & bona opera quæ olim feciſtis, diligenter cuſtodiatis, & ſi quæ adhuc deſiderantur adiiciatis, & ſic in ſummum virtutis perueniatis faſtigium, in noſtram gloriam, in ædificationem eccleſiæ, in honorem Chriſti. Sanè ego videns inexplebilem veſtram ſpiritualium doctrinarum aui- D ditatem, etiam ſatis conſcius magnæ meæ tenuitatis, non intermitto quotidie apparare ex diuinis ſcripturis conuiuium, & quæcunque Dei gratia propter ſuam benignitatem & veſtram vtilitatem ſuppeditauerit, proponere. Agè igitur & hodie indicemus charitati veſtræ eminẽtem Dei benignitatem, quam humano generi contulit, & ob id verba quæ Deus ad Noë dixit, afferamus. Et dixit Deus ad Noë, & filios illius. Poſtquam benedixit illum & filios illius, & dixit,

Creſcite & multiplicamini: & tradidit illis dominium ſuper bruta omnia, poteſtatémque dedit hiſce quaſi oleribus herbarum veſci, nec non & mandauit vt carnes in ſanguine non comedant: adhuc gerens curam iuſti & poſteritatis, beneficiíſque noſtrum genus adobruens denuo maiora adiicit beneficia, & inquit, *Dixítque dominus Deus Noë & filiis illius cum ipſo, dicens:* [9] *Ecce ſtatuo teſtamentum meum vobiſcum, & cum ſemine veſtro poſt vos, & omni animæ viuenti vobiſcum à volucribus, & pecoribus, & omnibus beſtiis terræ quæcunque ſunt vobiſcum; & omnibus quæ egreſſa ſunt ex arca,* [11] *& ſtatuam teſtamentum meum vobiſcum. Et non morietur vltrà omnis caro ex aquis diluuij, nec erit vltra diluuium aquæ, quod omnem terram corrumpat.* Quia veriſimile erat iuſtum adhuc in angore eſſe, & mentem illius formidine teneri: & ſi quando ingrueret paruus aliquis imber, futurum triſtem & attonitum, quaſi denuo talis tempeſtas mundum inuolutura ſit: ideo vt & ipſe fidere poſſit, poſteritáſque omnis, optimus Deus bene ſciens quòd & paruus mœror turbare queat. Nam præteritorum experientia ad formidinem incutiendam multum habet momenti. Itaque quia veriſimile erat beatum hunc & & paruam ob pluuiã formidaturum, idcirco benignus Deus, quaſi fiduciam illi adhibiturus, & ab omni formidine ſolutum, in magnam ſecuritatem & iucunditatem inducturus, promittit ipſi, quòd eiuſmodi pœnam vltrà non ſit illaturus. Et hoc quidem pridem & ante benedictionem promiſerat, dicens, quemadmodum audiuiſtis, Non adiiciam vltrà vt maledicam terram, etiamſi hominum malitia increſcat, non tamen ego humanum genus tali ſubiiciam pœnæ. Nam monſtrando ineffabilem ſuam benignitatem, idipſum nunc denuo promittit vt bene confidat iuſtus, nec cogitet apud ſe, ac dicat: Et olim benedictionem generi noſtro dedit, & vt valde multiplicaretur effecit: ſed poſtea communem illam omnium internecionem inuexit. Quocirca vt omnem è cogitationibus illius tumultum ex-

A αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ τὴν ἀρχὴν τὴν κατὰ τῶν ἀλόγων ἁπάντων ἐνεχείρισε, καὶ τὴν ἐξουσίαν δοῦναι τοῦ, ὡς λάχανα χόρτου, οὕτω τούτων ποιεῖσθαι τὴν μετάληψιν, καὶ ἐντείλασθαι ὥστε κρέα ἐν αἵματι μὴ φαγεῖν, κηδόμενος ἔτι καὶ τοῦ δικαίου καὶ τῶν μετὰ ταῦτα μελλόντων ἔσεσθαι, καὶ φιλοτιμούμενος ἀεὶ ταῖς εὐεργεσίαις τὴν ἡμετέραν φύσιν, προστίθησι πάλιν εὐεργεσίας μείζους καί φησι· καὶ εἶπεν ὁ θεὸς τῷ Νῶε, καὶ τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτοῦ, λέγων· ἰδοὺ ἐγὼ ἀνιστῶ τὴν διαθήκην μου ὑμῖν, καὶ τῷ σπέρματι ὑμῶν μεθ' ὑμᾶς, καὶ πάσῃ ψυχῇ ζώσῃ μεθ' ὑμῶν, ἀπὸ ὀρνέων καὶ ἀπὸ κτη-
B νῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ὅσα μεθ' ὑμῶν, ἀπὸ πάντων τῶν ἐξελθόντων ἀπὸ τῆς κιβωτοῦ· καὶ στήσω τὴν διαθήκην μου πρὸς ὑμᾶς, καὶ οὐκ ἀποθανεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ. καὶ οὐκ ἔτι ἔσται κατακλυσμὸς ὕδατος; καταφθεῖραι πᾶσαν τὴν γῆν. ἐπειδὴ εἰκὸς ἦν τὸν δίκαιον ἔτι ἐναγώνιον εἶναι, καὶ τῷ δέει καταβεβλῆσθαι αὐτοῦ τὴν διάνοιαν, καὶ εἴ ποτε συμβαίη μικράν τινα ἐπομβρίαν γενέσθαι, ἔμελλεν ἂν ἀλύειν καὶ ἀναχαιτίζειν, ὡς πάλιν τοιούτου κλύδωνος τὴν οἰκουμένην καταλαμβάνοντος, ἵνα καὶ αὐτὸς ἔχῃ
C θαρρεῖν καὶ οἱ εἰς τὸ ἑξῆς ἅπαντες, ὁ ἀγαθὸς δεσπότης εἰδὼς, ὅτι καὶ τὸ τυχὸν αὐτὸν λυποῦν θορυβῆσαι δυνήσεται. ἡ γὰρ πεῖρα τῶν παρελθόντων ἱκανὴ πολλὴν δειλίαν ἐμβαλεῖν. ἐπεὶ οὖν εἰκὸς ἦν τὸν μακάριον τοῦτον καὶ ἀπὸ τοῦ τυχόντος ὑετοῦ καταπλαγῆναι καὶ δειλιάσαι, διὰ τοῦτο ὁ ἀγαθὸς θεὸς μονονουχὶ θαρρεῖν αὐτὸν παρασκευάζων, καὶ παντὸς δέους αὐτὸν ἀπαλλάττων, καὶ ἐν ἀδείᾳ πολλῇ καὶ εὐθυμίᾳ καθιστὰς ὑπισχνεῖται αὐτῷ μηκέτι τοιαύτην τιμωρίαν ἐπαγαγεῖν. καὶ τοῦτο μὲν ἤδη καὶ πρὸ τῆς εὐλογίας ὑπέσχετο λέγων, καθάπερ ἠκούσατε, ὅτι οὐ προσθῶ
D καταράσασθαι τὴν γῆν. εἰ καὶ οἱ ἄνθρωποι τὰ τῆς κακίας ἐπιτείνωσιν, ἀλλ' ὅμως ἐγὼ οὐκέτι τοιούτῳ ἐπιτιμίῳ ὑποβάλλω τὸ τῶν ἀνθρώπων γένος. δεικνὺς γὰρ αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν, καὶ πάλιν τοῦτο ὑπισχνεῖται, ἵνα θαρρεῖν ἔχῃ ὁ δίκαιος, καὶ μὴ λογίζεσθαι καθ' ἑαυτὸν καὶ λέγειν, καὶ ἤδη εὐλογίας ἀξιώσας τὸ γένος τὸ ἡμέτερον, καὶ εἰς πλῆθος ἐπιδιδόναι παρασκευάσας, τὴν πανωλεθρίαν ταύτην ἐπήγαγεν. ἵν' οὖν πάντα θόρυβον ἐκβάλῃ ἐκ τῶν αὐτοῦ λογισμῶν,

καὶ πληροφορηθῆ, ὡς οὐκέτι ἔσται τοῦτο· ὥσπερ γάρ, φησι, τὸν κατακλυσμὸν διὰ φιλανθρωπίαν ἐπήγαγον, ὥστε τὴν κακίαν ἐκκόψαι, καὶ μὴ περαιτέρω αὐτοὺς προβῆναι, οὕτω καὶ νῦν διὰ τὴν ἐμαυτοῦ φιλανθρωπίαν ἐπαγγέλλομαι μηκέτι τοῦτο ποιῆσαι, ἵνα πάσης ἀθυμίας ἐκτὸς διάγοντες οὕτω τὴν παροῦσαν ζωὴν διανύητε. Διὰ τοῦτο, φησιν, ἰδοὺ ἀνίστημι τὴν διαθήκην μου, τουτέστι συνθήκας ποιοῦμαι. καθάπερ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐπειδὰν τις ἐπαγγέλληταί τι, συντίθεται καὶ πολλὴν παρέχει τὴν πληροφορίαν· οὕτω καὶ ὁ ἀγαθὸς δεσπότης φησίν· ἰδοὺ ἀνίστημι τὴν διαθήκην μου. καὶ καλῶς εἶπεν ἀνίστημι, ἀντὶ τοῦ, ἰδοὺ ἐγὼ ἀνανεῶ τὴν ὑπὸ τῶν ἁμαρτημάτων πανωλεθρίαν αὐτῶν γεγενημένην, καὶ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν, καὶ τῷ σπέρματι ὑμῶν μεθ' ὑμᾶς. ὅρα φιλανθρωπίαν δεσπότου. οὐ μόνον μέχρις ὑμῶν, φησιν, ἵστημι τὰς συνθήκας, ἀλλὰ καὶ πρὸς τοὺς μεθ' ὑμᾶς γινομένους ταύτας βεβαίας ἀποφαίνω. εἶτα ἵνα τὴν οἰκείαν ἐπιδείξηται φιλοτιμίαν, φησί, καὶ πάσῃ ψυχῇ ζώσῃ μεθ' ὑμῶν, ἀπὸ ὀρνέων καὶ ἀπὸ κτηνῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ὅσα μεθ' ὑμῶν, ἀπὸ πάντων τῶν ἐξελθόντων ἐκ τῆς κιβωτοῦ. καὶ στήσω τὴν διαθήκην μου πρὸς ὑμᾶς, καὶ οὐκ ἀποθανεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ. καὶ οὐκέτι ἔσται κατακλυσμὸς ὕδατος, καταφθεῖραι πᾶσαν τὴν γῆν. εἶδες συνθηκῶν μέγεθος, εἶδες ὑποσχέσεων ἄφατον φιλοτιμίαν. σκόπει πῶς πάλιν ἐκτείνει αὐτοῦ τὴν φιλανθρωπίαν καὶ μέχρι τῶν ἀλόγων καὶ τῶν θηρίων, καὶ εἰκότως. ὅπερ γὰρ πολλάκις εἶπον, τοῦτο καὶ νῦν φημι. ἐπειδὴ γὰρ διὰ τὸν ἄνθρωπον ταῦτα παρήχθη, διὰ τοῦτο καὶ ταῦτα κοινωνεῖ νῦν τῆς εὐεργεσίας τῆς εἰς τὸν ἄνθρωπον γινομένης. καὶ δοκεῖ μὲν κοινὴ γίνεσθαι ἡ διαθήκη καὶ πρὸς αὐτὸν, καὶ πρὸς τὰ ἄλογα, οὐκ ἔστι δὲ τοῦτο. καὶ γὰρ καὶ τοῦτο διὰ τὴν αὐτοῦ παραμυθίαν γίνεται, ἵνα εἰδέναι ἔχῃ πόσης ἀπολαύει τιμῆς, οὐ μόνον μέχρις αὐτοῦ τῆς εὐεργεσίας ἱσταμένης, ἀλλὰ δι' αὐτὸν καὶ τούτων ἁπάντων συναπολαυόντων τῆς φιλοτιμίας τοῦ δεσπότου. καὶ οὐκ ἀποθανεῖταί, φησι, πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ, καὶ οὐκέτι ἔσται κατακλυσμός, καταφθεῖραι πᾶσαν τὴν γῆν. εἶδες πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις ὑπισχνεῖται τοιαύτην μη-

A pelleret, copioſis argumentis certum ipſum fecit, non futurum vltra tale diluuium: Quaſi ſcilicet diceret, diluuium ex miſericordia induxi, vt & malitia impediatur, neque vlterius progredi poſſit: ita & nunc eadem miſericordia polliceor me id non vltrà facturum, vt ſepoſito omni mœrore præſentem vitam tranſigatis. Et ideo dixit: Ecce ſtatuo teſtamentum meum, hoc eſt, pactum facio. Nam ſicut in humanis negociis ſi quis promittit aliquid, pactum facit, & certis argumentis & indiciis ſecurum alium facit: ita & B bonus dominus inquit: Ecce, ſtatuo teſtamentum meum. Et bene dixit ſtatuo, pro eo, quod eſt, Ecce ego inſtauro ea quæ ex peccatorum ruina acciderant: & ſtatuo teſtamentum meum vobiſcum, & cum ſemine veſtro poſt vos. Vide clementiam domini: quaſi diceret, Non tantum vobiſcum ſtatuo pactum: ſed & iis qui vos ſequentur, ſtabile & firmum fore pronuncio. Poſtea vt ſuam declaret liberalitatem, inquit: [10] *Et omni animæ viuenti vobiſcum, à* C *volatilibus, & à pecoribus, & omnibus beſtiis terræ, quæcunque ſunt vobiſcum ex omnibus quæ egreſſa ſunt ex arca,* [11] *& ſtatuā teſtamentum meum vobiſcum, & non morietur omnis caro vltrà ab aqua diluuij. Et non vltrà erit diluuium aquæ, vt corrumpat omnem terram.* Vidiſti pactorum magnitudinem? vidiſti promiſſionum ineffabilem liberalitatem? Conſidera quomodo benignitatem ſuam denuo facit vſque ad bruta & feras pertingere: & meritò. Quòd enim ſæpe dixi, hoc & nunc dico. Nam quia propter D hominem hæc producta ſunt, ideo & illorum beneficiorum partem habent quæ homini conceſſa ſunt. Et videtur quidem commune eſſe pactum ipſi & brutis, ſed non ita eſt. Nam & hoc homini ſolatio fuerit, vt ſcire poſſit in quanto ſit honorē, quòd non ſolum in ſe collocentur beneficia, ſed propter ſe in alia quoque animalia extendatur liberalitas. Et non morietur, inquit, omnis caro vltrà ab aqua diluuij, & non erit vltrà diluuium, vt corrumpat omnem terram. Vidiſti quomodo & ſemel, & iterum, & ſæpius pollicetur ſe non

vltrà immiſſurum communem omnium internecionem, vt ex mente iuſti hanc ſollicitudinem adimat, & de futuris vt bonam ſpem ille habeat? Dein non ſuam naturam ſpectans, ſed noſtram infirmitatem, non contentus eſt promiſſione ſua, quam verbis dedit: ſed iterum oſtendit quomodo ſe noſtræ infirmitati attemperat, & ſignum dat quod perpetuo durans tali metu humanum genus liberare poſſit, vt etiamſi ſæpe pluuiæ deferantur, & violentæ tempeſtates fiant, & ſi aquarum magna ſit inundatio, neque ſic metuendum ſit, ſed confidendum, nobis ad datum ſignum reſpicientibus. [12] *Et dixit Dominus Deus ad Noë, Hoc eſt ſignum teſtamenti, quod ego do inter me & te.* Vide quanto honore iuſtum dignatur, ita cum eo paciſcitur quaſi homo homini loquens, & dicit, *Hoc eſt ſignum teſtamenti, quod ego do inter me & te, & omnem animam viuentem, quæ vobiſcum eſt in generationes æternas.* Vidiſti quomodo ſignum dandum omni viuenti duraturum ſit in generationes æternas? non ſolum communiter omnibus viuentibus dat ſignum, ſed & perpetuum & æternum illud facit, quandiu mundus ſubſiſtet. Quodnam ergo ſignum eſt? [13] *Arcum meum pono in nube, & erit in ſignum inter me & terram.* Ecce poſt pollicitationem verbo factam, & hoc ſignum do, Iridem dicens, quam aliqui fieri dicunt ſole radios ſuos contra nubes mittente. Si ſermo meus, inquit, non ſufficit, ecce & ſignum do, nunquam vlterius talem me pœnam inducturum. Hoc ergo ſignum videntes à formidine liberemini. [14] *Et erit cum nubilauero,* inquit, *nubes ſuper terram, & apparebit arcus meus in nube,* [15] *& recordabor teſtamenti mei, quod eſt inter me & vos, & inter omnem animam viuentem ſuper omnem terram.* Quid dicis ô beate propheta? Recordabor, inquit, teſtamenti mei, hoc eſt, pacti mei, promiſſionis, pollicitationis. Non quia ipſe opus habeat recordatione, ſed vt nos ad illud ſignum reſpicientes, nihil durum ſuſpicemur; ſed ſtatim recordemur diuinæ promiſſionis, & roboremur, & confidamus, vtpote nihil tale paſ-

A κέτι ἐπαγαγεῖν πανωλεθρίαν, ἵνα τὸν θόρυβον τῶν λογισμῶν ἐκβάλῃ τοῦ δικαίου, καὶ παρασκευάσῃ θαρρεῖν ὑπὲρ τῶν μελλόντων. εἶτα οὐ πρὸς τὴν οἰκείαν φύσιν ἀφορῶν, ἀλλὰ πρὸς τὴν ἀσθένειαν τὴν ἡμετέραν, οὐκ ἀρκεῖται τῇ διὰ τῶν λόγων ὑποσχέσει, ἀλλὰ πάλιν τὴν περὶ ἡμᾶς συγκατάβασιν ἐπιδεικνύμενος, καὶ σημεῖον παρέχει τὸ δυνάμενον παντὶ τῷ αἰῶνι συμπαρεκτεινόμενον τοῦ τοιούτου δέους ἀπαλλάσσειν τὸ τῶν ἀνθρώπων γένος· ἵνα κἂν πολὺς ὑετὸς κατενεχθῇ, κἂν σφοδρότερος ὁ χειμὼν γένηται, ἢ καὶ ἐὰν ἡ πλημμύρα τῶν ὑδάτων εἰς πλῆθος ἐπιδιδῷ, μηδὲ οὕτως ἔχωμεν δε-
B δοικέναι, ἀλλὰ θαρρεῖν πρὸς τὸ δοθὲν σημεῖον ἀφορῶντες. καὶ εἶπε κύριος ὁ θεὸς τῷ Νῶε· τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ἧς ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. ὅρα πόσῃ τιμῇ περὶ τὸν δίκαιον κέχρηται. ὡσπερεὶ γὰρ ἄνθρωπος ἀνθρώπῳ διαλεγόμενος, οὕτω καὶ πρὸς αὐτὸν ποιεῖται τὰς συνθήκας, καί φησι· τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ἧς ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης, ἥ ἐστι μεθ' ὑμῶν εἰς γενεὰς αἰωνίους. εἶδες πάσῃ τῇ ζωῇ τὸ μέλλον δίδοσθαι σημεῖον παρεκτεινόμενον εἰς γενεὰς αἰωνίους; οὐ μόνον κοινῇ πᾶσι τοῖς ζῶ-
C σι τὸ σημεῖον δίδωσιν, ἀλλὰ καὶ διηνεκὲς καὶ διαιωνίζον τῇ τοῦ κόσμου συστάσει. τί οὖν ἐστι τὸ σημεῖον; τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ, καὶ ἔσται ἐν σημείῳ διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς. ἰδοὺ μετὰ τῆς ὑποσχέσεως τῆς διὰ τῶν λόγων καὶ τοῦτο δίδωμι τὸ σημεῖον, τὴν ἶριν λέγω, ἥν τινές φασι γίνεσθαι τοῦ ἡλίου πρὸς τὰ νέφη τὰς ἀκτῖνας ἀφιέντος. εἰ ὁ λόγος μου, φησὶν, οὐκ ἀρκεῖ, ἰδοὺ καὶ σημεῖον δίδωμι τοῦ μηκέτι τιμωρίαν τοιαύτην ἐπάξειν. τοῦτο τοίνυν ὁρῶντες τὸ σημεῖον τοῦ δέους ἀπαλλάττεσθε. καὶ ἔσται ἐν τῷ συννεφεῖν με, φησὶ, νε-
D φέλας ἐπὶ τῆς γῆς, καὶ ὀφθήσεται τὸ τόξον μου ἐν τῇ νεφέλῃ, καὶ μνησθήσομαι τῆς διαθήκης μου, ἥ ἐστιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκί. τί λέγεις, ὦ μακάριε προφῆτα; ἀναμνησθήσομαι, φησὶ, τῆς διαθήκης μου, τουτέστι, τῆς συνθήκης μου, τῆς ἐπαγγελίας, τῆς ὑποσχέσεως· οὐκ ἐπειδὴ αὐτὸς δεῖται ἀναμνήσεως, ἀλλ' ἵνα ἡμεῖς πρὸς ἐκεῖνο τὸ δοθὲν σημεῖον βλέποντες, μηδὲν ὑποπτεύωμεν χαλεπὸν, ἀλλ' εὐθέως εἰς ὑπόμνησιν ἐρχόμενοι τῆς τοῦ θεοῦ ἐπαγγελίας, θαρρῶμεν ὡς οὐδὲν τοιοῦτο πεισό-

μεθα. εἴδες Θεοῦ συγκατάβασιν, ὅσην ποιεῖται κηδεμονίαν τοῦ γένους τοῦ ἡμετέρου, πόσον μέγεθος φιλανθρωπίας ἐπεδείξατο· οὐκ ἐπειδὴ εἶδε τὴν τῶν ἀνθρώπων μεταβολὴν, ἀλλ' ἵνα διὰ πάντων ἡμᾶς διδάξῃ τῆς ἀγαθότητος αὐτοῦ τὴν ὑπερβολήν; καὶ οὐκ ἔσται ἔτι ὕδωρ εἰς κατακλυσμὸν, ὥστε ἐξαλεῖψαι πᾶσαν σάρκα. τοιοῦτος ὄμβρος οὐκέτι ἔσται. ἐπειδὴ οἶδε τοῦτο δεδοικυῖαν τὴν ἀνθρωπίνην φύσιν, ὅρα πῶς συνεχῶς ποιεῖται τὴν ὑπόσχεσιν, μονονουχὶ λέγων· κἂν ἴδητε πολλὴν τῶν ὄμβρων τὴν φορὰν, μηδὲ οὕτω χαλεπόν τι ὑποπτεύσητε. οὐ γὰρ ἔσται τὸ ὕδωρ εἰς κατακλυσμὸν, ὥστε ἐξαλεῖψαι πᾶσαν σάρκα. τοιοῦτος ὄμβρος οὐκέτι ἔσται, τοιαύτης ἀγανακτήσεως οὐκέτι πειραθήσεται ἡ τῶν ἀνθρώπων φύσις. καὶ ἔσται, φησὶ, τὸ τόξον μου ἐν τῇ νεφέλῃ, καὶ ὄψομαι, τοῦ μνησθῆναι διαθήκης αἰωνίου ἀνὰ μέσον τοῦ Θεοῦ, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκί. σκόπει πῶς βουλόμενος εἰς θάρσος καὶ εἰς πληροφορίαν ἀγαγεῖν τὴν ἀνθρωπίνην φύσιν, πόσῃ ταπεινότητι τῶν λόγων κέχρηται. καὶ ὄψομαι, φησι, τοῦ μνησθῆναι διαθήκης μου. ἡ ὄψις οὖν εἰς μνήμην αὐτὸν ἄγει; οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν μὴ γένοιτο. ἀλλ' ἵνα ὅταν ἴδωμεν τὸ σημεῖον τοῦτο, θαῤῥεῖν ἔχωμεν τῇ τοῦ Θεοῦ ἐπαγγελίᾳ, καὶ ὡς οὐχ οἷόν τε διαπεσεῖν τὰς τοῦ Θεοῦ ὑποσχέσεις. καὶ εἶπεν ὁ Θεὸς, φησι, τῷ Νῶε· τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ἧς διεθέμην ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον πάσης σαρκὸς, ἥ ἐστιν ἐπὶ τῆς γῆς. ἔλαβες, φησι, τὸ σημεῖον, ὅπερ δέδωκα μεταξὺ ἐμοῦ καὶ πάσης σαρκὸς τῆς οὔσης ἐπὶ τῆς γῆς. μηκέτι ταράττου τὴν διάνοιαν, μηδὲ θορυβοῦ τὸν λογισμὸν, ἀλλὰ πρὸς τοῦτο βλέπων καὶ αὐτὸς ἔχε χρηστὰς τὰς ἐλπίδας, καὶ οἱ μετὰ σὲ πάντες τῆς ἐντεῦθεν παραμυθίας ἀπολαυέτωσαν, καὶ ἡ ὄψις τοῦ σημείου παρεχέτω θαῤῥεῖν, ὡς οὐκέτι τοιοῦτον κλυδώνιον τὴν οἰκουμένην καταλήψεται. κἂν γὰρ ἐπιτείνηται τῶν ἀνθρώπων τὰ ἁμαρτήματα, ἀλλ' ἐγὼ ἅπερ ὑπεσχόμην ταῦτα πληρώσω, καὶ οὐκέτι τοιαύτην κατὰ πάντων ἀγανάκτησιν ποιήσομαι. εἴδετε ἀγαθότητος ὑπερβολήν; εἴδετε συγκαταβάσεως μέγεθος; εἴδετε κηδεμονίας ἐπίτασιν; εἴδετε φιλοτιμίας ἐπαγγελίαν;

A ſuri. Vidiſti quantum Deus verbis ſe propter noſtram infirmitatem humiliet, quantam curam gerat noſtri generis, quantam miſericordiæ magnitudinem declaret: non quia hominum conuerſionem vidit, ſed vt per homnia nos doceat excellentem ſuam bonitatem? Et non erit vltrà aqua in diluuium, ita vt deleat omnem carnem: non amplius erit eiuſmodi pluuia. Quia ſciuit hoc timere humanam naturam, vide quomodo continuò hoc pollicetur, quaſi dicēs, Etiamſi videritis multos imbres fieri, neque ſic aliquid duri vobiſcum B concipite. Non enim erit aqua in diluuium, ita vt deleat omnem carnē. Talis imber non erit vltrà, tantam indignationem non vltrà experietur humanum genus. Et erit, inquit, arcus meus in nube, & videbo vt recorder teſtamenti æterni inter Deū, & inter animam viuentem in omni carne. Conſidera quomodo volens humanam naturam ad fidem & firmam credulitatem inducere, quanta verborū vſus ſit humilitate. Et videbo, inquit, vt recorder teſtam. mei. C Ergóne viſus ipſum in memoriā ducit? abſit. Nō vt hoc ſuſpicemur abſit, ſed vt quando videmus ſignum hoc, Dei promiſſioni confidamus, certi ꝙ non ſit poſſibile Dei promiſſiones intercidere. Et dixit dominus Deus, inquit, ad Noë: Hoc ſignum teſtamenti mei, quod poſui inter me, & inter omnem carnem quæ eſt ſuper terram. Accepiſti, inquit, ſignum id quod dedi inter me & omnem carnem quæ eſt ſuper terram. Ne vltrà confundaris mente, ne turberis animo: ſed ad hoc reſpice, & ipſe D bonam ſpem habeto, & omnes qui poſt te futuri ſunt, hinc conſolationem accipiant. Et aſpectus ſigni fiduciam eis præſtet, quòd nunquam talis tempeſtas terram inuadet. Nam quamuis peccata hominum creſcant, ego tamen quæ promiſi adimplebo. & nunquam talem indignationem in omnes faciam. Vidiſtis quàm excellens domini bonitas? Vidiſtis quantum ad noſtram humilitatem verbis ſe demittat? Vidiſtis quanta eius erga nos curæ magnitudo? Vidiſtis quanta promittentis liberalitas?

Non enim beneficium ſuum vſque ad duas, vel tres, vel decem generationes extendit, ſed promiſit quoad ſubſiſtet mundus extendendum: vt ex vtroque emendatiores reddamur, & ex eo quòd illi propter multitudinem peccatorum tali pœna puniti ſunt, & ex eo quòd nos tanta promiſſione dignatus eſt. Nam cordatos beneficia magis, quàm pœnæ alliciunt ad mandatorum obedientiam. Igitur ne ſimus ingrati. Nam ſi nos antequam vllum bonitatis ſpecimen exhibuerimus, imò etiam cùm pœnis digna fecerimus, tanta dignatus eſt beneficētia: ſi grati fuerimus, & de prioribus gratitudinem declarauerimus, conuerterimúſque nos ad meliora, quanta tum denique nos dignabitur liberalitate & gratia, qui indignis ita benefacit, & tam benignus eſt peccatoribus? ſi à peccatis deſtiterimus, & virtutem ſectemur, quæ non conſecuturi ſumus? Enimuerò hac de cauſa prior ipſe multa in nos beneficia collocat, & cùm peccauerimus, iterum nobis veniam impartit, & ſupplicia non eueſtigiò infert: vt per omnia nos alliciat, & dum nobis benefacit, & dum longanimis eſt. Sæpe etiam dum aliquos punit, alios per hoc inducere vult, vt illorum metu caſtigati, ſupplicij periculum effugiant. Vidiſti ſapiētiſſimi Dei benignitatem, quomodo omnia quæ per ipſum fiunt, propter vnum ſolum, nempe humanam ſalutem, fiunt? Idcirco cùm hæc cogitamus, ne ſimus deſides, ne virtutem negligamus, ne prætereamus leges ab illo ſtatutas. Nam ſi viderit nos conuerti, & quieſcere & principium aliquod facere, ipſe quoque ſua ſimul afferet, faciétque nobis omnia leuia & facilia, & non permittet vt virtutis laborem ſentiamus. Nam quando anima ad Deum cogitationem ſuam intendit, non iam decipi poteſt à viſibilium aſpectu: ſed præteriens omnia ea quæ non videntur corporalibus oculis, quæ nullam ſciunt viciſſitudinem, ſed perpetuò manent, fixáque ſunt ac immota, diligentius ſpeculatur, quàm ea quæ ante pedes ſunt poſita. Tales enim mentis ſunt oculi, qui ad illorũ ſpectaculum continuò intendunt,

A οὐ γὰρ μέχρι δύο καὶ τριῶν ἢ δέκα γενεῶν ἐξέτεινεν αὐτοῦ τὴν εὐεργεσίαν, ἀλλὰ τῇ συστάσει τοῦ κόσμου ταύτην παρεκταθῆναι ὑπέσχετο, ἵνα ἐξ ἑκατέρων σωφρονιζώμεθα, καὶ ἐξ ὧν ἐκεῖνοι διὰ τὸ τῶν ἁμαρτημάτων πλῆθος τοιαύτην ἐπεδέξαντο τιμωρίαν, καὶ ἐξ ὧν ἡμεῖς διὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν τοιαύτης ἠξιώθημεν ὑποσχέσεως. τοὺς γὰρ νοῦν ἔχοντας καὶ αἱ εὐεργεσίαι μᾶλλον ἢ αἱ τιμωρίαι ἐφέλκονται πρὸς τὴν ὑπακοὴν τῶν ἐπιταγμάτων. μὴ τοίνυν ἀγνώμονες γινώμεθα. εἰ γὰρ καὶ πρὶν ἤ τι ἀγαθὸν ἡμᾶς ἐπιδείξασθαι, μᾶλλον δὲ καὶ κολάσεως ἄξια ἐργασαμένους τοσαύτης ἠξίω-
B σε τῆς εὐεργεσίας, εἰ εὐγνώμονες γενώμεθα, καὶ τὴν ἐπὶ τοῖς προλαβοῦσιν εὐχαριστίαν ἐπιδειξώμεθα, καὶ πολλὴν τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν ποιησώμεθα, πόσης οὐκ ἂν πάλιν ἡμᾶς ἀξιώσῃ τῆς παρ' αὐτοῦ φιλοτιμίας; εἰ γὰρ ἀναξίους ὄντας εὐεργετεῖ καὶ ἡμαρτηκότας φιλανθρωπεύεται, εἰ τῆς κακίας ἀποστάντες τὴν ἀρετὴν μεταδιώξομεν, τίνων οὐκ ἐπιτευξόμεθα; διὰ γὰρ τοῦτο προλαμβάνων πολλὰς εἰς ἡμᾶς τὰς εὐεργεσίας κατατίθεται, καὶ ἡμαρτηκότας πάλιν ἀξιοῖ συγγνώμης, καὶ τὰς τιμωρίας παραπόδας οὐκ ἐπάγει, ἵνα διὰ πάντων
C ἡμᾶς ἐφελκύσηται, καὶ δι' ὧν εὐεργετεῖ, καὶ δι' ὧν μακροθυμεῖ. πολλάκις δὲ καὶ δι' ὧν ἐνίους κολάζει, ἑτέρους ἐνάγειν βούλεται, ἵνα τῷ ἐκείνων φόβῳ σωφρονισθέντες τῆς τιμωρίας τὴν πεῖραν διαφύγωσιν. εἶδες εὐμήχανον αὐτοῦ φιλανθρωπίαν, πῶς πάντα τὰ παρ' αὐτοῦ γινόμενα δι' ἓν τοῦτο μόνον γίνεται, διὰ τὴν σωτηρίαν τὴν ἡμετέραν; ταῦτα τοίνυν ἐννοοῦντες μὴ ῥᾳθυμῶμεν, μηδὲ ἀμελῶμεν ἀρετῆς, μηδὲ τοὺς παρ' αὐτοῦ τεθέντας νόμους παρατρέχωμεν. ἐὰν γὰρ ἴδῃ ἐπιστρέφοντας ἡμᾶς, καὶ ἡσυχάζοντας, καὶ ὅλως ἀρχήν τινα ποιουμένους, καὶ αὐτὸς τὰ παρ' ἑαυτοῦ συνεισφέρει, κοῦφα καὶ ῥᾴδια
D ἡμῖν ἅπαντα κατασκευάζων, καὶ οὐκ ἀφιεὶς οὐδὲ αἴσθησιν λαβεῖν τῶν τῆς ἀρετῆς πόνων. ὅταν γὰρ ψυχὴ πρὸς τὸν θεὸν τείνῃ τὴν διάνοιαν, οὐκ ἔτι λοιπὸν ἀπατηθῆναι δύναται ὑπὸ τῆς ὄψεως τῶν ὁρωμένων, ἀλλὰ πάντα παρατρέχουσα, ἀκριβέστερον τούτων τῶν πρὸ τῶν ὀφθαλμῶν ἡμῶν κειμένων ἐκεῖνα φαντάζεται τὰ μὴ βλεπόμενα τοῖς σωματικοῖς ὀφθαλμοῖς, καὶ μεταβολὴν οὐκ ἐπιστάμενα, ἀλλὰ διηνεκῶς μένοντα καὶ πεπηγότα καὶ ἀκίνητα τυγχάνοντα. τοιοῦτοι γὰρ οἱ τῆς διανοίας ὀφθαλμοί. πρὸς τὴν ἐκείνων θέαν διηνεκῶς ἀφορῶσι,

καὶ ταῖς

A καὶ ταῖς ἐκεῖθεν μαρμαρυγαῖς καταυγαζόμενοι πάντα τὰ τοῦ παρόντος βίου, ὡς ὄναρ καὶ σκιὰν, παρατρέχουσιν, οὐκέτι ἀπάτην ὑπομένοντες, οὐδὲ παραλογισθῆναι δυνάμενοι· ἀλλὰ κἂν πλοῦτον ἴδωσιν, εὐθέως καταγελῶσιν, εἰδότες ὅτι δραπέτου παντὸς ἀγνωμονέστερον ἀπὸ τούτου εἰς ἐκεῖνον μεταπηδᾷ, καὶ οὐδέποτε ἵσταται, ἀλλὰ καὶ μυρία κακὰ τοὺς κεκτημένους διατίθησι, καὶ εἰς αὐτὸν, ὡς εἰπεῖν, τῆς κακίας τὸν κρημνὸν αὐτοὺς ὥσπερ καταβάλλει. κἂν σώματος εὐμορφίαν θεάσωνται, πάλιν οὐκ ἐπιστρέφονται, λογιζόμενοι τὸ ἐπίκηρον, τὸ εὐμετάβλητον, καὶ ὅτι ἀθρόον νόσος ἐπελθοῦσα πᾶσαν ἐκείνην B τὴν εὐμορφίαν ἠφάνισε, καὶ πρὸ τῆς νόσου γῆρας καταλαβὸν ἀηδῆ καὶ ἀτερπῆ τὴν πρὸ τούτου εὔμορφον ὄψιν ἀπειργάσατο, καὶ θάνατος δὲ ἐπελθὼν ἅπασαν τὴν τοῦ σώματος ὥραν διέφθειρε. κἂν δόξαν ἴδωσί τινα περιβεβλημένον, κἂν δυναστείαν, κἂν εἰς αὐτὴν τῶν ἀξιωμάτων τὴν κορυφὴν ἀνεληλυθότα, καὶ πάσης εὐημερίας ἀπολαύοντα, καὶ τοῦτον παρατρέχουσιν ὡς οὐδὲν βέβαιον ἔχοντα οὐδὲ ἀκίνητον, ἀλλ' ἐπ' ἐκείνοις μέγα φρονοῦντα τοῖς ποταμίων ῥευμάτων μᾶλλον παρατρέχουσι. C τί γὰρ τῆς δόξης ἁπάσης τοῦ παρόντος βίου εὐτελέστερον, ὅταν τῷ ἄνθει τοῦ χόρτου παραβάλληται; πᾶσα γὰρ δόξα ἀνθρώπου, φησὶν, ὡς ἄνθος χόρτου. εἴδετε, ἀγαπητοὶ, πῶς μετ' ἀκριβείας ὁρῶσιν οἱ τῆς πίστεως ὀφθαλμοὶ, ἐπειδὰν πρὸς τὸν θεὸν ᾖ τεταμένη ἡ διάνοια; εἴδετε πῶς ὑπ' οὐδενὸς τῶν ὁρωμένων παραλογισθῆναι δύνανται, ἀλλὰ τὴν ὀρθὴν τῶν πραγμάτων ἔχουσι κρίσιν, οὐδεμίαν ἀπάτην ὑπομένοντες. ἀλλ' εἰ δοκεῖ πάλιν ἐπὶ τὴν ἀκολουθίαν ἐπανέλθωμεν τοῦ λόγου, καὶ ὀλίγα προσθέντες καταπαύσωμεν D τὴν διδασκαλίαν, ὥστε καὶ τὴν μνήμην τῶν εἰρημένων ἐντεθῆναι ὑμῶν τῇ διανοίᾳ. ἐπειδὴ γὰρ ἐτέλεσεν ἡ θεία γραφὴ τὴν περὶ τοῦ θείου σημείου διήγησιν, βούλεται πάλιν διδάξαι ἡμᾶς τὰ κατὰ τὸν δίκαιον καὶ τοὺς τούτου υἱοὺς, καί φησιν· ἦσαν δὲ οἱ υἱοὶ τοῦ Νῶε οἱ ἐξελθόντες ἐκ τῆς κιβωτοῦ, Σὴμ, Χὰμ, Ἰάφεθ. Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν. τρεῖς οὗτοί εἰσιν υἱοὶ Νῶε. ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν. ἄξιον ἐνταῦθα ζητῆσαι, τίνος ἕνεκεν τῶν τριῶν υἱῶν τοῦ Νῶε μνημονεύσασα ἡ θεία γραφὴ ἐπήγαγε,

& ſupernis radiis illuſtrati, omnia quæ in hac vita ſunt, quaſi vmbram & ſomnium tranſeunt: non vlli vltrà deceptioni obnoxij ſunt, neque ipſis imponi poteſt: ſed etiamſi opes viderint, ſtatim derident: ſcientes quòd fugitiuo quouis infideliores, ab vno ad alium tranſeant, & nunquam apud eundem ſubſiſtant, & infinita mala poſſidentibus afferant, quos & in ipſum malitiæ, vt ita dicam, præcipitium impulſos deturbant. Et ſi corporis formoſitatem rurſus intuiti fuerint, neque illam magnifaciunt, cogitantes tam fragilem ac inſtabilem, vt ſuperueniens morbus repentè omnem illam formoſitatem obſcuret, & vt nonnunquam ante morbum, ſi inualerit ſenectus, facies quæ antea formoſa erat, fiat deformis, & iniucunda: mors autem ſuperueniens, omnem corporis pulchritudinem perdat. Et ſi quem viderint gloria & potentia inflatum, & qui in ſummum dignitatum verticem peruenerit, omníque felicitate fruatur, etiam illum prætereunt, quaſi nihil ſtabile & ſolidum habentem, ſed de illis gloriantem quæ fluminibus ipſis ocyus præterlabuntur. Quid enim omni huius vitæ gloria vilius, quæ flori herbæ confertur? Omnis enim gloria hominis, inquit, ſicut flos fœni. 1. Petr. 1. 24. Vidiſtis dilecti, quomodò quàm acutè videant oculi fidei, ſi quando in Deum mens intenta fuerit? Vidiſtis quomodo à nulla re viſibili decipi poſſunt, ſed rectum habent rerum iudicium, neque in vllo falluntur? Sed ſi gratum eſt, iterum ad contextum ſermonis reuertamur: & paucis propoſitis finem ſermonis faciamus, vt dictorum memoria menti veſtræ infigatur. Nam poſtquam ſcriptura ſermonem de diuino ſigno finiuit, voluit iterum nos decere alia quæ ad iuſtum illum & filios illius pertinent, & dicit: 18 *Erant autem filij Noë, qui de arca egreſſi ſunt, Sem, Cham, Iaphet. Cham autem erat pater Chanaan.* 19 *Tres ſunt filij Noë, ab iſtis diſperſi ſunt ſuper omnem terram.* Dignum hîc fuerit vt inquiramus quare diuina ſcriptura hos tres filios commemorando, ſubdit:

A Cham autem erat pater Chanaan? Ne putetis obſecro, hoc abſque cauſa fuiſſe adiectum. Nihil enim in diuina ſcriptura continetur, quod non aliqua ratione dictum ſit, quæ non & latentem in ſe habeat vtilitatem. Quare ergo aſſignauit, Cham autem erat pater Chanaan? Voluit per hoc nobis illius intemperantiæ nimietatem inſinuare, & quòd neque calamitatis magnitudo illum coërcere potuit, neque tanta in arca anguſtia irrefrænatam illius concupiſcentiam ſedauit: ſed quamuis ſenior nondum filios procreauerat, B hîc incontinentiæ deditus, in tempore tantæ indignationis, & generalis interitus, quo orbis comprehenſus eſt, rei Venereæ deditus fuit, & cupiditatis intemperantiam non refrænauit, ſed iam ſtatim ab initio mentis ſuæ malitiam monſtrauit. Itaque cùm non multò poſt propter contumeliam in parentem, maledictionem ſuſcepturus erat eius filius Chanaan: ideo ſcriptura diuina nomen eius prius aſſignauit, pariter & filij nomen, docens & patris intemperantiam: vt cùm eum poſtea videris magna ingratitudine erga patrem vti, ſcire poſſis, quòd iam olim talis fuerit, vtpote neque à tanta calamitate humiliatus. Sufficere enim debebat ad extinguendam libidinem, tantus luctus, & nihil flammam & inſaniam hanc ita comprimere poteſt, vt triſtitiæ vehementia, & calamitatis excellentia. Igitur qui in tanta malorum magnitudine tantæ rabiei & inſaniæ in procreandis liberis fuit, qua venia dignus fuerit? At hîc nobis alia quæſtio naſcitur, celebrata, & quæ vbique circumfertur: Quare patre peccante, filius maledictum accipit? Sed ne longum ſermonem hunc faciamus, in aliud tempus illam reponemus, vt cùm ad eum locum peruenerimus, tunc & ſolutionem afferamus, quam Deus donauerit. Nihil enim in ſacra ſcriptura (ſicut dixi) inuenire licet, quod abſq; ratione aliqua ſit ſcriptũ. Iam hoc igitur interim ſciam⁹, quòd nomen filij non abſque cauſa fuit à Moſe commemoratum, cùm dixit:

Cur patre peccante filius maledicitur.

A Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν. μὴ νομίσητε, παρακαλῶ, ἁπλῶς τοῦτο προσερρίφθαι· οὐδὲν γάρ ἐστι τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων, ὃ μὴ μετά τινος εἴρηται λόγου, πολλὴν τὴν ὠφέλειαν ἐγκεκρυμμένην ἔχοντος. τίνος οὖν ἕνεκεν ἐπεσημήνατο καὶ προσέθηκεν, ὅτι Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν; βούλεται διὰ τούτου αἰνίξασθαι ἡμῖν τῆς ἀκρασίας αὐτοῦ τὴν ὑπερβολήν, καὶ ὅτι οὐδὲ τῆς συμφορᾶς τὸ μέγεθος συσταλῆναι αὐτὸν πεποίηκεν, οὐδὲ ἡ τοσαύτη ἐν τῇ κιβωτῷ στενοχωρία, ἀλλά καί τοι τοῦ πρεσβύτου οὐδέπω καὶ νῦν τεκνοποιησαμένου, οὗτος τῇ ἀκρασίᾳ ἑαυτὸν B ἐκδοὺς ἐν καιρῷ τοσαύτης ἀγανακτήσεως καὶ πανωλεθρίας τὴν οἰκουμένην καταλαβούσης, περὶ συνουσίαν ἠσχολεῖτο, καὶ τὸ ἀχαλίνωτον τῆς ἐπιθυμίας οὐ κατέστελλεν, ἀλλ᾽ ἤδη ἄνωθεν καὶ ἐκ προοιμίων ἐδείκνυ τῆς γνώμης αὐτοῦ τὸ μοχθηρόν. ἐπεὶ οὖν μετ᾽ οὐ πολὺ διὰ τὴν ὕβριν τὴν εἰς τὸν γεγεννηκότα μέλλει τὴν κατάραν δέχεσθαι ὁ Χαναὰν ὁ τούτου παῖς, διὰ τοῦτο ἤδη προλαβοῦσα ἡ θεία γραφὴ ἐπεσημήνατο, καὶ τοῦ παιδὸς ἡμῖν τὴν προσηγορίαν δήλην ἐποίησεν, ὁμοῦ καὶ τοῦ γεγεννηκότος τὸ ἀκρατές· ἵν᾽ ὅταν μετὰ ταῦτα ἴδῃς C αὐτὸν πολλὴν τὴν ἀγνωμοσύνην ἐπιδειξάμενον πρὸς τὸν γεγεννηκότα, εἰδέναι ἔχῃς, ὅτι ἄνωθεν καὶ ἐξ ἀρχῆς τοιοῦτος ἦν, ὥς γε οὐδὲ ὑπὸ τῆς συμφορᾶς συνεστάλη. ἱκανὴ γὰρ ἡ τοσαύτη ἀθυμία πᾶσαν σβέσαι ἡδονήν, καὶ οὐδὲν ταύτην τὴν φλόγα καὶ τὴν μανίαν καταστεῖλαι δύναται, ὡς ἀθυμίας ἐπίτασις καὶ συμφορᾶς ὑπερβολή. ὁ τοίνυν ἐν τοσούτῳ μεγέθει τῶν κακῶν τοσαύτην ἐπιδειξάμενος τὴν λύτταν καὶ μανίαν περὶ τὴν παιδοποιΐαν, ποίας ἂν εἴη συγγνώμης ἄξιος; ἀλλ᾽ ἐντεῦθεν ἡμῖν πάλιν ἕτερον τίκτεται ζή- D τημα, τὸ πολυθρύλλητον ἐκεῖνο καὶ πανταχοῦ περιφερόμενον, τίνος ἕνεκεν τοῦ πατρὸς ἁμαρτόντος ὁ υἱὸς τὴν κατάραν δέχεται; ἀλλ᾽ ἵνα μὴ νῦν μακρὸν ποιῶμεν τὸν λόγον, τοῦτο ταμιευσόμεθα πρὸς τὸ παρόν, ἵν᾽ ἐπειδὰν εἰς αὐτὸν τὸν τόπον ἀφικώμεθα, τότε καὶ τὴν λύσιν ἐπαγάγωμεν, ἣν ἂν ὁ θεὸς παράσχῃ. οὐδὲν γάρ, καθάπερ ἔφθην εἰπών, τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων ἄνευ λόγου τινὸς καὶ αἰτίας ἐστὶν εὑρεῖν ἐγγεγραμμένον. πῶς οὖν τοῦτο ἔγνωμεν, ὅτι οὐχ ἁπλῶς, καὶ ὡς ἔτυχε, τῆς προσηγορίας τοῦ υἱοῦ ἐμνημόνευσεν ὁ Μουσῆς εἰπών,

Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν. τρεῖς εἰσιν οὗτοι υἱοί, φησι, Νῶε, καὶ ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν. μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, μηδὲ τὸ νῦν ῥηθέν, ἀλλ' ἐννοήσωμεν καὶ ἐξ αὐτοῦ τούτου τῆς δυνάμεως τοῦ θεοῦ τὸ μέγεθος. τρεῖς, φησιν, ἦσαν οὗτοι υἱοὶ Νῶε, καὶ ἐκ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν. πῶς ἀπὸ τῶν τριῶν τοσοῦτον πλῆθος ἐπέδωκε; πῶς ἠδυνήθησαν διαρκέσαι; πῶς ἐκ τῶν ὀλίγων τούτων ἅπας ὁ κόσμος συνέστη; πῶς αὐτοῖς τὰ σώματα διέμεινεν; οὐκ ἰατρὸς ἦν ὁ θεραπείαν προσάγων, οὐκ ἄλλη τις ἐπιμέλεια. οὐδέπω γὰρ οὐδὲ πόλεις ἦσαν δεδημιουργημέναι, ἀλλὰ μετὰ τὴν τοσαύτην ταλαιπωρίαν, καὶ τὴν ἐν τῇ κιβωτῷ διαγωγὴν ὡς τεταριχευμένοι καὶ κατειργασμένοι ἐξῆλθον, καὶ ἐν τοσαύτῃ μονώσει τυγχάνοντες καὶ ἐρημίᾳ ἀφάτῳ πῶς οὐ διεφθάρησαν; πῶς οὐκ ἀπώλοντο; ὁ γὰρ φόβος, εἰπέ μοι, καὶ ἡ ἀγωνία οὐ κατέσεισεν αὐτῶν τὴν διάνοιαν, καὶ διετάραξε τὸν λογισμόν; μὴ ξενισθῇς, ἀγαπητέ. θεὸς γὰρ ἦν ὁ πάντα ἐργαζόμενος, καὶ ὁ τῆς φύσεως δημιουργὸς ἦν ὁ πάντα ταῦτα τὰ κωλύματα ἀναιρῶν, καὶ τὸ πρόσταγμα αὐτοῦ ἐκεῖνο τὸ λέγον, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, αὐτοῖς καὶ τὴν ἐπίδοσιν ἐχαρίσατο. ἐπεὶ καὶ οἱ Ἰσραηλῖται ἡνίκα εἰς Αἴγυπτον τῇ πλινθείᾳ καὶ τῷ πηλῷ κατειργάσθησαν, ταύτῃ πολλῷ μᾶλλον εἰς πλῆθος ἐπέδωκαν, καὶ οὔτε τὸ ἀνηλεὲς ἐκεῖνο καὶ ὠμὸν ἐπίταγμα τοῦ Φαραώ, τὸ κελεῦον τὰ ἄρρενα εἰς τὸν ποταμὸν ῥίπτεσθαι, οὐδὲ ἡ λοιπὴ κακουχία, ἣν ὑπὸ τῶν ἐργοδιωκτῶν ὑπέμενον, ἴσχυσεν ἐλαττῶσαι αὐτῶν τὸ πλῆθος, ἀλλὰ καὶ μᾶλλον εἰς πλῆθος ἐπεδίδουν. ἡ γὰρ ἄνωθεν ῥοπὴ ἦν ἡ διὰ τῶν ἐναντίων ἅπαντα ἐργαζομένη. ὅταν τοίνυν ὁ θεὸς κελεύῃ, μὴ ζήτει κατὰ ἀκολουθίαν ἀνθρωπίνην διερευνᾶσθαι τὰ πράγματα. ἀνώτερος γὰρ ὢν τῆς φύσεως οὐ δεῖται τῆς ἀκολουθίας τῆς φύσεως· ἀλλὰ καὶ δι' αὐτῶν τῶν κωλυόντων τὰ πράγματα αὐξάνεσθαι παρασκευάζει. τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, ἀπὸ τῶν τριῶν τούτων τὴν οἰκουμένην ἅπασαν ἀνεπλήρωσεν. ἀπὸ τούτων γάρ, φησι, τῶν τριῶν διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν.

Cham autem erat pater Chanaan. Tres, inquit, ſunt ij filij Noë, & ab iis diſperſi ſunt in omnem terram. Neque hoc dictum obiter prætereamus dilecti, ſed cogitemus ex illo ipſo virtutis Dei magnitudinem. Tres, inquit, erant ij filij Noë, & ex illis diſperſi ſunt ſuper omnem terram. Quomodo ex tribus tanta multitudo ſuccreuit? quomodo potuerunt ſufficere? Quomodo ex paucis illis totus mundus conſtitutus? Quomodo eorum permanſerunt corpora? Non medicus erat, qui medicinam adhibebat, neque erat aliqua alia cura. Nondum enim erant ciuitates conditæ, ſed poſt tantam miſeriam, & vitam illam in arca, è qua macerati & confecti ob compreſſionem exierunt, & in tanta ſolitudine exiſtentes, & ineffabili vaſtitate, quomodo non enecati ſunt? quomodo non perierunt? Timorem enim & metum, dic oro, non putas commouiſſe eorum mentem, & concuſſiſſe animam? Ne admireris dilecte: Deus enim erat qui omnia faciebat, & Deus naturæ opifex erat qui omnia præpedimenta auferebat mandato ſuo: quo dixit, Creſcite & multiplicamini, & implete terram. Hoc enim incrementum dedit. Quia & Iſraëlitæ cùm in Ægypto in luto & latere conficiendo onerati eſſent, in tanto maiorem multitudinem excreſcebant, quo magis opprimebantur. Et neque immiſericors & crudele præceptum Pharaonis, quod præcipiebat maſculos in flumina proiici (& quod alioqui mirè vexabant præfecti operarum) valuit imminuere illorum multitudinem, ſed in maiorem multitudinem increſcebant. Erat enim diuina gratia, quæ omnia diuerſo modo operatur. Quando igitur Dominus præcipit, ne quæras vt iuxta humanum morem opera perficiantur. Potentior enim quàm natura, non eget naturæ miniſterio, ſed & per ea quæ alioquin impediunt, res adauget. Eo modo & nunc: per tres illos totum orbem impleuit. A tribus enim illis, inquit, diſperſi ſunt in vniuerſam terram.

Gen. 1. 22.

Exod. 1. & ſeq.

Dei præcepto cuncta obediũt

Vidiſti Dei potentiam? vidiſti quomodo & ſi ſint multa obſtacula, nihil tamen illius moratur voluntatem? Idipſum & in fide licebit videre. Cùm enim tales ſint qui infeſtent, tanti ſint qui inſidientur, & reges, & tyranni, & populi ſeditioſi, & omnia facientes vt extinguant ſcintillam fidei, per inſidiatores, per eos qui vetare volebant, tanta pietatis flamma erupit, vt totum orbem habitatum & inhabitatum inuaſerit. Etiamſi ad Indos abieris, & ad Scythas, & ad fines orbis terræ, etiamſi ad ipſum Oceanum, vbique inuenies Chriſti doctrinam illuſtrantem omnium animos. Hoc enim admirabile & ſtupore plenum, quòd effera barbarorum corda demulſit, & placida fecit pietatis ſermo, didicerúntque philoſophari, & abiecta priſtina conſuetudine ad pietatem tranſlati ſunt. Et ſicut per tres illos hominum genus multiplicauit vniuerſi conditor: ita quoque & in fide per vndecim piſcatores illiteratos & idiotas, qui neque os aperire audebant, omnem ſibi orbem conciliauit, & illiterati iſti & idiotæ, & piſcatores, philoſophorum obturauerunt ora, & tranſcurrerunt orbem quaſi alati, ſeminantes veritatis ſermonem, & ſpinas execantes, & priſtinas affectiones reuellentes, Chriſtíque leges vbique plantantes: & neque quòd pauci eſſent, neque quòd priuati & illiterati, neque quòd auſtera & inſolita iuberent, neque quòd veteri conſuetudine humanum genus præuentum eſſet, obſtaculo eis eſſe potuit: ſed præuia gratia ſuſtulit hęc omnia, magnáque facillitate operati ſunt omnia, per ipſa obſtacula maiorem accipiẽtes alacritatem. Enimuerò interdum flagellati decedebant gaudẽtes, non propter flagella ſimpliciter, ſed quia pro nomine Chriſti digni habiti ſunt ignominiam pati: interdum autem in carcerem coniecti, poſt eaquam ab angelo educti fuerunt, iterum eadẽ continuauerunt: & in templum abeuntes, doctrinæ ſermonem ſeminauerunt, piſcati multitudines ad pietatem: & iterum detenti, non ſolum non ſegniores inde facti ſunt,

Per aduerſarios efficit Deus vt fides creſcat.

Act. 5. 41

Ibidem.

A εἶδες θεοῦ δύναμιν, εἶδες πῶς, κἂν πολλὰ ᾖ τὰ κωλύματα, οὐδέν ἐστι τὸ διακόπτον αὐτοῦ τὸ βούλημα; τὸ αὐτὸ καὶ ἐπὶ τῆς πίστεως ἐστὶν ἰδεῖν γινόμενον. τοιούτων γὰρ ὄντων τῶν πολεμούντων, τοσούτων ὄντων τῶν ἐπιβουλευόντων, καὶ βασιλέων, καὶ τυράννων καὶ δήμων κατεξανισταμένων, καὶ πάντα ποιούντων, ὥστε σβέσαι τὸν σπινθῆρα τῆς πίστεως, δι' αὐτῶν τῶν ἐπιβουλευόντων, διὰ τῶν κωλύειν βουλομένων τοσαύτη ἤρθη τῆς εὐσεβείας ἡ φλὸξ, ὡς ἅπασαν καταλαβεῖν τὴν οἰκουμένην, καὶ τὴν ἀοίκητον. κἂν πρὸς Ἰνδοὺς γὰρ ἀπέλθῃς, κἂν πρὸς Σκύθας, κἂν πρὸς αὐτὰ τὰ πέρατα τῆς οἰκουμένης, B κἂν εἰς αὐτὸν τὸν ὠκεανὸν, πανταχοῦ εὑρήσεις τοῦ Χριστοῦ τὴν διδασκαλίαν καταυγάζουσαν τὰς ἁπάντων ψυχάς. τὸ γὰρ θαυμαστὸν καὶ παράδοξον, ὅτι καὶ αὐτὰ τὰ βάρβαρα ἔθνη μετερρύθμισεν ὁ τῆς εὐσεβείας λόγος, καὶ φιλοσοφεῖν ἔμαθον, καὶ τῆς παλαιᾶς συνηθείας ἀποστάντες πρὸς τὴν εὐσέβειαν μετετάξαντο. καὶ καθάπερ διὰ τῶν τριῶν τούτων τὸ τῶν ἀνθρώπων πλῆθος ἐπιδοῦναι παρεσκεύασεν ὁ τῶν ὅλων δημιουργός· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς πίστεως διὰ τῶν ἕνδεκα, τῶν ἁλιέων, τῶν ἀγραμμάτων, τῶν ἰδιωτῶν, τῶν μηδὲ διᾶραι τὸ στόμα τολ- C μώντων, ἅπασαν ἐπεσπάσατο τὴν οἰκουμένην. καὶ οἱ ἀγράμματοι οὗτοι, καὶ οἱ ἰδιῶται, καὶ οἱ ἁλιεῖς τῶν φιλοσόφων ἀπέφραξαν τὰ στόματα, καὶ καθάπερ ὑπόπτεροι, οὕτω τὴν οἰκουμένην ἅπασαν διέδραμον καταπείραντες τὸν τῆς εὐσεβείας λόγον, καὶ τὰς ἀκάνθας ἐκτέμνοντες, καὶ τὰ παλαιὰ ἀνασπῶντες ἔθη, καὶ τοὺς τοῦ Χριστοῦ νόμους πανταχοῦ καταφυτεύοντες. καὶ οὔτε τὸ ὀλίγους αὐτοὺς εἶναι, οὔτε ἡ ἰδιωτεία, οὔτε τὸ αὐστηρὸν τῶν ἐπιταγμάτων, οὔτε τὸ παλαιᾷ προκατειλῆφθαι ἀπὸ τὸ τῶν ἀνθρώπων γένος, ἴσχυσε κώλυμα αὐτοῖς γενέσθαι. ἀλλὰ ταῦτα πάντα ἀνῄρει προοδοποιοῦσα ἡ χάρις, καὶ μετ' D εὐκολίας ἅπαντα εἰργάζοντο, δι' αὐτῶν τῶν κωλυμάτων μείζονα δεχόμενοι τὴν προθυμίαν. καὶ γάρ ποτε μὲν μαστιζόμενοι ἀνεχώρουν χαίροντες, οὐ διὰ τὰς μάστιγας ἁπλῶς, ἀλλ' ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι· ἄλλοτε δὲ εἰς δεσμωτήριον ἐμβληθέντες, ἐπειδὴ ὑπὸ ἀγγέλου ἐξηνέχθησαν, πάλιν τῶν αὐτῶν εἴχοντο, καὶ εἰς τὸ ἱερὸν ἀφικνούμενοι τὸν τῆς διδασκαλίας λόγον κατέβαλλον, σαγηνεύοντες τὰ πλήθη εἰς τὴν εὐσέβειαν. καὶ πάλιν κατεχόμενοι, οὐ μόνον οὐδὲ ἐντεῦθεν ὀκνηρότεροι ἐγίνοντο,

ἀλλὰ καὶ πλείονα τὴν παῤῥησίαν ἐπεδείκνυντο, ἐν μέσῳ μαινομένου δήμου καὶ τοὺς ὀδόντας τρίζοντος ἑστῶτες καὶ λέγοντες, πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις. Εἶδες παῤῥησίας μέγεθος; εἶδες τοὺς ἰδιώτας, τοὺς ἁλιεῖς ὑπερφρονοῦντας τοσούτων δήμων μαινομένων, καὶ πρὸς φόνους καὶ σφαγὰς ἑτοίμων, ἀλλὰ σὺ ταῦτα ἀκούων, ἀγαπητὲ, μὴ τούτοις λογίζου τὰ γινόμενα, ἀλλὰ τῇ ἄνωθεν χάριτι τῇ νευρούσῃ καὶ ἀλειφούσῃ αὐτῶν τὴν προθυμίαν. ἐπεὶ καὶ αὐτὸς οὗτος ὁ μακάριος Πέτρος, ἡνίκα τὸν ἐκ κοιλίας μητρὸς χωλεύοντα ὀρθὸν ἀπεκατέστησε, πάντων ἐκπληττομένων καὶ θαυμαζόντων αὐτοὺς, ἐπιδεικνύμενος τὴν οἰκείαν εὐγνωμοσύνην φησίν· ἄνδρες, τί ἀτενίζετε ἡμῖν, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; τίνος ἕνεκεν, φησιν, οὕτω καταπλάγητε καὶ ἐκπεπληγμένοι ἐστὲ ἐπὶ τῷ γεγονότι; μὴ γὰρ ἡμεῖς ἐσμὲν οἱ τοῦτο ἐργασάμενοι, ἢ ἰδίᾳ δυνάμει πρὸς ὑγίειαν αὐτὸν ἐπαναγαγόντες, καὶ βαδίζειν παρασκευάσαντες; τί ἡμῖν ἀτενίζετε; οὐδὲν πλέον ἡμεῖς εἰσηνέγκαμεν, ἢ ὅτι τὴν γλῶτταν ἐδανεισάμεθα. ὁ δὲ τὸ πᾶν ἐργασάμενος, ὁ δεσπότης ἐστὶ καὶ δημιουργὸς τῆς φύσεως. ἐκεῖνος ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, οὓς πατριάρχας ἐπιγράφεσθε, ἐκεῖνος ὃν ὑμεῖς παραδεδώκατε καὶ ἠρνήσασθε κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν, ἐκεῖνός ἐστιν ὁ ταῦτα ἐργασάμενος· ὃν ὑμεῖς, τὸν ἅγιον καὶ δίκαιον, ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς κατεκρίνατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν, καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ἀπέναντι πάντων ὑμῶν. πολλὴ τῆς παῤῥησίας ἡ ὑπερβολή· μεγάλη καὶ ἄφατος τῆς ἄνωθεν αὐτοῖς παρασχεθείσης χάριτος ἡ δύναμις· σαφεστάτη τῆς ἀναστάσεως ἡ ἀπόδειξις ἡ τοῦ μακαρίου τούτου παῤῥησία γένοιτ' ἄν. τί γὰρ ἂν τούτου μεῖζον σημεῖον ἐπιζητήσειεν ἄν τις λαβεῖν, ὅταν ὁ πρὸ τοῦ σταυροῦ καὶ κόρης εὐτελοῦς ἀπειλὴν μὴ δυνηθεὶς ἐνεγκεῖν, νῦν οὕτω κατεξανίσταται τοῦ τῶν Ἰουδαίων δήμου,

A ſed & maiorem libertatem præ ſe tulerunt, in medio inſanientis populi & dentibus frementis ſtantes, ac dicentes, Obedire oportet Deo magis quàm hominibus. Ibidem. Vidiſti libertatis magnitudinem? vidiſti illiteratos piſcatores contemnere tot furentes populos, & ad cædes ac mactationes paratos? At tu dilecte audiens hæc omnia quæ fiunt, ne tribue illis: ſed diuinæ gratiæ, quæ confirmat & inſtruit illorum alacritatem: Quia & ille beatus Act.3.& ſequen. Petrus, cùm ex vtero matris claudum rectum faceret, omnibus ob-
B ſtupeſcentibus & admirantibus, ſuam ipſe gratitudinem declarans, inquit: Viri quid in nos intenditis, quaſi qui propria potentia vel pietate fecerimus illum ambulare? Quare, inquit, ſic obſtupeſcitis, & ſtupefacti eſtis in hac re? Num nos ſumus hoc operati, vel propria virtute incolumitati illum reſtituimus, & ambulare fecimus? Quid in nos intenditis? Nihil amplius nos attulimus, quàm quòd linguam noſtram commodauimus.
C Qui autem omnia fecit, Dominus eſt, & ille naturæ conditor, Deus Abraham, Iſaac, & Iacob, quos patriarchas cenſetis. Ille quem vos Matth. 27. tradidiſtis, & negaſtis coram facie Pilati, iudicantis illum dimittendum: ille eſt qui omnia operatus eſt, quem vos ſanctum & iuſtum negaſtis, & petiſtis virum homicidam vobis tradi: principem autem vitæ condemnaſtis, quem Deus excitauit à mortuis, cuius nos teſtes ſumus, & in fide hominis illius, hunc quem videtis Marc.15 Lucæ 23 Ioan.18. &19.
D & noſtis, ſolidauit nomen illius, & fides quæ per ipſum, dedit huic incolumitatem coram omnibus vobis. Magna & multiplex liberi huius ſermonis excellentia. Ineffabilis potentia virtutis, quæ ſupernè illis collata. Manifeſtiſſima reſurrectionis demonſtratio beati illius in dicendo libertas fuerit. Quod enim maius miraculum illo quis quæreret, cùm is qui ante crucem etiam abiectæ puellæ minas ferre non potuit, nunc ad eum modum aduerſus Iudæorum populum inſurgit, Matt.26 Marc. 24. Lucæ 22. Ioan.18.

tantáque fiducia? & cùm vnicus eſſet, contra tantam, támque incompoſitam, & tam rabidam multitudinem ſe opponit, & loquitur quæ inſaniam illorum magis exaſperare queant? Vidiſti dilecte id quod in procemio dicebam, etiam nunc declaratum? Quòd ſi quis amore in Deum accendatur, non ſuſtinet poſtea ad corporales res oculos intendere, ſed alios oculos poſſidens, oculos inquam fidei, illa ſemper ſpeculatur, & ad illa mentem habet intentam, ambulánſque in terra, tanquam municipatum habens & conuerſationem in cœlis, ita omnia agit, nullis humanis præpeditus à virtutis curſu. Nam qui talis eſt, non poſthac reſpicit ad ſecunda huius vitæ, neque ad dura & aſpera, ſed omnia illa prætercurrit, ad patriam ſuam feſtinans. Et ſicut qui ſenſibilem curſum magna contentione peragit, nullum occurrentium videt, etiamſi ſæpius in illum incidat: ſed animo ſuo ad curſum intento, facilè omnia tranſit, feſtinans ad deſtinatum ſcopum: Eodem modo, qui curſum virtutis vt currat, feſtinat, & à terra in cœlum redire concupiſcit: omnia enim quæ videntur deorſum relinquit, & totum ſe curſui dedit, neque prius ſubſiſtit, donec in verticem aſcendere potuerit. Ei enim qui ſic affectus eſt, etiam quæ videntur eſſe terribilia in præſenti vita, contemptibilia fiunt: quin & talis neque gladium timet, neque præcipitium, neque ferarum dentes, neque tormenta, neque lictorum manus, neque aliquid quod triſte in hac vita: ſed & ſi carbones videat ſubſtratos, quaſi prata & paradiſos videns tranſilit. Et ſi aliam quandam tormentorum ſpeciem intentari videat, non deficit ad aſpectum, neque auerſatur. Deſiderium enim futurorum mentem ipſius tranſtulit, & quaſi fruſtra corpore amictus, ita affectiones ſuas moderatur, & ſuperna gratia munitus, corporis dolores ne ſentit quidem. Quocirca obſecro, vt facilè virtutis labores ferre poſſimus, magnum habeamus in Deum amorem & deſiderium,

Phil. 3. 20.

A καὶ τοσαύτη παῤῥησία καὶ πρὸς τοσοῦτον πλῆθος μόνος ὢν οὕτως ἀτάκτως μεμηνὸς ἐπαποδύεται, καὶ τοιαῦτα φθέγγεται, ἃ τὴν μανίαν αὐτῶν ἐπὶ πλεῖον διεγείρειν δύναται; εἶδες, ἀγαπητέ, πῶς, ὅπερ ἐν προοιμίοις ἔλεγον, τοῦτο καὶ νῦν δείκνυται; ἐπειδὰν τις πυρωθῇ τῷ πρὸς τὸν θεὸν πόθῳ, οὐκέτι λοιπὸν ὁρᾷν ἀνέχεται τὰ τοῖς ὀφθαλμοῖς τούτοις τοῖς σωματικοῖς ὑποπίπτοντα, ἀλλ' ἑτέρους ὀφθαλμοὺς κτησάμενος, τοὺς τῆς πίστεως λέγω, ἐκεῖνα διαπαντὸς φαντάζεται, καὶ πρὸς ἐκεῖνα τὴν διάνοιαν ἔχει τεταμένην, καὶ ἐν γῇ βαδίζων ὡς ἐν οὐρανοῖς τὸ πολίτευμα ἔχων, οὕ-

B τω πάντα διαπράττεται, ὑπ' οὐδενὸς τῶν ἀνθρωπίνων ἐμποδιζόμενος πρὸς τὸν κατ' ἀρετὴν δρόμον. ὁ γὰρ τοιοῦτος οὐ τὰ λαμπρὰ τοῦ βίου λοιπὸν ὁρᾷ, οὐ τὰ δυσχερῆ καὶ ἐναντία, ἀλλὰ πάντα παρατρέχει, πρὸς τὴν ἑαυτοῦ πατρίδα ἐπειγόμενος. καὶ καθάπερ ὁ μετὰ πολλοῦ τοῦ τόνου τὸν σωματικὸν τοῦτον δρόμον τρέχων οὐδένα τῶν ἀπαντώντων ὁρᾷ, κἂν μυριάκις αὐτῷ προσπταίσῃ, ἀλλὰ πρὸς τὸν δρόμον ἔχων τεταμένον αὐτοῦ τὸν λογισμὸν εὐκόλως ἅπαντα παραδραμὼν ἐπείγεται πρὸς τὸν προκείμε-

C νον αὐτῷ σκοπόν· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τὸν κατ' ἀρετὴν δρόμον τρέχειν σπουδάζων, καὶ ἀπὸ γῆς εἰς οὐρανὸν ἀνελθεῖν ἐπιθυμῶν, πάντα τὰ ὁρώμενα κάτω ἀφίησι, καὶ ὅλος τοῦ δρόμου γίνεται, καὶ οὐ πρότερον ἵσταται οὐδὲ κατέχεται ὑπό τινος τῶν ὁρωμένων, μέχρις ἂν εἰς αὐτὴν ἀνελθεῖν δυνηθῇ τὴν κορυφήν. τῷ γὰρ οὕτω διακειμένῳ καὶ τὰ δοκοῦντα εἶναι φοβερὰ κατὰ τὸν παρόντα βίον, εὐκαταφρόνητα γίνεται, καὶ ὁ τοιοῦτος οὔτε ξίφος δέδοικεν, οὔτε κρημνὸν, οὔτε θηρίων ὀδόντας, οὐ βασάνους, οὐ δημίων χεῖρας, οὐκ ἄλλο τι τῶν κατὰ

D τὸν βίον λυπηρῶν· ἀλλὰ κἂν ἄνθρακας ἴδῃ ὑπεστρωμένους, ὡς λειμῶνας ὁρᾷν καὶ παραδείσους, οὕτως ἐπιπηδᾷ· κἂν ἕτερόν τι τῶν κολαστηρίων εἶδος ἐπαγόμενον θεάσηται, οὐ ναρκᾷ πρὸς τὴν ὄψιν, οὐδὲ ἐπιστρέφεται. ὁ γὰρ τῶν μελλόντων πόθος μετέστησεν αὐτοῦ τὴν διάνοιαν, καὶ ὡς ἁπλῶς καὶ εἰκῇ τὸ σῶμα περικείμενος, οὕτως ἀνώτερος γίνεται τῶν παθῶν, καὶ τῇ ἄνωθεν χάριτι φρουρούμενος οὐδὲ αἴσθησιν λαμβάνει τῶν ἀλγηδόνων τῶν σωματικῶν. διὸ παρακαλῶ, ἵν' εὐκόλως τοὺς κατὰ τὴν ἀρετὴν πόνους ἐνεγκεῖν δυνηθῶμεν, πολλὴν τὸν περὶ τὸν θεὸν ἐπιδειξώμεθα πόθον, καὶ ἐκεῖ-

καὶ ἐκεῖ τὴν διάνοιαν ἡμῶν τείναντες ὑπὸ μηδενὸς τῶν ἐν τῷ παρόντι βίῳ πρὸς τὸν ἐκεῖσε δρόμον ὑποσκελιζώμεθα, ἀλλὰ τῶν μελλόντων ἀγαθῶν τὴν διηνεκῆ ἀπόλαυσιν λογιζόμενοι, πάντα τὰ ἀλγεινὰ τοῦ παρόντος βίου πρᾴως φέρωμεν, καὶ μήτε ἀδοξία ἡμᾶς λυπείτω, μήτε πενία πιεζέτω, μήτε νόσος σώματος τῆς ψυχῆς τὸ φρόνημα χαυνούτω, μήτε τὸ καταφρονεῖσθαι παρὰ τῶν πολλῶν καὶ εὐτελίζεσθαι ὀκνηροτέρους περὶ τὴν τῆς ἀρετῆς κατόρθωσιν ἀπεργαζέσθω· ἀλλὰ πάντα ταῦτα, ὥσπερ κόνιν, ἀποτιναξάμενοι, καὶ γενναῖον καὶ ὑψηλὸν φρόνημα ἀναλαβόντες, οὕτω πρὸς ἅπαντα πολλὴν τὴν ἀνδρείαν ἐπιδειξώμεθα, καὶ καθάπερ χθὲς παρεκάλεσα τὴν ὑμετέραν ἀγάπην, τὰς πρὸς τοὺς ἐχθροὺς καταλλαγὰς μετὰ πολλῆς τῆς σπουδῆς ποιησώμεθα, καὶ τὰ λοιπὰ τῆς ψυχῆς πάθη ἐξορίσωμεν τῆς ἡμετέρας. κἂν ἐπιθυμία ἄτοπος ἐνοχλῇ, ταύτην φυγαδεύωμεν· κἂν θυμὸς πρὸς ὀργὴν διεγείρῃ, καταστέλλωμεν τὴν φλεγμονὴν τῇ ᾠδῇ τῶν πνευματικῶν παραινέσεων, δεικνύντες τοῦ πάθους τὸν ὄλεθρον. ἀνὴρ γάρ, φησι, θυμώδης, οὐκ εὐσχήμων. καὶ πάλιν, ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. κἂν χρημάτων ἐπιθυμία ταράσσῃ τὸν λογισμόν, φεύγειν σπουδάζωμεν τὴν ὀλεθρίαν ταύτην λύμην, καὶ καθάπερ ῥίζαν τῶν κακῶν ἁπάντων ἐκτέμνωμεν. καὶ ἕκαστον δὲ τῶν ἐνοχλούντων ἡμῖν παθῶν διορθοῦν σπουδάζωμεν, ἵνα καὶ τῶν βλαβερῶν ἀπεχόμενοι, καὶ τὰς ἀγαθὰς πράξεις μεταδιώκοντες, δυνηθῶμεν κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A & illuc mente noſtra intenta, à nulla re huius vitæ ſupplantemur in curſu illo: ſed futurorum bonorum fruitionem continuò cogitantes, omnes huius vitæ moleſtias manſuetè feramus, & neque ignominia nos contriſtet, neque inopia grauet: neque morbus corporis mentis ſenſum laxet: neque contemni à multis, & inter viles haberi, ſegniores nos faciat in virtutis ſtudio: ſed omnibus iis, quaſi puluis eſſent, excuſſis, aſſumptóque generoſo & ſublimi ſpiritu, magnum per omnia fortitudinis B ſpecimen exhibeamus: & ſicut heri veſtram charitatem obſecraui, cum inimicis magna alacritate conciliemur, & ex animabus noſtris affectionum eliminemus reliquias; & ſi qua concupiſcentia interturbet, eam effugemus: & ſi furor ad iram extimulet, emendemus inflammationem cantu ſpiritualium admonitionum, quæ monſtrant quàm pernicioſæ ſint affectiones. Vir enim, inquit, iracundus, non honeſtus eſt. Et iterum, Qui iraſcitur fratri ſuo ſine cauſa, reus erit C gehennæ ignis. Et ſi pecuniarum cupiditas inceſſat, demus operam, vt mens vitet tantam perniciem, & ſicut radicem malorum omnium excindamus. Sic ſtudeamus ſingulas affectiones malas corrigere, quò & abſtinendo à malis, & ſectando opera bona, poſſimus in die illo tremendo à Deo miſericordiam aſſequi, gratia & miſerationibus vnigeniti eius filij, cui cum patre, & Spiritu ſancto ſit gloria, imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. D Amen.

Adhortatur ad amoré erga Deum.

Prou. 26.21. Eccleſ. 28. Matth. 5.22.

A

Homilia XXIX.

Gen. 9. 80. *Et coepit Noë homo agricola terræ, & plantauit vineam, & bibit de vino, & inebriatus eſt.*

AD finem tandem argumenti, quod de hoc iuſto eſt, venimus: ideo obſecro mente intenta adeſte, & diligenter quæ dicuntur auſcultate. Nam & ex iis quæ hodie lecta ſunt, non paruum, neque vulgarem percipere licet fructum: quandoquidem quæ priſcis euenerunt, ſi diſcere voluerimus, maximæ nobis doctrinæ ſunt occaſio. Hac enim ratione non ſolum opera ſanctorum bona nobis ſunt ſcripta, ſed & peccata, vt hæc quidem fugiamus, illa verò imitemur. Neque hoc ſolum, ſed monſtrat inſuper diuina ſcriptura & iuſtos ſæpe lapſos, & peccatores magnam agentes pœnitentiam, quò vtrinque ſufficiens nobis eſſet remedium: & neque qui ſtetit confidentior ſit, videns & iuſtos cecidiſſe: neque qui in peccatis eſt, deſperet, viſis tot qui reſipuerunt, & ad ſummum virtutis apicem peruenire potuerunt. Itaque nullus, tametſi multorum bonorum operum ſibi conſcius, confidentior ſit, ſed anxius ſit, & ſollicitus: & audiat beatum Paulum admonentem & dicentem, Qui ſtare ſibi videtur, videat ne cadat. Nullus item, qui in profundum ipſum malitiæ deſcendit, ſalutis ſuæ ſpem abiiciat: ſed ineffabilem Dei miſericordiam cogitans, audiat iterum Deum per prophetam dicentem: Num qui cadit, non reſurgit: & qui auertit ſe, non reuertitur? Et iterum, Nolo mortem peccatoris, ſicut conuerti eum, & viuere. Vidiſti dilecte, quòd omnia in diuinis ſcripturis ſcripta, non alia de cauſa memoriæ ſunt tradita, quàm propter noſtram vtilitatem, & humani generis ſalutem? Hęc ſecum quiſque noſtrum expendat, ſuiſque congrua vulneribus pharmaca im-

Non ſolú bona opera, ſed & peccata ſanctorú proponuntur.

1. Cor. 10. 12.

Hier. 8. 4.

Ezech. 18. 23.

Ὁμιλία κθ.

Καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη.

ΠΡὸς δὲ τέλος λοιπὸν ἐφθάσαμεν τῆς κατὰ τὸν δίκαιον ὑποθέσεως· διὸ παρακαλῶ, συντείνατέ μοι τὴν διάνοιαν, καὶ μετὰ ἀκριβείας προσέχετε τοῖς λεγομένοις. B οὐδὲ γὰρ μικρὰ, οὐδὲ τὰ τυχόντα ἔστι καρπώσασθαι καὶ ἐκ τῶν σήμερον ἀνεγνωσμένων. τὰ γὰρ τοῖς παλαιοῖς συμβεβηκότα, εἰ βουλοίμεθα νήφειν, μεγίστης ἡμῖν διδασκαλίας ὑπόθεσις γίνεται. διὰ γὰρ τοῦτο οὐ μόνον τὰ κατορθώματα τῶν ἁγίων γέγραπται, ἀλλὰ καὶ τὰ ἁμαρτήματα, ἵνα τὰ μὲν φεύγωμεν, τὰ δὲ ζηλώσωμεν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ δείκνυσί σοι ἡ θεία γραφὴ καὶ δικαίους πολλάκις σφαλέντας, καὶ ἁμαρτωλοὺς πολλὴν μεταβολὴν ἐπιδειξαμένους, ἵνα ἑκατέρωθεν ἀρκοῦσαν δεξώμεθα τὴν ἀσφάλειαν, C καὶ μήτε ὁ ἑστὼς θαῤῥῇ ὁρῶν καὶ δικαίους καταπεσόντας, μήτε ὁ ἐν ἁμαρτήμασιν ὢν ἀπαγορεύῃ, ἰδὼν πολλοὺς ἀνενεγκόντας καὶ πρὸς αὐτὴν τὴν ἄκραν κορυφὴν φθάσαι δυνηθέντας. μηδεὶς τοίνυν παρακαλῶ, κἂν πολλὰ κατορθώματα ἑαυτῷ συνειδὼς ᾖ, θαῤῥείτω, ἀλλ' ἐναγώνιος ἔστω, καὶ ἀκουέτω τοῦ μακαρίου Παύλου λέγοντος καὶ παραινοῦντος, ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· μήτε ὁ πρὸς αὐτὸν τὸν πυθμένα τῆς κακίας κατελθὼν ἀπελπιζέτω ἑαυτοῦ τὴν σωτηρίαν, ἀλλ' ἐννοῶν τοῦ D θεοῦ τὴν ἄφατον φιλανθρωπίαν ἀκουέτω πάλιν τοῦ θεοῦ διὰ τοῦ προφήτου λέγοντος. μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; καὶ πάλιν, οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι, καὶ ζῆν αὐτόν. Εἶδες, ἀγαπητὲ, πῶς ἕκαστον τῶν ἐν τῇ θείᾳ γραφῇ ἐγγεγραμμένων δι' οὐδὲν ἕτερον μνήμῃ παρεδόθη, ἀλλ' ἢ διὰ τὴν ὠφέλειαν τὴν ἡμετέραν καὶ τὴν σωτηρίαν τοῦ τῶν ἀνθρώπων γένους; ταῦτα δὴ λογιζόμενοι ἕκαστος ἡμῶν τὰ κατάλληλα φάρμακα ἐντεῦ-

διὰ γὰρ τοῦτο πᾶσιν ἐπ᾽ ἀδείας πρόκειται, καὶ A ἔξεστι τῷ βουλομένῳ τὸ ἁρμόδιον τῷ ἐνοχλοῦντι πάθει φάρμακον ἐπιθεῖναι, καὶ ταχίστην τὴν ὑγίειαν δέξασθαι, μόνον ἐὰν μὴ ἀποσείσηταί τις τὴν ἀπὸ τῆς ἰατρείας θεραπείαν, ἀλλὰ τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείξηται. οὐδὲν γάρ ἐστι τῶν τὴν ἀνθρωπίνην φύσιν συνεχόντων οὔτε ψυχικὸν οὔτε σωματικὸν πάθος, ὃ μὴ τὴν ἐντεῦθεν ἰατρείαν δέξασθαι δύναται. τί γάρ, εἰπέ μοι; εἰσέρχεταί τις ἐνταῦθα λύπῃ καὶ πραγμάτων περιστάσει πιεζόμενος, καὶ διὰ τοῦτο καταχώννυται τῇ ἀθυμίᾳ; εἰσελθὼν καὶ εὐθέως ἀκούσας τοῦ προφήτου λέγοντος· ἵνα τί περίλυπος εἶ ἡ ψυ- B χή μου, καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου καὶ ὁ θεός μου· ἱκανὴν λαβὼν παραμυθίαν ἄπεισι, πᾶσαν ἐκείνην τὴν ἀθυμίαν ἀποσεισάμενος. ἕτερος πάλιν πενίᾳ πιεζόμενος ἐσχάτῃ δυσχεραίνει, καὶ ἀλύει ὁρῶν ἑτέρους πλούτῳ περιρρεομένους, καὶ μέγα φυσῶντας, καὶ πολλὴν τὴν φαντασίαν περιβεβλημένους; ἀκούει καὶ οὗτος πάλιν τοῦ αὐτοῦ προφήτου λέγοντος· ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. καὶ πάλιν, μὴ φοβοῦ ὅταν πλουτήσῃ C ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. ἕτερος πάλιν ἐπιβουλὰς καὶ συκοφαντίας ὑπομένων δυσχεραίνει καὶ ἀβίωτον ἡγεῖται τὸν βίον, οὐδαμόθεν ἀνθρωπίνην βοήθειαν εὑρεῖν δυνάμενος; διδάσκεται δὲ καὶ οὗτος ὑπὸ τοῦ μακαρίου τούτου προφήτου ἐν ταῖς τοιαύταις περιστάσεσι μὴ ἐπ᾽ ἀνθρωπίνην συμμαχίαν καταφεύγειν. ἀκούει γὰρ αὐτοῦ λέγοντος, αὐτοὶ ἐνδιέβαλόν με, ἐγὼ δὲ προσηυχόμην. εἶδες ὅθεν τὴν συμμαχίαν ἐπιζητεῖ; ἕτεροι, φησί, δόλους ῥάπτουσι καὶ συκοφαντίας καὶ ἐπιβουλάς· ἐγὼ δὲ ἐπὶ τὸ τεῖχος D τὸ ἀκαταμάχητον καταφεύγω, ἐπὶ τὴν ἄγκυραν τὴν ἀσφαλῆ, ἐπὶ τὸν λιμένα τὸν ἀκύμαντον, ἐπὶ τὴν εὐχήν, δι᾽ ἧς πάντα μοι τὰ δυσχερῆ, κοῦφα καὶ ῥᾴδια γίνεται. ἕτερος πάλιν ὑπὸ τῶν πρότερον θεραπευόντων καταφρονεῖται καὶ περιορᾶται καὶ ὑπὸ τῶν φίλων καταλιμπάνεται, καὶ τοῦτο αὐτοῦ μάλιστα συγχεῖ καὶ ταράσσει τὸν λογισμόν. ἀλλὰ καὶ οὗτος, εἰ βουληθείη, ἐνταῦθα παραγενόμενος ἀκούσει τοῦ μακαρίου τούτου λέγοντος· οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν,

ponat. Propterea enim tot cuiuis ſunt propoſita, & licet volenti conueniens ſuis affectionibus remedium apponere, & ſanitatem accipere celerrimam, tantùm medicinæ curam ne quis reiiciat, ſed ſuam declaret gratitudinem. Nulla enim eſt in humana natura vel corporis, vel animæ paſſio, quæ medicinam hinc accipere nequeat. Quomodo? dic obſecro. Ingreditur quis huc, triſtitia & negociorum ſollicitudine oneratus, & ingreſſus huc, ita mœrore adobrutus, ſtatim vt audiuit prophetam dicentem, Quare triſtis es anima Pſal. 41. mea, & quare conturbas me? ſpe- 6. ra in Deum, quoniam confitebor ei: Salutare vultus mei & Deus meus: ſufficienti conſolatione ſuſcepta abit, & omnem illam mentis triſtitiam excutit. Alius item extrema premitur inopia: grauatim fert & mœret, videns alios diuitiis affluere, & valde inflari, & magno apparatu & pompa ſtipari: Pſal. 54. audit & hic eundem prophetam 23. dicentem: Iacta in Dominum cu- Pſal. 48. ram tuam: & ipſe te enutriet. Et 17. iterum: Ne timeas cùm ditatus fuerit homo, vel cum multiplicata fuerit gloria domus eius: quia cùm morietur, non accipiet omnia. Eſt & alius quoque qui inſidias & calumnias ſuſtinens dolet, & inſuauem putat vitam, nuſquam humanum inuenire valens auxilium? docetur & hic ab eodem propheta in talibus anguſtiis non ad humanum præſidium Pſal. 108. confugiẽdum. Audit enim ipſum di- 4. centem: Ipſi detrahebant mihi, ego autem orabam. Vidiſti vnde quærat auxilium? Alij, inquit, dolos plectebant, & calumnias, & inſidias: ego autem ad inexpugnabilem murum cõfugio, ad tutam anchoram, ad portum fluctuum expertem, preces inquam, per quas omnia difficilia leuia & facilia mihi fiunt. Inſuper alius ab his qui prius ipſi miniſtrabant, deſpicitur & contemnitur, & ab amicis relinquitur, & hoc eſt quod mentem eius maximè conturbat & confudit: ſed & hic ſi huc venerit, audit beatum illum dicentem, Amici Pſal. 37. mei & proximi mei aduerſum me 12. appropinquauerunt & ſteterunt,

Et proximi mei à longè ſteterunt, & vim faciebant, qui quærebant animam meam: & qui quærebant mala mihi, loquebantur vanitates, & fraudulentias tota die meditabantur. Vidiſti ſtruentes inſidias vſque ad mortem ipſam, & perpetuum bellum gerentes? Nam hoc indicat, cùm dicit, Tota die meditabantur, quia per totam vitam. Quid ergo ille interim, dum inſidiantur, & varia inſtruunt, egit? Ego autem, inquit, quaſi ſurdus non audiens, & quaſi mutus non aperiens os ſuum.

Ibidem.

Et factus ſum quaſi homo non audiens, & non habens in ore ſuo redargutiones. Vidiſti excellentem philoſophiam, quomodo diuerſa via vicit? Illi dolos ſtruebant, ipſe aures obturabat, ne audiret. Illi omni tempore non ceſſabant linguam acuere, & vanitates & fraudulentias meditari: hic autem ſilentio illorum inſaniam comprimebat. Et quare ſic ſe gerit, & illis hæc apparantibus ipſe ſic ſe diſponit quaſi ſurdus & mutus, & quaſi neque aures, neque linguam habeat? Audi ipſum tantæ philoſophiæ cauſam dicentem: Quia in te ſperaui domine, quia à te pendet ſpes mea, inquit, & in te me proieci, nulla mihi cura eſt, quid illi agant. Tuum enim auxilium ſatis potens eſt ad diſſipanda hæc omnia, & irritas reddendas illorum machinationes & inſidias, vt nihil eorum impleatur quod apparant.

Pſal. 140. 8.

Vidiſti quomodo quacunque calamitate humanam naturam premente, conueniens ex ſcripturis antidotum accipere liceat, & omnis vitæ huius repellatur anxietas, neque ab vllo quod accidit, grauemur? Propterea obſecro, vt ſubinde huc veniatis, & diuinæ ſcripturæ lectionem diligenter auſcultetis: non ſolum cum huc venitis, ſed & domi diuinos libros in manus ſumite, & vtilitatem in illis poſitam, magno ſtudio ſuſcipite. Inde enim multum lucri naſcitur: primum quidem, lectione lingua reformatur: deinde anima excitatur & eleuatur, iubaréque ſolis iuſtitiæ illuſtratur, pérque tempus illud ab immundarum cogitationum illecebris liberatur, multa quiete ac tranquillitate fruens.

Antidotum in ſcriptura calamitati cuiuis reperis.

A καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν, καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μου ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Εἶδες μέχρις αὐτοῦ τοῦ θανάτου τὰς ἐπιβουλὰς ῥάπτοντας, καὶ διηνεκῆ τὸν πόλεμον ἐπιδεικνυμένους; τὸ γάρ, ὅλην τὴν ἡμέραν, τοῦτο δηλοῖ, ὅτι διὰ πάσης τῆς ζωῆς. τί οὖν αὐτὸς ἐκείνων ταῦτα ἐπιβουλευόντων καὶ κατασκευαζόντων ἔπραττεν; ἐγὼ δέ, φησιν, ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ, καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι

B αὐτοῦ ἐλεγμούς. Εἶδες φιλοσοφίας ὑπερβολήν, πῶς διὰ τῶν ἐναντίων ὁδῶν οὗτος περιεγένετο; ἐκεῖνοι δόλους ἔρραπτον, αὐτὸς καὶ τὰς ἀκοὰς ἔφραττεν, ὡς μηδὲ ἀκούειν· ἐκεῖνοι πάντα τὸν χρόνον οὐκ ἐπαύοντο καὶ τὴν γλῶτταν ἀκονοῦντες, καὶ ματαιότητας καὶ δολιότητας φθεγγόμενοι· οὗτος δὲ τῇ σιγῇ τὴν μανίαν ἐκείνων κατέστελλε. καὶ τίνος ἕνεκεν οὕτως ἑαυτὸν διετίθει καί τοι ἐκείνων ταῦτα κατασκευαζόντων, καὶ ὡσεὶ κωφὸς καὶ ἄλαλος καὶ μήτε ἀκοὰς ἔχων μήτε γλῶτταν οὕτω διέκειτο; ἄκουε αὐτοῦ λέγοντος τὴν αἰτίαν τῆς τοσαύτης φιλοσο-

C φίας· ὅτι ἐπὶ σοὶ ἤλπισα κύριε. ἐπειδὴ ἐμαυτὸν ἐξήρτησα, φησι, τῆς εἰς σὲ ἐλπίδος, οὐδείς μοι λόγος τῶν παρὰ τούτων γινομένων. ἡ γὰρ σὴ ῥοπὴ ἱκανὴ πάντα διασκεδάσαι, καὶ ἀκύρους αὐτῶν ποιῆσαι καὶ τὰς ἐπιβουλὰς καὶ τὰς μηχανάς, καὶ μηδὲν ἀφεῖναι τῶν ὑπ᾽ αὐτῶν κατασκευαζομένων εἰς ἔργον ἐλθεῖν. ἴδετε πῶς δυνατὸν ἑκάστης συμφορᾶς τῆς συνεχούσης τὴν ἀνθρωπίνην φύσιν κατάλληλον ἐντεῦθεν φάρμακον λαβόντα ἀπελθεῖν, καὶ πᾶσαν ἀπώσασθαι ἀθυμίαν βιωτικήν, καὶ ὑπὸ μηδενὸς συστέλλεσθαι τῶν συμπιπτόντων; διὰ τοῦτο παρα-

D καλῶ καὶ συνεχῶς ἐνταῦθα βαδίζειν, καὶ μετ᾽ ἀκριβείας προσέχειν τῇ τῶν θείων γραφῶν ἀναγνώσει, μὴ μόνον ἐπειδὰν ἐνταῦθα παραγίνεσθε, ἀλλὰ καὶ οἴκαδε μετὰ χεῖρας λαμβάνειν τὰ θεῖα βιβλία, καὶ μετ᾽ ἐπιμελείας δέχεσθαι τῶν ἐγκειμένων τὴν ὠφέλειαν. πολὺ γὰρ τὸ ἐντεῦθεν τικτόμενον κέρδος· πρῶτον αὐτὸ τοῦτο, τὴν γλῶτταν ἀναπλάττεσθαι ποιεῖ διὰ τῆς ἀναγνώσεως. ἔπειτα, καὶ ἡ ψυχὴ πτεροῦται καὶ μετάρσιος γίνεται, τῷ φωτὶ τοῦ τῆς δικαιοσύνης ἡλίου καταυγαζομένη, κατ᾽ αὐτὸν ἐκεῖνον τὸν καιρὸν τῆς τῶν πονηρῶν λογισμῶν λύμης ἀπαλλαττομένη, καὶ γαλήνης ἀπολαύουσα πολλῆς καὶ ἡσυχίας.

A καὶ ὅπερ ἡ σωματικὴ τροφὴ πρὸς τὴν σύστασιν τῆς ἡμετέρας ἰσχύος, τοῦτο ἡ ἀνάγνωσις τῇ ψυχῇ γίνεται. Τροφὴ γάρ ἐστι πνευματικὴ, καὶ νευροῖ τὸν λογισμὸν, καὶ ἰσχυρὰν ἐργάζεται τὴν ψυχὴν καὶ εὐτονωτέραν καὶ φιλοσοφωτέραν, οὐκ ἀφιεῖσα λοιπὸν ἁλίσκεσθαι τοῖς ἀλόγοις πάθεσιν, ἀλλὰ καὶ κοῦφον αὐτῇ τὸ πτερὸν ἐργαζομένη, καὶ πρὸς αὐτὸν, ὡς εἰπεῖν, τὸν οὐρανὸν μεθιστῶσα. μὴ τοίνυν ἀμελῶμεν, παρακαλῶ, τοῦ τοσούτου κέρδους, ἀλλὰ καὶ ἐπὶ οἰκίας σπουδάζωμεν τῇ ἀναγνώσει τῶν θείων προσέχειν γραφῶν, καὶ ἐνταῦθα παραγινόμενοι μὴ εἰς φλυαρίας καὶ ἀνονήτους ὁμιλίας τὸν καιρὸν καταδαπανῶμεν, ἀλλὰ δι' ὃ παραγεγόναμεν, B οὕτω συντείνωμεν ἑαυτοὺς, καὶ προσέχωμεν τοῖς ἀναγινωσκομένοις, ἵνα καρπωσάμενοί τι πλέον οὕτως ἐντεῦθεν ἐξέλθητε. εἰ δὲ μέλλοιτε εἰσελθόντες ἐνταῦθα πάλιν εἰς ὁμιλίας ἀχρείους καὶ ἀνωφελεῖς τὸν καιρὸν καταναλίσκειν, καὶ μηδὲν πλέον εἰς ὠφέλειαν λόγων δεξάμενοι ἐπανιέναι, τί τὸ ὄφελος; πῶς γὰρ οὐκ ἄτοπον, εἰς μὲν πανήγυριν βιωτικὴν ἀπιόντας σπουδάζειν πάντα τὰ ἐκ τῆς πανηγύρεως λαβόντας ἐπανελθεῖν οἴκαδε, καὶ ταῦτα χρήματα καταθέντας· ἐνταῦθα δὲ εἰς τὴν πανήγυριν ταύτην τὴν πνευματικὴν ἐρχομένους, μὴ πᾶσαν C ποιεῖσθαι σπουδὴν λαβόντας τι τῶν χρησίμων, καὶ εἰς τὴν ψυχὴν ἐναποθεμένους οὕτως ἐπανιέναι, καὶ μάλιστα ὅτε οὐδὲ χρημάτων δαπάνην ἐργάσασθαι δεῖ, ἀλλὰ προθυμίαν μόνον εἰσενεγκεῖν, καὶ γνώμην συντεταμένην; ἵνα οὖν μὴ χείρους γινώμεθα τῶν ταῖς βιωτικαῖς πανηγύρεσιν ἐμβαλλόντων, σπουδάζωμεν πολλὴν ἐπιδείκνυσθαι τὴν φροντίδα καὶ τὴν ἀγρυπνίαν, ἵν' ἔχωμεν ἐντεῦθεν ἐξελθόντες ἐφόδια, ὥστε μὴ μόνον ἑαυτοῖς ἀρκεῖν, ἀλλὰ καὶ ἑτέροις ἐπιχορηγεῖν, καὶ δύνασθαι καὶ τὴν γυναῖκα διορθοῦν, καὶ τοὺς οἰκέτας καὶ τοὺς γείτονας καὶ τὸν D φίλον καὶ τὸν ἐχθρὸν αὐτόν. τοιαῦτα γὰρ τὰ πνευματικὰ διδάγματα, ὡς κοινὰ πᾶσι προκεῖσθαι, καὶ μηδεμίαν εἶναι ἐν αὐτοῖς διαφορὰν, πλὴν εἰ μή πού τις γνώμην συντεταμένην εἰσενέγκας καὶ προθυμίαν ζέουσαν ὑπερηκόντισε τὸν πλησίον. ἐπεὶ οὖν καὶ τῶν ἐνταῦθα διδαγμάτων τοσοῦτον τὸ κέρδος, φέρε, σήμερον τὰ ἀναγνωσθέντα εἰς μέσον προθῶμεν, καὶ τὸ ἐξ αὐτῶν κέρδος καρπωσάμενοι, οὕτως οἴκαδε ἐπανέλθωμεν. καὶ ἤρξατο, φησι, Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη.

Inſuper, quod ad augendas vires corpori ſenſibilis ille cibus facit, id animæ lectio præſtat. Spirituale enim alimentum eſt, & fortem reddit animam, & conſtantiorem, & magis philoſophicam: non permittens vt ab affectionibus abſurdis capiatur: ſed leuem & alatam faciens, in cœlum ipſum propemodum transfert. Tantum igitur lucrum, oro, ne per negligentiam amittamus, ſed etiam domi vacemus diuinarum ſcripturarum lectioni, & hîc præſentes non in nugis & inutilibus colloquiis tempus decoquamus: ſed propter quod conuenimus, attendamus quæ legantur, vt maiori inde fructu percepto diſcedere liceat. Quòd ſi huc ingreſſi, ad intempeſtiuas & inutiles confabulationes vos confertis, & abſque ampliori fructu hinc abitis, quæ vtilitas? Num enim abſurdum, eſt eos qui ad ſeculares nundinas veniunt, ſollicitos eſſe vt antequam redeant, omnia quæ ex nundinis oportet, capiant, licet pecuniæ impendendæ ſint: huc autem in ſpirituales has nundinas venientes, non omne ſtudium impendere, vt acceptis vtilibus, & in anima depoſitis, recedant: maximè cùm nullo pecuniarum ſumptu hîc opus ſit, ſed alacritate ſola & intenta mente? Vt igitur ne deteriores fiamus iis, qui ad ſeculares mercatus vadunt, operam demus, vt perquam vigilantes ſimus, ne deſint hinc migraturis viatica: imò vt habeamus quæ non ſolum nobis ſufficiant, ſed & quæ ſuppeditare poſſimus & aliis, & vxorem corrigendo, & famulos, & vicinum, & amicum, & etiam inimicum. Tales enim ſunt ſpirituales doctrinæ, vt communes omnibus proponantur, nullàque ſit in eis diuerſitas, niſi quando quis magis intentam affert mentem, & feruentiori deſiderio alium tranſcendit. Itaque quia tantum eſt è noſtris doctrinis lucrum, age hodie lecta in medium proponamus, & fructu quopiam inde collecto, domum redeamus. 20 *Et coepit*, inquit, *Noë homo agricola terræ, & plantauit vineam, & bibit de vino, & inebriatus eſt.*

Cōmunes ſunt omnib⁹ ſpirituales doctrinæ.

Vide quantæ vtilitatis occaſio eſt huius lectionis prooemium. Quando enim audimus, quòd iuſtus ille & perfectus, & qui tantum ſuperius accepit teſtimonium, bibit & inebriatus eſt: quomodo nos poſthac, qui tantis & tam variis peccatis immerſi ſumus, non magna contentione damnum ebrietatis effugere ſtudebimus? quamuis non ſit ſimile, iuſtum illum hac affectione capi, & nos in eandem incidere. Multa enim ſunt quæ iuſtum illum venia dignum declarant: quæ non dico quaſi ebrietatem excuſaturus, ſed monſtrans, quod iuſtus non ex intemperantia, ſed potius ex ignorantia ſit ſupplantatus. Et quòd non ita ſimpliciter vini potationem inuenit, audi ſcripturam eius apologiam afferentem, cùm dicit: *Et coepit Noë homo agricola terræ*. Iſtucipſum quod inquit, Cœpit, oſtendit quòd ipſe vini bibendi primus inuentor fuerit: & per ignorantiam, & neſciens ſumendi menſuram, in ebrietatem inciderit. Neque hoc ſolum eſt in cauſa, ſed quia magna tenebatur triſtitia, & ſibiipſi conſolationem inde excogitare volebat, ſicut & ſapiens quidam dicit: Date vinum iis qui in triſtitia, & merum iis qui in dolore:

Prou.31. 6.

monſtrans quòd nullum eſt tam præſens triſtitiæ remedium, atque vini vſus, tantùm vtilitatem eius ne perdat intemperantia. Quòd autem in triſtitia & mœrore fuerit iuſtus ille, videns ſeipſum in tanta ſolitudine, & illorum hominum corpora ante oculos proiecta & commune omnium ſepulchrum hominibus & brutis factum, quis contradiceret? Mos enim prophetarum & iuſtorum omnium, non ſolum pro iis duntaxat dolere, qui ſibi proximi ſunt, ſed & pro reliquis hominibus. Et ſi quis recenſere velit, inueniet omnes hanc compaſſionem præ ſe ferre: & audiet Eſaïam quidem dicentem: Nolite contendere, vt me conſolemini in contritione filiæ generis mei: Hieremiam autem, Quis dabit capiti meo aquam, & oculis meis fontẽ lachrymarum? Ezechielem verò, Heu mihi Domine, delebis tu reliquias Iſraël?

Eſaiæ 22. 4.
Hier. 9. 1.
Ezech. 9. 8.

A σκόπει πόσης ἡμῖν ὠφελείας ὑπόθεσις γίνεται αὐτὸ τῆς ἀναγνώσεως τὸ προοίμιον. ὅταν γὰρ ἀκούσωμεν, ὅτι ὁ δίκαιος, ὁ τέλειος, ὁ τὴν ἄνωθεν μαρτυρίαν δεξάμενος ἔπιε καὶ ἐμεθύσθη, πῶς ἡμεῖς λοιπὸν οἱ τοσούτοις καὶ ἑτέροις ἁμαρτήμασι καταβεβαπτισμένοι οὐχὶ μετὰ πολλοῦ τοῦ τόνου σπουδάσομεν φυγεῖν τὴν ἐκ τῆς μέθης λύμην; καίτοιγε οὐχ ὅμοιόν ἐστι τὸ τὸν δίκαιον τοῦτον ἁλῶναι τῷ πάθει, καὶ ἡμᾶς τῷ αὐτῷ περιπεσεῖν. πολλὰ γάρ ἐστιν, ἃ τὸν δίκαιον τοῦτον συγγνώμης ἄξιον ἀποφαίνει. καὶ ταῦτα λέγω οὐ τὸν ὑπὲρ τῆς μέθης λόγον ποιούμενος, B ἀλλὰ δεικνὺς ὅτι οὐκ ἐξ ἀκρασίας ὁ δίκαιος ὑπεσκελίσθη, ἀλλ' ὑπὸ ἀγνοίας μᾶλλον. καὶ ὅτι οὐχ ἁπλῶς εὗρε τὴν οἰνοποσίαν, ἄκουε αὐτῆς τῆς γραφῆς λεγούσης καὶ τὴν ἀπολογίαν ποιουμένης, δι' ὧν φθέγγεται· καὶ ἤρξατο, φησι, Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη. αὐτὸ τοῦτο τὸ εἰπεῖν, ἤρξατο, δείκνυσιν ὅτι αὐτὸς τὴν ἀρχὴν εὗρε τῆς οἰνοποσίας, καὶ διὰ πολλὴν ἄγνοιαν καὶ διὰ τὸ μὴ εἰδέναι τῆς μεταλήψεως τὰ μέτρα εἰς τὴν μέθην ἐξε- C κυλίσθη. καὶ οὐ τοῦτο μόνον ἐστὶν, ἀλλ' ὅτι καὶ ἀθυμίᾳ πολλῇ κατεχόμενος ἐβουλήθη τὴν ἐντεῦθεν παραμυθίαν ἑαυτῷ ἐπινοῆσαι, καθάπερ καί τις φησὶ σοφός· δότε οἶνον τοῖς ἐν λύπαις, καὶ μέθην τοῖς ἐν ὀδύναις, δεικνὺς ὅτι οὐδὲν οὕτως ἀθυμίας φάρμακον γενέσθαι δύναται, ὡς ἡ τούτου χρῆσις· μόνον εἰ μή που ἡ ἀμετρία λυμήνηται τὴν ἐξ αὐτοῦ ὠφέλειαν. ὅτι δὲ ἐν λύπῃ ἦν καὶ ἀθυμίᾳ ὁ δίκαιος οὗτος, ὁρῶν ἑαυτὸν ἐν ἐρημίᾳ τοσαύτῃ, καὶ πρὸ τῶν ὀφθαλμῶν ἐκείνῳ τὰ σώματα τῶν ἀνθρώπων ἐρριμμένα, καὶ D μετὰ τῶν κτηνῶν καὶ τῶν ἀλόγων, καὶ τάφον κοινὸν ἅπασι γεγενημένον, τίς ἀντερεῖ; ἔθος γὰρ τοῖς προφήταις καὶ τοῖς δικαίοις ἅπασι μὴ μόνον ὑπὲρ τῶν καθ' ἑαυτοὺς ἀλγεῖν, ἀλλὰ καὶ ὑπὲρ τῶν λοιπῶν ἀνθρώπων. καὶ εἴ τις ἐξαριθμήσασθαι βούλοιτο, εὑρήσει πάντας ταύτην τὴν συμπάθειαν ἐπιδεικνυμένους, καὶ ἀκούσει τοῦ μὲν Ἠσαΐου λέγοντος· μὴ κατισχύσητε παρακαλεῖν με ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου· τοῦ δὲ Ἱερεμίου, τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων; τοῦ δὲ Ἰεζεκιὴλ, οἴμοι κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ;

καὶ τοῦ

καὶ τοῦ Δανιὴλ θρηνοῦντος καὶ λέγοντος, ὅτι ὀλιγοστοὺς ἡμᾶς ἐποίησας παρὰ πάντα τὰ ἔθνη· καὶ τοῦ Ἀμὼς, Μετανόησον, κύριε, ἐπὶ τούτῳ· καὶ τοῦ Ἀββακοὺμ, ἵνα τί ἔδειξάς μοι κόπους καὶ μόχθους; καὶ πάλιν, καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης; καὶ τοῦ μακαρίου δὲ αὐτοῦ τούτου Μωυσέως ἀκούσῃ λέγοντος, εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον· καὶ πάλιν ἐπαγγελλομένου τοῦ θεοῦ μείζονος ἔθνους ἡγεμονίαν αὐτῷ ἐγχειρίσαι, καὶ εἰπόντος, ἄφες με, καὶ ἐξαλείψω τοὺς ἀνθρώπους τούτους, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, οὐδὲ τοῦτο εἵλετο, ἀλλὰ τὴν προστασίαν αὐτῶν προτιμοτέραν ἡγήσατο. καὶ ὁ τῆς οἰκουμένης διδάσκαλος, ὁ μακάριος Παῦλος, ἔλεγεν. ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. ἴδετε πῶς ἕκαστος τῶν δικαίων πολλὴν τὴν συμπάθειαν περὶ τοὺς ὁμογενεῖς ἐπεδείκνυντο. ἐννοήσατε λοιπὸν καὶ τὰ κατὰ τοῦτον τὸν δίκαιον, πόσα εἰκὸς ἦν πάσχειν, καὶ πῶς ὑπὸ τῆς ἀθυμίας κατεργάζεσθαι. ὁρῶντα καὶ τῆς τοσαύτης ἐρημίας τὴν ἐπίτασιν, καὶ αὐτὴν τὴν γῆν, τὴν πρότερον κομῶσαν τοῖς πολλοῖς φυτοῖς, καὶ τοῖς ἄνθεσι καλλωπιζομένην, ἀθρόον ὥσπερ ἀποκειραμένην τὴν κόμην, καὶ γυμνὴν αὐτὴν καὶ ἔρημον τυγχάνουσαν. ἐπεὶ οὖν τοσαύτη τῆς ἀθυμίας ἦν ἡ ἐπίτασις, μικράν τινα ἑαυτῷ παραμυθίαν ἐντεῦθεν ἐπινοῶν ἐπὶ τὴν τῆς γῆς ἐργασίαν ἑαυτὸν ἐξέδωκε. διὰ τοῦτο, φησι, καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα. ἀλλ᾽ ἄξιον ζητῆσαι, εἰ νῦν αὐτὸς ἐξεῦρε τὸ φυτὸν, ἢ ἄνωθεν καὶ ἐξ ἀρχῆς ἦν παραχθέν. εἰκὸς μὲν τοῦτο ἄνωθεν καὶ ἐξ ἀρχῆς κατὰ τὰς ἓξ ἐκείνας ἡμέρας δεδημιουργῆσθαι, ἡνίκα εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν (κατέπαυσε γάρ, φησιν, ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε) μὴ μέντοι γνώριμον εἶναι τὴν τοῦ φυτοῦ τὴν χρῆσιν. εἰ γὰρ ἦν ἄνωθεν καὶ ἐξ ἀρχῆς τὸ φυτὸν γνώριμον γεγονὸς, ἢ ὁ ἐξ αὐτοῦ καρπὸς κατάδηλος, πάντως ἂν καὶ οἱ περὶ τὸν Ἄβελ τὰς θυσίας ἀνάγοντες καὶ οἶνον ἐσπένδοντο, ἀλλ᾽ ἐπειδὴ ἠγνόουν ἔτι τοῦ καρποῦ τὴν χρῆσιν, οὐκ ἐκέχρηντο τῷ φυτῷ. οὗτος δὲ φιλότεχνος ὢν περὶ τὴν γεωργίαν, καὶ πολλῇ τῇ ἐπιμελείᾳ χρησάμενος, ἴσως καὶ τοῦ καρποῦ ἐγεύσατο, καὶ τοὺς βότρυας ἀποθλίψας, καὶ τὸν οἶνον ποιήσας, μετέλαβε τῆς χρήσεως. καὶ ἐπειδὴ μήτε αὐτὸς ἐγεύσατο πρότερον,

A Et Danielem lamentantem, & dicentem, Pauculos nos feciſti vltra omnes gentes. Dan. 9.
Et Amos, Pœniteat te domine ſuper hoc. Am. 7. 3.
Et Habacuk, Quare oſtendiſti mihi labores & moleſtias? Habac. 1. 3.
Et iterum, Et facturus es homines quaſi piſces maris. Ibid. 14.
Et beatum iſtum Moſem quoque dicentem audiet, Si quidem dimittis eis peccatum, dimitte, aut & me dele. Exod. 32. 32.
Et iterum, cùm promiſiſſet illi Deus maioris populi ducatum ſe traditurum, & dixiſſet, Dimitte me, Ibidem.
& delebo homines iſtos, & faciam te in gentem magnam: neque hoc
B voluit, ſed præeſſe iſtis maluit. Item orbis doctor beatus Paulus, Rom. 9. 3.
Optabam ipſe ego anathema eſſe à Chriſto, pro fratribus meis cognatis meis ſecundum carnem. Vidiſtis quomodo iuſti omnes magnam compaſſionem erga proximos præ ſe ferebant? Conſiderate nunc quomodo & iuſtus ille ſe habuerit, quomodo veriſimile eſt eum fuiſſe affectum, & quomodo à triſtitia deprimebatur, videns tam immenſam ſolitudinem, & terram illam quæ an-
C tea tam variis luxuriabat plantis, & floribus ornabatur, repentè quaſi deſectis comis, & nudam, & ſolitariam. Cùm ergo tam inualuerat mœror, paruam quandam ſibi conſolationem excogitans, terræ colendæ ſeſe dedidit: & idcirco inquit, Et cœpit Noë homo agricola terræ, & plantauit vineam. Sed iure hîc quæritur, an ipſe nunc plantam inuenerit, vel antea & ab initio fuerit producta. Num inuenerit vitē Noë.
Veriſimile eſt quòd antea, & ab initio fuerit in ſex illis diebus creata, quando vidit Deus omnia quæ fecit, & erant valde bo-
D na (quieuit enim, dicente ſcriptura, Deus die ſeptimo ab omnibus operibus ſuis quæ fecit) nec tamen vſum fructus ex illa manifeſtum fuiſſe. Nam ſi fuiſſet ab initio notus, omnino Abelis tempore inter oblatas hoſtias & vinum libaſſent. Verùm quia ignorabant adhuc fructus vſum, planta hac vſi non ſunt. Hic autem agriculturæ ſtudioſus, & magnæ diligentiæ, fortè etiam fructum deguſtauit, & contritis botris vinum fecit, eóque vſus eſt. Et quia neque ipſe guſtauerat prius,

neque alium ſciebat qui guſtauerat, ignarus qua menſura vti debebat, per ignorantiam in ebrietatem incidit. Præterea, quoniam carnis eſus in vitam hanc introductus fuit, poſtea & vini potus acceſſit. Vide autem dilecte quomodo paulatim mundi ſtatus diſpenſatur, & quilibet iuxta ſapientiam à Deo naturæ inditam, initio artis alicuius inuentor fit. Sic in hanc vitam artium ſtudia ſunt introducta. Primus enim agriculturam inuenit, ſecundus artem paſtoralem, alius fabrilem, alius muſicam, hic autem iuſtus vineaticam naturali ſolertia excogitauit. *Et coepit*, inquit, *Noë homo agricola terræ, & plantauit vineam, & bibit è vino, & inebriatus eſt.* Conſidera quomodo hoc, quod erat triſtitiæ medicamentum, & ſanitati conducibile, ei qui modum per ignorantiam tranſcendit, non ſolùm nihil profuit, ſed & ſtatum eius offendit. Iam fortè quærat aliquis, Quare planta tot malis plena, in hanc vitam producta eſt? Ne ita temerè loquaris homo omnia quæ in buccam incidunt. Non eſt planta hæc mala, neque vinum malum, ſed illius abuſus, quia non propter vinum, ſed propter peruerſam voluntatem nefaria ſcelera fiunt, & cùm in eo ſit vtilitas, vt noceat in cauſa eſt intemperantia. Quocirca nunc poſt diluuium oſtendit tibi vini vſum, vt oſtendat quòd & ante vini vſum in immodicam luxuriam humanum genus inciderit, multíſque peccatis ſe contaminauerit, cùm adhuc vini vſus neſciretur: vt & quando videris vſum vini, non vino totum tribuas, ſed corruptæ voluntati ſua ſpõte ad malum ruenti. Alia quoque ratione conſidera, vbi vinum fuerit vtile, & contremiſce mi homo. Nam per hoc materia bonorum ſalutis noſtræ perficitur. Sciunt, qui myſteriis initiati ſunt, quid dicatur. *Et coepit*, inquit, *Noë agricola terræ, & plantauit vineam, & bibit de vino, & inebriatus eſt, & nudatus eſt in domo ſua.* Grauiſſimum quiddam eſt ebrietas dilectiſſime, & quod poteſt excæcare ſenſus, & ſubmergere mentem, & hominem rationale animal, qui ſuper omnia

Geneſ. 4 Cain. Abel. Tubal-cain. Iubal. Noë. Geneſ. 9

Cur vitis in hanc vitam introducta.

A μήτε ἕτερον εἶδε μετειληφότα, οὐκ εἰδὼς πόσῳ δεῖ χρήσασθαι μέτρῳ, οὔτε ὅπως αὐτοῦ τῆς μεταλήψεως προσήκει μετασχεῖν, ὑπ' ἀγνοίας εἰς τὴν μέθην ἐξωλίσθεν. ἄλλως δὲ, ἐπειδὴ ἡ κρεωφαγία εἰσηνέχθη εἰς τὸν βίον, λοιπὸν καὶ ἡ οἰνοποσία. ὅρα δέ μοι κατὰ μικρὸν, ἀγαπητὲ, πῶς ἡ τοῦ κόσμου σύστασις οἰκονομεῖται, καὶ ἕκαστος ἀπὸ τῆς παρὰ τοῦ θεοῦ σοφίας ἐγκειμένης τῇ φύσει, εὑρετὴς ἐκ προοιμίων τέχνης τινὸς γέγονε, καὶ οὕτως εἰς τὸν βίον εἰσήνεγκε τὰ τῶν τεχνῶν ἐπιτηδεύματα. ὁ γὰρ πρῶτος τὴν ἐργασίαν εὗρε τῆς γῆς, καὶ ὁ μετ' αὐτὸν τὴν ποιμαντικὴν, ἕτερος τὴν κτηνοτροφίαν, καὶ ἄλλος B τὴν μουσικὴν, ἕτερος τὴν χαλκευτικήν· οὗτος δὲ ὁ δίκαιος τὴν ἀμπελουργικὴν ἀπὸ τῆς ἐγκειμένης τῇ φύσει διδασκαλίας ἐπενόησε. καὶ ἤρξατο, φησι, Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη. σκόπει πῶς τὸ τῆς ἀθυμίας φάρμακον, τὸ τῆς ὑγείας ποιητικὸν, ἐπειδὴ εἰς ἀμετρίαν ὑπερέβη διὰ τὴν ἄγνοιαν, οὐ μόνον οὐδὲν ὠφέλησεν αὐτὸν, ἀλλὰ καὶ ἐλυμήνατο αὐτοῦ τῇ καταστάσει. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ τίνος ἕνεκεν τοσούτων γέμον κακῶν φυτὸν εἰς τὸν βίον εἰσηνέχθη; μὴ ἁπλῶς τὰ ἐπιόντα φθέγγου, ἄνθρω- C πε. οὐ γὰρ τὸ φυτὸν κακὸν, οὔτε ὁ οἶνος πονηρὸν, ἀλλ' ἡ παρὰ τὸ δέον χρῆσις. ὅτι γὰρ οὐ παρὰ τὸν οἶνον τὰ ἁμαρτήματα τὰ ὀλέθρια τίκτεται, ἀλλὰ παρὰ τὴν διεφθαρμένην γνώμην, καὶ τῇ ἀμετρίᾳ λυμαίνεσθαι τὴν ἐκ τούτου ἐγγινομένην ὠφέλειαν, διὰ τοῦτο νῦν μετὰ τὸν κατακλυσμὸν δείκνυσί σοι τοῦ οἴνου τὴν χρῆσιν, ἵνα μάθῃς ὅτι καὶ πρὸ τῆς τοῦ οἴνου χρήσεως, καὶ εἰς ἀσέλγειαν ὑπερβάλλουσαν ἐξώκειλεν ἡ τῶν ἀνθρώπων φύσις, καὶ πολλὴν τῶν ἁμαρτημάτων τὴν ἐπίτασιν ἐπεδείξατο· καὶ ταῦτα οἴνου μηδαμοῦ φαινομένου, ἵνα καὶ ὅταν ἴδῃς τὴν τοῦ D οἴνου χρῆσιν, μὴ τῷ οἴνῳ τὸ πᾶν λογίσῃ, ἀλλὰ τῇ προαιρέσει τῇ διεφθαρμένῃ καὶ πρὸς τὴν κακίαν αὐτομολησάσῃ. ἄλλως δὲ, καὶ ἐννόησον ποῦ χρήσιμος γέγονεν ὁ οἶνος, καὶ φρίξον, ἄνθρωπε. ἡ γὰρ ὑπόθεσις τῆς σωτηρίας ἡμῶν τῶν ἀγαθῶν διὰ τούτου τελεῖται, ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον. καὶ ἤρξατο Νῶε, φησιν, ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ. δεινὸν γὰρ, δεινὸν, ἀγαπητὲ, ἡ μέθη, καὶ ἱκανὴ πηρῶσαι τὰς αἰσθήσεις, καὶ καταβαπτίσαι τὸν λογισμόν. τὸν γὰρ λογικὸν ἄνθρωπον, καὶ τὴν κατὰ πάντων

ἀρχὴν ἀναδεδεγμένων, καθάπερ νεκρὸν καὶ ἀνενέργητον, δεσμοῖς τισιν ἀλύτοις πεδήσασα κεῖσθαι παρασκευάζει· μᾶλλον δὲ καὶ νεκροῦ χεῖρον. ὁ μὲν γὰρ καὶ πρὸς τὰ καλὰ καὶ πρὸς τὰ κακὰ ἀνενέργητος τυγχάνει· οὗτος δὲ πρὸς μὲν τὰ καλὰ ἀνενέργητος, πρὸς δὲ τὰ κακὰ μᾶλλον ἐνεργεῖ, καὶ κοινὸς πᾶσι γέλως πρόκειται, καὶ τῇ γυναικὶ, καὶ τοῖς παιδίοις, καὶ αὐτοῖς τοῖς οἰκέταις. οἱ μὲν γὰρ φίλοι οἰκείαν τὴν αἰσχύνην λογιζόμενοι ἐγκαλύπτονται καὶ αἰσχύνονται, οἱ δὲ ἐχθροὶ ἐφήδονται καὶ κωμῳδοῦσι καὶ ἐπαρῶνται, μονονουχὶ ταῦτα λέγοντες τὰ ῥήματα· τοῦτον δεῖ ὅλως ζῆν; τοῦτον δεῖ ἀναπνεῖν τὸν ἀέρα; τὸ βόσκημα, τὸν χοῖρον; καὶ ἔτι τούτων χαλεπώτερα φθεγγόμενοι. τῶν γὰρ ἀπὸ τῶν πολέμων ἐπανελθόντων, καὶ τὰς χεῖρας ᾑμαγμένας ἐχόντων, καὶ φοράδην ἀγομένων χεῖρον οὗτοι διάκεινται. ἐκείνους μὲν γὰρ ἴσως καὶ ἐγκωμιάζουσιν οἱ πολλοὶ διὰ τὰ τρόπαια, διὰ τὰς νίκας, διὰ τὰ τραύματα καὶ τὰς σφαγάς· τούτους δὲ ταλανίζουσιν, ἀθλίους ἀποκαλοῦσι, μυρία αὐτοῖς ἐπαρῶνται κακά. τί γὰρ ἂν εἴη ἀθλιώτερον τοῦ τῇ μέθῃ προσηλωμένου, καὶ καθ᾽ ἑκάστην ἡμέραν τὸν ἄκρατον ἐκχεομένου, καὶ τῶν λογισμῶν τὸ κριτήριον διαφθείροντος; διὰ τοῦτο καὶ σοφός τις παρῄνει λέγων· ἀρχὴ ζωῆς ἀνθρώπου ἄρτος, καὶ ὕδωρ, καὶ ἱμάτιον, καὶ οἶκος καλύπτων ἀσχημοσύνην, ἵνα κἂν ἁλῷ τις ὑπὸ τῆς μέθης, μὴ ἐκπομπεύηται, μηδὲ δημοσιεύηται, ἀλλὰ καὶ ὑπὸ τῶν οἰκείων περιστέλληται, καὶ μὴ πρόκειται πᾶσι γέλωτος καὶ ἀσχημοσύνης ὑπόθεσις. καὶ ἤρξατο, φησι, Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη. τὸ τῆς μέθης ὄνομα, ἀγαπητὲ, ἐπὶ τῆς ἁγίας γραφῆς οὐ πανταχοῦ ἐπὶ τούτου εἴρηται, ἀλλὰ καὶ ἐπὶ πλησμονῆς. τοῦτο οὖν ἄν τις εἴποι περὶ τοῦ δικαίου τούτου, ὅτι οὐ δι᾽ ἀκρασίαν εἰς τὴν μέθην κατέπεσεν, ἀλλ᾽ ἡ πλησμονὴ τοῦτο αὐτῷ εἰργάσατο. ἄκουε γὰρ τοῦ Δαβὶδ λέγοντος, μεθυσθήσονται ἀπὸ τῆς πιότητος τοῦ οἴκου σου, ἀντὶ τοῦ πλησθήσονται. ἄλλως δὲ οἱ τῇ μέθῃ ἑαυτοὺς ἐκδιδόντες οὐδέποτε κόρον λαμβάνουσιν, ἀλλ᾽ ὅσῳ ἂν ἐγχέωσιν ἑαυτοῖς τὸν ἄκρατον, τοσούτῳ μᾶλλον πρὸς τὸ δίψος ἐκκαίονται, καὶ ἡ μετάληψις ἀεὶ ὑπέκκαυμα γίνεται τοῦ δίψους. καὶ τὰ μὲν τῆς ἡδονῆς ἠμαύρωται λοιπὸν, τὸ δὲ δίψος ἀκατάπαυστον γεγονὸς εἰς αὐτὸν τὸν κρημνὸν τῆς μέθης κατάγει τοὺς ὑπ᾽ αὐτῆς αἰχμαλώτους γεγενημένους.

A dominium ſuſcepit, iniectis vinculis inſolubilibus, quaſi mortuum & operatione carentem iacere facit: imò deterius habetem, quàm mortuum. Nam mortuus neque bona, neque mala operari poteſt: ebrius autem nihil boni valet operari, ad malum tamen faciendum plus poteſt, iacetque ibi ridiculus omnibus, & vxori, & pueris, & famulis. Amici enim ſuam ignominiam cogitantes, ſeſe abſcondunt, & confunduntur: inimici autem oblectantur, & irrident, & execrantur, quaſi hæc dicentes verba: Hunccine oportebat viuere? B & hunccine oportebat ſpirare aërem? ô pecus, ô porcum: & adhuc grauiora loquuntur. Qui enim ex præliis redeunt, cæde coinquinatis manibus, & tumultuosè reportantur, non tam atroci aſpectu ſunt, vt illi. Sunt enim fortaſſis qui illos laudibus extollunt, propter trophæa, propter victorias, propter vulnera & cædes: ebrios autem miſeros proclamant, ærumnoſos vocant, & innumera eis mala imprecantur. Quid enim eo miſerius fuerit, qui ebrie- C tati quotidie deditus eſt, & vinum profundit, & mentis ſuæ iudicium corrumpit? Eapropter & ſapiens quidam admonebat, dicens: Principium vitæ hominis panis & aqua, & veſtis, & domus tegens turpitudinem: vt ſi quis ebrietate vincitur, ne euulgetur, ſed à ſuis contegatur: & non ſit omnibus riſus & turpitudinis argumentum. Et cœpit, inquit, Noë homo agricola terræ, & plantauit vineam, & bibit de vino, & inebriatus eſt. Ebrietatis nomen chariſſime, in ſacra ſcriptura non D vbique de temulentia dictum eſt, ſed & ſatietatem ſignificat. Hoc itaque fortè quis de iuſto hoc dicet, quòd non vt intemperans inebriatus fuerit, ſed ob ſatietatem hoc ei contigerit. Audi enim Dauid dicentem: Inebriabuntur ab vbertate domus tuæ: hoc eſt, implebuntur. Alioqui ebrietati vacantes, nunquam ſatiantur, ſed quantum ingurgitant, tantum & ſiti flagrant, & inflammatio quædam eſt eis vini vſus: & voluptates quidem euaneſcũt, ſitis autem inexplebilis in præcipitium ebrietatis eos, qui illi ſeruiunt, deducit.

Eccl. 29. 28.

Ebrietas pro ſatietate.

Pſal. 35. 9.

A Et plantauit, inquit, vineam, & bibit ex vino, & inebriatus eſt, & nudatus eſt in domo ſua. Conſidera quòd hoc non foris illi accidit, ſed in domo ſua. Idcirco enim hoc deſignauit diuina ſcriptura, In domo ſua: vt ex iis quæ ſequuntur, malitiæ vehemens ſtudium videas eius, qui nuditatem euulgare fuerit auſus. *Et vidit*, inquit, *Cham pater ille Chanaan, nuditatem patris ſui, & egreſſus annunciauit duobus fratribus ſuis foris.* Fortaſſis ſi & alij quidam affuiſſent, & illis nunciaſſet patris ſui turpitudinem: tanta erat pueri nequitia. B Propterea enim, vt diſcas iam pridem & ab initio eum corruptæ mentis fuiſſe, non ſimpliciter dicit ſcriptura, Vidit Cham nuditatem patris ſui: ſed quid? Et vidit Cham, pater Chanaan. Quare dic mihi, & hoc loco filij vocabulum aſſignat? vt diſcas illum fuiſſe intemperantem, & incontinentem, & mente qua in tanta turbatione procreandæ proli vacauit, eadem etiam nunc in contumeliam patris prorupit. Et egreſſus, inquit, annũciauit duobus fratribus ſuis foris. C

Vitia non in natura ſita, ſed in volũtate.

Vide obſecro hic dilectiſſime, quòd non in natura ſita ſunt vitia, ſed in arbitrio & voluntate. Ecce enim omnes fratres fuerunt, & eiuſdem naturæ, & eundem habuerunt patrem, eodem vtero fuerunt editi, eadem diligentia fuerunt educati, ſed non eandem mentem declarauerunt: ſed ille quidem in malitiam incidit, ij verò parenti debitum impenderunt honorem: fortaſſis autem & irriſit, ac ſubſannauit patrem, turpitudinem illius nunciando: & non audiuit ſapientem quendam, dicentem, D Ne glorieris in ignominia patris tui. Verum fratres non ſic egerunt. Et quomodo? *Cùm hæc audiuiſſent*, [23] *acceptis*, inquit, *veſtibus ſuper humeros ſuos, Sem & Iapheth ingreſſi ſunt retrorſum, & operuerunt omnem nuditatem patris ſui: & facies eorum retrorſum, & nuditatem patris ſui non viderunt.* Vidiſti probitatem filiorum? ille euulgauit, iſti neque videre ſuſtinuerunt: ſed retrorſum ibant, vt recta adirent patris contecturi nuditatem.

Eccli. 3. 12.

καὶ ἐφύτευσε, φησὶν, ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ. ὅρα αὐτὸν οὐκ ἔξω πού τοῦτο παθόντα, ἀλλ' ἐν τῷ οἴκῳ αὐτοῦ. διὰ γὰρ τοῦτο ἐπεσημήνατο ἡ θεία γραφὴ ὅτι ἐν τῷ οἴκῳ αὐτοῦ, ἵνα ἐκ τῶν ἐπαγομένων τὴν ἐπίτασιν ἴδῃς τῆς πονηρίας τοῦ τὴν γύμνωσιν ἐκπομπεύσαντος. καὶ εἶδε, φησὶ, Χὰμ ὁ πατὴρ Χαναὰν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ, καὶ ἐξελθὼν ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω. τάχα εἰ καὶ τινὲς ἕτεροι ἦσαν, κἀκείνοις ἂν ἐμήνυσε τὴν τοῦ πατρὸς ἀσχημοσύνην. τοσαύτη ἦν τοῦ παιδὸς ἡ μοχθηρία. διὰ γὰρ τοῦτο, ἵνα μάθῃς ὅτι ἄνωθεν καὶ ἐξ ἀρχῆς διεφθαρμένος ἦν τὴν γνώμην, οὐχ ἁπλῶς εἶπεν ἡ γραφὴ, ὅτι εἶδε Χὰμ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ, ἀλλὰ τί; καὶ εἶδε Χὰμ ὁ πατὴρ Χαναάν. τίνος ἕνεκεν, εἰπέ μοι, καὶ ἐνταῦθα τοῦ υἱοῦ λέγει τὴν προσηγορίαν; ἵνα μάθῃς ὅτι ἀκρατής τις ἦν καὶ ἀκόλαστος, καὶ ἀπὸ τῆς αὐτῆς γνώμης, ἀφ' ἧς ἐν τοσαύτῃ καταστάσει παιδοποιΐαν ἠνέσχετο, ἀπὸ τῆς αὐτῆς καὶ νῦν εἰς τὸν γεγεννηκότα ἐξύβρισε. καὶ ἐξελθὼν, φησὶν, ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω. ὅρα μοι ἐνταῦθα, ἀγαπητὲ, πῶς οὐκ ἐν τῇ φύσει τὰ τῆς κακίας ἔγκειται, ἀλλ' ἐν τῇ γνώμῃ καὶ ἐν τῇ προαιρέσει. ἰδοὺ γὰρ, ἀμφότεροι τῆς αὐτῆς φύσεως, καὶ ἀδελφοὶ, τὸν αὐτὸν ἔχοντες πατέρα, τῶν αὐτῶν ἀπήλαυσαν ὠδίνων, τῆς αὐτῆς ἐπιμελείας ἔτυχον, ἀλλ' οὐ τὴν αὐτὴν προαίρεσιν ἐπεδείξαντο. ἀλλ' ὁ μὲν πρὸς τὴν κακίαν ἐξώκειλεν, οἱ δὲ τὴν ὀφειλομένην τῷ πατρὶ τιμὴν ἀπένειμαν. ἴσως δὲ καὶ ἐπεμβαίνων τῇ τοῦ πατρὸς ἀσχημοσύνῃ καὶ κωμῳδῶν, τὸ γεγονὸς ἐξήγγειλε, καὶ οὐκ ἤκουσε σοφοῦ τινος λέγοντος· μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου. ἀλλ' οἱ ἀδελφοὶ οὐχ οὕτως. ἀλλὰ τί; ταῦτα ἀκούσαντες, λαβόντες, φησὶ, Σὴμ καὶ Ἰάφεθ τὸ ἱμάτιον, ἐπέθεντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν, καὶ ἐπορεύθησαν ὀπισθοφανῶς, καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν. καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανὲς, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον. εἶδες εὐγνωμοσύνην παίδων; ὁ μὲν καὶ ἐξεπόμπευσεν, οἱ δὲ οὐδὲ ἰδεῖν ἀνέχονται, ἀλλ' ὀπισθοφανῶς βαδίζουσιν, ἵνα ὀρθῶς βαδίσαντες συγκαλύψωσι τοῦ πατρὸς τὴν γύμνωσιν.

A καὶ ὅρα αὐτῶν μετὰ τῆς πολλῆς εὐγνωμοσύνης καὶ τὴν ἐπιείκειαν. οὔτε γὰρ ἐπιτιμῶσιν οὔτε ἐπιπλήττουσι τῷ ἀδελφῷ, ἀλλ' ἀκούσαντες, ἑνὸς μόνου γίνονται, τοῦ τὴν διόρθωσιν ταχεῖαν ποιήσασθαι, καὶ τὰ εἰς τιμὴν τοῦ γεγεννηκότος συντείνοντα ἐπιδείξασθαι. καὶ τὸ πρόσωπον αὐτῶν, φησιν, ὀπισθοφανές, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον. πολλὴ τῶν παίδων ἡ εὐλάβεια, καὶ ταύτην ἡμῖν δείκνυσιν οὐ τὸ σκεπάσαι μόνον, ἀλλὰ καὶ τὸ μὴ ἀνασχέσθαι ἰδεῖν. παιδευθῶμεν τοίνυν καὶ ἐντεῦθεν, καὶ ἐξ ἀμφοτέρων κερδάνωμεν, καὶ τούτους μὲν μιμώμεθα, ἐκείνου δὲ τὸν ζῆλον φεύγωμεν. εἰ γὰρ γύμνωσιν αἰσθητὴν ὁ ἐκπομπεύσας, κατάρας ἑαυτὸν ὑπεύθυνον κατέστησε, καὶ τῆς ὁμοτιμίας τῶν ἀδελφῶν ἐκπεσὼν δουλεύειν αὐτοῖς κατεδικάσθη, εἰ καὶ μὴ αὐτὸς ἐκεῖνος, ἀλλ' οἱ ἐξ αὐτοῦ πάντες, τί πείσονται οἱ τὰ ἁμαρτήματα τῶν ἀδελφῶν ἐκπομπεύοντες, καὶ οὐ μόνον οὐ περιστέλλοντες, ἀλλὰ καὶ μειζόνως αὐτὰ ποιοῦντες κατάδηλα, καὶ πολλὰ ἐκ τούτου ἐργαζόμενοι τὰ ἁμαρτήματα; ὅταν γὰρ δημοσιεύσῃς τοῦ ἀδελφοῦ τὸ πταῖσμα, οὐ μόνον ἐκεῖνον ἀναισχυντότερον καὶ ὀκνηρότερον εἰργάσω ἴσως πρὸς τὴν ἐπάνοδον τῆς ἀρετῆς, ἀλλὰ καὶ τοὺς ἀκούοντας ῥαθυμοτέρους κατέστησας, καὶ πρὸς ἀπόνοιαν ἤλειψας· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ βλασφημεῖσθαι τὸν θεὸν παρεσκεύασας. τοῦτο δὲ ὅσην φέρει τὴν κόλασιν τοῖς τὴν αἰτίαν παρέχουσιν, οὐδεὶς ἀγνοεῖ. φύγωμεν τοίνυν, παρακαλῶ, τοῦ Χὰμ τὸν ζῆλον, μιμησώμεθα δὲ τῶν εὐγνωμόνων τούτων παίδων τὴν αἰδῶ, ἣν περὶ τὴν γύμνωσιν τοῦ πατρὸς ἐπεδείξαντο· καὶ οὕτω τὰ τῶν ἀδελφῶν συσκιάζωμεν ἁμαρτήματα, οὐχ ἵνα εἰς ῥαθυμίαν αὐτοὺς παιδοτριβήσωμεν, ἀλλ' ἵνα ταύτῃ μάλιστα πλείονα αὐτοῖς ἀφορμὴν παράσχωμεν τοῦ ταχέως τῆς λύμης ἐκείνης ἀπαλλαγῆναι, καὶ πρὸς τὸν τῆς ἀρετῆς δρόμον ἐπανελθεῖν. ὥσπερ γὰρ τὸ μὴ πολλοὺς ἔχειν μάρτυρας τῶν οἰκείων πλημμελημάτων, εὐκολωτέραν κατασκευάζει τῷ νήφοντι τὴν ἐπάνοδον· οὕτως ἐπειδὰν ἀπερυθριάσῃ ψυχή, καὶ ἴδῃ, ὅτι οὐδένα λέληθε τὰ πονηρὰ διαπραττομένη, οὐκ εὐκόλως ἀποστῆναι ἀνέχεται, ἀλλὰ καθάπερ εἰς ἰλύν τινα καὶ βυθὸν ἐμπεσοῦσα, καὶ ὑπὸ μυρίων κυμάτων κάτω παρελκομένη δυσκόλως ἀνανεῦσαι δυνήσεται, εἰς ἀπόγνωσιν λοιπὸν ἐμπεσοῦσα καὶ πρὸς τὴν ἐπάνοδον ἀπαγορεύουσα.

A Et vide illorum cum magna probitate & manſuetudinem. Neque increpant, neque verberant fratrem: ſed vt audierunt, mox id vnum curarunt, vt factum quamprimum emendaretur, & honore genitor afficeretur. Faciéſque illorum auerſæ erant, & nuditatem patris ſui non viderunt. Magna filiorum reuerentia, quam nobis ſcriptura monſtrat, quòd non ſolùm tegunt, ſed & videre non ſuſtinent. Erudiamur hinc, & ex vtriſque lucrifaciamus aliquid: & hos quidem imitemur, illius autem mores fugiamus. Nam ſi is qui B ſenſibilem nuditatem euulgauit, maledicto ſe fecit obnoxium, & excidit ab honore, quem parem habuit cum fratribus, condemnatus vt illis ſeruiret: licet autem non ipſe, omnes tamen qui ex ipſo, ſerui facti ſunt: quid patientur qui peccata fratrum euulgant: & non ſolum non contegunt & excuſant, ſed magis ea faciunt manifeſta, multáque ex hoc operantur peccata? Quando enim manifeſtas fratris peccatum, non illum tantum ignominioſiorem C facis, & ſegniorem fortè ad virtutis viam: ſed & eos qui audiunt facis negligentiores, & ad ſocordiam inducis: neque etiam hoc ſolum, ſed & Deum blaſphemari facis. Iſtud autem quantum affert ſupplicium iis qui cauſam præbent, nemo eſt mentis compos qui ignoret. Fugiamus igitur obſecro mores Cham, nec imitemur. Imitemur autem gratorum illorum filiorum pudorem, quem in contegenda parentis nuditate declararunt: & ita obtegamus fratrum peccata, non vt ipſos negligentiores per hoc reddamus, ſed vt D hac ratione maiorem illis occaſionem præbeamus, vt ſtatim hoc malo liberentur, & in virtutis viam redeant. Nam ſicut non habere multos teſtes ſuorum delictorum, reſipiſcenti faciliorem reditum præbet: ſic ſi frontem perfricuerit anima, & viderit quòd nemo ignoret quæ mala admiſerit, non facilè deſiſtere ſolet: ſed quaſi in profundum lutum inci- diſſet, & deorſum ab innumeris raperetur fluctibus, difficilè emergere poterit. In deſperationem enim cadit, & nullum ſibi reditū promittit,

Idcirco precor, ne detegamus proximorum lapſus, & ſi ab aliis eos didicerimus, ne ſatagamus vt nuditas videatur: ſed ſicut grati illi pueri obtegamus, adumbremus, admonitione & conſiliis lapſam animam erigere ſtudeamus, miſericordiæ Dei magnitudinem docentes, & bonitatis eius excellentiam, & miſericordiæ immenſitatem, vt maiorem quàm illi benedictionem ab omnium domino conſequamur, qui vult omnes homines ſaluos fieri, & ad agnitionem veritatis venire: qui non vult mortem peccatoris, ſed vt conuertatur & viuat. Et nuditatem, inquit, patris ſui non viderunt. Vide quomodo per legem naturæ inditam prius impleuerunt, quæ poſt ad erudiendum humanum genus ea quæ in lege ſcripta fuerunt: Et id quod lex dicebat, Honora patrem tuum, & matrem tuam, vt bene ſit tibi: &, Qui maledicit patri vel matri, morte moriatur: hoc iam operibus impleuerunt. Vidiſti quomodo natura prius ſufficientem habuit doctrinam? 24 *Euigilauit*, inquit, *Noë à vino, & cognouit quæ fecerat ſibi filius iunior.* Sui autem factus compos, inquit. Audiant, qui totis diebus in conuiuiis verſantur, lapſus grauitatem, fugiántque quod ex ebrietate eſt damnum. Sui autem factus compos, inquit. Quid eſt, Sui autem factus compos? Id quod nos dicere ſolemus de mente captis, ſi quando ad ſe redeant, vel ſi quis ſibi reſtituatur, qui à dæmone vexatur, & ab illius tyrannide liberatur; hoc & hîc vocat ſcriptura. Verè enim ebrietas voluntarius eſt dæmon, & grauiùs, quàm dæmon mentem obtenebrat, & captum omnium beneuolentia deſtituit. Sæpe enim dæmoniacum cùm videmus, miſericordia mouemur, & condolemus, magnámque erga illum beneuolentiam declaramus. Contrà autem facimus apud ebrios: indignamur enim, importuni ſumus, innumera imprecamur. Quare & quæ cauſa eſt? quia ille qui à dæmone agitatur, inuoluntarius operatur, ea quæ operatur, ac licet recalcitret, licet rumpat veſtem, & obſcœna quæpiam loquatur, venia dignus eſt:

1. Tim. 2. 4. Ezech. 18. 23.

Exod. 20. 12. Exod. 21. 17. & Leuit. 20. 9.

ebrietas dæmon voluntarius.

A διὰ τοῦτο παρακαλῶ, μήτε ἐκπομπεύωμεν τὰ τῶν πλησίον σφάλματα, καὶ ἐπειδὰν παρ᾽ ἑτέρων ταῦτα μάθωμεν, μὴ ἐπειγώμεθα ὥστε τὴν γύμνωσιν ἰδεῖν· ἀλλὰ καθάπερ οὗτοι οἱ εὐγνώμονες παῖδες, συγκαλύπτωμεν, συσκιάζωμεν, τῇ παραινέσει, ταῖς συμβουλαῖς καταπεπτωκυῖαν τὴν ψυχὴν διορθοῦν σπουδάζωμεν, τῆς φιλανθρωπίας τοῦ θεοῦ τὸ μέγεθος διδάσκοντες, τῆς ἀγαθότητος αὐτοῦ τὴν ὑπερβολὴν, τῆς εὐσπλαγχνίας τὸ ἄμετρον· ἵνα μείζονος, ἤπερ οὗτοι, εὐλογίας ἀπολαύσωμεν παρὰ τοῦ τῶν ὅλων θεοῦ, τοῦ βουλομένου πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς

B ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. καὶ τὴν γύμνωσιν, φησι, τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον. ὅρα πῶς ἄνωθεν καὶ ἐξ ἀρχῆς ταῦτα ἐν τῷ νόμῳ τῷ γραπτῷ πρὸς διδασκαλίαν τοῦ τῶν ἀνθρώπων γένους νενομοθετημένα προλαβόντες ἀπὸ τοῦ ἐν τῇ φύσει κειμένου νόμου ἐπλήρουν, καὶ ὅπερ ὁ νόμος ἔλεγε· τίμα τὸν πατέρα σου, ἵνα εὖ σοι γένηται· καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω· τοῦτο ἤδη διὰ τῶν ἔργων ἐπλήρουν. εἶδες πῶς

C προλαβοῦσα ἡ φύσις ἀρκοῦσαν εἶχε διδασκαλίαν; ἐξένηψε δέ, φησι, Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. ἐξένηψε δέ, φησιν. ἀκουέτωσαν οἱ ἐν τοῖς συμποσίοις διημερεύοντες τοῦ ὀλίσθου τὸ μέγεθος, καὶ φυγέτωσαν τὴν ἐκ τῆς μέθης λύμην. ἐξένηψε δέ, φησιν. τί ἐστιν, ἐξένηψεν; ὅπερ ἡμῖν ἔθος περὶ τῶν μεμηνότων λέγειν, ἐπειδὰν ἐν ἐκστάσει γένωνται, ὅτι ὁ δεῖνα ἐξένηψεν ἀπὸ τοῦ δαίμονος, καὶ ἀπηλλάγη τῆς ἐκείνου τυραννίδος. τοῦτο καὶ ἐνταῦθα ἔφησεν ἡ γραφή. ἀληθῶς γὰρ ἡ μέθη αὐθαίρετός ἐστι δαίμων, καὶ χαλεπώτε-

D ρον ἐκείνου σκοτοῖ τὸν λογισμὸν, καὶ πάσης εὐγνωμοσύνης ἀποστερεῖ τὸν ἁλόντα. τὸν μὲν γὰρ δαιμονιῶντα πολλάκις ὁρῶντες καὶ ἐλεοῦμεν καὶ συναλγοῦμεν καὶ πολλὴν περὶ αὐτὸν τὴν συμπάθειαν ἐπιδεικνύμεθα· ἐπὶ δὲ τοῦ μεθύσου τὸ ἐναντίον ἐργαζόμεθα. ἀγανακτοῦμεν, δυσχεραίνομεν, μυρία ἐπαρώμεθα. τίνος ἕνεκεν καὶ διὰ τί; ὅτι ἐκεῖνος μὲν ὑπὸ τοῦ πονηροῦ δαίμονος ἐλαυνόμενος ἄκων διαπράττεται, ἅπερ ἂν διαπράξηται. κἂν λακτίσῃ, κἂν διαρρήξῃ χιτωνίσκον, κἂν αἰσχρά τινα φθέγξηται, συγγνώμης ἀξιοῦται·

ὁ δὲ μεθύων, καὶ ὅπερ ἂν ἐπιδείξηται, οὐκ ἂν A ἔσται συγγνώμης ἄξιος, ἀλλὰ καὶ οἰκείους, καὶ φίλους, καὶ γείτονας, καὶ πάντας ἔχει σφοδροὺς κατηγόρους, ὅτι οἴκοθεν ἐκ προαιρέσεως τὴν κακίαν μετελήλυθε, καὶ τῇ τυραννίδι τῆς μέθης ἑαυτὸν ἐξέδωκε. καὶ ταῦτα λέγω, οὐχ ἵνα τοῦ δικαίου κατηγορήσω. πολλὰ γὰρ ἦν τὰ τὴν συγγνώμην αὐτῷ παρέχοντα· καὶ μετὰ τῶν ἄλλων ἁπάντων τὸ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν, ὅπερ μέγιστον ἂν εἴη δεῖγμα καὶ τοῦ προτέρου ἁμαρτήματος, ὅτι ἐξ ἀγνοίας, ἀλλ' οὐχ ὑπὸ ῥαθυμίας τοῦτο ὑπέμεινεν. εἰ γὰρ ἀπὸ ῥαθυμίας τοῦτο ὑπέμεινεν, ἐχρῆν ἄρα καὶ πάλιν B αὐτὸν ἁλῶναι τῷ πάθει. ἀλλ' οὐκέτι τοῦτο πέπονθεν. εἰ γὰρ καὶ πάλιν τὸ αὐτὸ ὑπέμεινεν, οὐκ ἂν ἡ γραφὴ παρεσιώπησεν, ἀλλ' ἐγνώρισεν ἂν ἡμῖν. εἷς γάρ ἐστι σκοπὸς καὶ εἷς ὅρος τῆς θείας γραφῆς, τὸ μηδὲν παραλιπεῖν τῶν γεγονότων, ἀλλὰ μετ' ἀληθείας ἡμᾶς διδάσκειν. οὔτε γὰρ φθόνῳ τινὶ τὰς ἀρετὰς τῶν δικαίων παρατρέχει, οὔτε χάριτι πάλιν τὰ ἁμαρτήματα συσκιάζει, ἀλλ' ἅπαντα εἰς μέσον ἡμῖν προτίθησιν, ἵν' ὑπογραμμόν τινα καὶ διδασκαλίαν ἔχωμεν, καὶ ἐπειδὰν καὶ ἡμεῖς διὰ C ῥαθυμίαν ἁλῶμέν τινι πταίσματι, ἀσφαλιζώμεθα μὴ πάλιν τῷ αὐτῷ περιπεσεῖν. οὐ γὰρ οὕτω τὸ ἁμαρτεῖν χαλεπὸν, ὡς τὸ τῷ ἁμαρτήματι ἐπιμένειν. μὴ τοίνυν τοῦτο ἴδῃς ὅτι ἐμεθύσθη ὁ δίκαιος, ἀλλ' ὅτι οὐκ ἔτι τοῦτο πέπονθεν. ἀλλ' ἐννόει μοι τοὺς καθ' ἑκάστην ἡμέραν ἐν ταῖς οἰνοφλυγίαις καταδαπανωμένους, καὶ ἐφ' ἑκάστης σχεδὸν εἰπεῖν ἀποθνήσκοντας. καὶ ἐπειδὰν εἰς αἴσθησιν ἔλθωσιν, οὐδὲ οὕτω φεύγοντας τὴν ἐκεῖθεν λύμην, ἀλλ' ὡς ἔργον τι τοῦτο καὶ ἀνδρείαν μεταδιώκοντας. πάλιν δὲ κἀκεῖνο ἄν D τις ἐννοήσειεν, ὅτι ὁ δίκαιος οὗτος, εἰ καὶ ὑπὸ τῆς ἀπειρίας, καὶ τοῦ μὴ εἰδέναι τὰ μέτρα τῆς μεταλήψεως πιὼν ἐμεθύσθη, ἀλλ' ὅμως δίκαιος ὢν καὶ πολλὰ ἔχων κατορθώματα, συσκιάζειν ἠδύνατο τὸ συμβὰν ἁμάρτημα· ἡμεῖς δὲ ὅταν καὶ ὑφ' ἑτέρων μυρίων ὦμεν πολιορκούμενοι παθῶν, καὶ μετ' ἐκείνων καὶ ὑπὸ τῆς μέθης ἑαυτοὺς καταβαπτίζωμεν, ποίαν ἕξομεν παραμυθίαν εἰπέ μοι; τίς δὲ ἡμᾶς ἀξιώσει συγγνώμης οὐδὲ ὑπὸ τῆς πείρας αὐτῆς σωφρονιζομένους;

A At qui ebrius eſt, quicquid fecerit, non eſt venia dignus: ſed & valde incuſant illum familiares, amici, & vicini, & in ſumma omnes: quia ſponte & voluntariè in hoc tranſit, & ebrietatis tyrannidi ſeipſum dedidit. *Sui autem compos factus eſt Noë*, inquit, *à vino: & cognouit quæcunque fecit ſibi filius ſuus iunior.* Et hæc dico non vt iuſtum incuſem: multa enim erant propter quę illi venia debebatur, & cum primis, quod nō in id vitij poſtea relapſus eſt, id quod maximum fuerit indicium quòd ignorantia, non negligentia prius deliquit. Nam ſi hoc B fuiſſet negligentiæ, oportebat iterum eodem peccato capi: id quod nō euenit. Nam ſi denuo id accidiſſet, ſcriptura vtique non obticuiſſet, ſed ſignificaſſet nobis. Vnus enim ſcopus & terminus ſcripturæ diuinæ eſt, ne quid factorū intermittat, ſed veritatē nos doceat. Neq; enim propter inuidiam iuſtorū virtutes præterit, neq; propter gratiam peccata adumbrat: ſed omnia in medium nobis proponit, vt præſcripta & doctrinas quaſdam habeamus: & vt ſi quando C etiam nos per ſocordiā in id vitij inciderimus, cautiores ſimus poſtea, & denuo non incidamus. Neque enim tam graue eſt peccare, quàm in peccatis perſeuerare. Itaque non attende ſolùm quod inebriatus eſt iuſtus, ſed quod poſtea non iterum hoc ei acciderit. Iam verò cōſidera eos qui in tabernis vinariis quotidie conſumuntur, & fermè dixerim, quotidie moriuntur: etiamſi quando ſui compotes fuerint facti, neque ſic ſibi cauent ab eodem periculo, ſed quaſi ad opus quoddam ſtrenuum re- D deunt. Inſuper & hoc quis iure cogitabit, quod iuſtus ille, quia prius non expertus erat naturam vini, nec ſciebat qua menſura vtendum erat, non mirum ſi bibens inebriatus ſit: ſed quia iuſtus, & bonis operibus pollebat, peccatum quod caſu euenit, obtegere potuit: nos autem cum ab innumeris aliis affectionibus infeſtemur, & hoc addamus, vt & ab ebrietate ſubmergamur: quid excuſabit? vel quis, dic oro, nos dignabitur venia, quos nulla experientia facit caſtigatiores?

Sui autem compos factus eſt Noë, inquit, *à vino, & cognouit quæ fecit ſibi filius ſuus iunior.* Vnde cognouit? fortè fratres ſignificauerunt, non accuſationis quidem gratia, ſed rem vt facta erat docentes, vt conueniens ille ſuo vulneri remedium acciperet. Et cognouit, inquit, Noë quæcunque fecerat ſibi filius ſuus iunior. Quid eſt, quæcunque fecerat? magnam & intolerabilem rem dicere vult. Animaduerte enim quomodo intus in domo viſa patris turpitudine, quod debebat obtegere, egreſſus euulgauit, & riſui, & ſubſannationi patrem (quantum in ipſo erat) expoſuit, fratréſque prauæ ſuæ voluntatis ſocios fieri voluit: cum deberet, ſi omnino proditurus erat, illos intra domum vocare, & ſic nuditatem effari: ſed ipſe foras exiit, quaſi ſi etiam alia adeſſet multitudo, & eam facturus eſſet paternæ turpitudinis conſciam, propter hoc inquit: Quæ fecerat ſibi. Contumelioſus patri fuit, oblitus eſt honoris quem debent parentibus filij, prodidit peccata, fratres voluit allicere, & ſocios facere ſuæ contumeliæ. Quæ fecerat ſibi, inquit, filius ſuus iunior. Atqui non hic erat iunior, ſecundus enim erat, & maior natu quàm Iaphet: licet autem ætate illo prior erat, voluntate tamen minor, & temeritas illum eiecit. Nam quia noluit intra ſuos limites manere, amiſit honorem ſibi à natura traditum: & ſicut ille id quod natura habuit, nequitia voluntatis amiſit: ita Iapheth quod natura non habuit, ſaniorem ob mentem accepit. Vidiſti quomodo nihil temerè & fortuitò in diuina ſcriptura continetur? *Quæ fecerat ſibi*, inquit, *filius ſuus iunior, & dixit:* 25 *Maledictus Chanaan filius, ſeruus erit fratribus ſuis.* Ecce peruenimus ad quæſtionem illam vbique celebrem: multos enim audimus dicentes: Quare cùm peccauerit pater, & prodiderit nuditatem, filius maledictum ſuſcipit? Obſecro, attendite diligenter, & ſolutionem ſumite. Illa enim dicemus, quæ videlicet ſuppeditauerit diuina gratia propter veſtram vtilitatem. Et dixit: Maledictus Chanaan filius, ſeruus erit fratrum ſuorum.

Exaggeratur peccatũ Cham filij Noë.

Cur filius maledictus ſit ob patris peccatum.

A Ἐξένηψε δέ, φησι, Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. πόθεν ἔγνω; ἴσως οἱ ἀδελφοὶ ἐγνώρισαν, οὐχὶ τὸν ἀδελφὸν διαβαλεῖν βουλόμενοι, ἀλλὰ τὸ πρᾶγμα ὡς ἐγένετο διδάσκοντες, ἵνα κατάλληλον ἐκεῖνος τῷ τραύματι τὴν βοήθειαν δέξηται. καὶ ἔγνω, φησί, Νῶε ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. τί ἐστιν, ὅσα ἐποίησεν; ἀντὶ τοῦ, μέγα καὶ ἀφόρητον. ἐννόησον γὰρ ὅτι ἔσω ἐν τῇ οἰκίᾳ θεασάμενος τὴν ἀσχημοσύνην, δέον συγκαλύψαι, ὁ δὲ ἐξελθὼν ἐξεπόμπευσε καὶ εἰς κωμῳδίαν καὶ εἰς χλευασίαν τὸν πατέρα, ὅσον τὸ ἑαυτῷ ἧκον, ἐνέβαλε, καὶ ἐβούλετο καὶ τοὺς ἀδελ-
B φοὺς κοινωνοὺς λαβεῖν τῆς μοχθηρᾶς προαιρέσεως. καὶ δέον μέλλοντα ἀπαγγέλλειν κἂν ἔσω ἐπὶ τῆς οἰκίας αὐτοὺς καλέσαι, καὶ οὕτως εἰπεῖν τὴν γύμνωσιν, ὁ δὲ ἐξῆλθεν ἔξω, ἐξεῖπε τὴν γύμνωσιν· ὡς εἰ καὶ πλῆθος ἑτέρων παρῆν, κἀκείνους μάρτυρας ἂν ἐποιήσατο τῆς ἀσχημοσύνης τοῦ πατρός. διὰ τοῦτό φησιν, ὅσα ἐποίησε· τουτέστι τὴν ὕβριν εἰς τὸν πατέρα ἐπεδείξατο, ἐπελάθετο τῆς ὀφειλομένης τιμῆς παρὰ τῶν παίδων γίνεσθαι εἰς τοὺς γεγεννηκότας, ἐξεπόμπευσε τὰ ἁμαρτήματα, τοὺς ἀδελφοὺς ἠθέλησεν ὑποσύραι καὶ κοινωνοὺς λαβεῖν τῆς ὕβρεως.
C ὅσα ἐποίησεν αὐτῷ, φησιν, ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. καὶ μὴν οὐχ οὕτως ἦν ὁ νεώτερος. δεύτερος γὰρ ἦν, καὶ πρότερος τοῦ Ἰάφεθ. ἀλλ' εἰ καὶ τὴν ἡλικίαν ἦν πρότερος ἐκείνου, ἀλλὰ τῇ γνώμῃ νεώτερος, καὶ ἡ προπέτεια αὐτὸν ἐξέβαλεν. ἐπειδὴ γὰρ οὐκ ἐβούλετο εἴσω τῶν οἰκείων ὅρων μεῖναι, ἀπώλεσε τὴν παρὰ τῆς φύσεως αὐτῷ δεδομένην τιμήν. καὶ ὥσπερ οὗτος, ὅπερ εἶχεν ἀπὸ τῆς φύσεως, προὔδωκε τῇ μοχθηρίᾳ τῆς προαιρέσεως, οὕτως ὁ Ἰάφεθ, ὅπερ οὐκ εἶχεν ἀπὸ τῆς φύσεως, τοῦτο προσέλαβεν ἀπὸ τῆς ὑγιοῦς γνώμης. εἶδες πῶς οὐδὲν ἁπλῶς οὐδὲ
D ὡς ἔτυχεν ἐστὶν εὑρεῖν κείμενον ἐν τῇ θείᾳ γραφῇ; ὅσα ἐποίησεν αὐτῷ φησιν, ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. καὶ εἶπεν, ἐπικατάρατος Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. ἰδοὺ ἐφθάσαμεν εἰς τὸ ζήτημα τὸ πανταχοῦ περιφερόμενον. πολλῶν γάρ ἐστιν ἀκοῦσαι λεγόντων, τίνος ἕνεκεν, τοῦ πατρὸς ἡμαρτηκότος καὶ τὴν γύμνωσιν ἐξαγγείλαντος, ὁ παῖς τὴν κατάραν δέχεται; διὸ παρακαλῶ, μετὰ ἀκριβείας ἀκούσατε, καὶ δέχεσθε τὴν τούτου λύσιν. ἐκεῖνα γὰρ ἐροῦμεν, ἅπερ ἂν ἡ θεία χάρις παράσχῃ διὰ τὴν ὑμετέραν ὠφέλειαν. καὶ εἶπεν, ἐπικατάρατος Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ.

οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοῦ παιδὸς ἐμνημόνευσεν, ἀλλὰ διά τινα λόγον ἐγκεκρυμμένον. βουλόμενος γὰρ ὁμοῦ καὶ καθάψασθαι αὐτοῦ διὰ τὸ πλημμεληθὲν, καὶ τὴν ὕβριν, ἣν εἰς αὐτὸν ἐπεδείξατο, καὶ μήτε τῇ παρὰ τοῦ θεοῦ ἤδη γεγενημένῃ εὐλογίᾳ λυμήνασθαι (εὐλόγησε γάρ, φησὶν, ὁ θεὸς τὸν Νῶε ἡνίκα ἐξῆλθεν ἐκ τῆς κιβωτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ) ἵνα οὖν μὴ δόξῃ τὸν ἅπαξ ὑπὸ τοῦ θεοῦ τῆς εὐλογίας τυχόντα καταρᾶσθαι, ἐκεῖνον μὲν τέως τὸν ὑβρικότα ἀφίησι, τῷ δὲ υἱῷ τὴν κατάραν ἐπάγει. ναὶ, ἀλλὰ καὶ τοῦτο μὲν, φησι, δείκνυσιν ὅτι διὰ τοῦτο οὐ κατηράσατο τὸν Χάμ, ἐπειδὴ τῆς παρὰ τοῦ θεοῦ εὐλογίας ἀπήλαυσε· τίνος δὲ ἕνεκεν ἐκείνου ἁμαρτόντος οὗτος δίκην δίδωσιν; οὐδὲ τοῦτο ἁπλῶς γίνεται. καὶ γὰρ οὐκ ἔλαττον τοῦ παιδὸς ὁ Χὰμ τὴν κόλασιν ὑπέμεινε, καὶ τῆς τιμωρίας τὴν αἴσθησιν ἐλάμβανεν. ἴστε γὰρ, ἴστε πῶς πολλάκις ηὔξαντο πατέρες ὑπὲρ παίδων τιμωρίαν ὑπέχειν, καὶ ὅπως βαρύτερον αὐτοῖς ἐστιν εἰς κολάσεως λόγον, τὸ τοὺς παῖδας ὁρᾶν τιμωρουμένους, ἢ ἑαυτοὺς ὑπευθύνους γενομένους. ἐγένετο τοίνυν τοῦτο ἵνα καὶ οὗτος διὰ τὴν φυσικὴν φιλοστοργίαν πλείονα τὴν ὀδύνην ὑπομείνῃ, καὶ ἡ τοῦ θεοῦ εὐλογία ἀκέραιος διαμείνῃ, καὶ ὁ τὴν κατάραν δεξάμενος παῖς οἰκείων ἁμαρτημάτων τίνῃ δίκας. εἰ γὰρ καὶ διὰ τὸ ἁμάρτημα τοῦ πατρὸς νῦν τὴν κατάραν λαμβάνει, ἀλλ' ὅμως εἰκὸς ἦν δι' οἰκεῖα πλημμελήματα διδόναι δίκην. οὐ γὰρ διὰ τὸ ἁμάρτημα τοῦ πατρὸς μόνον τὴν κατάραν ἐδέξατο, ἀλλ' ἴσως ἄρα ἵνα καὶ δι' αὐτοῦ ἐκεῖνος μείζονα δῷ τὴν τιμωρίαν. ὅτι γὰρ οὔτε πατέρες ὑπὲρ τέκνων, οὔτε τέκνα ὑπὲρ πατέρων δίκην διδόασιν, ἀλλ' ἕκαστος ὑπὲρ ὧν ἐπλημμέλησε τὰς εὐθύνας ὑπέχει, πολλαχοῦ ἔστιν εὑρεῖν παρὰ τῷ προφήτῃ τοῦτο εἰρημένον. ὥσπερ ὅταν λέγωσι, τοῦ φαγόντος τὸν ὄμφακα οἱ ὀδόντες αἱμωδιάσουσι· καὶ ἡ ψυχὴ ἡ ἁμαρτοῦσα, αὐτὴ καὶ ἀποθανεῖται. καὶ πάλιν, οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, οὔτε τέκνα ὑπὲρ πατέρων. μηδεὶς τοίνυν ὑμῶν, παρακαλῶ, ἀγνοῶν τῆς θείας γραφῆς τὸν σκοπὸν, τολμάτω μέμφεσθαι τοῖς ἐγγεγραμμένοις, ἀλλ' εὐγνώμονι διανοίᾳ δεχέσθω τὰ λεγόμενα, καὶ θαυμαζέτω τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, καὶ λογιζέσθω ὅσον ἁμαρτία κακόν.

A Non ſimpliciter, neque in vanum commemorauit filium, ſed ob latentem rationem. Volebat enim ſimul & ipſum corripere propter peccatum, & contumeliam qua ſe affecerat, & ſimul nolebat præiudicare benedictioni, quæ illi pridem à Deo facta fuerat. Benedixit enim, inquit, Deus Noë quando exiuit ex arca, & filios illius. Vt igitur ne videatur maledicere, quem Deus ſemel benedixerat, prætcrito illo, qui ſe contumelia affecerat, filio maledictum intulit. Eſto, dixeris, hoc quidem oſtendit, quòd propterea Cham non eſt B maledictus, quia prius à Deo benedictionem acceperat: quare autem cum ille peccauerit, hic pœnam luit? neque hoc abſque ratione factum eſt. Quia pater non minorem pœnam & cruciatum habuit, quàm filius. Scitis enim, ſcitis, quomodo ſæpenumero patres orant vt filiorum pœnas ipſi ferant: & quomodo grauius illis eſt videre filios ſupplicio affici, quàm ſi ipſi iis forent obnoxij. Factum igitur eſt hoc, vt ille ob naturalem in filium amorem, maiorem C ſentiret dolorem, & benedictio Dei ſeruaretur inuiolata, & filius accepta maledictione, ſuorum propriorum pœnas peccatorũ lueret. Nam licet propter patris peccatum, nunc maledictioni ſit obnoxius, attamen veriſimile eſt, quòd & propter ſua delicta dederit pœnam. Non enim ſolum propter peccatum patris maledictionem accepit, ſed fortaſſis etiam vt per ipſum ille maiorem pœnam penderet. Nam neque patres pro filiis, neque filij pro patribus pœnam luunt, ſed vnuſquiſque pro D ſuis peccatis pœnam luit. Vbique hoc à prophetis dictum inuenimus, ſicut cùm dicunt: Comedentis vuas acerbas, dentes obſtupeſcunt. Et anima quæ peccauerit, ipſa & morietur. Et iterum: Non morientur patres pro filiis, neque filij pro patribus. Nullus igitur veſtrũ quaſi ignorans diuinæ ſcripturæ ſcopum, audeat ſcripta hæc reprehendere, ſed grato animo quæ dicuntur accipiat, admiretúrque diuinæ ſcripturæ miram diligentiam, & expendat, quantum malum ſit peccatum.

Patres pro liberis puniri optant.

Hier. 31. 29. & Ezech. 18. 2.

Ezech. 18. 4.

Deut. 24. 16.

Ecce enim fratrem eadem natum puerpera, eodem egreſſum vtero, vt ſibi vindicauit peccatum, ſeruum fecit, & ablata libertate, ſubiectionem illi iniunxit: vnde poſtea ſeruitus ſumpſit originem. Neque enim antea ſolebant ita molliter agere deliciari, & aliorum miniſteriis indigere, ſed ſibiipſis miniſtrabant quique: erâtque par omnium honor, & ablata è medio erat omnis honorum diuerſitas. Peccatum autem vbi intrauit, libertatem perdidit, & corrupit poteſtatem naturæ datam, ſeruitutémque introduxit, vt continua ſit doctrix & admonitrix humanæ naturæ, vt fugiamus ſeruitutem peccati, & ad virtutis libertatem redeamus. Hinc enim ſi volunt, & dominus & ſeruus continuam habent vtilitatem. Cogitet itaque ſeruus ideo ſeruitutem incœpiſſe, quia Cham in tantam peruenerat temeritatem: & dominus quoque cogitet, quòd non aliunde ſubiectio & ſeruitus cœperint, quàm quòd ille peruerſam habuerit voluntatem, & à pari fratrum dignitate exciderit. Verùm ſi ſobrij ſimus, & prudentes, nihil nos offendent hæc propter peccata parentum noſtrorum introducta in hanc vitam, cùm res in nominibus ſolis verſetur. Quia & primus parens propter tranſgreſſionem, mortis pœnam, vitámque in laboribus mœroribúſque conſumendam intulit, & ſic ſeruitutem: verum ſuperueniens dominus Chriſtus hæc omnia eſſe permiſit ad nomina vſque tantum, ſi volumus. Neque enim mors, mors vltra eſt, ſed nomen tantùm habet mortis, imò & ipſum nomen ſublatum eſt. Nam neque mortem ipſam vltrà dicimus, ſed ſoporem & ſomnum: proinde & Chriſtus ipſe dicebat: Lazarus amicus noſter obdormiuit: & Paulus
Ioan. 11. 11. Theſſalonicenſibus ſcribens, inquit: De dormientibus autem nolo vos
1.Theſſ. 4. 12. ignorare fratres. Et ſeruitus quoque ſimiliter nomen eſt: ille enim eſt ſeruus, qui peccatum operatur. Et quòd etiam hanc abſtulerit aduentu ſuo Chriſtus, nec niſi nomen eſſe permiſerit, imò & vocabulum ipſum deleuerit, audi Paulum dicentem:

A ἰδοὺ γὰρ τὸν ἀδελφόν, τὸν τῶν αὐτῶν ὠδίνων κεκοινωνηκότα, τὸν ἐκ τῆς αὐτῆς νηδύος ἐξελθόντα, τοῦτον ἐπεισελθοῦσα ἡ ἁμαρτία δοῦλον εἰργάσατο, καὶ τὴν ἐλευθερίαν ἀφελομένη εἰς τὴν ὑποταγὴν ἤγαγε. καὶ γὰρ ἐντεῦθεν τὰ τῆς δουλείας ἀρχὴν ἔλαβε λοιπόν. οὐδὲ γὰρ ἦν πρὸ τούτου ἡ βλακεία αὕτη, καὶ τὸ οὕτω διαθρύπτεσθαι, καὶ ἑτέρων δεῖσθαι τῶν διακονουμένων, ἀλλ' ἕκαστος αὐτὸς ἑαυτῷ διηκονεῖτο, καὶ πολλὴ ἦν ἡ ὁμοτιμία, καὶ πᾶσα ἀνωμαλία ἐκποδὼν ἦν. ἐπειδὴ δὲ εἰσῆλθεν ἡ ἁμαρτία, ἐλυμήνατο τὴν ἐλευθερίαν, καὶ διέφθειρε τὴν ἀπὸ τῆς φύσεως δεδομένην ἀξίαν, καὶ τὴν δουλείαν
B ἐπεισήγαγεν, ἵνα διηνεκὴς ᾖ διδάσκαλος καὶ νουθεσία τῷ τῶν ἀνθρώπων γένει, ὥστε φεύγειν μὲν τῆς ἁμαρτίας τὴν δουλείαν, πρὸς δὲ τὴν ἐλευθερίαν τῆς ἀρετῆς ἐπανιέναι. ὅτι γὰρ καὶ ὁ δοῦλος καὶ ὁ δεσπότης διηνεκῆ ἔχουσι τὴν ἐντεῦθεν ἐγγινομένην ὠφέλειαν, εἰ βούλοιντο, ἐννοείτωσαν, ὁ μὲν δοῦλος, ὅτι διὰ τοῦτο εἴληφε τὴν δουλείαν, ἐπειδὴ ὁ Χὰμ εἰς τοσαύτην προπέτειαν ἐξώκειλε· καὶ ὁ δεσπότης πάλιν λογιζέσθω, ὅτι οὐχ ἑτέρωθεν ἡ ὑποταγὴ γέγονε καὶ ἡ δουλεία, ἀλλ' ἢ ἀπὸ τοῦ μοχθηρὰν ἐκεῖνον ἐπιδείξασθαι γνώμην, καὶ τῆς ἰσοτιμίας
C τῶν ἀδελφῶν ἐκπεσεῖν. ἀλλ' ἐὰν νήφωμεν, ταῦτα τὰ διὰ τὰ ἁμαρτήματα τῶν προγόνων τῶν ἡμετέρων εἰσενεχθέντα εἰς τὸν βίον οὐδὲν ἡμᾶς λυμήνασθαι δύναται, μέχρι τῶν ὀνομάτων μόνον ἱστάμενα. ἐπεὶ καὶ ὁ πρωτόπλαστος διὰ τὴν παράβασιν τοῦ θανάτου τὸ ἐπιτίμιον εἰσήγαγε, καὶ τὸ ἐν λύπαις καὶ μόχθοις τὴν ζωὴν καταδαπανᾶσθαι, καὶ οὕτω τὴν δουλείαν· ἀλλὰ παραγενόμενος ὁ δεσπότης Χριστὸς ταῦτα πάντα μέχρι τῶν ὀνομάτων αὐτῶν ἀφῆκεν εἶναι μόνον, ἐὰν βουλώμεθα. οὔτε γὰρ ὁ θάνατος, θάνατός ἐστι λοιπόν, ἀλλὰ ὄνομα μόνον
D ἔχει θανάτου· μᾶλλον δὲ καὶ αὐτὸ τὸ ὄνομα ἀφῃρέθη. οὐκέτι γὰρ οὐδὲ θάνατον αὐτὸν προσαγορεύομεν, ἀλλὰ κοίμησιν καὶ ὕπνον. διὸ καὶ αὐτὸς ὁ Χριστὸς ἔλεγε, Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται. καὶ ὁ Παῦλος γράφων Θεσσαλονικεῦσί, φησι, περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοί. καὶ ἡ δουλεία πάλιν ὁμοίως ὄνομά ἐστιν. ἐκεῖνος γάρ ἐστι δοῦλος ὁ τὴν ἁμαρτίαν ἐργαζόμενος. καὶ ὅτι καὶ ταύτην ἐξέβαλεν ὁ Χριστὸς παραγενόμενος, καὶ μέχρις ὀνόματος αὐτὴν ἀφῆκεν εἶναι, μᾶλλον δὲ τὴν προσηγορίαν αὐτὴν ἐξήλειψεν, ἄκουε τοῦ Παύλου λέγοντος·

οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν. ὁρᾷς πῶς ἐπεισελθοῦσα ἡ ἀρετή, εἰς τὴν τῆς ἀδελφότητος συγγένειαν ἤγαγε τοὺς πρότερον τῷ ὀνόματι τῆς δουλείας ὑπευθύνους ὄντας. καὶ ἔσται, φησί, Χαναὰν παῖς, οἰκέτης τοῖς ἀδελφοῖς αὐτοῦ. οὐκ ἐχρήσω, φησὶ, εἰς δέον τῇ τιμῇ, οὐδὲ ἤνεγκας τὴν εὐπραγίαν τὴν ἀπὸ τῆς ἰσοτιμίας· διὰ τοῦτο τῇ ὑποταγῇ σωφρονισθῆναί σε βούλομαι. τοῦτο καὶ ἐξ ἀρχῆς ἐπὶ τῆς γυναικὸς γέγονεν. ἐπειδὴ γὰρ ὁμότιμος τῷ ἀνδρὶ γενομένη, οὐ καλῶς ἐχρήσατο τῇ δεδομένῃ τιμῇ, διὰ τοῦτο ἀφῃρέθη τὴν ἐξουσίαν, καὶ ἤκουσε· πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ἐπειδὴ οὐκ οἶδας, φησι, καλῶς κεχρῆσθαι τῇ ἀρχῇ, μάθε καλῶς ἄρχεσθαι, ἢ κακῶς ἄρχειν. διά τοι τοῦτο καὶ οὗτος νῦν σωφρονισμοῦ ἕνεκεν δέχεται τὸ ἐπιτίμιον, καὶ διὰ τοῦ παιδὸς αὐτὸς τὴν κόλασιν ὑπομένει, ἵνα μάθῃς, ὅτι κἂν γηραλέος λοιπὸν ἦν, ἀλλ' ἡ τιμωρία εἰς τὸν υἱὸν διαβήσεται· ὅπερ πικρὰν καὶ ὀδυνηρὰν αὐτῷ τὴν ζωὴν εἰργάσατο ἐννοοῦντι, ὅτι καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν ὁ παῖς ἤμελλε δίκας τίνειν ὑπὲρ τῶν αὐτῷ πεπραγμένων. ὅτι γὰρ καὶ ὁ παῖς οἴκοθεν μοχθηρὸς ὑπῆρχε, καὶ οἱ ἐξ ἐκείνου πάντες βδελυκτοὶ γεγόνασι πρὸς κακίαν ἀποκλίναντες, ἄκουε τῆς γραφῆς λεγούσης ἐν τάξει κατάρας· ὁ πατήρ σου Ἀμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία. καὶ πάλιν, ἕτερός τις ὀνειδίζων, σπέρμα Χαναὰν καὶ οὐκ Ἰούδα. ἀλλὰ γὰρ ἄξιον λοιπὸν ἀκοῦσαι μετὰ τὴν ἐπιτίμησιν, ἣν ἐδέξατο ὁ τὴν γύμνωσιν τοῦ πατρὸς ἐκπομπεύσας, τίνων ἀξιοῦνται τῶν ἀμοιβῶν οἱ τὴν τοσαύτην αἰδῶ καὶ τὴν τιμὴν ἀπονείμαντες τῷ πατρί. καὶ εἶπε, φησιν, εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σὴμ, καὶ ἔσται Χαναὰν παῖς αὐτοῦ. τοῦτο ἴσως ἄν τις εἴποι, οὐκ ἔστι τὸν Σὴμ εὐλογῆσαι. καὶ σφόδρα μὲν εὐλόγησεν αὐτόν. ὅταν γὰρ ὁ θεὸς εὐχαριστεῖται καὶ εὐλογεῖται διὰ τῶν ἀνθρώπων, τότε δαψιλεστέραν τὴν παρ' ἑαυτοῦ εὐλογίαν εἴωθε χορηγεῖν ἐκείνοις, δι' οὓς αὐτὸς εὐλογεῖται. εὐλογήσας τοίνυν τὸν θεὸν, ὀφειλέτην αὐτὸν κατέστησε μείζονος εὐλογίας, καὶ αἴτιος γέγονε τῷ Σὴμ πλείονος ἀμοιβῆς, ἧς αὐτὸς αὐτὸν, εἰ δι' ἑαυτοῦ εὐλόγησεν. ὥσπερ γὰρ ὅταν εὐλογῆται δι' ἡμᾶς, πολλῆς ἡμᾶς ἀξιοῖ τῆς παρ' αὐτοῦ εὐνοίας, οὕτω πάλιν ἐπειδὰν δι' ἡμᾶς ἕτεροι αὐτὸν βλασφημῶσι,

A Qui autem fideles habent dominos, non contẽnant eos, quia fratres ſunt. (1. Tim. 6.2.) Vides quomodo vbi virtus ſubintrauit, eos in fraternitatis nomen cõgregauit, qui prius ſeruitutis nomine erant obnoxij? *Et erit*, inquit, *Chanaan filius ſeruus fratribus ſuis*. Abuſus es, inquit, honore, nõ bene te geſſiſti, cùm par eſſes dignitate: propterea ſubiectione emendari te volo. Hoc ab initio & mulieri contigit. Quoniã enim par erat viro dignitate, & honore abuſa eſt, propterea ablata eſt ab illa poteſtas, & dictum eſt ad illam: Ad virum tuum conuerſio tua, & ipſe tui B dominabitur. (Geneſ. 3. 16.) Quia neſciuiſti, inquit, imperio rectè vti, diſce ſatius eſſe rectè ſubeſſe imperio, quàm malè imperare. Proinde etiam hic nũc, vt ſe emendet, pœnam fert, & per filium ipſe cruciatur: vt diſcas q̀ etſi ſenex tunc eſſet, attamen, quia pœna in filium tranſiit, id ipſi luctuoſam & inſuauem vitam faciebat, cogitanti quòd etiam poſt ſuam mortem filius pœnam luiturus eſſet. Nam quòd filius per ſe malus, & omnes qui ab illo nati fuerint abominabiles, & ad C malum propenſè declinarint, audi ſcripturam dicentem per modum maledicti: Pater tuus Amorrhæus, & mater Chettæa. (Ezech. 16.3.) Et alius quidam increpans: Semen, inquit, Chanaan, & non Iuda. (Dan. 13. 56.) Porrò operæprecium fuerit audire nunc poſt pœnam, quam accepit is qui nuditatem inuulgauit, quos honores & retributiones aſſecuti ſint alij pro honore, quem patri impenderunt. Et dixit, inquit, Benedictus dominus Deus Sem, & erit Chanaan ſeruus illius. Hoc fortè quis dixerit, non eſt benedicere Sem: D imò valde benedixit illum. Quando enim Deus benedicitur, & aguntur illi gratiæ ab hominibus, tunc vberior ab illo ſolet iſtis benedictio dari, propter quos ipſe benedicitur. Itaque benedicens Deum debitorem ipſum fecit maioris benedictionis, authórque fuit Sem maioris retributionis, quàm ſi eum ipſe per ſe benedixiſſet. Sicut enim quando benedicitur propter nos, multum id nobis conciliat fauoris: ita & contrà quando propter nos alij illum blaſphemant,

maior hinc noſtra ſit condemnatio, qui cauſam dedimus. Quocirca obſecro, demus operam, vt ita viuamus, & tantæ virtutis ſpecimen exhibeamus, quò omnes qui nos viderint, benedictionis laudes offerant domino Deo. Nam quia bonus & benignus eſt, per nos vult glorificari: non quòd ipſi aliquid ad ſuam gloriam accedat (nullius enim indigus eſt) ſed vt occaſiones ipſi præbeamus, vt maiori nos beneuolentia proſequatur. Benedictus dominus Deus Sem, & erit Chanaan ſeruus illius. Attende hîc quomodo paternam pœnam profert, quæ tamen emendatio potius erat, quàm pœna. Pater enim erat, & clemens pater, neque iuſtam pœnam volebat inducere, ſed ita vt vlteriorem malitiam reprimeret, ideo, ait: in ſeruitutem te condemno, vt iugem & indelebilem habeas facti memoriam. [27] *Dilatet Deus Iapheth, & habitet in tabernaculis Sem, & fiat Chanaan ſeruus illius.* Iterum hæc quoque maxima benedictio eſt, fortè latentem aliquem habens theſaurum. Dilatet, inquit, Deus Iapheth. Non aberrabit quis, ſi dixerit benedictiones iuſti prophetias eſſe. Nam ſi pater Noë, non ſimpliciter, neque fruſtra vocabulum indidit Noë, ſed vaticinatus eſt per nomen futurum diluuium: multò magis iuſtus ille non ſimpliciter, neque fruſtra benedictiones protulit. Opinor enim, quòd benedicendo hos duos, duorum populorum vocationem ſignificare voluerit: & per Sem quidem Iudæos, ex illo enim & Abraham, & Iudæorum genus multiplicatum eſt: per Iapheth autem, gẽtium vocationem. Vide autem, quòd & benedictio hæc prænũciet. Dilatet enim, inquit, Deus Iapheth, & habitet in tabernaculis Sem. Hoc in gentibus adimpletũ videmus. Dicendo enim, Dilatet, omnes gentes ſignificauit. Sed dicendo, Habitet in tabernaculis Sem: quia gentes frui cœperunt iis quæ Iudæis parata: & erit Chanaan ſeruus eius. Vidiſti qualem & ij gratitudinis acceperunt mercedem, & quanta ille propter temeritatem & impudẽtiam ignominia punitus eſt?

A μείζων ἐντεῦθεν ἡμῖν ἡ κατάκρισις γίνεται τοῖς τὴν αἰτίαν παρεσχημένοις. σπουδάζωμεν τοίνυν, παρακαλῶ, οὕτω βιοῦν καὶ τοσαύτην ἐπιδείκνυσθαι τῆς ἀρετῆς τὴν ἐπίτασιν, ὥστε τοὺς εἰς ἡμᾶς ὁρῶντας, εὐλογίας ὕμνους ἀναφέρειν τῷ δεσπότῃ θεῷ. βούλεται γὰρ ἀγαθὸς ὢν καὶ φιλάνθρωπος δοξάζεσθαι δι' ἡμῶν, οὐκ ἐπειδὴ αὐτός τι προσλαμβάνει εἰς τὴν οἰκείαν δόξαν, (ἀνενδεὴς γάρ ἐστιν) ἀλλ' ἵνα ἀφορμὰς αὐτῷ παράσχωμεν τοῦ πλείονος ἡμᾶς ἀξιοῦν τῆς παρ' αὐτοῦ εὐνοίας. εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σήμ, καὶ ἔσται Χαναὰν παῖς αὐτοῦ. ὁρᾷς πῶς πατρικὴν ἐπιδείκνυται τὴν τιμωρίαν, σω-B φρονισμὸν οὖσαν μᾶλλον ἢ τιμωρίαν. πατὴρ γὰρ ἦν, καὶ πατὴρ φιλόστοργος, καὶ οὐ τὴν ἀξίαν ἐβούλετο δίκην ἐπαγαγεῖν, ἀλλ' ὥστε τὴν εἰς τὸ πρόσω κακίαν ἐκκόψαι. διὰ τοῦτο, φησι, δουλείᾳ σε καταδικάζω, ἵνα διηνεκῆ καὶ ἀνεξάλειπτον ἔχῃς τὴν ὑπόμνησιν. εἶτά φησι, πλατύναι ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ, καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ. μεγίστη πάλιν αὕτη ἡ εὐλογία, τάχα τινὰ κεκρυμμένον ἔχουσα θησαυρόν. πλατύναι γάρ, φησιν, ὁ θεὸς τῷ Ἰάφεθ. οὐκ ἄν τις ἁμάρτοι εἰ-C πὼν προφητείαν εἶναι τὰς εὐλογίας τοῦ δικαίου. εἰ γὰρ ὁ πατὴρ αὐτοῦ οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τὴν προσηγορίαν αὐτῷ ἐπέθηκεν, ἀλλὰ προφητεύων διὰ τοῦ ὀνόματος τὸ μέλλον ἔσεσθαι κλυδώνιον, πολλῷ μᾶλλον ὁ δίκαιος οὗτος οὐκ ἂν ἁπλῶς οὐδὲ μάτην τὰς εὐλογίας ἐποιήσατο. διὰ γὰρ τῶν εὐλογιῶν τούτων, τοῦ Σὴμ καὶ τοῦ Ἰάφεθ, τῶν δύο λαῶν αἰνίττεσθαι αὐτὸν οἶμαι τὴν κλῆσιν· καὶ διὰ μὲν τοῦ Σήμ, τοὺς Ἰουδαίους (ἐξ ἐκείνου γὰρ ὁ πατριάρχης Ἀβραάμ, καὶ τὸ τῶν Ἰουδαίων ἐπιδέδωκε γένος) διὰ δὲ τοῦ Ἰάφεθ, τὴν τῶν ἐθνῶν κλῆσιν. ὅρα D γὰρ καὶ ταύτην τὴν εὐλογίαν τοῦτο προμηνύουσαν. πλατύναι γάρ, φησιν, ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ. τοῦτο ἐπὶ τῶν ἐθνῶν εἰς ἔργον ἐκβεβηκὸς ὁρῶμεν. διὰ μὲν γὰρ τοῦ εἰπεῖν, πλατύναι, τὰ ἔθνη πάντα ᾐνίξατο· διὰ δὲ τοῦ εἰπεῖν, κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ, ὅτι τῶν τοῖς Ἰουδαίοις εὐτρεπισθέντων καὶ ἐκείνοις παρασκευασθέντων τὰ ἔθνη τὴν ἀπόλαυσιν ἔσχε. καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ. εἶδες οἵας ἔλαβον καὶ οὗτοι τῆς εὐγνωμοσύνης τὰς ἀμοιβάς, καὶ πόσην ἐκεῖνος διὰ τῆς προπετείας ἑαυτοῦ κατεσκέδασε τὴν ἀτιμίαν.

ταῦτα

A ταῦτα διηνεκῶς ἔχωμεν ἐπιγεγραμμένα τῇ διανοίᾳ τῇ ἡμετέρᾳ, ἵνα τῶν μὲν μιμηταὶ καὶ ζηλωταὶ γενέσθαι δυνηθῶμεν, τοῦ δὲ φύγωμεν τὸ μοχθηρὸν τῆς γνώμης, καὶ τῆς περιπετείας τὴν ὑπερβολήν. καὶ ἔζησε, φησὶ, Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τν'. καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νῶε ἐννακόσια ν' ἔτη, καὶ ἀπέθανε. μὴ νομίσῃς δὲ τοῦτο ἁπλῶς ἐκσημειώσασθαι τὴν θείαν γραφήν, ἀλλ' ὅρα καὶ ἐντεῦθεν τοῦ δικαίου τὴν ἐγκράτειαν, ὅτι οὔτε ἀδείας καὶ ἀνέσεως ἀπολαύσας, καὶ τοσοῦτον ἀριθμὸν ἐτῶν ἐπιζήσας, μετὰ τὴν ἀπὸ τῆς κιβωτοῦ ἔξοδον, παιδοποιίας ἠνέσχετο λοιπόν. οὐδὲ γὰρ ἐμνημόνευσεν ἡ γραφὴ, ὅτι ἑτέρους ἔσχε παῖδας, πλὴν τούτων τῶν τριῶν. B ἐντεῦθεν πάλιν λογίζου τοῦ Χὰμ τὴν πολλὴν ταύτην ἀκολασίαν, ὅτι οὔτε τὸν πατέρα ὁρῶν τοσαύτην ἐπιδεικνύμενον ἐγκράτειαν ἐσωφρονίζετο, ἀλλ' ἀπ' ἐναντίας τῷ γεγεννηκότι ἅπαντα διεπράττετο. διὸ καὶ εἰκότως ἅπαν τὸ ἐξ αὐτοῦ γένος τῇ δουλείᾳ κατεδικάζετο, ἵνα χαλινὸν ἔχῃ τῆς μοχθηρᾶς προαιρέσεως. εἶτα ἐντεῦθεν διηγουμένη ἡ θεία γραφὴ τοὺς ἐκ τῶν παίδων τεχθέντας φησί. Χὰμ δὲ ἐγέννησε τὸν Χοῦς. καὶ πάλιν, Χοῦς δὲ ἐγέννησε τὸν Νεβρώδ. οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ C τῆς γῆς. οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον κυρίου. καί τινες μὲν φασὶ τὸ ἐναντίον κυρίου, ἀντὶ τοῦ ἐναντιούμενος τῷ θεῷ· ἐγὼ δὲ οὐχ ἡγοῦμαι τοῦτο αἰνίττεσθαι τὴν θείαν γραφήν, ἀλλ' ὅτι ἰσχυρός τις ἦν καὶ ἀνδρεῖος. τὸ δὲ ἀπέναντι κυρίου τοῦ θεοῦ, ἀντὶ τοῦ, ὑπ' αὐτοῦ παραχθεὶς, ὑπ' αὐτοῦ δεξάμενος τοῦ θεοῦ τὴν εὐλογίαν, ἢ ὅτι ἤμελλεν ὁ θεὸς δι' αὐτοῦ θαυμάζεσθαι, ὡς τοιοῦτον παραγαγὼν καὶ δείξας ἐπὶ τῆς γῆς. ἀλλὰ καὶ οὗτος πάλιν μιμούμενος τὸν πρόγονον, καὶ οὐκ εἰς δέον χρησάμενος τοῖς τῆς φύσεως προτερήμασιν, ἕτερον δουλείας ἐφεῦρε τρόπον, καὶ ἄρχων D καὶ βασιλεὺς γενέσθαι ἐπεχείρησε. βασιλεὺς γὰρ οὐκ ἂν γένοιτό ποτε μὴ ὄντων τῶν ἀρχομένων. αὕτη δὲ δοκεῖ μὲν μᾶλλον ἐλευθερία εἶναι· δουλεία δέ ἐστι χαλεπωτάτη ἐν ἐλευθερίας τάξει, ὅταν καὶ τῶν ἐλευθέρων κρατεῖ. καὶ ὅρα τὴν πλεονεξίαν, ὅσα ποιεῖ· ὅρα τοῦ σώματος τὴν ἰσχὺν οὐ μένουσαν ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλ' ἀεὶ τοῦ πλείονος ἐφιεμένην, καὶ τῆς δόξης ὀρεγομένην. οὐ γὰρ, ὡς προϊστάμενος αὐτῶν, ἐπέταττεν, ἀλλὰ καὶ πόλεις ᾠκοδόμει, ἵνα ἄρχῃ τῶν πολεμίων.

Sint hæc perpetuò in noſtra mente ſcripta, vt horum æmulatores & imitatores fieri poſſimus: huius autem excellentem temeritatem, & nequam voluntatem fugiamus.[28] *Et vixit*, inquit, *Noë poſt diluuium annos trecentos quinquaginta*, [29] *& fuerunt omnes dies Noë, nongenti quinquaginta anni & mortuus eſt.* Neque hoc putes abſque cauſa aſſignaſſe ſcripturam, ſed vide & hoc loco iuſti continentiam. Quia cùm tanta frueretur vbertate & proſperitate, ſuperuiuerétque tanto annorum numero poſt egreſſum ab arca, voluit vltrà indul- indulgere liberorum procreationi. Non enim commemorat ſcriptura illum alios præter tres iſtos habuiſſe liberos. Hîc iterum cogita magnam ſalacitatem Cham, quia neque patrem videns tantæ continentiæ, caſtior ipſe factus eſt, ſed omnia diuerſo modo quàm pater agebat. Proinde meritò omne ſuum genus in ſeruitutem condemnatum eſt, vt malæ voluntatis frænum haberet. Deinde hîc narrat ſcriptura eos qui ex filiis nati ſunt, & inquit: *Cham autem genuit Chus. Et rurſus Chus genuit Nemrod, qui coepit eſſe gigas ſuper terram. Hic fuit gigas venator coram Domino.* (Cap. 10. v. 8.) Quidam dicunt hîc, coram Domino, id eſt, aduerſarius Deo: ego autem non puto ſcripturam hoc inſinuare, ſed quòd robuſtus quis fuerit & virilis. Et quòd dicit coram Domino: hoc eſt, à Domino conſtitutus, eò quòd acceperat aliquam ab illo diuinam exiſtimationem: vel quòd Deus per hunc eſſet in admiratione habendus, quòd talem produxiſſet, & ſuper terram mõſtraſſet. Sed hîc iterum proauum ſuũ imitatus, & abuſus naturæ priuilegiis, aliũ ſeruitutis modum adinuenit, & princeps atque rex fieri attentauit. Rex enim nondum erat, cùm nondum eſſent ſubditi. Iſta autẽ magis videbatur eſſe libertas: Seruitus autẽ grauiſſima eſt in ordine libertatis, præſertim ſi liberis imperetur, & vide quid faciat habendi auiditas. Vide corporis robur non manens intra ſuos limites, ſed plura expetens, & gloriæ appetentem naturã. Nõ enim vt defenderet illos, imperabat: ſed & ciuitates ædificabat, vt hoſtes ſubigeret.

" *Inde enim*, inquit, *ex terra illa exiuit Aſſur, & ædificauit Niniue.* Animaduerte hîc quoque, quòd nihil offendit naturam noſtram progenitorum malitia. Hi enim, Niniuitas dico, miſericordiam Dei pœnitentia ſibi conciliarunt, reuocata illius ſententia. Attamen inter primos progenitores habuerunt Cham parricidam, deinde Nemrod hominem tyrannum, peruicacem, nepotem quoque Aſſur. Dicuntur autem fortè & alij fuiſſe inter illos molles & delicati, & diſſolutam & corruptam agentes vitam, ebrietati, & riſui, & ſubſannationibus, & ſcommatis dediti. Sed quia manifeſtam præ ſe ferre voluere pœnitentiam, nihil ipſis obfuit progenitorum malitia, ſed tantum ſibi cæleſtis fauoris conciliarunt, vt vſque nunc celebretur præclara eorum pœnitentia. Proinde illos & nos imitemur, & cùm ſciamus quòd neque parentum malitia nos offendet, ſi voluerimus reſipiſcere: neque parentum virtus nobis proderit, ſi fuerimus negligentes: magnum itaque nobis ſit ſtudium virtutis, & gratam voluntatem oſtendamus, quò eandem cùm Sem & Iaphet conſequamur benedictionem: & vt à maledictione & ſeruitute, quam Chanaan accepit, liberemur: & ne ſimus ſerui peccati, ſed veram poſſidentes libertatem ineffabilia bona adipiſcamur gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre & Spiritu ſancto ſit gloria, imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Ionæ 3.

Matth. 12. & Luc. 11.

Homilia XXX.

Gen. 11. 1.

Et erat omnis terra labium vnum, & vox vna omnibus.

ECce tandem ad finem ſanctæ Quadrageſimæ venim⁹, & ieiunij nauigationem perfecim⁹, appulimúſque, Dei gratia in portum. Verum non ideo negligentes ſimus, ſed hac de cauſa iterum maius ſtudiũ, maiorẽ diligentiã, maiorémq; vigilãtiã exhibeam⁹.

A ἐκεῖθεν γάρ, φησιν, ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν ὁ Ἀσσούρ, καὶ ᾠκοδόμησε τὴν Νινευΐ. σκόπει μοι πάλιν ἐνταῦθα, πῶς οὐδὲν λυμαίνεται τὴν ἡμετέραν φύσιν ἡ κακία τῶν προγόνων. οὗτοι γὰρ οἱ Νινευῖται, οἱ τὴν τοῦ θεοῦ φιλανθρωπίαν διὰ τῆς μετανοίας ἐπισπασάμενοι, καὶ τὴν ἀπόφασιν τοῦ δεσπότου ἀνακαλεσάμενοι, οὗτοι μὲν πρότερον εἶχον προπάτορα τὸν Χάμ, τὸν πατραλοίαν ἐκεῖνον· ἔπειτα τὸν Νεβρώδ, ἄνθρωπον τύραννον καὶ αὐθάδη, ἔγγονον εἰληχότα τὸν Ἀσσούρ. λέγονται δὲ ἴσως καὶ ἕτεροι γεγενῆσθαι ἐν αὐτοῖς βλάκες καὶ διατεθρυμμένοι καὶ τὸν ὑγρὸν καὶ διαρρέοντα ζῶντες B βίον, μέθῃ καὶ γέλωτι καὶ κώμοις καὶ χλευασίαις ἑαυτοὺς ἐκδεδωκότες· ἀλλ' ἐπειδὴ ἠβουλήθησαν ἀκριβῆ τὴν μετάνοιαν ἐπιδείξασθαι, οὐδὲν αὐτοὺς ἐλυμήνατο τῶν προγόνων ἡ κακία, ἀλλὰ τοσαύτην ἐφελκύσαντο τὴν ἄνωθεν ῥοπήν, ὡς μέχρι τοῦ νῦν ᾄδεσθαι αὐτῶν τὸ τῆς μετανοίας κατόρθωμα. τούτους τοίνυν καὶ ἡμεῖς μιμησώμεθα, καὶ μαθόντες ὡς οὔτε κακία προγόνων ἡμᾶς λυμαίνεται, ἐὰν νήφειν βουλώμεθα, οὔτε ἀρετὴ προγόνων ὠφελῆσαι ἡμᾶς τι δύναται, ἐὰν ῥαθυμῶμεν, πολλὴν σπουδὴν ποιώμεθα τῆς ἀρετῆς ἀντέχεσθαι, καὶ C εὐγνώμονα προαίρεσιν ἐπιδειξώμεθα, ἵνα τῆς αὐτῆς εὐλογίας τῷ Σὴμ καὶ τῷ Ἰάφεθ ἀπολαύσωμεν, καὶ τῆς κατάρας καὶ τῆς δουλείας, ἣν ὁ Χαναὰν ἐδέξατο, ἐλευθερωθῶμεν, καὶ μὴ γενώμεθα δοῦλοι τῆς ἁμαρτίας, ἀλλὰ τὴν ἀληθῆ ἐλευθερίαν κτησάμενοι, τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

D

Ὁμιλία λ.

Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἓν καὶ φωνὴ μία πᾶσιν.

ἸΔοὺ πρὸς τὸ τέλος ἐφθάσαμεν λοιπὸν τῆς ἁγίας τεσσαρακοστῆς, καὶ τῆς νηστείας διηνύσαμεν τὸν πλοῦν, καὶ πρὸς τὸν λιμένα λοιπὸν τῇ τοῦ θεοῦ χάριτι κατηντήσαμεν. ἀλλὰ μὴ διὰ τοῦτο ῥαθυμήσωμεν, ἀλλὰ ταύτῃ μᾶλλον πολλῷ πλείονα τὴν σπουδὴν καὶ τὴν ἀγρυπνίαν ἐπιδειξώμεθα.

A ἐπεὶ καὶ οἱ κυβερνῆται, ἐπειδὰν μυρία διαβάντες πελάγη, πεπληρωμένων αὐτοῖς τῶν ἱστίων, καὶ τῶν φορτίων εἰς ὕψος ἐξηρμένων, εἰς τὸν λιμένα εἰσιέναι μέλλωσι, τότε μάλιστα πολὺν τὸν ἀγῶνα καὶ τὴν φροντίδα ἔχουσι, μήπου σκοπέλῳ τινὶ, ἢ πέτρᾳ προσαράξαν τινὶ τὸ πλοῖον ἀνόνητον αὐτοῖς τὸν προλαβόντα πόνον γενέσθαι παρασκευάσῃ. οὕτω καὶ οἱ δρομεῖς ποιοῦσιν· ὅταν πρὸς τὸ τέλος τῶν σταδίων φθάσωσι, τότε μᾶλλον εὐτονώτερον τὸν δρόμον ἐπιδείκνυνται, ὥστε τοῦ τέλους ἐπιτυχεῖν, καὶ τῶν βραβείων ἀξιωθῆναι. καὶ ἀθληταὶ δὲ μετὰ μυρία παλαίσματα καὶ τὰς νίκας, ὅταν τὴν περὶ τοῦ στεφάνου παλαίωσι πάλην, πλείονα τὸν ἀγῶνα ἐπιδείκνυνται, ἵνα τὸν στέφανον λαβόντες οὕτως ἐξέλθωσι. B καθάπερ οὖν κυβερνῆται καὶ δρομεῖς καὶ ἀθληταὶ τότε μᾶλλον τούτων ἕκαστος τὴν σπουδὴν ἐπιτείνει καὶ τὴν ἀγρυπνίαν, ὅταν πρὸς τῷ τέλει γένωνται. τὸ αὐτὸν δὴ τοῦτο καὶ ἡμᾶς προσήκει, ἐπειδὴ εἰς τὴν μεγάλην ταύτην ἑβδομάδα ἐφθάσαμεν τῇ τοῦ Θεοῦ χάριτι, νῦν μάλιστα καὶ τῆς νηστείας τὸν δρόμον ἐπιτεῖναι, καὶ τὰς εὐχὰς εὐτονωτέρας ποιεῖσθαι, καὶ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξομολόγησιν τῶν ἡμαρτημένων ἐπιδείξασθαι, καὶ τὴν περὶ τὰς ἀγαθὰς πράξεις ἐργασίαν, ἐλεημοσύνην δαψιλῆ, ἐπιείκειαν, πρᾳότητα, τὴν ἄλλην ἅπασαν ἀρετὴν, C ἵνα μετὰ τούτων τῶν κατορθωμάτων εἰς τὴν κυρίαν φθάσαντες ἡμέραν τῆς παρὰ τοῦ δεσπότου φιλοτιμίας ἀπολαύσωμεν. μεγάλην δὲ καλοῦμεν τὴν ἑβδομάδα, οὐκ ἐπειδὴ πλέον ἔχει τὸ μῆκος τῶν ὡρῶν (καὶ γάρ εἰσιν ἕτεραι πολλῷ μείζους ὥρας ἔχουσαι) οὐδὲ ἐπειδὴ πλείους ἡμέρας ἔχει· καὶ γὰρ ὁ αὐτὸς ἀριθμὸς καὶ ταύτῃ καὶ ταῖς ἄλλαις πάσαις. τίνος οὖν ἕνεκεν μεγάλην ταύτην καλοῦμεν; ἐπειδὴ μεγάλα τινὰ καὶ ἀπόρρητα τυγχάνει τὰ ὑπάρξαντα ἡμῖν ἐν αὐτῇ ἀγαθά. ἐν γὰρ ταύτῃ ὁ χρόνιος ἐλύθη πόλεμος, θάνατος ἐσβέσθη, κατάρα ἀνῃρέθη, τοῦ διαβόλου ἡ τυραννὶς κατελύθη, D τὰ σκεύη αὐτοῦ διηρπάγη, Θεοῦ καταλλαγὴ πρὸς ἀνθρώπους γέγονεν, οὐρανὸς βάσιμος γέγονεν, ἄνθρωποι τοῖς ἀγγέλοις συνεμίγησαν, τὰ διεστῶτα συνήφθη, ὁ φραγμὸς περιῃρέθη, τὸ κλεῖθρον ἀνῃρέθη, ὁ τῆς εἰρήνης Θεὸς εἰρηνοποίησε τὰ ἄνω καὶ τὰ ἐπὶ τῆς γῆς. διὰ τοῦτο τοίνυν μεγάλην τὴν ἑβδομάδα καλοῦμεν, ἐπειδὴ τοσοῦτον πλῆθος δωρεῶν ἡμῖν ἐν αὐτῇ κεχάρισται ὁ δεσπότης. διὰ τοῦτο πολλοὶ καὶ τὴν νηστείαν ἐπιτείνουσι, καὶ ἀγρυπνίας καὶ παννυχίδας ἱερὰς, καὶ ἐλεημοσύνας ἐπιδείκνυνται, δεικνύντες δι' ὧν πράττουσι τὴν τιμὴν, ἣν περὶ τὴν ἑβδομάδα ἔχουσιν.

Nam & naucleri cùm per multa maria tranſierint, & plenis velis, oneratiſque mercibus in portum ingreſſuri fuerint, tũc maximam curam & ſollicitudinem gerunt, ne in ſcopulum vel petram quandam impingant, quæ omnes priores labores ſimul diſperdat. Et curſores quoque ita faciunt: cùm enim ad finem ſtadiorum perueniunt, vehementiorem ſeruant curſum, vt metam attingant, & præmia mereantur. Athletæ quoque poſt plurima certamina & victorias, cum pro corona certandum eſt, maiori niſu omnia faciunt, vt coronati abeant. Itaque quemadmodum naucleri, & curſores, & athletæ, vbi ad finem veniunt: magis enituntur & vigilant, eodem modo & nos facere oportet: quia in magnam hanc hebdomadam peruenimus Dei gratia, nunc maximè & ieiunij curſus intendendus, & magis continuandæ ſunt preces, faciendáque diligens & pura peccatorum confeſſio, & in bonis operibus ſedulitas, eleemoſyna larga, æquitas, manſuetudo, aliæque virtutes: vt talibus ornati virtutibus, vbi in diem iudicij venerimus, domini liberalitate fruamur. Magnam autem vocamus hebdomadam, non quòd longiores in ea ſint horæ, ſunt enim aliæ, quæ multò prolixiores horas habẽt, neque quòd plures dies habeat. Eſt enim idem numerus in hac aliíſque omnibus. Quare ergo illã vocamus magnam? quia magna quædam & ineffabilia bona contigerunt nobis in illa. In illa enim ſolutũ eſt bellum diutinum, extincta mors, maledictio interempta, diaboli tyrannis diſſoluta, vaſa eius direpta, Deus hominibus reconciliatus eſt, cœlum penetrabile factũ eſt, angeli hominibus conuiuunt, diſtantia coniuncta ſunt, ſepes ſublata, ſeptum remotũ, Deus pacis pacifica fecit omnia, quę in cœlis, & quæ in terris. Et hac de cauſa magnam hebdomadam vocamus, quia tantam nobis donorum multitudinem in illa largitus eſt dominus. Et idcirco multi & ieiunium intendunt, & vigilias, & pernoctationes ſacras, & eleemoſynas faciũt, vt hebdomadæ huic honorem habeant.

Cur magna dicatur hæc hebdomada.

Nam ſi dominus talia bona in illa nobis donauit, quomodo non & nos debemus quantum poſſumus, reuerentiam & honorem oſtendere? Enimuerò & reges ipſi declarant quàm venerabiles illos dies habeant, mandantes vt omnibus ſint induciæ & feriæ, qui ciuilibus funguntur negociis, claudendo fores iudiciorum, & auferendo omnes litium & contentionum ſpecies, quò magna tranquillitate ac quiete liceat ad ſpiritualia rectè perficienda feſtinare. Et non hoc ſolùm, ſed & aliam liberalitatem oſtendunt. Habitantes enim in carceribus à vinculis ſoluunt, & pro humano virili dominum ſuum imitantur: quia ſicut ipſe graui nos peccatorum carcere exoluit, & innumeris bonis frui fecit: eodem modo & nobis faciendum eſt, vt ſimus imitatores miſericordiæ domini Dei noſtri. Vidiſtis quomodò ſinguli in omnibus ſpecimen edamus eius honoris ac reuerentiæ, quam exhibemus diebus iis, qui nobis tot bonorum ſunt authores? Proinde rogo nunc, ſi vnquam aliâs, vt repulſis vanis cogitationibus, & mente purgata ac vigili aſſimus. Nullus eccleſiam ingreſſus ſe culares curas aduocet, vt digna laborum mercede recepta, iterum domum proficiſci liceat. Age igitur conſuetam vobis menſam iterum proponamus, & veſtram charitatem refocillemus; prolaturi in medium, quæ lecta ſunt ex beato Moſe, & indicaturi diuinæ ſcripturæ diligentiam. Nam poſtquam hiſtoriæ de beato Noë finem impoſuit, genealogiam conſequenter à Sem exorditur, & dicit:[21] *Et Sē nati ſunt & ipſi patri omnium filiorum Heber, fratri Iapheth maioris filij.* Deinde confecto nominum catalogo ait:[25] *Et Heber nati ſunt duo filij, nomen vni Phalek: quia in diebus illius diuiſa eſt terra.* Conſidera quomodo ſigni non multo poſt futuri præſcientiam, vocabulo nati pueri indidit, vt cùm videris rem opere adimpletam, non vltrà mireris, videns diuinitus hoc pueri nomine prædictum. Nam poſtquam catalogum eorum fecit, qui poſtea nati ſunt, inquit: *Et erat omnis terra labium vnum, & vox vna omnibus.*

Iuſtitiū indictū hebdomada ſancta.

Gen. 10. 25.

Cap. 11.

A εἰ γὰρ ὁ δεσπότης τοσαῦτα ἐν αὐτῇ ἡμῖν ἀγαθὰ ἐδωρήσατο, πῶς οὐχὶ καὶ ἡμᾶς προσήκει, δι' ὧν δυνάμεθα, τὴν αἰδῶ καὶ τὴν τιμὴν ἐπιδείκνυσθαι; καὶ γὰρ καὶ οἱ βασιλεῖς, δι' ὧν ποιοῦσι καὶ αὐτοὶ, δηλοῦσιν ὅσον ἔχουσι τὸ θαῦμα τούτων τῶν σεπτῶν ἡμερῶν, κελεύσαντες ἐκεχειρίαν ἅπαντας ἔχειν τοὺς τὰ πολιτικὰ οἰκονομοῦντας πράγματα, καὶ τῶν δικαστηρίων τὰς θύρας ἀποκλείειν, καὶ πᾶν εἶδος μάχης καὶ φιλονεικίας ἐλαύνεσθαι, ἵνα μετὰ πολλῆς ἡσυχίας καὶ γαλήνης ἐξῇ πρὸς τὴν τῶν πνευματικῶν κατόρθωσιν ἐπείγεσθαι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέραν φιλοτιμίαν ἐπιδείκνυνται. τοὺς δὲ δεσμωτήριον οἰκοῦντας B ἀφιᾶσι τῶν δεσμῶν, καὶ κατὰ δύναμιν ἀνθρωπίνην μιμοῦνται τὸν ἑαυτῶν δεσπότην. καθάπερ γὰρ αὐτός φησι, τοῦ χαλεποῦ δεσμωτηρίου τῶν ἁμαρτημάτων ἡμᾶς ἀνίησι, καὶ τῶν μυρίων ἀγαθῶν παρέχει τὴν ἀπόλαυσιν· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς, φησι, προσήκει οἷς δυνάμεθα μιμητὰς γενέσθαι τῆς τοῦ δεσπότου φιλανθρωπίας. ἴδετε πῶς διὰ πάντων ἕκαστος ἡμῶν δείκνυσι τὴν αἰδῶ καὶ τὴν τιμὴν, ἣν περὶ τὰς ἡμέρας ἔχομεν τὰς τῶν τοσούτων ἀγαθῶν προξένους ἡμῖν γεγενημένας; διὰ τοῦτο παρακαλῶ, νῦν, μᾶλλον εἴ καί ποτε ἄλλοτε, πάντα λο- C γισμὸν βιωτικὸν ἀπωσάμενοι, καὶ τὸ τῆς διανοίας ὄμμα καθαρὸν καὶ διεγηγερμένον ἔχοντες, οὕτως ἐνταῦθα παραγινώμεθα, καὶ μηδεὶς εἰσιὼν εἰς τὴν ἐκκλησίαν βιωτικὰς ἐπισυρέσθω φροντίδας, ἵνα ἀξίαν τῶν πόνων τὴν ἀμοιβὴν λαβὼν, οὕτως οἴκαδε ἐπανέλθῃ. φέρε οὖν πάλιν τὴν συνήθη τράπεζαν ὑμῖν παραθῶμεν, καὶ ἐκ τῶν πρόσφατον ἀναγνωσθέντων παρὰ τοῦ μακαρίου Μωυσέως ἑστιάσωμεν ὑμῶν τὴν ἀγάπην, αὐτὰ τὰ ἀνεγνωσμένα εἰς μέσον ὑμῖν προθέντες, καὶ δεικνύντες τῆς θείας γραφῆς τὴν ἀκρίβειαν. ἐπειδὴ γὰρ τέλος ἐπέθηκε τῇ D διηγήσει τῇ κατὰ τὸν Νῶε, ἐκ τοῦ Σὴμ λοιπὸν ἤρξατο τῆς γενεαλογίας, καί φησι, καὶ τῷ Σὴμ ἐγεννήθησαν καὶ αὐτῷ πατρὶ πάντων τῶν υἱῶν Ἕβερ, ἀδελφῷ Ἰάφεθ τοῦ μείζονος υἱοῦ. εἶτα τὸν κατάλογον τῶν ὀνομάτων ποιησάμενος φησὶ, καὶ τῷ Ἕβερ ἐγεννήθησαν δύο υἱοί· ὄνομα τῷ ἑνὶ Φαλὲκ, ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ. σκόπει πῶς τῇ προσηγορίᾳ τοῦ τεχθέντος ἐναπέθετο τοῦ μέλλοντος ἔσεσθαι μετ' οὐ πολὺ σημείου τὴν πρόγνωσιν· ἵν' ὅταν ἴδῃς εἰς ἔργον τὸ πρᾶγμα ἐξελθὸν, μηκέτι ξενισθῇς ὁρῶν ἄνωθεν τοῦτο τῇ προσηγορίᾳ τοῦ παιδὸς προμηνυόμενον. μετὰ γὰρ τὸ ποιήσασθαι τῶν ἑξῆς γεγενημένων ἐκ τούτων τὸν κατάλογον, φησί· καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσιν

A οὐ περὶ τῆς γῆς λέγουσα, ἀλλὰ περὶ τοῦ τῶν ἀνθρώπων γένους, ἵνα ἡμᾶς διδάξῃ ὅτι μίαν γλῶσσαν ἅπασα ἡ τῶν ἀνθρώπων εἶχε φύσις. καὶ ἦν πᾶσα ἡ γῆ, φησι, χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι. χεῖλος ἕν, τὴν λαλιάν φησι, καὶ φωνὴν πάλιν τὸ αὐτό· ἵνα εἴπῃ ὅτι ὁμόφωνοι καὶ ὁμόγλωσσοι πάντες ἦσαν. καὶ ὅτι περὶ λαλιᾶς εἴρηται τὸ, καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, ἄκουε τῆς γραφῆς ἀλλαχοῦ λεγούσης, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. οὕτως οἶδεν ἡ γραφὴ τῷ τοῦ χείλους ὀνόματι τὴν λαλιὰν προσαγορεύειν. καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν γῇ Σενναὰρ, καὶ κατῴκησαν ἐκεῖ. ὅρα πῶς ἡ ἀνθρωπίνη φύσις B οὐκ ἀνέχεται ἵστασθαι ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλ' ἀεὶ τοῦ πλείονος ἐφιεμένη ὀρέγεται τῶν μειζόνων. καὶ τοῦτο ἐστιν ὃ μάλιστα ἀπόλλυσι τὸ ἀνθρώπινον γένος, τὸ μὴ βούλεσθαι τῆς οἰκείας φύσεως ἐπιγινώσκειν τὰ μέτρα, ἀλλ' ἀεὶ τῶν μειζόνων ἐφίεσθαι, καὶ τὰ ὑπὲρ τὴν ἀξίαν φαντάζεσθαι. ἐντεῦθεν καὶ οἱ περὶ τὰ τοῦ κόσμου ἐπτοημένοι πράγματα, ἐπειδὰν πολὺν περιβάλλωνται πλοῦτον καὶ δυναστείαν, ὥσπερ ἐπιλανθανόμενοι τῆς οἰκείας φύσεως μέχρι τοσούτου εἰς ὕψος ἐπαίρεσθαι βούλονται, μέχρις ἂν εἰς αὐτὸν τὸν πυθμένα C κατενεχθῶσι. καὶ τοῦτο ἴδοι τις ἂν ἐφ' ἑκάστης συμβαῖνον ἡμέρας, καὶ οὐδὲ ταύτῃ τοὺς λοιποὺς σωφρονιζομένους, ἀλλὰ πρὸς βραχὺ μὲν συστελλομένους, ἀθρόον δὲ πάντων λήθην ποιουμένους, καὶ πάλιν τὴν αὐτὴν ἐκείνοις βαδίζοντας ὁδὸν, καὶ εἰς αὐτὸν τὸν κρημνὸν καταγομένους· ὅπερ καὶ νῦν ἐστιν ἰδεῖν ἐπὶ τούτων γεγονός. καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν γῇ Σενναὰρ, καὶ κατῴκησαν ἐκεῖ. ὅρα πῶς κατὰ μικρὸν ἡμᾶς διδάσκει τῆς γνώμης αὐτῶν τὸ ἄστατον. ἐπειδὴ εἶδον, φησι, τὸ πεδίον, D μεταναστάντες καὶ καταλιπόντες τὴν προτέραν οἴκησιν, ἐκεῖ κατῴκησαν. εἶτά φησιν. εἶπεν ἕκαστος τῷ πλησίον αὐτοῦ, δεῦτε, πλινθεύσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς πυρί. καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός. καὶ εἶπον, δεῦτε, καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ. καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ διασπαρῆναι ἡμᾶς ἐπὶ πάσης τῆς γῆς. ὅρα πῶς οὐκ εἰς δέον ἐκέχρηντο τῇ ὁμοφωνίᾳ, καὶ ὅτι ἡ ματαία τοῦ βίου τούτου βουλὴ γίνεται τῶν κακῶν ὑπόθεσις.

Non de terra loquens, ſed de hominum genere, vt nos doceat vnam linguam omni hominum fuiſſe naturæ. Et erat omnis terra labium vnum, & vox vna omnibus. Labium vnum, ſermonem dicit, & idipſum iterum per vocem ſignificans omnes vſos eadem voce, & lingua. Et quòd de loquela dictum ſit, quòd fuerit omnis terra labium vnum, audi ſcripturam alio loco dicentem: Venenum Pſal. 13.
aſpidum ſub labiis eorum. Ita ſolet & 139.
ſcriptura labiorum nomine loquelam appellare.[2] *Et factum eſt cùm mouerent illi ab Oriente, inuenerunt campum in terra Sennaar, & habitauerunt illic.* Vide quomodo humanum genus non poteſt ſubſiſtere intra ſuos limites, ſed amplius concupiſcens, maiora ſupra ſe appetit. Atque hoc eſt quod humanum genus potiſſimum perdit, quia non vult naturæ ſuæ menſuram agnoſcere, ſed ſemper maiora deſiderat & quæ ſupra ſuam ſunt dignitatem votis concipit. Hinc & qui mundana ſuſpiciunt opera, ſi quando multo abundauerint auro, & potentes fuerint, quaſi obliti ſuæ naturæ, in tantum ſe faſtigium efferri volunt, vt vſque in profundum ipſum deiiciantur. Et hoc videmus quotidie contingere, quamuis nec hac ratione emendatiores euadant alij. Et ſi ad paruum tempus corripiantur, ſubitò tamen omnium obliti, iterum eandem vadũt viam, & in eadem præcipitia deferuntur: id quod & nunc videre licet apud iſtos factum. Et factum eſt cùm mouerent illi ab Oriente, inuenerunt campum in terra Sennaar, & habitauerunt illic. Vide quomodo paulatim docet nos lubricã illorum voluntatem. Quoniam viderunt, inquit, campum migrantes, & relicto priori loco, illic habitauerunt. Deinde dicit: *Dixit homo proximo ſuo, venite, conficiamus lateres, & coquamus eos igni. Et facti ſunt illis lateres in lapidem, & bitumen erat illis coenũ. Et dixerunt:*[4] *Venite ædificemus nobis ciuitatem, & turrim, cuius caput erit vſque in coelum. Et faciamus nobiſipſis nomen, priuſquam diſpergamur ſuper omnem terram.* Vide quomodo abutuntur vocis æqualitate, & quomodo vanum viuendi conſilium ſit multorum malorum occaſio.

Venite, inquit, faciamus lateres, & coquamus eos igni. Et facti ſunt illis lateres in lapidē, & bitumen in cœnū. Vide quanta ſecuritate volunt ædificare, neſcientes quòd niſi dominus ædificauerit domū, fruſtra laborant, qui ædificant eam. Et ædificemus, inquit, nobis ciuitatem: non Deo, ſed nobiſipſis. Vide oro quàm inualuit malitia, habentes adhuc recentem memoriam generalis in diluuio interitus, in tantam inciderunt inſaniam. Et ædificemus, inquit, nobis ciuitatem, & turrim, cuius caput erit vſque in cœlum. Nomine cœli, ſummam illorum audaciam ſcriptura diuina declarat. Et faciamus, inquit, nobiſipſis nomen. Vidiſti radicem mali? vt, inquit, perpetuam memoriam conſequamur, vt noſtri perpetuò memores ſint poſteri: tale erit noſtrum opus, vt nunquam obliuioni tradatur. Et hoc faciamus priuſquam diſpergamur ſuper faciem omnis terræ. Adhuc, inquit, congregati quod nobis viſum fuerit efficiamus, vt poſteritati perpetuum nomen relinquamus. Sunt multi etiam hodie qui illos imitantur, & talibus operibus celebrari volunt, qui ſplendidas domus ædificant, & lauacra, & porticus, & deambulacra: quorum ſi aliquem rogaueris, quare ita laboret, tam miſer ſit, tantóſque pecuniarum faciat ſumptus, eóſque inutiles: nihil aliud audies, quàm hæc verba, vt immortalem ſeruet memoriam, & audiat quòd illius eſt hæc domus, illius hic ager. Sed hoc non eſt tam laudem, quàm crimen ſibi parere. Nam ſtatim ad hæc ſubiungentur plurimarum contumeliarum verba: Domus hæc huius eſt, huius auari, huius rapacis, huius viduarum & orphanorum ſpoliatoris. Igitur hoc nō eſt memoriam aſſequi, ſed perpetuis obiici criminibus, & etiam poſt mortem infamari, & ſpectatorum linguas acuere in blaſphemiam, & accuſationem eius qui illa poſſidet. Quòd ſi omnino æternam memoriā amas, ego tibi viam monſtrabo, qua poteris ſemper celebrari, & quæ dabit tibi fiduciam in futuro ſeculo. Quonam pacto igitur poteris & commemorari, & celebrari quotidie, encomiiſque euehi & poſt hanc vitam?

Pſal. 126 1.

Memoriæ æternæ cupiditas.

A δεῦτε, φησι, ποιήσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς πυρί. καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός. σκόπει πόσην ἀσφάλειαν ἐπινοῆσαι βούλονται τῇ οἰκοδομῇ, οὐκ εἰδότες ὅτι, ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. καὶ οἰκοδομήσωμεν, φησιν, ἑαυτοῖς πόλιν, οὐχ ὅτι θεῷ, ἀλλ' ἑαυτοῖς. ὅρα πόση τῆς κακίας ἡ ἐπίτασις. ἔναυλον ἔχοντες τὴν μνήμην τῆς πανωλεθρίας ἐκείνης, ἐπὶ τοσαύτην μανίαν ἐξώκειλαν. καὶ οἰκοδομήσωμεν, φησιν, ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ. τῷ ὀνόματι τοῦ οὐρανοῦ ἡ θεία γραφὴ τῆς τόλμης αὐτῶν τὴν ὑπερβολὴν ἡμῖν παραστῆσαι ἐβουλήθη. B καὶ ποιήσωμεν, φησιν, ἑαυτοῖς ὄνομα. εἶδες τὴν ῥίζαν τῆς κακίας, ἵνα, φησὶ, μνήμης διηνεκοῦς ἀπολαύσωμεν, ἵνα εἰς τὸ διηνεκὲς ἔχωμεν μνημονεύεσθαι. τοιαύτη ἡμῶν ἔσται ἡ πρᾶξις καὶ τὸ ἔργον, ὡς μηδέποτε λήθῃ παραπεμφθῆναι. καὶ τοῦτο ποιήσωμεν πρὸ τοῦ διασπαρῆναι ἐπὶ προσώπου πάσης τῆς γῆς. ὡς ἔτι, φησί, κατὰ ταὐτόν ἐσμεν εἰς ἔργον ἀγάγωμεν τὸ δόξαν ἡμῖν, ἵνα ἀδιάλειπτον μνήμην καταλίπωμεν ταῖς εἰς τὸ ἑξῆς γενεαῖς. εἰσὶ πολλοὶ καὶ νῦν τούτοις μιμούμενοι, καὶ ἀπὸ τοιούτων C πράξεων μνημονεύεσθαι βουλόμενοι, οἱ τὰς λαμπρὰς οἰκοδομοῦντες οἰκίας, καὶ τὰ λουτρὰ, καὶ τὰς στοὰς, καὶ τοὺς περιπάτους. ἐὰν γὰρ καὶ τούτων ἕκαστον ἐρωτήσῃς τίνος ἕνεκεν πονεῖ καὶ ταλαιπωρεῖται, καὶ τοσαύτην ἐπιδείκνυται χρημάτων δαπάνην εἰς οὐδὲν δέον, οὐδὲν ἕτερον ἀκούσῃ, ἢ ταῦτα τὰ ῥήματα, ὥστε τὴν μνήμην διηνεκῶς σώζεσθαι, καὶ ἀκούειν ὅτι τοῦ δεῖνος ἡ οἰκία, καὶ τοῦ δεῖνος ὁ ἀγρός. ἀλλὰ τοῦτο οὐκ ἔστι μνήμης ἀξιοῦσθαι, ἀλλὰ μᾶλλον κατηγορίας. εὐθέως γὰρ τοῖς λόγοις τούτοις ἐπεισέρχεται καὶ τὰ μυρίων κατηγοριῶν ἄξια ῥήματα, τοῦ δεῖνος τοῦ D πλεονέκτου, τοῦ ἅρπαγος, τοῦ χήρας καὶ ὀρφανοὺς γυμνώσαντος. οὐκ ἔστι τοίνυν τοῦτο μνήμης ἀπολαύειν, ἀλλὰ κατηγορίαις διηνεκέσι βάλλεσθαι, καὶ μετὰ θάνατον στηλιτεύεσθαι, καὶ τὰς τῶν ὁρώντων γλώττας ἀκονᾶν εἰς βλασφημίαν καὶ κατηγορίαν τοῦ ταῦτα κτησαμένου. εἰ δὲ ὅλως μνήμης ἐρᾷς διηνεκοῦς, ἐγώ σοι ὑποδείξω ὁδὸν, δι' ἧς δυνήσῃ καὶ μνημονεύεσθαι διὰ παντὸς, καὶ μετ' εὐφημίας πολλῆς καὶ πολλήν σοι τὴν παρρησίαν ἐν τῷ μέλλοντι καιρῷ παρέξεις. πῶς οὖν δυνήσῃ καὶ μνημονεύεσθαι καθ' ἑκάστην ἡμέραν, καὶ τοῖς ἐγκωμίοις βάλλεσθαι καὶ μετὰ τὴν τῆς ζωῆς μετάστασιν;

A εἰ ταυτὶ τὰ χρήματα εἰς τὰς τῶν πενήτων διανείμης χεῖρας, ἀφεὶς τοὺς λίθους καὶ τὰς μεγάλας οἰκοδομὰς, καὶ τοὺς ἀγροὺς καὶ τὰ βαλανεῖα. αὕτη ἡ μνήμη ἀθάνατος, αὕτη ἡ μνήμη μυρίων σοι θησαυρῶν πρόξενος γίνεται, αὕτη ἡ μνήμη τοῦ φορτίου τῶν ἁμαρτημάτων κουφίζουσα, πολλήν σοι τὴν παῤῥησίαν πρόξενεῖ παρὰ τῷ δεσπότῃ. ἐννόησον γάρ μοι καὶ αὐτὰ τὰ ῥήματα, ἅπερ ἕκαστος μέλλει λέγειν, τὸν ἐλεήμονα καὶ φιλάνθρωπον, τὸν ἐπιεικῆ, τὸν χρηστὸν, τὸν μετὰ πολλῆς δαψιλείας διανείμαντα. ἐσκόρπισε γὰρ, φησιν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. B τοιοῦτον γὰρ ὁ τῶν χρημάτων πλοῦτος, σκορπιζόμενος μᾶλλον παραμένει· συνεχόμενος δὲ καὶ ἔνδον ἀποκλειόμενος καὶ τοὺς κατέχοντας συναπόλλυσιν. ἐσκόρπισε γὰρ, φησιν, ἔδωκε τοῖς πένησιν. ἀλλ' ἄκουε καὶ τῶν ἑξῆς. ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ἐν μιᾷ ἡμέρᾳ τὸν πλοῦτον ἐσκόρπισε, καὶ ἡ δικαιοσύνη αὐτοῦ εἰς πάντα τὸν αἰῶνα διαμένει, καὶ τὴν μνήμην ἀθάνατον ἐργάζεται. εἶδες μνήμην παντὶ τῷ αἰῶνι παρεκτεινομένην· εἶδες μνήμην μεγάλων καὶ ἀποῤῥήτων γέμουσαν ἀγαθῶν· C διὰ τοιούτων οἰκοδομῶν μνημονεύεσθαι σπουδάζωμεν. αἱ γὰρ διὰ τῶν λίθων οὐ μόνον ἡμᾶς οὐδὲν ὠφελῆσαι δύνανται, ἀλλὰ καὶ ἀντὶ στήλης διηνεκοῦς ἡμῶν λαμπρᾷ τῇ φωνῇ καταβοῶσι. καὶ τὰ μὲν ἐκ τούτων ἁμαρτήματα αὐτοὶ ἔχοντες ἄπιμεν, αὐτὰ δὲ καταλιπόντες ἐνταῦθα οὐδὲ τῆς ψυχρᾶς ἐκείνης, καὶ ἀνονήτου παρ' αὐτῶν μνήμης ἀξιούμεθα· ἀλλὰ ταῖς μὲν κατηγορίαις βαλλόμεθα, ἡ δὲ προσηγορία μεθίσταται εὐθέως εἰς ἕτερον. καὶ γὰρ οὕτως ἔχει. ἀπὸ τούτου εἰς ἕτερον μεταβαίνει, καὶ ἀπ' ἐκείνου εἰς ἄλλον πάλιν· καὶ σήμερον μὲν ἡ οἰκία ἐ- D λέγετο τοῦ δεῖνος, αὔριον δὲ τοῦ δεῖνος, καὶ μετὰ τὴν ἑξῆς, πάλιν ἑτέρου. καὶ ἀπατῶμεν ἑκόντες ἑαυτοὺς, νομίζοντες δεσποτείαν τινὰ κεκτῆσθαι, οὐκ εἰδότες ὅτι μόνον τῆς χρήσεως ἀπολαύομεν, καὶ ἑκόντες καὶ ἄκοντες ἑτέροις τούτων παραχωροῦμεν· ὅτι γὰρ καὶ οἷς οὐ βουλόμεθα, τοῦτο τέως παρίημι. ὅλως δὲ εἰ μνήμης ἐπιθυμεῖς, καὶ τοῦτό σοι περισπούδαστον, ἄκουε πῶς αἱ χῆραι ἐμέμνηντο τῆς Ταβιθᾶς, καὶ πῶς τὸν Πέτρον περιεστήκεισαν κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια, ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς.

A ſi has pecunias in manus inopum diſpenſes, relictis lapidibus, & ſplendidis ædificiis, & villis, & balneis. Hæc memoria immortalis, hæc memoria innumeros tibi theſauros conciliat, hæc memoria à ſarcina peccatorum alleuiat, hæc multam tibi fiduciam apud Deum conciliat. Cogita obſecro & hæc verba quæ ſinguli dicturi ſunt: Ecce hunc miſericordem & benignum, hunc manſuetum, hunc ſuauem, hunc tam largum diſpenſatorem. Diſperſit enim, inquit, dedit pauperibus, iuſtitia eius manet in ſeculum. Pecuniarum ita B diſperſæ diuitiæ expendentem non relinquunt, ſed expectant: retentæ autem, ſimúlque incluſæ, etiam ſe ſeruantem ſecum perdunt. Diſperſit enim, inquit, & dedit pauperibus. Sed audi quę ſequuntur: Iuſtitia eius manet in ſeculum. Vno die diuitias diſperſit, & iuſtitia eius manet in ſeculum, & memoriam facit immortalem. Vidiſti memoriam, quæ ſe in omne ſeculum extendit? vidiſti memoriam magnis & ineffabilibus plenam bonis? Tali ædificio noſtri me- C moriam relinquere ſtudeamus. Nam lapidibus ædificaſſe non ſolùm nihil nobis prodeſſe poterit, ſed nos continuò tanquam columna & clara voce infamabit. Et nos hinc abimus deferentes peccata inde parta, & ædificia hîc relinquimus: quin nec frigidam & inutilem memoriam conſequimur, ſed potius probris deturpamur, noménque ſtatim tranſit ad alterum. Etenim ſic res habent, vt ab hoc ad alium tranſeant, & ab illo iterum in alium. Et hodie quidem domus dicebatur huius, cras D vel alio die & mox dicetur alterius. Interim ſponte noſipſos decipimus, putantes nos dominium quoddam poſſidere, neſcientes quòd ſolùm vſu fruimur, & ſiue velimus, ſiue nolimus, aliis concedemus: & iam prætereo quòd iis etiam quibus non fauemus. Omnino tamen ſi memoriam concupiſcis, & huius tibi tantum ſtudium eſt: audi quomodo viduæ memores ſunt Tabithæ, & quomodo circumſtant Petrum flentes, & demonſtrantes togas & veſtes, quas faciebat illis, cum adhuc ſupereſſet Dorcas.

Pſal. 111. 9.

Memoriæ ſui relinquendæ ratio optima.

Act. 9. 39.

Vidiſti domus animatas, vocem emittentes, & tantæ virtutis, vt à morte ad vitam reuocare queant? Nam poſtquam circumſteterunt Petrum, calidas lachrymas profundentes, cibúmque & quibus opus habebant quærentes, Petrus eiectis omnibus, & poſitis genibus, orauit: & cùm excitaſſet illam, vocauit ſanctos & viduas &, aſſignauit eam viuam. Si memoriam quæris, ſi veram gloriam amas, hanc imitare, tales domus extrue, noli ſumptus tuos inanimatis impendere, ſed cum illis qui eiuſdem ſunt generis miſericordiam facito. Hæc laude digna eſt memoria, hæc magnum lucrum affert. Cæterum, ad inſtitutum redeamus, & videamus illorum virorum, qui tunc erant, audaciam. Illorum enim affectiones, noſtræ, ſi ſapere voluerimus, emendationi ſeruiunt. [5] *Et ædificemus*, inquit, *nobis ciuitatem, & turrim, cuius caput erit vſque in coelum. Et faciamus nobiſipſis nomen, priuſquam diſpergamur ſuper terram.* Vide quomodo ſuperbiam mentis illorum oſtendit. Et ædificemus, inquit, nobis ciuitatem. Et iterum: Faciamus nobiſipſis nomen. Etiam poſt diluuium, & generalem omnium interitum non minoribus malis occupantur. Quid ergo fiet? quomodo ab inſania ſua reprimentur? Pollicitus eſt Deus, ſe non vltrà facturum diluuium, nimirum miſericordiæ ſuæ conſuetudinem ſeruans. Illi autem neque pœnis emendatiores facti ſunt, neque beneficiis meliores. Audi quæ ſequuntur, vt diſcas ineffabilis miſericordiæ Dei magnitudinem. [5] *Et deſcendit*, inquit, *dominus Deus, vt videret ciuitatem & turrim, quam ædificabant filij hominum.* Vide quomodo humano more ſcriptura loquitur. Et deſcendit, inquit, dominus, non vt humano modo intelligamus, ſed vt per hoc erudiamur, nunquam temerè fratres condemnandos, neque auditu ſolo iudicandum, niſi pluribus argumentis prius certi reddamur. Omnia enim à Deo ideo fiunt, & ob hoc tanta ad erudiendum humanum genus vtitur ſermonis attemperatione. Deſcendit, inquit, dominus Deus, vt videret ciuitatẽ & turrim.

Non ſunt cōdemnādi fratres.

A εἶδες οἰκοδομὰς ἐμψύχους φωνὰς ἀφιείσας, καὶ τοσαύτην ἰσχὺν ἐχούσας, ὡς καὶ ἀπὸ θανάτου εἰς ζωὴν ἐπαναγαγεῖν; ἐπειδὴ γὰρ περιέστησαν τὸν Πέτρον, καὶ τὰ δάκρυα θερμὰ ἐξέχεαν τὴν τροφὴν καὶ τὴν χορηγίαν ἐπιζητοῦσαι, ἐκβαλὼν πάντας, φησὶν, ὁ Πέτρος, θεὶς τὰ γόνατα προσηύξατο· καὶ ἀναστήσας αὐτὴν ἐφώνησε τοὺς ἁγίους καὶ τὰς χήρας, καὶ παρέστησεν αὐτὴν ζῶσαν. εἰ βούλει μνημονεύεσθαι, καὶ εἰ δόξης ἀληθοῦς ἐρᾷς, ταύτην μίμησαι, καὶ τοιαύτας οἰκοδομὰς ἐργάζου, μὴ περὶ τὴν ἄψυχον ὕλην καταδαπανώμενος, ἀλλὰ περὶ τοὺς ὁμογενεῖς πολ- B λὴν τὴν φιλοτιμίαν ἐπιδεικνύμενος. αὕτη ἡ μνήμη ἐπαινετὴ καὶ πολὺ τὸ κέρδος φέρουσα. ἀλλὰ πάλιν ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, καὶ ἴδωμεν τὴν τότε ἀνδρῶν τὴν τόλμαν. τὰ γὰρ ἐκείνων πάθη ἡμῖν, εἰ βουλοίμεθα νήφειν, σωφρονισμὸς γενήσεται. καὶ οἰκοδομήσωμεν ἑαυτοῖς, φησὶ, πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ, καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ διασπαρῆναι ἐπὶ τῆς γῆς. ὁρᾷς πῶς πανταχοῦ τῆς ἑαυτῶν γνώμης τὴν διαφθορὰν ἐπιδεικνύουσι. καὶ οἰκοδομήσωμεν, C φησὶν, ἑαυτοῖς πόλιν. καὶ πάλιν, ποιήσωμεν ἑαυτοῖς ὄνομα. ἀλλ᾽ ὅρα καὶ μετὰ τοσαύτην πανωλεθρίαν πάλιν πῶς οὐκ ἐλάττοσι κακοῖς ἐπιχειροῦσι. τί οὖν ἵνα γένηται; πῶς ἵνα ἀναχαιτισθῶσι τῆς μανίας; ὑπέσχετο μηκέτι ποιήσειν κατακλυσμὸν τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, οὗτοι δὲ οὐδὲ ταῖς τιμωρίαις ἐσωφρονίσθησαν, οὔτε ταῖς εὐεργεσίαις βελτίους ἐγένοντο. διὸ ἄκουε τῶν ἑξῆς, ἵνα μάθῃς τῆς ἀφάτου φιλανθρωπίας τοῦ θεοῦ τὸ μέγεθος. καὶ κατέβη, φησὶ, κύριος ὁ θεὸς ἰδεῖν τὴν πόλιν καὶ D τὸν πύργον, ὃν ᾠκοδόμουν οἱ υἱοὶ τῶν ἀνθρώπων. ὅρα πῶς ἀνθρωπίνως ἡ γραφὴ διαλέγεται. καὶ κατέβη, φησὶ, κύριος ὁ θεός. οὐχ ἵνα ἀνθρωπίνως νοήσωμεν, ἀλλ᾽ ἵνα διὰ τούτου παιδευώμεθα μηδέποτε καταψηφίζεσθαι ἁπλῶς τῶν ἀδελφῶν τῶν ἡμετέρων, μήτε ἐξ ἀκοῆς καταδικάζειν, ἐὰν μὴ πρότερον πολλὴν δεξώμεθα τὴν πληροφορίαν. πάντα γὰρ τὰ παρὰ τοῦ θεοῦ διὰ τοῦτο γίνεται, καὶ τοσαύτῃ κέχρηται τῇ συγκαταβάσει πρὸς διδασκαλίαν τῆς τῶν ἀνθρώπων φύσεως. καὶ κατέβη, φησὶ, κύριος ὁ θεὸς ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον.

A ὅρα αὐτὸν οὐκ ἐκ προοιμίων ἀναστέλλοντα αὐτῶν τὴν μανίαν, ἀλλὰ πολλῇ τῇ μακροθυμίᾳ κεχρημένον, καὶ ἀναμένοντα εἰς ἔργον αὐτοὺς ἀγαγεῖν τὴν πονηρίαν ἅπασαν, καὶ τότε ἐκκόψαι τὴν ἐπιχείρησιν. ἵνα γὰρ μή τινι ἐξῇ λέγειν, ὅτι ἐβουλεύσαντο μὲν, οὐκ ἤγαγον δὲ εἰς ἔργον τὰ δόξαντα, ἀναμένει πληρῶσαι αὐτοὺς τὰ βουληθέντα, καὶ τότε δεῖξαι αὐτοῖς ὡς ἀνονήτοις ἐπιχειροῦσι. καὶ κατέβη, φησὶ, κύριος ὁ θεὸς ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων. ὅρα φιλανθρωπίας ὑπερβολήν. συνεχώρησε καμεῖν αὐτοὺς καὶ ταλαιπωρηθῆναι, ἵνα τῶν πραγμάτων ἡ πεῖρα διδάσκαλος αὐτοῖς γένηται. B καὶ ἐπειδὴ εἶδεν ἀκμάζουσαν τὴν κακίαν, καὶ τὴν νόσον ἐπιτεινομένην, οὐκ εἰς τέλος ἀφίησιν, ἀλλὰ τὴν οἰκείαν ἐνδεικνύμενος ἀγαθότητα, καθάπερ ἰατρὸς ἄριστος, ὁρῶν αὐτῶν αὐξανομένην τὴν νόσον, καὶ τὸ ἕλκος ἀνίατον γινόμενον, ταχεῖαν ποιεῖται τὴν τομὴν, ἵνα παντελῶς ἀφανίσῃ τὴν αἰτίαν τῆς νόσου. καὶ εἶπε, φησι, κύριος ὁ θεός· ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων, ἀντὶ τοῦ, φωνὴ μία καὶ γλῶσσα μία. καὶ τοῦτο ἤρξαντο ποιῆσαι, καὶ νῦν οὐκ ἐκλείψει ἀπ᾽ αὐτῶν, ὅσα ἂν ἐπιθῶνται ποιεῖν. C ὅρα δεσπότου φιλανθρωπίαν. ἐπειδὴ μέλλει τὴν ὁρμὴν αὐτῶν ἐκκόπτειν, ἀπολογίαν πρότερον συντίθησι, καὶ μονονουχὶ δείκνυσιν αὐτῶν τῆς ἁμαρτίας τὸ μέγεθος, καὶ τῆς ἀγνωμοσύνης τὴν ὑπερβολὴν, καὶ ὅτι τῇ συμφωνίᾳ οὐκ εἰς δέον ἐχρήσαντο. ἰδοὺ γὰρ, φησι, γένος ἓν καὶ χεῖλος ἓν πάντων. καὶ τοῦτο ἤρξαντο ποιῆσαι· καὶ νῦν οὐκ ἐκλείψει ἀπ᾽ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιεῖν. τοῦτο γὰρ ἔθος αὐτῷ, ἐπειδὰν μέλλῃ τιμωρίαν ἐπάγειν, πρότερον δεικνύναι τῶν ἡμαρτημένων τὸ μέγεθος, καὶ ὥσπερ ἀπολογίαν τινὰ συντιθέναι, καὶ τότε ποιεῖσθαι τὴν διόρθωσιν. D καὶ γὰρ ἐπὶ τοῦ κατακλυσμοῦ, ἡνίκα ἤμελλε τὴν ἀπειλὴν ἐκείνην τὴν φοβερὰν ποιεῖσθαι, φησὶν ἡ γραφή· ἰδὼν δὲ κύριος ὁ θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. εἶδες πῶς πρότερον ἔδειξε τῆς κακίας αὐτῶν τὴν ὑπερβολὴν, καὶ τότε φησὶν, ἀπαλείψω τὸν ἄνθρωπον; οὕτω καὶ νῦν. ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων, καὶ τοῦτο ἤρξαντο ποιῆσαι.

Vide quomodo non ſtatim ab initio illorum reprimit inſaniam, ſed longanimi lenitate vtitur, & expectat donec malitiam ſuam opere declarent, & tunc conatus eorum impedit. Ne enim quis dicere poſſit, deliberaſſe quidem illos, ſed quæ decreuerant, in opus non deduxiſſe; præſtolatur donec animo deſtinatum opus aggrediantur, & tunc monſtrat eis quàm inutilia attentarint. Deſcendit, inquit, dominus Deus, vt videret ciuitatem ac turrim quam ædificabant filij hominum. Vide miſericordiæ excellentiam: permiſit illos laboribus ſeſe affligere; vt rerum experientia præceptoris loco illis eſſet. Et quoniam vidit malitiam inualeſcere, & morbum incrudeſcere, non vſque ad finem permittit; ſed ſuam declarat bonitatem: quemadmodum medicus bonus videns morbum augeri, & vlcus incurabile fieri, ſtatim ſectione vtitur, vt omnem morbi cauſam aboleat.
6 *Et dixit*, inquit, *dominus Deus, ecce genus vnum, & labium vnum omnium:* hoc eſt, vox vna & lingua vna. *Et hoc cœperunt facere, & nunc non ceſſabunt ab iis quæ decreuerunt facere.* Attende domini miſericordiam. Quoniam conatus impediturus erat, primùm defenſionem conficit; & quaſi oſtendit peccati eorum magnitudinem, & ingratitudinis excellentiam, & quòd abuſi ſunt linguæ & vocis vnitate. Ecce enim, inquit, genus vnum & labium vnum omnium. Et hoc cœperunt facere; & nunc non ceſſabunt ab iis quæ decreuerunt facere. Hic enim Dei mos eſt, vt puniturus prius indicet quàm magna ſint peccata, & veluti defenſionem aliquam componat ac tunc tandem corripere incipiat. Nam & cùm terribile illud diluuium interminaretur, dicit ſcriptura: Vt autem vidit Deus, quòd multiplicatæ ſunt malitiæ hominum, & vnuſquiſque cogitat in corde ſuo diligenter in mala à iuuentute, delebo inquit, hominem. Vidiſti quomodo prius monſtrauit malitiæ eorum excellentiam, & poſtea dicit: Delebo hominem? ita & nunc: Ecce genus vnum, & labium vnum omnium, & hoc cœperunt fa-

Solet Deus admonere antequam puniat.

A Si in tanta concordia, & linguæ vnitate in tantam inciderunt inſaniam: vbi tempus proceſſerit, quomodo non deteriora attentabunt? Non ceſſabunt enim ab his quę decreuerunt vt faciant: nihil eorum impetum & ardorem morari poterit, ſed omnia quæ ſtatuerunt ſecum, ſtudebunt perficere, ni ſtatim pro attẽtatis pœnam luant. Id quoque inueniet aliquis & de protoplaſto factum eſſe. Eiecturus enim illum Deus à paradiſi incolatu, agè, inquit, quis annunciauit tibi quòd nudus eſſes? & iterũ:
Gen. 3. 22. Ecce Adam factus eſt quaſi vnus ex B nobis, vt ſciat bonum & malum. Et nunc ne fortè extendat manũ ſuã, & accipiat de ligno vitæ, & comedat, & viuat in ſeculum. Et emiſit illum Dominus de paradiſo. Etiã nunc inquit: Ecce genus vnum & labium vnum omnium, & hoc cœperunt facere, & nunc non ceſſabũt ab iis quæ decreuerunt facere.[7] *Venite, & cum deſcenderimus, cõfundamus illorum linguas, vt ne audiat vnuſquiſque vocẽ proximi.* Vide iterum verborum humilitatem. Venite, inquit, & cùm deſcenderimus: quid volunt ſibi verba hæc? O- C púſne habet cooperatione Dominus ad correctionẽ, & ſubſidio ad illorum deſtructionem? Abſit. Sed ſicut iam dixit ſcriptura: Deſcẽdit Dominus: docens nos per hoc quòd euidenter malitiæ illorum vidit excellentiã: ita & hîc dicit: Venite, & cùm deſcẽderimus. Dictum eſt ceu ad honore pares. Venite, inquit, & cùm deſcenderimus, confundamus illorum linguas, vt ne audiat vnuſquiſque vocẽ proximi. Pœna hac quaſi perpetua nota ſugillabo illos, quæ eos omni ſeculo comitabitur, neque huius vllo tẽpo- D re obliuiſcãtur. Nam quia abuſi ſunt vocis vnitate, ideo vocis diuerſitate caſtigari eos volo. Sic enim vbique facere conſueuit Dominus. Hoc ab initio & in muliere factum eſt. Abutebatur honore conceſſo, vnde ſubiecta eſt viro. Et ſimiliter Adæ contigit: quia enim ex multa proſperitate, paradiſíque incolatu nihil lucrifecit, ſed præuaricando pœnæ obnoxius eſt factus, eiecit eum ex paradiſo, & pœnam ei perpetuam iniunxit, dicens: Spinas & tribulos germinabit tibi terra.

A Εἰ ὁμονοίας τοσαύτης ἀπολαύοντες καὶ ὁμοφωνίας πρὸς τοσαύτην ἐξώκειλαν μανίαν, τοῦ χρόνου προϊόντος πῶς οὐχὶ χείρονα διαπράξονται; οὐκ ἐκλείψει γάρ, φησιν, ἀπ' αὐτοῦ πάντα, ὅσα ἂν ἐπιθῶνται ποιεῖν. οὐδὲν αὐτῶν τὴν ὁρμὴν ἐπισχεῖν δυνήσεται, ἀλλὰ πάντα τὰ βουλευθέντα αὖθις εἰς ἔργον ἀγαγεῖν σπουδάσουσιν, εἰ μὴ ταχέως ὑπὲρ τῶν ἤδη τολμηθέντων δίκην δώσωσι. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πρωτοπλάστου γεγονὸς εὑρήσει τις. καὶ γὰρ ἐκεῖ, ἡνίκα ἤμελλεν ἐκβάλλειν τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς, φησι, τίς ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ; καὶ πάλιν, ἰδοὺ γέγονεν Ἀδὰμ, ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώ- B σκειν καλὸν καὶ πονηρόν. καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα, καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου. καὶ νῦν φησιν, ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων. καὶ τοῦτο ἤρξαντο ποιῆσαι· καὶ νῦν οὐ μὴ ἐκλείψῃ ἐξ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιεῖν. δεῦτε, καὶ καταβάντες συγχέωμεν αὐτῶν ἐκεῖ τὴν γλῶτταν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τῆς φωνῆς τοῦ πλησίον. ὅρα πάλιν τῶν λέξεων τὴν συγκατάβασιν. δεῦτέ, φησι, καὶ καταβάντες. τί βούλεται ταῦτα τὰ ῥήματα; συνερ- C γείας δεῖται ὁ δεσπότης πρὸς τὴν διόρθωσιν; ἀλλὰ συμμαχίας πρὸς τὴν τούτων καθαίρεσιν; οὐχὶ, μὴ γένοιτο. ἀλλὰ καθάπερ ἤδη εἶπεν ἡ γραφὴ, κατέβη κύριος, διδάσκουσα ἡμᾶς διὰ τούτου, ὅτι μετ' ἀκριβείας αὐτῶν εἶδε τῆς κακίας τὴν ὑπερβολὴν, οὕτω καὶ ἐνταῦθά φησι, δεῦτε, καὶ καταβάντες. ὡς πρὸς ὁμοτίμους γὰρ πάντως ἐστὶ τουτὶ τὸ εἰρημένον, δεῦτε, καὶ καταβάντες συγχέωμεν αὐτῶν τὴν γλῶτταν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τῆς φωνῆς τοῦ πλησίον. καθάπερ, φησὶ, στήλην τινὰ διηνεκῆ, τοιαύτην αὐτοῖς ἐπιτίθημι τὴν τιμωρίαν, καὶ ἵνα παντὶ τῷ D αἰῶνι συμπαρεκτείνηται, καὶ μηδεὶς χρόνος λήθην αὐτοῖς ἐμποιήσῃ. ἐπειδὴ γὰρ οὐ δεόντως ἐχρήσαντο τῇ ὁμοφωνίᾳ, διὰ τῆς ἑτεροφωνίας αὐτοὺς σωφρονισθῆναι βούλομαι. καὶ γὰρ οὕτως ἑκάστοτε εἴωθε ποιεῖν ὁ δεσπότης. τοῦτο ἐξ ἀρχῆς καὶ ἐπὶ τῆς γυναικὸς ἐποίησεν. οὐκ εἰς δέον ἐχρήσατο τῇ δοθείσῃ τιμῇ, καὶ διὰ τοῦτο ὑπέταξεν αὐτὴν τῷ ἀνδρί. καὶ πάλιν ἐπὶ τοῦ Ἀδὰμ, ἐπειδὴ μὴ ἐκέρδανέ τι ἐκ τῆς πολλῆς ἀνέσεως, καὶ τῆς ἐν τῷ παραδείσῳ διαίτης, ἀλλὰ διὰ τῆς παραβάσεως τῷ ἐπιτιμίῳ ἑαυτὸν ὑπεύθυνον κατέστησεν, ἐξέβαλεν αὐτὸν ἐκ τοῦ παραδείσου, καὶ τὴν τιμωρίαν αὐτῷ ἐπέθηκε διηνεκῆ, λέγων·

ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι ἡ γῆ. καὶ οὗτοι τοίνυν ἐπεὶ τιμηθέντες τῇ ὁμοφωνίᾳ, εἰς κακίαν ἐχρήσαντο τῇ δοθείσῃ τιμῇ, διὰ τῆς ἑτεροφωνίας ἵστησιν αὐτῶν τῆς κακίας τὴν φοράν. καὶ συγχέωμεν αὐτῶν, φησί, τὴν γλῶτταν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τῆς φωνῆς τοῦ πλησίον. ἵνα ὥσπερ ἡ ὁμοφωνία τὴν συνοίκησιν εἰργάζετο, οὕτως ἡ διαίρεσις τῆς φωνῆς τὴν διασπορὰν αὐτοῖς κατασκευάσῃ. οἱ γὰρ μὴ τὴν αὐτὴν ἔχοντες φωνὴν καὶ διάλεξιν, πῶς ἂν ἠδυνήσαντο κατὰ ταὐτὸν οἰκεῖν; καὶ διέσπειρεν αὐτούς, φησί, κύριος ὁ θεὸς ἐκεῖθεν ἐπὶ προσώπου πάσης τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον. ὅρα δεσπότου φιλανθρωπίαν, εἰς ὅσην αὐτοὺς ἐνέβαλεν ἀμηχανίαν. καὶ γὰρ μαινομένοις λοιπὸν ἐοίκασιν. ὁ μὲν ἐπέταττεν ἕτερον, ὁ δὲ ἕτερον ἐπεδίδου· καὶ ἀνόνητος αὐτοῖς λοιπὸν ἦν πᾶσα ἡ ἐπιχείρησις. διὸ καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς, σύγχυσις· ὅτι ἐκεῖ συνέχεε κύριος ὁ θεὸς τὰ χείλη πάσης τῆς γῆς. καὶ ἐκεῖθεν διέσπειρεν αὐτοὺς κύριος ὁ θεὸς ἐπὶ πάσης τῆς γῆς. σκόπει πόσα γίνεται, ὥστε τὴν μνήμην παντὶ τῷ αἰῶνι συμπαρεκτείνεσθαι. πρῶτον μὲν ἡ τῶν γλωσσῶν διαίρεσις, μᾶλλον δὲ καὶ πρὸ τούτου ἡ τοῦ ὀνόματος προσηγορία. τὸ Φαλὲκ γὰρ ὄνομα, ὅπερ ὁ Ἔβερ ἐπέθηκε τῷ παιδί, μερισμὸν σημαίνει. ἔπειτα ἡ τοῦ τόπου προσηγορία. σύγχυσις γὰρ ὁ τόπος ὠνομάσθη, ὅπερ ἐστὶ Βαβυλών. ἔπειτα αὐτὸς ὁ Ἔβερ ἔμεινε τὴν αὐτὴν ἔχων διάλεξιν, ἥνπερ καὶ πρότερον, ἵνα καὶ τοῦτο σημεῖον ἐναργὲς γένηται τῆς διαιρέσεως. εἶδες διὰ πόσων ἠβουλήθη διηνεκῆ τὴν μνήμην διασώζεσθαι, καὶ μηδέποτε λήθῃ παραδοθῆναι τὸ τότε γεγενημένον; καὶ γὰρ ἐκείνου λοιπὸν πατὴρ παιδὶ ἀνάγκην εἶχε τὴν αἰτίαν λέγειν τῆς ἑτεροφωνίας, καὶ παῖς παρὰ πατρὸς μανθάνειν ἐζήτει τῆς τοῦ τόπου προσηγορίας τὴν αἰτίαν. Βαβυλὼν γὰρ διὰ τοῦτο ὁ τόπος ὠνομάσθη, ὅπερ ἐστὶ σύγχυσις, ὅτι ἐκεῖ συνέχεε κύριος ὁ θεὸς τὰ χείλη πάσης τῆς γῆς, καὶ ἐκεῖθεν διέσπειρεν αὐτούς. ἀμφότερα ἡ τοῦ τόπου προσηγορία σημαίνειν μοι δοκεῖ, καὶ ὅτι τὰς γλώττας συνέχεε, καὶ αὐτόθεν τὴν διασπορὰν ὑπέμειναν. ἠκούσατε, ἀγαπητοί, πόθεν αὐτοῖς ἡ τῆς διασπορᾶς ὑπόθεσις γέγονε, καὶ τῶν γλωττῶν ἡ διαίρεσις. φύγωμεν, παρακαλῶ, τὴν μίμησιν, καὶ τοῖς παρὰ τοῦ θεοῦ παρεχθεῖσιν ἡμῖν εἰς δέον χρησώμεθα, καὶ τὴν φύσιν τὴν ἀνθρωπίνην ἐννοοῦντες οὕτω βουλευώμεθα, ὡς εἰκὸς ἀνθρώπους βουλεύσασθαι θνητοὺς τυγχάνοντας.

A Hi quoque honore pares, & eiuſdem linguæ, honore conceſſo in malum abuſi, quam grauiter peccarint, ex linguarum varietate ſunt experti. Et confundamus illorum, inquit, linguam, vt ne audiat vnuſquiſque vocem proximi. Vt ſicut linguæ vnitas cohabitationem fecit, ita linguæ diuerſitas diſpergat. Nam quibus non eſt idem ſermo & lingua, quomodo cohabitare poſſunt? [8] *Et diſperſit illos,* inquit, *dominus Deus ab illo loco ſuper faciem vniuerſæ terræ, & ceſſauerunt ædificantes ciuitatem & turrim.* Conſidera domini miſericordiam, in quantam B animi hæſitationem ipſos impulit. Amentibus enim poſtea ſimiles fuerunt. Et ille quidem imperabat hoc, & alius ſuppeditabat aliud, inutilíſque fuit omnis illorum conatus: ideo ceſſauerunt etiam ædificare ciuitatem & turrim. [9] *Et idcirco vocatum eſt nomen illius confuſio, quia illic confudit dominus Deus labia omnis terræ.* Vide quot res fiunt, vt memoria huius facti in omnia ſecula producatur. Primùm linguarum fit diuiſio, imò ante hoc nominis appellatio. C Phalec enim nomen, quòd Heber puero impoſuit, partitionem ſignificat: deinde loci agnominatio: confuſio enim vocatus eſt, id quod Babylon ſonat. Poſtremùm Heber ipſe manſit idem ſeruans idioma, quod & antea habebat, vt manifeſtum diuiſionis huius ſignum foret. Vidiſti per quot res immortalem nullâque obliuione delendam huius facti memoriam ſeruari voluerit? Hinc enim pater filio poſtea cogebatur dicere cauſam tam diuerſæ vocis. Et puer à patre diſcebat quare Babylon à confuſione no- D men ſortita fuerit, nempe quod illic dominus Deus confudit labia vniuerſæ terræ, & ab illo loco diſperſit illos. Nam vtrunque loci appellatio mihi ſignificare videtur, & quod linguas confudit, & inde diſperſio orta ſit. Audiuiſtis dilecti, vnde diſperſionis varietatíſque linguarum orta ſit cauſa. Fugiamus obſecro, ne hos imitemur: & iis quæ nobis Deus conceſſit, ne abutamur: & naturam humanam conſiderantes, ea conſultemus quæ homines deceant, qui mortales ſint:

Babylon vnde nomen acceperit.

& conſidera præſentis vitæ fragilitatem, quia breue eſt tempus vitæ noſtræ, reponamus & theſaurizemus prius fiduciam, operando bona opera. Et non ſolum per hos dies ſeruemus ieiunij feruorem, ſed etiam eleemoſynæ largitatem, & precum continentiam. Etenim ieiunio preces ſemper coniunctas eſſe oportet. Et quod hoc verum ſit, audi
Matth. 17. & Marc. 9. Chriſtum dicentem: Hoc genus dæmoniorum non egreditur niſi in
Act. 14. precatione & ieiunio. Et iterum de
1.Cor.7. apoſtolis dicitur: Nam cùm oraſſent, inquit, & ieiunaſſent, commendauerunt eos domino, in quem crediderant. Et iterum inquit Apoſtolus: Ne fraudetis inuicem, niſi in precatione & ieiunio. Vidiſti quomodo ieiunium hoc ſubſidio indigeat? Tunc enim potiſſimùm preces cum attentione fiunt, cùm expeditor eſt mens noſtra, neque grauata, neque malo deliciarum onere preſſa fuerit. Magna arma ſunt preces, magna ſecuritas, magnus theſaurus, magnus portus, refugij locus, modo ſobrij & vndequaque mente noſtra collecta, inimicóque noſtræ ſalutis nullo aditu permiſſo, dominum adeamus. Scit enim inimicus noſter, quod per tempus illud poſſumus de iis quæ ad noſtram ſalutem attinent, loqui, & peccata confiteri, & vulnera medico oſtendere, & ſanitatem conſequi: ideo maximè tunc obſiſtit, omniáque facit & tractat, vt nos ſupplantet, negligentéſque faciat. Proinde ſobrij ſimus obſecro, & ſcientes illius inſidias, maximè tempore iſto operam demus, vt illi, quaſi præſentem illum, & ante oculos ſtantem videntes, obluctemur: & cogitationem omnem, quæ nos interturbare poſſit, repellamus: totíque nitamur ita loqui, vt non ſolum verba, ſed & mens verborum comes ad Deum accedant. Nam ſi lingua quidem proferat verba, mens autem foris ſit, ſua tractans negocia, & imaginans quæ in foro agantur, nulla nobis vtilitas eſt, fortaſſis autem & maior condemnatio. Enimuerò ſi cùm homines accedimus, tam intenti ſumus, vt propè ſtantes ſæpe numero non videamus, ſed colligimus mentem,

A καὶ λογιζόμενοι τοῦ παρόντος βίου τὸ ἐπίκηρον, καὶ ὡς βραχὺς ὁ τῆς ζωῆς ἡμῶν χρόνος, πολλὴν ἑαυτοῖς παῤῥησίαν προαποθώμεθα διὰ τῆς τῶν ἀγαθῶν πράξεων ἐργασίας· καὶ μὴ μόνον τῆς νηστείας τὴν ἐπίτασιν κατὰ τὰς ἡμέρας ταύτας ἐπιδειξώμεθα, ἀλλὰ καὶ ἐλεημοσύνης δαψίλειαν καὶ προσευχὰς ἐκτενεῖς. καὶ γὰρ τῇ νηστείᾳ τὴν προσευχὴν ἀεὶ συνεζεῦχθαι δεῖ. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἄκουε τοῦ Χριστοῦ λέγοντος· τοῦτο τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. καὶ πάλιν ἐπὶ τῶν ἀποστόλων, προσευξάμενοι γὰρ, φησὶ, καὶ νηστεύσαντες παρέθεντο αὐτοὺς τῷ κυρίῳ, εἰς ὃν πε-
B πιστεύκεισαν. καὶ πάλιν ὁ ἀπόστολος, μὴ ἀποστερεῖτε, φησὶν, ἀλλήλους, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. εἶδες πῶς δεῖται τῆς ἐντεῦθεν συμμαχίας ἡ νηστεία. τότε γὰρ μάλιστα καὶ μετὰ νήψεως αἱ προσευχαὶ γίνονται, κουφοτέρας τῆς διανοίας τυγχανούσης, καὶ οὐδενὶ βαρυνομένης, οὐδὲ ὑπὸ τοῦ πονηροῦ τῆς τρυφῆς φορτίου πιεζομένης. μέγα γὰρ ὅπλον ἡ εὐχὴ, μεγάλη ἀσφάλεια, μέγας θησαυρὸς, μέγας λιμὴν, ἄσυλον χωρίον· μόνον ἐὰν νήφοντες προσίωμεν τῷ δεσπότῃ, καὶ πανταχόθεν συνάγοντες ἑαυτῶν τὴν διάνοιαν, οὕτω τὴν πρόσοδον
C ποιώμεθα, μηδεμίαν παρείσδυσιν διδόντες τῷ ἐχθρῷ τῆς σωτηρίας τῆς ἡμετέρας. ἐπεὶ γὰρ οἶδεν, ὅτι κατὰ τὸν καιρὸν ἐκεῖνον δυνάμεθα περὶ τῶν συνεχόντων ἡμᾶς διαλεχθέντες, καὶ τὰ ἡμαρτημένα ἐξαγορεύσαντες, καὶ τὰ τραύματα τῷ ἰατρῷ δείξαντες, πολλῆς ἐπιτυχεῖν τῆς θεραπείας, τότε μάλιστα ἐφίσταται καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε ἐκκροῦσαι ἡμᾶς καὶ εἰς ῥᾳθυμίαν ἐμβαλεῖν. διὸ νήφωμεν, παρακαλῶ, καὶ εἰδότες αὐτοῦ τὰς ἐπιβουλὰς, μάλιστα κατὰ τὸν καιρὸν ἐκεῖνον σπουδάζωμεν, ὡσανεὶ παρόντα καὶ πρὸ τῶν ὀφθαλμῶν ἡμῶν ἑστῶ-
D τα ὁρῶντες, οὕτως αὐτὸν διακρούεσθαι, καὶ πάντα λογισμὸν διαταράττοντα ἡμῶν τὴν διάνοιαν ἀπωθεῖσθαι, καὶ ὅλους ἑαυτοὺς συντείνειν, καὶ ἀκριβῆ ποιεῖσθαι τὴν ἔντευξιν, ἵνα μὴ μόνον ἡ γλῶττα φθέγγηται, ἀλλὰ καὶ ἡ διάνοια συμβαίνῃ τοῖς λεγομένοις. ἐὰν γὰρ ἡ γλῶττα μὲν προφέρῃ τὰ ῥήματα, ἡ δὲ διάνοια ἔξω ῥέμβηται, τὰ κατὰ τὴν οἰκίαν περισκοποῦσα, τὰ κατὰ τὴν ἀγορὰν φανταζομένη, οὐδὲν ἡμῖν ὄφελος ἔσται· τάχα δὲ καὶ πλείων ἡ κατάκρισις. εἰ γὰρ ἀνθρώπῳ προσιόντες τοσαύτην ἐπιδεικνύμεθα τὴν σπουδὴν, ὡς μηδὲ τοὺς πλησίον παρεστῶτας πολλάκις ὁρᾶν, ἀλλὰ συντείνειν ἑαυτῶν τὴν διάνοιαν,

κἀκεῖνον

κἀκεῖνον μόνον φαντάζεσθαι, ᾧ προσιόμεν. A πολλῷ μᾶλλον ἐπὶ τοῦ θεοῦ τοῦτο ποιεῖν ἡμᾶς χρή, καὶ συνεχῶς καὶ ἀδιαλείπτως ταῖς προσευχαῖς προσκαρτερεῖν. διὰ γὰρ τοῦτο καὶ Παῦλος γράφων ἔλεγε, προσευχόμενοι ἐν παντὶ καιρῷ, προσεύχεσθε καὶ ἐν πνεύματι· μὴ γλώσσῃ μόνον καὶ μετ᾽ ἀγρυπνίας διηνεκοῦς, φησιν, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ψυχῇ, ἐν πνεύματι. πνευματικὰ γάρ, φησιν, ἔστω ὑμῶν τὰ αἰτήματα, νηφέτω ὁ λογισμός, συντεινέσθω ἡ διάνοια τοῖς λεγομένοις, τοιαῦτα αἰτεῖσθε, οἷα εἰκὸς παρὰ τοῦ θεοῦ αἰτεῖν, ἵνα καὶ τῶν αἰτουμένων ἐπιτύχητε· καὶ εἰς αὐτὸ ἀγρυπνῆ- B τε διεγηγερμένοι, νήφοντες, ἐγηγερότες τὴν διάνοιαν, μὴ χασμώμενοι, καὶ κνώμενοι, καὶ ὧδε κἀκεῖσε τὸν λογισμὸν περιαγόμενοι, ἀλλὰ μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. μακάριος γάρ, φησιν, ὃς καταπτήσσει πάντα δι᾽ εὐλάβειαν. μέγα ἀγαθὸν ἡ εὐχή. εἰ γὰρ ἀνθρώπῳ τις διαλεγόμενος ἐναρέτῳ οὐ μικρὰν ἐξ αὐτοῦ καρποῦται τὴν ὠφέλειαν, ὁ θεῷ διαλέγεσθαι καταξιωθεὶς πόσων οὐκ ἀπολαύσεται τῶν ἀγαθῶν; ἡ γὰρ εὐχὴ διάλεξίς ἐστι πρὸς τὸν θεόν. C καὶ ἵνα μάθῃς, ἄκουε τοῦ προφήτου λέγοντος, ἡδυνθείη τῷ θεῷ ἡ διαλογή μου, τουτέστιν, ἡ διάλεξίς μου ἡδεῖα φανείη τῷ θεῷ. μὴ γὰρ καὶ πρὶν αἰτήσωμεν, οὐκ ἠδύνατο παρασχεῖν; ἀλλὰ διὰ τοῦτο ἀναμένει, ἵνα ἀφορμὴν λάβῃ παρ᾽ ἡμῶν τοῦ δικαίως ἡμᾶς ἀξιοῦν τῆς παρ᾽ αὐτοῦ προνοίας. κἂν ἐπιτύχωμεν τοίνυν τῶν αἰτηθέντων, κἂν μὴ ἐπιτύχωμεν, παραμένωμεν τῇ αἰτήσει, καὶ μὴ μόνον ἐπιτυγχάνοντες εὐχαριστῶμεν, ἀλλὰ καὶ ἀποτυγχάνοντες. τὸ γὰρ ἀποτυχεῖν, ὅταν ὁ θεὸς βούληται, οὐκ ἔλαττόν ἐστι τοῦ ἐπιτυχεῖν. D οὐδὲ γὰρ ἴσμεν ἡμεῖς τὰ συμφέροντα ἡμῖν οὕτως, ὡς αὐτὸς ἐπίσταται. ὥστε οὖν, κἂν ἐπιτύχωμεν, κἂν ἀποτύχωμεν, εὐχαριστεῖν ὀφείλομεν. καὶ τί θαυμάζεις εἰ ἡμεῖς οὐκ ἴσμεν τὰ συμφέροντα; Παῦλος, ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ τῶν ἀπορρήτων ἐκείνων ἀξιωθεὶς ἠγνόει, τὰ μὴ συμφέροντα αἰτῶν. ἐπεὶ γὰρ ἑώρα ἑαυτὸν κυκλούμενον ὑπὸ τῶν δεινῶν καὶ τῶν ἐπαλλήλων πειρασμῶν, ηὔξατο τούτων ἀπαλλαγῆναι, καὶ οὐχ ἅπαξ οὐδὲ δεύτερον, ἀλλὰ καὶ πολλάκις. τρίτον γάρ, φησι, τὸν κύριον παρε-

& ad eum ſolum ſpectamus ad quem accedimus : quantò magis apud Deum idem facere continuò, & iugiter precibus inſiſtere congruit? Propter hoc & Paulus ſcribens, dicebat : Orantes in omni tempore, orate & in ſpiritu : non lingua tantum, & cum perpetua, inquit, vigilantia, ſed & in ſpiritu. Spirituales enim, inquit, ſint veſtræ petitiones, ſobria ſit ratio, & iis quæ dicuntur mens intendat. Talia petite, qualia à Deo petere conuenit, vt & petita obtineatis. Et in illud incumbentes, & toti experfacti, ſobrij, & mente ſolliciti, non oſcitantes, & vt ſomniculoſorum mos eſt, vos fricantes, & hinc & inde mentem vertentes: ſed magno timore & tremore ſalutem veſtram operemini. Beatus enim, qui propter reuerentiam metuit omnia. Magnum bonum ſunt preces. Nam ſi homini quis loquatur virtute prædito, non paruum inde fructum percipit: quantis bonis fruetur is, cui cum Deo colloquium fuerit? Oratio enim colloquium eſt cum Deo. Quod vt ſcias, audi prophetam dicentem : Iucundum ſit Deo eloquium meum: hoc eſt, ſermo meus appareat Deo. An non enim præſtare poteſt priuſquam petamus? Verùm propter hoc differt & expectat, vt occaſionem accipiat, qua iuſtè nos ſua cura dignos faciat. Siue autem conſequamur quod petimus, ſiue non conſequamur, perſeueremus ſemper in oratione. Et non ſolum gratias agamus ſi conſequamur, ſed etiam ſi repulſam paſſi fuerimus. Nam cùm Deus aliquid nobis denegat, non minus eſt quàm ſi conceſſiſſet. Neſcimus enim nos, quæ nobis conducant, ſicut ipſe nouit. Itaque ſiue voti compotes, ſiue impotes ſimus, gratias agere debemus. Et quid miraris, ſi nos neſcimus quid nobis proſit? Paulus talis & tantus, qui ineffabilia illa conſecutus fuit, ignorabat, & quæ non expediebant precabatur. Nam quia videbat ſe tot moleſtiis cingi, ac circundari crebris tentationibus, orabat vt ab eis liberaretur: ídque non ſemel, neque iterum, ſed & ſæpius. Tertiò enim, inquit, dominum

Ad Eph. 6.

Pſal. 103. 34.

rogaui. Tertiò autem, vocauit ſæpe A

2.Cor.12 & non impetrauit. Videamus ergo quomodo affectus fuerit. Num grauatim tulit? num ſegnior fuit? num langueſcebat? Non. Sed quid inquit? Dixit, ſufficit tibi gratia

2.Cor.12 mea. Virtus enim mea in infirmitate perficitur. Non ſolum non liberauit illum præſentibus malis, ſed in ipſis perſeuerare permiſit. Eſto: vnde autem manifeſtum quod non tulit grauiter? Audi ipſum qui dicit, poſtquam didicit hoc probari domino: Volupè igitur gloriabor in infirmitatibus meis. Non ſolùm, inquit, poſtea liberari non requiro, B ſed & magna voluptate gloriabor in illis. Vidiſti gratam animam? Vidiſti eius in Deum amorem? Audi etiam dicentem: Quid enim precemur vt oportet, neſcimus. Impoſſibile, inquit, eſt, cum nos ho-

Rom.8. 26. mines ſimus, omnia certò ſcire. Relinquendum ergo hoc eſt omnium conditori, ſumendáque ſunt cum gaudio & voluptate quæcunque ipſe voluerit: nec ſpectandum ad ſpeciem eorum quæ fiunt, ſed quid acceptum ſit domino. Qui enim magis C ſcit quid nobis proſit, quàm ipſi nos, ipſe nouit, quomodo ſalus noſtra paranda. Noſtrum ergo ſit opus, continuis inſiſtere precibus, & non ægrè ferre ſi differatur quod petimus, ſed longanimes eſſe. Neque enim renuens preces noſtras differt: ſed hac arte ſedulos nos efficiens, ad ſemetipſum attrahere vult. Nam & pater quamuis benignus, cùm à puero rogatur, abnuit, quaſi non volens dare: non vt neget, ſed vt ardentius petat, & ipſi magis concilietur. Hæc itaque legentes, non deſperemus, D non deficientes accedamus ad eum,

Luc. 18. 2. & preces dicamus. Equidem cùm crudelem & inhumanum illum iudicem, qui neque Deum timebat, neque homines reuerebatur, mulieris ſedulitas coëgit, & prouocauit, vt ſibi ſuccurreret: quantò magis nos ſi voluerimus illam imitari mulierem, ad opitulandum nobis prouocabimus manſuetum & miſericordem noſtrum dominum, compatientem, & ad ſaluandum nos occurrentem? Diſcamus ergo vt ipſi à precibus auelli nequeamus, ſed per-

καλέσαι. τὸ δὲ τρίτον, πολλάκις παρεκάλεσε, καὶ οὐκ ἐπέτυχεν. ἴδωμεν οὖν πῶς διετέθη. ἆρα μὴ ἐδυσχέρανεν; ἆρα ὀκνηρότερος γέγονεν; ἆρα ἐνάρκησεν; οὐχί. ἀλλὰ τί φησιν; εἶπεν, ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. οὐ μόνον οὐκ ἠλευθέρωσεν αὐτὸν τῶν ἐπικειμένων λυπηρῶν, ἀλλὰ καὶ ἐναπομένειν αὐτὸν εἴασε. ναί, ἀλλὰ πόθεν δῆλον ὅτι οὐκ ἐδυσχέρανεν; ἄκουε Παύλου λέγοντος, ἐπειδὴ ἔμαθε τὰ δοκοῦντα τῷ δεσπότῃ· ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου. οὐ μόνον, φησί, λοιπὸν ἀπαλλαγῆναι οὐκ ἐπιζητῶ, ἀλλὰ καὶ μετὰ πλείονος τῆς ἡδονῆς καυχήσομαι ἐπὶ τούτοις. εἶδες εὐγνώμονα ψυχήν; εἶδες πόθον τὸν περὶ τὸν θεόν; ἄκουσον αὐτοῦ λέγοντος· τὸ γὰρ τί προσευξόμεθα, καθὸ δεῖ, οὐκ οἴδαμεν. οὐχ οἷόν τε, φησιν, ἀνθρώποις ἡμᾶς ὄντας εἰδέναι πάντα ἀκριβῶς. δεῖ οὖν παραχωρεῖν τῷ δημιουργῷ τῆς ἡμετέρας φύσεως, κἀκεῖνα μετὰ χαρᾶς δέχεσθαι καὶ πολλῆς τῆς ἡδονῆς, ἅπερ αὐτὸς δοκιμάσει, καὶ μὴ πρὸς τὴν ὄψιν τῶν γινομένων ὁρᾶν, ἀλλὰ πρὸς τὰ δοκοῦντα τῷ δεσπότῃ. ὁ γὰρ εἰδὼς τὸ συμφέρον μᾶλλον ἡμῶν, αὐτὸς οἶδε καὶ ὅπως δεῖ τὴν σωτηρίαν τὴν ἡμετέραν μεθοδεῦσαι. ἡμῶν τοίνυν ἔργον ἔστω, τὸ διηνεκῶς ταῖς προσευχαῖς προσκαρτερεῖν, καὶ μὴ ἀσχάλλειν πρὸς τὴν βραδυτῆτα, ἀλλὰ πολλὴν τὴν μακροθυμίαν ἐπιδείκνυσθαι. οὐδὲ γὰρ ἀνανεύων ἡμῶν πρὸς τὰς αἰτήσεις ὑπερτίθεται, ἀλλὰ σοφιζόμενος ἡμῶν τὴν προσεδρίαν, καὶ βουλόμενος ἡμᾶς διηνεκῶς πρὸς ἑαυτὸν ἐφέλκεσθαι. ἐπεὶ καὶ πατὴρ φιλόστοργος αἰτούμενος πολλάκις παρὰ τοῦ παιδὸς οὐκ ἐπινεύει, οὐχὶ μὴ βουλόμενος δοῦναι, ἀλλὰ τοῦ παιδὸς τὴν προσεδρίαν διὰ τούτου ἐπισπώμενος. ταῦτα δὲ γινώσκοντες, μηδέποτε ἀπαγορεύωμεν, μηδὲ διαλείπωμεν προσιόντες καὶ τὰς ἱκετηρίας ποιούμενοι. εἰ γὰρ τὸν ὠμὸν ἐκεῖνον καὶ ἀπηνῆ δικαστήν, καὶ μήτε τὸν θεὸν φοβούμενον ἡ προσεδρία τῆς γυναικὸς ἐξεβιάσατο καὶ ἐξεκαλέσατο εἰς τὴν ἑαυτῆς ἀντίληψιν· πόσῳ μᾶλλον ἡμεῖς, εἰ βουληθείημεν ἐκείνην μιμήσασθαι τὴν γυναῖκα, τὸν ἥμερον καὶ φιλάνθρωπον ἡμῶν δεσπότην, τὸν εὔσπλαγχνον, καὶ ἐπιτρέχοντα ἡμῶν τῇ σωτηρίᾳ ἐκκαλεσόμεθα πρὸς τὴν οἰκείαν ἀντίληψιν; παιδεύσωμεν τοίνυν ἑαυτοὺς δυσαποσπάστους ἔχειν, καὶ

A ταῖς προσευχαῖς προσηλῶσθαι, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ, καὶ μᾶλλον ἐν νυκτὶ, ὅτε οὐδεὶς ὁ ἐνοχλῶν· ὅτε πολλὴ τῶν λογισμῶν ἡ γαλήνη, ὅτε πολλὴ ἡ ἡσυχία, καὶ ταραχῆς ἐκτὸς τὸ δωμάτιον, οὐδενὸς ὄντος τοῦ ἐκκροῦσαι δυναμένου καὶ ἀποστῆσαι τῆς προσόδου, ὅτε συνηρημένη τυγχάνουσα ἡ διάνοια πάντα μετ᾽ ἀκριβείας ἀναθέσθαι δύναται τῷ τῶν ψυχῶν ἰατρῷ. εἰ γὰρ ὁ μακάριος Δαβὶδ, ὁ βασιλεὺς ὁμοῦ καὶ προφήτης, ὑπὸ τοσούτων ὀχλούμενος πραγμάτων, καὶ ἁλουργίδα καὶ διάδημα περικείμενος ἔλεγε, Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογήσασθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, τί ἂν εἴποιμεν ἡμεῖς, οἱ τὸν ἰδιωτικὸν καὶ ἀπράγμονα βίον B μετιόντες, καὶ μηδὲ τὰ αὐτὰ ἐκείνῳ ποιοῦντες; ἐπεὶ γὰρ ἐν ἡμέρᾳ πολλὰ εἶχεν αὐτὸν τὰ περισπῶντα, καὶ πολὺς ἦν ὁ τῶν πραγμάτων ὄχλος, καὶ πολλὴ ἡ ταραχὴ, καὶ καιρὸν οὐχ ηὕρισκεν ἐπιτήδειον ἑαυτῷ πρὸς τὴν τοιαύτην πρόσοδον, τὸν τῆς ἀνέσεως καιρὸν, ὃν ἕτεροι ὕπνου ποιοῦνται καιρὸν ἐπὶ τῶν ἁπαλῶν στρωμάτων κατακεκλιμένοι, καὶ ὧδε κἀκεῖσε περιστρεφόμενοι, ὁ βασιλεὺς, ὁ τοσαύτην ἀναδεδεγμένος φροντίδα, προσόδου καιρὸν ἐποιεῖτο, καὶ ἰδίᾳ τῷ θεῷ διαλεγόμενος, καὶ εἰλικρινεῖς καὶ συντεταμένας τὰς εὐχὰς ποιούμενος, ἤνυεν ἅπερ ἤθε- C λε· καὶ διὰ τῶν προσευχῶν τούτων τοὺς πολέμους κατώρθου, τρόπαιον ἵστη, καὶ νίκας νίκαις συνάπτων. εἶχε γὰρ ὅπλον ἀχείρωτον, τὴν ἄνωθεν συμμαχίαν, οὐ πρὸς τοὺς τῶν ἀνθρώπων πολέμους ἀρκέσαι δυναμένην μόνον, ἀλλὰ καὶ πρὸς τὰς τῶν δαιμόνων φάλαγγας. τοῦτον τοίνυν καὶ ἡμεῖς μιμησώμεθα, οἱ ἰδιῶται τὸν βασιλέα, οἱ τὸν ἀπράγμονα καὶ ἡσύχιον βίον μετιόντες, τὸν ἐν ἁλουργίδι καὶ διαδήματι τὸν τῶν μοναχῶν βίον ὑπερακοντίσαντα. ἄκουε γὰρ πάλιν αὐτοῦ ἀλλαχοῦ λέγοντος, Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος D ἡμέρας καὶ νυκτός. εἶδες ψυχὴν ἐν διηνεκεῖ κατανύξει τυγχάνουσαν; ἡ τροφή μου, φησὶν, ὁ ἄρτος μου, ἡ ἑστίασίς μου οὐδὲν ἕτερον ἦν, ἢ τὰ δάκρυά μου ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ. καὶ πάλιν, Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου. τί ἐροῦμεν ἡμεῖς, ἢ τί ἀπολογησόμεθα, οὐδὲ τὴν ἴσην τῷ βασιλεῖ τῷ ὑπὸ τοσούτων πραγμάτων περισπωμένῳ κατάνυξιν ἐπιδείξασθαι βουλόμενοι; τί γὰρ, εἰπέ μοι, τῶν ὀφθαλμῶν ἐκείνων ὡραιότερον τῶν ὑπὸ τῆς συνεχείας τῶν δακρύων, καθάπερ ὑπὸ μαργαριτῶν τινων, κεκαλλωπισμένων;

petuò incumbamus illis, tam die quàm noctu: & magis noctu, quando nullus interturbat, quando magna cogitationum tranquillitas, quãdo abſunt turbulentiæ, quando nullus eſt qui ab acceſſu prohibet & abducit, quando collecta mens omnia diligenter referre poteſt animarum medico. Cùm enim beatus Dauid rex ſimul ac propheta, tantis implicitus negociis, purpura & diademate amictus dicat: Media nocte ſurgebam ad confitendum tibi ſuper iudicia iuſtitiæ tuæ: quid nos dicemus, qui priuatam & ocioſam vitam agimus, neque eadem quæ ille facimus? Nam cùm in die multis circundaretur curis, negotiis, & tumultibus, nec tempus inueniret aptum ſuo ad Deum acceſſui, relaxationis tempus, quod alij ſomni tempus faciunt in mollibus ſtratis recumbentes, & hinc & inde ſe verſantes, rex tantis vinctus curis, accedendi ad Deum tempus faciebat, ſeorſim Deo loquens, & ſyncerae intentæque precationi deditus, perficiebat quæcunque volebat, & orationibus ſuis bella conficiebat, trophæáque ſtatuens, victoriam victoriæ copulabat. Habuit enim inuicta arma, ſuperna ſcilicet præſidia, quæ non ſolum ad humana bella conficienda ſufficiunt, ſed etiam ad dæmonum cohortes peruincendas. Igitur & nos hunc imitemur priuati & idiotæ regem, ocioſam & quietam vitam agentes, eum qui in purpura & diademate monachorum vitam tranſcendit. Audi enim eum iterum alibi dicentem: Factæ ſunt mihi lachrymæ meæ panes die ac nocte. Vidiſti animam in continua compunctione? Alimonia mea, inquit, panis meus, cibus meus, conuiuium meum, non erant alia quàm lachrymæ, tam die, quàm nocte. Et iterum: Laboraui in gemitu meo, lauabo per ſingulas noctes lectum meum. Quid dicemus, vel quid reſpondebimus, neque eam compunctionem declarare volentes, quam rex tot obſeptus negociis egit? Quidnam, dic oro, oculis illis formoſius, perpetuo lachrymarum imbre, & quaſi margaritarum decore ornatis?

Pſal. 118. 62. — Pſal. 41. 3 — Pſal. 6. 6.

Vidiſti regem, qui noctibus atque diebus lachrymis precibúſque deditus fuit? Specta & doctorem orbis in carcere compeditum, vnà cum Sila orantem tota nocte, neque dolore, neque vinculis prohiberi: ſed eò magis ingentem feruidúmque amorem declarare erga dominum.
Act. 16. Paulus enim, inquit, & Silas media nocte orantes, laudabant Deum.
2.Cor.12 Dauid in regno & diademate, lachrymis & precibus totam vitam inſumebat. Apoſtolus, qui in tertium cœlum raptus, cui arcana ſunt reuelata myſteria, media nocte in vinculis preces & laudes offerebat domino. Et rex media nocte expergefactus confitebatur. Et apoſtoli media nocte concinentes preces & laudes reddebant. Illos imitemur & nos, & precum continuitate vitam noſtram muniamus, & nullum nobis vnquam erit obſtaculum. Nihil enim eſt quod obeſſe nobis poſſit, modo ſo-
1.Tim.2 brij ſimus. Num loco & tempore nobis opus eſt? Omnis locus, omne tempus huic acceſſui conuenit. Iterum audi magiſtrum orbis dicentem: In omni loco leuantes ſanctas manus abſque ira & diſceptatione: ſi mentem habueris purgantem ſe ab illicitis affectionibus, etiamſi in foro, etiamſi in domo, etiamſi in via, etiamſi in carcere, etiamſi in mari, etiamſi in diuerſorio, etiamſi in officina, & vbi fueris conſtitutus, poteris inuocato Deo precum fieri compos. Quod cùm ſciamus, obſecro vt cum ieiunio precum faciamus diligentiam, ſubſidium nobis inde parantes: quò & ſupernam aſſecuti gratiam, & præſentem vitam ita agamus vt Deo probetur, & in futuro miſericordiam aliquam adipiſcamur, gratia & miſerationibus domini noſtri Ieſu Chriſti, cum quo patri & Spiritui ſancto ſit gloria, imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A εἶδες τὸν βασιλέα καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ δακρύοις καὶ εὐχαῖς ἑαυτὸν ἐκδεδωκότα· ὅρα καὶ τὸν τῆς οἰκουμένης διδάσκαλον ἐν δεσμωτηρίῳ καθειργμένον, καὶ τοὺς πόδας ἔχοντα ἐν τῷ ξύλῳ προσδεδεμένους ἅμα τῷ Σίλᾳ, καὶ διὰ πάσης τῆς νυκτὸς προσευχόμενον, οὔτε ὑπὸ τῆς ὀδύνης, οὔτε ὑπὸ τῶν δεσμῶν κωλυόμενον, ἀλλὰ ταύτῃ μᾶλλον πολλῷ καὶ θερμότερον τὸν πόθον ἐπιδεικνύμενον τὸν περὶ τὸν δεσπότην. Παῦλος γάρ, φησι, καὶ Σίλας κατὰ τὸ μεσονύκτιον προσευχόμενοι ὕμνουν τὸν θεόν. ὁ Δαβὶδ ἐν βασιλείᾳ καὶ διαδήματι δακρύοις καὶ εὐχαῖς ἅπαντα τὸν βίον κατανήλισκεν· ὁ B ἀπόστολος, ὁ εἰς τρίτον οὐρανὸν ἁρπαγείς, ὁ τῶν ἀπορρήτων ἀξιωθεὶς μυστηρίων, ἐν δεσμοῖς τυγχάνων κατὰ τὸ μέσον τῆς νυκτὸς προσευχὰς καὶ ὕμνους ἀνέφερε τῷ δεσπότῃ· καὶ ὁ βασιλεὺς μεσονύκτιον ἐξεγειρόμενος ἐξωμολογεῖτο, καὶ οἱ ἀπόστολοι κατὰ τὸ μεσονύκτιον ἐκτενεῖς τὰς προσευχὰς καὶ τοὺς ὕμνους ἐποιοῦντο. τούτους μιμησώμεθα καὶ ἡμεῖς, καὶ τῇ συνεχείᾳ τῶν προσευχῶν τειχίζωμεν ἡμῶν τὴν ζωήν, καὶ μηδὲν ἡμῖν ποτε κώλυμα γενέσθαι· οὐδὲν γάρ ἐστιν ἡμῖν τὸ δυνάμενον ἐμποδίσαι, ἐὰν νήφωμεν. μὴ γὰρ τόπου χρῄζομεν, ἢ C καιροῦ; πᾶς τόπος, πᾶς καιρὸς ἐπιτήδειος ἡμῖν πρὸς τὴν τοιαύτην πρόσοδον. ἄκουε γὰρ πάλιν αὐτοῦ τοῦ διδασκάλου τῆς οἰκουμένης λέγοντος, ἐν παντὶ τόπῳ ἐπαίροντες ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. ἂν τὴν διάνοιαν ἔχῃς καθαρεύουσαν τῶν ἀτόπων παθῶν, κἂν ἐν ἀγορᾷ ᾖς, κἂν ἐν οἰκίᾳ, κἂν ἐν ὁδῷ, κἂν ἐν δικαστηρίῳ παρεστώς, κἂν ἐν θαλάσσῃ, κἂν ἐν πανδοχείῳ, κἂν ἐπ' ἐργαστηρίῳ ᾖς ἑστηκώς, κἂν ὅπου περ ἂν ᾖς, δυνήσῃ τὸν θεὸν καλέσας ἐπιτυχεῖν τῆς αἰτήσεως. ὅπερ εἰδότες, παρακαλῶ, μετὰ τῆς νηστείας καὶ τῆς προσ- D ευχῆς τὴν ἀκρίβειαν ἐπιδειξώμεθα, καὶ τὴν ἐντεῦθεν συμμαχίαν ἑαυτοῖς κατασκευάσωμεν· ἵνα τῆς παρ' αὐτοῦ ῥοπῆς ἀξιούμενοι, καὶ τὸν παρόντα βίον εὐαρέστως αὐτῷ διανύσωμεν, καὶ ἐν τῷ μέλλοντι φιλανθρωπίας τινὸς ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία λα.

A

Καὶ ἔλαβε Θάῤῥα τὸν Ἀβραμ καὶ τὸν Ναχὼρ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὸν Λὼτ τὸν υἱὸν Ἀῤῥαν, τοῦ υἱοῦ αὐτοῦ, καὶ τὴν Σάραν τὴν νύμφην αὐτοῦ, γυναῖκα δὲ Ἀβραμ τοῦ υἱοῦ αὐτοῦ. καὶ ἐξήγαγεν αὐτοὺς ἐκ τῆς χώρας τῶν Χαλδαίων, πορευθῆναι εἰς τὴν τῶν Χαναναίων. καὶ ἦλθεν ἕως Χαῤῥὰν, καὶ κατῴκησεν ἐκεῖ.

Πολλὰς ὑμῖν ἔχω χάριτας, ὅτι τε μεθ' ἡδονῆς ἐδέξασθε χθὲς τοὺς περὶ τῆς εὐχῆς λόγους, καὶ ὅτι μετὰ τοσαύτης σπουδῆς συντρέχετε περὶ τὴν ἀκρόασιν. (B) τοῦτο γὰρ καὶ ἡμᾶς προθυμοτέρους ἀπεργάζεται, καὶ παρασκευάζει δαψιλεστέραν ὑμῖν παραθεῖναι τὴν ἑστίασιν ταύτην τὴν πνευματικήν. ἐπεὶ καὶ γηπόνος, ἐπειδὰν ἴδῃ τὴν ἄρουραν καὶ τὰ καταβαλλόμενα σπέρματα πολλαπλάσια δεικνύοντα, καὶ κομῶντα τὰ λήϊα, οὐ παύεται τὰ παρ' ἑαυτοῦ καθ' ἑκάστην εἰσφέρων, καὶ τὴν προσήκουσαν ἐπιμέλειαν ποιούμενος, καὶ περισκοπῶν καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, μή πού τι λυμήνηται τοῖς πόνοις αὐτοῦ· τὸν αὐτὸν δὴ τρόπον κἀγὼ ὁρῶν ὑμῶν τὴν ἄρουραν ταύτην τὴν (C) πνευματικὴν οὕτω θάλλουσαν, καὶ τὸν πνευματικὸν τοῦτον σπόρον τοῖς τῆς διανοίας κόλποις παρακατατιθέμενον, ὁμοῦ καὶ χαίρω καὶ εὐφραίνομαι, καὶ πολὺν ἔχω τὸν ἀγῶνα, εἰδὼς τοῦ ἐχθροῦ καὶ ἐπιβούλου τῆς σωτηρίας τῆς ἡμετέρας τὴν πονηρίαν. καθάπερ γὰρ οἱ κατὰ θάλατταν πειραταὶ, ἐπειδὰν ἴδωσι ναῦν πολλῶν φορτίων πεπληρωμένην, καὶ πλοῦτον ἄφατον ἐπαγομένην, τότε μάλιστα πολλὴν τὴν ἐπιβουλὴν ἐπιδείκνυνται, ὥστε πάντα καταδῦσαι τὸν φόρτον, καὶ γυμνοὺς καὶ ἐρήμους τοὺς ἐμπλέοντας καταστῆσαι· οὕτω δὴ καὶ ὁ διάβολος, ὅταν (D) ἴδῃ πολὺν πλοῦτον συνηγμένον πνευματικὸν, καὶ προθυμίαν ζέουσαν, καὶ διάνοιαν διεγηγερμένην, καὶ καθ' ἑκάστην ἡμέραν τὸν πλοῦτον αὐξανόμενον, δάκνεται καὶ τρίζει τοὺς ὀδόντας, καὶ καθάπερ πειρατὴς, οὕτω περιέρχεται μυρίας ἐπινοῶν μηχανὰς, ὥστε βραχεῖάν τινα εὑρεῖν εἴσοδον, καὶ γυμνοὺς καὶ ἐρήμους ἡμᾶς ἀποφῆναι, καὶ συλῆσαι πάντα τὸν πλοῦτον ἡμῶν τὸν πνευματικόν. διά τοι τοῦτο νήφωμεν, παρακαλῶ, καὶ ὅσῳ ἂν τὰ τῆς περιουσίας ἡμῖν αὔξηται τῆς πνευματικῆς, τοσούτῳ καὶ τὰ τῆς ἀγρυπνίας ἐπιδιδόσθω, καὶ πανταχόθεν ἀποκλείωμεν αὐτοῦ τὰς ἐφόδους, καὶ διὰ τῆς ἀρίστης πολιτείας τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν ἐπισπασάμενοι ἀνωτέρους ἑαυτοὺς καταστήσωμεν τῶν τοῦ διαβόλου βελῶν,

HOMILIA XXXI.

31. Et accepit Thara Abram & Nachor filios ſuos, & Loth filium Aram filij ſui, & Saram nurum ſuam, vxorem autem Abræ filij ſui, & eduxit eos ex terra Chaldæorum, vt proficiſcerentur in terram Chanaan: & venerunt vſque Charran, & habitauit illic. Gen. 11. 31.

INGENTES vobis habeo gratias, quòd heſternum de oratione ſermonem tãta voluptate ſuſcepiſtis, & tãto ſtudio in auditorium confluitis. Facit enim hoc etiam nos alacriores, vt hoc ſpirituale conuiuium largius vobis proponamus. Quia & agricola ſi quando videt agrum ſeminatum vireſcere & germinare, ſegetémq; vernare nihil, quod ad ſe attinet, intermittit, quotidie cõgruam illius curam agẽs; & die noctúque conſiderans, ne fortè quid labores ſuos lædat. Simili modo & ego ſpiritualẽ hunc agrũ veſtrum florere, & ſemen hoc in ſinibus veſtrę mentis vtiliter recõdi vidẽs, gaudeo & lętor, multúmq; ſum anxius, non ignorans quàm malignus ſit hoſtis, qui veſtrę ſaluti inſidiatur. Nam quemadmodum piratę quando vident nauẽ multis mercibus oneratã, & plurimas adducentẽ diuitias, tunc potiſſimũ variis moliũtur inſidiis, vt poſſint merces omnes demergere, ac vectores illos ſpoliare: ita ſanè & diabolus, cũ viderit ſpirituales diuitias coaceruatas, alacritatẽ feruidam, mentẽ vigilẽ, & quotidie diuitias augeri, cruciatur, & dentibus frendet, & quaſi pirata circumit, & innumeras excogitat artes, vt ſi quà vel paruũ inueniat aditũ, nos denudet ac ſpoliet, & quicquid nobis eſt ſpiritualiũ diuitiarũ deprędetur. Igitur ſobrij ſimus, obſecro, & quãtò magis ſpirituales noſtrę facultates creſcũt, tantò & vigiliæ noſtrę intendãtur, vt vndequaq; excludamus eius inſidias, & gratiam Dei vita optima nobis cõciliãtes, ſuperiori loco ſtemꝰ, quã vt illiꝰ iacula nocere queãt.

Mala enim beſtia eſt, & multiplices machinationes ſtruit: & quando non poteſt rectà nos ad vitia allicere, & ſuis dolis ineſcare (non enim cogit, vel vim facit, abſit: ſed decipit tantum, & quos negligentes videt, ſupplantat) quando igitur ſalutem noſtram manifeſtè lędere nequit, ſępe per ipſa opera virtutis, quę agimus, clanculò eſca illata, diuitias noſtras perdit omnes. Quid igitur eſt hoc, quod dico? operæ pretium enim fuerit manifeſtius explicare, vt illius cognitis inſidiis, damnum quod inde naſcitur, vitare poſſimus. Quando videt nos à manifeſtariis vitiis abhorrere, & fugere intemperantiam, continentiam verò amplexari: adhæc auerſari auaritiam, odio habere iniuſtitiã: ridere & contẽnere delicias, ieiuniis autem & precibus vacare, ac eleemoſynis dare operam: tunc alium comminiſcitur dolum, quò peſſundet omnes noſtras opes, bonaq; opera noſtra faciat inutilia. Nam qui magna conſtãtia machinationes ſuas vicerũt, facit vt bonis operibus inflentur, & ad humanam ſpectent gloriam, quo ſcilicet à vera eos gloria faciat excidere. Quippe ſpirituale quid faciens, & humanã reſpiciens gloriã, mercedẽ ſuam hîc accipit, & iam vltrà Deum non habet debitorem. Accipit enim laudes ſuas, à quibus vt glorificetur quærit, & ſe priuat illis quas Dominus promiſit, vtpote maioris faciens momẽtaneam hominũ laudem, quàm Dei omnium conditoris: id quod Chriſtus de precibus, eleemoſynis, & ieiuniis antea docuit,
Matt.6. 17. ſic dicens: Quando ieiunas, vnge caput tuum, & laua faciem tuam, vt ne videaris hominibus ieiunans, ſed patri tuo qui eſt in occulto: & pater tuꝰ qui videt in occulto, reddet tibi. Et iterum:
Ibidem. Quando facies eleemoſynam, ne tuba canas, inquit, ante te, ſicut hypocritæ faciunt in ſynagogis & plateis, vt glorificentur ab hominibus. Amen dico vobis, acceperunt mercedem ſuam. Vidiſti quomodo, qui hanc inquirit, illam amittit? Qui autem virtutem ita operatur, vt latere velit homines, in die illo terribili in manifeſto accipiet à Domino retributionem.

A πονηρὸν γάρ ἐστι τὸ θηρίον, καὶ πολυπλόκους ἔχει τὰς μηχανάς. καὶ ἐπειδὰν μὴ δυνηθῇ ἐξ εὐθείας πρὸς τὴν κακίαν ἡμᾶς ὑποσύρειν, καὶ διὰ τῆς ἀπάτης δελεάσαι· οὐδὲ γὰρ βιάζεται, οὐδὲ ἀναγκάζει, μὴ γένοιτο, ἀλλ' ἀπατᾷ μόνον, καὶ ἐπειδὰν ἴδῃ ῥαθυμοῦντας, ὑποσκελίζει· ὅταν οὖν μὴ δι' αὐτῆς τῆς κακίας προφανῶς δυνηθῇ τῇ ἡμετέρᾳ σωτηρίᾳ λυμήνασθαι, πολλάκις δι' αὐτῶν τῶν τῆς ἀρετῆς ἔργων, ὧν μετιόμεν, τὸ δέλεαρ ἐμβαλὼν λανθανόντως ἅπαντα τὸν πλοῦτον κατέδυσε. τί οὖν ἐστιν ὅ φημι; ἀναγκαῖον γὰρ αὐτὸ σαφέστερον εἰπεῖν, ἵνα B διδαχθέντες αὐτοῦ τὰς ἐπιβουλάς, διαφύγωμεν τὴν ἐντεῦθεν βλάβην. ὅταν ἴδῃ μὴ εὐκόλως ἡμᾶς καταδεχομένους γυμνὴν τὴν κακίαν, ἀλλὰ φεύγοντας μὲν τὴν ἀσέλγειαν, τὴν δὲ σωφροσύνην ἀσπαζομένους, καὶ πάλιν τὴν πλεονεξίαν ἀποστρεφομένους, καὶ μισοῦντας τὴν ἀδικίαν, καὶ τῆς τρυφῆς καταγελῶντας, καὶ νηστείαις καὶ προσευχαῖς ἑαυτοὺς ἐκδεδωκότας, καὶ περὶ τὴν ἐλεημοσύνην ἐσπουδακότας· τότε λοιπὸν μέθοδον ἑτέραν μηχανᾶται, δι' ἧς ἡμῶν τὴν εὐπορίαν ἅπασαν λυμήνασθαι δυνήσεται, καὶ τοσαῦτα κατορθώματα ἀνόνητα ἡμῖν ἀποδεῖξαι. τοὺς γὰρ μετὰ πολλοῦ τοῦ τόνου περιγενο- C νόντας αὐτοῦ τῶν μηχανῶν παρασκευάζει μέγα φρονεῖν ἐπὶ τοῖς κατορθώμασι, καὶ πρὸς τὴν τῶν ἀνθρώπων ἀποβλέπειν δόξαν, ἵνα τῆς ἀληθοῦς δόξης ἐκπεσεῖν ποιήσῃ. ὁ γὰρ μετιών τι τῶν πνευματικῶν, καὶ πρὸς ἀνθρωπίνην ἀφορῶν δόξαν, ἀπέχει τὸν μισθὸν αὐτοῦ ἐντεῦθεν ἤδη, καὶ οὐκ ἔτι λοιπὸν ὀφειλέτην ἔχει τὸν θεόν. παρ' ὧν γὰρ ἐπεζήτησε δοξασθῆναι, ἀπήλαυσε τῶν ἐπαίνων, κἀκείνων τῶν ἐπηγγελμένων παρὰ τοῦ δεσπότου ἀπεστέρησεν ἑαυτόν, προτιμήσας τὴν πρόσκαιρον εὐφημίαν, καὶ τὴν παρὰ τῶν ὁμογενῶν τῆς παρὰ τοῦ πάντων δημιουρ- D γοῦ. καὶ τοῦτο προλαβὼν αὐτὸς καὶ ἐπὶ προσευχῆς καὶ ἐπὶ ἐλεημοσύνης καὶ ἐπὶ νηστείας ἐδίδαξεν, οὕτω λέγων· ὅταν νηστεύῃς, ἄλειψαί σου τὴν κεφαλήν, καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ. καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι. καὶ πάλιν, ὅταν δὲ ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς φησίν, ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. εἶδες πῶς ὁ ταύτην τὴν δόξαν ἐπιζητῶν ἐκείνης ἀπεστέρηται; ὁ δὲ διὰ τοῦτο τὴν ἀρετὴν μετερχόμενος, καὶ λανθάνειν βουλόμενος τοὺς ἀνθρώπους, κατ' ἐκείνην τὴν ἡμέραν τὴν φοβερὰν ἐν τῷ φανερῷ λήψεται παρὰ τοῦ δεσπότου τὰς ἀμοιβάς.

ὁ γὰρ πατήρ σου, φησιν, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. μὴ τοῦτο ἐννόει, φησὶν, ὅτι οὐδεὶς τῶν ἀνθρώπων ἐπῄνεσέ σε, καὶ ὅτι λανθάνων μετέρχῃ τὴν ἀρετὴν· ἀλλ' ἐκεῖνο λογίζου, ὅτι τοσαύτη τοῦ δεσπότου ἔσται ἡ φιλοτιμία μετ' οὐ πολὺ, ὡς μὴ λανθανόντως μηδ' ἐν ἀποκρύφῳ, ἀλλὰ παντὸς τοῦ τῶν ἀνθρώπων γένους τοῦ ἀπὸ Ἀδὰμ μέχρι τῆς συντελείας παρόντος, ἀνακηρύξει σε καὶ στεφανώσει, καὶ τῶν πόνων τῆς ἀρετῆς τὰς ἀμοιβὰς ἀποδώσει· ποίας οὖν ἂν εἶεν ἀπολογίας ἄξιοι, οἱ καὶ τὸν πόνον τῆς ἀρετῆς ὑπομένοντες, καὶ διὰ τὴν πρόσκαιρον καὶ εὐτελῆ καὶ ματαίαν δόξαν τὴν παρὰ τῶν ὁμοδούλων τῆς ἄνωθεν τιμῆς ἑαυτοὺς ἀποστεροῦντες; ἀσφαλιζώμεθα τοίνυν, παρακαλῶ, καὶ ὅπερ ἂν καταξιωθῶμεν ἔργον πνευματικὸν μετιέναι, τοῦτο παντὶ τρόπῳ πανταχόθεν ἐν τοῖς ταμείοις τῆς διανοίας τῆς ἡμετέρας κρύπτειν σπουδάζωμεν· ἵνα ἐκεῖνον τὸν ἀκοίμητον ὀφθαλμὸν ἔχωμεν ἐπαινέτην, καὶ μὴ διὰ τὴν τῶν ἀνθρώπων εὐφημίαν, καὶ τοὺς πρὸς χάριν πολλάκις γινομένους ἐπαίνους, τῆς παρὰ τοῦ δεσπότου εὐφημίας ἑαυτοὺς ἀναξίους καταστήσωμεν. καὶ γὰρ ἀμφότερα ὀλέθρια, καὶ λύμη τῆς ἡμετέρας σωτηρίας, καὶ τὸ πρὸς δόξαν ἀνθρωπίνην ἀφορῶντά τι διαπράττεσθαι τῶν πνευματικῶν, καὶ τὸ μέγα φρονεῖν ἐφ' οἷς ἂν κατορθῶσαι δυνηθῇ. διὸ νήφειν χρὴ καὶ ἐγρηγορέναι, καὶ τὰ ἀπὸ τῆς θείας γραφῆς φάρμακα ἐπιτιθέναι συνεχῶς ἑαυτοῖς, ὥστε μὴ ἁλῶναι τοῖς ὀλεθρίοις τούτοις πάθεσι. κἂν γὰρ μυρία τις κατωρθωκὼς ᾖ, καὶ ἅπασαν τὴν ἀρετὴν διανύσας, μέγα δὲ φρονῇ, πάντων ἐλεεινότερος ἂν γένοιτο καὶ ἀθλιώτερος. καὶ τοῦτο δῆλον ἡμῖν γεγένηται, ἐξ ὧν ὁ Φαρισαῖος ἐκεῖνος ὑπέμεινε, μεγάλα φρονήσας κατὰ τοῦ τελώνου, καὶ ἐλάττων τοῦ τελώνου ἀθρόον γεγονώς· καὶ διὰ τῆς οἰκείας γλώττης πάντα αὐτοῦ τὸν πλοῦτον τῆς ἀρετῆς ἐκχέας, καὶ γυμνὸν καὶ ἔρημον ἑαυτὸν καταστήσας, καὶ ξένον καὶ καινὸν ναυάγιον ὑπομείνας. εἰς αὐτὸν γὰρ ἐλθὼν τὸν λιμένα ἀπώλεσε τὸν φόρτον αὐτοῦ καὶ ἔδυσε. τὸ γὰρ ἀπ' εὐχῆς τῆς οὐ δεόντως γεγενημένης τοῦτο παθεῖν, ὅμοιόν ἐστι τῷ ἐν αὐτῷ μέσῳ τῷ λιμένι ναυάγιον ὑπομένειν. διά τοι τοῦτο καὶ ὁ Χριστὸς παραγγέλλων τοῖς μαθηταῖς ἔλεγεν, ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν, ἀσφαλιζόμενος αὐτοὺς, καὶ ἐκ πολλοῦ τοῦ διαστήματος βουλόμενος τοῦ ὀλεθρίου τούτου πάθους ἐκτὸς αὐτοὺς γενέσθαι. Εἴδετε, ἀγαπητοὶ, πῶς οὔτε ὁ πρὸς δόξαν ἀνθρωπίνην κεχηνώς,

A Nam pater tuus, qui videt in occulto, reddet tibi in manifeſto. Quaſi diceret: Ne cogites, nullus homo laudauit te, & virtutem clam facis: ſed hoc cogita, tanta erit paulo poſt Domini liberalitas, quòd non ſinet hoc clam vel in occulto eſſe: ſed præſente omni hominum genere, ab Adam vſq; ad conſummationem ſeculi te prædicabit, & coronabit, & retributiones laborum virtutis dabit tibi. Qua igitur excuſatione digni erimus, & laborem virtutis ſuſtinentes & propter momentaneam & vilem euanidámque hominum gloriam, æterna illa noſmetipſos priuantes?
B Obſecro igitur, vt nos bene muniamus, & quodcunq; ſpirituale opus aggredimur, ſtudeamus in promptuariis animi noſtri recondere, vt laudet nos oculus ille qui nunquam dormitat: non vt ab hominibus celebremur & laudemur, & ita indigni efficiamur quos Dominus laudet. Ambo enim hæc pernicioſa ſunt, & ſaluti noſtræ noxia, & ſpirituale aliquid operando ad humanam ſpectare gloriam, & benè aliquid operando ſublime de ſe ſapere. Idcirco ſobrios eſſe nos oportet
C ac vigiles, & conquirere nobis quotidiana è ſacris literis pharmaca, ita vt pernicioſis affectionibus iſtis non irretiamur. Nam etſi quis innumera bona opera fecerit, virtutémque omnem abſoluerit, ſi tamen magnum quid de ſe ſentit, maximè omnium miſerabilis eſt & miſer. Quod nobis manifeſtum eſt ex iis quæ Phariſæo acciderunt, Luc. 18.
qui vt magna de ſe ſenſit, & publicanum contempſit, ſubitò deterior factus eſt publicano, & omnes virtutum diuitias lingua ſua effudit: & ſe nudans exhauriénſque, pertulit rarum
D & nouum naufragium: apprehenſo enim littore omnes merces ſuas ſimul perdidit. Nam ſi ita accidat aliquid propter preces indignè dictas, perinde eſt ac ſi quis in medio portu naufragium faciat. Propterea & Chriſtus diſcipulis ſuis præcipiens, dicebat: Quando omnia feceritis, dicite: ſerui inutiles ſumus. Ibid. 17.
Quo dicto munire eos vult, & quàm longiſſimè à pernicioſis illis affectionibus alienare. Vidiſtis cariſſimi, quomodo neque qui humanam gloriam ambit,

eius gratia virtutis agens opera, vtilitatem aliquam percipit? & quòd qui omnibus virtutibus præditus eſt, ſi poſt bona opera infletur, & magnum aliquem ſe exiſtimet, nudus omnino fiat, & omnium vacuus? Fugiamus igitur obſecro pernitioſas illas affectiones, & ad illum ſemper vigilem oculum ſpectemus tantum: & nihil commune habeamus cum noſtri generis hominibus, neque ab eis laudari quæramus: ſed contenti ſimus dominica laude. Cuius laus, inquit, non
Rom.2. 29. ex hominibus, ſed ex Deo. Et quò magis virtutibus locupletamur & creſcimus, hoc magis modeſti ſimus & humiliemur. Nam etſi ad ſummum virtutis apicem pertigerimus, & contrà ſupputauerimus iuſta gratitudine Dei in nos beneficia, facilè videbimus quòd nihil obtulerimus, ne minimam quidem partem nos eorum, quæ in nos contulit, adæquaſſe. Hinc enim omnes ſancti probati fuerunt, & Deo accepti. Hoc vt ſcias, audi doctorem orbis, animam illam quæ in cœlo verſata fuit, quomodo poſt tot præclara opera, poſt tantum de cœlo teſtimonium (Vas enim, inquit,
Act.9.15 electionis eſt mihi hic) non obliuiſcitur ſuorum delictorum, ſed vtriſque manibus, vt aiunt, ea verſat, & neque eorum memoriam obliterari patitur, de quibus certiſſimus erat, quòd per baptiſmum fuerant dimiſſa: ſed clamat & dicit: Minimus ſum apo-
1.Cor.15 9. ſtolorum, & non ſum dignus vt vocer apoſtolus. Et poſtea, vt excellentem eius diſcamus humilitatem, addit: Eò quòd perſecutus ſum eccleſiam Dei. Quid agis ô Paule? Dominus per miſericordiam ſuam deleuit & ignouit omnia peccata tua, & tu ea adhuc ſubinde verſas, & memoras? Etiam. Scio enim, inquit, & non ignoro quòd ea dominus meus dimiſerit: ſed dum mecum conſidero quæ fecerim, & video diuinæ miſericordię pelagus, bene diſco quòd gratia & miſericordia Dei ſum quod ſum. Nam cùm dixiſſet, non ſum dignus qui vocer Apo-
1.Cor.15 10. ſtolus, eò quòd eccleſiã Dei ſum perſecutus, ſubdidit: Gratia autẽ Dei ſum id quod ſum. Ego quidem, inquit, tanta ferebar inſania, ineffabilis autẽ eius bonitas & gratia remiſſionem dedit.

A καὶ διὰ ταύτην τὰ τῆς ἀρετῆς ἔργα μετιών, ἔχει τινὰ ὄνησιν, καὶ ὅτι καὶ μετὰ τὸ κατορθῶσαι πάντα τὰ τῆς ἀρετῆς, εἰ δόξει μέγα φρονεῖν ἐπὶ τούτοις, πάντων ἔρημος γίνεται καὶ γυμνός; φεύγωμεν τοίνυν, παρακαλῶ, ταῦτα τὰ ὀλέθρια πάθη, καὶ πρὸς ἐκεῖνον μόνον ὁρῶμεν τὸν ἀκοίμητον ὀφθαλμὸν, καὶ μηδὲν κοινὸν ἔχωμεν πρὸς τοὺς ὁμογενεῖς, μηδὲ ἐπιζητῶμεν τὸν παρὰ τούτων ἔπαινον, ἀλλ' ἀρκώμεθα τῷ παρὰ τοῦ δεσπότου. οὗ ὁ ἔπαινος γάρ, φησιν, οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ θεοῦ. καὶ ὅσῳ ἂν πρὸς μείζονα
B ἐπιδιδῶμεν ἀρετὴν, τοσούτῳ μᾶλλον ἑαυτοὺς μετριάζειν παρασκευάζωμεν καὶ συνεστάλθαι. κἂν γὰρ πρὸς αὐτὴν φθάσωμεν τῆς ἀρετῆς τὴν κορυφὴν, ἐὰν ἀντιθῶμεν τὰς παρὰ τοῦ δεσπότου εὐεργεσίας μετὰ πολλῆς εὐγνωμοσύνης, τότε καλῶς ὀψόμεθα, ὅτι οὐδὲ τὸ πολλοστὸν μέρος τῶν παρὰ τοῦ θεοῦ εἰς ἡμᾶς ὑπηργμένων εἰσηνέγκαμεν. καὶ γὰρ ἕκαστος τῶν ἁγίων ἐντεῦθεν ηὐδοκίμησε. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ τῆς οἰκουμένης διδασκάλου, τῆς οὐρανομήκους ἐκείνης ψυχῆς, πῶς μετὰ τοσαῦτα κατορθώματα,
C μετὰ τὴν τοσαύτην ἄνωθεν μαρτυρίαν, σκεῦος γάρ, φησιν, ἐκλογῆς ἐστί μοι οὗτος, οὐκ ἐπιλανθάνεται τῶν οἰκείων πλημμελημάτων, ἀλλ' ἀμφοῖν ταῦτα περιστρέφει· καὶ ὑπὲρ ὧν μάλιστα πεπληροφόρητο, ὅτι τὴν συγχώρησιν ἐδέξατο διὰ τοῦ βαπτίσματος, οὐδὲ τούτων ἐπιλανθάνεσθαι ἀνέχεται· ἀλλὰ βοᾷ καὶ λέγει· ὅτι ἐλάχιστός εἰμι τῶν ἀποστόλων, καὶ οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος. εἶτα ἵνα τὴν ὑπερβολὴν αὐτοῦ παιδευθῶμεν τῆς ταπεινοφροσύνης, προσέθηκε, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. τί ποιεῖς, ὦ Παῦλε; ὁ δεσπό-
D της διὰ τὴν οἰκείαν φιλοτιμίαν συνεχώρησε καὶ ἀπήλειψεν ἅπαντα τὰ ἡμαρτημένα σοι, καὶ σὺ ταῦτα στρέφεις; ναὶ οἶδα, φησι, καὶ οὐκ ἀγνοῶ τοῦ δεσπότου τοῦ ἐμοῦ τὴν λύσιν. ἀλλ' ὅταν ἐννοήσω τὰ ἐμοὶ εἰργασμένα, καὶ ἴδω τὸ πέλαγος τῆς τοῦ θεοῦ φιλανθρωπίας, τότε μανθάνω καλῶς, ὅτι χάριτι αὐτοῦ καὶ φιλανθρωπίᾳ εἰμὶ ὅ εἰμι. εἰπὼν γὰρ ὅτι οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἐπήγαγε· χάριτι δὲ θεοῦ εἰμι ὅ εἰμι. ἐγὼ μέν, φησι, τοσαύτην ἐπεδειξάμην τὴν μανίαν· ἡ δὲ ἄφατος αὐτοῦ ἀγαθότης καὶ χάρις τὴν συγχώρησιν ἐχαρίσατο.

εἶδες ψυχὴν συντετριμμένην, καὶ τὴν περὶ τῶν βαπτίσματος ἡμαρτημένων διηνεκῶς τὴν μνήμην περιφέρουσαν; τοῦτον δὴ καὶ ἡμεῖς μιμησώμεθα, καὶ τὰ μετὰ τὸ βάπτισμα ἡμῖν ἡμαρτημένα ταῦτα καθ' ἑκάστην ἡμέραν μιμνησκόμενοι, καὶ διηνεκῶς ἐν τῇ διανοίᾳ περιστρέφοντες, μηδέποτε συγχωρῶμεν εἰς λήθην ἡμᾶς αὐτῶν ἐμπεσεῖν. ἱκανὸς γὰρ ἡμῖν χαλινὸς τοῦτο γενήσεται πρὸς τὸ συνεστάλθαι καὶ μετριάζειν. καὶ τί λέγω Παῦλον, τὸν τοσοῦτον καὶ τηλικοῦτον; θέλεις ἰδεῖν καὶ τοὺς ἐν τῇ παλαιᾷ ἐντεῦθεν μάλιστα εὐδοκιμήσαντας, ἀπὸ τοῦ μετριάζειν μετὰ μυρία κατορθώματα καὶ τὴν ἄφατον παρρησίαν; ἄκουε τοῦ πατριάρχου λέγοντος μετὰ τὴν ὁμιλίαν τὴν πρὸς τὸν θεόν, μετὰ τὴν ἐπαγγελίαν τὴν εἰς αὐτὸν γεγενημένην· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ἀλλ' ἐπειδὴ τοῦ πατριάρχου ἐμνήσθην, εἰ δοκεῖ, τὰ σήμερον ἀναγνωσθέντα προθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης· ἵνα ταῦτα ἀναπτύξαντες ἴδωμεν τῆς ἀρετῆς τοῦ δικαίου τὴν ὑπερβολήν. καὶ ἔλαβε φησὶ, Θάῤῥα τὸν Ἀβραὰμ καὶ τὸν Ναχὼρ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὸν Λὼτ τὸν υἱὸν τοῦ υἱοῦ αὐτοῦ, καὶ τὴν Σάραν τὴν νύμφην αὐτοῦ, γυναῖκα δὲ Ἀβραὰμ τοῦ υἱοῦ αὐτοῦ· καὶ ἐξήγαγεν αὐτοὺς ἐκ τῆς χώρας τῶν Χαλδαίων, πορευθῆναι εἰς τὴν γῆν τῶν Χαναναίων. καὶ ἦλθεν ἕως Χαῤῥὰν καὶ κατῴκησεν ἐκεῖ. καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Θάῤῥα ἐν Χαῤῥὰν ἔτη διακόσια πέντε, καὶ ἀπέθανεν ἐν Χαῤῥάν. μετὰ ἀκριβείας προσέχωμεν, παρακαλῶ, τοῖς ἀναγνωσθεῖσιν, ἵνα δυνηθῶμεν καταλαβεῖν τὸν νοῦν τῶν ἐγγεγραμμένων. ἰδοὺ γὰρ ἐν προοιμίοις δοκεῖ ζήτημα εἶναι ἐν τοῖς εἰρημένοις. τοῦ γὰρ μακαρίου τούτου προφήτου, τοῦ Μωϋσέως λέγω, εἰπόντος ὅτι ἔλαβε Θάῤῥα τὸν Ἀβραὰμ καὶ τὸν Ναχὼρ, καὶ ἐξήγαγεν ἐκ γῆς Χαλδαίων, πορευθῆναι εἰς τὴν γῆν τῶν Χαναναίων, καὶ ἦλθεν ἕως Χαῤῥὰν, καὶ κατῴκησεν ἐκεῖ. ὁ μακάριος Στέφανος ἐγκωμιάζων τοὺς Ἰουδαίους φησίν· ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥὰν, κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ μετῴκισεν αὐτόν. τί οὖν ἐστιν; ἐναντιοῦται ἑαυτῇ ἡ θεία γραφή; μὴ γένοιτο. ἀλλὰ συνιδεῖν ἐκ τούτου προσήκει, ὅτι θεοφιλοῦς ὄντος τοῦ παιδὸς, ὀφθεὶς αὐτῷ ὁ θεὸς προσέταξε μεταναστῆναι ἐκεῖθεν. καὶ τοῦτο γνοὺς ὁ Θάῤῥα ὁ τούτου πατὴρ,

A Vidiſti animam contritam, & circumferentem continuo memoriam peccatorum, quæ ante baptiſmum commiſerat? Illum & nos imitemur, & eorum quæ poſt baptiſmum admiſimus, quotidie ſimus memores, continuò ea in mente verſantes, nunquam permittamus vt ipſorum obliuiſcamur. Hoc enim frænum ſufficiet ad humiliandum nos, & modeſtiam ingenerandam. Et quid dico Paulum tantum & talem? Vis videre etiam eos qui in veteri lege hinc maximè claruerunt, quod poſt innumera bona opera, & ineffabilem apud Deum fiduciam, humiles fuerunt? Audi quid dicat patriarcha, poſtquam conſuetudinem cum Deo habuit, & facta eſt ei promiſſio: Ego autem, inquit, terra ſum & cinis. *Gen. 18. 27.* Cæterùm quia in patriarchæ mentionem incidimus, ſi placet, hodie lecta proponamus charitati veſtræ, quò illis explicatis videamus excellentem iuſti virtutem. 31. *Et accepit,* inquit, *Tharra Abram & Nachor filios ſuos, & Loth filium filii ſui: & Saram nurum ſuam, vxorem autem Abræ filii ſui, & eduxit eos ex terra Chaldæorum, vt proficiſcerentur in terram Chanaam, & venit vſque ad Charran, & habitauit illic.* 32. *Et fuerunt omnes dies Tharra in Charran, anni ducenti quinque, & mortuus eſt in Charran.* Attendamus diligenter obſecro, quæ ſint lecta, vt mentem eorum quæ in ſcriptis latent, deprehendamus. Ecce enim mox in principio videtur eſſe quæſtio. Nam cùm ille beatus propheta, Moſes inquam, dixiſſet: accepit Tharra Abram & Nachor, & eduxit ex terra Chaldæorum, vt proficiſcerentur in terram Chananæorum: & venit vſque ad Charran, & habitauit illic: beatus Stephanus Iudæos laudans, inquit: Deus gloriæ viſus eſt patri noſtro *Act. 7. 2.* Abraham, cùm eſſet in Meſopotamia, priuſquam habitaret in Charran, & illinc, poſtquam mortuus eſt pater eius, migrare eum fecit. Quid igitur? diſſidentne à ſeipſis diuinæ ſcripturæ? Abſit: ſed ex hoc animaduertere licet, quod cum filius Deo acceptus eſſet, viſus ei Deus imperauit vt inde migraret. Quod vt agnouit Tharra, pater eius,

licet infidelis eſſet, attamen ob amorem in filium, ſocius illi peregrinationis eſſe voluit. Et vt venit in Charran, ac illic habitauit aliquandiu, vita hac exceſſit. Patriarcha autem tunc iuxta imperium Dei in Chananæam conceſſit. Denique non antea eum Deus inde euocauit, donec mortuus eſt Tharra. Tunc enim illo defuncto, inquit: *Et dixit Dominus Abræ: Egredere de terra tua, & de cognatione tua, & de domo patris tui, & veni in terram quam mõſtrauero tibi. 2. Et faciam te in gentem magnam, & benedicã tibi, & magnificabo nomẽ tuum, & eris benedictus, & benedicam benedicentes te, & maledicẽtes te maledicam, & benedicẽtur in te omnes tribus terræ.* Singula dicta diligenter perſcrutemur, vt religioſam & piam patriarchæ mentem videamus. Et dixit, inquit, Dominus Abræ: Egredere de terra tua, & de cognatione tua, & de domo patris tui, & veni in terrã quam monſtrauero tibi. Ne prætereamus obiter dicta, ſed animaduertamus quantum imperii pondus. Egredere, inquit, de terra tua, & de cognatione tua, & de domo patris tui, & veni in terram quam monſtrauero tibi. Quaſi diceret: Relinque certa, & omnibus confeſſa, & elige magis incerta & non apparentia. Conſidera quomodo ab initio exercetur iuſtus, vt præeligat non apparentia præ apparentibus, & futura præ iis quæ in manibus ſunt. Neque enim vulgare & paruum aliquid erat id, quod ei vt faceret præcipiebat Deus: nempe vt terram relinqueret, quam inhabitarat tanto tempore, & omnem cognationem, & totam patris domum: iretque neſciens & ignorans quorſum. Non enim dixit ei, in quam regionem transferre eum velit, ſed mandato indefinito pium patriarcham exercuit. Veni enim, inquit, in terram quam monſtrauero tibi. Conſidera quæſo dilecte, quantam mentem requirebat hoc mandatum, & quæ planè nulla vel affectione, vel familiaritate impediri potuerit. Si enim nunc poſt tanta religionis incrementa, multi adeo ſunt conſuetudini ſuæ alligati, vt potius multa, & ſi neceſſitas vrgeat, omnia ferre velint, quã loca mutare in quibus prius habebant domicilium: id quod non ſolum à vulgaribus hominibus fieri videmus,

Cap. 12.

Quantũ ſit patriã ſuam relinquere.

A εἰ καὶ ἄπιστος ἐτύγχανεν, ἀλλ' ὅμως ὑπὸ τῆς περὶ τὸν παῖδα φίλτρου κοινωνῆσαι αὐτῷ κατεδέξατο τῆς ἀποδημίας. καὶ ἐλθὼν εἰς τὴν Χαῤῥὰν, κἀκεῖ κατοικήσας οὕτω μετήλλαξε τὸν βίον· καὶ τότε κελεύσαντος τοῦ θεοῦ μετανίσταται εἰς τὴν Χαναναίαν ὁ πατριάρχης. ἀμέλει γοῦν πρότερον αὐτὸν ὁ θεὸς ἐκεῖθεν ἀνέστησε, μέχρις ὅτε Θάῤῥα ἐτελεύτησε. τότε γὰρ μετὰ τὴν ἐκείνου τελευτὴν, φησὶ, καὶ εἶπε κύριος τῷ Ἀβραμ· ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν, B ἣν ἄν σοι δείξω· καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος. καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ἕκαστον τῶν εἰρημένων μετὰ ἀκριβείας διερευνησώμεθα, ἵνα ἴδωμεν τῆς γνώμης τοῦ πατριάρχου τὸ φιλόθεον. μὴ γὰρ ἁπλῶς παραδράμωμεν τὸ εἰρημένον, ἀλλ' ἐννοήσωμεν ὅσος τοῦ ἐπιτάγματος ὁ ὄγκος. ἔξελθε, φησὶν, ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω· C κατάλιπε, φησὶ, τὰ δῆλα καὶ τὰ ὡμολογημένα, καὶ προτίμησον τὰ ἄδηλα καὶ τὰ μὴ φαινόμενα. σκόπει πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐγυμνάζετο ὁ δίκαιος τὰ μὴ φαινόμενα τῶν φαινομένων προτιμᾷν, καὶ τὰ μέλλοντα τῶν ἐν χερσὶν ὄντων. οὐδὲ γὰρ τὸ τυχὸν ἦν ὅπερ ἐπετάττετο ποιῆσαι. καταλιπεῖν τὴν γῆν, ἔνθα τοσοῦτον ᾤκησε χρόνον, καὶ τὴν συγγένειαν ἅπασαν, καὶ πάντα τοῦ πατρὸς τὸν οἶκον, καὶ ἐλθεῖν ἔνθα μὴ ᾔδει μηδὲ ἠπίστατο. οὐ γὰρ εἶπεν εἰς ποίαν αὐτὸν χώραν βούλεται μεταστῆσαι, ἀλλὰ τῷ ἀδιορίστῳ τοῦ ἐπιτάγματος D ἐγύμναζε τοῦ πατριάρχου τὸ φιλόθεον. δεῦρο γάρ φησιν, εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. ἐννόησόν μοι, ἀγαπητὲ, ὅπως ὑψηλῆς ἐδεῖτο γνώμης τὸ ἐπίταγμα, καὶ μηδεμιᾷ προσπαθείᾳ ἢ συνηθείᾳ κατεχομένης. εἰ γὰρ νῦν μετὰ τὸ ἐπιδοῦναι τὴν εὐσέβειαν οὕτως εἰσὶ πολλοὶ τῇ συνηθείᾳ προσδεδεμένοι, ὡς καὶ μυριάκις ἂν ἕλοιντο, κἂν ἀνάγκη κατεπείγῃ, πάντα ὑπομεῖναι, ἢ τῶν τόπων μεταστῆναι, ἔνθα πρότερον τὴν οἴκησιν εἶχον, καὶ ταῦτα οὐκ ἐπὶ τῶν τυχόντων μόνον ἀνδρῶν ἔστιν ἰδεῖν,

ἀλλὰ καὶ ἐπὶ τῶν φυγόντων τοὺς ἐν μέσῳ θορύβους, καὶ τὸν τῶν μοναχῶν ἑλομένων βίον· πολλῷ δὴ μᾶλλον τότε τὸν δίκαιον τοῦτον εἰκὸς ἦν δυσχερᾶναι πρὸς τὸ ἐπίταγμα, καὶ ὀκνηρότερον καταστῆναι. ἔξελθε, φησί, καὶ κατάλιπε τοὺς συγγενεῖς, καὶ τὸν οἶκον τὸν πατρικόν, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. τίνα οὖν οὐκ ἂν ἐθορύβησε ταυτὶ τὰ ῥήματα; οὔτε τὸν τόπον, οὔτε τὴν χώραν δήλην αὐτῷ ποιεῖ, ἀλλὰ τῷ ἀδιορίστῳ βασανίζει τοῦ δικαίου τὴν γνώμην. εἰ γὰρ ἕτερός τις ἦν ὁ κελευσθείς, καὶ εἷς τῶν πολλῶν, εἶπεν ἄν, ἔστω, κελεύεις με καταλιπεῖν τὴν γῆν ἐνταῦθα οἰκῶ, τὴν συγγένειαν, τὸν οἶκον τὸν πατρικόν. τίνος ἕνεκεν, οὐχὶ καὶ τὸν τόπον, ἔνθα ἀφικέσθαι με προστάττεις, δῆλον ποιεῖς, ἵνα εἰδέναι ἔχω κἂν τοῦ διαστήματος τὸ μέγεθος; πόθεν γάρ μοι ἐκεῖνο γνώριμον ἂν γένοιτο, ὅτι ταύτης, ἧς καταλιμπάνω, βελτίων ὀφθήσεται ἐκείνη μᾶλλον καὶ εὐπορωτέρα; ἀλλ' ὁ δίκαιος οὐδὲν τούτων οὐδὲ εἶπεν, οὐδὲ ἐνενόησεν· ἀλλὰ πρὸς τὸ τῶν ἐπιτεταγμένων μέγεθος ἀπιδών, τὰ ἄδηλα τῶν ἐν χερσὶ προετίμησε. καί τοι εἰ μὴ ὑψηλὸν εἶχε φρόνημα, καὶ φιλόσοφον γνώμην, καὶ ἐπεπαίδευτο πάντα πείθεσθαι τῷ θεῷ, καὶ ἕτερον οὐ μικρὸν εἶχεν ἂν κώλυμα, αὐτὴν τοῦ πατρὸς τὴν τελευτήν. ἴστε γὰρ ὅτι πολλοὶ πολλάκις διὰ τοὺς τάφους τῶν προσηκόντων εἵλοντο τοῖς τόποις ἐκείνοις ἐναποθανεῖν, ἔνθα τὸν βίον κατέλυσαν οἱ γονεῖς. εἰκὸς τοίνυν ἦν καὶ τὸν δίκαιον τοῦτον, εἴγε μὴ ἦν σφόδρα φιλόθεος, καὶ τοῦτο λογίσασθαι. ὅτι ὁ μὲν πατὴρ διὰ τὸ περὶ ἐμὲ φίλτρον οἴκοθεν ἐξανέστη, καὶ συνηθείας παλαιᾶς ὑπερεῖδε, καὶ πάντων ἀνώτερος γεγονὼς μέχρι τούτου παρεγένετο, καὶ σχεδὸν εἰπεῖν δι' ἐμὲ ἐν ἀλλοτρίᾳ τὸν βίον κατέλυσεν· ἐγὼ δὲ οὐδὲ μετὰ τὸν θάνατον τὴν ἴσην αὐτῷ ἀμοιβὴν ἀποδοῦναι σπουδάζω, ἀλλὰ καταλιπὼν μετὰ τῆς συγγενείας τοῦ πατρὸς τὸν αὐτοῦ τάφον, ἀπελεύσομαι. ἀλλ' ὅμως οὐδὲν τούτων αὐτοῦ ἀπαμβλῦναι τὴν ὁρμὴν ἴσχυσεν· ἀλλὰ πάντα εὔκολα αὐτῷ καὶ ῥᾴδια φαίνεσθαι ἐποίει τὸ περὶ τὸν θεὸν φίλτρον. ἐπεὶ κἀκεῖνο ἂν ἐνενόησεν, εἴγε ἀνθρωπίνοις λογισμοῖς τὰ καθ' ἑαυτὸν ἐπιτρέψαι ἐβούλετο. ἐν ἡλικίᾳ, λέγων, τοιαύτῃ καὶ λοιπὸν πρὸς γῆρας ἔσχατον ἐλαύνων ποῦ ἀπελεύσομαι; οὐ τὸν ἀδελφὸν ἐπιφερόμενος, οὐ τοὺς συγγενεῖς ἔχων μεθ' ἑαυτοῦ· ἀλλὰ πάντων τῶν πρὸς γένος διαφερόντων μοι κεχωρισμένος, ὡς ἔρημος καὶ ξένος, οὕτω τὴν ἀλλοτρίαν καταλήψομαι,

A ſed etiam ab iis qui è medio tumultu fugere, & monaſticam vitam delegerunt: quantò magis veriſimile erat iuſtum illum ad hoc mandatum tradiorem & difficiliorem potuiſſe fieri? Egredere, inquit, & relinque cognatos, & domum paternam, & veni in terram quam monſtrauero tibi. Quem non turbarent verba iſta? neq; locum, neque regionem certam ei deſignat, ſed indefinito præcepto mentē explorat iuſti. Nam ſi quis alius, & è vulgo fuiſſet, is qui mandatū accepit, dixiſſet vtique: Age, iubes relinquam terram, quam inhabito, cognationem, domum B paternam: quare non etiam locum manifeſtum facis, in quē me proficiſci iubes, vt certiorem me reddas quantū ſit iter? Vnde enim mihi illud innoteſceret, quòd hac quam relinquo, vberior & præſtantior ſit illa? At iuſtus nihil horum vel dixit, vel cogitauit: ſed reſpiciens ad magnitudinem eorum quæ imperata erant, iis quæ in manibus habebat, incerta præferebat. Atqui ſi non tam generoſum ſpiritum, nec tam philoſophicam mentem habuiſſet, vtpote eruditam, per omnia Deo parendum eſſe, fuiſſet tamē ei & aliud etiā ipſum non paruum impedimentum, nempe C mors patris. Scitis enim quòd multi ſæpenumero propter ſepulchra cognatorū in illis locis mori deligunt, vbi parentes eorum mortui & ſepulti ſunt. Veriſimile igitur erat & iuſtum hunc, niſi Deum plurimum amaſſet, talia potuiſſe cogitare. Ecce pater propter ſuū in me amorem, è domo ſua profectus, priſtinas conſuetudines deſpexit, & contemptis omnibus huc vſque venit: & quaſi diceret, Propter me in aliena terra vita defunctus eſt: ego autem non daturus ſum operam, vt poſt mortem par ei reddam, ſed relicto cum co- D gnatione patris ſepulchro, hinc abeam? Atqui nihil horum promptitudinem eius remorari potuit: ſed omnia leuia & facilia ei apparere faciebat ſuus in Deum amor. Fortaſſis & illud mente tractaſſet, ſiquidem humanis rationibus res ſuas moderari voluiſſet. In hac ætate, qua nunc ad poſtremā ſenectam tendo, quorſum abiturus ſum? Non fratres mecum ducens, neq; cognatos mecum habens, ſed ab optimis quibuſq; amicis ſequeſtratus, vt ſolitarius & peregrinus, in terra aliena verſabor,

A neſcius vbi errãdi finis futurus? Quòd ſi in medio itinere contingat me vita defungi, quæ tantæ miſeriæ fuerit vtilitas? quis me * ſepeliet ſenem, peregrinum, carentem ciuitate, carentem domo? Fortaſſis vxor vicinos exorabit, vt compaſſionem quandam in me declarent, & * iuſta ex collatitia ſtipe faciet. Quanto ſatius vt ipſe breui quod ſupereſt tempore, hic reſidens vitam terminem, quàm quòd ſenex hinc & inde vager, & omnium ſcommatis inceſſar, qui neq; in ætate illa quietus viuam, ſed loca locis mutans, nullibi ſub- B ſiſtam? Cæterũ iuſtus iſte nihil horum cogitauit, ſed præcipienti obedire feſtinauit. Sed forte dixerit quiſpiam, Ad exhortãdum ſufficiebat ei, Veni in terram quam tibi monſtrauero, & faciam te in gentem magnam, & benedicam te. Verum iſtuc ipſum, niſi pius fuiſſet, ſatis erat ad reddendum eum ſegniorem, & ad obedientiam magis cunctabundum. Nam ſi vnus aliquis è vulgo fuiſſet, dicere potuiſſet: Quare me peregrè proficiſci iubes, & in alienam terram abducis? Quare ſi me magnum facere vis, non hic magnum facis? Quare in domo pa- C terna verſantem tua benedictione non dignaris? Quòd ſi contingat priuſquam perueniam in locum quem iubes, defatigatum me itineris laboribus perire, & vitam finire, quæ mihi ex promiſſis vtilitas? At nihil horum vel in mente ſuſcipiendum cenſuit, ſed ſicut fidelis ſeruus ad ſolum imperium obediuit, nihil curioſè quærens, nullumque aliud negotium prætexens: certiſſimus enim erat, neutiquam mendacia eſſe Dei promiſſa. Et faciam te in gentem magnam, inquit, & benedicam te, & magnificabo nomen tuum, & eris benedictus. Magnum promiſſionis pondus. Fa- D ciam te, inquit, in gentem magnam, & benedicã te, & magnificabo nomen tuum: non ſolum genti magnæ te præficiam, & nomen tuum extollam: ſed & benedicam te, & eris benedictus. Ne putes dilecte, tautologiã eſſe, & idem bis dici, cùm dicitur: Benedicam te, & eris benedictus. Tanta enim te, inquit, benedictione dignabor, vt illa in omne ſeculum ſit duratura. Eris enim benedictus, ita vt omnes ſummi honoris loco habituri ſint, ſi eis

ſepeliet, proteget, tuebitur, cooperiet.

** iuſta & conuenientia faciet.*

οὐδὲ εἰδὼς ὅπου στήσομαι τῆς πλάνης, εἰ δὲ καὶ κατὰ μέσην τὴν ὁδὸν συμβῇ με καταλῦσαι τὸν βίον, τί τὸ ὄφελος τῆς τοιαύτης ταλαιπωρίας; τίς με περιστελεῖ τὸν γέροντα, τὸν ξένον, τὸν ἄπολιν, τὸν ἄοικον; ἴσως ἡ γυνὴ τοὺς γείτονας παρακαλέσει συμπάθειάν τινα ἐπιδείξασθαι, καὶ ἐξ ἐράνου τινὸς καὶ συνεισφορᾶς τὰ καθήκοντα πληρώσει. καὶ πόσῳ βέλτιον αὐτὸν τὸν βραχὺν χρόνον τὸν ὑπολειπόμενον ἡμῖν εἰς ζωὴν καθεζόμενον ἐνταῦθα καταλῦσαί με τὸν βίον, ἢ μετὰ γῆρας ὧδε κἀκεῖσε περιέλκεσθαι, καὶ τὰ παρὰ πάντων ὑπομένειν σκώμματα, ὡς οὐδὲ ἐν ἡλικίᾳ τοιαύτῃ δυνηθέντα ἐν ἡσυχίᾳ διάγειν, ἀλλὰ τόπους ἐκ τόπων ἀμείβειν, καὶ μηδαμοῦ ἵστασθαι; ἀλλὰ τούτων μηδὲν ὑπολογισάμενος ὁ δίκαιος οὗτος ὑπακούειν ἔσπευδε τῷ ἐπιτάγματι. ἀλλ' ἴσως εἴποι τις ἄν, οὐκ ἤρκει ἡ αὐτοῦ εἰς προτροπὴν τὸ λέγειν· δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε. τοῦτο τοίνυν αὐτὸ μάλιστα, εἰ μὴ φιλόθεος ἦν, ἤρκει ὀκνηρότερον αὐτὸν περὶ τὴν ὑπακοὴν ἐργάσασθαι. ἠδύνατο γὰρ εἰπεῖν, εἰ τῶν πολλῶν εἷς ἦν, ὅτι τίνος ἕνεκεν εἰς τὴν ξένην με ἀπάγεις, καὶ τὴν ἀλλοτρίαν με καταλαβεῖν κελεύεις; διατί γάρ με ἐνταῦθα, εἴγε βούλει μέγαν ποιῆσαι, οὐ ποιεῖς; διατί ἐπὶ τῆς οἰκίας τῆς πατρῴας διάγοντα οὐκ ἀξιοῖς τῆς σῆς εὐλογίας; ὡς εἰ συμβαίη με, πρὶν ἢ φθάσαι εἰς τὸν τόπον ἔνθα κελεύεις, κατεργασθέντα με ὑπὸ τοῦ κατὰ τὴν ὁδοιπορίαν καμάτου καὶ διαφθαρῆναι, καὶ τὸν βίον καταλῦσαι, τί μοι τὸ ὄφελος τῶν ἐπηγγελμένων; ἀλλ' οὐδὲν τούτων οὐδὲ εἰς ἔννοιαν λαβεῖν κατεδέξατο· ἀλλὰ καθάπερ εὐγνώμων οἰκέτης, τῷ ἐπιτάγματι μόνον ὑπήκουεν, οὐ περιεργαζόμενος οὐδὲ πολυπραγμονῶν, ἀλλ' ἐπείθετο καὶ πεπληροφορημένος ἐτύγχανεν, ὅτι ἀψευδεῖς ἦσαν αἱ τοῦ θεοῦ ἐπαγγελίαι. καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος. μέγας τῆς ὑποσχέσεως ὁ ὄγκος. ποιήσω σε, φησιν, εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου· οὐ μόνον ἔθνει σε μεγάλῳ ἐπιστήσω, καὶ τὸ ὄνομά σου μέγα ἀπεργάσομαι, ἀλλὰ καὶ εὐλογήσω σε, καὶ ἔσῃ εὐλογημένος. μὴ νομίσῃς ἀγαπητὲ, ταυτολογίαν εἶναι τὸ εἰρημένον τὸ, καὶ εὐλογήσω σε, καὶ ἔσῃ εὐλογημένος. τοσαύτης σε, φησιν, εὐλογίας ἀξιώσω, ὡς πάντι τῷ αἰῶνι συμπαρεκτείνεσθαι αὐτήν. ἔσῃ γὰρ εὐλογημένος, ὡς ἕκαστον ἀντὶ μεγίστης τιμῆς σπουδὴν ποιεῖσθαι εἰσωθεῖν

A ἑαυτὸν εἰς τὴν πρὸς σὲ οἰκειότητα. ὅρα πῶς ἄνωθεν καὶ ἐκ προοιμίων αὐτοῦ προέλεγε τὴν περιφάνειαν, ἐν ᾗ καταστήσειν αὐτὸν ἔμελλε. ποιήσω σε, φησιν, εἰς ἔθνος μέγα, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ εὐλογήσω σε, καὶ ἔσῃ εὐλογημένος. διὰ τοῦτο καὶ οἱ Ἰουδαῖοι μέγα φρονοῦντες ἐπὶ τῷ πατριάρχῃ ἐβούλοντο εἰς τὴν τούτου συγγένειαν ἑαυτοὺς εἰσωθεῖν καὶ ἔλεγον· τέκνα τοῦ Ἀβραὰμ ἐσμέν. ἀλλ' ἵνα μάθωσιν, ὅτι ἀπὸ τῆς τῶν τρόπων κακίας ἀνάξιοι τυγχάνουσι τῆς συγγενείας, φησὶ πρὸς αὐτοὺς ὁ Χριστός, εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. καὶ Ἰωάννης δὲ ὁ τοῦ Ζαχαρίου ἡνίκα συνέρρεον εἰς τὸν Ἰορδάνην οἱ βαπτισθῆναι B σπεύδοντες, ἔλεγε πρὸς αὐτούς· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. εἶδες πῶς μέγα αὐτοῦ τὸ ὄνομα παρὰ πᾶσιν ἦν; ἀλλὰ τέως πρὸ τῆς ἐκβάσεως τὸ φιλόθεον τοῦ δικαίου δείκνυται, πῶς τοῖς παρὰ τοῦ θεοῦ ῥήμασιν ἐπίστευσε, καὶ ἅπαντα τὰ δοκοῦντα εἶναι φορτικὰ μετ' C εὐκολίας κατεδέχετο. καὶ εὐλογήσω, φησί, τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ὅρα τοῦ θεοῦ συγκατάβασιν, καὶ πόσης αὐτοῦ φιλίας δείκνυσι τεκμήριον. ἐκείνους, φησί, φίλους ποιήσομαι, τοὺς πρὸς σὲ γνησίως διακειμένους, καὶ ἐκείνους ἐχθρούς, τοὺς ἐναντίως πρὸς σὲ ἔχοντας. ὅπερ σχεδὸν οὐδὲ παῖδες πρὸς πατέρας ἐπιδεῖξαι ἀνέχονται, τὸ τοὺς αὐτοὺς ποιῆσαι αὐτοῖς καὶ φίλους καὶ ἐχθρούς. μεγίστη οὖν, ἀγαπητέ, ἡ περὶ τὸν πατριάρχην τοῦ θεοῦ εὔνοια. ἐκείνοις, φησίν, εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ ἐκείνοις καταράσομαι τοὺς κα- D ταρωμένους σε. καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ἰδοὺ προσθήκη καὶ ἑτέρας φιλοτιμίας. πᾶσαι γάρ, φησιν, αἱ φυλαὶ τῆς γῆς ἐπὶ τῷ σῷ ὀνόματι ἐνευλογεῖσθαι σπουδάσουσι, καὶ ἀπὸ τῆς σῆς προσηγορίας σεμνότερα τὰ καθ' ἑαυτοὺς ἐγκαταστήσουσιν. ἠκούσατε, ἀγαπητοί, οἷα ἐπέταξεν ὁ δεσπότης τῷ Χαλδαίῳ, τῷ γέροντι, τῷ μήτε νόμον ἐγνωκότι, μήτε προφήταις ἐντυχόντι, μήτε ἑτέρας διδασκαλίας τινὸς ἀπολαύσαντι. εἴδετε ὅσος τῶν ἐπιταγμάτων ὁ ὄγκος, πῶς ὑψηλῆς τινος καὶ νεανικῆς δεόμενος ψυχῆς. πρὸς τὴν τούτων ἐκ-

cum Abram familiaritas contingat. Vides quomodo antea & ab initio ei prædicit claritudinem quam illi daturus erat. Faciam te, inquit, in gentem magnam, & magnificabo nomen tuum, & benedicam te, & eris benedictus. Idcirco & Iudæi in patriarcha ſuperbientes volebant ſe in eius familiam intrudere, & dicebant: Filij Abraham ſumus. Sed vt diſcant quòd propter malos mores indigni ſunt ea familia & genere, dicit eis Chriſtus: Si filij Abrahæ eſſetis, opera Abrahæ faceretis vtiq;. Ioannes quoque, Zachariæ filius, cùm ad Iordanem confluerent baptizari cupientes, dicebat eis: Progenies viperarum, quis monſtrauit vobis vt fugeretis à futura ira? Facite igitur fructum dignum pœnitentia, & ne præſumatis dicere. Patrē habemus Abraham. Dico enim vobis, quòd poteſt Deus ex lapidibus iſtis excitare filios Abrahæ. Vidiſti quomodo magnum apud omnes eius nomen fuerit? ſed ante euentum iuſti pietas monſtratur, quomodo dictis Dei crediderit, & omnia quæ videbantur eſſe grauia, magna facilitate ſuſceperit. *Et benedicam*, inquit, *benedicentes te, & maledicentes te, maledicam: & benedicentur in te omnes tribus terræ.* Vide quomodo attemperat ſermonem Deus, & quantæ amicitiæ monſtrat argumenta. Illos, inquit, amicos faciam, qui beneuolè erga te ſunt affecti: & illos inimicos habebo, qui erga te diuerſo modo ſe habēt: id quod vix filij patrum nomine faciendum putarent, vt fiant inimici & amici. Maxima, dilecti, in patriarcham Dei eſt hæc beneuolentia. Illos enim, inquit, benedicam, qui benedicunt tibi: & illos maledicam, qui maledicunt tibi: & benedicentur in te omnes tribus terræ. Ecce & alterius liberalitatis additamentū. Omnes enim tribus terræ enitentur, vt in tuo nomine benedicantur, & res ſuas tua agnominatione honeſtiores faciant. Audiſtis dilecti, qualia imperauit dominus Chaldæo vetulo, qui neque legem nouerat, neque prophetarum legerat vaticinia, neque vllam aliam doctrinam didicerat? Vidiſtis quanta præceptorum moles? quomodo ad ea perficienda ſublimi & iuuenili animo habebat opus?

Ioan. 8. 39.

Matt. 3.

Videte poſthac & patriarchæ probi- A
tatem ac obedientiam, quomodò no-
bis eam ſcriptura manifeſtet. *Et pro-
fectus eſt*, inquit, *Abram, ſicut locutus
eſt ei Dominus, & iuit cum eo Loth.* Non
ſimpliciter dixit, Et profectus eſt A-
bram: ſed, ſicut locutus eſt ei Domi-
nus Deus. Omnia, inquit, fecit, quæ
ad præceptum hoc pertinebant. Di-
xit vt relinqueret omnia, & cogna-
tionem & domum, & reliquit. Dixit
vt iret in terram quam neſciret: nec
recuſauit. Promiſit Deus ſe factu-
rum eum in gentem magnam, &
benedicturum: credidit Abram etiam
hoc euenturum. Sicut locutus eſt ei B
Dominus, ita profectus eſt: id eſt,
credidit iis quæ ſibi à Deo ſunt di-
cta, nihil fluctuans, nihil dubitans,
ſed firmato animo ita profectus eſt:
idcirco & à Domino magnam obti-
nuit gratiam. Et iuit, inquit, & Loth
cum eo. Quare cum Dominus dixe-
rit: Egredere de terra tua, & de co-
gnatione tua, & de domo patris tui:
hunc aſſumpſit? Non fuit inobediens
Domino: ſed fortè quia iuueni erat
patris loco præfectus: & ille ob ſin-
gularem amorem, morúmque ſuaui- C
tatem à iuſto diuelli noluit, & hac de
cauſa Abram eum aſſumpſit, & filij
loco poſtea habuit, præſertim quòd
tam grandæuus nullum adhuc habe-
bat filium, propter Saræ ſterilitatem.
Aliter etiam dicere licet: Mores a-
doleſcentis non multum à iuſto abe-
rant. Nam cùm propoſiti ei eſſent
duo fratres, ipſe iuſto adhærebat,
quantæ hoc ipſum prudentiæ fuit,
diiudicare & probare cui patruorum
ſui curam permittere deberet? Inſu-
per & peregrinationem eligere, ho-
neſtatis morum erat indicium. Nam D
licet tandem in quibuſdam erraſſe vi-
deatur, quando potiores ſibi partes v-
ſurpauit, attamen, veſtigium iuſti
ſubſequi proximè ſtudebat. Atque
ideo iuſtus illum in ſocium itineris ac-
cepit, & ipſe magna alacritate pere-
grinam vitam domeſticæ prætulit.
Porrò vt ſciamus hæc à Deo fuiſſe im-
perata patriarchæ, non cùm iuuenis
eſſet, ſed iam ad ſenectam vergenti,
quando plerique hominum ad pere-
grinandum difficiliores ſunt, inquit:
*Abram autem erat annorum ſeptuaginta-
quinque, quando exiuit ex Charran.*

πλήρωσιν. βλέπετε λοιπὸν καὶ τοῦ πατριάρχου τὴν εὐγνωμοσύνην, ὅπως ἡμῖν ἡ γραφὴ φανερὰν αὐτὴν καθίστησι. καὶ ἐπορεύθη, φησίν, Ἀβραὰμ καθὰ ἐλάλησεν αὐτῷ κύριος ὁ θεός, καὶ ᾤχετο μετ' αὐτοῦ Λώτ. οὐχ ἁπλῶς εἶπεν ἐπορεύθη Ἀβραάμ, ἀλλὰ καθάπερ ἐλάλησεν αὐτῷ κύριος ὁ θεός, ἀκόλουθα, φησί, τῷ ἐπιτάγματι ἅπαντα διεπράξατο. εἶπεν ἀφεῖναι πάντα, καὶ συγγένειαν καὶ οἶκον, καὶ ἀφῆκεν. εἶπεν ἐλθεῖν εἰς γῆν, ἣν οὐκ ᾔδει· κατεδέξατο. ἐπηγγείλατο ποιῆσαι εἰς ἔθνος μέγα καὶ εὐλογῆσαι· ἐπίστευσεν ὅτι ἔσται καὶ τοῦτο. καὶ καθάπερ ἐλάλησεν αὐτῷ κύριος ὁ
B θεός, οὕτως ἐπορεύθη· ἀντὶ τοῦ, ἐπίστευσε τοῖς παρὰ τοῦ θεοῦ ῥηθεῖσιν οὐδὲν ἐνδοιάσας οὐδὲ ἀμφιβάλλων, ἀλλ' ἐστηριγμένην ἔχων τὴν διάνοιαν καὶ τὸν λογισμόν, οὕτως ἐπορεύθη. διὸ καὶ πολλῆς εὐνοίας ἀπήλαυσε παρὰ τοῦ δεσπότου. καὶ ᾤχετο, φησι, καὶ Λὼτ μετ' αὐτοῦ. τίνος ἕνεκεν, εἰπόντος τοῦ θεοῦ, ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, τοῦτον ἐπεφέρετο; οὐχὶ παρακούων τοῦ δεσπότου, ἀλλ' ἴσως ἐπειδὴ νέος ἦν, καὶ πατρὸς χώραν αὐτῷ ἐπεῖχε, κἀκεῖνος διὰ φιλοστοργίαν, καὶ τὴν τῶν τρό-
C πων ἐπιείκειαν δυσαποσπάστως εἶχε τοῦ δικαίου, ταύτης ἕνεκεν τῆς αἰτίας οὐκ ἀνέχεται αὐτὸν καταλιπεῖν. λοιπὸν δὲ καὶ ἐν τάξει παιδὸς αὐτὸν εἶχεν, ἐν ἡλικίᾳ τοιαύτῃ παῖδας ἔχειν μὴ δυνηθεὶς διὰ τὴν τῆς Σάρρας στείρωσιν. ἄλλως δὲ καὶ ὁ τρόπος τοῦ νέου οὐ πολὺ ἀπεῖχε τοῦ δικαίου. αὐτὸ γὰρ τοῦτο, προκειμένων τῶν δύο ἀδελφῶν προσνεῖμαι ἑαυτὸν τῷ δικαίῳ, πόσης ἦν συνέσεως, τὸ διακρῖναι καὶ δοκιμάσαι τίνι τῶν θείων δέοι τὰ καθ' ἑαυτὸν ἐπιτρέψαι; καὶ τὸ ἑλέσθαι τὴν ἀποδημίαν, καὶ αὐτὸ πάλιν δεῖγμα τῆς τῶν
D τρόπων ἦν κοσμιότητος. εἰ γὰρ καὶ τὸ τελευταῖον ἔν τισιν ἔδοξε διαμαρτάνειν, ἡνίκα τοῖς πρωτείοις ἐπεπήδησεν, ἀλλ' ὅμως κατ' ἴχνος τοῦ δικαίου ἐσπούδαζε πορεύεσθαι, καὶ διὰ τοῦτο καὶ ὁ δίκαιος κοινωνὸν ἐλάμβανε τῆς ὁδοιπορίας, κἀκεῖνος μετὰ προθυμίας τῆς οἴκοι διατριβῆς τὴν ξένην προετίμησεν. εἶτα ἵνα μάθωμεν ὅτι οὐ νεανίσκῳ ὄντι τῷ πατριάρχῃ ταῦτα ἐπέταττεν ὁ δεσπότης, ἀλλ' ἤδη πρὸς γῆρας ἐλαύνοντι, ὅτε καὶ ὀκνηρότεροι λοιπὸν οἱ πλείους τῶν ἀνθρώπων πρὸς τὰς ἀποδημίας διάκεινται, φησιν, Ἀβραὰμ δὲ ἦν ἐτῶν οε', ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν.

A Εἶδες πῶς οὔτε ἡ ἡλικία, οὔτε ἕτερόν τι τῶν δυναμένων αὐτὸν ἐπισπάσασθαι πρὸς τὴν οἴκοι παραμονὴν κώλυμα αὐτῷ γέγονεν, ἀλλὰ πάντων ἀνώτερος ἐγένετο ὁ τοῦ θεοῦ πόθος. ὅταν γὰρ ἡ ψυχὴ διεγηγερμένη καὶ νήφουσα ᾖ, πάντα διατέμνει τὰ κωλύματα, καὶ ὅλη γίνεται τοῦ ποθουμένου, καὶ ὑπ' οὐδενὸς τῶν ἐν μέσῳ φαινομένων δυσχερῶν διακόπτεται, ἀλλὰ πάντα παρατρέχει, καὶ οὐ πρότερον ἵσταται, μέχρις ἂν ἐπιτύχῃ τοῦ σπουδαζομένου. διά τοι τοῦτο καὶ ὁ δίκαιος οὗτος καὶ ὑπὸ τοῦ γήρως καὶ ὑπὸ ἑτέρων πλειόνων κωλύεσθαι δυνάμενος, πάντα διαρρήξας τὰ δεσμὰ, καθάπερ νέος καὶ σφριγῶν B καὶ ὑπὸ μηδενὸς κωλυόμενος, οὕτως ἔσπευδε καὶ ἠπείγετο εἰς ἔργον ἀγαγεῖν τοῦ δεσπότου τὸ ἐπίταγμα. οὐδὲ γὰρ οἷόν τέ ποτε βουληθέντα τινὰ γενναῖόν τι καὶ ἀνδρεῖον ἐπιδείξασθαι, ἑτέρως τοῦτο εἰς ἔργον ἀγαγεῖν, μὴ πρότερον αὐτὸν πρὸς ἅπαντα τὰ μέλλοντα αὐτῷ πρὸς τὴν τοιαύτην ἐγχείρησιν ἐμποδὼν ἵστασθαι παραταξάμενον. τοῦτο δὴ σαφῶς καὶ ὁ δίκαιος οὗτος ἐπιστάμενος, πάντα παραδραμὼν, καὶ μήτε συνήθειαν, μήτε συγγένειαν, μήτε οἰκίαν πατρικὴν, μήτε τάφον, μήτε τὸ γῆρας αὐτὸ λογισάμενος, εἰς ἐκεῖνο μόνον ἔτεινεν αὐτοῦ τὴν C διάνοιαν, ὅπως δυνηθῇ πληρῶσαι τὸ προσταχθὲν παρὰ τοῦ δεσπότου. καὶ ἦν ἰδεῖν πρᾶγμα πολλοῦ θαύματος γέμον, ἄνθρωπον ἐν γήρᾳ βαθυτάτῳ μετὰ γυναικὸς καὶ αὐτῆς προβεβηκυίας λοιπὸν καὶ πλήθους οἰκετῶν μετανιστάμενον, καὶ οὐδὲ, ὅπου λήξει αὐτῷ τὰ τῆς πλάνης, εἰδότα. εἰ δέ τις κἀκεῖνο συνετῶς λογίσαιτο, πόση κατ' ἐκεῖνον τὸν καιρὸν ὁδῶν ἡ δυσκολία ἦν· οὐδὲ γὰρ καθάπερ νῦν μετὰ ἀδείας ἐξῆν ἐπιμίγνυσθαί τισι, καὶ οὕτως εὐκόλως τὰς ἀποδημίας ποιεῖσθαι, τῆς ἀρχῆς κατὰ τόπους οὔσης διῃρημένης, καὶ ἀναγκαζομένων τῶν διοδευόντων ἀπὸ D ἀρχόντων εἰς ἄρχοντας μεταπηδᾷν, καὶ καθ' ἑκάστην σχεδὸν ἀπὸ βασιλείας εἰς βασιλείαν μεταβαίνειν. καὶ τοῦτο τοίνυν ἱκανὸν ἦν κώλυμα τῷ δικαίῳ, εἴγε μὴ πολὺν εἶχε τὸν πόθον, καὶ τὴν ἐκ τοῦ ἐπιτάγματος ὑπακοήν. ἀλλ' οὗτος καθάπερ ἀράχνια, ταῦτα πάντα διασπάσας τὰ κωλύματα, καὶ τῇ πίστει νευρωθεὶς τὸν λογισμὸν, καὶ τῷ ἀξιώματι τοῦ ἐπαγγειλαμένου πεποιθὼς, ἥπτετο τῆς ὁδοιπορίας. καὶ ἔλαβε, φησὶν, Ἀβραμ Σάραν τὴν γυναῖκα αὐτοῦ, καὶ Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν, ὅσα ἐκτήσαντο ἐν Χαῤῥὰν, καὶ ἐξῆλθε πορευθῆναι εἰς γῆν Χαναάν.

Vidiſti quomodo nec ætas ei fuit obſtaculo, neque aliud quiddam quod potuit eum detinere vt domi reſideret: ſed vicit omnia ipſius in Deum amor. Anima enim vigilans & ſobria, cuncta abrumpit impedimenta, totáque fit eius quod amat, & à nullo quod in medio apparet difficile, retardari ſe patitur: ſed omnia præterit, nec ſubſiſtit priuſquam re deſiderata potiatur. Propterea & iuſtus iſte neque ſenectute, neque aliis maioribus cauſis prohiberi potuit, quin omnibus diſruptis vinculis, quaſi iuuenis & ætate florens, ac à nullo prohibitus, feſtinabat & anhelabat Domini præceptum perficere. Neque enim poſſibile eſt, vtrem fortem & egregiam quis vnquam aliter faciat, niſi antea aduerſus omnia quæ eiuſmodi conatui obſiſtere poſſunt, ſe armet & inſtruat. Hoc vtiq; clarè ſciens & iuſtus ille, omnibus præteritis non curabat vel conſuetudinem, vel domum paternam, vel ſepulchrum, vel ſenectutem ipſam: ſed in hoc duntaxat figebat mentem, quomodo implere poſſet quod à Domino fuerat imperatum. Licebat hîc videre rem multis miraculis plenam, quòd homo in profundiſſima ſenecta, cum vxore etiam ipſa ætatis prouectæ, & multis famulis ſe aliò transferat, maximè quòd neſcius vbinam errandi futurus finis. Quòd ſi quis & illud prudenter expendat, quantæ per illud tempus viarum difficultates erant. Neque enim ſicut nunc, licebat impauidè cum aliis verſari, & tam facilè profectiones ſuſcipere. Nam ſingula loca propriis principatibus diſtincta erant, erátque neceſſe iter agentibus ab aliis ad alios principes tranſire, & ferè quotidie de regno in regnum progredi. Erat igitur & hoc nonnihil obſtaculi iuſto, niſi tantum habuiſſet diuina mandata perficiendi deſiderium. Verùm omnibus illis impedimentis, quaſi araneæ telę eſſent, diſruptis, mentéque fide roborata, bene fidens dignitati promittentis, iter aggreſſus eſt. 5. *Et accepit,* inquit, *Abram Saram vxorem ſuam, & Loth filium fratris ſui, vniuerſámque ſubſtantiam, quam poſſederant in Charran, & exiuit vt proficiſceretur in terrā Chanaam.*

Vide ſcripturæ diligentiam, quomodo nobis omnia narrat, vt per omnia diſcamus iuſti pietatem ac religionem. Accepit, inquit, Saram vxorem ſuam, & Loth, vniuerſámque ſubſtantiam quam poſſederant in Charran. Non ſimpliciter dixit: Omnia quæcunque poſſederant in Charran: ſed vt diſcamus quòd nihil ex bonis Chaldaïcis accipiebat patriarcha, ſed paternis illis omnibus relictis fratri, exiit, ea ſolùm ſecum ferens quæ & in Charran poſſidebat. Et hoc faciebat, non quòd vſq; adeo illa magnifaceret: ſed vt ex facultatibus illis poſſet omnibus teſtari, quanta Dei erga ſe fuiſſet prouidentia. Qui enim ex terra Chaldæorum eum euocauit, & iterum inde migrare iuſſit, ipſe & ſubſtantiam illius quotidie augebat, & omnem moleſtiam auferebat. Itaque quòd hæc ſecum ferebat, & per omnem viam ſic procedebat, ſpecimen erat piæ religioſæque mentis. Quicunque enim videbat, meritò cauſam requirebat, quare iuſtus ille peregrinus eſſet. Deinde intelligens, quòd iuſſu Dei in alienam terram, relictis propriis tranſiret, per opera ipſa docebatur & diſcebat quàm pia eſſet iuſti obedientia, & quàm excellens Dei erga illum cura. *Et exiuit,* inquit, *vt proficiſceretur in terram Chanaan.* Vnde ſciebat, quòd in terra Chananæa futurus eſſet ſuæ peregrinationis terminus? Quamuis præceceptum ita continebat: Veni in terram quam monſtrauero tibi: fortaſſe Deus ei & hoc ſignificauit, indicans menti eius terram, in qua ipſum cõſtituere volebat. Propterea enim cũ prçciperet ei, indefinitè dicebat: Veni in terram, quam monſtrauero tibi, vt nobis iuſti virtutem detegeret. Deinde poſtquam ille quod ſuum erat magna largitate attulit, mox Deus ei ſignificauit, in qua terra vellet eum domicilium habere. Quia enim eximias iuſti virtutes prçuidebat, idcirco eum ex domo euocauit, & neque fratrem vt acciperet iuſſit: quoniam volebat hunc doctorem fieri, nunc quidem omnibus Palæſtinis, paulò poſt autem etiam Ægyptiis. Vidiſti quomodo non in natura, ſed in voluntate mentis noſtræ ſita ſunt tam quæ ad virtutem, quàm quæ ad vitia pertinent

Auget opus Abrahæ Deus.

A ὅρα τῆς γραφῆς τὴν ἀκρίβειαν, πῶς ἡμῖν ἅπαντα διηγεῖται, ἵνα διὰ πάντων μάθωμεν τοῦ δικαίου τὸ φιλόθεον. καὶ ἔλαβε, φησι, Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ, καὶ Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ πάντα ὅσα ἐκτήσατο ἐν Χαῤῥάν. οὐχ ἁπλῶς εἶπε πάντα ὅσα ἐκτήσατο ἐν Χαῤῥὰν, ἀλλ᾽ ἵνα μάθωμεν, ὅτι οὐδὲν τῶν ἀπὸ τῶν Χαλδαίων ἐπηγάγετο ὁ πατριάρχης, ἀλλὰ πάντα ἐκείνων τῶν πατρῴων παραχωρήσας τῷ ἀδελφῷ οὕτως ἐξῄει ἐκεῖνα μόνα ἐπιφερόμενος, ὅσα εἰς τὴν Χαῤῥὰν ἠδυνήθη κτήσασθαι. καὶ τοῦτο δὲ ἐποίει ὁ θαυμάσιος οὐχὶ περὶ πολλοῦ ποιούμενος ταῦτα, οὐδὲ ὡς φιλοχρήματος τυγχάνων, ἀλλ᾽ ἵνα πᾶσιν ἔχῃ δεικνύναι διὰ B τῆς περιουσίας αὐτοῦ τὴν τοῦ θεοῦ τὴν περὶ αὐτὸν πρόνοιαν. ὁ γὰρ ἐκ τῆς Χαλδαίων γῆς αὐτὸν ἀναστήσας, καὶ πάλιν ἐντεῦθεν μετοικισθῆναι προστάξας, αὐτὸς ἦν ὁ καὶ τὴν περιουσίαν αὐτοῦ αὔξων ἐφ᾽ ἑκάστης, καὶ ἅπασαν δυσκολίαν ἀναιρῶν· ὥστε καὶ τοῦτο αὐτὸ δεῖγμα τῆς φιλοθέου αὐτοῦ γνώμης ἐτύγχανε, τοσαῦτα ἐπιφερόμενον οὕτω διὰ πάσης ἰέναι τῆς ὁδοῦ. ἕκαστος γὰρ τῶν ὁρώντων εἰκότως τὴν αἰτίαν μανθάνειν ἐβούλετο τῆς τοῦ δικαίου ἀποδημίας. εἶτα πυνθανόμενος, ὅτι τῷ θεοῦ κελεύσματι ἐπὶ τὴν ἀλλοτρίαν μετέστη τὰ οἰκεῖα καταλιπὼν, δι᾽ αὐτῶν τῶν C ἔργων ἐδιδάσκετο, καὶ τῆς τε ὑπακοῆς τοῦ δικαίου τὸ φιλόθεον ἐμάνθανε, καὶ τῆς περὶ αὐτὸν προνοίας τοῦ θεοῦ τὴν ὑπερβολήν. καὶ ἐξῆλθε, φησι, πορευθῆναι εἰς γῆν Χαναάν. πόθεν ᾔδει, ὅτι εἰς τὴν Χαναναίων γῆν λήξει αὐτῷ τὰ τῆς ἀποδημίας, καίτοι τοῦ ἐπιτάγματος οὕτως ἔχοντος, ὅτι δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω; ἴσως ὁ θεὸς αὐτῷ καὶ τοῦτο ἐμήνυσεν, ὑποδείξας αὐτοῦ τῇ διανοίᾳ τὴν γῆν, εἰς ἣν ἐβούλετο αὐτὸν καταστῆσαι. διὰ γὰρ τοῦτο ἡνίκα αὐτῷ ἐπέταττεν, ἀορίστως ἔλεγε, δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω, ἵνα ἡμῖν ἐκκαλύψῃ τοῦ δικαίου τὴν D ἀρετήν. εἶτα ἐπειδὴ τὰ παρ᾽ ἑαυτοῦ μετὰ πολλῆς τῆς δαψιλείας εἰσήνεγκε, ταχέως καὶ αὐτὸς τὴν γνῶσιν αὐτῷ ἐνέθηκε τῆς γῆς, εἰς ἣν ἐβούλετο αὐτὸν τὴν οἴκησιν ποιήσασθαι. ἐπειδὴ γὰρ προεώρα τῆς ἀρετῆς τοῦ δικαίου τὸ μέγεθος, διὰ τοῦτο καὶ οἴκοθεν αὐτὸν ἀνέστησε, καὶ οὔτε τὸν ἀδελφὸν λαβεῖν ἐπέταξεν, ἐπειδὴ ἐβούλετο τοῦτον διδάσκαλον νῦν μὲν τοῖς κατὰ τὴν Παλαιστίνην ἅπασι γενέσθαι, μετ᾽ ὀλίγον δὲ καὶ τοῖς κατὰ τὴν Αἴγυπτον. εἶδες πῶς οὐκ ἐν τῇ φύσει, ἀλλ᾽ ἐν τῇ προαιρέσει τῆς γνώμης τῆς ἡμετέρας κεῖται καὶ τὰ τῆς ἀρετῆς καὶ τὰ τῆς

κακίας

A κακίας; ἰδοὺ γὰρ κατὰ μὲν τὴν φύσιν ἀδελφοὶ ἐτύγχανον ὅ τε πατριάρχης, καὶ ὁ Ναχώρ, κατὰ δὲ τὴν προαίρεσιν οὐκ ἔτι. ἀλλ' ἐκεῖνος μὲν καίτοι τοῦ ἀδελφοῦ πρὸς τοσαύτην ἀρετὴν φθάσαντος, ἔτι τῇ πλάνῃ προκατείληπτο· οὗτος δὲ καθ' ἑκάστην ἡμέραν ἐδείκνυ δι' αὐτῶν τῶν πραγμάτων ἅπασι τῆς κατὰ θεὸν αὐτοῦ ἀρετῆς τὴν ἐπίδοσιν. καὶ ἦλθε, φησιν, εἰς γῆν Χαναάν, καὶ διώδευσεν Ἀβραὰμ τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς, ἕως τοῦ τόπου τοῦ Συχὲμ ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν. διδάσκει ἡμᾶς ἡ γραφὴ τὸ μέρος τῆς χώρας, εἰς ὃ νῦν τὴν κατοίκησιν ποιεῖται ὁ δίκαιος. εἶτα, ἵνα μάθωμεν ὅπως διέκειτο ἔτι τὰ αὐτόθι, φησίν, B οἱ δὲ Χαναναῖοι τότε κατῴκουν τὴν γῆν. οὐχ ἁπλῶς τοῦτο ἐπεσημήνατο πάλιν ὁ μακάριος Μωυσῆς, ἀλλ' ἵνα μάθωμεν καὶ ἐντεῦθεν τὴν φιλόσοφον γνώμην τοῦ πατριάρχου, ὅτι τῶν τόπων ἔτι προκατειλημμένων ὑπὸ τῶν Χαναναίων, ἠναγκάζετο, καθάπερ ἀλήτης καὶ ξένος καὶ ὡς εἷς τῶν εὐτελῶν καὶ ἀπερριμμένων, ὡς ἔτυχε καταλύειν, οὐδὲ καταγωγῆς ἴσως εὐπορῶν. καὶ ὅμως οὐδὲ οὕτως ἐδυσχέραινεν· οὐδὲ εἶπε, τί τοῦτο; ὁ μετὰ τοσαύτης τιμῆς καὶ θεραπείας διάγων ἐν τῇ Χαρράν, νῦν ἀναγκάζομαι, ὡς ἄπολις καὶ ξένος καὶ C ἔπηλυς, ἐν χάριτος μέρει περιϊέναι, καὶ καταγωγῆς εὐτελοῦς ἐπιζητεῖν ἀνάπαυσιν, καὶ οὐδὲ οὕτως ἐπιτυχεῖν δύναμαι αὐτοῦ, ἀλλ' ἐν σκηναῖς καὶ καλύβαις με διάγειν ἀνάγκη, καὶ τὰς ἄλλας ἁπάσας φέρειν ταλαιπωρίας. τοῦτό ἐστιν ὅλον ὃ ἔλεγε, δεῦρο καὶ ποιήσω σε εἰς ἔθνος μέγα; τέως μοι καλὰ τὰ προοίμια. τί χρηστὸν ἔστι προσδοκῆσαι λοιπόν; ἀλλ' οὐδὲ οὕτως ἠνέσχετο τι τοιοῦτον εἰπεῖν ὁ δίκαιος, οὐδὲ ἐνδοιάσαι· ἀλλ' ὁλοκλήρῳ τῇ διανοίᾳ καὶ τελείᾳ τῇ πίστει θαρρήσας ταῖς τοῦ θεοῦ ὑποσχέσεσιν ἀκλινῆ διηνεκῶς εἶχε τὸν λογισμόν· D διὸ καὶ ταχέως ἠξιώθη τῆς ἄνωθεν παραμυθίας. Ἠθικόν. ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος ἐκτείνωμεν τὴν διδασκαλίαν, ἐνταῦθα στήσαντες καταπαύσωμεν τὸν λόγον, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην μιμήσασθαι τὴν τοῦ δικαίου τούτου γνώμην. καὶ γὰρ ἂν εἴη τῶν ἀτοπωτάτων, εἰ ὁ μὲν δίκαιος οὗτος ἀπὸ γῆς εἰς γῆν καλούμενος τοσαύτην ἐπεδείξατο τὴν ὑπακοήν, καὶ οὔτε τὸ γῆρας, οὔτε τὰ ἄλλα, ἅπερ ἀπηριθμησάμεθα, κωλύματα, οὔτε ἡ τῶν καιρῶν δυσχολία, οὔτε ἄλλο τι τῶν ἐπισχεῖν αὐτὸν δυναμένων ἴσχυσεν ὀκνηρότερον αὐτὸν περὶ τὴν ὑπακοὴν καταστῆσαι,

Ecce natura quidem fratres erant, ipſe patriarcha & Nachor, voluntate autem non item. Sed ille, licet frater ad tantas virtutes perueniſſet, adhuc errore præoccupatus fuit: hic autem omnibus quotidie per opera ipſa monſtrabat virtutis ſuæ erga Deum incrementa. [Non in natura, ſed in voluntate ſita virtus.] [6] *Et venit*, inquit, *in terram Chanaan, & pertranſiuit Abram terram in longitudinem eius, vſque ad locum Sychem, ad quercum excelſam.* Docet nos ſcriptura locum regionis, in quo nunc iuſtus domicilium collocat. Deinde vt ſciamus, quomodo ſe illic res habebāt, inquit. *Chananæi autem tunc inhabitabant terrā.* Neque hoc ſimpliciter & abſque cauſa beatus Moſes aſſignauit, ſed vt diſcamus etiam illinc mentem patriarchæ philoſophicā & bene inſtitutam. Quia cùm loca illa preoccupata eſſent à Chananæis, cogebatur quaſi vagus & peregrinus, & quaſi abiectus & vilis aliquis diuerſari, vt fortè obtingebat. Et fortè neque diuerſorium facilè inueniebat: attamen neque ſic ægrè ferebat, neque impatiens intra ſeipſum dicebat: Quid hoc? Ipſe ego qui tanto cum honore, & tanta cum obſeruatione agebam in Charran, nunc cogor ſicut ciuitate carens, & peregrinus, & aduena obambulare, ídque gratiæ loco ducere, & quietem in vili quærere diuerſorio, & neque hoc inuenire poſſum, ſed in tabernaculis & tuguriolis verſari, aliáſque miſerias ferre cogit me neceſſitas. Hoccine eſt, quod dicebat: Veni, & faciam te in gentem magnam? Pulchra ſcilicet præludia, quid ſuaue poſthac expectandum? At nihil tale dicebat iuſtus, neque fluctuabat, ſed integra mente & perfecta fide, bene fidens Dei promiſſis, immoto perſtitit animo, vnde ſtatim & ſupernam conſolationem accipere meruit. Verùm ne ſermonem producamus longius, hic ſermoni finem imponamus, illud vnum orantes charitatem veſtram, vt mentem iuſti illius imitemini. [Moralis exhortatio.] Etenim abſurdiſſimum eſſet, quòd iuſtus ille, cùm de terra in terram vocaretur, tantam præ ſe tulit obedientiam, & neque ſenectus, neque alia quæ enumerauimus præpedimenta, neque temporum difficultas, neque vlla alia, quæ remorari ipſum poſſe videbantur, ad obediendum tardiorem eum facere potuere.

A ſed omnibus vinculis ruptis, cucurrit & feſtinauit ſenex, quaſi iuuenis reſumptis viribus, cum vxore, & fratris filio, & famulis, vt perficeret opere quod ſibi à Deo demandatum erat. Nos autem qui non de terra in terram vocamur, ſed de terra in cœlum, non eandem quam ille iuſtus alacritatem obediendo exhibemus, ſed frigidas plerunque & inutiles prætexímus cauſas: & neque nos promiſſorum magnitudo, neque viſibilium rerum vilitas, neque quòd terrenæ ſunt & momentaneæ, neque vocantis dignitas nos adeò attrahit: ſed adeo ſumus
B negligẽtes, vt præferamus momentanea ſemper manentibus, terram cœlo, ea quæ auolant antequam habeantur, iis quæ nunquam finem accipere poſſunt. Quouſque enim, dic quæſo, ita inſanimus in colligendis pecuniis? quæ rabies cogit quotidie à tam moleſta concupiſcentia infeſtari, & nunquam ſatiari, ſed deterius habere quàm qui ſunt ebrij? Nam ſicut illi quantò mahis mero ſe diſtendunt, tantò magis flagrant ſiti, & caminum ſuccendunt minus tolerabilem: ita nimirum & iſti qui ſeſe tyrannidi auaritiæ
C ſubiecerunt, nullum concupiſcentiæ finem ſciunt: ſed quantò plura affluunt, tantò magis flamma creſcit, & caminus ardet validius. Non videmus quòd ij qui ante nos fuere, quamuis propemodum totius orbis, domini eſſent, nudi & ſolitarij ex hac vita abrepti ſunt, hoc ſolum inde conſecuti quòd rationes & pœnæ pro omnibus illic ab eis exigentur? Et quidem ſæpenumero inimici facultates eorum inter ſe diſtribuerunt: peccata autem quæ ex illis contracta, ipſi ſolum ſecum ferentes, abiere, & pro iis magnæ
D indignationis ſupplicia ſuſtinentes, conſolatione vndique deſtituuntur. Quare igitur, dic oro, tam negligentes ſalutis noſtræ, ita conſultamus de anima noſtra, quaſi aliena eſſet, & non noſtra? Non audis Chriſtum dicentem: Quam dabit homo commutationem animę ſuę? Et iterum: Quam vtilitatem accipit homo, ſi totum mũdum lucretur, animæ autem ſuæ detrimentum patiatur? Num habes quod pro hac rependatur dignè? Etiamſi totum orbẽ dixeris, nihil dices. Quæ enim vtilitas, ſicut dixit Chriſt^9,

Matth. 16.26. & Marc.8. Ibid. & Luc.9.

ἀλλὰ πάντα διαρρήξας τὰ δεσμὰ ἔτρεχε, καὶ ἠπείγετο ὁ γέρων, καθάπερ νέος σφριγῶν, μετὰ τῆς γυναικὸς καὶ τοῦ ἀδελφιδοῦ καὶ τῶν οἰκετῶν εἰς ἔργον ἀγαγεῖν τὸ παρὰ τοῦ θεοῦ ἐπιταχθέν. ἡμεῖς δὲ οὐκ ἀπὸ γῆς εἰς γῆν καλούμενοι, ἀλλ' ἀπὸ γῆς εἰς τὸν οὐρανὸν, οὐδὲ τὴν αὐτὴν τῷ δικαίῳ προθυμίαν περὶ τὴν ὑπακοὴν ἐπιδεικνύμεθα, ἀλλὰ ψυχρὰς πολλάκις καὶ ἀνονήτους προβαλλόμεθα αἰτίας, καὶ οὔτε τὸ μέγεθος τῶν ἐπαγγελιῶν, οὔτε τὸ εὐτελὲς τῶν ὁρωμένων, ὅτι γήϊνα καὶ πρόσκαιρα, οὔτε τὸ τοῦ καλοῦντος ἀξίωμα ἐφέλκεται ἡμᾶς· ἀλλὰ τοσαύτην ἐπιδεικνύμεθα τὴν ῥαθυμίαν, ὡς προτιμᾶν τῶν ἀεὶ μενόντων τὰ πρόσκαιρα, καὶ τὴν γῆν τοῦ οὐρανοῦ, καὶ τὰ μηδέποτε τέλος λαβεῖν δυνάμενα τῶν πρὶν ἢ φανῆναι ἀφιπταμένων. μέχρι γὰρ πότε, εἰπέ μοι, οὕτως ἂν μεμήναμεν περὶ τὴν τῶν χρημάτων συλλογήν; τίς ἡ λύσσα τὸ καθ' ἑκάστην ἡμέραν ὑπὸ τῆς χαλεπῆς ἐπιθυμίας πολιορκεῖσθαι, καὶ μηδέποτε κόρον λαμβάνειν, ἀλλὰ καὶ τῶν μεθυόντων χαλεπώτερον διακεῖσθαι; καθάπερ γὰρ ἐκεῖνοι, ὅσῳ ἂν πλείονα πίνωσι τὸν ἄκρατον, τοσούτῳ μᾶλλον ἐκκαίονται πρὸς τὸ δίψος, καὶ χαλεπωτέραν τὴν κάμινον ἀνάπτουσιν· οὕτω δὴ καὶ οὗτοι τῇ τυραννίδι τῆς τῶν χρημάτων ἐπιθυμίας ἑαυτοὺς ἐκδεδωκότες οὐδέποτε ἵστανται τῆς ἐπιθυμίας· ἀλλ' ὅσῳ ἂν πλείονα περιβάλλωνται, τοσούτῳ μᾶλλον αἴρεται ἡ φλὸξ, καὶ σφοδροτέρα ἡ κάμινος ἀνάπτεται. οὐχ ὁρῶμεν τοὺς πρὸ ἡμῶν, ὅτι, μετὰ τὸ ἁπάσης, ὡς εἰπεῖν, τῆς οἰκουμένης περιβαλέσθαι, γυμνοὶ καὶ ἔρημοι ἐντεῦθεν ἀνηρπάσθησαν, τοσοῦτον μόνον ἀπολαύσαντες, ὅσον δίκας ἐκεῖ καὶ εὐθύνας ὑπὲρ ἁπάντων ἀπαιτεῖσθαι; καὶ τὰ μὲν τῆς οὐσίας πολλάκις διενείμαντο διάφοροι· τὰ δὲ ὑπὲρ τούτων ἁμαρτήματα αὐτὸς μόνος ἐπιφερόμενος, ἄπεισι, τὰς ὑπὲρ τούτων κολάσεις μετὰ πολλῆς τῆς ἀγανακτήσεως ὑπέχων, καὶ οὐδεμίαν οὐδαμόθεν παραμυθίαν εὑρεῖν δυνάμενος. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, οὕτως ἀμελῶς πρὸς τὴν ἑαυτῶν σωτηρίαν διακείμεθα, καὶ ὡς περὶ ἀλλοτρίας οὕτω βουλευόμεθα περὶ τῆς ἑαυτῶν ψυχῆς; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος, τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; καὶ πάλιν, τί ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; μὴ γὰρ ἔχεις τι ταύτης ἀντάξιον; κἂν τὴν οἰκουμένην ὅλην εἴπῃς, οὐδὲν ἐρεῖς. τί γὰρ ὄφελος, καθάπερ ὁ Χριστὸς εἶπε,

πάντα τὸν κόσμον κερδῆσαι, τὴν δὲ ψυχὴν ζημιω- A
θῆναι, ἧς ἡμῖν οἰκειότερον οὐδέν; ταύτην οὖν τὴν
οὕτω τιμίαν, τὴν οὕτως ὀφείλουσαν ἡμῖν εἶναι περι-
σπούδαστον, ταύτην οὕτω περιορῶμεν καθ' ἑκά-
στην ἡμέραν σπαραττομένην, καὶ ποτὲ μὲν ὑπὸ τῆς
τῶν χρημάτων ἐπιθυμίας πολιορκουμένην, ποτὲ
δὲ ὑπὸ ἀσελγείας καταξαινομένην, ἄλλοτε δὲ
ὑπὸ θυμοῦ καταισχυνομένην, καὶ διαφόρως ὑφ'
ἑκάστου τῶν παθῶν κατατεινομένην, καὶ οὐδεμίαν
οὐδὲ γοῦν ποτὲ περὶ αὐτὴν πρόνοιαν ποιούμε-
θα; καὶ τίς ἀξιώσει ἡμᾶς λοιπὸν συγγνώμης, ἢ
ἐξαιρήσεται τῆς ἐπικειμένης κολάσεως; διό, παρα-
καλῶ, ὡς ἔτι καιρὸν ἔχομεν, ἀποσμήχωμεν αὐτῆς B
τὸν ῥύπον διὰ δαψιλοῦς ἐλεημοσύνης, καὶ σβέσω-
μεν διὰ ταύτης τὴν πυρὰν τῶν ἡμετέρων ἁμαρ-
τημάτων. πῦρ γάρ, φησι, φλογιζόμενον ἀποσβέσει
ὕδωρ, καὶ ἐλεημοσύναις ἀποκαθαίρονται ἁμαρ-
τίαι. οὐδὲν γάρ, οὐδὲν ἕτερον οὕτως ἐξελέσθαι ἡμᾶς
δυνήσεται τῆς τοῦ πυρὸς γεέννης, ὡς ἡ περὶ ταύ-
την δαψίλεια. ἂν ταύτην ἐπιδειξώμεθα κατὰ τοὺς
ὑπ' αὐτοῦ δοθέντας νόμους, μηδὲν πρὸς ἐπίδει-
ξιν διαπραττόμενοι, ἀλλὰ διὰ τὸν περὶ τὸν θεὸν
πόθον, δυνησόμεθα καὶ τῶν ἡμαρτημένων ἡμῖν τὸν
ῥύπον ἀπονίψασθαι, καὶ τῆς παρὰ τοῦ θεοῦ φιλαν- C
θρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ
μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ αὐτῷ τῷ πατρὶ, ἅμα
τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ νῦν καὶ
ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία λβ.

Καὶ ὤφθη κύριος τῷ Ἀβρὰμ, καὶ εἶπεν αὐτῷ· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ τῷ ὀφθέντι αὐτῷ.

Πολὺς ὁ θησαυρὸς καὶ ἄφατος,
ἀγαπητοί, ἐν τοῖς πρόσφατον D
ἀναγνωσθεῖσι, καὶ δεῖ συντεταμένης
διανοίας καὶ λογισμοῦ νήφοντος
καὶ διεγηγερμένου, ὥστε μηδὲν ἡμᾶς παραδραμεῖν
τῶν ἐγκεκρυμμένων τοῖς βραχέσι τούτοις ῥήμασι.
διὰ γὰρ τοῦτο καὶ ὁ φιλάνθρωπος θεὸς οὐκ αὐτό-
θεν καὶ ἐκ ψιλῆς ἀναγνώσεως πάντα τὰ ἐν ταῖς
γραφαῖς κείμενα, εὐσύνοπτα καὶ δῆλα ἡμῖν
τυγχάνειν συνεχώρησεν, ἵνα τὴν νωθείαν ἡμῶν
διεγείρῃ, καὶ πολλὴν τὴν ἀγρυπνίαν ἐπιδειξά-
μενοι οὕτω τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπωσώμεθα.

totum mundum lucrifacere, animæ A
autem detrimentum pati, qua nihil
nobis magis familiare? Verum eam
quæ tam precioſa eſt, cuius tantam
curam agere debemus, vt nihil illi
præferri debeat, ſic deſpicimus, vt
quotidie diſcerpatur, & interim ab
auaritia expugnetur, aliquando à lu-
xuria excorietur, interdum ab ira
confundatur, & à quibuſuis affectio-
nibus multifariam vexetur: & ita
erga eam affecti ſumus, vt nullam
illius geramus curam. Quis nos poſt-
hac dignabitur venia, & ab immi-
nente pœna eripiet? Idcirco obſe-
cro, vt cùm tempus habemus, de- B
tergamus eius ſordes largis eleemo-
ſynis, & illis peccatorum noſtrorum
flammam extinguamus. Ignem enim,
inquit, ardentem extinguit aqua,
peccatum verò eleemoſynæ. Nihil Eccl. 3. 33
enim prorſus ita nos eximere poteſt
à gehenna ignis, atque largitas elee-
moſynarum. Iſtam ſi præſtiterimus
iuxta leges à Domino traditas, nem-
pe nihil ad oſtentationem facientes,
ſed ob amorem in Deum, poterimus
& peccatorum noſtrorum maculas
abluere, & diuinam miſericordiam C
aſſequi, gratia & miſerationibus v-
nigeniti filij Dei, domini noſtri Ieſu
Chriſti, cui cum patre, & ſancto Spi-
ritu ſimul ſit gloria, imperium, honor,
nunc, & ſemper, & in ſecula ſecu-
lorum. Amen.

HOMILIA XXXII.

Et viſus eſt Dominus Abræ, & dixit ei: ſemini tuo dabo terram hanc, & extruxit ibi altare Domino, qui viſus eſt ei. Gen. 12. 7.

MVLTVS & immenſus in iis, quæ paulo ante ſunt lecta, theſaurus latet dilectiſſimi, & opus eſt intenta mente, ſobriáque & vigilanti ratione, ita vt nihil eorum quæ in breuibus verbis latent, nos prætereat. Nam propter hoc & miſericors Deus non facili & perfunctoria lectione voluit nobis omnia quæ in ſcripturis continentur, manifeſta & perſpicua eſſe, vt excuſſa ſomnolentia noſtra vigiles ipſi multam decerpamus vtilitatem.

Cur noluerit Deus claram eſſe ſcripturã.

Solent enim ea, quæ labore & inquiſitione aliqua inueniuntur, magis inſigi noſtræ menti: ea verò quæ facilè conquiruntur, citius è corde noſtro auolare. Obſecro igitur ne ſimus negligentes, ſed excitemus mentem noſtram, & penitus in ipſam ſcripturarum profunditatem intueamur, vt maiori inde lucro accepto, domum redire liceat. Eſt enim eccleſia Dei mercatus quidam ſpiritualis medicorúmque officina animabus: & par eſt, vt ſicut qui ad nundinas veniunt, inde multis mercibus conquiſitis redeamus: vel quaſi è medici domo, receptis quæ animabus noſtris congruunt medicamentis, exeamus. Non enim ideo quotidie confluimus, vt duntaxat conuentus fiant ſimpliciter: ſed propterea congregamur, vt vnuſquiſque pharmaco ſuis affectionibus congruo ſuſcepto, domum concedat. Quomodo enim non fuerit abſurdiſſimum, quòd à puerulis noſtris quotidie à ſcholis redeuntibus petimus, quid amplius diſcendo profecerint, & adiecerint (neque enim ſineremus eos fruſtra & abſque vtilitate in ludum ire, niſi fructum ampliorem inde conſecuturos videremus) nos autem qui iuſtam ætatem habemus, & in ſpiritualibus ſcholis ſumus, non par illis ſtudium exhibemus, maximè cùm hæc in lucrum & ſalutem animarum ſpectent? Igitur obſecro, vt ſeipſum quotidie ſcrutetur vnuſquiſque, quid ex hodierna, quid ex proxima lectione vtilitatis retulerit, vt ne videamur & nos temerè atque fruſtra adeſſe. Quod ſanè nos extra culpam facit, offerimus enim quicquid noſtri eſt officij, & nihil prorſus quod poſſumus intermittimus: quod verò iis qui nobis ſuccenſent, nec occurrunt, nec dicta diligenter auſcultant, maioris condemnationis erit occaſio:
Matth. 25.26. Luc. 19. Audi Chriſtum dicentem ei qui talentum defoderat: Maligne ſerue, oportebat te pecuniam meam apud nummularios depoſuiſſe, & veniens ego repetiſſem eam cum vſura. De
Ioan. 15. 22. Iudæis autem: Si non veniſſem, & locutus fuiſſem eis, peccatum non habuiſſent: nunc autem excuſationem non habent. Cæterum nos nunc non hoc agimus, vt prorſum crimine careamus, & in nullo arguamur,

A εἴωθε γὰρ πως τὰ μὲν μετὰ πόνου καὶ ζητήσεως εὑρισκόμενα μᾶλλον ἐμπήγνυσθαι ἡμῶν τῇ διανοίᾳ. τὰ δὲ μετ' εὐκολίας, θᾶττον ἀφίστασθαι τῆς καρδίας τῆς ἡμετέρας. μὴ τοίνυν ῥαθυμῶμεν, παρακαλῶ. ἀλλὰ διεγείρωμεν ἡμῶν τὸν λογισμὸν, καὶ πρὸς τὸ βάθος αὐτὸ τῶν γεγραμμένων ὁλοσχερῶς καταπλεύσωμεν, ἵνα δυνηθῶμεν κερδάναντές τι πλέον ἐντεῦθεν, οὕτως οἴκαδε ἐπανελθεῖν. καὶ γὰρ πανήγυρίς ἐστι πνευματικὴ τοῦ θεοῦ ἡ ἐκκλησία, καὶ ἰατρεῖόν ἐστι ψυχῶν· καὶ δεῖ καθάπερ εἰς πανή-
B γυριν παραγινομένους, πολλὴν τὴν εὐπορίαν ἐντεῦθεν συλλέξαντας οὕτως ἐπανιέναι, καὶ καθάπερ εἰς ἰατρεῖον ἀπαντῶντας τὰ κατάλληλα τοῖς ὑποκειμένοις πάθεσι φάρμακα λαβόντας ἐξιέναι. οὐ γὰρ διὰ τοῦτο καθ' ἑκάστην ἡμέραν συνεδρεύομεν, ἵνα τὰς πρὸς ἀλλήλους συντυχίας ἁπλῶς ποιησάμενοι, οὕτως ἀπιόντες διαλυθῶμεν· ἀλλ' ἵνα ἕκαστός τι τῶν χρησίμων μαθὼν, καὶ πρὸς τὸ ἐνοχλοῦν πάθος τὴν ἰατρείαν δεξάμενος, οὕτως ἐντεῦθεν ἀναχωρήσῃ. πῶς γὰρ οὐκ ἂν εἴη τῶν ἀτοπωτάτων τὰ μὲν παιδία τὰ ἡμέτερα εἰς διδασκαλεῖον ἀπο-
C στέλλοντας, καθ' ἑκάστην ἡμέραν ἀπαιτεῖν παρ' αὐτῶν προσθήκην τινὰ τοῦ μαθήματος, καὶ οὐκ ἂν ποτε ἀνασχοίμεθα ἁπλῶς καὶ εἰκῆ ταῦτα βαδίζειν ἐκεῖσε, εἰ μὴ ἴδωμεν καρπούμενά τι πλέον· ἡμᾶς δὲ τοὺς εἰς μέτρον ἡλικίας φθάσαντας, καὶ εἰς τὸ πνευματικὸν τοῦτο διδασκαλεῖον παραγινομένους, μὴ τὴν ἴσην ἐκείνοις σπουδὴν ἐπιδείκνυσθαι, καὶ ταῦτα ἔνθα εἰς τὴν τῆς ψυχῆς σωτηρίαν τὸ κέρδος διαβαίνει; ἕκαστος τοίνυν ἡμῶν, παρακαλῶ, ἑαυτὸν καθ' ἑκάστην ἡμέραν διερευνάσθω, τί μὲν ἐκ τῆς ἡμερινῆς ἐκέρδανε διαλέξεως, τί δὲ ἐκ τῆς ἐπιού-
D σης, ἵνα μὴ δόξωμεν καὶ ἡμεῖς εἰκῆ καὶ ἁπλῶς ἐνταῦθα παραγίνεσθαι. ὅτι δὲ τοῦτο ἡμᾶς μὲν πάσης αἰτίας ἀφίησι· τὰ γὰρ καθ' ἑαυτοὺς ἅπαντα εἰσφέρομεν, καὶ οὐδὲν τῶν εἰς δύναμιν παραλιμπάνομεν· τοῖς δὲ ἀγανακτοῦσι, καὶ μετὰ ἀκριβείας μὴ προσέχουσι, καὶ καρποῦσθαί τι πλέον μὴ βουλομένοις μείζονος αἴτιον κατακρίσεως γίνεται. ἄκουσον τοῦ Χριστοῦ λέγοντος πρὸς μὲν τὸν καταχώσαντα τὸ τάλαντον· πονηρὲ δοῦλε, ἔδει σε τὸ ἀργύριόν μου καταβαλεῖν ἐπὶ τοὺς τραπεζίτας, καὶ ἐγὼ ἂν ἐλθὼν ἀπῄτησα αὐτὸ μετὰ τόκου· περὶ δὲ τῶν Ἰουδαίων, εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν. ἀλλὰ νῦν ἡμεῖς οὐ τοῦτο σκοποῦμεν, εἰ ἔξω τῶν ἐγκλημάτων ἐσμέν.

A ἀλλὰ τὴν ὑμετέραν ἐπιθυμοῦμεν προκοπήν, καὶ ἀκρωτηριάζεσθαι ἡμῖν ἡγούμεθα τὰ τῆς εὐφροσύνης, κἂν μυριάκις αὐτοὶ ὦμεν ἀνεύθυνοι, εἰ μὴ καὶ ὑμεῖς ἀξίαν τῶν πόνων τῶν ἡμετέρων τὴν σπουδὴν ἐπιδείξησθε. αὕτη γὰρ ἡμῖν τῆς εὐφροσύνης ἡ ὑπόθεσις, τὸ ὁρᾶν ὑμῶν τὴν ἐν τοῖς πνευματικοῖς ἐπίδοσιν. καὶ οἶδα μὲν ὅτι διὰ τὴν τοῦ θεοῦ χάριν συνέσεως πεπληρωμένοι ὄντες, δυνήσεσθε καὶ ἄλλους νουθετεῖν. ἀλλὰ κατὰ τὸν μακάριον Παῦλον ἐπαναμιμνήσκων ὑμᾶς, καὶ διεγείρων ὑμῶν τὸν ζῆλον καὶ τὴν προθυμίαν, ταῦτα συνεχῶς παραινῶ, βουλόμενος ὑμᾶς τελείους καὶ ἀπηρτισμένους γενέσθαι. οὐ μικρὸν γὰρ καὶ τοῦτο αὐτὸ δεῖγμα ποιοῦ- B μαι τῆς κατὰ θεὸν ὑμῶν προκοπῆς, τὸ μετὰ τοσαύτης προθυμίας καθ' ἑκάστην ἡμέραν ἐνταῦθα παραγίνεσθαι, καὶ ἀκορέστως ἔχειν περὶ τὴν πνευματικὴν διδασκαλίαν. ὥσπερ γὰρ ἡ περὶ τὴν σωματικὴν τροφὴν ὄρεξις, ὑγιείας ἂν εἴη μεγίστης σημεῖον· οὕτως ἡ περὶ τὴν πνευματικὴν διδασκαλίαν ἐπιθυμία, τῆς κατὰ ψυχὴν ὑγιείας τεκμήριον ἂν εἴη ἐναργέστατον. διά τοι τοῦτο κἀγὼ εἰδὼς ὑμῶν τὸν πόθον, καὶ ὅτι κἂν μυριάκις παρατείνω τὴν διδασκαλίαν, οὐδὲ οὕτως ἐμπλῆσαι ὑμῶν δύναμαι τὴν ἐπιθυμίαν, καὶ κόρον ἐμποιῆσαι τῆς τροφῆς C ταύτης τῆς πνευματικῆς, οὐ παύσομαι κατὰ δύναμιν τὴν ἐμὴν, ἅπερ ἂν ἡ τοῦ θεοῦ χάρις παρέχῃ, εἰς ὠφέλειαν ὑμετέραν ταῦτα ἐφ' ἑκάστης ὑμῖν παρατιθεὶς, καὶ τὰ ἀπὸ τῶν θείων γραφῶν διδάγματα ἐναποτιθέμενος ταῖς ὑμετέραις διανοίαις. Φέρε οὖν καὶ σήμερον τὸν φιλάνθρωπον δεσπότην παρακαλέσαντες ὁδηγῆσαι ἡμῶν τὴν γλῶτταν πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν, τὴν συνήθη παραθῶμεν ὑμῖν διδασκαλίαν, αὐτὰ πρότερον τὰ ἀναγνωσθέντα προθέντες ἐπὶ τῆς ὑμετέρας ἀγάπης· καὶ ὤφθη, φησὶ, κύριος ὁ θεὸς τῷ Ἀβραμ, D καὶ εἶπεν αὐτῷ. οὐ καλῶς ἔλεγον ἐξ ἀρχῆς, ὅτι πολὺς ὁ θησαυρὸς ἐναπόκειται τοῖς βραχέσι τούτοις ῥήμασιν; ἰδοὺ γὰρ εὐθέως ξένον καὶ καινὸν τὸ προοίμιον τῶν εἰρημένων. καὶ ὤφθη φησὶ κύριος ὁ θεὸς τῷ Ἀβραμ. πρῶτον τοῦτο εὑρίσκομεν ἐν τῇ γραφῇ νῦν τὸ ῥηθὲν ὅτι ὤφθη, οὔτε γὰρ ἐπὶ τοῦ Ἀδὰμ, οὔτε ἐπὶ τοῦ Ἄβελ, οὔτε ἐπὶ τοῦ Νῶε, οὔτε ἐπ' ἄλλου τινὸς ταύτῃ ἐχρήσατο τῇ λέξει ἡ θεία γραφή. τί οὖν ἐστι τὸ εἰρημένον, καὶ ὤφθη, φησί; καὶ πῶς ἑτέρωθι λέγει, οὐδεὶς ὄψεται τὸν θεὸν, καὶ ζήσεται; τί οὖν ἂν εἴποιμεν νῦν τῆς γραφῆς

ſed veſtrum profectum videre cupimus, & noſtram lætitiam imminui arbitramur, etiam quantumuis innocentes ipſi ſimus, niſi & vos ſtudium laboribus noſtris dignum exhibueritis. Hæc enim noſtræ lætitiæ materia eſt, ſi veſtra in ſpiritualibus incrementa videamus. Et ſcio quidem quòd gratia Dei tantum polletis intellectu, vt & alios valeatis exhortari. ſed iuxta beatum Paulum, memoriam veſtram refrico, & prouoco Rom. 15. 15. veſtrum zelum & promptitudinem animi, ſubinde hæc admonens, & cupiens vos perfectos & abſolutos fieri. Non enim mediocris argumentum mihi eſt hoc veſtri in diuinis profectus, quòd tanta promptitudine quotidie huc conuenitis, & ſpirituali doctrina expleri non poteſtis. Nam quemadmodum corporalis cibi appetitus, indicium eſt bonæ valetudinis: ita deſiderium ſpiritualis doctrinæ, manifeſtiſſimum argumentum eſt animæ bene habentis. Quapropter & ego bene conſcius veſtri deſiderij, quòd ſcilicet quantumuis producam ſermonem, non poſſim vel ſic explere deſiderium, & alimento ſpirituali vos ſatiare, non deſiſto pro mea virili, ea quæ Dei gratia ſuppeditat, in veſtram vtilitatem quotidie vobis proponere, & diuinæ ſcripturæ doctrinam mentibus veſtris inſerere. Age igitur & hodie miſericordem Deum obſecremus, vt linguam noſtram dirigat ad inueniendum quod quærimus, & pro more noſtro vobis afferamus doctrinam, propoſitis primum his quæ lecta ſunt charitati veſtræ, [7] *Et viſus eſt*, inquit, *dominus Abr.e. Et dixit ei.* Nónne bene dicebam ab initio, latere in paucis illis verbis magnum theſaurum? Ecce enim ſtatim rarum & admirabile proœmium. Et viſus eſt, inquit, dominus Deus Abræ. Hoc primum inuenimus in ſcriptura nunc dictum, quod viſus ſit. Neque enim ſcriptura diuina verbo hoc vſa eſt, cum de Adam, vel de Abel, vel de Noë, vel de alio quopiam locuta eſt. Quid igitur eſt quod dicit: Et viſus eſt? Et quomodo alibi dicit: Exod. Nullus videbit Deum, & viuet? 33.20. Quid igitur dicemus nunc ſcriptura

dicente: Et viſus eſt? Quomodo viſus eſt iuſto? Num ipſam ſubſtantiam vidit? Non, abſit. Sed quid? Sic viſus eſt, vt ipſe ſolus ſcit, & vt illi poſſibile erat videre. Solers enim cum ſit, ſapiens & miſericors dominus noſter, multas ſcit vias, quibus ſe humanæ attemperat naturæ, & ſemetipſum his qui ſe antea dignè præparauerunt, manifeſtat. Idque demonſtrat per prophetam, dicens: Ego viſiones multiplicaui, & in manibus prophetarum aſſimilatus fui.
Oſe. 12. 1. Quoniam & Eſaias vidit eum ſedentem: hoc autem Deo indignum. Deus
Eſa. 6. 1. enim non ſedet. Quî enim poteſt, cùm
Dan. 7. 20. ſit incorporea, & locis incomprehenſa natura? Et Daniel quoque vidit eum,
Zach. 1. vt antiquum dierum. Zacharias autem aliter eum contuitus eſt. Sed & Ezechiel aliter, vnde dicebat: Ego viſiones multiplicaui: hoc eſt, vnicuique apparui pro ſua dignitate. Et nunc quoque, quia iuſtum à domo eius euocarat, & imperauerat vt in alienam iret terram, in quam cùm veniſſet, tanquam vagus agebat & peregrinus, (vtpote Chananæis illic adhuc habitantibus) inquirens vbi domicilium collocare ipſum conueniret: Bonus Dominus conſolari eum, & eius ſolidare alacritatem volens, vt ne torpeſceret, neque dubitaret ad promiſſionem iam ſibi factam, qua dixit: Veni huc, & faciam te in gentem magnam: quandoquidem diuerſa à promiſſione videbat fieri, & ſe ob ambulare vti abiectum & vilem, & omni præſidio deſtitutum, neque habentem vbi diuerteret: vt igitur mentem eius excitet, inquit: *Et viſus eſt dominus Abræ, & dixit ei: Semini tuo dabo terram hanc.* Eſt & hæc pollicitatio magna, & aſſimilis illi per quam eum à domo euocarat. Dixerat enim: Magnificabo nomen tuum: & propterea nunc iterum dicit: Semini tuo dabo terram hanc. Nam cùm iam ſenex eſſet, filióque careret ob Saræ ſterilitatem, promittit ſe ei, qui ex ipſo naſciturus ſit, terram daturum. Miſericordiam Dei hîc, oro, conſidera, quomodo cùm præſciret iuſti virtutem, vult eum omnibus manifeſtum facere, & ita elaborare, vt quaſi margarita aliqua clareſcat. Vnde cùm promiſſionem promiſſionibus adiunxiſſet, iterum paruam moram facit & differt, vt hac potiſſimum ratione patriarchæ

A λεγούσης ὅτι ὤφθη; πῶς ὤφθη τῷ δικαίῳ; ἆρα αὐτὴν τὴν οὐσίαν εἶδεν; οὐχί. μὴ γένοιτο. ἀλλὰ τί; οὕτως ὤφθη, ὡς αὐτὸς οἶδε μόνος, καὶ ὡς ἐκείνῳ δυνατὸν ἦν ἰδεῖν. εὐμήχανος γὰρ ὢν ὁ σοφὸς καὶ φιλάνθρωπος ἡμῶν δεσπότης καὶ συγκαταβαίνων τῇ ἀνθρωπίνῃ φύσει τοῖς ἀξίως προπαρεσκευασμένοις ἑαυτὸν ἐμφανίζει. καὶ τοῦτο δείκνυσι διὰ τοῦ προφήτου λέγων, ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. ἐπεὶ καὶ Ἡσαΐας εἶδεν αὐτὸν καθήμενον. τοῦτο δὲ ἀνάξιον θεοῦ. θεὸς γὰρ οὐ κάθηται. πῶς γὰρ ἡ ἀσώματος ἐκείνη καὶ ἀπερίληπτος φύσις; καὶ ὁ Δανιὴλ πάλιν εἶδεν
B αὐτὸν ὡς παλαιὸν ἡμερῶν. καὶ ὁ Ζαχαρίας ἑτέρως αὐτὸν ἐθεάσατο, καὶ Ἰεζεκιὴλ πάλιν ἄλλως. διὰ τοῦτο οὖν ἔλεγεν, ἐγὼ ὁράσεις ἐπλήθυνα, ἀντὶ τοῦ, πρὸς τὴν ἑκάστου ἀξίαν οὕτως ὤφθην. καὶ νῦν οὖν ἐπειδὴ ἀνέστησε τὸν δίκαιον οἴκοθεν, καὶ προσέταξεν εἰς τὴν ἀλλοτρίαν ἐλθεῖν, παραγενόμενος δὲ, καθάπερ ἀλήτης καὶ ξένος, οὕτω περιῄει, τῶν Χαναναίων ἔτι κατοικούντων, ἐπιζητῶν ὅπου τὴν κατοίκησιν αὐτὸν ποιήσασθαι προσῆκεν· ὁ ἀγαθὸς δεσπότης παραμυθήσασθαι αὐτὸν βουλόμενος, καὶ νευρῶσαι αὐτοῦ τὴν προθυμίαν, ὥστε μὴ
C ναρκῆσαι, μηδὲ ἐνδοιάσαι πρὸς τὴν ἐπαγγελίαν τὴν ἤδη γεγενημένην πρὸς αὐτὸν; ὅτι δεῦρο καὶ ποιήσω σε εἰς ἔθνος μέγα· καὶ γὰρ ἐναντία τῇ ἐπαγγελίᾳ ἑώρα τὰ γινόμενα ὁ δίκαιος, καὶ ὡς ἕνα τῶν εὐτελῶν καὶ ἀπερριμμένων καὶ ἀπροστατεύτων ἑαυτὸν περιϊόντα, καὶ οὐδὲ ὅπου καταχθῆναι ἔχοντα· ἵν' οὖν διεγείρῃ αὐτοῦ τὸν λογισμόν, φησι, καὶ ὤφθη κύριος τῷ Ἀβραάμ, καὶ εἶπεν αὐτῷ· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. τέως ἡ ὑπόσχεσις μεγάλη, καὶ ἀκόλουθος τῇ ἐπαγγελίᾳ, δι' ἧς οἴκοθεν αὐτὸν ἀνέστησεν. εἶπε γὰρ, μεγαλυνῶ τὸ ὄνομά σου. διὰ τοῦτο νῦν φησι πάλιν,
D τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ἐπειδὴ γὰρ ἐν γήρᾳ τυγχάνων ὁ δίκαιος ἄπαις ἦν, διὰ τὴν τῆς Σάρρας στείρωσιν, ἐπαγγέλλεται αὐτῷ, τῷ ἐξ αὐτοῦ τικτομένῳ τὴν γῆν παρέχειν. καὶ σκόπει μοι θεοῦ φιλανθρωπίαν, πῶς προειδὼς τοῦ δικαίου τὴν ἀρετὴν βούλεται πᾶσι κατάδηλον αὐτὸν ποιῆσαι, καὶ καθάπερ μαργαρίτην τινὰ κρυπτόμενον οὕτω φανερὸν ἀπεργάσασθαι. καὶ ἐπαγγελίας ἐπαγγελίαις συνάψας, καὶ μεγάλας τὰς ὑποσχέσεις ποιησάμενος, πάλιν μικρὸν διαναβάλλεται, ἵνα ταύτῃ μάλιστα δειχθῇ τοῦ πατριάρχου

τὸ φιλόθεον, ὅτι καὶ ἐναντία τῶν ὑποσχέσεων ὁρῶν τέως ἐκβαίνοντα τὰ πράγματα, ὁ μακάριος οὐκ ἐθορυβεῖτο οὐδὲ διεταράττετο, ἀλλ' ἀκίνητον εἶχε τὸν λογισμόν, πεπεισμένος ὅτι δὴ τὰ παρὰ τοῦ θεοῦ ἅπαξ αὐτῷ ἐπαγγελθέντα, βέβαια καὶ πάγια τυγχάνει. ἀλλὰ κατὰ μικρὸν ἅπαντα διερευνησώμεθα, ἵν' οὕτω μάθωμεν καὶ τοῦ ἀγαθοῦ θεοῦ τὴν εὐμήχανον σοφίαν καὶ τὴν κηδεμονίαν, ἣν περὶ τὸν δίκαιον ἐπεδείκνυτο, καὶ τοῦ πατριάρχου τὸ φίλτρον τὸ περὶ τὸν δεσπότην. καὶ ὤφθη, φησί, κύριος ὁ θεὸς τῷ Ἀβραάμ. πῶς ὤφθη; ὡς αὐτὸς ὁ θεὸς μόνος οἶδε, καὶ ὡς ἐκεῖνος ἰδεῖν ἠδύνατο. οὐ γὰρ παύομαι τοῦτο λέγων, τὸν δὲ τρόπον ἀγνοῶ, ἀκούω δὲ μόνον τῆς γραφῆς λεγούσης, ὅτι ὤφθη κύριος ὁ θεὸς τῷ Ἀβραάμ, καὶ εἶπεν αὐτῷ, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ἀκριβῶς μνημονεύετε τῶν παρὰ τοῦ θεοῦ ὑποσχέσεων γινομένων, ἵν' ὅταν ἴδητε διαφόροις περιστάσεσι τὸν δίκαιον περιπίπτοντα, μάθητε αὐτοῦ τῆς φιλοσοφίας τὴν ὑπερβολήν, καὶ τῆς ἀνδρείας τὸ στερρόν, καὶ τοῦ περὶ τὸν θεὸν φίλτρου τὸ βέβαιον καὶ ἀκίνητον, καὶ ἐκ τῶν τῷ δικαίῳ τούτῳ συμβαινόντων παιδεύησθε, μηδέποτε νομίζειν ἔργον θεοῦ ἐγκαταλείψεως εἶναι, ἐπειδὰν ἴδητέ τινα τῶν ἐναρέτων πειρασμοῖς, ἢ ἑτέραις τισὶ θλίψεσι βιωτικαῖς περιπεπτωκότα· ἀλλ' ἐννοοῦντες τῶν οἰκονομιῶν τοῦ θεοῦ τὸ διάφορον, παραχωρῆτε τὰ πάντα αὐτοῦ τῇ ἀκαταλήπτῳ προνοίᾳ. εἰ γὰρ καὶ τὸν δίκαιον τοῦτον οὕτω φιλόθεον ὄντα, καὶ τοσαύτην ὑπακοὴν ἐπιδεξάμενον συγχωρεῖ τοιούτων πειραθῆναι, ὧν αὐτίκα μάλα εἴσεσθε, οὐχὶ περιορῶν τὸν αὐτοῦ θεράποντα, ἀλλὰ τοῖς ἄλλοις ἅπασι βουλόμενος αὐτοῦ τὴν ἀρετὴν ἐκκαλύψαι· καὶ γὰρ ἔθος αὐτῷ τοῦτο ἐφ' ἑκάστῳ τῶν δικαίων ποιεῖν· καὶ ὅσοι περὶ τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν ἐστε φιλόπονοι, δυνήσεσθε ἄνωθεν καὶ ἐξ ἀρχῆς καταμανθάνοντες, οὕτως εὑρεῖν αὐτὸν οἰκονομοῦντα τῶν αὐτοῦ δούλων τὴν ζωήν· πῶς οὐκ ἂν εἴη ἐσχάτης ἀγνωμοσύνης τὸ νομίζειν ἐγκαταλείψεως εἶναι τὴν τοιαύτην συγχώρησιν, οὐ πολλῆς δὲ μᾶλλον κηδεμονίας καὶ τῆς ἀφάτου φιλανθρωπίας τοῦτο μέγιστον ποιεῖσθαι σημεῖον; δεικνὺς τοίνυν τὴν οἰκείαν ὑπερβάλλουσαν δύναμιν αὐτοῦ, δύο ταῦτα ἐντεῦθεν κατασκευάζει, καὶ τῶν δούλων αὐτοῦ τὴν ὑπομονὴν καὶ τὴν ἀνδρείαν ἅπασι φανερὰν καθίστησι, καὶ τῆς προνοίας αὐτοῦ τὸ εὐμήχανον· καὶ μεταξὺ τῶν δεινῶν αὐτῶν, καὶ μετὰ τὸ ἀπογνωσθῆναι σχεδὸν τὰ πράγματα, τότε πρὸς ὃ βούλεται μεθίστησι

A pietas mõſtretur, quia res ſecus, quàm promittebantur, euenire vidẽs beatus, non inquietus erat, nec impatiens, nec turbabatur, ſed immotũ habebat animum, certus ea quæ ſemel à Deo ſibi promiſſa, rata & firma fore. Paulatim verò perſcrutemur ſingula, vt ſic & artificioſã optimi Dei ſapientiã, & ſimul curã quam erga iuſtũ hunc declarauit, & patriarchæ in Dominũ amorẽ addiſcamus. Et viſus eſt, inquit, dominus Deus Abræ. Quomodo viſus eſt? Sicut ipſe ſolus ſcit, & ille videre potuit. Nõ enim hoc dicere deſinã, quandoquidẽ modũ ignoro: audio enim ſolum ſcri- B pturam dicentẽ: Et viſus eſt dominus Deus Abræ, & dixit ei: Semini tuo dabo terram hanc. Diligenter memores eſtote promiſſionũ quæ à Deo fiunt, vt cùm audieritis iuſtum variis caſibus iactari, diſcatis quàm fuerit excellentis ſapientiæ, quàm ſolidæ fortitudinis, quàm firmi & immoti in Deum amoris, & ex iis quæ iuſto illi contigerunt, erudiamini, vt ne exiſtimetis derelictũ eſſe à Deo, ſi quando videritis probum aliquem tentationibus vel aliis huius vitæ afflictionibus vexari: ſed cogitan- C tes multiplicem diſpenſationum Dei varietatem, relinquatis hoc incomprehenſibili eius prouidentiæ. Nam ſi iuſtum illum tam pium, tantámque præ ſe ferentem obedientiã permittit tentari talibus, quæ ſtatim bene ſcietis: non deſpiciens famulũ ſuum, ſed aliis omnibus volens illius detegere virtutem: ſolet enim ita cum iuſtis omnibus agere, & quotquot diuinarum lectionum eſtis ſtudioſi, poteritis ex ſuperiobus diſcere & inuenire, quòd ita famulorum ſuorum vitam diſpenſet: quomodo igitur non fuerit extremæ D ingratitudinis & maleuolentiæ, non habere pro maximo ſigno magnę curę & ineffabilis miſericordiæ Dei, ſed pro derelictione talem permiſſionem? Monſtrans igitur eminẽtem ſuam virtutem, duo hæc iſto loco efficit, & vt ſeruorum ſuorũ tolerantia fortitudóque manifeſtetur omnibus, & ſuæ prouidentiæ ſapientia etiam in mediis periculis difficultatibúſque ſummis elluceſcat. Nam cùm propè deploratæ ſint res, tunc quorſum vult, dirigit omnia,

Nõ deſeruntur à Deo, quos ſinit affligi.

neque aliquid difficultatis in medio eſt quod impedire queat. *Et viſus eſt*, inquit, *Dominus Deus Abræ, & dixit ei: Semini tuo dabo terrã hãc.* Magna & deſiderabilis promiſſio, pręſertim iuſto. Scitis enim, quomodo qui iã prouectæ ſenectutis ſunt, & omnem vitam abſque liberis tranſegerunt, optant liberos. Itaque Dominus obedientiæ mercedem ipſi datur[9], quia mox vt audiuit: Egredere de terra tua: nõ moras nexuit, nõ diſtulit, ſed obediens imperanti, quod imperatũ erat mox fecit, inquit: Semini tuo dabo terram hanc. Vide quomodo per verbum mentem eius erigit, & ſufficientem ei tribuit laborum retributionem. Proinde & iuſtus ſuam gratitudinem declarans, ſtatim ad gratiarum actionem conuertitur. *Et extruxit illic*, inquit, *altare Domino, quem viderat.* Vide piæ mentis ſpecimen. Et locum ipſum, ob ſuam cum Deo conſuetudinem ibi habitam, conſecrauit, & gratiarum actionem pro viribus declarauit. Hoc enim quod dicit, Extruxit altare: idem eſt, quod gratias pro promiſſis egit. Et ſicut homines nonnunquam amicitia mouentur, vt domos ædificent, vbi cum germanis & ſynceris amicis verſantur & colloquũtur, & multi quoque ſæpe ciuitates etiam condiderunt, quibus ex occaſione congreſſus propinquorum nomina indidere: Ita & iuſtus ille, vbi viſionem Dei aſſecutus eſt, altare illi conſecrauit. *Et extruxit*, inquit, *illic altare Domino, quẽ viderat,*[8] *& diſceſſit inde.* Quid eſt, & diſceſſit inde? Quia Deo locus ille ſegregatus & ſanctificatus erat. *Diſceſſit inde, & trãſiit in montẽ verſus Orientẽ Bethel, & erexit ibi tabernaculum ſuum.* Tumultuariũ, inquit, domicilium fecerat. Vide quomodo erat frugalis, & luxum fugiebat, quomodo tam expeditus, vt cum vxore & famulis tam facilè migraret. Audiant viri, audiant mulieres. Nam ſæpe in villam tantum exire volentes, multa molimur, valdéque occupati ſumus, eò quod multa nobiſcum attrahamus, quæ non ſolum non ſunt nobis vſui, ſed & ſuperuacanea, & inutilia, & pompæ gratia apparata, & tantũ vt ea nobiſcum ex ambitione quadã circũferamus. Verùm iuſtus ille nõ ſic egit, ſed quia Dominus

A οὐδὲν ἀπὸ τῆς ἐν μέσῳ δυσκολίας γινομένης ἐμποδιζόμενος. καὶ ὤφθη φησὶ κύριος ὁ θεὸς τῷ Ἀβραμ, καὶ εἶπεν αὐτῷ· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. μεγάλη ἡ ὑπόσχεσις καὶ ποθεινὴ μάλιστα τῷ δικαίῳ. ἴστε γὰρ ὅπως οἱ ἐν γήρᾳ φθάσαντες, μάλιστα καὶ ἐν ἀπαιδίᾳ τὸν ἅπαντα διάγοντες χρόνον, ἐπιθυμοῦσι παίδων. τῆς ὑπακοῆς τοίνυν αὐτῷ τὴν ἀμοιβὴν διδοὺς ὁ δεσπότης, καὶ ὅτι ἀκούσας, ἔξελθε ἐκ τῆς γῆς σου, οὐχ ὑπερέθετο, οὐκ ἀνεβάλλετο, ἀλλ' ὑπήκουσε τῷ ἐπιτάγματι, καὶ εἰς ἔργον ἤγαγε τὸ προσταχθέν, φησι, τῷ σπέρματί σου δώσω τὴν γῆν

B ταύτην. σκόπει πῶς διὰ τοῦ ῥήματος ἀνέστησεν αὐτοῦ τὴν διάνοιαν, καὶ ἀρκοῦσαν αὐτῷ τῶν καμάτων παρέσχε τὴν ἀντίδοσιν. διά τοι τοῦτο καὶ ὁ δίκαιος τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδεικνύμενος εὐθέως ἐπὶ εὐχαριστίαν τρέπεται. καὶ ᾠκοδόμησεν ἐκεῖ, φησι, θυσιαστήριον τῷ κυρίῳ τῷ ὀφθέντι αὐτῷ. ὅρα φιλοθέου γνώμης τεκμήριον· καὶ αὐτὸν τὸν τόπον, ἔνθα τῆς ὁμιλίας ἠξιώθη τῆς παρὰ τοῦ θεοῦ, ἀφιέρωσε, καὶ τὴν εὐχαριστίαν τὴν κατὰ δύναμιν ἐπεδείξατο. τοῦτο γάρ ἐστιν, ᾠκοδόμησε θυσιαστήριον, ἀντὶ τοῦ, εὐχαρίστησεν ὑπὲρ τῶν

C ἐπαγγελθέντων. καὶ καθάπερ ἄνθρωποι πολλάκις ὑπὸ φίλτρου κινούμενοι καὶ οἰκίας οἰκοδομοῦσιν, ἔνθα ἂν τοῖς γνησίως περὶ αὐτοὺς διακειμένοις συντύχωσι, πολλάκις δὲ πολλοὶ καὶ πόλεις ἔστησαν, καὶ τὰς ἐπονομασίας αὐταῖς ἐκ τῆς τῶν ἐπιτηδείων συντυχίας ἐπέθηκαν· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος, ἔνθα τῆς ὀπτασίας τῆς τοῦ θεοῦ ἠξιώθη, τὸ θυσιαστήριον ᾠκοδόμησε κυρίῳ τῷ ὀφθέντι αὐτῷ. καὶ ἀπέστη, φησίν, ἐκεῖθεν. τί ἐστι καὶ ἀπέστη ἐκεῖθεν; ὡς ἱερωμένου λοιπὸν τοῦ τόπου, καὶ τῷ θεῷ ἀνατεθέντος, ἀνεχώρησεν ἐκεῖθεν, καὶ με-

D τῆλθεν εἰς ἕτερον τόπον, φησίν, εἰς τὸ ὄρος κατ' ἀνατολὰς Βεθὴλ, καὶ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ. ἐσχεδιασμένην, φησὶ, τὴν οἴκησιν ἐποιήσατο. ὅρα πῶς ἦν ἀπέριττος, πῶς ἦν εὔζωνος, ὡς μετά τε γυναικὸς καὶ οἰκετῶν οὕτως εὐκόλως μετανίστασθαι. ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖκες. καὶ γὰρ πολλάκις εἰς ἀγρὸν ἐξιέναι δεόμενοι, μυρίας ἐπινοοῦμεν μηχανὰς, καὶ πολλὰ καὶ διάφορα πραγματευόμεθα, διὰ τὸ πολλὰ ἐπισύρεσθαι καὶ μὴ τῆς χρείας γίνεσθαι μᾶλλον, ἀλλὰ τὰ περιττὰ καὶ ἀνόνητα καὶ φαντασίας ἕνεκεν ἡμῖν ἐσπουδασμένα, ταῦτα μεθ' ἑαυτῶν ἄγειν καὶ περιάγειν. ἀλλ' οὐχ ὁ δίκαιος οὗτος.

ἀλλὰ τί; ἐπειδὴ ἀξιωθεὶς τῆς παρὰ τοῦ θεοῦ ὁμιλίας A τὸν τόπον ἀφιέρωσε, καὶ θυσιαστήριον ᾠκοδόμησε, μετέστη μετὰ πάσης εὐκολίας ἑτέρωθι, καὶ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ, ἐν Βεθὴλ κατὰ θάλασσαν, καὶ Αγγαὶ κατὰ ἀνατολάς· καὶ ᾠκοδόμησε κἀκεῖ θυσιαστήριον τῷ κυρίῳ, καὶ ἐπεκαλέσατο ἐπὶ τῷ ὀνόματι κυρίου. ὅρα πῶς διὰ πάντων δείκνυσιν ἑαυτοῦ τὴν φιλόθεον γνώμην. ἐκεῖ μὲν γὰρ διὰ τὴν παρὰ τοῦ θεοῦ γεγενημένην αὐτῷ ὑπόσχεσιν τὸ θυσιαστήριον ᾠκοδόμησε, καὶ τὸν τόπον ἀφιερώσας ἀνεχώρησεν. ἐνταῦθα δὲ ἐπειδὴ τὴν σκηνὴν ἐπήξατο, πάλιν ᾠκοδόμησε, φησί, θυσιαστήριον τῷ κυρίῳ, καὶ ἐπεκαλέσατο ἐπὶ τῷ ὀνόματι κυρίου. εἶδες γνώμην φιλόσο- B φον; εἶδες ὅπερ γράφων παρῄνεσεν ὁ θαυμαστὸς τῆς οἰκουμένης διδάσκαλος ὁ μακάριος Παῦλος λέγων, ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας, τοῦτο προλαβὼν ὁ πατριάρχης διὰ τῶν ἔργων ἐπλήρου καθ᾽ ἕκαστον τόπον θυσιαστήριον οἰκοδομῶν, καὶ τὰς εὐχαριστίας ἀναφέρων τῷ δεσπότῃ. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὡς οὐδὲν ἕτερον ἐπιζητεῖ παρὰ τῆς ἀνθρωπίνης φύσεως ὁ τῶν ὅλων θεὸς μετὰ τὰς μυρίας καὶ ἀφάτους αὐτοῦ εὐεργεσίας, ὡς εὐχάριστον γνώμην, καὶ τὸ εἰδέναι χάριν ὁμολογεῖν ὑπὲρ τῶν ὑπηργμένων.

C Ἀλλ᾽ ἴδωμεν πάλιν, πῶς καὶ ἐντεῦθεν ὁ δίκαιος μετανίσταται. καὶ ἀπῆρε, φησιν, Ἀβραμ, καὶ πορευθεὶς ἐστρατοπέδευσεν ἐν τῇ ἐρήμῳ. ὅρα πάλιν τὴν φιλόθεον αὐτοῦ γνώμην, καὶ τὴν φιλοσοφίαν τὴν πολλήν. πάλιν, φησὶν, ἐντεῦθεν ἀνεχώρησε, καὶ ἐστρατοπέδευσεν ἐν τῇ ἐρήμῳ. τίνος ἕνεκεν ἀπῆρεν ἐκεῖθεν; ἴσως ὁρῶν τινας τῶν οἰκητόρων οὐκ ἀρεσκομένους αὐτοῦ τῇ παρουσίᾳ. διὰ τοι τοῦτο δεικνὺς αὐτοῦ τῆς πρᾳότητος τὴν ὑπερβολὴν, καὶ ὅπως περὶ πολλοῦ ποιεῖται τὴν ἡσυχίαν, καὶ τὸ πρὸς μηδένα τι ἔχειν κοινὸν, τὴν ἐρημίαν καταλαμβάνει· καὶ πορευθεὶς, φησιν, ἐστρατοπέδευσεν ἐν τῇ ἐρήμῳ. ξένῃ λέξει D ἐχρήσατο ἡ θεία γραφή. καθάπερ γὰρ ἐπὶ τῶν πολέμων ἔθος ἐστὶ λέγειν, οὕτω καὶ νῦν εἶπεν ἐπὶ τοῦ δικαίου, ὅτι ἐστρατοπέδευσε. ἵνα δείξῃ τὸ εὔζωνον τοῦ πατριάρχου, ὅτι καθάπερ οἱ στρατιῶται μετ᾽ εὐκολίας νῦν μὲν ἐνταῦθα, νῦν δὲ ἐκεῖσε στρατοπεδεύονται, οὕτω δὴ καὶ ὁ δίκαιος οὗτος, καίτοι γυναῖκα ἐπιφερόμενος καὶ τὸν ἀδελφιδοῦν, καὶ τοσούτων οἰκετῶν πλῆθος, μετὰ πλείονος τῆς εὐκολίας τὰς μεταναστάσεις ἐποιεῖτο. εἶδες βίον ἐν γήρᾳ μετὰ γυναικὸς καὶ οἰκετῶν τοσούτων εὔζωνον; ἐμοὶ δὲ θαυμάσαι ἔπεισι μάλιστα τῆς γυναικὸς τὴν ἀνδρείαν.

dignatus eſt cum ipſo habere familiaritatem, vt locum conſecrauit, & altarium extruxit, migrauit magna facilitate aliò. [8] *Et erexit illic tabernaculum ſuum in Bethel iuxta mare & Aggæ, verſus Orientem. Et ædificauit*, inquit, *ibi altare Domino, & inuocauit in nomine Domini.* Vide quomodo per omnia religioſam mentem præ ſe fert. Illic enim ob promiſſionem ſibi à Deo factam aram extruxit, & à loco conſecrato diſceſſit: hic autem quia tabernaculum fixerat, iterum ædificauit, inquit, altare Domino, & inuocauit in nomine Domini. Vidiſti mentem bene inſtitutam, & ſapientiæ deditam? Vidiſti quomodo quòd ſcribens admonuit admirabilis orbis doctor beatus Paulus, dicens: In omni loco leuantes ſanctas manus: id patriarcha prius opere compleuit, in ſingulis locis altaria condens, & domino gratias agens? Sciebat enim, ſciebat manifeſtè, quod nihil aliud requirat ab humano genere Deus vniuerſi, poſt innumera & ineffabilia beneficia ſua, quàm animam gratiarum actioni ſtudentem, & ſcientem habere gratiam pro iis quæ iam accepit. Vbique adorandus De⁹. 1. Tim. 2. 8. Cæterum videamus quomodo & hinc iuſtus migrat. [8] *Et diſceſſit*, inquit, *Abram, & profectus caſtrametatus eſt in ſolitudine.* Vide iterum religioſam eius mentem, & ſapientiæ ſtudioſam. Iterum, inquit, diſceſſit, caſtrametatúſque eſt in ſolitudine. Quare illinc diſceſſit? Fortè videbat quibuſdam incolis non placere ſuum aduentum, proinde eximiam ſuam manſuetudinem declarans, & quomodo tranquillitatem magnifaceret, & ne cum vllo aliquid haberet negocij, in ſolitudinem ſe transfert. Profectus, inquit, caſtrametatus eſt. Aliena dictione vſa eſt diuina ſcriptura. Nam quemadmodum de militibus ſolemus dicere, ita & de iuſto hic dicit, quòd caſtrametatus ſit, vt oſtendat expeditum patriarcham, quòd ſicut milites abſque difficultate nunc huc, nunc illuc tentoria ſua erigunt: ita & iuſtus ille, quamuis ſecum duceret vxorem, & fratris filium, & tantum ſeruorum numerum: maiori tamen facilitate migrare ſolebat. Vidiſti frugalem ſenis cum vxore & tot ſeruis vitam? Mihi magis admirabilis videtur mulieris fortitudo.

Cum enim cogito muliebris ſexus infirmitatem, & animaduerto, quomodo tam facilè tanta alacritate cum iuſto peregrè vadit, & ſubinde migrat, neque ipſa moleſtè fert, neque iuſto negocium facit: obſtupeſco, & cenſeo quòd non minorem animum & fortitudinem quàm Abram poſſederit & ipſa. Et hoc maximè ſciemus, cùm ea quæ conſequenter lecta ſunt pertractauerimus. Vidiſti, poſtquam audiuit, Semini tuo dabo terram hanc: quomodo non quieuit iuſtus ille, & nunc huc, nunc illuc tranſiuit? ſed vide quomodo iterum à ſolitudine exigitur, non ab hominibus, ſed neceſſitate famis: [10] *Et facta eſt,* inquit, *fames ſuper terram.* Audiant qui temerè & incircumſpectè loquuntur & diuinant, dicentes, quoniam quiſpiam aduenit, fames facta eſt, & quoniam ille adfuit, hæc contigerunt. Ecce etiam in aduentu iuſti fames, & fames valida, & non turbatur iuſtus, neque aliquid humanum patitur, aut ſuo aduentui tribuit famis cauſam. Sed quia vidit naturam coarctari, & inualeſcere famem: *Deſcendit,* inquit, *in AEgyptum Abram, vt habitaret illic, quia inualuit fames ſuper terram.* Attende quomodo ampliora fiunt iuſto ſtadia, & remotior fit meta. Diſpenſabat enim Dominus vt non ſolùm Palæſtinam incolentibus eſſet doctor, ſed & iis qui in Ægypto erant, & lux virtutis eius manifeſtaretur omnibus: quaſi enim luminare quoddam, eum qui in Chaldæorum delituerat terra, illinc euocarat, vt eos qui in tenebris errorum ſedebant, ad veritatis viam introduceret. Sed forte dicet aliquis: Et quare non potius vt ij, qui in Chaldæa erant, ad religionem venirent, per ipſum effecit? Veriſimile quidem eſt, illorum ſalutem per aliorum prouidentiam procuratam: attamen audi Chriſtum dicētem: Non eſt propheta abſque honore, niſi in ſua patria. Vt igitur opere impleret promiſſionem quam illi fecerat, dicens: Et magnificabo nomen tuum, propterea & famem oriri permittit, & cogente neceſſitate in Ægyptū eum ire facit, vt diſceret & qui illic erant, quanta viri virtus. Nam fames quaſi lictor, ceu vinculis iniectis, ita vi è deſerto in Ægyptū eū abſtraxit.

Laudat vxoris Abrahæ fortitudinem.

Matth. 13.57. & Marc. 6.

A ὅταν γὰρ ἐννοήσω τῆς φύσεως τῆς γυναικείας τὴν ἀσθένειαν, καὶ λογίσωμαι ὅπως μετ' εὐκολίας ἅμα τῷ δικαίῳ τὰς μεταναστάσεις ἐποιεῖτο, οὔτε αὐτὴ δυσχεραίνουσα, οὔτε τῷ δικαίῳ κώλυμα γινομένη, ἐκπλήττομαι καὶ λογίζομαι, ὅτι οὐκ ἔλαττον τοῦ δικαίου καὶ αὐτὴ φρόνημα ὑψηλὸν καὶ ἀνδρεῖον ἐκέκτητο. καὶ τοῦτο μάλιστα εἰσόμεθα, ἐπιόντες τὰ ἑξῆς τῶν ἀνεγνωσμένων. εἶδες ὅτι μετὰ τὸ ἀκοῦσαι, ὅτι τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, πῶς οὐχ ἡσύχασεν ὁ δίκαιος, ἀλλ' ἐντεῦθεν ἐκεῖ μετέβαινε, καὶ πάλιν ἐκεῖθεν ἑτέρωθι; ἀλλ' ὅρα καὶ ἀπὸ τῆς ἐρημίας αὐτὸν πάλιν ἐλαυνόμενον, οὐχ ὑπὸ ἀνθρώπων, ἀλλ'
B ὑπὸ τῆς ἀνάγκης τοῦ λιμοῦ. καὶ ἐγένετο, φησὶ, λιμὸς ἐπὶ τῆς γῆς. ἀκουέτωσαν οἱ ἁπλῶς καὶ ἀπερισκέπτως φθεγγόμενοι, καὶ οἰωνιζόμενοι, καὶ λέγοντες, ὅτι ἐπειδὴ ὁ δεῖνα παρεγένετο, λιμὸς γέγονε, καὶ ἐπειδὴ ὁ δεῖνα ἦλθε, τόδε συνέβη. ἰδοὺ καὶ ἐπὶ τῆς τοῦ δικαίου παρουσίας, λιμὸς, καὶ λιμὸς βαρὺς, καὶ οὐ θορυβεῖται ὁ δίκαιος, οὐδὲ πάσχει τι ἀνθρώπινον, καὶ τῇ ἑαυτοῦ παρουσίᾳ λογίζεται τοῦ λιμοῦ τὴν αἰτίαν· ἀλλ' ἐπειδὴ εἶδε τὴν φύσιν ἐλεγχομένην, καὶ ἐπεκράτησεν ὁ λιμὸς, κατέβη, φησὶν, εἰς Αἴγυπτον Ἀβραμ παροικῆσαι ἐκεῖ, ὅτι ἐνίσχυσεν ὁ λιμὸς
C ἐπὶ τῆς γῆς. σκόπει πῶς μακρότερα τὰ σκάμματα τῷ δικαίῳ ἐγίνετο. ᾠκονόμει γὰρ ὁ δεσπότης μὴ μόνον τοῖς τὴν Παλαιστίνην οἰκοῦσιν, ἀλλὰ καὶ τοῖς κατὰ τὴν Αἴγυπτον διδάσκαλον αὐτὸν γενέσθαι, καὶ τὸ φῶς τῆς οἰκείας ἀρετῆς πᾶσι κατάδηλον ποιῆσαι. καθάπερ γὰρ φωστῆρά τινα λανθάνοντα καὶ κεκρυμμένον εἰς τὴν Χαλδαίων ἐκεῖθεν ἀνέστησεν, ἵνα τοὺς ἐν τῷ σκότει τῆς πλάνης καθημένους χειραγωγήσῃ πρὸς τὴν τῆς ἀληθείας ὁδόν. ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ τίνος ἕνεκεν οὐ τοὺς ἐν τῇ Χαλδαίων χώρᾳ παρεσκεύασε δι' αὐτοῦ πρὸς τὴν εὐσέβειαν ἀναχθῆναι;
D εἰκὸς μὲν ἐστὶ καὶ τῆς ἐκείνων σωτηρίας δι' ἑτέρων γενέσθαι τὴν πρόνοιαν. ὅμως δὲ ἄκουσον τοῦ Χριστοῦ λέγοντος, οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ ἰδίᾳ πατρίδι. ἵνα οὖν τὴν ἐπαγγελίαν εἰς ἔργον ἀγάγῃ τὴν αὐτοῦ, ἣν ἐποιήσατο λέγων, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, διὰ τοῦτο καὶ τὸν λιμὸν συγχωρεῖ γενέσθαι, καὶ διὰ τὴν τούτου ἀνάγκην εἰς τὴν Αἴγυπτον αὐτὸν ἀφικέσθαι, ἵνα μάθωσι καὶ οἱ αὐτόθι, ὅση τοῦ ἀνδρός ἐστιν ἡ ἀρετή. καθάπερ γάρ τις δήμιος δεσμὰ περιβαλὼν, οὕτως αὐτὸν ὁ λιμὸς ἀπὸ τῆς ἐρημίας ἀναστήσας ἐπὶ τὴν Αἴγυπτον εἷλκεν.

ἀλλ' ἴδωμεν λοιπὸν τὰ ἐντεῦθεν, καὶ ὅσῃ περιστάσει ὁ δίκαιος περιπέπτωκεν, ἵνα καὶ αὐτοῦ τὴν ἀνδρείαν μάθωμεν, καὶ τῆς γυναικὸς τὴν φιλόσοφον γνώμην. ἐπειδὴ γὰρ πολὺ τῆς ὁδοῦ προῆλθον, καὶ γεγόνασι λοιπὸν πλησίον τῆς Αἰγύπτου, ἐναγώνιος γέγονεν ὁ δίκαιος, καὶ περὶ αὐτῆς, ὡς εἰπεῖν, τῆς ζωῆς δεδοικὼς καὶ τρέμων διαλέγεται τῇ γυναικί. ἐγένετο γάρ, φησιν, ἡνίκα ἤγγισεν Ἀβραμ εἰσελθεῖν εἰς Αἴγυπτον, εἶπε Σάρα τῇ γυναικὶ αὐτοῦ· γινώσκω ἐγὼ ὅτι γυνὴ εὐπρόσωπος εἶ. ἔσται οὖν, ὅταν ἴδωσί σε οἱ Αἰγύπτιοι, ἐροῦσιν ὅτι γυνὴ αὐτοῦ αὕτη, καὶ ἀποκτενοῦσί με. σὲ δὲ περιποιήσονται. εἰπὲ οὖν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι, ὅπως ἂν εὖ μοι γένηται διὰ σέ, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ. εἶδες ἐκ τῶν ῥημάτων εἰς ὅσον ἀγῶνα καὶ δειλίαν ὁ δίκαιος κατέστη· καὶ οὐδαμοῦ τὸν λογισμὸν ἐταράττετο, οὐδὲ ἐθορυβεῖτο τὴν γνώμην, οὐδὲ ἐνενόει καὶ ἔλεγε· τί τοῦτο; ἆρα ἐγκατελείφθημεν; ἆρα ἠπατήθημεν; ἆρα μὴ ἐρήμους ἡμᾶς κατέλιπε τῆς αὐτοῦ προνοίας ὁ δεσπότης; ὁ εἰπών, μεγαλυνῶ σε, καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, οὕτως ἡμᾶς ἀφίησι νῦν περὶ τῶν ἐσχάτων αὐτῶν δεδοικέναι, καὶ εἰς προφανῆ κίνδυνον ἐμπεσεῖν; οὐδὲν τούτων οὐδὲ ἐν ἐννοίᾳ λαβεῖν ὁ δίκαιος κατεδέξατο, ἀλλ' ἑνὸς νῦν ἐγίνετο μόνου, ὅπως δυνηθῇ σοφισάμενός τινα μηχανήν, καὶ τοῦ λιμοῦ παραμυθίαν εὑρεῖν, καὶ τῶν Αἰγυπτίων τὰς χεῖρας διαφυγεῖν. γινώσκω, φησίν, ὅτι γυνὴ εὐπρόσωπος εἶ. ὅρα πόση τῆς γυναικὸς ἦν ἡ εὐμορφία, ὅτι καὶ εἰς γῆρας αὐτῶν ἐλασάντων λοιπόν, καὶ μετὰ τοσούτων ἐτῶν ἀριθμὸν ἔτι ἔμενεν ἀκμάζουσα, τοῦ κάλλους τὴν ὥραν ἐπὶ τῆς ὄψεως φέρουσα, καὶ ταῦτα μετὰ τὴν τοσαύτην ταλαιπωρίαν καὶ κακουχίαν, ἣν κατὰ τὰς ..ούς ὑπέμενεν ἀπὸ τόπων εἰς τόπους μετανισαμένη, καὶ ἀπὸ μὲν τῆς Χαλδαίων χώρας εἰς τὴν Χαῤῥὰν μετανισαμένη, κἀκεῖθεν εἰς τὴν Χαναάν, καὶ πάλιν ἐντεῦθεν ἐκεῖ ἐν τῇ Χαναναίᾳ, κἀκεῖθεν ὧδε, καὶ νῦν πάλιν εἰς τὴν Αἴγυπτον. τίνα οὖν οὐκ ἂν καὶ τῶν σφριγώντων ἀνδρῶν αἱ οὕτω συνεχεῖς ἀποδημίαι κατειργάσαντο; ἀλλ' ἡ θαυμασία αὕτη, καὶ μετὰ τὴν τοσαύτην ταλαιπωρίαν ἔτι λάμπουσα τῷ τῆς ὄψεως κάλλει, πολὺ καὶ σφοδρὸν τὸ δέος ἐνεποίει τῷ δικαίῳ. διὸ καὶ ἔλεγε· γινώσκω ἐγώ, ὅτι γυνὴ εὐπρόσωπος εἶ. ἔσται οὖν, ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι ἐροῦσιν, ὅτι γυνὴ αὐτοῦ αὕτη· καὶ ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται. σκόπει πῶς ἐθάῤῥει τῷ τρόπῳ τῆς

A Sed videamus quæ hinc ſequuntur, & in quantas difficultates iuſtus incidit: vt & eius fortitudinem diſcamus, & vxoris illius ſapientiæ ſtudioſam mentem. Poſtquam igitur multum itineris proceſſerant, & proximè Ægyptum erant, iuſtus angore mentis afflictus eſt: &, vt ita dicam, de vita ſua timens & tremens, dicit vxori ſuæ. 11 *Factum eſt*, inquit, *quando Abram appropinquabat, vt intraret in AEgyptum, dixit Saræ vxori ſuæ: Scio quòd formoſa ſis mulier,* 12 *Futurum itaque eſt vt cùm te viderint AEgyptij, dicant: Iſta eſt vxor eius, & occident me, te autem ſeruabunt. Dic igitur, ſoror*
B *eius ſum, vt mihi propter te bene ſit, & viuat anima mea propter te.* Vidiſti ex verbis, in quanto angore & metu conſtitutus fuerit iuſtus, & neque turbabatur animo, neque cogitans intra ſe, dicebat: Quid hoc? num derelicti ſumus? num decepti ſumus? num nos prouidentia ſua deſtituit Dominus, qui dixit: Magnificabo te, & ſemini tuo dabo terram hanc? Num ille nos relinquit nunc de extremis timere, & in manifeſtum incidere periculum? Nihil horum vel in mentem admit-
C tendum exiſtimauit iuſtus, ſed vnum hoc curabat, quomodo arte aliqua excogitata poſſet & famis conſolationem inuenire, & Ægyptiorum manus effugere. Scio, inquit, quòd formoſa mulier ſis. Vide quanta mulieris erat formoſitas: nam & cùm in ſenectam iam vergeret, & poſt tot annorum numerum adhuc durauit vigor pulchritudinis in facie, etiam poſt tantam miſeriam & vexationem, quam in via fuit experta de locis in loca tranſeundo, & à Chaldæorum regione in Charran, & à Charran in Chanaan,
D & rurſus in Chananæa huc atque illuc, & nunc iterum in Ægyptum. Quem non fortium virorum defatigarent tot continuæ peregrinationes? Verùm egregia hæc mulier etiam poſt tot exantlatas ærumnas, luculenta adhuc eſt facie, vnde & vehementem ac congruam curam afferebat iuſto: ideo & dicebat: Scio quòd mulier formoſa ſis: futurum itaque vt cùm te viderint Ægyptij, dicant: Iſta eſt vxor eius, & occident me, te autem ſeruabunt Conſidera, quantum confidebat moribus mulieris, non timens ne fortè laudibus remiſſior fiat,

quin & tale inducit conſilium, dicens: Vt ne me quidem occidant, te autem ſeruent: dic igitur, Soror eius ſum, vt mihi bene ſit, & viuat anima mea propter te. Quoniam non vulgare, erat quod imperabat, propterea verbis quæ ſubdidit, allicere, & ad miſericordiam flectere, perſuaderéque ei volebat, vt promptè in hac fabula partes ſuas ageret. Futurum eſt itaque vt cùm te viderint Ægyptij, dicant: Iſta eſt vxor eius, & occident me, te autem ſeruabunt. Non dixit, contumeliis te afficient: non vult enim eam nunc verbis contriſtare, præcipuè verò metuebat ſuper Dei promiſſione: propterea dicit, Te autē ſeruabunt: dic igitur, ſoror eius ſum. Cogita quæſo, quo fuiſſe tum in ſtatu iuſti mentem veriſimile ſit, cum iſta vxori conſuleret. Scitis enim, ſcitis nihil grauius maritis eſſe, quam vt in eiuſmodi ſuſpicionem coniux veniat. Verumtamen hic iuſtus & contendit, & omnem lapidem mouet, vt adulterium opere compleatur. Noli tamen iuſtum hunc temere condemnare, dilectiſſime, ſed ex hoc potius multam eius prudentiam ac fortitudinem cognoſce. Fortitudinem quidem, quòd ita generosè motibus cogitationum reſtiterit, eoſque ſuperarit, vt etiam iſta conſuleret. Hac enim re nihil eſſe intolerabilius audi ex Salomone, qui dicit: Plenus enim zeli furor viri eius, non parcet in die iudicij, neque cōmutabit odiū multis donis: & rurſus, Durus vt infernus zelus. Multos autem videmus in tantam inſaniam prorupiſſe, vt nec vxoribus ipſis parcerent, ſed & adulterū ipſum ſępenumero & ſemetipſos interimerent. Tanta rei huius eſt inſania, tam impotens & indomita eſt zelotypia, vt eū qui ſemel hac perturbatione correptus ſit, efficiat etiam propriam ſalutem contemnere. Ac fortitudinem quidem iuſti licet inde cognoſcere: prudentiam vero non mediocrem ex eo, quod in tantas redactus anguſtias & tanquam laqueis irretitus, hāc viam potuerit adinuenire, qua malū imminueretur. Nam ſi quidem dixiſſet vxorem ſe illius eſſe, neque fabulam illam egiſſet, ac ſororis nomen vſurpaſſet: & ipſa iuſto erepta eſſet, cum eius formæ pulchritudo laſciuū Ægyptiorum animū pellexiſſet,

Hęc aberant ab interpretatione vulgata, vſque ad illud Miſerabilia ſunt. p.270.

Prou. 6. 34.

Cant. 8. 6.

A γυναικός, καὶ οὐκ ἔδεισε μή πῃ τε τοῖς ἐπαίνοις χαυνωθῇ, ἀλλὰ καὶ τοιαύτην εἰσάγει τὴν συμβουλήν, λέγων· ἵνα μὴ ἐμὲ μὲν ἀποκτείνωσι, σὲ δὲ περιποιήσωνται, εἰπὲ οὖν ὅτι ἀδελφὴ αὐτοῦ εἰμι, ὅπως ἂν εὖ μοι γένηται, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ. ἐπειδὴ οὐ τὸ τυχὸν ἦν ὅπερ ἐπέταττε, διὰ τοῦ διὰ τῶν ἐπαγομένων ῥημάτων ἐφελκύσασθαι αὐτὴν ἠβουλήθη, ὥστε καὶ εἰς οἶκτον αὐτὴν ἐπικάμψαι, καὶ πεῖσαι μετὰ προθυμίας ὑποκρίνασθαι τὸ δρᾶμα. ἔσται οὖν, φησίν, ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι, ἐροῦσιν ὅτι γυνὴ
B αὐτοῦ αὕτη, καὶ ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται. οὐκ εἶπε, σὲ καθυβρίσουσι. τέως οὐ βούλεται αὐτὴν καταπλῆξαι διὰ τῶν ῥημάτων, ἄλλως τε καὶ δέδοικεν ὑπὲρ τῆς ἐπαγγελίας τοῦ θεοῦ. διὰ τοῦτό φησι, σὲ δὲ περιποιήσονται. εἰπὲ οὖν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι. ἐννόει μοι ἐν οἵᾳ καταστάσει τυγχάνειν εἰκὸς ἦν τοῦ δικαίου τὴν διάνοιαν, ἡνίκα ταῦτα συνεβούλευε τῇ γυναικί. ἴστε γάρ, ἴστε πῶς οὐδὲν τούτου βαρύτερόν ἐστι τοῖς ἀνδράσιν εἰς τὸ κἂν εἰς ὑποψίαν τοιαύτην τὴν γαμετὴν ἐλθεῖν. ὁ μέντοι δίκαιος καὶ σπουδάζει, καὶ πάντα ποιεῖ, ὥστε εἰς ἔργον τὴν μοι-
C χείαν ἐκβῆναι. ἀλλὰ μὴ ἁπλῶς, ἀγαπητέ, καταψηφίσῃ τοῦ δικαίου, ἀλλὰ καὶ ἐκ τούτου μάλιστα κατάμαθε αὐτοῦ καὶ τὴν σύνεσιν τὴν πολλήν, καὶ τὴν ἀνδρείαν· τὴν ἀνδρείαν μέν, ὅτι οὕτω γενναίως ἀντέσχε καὶ περιεγένετο τῆς τῶν λογισμῶν ταραχῆς, ὡς καὶ τοιαῦτα συμβουλεῦσαι. ὅτι γὰρ οὐδέν ἐστι τούτου ἀφορητότερον, ἄκουε τοῦ Σολομῶντος λέγοντος· μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς· οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως, οὐδὲ ἀνταλλάξεται πολλῶν δώρων τὴν ἔχθραν. καὶ πάλιν, σκληρὸς ὡς ᾅδης ζῆλος. ὁρῶμεν δὲ πολλούς, ὅτι εἰς τοσαύτην μανίαν ἐξη-
D κοντίσθησαν, ὡς μηδὲ αὐτῶν φείσασθαι τῶν γυναικῶν, ἀλλὰ καὶ αὐτὸν τὸν μοιχὸν πολλάκις συγκατέσφαξαν, καὶ ἑαυτούς. τοσαύτη τοῦ πράγματός ἐστιν ἡ μανία, καὶ οὕτως ἀκάθεκτός ἐστιν ὁ ζῆλος, ὡς παρασκευάζειν καὶ τῆς οἰκείας σωτηρίας ὑπεριδεῖν τὸν ἅπαξ ἁλόντα τῷ πάθει. καὶ τὴν μὲν ἀνδρείαν ἐκεῖθεν ἔστι καταμαθεῖν τοῦ δικαίου· τὴν δὲ σύνεσιν αὐτοῦ τὴν πολλήν, ὅτι ἐν ἀμηχανίᾳ τοσαύτῃ, καὶ ὥσπερ ἐν δικτύοις ἀποληφθεὶς ἴσχυσε ταύτην εὑρεῖν τὴν ὁδόν, δι' ἧς ἔλαττον ἂν γένοιτο τὸ κακόν. εἰ μὲν γὰρ εἶπεν, ὅτι γυνὴ αὐτοῦ ἦν, καὶ μὴ ὑπεκρίνατο τὸ δρᾶμα, καὶ τῷ τῆς ἀδελφῆς ὀνόματι ἐχρήσατο, καὶ αὐτὴ ἂν ἀφῃρέθη τοῦ δικαίου, τοῦ κάλλους τῆς εὐμορφίας ἐπισπωμένου τῶν Αἰγυπτίων τὴν ἀκόλαστον γνώμην,

καὶ ὁ

αὐτὴν ἐπιτελοῦντες, καὶ μέχρι νῦν αὐτῆς ἡμῖν τὴν γνῶσιν διεπέμψαντο. οὐδὲ γὰρ ὁ εὐαγγελιστὴς ἁπλῶς τὸν καιρὸν ἐπεσημήνατο τοῦτον· ἀλλ' ὥστε καὶ τὴν ἡμέραν ἡμῖν δήλην ποιῆσαι καὶ γνώριμον, καὶ τοῦ θεοῦ τὴν οἰκονομίαν ἐνδείξασθαι. οὐ γὰρ οἴκοθεν, οὐδὲ παρ' ἑαυτοῦ τότε ὁ Αὔγουστος τὸ δόγμα τοῦτο ἐξέπεμψεν· ἀλλὰ τοῦ θεοῦ κινοῦντος αὐτοῦ τὴν ψυχὴν, ἵνα καὶ ἄκων ὑπηρετήσηται τῇ τοῦ μονογενοῦς παρουσίᾳ. καὶ τί τοῦτο συντελεῖ πρὸς τὴν οἰκονομίαν ταύτην, φησίν; οὐ μικρὸν, οὐδὲ τὸ τυχὸν, ἀγαπητὲ, ἀλλὰ καὶ σφόδρα μέγα, καὶ τῶν ἀναγκαίων καὶ σπουδαζομένων ἕν. ποῖον δὴ τοῦτο; ἡ Γαλιλαία χώρα τίς ἐστιν ἐν Παλαιστίνῃ, ἡ δὲ Ναζαρὲθ πόλις τῆς Γαλιλαίας. πάλιν, ἡ Ἰουδαία χώρα τίς ἐστι, παρὰ τῶν ἐγχωρίων οὕτω καλουμένη· ἡ δὲ Βηθλεέμ, πόλις τῆς Ἰουδαίας. τὸν δὲ Χριστὸν οἱ προφῆται προὔλεγον ἅπαντες, οὐκ ἀπὸ τῆς Ναζαρὲθ, ἀλλ' ἀπὸ τῆς Βηθλεέμ ἥξειν, καὶ ἐκεῖ τεχθήσεσθαι. οὕτω γὰρ γέγραπται· καὶ σὺ Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. καὶ οἱ Ἰουδαῖοι οἱ τότε παρὰ τοῦ Ἡρώδου ἐρωτώμενοι, ποῦ ὁ Χριστὸς γεννᾶται, ταύτην εἶπον αὐτῷ τὴν μαρτυρίαν. διὰ τοῦτο καὶ τοῦ Ναθαναὴλ εἰπόντος πρὸς τὸν Φίλιππον (ἐπειδὴ ἐκεῖνος ἔλεγεν, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲθ εὑρήκαμεν) ἐκ Ναζαρὲθ δύναταί τι ἀγαθὸν εἶναι; ὁ Χριστὸς περὶ αὐτοῦ φησιν· ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. καὶ τίνος, φησίν, ἕνεκεν αὐτὸν ἐπῄνεσεν; ἐπειδὴ οὐ συνηρπάγη τῇ ἀπαγγελίᾳ τοῦ Φιλίππου· ἀλλ' ᾔδει σαφῶς καὶ ἀκριβῶς, ὅτι οὐκ ἐν Ναζαρὲθ, οὔτε ἐν τῇ Γαλιλαίᾳ ἔδει τὸν Χριστὸν τεχθῆναι. ἀλλ' ἐν τῇ Ἰουδαίᾳ, καὶ ἐν τῇ Βηθλεέμ· ὅπερ οὖν καὶ ἐγένετο. ἐπεὶ οὖν ὁ μὲν Φίλιππος τοῦτο ἠγνόησεν, ὁ δὲ Ναθαναὴλ, ἅτε νομομαθὴς ὤν, ἀπεκρίνατο τὰ κατὰ τὴν ἄνωθεν προφητείαν εἰρημένα, εἰδὼς, ὅτι οὐκ ἐκ Ναζαρὲθ ἥξει ὁ Χριστός· διὰ τοῦτο καὶ ὁ Χριστὸς, ἴδε ἀληθῶς Ἰσραηλίτης, φησίν, ἐν ᾧ δόλος οὐκ ἔστι. διὰ τοῦτο καὶ τινὲς τῶν Ἰουδαίων ἔλεγον πρὸς τὸν Νικόδημον· ἐρεύνησον, καὶ ἴδε, ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται. καὶ πάλιν ἀλλαχοῦ·

A antè, & ex antiqua traditione ipſum celebrantes, ad nos vſque illius notitiã nunc tranſmiſerunt. Neque enim Euangeliſta ſimpliciter nobis illud [deſcriptionis] tempus indicauit; ſed ita, vt etiam vnâ hunc diem nobis manifeſtum redderet, & exploratũ, Deiq; incarnationem patefaceret. *Ex tempore deſcriptionis tempus Natiuitatis* Neq; enim ſuopte impulſu, aut ex ſe ipſo Auguſtus edictum hoc promulgauit; ſed Deo animum ipſius concitante, vt vel inuitus aduentui Vnigeniti ſubſeruiret. At quid hoc, inquis, ad incarnationem oſtendendam momenti habet? Non paruum, dilecte, B neque vbiuis obuium, ſed magnum omnino: adeoq; vnum ex iis hoc eſt, quæ neceſſariò ac ſtudioſè quęrũtur. Quale tandem illud? Galilæa regio quædam eſt Palæſtinæ; Nazareth autem in ea ciuitas. Rurſus Iudęa regio eſt, ab indigenis hoc nomine vocitata, Bethlehem verò Iudææ ciuitas. Chriſtum porrò omnes Prophetæ prædixerant, non à Nazareth, ſed à Bethlehem venturum, illicq; naſciturum. Ita enim ſcriptũ eſt: Et tu Bethlehem terra Iuda, nequaquam minima es in Principibus Iuda. *Matt. 2. 6. Mich. 5. 2.* C Et te enim exiet Dux, qui reget populum meum Iſrael. Et Iudæi olim ab Herode interrogati, vbi naſceretur Chriſtus, hoc ipſum ei teſtimonium retulerũt. Hanc eandem ob cauſſam dicente Nathanaële ad Philippum, (poſtquã ei ille dixiſſet, Ieſum à Nazareth inuenimus) A Nazareth poteſt aliquid boni eſſe? *Ioan. 1. 45. Ioan. 1. 46.* Chriſtus ad ipſum ait: Ecce verè Iſraëlita, in quo dolus non eſt. Cuius autem rei gratia ipſum ita cõmendauit? *Ioan. 1. 47.* quòd nuncio illo Philippi non protinus fuerit abreptus: nam D manifeſtè planéque ſciebat, neque in Nazareth, neque in Galilæa Chriſtum naſci debere, ſed in Iudæa & in Bethlehem. quod & ita factũ fuerat. quandoquidem ergo Philippum id latebat, Nathanaël autem pro peritia, quam legis habebat (quum ſciret ea quæ [à Prophetis] dicta eſſent) reſponſum vaticinio ſuperius allato cõſentaneum dabat, à Nazareth Chriſtum nõ venturum: propterea etiam inquit Chriſtus: Ecce verè Iſraëlita, in quo dolus non eſt. Hac etiã de cauſa quidam Iudęorum Nicodemo dicebant: Scrutare, & vide, quia à Galilæa Propheta non excitatur. Et rurſus

Nónne à Bethlehẽ caſtello, vbi erat Dauid, Chriſtus venit? Atque adeò communis omnium ſententia erat, haud dubiè illinc, non autem à Galilæa, debere venire. Itaque qnum Ioſeph & Maria, ciues Bethlehemitæ relictâ patrâ, in Nazareth vitam ſuam inſtituiſſent, & illic commorarentur, (vt videlicet ſæpe multis hominibus vſu venire ſolet, qui è ciuitatibus, vnde ortum duxerant, emigrantes; in aliis in quibus ab initio nati non fuerant, commorentur) oporterétque Chriſtum in Bethlehem naſci: exiit edictum, quod, Deo ita ſtatuente, etiam inuitos in vrbem compulit. Lex enim quæ iubebat vnumquemque in patria ſua nomen profiteri, adegit eos à Nazareth pedem efferre, & in Bethlehem redire ad nomen illic ſuum edendum. Hoc ergo, licet obſcurius, innuens Euangeliſta, ait: Aſcendit ergo Ioſeph à Galilæa ex ciuitate Nazareth in Iudæam, in ciuitatem Dauid, quæ vocatur Bethlehem, eo quod eſſet de domo & familia Dauid: vt profiteretur cum Maria deſponſata ſibi vxore prægnãte. Factum eſt autẽ, quum eſſent ibi, impleti ſunt dies, vt pareret, & peperit filium ſuum primogenitum. Vidiſti, dilecte, prouidentem Dei adminiſtrationem, per infideles atque fideles, ea quæ ad ſe pertinent diſpenſantis nempe vt vim potentiamque eius, qui à vero ipſius cultu alieni ſunt, agnoſcant. Et ſtella quidem Magos ab Oriente produxit; at lex Mariam in patriam à Prophetis prędictam traxit. Hinc nobis euidenter conſtat etiam Virginem ipſam ex genere Dauidico fuiſſe. Nam ſi ex Bethlehem ortum duxit, manifeſtum eſt, quòd etiam ex domo & familia Dauid fuerit. Quod item ſuperius manifeſtè docuit Euangeliſta, quum dixit; Aſcendit autem & Ioſeph ex Galilæa cum Maria; eo quod eſſet ex domo & familia Dauid. Nam quum ſeriem ſtirpis Ioſeph receẽſuiſſet; huius autẽ maiores nemo vt illius enumeraſſet, ne hinc tibi dubitatio oriretur, ac diceres: vnde ergo manifeſtè patet etiã ipsã Dauide ortã? Audies. In mẽſe (inquit) ſexto, miſſus eſt Angelus Gabriel à Deo in ciuitatẽ Galilæę, cui nomẽ Nazareth,

Qua occaſione Chriſtus natus in Bethlehem.

Luc. 2. 4.

Mat. 2. 1. & 2.

Luc. 1. 26.

A οὐκ ἀπὸ Βεθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαβίδ, ὁ Χριστὸς ἔρχεται; καὶ κοινὴ πάντων ψῆφος ἦν, ὅτι πάντως ἐκεῖθεν αὐτὸν δεῖ παραγενέσθαι, οὐκ ἀπὸ τῆς Γαλιλαίας. ἐπεὶ οὖν ὁ Ἰωσὴφ καὶ ἡ Μαρία τῆς Βηθλεὲμ ὄντες πολῖται, ἐκείνην ἀφέντες, ἐν τῇ Ναζαρὲθ τὸν βίον αὐτῶν κατεστήσαντο, κἀκεῖ διέτριβον (οἷα δὴ πολλὰ συμβαίνειν εἰκὸς ἐπὶ πολλῶν ἀνθρώπων, τὰς μὲν πόλεις, ὅθεν ἐγένοντο, καταλιμπανόντων· ἐν ἄλλαις δὲ, ἐν αἷς οὐκ ἐφύησαν παρὰ τὴν ἀρχὴν, διατριβόντων) ἔδει δὲ τὸν Χριστὸν ἐν Βηθλεὲμ τεχθῆναι· ἐξῆλθε τὸ δόγμα, καὶ ἄκοντας αὐτοὺς συν-
B ωθοῦν εἰς τὴν πόλιν ἐκείνην, τοῦ Θεοῦ οὕτως οἰκονομοῦντος. ὁ γὰρ νόμος ὁ κελεύων ἕκαστον εἰς τὴν ἰδίαν ἀπογράψασθαι πατρίδα, ἠνάγκαζεν ἐκεῖθεν αὐτοὺς ἀνίστασθαι, ἀπὸ τῆς Ναζαρὲθ λέγω, καὶ ἔρχεσθαι εἰς τὴν Βηθλεὲμ, ὥστε ἀπογράφεσθαι. τοῦτο γοῦν αὐτὸ αἰνιττόμενος καὶ ὁ εὐαγγελιστὴς, ἔλεγεν· ἀνέβη δὲ καὶ ὁ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲθ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαβὶδ, ἥτις καλεῖται Βηθλεὲμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ, ἀπογράφεσθαι σὺν Μαριὰμ τῇ με-
C μνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ. καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτὴν, καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον. εἶδες, ἀγαπητὲ, οἰκονομίαν Θεοῦ καὶ διὰ τῶν ἀπίστων, καὶ τῶν πιστῶν τὰ καθ' ἑαυτὸν οἰκονομοῦντος· ἵνα μάθωσιν οἱ ἀλλότριοι τῆς εὐσεβείας τὴν ἰσχὺν καὶ τὴν δύναμιν αὐτοῦ. καὶ ὁ μὲν ἀστὴρ τοὺς Μάγους ἤγαγεν ἀπὸ τῆς ἀνατολῆς· ὁ δὲ νόμος τὴν Μαριὰμ εἷλκεν ἐπὶ τὴν πατρίδα τὴν ὑπὸ τῶν προφητῶν εἰρημένην. ἐντεῦθεν ἡμῖν δῆλόν ἐστιν, ὅτι καὶ ἡ παρθένος ἐκ γένους ἐστὶ Δαβιτικοῦ. ἐπεὶ γὰρ ἐκ τῆς Βηθλεὲμ ἦν, εὔ-
D δηλον ὅτι καὶ ἐκ τοῦ οἴκου καὶ τῆς πατριᾶς ἦν τοῦ Δαβίδ. τοῦτο καὶ ἀνωτέρω ἐδήλωσεν ὁ εὐαγγελιστὴς, ἐν οἷς ἔλεγεν· ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας σὺν Μαριὰμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ. ἐπεὶ γὰρ ὁ μὲν Ἰωσὴφ ἐγενεαλογήθη, τοὺς δὲ ταύτης προγόνους οὐδεὶς ἀπηρίθμησεν οὕτως, ὡς ἐκείνου· ἵνα μὴ ἀμφιβάλλῃς, καὶ λέγῃς, πόθεν οὖν δῆλον ὅτι ἐκ τοῦ Δαβίδ ἐστι καὶ αὐτή; ἄκουσον. ἐν τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρὲθ,

πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα A Ιωσήφ, ἐξ οἴκου Δαβίδ. τὸ, ἐξ οἴκου Δαβίδ, περὶ τῆς παρθένου μᾶλλον εἰρῆσθαι· ὅπερ οὕτω καὶ ἐνταῦθα δεδήλωται. διὰ τοῦτο καὶ τὸ πρόσταγμα καὶ ὁ νόμος τότε ἐφοίτα, ἀνάγων ἐπὶ τὴν Βηθλεέμ αὐτούς. ὁμοῦ τε γὰρ τῆς πόλεως ἐπέβησαν, καὶ Ιησοῦς εὐθέως ἐτίκτετο. διὸ καὶ ἐν φάτνῃ κατεκλίνετο πολλῶν πανταχόθεν τότε συντρεχόντων, καὶ τοὺς τόπους προκαταλαμβανόντων, καὶ πολλὴν ποιούντων τὴν στενοχωρίαν. ὅθεν ἐκεῖ αὐτὸν καὶ οἱ Μάγοι προσεκύνησαν. ἵνα δὲ σαφεστέραν καὶ γνωριμωτέραν ὑμῖν ἀπόδειξιν παράσχωμαι, διαναστῆτέ B μοι, παρακαλῶ, νῦν. καὶ γὰρ μακρὰν ἱστορίαν ἀνακινῆσαι βούλομαι, καὶ παλαιοὺς ἀναγνῶναι νόμους, ὥστε πάντοθεν ὑμῖν γενέσθαι τὸν λόγον σαφέστερον. νόμος ἦν παλαιὸς τοῖς Ιουδαίοις. μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀγάγωμεν. ὅτε τῶν Αἰγυπτιακῶν θορύβων, καὶ τῆς τοῦ βαρβάρου τυραννίδος τὸν τῶν Ἑβραίων δῆμον ἀπήλλαξεν ὁ θεός, ὁρῶν αὐτοὺς ἔτι λείψανα ἀσεβείας ἔχοντας καὶ περὶ τὰ αἰσθητὰ ἐπτοημένους, καὶ μεγέθη καὶ κάλλη ναῶν θαυμάζοντας, ἐκέλευσεν αὐτοῖς οἰκοδομηθῆναι ναόν, οὐ- C χὶ τῇ πολυτελείᾳ τῆς ὕλης μόνον, οὐδὲ τῇ ποικιλίᾳ τῆς τέχνης, ἀλλὰ καὶ τῷ σχήματι τῆς οἰκοδομῆς πάντας τοὺς ἐν τῇ γῇ ναοὺς ἀποκρύπτοντα. καὶ καθάπερ πατὴρ φιλόστοργος διὰ πολλοῦ χρόνου τὸν υἱὸν τὸν ἑαυτοῦ μιαροῖς ἀνθρώποις καὶ φθορεῦσι καὶ ἀσώτοις συναναστραφέντα καὶ πολλῆς ἀπολαύσαντα τρυφῆς λαβών, μετ' ἀσφαλείας καὶ σεμνότητος ἐπὶ πλείονι καθίστησιν αὐτὸν ἀφθονίᾳ, ὥστε μήτε στενοχωρηθέντα τῶν προτέρων μνήμην λαβεῖν, μήτε εἰς ἐπιθυμίαν ἐκείνων ἐλθεῖν· οὕτω καὶ ὁ θεὸς λαβὼν τοὺς Ιουδαίους περὶ τὰ αἰσθητὰ ἐπτοημένους, καὶ ἐν τού- D τοις πολλὴν ποιεῖται τὴν ὑπερβολήν, ὥστε αὐτοὺς μηδέποτε εἰς ἐπιθυμίαν τῶν Αἰγυπτίων, ἢ τῶν παρ' Αἰγυπτίοις ἐλθεῖν. καὶ ποιεῖται τὸν ναὸν πρὸς τὴν εἰκόνα τοῦ κόσμου παντός, τοῦ τε αἰσθητοῦ, καὶ νοητοῦ. καθάπερ γάρ ἐστι γῆ καὶ οὐρανός, καὶ μέσον διάφραγμα τὸ στερέωμα τοῦτο· οὕτω κἀκεῖνον ἐκέλευσε γενέσθαι.

ad virginem deſponſatam viro, cui nomen erat Ioſeph, de domo Dauid. Quæ verba, De domo Dauid, accipienda ſunt tanquam de Virgine dicta: quod & hîc manifeſtè indicatum eſt. Atque hac de cauſâ edictum & lex illa promulgata fuit, quæ eos in Bethlehem duceret. ſimulatque enim in ciuitatem aſcẽdiſſent, confeſtim etiam Ieſus naſcitur, ac proinde etiam in præſepi reclinatur: quod vndique multi eò concurriſſent, & loca præoccupaſſent, magnáſque diuertendi anguſtias effeciſſent. quo in loco etiã Magi illum adorauerunt. Vt autem huiuſce diei) dilucidiorem adhuc demonſtrationẽ exhibeam, veſtris mecum adſurgite animis. nam longiorem rerum memoriam excitare, & priſcas leges recognoſcere ſtatui, vt ex omni parte vobis orationem noſtram manifeſtiorem reddam. Lex erat Iudæis, eaque perantiqua. ſed age, potiùs paulò altiùs ſermonem repetamus. Quo tẽpore ab Ægyptiacis turbis, & barbara Pharaonis tyrannide, Hebræorum populum Deus liberauit; videns ipſos impietatis adhuc ſecum reliquias habere, rebuſq; omnibus ſub ſenſum cadentibus, ad inſaniam vſque addictos, templorumq; magnitudinis ac pulchritudinis admiratione duci, templum ipſis exædificari pręcipit, quod non modò materię magnificentiâ atque artis varietate, ſed & ſtructuræ formâ, cætera omnia, quę vbique terrarum erant tęmpla, obſcuraret. Et quemadmodum pater liberorum ſuorum indulgenter amans, filium profligatis, perniciosis, laſciuis hominibus vſum, nimioq; luxu diſſolutum, ad ſe longo temporis interuallo recipiẽs, tutò & cum dignitate in maiori rerum abundantiâ cõſtitueret, ne in anguſtias aliquas coniectus, priorum recordatione, atque etiam cupiditate corripiatur: ita Deus Iudæos ad res ſenſiles cum ſtupore propenſos videns, in hiſce ipſis rebus præſtantiſſimũ aliquid efficit, ne vnquam poſtea Ægyptiorum, aut eorum quæ apud Ægyptios experti fuerant, cupiditate caperentur: templumq; ipſis ſtatuit ad mundi exemplar, totiúſque vniuerſi: tam quod ſenſu, quam quod ſolo intellectu percipi poteſt. Sicut enim terra eſt, & cœlum, & medium ſepimenti inſtar, hoc firmamentum: ita & illud quoque fieri iuſſit.

Lex Iudæorum quadam antiqua.

Exod. 26.

duaſq; in partes diuiſo hoc templo, & ad medium obtento velo, eam partē, quæ extra velū erat, omnibus ingrediendi poteſtatem fecit: ad alteram verò illam interiorem, nemini, præterquam ſummo Sacerdoti, aditum atque intuitum patere permiſit. Cæterùm quòd hæc non noſtra coniectura ſit, ſed quòd templum reuera totius mundi ad exemplum exſtructum fuerit, audi quid Paulus, de Chriſto in cœlum aſcendēte loquēs, dicat: Non enim in manufacta ſancta introiuit Chriſtus exemplaria verorum, oſtendens, quòd quæ apud nos ſunt, verorum ſint ſimulacra. Quòd porrò velum dirimeret ſancta ſanctorum à ſanctis extra poſitis; ſicut hoc cœlum quæ ſuper ſe ſita ſunt, ab omnibus quæ apud nos ſunt, diſiungit: audi quomodo etiam hoc, obſcurius tamen indicauerit, quum cœlum velum appellat. De ſpe namque referens, quòd ſicut anchoram ipſam animæ habeamus, tutam ac firmam; deinde ſubiungit: Et incedentem vſque ad interiora velaminis; vbi præcurſor pro nobis introiuit Ieſus, ſupra cœlum ſurſum. Vides quomodo cœlum velamen appellauerit? Extra velum autem erat candelabrum, & menſa, & altare æreū, ad ſacrificia & holocautomata excipiēda. Intra velum verò Arca circumtecta ex omni parte auro, tabulas teſtamenti habēs & vrnam auream, & virgam Aaron quæ fronduerat, & altare aureum; nō illud ſacrificiorum & holocauſtorū, ſed ſolius ſuffimēti. Et per ea quæ extra erant, omnibus incedere fas erat; per ea verò quę intus, ſoli ſummo Sacerdoti. De hiſce ipſis ruſus teſtimonium ex Paulo dabo, qui ſic ait: Habuit quidem prius tabernaculum iuſtificationes culturæ, & ſanctum ſæculare. (ſāctum ſæculare appellat exterius tabernaculum: quādoquidem toti mundo ingredi licebat.) in quo candelabrum, & menſa, & propoſitio panum. poſt velamentum autem ſecundū tabernaculum, quòd dicitur ſancta ſanctorū, aureum habens thuribulum, & arcam teſtamenti circumtectam ex omni parte auro; in quâ vrna aurea habens manna, & virga Aaron quæ fronduerat, & tabulę teſtamenti. ſuper eam autem erant Cherubim gloriæ, obumbrantia propitiatorium.

Heb. 9. 2. — Heb. 6. 19. — Heb. 9. 1.

καὶ εἰς δύο διατεμὼν τὸν ναὸν τοῦτον, καὶ καταπέτασμα ἀφεὶς μέσον, τὸ μὲν ἔξω τοῦ καταπετάσματος, πᾶσι συνεχώρησεν εἶναι βατόν· τὸ δὲ ἔνδον, ἄβατον καὶ ἀθέατον πᾶσι, πλὴν τοῦ ἀρχιερέως μόνου. καὶ ὅτι οὐχ ἡμέτερος ταῦτα στοχασμὸς, ἀλλ' ἐν τύπῳ τοῦ κόσμου παντὸς ὁ ναὸς κατεσκεύαστο, ἄκουσον τί φησιν ὁ Παῦλος, περὶ τοῦ Χριστοῦ λέγων εἰς τὸν οὐρανὸν ἀναβαίνοντος. οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν· δεικνὺς ὅτι τὰ ἐνταῦθα ἀντίτυπα ἐστὶ τῶν ἀληθινῶν. ὅτι δὲ καὶ τὸ καταπέτασμα διεῖργε τὰ ἅγια τῶν ἁγίων ἀπὸ τῶν ἁγίων τῶν ἔξω, καθάπερ ἐστὶν ὁ οὐρανὸς τὰ ὑπὲρ αὐτὸν ἀποτειχίζει τούτων τῶν καθ' ἡμᾶς ἁπάντων, ἄκουσον πῶς καὶ τοῦτο ἠνίξατο, τὸν οὐρανὸν καταπέτασμα καλέσας. περὶ γὰρ τῆς ἐλπίδος λέγων, ὅτι ὡς ἄγκυραν αὐτὴν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν, ἐπήγαγε· καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, ὑπὲρ τὸν οὐρανὸν ἄνω. ὁρᾷς πῶς καταπέτασμα τὸν οὐρανὸν ἐκάλεσεν; ἔξω μὲν οὖν τοῦ καταπετάσματος ἦν ἡ λυχνία, καὶ ἡ τράπεζα, καὶ βωμὸς χαλκοῦς τὰς θυσίας δεχόμενος, καὶ τὰ ὁλοκαυτώματα. ἔσω δὲ τοῦ καταπετάσματος ἡ κιβωτὸς, περικεκαλυμμένη πάντοθεν χρυσίῳ, τὰς πλάκας ἔχουσα τῆς διαθήκης, καὶ τὴν στάμνον τὴν χρυσῆν, καὶ τὴν ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ βωμὸν χρυσοῦν, οὐχὶ θυσιῶν, οὐδὲ ὁλοκαυτωμάτων, ἀλλὰ θυμιάματος μόνου. καὶ τὰ μὲν ἔξω πατεῖν, πᾶσιν ἐφεῖτο· τὰ δὲ ἔνδον, μόνῳ τῷ ἀρχιερεῖ. καὶ τούτων δὲ αὐτῶν μαρτυρίαν παρέξομαι πάλιν, τοῦ Παύλου οὕτω πως λέγοντος. Εἶχε μὲν οὖν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό τε ἅγιον κοσμικόν. ἅγιον δὲ κοσμικὸν καλεῖ, τὴν ἔξω σκηνὴν, ἐπειδὴ τῷ κόσμῳ παντὶ εἰσιέναι θέμις ἦν· ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λεγομένη τὰ ἅγια τῶν ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης· ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον.

Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν A
πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς, τὰς λατρείας ἐπιτελοῦντες· εἰς δὲ τὴν δευτέραν, ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. ὁρᾷς ὅτι καὶ μόνος εἰσέρχεται ὁ ἀρχιερεὺς, καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ πάντως; τί οὖν ταῦτα, φησὶ, πρὸς τὴν προκειμένην ἡμέραν; ἀναμείνατε μικρὸν, καὶ μὴ θορυβεῖσθε. ἄνωθεν γὰρ τὴν πηγὴν διορύττομεν, καὶ ἐπ' αὐτὴν σπεύδομεν τὴν κορυφὴν ἐλθεῖν, ὥστε μετ' εὐκολίας ὑμῖν ἅπαντα γενέσθαι δῆλα· μᾶλλον δὲ, ἵνα μὴ μέχρι πολλοῦ ὁ λόγος B
συνεσκιασμένος ᾖ, μηδὲ ἀσαφεστέρους ὧν ἀπαγορεύειν ὑμᾶς ποιήσῃ πρὸς τὸ μῆκος τῶν λεγομένων, ἤδη τὴν αἰτίαν ὑμῖν ἐρῶ, δι' ἣν ταῦτα πάντα ἀνεκίνησα. τίς οὖν ἐστιν ἡ αἰτία; ἓξ μῆνας ἐν γαστρὶ ἐχούσης τῆς Ἐλισάβετ τὸν Ἰωάννην, ἡ Μαρία ἤρξατο συλλαμβάνειν. ἂν τοίνυν μάθωμεν, ποῖος ἐκεῖνος ὁ μὴν ὁ ἕκτος ἦν, εἰσόμεθα καὶ πότε ἤρξατο συλλαμβάνειν ἡ Μαρία. εἶτα μαθόντες, πότε ἤρξατο συλλαμβάνειν, εἰσόμεθα καὶ πότε ἔτεκεν, ἐννέα μῆνας ἀπαριθμήσαντες ἐκ τῆς συλλήψεως. πόθεν οὖν C
εἰσόμεθα, ποῖος ἦν ὁ ἕκτος μὴν τῆς κυήσεως τῆς Ἐλισάβετ; ἂν μάθωμεν, ποῖος ἦν ὁ μὴν, καθ' ὃν ἤρξατο συλλαμβάνειν. πόθεν δὲ εἰσόμεθα, ποῖος ἦν ὁ μὴν, καθ' ὃν συνέλαβεν; ἂν μάθωμεν, κατὰ ποῖον καιρὸν εὐηγγελίσθη Ζαχαρίας ὁ ταύτης ἀνήρ. αὐτὸ δὲ τοῦτο πόθεν ἡμῖν ἔσται γνώριμον; ἀπὸ τῶν θείων γραφῶν· καθὼς τὸ ἅγιον εὐαγγέλιον λέγει, ὅτι εἰς τὰ ἅγια τῶν ἁγίων εἰσιόντα τὸν Ζαχαρίαν ὁ ἄγγελος εὐηγγελίσατο, καὶ εἶπεν αὐτῷ περὶ τοῦ τόκου Ἰωάννου. ἂν τοίνυν ἀποδειχθῇ σαφῶς ἀπὸ τῶν γρα- D
φῶν, ὅτι ἅπαξ εἰσήρχετο εἰς τὰ ἅγια τῶν ἁγίων ὁ ἀρχιερεὺς, καὶ μόνος, καὶ πότε, καὶ ποίῳ μηνὶ τοῦ ἐνιαυτοῦ τὸ ἅπαξ τοῦτο εἰσέρχεται, εὔδηλος ἔσται ὁ καιρὸς, καθ' ὃν εὐηγγελίσθη. τούτου δὲ γνωσθέντος δῆλον, καὶ ἡ ἀρχὴ τῆς συλλήψεως ἔσται τοῖς πᾶσι γνώριμος. ὅτι μὲν οὖν ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσήρχετο καὶ ὁ Παῦλος ἐδήλωσε. καὶ ὁ Μωϋσῆς δὲ τοῦτο αὐτὸ δῆλον ποιεῖ, οὕτω λέγων·

His vero ita compoſitis; in priori quidem tabernaculo ſemper introibant Sacerdotes, ſacrificiorum officia conſummantes: in ſecundo autem ſemel in anno ſolus Pontifex; non ſine ſanguine, quem offert pro ſua & populi ignorantia. Vides ſolum ingredi ſummum ſacerdotem, idq; ſemel dumtaxat toto anno? Verùm quid hæc, inquis, ad præſentem diem? Expectate pauliſper, nec tumultuemini: à capite enim fontem ducimus, & ad ipſum rei faſtigium peruenire contendimus, vt cuncta nullo negotio nobis aperta atque perſpecta ſint. Quin imò ne diutius verborum integumentis noſtra obumbretur oratio, néve implicatior fiat, nimiáque eorum, quæ dicuntur, longitudine defatigemini: iam rationem vobis exponam, cur hæc omnia, tam altè repetita, mouerim. quæ porrò huius rei ratio? Quum menſes iam ſex Elizabeth Ioannem in vtero geſtaret, tum Maria concipere cœpit. Itaque ſi diſcamus, quiſnam ſextus ille menſis fuerit; certò etiam ſciemus, quando cœperit Maria concipere. Deinde quum cognouerimus, quódnam conceptus ſui principium habuerit, vtique quando pepererit cognoſcemus; nouem menſes à conceptione numerantes. Vnde igitur, quiſnam ille ſextus menſis fuerit prægnationis Elizabeth, nobis conſtabit? Hinc ſcilicet, ſi quo menſe grauida fieri cœperit, intelligamus. Vnde autem, quis ille fuerit, addiſcemus? Si ſciamus quo tempore lætum hac de re nuncium Zacharias eius maritus accepérit. Cęterùm hoc ipſum vnde nobis explicatum erit? Ex diuinis ſcripturis. quomodo ſacrum Euangelium refert Zachariæ verſanti intra ſancta ſanctorum Angelum lætum attuliſſe nuntium, & de partu Ioannis ei prædixiſſe. Si ergo è ſacris literis clarè docuerimus, ſemel dūtaxat ſancta ſanctorum ſummum Sacerdotem ſine vllo comite ingredi, & quo tempore, & quoto anni menſe, vnicâ illâ vice introëat: in cognitionem apertam temporis, quo lętum illum nuncium accepit, deueniemus. quo declarato, etiam principium conceptionis protinus omnibus eluceſcet. Itaque quòd ſemel tantùm in anno huc introïretur, etiam Paulus manifeſtauit. quin & Moyſes idipſum apertè oſtendit, hoc modo loquens:

Zacharias quo tempore Angelum allocutus.

Leuit. 16. 2. Et locutus eſt Dominus ad Moyſen: Loquere ad Aaron fratrem tuum, & ne omni tẽpore ingrediatur ſanctuarium, quod eſt intra velum corã propiciatorio,quod eſt ſupra arcam teſtimonij,& nõ moriatur. Et iterum: *Ibid. 17.* Et omnis homo non erit in tabernaculo teſtimonij,quando ipſe ſanctuarium ingreditur ad expiandũ; donec egrediatur,& expiauerit pro ſe & domo ſuâ, & pro vniuerſo cœtu Iſrael. Et expiabit ſuper altare,quod eſt coram domino. Ex his liquet,non quolibet tempore in ſancta ſanctorum ingreſſum fuiſſe,& dum intus eſſet,nemini fas fuiſſe ea contingere,ſed extra trãs velum conſiſtendum. Verùm hæc vos ſedulò mente veſtrâ tenete. Reliquum enim eſt,vt quodnam illud tẽpus fuerit,quo ſolus ingrediebatur in ſancta ſanctorum,idq́; ſemel dumtaxat in anno, vobis demoſtrem. Quâ ratione autem hoc patebit? Ex eodẽ nimirum hoc libro: ita enim illic eſt: *Ibid. 29.* Menſe ſeptimo, decimâ die menſis, humiliabitis animas veſtras,& omne opus non facietis; ſiue indigena,, ſiue aduena, qui additur inter vos. In hac enim die expiatio erit veſtri, vt emendemini ab omnib. peccatis veſtris:coram domino mundemini:ſabbata ſabbatorum, requies erit hæc vobis.& humiliabitis animas veſtras; legitimum ſempiternum. Expiabit autem Sacerdos, quem vnxerint ipſũ,& cuius manus initiauerint,vt ſacerdotio fungatur poſt patrẽ ſuum,& induetur ſtolâ ſanctâ, & expiabit ſancta ſanctorũ,& tabernaculũ teſtimonij;& altare expiabit;& pro ſacerdotibus,&pro vniuerſo populi cœtu expiabit. Eritq́; hoc vobis legitimum ſempiternũ,vt expietis pro filiis Iſrael ab omnib.peccatis eorum. Semel in anno fiet, ſicut præcepit Dominus Moyſi. De feſto Tabernaculorũ hîc ſermo: eſt: tunc enim ſemel ſummus Sacerdos quotannis ingrediebatur. quod & ipſe explicauit his verbis: quoniã ſemel in anno hoc fiet.Si ergo feſti Tabernaculorũ tempore, ſolus ſummus Sacerdos ingreditur in ſãcta ſanctorũ ; age deinceps oſtendamus, tunc Zachariæ Angelum apparuiſſe quãdo in ſanctis ſanctorũ erat : ſoli enim ipſi incenſũ adolenti viſus eſt, ſolus verò nunquã ingreditur ſũmus

A καὶ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων, λάλησον πρὸς Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ μὴ εἰσπορευέσθω πᾶσαν ὥραν εἰς τὸ ἅγιον τὸ ἐσώτερον τοῦ καταπετάσματος εἰς τὸ πρόσωπον τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, καὶ οὐκ ἀποθανεῖται. καὶ πάλιν· καὶ πᾶς ἄνθρωπος οὐκ ἔσται ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, εἰσπορευομένου αὐτοῦ ἐξιλάσασθαι εἰς τὰ ἅγια, ἕως ἂν ἐξέλθῃ, καὶ ἐξιλάσεται περὶ ἑαυτοῦ, καὶ τοῦ οἴκου αὐτοῦ, καὶ πάσης τῆς συναγωγῆς τῶν υἱῶν Ἰσραήλ· καὶ ἐξιλάσεται ἐπὶ τὸ θυσιαστήριον τὸ ἔναντι κυρίου. ὅτι μὲν οὖν οὐ διὰ παντὸς εἰσῄει εἰς τὰ ἅγια τῶν ἁγίων, οὔτε ἔνδον ὄντος αὐτοῦ B θέμις ἦν ἔξω τινὰ ἑστάναι παρὰ τὸ καταπέτασμα, δῆλον ἀπὸ τούτων. ἀλλὰ κατέχετε δὴ ταῦτα μετ᾽ ἀκριβείας. ὑπόλοιπον γάρ ἐστι δεῖξαι, ποῖος ἦν ὁ καιρὸς, καθ᾽ ὃν εἰσῄει εἰς τὰ ἅγια τῶν ἁγίων, καὶ ὅτι ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος τοῦτο ἔπραττε. πόθεν οὖν τοῦτο δῆλον; ἀπ᾽ αὐτοῦ τοῦ βιβλίου τούτου. οὕτω γάρ πως φησίν· ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ, δεκάτῃ τοῦ μηνὸς, ταπεινώσετε τὰς ψυχὰς ὑμῶν, καὶ πᾶν ἔργον οὐ ποιήσετε ἐν αὐτῇ, ὁ αὐτόχθων, καὶ ὁ προσήλυτος ὁ προσκείμενος ἐν ὑμῖν. ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξιλάσεται περὶ ὑμῶν, C καθαρίσαι ὑμᾶς περὶ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν· ἐναντίον κυρίου καθαρισθήσεσθε. σάββατα σαββάτων, ἀνάπαυσις αὕτη ἔσται ὑμῖν· καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν. νόμιμον αἰώνιον ἔσται ὑμῖν. καὶ ἐξιλάσεται ὁ ἱερεὺς, ὃν ἂν χρίσωσιν αὐτὸν, καὶ ὃν ἂν τελειώσωσι τὰς χεῖρας αὐτοῦ ἱερατεύειν μετὰ τὸν πατέρα αὐτοῦ. καὶ ἐνδύσεται τὴν στολὴν αὐτοῦ τὴν ἁγίαν, καὶ ἐξιλάσεται τὸ ἅγιον τοῦ ἁγίου, καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὸ θυσιαστήριον ἐξιλάσεται, καὶ ἐξιλάσεται περὶ τῶν ἁμαρτιῶν τῶν ἱερέων, καὶ περὶ πάσης τῆς συναγωγῆς ἐξιλάσεται. καὶ ἔσται τοῦτο ὑμῖν νόμιμον αἰώνιον, ἐξιλάσκεσθαι περὶ τῶν υἱῶν D Ἰσραὴλ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν. ἅπαξ τοῦ ἐνιαυτοῦ ποιηθήσεται, καθάπερ συνέταξε κύριος τῷ Μωυσῇ. περὶ τῆς σκηνοπηγίας ἐνταῦθα διαλέγεται. τότε γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ ὁ ἀρχιερεὺς εἰσῄει· ὅπερ οὖν καὶ αὐτὸς ἐδήλωσεν, εἰπὼν ὅτι ἅπαξ τοῦ ἐνιαυτοῦ τοῦτο ποιηθήσεται. εἰ τοίνυν ἐν τῷ καιρῷ τῆς σκηνοπηγίας εἰσέρχεται εἰς τὰ ἅγια τῶν ἁγίων ὁ ἀρχιερεὺς μόνος, φέρε λοιπὸν ἀποδείξωμεν, ὅτι τότε ὤφθη ὁ ἄγγελος τῷ Ζαχαρίᾳ, ἡνίκα εἰς τὰ ἅγια τῶν ἁγίων ἦν. μόνῳ γὰρ αὐτῷ ὤφθη θυμιῶντι. μόνος δὲ ὁ ἀρχιερεὺς

οὐδέποτε εἰσέρχεται, ἀλλ' ἢ τότε μόνον. οὐδὲν δὲ A
κωλύει τὸ αὐτὴν ἀκοῦσαι τῶν ῥημάτων. ἐγένετο ἐν
ταῖς ἡμέραις Ἡρώδου, τοῦ βασιλέως τῆς Ἰουδαίας,
ἱερεύς τις ὀνόματι Ζαχαρίας, καὶ ἡ γυνὴ αὐτοῦ ἐκ
τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισά-
βετ. ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τά-
ξει τῆς ἐφημερίας αὐτοῦ ἐναντίον τοῦ θεοῦ, κατὰ τὸ
ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιᾶσαι, εἰσελθὼν
εἰς τὸν ναὸν τοῦ κυρίου. καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ
ἦν προσευχόμενον ἔξω, τῇ ὥρᾳ τοῦ θυμιάμα-
τος. ἀναμνήσθητί μοι, ἀγαπητέ, τῆς μαρτυρίας
ἐκείνης, τῆς λεγούσης· καὶ πᾶς ἄνθρωπος οὐκ
ἔσται ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, εἰσπορευομένου B
αὐτοῦ ἐξιλάσασθαι εἰς τὰ ἅγια τῶν ἁγίων, ἕως
ἂν ἐξέλθῃ. ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου, ἑστὼς
ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. οὐκ
εἶπε, τοῦ θυσιαστηρίου τῶν θυσιῶν, ἀλλά, τοῦ θυ-
σιαστηρίου τοῦ θυμιάματος. τὸ γὰρ θυσιαστήριον
τὸ ἔξω, θυσιῶν ἦν καὶ ὁλοκαυτωμάτων· τὸ δὲ
ἔσω, θυμιάματος. ὥστε καὶ ἀπὸ τούτου, καὶ ἀπὸ
τοῦ ὀφθῆναι αὐτῷ μόνῳ, καὶ ἀπὸ τοῦ λέγεσθαι, ὅτι
ἔξω ἦν ὁ λαὸς προσδεχόμενος αὐτὸν, εὔδηλον
ὅτι εἰς τὰ ἅγια τῶν ἁγίων εἰσῆλθε. καὶ ἐταράχθη
Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. C
εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· μὴ φοβοῦ Ζαχα-
ρία, διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου
Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα
αὐτοῦ Ἰωάννην. καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζα-
χαρίαν, καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτόν.
ἐξελθὼν δὲ ἐκεῖθεν αὖθις, καὶ οὐκ ἠδύνατο λα-
λῆσαι. ὁρᾷς ὅτι ἐσωτέρω τοῦ καταπετάσματος ἦν,
τότε τοίνυν εὐηγγελίσθη. ὁ δὲ καιρὸς τοῦ εὐαγγελι-
σμοῦ, ὁ τῆς σκηνοπηγίας ἦν, καὶ τῆς νηστείας· τοῦτο
γάρ ἐστι τὸ, ταπεινώσετε τὰς ψυχὰς ὑμῶν. τε-
λεῖται δὲ ἡ ἑορτὴ αὕτη τοῖς Ἰουδαίοις περὶ τὰ ἔσχα-
τα τοῦ Γορπιαίου μηνὸς, καθὼς καὶ ὑμεῖς μαρτυ- D
ρεῖτε. τότε γὰρ τοὺς πολλοὺς καὶ μακροὺς πρὸς
Ἰουδαίους ἀνηλώσαμεν λόγους, τῆς ἀκαίρου αὐ-
τῶν νηστείας κατηγοροῦντες. τότε τοίνυν καὶ ἡ
Ἐλισάβετ συνέλαβεν, ἡ γυνὴ Ζαχαρίου· καὶ
περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα ὅτι,
οὕτω μοι πεποίηκεν ὁ κύριος ἐν ἡμέραις, αἷς
ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. εὔ-
καιρον οὖν δεῖξαι λοιπὸν, ὅτι τὸν ἕκτον μῆνα
ταύτης ἐχούσης ἐν τῇ κυήσει τοῦ Ἰωάννου, ἡ Μα-
ρία λαμβάνει τῆς συλλήψεως τὰ εὐαγγέλια.

ſacerdos, niſi tunc temporis. Nihil au-
tem impedit etiam ipſa audire verba
Euangeliſtæ. Fuit in diebus Herodis *Luc. 1. 5.*
Regis Iudææ, Sacerdos quidã nomi-
ne Zacharias, & vxor illius de filiabus
Aaron, & nomen eius Elizabeth. Fa-
ctum eſt autẽ, quum ipſe ſacerdotio
fungeretur, in ordine vicis ſuæ ante
Deum, ſecundũ conſuetudinẽ ſacer-
dotij, ſorte exiit, vt incẽſum poneret,
ingreſſus in tẽplum Domini. Et om- *Leuit. 16. 17.*
nis multitudo populi erat orãs foris,
horâ incẽſi. Hoc loco in memoriam *Luc. 1. 11.*
reuoca, dilecte, teſtimonium illud, quod
ait: Et omnis homo non erit in taber-
naculo teſtimonij, ingrediẽte ipſo ad
expiandum in ſancta ſanctorũ, donec
egrediatur. Apparuit autem illi An-
gelus Domini ſtãs à dextris altaris in-
cenſi. Non dixit altaris ſacrificiorum,
ſed altaris incenſi: propterea quòd
altare ſacrificiorum & holocauſto-
ſtorum foris eſſet, intus verò incenſi.
Vt vel hinc, quòd ipſi ſoli cõſpicere-
tur, & quod dicatur populus ipſũ fo-
ris expectaſſe, manifeſtum euadat, in
ſancta ſanctorũ ipſum ingreſſum fuiſ-
ſe. Et turbatus eſt Zacharias videns, *Ibid. 12*
& timor cecidit ſuper ipſũ. Dixit au-
tem ad ipſum angelus: Ne timeas Za-
charia; quoniam audita eſt depreca-
tio tua, & vxor tua Elizabeth pariet
tibi filiũ, & vocabis nomen eius Ioan-
nem. Et erat plebs expectãs Zachariã: *Ibid. 21.*
& mirabantur, quod tardaret ipſe in
tẽplo. Egreſſus autem innuebat, neq;
poterat loqui ipſis. Vides intra velum
fuiſſe: tunc igitur hunc lętum nunciũ
accepit. Tempus autẽ tum erat feſti
tabernaculorum, & ieiunij (hoc enim
illa verba ſibi volunt, Humiliate ani-
mas veſtras) idq; à Iudæis ſub finem *Orat. 5. à S. Chryſo.*
menſis Septembris, quod & vos teſta- *contra Iudæos menſe Sept. habita.*
bimini, celebrabatur. Tunc enim lõ-
gâ copioſaq; oratione in Iudæos vſi
ſumus, importunum eorum ieiunium
accuſantes. Hoc ergo tempore etiam *Luc. 1. 25.*
Elizabeth vxor Zachariæ concepit.
Et occultabat ſe menſibus quinque,
dicens, Sic mihi fecit Dominus in
diebus, quibus reſpexit auferre op-
probrium meum inter homines.

Cęterùm opportunum nunc vide-
tur, vt oſtendamus prætereà, quum
ſextum iam menſem ipſa Ioannem
in vtero geſtaret, Mariam lætum de
conceptione ſuâ nuncium accepiſſe.

Quando enim venit ad eam Gabriel, *Luc 1. 30.* & dixit: Ne timeas Maria; inueniſti enim gratiam apud Deum. Et ecce concipies in vtero,& paries filium,& vocabis nomen eius Ieſum: ipſaq; hoc ſermone turbaretur, modumq; eius rei diſcere quæreret: Reſpōdens Angelus dixit ad eam: Spiritus ſanctus ſuperueniet in te, & virtus Altiſſimi obūbrabit tibi: ideoq; & quod naſcetur ex te ſanctū, vocabitur filius Dei. Et ecce Elizabeth cognata tua, & ipſa concepit filium in ſenectute ſuâ. & hic menſis eſt ſextus illi, quæ vocatur ſterilis, quia nō erit impoſſibile apud Deum omne verbum. Quòd ſi ergo poſt menſem Septembrem Elizabeth concipere cœpit, vt oſtenſum eſt: ad numerare oportet ſex ab eo, qui inter medij menſes. ſunt autem hi qui ſequuntur: October, Nouember, December, Ianuarius, Februarius, Martius. Itaque poſt hunc ſextum menſem principium cōceptionis accepit Maria. à quo, ſi nouem menſes [ſequentes] numeremus, vtique in præſentem hunc menſem deueniemus. *Conceptio nis menſis primus.* Eſt igitur primus conceptionis menſis Aprilis. deinde Maius, Iunius, Iulius, Auguſtus, September, October, Nouember, December. Atque hic menſis eſt, quem præſentem habemus, quo & hunc diem celebramus.

Vt autem quod dico, etiam apertius vobis, clariuſq; euadat, breuiter hæc rurſum repetens, dilectioni veſtræ ediſſeram. Semel in anno ingrediebatur ſolus ſummus Sacerdos in ſancta ſanctorum: tunc nuncium de Ioannis natiuitate habuit: tunc illinc abiit: tunc vxor eius concipere cœpit poſt menſem Septembrem. Quum autem ſextum iam menſem ipſa in vtero haberet, (qui ſcilicet eſt Martius) cœpit denique & Maria concipere. Ab Aprili igitur incipiendo, nouem menſes ſi numeremus, in hunc præſentem ſcilicet incidemus, quo Dominus noſter Ieſus Chriſtus natus eſt. Atque omnia quidē, quæ de hoc die dicenda erant, vobis hactenus expoſuimus. Vnum tantùm ſi nunc addidero, orationi meæ finem imponā: quæ maiora ſunt, communi doctori dicenda relinquens. Quoniam enim multi infideliū, quum audiūt Deum in carne natum, irrident nos, & inſe-

A ἐπειδὴ γὰρ ἦλθε πρὸς αὐτὴν Γαβριὴλ, καὶ ἔλεγε· μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· θορυβουμένης δὲ ἐκείνης, καὶ τὸν τρόπον ἐπιζητούσης μαθεῖν, ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται υἱὸς θεοῦ. καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ ἀ-
B δυνατήσει παρὰ τῷ θεῷ πᾶν ῥῆμα. εἰ τοίνυν μετὰ τὸν Γορπιαῖον μῆνα ἀρχὴν ἔλαβε συλλαμβάνειν ἡ Ἐλισάβετ, καθὼς ἀποδέδεικται, ἀριθμῆσαι ἐξ ἐκείνου δεῖ τοὺς μεταξὺ μῆνας ἕξ. εἰσὶ τοίνυν οὗτοι οἱ μῆνες, Ὑπερβερεταῖος, Δῖος, Ἀπελλαῖος, Αὐδυναῖος, Περίτιος, Δύστρος. μετὰ τοῦτον οὖν τὸν ἕκτον μῆνα ἀρχὴν ἡ Μαρία τῆς συλλήψεως ἔλαβεν. ὅθεν καὶ ἐννέα μῆνας ἀριθμοῦντες, εἰς τὸν παρόντα τοῦτον ἀπαντησόμεθα μῆνα. ἔστιν οὖν ὁ πρῶτος μὴν τῆς συλλήψεως τοῦ δεσπότου, Ἀπρίλ-
C λιος, ὅς ἐστι Ξανθικός· μεθ' ὃν Ἀρτεμίσιος, Δέσιος, Πάνεμος, Λώϊος, Γορπιαῖος, Ὑπερβερεταῖος, Δῖος, Ἀπελλαῖος, καὶ οὗτος ὁ μὴν ὁ ἐνεστὼς, καθ' ὃν τὴν ἡμέραν ἐπιτελοῦμεν. ἵνα δὲ καὶ σαφέστερον ὑμῖν πάλιν γένηται τὸ λεγόμενον, ἐν συντόμῳ τὰ αὐτὰ πάλιν ἀναλαβὼν, ἐρῶ πρὸς τὴν ὑμετέραν ἀγάπην. ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσήρχετο μόνος ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων. πότε δὲ τοῦτο ἐγένετο; ἐν τῷ μηνὶ τῷ Γορπιαίῳ. τότε οὖν εἰσῆλθεν ὁ Ζαχαρίας εἰς τὰ ἅγια τῶν ἁγίων· τότε καὶ εὐηγγελίσθη περὶ τοῦ Ἰωάννου.
D ἀνεχώρησεν οὖν ἐκεῖθεν, καὶ ἤρξατο συλλαμβάνειν ἡ γυνὴ αὐτοῦ. μετὰ δὲ τὸν Γορπιαῖον, ἕκτον μῆνα ἐχούσης τῆς Ἐλισάβετ, ὅσπερ ἐστὶν ὁ Δύστρος, ἤρξατο συλλαμβάνειν λοιπὸν ἡ Μαρία. ἀπὸ Ξανθικοῦ τοίνυν ἐννέα ἀριθμοῦντες μῆνας, εἰς τὸν παρόντα ἥξομεν μῆνα, καθ' ὃν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐτέχθη. ἀλλὰ τὰ μὲν περὶ τῆς ἡμέρας πάντα ὑμῖν δῆλα ἐποιησάμην· ἓν δὲ λοιπὸν εἰπὼν, καταπαύσω τὸν λόγον, τῷ κοινῷ διδασκάλῳ τῶν μειζόνων παραχωρήσας. ἐπειδὴ γὰρ πολλοὶ Ἑλλήνων ἀκούοντες, ὅτι θεὸς ἐτέχθη ἐν σαρκὶ, καταγελῶσι διασύροντες, καὶ πολλοῖς

τῶν ἀφελεστέρων θορυβοῦσι καὶ ταράττουσιν· ἀναγκαῖον καὶ πρὸς ἐκείνους, καὶ πρὸς τοὺς ταραττομένους εἰπεῖν· ὥστε μὴ θορυβεῖσθαί ποτε, ὑπὸ ἀφρόνων ἀνθρώπων ἀπειθουμένους, μήτε ταράττεσθαι ἐκ τοῦ τῶν ἀπίστων γέλωτος. καὶ γὰρ τὰ παιδία τὰ μικρὰ πολλάκις γελᾷ, σπουδαιολογουμένων ἡμῶν, καὶ περὶ τῶν ἀναγκαίων ἀσχολουμένων· ἀλλ' οὐ τῆς τῶν γελωμένων πραγμάτων εὐτελείας, ἀλλὰ τῆς τῶν γελώντων ἀνοίας τεκμήριον ὁ γέλως ἐστίν. ὅπερ οὖν καὶ ἐπὶ τῶν Ἑλλήνων ἐστὶν εἰπεῖν, ὅτι παίδων ἀνοητότεροι σχεδὸν διακείμενοι, τὰ φρίκης ἄξια καὶ πολλοῦ θαύματος γέμοντα διασύρουσι· τὰ δὲ ἀληθῶς καταγέλαστα σεμνύνουσι καὶ περιστέλλουσιν. ἀλλ' ὅμως καὶ τὰ ἡμέτερα παρ' ἐκείνοις γελώμενα ἐπὶ τῆς οἰκείας σεμνότητος μένει, οὐδὲν ἀπὸ τοῦ γέλωτος ἐκείνων εἰς τὴν ἑαυτῶν παραβλαπτόμενα δόξαν· καὶ τὰ αὐτῶν πανταχόθεν περιστελλόμενα τὴν οἰκείαν ἀσχημοσύνην ἐνδείκνυται. πῶς γὰρ οὐκ ἐσχάτης παραπληξίας, αὐτοὺς μὲν ὀλισθηροὺς ὑπάρχοντας εἰς λίθους καὶ ξύλα καὶ εὐτελῆ ξόανα τοὺς ἑαυτῶν εἰσάγοντας θεούς, καὶ καθάπερ ἐν δεσμωτηρίῳ τινὶ ἀποκλείοντας, μηδὲν αἰσχρὸν ἡγεῖσθαι μήτε ποιεῖν, μήτε λέγειν· ἡμῖν δὲ ἐγκαλεῖν λέγουσιν, ὅτι ναὸν ἑαυτῷ κατασκευάσας ὁ θεὸς ζῶντα ἐκ πνεύματος ἁγίου, δι' αὐτοῦ τὴν οἰκουμένην ὠφέλησε; καὶ ποῖον ἔγκλημα τοῦτο; εἰ γὰρ αἰσχρὸν, ἐν ἀνθρωπίνῳ σώματι θεὸν οἰκῆσαι, πολλῷ μᾶλλον ἐν λίθῳ καὶ ξύλῳ· καὶ τοσοῦτον, ὅσον λίθος καὶ ξύλον ἀτιμότερον ἀνθρώπου· εἰ μὴ ἄρα καὶ τῶν ἀναισθήτων τούτων ὑλῶν εὐτελέστερον τὸ γένος ἡμῶν αὐτοῖς εἶναι δοκεῖ. αὐτοὶ γὰρ καὶ εἰς αἰλούρους, καὶ κύνας, πολλοὶ δὲ τῶν αἱρετικῶν καὶ εἰς ἔτι τούτων ἀτιμότερα τοῦ θεοῦ κατάγειν τολμῶσι τὴν οὐσίαν. ἡμεῖς δὲ τούτων μὲν οὐδὲν οὔτε λέγομεν, οὔτε ἀκοῦσαί ποτε ἂν ἀνασχοίμεθα· ἐκεῖνο δὲ φαμὲν, ὅτι καθαρὰν σάρκα, καὶ ἁγίαν, καὶ ἄμωμον, καὶ ἁμαρτίας ἁπάσης γεγυμνωμένην ἄβατον ἐκ παρθενικῆς μήτρας ἀνέλαβεν ὁ Χριστὸς, καὶ τὸ οἰκεῖον διωρθώσατο πλάσμα. κἀκεῖνοι μὲν, καὶ οἱ τὰ αὐτὰ ἀσεβοῦντες αὐτοῖς Μανιχαῖοι, εἰς κύνας, καὶ πιθήκους, καὶ θηρία παντοδαπὰ τὴν οὐσίαν εἰσάγοντες τοῦ θεοῦ (τὴν

A ctantur, multóſque ex ſimplicioribus turbant, atque inquietant: opus eſt, cùm ad ipſos, tum ad huiuſmodi qui hiſce turbantur, ſermonem dirigere; nequid vnquam improbis hominibus acquieſcentes commoueantur, aut turbentur ex huiuſmodi infidelium irriſione. nam & parui pueri res ſerias, atq; adeò neceſſarias ſæpe nobis agitantibus, ridere ſolent. non tamen idcirco riſus hic argumentum eſt rerum, quæ ridentur, vilitatis, ſed eorum, qui rident, ſtoliditatis. Quod idem nobis de hiſce infidelibus dicere licet; qui pueris ipſis propè amen- B tiores quum ſint, ea irridēt atque ſugillant, quę religioſo quodam horrore atque omni admiratione plena ſunt, illa autem, quæ reuera ridenda erant, magnificè extollunt atque exornant. Verùm enimuerò & noſtra, ita ab ipſis irriſa, in propriâ ſuâ nihilominus maieſtate perdurant; nullo per ipſorum riſum, quòd ad præſtantiam ſuam attinet, damno accepto: & ipſorum contrà, licet exornata, priuatam ſuam turpitudinem produnt. Nónne enim extremi cuiuſdam ſtu- C poris eſt, illos lubricos in lapides & vilia ſigna Deos ſuos inducentes, & tanquam in carcere quopiam concludentes, nihil tamen arbitrari ſe turpe aut dicere aut facere: nos autem accuſare, quod aſſeramus, Deum ſibi templum viuum conſtruxiſſe ex Spiritu ſancto, per quod orbi terrarum vniuerſo profuit? Et cuiuſmodi tandem hoc accuſationis aut criminis genus? ſi enim turpe eſt Deum in humano corpore habitare; an non multo magis in ligno & lapide? eſt profectò. & quidem tanto turpius, D quāto lapis & lignum homine vilius. niſi fortè ipſâ materiâ ſenſus experte genus noſtrum abiectius illis eſſe videatur. Quin etiam in feles & canes ipſi, multi autem hęreticorum in alia inſuper hiſce ignominioſiora audent Dei eſſentiam habitatum immittere. Quod nos neque dicimus, neque dicentes aliquando audire ſuſtineamus. Sed illud tantum aſſerimus, Chriſtum carnem mundam, ſanctam, irreprehenſibilem, peccatóque omni inacceſſam, ex virgineo vtero prodeuntem, adſumpſiſſe, atque ita ſuum figmentum reſtauraſſe. Ac illi quidem, & qui pari cum ipſis impietate delinquunt Manichæi, in canes & ſimias feráſque omnis generis, diuinam eſſentiam (animam

Infideles Chriſtiana dogmata irridēt

Hæreticorum deliria.

omnino nihil ne cogitatione quidem in animum admittentes; ſed tantum quod Deo conueniens atque decens erat affirmantes: nempe ipſum aduenisse, & hoc generationis modo proprium ſuũ opus reſtauraſſe. Quid ais; dic mihi. Tune, qui homicidarũ & præſtigiatorum animam diuinæ eſſentiæ eſſe aſſeris, nos excuſare audes, qui horum quidem nihil non modò non ferimus, aut ſuſtinemus audire, dum dicuntur; ſed qui illa dicunt, impios eſſe iudicamus? Quid igitur dicimus? illud nimirum: Deum, cõſtructo ſancto hoc ſibi templo, per idipſum ex cœlo cœleſtem quendam rerum ſtatum in vitam noſtram inuexiſſe. Et quid ni meritò millies vos capitis damnandi; tum ob accuſationẽ, quà nos impetitis, tum ob impietatẽ, quam impiè in Deum admittere non deſiſtitis? ſi enim Deo eſt indecens (vt vos dicitis) inhabitare corpus purum & immaculatum, multò certè indecentius eſt præſtigiatoris, ſepulchrorum ſuffoſſoris, latronis; imò ſimiæ & canis: non autem, ſanctum illud atq; incontaminatum, quódque nunc in dextera Dei exiſtit. Quænam enim labes, quod dãnum, aut macula Deo acceſſerit ex hac huius rei ita inſtitutæ ratione? Non videtis ſolem hunc, cuius corpus tamẽ ſenſile, corruptioni ſubiectum atque infirmum eſt, rũpãtur licet millies hæc audiẽtes infideles, ac Manichæi? Neque verò ſolis duntaxat tale corpus, ſed etiã terra, mare, atque omnis omnino rerum fabrica, ſub aſpectum cadens, vanitati ſubiecta eſt. Nam audi Paulum hoc manifeſtè docẽtem, dum ait:
Rom. 8.20 Vanitati enim creatura ſubiecta eſt, non volens. ſed propter eum qui ſubiecit eam in ſpe. Qui deinde oſtẽdere volens quidnam ſit illud vanitati ſubiectum eſſe, ſubintulit, dicens:
Ibid. 21. Quia & ipſa creatura liberabitur à ſeruitute corruptionis in libertatem gloriæ filiorum Dei. Nẽpe corruptibile quid nunc eſt creatura. ſiquidem corruptioni ſeruire nihil eſt aliud, quàm corruptibile eſſe. Quòd ſi ergo ſol, corpus corruptibile quum ſit, vbique radios ſuos emittit; cœno, ſordibus, aliiſq; multis id genus rebus ſe ſe cõmunicans, nihiltamen ex hac fœditate corporearum iſtiuſmodi ſordium,

γὰρ ψυχὴν τούτοις ἅπασιν ἐκ τῆς οὐσίας ἐκείνης εἶναί φασιν) οὐ φρίττουσιν, οὐδὲ καταδύονται· ἡμᾶς δὲ ἀνάξια τοῦ θεοῦ λέγειν φασίν, ὅτι τούτων μὲν οὐδὲν οὔτε εἰς νοῦν λαβεῖν ἀνεχόμεθα· ὃ δὲ αὐτῷ πρέπον ἦν καὶ προσῆκον, λέγομεν, ὅτι τὸ οἰκεῖον ἔργον ἐλθὼν διωρθώσατο τῷ τῆς γεννήσεως ταύτης τρόπῳ. Τί λέγεις, εἰπέ μοι, ὦ ἄνθρωπε; τὴν τῶν ἀνδροφόνων ψυχὴν, καὶ τὴν τῶν γοήτων, τῆς οὐσίας εἶναι λέγων τοῦ θεοῦ, ἡμῖν τολμᾷς ἐγκαλεῖν, ὅτι τούτων μὲν οὐδὲν ἀνεχόμεθα, οὔτε ὑπομένομεν ἀκοῦσαι λεγόμενον, ἀλλὰ καὶ τοὺς λέγοντας τῆς ἀσεβείας κρίνομεν μετόχους· ἐκεῖνο δὲ φαμὲν, ὅτι ναὸν ἅγιον ἑαυτῷ κατασκευάσας ὁ θεὸς, δι' ἐκείνου τὴν τῶν οὐρανῶν πολιτείαν εἰς τὸν βίον εἰσήγαγε τὸν ἡμέτερον; καὶ πῶς οὐκ ἂν εἴητε μυρίων θανάτων ἄξιοι, καὶ ὑπὲρ τῶν ἐγκλημάτων, ὧν ἡμῖν ἐγκαλεῖτε, καὶ ὑπὲρ τῶν ἀσεβημάτων, ὧν ἀσεβοῦντες οὐ παύεσθε; εἰ γὰρ ἀπρεπὲς θεῷ, σῶμα οἰκῆσαι καθαρὸν καὶ ἄμωμον, ὡς ὑμεῖς λέγετε· πολὺ μᾶλλον ἀπρεπέστερον, τὸ τοῦ γόητος, τὸ τοῦ τυμβωρύχου, τὸ τοῦ λῃστοῦ, τὸ τοῦ πιθήκου, τὸ τοῦ κυνὸς· αὐτὸ τὸ ἅγιον καὶ ἄμωμον, καὶ ἐν δεξιᾷ τοῦ πατρὸς νῦν καθεζόμενον. ποία γὰρ ἂν βλάβη τῷ θεῷ γένοιτ' ἂν ἀπὸ τῆς οἰκονομίας ταύτης, ἢ ποία κηλίς; οὐχ ὁρᾶτε τουτονὶ τὸν ἥλιον, οὗ τὸ σῶμά ἐστιν αἰσθητὸν, καὶ φθαρτὸν, καὶ ἐπίκηρον, κἂν μυριάκις ἀποπνίγωνται Ἕλληνες καὶ Μανιχαῖοι ταῦτα ἀκούοντες; οὐχ οὗτος δὲ μόνον, ἀλλὰ καὶ γῆ, καὶ θάλασσα, καὶ πᾶσα ἁπλῶς ἡ ὁρωμένη κτίσις, τῇ ματαιότητι ὑποτέτακται. καὶ ἄκουε Παύλου τοῦτο δηλοῦντος, ἐν οἷς φησι· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι. εἶτα δηλῶν, τί ποτέ ἐστι, ματαιότητι ὑποταγῆναι, ἐπήγαγε, λέγων· ὅτι καὶ αὐτὴ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ. ὥστε νῦν ἐπίκηρός ἐστι, καὶ φθαρτή ἐστι. τὸ γὰρ τῇ φθορᾷ δουλεύειν, οὐδὲν ἕτερόν ἐστιν, ἢ φθαρτὸν εἶναι. εἰ τοίνυν ὁ ἥλιος, σῶμα φθαρτὸν ὢν, πανταχοῦ τὰς ἀκτῖνας ἀφίησι, καὶ βορβόροις, καὶ μολυσμοῖς, καὶ πολλοῖς ἄλλοις τοιούτοις ὁμιλῶν πράγμασιν, οὐδὲν ἀπὸ τῆς ὁμιλίας τῶν σωμάτων εἰς τὴν οἰκείαν καθαρότητα παραβλάπτεται;

A ἀλλὰ καθαρὰς συστέλλει τὰς ἀκτῖνας πάλιν, τῆς οἰκείας ἀρετῆς πολλοῖς τῶν ὑποδεξαμένων αὐτὸν σωμάτων μεταδιδούς· τῆς δὲ δυσωδίας, καὶ τοῦ μολυσμοῦ οὐδὲ τὸ τυχὸν αὐτὸς προσλαμβάνων· πολλῷ μᾶλλον ὁ τῆς δικαιοσύνης ἥλιος, ὁ τῶν ἀσωμάτων δυνάμεων δεσπότης, εἰς καθαρὰν σάρκα ἐλθών, οὐ μόνον οὐκ ἐμολύνθη· ἀλλὰ καὶ αὐτὴν ταύτην καθαρωτέραν καὶ ἁγιωτέραν εἰργάσατο· ταῦτα οὖν ἅπαντα ἐννοοῦντες, καὶ μνημονεύοντες τῆς φωνῆς τῆς λεγούσης, ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ πάλιν ὑμεῖς ναὸς θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ θεοῦ ἐνοικεῖ ἐν ὑμῖν, καὶ ἡμεῖς πρὸς

B ἐκείνους λέγωμεν, καὶ τὰ ἀναίσχυντα τῶν ἀσεβῶν ἀποφράττωμεν στόματα, καὶ ἐπὶ τοῖς ἡμετέροις ἀγαθοῖς εὐφραινώμεθα, καὶ τὸν σαρκωθέντα θεὸν δοξάζωμεν ὑπὲρ τῆς τοσαύτης συγκαταβάσεως, καὶ κατὰ δύναμιν τὴν ἡμετέραν, ἀξίαν ἀποδῶμεν αὐτῷ καὶ τὴν τιμὴν καὶ τὴν ἀμοιβήν. θεῷ δὲ ἀμοιβὴ οὐδεμία παρὰ ἡμῶν γένοιτ' ἄν, ἀλλ' ἢ μόνον ἡ σωτηρία ἡμῶν καὶ τῶν ἡμετέρων ψυχῶν, καὶ ἡ περὶ τὴν ἀρετὴν ἐπιμέλεια. μὴ τοίνυν γενώμεθα ἀγνώμονες περὶ τὸν εὐεργέτην· ἀλλὰ τὰ κατὰ δύναμιν ἅπαντες ἅπαντα εἰσενέγκωμεν, πίστιν,

C ἐλπίδα, ἀγάπην, σωφροσύνην, ἐλεημοσύνην, φιλοξενίαν. καὶ ὃ πρῴην ὑμᾶς παρεκάλεσα, τοῦτο καὶ νῦν, καὶ ἀεὶ παρακαλῶν οὐ παύσομαι. τί δὲ τοῦτό ἐστι; μέλλοντες προσιέναι τῇ φρικτῇ καὶ θείᾳ ταύτῃ τραπέζῃ, καὶ ἱερᾷ μυσταγωγίᾳ, μετὰ φόβου καὶ τρόμου τοῦτο ποιεῖτε, μετὰ καθαροῦ συνειδότος, μετὰ νηστείας καὶ προσευχῆς, μὴ θορυβοῦντες, μηδὲ λακτίζοντες, μηδὲ ὠθοῦντες τοὺς πλησίον. ἐσχάτης γὰρ τοῦτο παρανοίας, καὶ καταφρονήσεως οὐ τῆς τυχούσης. διὸ καὶ πολλὴν ἐπάγει τοῖς ταῦτα ποιοῦσι τὴν κόλασιν καὶ τὴν τιμωρίαν. ἐννόησον, ὦ ἄνθρωπε, ποίας μέλλεις ἅπτεσθαι θυσίας,

D ποίᾳ προσέρχεσθαι τραπέζῃ· ἐνθυμήθητι καὶ ὅτι γῆ ὢν, καὶ σποδός, αἷμα καὶ σῶμα Χριστοῦ μεταλαμβάνεις. καὶ βασιλέως μὲν εἰς εὐωχίαν καλοῦντος ὑμᾶς, μετὰ φόβου ἀνακλίνεσθε, καὶ τῶν προκειμένων μετ' αἰδοῦς καὶ ἡσυχίας μεταλαμβάνετε ἐδεσμάτων· τοῦ θεοῦ δὲ καλοῦντος ἐπὶ τὴν ἑαυτοῦ τράπεζαν, καὶ τὸν ἑαυτοῦ προτιθέντος υἱὸν ἀγγελικῶν δυνάμεων παρισταμένων μετὰ φόβου καὶ τρόμου καὶ τῶν Χερουβὶμ κατακαλυπτόντων τὰ

in ſuâ illâ puritate læditur, ſed mũdos illos ſuos in ſe radios retrahit, ac multis rurſum corporibus, quæ ipſum ſuſcipiunt, vim ſuam virtutemq; participat: nihil autẽ noxij aut ſordidi ex illis, ne minimũ quidem, ipſe interim in ſe recipiens: quanto magis iuſtitiæ ille ſol, ille virtutum incorporearum Dominus in puram carnẽ ingrediẽs, non ſolùm non inquinatus per eam eſt: ſed contrà etiã puriorem eam ipſam ſanctioremq; effecit? Atque hæc quidem omnia mente voluentes, & cõmemorantes diuinam vocem, dicentẽ: Inhabitabo in illis, & inambulabo. Et rurſum: Vos templũ Dei eſtis & Spiritus Dei inhabitat in vobis. etiam nos aduerſus iſtos dicamus, & impudẽtia impiorũ orã obſtruamus, noſtriſque interim bonis lætemur, ac Deũ incarnatũ ob tam indulgentẽ ad nos vſq; ſui demiſſionẽ glorificemus, & pro virium noſtrarũ facultate condignam ipſi venerationem gratiamq; reddamus. Deo autẽ nulla à nobis gratiarum par retributio fieri queat, niſi ſolum ea, quæ conſiſtit in noſtrâ animarumq; noſtrarũ ſalute, atq; in contento ad virtutẽ ſtudio. Ne ſimus ergo hîc ingrati erga tanti in nos beneficij auctorẽ, ſed omnes omnia ei pro virili offeramus, fidem, ſpẽ, charitatẽ, temperantiã, miſericordiã, hoſpitalitatẽ. Et ad quod antea vos cohortat⁹ ſum, ad id etiam nunc, & in poſterum ſẽper, vos cohortari nõ deſiſtã. Quidnam hoc? Cum acceſſuri eſtis ad tremendã diuinamq; illam menſam, & ſacra myſteria, cum timore ac tremore hoc facite, cum purâ conſcientiâ, cũ ieiunio & precatione: non tumultuãtes, non calcitrãtes, non proximũ impellẽtes. extremæ enim hoc ſuperbiæ eſt, contemptioniſq; minimè vulgaris, quare etiã talia perpetrantibus punitionem multã conciliat. Tecum reputa, ô homo, qualem hoſtiam es contrectaturus, qualem menſam aditurus. Tecum reputa & hoc, quod quum terra ſis & cinis, corpus & ſanguinem Chriſti ſumis. Et ſi vos Rex quidem ad conuiuium vocet, cum timore accumbitis, ciboſq; appoſitos cũ reuerẽtia & ſilentio ſumitis; Deo autẽ te ad ſuammet menſã vocante, filiumq; ſuum ibi apponente, vbi Angelicæ poteſtates adſiſtunt cum timore & tremore: vbi Cherubini velant facies ſuas,

Leu. 26. 12. 2. Cor. 6. 16. 1. Cor. 3. 16

atque Seraphini cum tremore clamant, Sanctus, Sanctus, Sanctus dominus: tu mihi audes vociferando ac tumultuando ad ſpiritale illud conuiuium accedere? An te fugit eo tẽpore multâ trãquillitate mentem eſſe plenam oportere; multaque pace ac quiete opus eſſe; nõ autem tumultu, iracundia, ſtrepituq; immodeſto? hæc enim immundam animam accedentem efficiunt. Quænam autẽ venia nobis habeatur, ſi poſt tanta peccata, ſaltem tempus hoc, quo ad ſacram hanc menſam adimus, ab irrationabilib. hiſce perturbationibus nõ purgemus? quid autem omnino eſt magis neceſſarium, quàm ea quæ in hac mẽſa proponũtur? aut quid vrget nos, vt connitamur; & ſpiritualibus rebus relictis, ad ea quæ carnem ſpectant, properemus? Ne, ne, rogo vos atque obteſtor, diuina in nos irã concitemus: medicamentum eſt id quod proponitur vulnerum noſtrorum ſalutare, diuitię indeſinentes, quę cœlorũ nobis regnum conciliant. Cum horrore itaq; accedamus, gratias agamus, procũbamus cõfitentes peccata noſtra; lachrymemur mala noſtra lugentes; intentas ac largas preces Deo fundamus: ſicq; noſipſos emundãtes, tacitè, & cum debita modeſtia tanquã ad cœlorũ Regem adeuntes accedamus; ſanctamque hanc & immaculatã recipientes, exoſculemur, oculis eam cõplexi; mentemq; & animũ incendamus. Ne in iudicium aut dãnationẽ conueniamus; ſed in animæ temperantiã, in dilectionem, in virtutem, & cum Deo recõciliationem, in pacem firmã, ac mille deniq; bonorũ occaſionẽ: vt & nos ipſos ſanctos reddamus, & proximos ædificemus. De his aſſiduè vobiſcum ago, nec agere deſiſtã. Quæ enim vtilitas omnino in vanũ huc concurrere, ſi nihil quod vtile ſit, addiſcatis? quodnã, obſecro, lucrũ adfert, ſemper ad gratiã vobis cõcionari? Breue pręſens hoc tempus eſt, ô dilecti, ſobrij ſimus: vigilemus: nos ipſos cõponamus: omne beneuoli animi ſtudiũ in omnes ſincerè oſtẽdamus: omnes omni reuerẽtia ac pietate amplectamur, ſeu diuina verba audire, ſiue orare, ſiue [ad Dei menſam] accedere, ſiue aliud quid deniq; faciendum ſit, cum timore ac tremore id fiat: ne negligẽtia noſtra maledictionẽ nobis accerſamus. Maledictus enim (inquit Propheta)

A πρόσωπα, τῶν Σεραφὶμ κραζόντων τρόμῳ, ἅγιος, ἅγιος, ἅγιος κύριος· σὺ κράζεις, εἰπέ μοι, καὶ θορυβεῖς πρὸς τὴν πνευματικὴν ταύτην ἑστίασιν; οὐκ οἶδας, ὅτι γαλήνης δεῖ γέμειν τὴν ψυχὴν κατ' ἐκεῖνον τὸν καιρόν; εἰρήνης πολλῆς καὶ ἡσυχίας χρεία, οὐχὶ θορύβου καὶ θυμοῦ καὶ ταραχῆς. ταῦτα γὰρ ἀκάθαρτον ποιεῖ τὴν προσιοῦσαν ψυχήν. τίς οὖν ἂν γένοιτο ἡμῖν συγγνώμη, εἰ μετὰ τοσαῦτα ἁμαρτήματα, μηδὲ τὸν καιρὸν τῆς προσελεύσεως καθαρεύοιμεν τῶν ἀλόγων παθῶν ἐκείνων; τί δὲ ὅλως ἀναγκαιότερον τῶν προκειμένων; ἢ τί ἡμᾶς θορυβεῖ, ἵνα σπουδάσωμεν τοῦτο B καταλιπόντες ἐκεῖ τρέχειν; μή, δέομαι καὶ ἀντιβολῶ, μὴ κινήσωμεν τὴν ὀργὴν τοῦ θεοῦ καθ' ἑαυτῶν. φάρμακόν ἐστι σωτήριον τῶν ἡμετέρων τραυμάτων τὸ προκείμενον, πλοῦτός ἐστιν ἀνελλιπής, βασιλείας οὐρανῶν πρόξενος. φρίξωμεν τοίνυν προσιόντες, εὐχαριστήσωμεν, προσπέσωμεν ἐξομολογούμενοι τὰ πταίσματα ἡμῶν, δακρύσωμεν τὰ οἰκεῖα πενθοῦντες κακά, ἐκτενεῖς εὐχὰς ἀποδῶμεν τῷ θεῷ· καὶ οὕτω διακαθάραντες ἑαυτοὺς ἠρέμα, καὶ μετὰ τῆς προσηκούσης εὐταξίας, ὡς τῷ βασιλεῖ προσιόντες τῶν οὐρανῶν, οὕτω C προσέλθωμεν· καὶ δεξάμενοι τὴν ἄμωμον καὶ ἁγίαν θυσίαν καταφιλήσωμεν, τοῖς ὀφθαλμοῖς περιπτυξώμεθα, διαθερμαίνωμεν ἑαυτῶν τὴν διάνοιαν, ἵνα μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα συνερχώμεθα, ἀλλ' εἰς σωφροσύνην ψυχῆς, εἰς ἀγάπην, εἰς ἀρετήν, εἰς καταλλαγὴν τὴν πρὸς τὸν θεόν, εἰς εἰρήνην βεβαίαν, εἰς μυρίων ἀγαθῶν ὑπόθεσιν, ἵνα καὶ ἑαυτοὺς ἁγιάσωμεν, καὶ τοὺς πλησίον οἰκοδομήσωμεν. ταῦτα συνεχῶς λέγω, καὶ λέγων οὐ παύσομαι. τί γὰρ ὄφελος, ἁπλῶς καὶ εἰκῇ τρέχειν ἐνταῦθα, μηδὲν τῶν χρησίμων μανθάνοντας; D ποῖον δὲ κέρδος, ἀεὶ τὰ πρὸς χάριν ὁμιλεῖν; βραχὺς ὁ παρὼν καιρός, ἀγαπητοί· νήψωμεν, γρηγορήσωμεν, συγκροτήσωμεν ἑαυτούς, πᾶσαν σπουδὴν περὶ πάντας γνησίαν ἐπιδειξώμεθα, περὶ πάντα γενώμεθα εὐλαβεῖς. κἂν ἀκροᾶσθαι δέοι τῶν θείων λογίων, κἂν εὔχεσθαι, κἂν προσιέναι, κἂν ἕτερόν τι ποιεῖν, μετὰ φόβου καὶ τρόμου τοῦτο γινέσθω, ἵνα μὴ κατάραν ἐπισπασώμεθα διὰ τῆς ῥαθυμίας. ἐπικατάρατος γάρ, φησι,

πᾶς

A ὁρῶντες οὕτως ἀθρόαν γεγενημένην τὴν μεταβολὴν, καὶ τοσούτῳ πλούτῳ περιρρεόμενον τὸν ξένον, τὸν καθάπερ φυγάδα καὶ ἀλήτην εἰς τὴν Αἴγυπτον κατελθόντα. καὶ ὅρα αὐτὸν οὐδὲ ὑπὸ τῆς πολλῆς εὐημερίας, οὔτε τῆς τοῦ πλούτου περιουσίας χαυνότερον γεγονότα, οὐδὲ ῥᾳθυμότερον, ἀλλὰ πάλιν εἰς ἐκεῖνον τὸν τόπον ἐπειγόμενον, ἔνθα καὶ πρότερον ἦν, πρὶν ἢ τὴν Αἴγυπτον καταλαβεῖν. ἦλθε γάρ, φησιν, εἰς τὴν ἔρημον ἕως τοῦ τόπου, οὗ ἦν ἡ σκηνὴ αὐτοῦ τὸ πρότερον, εἰς τὸν τόπον τοῦ θυσιαστηρίου, οὗ ἐποίησεν ἐκεῖ τὴν ἀρχὴν, καὶ ἐπεκαλέσατο τὸ ὄνομα κυρίου τοῦ θεοῦ. ἐννόει μοι πῶς ἦν ἡσυχίας ἐραστὴς καὶ ἀπραγμοσύνης, καὶ διη- B νεκῶς ἀνακείμενος τῇ πρὸς τὸν θεὸν θεραπείᾳ. ἐκεῖνον γάρ, φησι, τὸν τόπον κατέλαβεν, ἔνθα ἦν πρότερον τὸ θυσιαστήριον οἰκοδομήσας, καὶ ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ θεοῦ, καὶ προλαβὼν ἤδη ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐπλήρου τὸ παρὰ τοῦ Δαβὶδ εἰρημένον· ὅτι ἐξελεξάμην τὸ παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. ἡ γὰρ ἐρημία διὰ τὴν ἐπίκλησιν τοῦ ὀνόματος τοῦ θεοῦ προτιμοτέρα αὐτῷ ἐτύγχανε τῶν πόλεων. ᾔδει γάρ, ᾔδει ὅτι πόλεως μέγεθος οὐκ οἰκοδομημάτων ποιεῖ κάλλος, οὐδὲ C οἰκητόρων πλῆθος, ἀλλ' ἡ τῶν ἐνοικούντων ἀρετή, δι' ἣν καὶ ἡ ἔρημος τῶν πόλεων τιμιωτέρα ἐτύγχανεν ὑπὸ τῆς τοῦ δικαίου ἀρετῆς κοσμουμένη, καὶ λαμπροτέρα τῆς οἰκουμένης φαινομένη. καὶ Λώτ, φησι, τῷ συμπορευομένῳ μετὰ Ἀβραὰμ ἦν καὶ πρόβατα καὶ βόες καὶ κτήνη, καὶ οὐκ ἐχώρει αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα, ὅτι ἦν τὰ ὑπάρχοντα αὐτῶν πολλά, καὶ οὐκ ἠδύναντο κατοικεῖν ἅμα. οὐ μόνον τῷ πατριάρχῃ τὰ τῆς περιουσίας ηὔξετο, ἀλλὰ καὶ τῷ Λὼτ ἦν, φησι, πρόβατα καὶ βόες καὶ κτήνη. ἴσως τὰ μὲν αὐτὸς φιλότιμος ὢν ἐδωρεῖτο τῷ ἀδελφιδῷ, D τὰ δὲ καὶ ἕτεροι αὐτῷ παρεῖχον διὰ τὴν εἰς τὸν πατριάρχην τιμήν. καὶ οὐκ ἐχώρει αὐτούς, φησιν, ἡ γῆ, ὅτι ἦν τὰ ὑπάρχοντα αὐτῶν πολλά. ὅρα τὸ πλῆθος τῆς περιουσίας εὐθέως διαστάσεως αἴτιον γινόμενον, καὶ τὴν διαίρεσιν ἐργαζόμενον, καὶ τὴν ὁμόνοιαν διακόπτον, καὶ τῆς συγγενείας τὸν σύνδεσμον διαιροῦν. καὶ ἐγένετο μάχη ἀνὰ μέσον τῶν ποιμένων τῶν κτηνῶν τοῦ Ἀβραάμ, καὶ ἀνὰ μέσον τῶν ποιμένων τοῦ Λώτ. οἱ δὲ Χαναναῖοι καὶ οἱ Φερεζαῖοι τότε κατῴκουν τὴν γῆν. σκόπει πῶς οἱ προσήκοντες τὴν ἀρχὴν τῆς διαστάσεως ἐργάζονται.

videntes rerum mutationem tam repentinam, & tantis diuitiis affluentem, qui vt peregrinus, & quaſi fugitiuus, & vagus in Ægyptum deſcenderat. At tu vide quomodo hic neque proſperitate, neque diuitiarum affluentia remiſſior vel negligentior factus eſt: ſed iterum contendit ad eum locum, vbi prius fuerat, priuſquam in Ægyptum concederet. Venit enim, inquit, in ſolitudinem, vſque ad locum vbi prius fuit tabernaculum eius, ad locum altaris quod fecit ibi principio, & inuocauit nomen domini Dei. Cogita obſecro, quantus erat quietis & tranquillitatis amator, & in diuino cultu quàm ſedulus. Ad eum enim locum, inquit, acceſſit, in quo prius altare ædificauerat, & in quo nomen Domini inuocauerat. Ecce iam multis antea ſeculis impleuit hoc quod poſtea à Dauid dictum eſt: Elegi abiectus eſſe in domo Dei mei, magis quàm habitare in tabernaculis peccatorum. (Pſal. 83. 11.) Solitudo enim propter inuocationem nominis domini Dei gratior ei erat, quàm ciuitates. Sciebat enim, ſciebátque clarè, quòd ciuitatis magnitudinem non facit ædificiorum pulchritudo, neque inquilinorum multitudo: ſed inhabitantium virtus, propter quam & ſolitudo ciuitatibus dignior eſt, quæ virtute iuſti ornatur, & orbe toto fit fulgidior. [5] *Et Loth*, inquit, *qui cum Abram ibat, erant & oues, & boues, & pecora,* [6] *neque capiebat eos terra, vt ſimul habitarent. Erat quippe ſubſtantia eorum multa, & non poterant habitare ſimul.* Non ſolùm patriarchæ facultates auctæ ſunt, ſed & Loth, inquit, erant oues, & boues, & pecora. Fortè partim Abram, vtpote liberalis, illa Loth fratris filio donauerat, partim alij dederant in patriarchæ gratiam. Et non capiebat, inquit, eos terra: erat quippe ſubſtantia eorum multa. Vide quòd facultatum multitudo ſtatim cauſa fit diſceſſus, diuiſionem operatur, concordiam impedit, & cognationis vinculum dirimit. [7] *Et facta eſt pugna inter paſtores pecorum Abræ, & inter paſtores Loth. Chananæi autem & Phereſæi tunc inhabitabant terram.* Attende quomodo valde familiares diſceſſionis initium faciunt.

Hinc enim ſemper omnia mala pullulant à famulorum nequitia. Facta eſt enim, inquit, pugna inter paſtores. Hi diuiſionis occaſionem præbuerunt: dicere vult: ij concordiam dirimebant, ij multam morum inciuilitatem præ ſe ferebant. Chananæi autem & Phereſæi tunc inhabitabant terram. Quare nobis hoc ſignificauit? quoniam dixerat, quòd non capiebat eos terra vt habitarent ſimul: cauſam quoque docere voluit diuina ſcriptura, quòd ideo eos non capiebat, quoniam adhuc à gentibus illis præoccupata erat. Verùm nos religioſam patriarchæ mentem videamus, quomodo ſua lenitate exarſurum incendium reſtinguit. *Dixit autem*, inquit, *Abram ad Loth: Ne ſit rixa inter me & te, & inter paſtores meos & tuos, quia homines fratres ſumus nos.* Vide inſignem modeſtiam, vide ſublimem philoſophiam, ætate & dignitate ſenior iuuenem, fratris filium fratrē appellat, & in eandem, in qua ipſe erat, dignitatē euehit, nihílque minus illi quàm ſibi tribuit: ſed dicit: Ne ſit rixa inter me & te, inter paſtores meos & tuos. Indignè enim hoc fieret, inquit, quoniam fratres ſumus. 1. Cor. 6. 7. Vidiſti quomodo Apoſtoli legem implet, quæ dicit: Itaque iam quidem omnino delictum in vobis eſt, quòd lites habetis inter vos inuicem. Cur nō potius iniuriam patimini? cur non potius damnum accipitis? imò vos iniuriam facitis, & damno afficitis, idque fratres. Hæc omnia operibus implens patriarcha, dixit: Ne ſit rixa inter me & te, & inter paſtores meos & tuos, quoniam homines fratres nos ſumus. Quid hac anima pacatius? *Amor quietis in Abrahamo.* Proinde non fruſtra, neque temerè principiò dicebam, quòd amore quietis & tranquillitatis ſolitudinem locis frequentibus prætulerit. Attende enim quomodo & nunc videns paſtores confligère, ſtatim in initio tentat reſtinguere incendium, quod erupturum erat, & contentionem ſedat. Debebat enim ipſe, vtpote miſſus omnibus Palæſtinæ cultoribus ſapientiæ doctor, nullam ſcandali dare occaſionem, vel anſam concedere: ſed morum lenitate tuba clarius omnes erudire, & ſuæ virtutis facere imitatores. Ne ſit,

A ἐντεῦθεν γὰρ ἀεὶ πάντα φύεται τὰ κακὰ ἀπὸ τῆς τῶν οἰκείων μοχθηρίας. ἐγένετο γάρ, φησι, μάχη ἀνὰ μέσον τῶν ποιμένων. οὗτοί εἰσιν οἱ τῆς διαιρέσεως τὴν ἀφορμὴν παρέχοντες, οἱ τὴν ὁμόνοιαν διασπῶντες, οἱ πολλὴν τὴν ἀγνωμοσύνην ἐπιδεικνύμενοι. οἱ δὲ Χαναναῖοι καὶ οἱ Φερεζαῖοι τότε κατῴκουν τὴν γῆν. τίνος ἕνεκεν ἡμῖν τοῦτο ἐπεσημήνατο; ἐπειδὴ εἶπεν, ὅτι οὐκ ἐχώρει αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα, τὴν αἰτίαν ἡμᾶς διδάξαι ἠθέλησεν ἡ θεία γραφή, ὅτι διὰ τοῦτο αὐτοὺς οὐκ ἐχώρει, ἐπειδὴ ἔτι προκατείχετο ὑπὸ τούτων τῶν ἐθνῶν. ἀλλ' ἴδωμεν τοῦ πατριάρχου τὴν φιλόθεον γνώμην, ὅπως καταστέλλει τὴν μέλλουσαν B ἐξάπτεσθαι πυρὰν διὰ τῆς οἰκείας ἐπιεικείας. εἶπε δέ, φησιν, Ἀβραὰμ τῷ Λώτ, μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου, ὅτι ἀδελφοὶ ἡμεῖς ἐσμεν. ὅρα ταπεινοφροσύνης ὑπερβολήν, ὅρα φιλοσοφίας ὕψος. ὁ γέρων, ὁ πρεσβύτης, τὸν νέον, τὸν ἀδελφιδοῦν ἀδελφὸν προσαγορεύει, καὶ εἰς τὴν αὐτὴν αὐτῷ τιμὴν ἀνάγει, καὶ οὐδὲν ἑαυτῷ πλέον νέμει· ἀλλά φησι, μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου. οὐδὲ γὰρ ἂν εἴη, φησίν, εὔλογον τοῦτο γίνεσθαι, ἐπειδὴ ἀδελφοί ἐσ- C μεν. εἶδες ἀποστολικὸν νόμον αὐτὸν πληροῦντα τὸν λέγοντα, ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐ μᾶλλον ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. ταῦτα πάντα διὰ τῶν ἔργων πληρῶν ὁ πατριάρχης φησί, μὴ ἔστω μάχη ἀνὰ μέσον τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου, ὅτι ἄνθρωποι ἀδελφοὶ ἡμεῖς ἐσμεν. τί ταύτης τῆς ψυχῆς εἰρηνικώτερον γένοιτ' ἄν; ἆρα οὐ μάτην οὐδὲ εἰκῆ ἐν προοιμίοις ἔλεγον, ὅτι διὰ τὸν ἡσυχίας D ἔρωτα καὶ ἀπραγμοσύνης, διὰ τοῦτο τὴν ἐρημίαν τῆς οἰκουμένης προετίμα; ὅρα γὰρ αὐτὸν καὶ νῦν, ἐπειδὴ ὅλως εἶδε τοὺς ποιμένας διαπληκτιζομένους, πῶς ἐξ ἀρχῆς εὐθέως πειρᾶται καταστεῖλαι τὴν μέλλουσαν ἐξάπτεσθαι πυράν, καὶ παύει τὴν φιλονεικίαν. ἔδει γὰρ αὐτὸν πᾶσι τοῖς τὴν Παλαιστίνην οἰκοῦσι διδάσκαλον φιλοσοφίας ἀφιγμένον μηδεμίαν παρέχειν ἀφορμήν, μηδὲ λαβὴν δοῦναι· ἀλλὰ διὰ τῆς τῶν τρόπων ἐπιεικείας σάλπιγγος λαμπρότερον πάντας αὐτοὺς παιδεῦσαι, καὶ μιμητὰς καταστῆσαι τῆς οἰκείας ἀρετῆς. μὴ ἔστω, φησί,

μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέσον τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου, ὅτι ἄνθρωποι ἀδελφοὶ ἡμεῖς ἐσμεν. πολλὴ τῶν ῥημάτων ἡ ἐπιείκεια. ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. σκόπει πῶς ἐξ ἰσοτιμίας αὐτῷ διαλέγεται, καίτοι τὰ τῆς μάχης οὐχ ἑτέρωθεν οἶμαι τὴν ἀρχὴν ἐσχηκέναι, ἢ ἀπὸ τοῦ τοὺς ποιμένας τοῦ πατριάρχου μὴ συγχωρεῖν ἐκείνοις τῆς αὐτῆς αὐτοῖς ἀδείας ἀπολαύειν. ἀλλ' ὁ δίκαιος δείκνυς τῆς οἰκείας φιλοσοφίας τὴν ὑπερβολὴν, καὶ παιδεύων οὐ τοὺς τότε παρόντας μόνον, ἀλλὰ καὶ πάντας τοὺς ἑξῆς μηδέποτε πρὸς τοὺς πλησίον διαπληκτίζεσθαι τοὺς ἡμῖν διαφέροντας. ἡ γὰρ ἐκείνων φιλονεικία ἡμῖν πολλὴν περιτρίβεται τὴν ἀδοξίαν, καὶ οὐδὲ ἐκείνοις λογίζεται τὰ γινόμενα, ἀλλ' εἰς ἡμᾶς ἀνατρέχει τὰ τῆς μέμψεως. ποῦ οὖν εὔλογον ἀνθρώποις ἀδελφοὺς ὄντας, καὶ τῆς αὐτῆς φύσεως τυγχάνοντας, καὶ τῆς αὐτῆς συγγενείας, καὶ παροικεῖν ἐνταῦθα μέλλοντας, εἰς τοσαύτην ἐμπίπτειν φιλονεικίαν, ὀφείλοντας ἐπιεικείας καὶ πραότητος καὶ φιλοσοφίας ἁπάσης διδασκάλους καθίστασθαι τούτοις πᾶσιν; ἀκουέτωσαν ταῦτα οἱ νομίζοντες ἔξω τυγχάνειν ἐγκλημάτων, ἐπειδὰν τοὺς αὐτοῖς προσήκοντας περιορῶσι διὰ τὴν πρὸς αὐτοὺς οἰκειότητα ἁρπάζοντας, πλεονεκτοῦντας, μυρία κακὰ διατιθέντας καὶ ἐν πόλεσι, καὶ ἐν ἀγροῖς τοὺς αὐτοῖς γειτνιῶντας, καὶ παρασπωμένους τοῦ μὲν τὸν ἀγρὸν, τοῦ δὲ τὴν οἰκίαν, καὶ ταύτῃ πλείονα μᾶλλον τὴν εὔνοιαν περὶ αὐτοὺς ἐπιδεικνύμενοι. εἰ γὰρ καὶ ἑτέρου τὸ τῆς ἀδικίας ἔργον ἦν, ἀλλ' αὐτὸς ἐκοινώνησας τοῦ πράγματος, οὐ μόνον τῷ ἐφήδεσθαι τῷ γεγενημένῳ, καὶ νομίζειν ἐκ τούτου σοι τὴν οὐσίαν αὔξεσθαι καὶ τὴν περιουσίαν πλείονα γίνεσθαι, ἀλλὰ καὶ τῷ μὴ κωλῦσαι μέλλουσαν τὴν ἀδικίαν εἰς ἔργον ἐκβαίνειν. ὁ γὰρ δυνάμενος κωλῦσαι τὸν ἀδικοῦντα, καὶ μὴ τοῦτο ποιῶν, οὐκ ἔλαττον τοῦ ἀδικοῦντος τὰς εὐθύνας ὑφέξει. μὴ τοίνυν ἀπατῶμεν ἑαυτοὺς, παρακαλῶ, ἀλλὰ καὶ αὐτοὶ φεύγωμεν τὰς ἁρπαγὰς, τὰς πλεονεξίας, καὶ τὸ ἐκ τῶν τοιούτων αὔξειν ἡμῖν τὴν περιουσίαν, καὶ τοὺς ἡμῖν προσήκοντας παιδεύωμεν μηδὲν τοιοῦτον ἐργάζεσθαι. οὐδὲ γὰρ ἀνευθύνους ἡμᾶς τοῦτο ἀφίησιν, ἀλλὰ πλείονα τὴν κατάκρισιν ἐργάζεται. πρὸς γὰρ τὴν ἡμετέραν ἀρέσκειαν ἐκεῖνοι τὴν ἑαυτῶν προδιδόντες σωτηρίαν τὴν ἀδικίαν τολμῶσι, μετὰ τῆς ἑαυτῶν ἀπωλείας καὶ ἡμᾶς συγκατασπῶντες.

A inquit, rixa inter me & te, inter paſtores meos & tuos, quoniam homines fratres ſumus. Multa verborum lenitas, inter me & te. Cōſidera quomodo ei loquitur ceu honore pari, quamuis opinor non aliunde rixas fuiſſe exortas, quàm quòd paſtores patriarchæ non permiſerunt illis eadem licentia frui, qua ipſi. Sed iuſtus æquabiliter omnia facit, ſpecimē præbens eminentis ſuæ ſapientiæ, ac docens non tantū præſentes, ſed poſteros etiam omnes, nunquam eſſe admittendum, vt noſtri familiares cum proximis contendant. Nam eorum B contētio magnam nobis affert ignominiam, & non illis imputantur quæ fiunt, ſed in nos transfertur reprehēſio. Quomodo enim rationi conſentaneū eſt, quòd homines qui fratres ſunt, qui eandem naturam ſortiti, qui eiuſdem ſunt familiæ, qui tanquā peregrini & aduenæ hic verſaturi ſunt, quos manſuetudinis, lenitatis, & omnis philoſophiæ doctores eſſe oportebat, inter ſe contendant, & digladiētur? Audiāt hæc qui ſe extra crimina putant eſſe, quando propter familiaritatem ſuis miniſtris permittunt & C cōniuent rapere, decipere, multa mala machinari, & in ciuitatibus, & in agris, & auferre vi à vicinis, nunc agrum, nunc domum, eáque de cauſa maiori tales beneuolētia proſequuntur. Nam licèt iniuſtitiæ illæ opus alienum tibi ſint, tamen & ipſe negocio communicas: non ſolùm quòd oblectaris facto, & credis inde facultatibus tuis incrementum accedere: ſed quòd non prohibes, ne facinus committatur. Nam qui prohibere poteſt eum qui iniuriam facit, & non D prohibet, is non minorem luet pœnā, quàm qui iniuriam facit. Obſecro igitur, ne ſeducamus noſmetipſos: ſed & ipſi fugiamus rapinas, & fraudes, & ex iſtiuſmodi artibus emolumenta & lucra: & familiares noſtros erudiamus, ne quid tale operentur. Non enim hoc nos inſontes facit, ſed potius maiori condemnationi obnoxios: quia in noſtri gratiam illi ſuam amittentes ſalutem, iniuſtitiam audent, & ipſi intereuntes nos ſecum rapiunt. Quod ſi prudentes eſſe voluerimus, & ipſi ab eo damno liberabimur, & illos à malis conatibus

A fraudibus & rapinis auocat.

abarcebimus. Porrò nolo mihi dicas friuola illa verba: Nihil mihi curæ eſt: nunquid ego rapui? nihil mihi ea de re conſtat: alius fecit, non fui particeps iniuſtitiæ. Prætextus illa ſunt, & inane commentum. Si vis declarare, quòd non communicaueris iniuſtitiæ, neque auaritiæ fueris operarius, emenda factum, ſolare eum qui iniuria affectus eſt, redde ablata. Sic enim & teipſum à criminibus liberabis, & eum qui iniuriam fecit corriges. Si declaraueris, quòd non ſunt hæc facta iuxta voluntatem tuam, & conſolans pauperem, non ſines eum à triſtitia abſorberi, quam ablatis bonis ſuis paſſurus erat. Ne ſit, inquit, rixa inter me & te, inter paſtores meos & tuos: quia homines fratres nos ſumus. Vidiſti manſuetudinem? vidiſti lenitatem? audi & ſequentia, vt diſcas excellentem eius philoſophiam. Quomodo rixa dirimitur, & contentio reſtinguitur? [9] *Ecce, an non omnis terra*, inquit, *coram te eſt? Diſcede à me, ſi tu ad ſiniſtram, ego ad dextram: ſi tu ad dextram, ego ad ſiniſtram.* Conſidera optimos mores, & inſignem modeſtiam huius iuſti. Sed ante hæc obſecro, cogita quantum ex diuitiis damnum, & quanta ex multis opibus contentio. Aucta ſunt armenta, multiplicati greges, affluxerunt diuitiæ multæ, & ſtatim diſcinditur concordia. Anteà erat pax & charitatis vinculum, nunc rixa & contentio. Vbi enim meum & tuum, illic omne litium genus & cõtentionis occaſio: vbi autem hæc non ſunt, ibi ſecura verſatur pax & concordia. Et vt diſcas, audi quid dicat beatus Lucas de iis qui ab initio ad fidem conuerſi

Act. 4. 32. ſunt. Erat, inquit, omnium cor vnum & anima vna: non quod vnam animam habuerint omnes; quomodo enim hoc, cùm in diuerſis corporibus fuerint? ſed concordiam illorum excellentem nobis demonſtrat. Iam niſi plurimæ æquanimitatis fuiſſet iuſtus ille, & inſignitam præ ſe tuliſſet philoſophiam, ſuccenſuiſſet forſitan, & ita ei dixiſſet: Quis furor ille? Auſine ſunt familiares tui os diſtringere aduerſus operas meas? non cogitarunt, quantum inter nos diſtet? Vnde enim tibi illa abundantia? nónne ex mea cura?

A εἰ δὲ βουλώμεθα νήφειν, καὶ αὐτοὶ τῆς ἐντεῦθεν λύμης ἀπαλλαγησόμεθα, κἀκείνους ἀποστήσομεν τῆς κακῆς ἐπιχειρήσεως. καὶ μή μοι λέγε τὰ ψυχρὰ ἐκεῖνα ῥήματα, οὐδέν μοι μέλει· μὴ γὰρ ἐγὼ παρεσπασάμην; οὐδὲν οἶδα· ἕτερος εἰργάσατο, οὐκ ἐκοινώνησα τῆς ἀδικίας. σκῆψις ταῦτα καὶ πρόφασις. εἰ βούλει δεῖξαι ὅτι οὐκ ἐκοινώνησας τῆς ἀδικίας, καὶ οὐ συνέπραξας, καὶ τῆς πλεονεξίας οὐ γέγονας ἐργάτης, διόρθωσαι τὸ γεγονός, παραμύθησαι τὸν ἠδικημένον, ἀπόδος τὰ ἀφαιρεθέντα. οὕτω γὰρ καὶ σαυτὸν ἐλευθερώσεις ἐγκλημάτων, καὶ τὸν ἠδικηκότα διορθώσῃ, δείξας ὡς οὐ κατὰ γνώμην σου τὰ παρ' αὐτοῦ B πέπρακται, καὶ τὸν πένητα παρακαλέσας οὐκ ἀφήσεις ὑπὸ τῆς ἀθυμίας καταποθῆναι, ἣν διὰ τὴν ἀφαίρεσιν ὑφίστασθαι ἔμελλε. μὴ ἔστω, φησί, μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου, ὅτι ἄνθρωποι ἀδελφοὶ ἡμεῖς ἐσμεν. εἶδες πραότητα; εἶδες ἐπιείκειαν; ἄκουε καὶ τὸ ἑξῆς, ἵνα μάθῃς αὐτοῦ τῆς φιλοσοφίας τὴν ὑπερβολήν. πῶς οὖν τὰ τῆς μάχης λύσιν λάβῃ, καὶ σβεσθῇ τὰ τῆς φιλονεικίας; ἰδοὺ πᾶσα ἡ γῆ, φησίν, ἐναντίον σου ἐστί. διαχωρίσθητι ἀπ' ἐμοῦ· εἰ σὺ εἰς ἀριστερά, ἐγὼ εἰς δεξιά· εἰ δὲ σὺ εἰς δεξιά, ἐγὼ εἰς ἀριστερά. C σκόπει τοῦ δικαίου τὴν φιλοσοφίαν, καὶ τῆς ταπεινοφροσύνης τὴν ἐπίτασιν. πρὸ δὲ τούτων ἐννόει μοι, ἀγαπητέ, ὅση τοῦ πλούτου ἡ λύμη, καὶ τῆς περιουσίας τῆς πολλῆς ἡ διαφορά. ηὐξήθη τὰ ποίμνια, προσεγένετο πλοῦτος πολύς, καὶ εὐθέως διακόπτεται ἡ ὁμόνοια· καὶ ἔνθα ἦν ἡ εἰρήνη καὶ ὁ σύνδεσμος τῆς ἀγάπης, ἐκεῖ μάχη καὶ φιλονεικία. ὅπου γὰρ τὸ ἐμὸν καὶ τὸ σόν, ἐκεῖ πᾶσα μάχης ἰδέα καὶ φιλονεικίας ὑπόθεσις. ἔνθα δὲ τοῦτο μὴ ᾖ, τὰ τῆς ὁμονοίας καὶ τὰ τῆς εἰρήνης μετὰ πάσης ἀκριβείας πολιτεύεται. καὶ ἵνα μάθῃς, ἄκουε τί φησιν ὁ μακάριος Λουκᾶς περὶ τῶν ἐξ ἀρχῆς τῇ πίστει προσιόντων· ἦν, φησί, D πάντων ἡ καρδία καὶ ἡ ψυχὴ μία· οὐκ ἐπειδὴ ψυχὴν μίαν εἶχον πάντες· πῶς γὰρ ἐν διαφόροις σώμασιν ὄντες; ἀλλὰ τὴν ἐπιτεταμένην ὁμόνοιαν ἡμῖν δείκνυσι. καὶ εἰ μὴ σφόδρα μακρόθυμός τις ἦν ὁ δίκαιος καὶ φιλοσοφεῖν εἰδώς, καὶ ἐχαλέπηνεν ἄν, καὶ εἶπε πρὸς αὐτόν· τίς ἡ τοσαύτη παροινία; ὅλως γὰρ ἐτόλμησαν οἱ προσήκοντές σοι διᾶραι στόμα πρὸς τοὺς ἐμοὶ διαφέροντας, καὶ οὐκ ἐνενόησαν, ὅσον τὸ μέσον ἐστὶ μεταξὺ ἡμῶν. πόθεν γάρ σοι τὰ τῆς εὐπορίας ταύτης γεγένηται; οὐκ ἐκ τῆς ἐμῆς κηδεμονίας;

A τίς δέ σε εἰς ἀνθρώπους ὀφθῆναι πεποίηκεν; οὐκ ἐγὼ ἀντὶ πάντων σοι γεγονώς, καὶ τὴν πατρὸς σοι χρείαν διὰ πάντων ἐπιδειξάμενος; ταύτας μοι τὰς ἀμοιβὰς ἀποδίδως τῆς πολλῆς περὶ σὲ θεραπείας; ταῦτα ἐλπίζων πανταχοῦ δὲ μ[illegible] ἐμοῦ περιῆγον; ἔστω. οὐδὲν τῶν ὑπηργμένων σοι παρ' ἐμοῦ εἰς ἔννοιαν ἔλαβες· κἂν μου γοῦν τὸ γῆρας αἰδεσθῆναί σε οὐκ ἐχρῆν, καὶ τιμῆσαι τὰς πολιὰς τὰς ἐμάς; ἀλλὰ περιεῖδες τοὺς ποιμένας τοὺς σοὺς ἐμπαροινοῦντας τοῖς ἐμοῖς ποιμέσιν, οὐκ εἰδὼς ὅτι ὥσπερ ἡ εἰς ἐκείνους ὕβρις εἰς ἐμὲ διαβαίνει, οὕτω καὶ ἡ ἐκείνων προπέτεια εἰς σὲ B τὴν ἀναφορὰν ἔχει. ἀλλ' οὐδὲν τούτων ὁ δίκαιος οὔτε εἰς διάνοιαν λαβεῖν κατεδέξατο, ἀλλὰ πάντα τοιοῦτον λογισμὸν ἀπωσάμενος ἑνὸς γέγονε μόνου, ὅπως καὶ τὴν μέλλουσαν ἐξάπτεσθαι φιλονεικίαν κατασβέσῃ, καὶ τὸν χωρισμὸν ἀλύπως ἐπινοήσας πάσης ταραχῆς ἐκτὸς ποιήσῃ τὴν οἰκίαν. οὐκ ἰδού, φησι, πᾶσα ἡ γῆ ἐναντίον σού ἐστι; διαχωρίσθητι ἀπ' ἐμοῦ. εἰ σὺ εἰς δεξιά, ἐγὼ εἰς ἀριστερά· εἰ δὲ σὺ εἰς ἀριστερά, ἐγὼ εἰς δεξιά. ὅρα τὴν ἐπιείκειαν τοῦ δικαίου. δεικνὺς γὰρ αὐτῷ διὰ τῶν πραγμάτων, ὅτι οὐχ ἑκὼν τοῦτο ποιεῖ, οὐδὲ βουλόμενος αὐτὸν χωρισθῆναι, ἀλλὰ διὰ τὴν τῆς φιλο- C νεικίας ἀνάγκην, καὶ ὥστε μὴ διηνεκῆ τὸν πόλεμον εἶναι ἐν τῇ οἰκίᾳ, σκόπει πῶς διὰ τῶν λόγων καταπραΰνει αὐτοῦ τὴν φλεγμονήν, καὶ αὐτῷ πᾶσαν τὴν ἐξουσίαν δίδωσι τῆς ἐκλογῆς, καὶ προτίθησιν αὐτῷ τὴν γῆν ἅπασαν, καί φησιν· οὐκ ἰδοὺ πᾶσα ἡ γῆ ἐναντίον σου; ἣν ἂν βούλῃ, ἑλοῦ, κἀγὼ ἐκείνην καταδέξομαι μετὰ πολλῆς τῆς ἡδονῆς, ἣν ἂν αὐτὸς καταλίπῃς. μεγάλη τοῦ δικαίου ἡ φιλοσοφία. διὰ πάντων ἀνεπαχθὴς βούλεται γενέσθαι τῷ ἀδελφιδῷ. ἐπειδὴ γάρ, φησιν, ὅπερ οὐκ ἐβουλόμην, τοῦτο γέγονε, καὶ ἵνα τὰ τῆς φιλονεικίας παυθῇ, τὸν χωρισμὸν ἀνάγκη συμβῆναι. διὰ D τοῦτό σε κύριον καθίστημι τῆς αἱρέσεως, καὶ τὴν ἐξουσίαν σοι πᾶσαν δίδωμι, ἵνα ἣν ἂν νομίσῃς εἶναι τιμιωτέραν γῆν, ἐκείνην ἑλόμενος, τὴν λοιπὴν ἐμοὶ καταλίπῃς. ἆρα ἂν τοῦτο ποιῆσαί ποτέ τις κατεδέξατο πρὸς ὁμήλικα ἀδελφόν, ὅπερ ὁ πατριάρχης πρὸς τὸν ἀδελφιδοῦν ἐπεδείξατο; εἰ γὰρ καὶ αὐτὸς προλ[illegible] τὴν ἐκλογὴν ποιησάμενος, καὶ τὰ πρῶτα λαβὼν παρεχώρησεν ἐκείνῳ τὰ ὑπολειφθέντα, οὐχὶ καὶ οὕτω μέγα ἦν τὸ παρ' αὐτοῦ γινόμενον; ἀλλ' ὅμως βουλόμενος καὶ τῆς οἰκείας ἀρετῆς δεῖξαι τὴν ὑπερβολήν, καὶ τοῦ νέου τὴν ἐπιθυμίαν ἐμπλῆσαι, ὥστε μηδεμίαν ἀπὸ τοῦ χωρισμοῦ γενέσθαι λύπης ἀφορμήν, αὐτῷ προθεὶς ἅπασαν τὴν ἐξουσίαν φησίν,

Quis te apud homines tantum apparere fecit? nonne ego qui pro omnibus tibi fui? Patris ego vices egi per omnia, & has mihi pro tot miniſteriis mercedes reddis? Haccine ſpe vbique te comitem itineris habui? Eſto, nihil eorum quæ à me habes, in mentem tibi veniat, nònne ſaltem vel ſenectam meam & canos reuereri oportebat? Sed conniuendo permiſiſti paſtores tuos in meos debacchari, neſcius quòd ſicut contumelia, qua illi affecti, in me tranſit, ita & tuorum temeritas tibi aſcribitur. Sed nihil horum iuſtus vel in mentem accepit, ſed omnibus illis à mente repulſis, vnum hoc agebat, quomodo quod erupturum erat contentionis incendium extingueret, & ſuaui ſeparatione excogitata, abſque turbelis habitaret: dicit enim. Ecce nunquid omnis terra coram te eſt? diſcede à me, ſi tu ad ſiniſtram, ego ad dextram: ſi tu ad dextram, ego ad ſiniſtram. Vides manſuetudinem iuſti? operibus enim monſtrans, quod non facit hoc ſua ſponte, neque ſeparari vult: ſed ob contentionis neceſſitatem, vt ne in domo ſit perpetuum bellum: vide quomodo verbis illius bilem manſuefacit, & omnem ei electionis poteſtatem dat, & proponit omnem terram, & dicit: Ecce, nũquid omnis terra coram te? quamuis elige: & ego, quam tu reliqueris, magna cum voluptate accipiam. Magna eſt iuſti huius philoſophia. Per omnia non vult eſſe oneroſus fratris filio: quaſi diceret: Quoniam fit id quod nolebam, & vt ceſſent contentiones, neceſſarium eſt, vt ſeparemur: propterea te dominum electionis & arbitrum conſtituo, & omnem tibi poteſtatem do, vt terram quam meliorem cenſes, tu eligas, & reliquam ſinas eſſe meam. Num hoc quis vnquam vel æquali, vel fratri faciendum cenſuit, id quod fratris filio patriarcha? Nam ſi ipſe facta prius electione primum locum ſibi ſeruaſſet, conceſſiſſétque illi reliqua, nónne & hoc pacto magnum quiddam fuiſſet? At excellentis virtutis ſuæ exhibens ſpecimen, deſiderium iuuenis explere volebat, ita vt nulla ex ſeparatione naſceretur mœrẽdi occaſio: vnde ei propoſita poteſtate omni, dicit:

Ecce omnis terra coram te. Separare à me, & qualem volueris terram, elige. Oportebat igitur fratris filium, cùm tantam experiretur æquitatem patriarchæ, parem rependere honorem, & ei potius liberam electionem concedere. Solemus enim ferme cuncti homines, ſi obluctantes videamus aduerſarios, ac contendentes in primum locum aſcendere, non ferre nos inferiores eſſe, neque eis cedere: quos ſi cedere viderimus, & humilibus verbis poteſtatem omnem nobis permittere, quaſi reuerentes magnam manſuetudinem, & à contentione deſiſtimus, & verſa vice, omnem poteſtatem eis concedimus, etiamſi minor eſſe videatur is qui nobiſcum litigat. Debebat igitur & Loth cum patriarcha hoc facere. At ille vtpote iuuenis, & maiori concupiſcentia tractus potiores tum ſibi viſas partes arripit, & electionem facit. 10 *Et ſublatis*, inquit, *Loth oculis ſuis, vidit omnem regionem circa Iordanem, quòd tota eſſet rigua, antequam dominus ſubuerteret Sodoma & Gomorrha, quaſi hortus Dei, & ſicut terra AEgypti, vſque dum venitur in Zogora. Et elegit ſibi Loth omnem circa Iordanem regionem, & receſſit Loth ab Oriente, diuiſique ſunt vterque à fratre ſuo.* Vidiſti virtutem iuſti excellentem, quomodo radicem malitiæ ne germinare quidem permiſit, ſed ſtatim cùm iam oriretur, funditus execuit & aboleuit, multa vſus lenitate, & propter virtutem cæterarum rerum ſummum contemptum præ ſe ferens, declarauítque omnibus, quomodo pacem habere, & à contentione liberari, omni ſubſtantiæ ſuæ præferret? Nam vt ne quis condemnet iuſtum, quaſi ingratum circa Loth, & quòd quem è domo ſua eduxerat, in terra aliena nunc à cohabitatione eiiceret, néve putet ipsũ inimicitiarum gratia hæc facere: ſed vt diſcam⁹ omnes quòd pacis ſtudioſus hæc faciat, ideo & electionem ei cõceſſit: neque moleſtè tulit quòd prima ferret: vt omnibus notum foret, quomodo mens ſua ad pacis charitatiſque ſcopum ſpectaret potiſſimum, præterea & aliud quoddam myſterium iam antea diſpẽſabatur, vt multa poſthac inciderent, per quæ Loth

A ἰδοὺ πᾶσα ἡ γῆ ἐναντίον σου· διαχωρίσθητι ἀπ' ἐμοῦ, καὶ οἵαν ἂν βούλῃ, ἑλοῦ. δέον τοίνυν τὸν ἀδελφιδοῦν τοσαύτης ἐπιεικείας πειραθέντα ἀντιτιμῆσαι τὸν πατριάρχην, καὶ μᾶλλον αὐτὸν αὐτῷ παραχωρῆσαι τῆς αἱρέσεως τῆς ἐκλογῆς· εἰώθαμεν γάρ πως ἅπαντες οἱ ἄνθρωποι, ἐπειδὰν ἀντιτείνοντας μὲν ἴδωμεν τοὺς μέλλοντας πρὸς ἡμᾶς τι διερευνᾶσθαι καὶ φιλονεικοῦντας, τοῖς πρωτείοις ἐπιπηδᾶν, μὴ ἀνέχεσθαι ἐλαττοῦσθαι μηδὲ ἐνδιδόναι αὐτοῖς· ὅταν δὲ παραχωροῦντας θεασώμεθα καὶ καθυφειμένοις ῥήμασι τὴν ἐξουσίαν ἅπασαν ἡμῖν ἐπιτρέποντας, ὥσπερ αἰδούμενοι τὴν πολλὴν ἐπιείκειαν, καὶ τῆς φιλονεικίας

B ἀφιστάμεθα, καὶ πάλιν ἀντιστρέφοντες πᾶσαν τὴν ἐξουσίαν παραχωροῦμεν, κἂν ἐλάττων εἶναι δοκῇ ὁ πρὸς ἡμᾶς διερευνώμενος· ὀφείλων τοίνυν καὶ ὁ Λὼτ ἐπὶ τοῦ πατριάρχου τοῦτο διαπράξασθαι, καθάπερ νεοςὸς καὶ ὑπὸ τῆς τοῦ πλείονος ἐπιθυμίας ἐξελκόμενος τοῖς πρωτείοις ἐπιπηδᾷ, ὡς ἐνόμιζε, καὶ τὴν ἐκλογὴν ποιεῖται. καὶ ἐπάρας, φησί, Λὼτ τοὺς ὀφθαλμοὺς αὐτοῦ, εἶδε πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ὅτι πᾶσα ἦν ποτιζομένη πρὸ τοῦ καταστρέψαι τὸν θεὸν Σόδομα καὶ Γόμορρα, ὡς ὁ παράδεισος τοῦ θεοῦ, καὶ ὡς ἡ γῆ Αἰγύπτου, ἕως ἐλθεῖν εἰς Ζόγορα. καὶ

C ἐξελέξατο ἑαυτῷ Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, καὶ ἀπῆρε Λὼτ ἀπὸ ἀνατολῶν, καὶ διεχωρίσθησαν ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ. εἶδες τῆς ἀρετῆς τοῦ δικαίου τὴν ὑπερβολήν, ὅπως οὐ συνεχώρησεν οὐδὲ βλαστῆσαι τὴν ῥίζαν τῆς κακίας, ἀλλ' εὐθέως καὶ τὰ μέλλοντα φύεσθαι κάτωθεν ἐξέτεμε καὶ ἠφάνισε, πολλῇ τῇ ἐπιεικείᾳ χρησάμενος, καὶ δι' ἀρετὴν τῶν ἄλλων ὑπεροψίαν ἄφατον ἐπιδειξάμενος, καὶ δεικνὺς ἅπασιν ὅπως πάσης αὐτῷ περιουσίας προτιμοτέρα τυγχάνει ἡ εἰρήνη, καὶ τὸ φιλονεικίας ἀπηλλάχθαι; ἵνα γὰρ μή τις καταγνῷ τοῦ δικαίου ὡς ἀγνώμονος γενομένου περὶ τὸν

D Λὼτ, καὶ ὅτι οἴκοθεν αὐτὸν ἀναστήσας, καὶ ἀγαγὼν ἐπὶ τῆς ἀλλοτρίας ἐκβάλλει τῆς οἰκίας, μηδὲ νομίσῃ τις ἀπεχθείας αὐτὸν ἕνεκεν ταῦτα ἐργάζεσθαι, ἀλλὰ μάθωμεν ἅπαντες, ὅτι εἰρήνης ἀντεχόμενος ταῦτα ποιεῖ, διὰ τοῦτο καὶ τὴν ἐκλογὴν αὐτῷ παρεχώρησε. καὶ τὰ πρωτεῖα ἐκείνου ἑλομένου οὐκ ἐδυσχέρανεν, ἵνα πάντες εἰδέναι ἔχωμεν τῆς τοῦ δικαίου γνώμης τὸ φιλάγαθον, καὶ τῆς εἰρηνικῆς αὐτοῦ ψυχῆς τὸν σκοπόν. ἄλλως δὲ καὶ ἕτερόν τι μυστήριον ἦν προοικονομούμενον, ὥστε πολλὰ κατ' αὐτὸν γενέσθαι, καὶ τὸν Λὼτ

διὰ τῶν πραγμάτων παιδευθῆναι, ὡς οὐ δεόντως τὴν ἐκλογὴν ἐποιήσατο, καὶ τοὺς ἐν Σοδόμοις μαθεῖν τοῦ Λὼτ τὴν ἀρετήν, καὶ τοῦ χωρισμοῦ δὲ γενομένου, τὴν ἐπαγγελίαν τὴν εἰς τὸν πατριάρχην γεγενημένην εἰς ἔργον ἐκβῆναι τὴν λέγουσαν, σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ὃ ταῦτα κατὰ μικρὸν προϊόντες ὀψόμεθα, τῆς θείας γραφῆς ἡμῖν ἅπαντα κατάδηλα ποιούσης. καὶ Ἀβραμ, φησί, κατῴκησεν ἐν γῇ Χαναάν· Λὼτ δὲ κατῴκησεν ἐν πόλει τῶν περιχώρων, καὶ ἐσκήνωσεν ἐν Σοδόμοις. οἱ δὲ ἄνθρωποι ἐν Σοδόμοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐναντίον τοῦ θεοῦ σφόδρα. ὁρᾷς τὸν Λὼτ πρὸς τὴν τῆς γῆς φύσιν μόνον ἀπιδόντα, καὶ οὐ σκοπούμενον τῶν ἐνοικούντων τὴν πονηρίαν; τί γὰρ ὄφελος, εἰπέ μοι, γῆς ἐπιτηδειότης καὶ καρπῶν εὐφορία, ὅταν οἱ ἐνοικοῦντες ὦσι μοχθηροὶ τὸν τρόπον; τί δὲ βλάβος ἀπ' ἐρημίας ἂν γένοιτο καὶ γῆς φαυλοτάτης, ὅταν οἱ ἐνοικοῦντες ὦσιν ἐπιεικέστεροι; τὸ γὰρ κεφάλαιον τῶν ἀγαθῶν ἡ τῶν ἐνοικούντων ἐστὶν εὐγνωμοσύνη. ἀλλ' ὁ Λὼτ πρὸς ἓν μόνον εἶδε, τῆς γῆς τὴν εὐφορίαν. διὰ τοῦτο ἡ γραφὴ σημᾶναι ἡμῖν βουλομένη τῶν αὐτόθι οἰκούντων τὴν πονηρίαν φησίν, οἱ δὲ ἄνθρωποι οἱ ἐν Σοδόμοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐναντίον τοῦ θεοῦ σφόδρα. οὐ μόνον, φησί, πονηροί, ἀλλὰ καὶ ἁμαρτωλοί, καὶ οὐχ ἁπλῶς ἁμαρτωλοί, ἀλλὰ καὶ ἐναντίον τοῦ θεοῦ, τοῦτ' ἔστι, πολλὴ τῶν ἁμαρτημάτων αὐτῶν ἡ ἐπίτασις, καὶ ὑπερβάλλουσα αὐτῶν ἡ πονηρία. διὸ καὶ ἐπήγαγεν, ἐναντίον τοῦ θεοῦ σφόδρα. εἶδες κακίας μέγεθος; εἶδες ὅσον ἐστὶ κακὸν τὸ τοῖς πρωτείοις ἐπιπηδᾶν, καὶ μὴ τὸ συμφέρον σκοπεῖν; εἶδες πόσον ἐστὶν ἐπιείκεια καὶ τὸ τῶν πρωτείων παραχωρεῖν καὶ ἐλαττοῦσθαι; ἰδοὺ γὰρ προϊούσης τῆς διδασκαλίας ὀψόμεθα τὸν μὲν τὰ πρῶτα ἐκλεξάμενον, οὐδεμίαν ἐκεῖθεν ὄνησιν προσλαμβάνοντα, τὸν δὲ ἐλάττονα ἑλόμενον, περιφανέστερον καθεκάστην γινόμενον, καὶ διὰ πάντων αὐξανόμενον αὐτοῦ τὴν εὐπορίαν, καὶ πᾶσι περίβλεπτον καθιστάμενον. (Ἠθικόν.) ἵνα μὴ εἰς πολὺ μῆκος ἐκτείνωμεν τὴν διδασκαλίαν, μέχρι τούτου στήσαντες τὸν λόγον εἰς τὴν ἑξῆς ταμιευσώμεθα τὰ λειπόμενα, ἐκεῖνο παρακαλέσαντες ὑμᾶς, ὥστε ζηλῶσαι τὸν πατριάρχην, καὶ μηδέποτε τῶν πρωτείων ἐφίεσθαι, ἀλλὰ πείθεσθαι τῷ μακαρίῳ Παύλῳ λέγοντι, τῇ τιμῇ ἀλλήλους προηγούμενοι, ὑπερέχοντας ἑαυτῶν, καὶ σπουδάζειν ἐν ἅπασιν ἐλαττοῦσθαι,

rebus ipſis erudiretur, quàm indignè electionem ſumpſiſſet, & vt diſcerent Sodomitæ virtutem Loth, & ſeparatione facta promiſſionem patriarchæ datam euentu compleri, qua dictum eſt ei: Tibi & ſemini tuo dabo terram hanc: id quod paulatim procedendo videbimus, diuina ſcriptura nobis ea faciente manifeſta. 12 *Et Abram*, inquit, *habitauit in terra Chanaan, Loth autem habitauit in ciuitate finitimorum quæ ſita eſt circa Iordanem, & tabernaculum habuit in Sodomis.* 13 *Qui autem homines Sodomis agebant, mali erant, & peccatores coram Deo valde.* Vides Loth tantùm ſpectantem terræ naturam, B & non aduertẽtem inhabitantium malitiam? Quæ enim vtilitas, dic oro, ſi terra ſit fructuoſa & ferax, homines autem adeo mali? Quid damni è ſolitudine & infrugifera terra, ſi homines ſint humaniores? Caput enim & ſumma bonorum eſt inhabitantium probitas. Cæterùm Loth ad vnum tantum reſpexit, nempe fertilitatem terræ. Et idcirco ſcriptura manifeſtare nobis volens habitantium illic malitiam, dicit: Qui autem in Sodomis C agebant, homines mali erant, & peccatores coram Deo valde. Non ſolùm, inquit, mali, ſed peccatores; & non ſimpliciter peccatores, ſed & coram Deo: hoc eſt in immenſum excreuerant eorum peccata: & prodigioſa erat eorum iniquitas. Ideo & ſubdidit, coram Deo valde. Vidiſti malitię magnitudinem? Vidiſti quantum eſt malum primum locum capere, & non quod vtile eſt conſiderare? Vidiſti quantum bonum ſit humanitas, & primo loco cedere, & inferiorem fieri? Ecce in proceſſu doctrinæ videbimus nihil profuiſſe pri- D mum locum ei qui elegerat: & eum qui inferiorem ſe fecit, clariorem quotidie factum, opéſque illius per omnia auctas, omnibúſque factum ſpectabilem. Cæterùm vt ne prolixiores ſimus docendo, hoc loco ſubſiſtat ſermo, & quod reliquum eſt, in ſequentẽ ſeruetur ſermonẽ. Illud autem vos rogauerim, vt imitatores ſitis patriarchæ, & nunquam cõcupiſcatis primatus: ſed obtẽperate beato Paulo, dicenti: Honore inuicem præuenientes ſuperiores ſibi ipſis, & date operam, vt in omnibus humiliemini

Morali exhortatio ad humilitatem.

Rom. 12. b

Hoc eſt enim primatum habere, ſi-
cut & Chriſtus dicit: Qui ſeipſum
Luc 14. 11. & 18. 14. humiliat, exaltabitur. Quid igitur
huic par fuerit vel æquale, quando
per ea in quibus aliis cedimus, ipſi
maiori fruimur honore: & per quæ
alios præferimus, ipſi in ſummum
honorem euehimur? Itaque obſe-
cro, vt ſtudeamus ita imitari patriar-
chæ humilitatem, & ſequi veſtigia
eius, qui ante legem tantam philo-
ſophiam præ ſe tulit, nos qui in gra-
tia verſamur. Iſta enim vera eſt hu-
militas, quam eximius ille vir de-
clarauit erga eum, qui multò ſe fuit
inferior, non ſolum ob virtutis ra-
tionem, ſed & propter ætatem, &
alia omnia. Cogita enim quòd ſenex
iuueni ceſſit, & patruus fratris filio:
& qui tantam à Deo ſortitus gra-
tiam, ei qui in nullo magnum ali-
quod ſpecimen præbuerat: & ea
quæ oportebat illum dicere, vt iu-
uenem ad ſenem ætate & dignitate,
& patruum, illa patriarcha ad iuue-
nem dicebat. Igitur nos quoque
non eis tantum qui ætate nobis ſunt
maiores, vel etiam æquales, ho-
norem exhibeamus. Non eſt enim
humilitas, facere quod neceſſitate
debes vel cogeris: hoc, inquam, non
eſt humilitatis, ſed debiti. Vera au-
tem humilitas eſt, quando cedimus
iis qui nobis videntur eſſe minores,
& eos veneramur, qui nobis videntur
eſſe magis indigni quàm nos. Quòd
ſi rectè ſapimus, nullos etiam nobis
eſſe minores arbitrabimur, ſed nos
ſuperari ab omnibus hominibus di-
cemus. Et hoc dico non de nobis,
qui innumeris immerſi ſumus pec-
catis: ſed etiam ſi quis ſibi plurimo-
rum bene geſtorum conſcius ſit, niſi
apud ſe ſentiat quòd omnium ſit po-
ſtremus, nulla ei futura vtilitas ex
omnibus bonis ſuis operibus. Hæc
eſt enim humilitas, quando quis oc-
caſiones habet vt extollatur, & ſe-
ipſum humiliat, & ſupprimit, & mo-
deſtè ſe gerit: tunc enim ad verum
ſubuehetur faſtigium, iuxta pro-
Luc. 14. 11. miſſionem Domini, quæ dicit: Qui
ſe humiliat, exaltabitur. Satagamus
igitur, obſecro, verticem illum o-
mnes apprehendere per modeſtiam,
vt eandem illam, quam iuſtus ille
à domino gratiam conſequamur, &

A τοῦτο γάρ ἐστι τὸ τὰ πρωτεῖα ἔχειν, καθάπερ καὶ ὁ
Χριστός φησιν, ὁ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται. τί
οὖν ἂν εἴη τούτου ἴσον, ὅταν, δι' ὧν ἑτέροις τῶν
πρωτείων παραχωρῶμεν, αὐτοὶ μείζονος ἀπο-
λαύωμεν τῆς τιμῆς, καὶ δι' ὧν ἑτέρους προτιμῶ-
μεν, ἑαυτοὺς εἰς τὴν ἀνωτάτω τιμὴν ἀνάγωμεν;
τοῦτο τοίνυν, παρακαλῶ, σπουδάζωμεν, ὥστε
μιμεῖσθαι τοῦ πατριάρχου τὴν ταπεινοφροσύ-
νην, καὶ κατ' ἴχνος τούτου τοῦ πρὸ τοῦ νόμου τὴν
τοιαύτην ἐπιδειξαμένου φιλοσοφίαν ἡμεῖς οἱ ἐν
τῇ χάριτι πορευώμεθα. ταπεινοφροσύνη γὰρ
ἀληθῶς αὕτη ἐστίν, ἥνπερ ὁ θαυμάσιος οὗτος ἀνὴρ
B ἐπεδείξατο περὶ τὸν πολὺ αὐτοῦ λειπόμενον, οὐ
κατὰ τὸν τῆς ἀρετῆς λόγον μόνον, ἀλλὰ καὶ κατὰ
τὴν ἡλικίαν, καὶ τὰ ἄλλα πάντα.. ἐννόησον γάρ,
ὅτι ὁ πρεσβύτης τῷ νέῳ παρεχώρησε, καὶ ὁ θεῖος τῷ
ἀδελφιδῷ, καὶ ὁ τοσαύτης ἀπολαύων παρὰ τοῦ
θεοῦ εὐνοίας τῷ μηδὲν μηδέπω μέγα τι ἐπι-
δειξαμένῳ· καὶ ἅπερ ἐχρῆν ἐκεῖνον εἰπεῖν, ὡς
νέον πρὸς τὸν πρεσβύτην καὶ θεῖον ἑαυτοῦ, ταῦτα
ὁ πατριάρχης πρὸς τὸν νέον ἔλεγε. καὶ ἡμεῖς
τοίνυν μὴ περὶ τοὺς ὑπερβεβηκότας ἡμᾶς, ἢ
εἰς τοὺς ἴσους ἡμῖν τυγχάνοντας μόνον τὰ τῆς τι-
C μῆς ἐπιδειξώμεθα. τοῦτο γὰρ οὐκ ἂν εἴη τα-
πεινοφροσύνη. ὅταν γάρ τις τὸ ἐξ ἀνάγκης ὀφει-
λόμενον ποιῇ, οὐ ταπεινοφροσύνη τοῦτό ἐστιν,
ἀλλ' ὀφειλή. ἡ δὲ ἀληθὴς ταπεινοφροσύνη, ὅταν
τοῖς ἐλάττοσιν εἶναι δοκοῦσι παραχωρῶμεν, καὶ
ἐκείνους προτιμῶμεν τοὺς πολὺ καταδεεστέρους
εἶναι νομιζομένους. ἂν δὲ νήφωμεν, οὐδὲ ἐλάτ-
τους ἡμῶν εἶναί τινας νομίσομεν, ἀλλὰ πάντας
ἀνθρώπους ὑπερβαίνειν ἡμᾶς. καὶ τοῦτο λέγω,
οὐ περὶ ἡμῶν τῶν μυρίοις ἁμαρτήμασι βεβα-
πτισμένων, ἀλλὰ κἂν μυρία τις ᾖ κατορθώ-
D ματα ἑαυτῷ συνειδώς, μὴ τοῦτο δὲ λογίζοιτο
καθ' ἑαυτόν, ὅτι πάντων ἐστὶν ἔσχατος, οὐδὲν αὐ-
τῷ ὄφελος ἂν γένοιτο τῶν τοσούτων κατορθωμά-
των. τοῦτο γάρ ἐστι ταπεινοφροσύνη, ὅταν τις
ἀφορμὰς ἔχων τοῦ ἐπαίρεσθαι, καταστέλλῃ ἑαυ-
τὸν καὶ ταπεινοῖ καὶ μετριάζῃ. τότε γὰρ εἰς τὸ
ἀληθὲς ὕψος ἀναχθήσεται κατὰ τὴν τοῦ κυρίου ὑπό-
σχεσιν τὴν λέγουσαν, ὅτι ὁ ταπεινῶν ἑαυτὸν
ὑψωθήσεται. σπουδάσωμεν τοίνυν, παρακα-
λῶ, πάντες τοῦ ὕψους ἐπιτυχεῖν τοῦ διὰ τῆς
ταπεινοφροσύνης, ἵνα τῆς αὐτῆς τῷ δικαίῳ
εὐνοίας ἀπολαύσωμεν παρὰ τοῦ δεσπότου, καὶ

A τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία λδʹ.

Εἶπε δὲ κύριος τῷ Ἀβραὰμ μετὰ τὸ χωρισθῆναι τὸν Λὼτ ἀπ' αὐτοῦ, ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου, ἴδε ἀπὸ τοῦ τόπου, οὗ σὺ νῦν εἶ, πρὸς Βοῤῥᾶν καὶ Λίβα καὶ ἀνατολὰς καὶ θάλασσαν, ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτήν.

B Κατεμάθετε χθὲς, ἀγαπητοὶ, τοῦ πατριάρχου τὴν ὑπερβάλλουσαν ταπεινοφροσύνην, εἴδετε ἐπιεικείας ὑπερβολήν. οὐδὲ γὰρ ἦν τὸ τυχὸν τὸ τὸν πρεσβύτην, τὸν τοσαῦτα εὐεργετηκότα, τὸν τοσαύτης ἀπολαύοντα τῆς εὐνοίας παρὰ τοῦ πάντων δεσπότου, τοσαύτην ἐπιδείξασθαι περὶ τὸν νέον, τὸν ἀδελφιδοῦν τὴν ἰσοτιμίαν, ὥστε καὶ τῶν πρωτείων αὐτῷ παραχωρῆσαι, καὶ τὰ ἐλάττονα ἑλέσθαι, καὶ πάντα καταδέξασθαι C ὑπὲρ τοῦ τὸν πόλεμον ἀναστεῖλαι, καὶ τὴν τῆς φιλονεικίας ὑπόθεσιν ἐκποδὼν ποιῆσαι. τοῦτον πάντες ζηλοῦν σπουδάζωμεν, καὶ μηδέποτε κατὰ τῶν πλησίον ἐπαιρώμεθα, μηδὲ μέγα φρονῶμεν, ἀλλὰ πολλὴν τὴν ταπεινοφροσύνην ἐπιδεικνύμενοι παραχωρῶμεν, καὶ ἐλαττοῦσθαι μᾶλλον σπεύδωμεν ἐν πράγμασι καὶ ἐν ῥήμασι, καὶ μήτε πρὸς τοὺς ἀδικοῦντας ἀπεχθανώμεθα, κἂν εὐηργετημένοι τύχωσι παρ' ἡμῶν ὄντες· τοῦτο γὰρ ἀρίστη φιλοσοφία· μήτε πρὸς τὰς ὕβρεις ἀγριαίνωμεν, κἂν ὑποδεέστεροι εἶεν οἱ πρὸς ἡμᾶς διαπληκτιζόμενοι, D ἀλλὰ τῇ ἐπιεικείᾳ καὶ τῇ πραΰτητι τὸν θυμὸν καταστέλλωμεν. οὐδὲν γὰρ ταύτης ἰσχυρότερον, οὐδὲν ταύτης δυνατώτερον. αὕτη τὴν ἡμετέραν ψυχὴν ἐν διηνεκεῖ καθίστησι τῇ γαλήνῃ, καθάπερ ἐν λιμένι αὐτὴν ὁρμίζεσθαι παρασκευάζουσα, καὶ πάσης ἀναπαύσεως ὑπόθεσις ἡμῖν γινομένη. διὰ τοῦτο καὶ ὁ Χριστὸς τὴν θείαν ἐκείνην διδασκαλίαν ποιούμενος ἔλεγε· μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. οὐδὲν γὰρ οὕτω τὴν ψυχὴν ἐν ἀναπαύσει καθίστησι καὶ πολλῇ τῇ ἡσυχίᾳ, ὡς πρᾳότης καὶ ταπεινοφροσύνη.

ineffabilia bona mereamur, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Homilia XXXIV.

Et dixit Deus Abræ poſtquam ſeparatus eſt ab eo Loth: eleuatis oculis tuis vide à loco, in quo tu nunc es, ad Aquilonem, & Africum, & Orientem, & mare: quia omnem terram quam tu vides, tibi dabo eam.

Didiciſtis heri, chariſſimi, eximiã patriarchæ modeſtiam, vidiſtis lenitatem egregiã. Neque enim erat res vulgaris, quòd ſenex (qui tot beneficia contulerat, quem tanta beneuolentia dominus omnium proſequebatur) pari honore dignaretur iuuenem, & fratris filium, & primatu illi cederet, inferioráque ipſe deligeret, nihilque non faceret quò bellum impediret, & contentionis materiam è medio tolleret. Hunc omnes imitari ſtudeamus, & nunquam ſuper proximum extollamur, nunquam de nobis ſublimia ſentiamus: ſed modeſtia conſpicui cedamus aliis, & inferiores haberi conemur, tam verbis, quàm operibus, nec vnquam eis, quis nobis iniuriam faciunt aduerſemur, etiãſi prius multum in illos contulerimus beneficiorum: hæc enim optima eſt philoſophia: neque contumelia affecti feroces ſimus, etiamſi contemptiores & magis inopes nobis ſint, qui nobiſcum contendunt: ſed manſuetudine & lenitate iracundiam comprimamus. Nihil enim illa potentius, nihil illa fortius. Illa animam noſtram in perpetua tranquillitate, & quaſi in portu cõſtituit, & omnis recreationis ac quietis occaſio nobis eſt. Eapropter & Chriſtus diuina illa docens,
dicebat: Diſcite à me, quia mitis ſum, Matth.
& humilis corde: inuenietíſq; requiẽ 11. 29.
animabus veſtris. Nihil enim animã ita in tranquillitate & quiete eſſe facit, vt manſuetudo & modeſtia.

Modeſtiam & māſuetudinē cōmendat.

Hæc omni diademate ſe poſſidenti eſt vtilior. Hæc omni claritudine & gloria conducibilior. Quid enim beatius, quàm inteſtino liberari bello? Nam quamuis plurima pace & cura externa fruamur, ſi intra nos cogitationum naſcatur tempeſtas, tumultus, & ſeditio, nihil externa pax nobis proderit: Sicut neque miſerabilius eſt aliud ciuitate, quæ licèt aggeribus & muris bene ſit munita, intus tamen ciues foueat proditores. Hoc igitur obſecro, vt ante omnia nobis ſit curæ, quomodo animam à turbulentia vindicemus, & in tranquillum ſtatum educamus, & ab omni liberemus amaritudine, quò & ipſi multa fruamur quiete, & iis qui familiaritatem nobiſcum habent, ſimus blandi. Hoc enim certiſſimum ſignum, quo internoſcitur vir ratione præditus, ſi manſuetus fuerit, ſi lenis, ſi mitis, ſi modeſtus & quietus: ſi non quaſi ſeruus ducatur & trahatur aut ab ira, aut ab aliis affectionibus: ſed ratione vincat internos illos incompoſitos motus, nobilémque ſuam generoſitatem ſeruet, ne in brutorum ferociam negligentia degeneret. Et vt diſcas quantum manſuetudinis & lenitatis ſit robur, & quòd ſola hæc virtus poſſit ſe colentem diligenter ineffabilibus laudibus dignum reddere, audi beatum Moſem hinc potiſſimùm prædicari, & ex hac ei coronam plecti. Et Moſes, inquit, erat mitiſſimus omnium hominum qui ſuper terram. Vidiſti encomij magnitudinē, quod omni eum humano generi parem pronunciat, imò omni hominum generi præfert? Et iterum de Dauid dicit ſcriptura: Memento domine Dauid, & omnis manſuetudinis eius. Hinc patriarcha ſibi maiorem cœlitus conciliauit beneuolentiam, & afferens quæ ſua erant, à miſericorde Deo maiora aſſecutus eſt. Hoc ſcietis & vos, vbi attulerimus in medium ea quæ heſterna dicta ſequuntur, & quæ prius ſunt lecta charitati veſtræ declarauerimus. Nam quia Abram multam præ ſe tulit manſuetudinem, & Lotho potiorem partem ceſſit, & omnem ei eligendi facultatem permittens,

Num. 12.3.

Pſal. 132. 1.

τοῦτο παντὸς διαδήματος τιμιώτερον αὐτῷ τούτῳ τῷ ταύτην κεκτημένῳ, τῆς πάσης περιφανείας καὶ δόξης λυσιτελέστερον. τί γὰρ ἂν γένοιτο μακαριώτερον τοῦ ἀπηλλάχθαι τοῦ ἔνδοθεν τικτομένου πολέμου; κἂν γὰρ μυριάκις εἰρήνης ἔξωθεν ἀπολαύωμεν καὶ θεραπείας, ἔνδοθεν δὲ τίκτηται ἡμῖν ἐκ τῆς τῶν λογισμῶν ταραχῆς θόρυβος καὶ ζάλη, οὐδὲν ὄφελος τῆς ἔξωθεν εἰρήνης· ὥσπερ οὐδὲ πόλεώς τι ἐλεεινότερον, κἂν μυρία τις τείχη καὶ χαρακώματα αὐτὴν περιβάλλῃ, ἐκ δὲ τῶν ἔνδοθεν ἐνοικούντων τὴν προδοσίαν ὑπομένῃ. τοῦτο τοίνυν παρακαλῶ πρὸ πάντων σπουδάζωμεν, B ἀτάραχον ἔχειν τὴν ψυχὴν, ἐν ἡσυχίᾳ αὐτὴν καθιστάναι, πάσης ἀηδίας ἀπηλλάχθαι, ἵνα καὶ αὐτοὶ πολλῆς τῆς ἀναπαύσεως ἀπολαύωμεν, καὶ τοῖς συγγινομένοις ἡμῖν προσηνεῖς γινώμεθα. τοῦτο γὰρ μάλιστα γνώρισμα ἀνθρώπου τῷ λόγῳ τετιμημένου, τὸ ἥμερον, τὸ ἐπιεικὲς, τὸ πρᾶον, τὸ ταπεινὸν, τὸ ἥσυχον, τὸ μὴ καθάπερ ἀνδράποδον οὕτως ἕλκεσθαι καὶ σύρεσθαι ἢ ὑπὸ ὀργῆς, ἢ ὑπὸ τῶν ἄλλων παθῶν, ἀλλὰ τῷ λογισμῷ περιγίνεσθαι τῶν ἔνδοθεν σκιρτημάτων, καὶ τὴν οἰκείαν διασώζειν εὐγένειαν, καὶ μὴ διὰ ῥᾳθυμίας εἰς C τὴν τῶν ἀλόγων ἐκπίπτειν θηριωδίαν. καὶ ἵνα μάθῃς ὅση τῆς πρᾳότητος καὶ τῆς ἐπιεικείας ἡ ἰσχὺς, καὶ ὡς ἤρκεσεν αὐτὴ μόνη ἡ ἀρετὴ τὸν αὐτὴν μετ᾽ ἀκριβείας κατωρθωκότα τῶν ἀπορρήτων ἐκείνων ἐπαίνων ἀξιῶσαι, ἄκουε τοῦ μακαρίου Μωυσέως τὴν ἀνακήρυξιν ἐντεῦθεν γινομένην, καὶ στέφανον αὐτῷ ἐκ ταύτης οὕτω πλεκόμενον. καὶ Μωυσῆς ἦν, φησι, πρᾳότατος πάντων ἀνθρώπων τῶν ἐπὶ τῆς γῆς. εἶδες ἐγκωμίου μέγεθος, ὃ πάσης αὐτὸν τῆς ἀνθρωπίνης φύσεως ἰσοστάσιον ἀπέφηνε, μᾶλλον δὲ παντὸς τοῦ τῶν ἀνθρώπων γένους προέκρινε; καὶ πάλιν περὶ τοῦ Δαβὶδ φησιν ἡ γραφὴ, μνήσθητι, κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ. D ἐντεῦθεν καὶ ὁ πατριάρχης πολλῷ πλείονα τὴν ἄνωθεν εὔνοιαν ἐπεσπάσατο, καὶ τὰ παρ᾽ ἑαυτοῦ εἰσενεγκὼν, τῶν μειζόνων ἠξιώθη παρὰ τοῦ φιλανθρώπου θεοῦ. καὶ τοῦτο εἴσεσθε, ἐπειδὰν εἰς μέσον προθῶμεν ὑμῖν τὰ ἀκόλουθα τῶν χθὲς εἰρημένων, καὶ τὰ πρότερον ἀναγνωσθέντα ἀναπτύξωμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης. ἐπειδὴ γὰρ πολλὴν ἐπιδειξάμενος τὴν ἐπιείκειαν παρεχώρησε τῷ Λὼτ τῶν πρωτείων, καὶ τῆς ἐκλογῆς αὐτῷ τὴν ἐξουσίαν δεδωκὼς,

εἵλετο προθύμως τὴν ἐλάττονα μερίδα ὑπὲρ τοῦ πᾶσαν ἐκποδὼν γενέσθαι φιλονεικίαν, ὅρα ὅσης ἀπολαύει παραχρῆμα παρὰ τοῦ θεοῦ τῆς ἀμοιβῆς, καὶ ὅπως ἐκ πολλῆς τῆς περιουσίας μείζονος ἄξιοι τῆς ἀντιδόσεως τὸν πατριάρχην. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος· ἐπειδὰν ἴδῃ μικρόν τι εἰσενεγκόντας ἡμᾶς, δαψιλεῖς ἡμῖν παρέχει τὰς παρ' ἑαυτοῦ ἀμοιβὰς, καὶ τοσαύτην ἐπιδείκνυται τὴν φιλοτιμίαν, ὡς πολλῷ τῷ μέτρῳ ὑπερακοντίσαι τὰ παρ' ἡμῶν γενόμενα. καὶ τοῦτο ἐφ' ἑκάστῳ τῶν παρ' ἡμῶν ἐκτελουμένων εὑρήσει τις παρ' αὐτοῦ γινόμενον. τί γὰρ, εἰπέ μοι, δύο ὀβολῶν ἂν γένοιτο εὐτελέστερον; ἀλλ' ὅμως τὴν χήραν ἐκείνην τὴν τοὺς δύο ὀβολοὺς καταβαλοῦσαν ἐξ ἐκείνου μέχρι τοῦ παρόντος εἰς πᾶσαν τὴν οἰκουμένην ἀνακηρύττεσθαι πεποίηκε. καὶ τί λέγω δύο ὀβολούς; κἂν ποτήριον ψυχροῦ τις δῷ, καὶ ὑπὲρ τούτου μεγάλας ὁρίζει τὰς ἀμοιβὰς, ἀπὸ τῆς γνώμης ἀεὶ στεφανῶν τοὺς τὴν ἀρετὴν κατορθοῦντας. καὶ ἐπὶ τῆς προσεδρείας δὲ τῶν εὐχῶν τοῦτο ἴδοι τις ἂν παρ' αὐτοῦ γινόμενον. ἐὰν γὰρ ἴδῃ μετὰ θερμότητός τινα προσιόντα, εὐθέως ἐρεῖ πρὸς αὐτόν· ἔτι λαλοῦντός σου ἰδοὺ πάρειμι. εἰ δὲ πλείονα τὴν προσεδρείαν ἐπιδείξηται, καὶ μετὰ πολλοῦ τοῦ πόθου καὶ ζεούσης τῆς προθυμίας τὰ τῆς αἰτήσεως φιλοτιμεῖται, καὶ πρὸ τῆς αἰτήσεως ἀνακηρύττει καὶ στεφανοῖ, ὅπερ καὶ ἐπὶ τῆς Χαναναίας πεποίηκεν. ἐπειδὴ γὰρ εἶδεν αὐτῆς τὸν τόνον καὶ τὴν πολλὴν ἔνστασιν, πρότερον ἀνακηρύξας καὶ στεφανώσας, ὡς εἰπεῖν, διὰ τῶν ἐγκωμίων, καὶ πάσῃ τῇ οἰκουμένῃ κατάδηλον αὐτὴν ποιήσας, τότε καὶ τὰ τῆς αἰτήσεως ἐφιλοτιμήσατο μετὰ πολλῆς τῆς δαψιλείας. εἰπὼν γὰρ, ὦ γύναι, μεγάλη σου ἡ πίστις, τότε ἐπήγαγε, γενηθήτω σοι ὡς θέλεις. καὶ εἰ βουλοίμεθα ἕκαστον τῶν ἐν ταῖς θείαις γραφαῖς ἐκλέγειν, πανταχοῦ πολλὴν ὀψόμεθα τὴν φιλοτιμίαν τοῦ δεσπότου. ὅπερ ἀκριβῶς ὁ πατριάρχης ἐπιστάμενος, καὶ εἰδὼς ὅτι ὁ τῶν ἐλαττόνων παραχωρήσας μειζόνων ἐπιτεύξεται, καθάπερ χθὲς ἠκούσατε, παρεχώρησε τῷ Λὼτ, καὶ εἵλετο τὴν εὐτελεστέραν χώραν, ἵνα καὶ τῆς φιλονεικίας τὰς ἀφορμὰς περιέλῃ, καὶ τὴν οἰκείαν ἀρετὴν ἐπιδείξηται, καὶ ἐν εἰρήνῃ καταστήσῃ τὴν οἰκίαν ἅπασαν. ἀλλ' ἴδωμεν ἐκ τῶν προσφάτως ἀνεγνωσμένων, τίνας λαμβάνει τὰς ἀμοιβὰς παρὰ τοῦ δεσπότου ὑπὲρ τῆς τοσαύτης ἐπιεικείας. καὶ εἶπε,

A contentus fuit minori portione, modo auferretur omnis contentio: vide quantam ſtatim mercedem à Deo conſequitur, & quomodo adhuc maiori retributione, vt per omnia multum abundet, patriarcham dignatur Deus. Talis enim eſt dominus noſter, vt ſi quando vel paruum quid attuliſſe nos viderit, largiſſimas ſuas nobis remunerationes ſuppeditet, tantámque præ ſe ferat liberalitatem, vt ea quę à nobis ſunt facta, multis numeris à nouis eius beneficiis vincantur. Et hoc in omnibus noſtris B factis inueniet quis ab eo fieri. Quid enim, dic mihi, vilius duobus obolis? Attamen quia vidua illa duos obolos in corbonam miſit, inde celebris facta eſt ab eo tempore vſque in præſens toti mundo. (Luc. 21. 3.) Et quid dico duos obolos? Etiamſi quis calicem aquæ frigidæ præbeat, & pro eo magnæ decernuntur retributiones. Semper enim coronat eos qui virtutem operantur, iuxta operantium voluntatem. Similiter in precum aſſiduitate iſtuc ipſum ab eo fieri videre licet. (Matth. 10.) Nam ſi quis alacriter eum adit, ſtatim ei dicit: Adhuc loquente te, ecce adſum. (Eſa. 65. 24.) C Quòd ſi quis ampliorem ſedulitatem teneat, & magno deſiderio, feruentíque mentis alacritate fiant petitiones: iterum liberalitate certat, & prædicat & coronat: id quod & in Chananæa muliere declarauit. Quoniam enim vidit indefatigabilem eius conſtantiam & perſeuerantiam, primùm eam prædicauit, & præconiis (vt ita dicam) coronauit, totíque mundo celebrauit, poſtea liberalitate magna preces eius etiam ſuperauit. Nam, vt dixit: Mulier, magna eſt fides tua: tunc ſubdidit, Fiat tibi ſicut vis. (Matth. 15. 28.) D Et ſi vellemus ſingula ſcripturæ diuinæ exempla afferre, vbique magnam Domini munificentiam eſſemus viſuri. Sciebat hoc patriarcha ille, cedentem minoribus aſſecuturum maiora, ſicut heri audiuiſtis. Et ceſſit Lotho, regionémque deteriorem elegit vt contentionis reſecaret occaſiones, & ſeruata virtute ſua peculiari, totam domum pacatam redderet. Cæterùm videamus ex recens lectis, quid ei retributum ſit à Domino pro tanta manſuetudine. 14. *Et dixit,*

inquit, *Deus Abræ, poſtquam ſeparatus eſt ab eo Loth: Eleuatis oculis tuis cerne à loco in quo tu nunc es, ad Aquilonem, & Aphricum, & Orientem, & mare:*[15] *quia omnem terram quam tu vides, tibi dabo eam, & ſemini tuo vſque in ſeculum.* Vide quomodo diuina ſcriptura acceleratam Dei prouidentiam & retributionem iuſto factam demonſtrat: volens nos docere, quantum approbata fuerit à miſericorde Deo patriarchæ humilitas. Poſtquam, dixit, ſeparatus eſt Loth, & abiit in terram quam elegit, vt præſtantiorem: ſtatim ſubdidit: Et dixit Deus Abræ. Deinde vt diligenter diſcamus, quòd Deus remunerauerit eum pro iis quæ in Loth collocauerat, hæc addidit: Et dixit Deus Abræ, poſtquam ſeparatus eſt ab eo Loth, quaſi manifeſtè hæc ei verba dicens: Ceſſiſti ob tuam manſuetudinem regione meliore & amœniore fratris filio, & eximiam præ te tuliſti humilitatem, tantámque pacis habuiſti curam, vt nihil non potius delegeris, quàm eſſe inter vos contentiones: eapropter largas illas à me retributiones accipe. Eleuatis, inquit, oculis tuis, vide à loco in quo tu nunc es, ad Aquilonem, & Aphricum, & Orientem, & mare: quia omnem terram quam tu vides, tibi dabo eam, & ſemini tuo vſque in ſeculum. Vidiſti retributionem, facta eius multis modis præcellentem? Iiſdem verbis vtitur miſericors Dominus, quibus & patriarcha ceſſionem fecerat. Nam ſicut patriarcha dicebat: Ecce, an non omnis terra coram te? ſeparare à me: ſi tu ad dextram, ego ad ſiniſtram: ſi tu ad ſiniſtram, ego ad dextram. Ita & Dominus dicit: Eleuatis oculis tuis vide à loco in quo tu nunc es: quia omnem terram, quam tu vides, tibi dabo eam, & ſemini tuo vſque in ſeculum. Hîc quæſo animaduerte excellentem munificentiam. Dicit enim: Tu quidem dato illi electionis arbitrio, ea, quam ille voluit eligere, terra ceſſiſti, relictam autem ipſe apprehendiſti: ego verò tanta te liberalitate proſequar, vt omnem quam ante oculos tuos terram vides ſitam, ex vtroque latere dextro & ſiniſtro, à Septentrione & Meridie, ab Oriente & Occidente

A παρὰ τῆς τοσαύτης ἐπιεικείας. καὶ εἶπε, φησιν, ὁ θεὸς τῷ Ἀβραὰμ μετὰ τὸ διαχωρισθῆναι τὸν Λὼτ ἀπ' αὐτοῦ, ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου ἴδε ἀπὸ τοῦ τόπου, οὗ νῦν σὺ εἶ, πρὸς Βοῤῥᾶν καὶ Λίβα καὶ ἀνατολὰς καὶ θάλασσαν. ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος. ὅρα τὸ τάχος τῆς τοῦ θεοῦ προνοίας καὶ τῆς ἀμοιβῆς, ἧς περὶ τὸν δίκαιον ἐπιδείκνυται. βουλομένη γὰρ ἡμᾶς διδάξαι ἡ θεία γραφὴ, ὅσης ἀποδοχῆς ἠξιώθη παρὰ τοῦ φιλανθρώπου θεοῦ ὁ πατριάρχης ἐπὶ τῇ τοσαύτῃ ταπεινοφροσύνῃ, εἰποῦσα ὅτι
B διεχωρίσθη ὁ Λὼτ, καὶ ἀπῆλθεν εἰς τὴν γῆν, ἣν εἵλετο ὡς καλλιστεύουσαν, εὐθέως ἐπήγαγε· καὶ εἶπε κύριος ὁ θεὸς τῷ Ἀβραάμ. εἶτα ἵνα μάθωμεν μετὰ ἀκριβείας, ὅτι παρὰ τὸ εἰς τὸν Λὼτ γεγενημένων ἀμειβόμενος αὐτὸν ταῦτά φησι, προσέθηκε, καὶ εἶπεν ὁ θεὸς τῷ Ἀβραὰμ μετὰ τὸ διαχωρισθῆναι τὸν Λὼτ ἀπ' αὐτοῦ μονονουχὶ ταῦτα πρὸς αὐτὸν φανερῶς λέγων τὰ ῥήματα· παρεχώρησας διὰ πολλὴν ἐπιείκειαν τῆς καλλιστευούσης χώρας τῷ ἀδελφιδῷ, καὶ τὴν ἄκραν ἐπεδείξω ταπεινοφροσύνην, καὶ τοσαύτην ἐποιήσω τῆς εἰρήνης τὴν πρόνοιαν, ὡς πάντα καταδέ-
C ξασθαι ὑπὲρ τοῦ μηδεμίαν εἶναι ὑμῶν μεταξὺ φιλονεικίαν· διὰ τοῦτο λάμβανε παρ' ἐμοῦ δαψιλεῖς τὰς ἀμοιβάς. ἀναβλέψας φησὶ τοῖς ὀφθαλμοῖς σου, ἴδε ἀπὸ τοῦ τόπου, οὗ νῦν σὺ εἶ, πρὸς Βοῤῥᾶν καὶ Λίβα καὶ ἀνατολὰς καὶ θάλασσαν, ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος. εἶδες ἀντίδοσιν πολλῷ τῷ μέτρῳ ὑπερβαίνουσαν τὰ παρ' αὐτοῦ γινόμενα; δι' αὐτῶν τῶν ῥημάτων ἔρχεται ὁ φιλάνθρωπος δεσπότης, δι' ὧν καὶ ὁ πατριάρχης τὴν παραχώρησιν ἐποιήσατο. καθά-
D περ γὰρ ἐκεῖνος ἔλεγεν, οὐκ ἰδοὺ πᾶσα ἡ γῆ ἐνώπιόν σου; διαχωρίσθητι ἀπ' ἐμοῦ· εἰ σὺ εἰς δεξιὰ, ἐγὼ εἰς ἀριστερά· εἰ δὲ σὺ εἰς ἀριστερὰ, ἐγὼ εἰς δεξιά. οὕτω καὶ ὁ δεσπότης φησίν· ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου, ἴδε ἀπὸ τοῦ τόπου, οὗ σὺ εἶ νῦν, ὅτι πᾶσαν τὴν γῆν, ἣν ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος. ἐνταῦθά μοι σκόπει τῆς φιλοτιμίας τὴν ὑπερβολήν. σὺ μὲν γάρ, φησιν, αἵρεσιν δοὺς τῆς ἐκλογῆς, τὴν μὲν παρεχώρησας, ἥνπερ ἑλέσθαι ἐβουλήθη· τὴν δὲ ὑπολειφθεῖσαν, αὐτὸς κατεδέξω· ἐγὼ δὲ τοσαύτην ποιοῦμαι τὴν φιλοτιμίαν, ὡς πᾶσαν τὴν γῆν τὴν ὑποπίπτουσαν τῇ τῶν σῶν ὀφθαλμῶν θέᾳ ἐξ ἑκατέρων τῶν μερῶν, ἀπὸ ἄρκτου, καὶ ἀπὸ μεσημβρίας, καὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν,

A καὶ δυσμῶν, πᾶσαν τὴν γῆν, ἣν ὁρᾷς, σοὶ παραχωρήσειν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος. εἶδες ἀξίαν τῆς τοῦ θεοῦ ἀγαθότητος τὴν φιλοτιμίαν; εἶδες ὅσων παραχωρήσας, ὅσων ἠξιώθη; ἐντεῦθεν παιδευώμεθα· πολλὴν ἐπιδείκνυσθαι δαψίλειαν περὶ τὴν ἐλεημοσύνην, ἵνα μικρὰ δόντες μεγάλων ἀξιωθῶμεν. ποῦ γὰρ ἴσον, εἰπέ μοι, ἀργύριον βραχὺ δοῦναι, καὶ συγχώρησιν ἁμαρτημάτων κομίσασθαι; θρέψαι πεινῶντα, καὶ παρρησίας ἀξιωθῆναι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ, καὶ ἀκοῦσαι τὰ τῆς βασιλείας ἀντάξια ῥήματα, ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν; B μὴ γὰρ ὁ σοὶ παρασχὼν τὴν τοσαύτην δαψίλειαν, οὐκ ἠδύνατο κἀκείνου τὴν ἔνδειαν παραμυθήσασθαι; ἀλλὰ διὰ τοῦτο ἀφίησιν αὐτὸν τῇ πενίᾳ τρύχεσθαι, ἵνα κἀκεῖνος τῆς ὑπομονῆς πολὺν κομίζηται τὸν μισθὸν, καὶ σὺ τὴν ἀπὸ τῆς ἐλεημοσύνης σαυτῷ προαποθῇς τὴν παρρησίαν. εἶδες φιλανθρωπίαν δεσπότου, πῶς ἅπαντα διὰ τὴν ἡμετέραν σωτηρίαν οἰκονομεῖ; ὅταν οὖν ἐννοήσῃς, ὅτι διὰ σὲ, καὶ τὴν σὴν ὠφέλειαν ἐκεῖνος τῇ πενίᾳ παραπαλαίων λιμῷ διαφθείρεται, μὴ παρέλθῃς ἀνηλεῶς, ἀλλὰ γενοῦ C πιστὸς οἰκονόμος τῶν παρὰ τοῦ δεσπότου σοὶ παρασχεθέντων, ἵνα τὴν ἐκείνου ἔνδειαν παραμυθησάμενος, πολλὴν ἐπισπάσῃ τὴν ἄνωθεν εὔνοιαν· καὶ δόξασόν σου τὸν δεσπότην, ὅτι διὰ σὲ καὶ τὴν σὴν σωτηρίαν συνεχώρησεν ἐκεῖνον ἐν πενίᾳ διάγειν, ἵνα σὺ δυνηθῇς ὁδὸν εὑρεῖν, δι' ἧς δυνήσῃ καὶ τὰ ἡμαρτημένα ἀπονίψασθαι, καὶ τὰ παρὰ τοῦ δεσπότου σοὶ παρασχεθέντα καλῶς οἰκονομήσας, τῶν ἐπαίνων ἐκείνων ἀξιωθῆναι τῶν πάντα λόγον καὶ διάνοιαν ὑπερβαινόντων. ἀκούσῃ γὰρ, εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπ' ὀλίγων ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν D τοῦ κυρίου σου. ταῦτα ἐννοοῦντες, καθάπερ εὐεργέτας καὶ τῆς σωτηρίας ἡμῖν τὰς ἀφορμὰς παρέχειν δυναμένους οὕτως ὁρῶμεν τοὺς πένητας, καὶ μετὰ δαψιλείας καὶ ἱλαρᾶς τῆς προθυμίας παρέχωμεν, μηδέποτε ἀνανεύοντες περὶ τὴν δόσιν, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας διαλεγόμενοι καὶ πραότητα πολλὴν δεικνύμενοι. κλῖνον γὰρ πτωχῷ τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι, ἵνα καὶ πρὸ τῆς δόσεως τῇ προσηνείᾳ τῶν ῥημάτων τὴν καταβεβλημένην αὐτοῦ ψυχὴν ἀπὸ τῆς πολλῆς ἐνδείας ἀναστήσῃς.

& in ſumma, omnem terram quam vides, tibi ſum conceſſurus: neque tibi ſolùm, ſed & ſemini tuo vſque in ſeculum. Vidiſti dignam diuina bonitate munificentiam? Vidiſti quantis ceſſit, & quanta eſt aſſecutus? Hinc erudiamur, vt magna in dandis eleemoſynis largitate vtamur, quò datis paruis adipiſcamur magna. Quomodo enim paria ſunt, dic obſecro, dare parum argenti, & obtinere peccatorum remiſſionem? paſcere eſurientem, & in die illa horribili fiduciam aſſequi, & audire verba nulli regno conferenda: Eſuriui, & dediſti mihi, quod comederem? Matth. 25.36. Num qui tibi tantam rerum dedit vbertatem, potuit & illius inopiam leuare & ſolari? Cur De⁹ nos ſinat aſfligi. Hac de cauſa reliquit illum inopia vexari, vt & ipſe patientia multum mercedis acquireret, & tu per eleemoſynam tibi fiduciæ materiam illuc præmitteres. Vidiſti miſericordiam Domini, quomodo propter noſtram ſalutem diſpenſat omnia? Itaque dum cogitas, quòd propter te & propter tuam vtilitatem, ille cum inopia conflictans fame perit, ne abſque miſericordia tranſeas, ſed eſto fidelis eorum quæ tibi à Domino conceſſa ſunt, bonorum diſpenſator, vt illius ſubleuando penuriam, tibi ſupernam concilies gratiam. Et glorifica Dominum tuum, quòd propter te, & ſalutem tuam permittat illum in paupertate verſari, vt tibi via pateat, per quam peccata poſſis abluere: & diſpenſatis bene iis quæ à Domino tibi ſunt conceſſa, laudes illas mereare, quæ omnem ſermonem & rationem tranſcendunt, Audies enim: Euge ſerue Matth. 25.22. bone & fidelis, ſuper pauca fuiſti fidelis, ſuper multa te conſtituam: ingredere in gaudium domini tui. Talia animaduertentes, ita reſpiciamus pauperes, quaſi operarios, qui occaſiones ſalutis dare nobis poſſunt, & eis largiter, hilarique promptitudine communicemus, nunquam renuentes dare, ſed magna lenitate cum eis colloquentes, & multam manſuetudinem declarantes. Incli- Eccl. 7. 32. na, inquit, pauperi aurem tuam, & reſponde ei pacificè in mititate, vt & antequam des, verborum clementia deiectum eius animum erigas

melior enim eſt, inquit, ſermo, quàm donatio. Adeo etiam verbum animam roborare, conſolationémque multam afferre ſolet. Igitur non tantùm attendentes eum qui accipit, in dandis eleemoſynis ſimus liberales: ſed ratiocinantes potius quis ille ſit, qui ea quæ in pauperem collocata, vt ſibi facta vindicat, & pro datis ſolutionem pollicetur: atque ita animo illum intuentes, magna promptitudine dare ſtudeamus, & largam, dum adhuc tempus eſt, ſementem faciamus, vt & vbertim metamus. Nam qui ſeminat parcè, inquit, parcè & metet. Manu igitur minimè parca, ſemina illa bona ſpargamus, vt ſuo tempore multum metamus. Nunc enim ſeminandi tempus eſt, quod ne prætereamus obſecro: vt in die retributionis pro iis quæ hîc ſeminauimus, fructus percipiamus, & Domini miſericordiam aſſequamur. Nullum enim omnino aliud opus bonum ſic poterit reſtinguere peccatorum noſtrorum incendium, vt eleemoſynæ largitas: iſta & peccatorum noſtrorum abolitionem operatur, & magnam nobis fiduciam conciliat & præparat, vt ineffabilibus illis bonis frui tunc liceat. Et de his quidem ſatis dictum eſt charitati veſtræ: & demonſtratum quòd ſi parua dederimus, à Domino noſtro magna conſequamur. Hinc enim ſermo in eleemoſynæ admonitionem digredi cœpit, quòd patriarcha dum partem terræ meliorem Loth conceſſit, & viliorem ipſe retinuit, tantam à Domino conſecutus eſt liberalitatem vt omnem cogitationem tranſcendat promiſſio, quam ei Dominus fecit. Eleuatis enim oculis tuis, inquit, vide à loco tuo, in quo tu nunc es, ad Aquilonem, & Aphricum, & Orientem, & mare, quia omnem terram, quam tu vides, eam tibi dabo, & ſemini tuo vſque in ſeculum. Parte terræ, inquit, ceſſiſti fratris filio: ecce ego totam tibi terram polliceor, neque hoc ſolùm, ſed & ſemini tuo polliceor eam vſque in ſeculum: hoc eſt, perpetuò. Vidiſti quomodo certat beneficiis? Sciens enim Deus quòd hoc maximè cuperet patriarcha, & nihil eius alacritatem ita roboraret, inquit:

2.Cor.9. 6.

A κρεῖσσον γάρ, φησι, λόγος ἢ δόσις. οὕτως οἶδε καὶ ῥῆμα νευρῶσαι ψυχήν, καὶ πολλὴν εἰσαγαγεῖν τὴν παραμυθίαν. μὴ τοίνυν πρὸς τὸν λαμβάνοντα μόνον ὁρῶντες τὴν περὶ τὴν ἐλεημοσύνην φιλοτιμίαν ποιώμεθα, ἀλλὰ λογιζόμενοί τίς ἐστιν ὁ οἰκειούμενος τὰ εἰς τὸν πένητα γινόμενα, καὶ ὑπὲρ τῶν διδομένων ἔκτισιν ὑπισχνούμενος, οὕτω πρὸς ἐκεῖνον τείνοντες τὴν διάνοιαν μετὰ πάσης προθυμίας παρέχειν σπουδάζωμεν, καὶ σπείρωμεν, ὡς ἔτι καιρός, μετὰ δαψιλείας, ἵνα καὶ μετὰ δαψιλείας θερίσωμεν. ὁ σπείρων γάρ, φησι, φειδομένως, φειδομένως καὶ θερίσει. ἀφειδεῖ τοίνυν τῇ χειρὶ καταβάλλωμεν τὰ καλὰ ταῦτα B σπέρματα, ἵνα ἐν καιρῷ μετὰ δαψιλείας θερίσωμεν. νῦν μὲν γάρ ἐστιν ὁ τοῦ σπόρου καιρός, ὃν μὴ παραδράμωμεν, παρακαλῶ, ἵνα ἐν τῇ τῆς ἀνταποδόσεως τῶν ἐνταῦθα σπαρέντων ἡμέρᾳ τοὺς καρποὺς ἀποδρεψώμεθα, καὶ τῆς παρὰ τοῦ δεσπότου φιλανθρωπίας ἀξιωθῶμεν. οὐδὲν γάρ, οὐδὲν ἕτερον τῶν κατορθωμάτων οὕτω δυνήσεται σβέσαι τὴν τῶν ἁμαρτημάτων ἡμῶν τὴν πυράν, ὡς ἡ τῆς ἐλεημοσύνης δαψίλεια. αὕτη καὶ τῶν ἡμαρτημένων ἡμῖν τὸν ἀφανισμὸν ἐργάζεται, καὶ παῤῥησίας ἡμῖν πρόξενος γίνεται, καὶ τῶν ἀποῤῥήτων ἐκείνων ἀγαθῶν τὴν C ἀπόλαυσιν προευτρεπίζει. ἀλλὰ ταῦτα μὲν ἱκανῶς εἴρηται πρὸς τὴν ὑμετέραν προτροπήν, καὶ πρὸς τὸ δεῖξαι, ὅτι μικρὰ διδόντες μεγάλων ἀξιούμεθα παρὰ τοῦ δεσπότου. ἐντεῦθεν γὰρ ἡμῖν καὶ ὁ λόγος πρὸς τὴν τῆς ἐλεημοσύνης παραίνεσιν ἐξεκυλίσθη. ἐπειδὴ γὰρ ἐλέγομεν, ὅτι μέρους γῆς παραχωρήσας ὁ πατριάρχης, καὶ τὸ κάλλιστον τῆς χώρας προέμενος τῷ Λώτ, καὶ τὴν φαυλοτάτην γῆν ἑλόμενος ἑαυτῷ τοσαύτης ἠξιώθη τῆς παρὰ τοῦ θεοῦ φιλοτιμίας, ὡς ὑπερβαίνειν πάντα νοῦν καὶ διάνοιαν τὴν ὑπόσχεσιν τὴν παρὰ D τοῦ θεοῦ εἰς αὐτὸν γεγενημένην. ἀναβλέψας γάρ, φησι, τοῖς ὀφθαλμοῖς σου, ἴδε ἀπὸ τοῦ τόπου, οὗ σὺ εἶ νῦν, πρὸς Βοῤῥᾶν καὶ Λίβα, ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως αἰῶνος. μέρος γῆς, φησι, παρεχώρησας τῷ ἀδελφιδῷ· ἰδοὺ ἐγὼ ὁλόκληρον σοι τὴν γῆν ὑπισχνοῦμαι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῷ σπέρματί σου παρέξειν ἐπαγγέλλομαι αὐτήν, καὶ ἕως αἰῶνος, τουτέστι διηνεκῶς. εἶδες πῶς φιλοτιμεῖται ἐν ταῖς εὐεργεσίαις; ἐπειδὴ γὰρ ᾔδει ὅτι τούτου μάλιστα ἐπεθύμει ὁ πατριάρχης, καὶ οὐδὲν αὐτοῦ τὴν προθυμίαν οὕτω νευρώσει, φησί,

καὶ τοῦτό σοι παρέξω, ὥστε καὶ τοῖς ἀπὸ σοῦ τικτομένοις διαδέξασθαι τῆς γῆς τὴν ἀπόλαυσιν, καὶ διηνεκῆ ταύτης ἔχειν τὴν ἐξουσίαν. εἶτα ἵνα μὴ πρὸς τὴν οἰκείαν μόνον φύσιν, καὶ πρὸς τὸ γῆρας τὸ ἑαυτοῦ, καὶ τὴν τῆς Σάρρας στείρωσιν ἀπιδὼν ναρκήσῃ πρὸς τὴν ὑπόσχεσιν, ἀλλὰ θαρρήσῃ τῇ τοῦ ὑπισχνουμένου δυνάμει, φησὶ, καὶ ποιήσω τὸ σπέρμα σου, ὡς τὴν ἄμμον τῆς γῆς. εἰ δυνήσεταί τις τὴν ἄμμον τῆς γῆς ἐξαριθμῆσαι, καὶ τὸ σπέρμα σου ἀριθμηθήσεται. ἀληθῶς ὑπὲρ φύσιν ἀνθρωπίνην ἦν ἡ ὑπόσχεσις. οὐ μόνον γὰρ πατέρα αὐτὸν ποιήσειν ὑπέσχετο, τοσούτων ὄντων τῶν κωλυμάτων, ἀλλὰ καὶ εἰς πλῆθος τοσοῦτον ἐπιδώσειν, ὡς τῇ ἄμμῳ τῆς γῆς παρισωθῆναι. καὶ ἀνώτερον ἀριθμοῦ τὸ πλῆθος γενέσθαι, τὴν ἐπίτασιν τῆς ὑπερβολῆς διὰ τοῦ παραδείγματος ἐμφῆναι βουλόμενος, σκόπει πῶς ὁ φιλάνθρωπος δεσπότης κατὰ μικρὸν γυμνάζει τοῦ δικαίου τὴν ἀρετήν. εἰπὼν γὰρ ἀνωτέρω, ὅτι τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, νῦν πάλιν φησὶ, καὶ τῷ σπέρματί σου δώσω ἕως αἰῶνος, καὶ ποιήσω αὐτὸ ὡς τὴν ἄμμον τῆς γῆς. καὶ τέως μέχρι λόγων τὰ τῆς ὑποσχέσεως, καὶ πολὺς ἐν μέσῳ παραγίνεται χρόνος, ἵνα καὶ τῆς γνώμης τοῦ πατριάρχου μάθωμεν τὸ φιλόθεον, καὶ τοῦ θεοῦ τὴν ὑπερβάλλουσαν δύναμιν. ἐπίτηδες γὰρ μέλλει καὶ ἀναβάλλεται, ἵνα εἰς βαθὺ γῆρας ἐλάσαντες οἱ τὴν ὑπόσχεσιν δεξάμενοι, καὶ ἀπογνόντες, ὡς εἰπεῖν, τέως κατὰ ἀνθρωπίνην ἀκολουθίαν, τότε καὶ τῆς οἰκείας ἀσθενείας τὴν πεῖραν, καὶ τῆς ἀφάτου δυνάμεως τοῦ θεοῦ τὴν ὑπερβολὴν ἴδωσιν. ἐννόει δέ μοι ἐκ τῆς παρατάσεως τοῦ ἐν μέσῳ χρόνου τὸ στερρὸν τῆς τοῦ πατριάρχου γνώμης, πῶς πάντα τὰ ἀνθρώπινα παρατρέχων, πρὸς τὸ δυνατὸν τοῦ ὑπισχνουμένου τείνας τὴν διάνοιαν, οὐκ ἐθορυβεῖτο, οὐδὲ ἐταράττετο. ἴστε γὰρ πολλάκις, ὅτι ἐπειδὰν τις ἅπαξ καὶ δεύτερον ὑπισχνούμενος μηδέπω εἰς ἔργον ἀγάγῃ τὰ ἐπαγγελθέντα, πῶς ὀκνηρότεροι γινόμεθα πρὸς τὸ πάλιν αὐτῷ πιστεῦσαι ὑπισχνουμένῳ. ἀλλ' ἐπὶ μὲν ἀνθρώπου εἰκότως ἂν τοῦτο γένοιτο· ἐπὶ δὲ τοῦ θεοῦ τοῦ μετὰ πολλῆς σοφίας τὰ ἡμέτερα οἰκονομοῦντος, ἐπειδὰν ἅπαξ ἐπαγγείληται, κἂν μυρία ἐν τῷ μέσῳ κωλύματα παρεμπίπτοι, πρὸς τὸ μέγεθος τῆς τοῦ θεοῦ δυνάμεως ὁρῶντας θαρρεῖν χρὴ, καὶ ἐστηριγμένον ἔχειν τὸν λογισμόν,

A Et hoc tibi concedam, vt qui ex te naſcentur, tibi ſuccedant, & ſimiliter terra fruantur, habeantque perpetuum illius dominium. Deinde, vt ne reſpiciens ad naturam & ſenectutem ſuam, Saræque ſterilitatem, promiſſionem minus curaret, ſed bene fideret pollicentis virtuti, inquit. [16] *Et faciam ſemen tuum ſicut arenam terræ. Si quis poteſt numerare arenam terræ, & ſemen tuum numerabitur.* Verè ſupra naturam humanam erat hæc promiſſio: non ſolùm promiſit ſe facturum eum patrem inter tot impedimenta, ſed in tantam

B multiplicaturum filiorum numeroſitatem, vt arenæ terræ coæquentur. Et innumeram multitudinem fore tam hyperbolica ſimilitudine declarare voluit. Attende quomodo miſericors Deus paulatim virtutem iuſti huius exerceat. Nam cum ſuperius dixerit: Semini tuo dabo terram hanc: nunc iterum dicit: Et ſemini tuo vſque in ſeculum dabo, & faciam illud quaſi arenam terræ. Et tunc ſermonibus tantum facta eſt promiſſio, intercedítque in-

Abrahę virutem paulatim exercet Deus.

C ter rem & promiſſionem multum temporis, vt religioſam patriarchæ mentem, & ineffabilem Dei virtutem diſcamus. Data enim opera differt ac moratur, vt cum in profundam peruenerint ſenectam, & de humanis viribus, vt ita dicam, omnino deſperauerint, tunc ſuam ſciant infirmitatem, & cognoſcant inenarrabilis potentiæ Dei eminentiam. Hoc loco expendas quæſo, à temporis tanta intercapedine, quàm ſolida fuerit prophetæ mens, quómodo humanis omnibus præteritis,

D ad potẽtiam eius, qui pollicitus erat, reſpexerit. Non impatiens erat, non turbabatur. Scitis enim quòd plerúque quando quis ſemel atque iterum pollicetur, & promiſſa implere tardat, ſegniores ſumus ad credendum iis, quæ iterum promittit: id quod in homine non iniuria locum habet. De Deo autem, qui res noſtras maximá diſpenſat ſapientia, ſi qua ſemel promiſſa fuerint, etiamſi innumera intercedant obſtacula, confidendum eſt ad magnitudinem potentiæ ſuæ reſpicientibus, firmandáq; eſt ratio,

& ſciendum, quod omnia quæ ab illo ſunt dicta, euenire modis omnibus oporteat. Nihil enim eſt quod morari queat eius promiſſiones, quoniam Deus eſt, cui omnia ſunt poſſibilia: & idcirco quorſumcunque vult, res transfert: & vbi non ſunt viæ, inuenire ſcit vias: & deſperatos in bonam ſpem adducit, quò excellentia potentiſſimæ ſuæ ſapientiæ nobis manifeſtior fiat. Dicit enim:[17] *Surge, & perambula terram in longitudinem eius, & latitudinem, quia tibi dabo eam.* Vide quomodo in rebus omnibus certitudinem ſummam & ineffabilem iuſto inſerit. Dicit enim: Surge, & circumi, & addiſce tam latitudinem, quàm longitudinem, vt ſcire poſſis & magnitudinem terræ qua fruiturus es, & antequam fruaris, ſpe paſtus, magnam inde animi voluptatem haurias. Nam quantumcunque terræ circumieris, tibi dabo: vt ſcias quòd non tantum dimiſeris, quantum accepturus es. Ne igitur putes quòd minorem terram tu ſortitus ſis, quoniam ille arripuit, quæ prima ſibi viſa eſt & potior. Scies enim non multò pòſt rebus ipſis, quàm nihil profuerit ei potioris terræ electio, & ipſuſmet diſcet, quantum malum eſt primatum amare. Tu autem nunc accipe modeſtiæ & clementiæ, quam erga fratris filium declaraſti, mercedem: & iam cognoſce terram omnem, cuius Dominus es, & quam non multò pòſt & ipſe tu, & ſemen tuum in æternum poſſidebitis. Et ſemini tuo, inquit, vſque in ſeculum. Magna diuinæ promiſſionis magnitudo, magna noſtri omnium domini, vt vincat beneficiis, liberalitas. Magna mercedis præſtantia, quam dat miſericors & clementiſſimus Dominus beato illi, & ex illo naſcituro ſemini. Vt hæc audiuit patriarcha, de ineffabili bonitate Dei obſtupefactus:[18] *Motis tabernaculis*, inquit, *venit, & habitauit iuxta quercum Mambre, quæ eſt in Chebron.* Poſtquam, inquit, accepit promiſſionem, & ſeparauit ſe Loth, tunc tranſtulit tabernaculum ſuum ad quercum Mambre. Vide mentem optimis moribus præditam, vide ſpiritus ſublimitatem,

A καὶ εἰδέναι ὡς πάντως εἰς ἔργον ἐκβῆναι δεῖ τὰ παρ' αὐτοῦ εἰρημένα. οὐδὲν γάρ ἐστιν, ὃ δυνήσεται ποτε διακόψαι τὰ παρ' αὐτοῦ ἐπηγγελμένα. θεὸς γάρ ἐστιν, ᾧ πάντα δυνατά· καὶ διὰ τοῦτο, πρὸς ὃ βούλεται, μεθίστησι τὰ πράγματα, καὶ πόρους ἐξ ἀπόρων εὑρεῖν δυνάμενος, καὶ μετὰ τὴν ἀπόγνωσιν τὴν ἡμετέραν εἰς χρηστὰς ἐλπίδας ἄγων, ἵν' οὕτω σαφέστερον αὐτοῦ μανθάνωμεν τῆς εὐμηχάνου σοφίας τὴν ὑπερβολήν. ἀναστὰς γάρ, φησι, διόδευσον τὴν γῆν, εἴς τε τὸ μῆκος αὐτῆς, καὶ εἰς τὸ πλά-
B τος, ὅτι σοι δώσω αὐτήν. ὅρα πῶς διὰ πάντων τῶν πραγμάτων πολλὴν βούλεται πληροφορίαν ἐνθεῖναι τῷ δικαίῳ. ἀναστάς, φησι, περίελθε, καὶ καταμάθε καὶ τὸ μῆκος καὶ τὸ πλάτος, ἵνα εἰδέναι ἔχῃς καὶ τὸ μέγεθος τῆς γῆς, ἧς ἀπολαύειν μέλλεις, καὶ πρὸ τῆς ἀπολαύσεως τῇ ἐλπίδι τρεφόμενος πολλὴν ἔχῃς τὴν εὐθυμίαν. ὅσην γὰρ ἂν περιέλθῃς γῆν, σοι δώσω αὐτήν, ἵνα μάθῃς ὅτι οὐ τοσαῦτα παρεχώρησας, ὅσα νῦν λαμβάνειν μέλλεις, μὴ τοίνυν νομίσῃς τὴν ἐλάττονα εἰληφέναι, ἐπειδὴ ἐκεῖνος τοῖς πρωτείοις φαινομένοις ἐπεπήδησεν.
C εἴσῃ δὲ μετ' οὐ πολὺ δι' αὐτῶν τῶν πραγμάτων, ὅτι οὐ λυσιτελὴς ἦν αὐτῷ τῶν πρωτείων ἡ ἐκλογή· καὶ αὐτὸς δὲ ἐκεῖνος μαθήσεται, ὅσον ἐστὶ κακὸν τὸ τῶν πρωτείων ἐρᾶν. τέως δὲ αὐτὸς κομίζου τῆς ταπεινοφροσύνης καὶ τῆς ἐπιεικείας, ἣν περὶ τὸν ἀδελφιδοῦν ἐπεδείξω, τὰς ἀμοιβάς, καὶ δέχου τὴν ὑπόσχεσιν, καὶ ἤδη καταμάνθανε τὴν γῆν ἅπασαν, ἧς κύριος εἶ, καὶ μετ' οὐ πολὺ καὶ αὐτὸς καὶ τὸ σπέρμα τὸ σὸν εἰς τὸ διηνεκὲς καθέξετε. καὶ τῷ σπέρματί σου γάρ, φησιν, ἕως τοῦ αἰῶνος. πολὺ τῆς ἐπαγγελίας τοῦ θεοῦ τὸ μέγεθος, πολλὴ τῆς φιλοτιμίας τοῦ πάντων ἡμῶν
D δεσπότου ἡ δαψίλεια, πολλὴ τῆς ἀμοιβῆς τοῦ φιλανθρώπου καὶ πανοικτίρμονος ἡ ὑπερβολή, ἣν περὶ τὸν μακάριον τοῦτον ἐποιήσατο καὶ τῷ ἐξ αὐτοῦ μέλλοντι τίκτεσθαι σπέρματι. ταῦτα ἀκούσας ὁ πατριάρχης, καὶ ἐκπλαγεὶς τὴν ἄφατον τοῦ θεοῦ ἀγαθότητα, ἀποσκηνώσας, φησίν, ἐλθὼν κατῴκησε παρὰ τὴν δρῦν τὴν Μαμβρῆ τὴν ἐν Χεβρών. μετὰ τὸ δέξασθαι, φησι, τὴν ἐπαγγελίαν, καὶ τὸν χωρισμὸν γενέσθαι τοῦ Λὼτ τὴν σκηνὴν αὐτοῦ μετῴκισε παρὰ τὴν δρῦν τὴν Μαμβρή. ὅρα φιλόσοφον γνώμην, ὅρα φρονήματος ὕψος·

πῶς μετ' εὐκολίας μεθίσταται, καὶ οὐ δυσχεραίνει περὶ τὸ τόποις ἐκ τόπων ἀμείβειν. καὶ γὰρ εὑρήσεις αὐτὸν οὐ συνηθείᾳ τινὶ προκατειλημμένον καὶ προσπεπηγότα, ὃ πολλοὶ πολλάκις ὑπομένουσι καὶ τῶν δοκούντων φιλοσοφεῖν, καὶ τῶν ἐν μέσῳ θορύβων ἀπηλλάχθαι. καὶ εἴποτε καιρὸς καλοίη μεταναστῆναι, καὶ εἰς τὴν ἀλλοτρίαν ἀπελθεῖν, πολλάκις καὶ πνευματικοῦ πράγματος ἕνεκα δυσχεραίνοντας, ἀλύοντας, βαρέως φέροντας τὴν μετάστασιν εὕροις ἂν αὐτοὺς, διὰ τὸ τῇ συνηθείᾳ προειλῆφθαι. ἀλλ' οὐχ ὁ δίκαιος οὕτως· ἀλλ' ἄνωθεν καὶ ἐκ προοιμίων ἐφιλοσόφει· καὶ καθάπερ ξένος καὶ παρεπίδημος, οὕτως ἐντεῦθεν ἐκεῖ, κἀκεῖθεν ὧδε μεθιστάμενος, καὶ πανταχοῦ τὴν φιλόθεον αὐτοῦ γνώμην διὰ τῶν ἔργων ἐσπούδαζεν ἐπιδείκνυσθαι. ἐπειδὴ γὰρ κατεσκήνωσε παρὰ τὴν δρῦν τὴν Μαμβρὴ, εὐθέως ἐκεῖ θυσιαστήριον ᾠκοδόμησε τῷ κυρίῳ. εἶδες εὐχάριστον γνώμην; ἐπειδὴ γὰρ τὴν σκηνὴν ἔπηξε, εὐθέως ὑπὲρ τῆς γενομένης αὐτῷ ἐπαγγελίας τὰς εὐχαριστίας ἀνέφερε τῷ δεσπότῃ. καὶ καθ' ἕκαστον τόπον, ἔνθα κατεσκήνου, εὑρήσεις αὐτὸν τοῦτον περὶ πάντων ἐπιμελούμενον, καὶ θυσιαστήριον οἰκοδομοῦντα, καὶ τὰς εὐχὰς ἀναφέροντα, καὶ ἀποστολικὸν νόμον πληροῦντα τὸν κελεύοντα ἐν παντὶ τόπῳ εὔχεσθαι, ἐπαίροντας ὁσίους χεῖρας. εἶδες ψυχὴν ἐπτερωμένην πρὸς τὸν τοῦ θεοῦ πόθον, καὶ ὑπὲρ ἁπάντων εὐχάριστον γινομένην; οὐδὲ γὰρ ἀνέμενεν εἰς ἔργον ἐλθεῖν τὰ ἐπαγγελθέντα, ἀλλὰ καὶ ὑπὲρ τῆς ὑποσχέσεως εὐχαριστεῖ, καὶ τὰ παρ' ἑαυτοῦ ἐπιδείκνυται, ἵνα τὴν ἐπὶ τοῖς προλαβοῦσιν εὐγνωμοσύνην ἐπιδειξάμενος καὶ περὶ τὴν ἐκπλήρωσιν τῶν ἐπαγγελιῶν ἐκκαλέσηται τὸν ἑαυτοῦ δεσπότην. τοῦτον δὴ καὶ ἡμεῖς μιμώμεθα, καὶ θαρρῶμεν ταῖς τοῦ θεοῦ ὑποσχέσεσι, καὶ μήτε ὁ χρόνος ἀμαυρούτω τὴν προθυμίαν, μήτε τὰ ἐν μέσῳ κωλύματα, ἂν συμβαίη, θορυβείτω ἡμῶν τὸν λογισμόν· ἀλλὰ τῇ τοῦ θεοῦ δυνάμει θαρροῦντες, ὡς ἤδη πρὸ τῶν ὀφθαλμῶν ὁρῶντες τὰς ὑποσχέσεις ἐκβεβηκυίας, οὕτω τὴν πίστιν εἰλικρινῆ ἐπιδειξώμεθα. καὶ γὰρ καὶ ἡμῖν μεγάλα καὶ ὑπέρογκα ἐπηγγείλατο ὁ δεσπότης, καὶ ὑπερβαίνοντα τὸν ἡμέτερον λογισμὸν, τῆς βασιλείας λέγω τὴν ἀπόλαυσιν, τῶν ἀπορρήτων ἀγαθῶν τὴν μετουσίαν, τὴν μετ' ἀγγέλων διαγωγὴν, τὴν τῆς γεέννης ἀπαλλαγήν. ἀλλ' ὅμως μηδὲν ἀπιστῶμεν, ἐπειδὴ μὴ ὁρᾶται τοῖς σωματικοῖς ὀφθαλμοῖς·

A quomodo facilè inde migrat, nec grauatur de locis in loca tranſire. Inuenies enim eum nulla familiaritate præuentum & alligatum : id quod multis euenit, etiam iis qui ſe philoſophos, & è mediis liberatos tumultibus iactãt: & ſi quando tẽpus vocet, ſpiritualis ſæpe negocij gratia, vt in alium locum concedãt, ſæpenumero moroſi ſunt, triſtes, & migrationem ægrè ferentes, eò quòd conſuetudine præoccupati ſint. Verùm non ita iuſtus, ſed iam tum nondum fulgente Euangelij luce philoſophũ agebat: & quaſi peregrinus & hoſpes, ita nũc
B hinc illuc, & nunc illinc huc tranſmigrabat, & per omnia religioſam ſuam mentem operibus ipſis declarare ſtudebat. Nam poſtquam tabernaculum fixit apud quercum Mambre, ſtatim ibi extruxit altare Domino. Vidiſti mentem gratam? quia mox vt tabernaculum fixit, ſtatim pro facta ſibi promiſſione, gratiarum actiones obtulit Domino. Et in ſingulis locis vbi tabernaculum fixit, inuenies hoc præ omnibus ei fuiſſe curæ, vt extructo altario preces offerret, & Apoſtoli 1. Tim.
C præceptum impleret, iubentis vt in 2.8.
omni loco oretur, & eleuentur ſanctæ manus. Vidiſti animam, diuino amore ſuccẽſam, & ad diuina promptam, pérque omnia gratias agentem? Non enim expectauit donec promiſſa complerentur: ſed & mox pro promiſſione gratias egit, & faciebat quod in ſe erat, vt de præuiis dignam & ſynceram gratitudinem præ ſe ferens, dominum ſuum prouocaret ad promiſſiones ſuas implendas. Illum ſanè & nos imitemur, & pro- Moralis
miſſionibus diuinis fidamus, & ne- exhor-
D que alacritas obſoleſcat tempore, ne- ratio ad
que mens remiſſior fiat præpedimen- conſtã-
tis quæ interueniunt: ſed virtute di- tiam in
uina fidentes, quaſi iam ante ocu- fide.
los videremus promiſſiones impleri, ita puram & inadulteratam oſtendamus virtutem. Magna enim & immenſa promiſit Dominus, & quæ noſtram tranſcendunt rationem, nempe participes regni, & ineffabilium bonorum fore, vtpote conuerſationem cum angelis habituros, & liberationem à gehenna. Cæterùm neque diffidamus ideo quòd ea non videntur corporalibus oculis,

ſed cogitemus mentiri non poſſe eum, qui promiſit, & ipſius potentiæ magnitudinem oculis fidei contueamur, & ex iis quę iam conceſſa, etiam de futuris bonam ſpem habeamus: ea enim de cauſa & hîc multa nobis donata ſunt, vt ex iis adiuuemur, manúque ducamur, vt illa quoque bene credamus. Nam qui filium ſuum tradidit propter ſuam in nos charitatem, quomodo non omnia nobis & reliqua largiturus eſt? Sicut & Paulus inquit: (Rom. 8. 32.) Qui non pepercit proprio filio ſuo, ſed pro nobis omnibus tradidit illum, quomodo non & omnia nobis cum illo tribuet? Si filium ſuum expoſuit pro peccatis noſtris, ſi baptiſmatis donum largitus eſt, ſi priorum peccatorum remiſſionem tribuit, ſi pœnitentiæ viam nobis aperuit, ſi innumera alia ad ſalutem noſtram operatus eſt, manifeſtum quòd & futura bona nobis repoſita præbebit. Nam qui propter ſuam bonitatem, antea quàm eſſe inciperemus, hæc præparauit, quomodo non & frui concedet? Quòd autem prius hæc bona nobis præparauerit, audi quid dicat ſtantibus à dextris. (Matth. 25. 34.) Venite benedicti patris mei, hæreditate accipite regnum paratum vobis ab origine mundi. Vidiſti bonitatis excellentiam, quanta erga noſtrum genus benignitate vſus ſit, vt & ante iacta fundamenta mundi nobis regni cœlorum fruitionem præparare dignatus ſit? Igitur ne ſimus ingrati, obſecro, neque indignos talibus nos donis conſtituamus: ſed diligamus, vt decet, dominum noſtrum, nihilque faciamus, quod eius erga nos beneuolentiam impediat. Num enim nos priores illum huc prouocauimus? Imò ipſe prior magnam & inenarrabilem charitatem erga nos declarauit: quomodo igitur non abſurdum fuerit, ſi eum qui ſic dilexit non diligamus omnibus noſtris viribus? Ipſe propter ſuam erga nos charitatem omnia cum voluptate ſuſtinuit, & ex ipſis paternis ſinibus exiliens, vt ita dicam, ſerui formam aſſumere voluit, & experiri omnes hominum moleſtias, & ferre à Iudæis contumelias & opprobria, denique & crucem, & mortem ignominioſiſſimam,

ἀλλὰ τὸ ἀψευδὲς ἐννοοῦντες τοῦ ἐπαγγειλαμένου, καὶ τῆς δυνάμεως αὐτοῦ τὸ μέγεθος, τοῖς τῆς πίστεως ὀφθαλμοῖς αὐτὰ κατοπτεύωμεν, καὶ ἐκ τῶν ἤδη παρασχεθέντων καὶ περὶ τῶν μελλόντων χρηστὰς ἔχωμεν τὰς ἐλπίδας. διὰ γὰρ τοῦτο καὶ ἐνταῦθα πολλὰ ἡμῖν ἐδωρήσατο, ἵνα ἐκ τούτων ὁδηγούμενοι καὶ περὶ ἐκείνων θαῤῥεῖν ἔχωμεν. ὁ γὰρ τὸν ἑαυτοῦ υἱὸν ἐκδοὺς διὰ τὴν περὶ ἡμᾶς ἀγάπην, πῶς οὐχὶ πάντα ἡμῖν τὰ λοιπὰ χαριεῖται; καθάπερ καὶ Παῦλός φησιν· ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; εἰ τὸν υἱὸν B αὐτοῦ ἐξέδωκεν ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, εἰ τοῦ βαπτίσματος τὴν δωρεὰν ἐχαρίσατο, εἰ τῶν προλαβόντων ἁμαρτημάτων τὴν ἄφεσιν ἐδωρήσατο, εἰ μετανοίας ὁδὸν ἡμῖν ἔτεμεν, εἰ μυρία ἕτερα πρὸς τὴν σωτηρίαν ἡμετέραν ἐπραγματεύσατο, δηλονότι καὶ τὰ ἐν τῷ μέλλοντι ἡμῖν πεταμιευμένα ἀγαθὰ παρέξει. ὁ γὰρ πρὸ τῆς εἰς τὸ εἶναι ἡμᾶς παρόδου ταῦτα προευτρεπίσας διὰ οἰκείαν ἀγαθότητα, πῶς οὐχὶ καὶ τὴν ἀπόλαυσιν χαριεῖται; ὅτι γὰρ προλαβὼν ταῦτα ἡμῖν ἡτοίμασε τὰ ἀγαθὰ, ἄκουε αὐτοῦ λέγοντος πρὸς τοὺς ἐκ C δεξιῶν ἑστῶτας· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου. εἶδες ἀγαθότητος ὑπερβολὴν, πόσῃ περὶ τὸ ἡμέτερον γένος κέχρηται τῇ φιλανθρωπίᾳ, ὡς καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς ἡμῖν τῆς βασιλείας προευτρεπίσαι τὴν ἀπόλαυσιν; μὴ τοίνυν ἀγνώμονες γενώμεθα, παρακαλῶ, μηδὲ ἀναξίους ἑαυτοὺς καταστήσωμεν τῶν τοσούτων δωρεῶν· ἀλλ' ἀγαπήσωμεν, ὡς δεῖ, τὸν ἡμέτερον δεσπότην, καὶ μηδὲν διαπραττώμεθα τῶν διακοπτόντων τὴν πρὸς ἡμᾶς αὐτοῦ εὔνοιαν. D μὴ γὰρ αὐτοὶ προκατήρξαμεν τοῦ πράγματος; αὐτὸς προλαβὼν πολλὴν καὶ ἄφατον τὴν περὶ ἡμᾶς ἀγάπην ἐπεδείξατο. πῶς οὖν οὐκ ἄτοπον τὸν οὕτως ἀγαπήσαντα μὴ καὶ ἡμᾶς, ὅσον ἔχωμεν δυνάμεως, ἀγαπᾷν; αὐτὸς γὰρ διὰ τὴν περὶ ἡμᾶς ἀγάπην πάντα μεθ' ἡδονῆς ὑπέμεινε, καὶ ἐξ αὐτῶν τῶν κόλπων τῶν πατρικῶν ἀλλόμενος, ὡς εἰπεῖν, δούλου μορφὴν ἀναλαβεῖν κατεδέξατο, καὶ διὰ πάντων τῶν ἀνθρωπίνων ἐλθεῖν, καὶ τὰς παρὰ Ἰουδαίων ὕβρεις καὶ ἀτιμίας ὑπομεῖναι, καὶ τὸ τελευταῖον σταυρὸν κατεδέξατο, καὶ θάνατον τὸν ἐπονείδιστον,

A ἵνα ἡμᾶς τοὺς χαμαὶ συρομένους, καὶ μυρίοις φορτίοις ἁμαρτημάτων βαρυνομένους, διὰ τῆς εἰς αὐτὸν πίστεως ἐλευθερώσῃ. ταῦτα γὰρ ἅπαντα ἐννοῶν ὁ μακάριος Παῦλος, ὁ θερμὸς ἐραστὴς τοῦ Χριστοῦ, ὁ καθάπερ ὑπόπτερος τὴν οἰκουμένην περιτρέχων ἅπασαν, ὁ ἐν σώματι τὰ τῶν ἀσωμάτων ἐπιδείκνυσθαι σπουδάζων, ἐβόα λέγων· ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς. ὅρα εὐγνωμοσύνην, ὅρα ἀρετῆς ὑπερβολήν, ὅρα πόθον ζέοντα. ἡ ἀγάπη, φησί, τοῦ Χριστοῦ συνέχει ἡμᾶς· τουτέστιν ὠθεῖ, καταναγκάζει, κατεπείγει. εἶτα ἑρμηνεῦσαι βουλόμενος τὸ παρ' ἑαυτοῦ ῥηθέν, φησι· κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ ἁπάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. B καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. εἶδες πῶς εἰκότως ἔλεγεν, ὅτι συνέχει ἡμᾶς ἡ ἀγάπη τοῦ Χριστοῦ; εἰ γὰρ ὑπὲρ ἡμῶν, φησι, πάντων ἀπέθανε, διὰ τοῦτο ἀπέθανεν, ἵνα ἡμεῖς οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶμεν, ἀλλ' ἐκείνῳ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι. δεξώμεθα τοίνυν τὴν παραίνεσιν τὴν ἀποστολικήν, καὶ μὴ ἑαυτοῖς ζῶμεν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι. C καὶ πῶς, φησι, δυνησόμεθα μὴ ἑαυτοῖς ζῆν; ἄκουε τοῦ μακαρίου τούτου πάλιν λέγοντος· ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὅρα πῶς ἐπὶ γῆς βαδίζων καὶ σαρκὶ συμπεπλεγμένος, καθάπερ τὸν οὐρανὸν οἰκῶν, καὶ ταῖς ἀσωμάτοις συναναστρεφόμενος δυνάμεσιν, οὕτω διέκειτο. διὰ τοῦτο ἀλλαχοῦ πάλιν ἔλεγεν· οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. τοῦτο τοίνυν ἐστὶ τὸ μὴ ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι, ὅταν καθάπερ νεκροὶ ὦμεν τοῦ παρόντος βίου, καὶ πρὸς μηδὲν τῶν ὁρωμένων ὦμεν ἐπτοημένοι. D διὰ γὰρ τοῦτο ὁ δεσπότης ἡμῶν ἐσταυρώθη, ἵνα ἀντὶ ταύτης τῆς ζωῆς ἐκείνην ἀνταλλαξώμεθα· μᾶλλον δέ, ἵνα διὰ ταύτης ἐκείνην ἑαυτοῖς πραγματευσώμεθα. ἡ γὰρ παροῦσα ζωή, ἐὰν βουλώμεθα νήφειν καὶ ἐγρηγορέναι, πρὸς τὴν ἀπόλαυσιν τῆς αἰωνίου ζωῆς ἡμᾶς ὁδηγεῖ· καὶ δυνησόμεθα, εἰ βουληθείημεν μικρὸν διεγερθῆναι καὶ διανοῖξαι τὸ τῆς διανοίας ὄμμα, τῆς ἐκείνης λήξεως τὴν ἔννοιαν διὰ παντὸς τρέφειν παρ' ἑαυτοῖς, καὶ οὕτω τὰ μὲν ὁρώμενα παρατρέχειν καὶ ὑπερίπτασθαι, πρὸς δὲ τὰ μέλλοντα καὶ διαιωνίζοντα τείνειν τὸν λογισμόν·

A vt nos qui humi trahimur, & infinitis peccatorum ſarcinis oppreſſi ſumus, noſtra in ſe fide liberos faceret. Vnde omnia hæc mente recogitans beatus Paulus, feruidus Chriſti amator, & quaſi alatus in vniuerſo orbe currens, in corpore quæ corporis expertium propria ſint, facere ſtudens, clamabat dicens: Charitas enim Dei detinet nos. (2. Cor. 5. 14.) Vide probitatem, vide omnis charitatis excellentiam. Charitas detinet nos: hoc eſt, compellit, cogit, conſtringit. Deinde volens interpretari quod à ſe dictũ, inquit: Iudicantes hoc, quoniã ſi vnus pro omnibus mortuus eſt, ergo omnes B mortui ſunt vt & viuentes poſthac nõ ſibiipſis viuant, ſed illi qui pro eis mortuus eſt & reſurrexit. Vidiſti quòd iure dixit, quia detinet nos charitas Chriſti? Si enim pro nobis, inquit, omnibus mortuus eſt, propter hoc mortuus eſt, vt nos viuentes poſthac non nobiſipſis viuamus, ſed ei qui pro nobis mortuus eſt & reſurrexit. Audiamus igitur apoſtolicam admonitionem, & non nobiſipſis viuamus, ſed ei qui mortuus eſt, & reſurrexit. Et quo- C modo, dicet quiſpiam, poterimus nõ nobiſipſis viuere? Audi eum iterum dicentem: Viuo autem, non iam ego, viuit autem in me Chriſtus: (Galat. 2.) vide quomodo ſuper terram ambulans, & carne circumdatus, quaſi cœlum inhabitans, & inter incorporeas virtutes conuerſans afficiatur? Proinde alibi iterum dicebat: Qui autem Chriſti ſunt, carnem ſuam crucifixerunt cum affectionibus & concupiſcentiis. (Galat. 5. 24.) Hoc igitur eſt non ſibiipſis viuere, ſed ei qui pro nobis mortuus eſt, & reſurrexit: quando quaſi mortui ſumus præſenti vi- D tæ, & nihil eorum, quæ videntur, ſuſpicimus. Nam idcirco dominus noſter crucifixus eſt, vt hanc vitam pro illa commutemus, immò per hanc illam nobis negociemur. Præſens enim vita, ſi volumus eſſe ſobrij & vigiles, ducit nos ad fruitionem vitæ æternæ: & poterimus, ſi parumper voluerimus vigilare, & aperire mentis oculum, quietis illius ſemper apud nos meminiſſe; & ita præſentia præterire, ac præteruolare, ad futura autem & ſemper durantia mentem intendere,

ſicut beatus ille nos erudiuit, dicens:
Galat.2. 20. Quòd autem nunc viuo in carne, in
fide viuo filij Dei: qui dilexit me, &
tradidit ſemetipſum propter me. Vi-
de animam ignitam, vide mentem
alatam, vide rationem incenſam
Dei amore. Quòd enim, inquit,
nunc viuo, in fide viuo. Non enim,
inquit, putetis me facere aliquid
huius vitæ cauſa. Nam licet carne
veſtitus ſim, neceſſitatibúſque car-
nis alligatus: in fide tamen viuo,
quæ eſt in Chriſtum, deſpiciens om-
nia præſentia, & ſpe quæ in illum
eſt, omnia prætercurrens, inten-
tam in cœlum mentem habeo. De-
nique vt diſcas excellentiam amoris
eius, dicit: In fide viuo filij Dei, qui
me dilexit, & tradidit ſemetipſum
propter me. Conſidera quàm inſi-
gnis gratianimi ſignificatio. Quid di-
cis ô beate Paule? paulò antè dice-
bas: Qui proprio filio ſuo non peper-
cit, ſed pro nobis omnibus tradidit
Rom.8. 32. eum: & nunc dicis: Qui dilexit me: &
vt proprium appellas commune be-
neficium? Profectò, inquit. Nam licet
pro omni hominum genere ſacrificiũ
ab eo ſit oblatum, tamen propter
amorem in eum, id quod factum eſt
omnibus proprium mihi facio. Ita &
prophetis mos eſt facere, & dicere:
Pſal. 17. & 117. & 142. Deus Deus meus, quamuis totius or-
bis ſit Deus. Sed peculiare hoc eſt
amori, vt ex communibus propria fa-
ciat. Filij Dei, inquit, qui dilexit me.
Quid dicis? te ſolum dilexit? Om-
nem, inquit, hominum naturam di-
lexit, ſed ego ei gratias debeo, qua-
ſi me ſolum dilexiſſet. Et tradidit
ſemetipſum pro me. Quid igitur,
pro te ſolo crucifixus eſt? an non
ipſe dicit: Quando exaltatus fuero,
traham ad me omnes? Nónne tu di-
xiſti, quòd pro nobis omnibus tradi-
Ioan.12. 32. dit ſemetipſum? Profectò, inquit,
non loquor pugnantia, ſed meum
amorem ita ſolor. Iam vide iterum
& aliud, quid dictis illis nos docere
velit. Cum enim ſuperius dixerit de
patre, quòd pro nobis omnibus il-
lum tradiderit: hic dicit, Semetipſum
tradidit: & illic quidem, vt concordiã
Epheſ.5 indicet, & parem honorem patris &
filij: quia & alibi dicit: Factus pro no-
bis obediens vſque ad mortem: vbi-
Philip. 2.8. que diſpenſationem fideliter docet.

A καθάπερ καὶ ὁ μακάριος οὗτος παιδεύων ἡμᾶς ἔλεγεν, ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. ὅρα ψυχὴν πεπυρωμένην, ὅρα λογισμὸν ἐπτερωμένον, ὅρα διάνοιαν ἐκκεκαυμένην τῷ πρὸς τὸν θεὸν πόθῳ. ὃ νῦν ζῶ, φησιν, ἐν πίστει ζῶ. μὴ γὰρ νομίσητέ με, φησι, συντελεῖν τι εἰς τὰ τοῦ παρόντος βίου πράγματα. εἰ γὰρ καὶ σάρκα περίκειμαι, καὶ ταῖς ἀνάγκαις τῆς φύσεως προσδέδεμαι, ἀλλ' ἐν πίστει ζῶ τῇ εἰς Χριστὸν, πάντων ὑπερορῶν τῶν
B παρόντων, τῇ ἐλπίδι τῇ εἰς αὐτὸν πάντα παρατρέχων, ἐκπεταμένην ἔχω τὴν διάνοιαν πρὸς αὐτόν. εἶτα ἵνα μάθῃς αὐτοῦ τοῦ φίλτρου τὴν ὑπερβολὴν, φησιν, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. σκόπει πόσης τῆς εὐγνωμοσύνης ἡ ὑπερβολή. τί λέγεις, ὦ μακάριε Παῦλε; πρὸ μικροῦ ἔλεγες, ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. καὶ νῦν λέγεις τοῦ ἀγαπήσαντός με, καὶ ἰδιοποιῇ τὴν κοινὴν εὐεργεσίαν; ναί φησιν. εἰ γὰρ καὶ ὑπὲρ πάντων τῶν ἀν-
C θρώπων γένους ἡ θυσία προσενήνεκται παρ' αὐτοῦ, ἀλλὰ διὰ τὸ περὶ αὐτὸν φίλτρον μου ἐγὼ ἰδιοποιοῦμαι τὸ γενόμενον. οὕτω καὶ τοῖς προφήταις ἔθος ποιεῖν καὶ λέγειν, ὁ θεὸς ὁ θεός μου, καίτοι τῆς οἰκουμένης ἐστὶ θεός. ἀλλ' ἴδιον τοῦ πόθου, τὰ κοινὰ ἰδιοποιεῖσθαι. τῇ τοῦ υἱοῦ τοῦ θεοῦ, φησι, τοῦ ἀγαπήσαντός με. τί λέγεις; σὲ μόνον ἠγάπησε; πᾶσαν μὲν, φησι, τὴν τῶν ἀνθρώπων φύσιν, ἀλλ' ἐγὼ ὡς μόνος ἀγαπηθεὶς, οὕτως αὐτῷ χάριτας ὀφείλω. καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. τί οὖν, ὑπὲρ σοῦ μόνου ἐσταυρώθη; οὐκ αὐτὸς λέ-
D γει, ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν; οὐ σὺ αὐτὸς εἶπας, ὅτι ὑπὲρ ἡμῶν πάντων παρέδωκεν ἑαυτόν; ναί φησιν· οὐκ ἐναντιούμενος ἑαυτῷ ταῦτά φημι, ἀλλὰ τὸν ἐμαυτοῦ πόθον παραμυθούμενος. καὶ ὅρα πάλιν καὶ ἕτερόν τι διὰ τῶν εἰρημένων ἡμᾶς διδάσκοντα. ἀνωτέρω γὰρ εἰπὼν περὶ τοῦ πατρὸς, ὅτι ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, ἐνταῦθα λέγει ἑαυτὸν παρέδωκεν. ἐκεῖ μὲν, ἵνα τὴν ὁμόνοιαν δείξῃ καὶ τὴν ὁμοτιμίαν πατρὸς καὶ υἱοῦ, καὶ τὴν οἰκονομίαν αἰνίξηται, ἐπεὶ καὶ ἀλλαχοῦ φησι, γενόμενος ὑπήκοος μέχρι θανάτου, πανταχοῦ τὴν οἰκονομίαν πιστούμενος.

ἐνταῦθα δὲ τὸ παρέδωκεν ἑαυτὸν τέθεικεν, ἵνα δεί- A
ξῃ, ὅτι ἑκὼν τὸ πάθος κατεδέξατο, καὶ οὐκ ἀνάγκη οὐδὲ βία, ἀλλὰ βουλόμενος καὶ θέλων παντὶ τῷ τῶν ἀνθρώπων γένει τὴν σωτηρίαν πραγματεύσασθαι, τὸν σταυρὸν ὑπέμεινε. ποίαν οὖν κατ' ἀξίαν ἀγάπην ἐπιδείξασθαι δυνησόμεθα, πρὸς τὸν οὕτω πλουσίαν τὴν περὶ ἡμᾶς ἀγάπην ἐπιδειξάμενον; κἂν γὰρ αὐτὴν τὴν ψυχὴν προέσθαι καταδεξώμεθα ὑπέρ τε τῶν αὐτοῦ νόμων, καὶ τῆς φυλακῆς τῶν ἐντολῶν τῶν παρ' αὐτοῦ δοθεισῶν, οὐδὲ οὕτω πρὸς τὸ μέτρον φθάσαι δυνησόμεθα τῆς ἀγάπης, ἣν περὶ τὴν ἡμετέραν ἐπεδείξατο φύσιν.
αὐτὸς μὲν γὰρ θεὸς ὢν ὑπὲρ ἀνθρώπων τοῦτο κα- B
τεδέξατο, καὶ δεσπότης τυγχάνων ὑπὲρ δούλων, καὶ οὐχ ὑπὲρ δούλων ἁπλῶς, ἀλλὰ καὶ ἀγνωμόνων, καὶ πολλὴν καὶ ἄσπονδον τὴν ἔχθραν ἐπιδεικνυμένων, καὶ αὐτὸς μὲν προλαβὼν εἰς ἀναξίους καὶ μυρία ἐπταικότας τὴν τοσαύτην εὐεργεσίαν ἐπεδείξατο· ἡμεῖς δὲ, ὅσαπερ ἂν ἐπιδείξασθαι δυνηθῶμεν, οὐδὲν μέγα ποιοῦμεν τὸν προφθάσαντα ταῖς τοσαύταις εὐεργεσίαις ἡμᾶς ἀμείβεσθαι σπουδάζοντες. τὰ γὰρ παρ' ἡμῶν, ἂν ἄρα ἀκολουθῶσιν, ἀμοιβή τίς ἐστι καὶ ὀφειλή· τὰ δὲ παρ' αὐτοῦ, χάρις
καὶ εὐεργεσίαι καὶ δωρεᾶς μέγεθος. ταῦτα τοίνυν C
ἅπαντα λογιζόμενοι, ἀγαπήσωμεν τὸν Χριστὸν καθάπερ Παῦλος αὐτὸν ἠγάπησε, καὶ μηδεὶς ἡμῖν τῶν παρόντων ἔστω λόγος, ἀλλὰ διηνεκῶς τὸν αὐτοῦ πόθον ἔχωμεν ἱδρυμένον ἡμῶν τῇ ψυχῇ. οὕτω γὰρ καὶ πάντων καταγελασόμεθα τῶν τοῦ παρόντος βίου, καὶ οὕτω τὴν γῆν καθάπερ τὸν οὐρανὸν οἰκήσομεν, οὔτε ὑπὸ τῶν χρηστῶν ἐνταῦθα χαυνούμενοι, οὔτε ὑπὸ τῶν λυπηρῶν συστελλόμενοι· ἀλλὰ πάντα παρατρέχοντες, πρὸς τὸν ποθούμενον ἡμῶν δεσπότην ἐντεῦθεν ἐπειχθησόμεθα, καὶ μήτε πρὸς
αὐτὴν τὴν μέλλησιν δυσχεραίνωμεν, ἀλλ' ἐροῦμεν D
κατὰ τὸν μακάριον τοῦτον καὶ ἡμεῖς, ὅτι ὃ νῦν ζῶμεν ἐν σαρκὶ, ἐν πίστει ζῶμεν τῇ τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ ἀγαπήσαντος ἡμᾶς, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα καὶ τὸν παρόντα βίον ἀλύπως διανύσωμεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἀπολαῦσαι καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Hic autem verbum, tradidit, idem eſt quod ſeipſum poſuit: vt indicet quòd voluntariè paſſionem ſuſcepit, & non neceſſitate, neque vi, ſed volens & ſponte, vt totius humani generis ſalutem operaretur, crucem ſuſtinuit. Qualem igitur viciſſim gratiarum actionem exhibere poterimus, tam diuitem erga nos charitatem declaranti? Etiamſi animam ipſam impendamus pro eius legibus, & obſeruatione mandatorum, quæ ab ipſo ſunt data: neque ſic ad charitatis modum pertingere poterimus, quam erga noſtrum declarauit genus. Ipſe enim Deus exiſtens, pro hominibus hoc ſubiit, & dominus pro ſeruis, & non pro ſeruis ſimpliciter, ſed pro ingratis, & perpetuis inimicis. Et ipſe prior in indignos, & toties lapſos tantam contulit beneficentiam. Nos autem, etiamſi nos faciamus quæcũque facere poterimus, nihil magnum faciemus, vt ei qui nos tantis beneficiis præuenit, aliquid rependamus. Noſtra enim, ſi qua ſequuntur, retributio quidem ſunt, & debitum: illius autem ſunt gratia, & beneficia, & largitionis magnitudo. Hæc igitur omnia cogitantes, diligamus Chriſtum, ſicut Paulus ipſum dilexit, nullam præſentium rationem habeamus, ſed perpetuum eius amorem animæ noſtræ inſidentem ſeruemus. Ita enim & omnia quæ in hac vita ſunt deridebimus, & terram quaſi cœlum inhabitabimus, neque fœlici huius vitæ ſucceſſu remiſſiores erimus, neque aduerſo & triſti conſternabimur: ſed omnibus præteritis, ad amabilem dominũ noſtrum hinc feſtinabimus, neque nos præſentia conturbabunt, neque dilationem grauatim feremus, ſed nunc & nos ſi-
cut beatus ille dicemus, Quod nunc Galat. 2.
viuimus in carne, in fide viuimus filij 20.
Dei, qui dilexit nos, & ſemetipſum tradidit pro nobis: vt & præſentem vitam abſque mœrore perficiamus, & futuris bonis frui mereamur, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cum quo patri & ſancto Spiritui gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Homilia XXXV.

Gen. 14. 1. *Factum eſt autem in regno Amarphath regis Sennaar, Arioch rex Elaſar, & Chodollogomor rex AElam, & Tharthach rex gentium geſſerunt bellum cum rege Sodomorum.*

INgens bonum eſt, dilectiſſimi, diuinarum ſcripturarum lectio. Hæc enim facit animam optimis moribus præditam, hæc in cœlum mentem transfert, hæc memorem B
beneficij reddit hominem. Hæc facit, ne quicquam ex rebus præſentibus admiremur: ſed vt perpetuò in alia vita mente noſtra verſemur, & ad Domini mercedem reſpicientes, omnia operemur, alacritatéque magna virtutum labores aggrediamur. Ex ipſis diſcere licet Dei celeriter ſuccurrentis prouidentiam, iuſtorum fortitudinem, Domini bonitatem, retributionum magnitudinem. Hinc poſſumus ad æmulationem & imita- C
tionem optimæ generoſorum virorum vitæ excitari, vt non torpeſcamus in virtutis certaminibus: ſed confidamus, etiam antequam eueniant, diuinis promiſſionibus. Proinde magna diligentia diuinarum ſcripturarum lectioni vacemus. Ita enim & ſcientiam aſſequemur, ſi ad ea quæ ibi ſita ſunt continuò accedamus. Neque enim fieri poteſt, vt is qui in diuinis ſcripturis magno ſtudio, feruentique deſiderio vacat, vnquam negligatur: ſed licet deſit nobis hominis magiſterium, ipſe Dominus ſupernè corda noſtra intrans illuſtrat D
mentem, rationi iubar ſuum infundit, detegit occulta, doctórque fit eorum quæ ignoramus, tantùm ſi nos quæ à nobis ſunt afferre velimus.
Matth. 23. 8. Non vocabitis enim, inquit, magiſtrum ſuper terram. Quando igitur in manus ſpiritualem librum capimus, omni ſeculari cura repulſa, cogitationem noſtram compeſcamus, & mentem, ne diſtrahatur, cohibentes, lectioni vacemus magna pietate & attentione, vt poſſimus à ſancto Spiritu ad ſcriptorum intelligentiam

Ὁμιλία λε.

Ἐγένετο δὲ ἐν τῇ βασιλείᾳ Ἀμαρφὰθ, βασιλέως Σενναὰρ, Ἀριὼχ βασιλεὺς Ἀλασὰρ καὶ Χοδολλαγομὸρ βασιλεὺς Ἐλὰμ καὶ Θαρθὰκ βασιλεὺς τῶν ἐθνῶν ἐποίησαν πόλεμον μετὰ τοῦ βασιλέως τῶν Σοδόμων.

Μέγα ἀγαθὸν, ἀγαπητοὶ, τῶν θείων γραφῶν ἡ ἀνάγνωσις. τοῦτο τὴν ψυχὴν φιλόσοφον ἀπεργάζεται, τοῦτο πρὸς τὸν οὐρανὸν μεθίστησι τὴν διάνοιαν. τοῦτο εὐχάριστον κατασκευάζει τὸν ἄνθρωπον, τοῦτο ποιεῖ πρὸς μηδὲν τῶν παρόντων ἐπτοῆσθαι, τοῦτο διηνεκῶς ἐκεῖ ποιεῖ διαπτᾶσθαι τὸν λογισμὸν τὸν ἡμέτερον, καὶ πρὸς τὴν τοῦ δεσπότου ἀμοιβὴν ὁρῶντας ἅπαντα ἡμᾶς διαπράττεσθαι, καὶ πρὸς τοὺς τῆς ἀρετῆς πόνους μετὰ πολλῆς ἰέναι τῆς προθυμίας. ἐντεῦθεν γάρ ἐστι μαθεῖν ἀκριβῶς τῆς ταχείας ἀντιλήψεως τοῦ θεοῦ τὴν πρόνοιαν, τῶν δικαίων τὴν ἀνδρείαν, τοῦ δεσπότου τὴν ἀγαθότητα, καὶ τῶν ἀμοιβῶν τὸ μέγεθος. ἐντεῦθεν ἔστιν εἰς ζῆλον καὶ μίμησιν διεγερθῆναι τῆς φιλοσοφίας τῶν γενναίων ἀνδρῶν, καὶ μὴ ναρκᾶν πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας, ἀλλὰ θαῤῥεῖν καὶ πρὸ τῆς ἐκβάσεως ταῖς παρὰ τοῦ θεοῦ ὑποσχέσεσι. διὸ, παρακαλῶ, μετὰ πολλῆς σπουδῆς τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν ποιώμεθα. οὕτω γὰρ καὶ τῆς γνώσεως ἐπιτευξόμεθα, εἰ συνεχῶς ἐπίωμεν τὰ ἐγκείμενα. οὐδὲ γάρ ἐστι τὸν μετὰ σπουδῆς καὶ πολλοῦ πόθου τοῖς θείοις ἐντυγχάνοντα περιοφθῆναί ποτε, ἀλλὰ κἂν ἄνθρωπος ἡμῖν μὴ γένηται διδάσκαλος, αὐτὸς ὁ δεσπότης ἄνωθεν ἐμβατεύων ταῖς καρδίαις ταῖς ἡμετέραις φωτίζει τὴν διάνοιαν, καταυγάζει τὸν λογισμὸν, ἐκκαλύπτει τὰ λανθάνοντα, διδάσκαλος ἡμῖν γίνεται τῶν ἀγνοουμένων· μόνον ἐὰν ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσφέρειν βουλώμεθα. μὴ καλέσητε γὰρ, φησι, διδάσκαλον ἐπὶ τῆς γῆς. ἐπειδὰν οὖν λάβωμεν μετὰ χεῖρας βιβλίον πνευματικὸν, συστείλαντες ἑαυτῶν τὴν διάνοιαν, καὶ συναγαγόντες τὸν λογισμὸν, καὶ πᾶσαν βιωτικὴν ἔννοιαν ἀπωσάμενοι, οὕτω τὴν ἀνάγνωσιν ποιώμεθα μετὰ πολλῆς τῆς εὐλαβείας, μετὰ πολλῆς τῆς προσοχῆς, ἵνα δυνηθῶμεν ὑπὸ τοῦ ἁγίου πνεύματος ὁδηγηθῆναι ἐπὶ τὴν κατανόησιν τῶν γεγραμμένων,

καὶ πολλὴν ἐκεῖθεν τὴν ὠφέλειαν καρποῦσθαι. καὶ γὰρ ὁ εὐνοῦχος ἐκεῖνος ὁ βάρβαρος ὁ τῆς βασιλίσσης Αἰθιόπων, ἐν τοσαύτῃ τυγχάνων περιφανείᾳ, καὶ ἐπὶ τοῦ ὀχήματος φερόμενος οὐδὲ ἐν ἐκείνῳ τῷ καιρῷ τῆς ἀναγνώσεως ἠμέλει, ἀλλὰ τὸν προφήτην ἔχων μετὰ χεῖρας πολλὴν ἐποιεῖτο τὴν σπουδὴν περὶ τὴν ἀνάγνωσιν, καὶ ταῦτα οὐκ εἰδὼς τὰ ἐγκείμενα· ἀλλ' ὅμως ἐπειδὴ τὰ παρ' ἑαυτοῦ πάντα εἰσήνεγκε, τὴν σπουδὴν, τὴν προθυμίαν, τὴν προσοχὴν, ἐπέτυχε τοῦ καθοδηγήσοντος· ἐννόησον γάρ μοι ὅσον ἦν μήτε ὁδοιποροῦντα ἀμελῆσαι τῆς ἀναγνώσεως, καὶ ταῦτα ἐπ' ὀχήματος καθήμενον. ἀκουέτωσαν οἱ μηδὲ ἐπὶ τῆς οἰκίας τοῦτο ποιῆσαι καταδεχόμενοι, ἀλλὰ νομίζοντες πάρεργον εἶναι τὴν τούτων ἀνάγνωσιν, διὰ τὸ γυναικὶ συνοικεῖν, καὶ στρατείᾳ κατειλῆφθαι, καὶ παιδίων φροντίζειν, καὶ οἰκετῶν ἐπιμελεῖσθαι, καὶ ἑτέρων πραγμάτων ἔχειν φροντίδα, μὴ προσήκειν αὐτοῖς περὶ τὴν τῶν θείων γραφῶν ἀνάγνωσιν ἔχειν σπουδήν. ἰδοὺ γὰρ εὐνοῦχος, ἄνθρωπος βάρβαρος, ἀμφότερα ἱκανὰ εἰς πολλὴν ῥᾳθυμίαν ἐμβαλεῖν, καὶ μετὰ τούτων ἡ πολλὴ περιφάνεια, τοῦ πλούτου ἡ περιουσία, αὐτὸ δὲ ἐν ὁδοιπορίᾳ εἶναι, καὶ ἐπ' ὀχήματος φέρεσθαι· οὐδὲ γὰρ ῥᾴδιον ἀναγνώσει προσέχειν τῷ οὕτως ὁδοιποροῦντι, ἀλλὰ καὶ σφόδρα δυσχερές· ἀλλ' ὅμως ὁ πόθος καὶ ἡ πολλὴ σπουδὴ πάντα τὰ κωλύματα ἐκποδὼν ἐποιεῖτο, καὶ εἴχετο τῆς ἀναγνώσεως, καὶ οὐκ ἔλεγε ταῦτα, ἃ νῦν πολλοὶ λέγουσιν· οὐ νοῶ τὰ ἐγκείμενα· οὐ δύναμαι συνιέναι τὸ βάθος τῶν γεγραμμένων· τίνος ἕνεκεν ἁπλῶς καὶ εἰκῆ τὸν κάματον ὑπομένω, ἀναγινώσκων καὶ οὐκ ἔχων τὸν ὁδηγῆσαι δυνάμενον; οὐδὲν τούτων ἐλογίσατο ὁ βάρβαρος μὲν τὴν γλῶτταν, φιλόσοφος δὲ τὴν διάνοιαν· ἀλλ' ἐννοήσας, ὡς οὐ περιοφθήσεται, ἀλλὰ ταχέως ἀπολαύσῃ τῆς ἄνωθεν ῥοπῆς, εἰ τὰ παρ' ἑαυτοῦ καὶ τὰ εἰς δύναμιν ἐπιδείξαιτο, εἴχετο τῆς ἀναγνώσεως. διὰ τοῦτο ὁ φιλάνθρωπος δεσπότης ὁρῶν αὐτοῦ τὸν πόθον οὐ περιεῖδεν, οὐ κατέλιπεν ἀπερινόητον, ἀλλ' εὐθέως αὐτῷ τὸν διδάσκαλον ἔπεμψε. σὺ δέ μοι σκόπει τὴν τοῦ θεοῦ σοφίαν, πῶς ἔμενεν ἐκεῖνον πρότερον τὰ παρ' ἑαυτοῦ εἰσενεγκεῖν, καὶ τότε τὴν οἰκείαν ἀντίληψιν ἐπιδείκνυται. ἐπεὶ οὖν τὰ παρ' ἑαυτοῦ πάντα ἀπήρτισε, λοιπὸν ὤφθη ὁ ἄγγελος κυρίου λέγων τῷ Φιλίππῳ,

A duci, & multum inde fructum percipere. Nam ſi barbarus ille reginæ Æthiopum eunuchus; qui in tanta erat gloria, & curru vehebatur, illo tempore lectionem non negligebat: ſed prophetam in manibus habens, magnum lectioni adhibebat ſtudium, idque neſcius quid in libris contineretur, & afferebat quicquid in ſe erat, nempe ſtudium, alacritatem, attentionem: (Cogita enim obſecro, quantum erat neque in itinere lectionem negligere, & præſertim ſedentem in curru.) Audiant exemplum ij qui B neque domi vt hoc faciant, perſuaderi poſſunt, ſed putantes ſuperuacuam eſſe horum lectionem, quia vel mulieri cohabitant, vel militiæ aſcripti ſunt, vel puerorum & ſeruorum aliorúmque negociorum agunt curam, non conuenire ſibi opinantur, vt diuinæ ſcripturæ lectioni incumbant. Ecce enim hic eunuchus & barbarus erat, quæ vtraque ad reddendum negligentiorem ſufficiebant, & ad hæc dignitatis amplitudo, & opum abundantia. C Adde quòd & in itinere erat, & curru ferebatur. Hoc enim modo iter facienti non eſt facile lectioni eſſe attentum, immò valde moleſtum: attamen deſiderium & ſtudium omnia obſtacula è medio auferens, in lectione retinebat. Vnde non dicebat ea, quæ nũc plerique dicunt: Non intelligo ea quæ ſcripta ſunt, non poſſum intelligere profunditatem ſcripturarum. Quare fruſtra, & incaſſum laborem ſuſtinere? lego, & non habeo qui manuducat. Nihil iis ſimile cogitabat ille, lingua quidẽ barbarus, mente autem philoſophus: D ſed cogitans potius ſe non contemptum iri, ſed ſuperna gratia adiuuandum, modo quod ſuũ erat pro viribus adferret, lectioni incumbebat. Propterea benignus Dominus ipſius videns deſiderium, cum minime neglexit, neque ſua cura deſtituit, ſed protinus ipſi doctorem miſit. Tu autẽ expende quomodo expectauerit vt ipſe quæ ipſius erant prius adferret, & tũc ſuum patefecit auxilium. Cùm igitur omnia perfecta eſſent quæ ab illo fuerant exhibenda, deinceps angelus Domini Philippo apparuit, dicens:

Act. 8. 28.

Exemplũ hominis qui ſcripturam cupidè legat.

Iſta ad textum vſque proximũ hactenus deſiderata, nũc ex regiæ bibliothecæ Græco codice huc fuerunt tranſlata. Phil. Montanus.

Act. 8. 28.

Surge & vade meridiē verſus ad viā, quæ deſcendit ab Hieruſalem in Gazam. Hæc eſt deſerta: & ecce, inquit, vir Æthiops præfectus eunuchus Cādaces reginæ Æthiopum, qui venerat adoraturus in Hieruſalem: & ipſe reuertebatur ſedens ſuper currum ſuum, legebátque Eſaiam prophetā. Vide, quàm accuratè nobis narrarit, qui librum ſcripſit, dicens, Æthiops, vt quòd barbarus eſſet cognoſceremus: deinde ait, Præfectus, quo nomine maximus dignitatis honor ſignificatur. qui venerat, inquit, adoraturus in Hieruſalem. Vide etiam peregrinationis illius cauſam idoneā, quæ animi ipſius pietatem declaret: expende enim quantum itineris ſuſceperit vt Dominum adoraret. Tūc enim adhuc diuinum cultū arbitrabantur vno loco concludi, ideóque lōgo peracto itinere, illic ſuas preces fundebant: propter ea & iſte eò venerat vbi templū erat, & cultus Iudaïcus, vt adorationē Domino perſolueret. Et poſteaquam quòd cupiebat impleuiſſet, reuertēs, inquit, & in curru ſuo ſedens legebat. Deinde cùm acceſſiſſet Philippus, dixit ad illum: Intelligiſne quæ legis? (Vides animum diligentem ac ſollicitum, lectioni etiam illi, quam non intelligeret, incumbentem, & doctorem qui ipſum inſtrueret requirentem?) ac ſtatim per interrogationem illius excitat affectum. quòd enim dignus eſſet, qui doctoris opera in lectione reconditorum intelligentiam conſequeretur, ipſa viri reſponſio declarat. Cùm enim apoſtolus veſte vili indutus acceſſiſſet, ac rogaſſet, num quæ legebat intelligeret, non ægrè tulit, nec indignatus eſt, neque ſe contumelia affici exiſtimauit, quod pleriſque inſulſis accidit, quos pudet ignorantiam ſuam confiteri, & ab iis diſcere qui docere valeant: & frequenter malunt in perpetua verſari ignorantia. At huic nihil tale euenit, ſed piam depromit reſponſionem, animi ſui ſtatum declarans, aitque: Quinam enim poſſim, niſi quis mihi oſtenderit? nec verbis tantum manſuetè reſpondit, ac poſtea diſceſſit, ſed rurſus morum ſuorum virtutem nobis demonſtrans iſta locutus præfectus ille, barbarus,

id eſt, præfectus, primas, prępotens, optimas.

Nōnulli putāt hunc Philippum, apoſtolū fuiſſe, alij diaconum fuiſſe aſſeuerant.

A ἀναςὰς πορεύου ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν, αὕτη ἐστὶν ἔρημος, καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ δυνάστης εὐνοῦχος Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἐληλύθει προσκυνήσων εἰς Ἱερουσαλήμ, ἦν δὲ ὑποστρέφων καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν. ὅρα πῶς ἀκριβῶς ἡμῖν διηγήσατο ὁ τὴν βίβλον γράψας εἰπών, ὅτι Αἰθίοψ· ἵνα γνῶμεν ὅτι βάρβαρος ἦν. Εἶτά φησιν, ὅτι δυνάστης, ὅτι ἐν ἀξιώματι μεγίστῳ καὶ περιφανείᾳ ἐτύγχανεν. ὃς ἐληλύθει, φησὶ, προσκυνήσων εἰς Ἱερουσαλήμ. ὅρα δὲ τὴν πρόφασιν αὐτοῦ B τῆς ἀποδημίας, ἱκανὴν οὖσαν δεῖξαι τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης. ἰδοὺ γὰρ πόσην ὁδὸν στέλλεται, ὥστε τὴν προσκύνησιν ἀποδοῦναι τῷ δεσπότῃ. ἔτι γὰρ ἐνόμιζον ἐν ἑνὶ τόπῳ συγκεκλεῖσθαι τὴν λατρείαν, καὶ διὰ τοῦτο πολλὴν ὁδὸν στελλόμενοι ἐκεῖ τὰς εὐχὰς ἀνέφερον. διά τοι τοῦτο καὶ οὗτος παρεγένετο, ἔνθα ὁ ναὸς ἦν καὶ ἡ λατρεία ἡ Ἰουδαϊκὴ, ἵνα τὴν προσκύνησιν ἀποδῷ τῷ δεσπότῃ. καὶ ἐπειδὴ ἐπλήρωσε τὸ ποθούμενον, ὑποστρέφων, φησὶ, καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ ἀνεγίνωσκεν. εἶτα ἐπιστὰς ὁ Φίλιππός φη- C σι πρὸς αὐτόν, ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις; Εἶδες ψυχὴν μεμεριμνημένην, οὐκ εἰδυῖαν μὲν τὰ ἐγκείμενα, ἐχομένην δὲ τῆς ἀναγνώσεως, καὶ ποθοῦσαν ἐπιτυχεῖν τοῦ ὁδηγοῦντος διδασκάλου; καὶ γὰρ εὐθέως ὁ ἀπόστολος διὰ τῆς ἐρωτήσεως διεγείρει αὐτοῦ τὸν πόθον. ὅτι γὰρ ἄξιος ἦν τυχεῖν τοῦ ὁδηγοῦντος πρὸς τὴν τῶν ἐγκειμένων κατανόησιν, αὐτὴ ἡ ἀπόκρισις τοῦ ἀνδρὸς δηλοῖ. τοῦ γὰρ ἀποστόλου εἰπόντος, ἆρά γε γινώσκεις, καὶ μετὰ εὐτελοῦς σχήματος προσιόντος, οὐκ ἐδυσχέρανεν, οὐκ ἠγανάκτησεν, οὐκ D ἐνόμισεν ὑβρίσθαι, ὃ πολλοὶ τῶν ἀνοήτων πάσχουσι, καὶ πολλάκις αἱροῦνται ἐν διηνεκεῖ ἀγνοίᾳ τυγχάνειν, αἰσχυνόμενοι τὴν ἄγνοιαν ὁμολογῆσαι, καὶ παρὰ τῶν διδάξαι δυναμένων μαθεῖν. ἀλλ' οὗτος οὐδὲν τούτων πέπονθεν· ἀλλὰ μετὰ πάσης ἐπιεικείας, καὶ εὐλαβείας τὴν ἀπόκρισιν ποιεῖται, δεικνὺς αὐτοῦ τῆς ψυχῆς τὴν κατάστασιν, καί φησι· πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; καὶ οὐ μόνον ἀπεκρίνατο μὲν μετ' ἐπιεικείας, παρέδραμε δὲ, ἀλλὰ μᾶλλον τῶν οἰκείων τρόπων ἐνδεικνύμενος ἡμῖν τὴν ἀρετὴν, ταῦτα εἰπὼν παρεκάλεσεν ὁ δυνάστης, ὁ βάρβαρος,

ὁ ἐπ'

ὁ ἐπ' ὀχήματος φερόμενος τὸν εὐτελῆ φαινόμενον, τὸν ἀπὸ τῆς ἐσθῆτος εὐκαταφρόνητον, ἀναβάντα καθίσαι σὺν αὐτῷ. Εἶδες ψυχῆς προθυμίαν; εἶδες εὐλαβείας ἐπίτασιν; εἶδες βαρβάρου γνώμην φιλόθεον, πῶς ἐπλήρου ἐκεῖνο τὸ παρὰ σοφοῦ τινος εἰρημένον· ἐὰν ἴδῃς συνετὸν, ὄρθριζε πρὸς αὐτὸν, καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου; εἶδες πῶς δικαίως οὐ παρεώφθη; εἶδες πῶς δικαίως ἀπήλαυσε τῆς ἄνωθεν προνοίας; εἶδες πῶς οὐδὲν ἐνέλιπε τῶν ὀφειλόντων παρ' αὐτοῦ εἰσενεχθῆναι; διὰ τοῦτο λοιπὸν ἐπιτυχὼν τοῦ διδασκάλου, ἐμάνθανε μετ' ἀκριβείας καὶ τῶν ἐγκειμένων τὴν δύναμιν, καὶ ἐφωτίζετο τὴν B διάνοιαν. Ἴδετε ὅσον ἐστὶν ἀγαθὸν τὸ μετὰ προσοχῆς καὶ σπουδῆς τὴν ἀνάγνωσιν ποιεῖσθαι τῶν θείων γραφῶν; διὰ γὰρ τοῦτο καὶ τὴν κατὰ τὸν βάρβαρον τοῦτον ἱστορίαν εἰς μέσον ὑμῖν παρήγαγον, ἵνα μὴ ἐπαισχυνθῶμεν ἅπαντες ζηλωταὶ γενέσθαι τοῦ Αἰθίοπος, τοῦ εὐνούχου, τοῦ μηδὲ ἐν ὁδοιπορίᾳ τῆς ἀναγνώσεως ἀμελοῦντος. ἱκανὸς γὰρ οὗτος ὁ βάρβαρος ἅπασιν ἡμῖν διδάσκαλος γενέσθαι, καὶ τοῖς τὸν ἰδιωτικὸν βίον ἐπανηρημένοις, καὶ τοῖς ἐν στρατείᾳ κατειλεγμένοις, καὶ ἐν περιφανείᾳ τυγχάνουσι, καὶ πᾶσιν ἁπαξαπλῶς οὐκ ἀνδράσιν, C ἀλλὰ καὶ γυναιξὶν, ὅσαι καὶ διηνεκῶς οἴκοι διατρίβουσιν, ἀλλὰ καὶ τοῖς τὸν μοναχικὸν βίον ἐπανηρημένοις, ἵνα μανθάνωσι πάντες, ὡς οὐδεὶς καιρὸς κώλυμα γίνεται πρὸς τὴν τῶν θείων λογίων ἀνάγνωσιν. ἀλλὰ δυνατὸν μὴ μόνον ἐπὶ οἰκίας, ἀλλὰ καὶ ἐπ' ἀγορᾶς βαδίζοντας, καὶ ὁδοιπορίαν ποιουμένους, καὶ ἐν συνουσίᾳ πλειόνων τυγχάνοντας, καὶ πράγμασι συμπλεκομένους τῆς τούτων ἔχεσθαι σπουδῆς, ἵνα τὰ παρ' ἑαυτῶν εἰσφέροντες, ταχέως καὶ τοῦ ὁδηγοῦντος ἐπιτυχώμεν. ὁρῶν γὰρ ἡμῶν ὁ δεσπότης τὴν περὶ τὰ πνευματικὰ ἐπιθυμίαν οὐ περιόψεται, ἀλ- D λὰ παρέξει τὴν ἄνωθεν ἔλλαμψιν, καὶ φωτιεῖ ἡμῶν τὴν διάνοιαν. μὴ τοίνυν ἀμελῶμεν, παρακαλῶ, τῆς ἀναγνώσεως, ἀλλὰ κἄν τε εἰδῶμεν τῶν ἐγκειμένων τὴν δύναμιν, κἄν τε ἀγνοῶμεν, συνεχῶς αὐτὰ ἐπιῶμεν. ἡ γὰρ διηνεκὴς μελέτη ἀνεξάλειπτον ἐργάζεται τὴν μνήμην· καὶ πολλάκις ὅπερ σήμερον εὑρεῖν οὐκ ἰσχύσαμεν ἀναγινώσκοντες, τοῦτο πάλιν αὔριον ἐπελθόντες ἀθρόον εὕρομεν, τοῦ φιλανθρώπου θεοῦ ἀοράτως ἡμῶν τὴν διάνοιαν φωτίζοντος.

cûrru vectus, eum qui vilis videbatur, & ex veſtitu facile contemptibilis, rogauit, vt aſcenderet, ac ſecum ſederet. Vides animi promptitudinem? vides pium barbari animum, quomodo ſapientis cuiuſdam dictum illud impleuerit: Si videris virum prudentem, mane ſurge ad eum, & gradus oſtiorum illius deterat pes tuus? (Eccl. 6. 37.) Vides qui meritò non ſit neglectus? vides quî meritò ſupernam ſit conſecutus prouidentiam? Vides vt nihil, omiſerit eorum quæ ab ipſo adferri cõueniebat? propterea deinceps doctorem nactus, eorũ vim quæ propoſita erant accuratè diſcebat, & animo illuminabatur. Videtis quantum ſit commodi attentè & ſtudioſè diuinas ſcripturas legere? Propterea enim & hanc de barbaro hiſtoriam in medium vobis produxi, vt ne quẽquam noſtrum puderet imitatorem fieri Æthiopis eunuchi, eius qui ne in profectione quidem lectionem neglexerit. Idoneus enim eſt barbarus iſte qui nobis omnibus doctor fiat: tum priuatam vitam ſectantibus, tum militiæ aſcriptis, tum dignitate & honore præditis, &, vt in ſumma dicam, omnibus non viris ſolùm, ſed & mulieribus, vt quæ aſſiduè domi verſentur: quinetiam iis doctor fuerit qui monaſticam vitam delegerunt, vt diſcant omnes nullum eſſe tempus ad diuinorum eloquiorum lectionem incommodum: (Nullũ tempus ad ſcripturæ lectionem incõmodum.) ſed fieri poſſe, vt non ſolùm domi, verumetiam in foro verſantes, & iter facientes, & in multorum cœtu agentes, ac variis negociis impliciti, horum ſtudio teneamur, vt quæ à nobis præſtanda ſunt conferentes, citò directorem adipiſcamur. Dominus enim videns noſtrum ad res ſpirituales affectum, non negliget, ſed cœlitus illuſtrationem præbebit, ac noſtrum illuminabit animum. Ne igitur, obſecro, ſcripturarum lectionem negligamus: verùm ſiue eorum, quæ his continentur, vim intelligamus, ſiue ignoremus, illa continuè adeamus. Aſſidua enim meditatio memoriam efficit indelebilem: & non raro euenit, vt quod hodie inuenire non potuimus legentes, hoc rurſum poſtero die aggredientes, repente & cumulatè inueniamus: Deo videlicet

pro ſua clementia occultè mentem noſtram illuſtrante. Cæterum iſta ad aſſiduam diuinarum ſcripturarum lectionem ſuſcipiendam diximus, vt diſcatis quòd in aliis etiam omnibus hoc Dominus facere conſueuerit, vt cùm quæ à nobis ſunt contulerimus, ipſe ſua abundè ſuppeditet: & quod in ſcripturarum lectione fecit, multa cum celeritate miſſo ad barbarum doctore, hoc & in iis qui virtutem exercere volunt efficiat, audi quæ dicuntur. Verum vt manifeſtior nobis iſte ſermo reddatur, conſentaneum fuerit rurſum quæ ad patriarcham attinent in medium adducere, & quæ heri dicta ſubſequuntur, nunc aſſumere. Cognouiſtis enim ex iam dictis, quomodo maximæ illius humilitatis erga Loth exhibitæ, qua illi potioribus partibus ceſſit, magnam à Deo retributionem ſit conſecutus, & promiſſionem accceperat longè ipſius facta ſuperantem. Videamus autem deinceps etiam ex hodie lectis rurſum ipſius iuſti virtutem: vt ita procedentes diſcamus ineffabilem Dei erga illum prouidentiam. Nos enim omnes per patriarchæ philoſophiam docens, ſinit ipſum per ſingula tempora prius demonſtrare animi eius pietatem, & tunc ſuam adfert compenſationem, vt & nos ad patriarchæ imitationē ſtudioſè adnitamur prius virtutis labores capeſſere, atque ita ab ipſo retributionis vicem expectare. Sed tempus eſt, vt quæ hodie lecta ſunt, vobis proponam: ea enim vix interpretatione opus habent. Nam vel ipſa lectio excellentem iuſti virtutem ſatis monſtrare poteſt. *Factum eſt autem*, inquit, *in regno Amarphath regis Sennaar, Arioch rex Elaſar, & Chodollogomor rex AElam, & Tharthac rex gentium* [1] *fecerunt bellum cum Balac rege Sodomorum, & cum Barſa rege Gomorrhæ, & cum Sennaar rege Adama, & cum Symobor rege Seboim, & rege Balak, ipſa eſt Segor.* [3] *Omnes y conſpirauerunt in Valle ſalſa, quæ nunc eſt mare ſalis.* Vide ſcripturæ diligentiam, quomodo nomina etiam regum & nationum commemorauerit, non ſine cauſa, ſed vt ex horum appellatione diſcas barbarū iſtorum animū.

In quo à nobis imitandus Abrahá.

Caput 14.

A ἀλλὰ ταῦτα μὲν νῦν περὶ τοῦ συνεχῆ ποιεῖσθαι τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν, εἰρήκαμεν· ἵνα δὲ μάθητε, ὅτι καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων τοῦτο τοῦ δεσπότη ἔθος, ἐπειδὰν τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, μετὰ δαψιλείας τὰ παρ' ἑαυτοῦ χορηγεῖ καὶ αὐτός, καὶ ὅπερ ἐπὶ τῆς ἀναγνώσεως πεποίηκε μετὰ πολλῆς τῆς ταχύτητος πέμψας τὸν διδάσκαλον τῷ βαρβάρῳ, τοῦτο καὶ ἐπὶ τῶν τὴν ἀρετὴν μετιέναι βουλομένων ἐργάζεται, ἄκουσον τῶν νῦν λεγομένων. ἀλλ' ἵνα σαφέστερος ἡμῖν ὁ λόγος γίνηται οὗτος, ἀκόλουθον ἂν εἴη πάλιν τὰ κατὰ τὸν πατριάρχην εἰς

B μέσον ἀγαγεῖν, καὶ τῆς ἀκολουθίας τῶν χθὲς ἡμῖν εἰρημένων νῦν ἐπιλαβέσθαι. καὶ γὰρ ἔγνωτε ἐκ τῶν ἤδη ῥηθέντων, πῶς τῆς πολλῆς ἐκείνης ταπεινοφροσύνης, ἣν περὶ τὸν Λὼτ ἐπεδείξατο παραχωρήσας αὐτῷ τῶν πρωτείων, πολλῆς ἀπήλαυσε τῆς ἄνωθεν ἀμοιβῆς, ὑπόσχεσιν δεξάμενος πολλῷ τῷ μέτρῳ ὑπερβαίνουσαν τὰ παρ' αὐτοῦ γεγενημένα. ἴδωμεν δὲ λοιπὸν καὶ ἐκ τῶν σήμερον ἀνεγνωσμένων πάλιν τοῦ δικαίου τὴν ἀρετήν, ἵν' οὕτω προϊόντες, καταμάθωμεν τὴν ἄφατον τοῦ θεοῦ περὶ αὐτὸν γε-

C γενημένην κηδεμονίαν. παιδεύων γὰρ ἅπαντας ἡμᾶς διὰ τῆς τοῦ πατριάρχου φιλοσοφίας, ἀφίησιν αὐτὸν καθ' ἕκαστον καιρὸν πρότερον ἐπιδείκνυσθαι τῆς οἰκείας γνώμης τὸ φιλόθεον, καὶ τότε τὴν παρ' ἑαυτοῦ ἀμοιβὴν εἰσφέρει· ἵνα σπουδάσωμεν καὶ αὐτοὶ μιμούμενοι τὸν πατριάρχην πρότερον ἐγχειρεῖν τοῖς τῆς ἀρετῆς πόνοις, καὶ οὕτως ἀναμένειν τὴν παρ' αὐτοῦ ἀμοιβῶν τὴν ἀντίδοσιν. ἀλλ' ὥρα λοιπὸν αὐτὰ ὑμῖν παρατιθέναι τὰ σήμερον ἀνεγνωσμένα. οὐδὲ γὰρ ἑρμηνείας δεῖται σχεδόν, ἀλλὰ καὶ αὐτὴ ἡ ἀνάγνωσις ἱκανὴ δεῖξαι τῆς τοῦ δικαίου ἀρε-

D τῆς τὴν ὑπερβολήν. ἐγένετο δέ, φησιν, ἐν τῇ βασιλείᾳ τῇ Ἀμαρφὰθ βασιλέως Σενναάρ, Ἀριὼχ βασιλεὺς Ἐλασάρ, καὶ Χοδολλογομὸρ βασιλεὺς Ἐλάμ, καὶ Θαρθὰκ βασιλεὺς ἐθνῶν. ἐποιήσαντο πόλεμον μετὰ Βαλὰκ βασιλέως Σοδόμων καὶ μετὰ Βαρσὰκ βασιλέως Γομόρρας καὶ μετὰ Σενναὰρ βασιλέως Ἀδαμὰ καὶ Συμοβὸρ βασιλέως Σεβοεὶμ καὶ βασιλέως Βαλάκ· αὕτη ἐστὶ Σηγώρ. πάντες οὗτοι συνεφώνησαν ἐπὶ τὴν φάραγγα τὴν ἁλυκήν. αὕτη ἡ θάλασσα τῶν ἁλῶν. σκόπει τῆς γραφῆς τὴν ἀκρίβειαν, ὅπως καὶ τῶν ὀνομάτων τῶν βασιλέων ἐμνημόνευσε, καὶ τῶν ἐθνῶν, οὐχ ἁπλῶς, ἀλλ' ἵνα μάθῃς ἐκ τῆς τούτων προσηγορίας τὴν βάρβαρον αὐτῶν γνώμην.

οὗτοι γάρ, φησι, πρὸς τὸν Σοδόμων βασιλέα καὶ τοὺς λοιποὺς ἐποίησαν πόλεμον. εἶτα καὶ τὴν αἰτίαν διδάσκει τοῦ πολέμου, ὅθεν τὴν ἀρχὴν ἔσχε. δώδεκα γὰρ ἔτη, φησὶν, ἐδούλευον τῷ Χοδολλογομὸρ βασιλεῖ Ἐλάμ· τῷ δὲ τρισκαιδεκάτῳ ἔτει ἀπέστησαν. ἐν δὲ τῷ τεσσαρεσκαιδεκάτῳ ἦλθε Χοδολλογομόρ, καὶ οἱ βασιλεῖς οἱ μετ' αὐτοῦ, καὶ κατέκοψαν τοὺς γίγαντας τοὺς ἐν Ἀσταρὼθ καὶ Καρναεὶμ, καὶ ἔθνη ἰσχυρὰ ἅμα αὐτοῖς, καὶ τοὺς Ὀμμαίους ἐν Σαυὴ τῇ πόλει, καὶ τοὺς Χορραίους τοὺς ἐν τοῖς ὄρεσι Σηείρ, ἕως τῆς Τερεβίνθου τῆς Φαράν, ἥ ἐστιν ἐν τῇ ἐρήμῳ. καὶ ἀναστρέψαντες ἦλθον ἐπὶ τὴν πηγὴν τῆς κρίσεως. αὕτη ἐστὶ Κάδης. καὶ κατέκοψαν πάντας τοὺς ἄρχοντας Ἀμαλὴκ, καὶ τοὺς Ἀμορραίους τοὺς κατοικοῦντας ἐν Ἀσασονθαμάρ. μὴ ἁπλῶς παρατρέχωμεν, ἀγαπητοὶ, τὰ εἰρημένα, μηδὲ νομίσωμεν ἀνωφελῆ εἶναι τὴν διήγησιν. ἐπιτηδὲς γὰρ ἡ θεία γραφὴ μετ' ἀκριβείας ἅπαντα ἡμῖν διηγήσατο, ἵνα μάθωμεν τῶν βαρβάρων τούτων τὴν ἰσχὺν, καὶ ὅσην τὴν ἀνδρείαν ἐπεδείξαντο, καὶ μετὰ πόσης σφοδρότητος πρὸς τὸν πόλεμον ὥρμησαν, ὡς καὶ τοὺς γίγαντας, τουτ' ἔστι τοὺς ἰσχυροὺς κατὰ τὴν τοῦ σώματος ἕξιν, καταγωνίσασθαι, καὶ πάντα τὰ ἐκεῖσε οἰκοῦντα ἔθνη τροπώσασθαι. καθάπερ γὰρ χείμαρρος σφοδρῶς ἐπελθὼν ἅπαντα παρασύρει καὶ ἀπόλλυσι, τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι οἱ βάρβαροι πᾶσι τούτοις τοῖς ἔθνεσιν ἐπελθόντες, πάντας ἄρδην ἀπώλεσαν, ὡς καὶ τοὺς ἄρχοντας τῶν Ἀμαληκιτῶν καὶ τοὺς ἄλλους ἅπαντας τροπώσασθαι. ἀλλ' ἴσως εἴποι τις ἂν, καὶ τί μοι ὄφελος ἀπὸ τοῦ γνῶναι τὴν τῶν βαρβάρων τὴν ἰσχύν; οὐχ ἁπλῶς οὐδὲ εἰκῇ ἡ γραφὴ ταῦτα τῇ διηγήσει ἐγκατέμιξεν, οὐδὲ μάτην ἡμεῖς νῦν προλαβόντες παρεγγυῶμεν ὑμῖν μεμνῆσθαι τῆς τούτων ἀνδρείας· ἀλλ' ἵνα προϊούσης τῆς διδασκαλίας μάθητε καὶ τῆς τοῦ θεοῦ δυνάμεως τὴν ὑπερβολὴν, καὶ τοῦ πατριάρχου τὴν ἀρετήν. πρὸς τούτους οὖν, φησι, τοὺς τοσαύτην δύναμιν κεκτημένους, καὶ τοσαῦτα ἔθνη τροπωσαμένους ἐξῆλθε παρατάξασθαι ὁ βασιλεὺς Σοδόμων καὶ Γομόρρας καὶ Σεβοεὶμ καὶ Βαλὰκ, αὕτη ἐστὶ Σηγώρ, καὶ παρετάξαντο αὐτοῖς ἐν τῇ κοιλάδι τῇ ἁλυκῇ εἰς πόλεμον, πρὸς Χοδολλογομόρ, καὶ Θαργὰλ καὶ Ἀμαρφὰθ καὶ Ἀριώχ. οἱ τέσσαρες βασιλεῖς πρὸς τοὺς πέντε. ἡ δὲ κοιλὰς ἡ ἁλυκὴ, φρέατα ἀσφάλτου. εἶτα ἵνα μάθωμεν, πῶς καταπλαγέντες αὐτῶν τὴν ἀνδρείαν, καὶ τῆς δυνάμεως τὴν ἰσχὺν, εἰς φυγὴν ἐτράπησαν, φησιν ἡ γραφή. καὶ ἔφυγεν ὁ βασιλεὺς Σοδόμων καὶ Γομόρρας,

A Iſti enim, inquit, bellum geſſerunt
aduerſus Sodomorum regem & reli-
quos. Deinde belli cauſam etiam do-
cet, vnde principium habuerit, dicés:
4 *Duodecim annis ſeruierunt Chodollogo-*
mor, tertio autem decimo anno deſciuerunt.
5 *Quarto autem & decimo anno venit*
Chodologomor, & reges qui cum eo erant,
& trucidarunt gigantes in Aſtaroth, &
Carnaim, & gentes fortes vnà cum ipſis,
& Ommeos, qui erant in Saue ciuitate, 6
& Chorreos, qui erant in montibus Seir,
vſque ad Therebinthum Pharan, quæ eſt
in eremo.[7] *Et reuerſi venerunt ad fontem*
iudicij, ipſa eſt Cades, & occiderunt omnes
B *principes Amalec, & Amorrhæos, & habi-*
tantes in Aſoſonthamar. Ne prætereamus obiter dilecti, quæ dicta ſunt, neque putemus inutilem eſſe narrationem. Dedita enim opera diuina ſcriptura diligenter omnia nobis narrauit, vt diſcamus quantum fuerit robur, & quanta potentia barbarorum, & quanto impetu in bellum venerint, qui & gigantes, hoc eſt, proceros & fortes corpore debellarint, omnéſque gentes in fugam verterint. Nam ſicut torrens, qui valde excurrit &
C inundat, omnia ſecum rapit & perdit: ita & barbari illi inuaſerunt omnes gentes, & omnes prorſus perdiderunt, ita vt & principes Amalecitarum, & alios omnes in fugam verterint. Sed fortè dixerit quiſpiam: Et quæ vtilitas, ſcire barbarorum robur? Non temere, neque fruſtra narrationi talia immiſcuit ſcriptura diuina. Alioqui neque vos, vt eorum memores eſſetis hortaremur: ſed vt diſcatis & excellentem Dei potentiam, & patriarchę virtutem: id quod procedendo docebimus. Contra il-
D los igitur qui tanto robore præditi
erant, & tot gentes in fugam verte-
rant, 8 *Egreſſus eſt*, inquit, *in prælium*
rex Sodomorum & Gomorrhæ, & rex A-
dama, & rex Seboim, & rex Balak, ipſa
eſt Segor: & direxerunt aciem in prælium,
in Valle ſalſa, 9 *contra Chodologomor &*
Tharthac regem gentium, & Amarphath
regem Sennaar, & Arioch regem Elaſar.
Quatuor reges contra quinque. 10 *Vallis*
autem ſalſa, putei bituminis. Deinde vt diſcamus quomodo eorum robur, & magnanimitatem obſtupeſcentes, in fugam verſi ſunt, inquit: *Et fugit rex Sodomorum, & Gomorrhæ,*

& ceciderunt illic vbi fontes erant: qui autem reliqui, fugerunt in montana. Vidiſti quanto robore pollebant iſti viri? quomodo hoſtes ſuos etiam aſpectu ſuo terruerunt, & in fugam verterunt? Vide conſequenter quomodo illis fugam ineuntibus, iſti ablatis omnibus, quæ illorum erant, redierunt. [11] *Acceperunt autem*, inquit, *montana, & omnes equos Sodomorum & Gomorrhæ, & omnes commeatus eorum, & abierunt.* [12] *Acceperunt quoque & Loth filium fratris Abræ, & ſupellectilem eius, & abierunt. Habitabat enim in Sodomis.* Ecce id quod heri dicebam, id nunc euenit: nihil enim profuit Lotho, quòd potiora elegerit, ſed re ipſa didicit priores partes non appetere. Nam ex hoc non ſolum nihil vtilitatis ei accreuit, ſed ecce captiuus etiam abductus eſt, & didicit re ipſa, quòd multò ſatius ei fuiſſet vti conſuetudine iuſti, quàm ſeparatum, & in libertate viuentem in tam multas calamitates incidere. Ecce enim vt diuiſus eſt à iuſto, & putabat ſe in maiori eſſe libertate, & potiora ſe aſſecutum, & abundare, repentè factus eſt ſeruus, carens domo, carens & foco: vt diſcas quantum malum ſit diuiſio, & quantum bonum concordia: & quòd conuenit non maiora temerè capeſſere, ſed potius minoribus contentum eſſe. Tulerunt, inquit, Loth, & ſarcinas eius. Quantò melius erat eum cum patriarcha viuere, & omnia ferre, vt ne concordia ſolueretur: quàm ſeparatum, & electis potioribus, in tanta repente pericula incidere, & in barbarorum venire poteſtatem? [13] *Adueniens autem quidam*, inquit, *ex iis qui ſeruati erant, nunciauit Abræ tranſitori. Ipſe autem habitabat iuxta quercum Mambre, Omori fratris Eſchol, & fratris Aunan, qui erant coniurati Abræ.* Quomodo tantum bellum conflatum ignorauit patriarcha? Fortaſſis magna diſtantia aberat, & ideo ignorauit. Adueniens autem quidam annunciauit Abræ tranſitori. Hoc dicit, vt nos memores faciat, quomodo ex Chaldæa exierit. Nam quia trans Euphratem domicilium habuerat, dictus eſt trans fluuialis, vel tranſitor.

Malum ingens diuiſio.

A καὶ ἐνέπεσον ἐκεῖ, ἔνθα τὰ φρέατα. οἱ δὲ καταλειφθέντες εἰς τὴν ὀρεινὴν ἔφυγον. εἶδες πόση τῶν ἀνδρῶν ἡ ἰσχύς; πῶς καὶ ἐξ αὐτῆς τῆς προσόψεως καταπλαγῆναι αὐτοὺς παρεσκεύασαν, καὶ εἰς φυγὴν τραπῆναι πεποιήκασιν; ὅρα λοιπὸν πῶς μετὰ πάσης εὐκολίας, φυγάδων ἁπάντων γεγενημένων, τὰ αὐτῶν ἅπαντα λαβόντες ἐκεῖνοι ἐπανήεσαν. ἔλαβον δέ, φησι, καὶ τὴν ὀρεινὴν καὶ πᾶσαν τὴν ἵππον Σοδόμων καὶ Γομόρρας, καὶ πάντα τὰ βρώματα αὐτῶν, καὶ ἀπῆλθον. ἔλαβον δὲ καὶ τὸν Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ Ἀβραμ, καὶ τὴν ἀποσκευὴν αὐτοῦ, καὶ ἀπῴχοντο. ἦν γὰρ κατοικῶν ἐν B Σοδόμοις. ἰδοὺ ὅπερ χθὲς ἔλεγον, εἰς ἔργον ἐξέβη νῦν· ὅτι οὐδὲν ἀπώνατο ὁ Λὼτ ἀπὸ τῆς τῶν πρωτείων ἐκλογῆς, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων ἐπαιδεύετο τῶν πρωτείων μὴ ἐρᾶν. οὐ μόνον γὰρ αὐτῷ ἐκ τούτου οὐδὲν ὄφελος γέγονεν, ἀλλ' ἰδοὺ καὶ αἰχμάλωτος ἀπήχθη, καὶ ἐμάνθανε διὰ τῶν ἔργων, ὅτι πολλῷ βέλτιον ἦν αὐτῷ τῆς τοῦ δικαίου συνουσίας ἀπολαύειν, ἢ χωρισθέντι, καὶ ἐν ἐλευθερίᾳ γενομένῳ τοσούτων πειραθῆναι τῶν συμφορῶν. ἰδοὺ γὰρ ἐχωρίσθη τοῦ πατριάρχου, καὶ ἐνόμισεν ἐν πλείονι εἶναι ἀδείᾳ καὶ τῶν πρωτείων ἐπι- C τετυχηκέναι, καὶ ἐν πολλῇ τυγχάνειν τῇ εὐπορίᾳ, καὶ ἀθρόον αἰχμάλωτος, ἄοικος, ἀνέστιος γέγονεν· ἵνα μάθῃς ὅσον ἐστὶ κακὸν ἡ διαίρεσις, καὶ ὅσον ἐστὶν ἀγαθὸν ἡ ὁμόνοια· καὶ ὅτι προσήκει μὴ ἐπιπηδᾶν τοῖς μείζοσιν, ἀλλ' ἀγαπᾶν ἐλαττοῦσθαι μᾶλλον. ἔλαβον γάρ, φησι, τὸν Λώτ, καὶ τὴν ἀποσκευὴν αὐτοῦ. πόσῳ μᾶλλον βέλτιον ἦν συνεῖναι τῷ πατριάρχῃ, καὶ πάντα καταδέχεσθαι ὑπὲρ τοῦ μὴ διασπασθῆναι τὴν μεταξὺ ὁμόνοιαν, ἢ χωρισθέντα, καὶ τὰ πρωτεῖα ἐκλεξάμενον, εὐθέως τοσούτοις κινδύνοις περιβληθῆναι, καὶ ὑπὸ D βαρβάροις γενέσθαι; παραγενόμενος δέ τις, φησιν, τῶν ἀνασωθέντων ἀπήγγειλε τῷ Ἀβραμ τῷ περάτῃ. αὐτὸς δὲ κατῴκει πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ Ὀμορροῦ, τοῦ ἀδελφοῦ Ἐσχώλ, καὶ ἀδελφοῦ Αυνᾶν, οἳ ἦσαν συνωμόται τῷ Ἀβραμ. πῶς τοσούτου πολέμου συγκροτηθέντος οὐκ ἔγνω ὁ πατριάρχης; ἴσως πολὺ τὸ ἐν μέσῳ διάστημα ἐτύγχανε, δι' ὃ καὶ ἠγνόησεν. ἐλθὼν δέ τις ἀνήγγειλε τῷ Ἀβραμ τῷ περάτῃ, ἵνα ἡμᾶς ἀναμνήσῃ, ὅτι ὡς ἀπὸ τῆς Χαλδαίας ἐπανελθόντι. ἐπειδὴ γὰρ πέραν τοῦ Εὐφράτου τὴν κατοίκησιν εἶχε, διὰ τοῦτο καὶ περάτης ἐλέγετο.

καὶ ἄνωθεν καὶ ἐξ ἀρχῆς οἱ γονεῖς τὸ ὄνομα αὐτοῦ ἐπέθεντο, προμηνύοντες αὐτοῦ τὴν ἐκεῖθεν αὐτοῦ μετανάστασιν. ἐπειδὴ γὰρ πέραν ἔμελλε τὸν Εὐφράτην, καὶ ἐπὶ τὴν Παλαιστίνην ἔρχεσθαι, διὰ τοῦτο καὶ Ἀβραμ ἐκαλεῖτο. σκόπει πῶς καὶ ἄπιστοι ὄντες οἱ γονεῖς οὐκ εἰδότες, ἀλλ' ὑπὸ τῆς εὐμηχάνου θεοῦ σοφίας ὁδηγούμενοι τὸ ὄνομα ἐπέθεντο τῷ παιδί, καθάπερ καὶ ὁ Λάμεχ τῷ Νῶε. καὶ τοῦτο γὰρ τῆς τοῦ θεοῦ φιλανθρωπίας, ὃ καὶ διὰ ἀπίστων πολλάκις προμηνύεσθαι μετὰ πολὺν ἐσόμενα χρόνον. ἀπήγγειλεν οὖν ἐλθών, φησί, τις τῷ περάτῃ τὰ γεγονότα, τοῦ ἀδελφιδοῦ τὴν αἰχμαλωσίαν, καὶ τῶν βασιλέων ἐκείνων τὴν πολλὴν δυναστείαν, καὶ τὴν ἐν Σοδόμοις πόρθησιν, καὶ τὴν μετ' αἰσχύνης φυγήν. αὐτὸς δὲ κατῴκει παρὰ τῇ δρυῒ τῇ Μαμβρῆ Ομορου τοῦ ἀδελφοῦ Ἐσχὼλ καὶ Αυνᾶν, οἳ ἦσαν συνωμόται τοῦ Ἀβραμ. ἀλλ' ἴσως ἐνταῦθα ἄν τις ζητήσειε, τίνος ἕνεκεν μόνος τῶν ἐν Σοδόμοις πεφευγότων ὁ δίκαιος Λὼτ εἰς τὴν αἰχμαλωσίαν ἀπάγεται. οὐχ ἁπλῶς οὐδὲ τοῦτο, οὐδὲ εἰκῇ, ἀλλ' ἵνα μάθῃ δι' αὐτῶν τῶν πραγμάτων ὁ Λὼτ καὶ τοῦ πατριάρχου τὴν ἀρετήν, καὶ δι' αὐτὸν καὶ ἕτεροι διασωθῶσι, καὶ ἵνα παιδευθῇ μὴ τῶν πρωτείων ἐφίεσθαι, ἀλλὰ παραχωρεῖν τῶν μειζόνων. ἀκούσωμεν δὲ λοιπὸν τῶν ἑξῆς, ἵνα μάθωμεν καὶ τοῦ δικαίου τὴν ἀρετήν, καὶ τοῦ θεοῦ τὴν ἄφατον συμμαχίαν. ἀλλὰ προσέχετε μετ' ἀκριβείας τοῖς λεγομένοις, καὶ συντείνατε ὑμῶν τὴν διάνοιαν. πολλὰ γάρ ἐστι κατὰ ταυτὸν ἐντεῦθεν κερδᾶναι, καὶ ἐκ τῶν τῷ Λὼτ συμβάντων ἐκεῖθεν παιδευθῆναι μηδέποτε διαπορεῖν, εἴποτε δίκαιοι μὲν πειρασμοῖς περιπέσοιεν, φαῦλοι δὲ καὶ πονηροὶ διαφύγοιεν, μήτε ἐκ παντὸς τρόπου τὰ πρωτεῖα ἐπιζητεῖν, μήτε τῆς μετὰ τῶν δικαίων συνουσίας ἕτερόν τι προτιμότερον ἡγεῖσθαι, ἀλλὰ κἂν δουλεύειν δέοι, συνεῖναι δὲ ἐναρέτοις ἀνδράσι, τῆς ἐν ἐλευθερίᾳ εἶναι τοῦτο λυσιτελέστερον εἶναι νομίζειν. καὶ μετὰ τούτων δὲ καὶ τοῦ πατριάρχου μαθεῖν ἐντεῦθεν ἔστι τὴν πολλὴν ἀνεξικακίαν, τῆς φιλοστοργίας τὴν ὑπερβολήν, τῆς ἀνδρείας τὸ μέγεθος, τῶν χρημάτων τὴν ὑπεροψίαν, τῆς περὶ αὐτὸν τοῦ θεοῦ βοηθείας τὴν ἄφατον δύναμιν. ἀκούσας δέ, φησιν, Ἀβραμ ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς τριακοσίους δέκα καὶ ὀκτώ, καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν, καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τὴν νύκτα αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξεν αὐτοὺς ἕως Χωβάλ, ἥ ἐστιν ἀριστερᾷ Δαμασκοῦ.

Et anteà etiam ab initio parentes ei hoc nomen indiderant, iam antea ſignificantes eum inde migraturum. Vocatus enim eſt Abram, quia migraturus erat trans Euphratem, & in Palæſtinā venturus. Attende quomodo & parentes eius, licet infideles forent, ductu potentiſſimæ ſapientiæ Dei nomen puero impoſuerunt, ſicut & Lamech ſuo Noë. Eſt enim & hoc diuinę miſericordiæ, poſt multum tēpus euentura per infideles prænūtiare. Aduenies itaque quidam, inquit, nunciauit tranſitori quæ acciderant, captiuitatem videlicet filij fratris, & B regum illorum magnam potentiam, Sodomorúmque populationem, & fœdam fugam. Ipſe autem, inquit, habitabat iuxta quercum Mambre, Omori fratris Eſchol, & Aunan, qui erant coniurati Abræ. Iam fortè hîc aliquis interrogauerit: Quare cùm effugerint Sodomitæ alij, ſolus iuſtus Lot in captiuitatem abducitur? Non ſimpliciter hoc neque fruſtra: ſed vt diſcat his euētibus Lot & patriarchæ virtutem, & vt propter ipſum ſeruentur & alij, & vt doceatur primatum C non appetere, ſed maioribus cedere. Audiamus igitur conſequenter quæ ſequuntur, vt diſcamus & iuſti virtutem, & immenſum Dei ſubſidium. Verùm diligenter dictis auſcultate, mentémque recolligite. Multū enim lucrifacere hîc poterimus, & ex his quæ Lot euenerūt diſcere, nunquam ægrè ferendum, ſi quando iuſti incidant in tentationes, improbi verò & mali euadant: neque vllo modo prima quærenda, neque aliquid iuſtorum familiaritati & conuictui præferendum: & ſeruitutem apud bonos viros, libertate apud malos vtiliorem D habendam. Et interim diſcamus & patriarchæ inſignem tolerantiam, propenſum in Lot amorem & beneuolentiam, fortitudinis magnitudinem, opum contemptum, ineffabilem diuini erga illum adiutorij virtutem. 14 *Nam vt audiuit*, inquit, *Abram quòd captus eſſet Lot fratris ſui filius, numerauit proprios vernaculos ſuos trecentos decem & octo,* 15 *& perſecutus eſt illos vſque Dan, & irruit ſuper eos nocte ipſe & pueri eius, & percuſſit eos, & perſecutus eſt eos vſque Chobal, quæ eſt in ſiniſtra Damaſci.*

Et reduxit omnem equitatum Sodomorum. Et Lot filium fratris ſui reduxit, & ſubſtantiam eius, & populum, & mulieres.
Conſidera hic dilectiſſime magnanimitatem & fortitudinem iuſti, quomodo bene fiſus miſericordiæ Dei non percullus eſt animo, cùm audiſſet virorum fortitudinem, & ſtragem quam fecerant, primum in omnes gentes irruptione facta, debellatiſque Amalecitis & cæteris omnibus. Deinde quòd irruerint in Sodomitas, & in fugam ipſos verterint, omnémque eorum diripuerint ſubſtantiam. Et idcirco ſuperius hæc omnia narrauit nobis ſcriptura, & qualia ſua virtute ſtrenuè geſſerunt, vt ſcias quòd non corporali robore eos deuicerit patriarcha, ſed ſua in Deum fide, & ſuperno præſidio adiutus omnia illa geſſerit, non arma mouerit, nec tela, nec lanceas, nec arcus intenderit, nec ſcuta obiecerit, ſed ſolum cum vernaculis. Dixerit aliquis: Et quare numerauit trecentos decem ac octo vernaculos? vt ſcias quòd non vniuerſos aſſumpſit, ſed vernaculos, & qui cum Loth educati erant, vt vltionem ſponte & beneuolè facerent, vtpote ſerui pro ſuo domino certantes. Et vide obſecro miram Dei potentiam, quanta velocitate contigit victoria. Irruit enim, inquit, ſuper illos nocte, ipſe, & ſerui eius, & percuſſit eos, & perſecutus eſt eos. Erat enim manus ſuperna, quæ adiuuabat & commilitabat. Et ideo neque armis, neque machinis opus habebant: ſed tantum vt comparuit cum famulis, & alios quidem percuſſit, alios autem fugam inire fecit, & vtrũque impauidè, cùm nullus eſſet qui obturbaret, & tam equos regis Sodomorum reduxit, quàm Lot fratris ſui filium, & omnes eius ſubſtantias & mulieres. Vides quare aliis fuga elabentibus, permiſſus ſit Loth in captiuitatem venire? nempe vt & patriarchæ virtus clareſceret, & propter ipſum alij multi ſalutem aſſequerentur. Rediit autem magno & præclaro triumpho inſignis, cum Lot equos & mulieres, & cæteras ſubſtantias reducens, & clara ac plena voce prædicans, tubáque vocalius clamans, quòd non humana virtute,

Cur trecentos vernaculos ſumpſerit Abraham.

A καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων, καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ τὸν λαὸν καὶ τὰς γυναῖκας. ἐννόει μοι ἐνταῦθα, ἀγαπητέ, τὴν τοῦ δικαίου ἀνδρείας τὴν μεγαλοψυχίαν, ὅπως θαῤῥήσας τῇ τοῦ θεοῦ δυνάμει οὐ κατεπλάγη τῶν ἀνδρῶν τὴν ἰσχὺν, μαθὼν τὴν σφαγὴν ἣν ἐποιήσαντο, πρότερον μὲν κατὰ τῶν ἐθνῶν ἁπάντων ὁρμήσαντες, καὶ τοὺς Ἀμαληκίτας καὶ τοὺς λοιποὺς ἅπαντας καταγωνισάμενοι, ἔπειτα δὲ πρὸς τοὺς ἐν Σοδόμοις συμβαλόντες, καὶ εἰς φυγὴν
B αὐτοὺς τρέψαντες καὶ πᾶσαν αὐτῶν ἀφελόμενοι τὴν ὕπαρξιν. διὰ γὰρ τοῦτο προλαβοῦσα ἡ θεία γραφὴ πάντα ταῦτα ἡμῖν διηγήσατο, καὶ ὅσα διὰ τῆς αὐτῶν ἀνδρείας κατώρθωσαν, ἵνα μάθῃς ὡς οὐ σωματικῇ ἰσχύϊ ὁ πατριάρχης τούτους κατηγωνίσατο, ἀλλὰ τῇ πίστει τῇ εἰς τὸν θεὸν καὶ τῇ ἄνωθεν βοηθείᾳ τειχιζόμενος πάντα ταῦτα κατώρθωσεν, οὐχ ὅπλα κινήσας, καὶ βέλη καὶ δόρατα καὶ τόξα τείνας, καὶ ἀσπίδας προβαλλόμενος, ἀλλὰ μετὰ τῶν οἰκογενῶν. καὶ τίνος ἕνεκεν, φησὶν, ἠρίθμησε τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς; ἵνα μάθῃς, ὅτι οὐχ ἁπλῶς ἅ-
C παντας ἔλαβεν, ἀλλὰ τοὺς οἰκογενεῖς τοὺς συνανατραφέντας τῷ Λὼτ, ἵνα μετὰ πολλῆς εὐνοίας τὴν ἐκδίκησιν ποιήσωνται, ὡς ὑπὲρ οἰκείου δεσπότου λοιπὸν ἀγωνιζόμενοι. καὶ θέα μοι τῆς δυνάμεως τοῦ θεοῦ τὴν ὑπερβολὴν, μεθ' ὅσης ταχύτητος τὰ τῆς νίκης γεγένηται. ἐπέπεσε γὰρ αὐτοῖς, φησὶ, τὴν νύκτα αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξεν αὐτοὺς, καὶ ἐδίωξεν αὐτούς. ἡ γὰρ ἄνωθεν χεὶρ ἦν συνεφαπτομένη καὶ συστρατηγοῦσα τοῖς γινομένοις. διὸ οὐδὲ ὅπλων αὐτοῖς ἐδέησεν οὐδὲ μηχανημάτων, ἀλλὰ μόνον φανεὶς μετὰ τῶν οἰκετῶν τοὺς μὲν ἐπάταξε,
D τοὺς δὲ εἰς φυγὴν ὁρμῆσαι παρεσκεύασε, καὶ ἑκάτερον ἐποίησε μετ' ἀδείας ἁπάσης οὐδενὸς ὄντος τοῦ ἐνοχλοῦντος. τήν τε ἵππον τοῦ βασιλέως Σοδόμων ἀπέστρεψε, καὶ τὸν Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα, καὶ τὰς γυναῖκας. ὁρᾷς διὰ τί συνεχωρήθη τῶν ἄλλων πεφευγότων ὁ Λὼτ μόνος αἰχμάλωτος γενέσθαι, ἵνα καὶ τοῦ πατριάρχου κατάδηλος γένηται ἡ ἀρετὴ, καὶ δι' αὐτὸν καὶ ἕτεροι πολλοὶ τῆς σωτηρίας ἐπιτύχωσι. καὶ ἐπανήει λοιπὸν μέγα καὶ λαμπρὸν τρόπαιον ἐπαγόμενος, μετὰ τοῦ Λὼτ καὶ τὴν ἵππον καὶ τὰς γυναῖκας καὶ τὰ ὑπάρχοντα ἐπιφερόμενος, καὶ πᾶσι λαμπρᾷ τῇ φωνῇ κηρύττων καὶ σάλπιγγος μεγαλοφωνότερον βοῶν, ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει

οὐδὲ ἰσχύϊ σωματικῇ τὴν ἧτταν εἰργάσατο, καὶ τὴν νίκην A ἤρατο, ἀλλὰ τῆς ἄνωθεν χειρὸς πάντα ἐργαζομένης. εἶδες διὰ πάντων τὸν δίκαιον περιφανέστερον γινόμενον, καὶ καθ' ἑκάστην ἡμέραν πᾶσι δηλοῦντα τὴν περὶ αὐτὸν τοῦ θεοῦ πρόνοιαν; ὅρα αὐτὸν λοιπὸν καὶ διδάσκαλον θεοσεβείας γενέσθαι σπουδάζοντα τοῖς ἐν Σοδόμοις. ἐξῆλθε γάρ, φησιν, ὁ βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτῷ μετὰ τὸ ἀναστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογομὸρ καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ. σκόπει πόσον ἐστὶν ἡ ἀρετή, καὶ τὸ τῆς παρὰ τοῦ θεοῦ συμμαχίας ἀπολαύειν. ὁ βασιλεὺς τῷ ξένῳ, τῷ πρεσβύτῃ εἰς συνάντησιν ἔξεισι, καὶ πᾶσαν ἀπονέμει τιμήν. ἐμάνθανε γὰρ ὡς οὐδὲν B αὐτῷ τῆς βασιλείας ὄφελος τῆς ἄνωθεν συμμαχίας ἠρημωμένῳ, καὶ ὡς οὐδὲν ἂν γένοιτο δυνατώτερον τοῦ ὑπὸ τῆς τοῦ θεοῦ χειρὸς βοηθουμένου. καὶ Μελχισεδὲκ, φησι, βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ οἶνον. ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου. τί βούλεται ἡμῖν αὕτη ἡ παρατήρησις, βασιλεὺς Σαλήμ, καὶ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου; βασιλεὺς μὲν ἦν, φησι, τῆς Σαλήμ. τοῦτον γὰρ καὶ ὁ μακάριος Παῦλος πρὸς τοὺς ἐξ Ἑβραίων πεπιστευκότας ἐπιστέλλων εἰς μέσον παράγων, καὶ τὸ ὄνομα αὐτοῦ περιστρέφων καὶ πόλιν, ὁμοῦ ἑρμηνεύει τοῦ ὀνόματος τὴν σημασίαν, C καὶ ἐτυμολογίᾳ τινὶ κέχρηται λέγων, Μελχισεδὲκ βασιλεὺς δικαιοσύνης. καὶ γὰρ κατὰ τὴν Ἑβραϊκὴν γλῶτταν τὸ μὲν Μελχὶ βασιλείαν σημαίνει, τὸ δὲ σεδὲκ δικαιοσύνην. εἶτα καὶ εἰς τὸ ὄνομα τῆς πόλεως ἐλθὼν φησι, βασιλεὺς εἰρήνης. τὸ γὰρ Σαλὴμ εἰρήνην ἐμφαίνει. ἱερεὺς δὲ ἦν ἴσως αὐτοχειροτόνητος. οὕτω γὰρ ἦσαν τότε οἱ ἱερεῖς. ἤτοι οὖν διὰ τὸ τῇ ἡλικίᾳ προβεβηκέναι οἱ προσήκοντες αὐτῷ ἀπονενεμήκασι τὴν τιμήν· ἢ καὶ αὐτὸς ἱερατεύειν ἐπετήδευσε, καθάπερ ὁ Νῶε, καθάπερ ὁ Ἄβελ, καθάπερ ὁ Ἀβραάμ, ἡνίκα τὰς θυσίας προσῆγον. ἄλλως δὲ καὶ τύπος ἔμελλεν εἶναι D τοῦ Χριστοῦ. διὰ τοῦτο, καὶ Παῦλος οὕτως αὐτὸν ἐκλαμβάνει λέγων· ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἔχων ἡμερῶν, μήτε ζωῆς τέλος· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκές. καὶ πῶς, φησιν, οἷόν τε ἄνθρωπον ὄντα ἀπάτορα εἶναι καὶ ἀμήτορα, καὶ μήτε ἀρχὴν ἡμερῶν ἔχειν, μήτε ζωῆς τέλος; ἤκουσας ὅτι τύπος ἦν. μὴ τοίνυν ξενίζου, μηδὲ πάντα ἀπαίτει ἐν τῷ τύπῳ. οὐδὲ γὰρ ἂν εἴη τύπος, εἰ μέλλοι πάντα ἔχειν τὰ τῇ ἀληθείᾳ συμβαίνοντα.

neque corporali robore & illos fugarit, & victor euaſerit: ſed ſuperna manu faciente omnia. Vidiſti per omnia iuſtum clariorem fieri, & quotidie magis declarari Dei erga eum prouidentiam? Vide conſequenter, quomodo ſtudet vt Sodomitis diuini cultus doctor fiat. Dicit enim: 17 *Egreſſus eſt rex Sodomorum in occurſum ei, poſtquam reuerſus eſt à ſtrage Chodologomor, & regum qui cum illo.* Attende quanti ſit virtus, & quod aliquis diuino fruatur auxilio. Rex peregrino & ſeni in occurſum egreditur, & omnem honorem impendit. Iam enim didicerat, quòd nihil profit regnum ei, qui ſuperno auxilio eſt deſtitutus: & quòd nihil potentius ſit eo, qui manu Dei adiuuatur. 18 *Et Melchiſedec*, inquit, *rex Salem protulit panes & vinum. Erat autem ſacerdos Dei altiſſimi.* Quid ſibi vult hæc obſeruatio rex Salem, & ſacerdos Dei altiſſimi? Rex quidem dem erat Salem. Illum enim nobis & beatus Paulus, ſcribens ad eos qui ex Hebræis crediderant, cùm in medium adduxiſſet, & nomen eius tractaret, ciuitatem ſimul interpretatur, cum ſignificatione nominis eius, vſus etymologia quadam: Melchiſedech, rex iuſtitiæ. Nam iuxta Hebraicam linguam, Melchi regnum ſignificat: & ſedech, iuſtitiam. Et cùm ad nomen ciuitatis venit, rex pacis, inquit. Salem enim idem quod pax eſt. Sacerdos autem erat, fortè à ſemetipſo ordinatus: ſic enim tunc erant ſacerdotes: vel quòd quia ætate prouectior erat, à ſuis colebatur: vel quòd & ipſe ſacrificare ſtuduit, ſicut & Noë, Abel, Abram, quando ſacrificia obtulerunt. Alioquin & typus Chriſti futurus erat: vnde & Paulus ſic eum accipit dicens dicit: Abſque patre, abſque matre, abſque genealogia, neque initium dierum, neque vitæ finem habens: aſſimilatus autem filio Dei, manet ſacerdos in perpetuum. Et quomodo, dicis, poſſibile eſt hominem abſque patre, & matre, & genealogia eſſe, & non habere vel initium, vel finem vitæ? Audiſti, quòd figura fuit: ne ergo admirare, neque omnia require in typo. Neque enim typus eſſet, ſi omnia, quæ veritati accidunt, haberentur.

Hebr. 7.

Hebr. 6. 3.

Quid igitur eſt quod ibi dicitur? Sicut ille, inquit, eo quòd non ſit memoria eorum qui genuerunt, dicitur ſine patre & ſine matre: & quia non recenſetur eius genealogia, dicitur ſine genealogia: ita & Chriſtus, quia non habet vel in cœlo matrem, vel in terra patrem, abſque genealogia dicitur & eſt. Vide propter honorem in patriarcham collatum, quomodo ſacramentum inſinuatur. Protulit enim panem & vinum. Videns typum, cogita oro, & veritatem, & admirare diuinarum ſcripturarum accuratam diligentiam, quomodo ſuperioribus ſeculis & ab initio futura præſignata ſint.[19] *Et benedixit,* inquit, *Abramum, & dixit: Benedictus Abram Deo altiſſimo, qui condidit coelum & terram:*[20] *& benedictus Deus altiſſimus, qui tradidit inimicos tuos in manus tuas.* Non ſolum ipſum benedixit, ſed & Deum glorificauit. Vt dixit enim, Benedictus Abram Deo altiſſimo, qui condidit cælum & terram, & à creaturis virtutem Dei nobis declarat. Si enim Deus eſt ille qui produxit cœlum & terram, nō ſunt iam dij qui ab hominibus colūtur: Dij enim, inquit, qui cœlum & terram non fecerunt, pereant: Benedictus, inquit, Deus, qui tradidit inimicos tuos in manus tuas. Vide oro, quomodo non ſolùm iuſtū prædicat, ſed & Dei ſubſidium agnoſcit. Neque enim abſque illius gratia potuiſſet tanta potentia munitos vincere. Qui tradidit, inquit, ipſe eſt qui totum operatus eſt, ipſe eſt qui fortes fecit infirmos, ipſe eſt qui per inermes armatos deiecit: ab eo eſt auxilium, quod tantam tibi virtutem conceſſit, qui tradidit, inquit, inimicos tuos in manus tuas. Vides quomodo oſtendit ipſius concordiam, & propenſum amorem in Lot, quòd pro ſuis propriis inimicis iſtos habuit, propterea, quæ in fratris filium fecerant? Et dedit ei, inquit, decimas de omnibus. Hoc & Paulus dicit: Conſiderate autem quantus ille, cui decimas Abram dedit de primitiis patriarcha, videlicet ex ſpoliis quæ adduxit, remuneratus eſt Melchiſedecem, & decimas ei ſegregauit de omnibus quæ attulit. Per hoc doctor factus omnibus, vt declarantes gratitudinem, pri-

Hier.10.11.

Hebr.7.

A τί οὖν ἐστι τὸ εἰρημένον; ὥσπερ οὗτος, φησι, διὰ τὸ μὴ μνημονευθῆναι τοὺς γεγεννηκότας αὐτὸν, ἀπάτωρ λέγεται καὶ ἀμήτωρ, καὶ διὰ τὸ μὴ γενεαλογηθῆναι, ἀγενεαλόγητος· οὕτω καὶ ὁ Χριστὸς, διὰ τὸ μὴ ἐσχηκέναι μήτε ἐν οὐρανοῖς μητέρα, μήτε ἐπὶ τῆς γῆς πατέρα, ἀγενεαλόγητος λέγεται καὶ ἐστι. ὅρα διὰ τὴν εἰς τὸν πατριάρχην τιμὴν, ὅπως μυστήριόν τι ἡμῖν δι' αὐτῆς αἰνίττεται. ἐξήνεγκε γὰρ ἄρτους καὶ οἶνον. ὁρῶν τὸν τύπον νόει μοι τὴν ἀλήθειαν, καὶ θαύμαζε τῆς θείας γραφῆς τὴν δύναμιν, πῶς ἄνωθεν καὶ ἐκ προοιμίων τὰ μέλλοντα ἔσεσθαι προεμήνυε. καὶ εὐλόγησέ, φησι, τὸν Ἀβραμ καὶ εἶπεν· εὐλογητὸς

B Ἀβραμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ εὐλογητὸς ὁ θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. οὐ μόνον αὐτὸν εὐλόγησεν, ἀλλὰ καὶ τὸν θεὸν ἐδόξασεν. εἰπὼν γὰρ εὐλογητὸς Ἀβραμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἀπὸ τῶν δημιουργημάτων τοῦ θεοῦ τὴν δύναμιν ἡμῖν ἀνέφηνεν. εἰ γὰρ αὐτός ἐστι θεὸς, ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν παραγαγὼν, οἱ ὑπὸ τῶν ἀνθρώπων θεραπευόμενοι οὐκ ἂν εἶεν θεοί. θεοὶ γάρ, φησιν, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· εὐλογητός φησιν ὁ θεὸς, ὃς παρέδωκε τοὺς

C ἐχθρούς σου ὑποχειρίους σοι. θέα μοι πῶς οὐ μόνον τὸν δίκαιον ἀνακηρύττει, ἀλλὰ καὶ τοῦ θεοῦ τὴν συμμαχίαν ἐπιγινώσκει. οὐδὲ γὰρ ἄνευ τῆς ἐκεῖθεν ῥοπῆς ἠδυνήθη τῶν τοσούτων δυναστειῶν περιβεβλημένων περιγενέσθαι, ὃς παρέδωκέ, φησι, τοὺς ἐχθρούς σου· αὐτός ἐστιν ὁ τὸ πᾶν ἐργασάμενος, αὐτός ἐστιν ὁ τοὺς ἰσχυροὺς ἀσθενεῖς καταστήσας, αὐτός ἐστιν ὁ διὰ τῶν ἀόπλων τοὺς ὡπλισμένους κατενεγκὼν, ἐκεῖθέν ἐστιν ἡ ῥοπὴ ἡ τοσαύτην σοι τὴν δύναμιν παρασχομένη. ὃς παρέδωκέ, φησι, τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. ὁρᾷς πῶς δεί-

D κνυσιν αὐτοῦ τὴν ὁμόνοιαν καὶ τὴν φιλοστοργίαν τὴν περὶ τὸν Λὼτ, καὶ πῶς ἐμφαίνει, ὅτι καὶ ὁ Ἀβραὰμ οἰκείους αὐτοὺς ἐχθροὺς ἡγεῖτο διὰ τὰ εἰς τὸν ἀδελφιδοῦν γεγενημένα; καὶ ἔδωκεν αὐτῷ, φησι, δεκάτην ἀπὸ πάντων. τοῦτο καὶ Παῦλός φησι· θεωρεῖτε δὲ, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης. δηλονότι ἐκ τῶν λαφύρων, ὧν ἐπήγετο, ἠμείψατο τὸν Μελχισεδὲκ, καὶ δεκάτην αὐτῷ ἀφώρισεν ἀπὸ πάντων ὧν ἐπεφέρετο, ἐντεῦθεν ἤδη διδάσκαλος ἅπασι γενόμενος πολλὴν ἐπιδείκνυσθαι εὐγνωμοσύνην, καὶ

τὰς ἀπαρχὰς προσάγειν τῶν παρὰ τοῦ θεοῦ ἡμῖν πα- A
ρασχεθέντων. εἶτα ἐκπλαγεὶς τοῦ πατριάρχου τὴν
μεγαλοψυχίαν, ὁ βασιλεὺς Σοδόμων φησὶ πρὸς
αὐτόν· δός μοι τοὺς ἄνδρας, τὴν δὲ ἵππον λάβε σεαυτῷ.
καλὴ τοῦ βασιλέως ἡ εὐγνωμοσύνη· ἀλλ' ὅρα τοῦ δι-
καίου τὴν φιλοσοφίαν. εἶπε δὲ Ἀβραμ πρὸς τὸν βα-
σιλέα Σοδόμων· ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν
τὸν ὕψιστον, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, εἰ ἀπὸ
σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος λήψο-
μαι ἀπὸ πάντων τῶν σῶν, ἵνα μὴ εἴπῃς, ὅτι ἐγὼ πε-
πλούτικα τὸν Ἀβραμ. πολλὴ τοῦ πατριάρχου ἡ πε-
ρὶ τὰ χρήματα ὑπεροψία. καὶ τίνος ἕνεκεν μεθ' ὅρκου
τὴν ἀπαγόρευσιν ποιεῖται, καί φησιν, ἐκτενῶ τὴν B
χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν
οὐρανὸν καὶ τὴν γῆν; ἀμφότερα βούλεται παι-
δεῦσαι τὸν τῶν Σοδόμων βασιλέα, καὶ ὅτι κρείτ-
των ἐστὶ τῶν παρ' αὐτοῦ δεδομένων, καὶ πολλὴν ἐπι-
δείκνυται τὴν φιλοσοφίαν, καὶ θεοσεβείας αὐτῷ
διδάσκαλος γενέσθαι σπουδάζει, μονονουχὶ διδά-
σκων αὐτόν, ὅτι ἐκεῖνόν σοι παρέχω μάρτυρα, ὅτι
οὐδὲν τῶν παρὰ σοῦ λήψομαι, τὸν ἁπάντων δη-
μιουργόν, ἵνα εἰδέναι ἔχοις τὸν ἐπὶ πάντων θεόν, καὶ
μὴ νομίσῃς εἶναι θεοὺς τὰ ὑπὸ χειρῶν ἀνθρώπων
κατασκευαζόμενα. οὗτος γὰρ ὁ οὐρανοῦ καὶ γῆς C
ποιητής, αὐτὸς καὶ πόλεμον τοῦτον ἐξεπώσατο,
καὶ τῆς νίκης αἴτιος κατέστη. μὴ τοίνυν προσδο-
κήσῃς ἐμὲ ἀνέξεσθαί τι λαβεῖν τῶν παρὰ σοῦ διδο-
μένων. οὐδὲ γὰρ ἐπὶ μισθῷ τὴν ἐκδικίαν ἐ-
ποιησάμην· ἀλλὰ πρότερον μὲν διὰ τὴν
περὶ τὸν ἀδελφιδοῦν φιλοστοργίαν· ἔπειτα δὲ καὶ
δι' αὐτὴν τοῦ δικαίου τὴν φύσιν, ὥστε τοὺς ἀδί-
κως ἀπηγμένους ἐξαρπάσαι τῶν βαρβαρικῶν χει-
ρῶν. εἰ ἀπὸ σπαρτίου, φησίν, ἕως σφαιρωτῆ-
ρος λήψομαι ἀπὸ πάντων τῶν σῶν, τουτέστιν, οὐδὲ
τὸ τυχὸν οὐδὲ τὸ εὐτελὲς οὐδὲ τὸ εὐκαταφρόνητον D
νομιζόμενον. καὶ γὰρ σφαιρωτῆρα εἰώθασι λέγειν
τὸ ἄκρον τοῦ ὑποδήματος τὸ εἰς ὀξὺ λῆγον. τοιού-
τοις γὰρ ἔθος ἔχουσι κεχρῆσθαι οἱ βάρβαροι. εἶτα
καὶ τὴν αἰτίαν τῆς παραιτήσεως, φησιν, ἵνα μὴ
εἴπῃς, ἐγὼ πεπλούτικα τὸν Ἀβραμ. ἔχω τὸν χο-
ρηγὸν τῶν μυρίων ἀγαθῶν, πολλῆς ἀπολαύω τῆς
ἄνωθεν ῥοπῆς, οὐ δέομαι τοῦ παρὰ σοῦ πλούτου, οὐ
χρήζω ἀνθρωπίνης εὐπορίας, ἀρκοῦμαι τῇ παρὰ
θεοῦ εἰς ἐμὲ φιλοτιμίᾳ, οἶδα αὐτοῦ τὸ δαψιλὲς τῶν
δωρεῶν. τῶν μικρῶν καὶ εὐτελῶν παραχωρήσας τῷ
Λὼτ, μεγάλων καὶ ἀπορρήτων ἠξιώθην ὑποσχέσεων·

mitias eorum quæ ſibi à Deo conceduntur, offerant. Poſt hæc Sodomorum rex patriarchæ magnanimitatem obſtupeſcens dicit ei : [18] *Da mihi viros, equitatum autem tolle tibi.* Honeſta regis gratitudo, ſed vide & optimos mores iuſti. [22] *Dixit autem Abram regi Sodomorum : Extendam manum meam ad Deum altiſsimum, qui fecit coelum, & terram,* [23] *ſi à funiculo vſque ad ſphæroterem calceamenti accipiam de omnibus tuis : vt ne dicas, Ego ditaui Abram.* Magna patriarchæ in contemnendis diuitiis virtus. Et cuius gratia abiurat, & dicit : Extendam manum meam ad Deum altiſſimum, qui fecit cœlum & terram ? Duo ſimul docere vult Sodomorum regem, ſe minimè capi donis, quæ ab ipſo offerebantur, & vitæ honeſtæ formam indicare velle, ac pietatis doctorem ei fieri ſtudere, quaſi doceat eum dicens : Illum tibi teſtem adhibeo, quòd nihil tuarum rerum accipiam, illum qui omnium eſt conditor, vt ſcire poſſis Deum omnium, & ne credas eſſe deos ea quæ ab hominum manibus fabricantur. Ille enim cœli & terræ conditor, ille & nobis in hoc bello victoriæ & triumphi author. Ne igitur expectes me permiſſurum, vt mihi des quippiam. Neque enim mercedis gratia vindictam feci, ſed primùm ob amoris affectum, quem erga fratris mei filium gero : deinde & propter ipſius iuſtitiæ officium, vt è barbarorum manibus eriperem iniuſtè abductos. Si à funiculo, inquit, vſque ad ſphęroterem calcei accipiam de tuis omnibus, hoc eſt, nihil tam vile, nec tam contemptibile exiſtimatum quod accipiã. Nam ſphæroterem ſolent vocare apicem calcei, qui in acumen deſinit : quo calceorum genere barbari conſueuerunt vti. Exin & cauſam, quare accipere detrectet, dicit : Vt ne dicas : Ego locupletaui Abram. Habeo Deum, qui innumera mihi ſuppeditet bona, ſuperno innitor auxilio : non opus mihi diuitiis tuis, non indigeo humanis facultatibus, contentus ſum Dei in me beneficentia. Scio illius largitatem. Paucis & vilibus ceſſi meo Lot, magnas & ineffabiles promiſſiones aſſecutus ſum,

& nunc maiorum diuitiarum negotiatio mihi eſt, & maiorem eius gratiam mihi concilio, quare opes tuas non accipio. Ideo autem opinor & iuramentum adhibuit, & dixit: Extendam manum meam ad Deum altiſſimum, vt ne putet eum ita ſimulare, vt probabile eſt ſæpe contingere: ſed vt ſciat hoc ita planè decretum apud Abram, vt ne vel minimum quid inde ſibi ſeligeret. Atque ita implebat mandatum illud, quod à Chriſto diſcipulis eſt dictum:
Matth. 10. 8. Gratis accepiſtis, gratis date. Num enim ego, inquit, aliud quid ad belli rem attuli, præterquam voluntatem & promptitudinem? Victoriam autem, & triumphum, ac cætera operatus eſt ille inuiſibili virtute. Deinde vt ne putet rex, quòd propter contemptum & deſpectionem, quæ ab eo dabantur non acciperet, declarãs ſuam & in hoc humanitatem, & bene moratam mentem, inquit, [24] *Non accipiam, exceptis iis quæ comederunt iuuenes, & portione virorum qui mecum venerunt, Eſchol, Aunan, Mambre, ij accipient portionem.* hos, inquit, permittam accipere portionem aliquam, quoniam ingentis amicitiæ ſpecimen declararunt. Hi enim erant, inquit, cõiurati Abræ: hoc eſt, amicitia coniuncti: quod oſtendit, quia voluerunt periclitari cum eo. Vnde remunerare volens eos, facit vt partem aliquam accipiant, Apoſtolicam legem etiam in
Matth. 10.10. Lucæ 10. 7. hoc implens, quæ dicit: Dignus eſt operarius alimento ſuo. Nihil enim vltra vſum ſuum accipere permittit. Dicit enim: Exceptis iis quæ comederunt iuuenes, & portione eorum, qui mecum venerunt, Eſchol, Aunan, Mambre, ij accipient portionem. Vidiſti exquiſitam patriarchæ virtutem, quomodo & philoſophiam exercuerit, opes contemnendo, & modeſtiam præ ſe ferendo, vt nihil per arrogantiam & contemptum facere videatur, neque è victoria ſu-
Moralis exhortatio. perbiat? Talem imitemur & nos, obſecro, & operam demus, vt inuictos nos cuſtodiamus, & neque prætextu virtutis ſuperbiæ famam acquiramus, neque prætextu modeſtiæ virtutem negligamus: ſed vbique modum ſeruemus, & bonis operibus noſtris humilitatem, quaſi

A καὶ νῦν μείζονα πλοῦτον ἑαυτῷ πραγματευόμενος, καὶ πλείονα τὴν παρ' αὐτοῦ εὔνοιαν ἐπισπώμενος, τὸν παρὰ σοῦ πλοῦτον οὐ προσίεμαι. διὰ τοῦτο δὲ ὡς οἶμαι καὶ τὸν ὅρκον προσέθηκε καὶ εἶπεν, ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ἵνα μὴ νομίσῃ ἁπλῶς αὐτὸν σχηματίζεσθαι, οἷα συμβαίνειν εἰκός· ἀλλ' ἵνα μάθῃ ὅτι τοῦτο αὐτῷ δέδοκται, τὸ μηδὲ τὸ τυχὸν ἐκεῖθεν νοσφίσασθαι. καὶ ἐπλήρου τὸ παράγγελμα ἐκεῖνο τὸ παρὰ τοῦ Χριστοῦ τοῖς μαθηταῖς εἰρημένον· δωρεὰν ἐλάβετε, δωρεὰν δότε. μὴ γὰρ ἐγώ τι πλεῖον, φησιν, εἰσήνεγκα εἰς τὴν
B τοῦ πολέμου ὑπόθεσιν, ἢ μόνον τὴν γνώμην καὶ τὴν προθυμίαν; τὴν δὲ νίκην καὶ τὸ τρόπαιον καὶ τὰ ἄλλα πάντα αὐτὸς εἰργάσατο τῇ ἀοράτῳ δυνάμει. εἶτα ἵνα μὴ νομίσῃ ὁ βασιλεὺς, ὅτι δι' ὑπεροψίαν καὶ καταφρόνησιν οὐ προσίεται τὰ παρ' αὐτοῦ διδόμενα, δεικνὺς αὐτοῦ καὶ ἐν τούτῳ τὸ ἥμερον, καὶ τῆς γνώμης τὸ φιλόσοφον, φησιν· οὐ λήψομαι πλὴν ὧν ἔφαγον οἱ νεανίσκοι, καὶ τῆς μερίδος τῶν ἀνδρῶν τῶν συμπορευθέντων μετ' ἐμοῦ, Εσχὼλ, Αυνὰν, Μαμβρῆ. οὗτοι λήψονται μερίδα. τούτοις, φησὶ, συγχωρήσω λαβεῖν τινα μερίδα, ἐπειδὴ πολλῆς φιλίας τεκμήρια ἐπεδείξαντο. οὗτοι
C γὰρ συνωμόται τῷ Αβραμ, τουτ' ἔστιν εἰς φιλίαν συνημμένοι, καὶ τοῦτο δείκνυσι τὸ ἑλέσθαι αὐτοὺς κοινωνῆσαι αὐτῷ τῶν κινδύνων. διὰ τοῦτο καὶ αὐτὸς ἀμειβόμενος αὐτοὺς παρασκευάζει μερίδα τινὰ λαβεῖν, καὶ ἐν τούτῳ πάλιν τὸν ἀποστολικὸν νόμον πληρῶν τὸν λέγοντα, ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. οὐδὲ γάρ τι πλέον τῆς χρείας αὐτοὺς λαβεῖν ἀφίησι. πλὴν γάρ, φησιν, ὧν ἔφαγον οἱ νεανίσκοι, καὶ τῆς μερίδος τῶν συμπορευθέντων μετ' ἐμοῦ, Εσχὼλ, Αυνὰν, Μαμβρῆ, οὗτοι λήψονται μερίδα. ἴδετε τῆς ἀρετῆς τοῦ πατριάρ-
D χου τὴν ἀκρίβειαν, πῶς καὶ τὴν φιλοσοφίαν ἐπεδείξατο τὴν περὶ τὴν ὑπεροψίαν τῶν χρημάτων, καὶ τὴν ταπεινοφροσύνην, καὶ πάντα ποιεῖ, ὥστε μὴ δόξαι ἀλαζονείᾳ τινὶ καὶ καταφρονήσει τοῦτο πεποιηκέναι, καὶ διὰ τοῦτο μέγα φρονεῖν ἐπὶ τῇ νίκῃ τῇ γεγενημένῃ; τοῦτο δὴ καὶ ἡμεῖς μιμώμεθα, Ἠθικόν
παρακαλῶ, καὶ σπουδάζωμεν ἀλήπτους ἑαυτοὺς φυλάττειν, καὶ μήτε προφάσει τῆς ἀρετῆς ἀπονοίας ἑαυτοῖς περιτιθέναι δόξαν, μηδὲ προφάσει ταπεινοφροσύνης τῆς ἀρετῆς καταμελεῖν· ἀλλὰ πανταχοῦ τὸ μέτρον διασώζειν, καὶ τοῖς κατορθώμασι τοῖς ὑφ' ὑμῶν γινομένοις καθάπερ

θεμέλιόν τινα καὶ ὑποβάθραν τῆς ταπεινοφροσύνης ὑποστῆναι, ἵνα μετ' ἀσφαλείας ἡμῖν οἰκοδομῆται τὰ τῆς ἀρετῆς. τοῦτο γὰρ ἀρετὴ, ὅταν ἔχῃ ταύτην συνεζευγμένην. ὁ γὰρ τοῦτον μετ' ἀσφαλείας τὸν θεμέλιον καταβαλλόμενος δυνήσεται πρὸς ὅσον βούλεται ὕψος ἐγεῖραι τὴν οἰκοδομήν. αὕτη μεγίστη ἀσφάλεια, αὕτη τεῖχος ἀῤῥαγὲς, αὕτη πύργος ἀκαταμάχητος, αὕτη πᾶσαν συσφίγγει τὴν οἰκοδομὴν, οὐκ ἀφιεῖσα οὔτε ὑπὸ ἀνέμων σφοδρότητος, οὔτε ὑπὸ τῆς τῶν ὄμβρων φορᾶς, οὔτε ὑπὸ τῆς τῶν πνευμάτων βίας αὐτὴν καταπεσεῖν, ἀλλ' ἀνωτέραν καθίστησι πάσης ἐπιβουλῆς, καὶ καθάπερ ἐξ ἀδάμαντός τινος κατεσκευασμένην, οὕτως αὐτὴν ἀχείρωτον ἐργάζεται, καὶ μεγάλας ἡμῖν ἀμοιβὰς παρὰ τῆς τοῦ φιλανθρώπου θεοῦ δωρεᾶς ἐφέλκεται· δι' ἧς ὁ πατριάρχης τοσούτων τῶν ἐπαγγελιῶν τῶν θεοῦ τὸ μέγεθος ἐδέξατο. εἴσεσθε γὰρ τοῦ θεοῦ ἐπιτρέποντος καὶ ἐκ τῆς ἀκολουθίας τῶν ἑξῆς μελλόντων ῥηθήσεσθαι, πῶς καὶ νῦν ὑπεριδὼν τῶν παρὰ τοῦ βασιλέως Σοδόμων αὐτῷ διδομένων, μεγάλων καὶ ἀφάτων ἠξιώθη τῶν τοῦ θεοῦ δωρεῶν. διὰ ταύτης οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τῶν ἄλλων δικαίων ἕκαστος εὐδοκίμησε. καὶ τοῦτο, ὅσοι φιλόπονοι περὶ τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν ἐστε, δυνήσεσθε καταμαθεῖν πανταχοῦ γινόμενον. ὁ γὰρ φιλάνθρωπος ἡμῶν δεσπότης, ὅταν ἴδῃ ὑπερορῶντας ἡμᾶς τῶν παρόντων, μετ' δαψιλείας ταῦτα παρέχει, καὶ τῶν μελλόντων ἡμῖν ἀγαθῶν τὴν ἀπόλαυσιν ταμιεύεται. καὶ τοῦτο καὶ ἐπὶ χρημάτων, καὶ ἐπὶ τῆς δόξης τοῦ παρόντος βίου, καὶ ἐπὶ πάντων τῶν ἐπικήρων πραγμάτων ἐστὶν ἰδεῖν γινόμενον. καταφρονῶμεν τοίνυν τοῦ παρόντος πλούτου, ἵνα τὸν ἀληθῆ πλοῦτον εὑρεῖν δυνηθῶμεν· ὑπερίδωμεν τῆς κενῆς ταύτης δόξης, ἵνα τῆς ἀληθοῦς ἐκείνης καὶ βεβαίας ἀπολαύσωμεν· καταγελάσωμεν τῆς παρούσης εὐημερίας, ἵνα τῶν ἀποῤῥήτων ἐκείνων ἀγαθῶν ἐπιτύχωμεν. μηδὲν ἡγώμεθα τὰ παρόντα, ἵνα πρὸς τὸν τῶν μελλόντων πόθον διεγερθῆναι δυνηθῶμεν. οὐδὲ γὰρ οἷόν τε τὸν τοῖς παροῦσι προσηλωμένον, ἐκείνων τῶν ἀποῤῥήτων ἀγαθῶν τὸν πόθον καταδέξασθαί ποτε, καθάπερ λήμης τινὸς τοῖς ὀφθαλμοῖς τοῦ σώματος ἐπικειμένης, οὕτω τῆς τῶν παρόντων ἐπιθυμίας σκοτούσης τὸν λογισμὸν, καὶ οὐκ ἀφιείσης συνιδεῖν τι τῶν δεόντων. οὐδ' αὖ πάλιν δυνατὸν τὸν περὶ ἐκεῖνα τὰ ἀκίνητα καὶ βέβαια ἀγαθὰ τὸν πόθον ἔχοντα, τούτων τῶν ἐπικήρων, καὶ πρὶν ἢ φανῆναι, ἀφιπταμένων καὶ μαραινομένων ἐπιθυμίαν τινὰ

A fundamentum & baſim ſubſtruamus: vt ſecurè virtutes ſuperextruere valeamus. Virtus enim non eſt, niſi coniunctam habeat humilitatem. Qui hoc fundamentum rectè iecerit, poterit in quantam voluerit altitudinem ſtructuram excitare. Hæc maxima eſt munitio, hęc murus inconcuſſus, hæc inexpugnabilis turris, hæc omne continet ædificium, non ſinens ipſum vel à ventorum violentia, vel ab imbrium impetu, vel à ventorum vi deiici: ſed omnibus inſidiis inacceſſum facit & inuictum, quaſi ex adamante conſtructum eſ-
B ſet, magnáſque nobis diuinæ largitatis retributiones affert. Per hanc & patriarcha tantarum promiſſionum accepit magnitudinem. Scietis enim, permittente Deo, & ex iis quæ in contextu dicentur, quomodo nunc, vt contempſit ea quæ daturus erat Sodomorum rex, magna & ineffabilia Dei dona conſecutus eſt. Per hanc non ille ſolùm, ſed & iuſti omnes celebres & clari fuerunt: id quod, ſi fueritis diuinarum ſcripturarum lectionis ſtudioſi,
C addiſcere poteritis. Benignus enim Dominus quando nos videt deſpicere præſentia, etiam ipſa largius ſuppeditat reponítque plurima quibus olim fruemur. Videre hoc potes in diuitiis, in gloria huius vitæ, & in omnibus aliis temporalibus rebus. Deſpiciamus igitur præſentes diuitias, vt veras diuitias inuenire valeamus: deſpiciamus vanam hanc gloriam, vt vera illa & ſolida fruamur: deſpiciamus præſentem proſperitatem, vt præ ineffabilibus illis nihili faciamus præſentia, vt ad futura præmia excitari valeamus. Ne-
D que enim poſſibile eſt, vt qui præſentibus eſt mancipatus, ineffabilium bonorum deſiderium concipiat vnquam. Sicut enim lemæ quædam oculos obtegentes, ita præſentium cupiditas intellectum obſcurat, & non permittit videre quid oporteat facere. Contrà non eſt poſſibile, vt qui ſolida & immobilia illo bona amant, momentanea iſta, & quæ antequam appareant marceſcunt, concupiſcant.

Nam ſaucius amore diuino, & qui futurorum deſiderio tenetur, aliis oculis videt præſentium ſtatum, & videt quòd omnis præſens vita figura eſt & deceptio, & à ſomniis nihil differt. Idcirco & beatus Paulus dicebat, ſcribens: Præterit figura mundi huius: monſtrans quòd omnia humana in figura tantùm ſunt, & ſicut vmbra & ſomnium tranſeunt, nihil ſolidum, nihil verum habentia. Annon igitur animi puerilis hoc eſt vmbras obſtupeſcere, de ſomniis ſuperbire, & iis quæ paulò poſt præteribunt adhærere? Præterit enim, inquit, figura huius mundi. Itaque cum audieris quòd præterit, quid poſthac amplius quæris? Quando audis figura ſolum ſunt humana omnia veritate deſtituta: quare voluntarius impoſturam fers, & non cogitas quàm ſunt inſtabilia & mutabilia, & ea præteris: ad illa autem quæ ſemper durant, ſemper immobilia, ſemper ſtabilia, nullius viciſſitudinis capacia, quare deſiderium non transfers? Nam vt ſcias prudentiam doctoris orbis, vide alio loco iterum omnia præclara huius vitæ, nullius eſſe momenti demonſtrare volens, quali vtitur dictione dicens: Quæ enim videntur, momentanea ſunt, etiamſi diuitiarum abundantiam dicas, etiamſi gloriam, etiamſi claritudinem, etiamſi principatum, etiamſi potentiam, etiamſi regnum, etiamſi diademate redimitum illum, etiamſi thronum ſummum: omnia hæc quæ videntur, in breue tempus diſpenſata, non admodum diuturnum ſui fructum nobis ſinunt. Quæ igitur nos inquirere vis, ſi omnia momentanea ſunt? Illa, inquit, quæ non videntur, non hæc quæ videntur, ſed iſta ipſa quæ hiſce oculis corporalibus non ſpectantur. Et quis hoc conſuleret, vt quæ videntur prætereantur, & quæ non videntur, inquirantur? ipſa rerum, inquit, natura doceat vos. Nam hæc quidem licet videantur, ſtatim tamen præterfluunt: Illa autem licet nunc ea videre non poſſimus, ſunt tamen perpetua, continuò durant, terminum neſciunt, finem non accipiunt, viciſſitudinem ignorãt, ſtabilia

1.Cor.7. 31.

2. Cor. 4. 18.

A λαβεῖν. ὁ γὰρ τρωθεὶς τῷ περὶ τὸν θεὸν πόθῳ, καὶ τὴν τῶν μελλόντων ἐπιθυμίαν κτησάμενος, ἑτέροις ὀφθαλμοῖς ὁρᾷ τὴν παρόντων τὴν κατάστασιν, καὶ οἶδεν ὅτι σχῆμα ἅπας ὁ παρὼν βίος, καὶ ἀπάτη, καὶ ὀνειράτων οὐδὲν διενήνοχε. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἔλεγε γράφων, παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου, δεικνὺς ὅτι ἕκαστον τῶν ἀνθρωπίνων, ἐν σχήματι μόνον ἐστί, καὶ καθάπερ σκιὰ καὶ ὄναρ παρατρέχει, οὐδὲν ἀληθές, οὐδὲν βέβαιον ἔχον. πῶς οὖν οὐκ ἂν εἴη παιδικῆς διανοίας περὶ τὰς σκιὰς ἐπτοῆσθαι, καὶ ἐπὶ ὀνείρασι μέγα φρονεῖν, καὶ τούτοις B προσεστηκέναι τοῖς μικρὸν ὕστερον παρερχομένοις; παράγει γάρ, φησι, τὸ σχῆμα τοῦ κόσμου τούτου. ὅταν ἀκούσῃς ὅτι παράγει, τί λοιπὸν πλέον ζητεῖς; ὅταν ἀκούσῃς ὅτι σχῆμα μόνον ἐστὶ πάντα τὰ ἀνθρώπινα, ἀληθείας ἔρημα τυγχάνοντα, τίνος ἕνεκεν ἑκὼν τὴν ἀπάτην ὑπομένεις, καὶ οὐκ ἐννοεῖς τὸ εὐμετάβλητον, τὸ ἀβέβαιον, ταῦτα μὲν παρατρέχεις, περὶ ἐκεῖνα δὲ τὴν ἐπιθυμίαν μετάγεις τὰ διαιωνίζοντα, τὰ ἀκίνητα, τὰ βέβαια, τὰ μεταβολὴν οὐκ ἐπιδεχόμενα; ἵνα γὰρ μάθῃς τὴν σύνεσιν τοῦ διδασκάλου τῆς οἰκουμέ- C νης, ὅρα αὐτὸν ἀλλαχοῦ πάλιν βουλόμενον δεῖξαι πάντων τῶν ἐν τῷ παρόντι βίῳ φαιδρῶν τὸ οὐδαμινόν, οἵᾳ λέξει ἐχρήσατο εἰπών· τὰ γὰρ βλεπόμενα, κἂν τὴν τοῦ πλούτου περιουσίαν εἴπῃς, κἂν τὴν δόξαν, κἂν τὴν περιφάνειαν, καὶ τὴν ἀρχὴν καὶ τὴν δυναστείαν, κἂν αὐτὴν τὴν βασιλείαν, καὶ τὸν τὸ διάδημα περικείμενον, καὶ τὸν θρόνον τὸν ἀνώτατω, πάντα ταῦτα τὰ βλεπόμενα πρόσκαιρα, ἐν βραχεῖ χρόνῳ τὴν διαμονὴν ἐπιδεικνύμενα, οὐ μέχρι πολλοῦ τὴν ἀπόλαυσιν ἡμῖν ἐμπαρέχοντα. τίνα οὖν ἡμᾶς βούλει ἐπιζητεῖν, εἰ πάντα D ταῦτα τὰ βλεπόμενα πρόσκαιρα τυγχάνει; ἐκεῖνα, φησι, τὰ μὴ βλεπόμενα, μὴ ταῦτα τὰ βλεπόμενα, ἀλλ' ἐκεῖνα ἅπερ τούτοις τοῖς ὀφθαλμοῖς τοῖς σωματικοῖς οὐχ ὁρᾶται. καὶ τίς ἄν, φησι, τοῦτο συμβουλεύσειεν, ὥστε τὰ ὁρώμενα παρατρέχειν, καὶ τὰ μὴ ὁρώμενα ἐπιζητεῖν; αὐτή, φησι, διδασκέτω ὑμᾶς τῶν πραγμάτων ἡ φύσις, ὅτι ταῦτα μέν, εἰ καὶ ὁρᾶται, ἀλλὰ ταχέως παραρρεῖ· ἐκεῖνα δέ, εἰ καὶ μὴ νῦν ὁρᾶν δυνάμεθα, ἀλλ' αἰώνια τυγχάνει, καὶ διηνεκῆ τὴν διαμονὴν ἔχει, πέρας οὐκ ἐπίσταται, τέλος οὐκ ἐπιδέχεται, μεταβολὴν οὐκ οἶδε,

πάγια

πάγια μέν ἐστι καὶ ἀκίνητα. Τάχα λοιπὸν καὶ ἐπαχθὴς εἶναι δοκῶ καθ' ἑκάστην ἡμέραν μάτην συμβουλεύων, ἀλλὰ τί πάθω; πολλὴ τῆς κακίας ἡ λύμη, πολλὴ τῶν χρημάτων ἡ τυραννίς· πολλὴ ἡ σπάνις τῆς ἀρετῆς. Διὰ τοῦτο βούλομαι κἂν τῇ συνεχείᾳ τῆς παραινέσεως περιγενέσθαι τῆς νόσου, καὶ πρὸς τελείαν ὑγίειαν ἀγαγεῖν τοὺς ἐνταῦθα συνιόντας. Διὰ γὰρ τοῦτο καὶ τῶν γραφῶν τὰς ἐξηγήσεις ποιεῖσθαι σπουδάζομεν, καὶ τῶν δικαίων τὰς ἀρετὰς εἰς τὸ μέσον παράγομεν, καὶ τὰ αὐτὰ ἐνηχεῖν οὐ παραιτούμεθα, ἵνα διὰ πάντων ἐναγαγεῖν ὑμᾶς δυνηθῶμεν εἰς τὸν τῶν δικαίων ζῆλον, καὶ ὀψὲ γοῦν ποτε τῆς οἰκείας σωτηρίας πρόνοιαν ποιησώμεθα, καὶ τῷ καιρῷ τῷ δεδομένῳ ἡμῖν εἰς προθεσμίαν ζωῆς δεόντως χρησώμεθα, καὶ ὡς ἔτι καιρὸς, πρὸς μετάνοιαν καὶ διόρθωσιν τῶν ἐπταισμένων ἐπειχθῶμεν, καὶ τῇ τῶν χρημάτων περιουσίᾳ εἰς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν ἀποχρησώμεθα, καὶ τὰ περιττὰ τοῖς δεομένοις ἀναλίσκωμεν. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, συγχωρεῖς ὑπὸ τοῦ ἰοῦ καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον καταναλίσκεσθαι, δέον εἰς τὰς τῶν πενήτων γαστέρας αὐτὸ κενοῦν, ἵνα εἰς ἀσφαλὲς αὐτὸ ταμεῖον ἀποθέμενος ἐν καιρῷ τῷ δέοντι, ὅτε μάλιστα χρῄζεις τῆς ἀπ' αὐτοῦ παραμυθίας, ἀπολαύσῃς τῆς ἐντεῦθεν βοηθείας, καὶ οἱ ἐνταῦθα τραφέντες ὑπὸ σοῦ κατ' ἐκείνην τὴν ἡμέραν τὰς θύρας σοι τῆς παρρησίας ἀνοίξωσι, καὶ δέξωνταί σε εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς; ἀλλὰ μηδὲ τὰ ἱμάτια ἐῶμεν σητόβρωτα γίνεσθαι καὶ εἰκῇ ἐν τοῖς κιβωτίοις κατασήπεσθαι, τοσούτων ὄντων τῶν δεομένων καὶ γυμνῶν περιιόντων, ἀλλὰ προτιμῶμεν τῶν σητῶν γυμνητεύοντα τὸν Χριστόν, καὶ ἐνδύωμεν τὸν δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν γυμνὸν περιιόντα, ἵνα ἡμεῖς καταξιωθέντες αὐτὸν ἐνδῦσαι, ἀκούσωμεν κατὰ τὴν ἡμέραν ἐκείνην, γυμνὸς ἤμην, καὶ περιεβάλετέ με. μὴ γὰρ φορτικά ἐστι τὰ ἐπιτάγματα; μὴ γὰρ ὑπέρογκα; τὰ ἀπολλύμενα, φησι, τὰ σηπόμενα, τὰ εἰκῇ καὶ μάτην δαπανώμενα, ταῦτα χρησίμως διανεμηθῆναι σπούδασον, ἵνα καὶ τὴν ἐκ τῆς ζημίας βλάβην διαφύγῃς, καὶ τὸ ἀπ' αὐτῶν κέρδος μέγιστον ἑαυτῷ προξενήσῃς. Πολλῆς γὰρ καὶ ὑπερβαλλούσης ἀπανθρωπίας μετὰ τοσαύτην ἀπόλαυσιν κιβωτίοις καὶ τοίχοις ἐναποκλείειν τὰ περιττὰ, καὶ μὴ ἀνέχεσθαι τῶν ὁμογενῶν τὴν ἔνδειαν παραμυθήσασθαι, ἀλλ' αἱρεῖσθαι μᾶλλον ὑπὸ ἰοῦ καὶ σητῶν διαφθείρεσθαι,

A & immobilia ſunt. Fortaſſis tandem & moleſtus eſſe videor, quotidie fruſtra conſulens: ſed quid faciam? magnum malitiæ damnum eſt, magna pecuniarum tyrannis, magna virtutum raritas. Et idcirco vellem admonitionis aſſiduitate morbum vincere, & incolumitati integræ huc conuenientes reſtituere. Eam ób rem & ſcripturas enarrandi tantum nobis eſt ſtudium, & iuſtorum virtutes in medium afferimus: nec piget eadem ſæpius repetere, vt per omnia vos inducere ad æmulationem iuſtorum valeamus. B Saltem vel tandem ſalutis noſtræ curam faciamus, & bene vtamur ſtatuto huius vitæ tempore nobis dato: & dum adhuc tempus eſt, ad pœnitentiam & lapſuum correctionem feſtinemus, & pecuniarum abundantiam in animarum noſtrarum ſalutem expendamus, ſuperfluáque indigentibus inſumamus. Quare enim, dic mihi, permittis à rubigine aurum & argentum conſumi, quæ oportebat in pauperum ventres euacuare, reponendo in tutum promptuarium, C vt tempore quo maximè opus habes, eorum adiutorio conſolationem inuenias: & qui à te hîc paſti ſunt, alibi fiduciæ fores tibi aperiant, & accipiant te in æterna ſua tabernacula? Veſtes quoque non ſinamus à vermibus rodi, & abſque vſu in arculis putreſcere, cùm tot ſint qui indigeant, & obambulent nudi: ſed pluris æſtimemus nudum Chriſtum quàm tineas, & induamus eum qui propter noſtram ſalutem nudus obambulare vult, vt cum ipſum induerimus, audiamus in die illo: Nudus eram, & me veſtiiſtis. (Matth. 25.30.) D Num enim oneroſa ſunt præcepta? num moleſta? Ea quæ pereunt, inquit, quæ à vermibus arroduntur, quæ abſque vſu & fruſtra conſumuntur, hæc diſpenſa, vt tibi fiant vtilia: vt & detrimenti damnum effugias, & ex ipſis lucrum maximum tibi pares. Excellentis enim & magnæ inhumanitatis eſt poſt tot ſpirituales admonitiones, arculis & muris includere ſuperflua, & non illis ſubleuare proximorum inopiam: ſed ſinere à rubigine & tinea potius corrumpi,

& ante prædonum iacere manus, & propter illa ſuppliciis potius plecti, quàm vbi rectè diſpenſaueris, pro eis remunerationem accipere. Obſecro, ne ſimus tam negligentes ſalutis noſtræ, ſed expenſis in pauperes ſuperfluis, magnam nobis fiduciam antea reponamus: vt ineffabilibus olim bonis frui mereamur, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre & ſancto & viuificatore Spiritu gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Homilia XXXVI.

Gen.15.1 *Poſt hæc autem verba factus eſt ſermo domini ad Abram per viſionem noctis, dicens: Ne timeas Abram, ego protector tuus ſum, merces tua multa erit valde.*

Thesavro cuipiam aſſimilatur iuſtorum virtus, in quo plurimæ & ineffabiles diuitiæ continentur. Nam ſicut qui ex illo vel paruam quandam partem capere poteſt, breui ſibi copiam rerum quanta ſatis eſt, parat: ita euenire & in virtutibus patriarchæ, videre quis poteſt. Ecce ferè quotidie ex hiſtoria eius propoſita vobis doctrina, magna largitate conuiuium præbemus, & hucuſque nondum paruam bonorum illius operum partem enarrare potuimus, tantis abundat virtutibus. Et ſicut à fonte largis fluente riuis, etiamſi omnes hauriant, non ſolum non imminuuntur è fonte ſcaturientia: ſed quantò plures ſunt qui inde hauriant, tantò magis aquarum natura ſcaturit: Ita etiam in patriarcha noſtro fieri videmus. Quot enim à tempore quo fuit, vſque in præſens ex fonte bonorum illius operum hauriunt: & non ſolùm non euacuarunt flumina, ſed tanto abundantior eſt ſcaturigo bonorum operum. Narrationem enim de illo in diuina ſcriptura quaſi catenam auream inuenimus contextam: & omni tempore primùm quidem ipſe præſe fert optimè moratam vitam,

A καὶ ταῖς τῶν λῃστῶν χερσὶ προσκεῖσθαι, καὶ τὰς ὑπὲρ τούτων εὐθύνας διδόναι, ἢ δεόντως οἰκονομήσαντα, τὴν ὑπὲρ τούτων ἀμοιβὴν κομίζεσθαι. μὴ δή, παρακαλῶ, οὕτως ἀμελῶς διατεθῶμεν περὶ τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν, ἀλλὰ τὰ περιττὰ κενώσαντες τοῖς δεομένοις, πολλὴν ἑαυτοῖς προαποθώμεθα τὴν παῤῥησίαν, ἵνα τῶν ἀποῤῥήτων ἀγαθῶν ἀπολαῦσαι καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία λς.

Μετὰ δὲ τὰ ῥήματα ταῦτα, ἐγενήθη ῥῆμα κυρίου πρὸς Ἄβραμ λέγον ἐν ὁράματι τῆς νυκτός, μὴ φοβοῦ Ἄβραμ, ἐγὼ ὑπερασπίζω σου. ὁ μισθός σου πολὺς ἔσται σφόδρα.

Θησαυρῷ τινι προσέοικεν ἡ τῶν δικαίων ἀρετὴ πολλὴν καὶ ἄφατον τὸν πλοῦτον ἔχοντι. καθάπερ γὰρ ἐκεῖθεν κἂν βραχύ τι μέρος λαβεῖν C τις δυνηθῇ, πολλὴν ἑαυτῷ τὴν εὐπορίαν κατασκευάζει· οὕτω δὴ καὶ ἐπὶ τῆς ἀρετῆς τοῦ πατριάρχου εὕροι τις γινόμενον. ἰδοὺ γὰρ σχεδὸν ἐφ' ἑκάστης ἡμέρας ἐκ τῆς κατ' αὐτὸν ἱστορίας προτιθέντες ὑμῖν τὴν διδασκαλίαν, καὶ μετὰ πολλῆς τῆς δαψιλείας τὴν ἑστίασιν ὑμῖν παρεχόμενοι, οὐδέπω καὶ νῦν οὐδὲ βραχύ τι μέρος τῶν τούτῳ κατωρθωμένων ἐξειπεῖν ἠδυνήθημεν. τοσαύτη ἐστὶν αὐτοῦ τῆς περιουσίας ἡ ἀρετή. καὶ καθάπερ ἀπὸ τῆς πηγῆς δαψιλῆ προχεούσης τὰ νάματα κἂν ἅπαντες ἀρύωνται, οὐ μόνον οὐκ ἐλαττοῦσι τὰ ἐκεῖθεν προϊόντα D νάματα, ἀλλ' ὅσῳ ἂν πλείους ὦσιν οἱ ἐξαντλοῦντες, τοσούτῳ μᾶλλον ἀναβλύζει τῶν ὑδάτων ἡ φύσις· ὃ αὐτὸ δὴ καὶ ἐπὶ τοῦ θαυμασίου τούτου πατριάρχου γινόμενον ὀψόμεθα. πόσοι γὰρ ἐξ οὗ γέγονε μέχρι τοῦ παρόντος ἐκ τῆς πηγῆς τῶν τούτου κατορθωμάτων ἀρύονται, καὶ οὐ μόνον οὐκ ἐκένωσαν τὰ νάματα, ἀλλ' ἐπὶ πλέον ἀναβλύζει τῶν τούτου κατορθωμάτων ἡ περιουσία. ὥσπερ γὰρ σειράν τινα χρυσῆν, οὕτως ἡρμοσμένην εὑρήσομεν τὴν κατ' αὐτὸν διήγησιν ἐπὶ τῆς θείας γραφῆς κειμένην· καὶ καθ' ἕκαστον καιρὸν πρότερον μὲν αὐτὸν ἐπιδεικνύμενον τὰ τῆς οἰκείας φιλοσοφίας,

ἐπομένην δὲ παραχρῆμα καὶ τὴν παρὰ τοῦ θεοῦ ἀμοιβήν. καὶ ἵνα μάθητε ὅτι οὕτως ἔχει, ἀναγκαῖον ἄνωθεν ὑμῖν μετὰ συντομίας τὰ κατ' αὐτὸν διηγήσασθαι, ἵνα εἰδῆτε καὶ τοῦ δικαίου τὴν ὑπερβάλλουσαν πίστιν, ἣν περὶ τὰς ὑποσχέσεις τοῦ θεοῦ ἐπιδείκνυται, καὶ τοῦ φιλανθρώπου θεοῦ μετὰ δαψιλείας τὰς ἀμοιβὰς αὐτῷ παρεχομένου. ἱκανὸς γὰρ ὁ δίκαιος οὗτος ἅπαντας ἡμᾶς παιδεῦσαι, πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας μετὰ προθυμίας ἀποδύεσθαι θαρροῦντας ταῖς ἄνωθεν ἀμοιβαῖς, καὶ εἰδότας τοῦ ἡμετέρου δεσπότου τὴν φιλοτιμίαν, πάντα τὰ δυσχερῆ νομιζόμενα μετὰ τὸν παρόντα βίον μετ' εὐκολίας καταδέχεσθαι, τῇ ἐλπίδι τῶν ἀντιδόσεων τρε- B φομένους. προσέχετε δή, παρακαλῶ, ὅπως ἐκ προοιμίων ἐπειδὴ τὰ παρὰ ἑαυτοῦ οἴκοθεν εἰσήνεγκεν ἐκ τῆς ἐγκειμένης τῇ ἡμετέρᾳ φύσει γνώσεως οὐδένα ἔξωθεν ἐσχηκὼς διδάσκαλον, ἀλλὰ καὶ ὑπὸ ἀπίστοις γονεῦσι τρεφόμενος τῆς θείας ἀπήλαυσεν ἐπιφανείας. ἐπειδὴ γὰρ μηδὲν μετὰ τὴν πρώτην ἡλικίαν τῇ πλάνῃ τοῦ πατρὸς κατηκολούθησεν, ἀλλὰ τὴν πρὸς τὸν θεὸν θεραπείαν ἐπεδείκνυτο, καὶ τῆς ἄνωθεν ἐπισκοπῆς ταχέως ἐπέτυχεν ἔτι ἐπὶ τῆς Χαλδαίας ὤν. τοῦτο γὰρ ἡμῖν σαφέστερον ἐκτίθεται ὁ μακάριος Στέφανος οὕτω λέγων· ὁ θεὸς τῆς δόξης ὤφθη τῷ C πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν. εἶδες πῶς ἡ ὄψις αὐτὸν ἐκεῖθεν ἀνέστησεν; εἰκὸς γὰρ ὅτι μετὰ τῆς περὶ τὸν θεὸν θεραπείας, καὶ τὴν περὶ τοὺς γεγεννηκότας αἰδῶ ἐπιδεικνύμενος, καὶ εἰς πολὺ φίλτρον ἐπισπασάμενος τὸν πατέρα, αὐτὸς αὐτῷ αἴτιος γέγονε τῆς ἐκεῖθεν ἐξόδου· καὶ διὰ τὸν πόθον τοῦ παιδὸς ἠνέσχετο καταλιπεῖν τὴν οἰκείαν πατρίδα καὶ τὴν ἀλλοτρίαν οἰκῆσαι. ἀλλ' ὅρα μοι μετὰ ἀκριβείας, πῶς καὶ αὐτὴ ἡ παρὰ τοῦ θεοῦ γινομένη διὰ τὴν προλαβοῦσαν ἀρετὴν εἰς αὐτὸν ἐπίσκεψις, πάλιν D αὐτοῦ τὴν ἀρετὴν περιφανεστέραν ἐργάζεται. εἵλετο γὰρ τὴν χώραν τὴν πατρικὴν καταλιπεῖν, καὶ τὴν ἀλλοτρίαν οἰκῆσαι, ἵνα τὸ παρὰ τοῦ θεοῦ προσταχθὲν εἰς ἔργον ἀγάγῃ. καὶ ἕτοιμος ἦν, ὡς ἐμοὶ δοκεῖ, καὶ ἄνευ τῶν προσηκόντων καὶ καθ' ἑαυτὸν τὴν ἀποδημίαν στείλασθαι· ἀλλ' ὅπερ ἔφθην εἰπών, ἡ τοῦ ἀνδρὸς ἀρετὴ καὶ ἡ πολλὴ θεραπεία ἡ περὶ τοὺς τεκόντας συνοδοιπόρον γενέσθαι καὶ τὸν πατέρα παρεσκεύασεν. εἶτα ἐπειδὴ τὴν Χαρρὰν κατέλαβον, ἐκεῖ τὴν σκηνὴν ἐπήξαντο. καὶ τελευτήσαντος τοῦ Θάρρα· τοῦτο γὰρ τὸ ὄνομα τῷ πατρὶ

ſtatim autem ſubſequitur diuina remuneratio. Et vt diſcatis quòd ita ſeſe res habeat, operæprecium fuerit paulò altius breuiter vobis res eius recenſere, vt ſciatis eximiam iuſti fidem, quam in promiſſionibus diuinis declarauit, & liberales Dei retributiones, quas ei miſericors Deus reddidit. Sufficit enim vnus ille iuſtus, vt omnes nos erudiat, vt alacriter aggrediamur virtutis certamina, confidentes ſupernis remunerationibus, & ſcientes miſericordis domini noſtri liberalitatem, & vt ſuſcipiamus omnia magna facilitate, quæ dura & ardua in hac vita videntur, ſpe remunerationum nutriti. Attendite itaque obſecro, quomodo ab initio, poſtquam domi ſibi nata indole & inſita naturæ noſtræ ſcientia bene vſus eſt, nullum externum ſortitus doctorem: ſed & ab infidelibus parentibus educatus, diuinam apparitione potius eſt. Nã quia non prima ætate ſecutus eſt errorem paternum, ſed pietatem diuini cultus ſeruauit, ideo ſupernam viſitationem ſtatim obtinuit, adhuc in Chaldæa exi-
ſtens: & hoc nobis beatus Stepha- Act. 7. 2
nus exponit manifeſtius, ſic dicens: Deus gloriæ viſus eſt patri noſtro Abraham, cùm adhuc eſſet in Meſopotamia, priuſquam habitaret in Charran. Vidiſti quomodo eum inde viſio euocauit? Veriſimile enim, quòd cum ſedula in Deum pietate, eximiam quoque patri reuerentiam exhibuerit: tantóque amore patrem ſibi conciliauerit, vt inde ad relinquendum amore filij ſuam patriam, & ad habitandum alienam motus ſit. At diligenter vide obſecro, quomodo & hæc quæ à Deo fuit ob priorem virtutem eius viſitatio, iterum clariorem ipſum reddidit. Elegit enim paternam regionem relinquere, & alienam inhabitare, vt præceptum Dei perficeret: & paratus erat etiam abſque familiaribus, vt mihi videtur, peregrinus fieri: ſed vt dixi, viri virtus, & inſignis erga parentes pietas, effecit, vt pater comes fieret itineris. Deinde cum perueniſſent in Charran, poſtquam illic tabernaculum fixerunt, & morte functus eſt Tharra (hoc enim patri eius nomen erat)

iterum præceptum eſt ei à Deo, vt exiret inde. Egredere enim, inquit, de terra tua, & de cognatione tua, & de domo patris tui, & veni in terram, quam monſtrauero tibi. Nam poſtquam cum tota domo in Charran migrarunt, propterea illinc imperans ei vt egrederetur, addidit de terra & cognatione tua: manifeſtans quòd ipſum ſolum per ſe vult peregrinationem ſuſcipere, neque fratrem, Nachor dico, neque alium quenquam ſecum trahere. De terra autem tua dicebat, quia non paruo tempore ibi habitarant, & quaſi in propria patria illic habebant domicilium. Et cùm in lugendis parentibus non ita pridem fuiſſet occupatus, eſſentque difficultates aliæ multæ, tūc pręceptum peregrinandi magna perfecit alacritate, idque ignorans vbinam futurus errādi finis. Veni enim, inquit, non in hanc vel illam terram, ſed in eam, quam monſtrauero tibi. Nihilominus licet indefinitum eſſet mandatum, omiſſa curioſiore percontatione, imperatum faciebat. Porrò & fratris filio aſſumpto, ſuam demonſtrauit virtutem: quem, quia iuuenem acceperat, paulatim ſuæ virtutis imitatorem effecit. Vnde eum relinquere noluit, ſed peregrinationis ſocium fecit. Quaſi diceret: Si pater qui infidelis fuit, ob ſuum in me amorem, domum paternam, in qua nati ſumus & adoleuimus, relinquere, & me comitari voluit, vitáque in aliena terra defunctus eſt: multò magis ego fratris filium, iuuenem indole ſua pollicentem paulatim virtutis incrementa, non permiſerim hîc relinqui. Itaque monſtrans modis omnibus ſuam religionem, etiam iſtam peregrinationem fecit. Poſtquam autem in Palæſtinam venit, & Chananæorum fines intrauit, apparuit ei Deus, volens eius alacritatem confirmare, & manum porrigere: dicit ei, Semini tuo dabo terram hanc, eò quòd filios ſibi ſuccedere valde optabat, ac deſiderabat: iſtud etiam ſtatim promittit, retribuens tantis laboribus mercedem. Quoniam enim natura infœcundus erat, & ætas quoque prouectior, ne ſibi quid polliceri poſſet, faciebat, promiſſione Deus

A πάλιν προστάττεται παρὰ τοῦ θεοῦ ἐξελθεῖν ἐκεῖθεν. ἔξελθε γάρ, φησιν, ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. ἐπειδὴ γὰρ μετὰ πάσης τῆς οἰκίας εἰς τὴν Χαρρὰν μετέστησαν, διὰ τοῦτο ἐνταῦθα προστάττων αὐτῷ ἐξελθεῖν προσέθηκεν, ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, δηλῶν αὐτῷ, ὅτι αὐτὸν μόνον καθ' ἑαυτὸν βούλεται τὴν ἀποδημίαν ποιήσασθαι, καὶ μήτε τὸν ἀδελφόν, τὸν Ναχὼρ λέγω, μήτε ἕτερόν τινα ἐπισύρεσθαι. ἐκ τῆς γῆς
B σου δὲ ἔλεγεν, ἐπειδὴ χρόνον οὐκ ὀλίγον ἐκεῖ οἰκήσαντες, ὡς ἐν ἰδίᾳ λοιπὸν πατρίδι τὴν οἴκησιν ἐποιοῦντο ἐν αὐτῇ. καίτοι τῷ πένθει τῶν ἑαυτοῦ γονέων ἀκμάζοντος ἔτι, καὶ πολλῆς οὔσης τότε δυσχερείας τε καὶ ἀηδίας κατὰ τὴν ἀποδημίαν, ἀλλ' ὅμως μετὰ πάσης προθυμίας τὸ ἐπίταγμα τὸ παρὰ τοῦ δεσπότου ἤνυε, καὶ ταῦτα οὐκ εἰδώς, ὅπου στήσεται αὐτῷ τὰ τῆς πλάνης. δεῦρο γάρ, φησιν, οὐκ εἰς τήνδε τὴν γῆν, ἢ τήνδε, ἀλλ' εἰς ἣν ἄν σοι δείξω. καὶ ὅμως οὕτως ὄντος ἀορίστου τοῦ ἐπιτάγματος, οὐδὲν περιεργαζόμενος τὸ προσταχθὲν
C εἰς ἔργον ἦγε, καὶ τὸν ἀδελφιδοῦν δὲ ἐπήγετο, καὶ διὰ τούτου τὴν οἰκείαν ἀρετὴν δεικνύς. ἐπειδὴ γὰρ νέον αὐτὸν προσλαβόμενος κατὰ μικρὸν μιμητὴν κατεσκεύαζε τῆς οἰκείας ἀρετῆς, οὐκ ἠνέσχετο τοῦτον καταλιπεῖν, ἀλλὰ κοινωνὸν αὐτὸν ἐλάμβανε τῆς ἀποδημίας. εἰ γὰρ ὁ πατήρ, φησιν, ἄπιστος ὢν διὰ τὸ περὶ ἐμὲ φίλτρον τὴν οἰκίαν τὴν πατρῴαν, ἔνθα ἐτέχθημεν, καὶ ηὐξήθημεν, καταλιπεῖν κατεδέξατο, καὶ ἀκολουθῆσαί μοι, καὶ ἐπὶ τῆς ἀλλοτρίας τὸν βίον κατέλυσε, πολλῷ δὴ μᾶλλον ἐγὼ πρὸς τὸν τοῦ ἀδελφοῦ
D παῖδα, τὸν νέον, τὸν ἐκ προοιμίων δεικνύντα ὡς κατὰ μικρὸν ἐπιδώσει πρὸς ἀρετήν, οὐκ ἂν ἀνασχοίμην ἐνταῦθα ἀφεῖναι. ἐπεὶ οὖν διὰ πάντων δεικνὺς αὐτοῦ τὸ φιλόθεον καὶ ταύτην ἐποίησατο τὴν ἀποδημίαν, ἡνίκα κατέλαβε τὴν Παλαιστίνην, καὶ τῶν ὅρων ἐπέβη τῶν Χαναναίων, ὤφθη αὐτῷ ὁ θεὸς καὶ νευρῶσαι αὐτοῦ βουλόμενος τὴν προθυμίαν, καὶ χεῖρα ὀρέξαι, φησὶ πρὸς αὐτόν· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ὅπερ ἐπεθύμει καὶ ἐπόθει, παίδων λέγω τὴν διαδοχήν, τοῦτο αὐτῷ εὐθέως ὑπισχνεῖται, ἀμοιβὴν αὐτῷ τῶν τοσούτων πόνων διδούς. ἐπειδὴ γὰρ ἀπὸ τῆς φύσεως ἀπεστέρητο, καὶ ἡ ἡλικία λοιπὸν ἀπαγορεύειν ἐποίει τῇ ὑποσχέσει,

διεγείρει τὸν ἀθλητὴν, καὶ προθυμότερον ἀπεργάζεται, καὶ νεάζειν αὐτὸν κατασκευάζει πρὸς τοὺς ἑξῆς ἀγῶνας. ὅρα τοίνυν μετὰ τὴν ὑπόσχεσιν ταύτην, ἑτέραν πάλιν τὴν ἄθλησιν τὸν δίκαιον τοῦτον δεχόμενον. λιμοῦ γὰρ καταλαβόντος, καὶ πολλῆς οὔσης τῆς στενοχωρίας ἐν τῇ Χαναναίᾳ, ἐπὶ τὴν Αἴγυπτον ἔσπευδε· καὶ λιμοῦ παραμυθίαν εὑρεῖν βουλόμενος, μείζοσι περιέβαλεν ἑαυτὸν κινδύνοις. ἡ γὰρ εὐμορφία τῆς γυναικὸς, καὶ τὸ κάλλος τῆς Σάρρας μονονουχὶ τὸν θάνατον αὐτοῦ πρὸ τῶν ὀφθαλμῶν ἐδείκνυ. διὸ καὶ πλησίον γενόμενος τῆς εἰς Αἴγυπτον εἰσόδου, φησὶ πρὸς αὐτὴν, γινώσκω, ὅτι εὐπρόσωπος εἶ· οἶδα σοῦ τοῦ κάλλους τὴν ὥραν, καὶ δέδοικα τῶν Αἰγυπτίων τὴν ἀκολασίαν. ἐὰν οὖν ἴδωσί σε, καὶ γνῶσιν ὅτι καθάπερ γυναῖκα περιάγω σε, σὲ μὲν ἴσως περιποιήσονται ὥστε εἰς ἔργον ἀγαγεῖν τῆς μανίας αὐτῶν τὸν οἶστρον, ἐμὲ δὲ ἀποκτενοῦσιν, ἵνα μετ' ἀδείας αὐτοῖς ἐξῇ τὴν παρανομίαν ἐργάσασθαι, οὐκ ὄντος τοῦ τὴν μοιχείαν κατάδηλον ποιεῖν δυναμένου. εἰπὲ οὖν, ὅτι ἀδελφός σου εἰμι. ὅρα ἀδαμαντίνην ψυχὴν, ὅρα γνώμην σιδήρου στερροτέραν. οὐδὲ γὰρ περιεσάλευσεν αὐτοῦ τὸν λογισμὸν ἡ προσδοκωμένη συμφορὰ, οὐδὲ ἐνενόησεν, οὐδὲ εἶπε πρὸς ἑαυτόν· διὰ τοῦτο τὴν οἰκείαν καταλιπὼν πατρίδα, καὶ τοσαύτην ἐπιδειξάμενος ὑπακοὴν ἦλθον εἰς τὴν ἀλλοτρίαν, ἵνα τούτοις περιβληθῶ τοῖς κακοῖς; οὐ πρὸ μικροῦ ὑπέσχετό μοι, ὅτι τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην; ἰδοὺ καὶ μοιχείας καὶ θανάτου φόβος κατασείει ἡμῶν τὴν ψυχήν. ἀλλ' οὐδὲν τούτων οὐδὲ ἐν διανοίᾳ λαβεῖν κατεδέξατο· ἀλλ' ἑνὸς γὰρ μόνου, πῶς δυνηθῇ τὸ πονηρὸν τοῦτο δρᾶμα ὑποκρινάμενος τῶν δύο τούτων κινδύνων ἐπικειμένων τὸν ἕνα γοῦν ἐκφυγεῖν· καὶ ἐπειδὴ καὶ αὐτὸς τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε μετ' ἀνδρείας τὴν συμβουλὴν ποιησάμενος, καὶ ἡ γυνὴ πολλὴν τὴν περὶ τὸν ἄνδρα φιλοστοργίαν καὶ ὑπακοὴν ἐπιδεικνυμένη συνέπραξε, καὶ τοῖς δόξασιν ὑπηρετήσατο· καὶ ἐπειδὴ τὰ παρ' ἑαυτῶν ἀπήρτισαν, καὶ ὅσον κατὰ ἀνθρωπίνην ἀκολουθίαν ἀπέγνωσο, καὶ εἰς ἔργον ἐξεβεβήκει σχεδὸν τὰ τῆς παρανομίας, τότε πολλὴ περὶ αὐτὸν ἡ τοῦ θεοῦ δείκνυται πρόνοια. οὐ μόνον γὰρ τὴν γυναῖκα ὁ θεὸς τῆς ὕβρεως ἐξήρπασε διὰ τῆς ἀγανακτήσεως, ἣν κατὰ τοῦ βασιλέως καὶ παντὸς τοῦ οἴκου αὐτοῦ ἐποιήσατο, ἀλλὰ καὶ τὸν πατριάρχην

A excitat & erigit athletam, & alacrem fieri & iuueneſcere facit aduerſus ſequentia certamina. Proinde vide quomodo poſt hanc promiſſionem iuſtus aliud certamen aggreditur. Inualeſcente enim fame, & Chananæa magnis preſſa neceſſitatibus & anguſtiis, in Ægyptum contendit, fami illic mitigationem quærens, maioribus ſeſe periculis inuoluit. Vxoris enim venuſtas & pulchritudo mortẽ ei quaſi ante oculos mõſtrabat. Ideo cùm iam in confiniis eſſet Ægypti, ingreſſurus dixit vxori: Scio quòd
B mulier formoſa ſis, ſcio tuæ pulchritudinis ſpeciem, & timeo Ægyptiorum intemperantiam. Nam ſi te viderint, & cognouerint, quòd vti vxorem te mecum ducam: te quidem in vita aſſeruabunt, vt ſui furoris impetum opere compleant: me autem occident, quò liceat eis impauidè ſuam libidinem explere, vt nemo ſit, qui adulterium eorum prodat. Dic igitur me fratrem tuum eſſe. Vide adamantinam animam, vide mentem ferro ſolidiorem: non turbauit eius mentẽ calamitas, quam expectabat. Non co-
C gitabat, neque dicebat intra ſemetipſum: Ideóne propria relicta patria tantam præ me tuli obedientiam, inque alienam veni terram, vt hiſce malis implicarer? Nónne paulò antea promiſit mihi: Semini tuo dabo terram hanc? En & adulterij, & mortis timor mentem meam concutit. Sed nihil horum neque in mentem accipere dignatus eſt. Vnum ei duntaxat curæ erat, quomodo miſeram hanc fabulam ita ageret duobus hinc inde periculis urgentibus, vt vel vnum ſaltem effugere poſſet. Igitur poſt-
D quam ipſe quæ ſua erant attulit, conſilio videlicet vtens & animi fortitudine: mulier quoque ſingularem erga virum affectionem & obedientiam declarans, cooperata eſt, & his quæ decreuerant miniſtrauit. Vbi igitur quod ſuum erat perfecerunt, cúmque iam iuxta humanum morem deſperaretur, & ferè opere completa fuiſſet Ægyptiorum malitia, tunc magna Dei in eum prouidentia declarata eſt. Mulierem enim Deus non ſolum à contumelia eripuit indignatione ſua in regem & in domum eius immiſſa, ſed & patriarchã

cum magna gloria in Palæſtinam ex Ægypto redire fecit. Conſidera quomodo benignus Dominus in mediis auxilium afferens tentationibus, athletam ſuum ad ferenda ſequentia certamina fortiorem reddit: nec vnquam eum ſuo deſtituit adiumento, ſed in omnibus monſtrat ei, quòd ſemper parua illa, quæ faciebat patriarcha, magnis, & mirum in modum magnis, humanúmque captum tranſcendentibus remuneret. Vidiſti iuſti patientiam? vide item poſt reditum ex Ægypto humilitatis magnitudinem, & inſignem manſuetudinem. Nam cùm rediſſet ab Ægypto, multámque poſſideret ſubſtantiam, nec ipſe ſolus, ſed fratris filius ſequebatur, Non capiebat, inquit, eos terra vt habitarent ſimul, quia multas facultates habebant: vnde & rixa orta eſt inter paſtores Loth, & Abram. Tunc iuſtus animæ ſuæ manſuetudinem, & præclaram patientiam monſtrans, vocato Loth, dixit: Ne ſit rixa inter me & te, & inter paſtores meos & paſtores tuos: quaſi diceret: Nihil pace præſtantius, nihil contentione damnoſius & grauius. Vt igitur è medio tollamus omnem rixandi materiam, elige quam volueris regionem, & reliquam mihi relinque, vt à litium & contentionum moleſtia ſimus alieni. Vidiſti viri virtutem? ceſſit iuniori potiorum electione, ipſe contentus viliore terra. Sed vide hîc etiam quantam mercedem nactus ſit pro iis ſuis officiis. Statim enim ſeparatione facta, inquit ei Deus: Eleuatis oculis tuis vide omnem terram ab omni parte: quia omnẽ terram quam tu vides, tibi dabo, & ſemini tuo vſque in ſeculum. Conſidera quantis beneficiis merito afficitur ob modeſtiam, quam erga fratris filium declarauit: & ipſe quidem vt paruis ceſſit; multò maiora conſecutus eſt: ille autem tanta auiditate potiorem partem deligens, non multò poſt in pericula incidit: & non ſolum nihil commodi ab electione accepit, ſed & captiuus, & domo atque foco repente ſimul priuatus eſt: rebúſque ipſis didicit quàm eximia virtus iuſti, & ipſe edoctus eſt, ne poſtea, quid vnquam tale attentaret. Nam

Modeſtia Abrahæ beneficiis afficitur.

A μετὰ πολλῆς τῆς περιφανείας ἀπὸ τῆς Αἰγύπτου ἐπὶ τὴν Παλαιστίνην ἐπανελθεῖν πεποίηκε. σκόπει πῶς μεταξὺ τῶν πειρασμῶν τὴν παρ' αὐτοῦ ῥοπὴν εἰσφέρων ὁ φιλάνθρωπος δεσπότης, ἀκμάζοντα τὸν ἀθλητὴν, πρὸς τοὺς ἑξῆς πάλιν ἀγῶνας ἀπεργάζεται, οὐκ ἀφιεὶς ἔρημον τῆς ἑαυτοῦ βοηθείας, ἀλλὰ διὰ πάντων φανερῶς οἰκονομῶν αὐτῷ δείκνυσθαι, ὅτι μικρὰ εἰσφέρων αὐτὸς, μεγάλων καὶ σφόδρα μεγάλων ἀξιοῦται καὶ νικώντων τὴν ἀνθρωπίνην φύσιν. εἶδες τοίνυν τοῦ δικαίου τὴν ὑπομονήν; ὅρα πάλιν μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον, τῆς ταπεινοφροσύνης αὐτοῦ τὸ μέγεθος καὶ τὴν ἐπιείκειαν τὴν πολ-
B λήν. ἐπειδὴ γὰρ ἐπανῆλθεν ἀπὸ τῆς Αἰγύπτου εὐπορίαν πολλὴν κτησάμενος, οὐκ αὐτὸς δὲ μόνος, ἀλλὰ καὶ ὁ ἀδελφιδοῦς ἠκολούθει, οὐκ ἐχώρει, φησὶν, αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα, ὅτι ἦν τὰ ὑπάρχοντα αὐτῶν πολλά. ὅθεν καὶ μάχη συνέβη γενέσθαι μεταξὺ τῶν ποιμένων τοῦ Λὼτ καὶ τοῦ Ἀβραάμ. ἀλλ' ὁ δίκαιος οὗτος δεικνὺς αὐτοῦ τὸ ἥμερον τῆς ψυχῆς καὶ τῆς φιλοσοφίας τὴν ὑπερβολὴν, καλέσας τὸν Λὼτ φησὶ πρὸς αὐτόν· μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ τῶν ποιμένων μου καὶ τῶν ποιμένων σου, ὅτι ἄνθρωποι ἀδελφοὶ ἡμεῖς ἐσμεν, μονονουχὶ λέγων πρὸς
C αὐτόν· οὐδὲν εἰρήνης ἴσον· οὐδὲν φιλονεικίας βαρύτερον. ἵν' οὖν πᾶσαν μάχης ὑπόθεσιν ἐκποδὼν ποιησώμεθα, ἑλοῦ ἣν ἂν βούλῃ χώραν· κατάλιπε δέ μοι τὴν λειπομένην, ὥστε πάσης ἡμᾶς ἔριδος καὶ φιλονεικίας ἐκτὸς γενέσθαι. εἶδες ἀνδρὸς ἀρετήν; παρεχώρησε τῷ νέῳ τῶν πρωτείων τὴν ἐκλογὴν, καὶ ἔστερξε τὴν φαυλοτάτην χώραν. ἀλλ' ὅρα πάλιν, ἐπειδὴ τὰ παρ' ἑαυτοῦ ἐπεδείξατο, πόσης ἀπολαύει τῆς ἀμοιβῆς. εὐθέως γὰρ τοῦ χωρισμοῦ γενομένου, φησὶ πρὸς αὐτὸν ὁ θεὸς μετὰ τὸ διαχωρισθῆναι τὸν Λώτ· ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου ἴδε
D πᾶσαν τὴν γῆν ἐξ ἑκατέρου τοῦ μέρους, ὅτι πᾶσαν τὴν γῆν ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως αἰῶνος. σκόπει πῶς ἀξιοῦται τῆς φιλοτιμίας διὰ τὴν ταπεινοφροσύνην, ἣν ἐπεδείξατο πρὸς τὸν ἀδελφιδοῦν· καὶ αὐτὸς μὲν μικρὸν παραχωρήσας πολὺ μειζόνων ἠξιώθη, ἐκεῖνος δὲ τοῖς πρωτείοις ἐπιπηδήσας μετ' οὐ πολὺ εἰς κινδύνους ἐνέπιπτε· καὶ οὐ μόνον οὐδὲν ἀπώνατο τῆς ἐκλογῆς, ἀλλὰ καὶ αἰχμάλωτος καὶ ἄοικος καὶ ἀνέστιος ἀθρόον ἐγίνετο, καὶ δι' αὐτῶν τῶν πραγμάτων ἐδιδάσκετο καὶ τοῦ δικαίου τὴν ὑπερβάλλουσαν ἀρετὴν, καὶ αὐτὸς ἐπαιδεύετο λοιπὸν μηδὲν τοιοῦτόν ποτε διαπράττεσθαι.

ἐπειδὴ γὰρ τὴν ἐν Σοδόμοις οἴκησιν ἐποιήσατο ὁ A
Λώτ, εὐθέως πόλεμος ἀνεῤῥιπίσθη χαλεπὸς, καὶ οἱ
τῶν περιοικούντων ἐθνῶν βασιλεῖς ἐπιστάντες μετὰ
πολλῆς τῆς δυνάμεως πᾶσαν τὴν χώραν ἄρδην
ἀπώλεσαν, τοὺς γίγαντας ἀνελόντες καὶ τοὺς Ἀμα-
ληκίτας ἀπωσάμενοι· καὶ τὸν τῶν Σοδόμων βασιλέα
καὶ Γομόῤῥας εἰς φυγὴν τραπῆναι παρεσκεύασαν,
καὶ πᾶσαν κατέσχον τὴν ὀρεινὴν, καὶ τὴν ἵππον τοῦ
βασιλέως Σοδόμων ἀναλαβόντες καὶ τὸν Λὼτ αἰ-
χμαλωτεύσαντες καὶ τὰς γυναῖκας, μετὰ πάσης τῆς
ἀποσκευῆς, οὕτως ἐπανήεσαν. ἀλλ' ὅρα πάλιν θεοῦ
κηδεμονίαν πολλήν. ὁμοῦ γὰρ καὶ τὸν Λὼτ τῆς αἰχ-
μαλωσίας ἐλευθερῶσαι βουλόμενος, καὶ τὸν πατριάρ- B
χην περιφανέστερον ἐργάσασθαι, διεγείρει τὸν δίκαιον
πρὸς ἀντίληψιν τοῦ ἀδελφιδοῦ. πυθόμενος γὰρ τὸ
γεγονὸς, μετὰ τῶν οἰκογενῶν ὁρμήσας ἐπὶ τοὺς βα-
σιλεῖς ἐκείνους, αὐτούς τε μετὰ πολλῆς εὐκολίας ἐ-
πάταξε, καὶ τὸν Λὼτ καὶ τὰς γυναῖκας καὶ τὴν ἵπ-
πον πᾶσαν τοῦ βασιλέως ἐπανήγαγε, λαμπρὰ
τὰ τρόπαια ἐργασάμενος, καὶ πᾶσι κατάδηλον
ποιῶν τὴν περὶ αὐτὸν τοῦ θεοῦ εὔνοιαν, καὶ ὅτι οὐκ οἰ-
κείᾳ δυνάμει τὴν τοσαύτην εἰργάσατο τροπὴν, ἀλ-
λὰ τῇ ἄνωθεν βοηθείᾳ τειχιζόμενος. καὶ λοιπὸν ἔ-
σπευδε δι' αὐτῶν τῶν πραγμάτων διδάσκαλος C
θεοσεβείας γενέσθαι πᾶσι τοῖς ἐν Σοδόμοις διὰ τῆς
πρὸς τὸν βασιλέα διαλέξεως. ἐπειδὴ γὰρ συναν-
τήσας ὁ βασιλεὺς, καὶ χάριτας ὑπὲρ τῶν γεγενη-
μένων ὁμολογήσας τὴν μὲν ἵππον παραχωρῆσαι
πᾶσαν ἔλεγε, τοὺς δὲ ἀνθρώπους λήψεσθαι, ὅρα
πάλιν τοῦ δικαίου τὴν μεγαλοψυχίαν, πῶς ὁμοῦ καὶ
τὴν οἰκείαν φιλοσοφίαν διδάσκει, ὡς κρείττων ἐστὶ
τῶν παρ' αὐτοῦ δεδομένων, καὶ εἰς τὴν τῆς θεοσεβείας
γνῶσιν αὐτὸν ἐνάγει. οὐδὲ γὰρ ἁπλῶς εἶπεν αὐτῷ,
ὅτι οὐκ ἀνέξομαι λαβεῖν τι παρὰ σοῦ, οὐδὲ ὅτι οὐ-
δενὸς δέομαι τοιούτου μισθοῦ, ἀλλὰ τί; ἐκτενῶ D
τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, μονο-
νουχὶ διδάσκων αὐτὸν, ὅτι οὐκ εἰσὶ θεοὶ οἱ ὑπὸ
σοῦ θεραπευόμενοι, ἀλλὰ λίθοι καὶ ξύλα. εἷς
γάρ ἐστιν ὁ ἐπὶ πάντων θεὸς, ὃς ἔκτισε τὸν οὐ-
ρανὸν καὶ τὴν γῆν. ὅτι οὐ λήψομαι παρὰ σοῦ ἀπὸ
σπαρτίου ἕως σφαιρωτῆρος, ἵνα μὴ νομίσῃς, ὅτι
τούτων ἕνεκεν τὴν ἐκδίκησιν ἐποιησάμην· ἵνα
μὴ λέγειν ἔχῃς, ὅτι αὐτός μοι τῆς περιουσίας αἴ-
τιος γέγονας. ὁ γὰρ τὴν νίκην παρασχὼν, καὶ τὸ
τρόπαιον μετ' ἐμοῦ στήσας, αὐτός ἐστιν ὁ καὶ πλού-
του τὴν χορηγίαν μοι παρεχόμενος. ὅρα πῶς,

poſtquam Sodomis habitare cœpit, ſtatim excitatum eſt graue bellum: & vicinarum gentium reges inſurrexerunt, & omnem regionem ſimul depopulati ſunt: gigantibúſque occiſis, & Amalecitis expulſis, etiam Sodomorum regem & Gomorrhæ in fugam verterunt: & montanis omnibus occupatis, & equitatu regis Sodomorum auecto vnà cum Loth captiuo, & vxoribus, & omnibus ſarcinis, abierunt. Sed vide iterum ingentem Dei prouidentiam. Volens enim ſimul & Loth à captiuitate liberum reddere, & patriarchæ gloriam magis illuſtrare, excitat iuſtum vt, fratris filio ſuccurrat: nam vt didicit quæ erant facta, cum vernaculis ſuis impetu facto in reges illos, eos paruo labore perculit, & Loth, & vxores, & omnem equitatum regis reduxit. Quibus tam claris triumphis, omnibus patefacta eſt ingens Dei erga illum beneuolentia; & quòd ille non ſua virtute tantam ſtragem confeciſſet, ſed ſuperna virtute munitus. Et ipſe quoque patriarcha enitebatur, vt Sodomitis doctor diuini cultus fieret, verbis illis quæ regi loquebatur. Nam quia cùm occurriſſet rex, & pro exhibitis gratias egiſſet, ac omnem equitatum ei ſe donaturum diceret, hominéſque duntaxat accepturum: vide iterum iuſti magnanimitatem, quomodo optimæ ſuæ vitæ ſpecimen exhibet, quòd minimè capiatur iis, quæ ab illo dabantur, eúmque ad veræ religionis notitiam inducit. Non enim ſimpliciter dicit: Non patiar, vt aliquid tuorum munerum ad me redeat, non mihi tali mercede opus eſt: ſed quid? Extendam manum meam ad Deum altiſſimum (quaſi docens eum: Non ſunt dij, qui à te coluntur, ſed ligna & lapides: ſed vnus eſt Deus ſuper omnia, qui creauit cœlum & terram) quòd non accipiam de funiculo vſque ad ſphæroterem: vt ne exiſtimes me illorum gratia vltionem ſumpſiſſe, & ne dicere poſſis, quòd mihi abundantiæ factus ſis author. Nam qui me triumphare & vincere fecit, idem & diuitias abũdè mihi ſuppeditat. Vidiſti quomodo,

ſiquidem lucrum facere voluiſſet rex, authorem agnoſcere victoriæ ex patriarchæ verbis potuiſſet? Docebatur enim poſthac non fidendum propria ſua virtute, ſed agnoſcendum authorem omnium, ridendóſque manufactos deos, & colẽdum Deum qui eſt ſuper omnia, qui omnia condidit, qui & bonorum omnium fons eſt. Et in ſumma diſcebat ex omnibus patriarchæ virtutem. Nam ne exiſtimet, quòd per arrogantiam & faſtum data contemneret, idcirco dicit: Ego quidem nihil ſumam. Neque enim opus habeo, neque indigeo, vt meæ facultates augeantur ab aliis: eis autem qui periculorum meorũ fuerunt ſocij, permitto vt ſuas portiones accipiant, quo paruam aliquam ſuorum laborum conſolationem habeãt. Ita Sodomorum regi reſpõdit iuſtus. Poſtquam autem & Melchiſedech rex Salem, panes & vinum cum ipſi attuliſſet, obtulit (erat enim ſacerdos, inquit, Dei altiſſimi) ab illo accepit oblata. Dein vt rependeret benedictionem, quam ab eo acceperat, & glorificationem in Deum (dixerat enim, Benedictus Abram Deo altiſſimo, & benedictus Deus qui tradidit inimicos tuos in manus tuas) decimas ei dedit de omnibus ſpoliis quæ attulerat. Vidiſti qnantam pietatem & religionem in omnibus præ ſe ferat iuſtus? & quomodo à rege Sodomorum à funiculo vſque ad ſphærotꝫrem accipere nihil voluit, accepit autem ea quæ à Melchiſedech ſunt oblata, retribuens & ſua? Quibus nimirum nos docuit, habendum aliquem delectum, & non paſſim ab omnibus dona accipienda. Nam quamuis Sodomita ille, quantum ad liberalitatem attinebat, ſapiebat: erat tamen alioquin incredulus, & inſtitutione multa indigebat. Proinde patriarcha dona quidem deſpexit, omnem autem curam adhibuit, & per ea quæ accipere recuſauit, & per ea quæ dixit, curauit vt illũ ad pietatem induceret. A Melchiſedech autem non iniuria accepit. Viri enim virtutẽ diuina ſcriptura indicauit, dicens: erat autem ſacerdos Dei altiſſimi. Quamuis aliâs etiam quæ fiebãt, Chriſti typus erãt, & ipſa oblata myſteriũ quoddam preſignabãt, ideóque nõ renuit.

Melchiſedech ſacrificium figura Chriſti.

A εἴγε ἐβούλετο, κερδαίνειν ἐδύνατο ὁ βασιλεὺς ἐκ τῶν τοῦ πατριάρχου λεγομένων. ἐδιδάσκετο γὰρ μὴ τῇ οἰκείᾳ δυνάμει λοιπὸν θαῤῥεῖν, ἀλλ' εἰδέναι τὸν πάντων αἴτιον, καὶ καταγελᾷν τῶν χειροποιήτων θεῶν, καὶ λατρεύειν τῷ ἐπὶ πάντων θεῷ, τῷ τῶν ὅλων δημιουργῷ, τῇ πηγῇ τῶν ἀγαθῶν. καὶ γὰρ ἐμάνθανε διὰ πάντων τοῦ πατριάρχου τὴν ἀρετήν. ἵνα γὰρ μὴ νομίσῃ δι' ἀπόνοιαν αὐτὸν καὶ μεγαλοφροσύνην παρεωρακέναι τῶν παρ' αὐτοῦ διδομένων, διὰ τοῦτό φησι πρὸς αὐτόν· ἐγὼ μὲν οὐδὲν λήψομαι· οὐδὲ γὰρ δέομαι, οὐδὲ χρήζω παρ' ἑτέρου B μοι αὔξεσθαι τὴν περιουσίαν· τοῖς δὲ τῶν κινδύνων μοι κοινωνήσασι συγχωρήσω λαβεῖν μερίδας, ἵνα μικράν τινα τῶν πόνων παραμυθίαν ἔχειν δόξωσι. καὶ πρὸς μὲν τὸν τῶν Σοδόμων βασιλέα ταῦτα ὁ δίκαιος ἀποκρίνεται. ἐπειδὴ δὲ καὶ Μελχισεδὲκ ὁ βασιλεὺς Σαλὴμ ἄρτους καὶ οἶνον αὐτῷ ἐξενέγκας προσέφερεν· ἦν γὰρ ἱερεὺς, φησι, τοῦ θεοῦ τοῦ ὑψίστου· παρ' ἐκείνου δέχεται τὰ προσενεχθέντα, καὶ τὴν εὐλογίαν τὴν παρ' αὐτοῦ εἰς αὐτὸν γεγενημένην ἀμειβόμενος, καὶ τὴν εἰς τὸν θεὸν δοξολογίαν. εἶπε γάρ, φησιν, C εὐλογημένος Ἀβραὰμ τῷ θεῷ τῷ ὑψίστῳ, καὶ εὐλογητὸς ὁ θεός, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι· δεκάτην αὐτῷ δίδωσιν ἀπὸ πάντων ὧν ἐπεκομίζετο λαφύρων. εἶδες τοῦ δικαίου τὸ φιλόθεον διὰ πάντων δεικνύμενον, καὶ πῶς παρὰ μὲν τοῦ βασιλέως Σοδόμων ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος λαβεῖν οὐκ ἠνέσχετο, τὰ δὲ τοῦ Μελχισεδὲκ προσενεχθέντα ἔλαβεν, ἀντιδιδοὺς καὶ τὰ παρ' ἑαυτοῦ, διδάσκων ἡμᾶς πολλὴν τὴν διάκρισιν ἐπιδείκνυσθαι, καὶ μὴ ἁπλῶς καὶ ἀδεῶς παρὰ πάντων δέχεσθαι; D ἐπειδὴ γὰρ ἐκεῖνος περὶ μὲν τὴν δόσιν εὐγνώμων γέγονεν, ἐν δὲ τοῖς ἄλλοις ἄπιστος ἐτύγχανε, καὶ πολλῆς ἐδεῖτο διδασκαλίας, διὰ τοῦτο ἐκείνων μὲν ὑπερεῖδε· πᾶσαν δὲ σπουδὴν ἐποιήσατο, καὶ δι' ὧν λαβεῖν παρῃτήσατο, καὶ δι' ὧν διελέχθη, πρὸς θεοσέβειαν αὐτὸν χειραγωγῆσαι. παρὰ δὲ τοῦ Μελχισεδὲκ εἰκότως λαμβάνει. διὰ γὰρ ἐπεσημήνατο ἡ θεία γραφὴ τοῦ ἀνδρὸς τὴν ἀρετὴν λέγουσα, ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου. ἄλλως δὲ καὶ τύπος ἦν τὰ γινόμενα τοῦ Χριστοῦ, καὶ αὐτὰ δὲ τὰ προσενεχθέντα μυστήριόν τι προεμήνυε.

A δι' ὃ καὶ προσήνεγκε, καὶ λαβὼν κἀκεῖνος παρὰ τῆς παρ' ἑαυτοῦ ἀμοιβῆς τῆς οἰκείας ἀρετῆς ἐδίδασκε τὸ μέγεθος. δεκάτην γὰρ αὐτῷ δέδωκε τὸν φιλόθεον αὐτοῦ σκοπὸν κἀντεῦθεν ἐμφαίνων. τάχα εἰς πολὺ μῆκος ἡμῖν ὁ λόγος ἐξετάθη, ἀλλ' οὐ μάτην οὐδὲ εἰκῆ. ἐγνώκαμεν μὲν γὰρ διὰ βραχέων τὴν ἄνωθεν καὶ ἐξ ἀρχῆς μέχρι τῆς σήμερον προκειμένων ἡμῖν τοῦ δικαίου τὴν ἀνδρείαν, τὴν μεγαλοψυχίαν, τὴν πίστιν τὴν ὑπερβάλλουσαν, τὴν φιλόσοφον γνώμην, τῆς ταπεινοφροσύνης τὸ μέγεθος, τῆς τῶν χρημάτων ὑπεροψίας τὴν ὑπερβολήν, τῆς παρὰ τοῦ θεοῦ εἰς αὐτὸν εὐνοίας τὴν διηνεκῆ πρόνοιαν· καὶ ὅπως διὰ πάντων περιφανέστε- B ρον καὶ λαμπρότερον ἐδείκνυ τὸν δίκαιον ἡ καθ' ἕκαστον καιρὸν εἰς αὐτὸν ἀντίληψις γινομένη. ἀλλ' εἰ βούλεσθε καὶ μὴ ἀπεκάμετε, ἁψώμεθα καὶ τῶν προσφάτων ἀνεγνωσμένων, καὶ ὀλίγα προσθέντες καταπαύσωμεν τὸν λόγον, ἵνα μάθητε πόσης πάλιν ἀξιοῦται ἀμοιβῆς διὰ τὸ ὑπεριδεῖν τὰ παρὰ τοῦ βασιλέως Σοδόμων αὐτῷ δεδομένων. τί γάρ φησι; μετὰ δὲ τὰ ῥήματα ταῦτα ἐγενήθη ῥῆμα κυρίου πρὸς Ἀβραμ. τίνος ἕνεκεν οὕτως ἤρξατο, μετὰ δὲ τὰ ῥήματα ταῦτα; ποῖα ῥήματα, εἰπέ μοι; ἢ δῆλον ὅτι ἅπερ πρὸς τὸν βασιλέα τῶν Σοδόμων ἐποιήσατο. C μετὰ τὴν ὑπεροψίαν, φησίν, ἐκείνην, μετὰ τὸ ἀποσείσασθαι τὰ παρ' αὐτοῦ διδόμενα, μετὰ τὴν διδασκαλίαν, ἣν διὰ τῆς τῶν δεδομένων αὐτῷ παραιτήσεως ἐποιήσατο, πρὸς θεοσέβειαν αὐτὸν χειραγωγῶν καὶ ἐπίγνωσιν τοῦ τῶν ὅλων δημιουργοῦ, μετὰ δὲ τὰ ῥήματα ταῦτα, μετὰ τὴν δεκάτην τῷ Μελχισεδὲκ παρασχεῖν, ὅτε, φησίν, ἅπαντα τὰ παρ' ἑαυτοῦ ἐπλήρωσε, τότε. μετὰ τὰ ῥήματα ταῦτα ἐγενήθη ῥῆμα κυρίου πρὸς Ἀβραμ λέγων ἐν ὁράματι τῆς νυκτὸς· μὴ φοβοῦ Ἀβραμ, ἐγὼ ὑπερασπίζω σου· ὁ μισθός σου πολὺς ἔσται σφόδρα. ὅρα φιλανθρωπίαν δεσπότου, πῶς εὐθέως παρακολουθεῖ ταῖς εὐεργεσίαις D ἀμειβόμενος, καὶ τὸν ἑαυτοῦ ἀθλητὴν ἀλείφων καὶ νεαρὸν ἐργαζόμενος. ἐγενήθη ῥῆμα κυρίου ἐν ὁράματι τῆς νυκτός. διὰ τί ἐν νυκτί; ἵνα μεθ' ἡσυχίας δέξηται τὰ λεγόμενα. καί φησι πρὸς αὐτόν, μὴ φοβοῦ Ἀβραμ. σκόπει κηδεμονίας ὑπερβολήν. τίνος ἕνεκεν ἔλεγε, μὴ φοβοῦ; ἐπειδὴ τοσούτου πλούτου κατεφρόνησεν ἐλάττον φροντίσας τῶν παρὰ τοῦ βασιλέως διδομένων, φησὶ πρὸς αὐτὸν ὁ θεός, μὴ φοβηθῇς ὅτι ὑπερεῖδες τοσούτων δωρεῶν, μηδὲ ἀγωνιάσῃς ὡς ἐλαττωμένης σοι τῆς περιουσίας.

Cæterùm vt accepit, viciſſim illum ſuis remunerando, docebat virtutis ſuę magnitudinem. Decimas enim ei dedit, etiam hac ratione piam ſuam mentem ſignificās. Fortaſſis prolixius ſeſe extendit ſermo noſter, atqui non caret cauſa, neq; fruſtra erit. Cognouimus enim paucis ab initio vſque ad hodiernam lectionē, quæ iuſti huius fortitudo, magnanimitas, excellēs fides, mens optimis moribus prædita, inſignis modeſtia, admirabilis diuitiarum contemptus, diuinę erga eum beneuolentiæ perpetua prouidentia, quę eum iugi adiutorio firmans, quotidie clariorem & illuſtriorem reddidit. Nunc autem ſi volueritis, & non defatigemini, ad ea quæ recens lecta ſunt accedamus, & paucis quibuſdam propoſitis, abſoluamus ſermonem: vt diſcatis quanta denuò ei rependatur merces, eò quòd contempſerat donata ſibi à Sodomorum rege. Quid igitur inquit? Poſt hæc autem verba, factum eſt verbum Domini ad Abram. Quare ſic incipit, poſt hæc autem verba? num indicat verba, quæ cum Sodomorum rege eſt collocutus? Poſt contemptum illum, inquit, poſtquam ea quæ ab illo oblata ſunt repulit, poſt doctrinam illam, quam reiectis donis pronunciauit, vt pietate & agnitione conditoris omnium regem initiaret, poſt hæc autem verba, poſtquam decimas Melchiſedech obtulit: quando, inquit, omnia quæ ex ſe erant impleuit, tunc poſt verba hæc: *Factum eſt verbum Domini ad Abram in* Caput 15. 1. *viſione noctis, dicens: Ne timeas Abram, ego protego te, merces tua multa valde erit.* Vide benignitatem Domini, quam ſtatim & è ueſtigiò ſequens, beneficiis ſuum athletam remuneratur, & ad vlteriora certamina iterum inſtruens, vigore nouo roborat. Factum eſt verbum Domini in viſione noctis. Quare in nocte? vt in ſilentio & quiete melius quę dicuntur accipiat. Et dicit ei: Ne timeas Abram. Attende immenſam Dei curam. Quare dixit, ne timeas: quia tantas opes contempſerat, non curatis his quę rex dabat: hoc eſt, Ne timeas, quòd deſpexeris tanta dona, neque anxius ſis quaſi imminutiores ſint tuę facultates.

Ne timeas. Deinde vt animum magis excitet, adiecit verbo & appellationem, & inquit: Ne timeas Abram. Non enim parum ad expergefaciendum facit, cùm quempiam proprio nomine compellamus: deinde ait, Ego protegam te. Multam habet & hoc verbum emphaſim. Ego qui à Chaldæis te euocaui, ego qui te huc duxi, ego qui te à periculis Ægypti liberaui, ego qui ſemel atque iterum promiſi tibi atque ſemini tuo daturum me terram hanc, ego te protegam: ego qui indies magis & magis omnibus te clarum oſtendo, ego protego te: hoc eſt, ego ſcuti vice tibi ero, ego pro te certo, ego propugnator fio, ego curam gero, ego omnia difficilia facilia tibi reddo, protego te. *Merces tua multa erit valde*. Noluiſti mercedem accipere pro laboribus quos ſuſtinuiſti, tantis periculis teipſum obiiciendo, ſed contempſiſti & regem, & munera eius. Ego tibi mercedem dabo, non tantam quantam accepturus eras, ſed multam, & valde multam: merces enim tua, inquit, multa erit valde. Vidiſti liberalitatẽ Domini? vidiſti verborũ pondus? Vidiſti quomodo excitat pietatis athletam? vidiſti quomodo animam eius confirmauit? Ipſe enim qui arcana cordium nouit, ſciebat illi opus eſſe huiuſmodi verborum conſolatione. Et vide quid ex his verbis concepta fiducia patriarcha dicit, [2] *Domine, quid mihi dabis? ego autem ſine liberis dimittor*. Poſtquam merces ipſi valde copioſa promiſſa eſt, exponit animæ ſuæ dolorem, & triſtitiam propter prolis inopiam, quæ interim in pectore eius toto illo tempore fuit, dicit: Domine, quid tale mihi dabis? Ecce enim ego vſque ad ſenectã perueni, & prole carens dimittor. Vide quomodo priſcis illis ſeculis iuſtus ille philoſophabatur: dimiſſionem ſiue abſolutionem vocans ex hoc mundo diſceſſum. Nam qui vitã honeſtè & in virtutibus egerunt, quando ex hac vita emigrant, verè liberantur, & quaſi ſoluuntur, & à certaminibus & à vinculis relaxãtur. Eſt enim mors his qui bene viuunt, tranſlatio quædã ad meliora: à momẽtanea vita ad perpetuã & immortalẽ, finémq; non habentẽ.

Ego, quid hic ſignificet.

A μὴ φοβοῦ. εἶτα ἵνα διεγείρῃ μᾶλλον αὐτοῦ τὴν ψυχὴν, προσέθηκε τῷ ῥήματι καὶ τὴν προσηγορίαν, καί φησι· μὴ φοβοῦ Ἀβραμ. οὐ μικρὸν γὰρ καὶ τοῦτο τυγχάνει πρὸς τὸ διαναστῆσαι, τὸ τὴν προσηγορίαν εἰπεῖν τοῦ καλουμένου. εἶτά φησιν, ἐγὼ ὑπερασπιῶ σου. πολλὴν ἔχει καὶ αὕτη ἡ λέξις τὴν ἔμφασιν. ἐγὼ ὁ ἀπὸ τῶν Χαλδαίων σε ἀναστήσας, ἐγὼ ὁ ἐνταῦθά σε ἀγαγὼν, ἐγὼ ὁ τῶν κινδύνων τῶν ἐν Αἰγύπτῳ ἐλευθερώσας, ἐγὼ ὁ καὶ ἅπαξ καὶ δεύτερον ὑποσχόμενός σοι καὶ τῷ σπέρματί σου δώσειν τὴν γῆν ταύτην, ἐγώ σου ὑπερασπίζω, ἐγὼ ὁ καθ' ἑκάστην ἡμέραν περι-
B φανέστερον πᾶσιν ἀποδεικνύς σε, ἐγὼ ὑπερασπίζω σου, τουτέστιν ἐγὼ ὑπεραγωνίζομαι, ἐγὼ ὑπέρμαχος γίνομαι, ἐγὼ φροντίζω, ἐγὼ πάντα τὰ δυσχερῆ εὔκολά σοι καθίστημι. ἐγὼ ὑπερασπίζω σου. ὁ μισθός σου πολὺς ἔσται σφόδρα. οὐκ ἠβουλήθης μισθὸν λαβεῖν ὑπὲρ τῶν καμάτων, ὧν ὑπέμεινας τοσούτοις κινδύνοις ἑαυτὸν παραβαλὼν, ἀλλ' ὑπερεῖδες καὶ τοῦ βασιλέως καὶ τῶν παρ' αὐτοῦ σοι δεδομένων. ἐγώ σοι παρέξω τὸν μισθὸν, οὐ τοσοῦτον ὅσον λαμβάνειν ἔμελλες, ἀλλὰ πολὺν καὶ σφόδρα πολύν. ὁ μισθός σου
C γάρ, φησι, πολὺς ἔσται σφόδρα. εἶδες φιλοτιμίαν δεσπότου; εἶδες ῥημάτων ὄγκον; εἶδες πῶς διανέστησε τὸν τῆς εὐσεβείας ἀθλητήν; εἶδες πῶς αὐτοῦ τὴν ψυχὴν ἐνεύρωσεν; ὁ γὰρ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος ᾔδει ὅτι ἐχρῄζεν ὁ δίκαιος τῆς ἀπὸ τῶν ῥημάτων παρακλήσεως. ὅρα γοῦν φησιν, ἐπειδὴ παρρησίαν ἔλαβε διὰ τῶν ῥημάτων. εἶπε δὲ Ἀβραμ, δέσποτα, τί μοι δώσεις, ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος. ἐπειδὴ μισθὸν αὐτῷ ἐπηγγείλατο, καὶ πολὺν μισθὸν καὶ σφόδρα πολὺν, ἐμφαίνων ἑαυτοῦ τῆς ψυχῆς τὴν
D ὀδύνην, καὶ τὴν ἐν διηνεκεῖ τῷ χρόνῳ ἐγγινομένην αὐτῷ ἀθυμίαν τῆς ἀπαιδίας ἕνεκεν, φησί, δέσποτα, τί τοιοῦτόν μοι δώσεις; ἰδοὺ γὰρ λοιπὸν εἰς γῆρας ἔσχατον ἐλάσας ἄτεκνος ἀπολύομαι. ὅρα πῶς ἐκ προοιμίων ὁ δίκαιος ἐφιλοσόφει, ἀπόλυσιν καλῶν τὴν ἐντεῦθεν ἔξοδον. οἱ γὰρ μετ' ἀκριβείας τὴν ἀρετὴν μετιόντες, ἐπειδὰν τῆς ἐντεῦθεν ζωῆς μεταστῶσιν, ἀληθῶς ὥσπερ ἀπολύονται τῶν ἀγώνων, καὶ τῶν δεσμῶν ἀφίενται. καὶ γὰρ μετάστασίς τίς ἐστι τοῖς ἐναρέτως βιοῦσιν ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω, ἀπὸ τῆς προσκαίρου ζωῆς ἐπὶ τὴν διηνεκῆ καὶ ἀθάνατον καὶ πέρας οὐκ ἔχουσαν.

ἐγὼ δέ, φησιν, ἀπολύομαι ἄτεκνος. καὶ ἵνα τὸν εὔ- A
σπλαγχνον δεσπότην ἐπισπάσηται, οὐδὲ μέχρι τούτων ἔστη, ἀλλὰ τί φησιν; ὁ δὲ υἱὸς Μαζὲκ τῆς οἰκογενοῦς μου, ἐπειδὴ οὐκ ἔδωκάς μοι σπέρμα, οὗτος κληρονομήσει. πολλὴν ἐπίτασιν ὀδύνης τῆς ἐν τῇ ψυχῇ ἐμφαίνει ταυτὶ τὰ ῥήματα. μονονουχὶ γάρ φησι πρὸς τὸν θεόν, οὐδὲ τῆς αὐτῆς ἠξιώθην, ὧν ὁ οἰκογενής, ἀλλ' ἐγὼ μὲν ἄγονος καὶ ἄτεκνος ἀπελεύσομαι, οὗτος δὲ ὁ οἰκογενής μου κληρονομήσει τὰ παρὰ σοῦ μοι δωρηθέντα, καὶ ταῦτα ἅπαξ καὶ δεύτερον ὑπόσχεσιν μου δεξαμένου παρὰ σοῦ, ὅτι τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. σκό-
πει μοι καὶ ἐντεῦθεν τοῦ δικαίου τὴν ἀρετήν· ὅτι B
καὶ τοὺς λογισμοὺς τούτους στρέφων ἐν τῇ διανοίᾳ οὐδέποτε ἐδυσχέρανεν, οὐδέποτε βαρύ τι ἐφθέγξατο· ἀλλὰ καὶ νῦν προτραπεὶς ἐκ τῶν πρὸς αὐτὸν ῥημάτων, παρρησιάζεται πρὸς τὸν δεσπότην, καὶ τὴν ἔνδοθεν λογισμῶν τὴν ταραχὴν κατάδηλον ποιεῖ, καὶ δείκνυσι τῆς ψυχῆς αὐτοῦ τὸ ἕλκος· δι' ὃ καὶ ταχεῖαν τὴν ἰατρείαν ἐδέξατο. καὶ εὐθέως, φησί, φωνὴ θεοῦ ἐγένετο πρὸς αὐτόν. ὅρα τῆς γραφῆς τὴν παρατήρησιν. εὐθέως φησίν. οὐ συνεχώρησεν οὐδὲ μικρὸν διαταραχθῆναι τὸν δίκαιον, ἀλλὰ
ταχεῖαν εἰσάγει τὴν παραμυθίαν, καὶ τῆς λύπης C
τὸ μέγεθος διασκεδάζει διὰ τῶν πρὸς αὐτὸν ῥημάτων. καὶ εὐθύς, φησι, φωνὴ θεοῦ ἐγένετο πρὸς αὐτὸν λέγουσα, οὐ κληρονομήσει σε οὗτος, ἀλλ' ὃς ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρονομήσει σε. τοῦτο, φησι, δέδοικας; τοῦτό σου τὸν λογισμὸν ταράττει; τοῦτό σου τὴν ἀθυμίαν ἐπιτείνει; μάνθανε τοίνυν ὅτι οὐ κληρονομήσει σε οὗτος· ἀλλ' ὃς ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρονομήσει σε. μὴ πρὸς τὴν φύσιν τοίνυν ἴδῃς τὴν ἀνθρωπίνην, μηδὲ τὸ γῆρας ἐννόει τὸ σόν, μήτε τῆς Σάρας
τὴν πήρωσιν· ἀλλὰ τῇ δυνάμει ἐμοῦ τοῦ ἐ- D
παγγειλαμένου πεποιθὼς τῆς μὲν ἀθυμίας ἐκτὸς γίνου, δέχου δὲ καὶ ἱκανὴν τὴν παράκλησιν, καὶ πεῖσον σαυτόν, ὡς ἕξεις κληρονόμον τὸν ἐκ σοῦ μέλλοντα τίκτεσθαι. εἶτα ἐπειδὴ ὑπὲρ φύσιν ἦν ἡ ἐπαγγελία, καὶ ἐνίκα λογισμὸν ἀνθρώπινον· πολλὴν γὰρ αὐτῷ ἐνεποίει τὴν ζάλην τὰ τῆς φύσεως κωλύματα, τὸ γῆρας τὸ αὐτοῦ, τῆς Σάρας ἡ πήρωσις, τῆς μήτρας ἡ νέκρωσις· ἐπιτείνει τῆς ἐπαγγελίας τὸ μέγεθος, ἵνα πρὸς τὴν τοῦ ἐπαγγειλαμένου φιλοτιμίαν ἀφορῶν θαῤῥεῖν ὁ δίκαιος ἔχῃ. ἐξήγαγε δὲ αὐτὸν ἔξω, φησί, καὶ

Ego autem dimittor, inquit, prole carens. Et vt miſericordem dominum ſibi conciliaret, non iis contentus fuit verbis. Et quid dicit? *Filius autem Maſek vernaculæ meæ,*[3] *quoniam non dediſti mihi ſemen, ille hæres meus erit.* Ingentem dolorem animæ eius declarant hęc verba, quaſi diceret Deo: Neque ea ſum aſſecutus quæ ſeruus meus vernaculus, ſed ego quidem abibo ſine filio: hic autem vernaculus meus hæreditatem accipiet, quæ à te mihi data, ídque cùm ſemel atque iterum promiſſionẽ à te acceperim, dicentẽ: Semini tuo dabo terrã hanc. Conſidera obſecro & hoc loco iuſti virtutem, quòd cogitationes has in animo verſans, nunquam indignatus eſt, neque aliquid durum locutus eſt: ſed & nunc inſtigatus verbis quæ locutus eſt ei dominus, magna fiducia dominum alloquitur, manifeſtámque facit internam cogitationum perturbationẽ, oſtendens animæ ſuæ vlcus, vnde & acceleratũ accepit medicamentũ. [4] *Et ſtatim vox Dei facta eſt ad eum.* Vide quomodo ſignanter ſcriptura loquitur. Statim, inquit. Non permiſit iuſtũ ad paruulum tẽpus ægrè habere, ſed feſtinatam ei conſolationem affert, & grauitatem mœroris emendat verbis quæ tunc ei locutus eſt. *Et ſtatim, inquit, vox Dei facta eſt ad eum, dicens: Non erit hic hæres tuus, ſed qui egredietur ex te, hic hæres tuus erit.* Hoccine, inquit, timuiſti? hoccine mentẽ tuã turbauit? hoccine triſtitiam tuam auxit? Scias igitur, quòd non erit hic hæres tuus, ſed qui egredietur ex te, hic hæres tuus erit. Ne igitur ad humanam ſpectes naturã: ne tuam ſenectam, Saræúe ſterilitatem cogites: ſed eius qui tibi promiſit potentiæ bene fide, & triſtitiam ponens, ſufficientem conſolationem, accipe, perſuadéque tibi te hæredem habiturum, qui ex te naſcatur. Porrò quia ſupra naturam erat promiſſio, & vincebat humanam rationem (magnam enim in eo turbationem excitabant tot naturæ præpedimenta, ſenectus eius, & quòd Sara ſterilis, ac vtero emortuo erat) auget dominus promiſſorum magnitudinem, vt iuſtus ad promittentis liberalitatem reſpiciens, bene ſperaret, conſiderétque ſic euẽturum.[6] *Eduxit autẽ eum foras, & dixit*

ei: Suſpice in coelum, & numera ſtellas, ſi poteris numerare eas. Et dixit ei: Sic erit ſemen tuum. [b] *Et credidit Abram Deo, & reputatum eſt illi in iuſtitiam.* Quare indicauit, quòd duxit eum foras? Quia enim ſuperius dixit, quòd in viſione noctis apparens ei, verba illa ei locutus ſit: nunc autem vult ei oſtendere, quàm innumerabiles ſint in cœlo ſtellæ, inquit: Eduxit eum foras: & dixit: Suſpice in cœlum, & numera ſtellas, ſi poteris eas dinumerare. Et dixit ei: Sic erit ſemen tuum. Magnũ promiſſum, varia promiſſionis magnitudo: ſed ſi ipſam promittentis virtutem cogitabimus, nihil nobis apparebit magnum. Qui enim de terra corpus formauit, & quod non erat, eſſe fecit, & condidit omnia quæ videntur, ille etiam dare poterit quæ ſupra naturam ſunt. Vidiſti domini liberalitatem, quàm certet beneficiis? Poſtquam enim dixit, abſque prole dimittor, quaſi apud portas mortis exiſtens, & nihil amplius operari valens vt procreentur liberi: ſic verba illa protulit, dicens: Filius Maſec vernaculæ meæ, hæres meus erit. Ideo volens ſpiritum eius erigere, & nouum vigorem menti addere, ab imminente timore eum liberat, promiſſionéque ac doni magnitudine mentem eius erigit, & oſtendendo ſtellarum multitudinem, & promittendo naſciruros ex eo illis pares futuros, in bonam ſpem adducit. Videns enim Dei promiſſionem, reiecta omni humana ratione, & neque ad ſeipſum, neque ad Saram minus procreationi aptam, reſpiciens: ſed præteritis humanis omnibus, ſciens quòd potens eſt Deus etiam ea, quæ ſupra naturam ſunt, largiri, fidem habuit dictis, nullam dubitationem admittens, neque cum dicta hæc fuerunt, hæſitauit. Hoc enim veræ fidei eſt, quando promiſſiones non iuxta ſolitum morem, & hominibus cognitum fiunt, nos promiſſoris virtuti fidimus. Fides enim eſt, quemadmodum beatus Paulus ait, eorum quæ ſperantur ſubſtantia, rerum quæ non videntur argumentum.[c] Et iterum: Quòd enim videt quis, quid ſperat? Hoc igitur eſt fides, quando illis credimus quæ non videntur,

Fidei definitio. Heb. 11. 1. Rom. 8. 24.

A εἶπεν αὐτῷ· ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ ἀρίθμησον τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. καὶ εἶπεν· οὕτως ἔσται τὸ σπέρμα σου. καὶ ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. τίνος ἕνεκα ἐπεσημήνατο, ὅτι ἐξήγαγεν αὐτὸν ἔξω; ἐπειδὴ γὰρ ἀνωτέρω εἶπεν, ὅτι ἐν ὁράματι τῆς νυκτὸς ὀφθεὶς αὐτῷ τὰ πρὸς αὐτὸν ἐποιήσατο ῥήματα, βούλεται δὲ νῦν αὐτῷ δεῖξαι τῶν ἀστέρων τῶν ἐν τῷ οὐρανῷ τὸ ἀναρίθμητον, φησὶν, ἐξήγαγεν αὐτὸν ἔξω καὶ εἶπεν· ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. καὶ εἶπεν· οὕτως ἔσται τὸ σπέρμα σου. μέγα τὸ ἐπάγγελ-

B μα, πολὺ τὸ μέγεθος τῆς ὑποσχέσεως· ἀλλ' ἐὰν τὴν δύναμιν τοῦ ὑπισχνουμένου ἐννοήσωμεν, οὐδὲν ἡμῖν φανεῖται μέγα. ὁ γὰρ ἀπὸ γῆς σῶμα διαπλάσας, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, καὶ δημιουργήσας ἅπαντα τὰ ὁρώμενα, οὗτος καὶ τὰ ὑπὲρ φύσιν χαρίσασθαι δυνήσεται. εἶδες δεσπότου φιλοτιμίαν; ἐπειδὴ γὰρ εἶπεν, ἀπολύομαι ἄτεκνος, καὶ ὡσανεὶ περὶ αὐτὰς τοῦ θανάτου τὰς θύρας τυγχάνων, καὶ οὐκ ἔτι λοιπὸν ἐνεργῆσαι δυνάμενος πρὸς παιδοποιΐαν, οὕτω τὰ ῥήματα ἐκεῖνα προσήκατο λέγων, ὅτι ὁ υἱὸς Μασὲκ τῆς

C οἰκογενοῦς μου κληρονομήσει με· διὰ τοῦτο ἀναστῆσαι αὐτοῦ βουλόμενος τὸ φρόνημα καὶ ἀκμάζοντα τὸν λογισμὸν ἐργάσασθαι, καὶ τοῦ δέους αὐτὸν ἀπαλλάττει τοῦ ἐπικειμένου καὶ τῇ ὑποσχέσει ἀνορθοῖ αὐτοῦ τὴν διάνοιαν, καὶ τῷ μεγέθει τῆς δωρεᾶς, καὶ τῷ ὑποδεῖξαι τῶν ἀστέρων τὸ πλῆθος, καὶ ἐξ ἴσης τούτων ἐπαγγείλασθαι γενήσεσθαι τοὺς τικτομένους, εἰς χρηστὰς ἤγαγεν αὐτὸν ἐλπίδας. ὁρῶν γὰρ τοῦ δεσπότου τὴν ἐπαγγελίαν, καὶ πάντα ἀνθρώπινον λογισμὸν ἀποστησάμενος, καὶ οὔτε πρὸς ἑαυτὸν ἰδὼν, οὔτε πρὸς τὴν Σάῤῥαν πλείονα κωλύματα

D ἔχουσαν, ἀλλὰ τὰ ἀνθρώπινα πάντα ὑπερβὰς καὶ εἰδὼς ὅτι δυνατὸς ὁ θεὸς καὶ τὰ ὑπὲρ φύσιν δωρήσασθαι, ἐθάῤῥησε τοῖς εἰρημένοις καὶ οὐδεμίαν ἀμφιβολίαν ἐδέξατο, οὐδὲ ἐδίστασε πρὸς τὰ ῥηθέντα. τοῦτο γὰρ ἀληθοῦς πίστεως, ὅταν, μὴ κατὰ ἀνθρωπίνην ἀκολουθίαν γινομένης τῆς ἐπαγγελίας, ἡμεῖς θαῤῥῶμεν τῇ τοῦ ὑπισχνουμένου δυνάμει. πίστις γάρ ἐστι, καθὼς καὶ ὁ μακάριος Παῦλός φησιν, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων. καὶ πάλιν, ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; ἐκεῖνο τοίνυν ἐστὶ πίστις, ὅταν ἐκείνοις πιστεύωμεν τοῖς μὴ βλεπομένοις,

πρὸς τὴν ἀξιοπιστίαν τοῦ ἐπαγγειλαμένου τὴν διάνοιαν τείναντες. ὃ δὴ καὶ ὁ δίκαιος οὗτος πεποίηκε, πολλὴν καὶ γνησίαν πίστιν ἐπιδειξάμενος περὶ τὰ ἐπαγγελθέντα. δι' ὃ καὶ ἀνακηρύττεται ὑπὸ τῆς θείας γραφῆς. ἐπήγαγε γὰρ εὐθέως, καὶ ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. εἶδες πῶς καὶ πρὸ τῆς ἐκβάσεως τῶν ἐπαγγελθέντων, ἐπ' αὐτῷ τῷ πιστεῦσαι ἀρκοῦσαν τὴν ἀμοιβὴν ἐδέξατο. εἰς γὰρ δικαιοσύνην αὐτῷ ἐλογίσθη τὸ πιστεῦσαι τῇ παρὰ τοῦ θεοῦ ἐπαγγελίᾳ, καὶ μὴ λογισμοῖς ἀνθρωπίνοις περιεργάσασθαι τὰ παρὰ τοῦ θεοῦ αὐτῷ εἰρημένα. παιδευώμεθα τοίνυν, παρακαλῶ, καὶ ἡμεῖς παρὰ τοῦ πατριάρχου πιστεύειν τοῖς παρὰ τοῦ θεοῦ εἰρημένοις καὶ ταῖς ὑποσχέσεσιν αὐτοῦ θαῤῥεῖν, καὶ μὴ τοῖς οἰκείοις λογισμοῖς κατακολουθεῖν, καὶ πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι. τοῦτο γὰρ ἡμᾶς καὶ δικαίους ἀποφῆναι δυνήσεται, καὶ ταχέως παρασκευάσει τῶν παρ' αὐτοῦ ἐπηγγελμένων ἐπιτυχεῖν. ἀλλὰ τῷ μὲν Ἀβραὰμ ἐπηγγείλατο ἐκ τοῦ σπέρματος αὐτοῦ ὁλόκληρον πλῆθος γενήσεσθαι, καὶ ὑπὲρ φύσιν καὶ ἀκολουθίαν ἀνθρωπίνην τὰ τῆς ἐπαγγελίας ἦν, δι' ὃ καὶ ἡ πίστις ἡ περὶ αὐτὸν τὴν δικαιοσύνην αὐτῷ ἐκόμισεν, ἡμῖν δὲ, ἐὰν νήφωμεν, πολλῷ μείζονα ὑπέσχετο, καὶ πολλῷ τοῦ μέτρου τοὺς ἀνθρωπίνους λογισμοὺς ὑπερακοντίσαι δυνάμενα· μόνον ἐὰν πιστεύσωμεν τῇ τοῦ ὑποσχομένου δυνάμει, ἵνα καὶ τὴν ἐκ πίστεως δικαιοσύνην κομισώμεθα, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν. τὰ γὰρ ἡμῖν μάλιστα ἐπαγγελθέντα πάντα λογισμὸν ἀνθρώπινον νικᾷ, καὶ πᾶσαν διάνοιαν ὑπερβαίνει. τοσοῦτο τῶν ὑποσχέσεών ἐστι τὸ μέγεθος. οὐδὲ γὰρ τὰ ἐν τῷ παρόντι μόνον ὑπέσχετο, καὶ τὴν ἐνταῦθα ζωῆς τὴν σύστασιν, καὶ τὴν ἀπόλαυσιν τῶν ὁρωμένων, ἀλλὰ καὶ μετὰ τὴν ἐντεῦθεν ἔξοδον καὶ τὴν τῶν σωμάτων φθορὰν, ἐπειδὰν εἰς τέφραν καὶ κόνιν διαλυθῇ ἡμῶν τὰ σώματα, τότε ἀναστήσειν αὐτὰ ἐπηγγείλατο, καὶ ἐν μείζονι δόξῃ καταστήσειν. δεῖ γὰρ, φησιν ὁ μακάριος Παῦλος, τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. καὶ μετὰ τὴν τῶν σωμάτων ἀνάστασιν τῆς βασιλείας ἡμῖν τὴν ἀπόλαυσιν δωρήσασθαι ὑπέσχετο, καὶ τὴν μετὰ τῶν ἁγίων διαγωγὴν, καὶ τὴν ἐν διηνεκεῖ αἰῶνι ἀπόλαυσιν, καὶ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. εἶδες πόση τῶν ὑποσχέσεων ἡ ὑπερβολή; εἶδες δωρεῶν μέγεθος;

A & mentem ad dignitatẽ eius qui promiſit intẽdimus: id quod profectò & iuſtus ille fecit, ſynceram & eximiam promiſſis fidem habens: Idcirco & à ſcriptura diuina laudatur, mox enim addidit: Credidit Abram Deo, & reputatum eſt ei in iuſtitiam. Vid[illegible] quomodo & ante euentum & impletionem promiſſorum, eo ipſo quod credidit, iuſtam mercedem accipit? Nam in iuſtitiam ei reputatum eſt, quòd credidit promiſſioni diuinæ, & nõ humana ratiocinatione curioſius ea quæ dicta ſunt, explorauit. Diſcamus igitur & nos obſecro à patriar- (Moralis exhortatio.) B cha, Dei credere dictis, & eius promiſſionibus fidere, neque ea cogitationibus noſtris indagare, ſed magnã animi æquitatẽ exhibere. Hoc enim nos & iuſtos declarare poterit, & aſſequi promiſſa faciet. Atqui Abræ promiſſum eſt, quòd ex ſemine eius maxima futura eſſet multitudo, eràntque præter ſolitum naturæ modum quæ promiſſa erant: proinde & fides in Deum iuſtitiã ei attulit. Nobis autem, ſi ſapimus, multò maiora promiſſa ſunt, & multis modis humanas cogitationes tranſcendere poſſu- C mus, modo tam potenti promiſſori credamus, vt & eam quæ ex fide eſt, iuſtitiam reportemus, & adipiſcamur bona promiſſa. Ea enim quæ nobis maximè promiſſa, omnem humanam tranſcendunt rationem, & omnem cogitationem excedunt: tanta promiſſionum eſt magnitudo. Neque in præſenti vita ſolùm nobis promiſit huius vitæ ſtatum & viſibilium fruitionem: ſed & poſtquam hinc emigrauerimus, & poſt corporis corruptionem, quando in cinerem & pul- D uerem noſtra diſſoluta fuerint corpora, tunc reſurrectura ea promiſit, & in maiori gloria futura. Oportet (1. Cor. 15. 53.) enim (inquit beatus Paulus) corruptibile hoc induere incorruptionem, & mortale hoc induere immortalitatem. Et poſt corporum reſurrectionem regno frui, daturum ſe nobis pollicitus eſt, & conuerſationem cum (1. Cor. 2. 9.) ſanctis, & in perpetuo ſeculo quietem, & ineffabilia illa bona, quæ oculus non vidit, & auris non audiuit, & in cor hominis non aſcenderunt. Vidiſti quanta promiſſionum excellentia? Vidiſti donorum magnitudinem?

Hæc cogitantes, & ſcientes quòd mentiri nequit is qui ea promiſit: magna alacritate præparemus nos ad virtutis agones, vt & promiſſis bonis frui poſſimus: & ne præferamus ſaluti noſtræ & tantis bonis momentanea: neque cogitemus labores virtutis, ſed retributiones in mente ponamus: neque pecuniarum ſumptus tantum ſpectemus, ſi quando opus eſt eas pauperibus erogare, ſed potius quantus inde nobis prouentus naſcatur. Ea enim de cauſa ſemini eleemoſynam comparauit diuina ſcriptura, vt cum gaudio & multa alacritate eam operemur. Nam ſi ij qui ſemina terræ concredunt, & collecta, & intus repoſita ſpargentes, ita negociantur, & bona ſpe fouentur, & tunc manipulos imaginantur ac plenas areas: multò magis quibus datum eſt ſemen hoc ſpirituale ſeminare, gaudere & exultare conuenit, quòd meſſuri ſint in cœlo hoc, quod in terra ſerunt: & nummos expendendo, peccatorum autem remiſſionem accipiunt, & fiduciæ materiam inueniunt conciliantes ſibi per ea quę hîc dant, perpetuam quietem, & cum ſanctis conuerſationem. Et continentiam eligere volentes, non ſpectemus, quòd laborem habet virtus, neque quòd virginitas magnũ habet certamen: ſed eam ſortem, quę nos excipiet, cogitemus: hanc ſemper ante oculos noſtros depingentes, malæ concupiſcentiæ refrænemus rabiem, vincamus carnis motus indecentes, & reſpectu mercedis laborum moleſtiam ſubleuemus. Sufficit enim bonorum ſpes, vt etiam pericula contemptim aggrediamur: quãtò magis vt virtutis labores fortiter feramus? Quando enim animo verſas, quòd ſi ad breue tempus certaueris, & fulgidam ſeruaueris virginitatis lampadem, iam beata vita cenſeberis dignus, & cum ſponſo intrare poteris, modò accenſas habeas lampades, & ſufficiens oleum, (bonorum operum actionem inquam) quomodo non cum omni facilitate difficilia omnia tranſcurrere, co-
Heb. 12. 14. gitans illud quod à beato Paulo dictum eſt: Pacem ſectemini cum omnibus, & ſanctificationem, abſque qua nullus videbit Dominum?

A ταῦτα ἐννοοῦντες, καὶ εἰδότες τὸ ἀψευδὲς τοῦ ἐπαγγειλαμένου μετὰ προθυμίας πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας ἀποδυώμεθα, ἵνα καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἀπολαῦσαι δυνηθῶμεν· καὶ μὴ προτιμῶμεν τῆς ἡμετέρας σωτηρίας καὶ τῶν τοσούτων ἀγαθῶν τῆς ἀπολαύσεως τὰ πρόσκαιρα, μηδὲ τοὺς πόνους τῆς ἀρετῆς λογιζώμεθα, ἀλλὰ τὰς ἀντιδόσεις ἐννοῶμεν· μηδὲ τῶν χρημάτων τὴν δαπάνην ὁρᾶν βουλώμεθα, ἐπειδὰν δέῃ ταῦτα τοῖς πένησι δοῦναι, ἀλλὰ τὴν ἐντεῦθεν γινομένην
B πρόσοδον. διὰ γὰρ τοῦτο τῷ σπόρῳ τὴν ἐλεημοσύνην παρείκασεν ἡ θεία γραφή, ἵνα μετὰ χαρᾶς καὶ πολλῆς τῆς προθυμίας αὐτὴν ἐργαζώμεθα. Εἰ γὰρ οἱ τῇ γῇ τὰ σπέρματα παρακατατιθέμενοι, καὶ τὰ συνηγμένα καὶ ἔνδον ἀποκείμενα σκορπίζοντες μετὰ χαρᾶς τοῦτο διαπράττονται, καὶ ταῖς χρησταῖς ἐλπίσι τρεφόμενοι ἤδη τὰ δράγματα καὶ τὴν ἅλω πεπληρωμένην τοῖς λογισμοῖς ὑπογράφουσι· πολλῷ δὴ μᾶλλον τοὺς τὸν σπόρον τοῦτον τὸν πνευματικὸν σπείρειν καταξιουμένους, χαίρειν καὶ γεγηθέναι προσήκει· ὅτι ἐπὶ γῆς σπείροντες, ἐν οὐρανῷ
C θερίζειν μέλλουσι, καὶ ἀργύρια καταβάλλοντες ἁμαρτημάτων συγχώρησιν δέχονται, καὶ παρρησίας ἀφορμὴν εὑρίσκουσι, προξενοῦντες ἑαυτοῖς διὰ τῶν ἐνταῦθα διδομένων τὴν διηνεκῆ ἀνάπαυσιν, καὶ τὴν μετὰ τῶν ἁγίων διαγωγήν. κἂν σωφροσύνην ἑλώμεθα, μὴ τοῦτο σκοπῶμεν ὅτι πόνον ἔχει ἡ ἀρετή· μηδὲ ὅτι ἡ παρθενία πολὺν ἔχει τὸν ἀγῶνα, ἀλλὰ τὴν διαδεξομένην ἡμᾶς λῆξιν ἐννοῶμεν, καὶ ταύτην ἀεὶ ἀναλογιζόμενοι τῆς ἐπιθυμίας τῆς πονηρᾶς χαλινώσωμεν τὴν λύτταν· περιγινώμεθα τῶν τῆς σαρκὸς σκιρτημάτων, καὶ τῇ τῶν ἀμοιβῶν ἀντιδόσει
D τὴν δυσχέρειαν τῶν πόνων ὑποτεμνώμεθα. ἱκανὴ γὰρ ἡ τῶν χρηστῶν ἐλπὶς καὶ κινδύνων παρασκευάσαι κατατολμᾶν, μήτι γε δὴ τῆς ἀρετῆς τοὺς πόνους γενναίως ἐνεγκεῖν. ὅταν γὰρ ἐννοήσῃς, ὅτι πρὸς βραχὺν ἀγωνισάμενος χρόνον, καὶ τῆς παρθενίας τὴν λαμπάδα φαιδρὰν διατηρήσας ἐκείνης ἀξιωθήσῃ τῆς μακαρίας διαγωγῆς, καὶ τῷ νυμφίῳ συνεισελθεῖν δυνήσῃ, εἰ τὰς λαμπάδας ἔχοις ἀνημμένας, καὶ ἀρκοῦν ἐχούσας ἔλαιον, τουτέστι τὴν ἀπὸ τῶν ἀγαθῶν πράξεων ἐργασίαν, πῶς οὐχὶ μετὰ πάσης εὐκολίας ἅπαντα τὰ δυσχερῆ διαδραμεῖν δυνήσῃ, ἐννοῶν ἐκεῖνο τὸ παρὰ τοῦ μακαρίου Παύλου εἰρημένον· εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον;

Εἶδες πῶς τῇ ἁγιωσύνῃ τὴν εἰρήνην συνέζευξεν; ἵνα γὰρ μάθωμεν ὅτι οὐ μόνον ἁγνείαν σώματος ἐπιζητεῖ, ἀλλὰ καὶ εἰρήνην, εὐκαίρως ἐμνημόνευσεν ἑκατέρωθεν ἀσφαλίζεσθαι βουλόμενος ἕκαστον, καὶ ἐν καταστάσει εἶναι τῶν λογισμῶν, ὥστε μηδεμίαν εἶναι ταραχὴν ἢ θόρυβον ἐν ἡμῖν, ἀλλ' ἐν γαλήνῃ καὶ ἡσυχίᾳ διάγειν, καὶ μετὰ πάντων εἰρηνικῶς διακεῖσθαι, καὶ ἡμέρους εἶναι καὶ πρᾳεῖς καὶ ἐπιεικεῖς, ὥστε πάντα τῆς ἀρετῆς τὰ χρώματα ἐπανθεῖν ἡμῶν τῷ προσώπῳ. οὕτω γὰρ λοιπὸν καὶ τῆς δόξης τοῦ παρόντος βίου ὑπερορᾶν δυνησόμεθα τὴν ἀληθῆ δόξαν προτιμῶντες, καὶ τῆς ταπεινοφροσύνης πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ πάσης τῆς τοῦ παρόντος βίου εὐημερίας καταγελᾶν, ἵνα τῆς ἀληθοῦς καὶ βεβαίας εὐημερίας ἀπολαύσωμεν, καὶ τὸν Χριστὸν ἰδεῖν καταξιωθῶμεν. μακάριοι γάρ, φησιν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. καθαρίσωμεν τοίνυν ἡμῶν τὸ συνειδὸς καὶ μετ' ἀκριβείας τὸν ἑαυτῶν βίον οἰκονομῶμεν, ἵνα τὴν παροῦσαν ζωὴν μετὰ πάσης ἀρετῆς διανύσαντες, τῶν ἐνταῦθα πόνων τὰς ἀμοιβὰς λαβεῖν καταξιωθῶμεν ἐν τῷ μέλλοντι αἰῶνι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία λζ.

Εἶπε δὲ κύριος πρὸς Ἀβραάμ· ἐγώ εἰμι ὁ θεὸς ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι αὐτήν, εἶπε δέ, δέσποτα κύριε, κατὰ τί γνώσομαι, ὅτι κληρονομήσω αὐτήν;

Μεγάλη τῆς θείας γραφῆς ἡ δύναμις, καὶ πολὺς ὁ τοῖς ῥήμασιν ἐγκεκρυμμένος πλοῦτος τῶν νοημάτων. διὸ προσήκει μετ' ἀκριβείας ἡμᾶς προσέχοντας πολλὴν ποιεῖσθαι τὴν ἔρευναν, ἵνα δαψιλῆ τὴν ὠφέλειαν ἐντεῦθεν καρπωσώμεθα. διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς παρήγγειλε λέγων, ἐρευνᾶτε τὰς γραφάς· ἵνα μὴ ἁπλῶς ψιλῇ προσέχωμεν τῇ ἀναγνώσει, ἀλλὰ τὸ βάθος ἀνιχνεύοντες τὸν ἀληθῆ τῆς γραφῆς νοῦν καταλαβεῖν δυνηθῶμεν. τοιοῦτον γὰρ τῆς γραφῆς τὸ ἔθος· ἐν βραχέσι ῥήμασιν ἔστι πολλάκις εὑρεῖν πολὺ πλῆθος νοημάτων.

A Vidiſti quomodo ſanctificationi pacem coniunxit. Nam vt ſciamus quòd non ſolum corporis requirit puritatem, ſed & pacem, opportunè nos monet, vtrinque volens munire, vt & cogitationes ſedemus, ita vt nulla ſit in nobis turbatio, nullúſque tumultus: ſed in tranquillitate & quiete verſemur, & cum omnibus pacificè agamus, & manſueti ſimus, & mites, & humani, atque adeò vt omnes virtutis colores in facie noſtra reluceant. Ita enim deinceps & gloriam præſentis vitæ poterimus deſpicere, veram gloriam præferen-
B tes, & humilitatis maiorem habentes curam, rideréque omnem præſentis vitæ proſperitatem, vt vera & ſolida felicitate fruamur, & Chriſtum videre mereamur. Beati enim, inquit, Matth. 5. 6.
puri corde, quoniam ipſi Deum videbunt. Purificemus itaque noſtram conſcientiam, & magna cura vitam noſtram gubernemus: vt cùm præſentem vitam in omni virtutum genere tranſierimus, horum laborum præmia mereamur accipere in futuro ſeculo, gratia & miſericordia do-
C mini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit gloria, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

HOMILIA XXXVII.

Dixit autem ei: Ego ſum Deus, qui eduxi te de terra Chaldæorum, vt darem tibi terram hanc, vt in hæreditatem poſſideas eam. Dixit autem: domine domine ſecundùm quid cognoſcam quòd in hæreditatem accipiam eam? Gen. 15. 7.

D MAGNA diuinæ ſcripturę virtus eſt, & multæ in verbis latent ſententiarum diuitiæ. Ideo congruit, vt diligenter intendamus, & ſollicitè ſcrutemur, quò ampliorem vtilitatem inde percipiamus. Nam propter hoc & Chriſtus præcepit dicens: Scrutemini ſcripturas: Ioan. 5. 39. vt non tantùm nudæ lectioni vacemus, ſed indagatis profundis, verum veritatis ſenſum percipere valeamus. Talis enim ſcripturæ mos eſt, vt & in paruis verbis plurima ſæpe multitudo ſenſuum inueniatur.

Diuina enim ſunt dogmata, non humana, & propter hoc omnem illam videre licet ſecus ſe habere quàm humanam. Et quomodo hoc? ego dicam. Illic enim, in humana ſapientia omne ſtudium concinnandis verbis adhibitum eſt: hic verò prorſus aliter. Nullam ſcripturæ habent rationem pulchritudinis vel compoſitionis verborum: habent enim domeſticam gratiam effulgentem & pulchritudinem, ſententiæ quæ dicuntur. Et illic poſt longam & immodicam nugacitatem, vix dignæ aliquæ ſententiæ venantibus occurrunt: hîc autem vt ſcitis, etiam parua dictio ſæpe totum nobis ſermonem contexit. Propterea & heri, quamuis initia lectionis attigerimus, quia tamen tantum inuenimus ſenſuum theſaurum, non potuimus vltrà progredi, vt ne dictorum multitudine memoriam veſtrã obrueremus, & iam dictis obeſſemus. Ideo ea nunc attingere, dicendáque heri dictis volo copulare, vt ita enarrata lectione tota, vos hinc dimittam. Sed oro, ea quæ dicuntur, auſcultate diligenter. Nam etſi labor noſter, vtilitas tamen veſtra eſt, imò communis. Et quid dico labor noſter? donum eſt gratiæ Dei. Cum attentione igitur ſuſcipiamus & nos ea quæ à Deo donantur, vt hinc lucrifacientes aliquid in animarum ſalutem, inde abeamus. Hanc ob rem quotidie ſpiritualem hanc apponimus menſam, vt admonitione continua, & multa diuinarum ſcripturarum exercitatione, omnes maligni dæmonis excludamus inſidias. Cùm enim nos viderit multum in ſpiritualibus occupari, non ſolum non inuadet, ſed neque aſpicere audebit: ſciens quòd in vanum molietur, & aduerſus caput ſuum auſus ſuos conuertet. Agè igitur heri dictorum repetito contextu, quod reliquum fuit enarremus. Quid autem quod heri fuit dictum? Promiſſionem quam Deus fecit Abræ deſcripſimus, vbi imperauit, ei vt ſuſpiceret in cœlum, & ſpectaret ſtellarum multitudinem. Numera enim, inquit, ſtellas, ſi poteris eas numerare, & dixit ei: Sic erit ſemen tuum. Deinde cùm demonſtraret nobis diuina ſcriptura religioſam mentem patriarchæ,

Diuina dogmata quàm humanis antecellant.

θεῖα γάρ ἐστι τὰ διδάγματα, καὶ οὐκ ἀνθρώπινα· καὶ διὰ τοῦτο ἀπεναντίας τῇ σοφίᾳ τῇ ἀνθρωπίνῃ πᾶσαν αὐτὴν ἔστιν ἰδεῖν συγκειμένην. καὶ πῶς, ἐγὼ λέγω. ἐκεῖ μὲν γὰρ, ἐπὶ τῆς ἀνθρωπίνης σοφίας λέγω, πᾶσα αὐτοῖς ἡ σπουδὴ περὶ τὴν τῶν λέξεων συνθήκην ἐπινενόηται· ἐνταῦθα δὲ τοὐναντίον ἅπαν· οὐδεὶς τῇ γραφῇ λόγος περὶ κάλλους ῥημάτων ἢ συνθήκης. ἔχει γὰρ οἴκοθεν τὴν θείαν χάριν ἐπιλάμπουσαν καὶ τὸ κάλλος τὰ λεγόμενα. κἀκεῖ μὲν μετὰ πολλὴν καὶ ἄφατον φλυαρίαν τότε τῶν νοημάτων ἐστὶ περιδράξασθαι· ἐνταῦθα δὲ, ὡς ἴστε, καὶ βραχεῖα λέξις πολλάκις ἤρκεσεν ἡμῖν πᾶσαν ὑφᾶναι τὴν
B διδασκαλίαν. διά τοι τοῦτο καὶ χθὲς προθέντες ὑμῖν τὰ ἀνεγνωσμένα, καὶ τῶν προοιμίων ἁψάμενοι, ἐπειδὴ πολὺν εὕρομεν τῶν νοημάτων τὸν πλοῦτον, οὐκ ἰσχύσαμεν περαιτέρω προελθεῖν, ὥστε μὴ τῷ πλήθει καταχῶσαι τὴν μνήμην ὑμῶν, καὶ λυμήνασθαι τοῖς ἤδη ῥηθεῖσι. διὸ τῆς αὐτῆς ἀκολουθίας ἅψασθαι βούλομαι καὶ συνάψαι τοῖς χθὲς εἰρημένοις καὶ τὰ μέλλοντα ῥηθήσεσθαι, ἵν' οὕτω πᾶσαν τοῦ ἀναγνώσματος ποιησάμενοι τὴν ἐξήγησιν, οὕτως ὑμᾶς ἐντεῦθεν ἀποπέμψωμεν. ἀλλὰ προσέχετε, παρακαλῶ, ἀκριβῶς τοῖς λεγομένοις. εἰ γὰρ καὶ ὁ πόνος ἡμέτερος,
C ἀλλὰ τὸ κέρδος ὑμέτερον, μᾶλλον δὲ κοινόν. τί δὲ λέγω ὁ πόνος ἡμέτερος; οὐχὶ ἀλλὰ τῆς τοῦ θεοῦ χάριτός ἐστιν ἡ δωρεά. μετὰ προσοχῆς τοίνυν ὑποδεξώμεθα καὶ ἡμεῖς τὰ παρὰ τοῦ θεοῦ δωρούμενα, ἵνα κερδάναντές τι εἰς τὴν κατὰ ψυχὴν σωτηρίαν, οὕτως ἐντεῦθεν ἀπίωμεν. διὰ γὰρ τοῦτο καθ' ἑκάστην τὴν πνευματικὴν ταύτην παρατίθεμεν ὑμῖν τράπεζαν, ἵνα τῇ συνεχείᾳ τῆς παραινέσεως, καὶ τῇ πολλῇ τῶν θείων γραφῶν μελέτῃ πᾶσαν ἀποτειχίσωμεν τῷ πονηρῷ δαίμονι τὴν ἐπιβουλήν. ὅταν γὰρ ἴδῃ πολλὴν ἡμᾶς περὶ τὰ πνευματικὰ τὴν σπουδὴν τιθεμένους, οὐ μόνον οὐκ ἐπιθήσεται, ἀλλ' οὐδὲ
D ἀντιβλέψαι τολμήσει, εἰδὼς ὅτι ἀνόνητα ἐπιχειρήσει, καὶ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τὴν τόλμαν ἐπιδείξεται. φέρε οὖν τὴν χθὲς εἰρημένων ἀκολουθίαν ἀναλαβόντες, τῶν λειπομένων τὴν ἐξήγησιν ποιησώμεθα. τί δὲ ἦν ἡμῖν χθὲς τὸ λεγόμενον; τὴν ἐπαγγελίαν τὴν πρὸς τὸν Ἀβραὰμ παρεγράφομεν, ἔνθα προσέταττεν αὐτῷ ἀναβλέψαι εἰς τὸν οὐρανὸν, καὶ τὸ πλῆθος τῶν ἀστέρων ἰδεῖν. ἐξαρίθμησον γάρ, φησι, τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. καὶ εἶπεν, οὕτως ἔσται τὸ σπέρμα σου. εἶτα δεικνύουσα ἡμῖν ἡ θεία γραφὴ τῆς γνώμης τοῦ πατριάρχου τὸ φιλόθεον,

καὶ ὅτι πρὸς τὸν ἐπαγγειλάμενον ὁρῶν, καὶ τὴν δύναμιν τοῦ ὑποσχομένου ἐννοῶν ἐπίστευε τοῖς εἰρημένοις, φησὶ, καὶ ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. μέχρι τούτου χθὲς εἰπόντες οὐκ ἰσχύσαμεν περαιτέρω προελθεῖν, δι' ὃ ἀναγκαῖον τὰ ἑξῆς ἐπαγαγεῖν. τί γάρ φησιν; εἶπε δὲ κύριος πρὸς Ἀβραάμ· ἐγώ εἰμι ὁ θεὸς ὁ ἐξαγαγών σε ἐκ τῆς χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι αὐτήν. ὅρα θεοῦ συγκατάβασιν, πῶς αὐτοῦ βούλεται τὴν πίστιν βεβαιῶσαι, καὶ πεῖσαι πολλὴν ἔχειν τὴν πληροφορίαν περὶ τῶν ἐπηγγελμένων, μονονουχὶ λέγων· μνήσθητι ὅτι ἐγώ σε οἴκοθεν ἀνέστησα. ἰδοὺ τὰ παρὰ τοῦ θεοῦ ῥηθέντα κατὰ τὸν πατριάρχην σύμφωνα δείκνυται τοῖς παρὰ τοῦ μακαρίου Στεφάνου εἰρημένοις, ὅτι καὶ οἴκοθεν καὶ ἐξ αὐτῆς τῆς Χαλδαίας τοῦ δεσπότου τὸ πρόσταγμα αὐτὸν ἀναστῆναι παρεσκεύασε. καὶ τῇ τούτου γνώμῃ ἑπόμενος ὁ πατὴρ, καθάπερ καὶ φθάσαντες εἴπομεν, εἰ καὶ ἄπιστος ἦν, ἀλλ' οὖν μεγάλην ὑπόθεσιν δεσμοῦ τὸ φίλτρον ἔχων τὸ περὶ αὐτὸν, ἠκολούθει καὶ ἐξῄει. ὑπομιμνήσκει τοίνυν αὐτὸν ἐπὶ τοῦ παρόντος, ὅσην ἐκ προοιμίων ἐποιήσατο περὶ αὐτὸν τὴν πρόνοιαν, δηλῶν αὐτῷ, ὅτι μεγάλα τινὰ περὶ αὐτοῦ βουλόμενος, καὶ ταύτας θέλων τὰς ὑποσχέσεις πρὸς αὐτὸν ποιήσασθαι καὶ εἰς ἔργον ἀγαγεῖν, τοσαύτην ὁδὸν διανύσαι ἐποίησεν. ἐγώ εἰμι ὁ ἐξαγαγών σε ἐκ τῆς χώρας τῶν Χαλδαίων, δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι αὐτήν. μὴ γὰρ ἁπλῶς σε ἐκεῖθεν ἀνέστησα; μὴ γὰρ εἰκῇ καὶ μάτην ἐντεῦθέν σε ἤγαγον; διὰ τοῦτό σε καταλαβεῖν τὴν Παλαιστίνην ἐβουλόμην καὶ ἀφεῖναι τὴν πατρῴαν οἰκίαν, καὶ ἐλθεῖν εἰς τὴν γῆν ταύτην, ἵνα κληρονομήσῃς αὐτήν. λογιζόμενος τοίνυν ὅσης ἀπήλαυσας τῆς ἐμοῦ προνοίας, ἐξ ὅτου τὴν Χαλδαίαν κατέλιπες μέχρι τοῦ παρόντος, καὶ ὅπως περιφανὴς γέγονας καθ' ἑκάστην λαμπρότερος δεικνύμενος ἐκ τῆς ἐμῆς συμμαχίας καὶ τῆς περὶ σὲ κηδεμονίας, θάρρησον καὶ τοῖς παρ' ἐμοῦ λεγομένοις. εἶδες φιλανθρωπίας ὑπερβολήν; εἶδες συγκαταβάσεως μέγεθος; πῶς αὐτοῦ στηρίξαι βούλεται τὴν ψυχὴν καὶ βεβαιοτέραν αὐτοῦ τὴν πίστιν ἐργάσασθαι, ἵνα μὴ ἔχῃ λοιπὸν ὁρᾶν πρὸς τὰ τῆς φύσεως κωλύματα, ἀλλὰ τὴν δύναμιν ἐννοῶν τοῦ ἐπαγγειλαμένου, ὡς ἤδη τῶν ὑποσχέσεων εἰς ἔργον ἐκβεβηκυιῶν, οὕτω θαρρεῖν ἔχῃ; ἀλλ' ὅρα πάλιν τὸν πατριάρχην,

A & quòd ad promittentem reſpiciens, & virtutem promittentis cogitans, crediderit dictis, dicit: Et credidit Abram Deo, & reputatum eſt ei in iuſtitiam. Hucuſque heri ſermonem produximus, neque vlterius progredi potuimus: ideo operæprecium eſt vt addamus ſequentia. Quid ergo dicit? [7] *Dixit autem ei Deus: Ego ſum Deus, qui eduxi te de terra Chaldæorum, vt darem tibi terram hanc, vt in hæreditatem poſſideres eam.* Vide quomodo ſermonem noſtræ infirmitati attemperet, quomodo fidem illius corroborare velit, & perſuadere vt de iis quæ promiſſa B fuerant minimè dubitet: quaſi diceret: memor eſto, quòd ego te à domo tua euocaui. Ecce quæ à domino Deo dicuntur, conſona ſunt beati Stephani dictis, qui & de domo, & de Chaldæa domini præcepto euocatũ eum dicit. Et eius ſententiæ obſecutus pater, &, vt antea diximus, quamuis infidelis eſſet, magnam tamen ſocietatis cauſam habens, nempe amorem, comes fuit, & ſimul exiit. Itaque reminiſci eum facit hoc loco quantam ab initio eius curam geſſe- C rit, declarans ei quòd volens eum ad magna prouehere, tanta videlicet promittendo & implendo, tantum itineris trãſire fecerit. Ego ſum Deus, qui eduxi te de regione Chaldæorum, vt darem tibi terram hanc, vt in hæreditatem poſſideres eam. Num enim te abſque cauſa illinc euocaui? Num enim fruſtra & in vanum te illinc eduxi? Propterea ego iuſſi vt te in Palæſtinã conferres, & relicta paterna domo ires in terram hanc, vt in hæreditatem eam poſſideres. Cogitans igitur quantis fruaris nunc per D meam prouidentiam, ex eo tempore quo Chaldæam reliquiſti vſque in præſens, & quomodo clarus es factus, & per meum ſubſidium & curam tui quotidie clarior euadis, confide & & meis dictis. Vidiſti excellentem miſericordiam? Vidiſti quàm congruat huius imbecillitati diuinus ſermo, quo eius animam corroborare, & fidem confirmare voluit, vt ne poſthac de naturæ obſtacula ſpectare poſſit: ſed eius cogitare potentiam, qui promiſit, & ita credere & confidere, quaſi iam impleta eſſent promiſſa? Verùm iterum attende & patriarchã

Act. 7.2 S. Stephani verba conueniunt cũ verbis Moſis.

Naturæ obſtacula nihili facienda.

quomodo poſt fiduciam ex dictis acceptam certiora inquirat argumenta. [8] *Dixit enim: Domine domine, ſecundùm quid cognoſcam quòd in hæreditatem accipiam eam?* Tametſi ſcriptura prius teſtata fuerit, quòd credidit dictis Dei, & ideo reputatum eſt ei in iuſtitiam, verumtamen quia audiuit: Propter hoc te eduxi è regione Chaldæorum, vt darem tibi terram hanc, vt in hæreditatem poſſideres eam: dicit, His quidem quæ à te dicuntur, impoſſibile eſt, vt fidem non adhibeam: attamen vellem & hunc modum diſcere, quomodo eam in hæreditatem ſum poſſeſſurus. Video enim me nũc propemodum ad extremam ſenectutem perueniſſe, & vſque in hunc diem obambulare quaſi erronem: & non poſſum humana ratione deprehendere, quomodo hoc ſit futurum: licet prius crediderim dictis tuis, tanquam videlicet à te dictis, qui potes id quod non eſt, vt ſit, efficere, & omnia facere & transformare. Non igitur vt incredulus hoc interrogo, ſed quia iterum mihi hæreditatem nominas, volebam & craſſius atque clarius ſignum accipere, quod poſſit infirmas meas cogitationes ſolidare. Quid igitur bonus dominus? morem gerit ſuo famulo, & volens eius corroborare animã, quoniam vidit confitentem ſuam imbecillitatem, & credẽtem quidem promiſſioni, cupientem autem certiora quædam argumẽta accipere, dicit ad eum. [9] *Sume mihi vaccam triẽnem, & capram trimam, & arietem & turturem & columbã.* Vide quomodo more humano init cum eo fœdera. Quemadmodum enim nos homines, quando aliquid promittimus, & volumus certũ reddere eum, cui promiſſio fit, ita vt de promiſſis nihil ambigat, ſignũ aliquod damus, & pignus, vt ad illud ſpectãs, ſcire queat promiſſa omnino euentura: ita & benignus dominus poſtquam dixit Abram: Quomodo cognoſcam? inquit, Ecce & hoc tibi præbeo, ſume mihi vaccam triennem, & capram trimam, & arietem, & turturem, & columbam. Attende obſecro, in quantam craſſitudinem deſcendendum ſibi duxerit bonus dominus, quò patriarcham argumentis copioſis certiorem reddat

A ἐπειδὴ παῤῥησίαν ἔλαβεν ἐκ τῶν εἰρημένων, πῶς πλείονα πληροφορίαν ἐπιζητεῖ. φησὶ γὰρ, δέσποτα κύριε, κατὰ τί γνώσομαι τοῦτο, ὅτι κληρονομήσω αὐτήν; εἰ καὶ προλαβοῦσα ἡ θεία γραφὴ ἐμαρτύρησεν αὐτῷ, ὅτι ἐπίστευσε τοῖς παρὰ τοῦ θεοῦ ῥηθεῖσι, δι' ὃ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· ἀλλ' ὅμως ἐπειδὴ ἤκουσεν, ὅτι διὰ τοῦτο ἐξήγαγόν σε ἐκ γῆς Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι αὐτὴν, φησι, τοῖς μὲν παρὰ σοῦ λεγομένοις οὐχ B οἷόν τέ με διαπιστῆσαι· ἀλλ' ὅμως ἐβουλόμην καὶ τὸν τρόπον μαθεῖν, πῶς αὐτὴν μέλλω κληρονομεῖν. ὁρῶ γὰρ καὶ ἐμαυτὸν λοιπὸν πρὸς γῆρας ἐληλακότα, καὶ μέχρι τοῦ παρόντος ὡς ἀλήτην ἐνταῦθα περιιόντα· καὶ οὐ δύναμαι ἀνθρωπίνῳ λογισμῷ καταλαβεῖν τὸ ἐσόμενον· εἰ καὶ ὅτι προλαβὼν, φησιν, ἐπίστευσα τοῖς εἰρημένοις, ἅτε δὴ ὡς παρὰ σοῦ λεχθεῖσι τοῦ δυναμένου καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν, καὶ πάντα ποιοῦντος καὶ μετασκευάζοντος. οὐ τοίνυν ἀπιστῶν τοῦτο ἐρωτῶ· ἀλλ' ἐπειδὴ πάλιν τῆς κλη- C ρονομίας ὑπέμνησας, ἤθελον καὶ παχύτερόν τι σημεῖον καὶ ἐναργὲς δέξασθαι τὸ δυνάμενόν μου τῶν λογισμῶν τὴν ἀσθένειαν ἐπιῤῥῶσαι. τί οὖν ὁ ἀγαθὸς δεσπότης; συγκαταβαίνων τῷ οἰκείῳ θεράποντι, καὶ βουλόμενος αὐτοῦ νευρῶσαι τὴν ψυχὴν, ἐπειδὴ εἶδεν ὁμολογοῦντα τὴν οἰκείαν ἀσθένειαν, καὶ πιστεύοντα μὲν τῇ ὑποσχέσει, βουλόμενον δὲ πληροφορίαν τινὰ δέξασθαι, φησι πρὸς αὐτόν· λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ αἶγα τριετίζουσαν, καὶ κριὸν, καὶ τρυγόνα, καὶ περιστε- D ράν. ὅρα πῶς ἀνθρωπίνως ποιεῖται πρὸς αὐτὸν τὰς συνθήκας. καθάπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων ὅταν τινὶ ὑποσχώμεθα, βουλόμενοι πεῖσαι τὸν τὴν ὑπόσχεσιν δεξάμενον, ὥστε μὴ ἀμφιβάλλειν περὶ τῶν ἐπαγγελθέντων, σημεῖόν τι παρεχόμεθα καὶ ἐνέχυρον, ἵνα πρὸς ἐκεῖνο ὁρῶν εἰδέναι ἔχῃ, ὅτι πάντως εἰς ἔργον ἐκβήσεται τὰ ἐπηγγελμένα· οὕτω καὶ ὁ φιλάνθρωπος δεσπότης, ἐπειδὴ εἶπε, κατὰ τί γνώσομαι; φησιν, ἰδοὺ καὶ τοῦτό σοι παρέχω· λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ αἶγα τριετίζουσαν, καὶ κριὸν, καὶ τρυγόνα, καὶ περιστεράν. θέα μοι εἰς πόσην παχύτητα κατελθεῖν καταδέχεται ὁ ἀγαθὸς δεσπότης διὰ τὴν πληροφορίαν τοῦ πατριάρχου

ἐπειδὴ γὰρ τὸ παλαιὸν οὕτως ἦν αὐτοῖς ἔθος συνθή- A
κας ποιεῖσθαι, καὶ διὰ τούτων αὐτὰς βεβαιοῦν,
ταύτην καὶ αὐτὸς ἔρχεται τὴν ὁδόν. καὶ ἔλαβε, φη-
σι, καὶ διεῖλεν αὐτὰ μέσα. παρατηρητέον πῶς οὐ
μάτην, οὐδὲ εἰκῆ καὶ τὸν χρόνον ἐπεσημήνατο.
τριετίζοντα γὰρ λαβεῖν προσέταξε, τουτέστι τέ-
λεια, ἀπηρτισμένα. καὶ διεῖλεν αὐτὰ μέσα, καὶ ἔθη-
κεν αὐτὰ ἀντιπρόσωπα ἀλλήλοις, τὰ δὲ ὄρνεα οὐ
διεῖλε. καὶ καθεζόμενος ἐπετήρει, ὥστε μὴ λυμή-
νασθαι τοῖς διχοτομήμασι τὰ ἐφιπτάμενα ὄρνεα,
καὶ διὰ πάσης ἡμέρας τοῦτο ποιῶν διετέλει. κατέ-
βη δὲ ἕτερα ὄρνεα ἐπὶ τὰ σώματα τὰ διχοτομη-
θέντα, καὶ συνεκάθισεν αὐτοῖς Ἀβραμ. περὶ δὲ ἡλίου B
δυσμὰς ἔκστασις ἐπέπεσε τῷ Ἀβραμ, καὶ ἰδοὺ
φόβος μέγας καὶ σκοτεινὸς ἐπιπίπτει αὐτῷ. τίνος
ἕνεκεν περὶ ἡλίου δυσμὰς, ὅτε λοιπὸν πρὸς ἑσπέ-
ραν ἡ ἡμέρα; διὰ πάντων προσεκτικώτερον αὐ-
τὸν βούλεται ἐργάσασθαι. διὰ τοῦτο καὶ ἔκστασις καὶ
φόβος μέγας καὶ σκοτεινὸς ἐπιπίπτει αὐτῷ, ἵνα διὰ
τῶν γινομένων εἰς αἴσθησιν ἔλθῃ τῆς τοῦ θεοῦ ὀπτα-
σίας. οὕτω γὰρ ἑκάστοτε τῷ θεῷ ποιεῖν ἔθος. καὶ γὰρ ἡνί-
κα μετὰ ταῦτα τῷ Μωϋσεῖ ἐν τῷ Σιναίῳ ὄρει
ἔμελλε διδόναι τὸν νόμον καὶ τὰς ἐντολὰς, σκότος, φη-
σὶ, καὶ θύελλα ἦν, καὶ τὸ ὄρος καπνίζον. διὰ τοῦτο καὶ C
ἡ γραφή φησιν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνί-
ζονται. ἐπειδὴ γὰρ τῶν ἀσωμάτων τι ἰδεῖν οὐχ οἷόν τε
διὰ τῶν αἰσθητῶν τούτων ὀφθαλμῶν, τὴν οἰκείαν
ἡμῖν ἐνέργειαν σημᾶναι βούλεται. ἐπειδὴ τοίνυν
κατεπλάγη ὁ δίκαιος ἐκεῖνος, καὶ κατέσεισεν
αὐτοῦ τὴν διάνοιαν ὁ φόβος, καὶ ἡ γεγενημένη
ἔκστασις, ἐρρέθη, φησὶ, πρὸς αὐτόν· Εἶπες,
φησι, κατὰ τί γνώσομαι; καὶ σημεῖον ἐβουλήθης
λαβεῖν, πῶς μέλλεις κληρονομεῖν τὴν γῆν· ἰδοὺ
δίδωμί σοι σημεῖον. πολλῆς γὰρ δεῖ σε τῆς πί-
στεως, ἵνα μάθῃς, ὅτι καὶ ἐξ ἀπεγνωσμένων
δύναμαι τὰ πράγματα εἰς χρηστὰς ἐλπίδας D
ἀγαγεῖν. καὶ ἐρρέθη πρὸς Ἀβραμ, γινώσκων
γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ
οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτοὺς, καὶ κακώσου-
σι, καὶ ταπεινώσουσιν ἔτη τετρακόσια. τὸ δὲ ἔθνος, ᾧ
ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα ἐξελεύ-
σονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. μεγάλα τὰ
εἰρημένα, καὶ ψυχῆς νεανικῆς δεόμενα καὶ ὑπερ-
αναβαινούσης, καὶ ἀφιείσης κάτω πάντα τὰ ἀν-
θρώπινα. εἰ μὴ γὰρ γενναίαν τινὰ καὶ ἀνδρείαν
καὶ φιλόσοφον εἶχε ψυχὴν ὁ πατριάρχης,

Nam quia olim eis ita mos erat paci-
ſcendi, & pacta firmandi, ideo &
ipſe via hac ingreditur.
[10] *Et accepit,*
inquit, *& diuiſit ea in duas partes*
Obſeruandum quòd non abſque ra-
tione, neque in vanum etiam tem-
pus deſignauit. Triennia enim ac-
cipere iuſſit: hoc eſt, perfecta & ab-
ſoluta. *Et diuiſit ea in duas partes: &*
vtraſque partes inter ſe poſuit obuerſas:
aues autem non diuiſit: Et ſedens ob-
ſeruabat, vt ne poſſint diuiſas par-
tes lædere aduolantes aues: & per
terram diem hoc facere perſeuera-
bat.
[11] *Deſcenderunt autem aues aliæ in*
corpora quæ diuiſa erant: & ſedit cum eis
Abram.
[12] *Cúmque ſol iam occumberet,*
irruit ecſtaſis in Abram, & ecce timor
magnus & tenebroſus inuaſit eum. Qua-
re tempore occaſus ſolis, cum iam
ad veſperam inclinaretur dies? Quia
omnibus modis attentiorem eum fa-
cere vult, ideo ecſtaſis & horror ma-
gnus & tenebroſus inuadit eũ, vt per
omnia quæ fiunt, ſentiat ſe videre
Deum. Eum enim morem Deus vbi-
que habet. Nã & poſtea quãdo Moſi
in monte Sinai daturus erat legem & Exod.
mandata: Tenebræ, inquit, & caligo 19.18.
erat, & mons fumigabat. Propter hoc Pſal. 103
& ſcriptura inquit: Qui tangit mon- 33.
tes, & fumigãt. Enimuerò quia incor-
poreum videre per ſenſibiles hoſce
oculos non eſt poſſibile, ideo aliter
ſuam nobis operationem ſignificare
vult. Igitur quoniã attonitus & per
culſus erat animo iuſtus ille, & cõcuſ-
ſerat eius mentẽ timor, & quæ conti-
gerat ecſtaſis: Dictũ eſt, inquit, ad eũ:
Dixiſti quomodo cognoſcã, & ſignũ
voluiſti accipere, quo pacto terrã hãc
in hæreditatem poſſeſſurus ſis. Ecce
do tibi ſignum magna tibi opus eſt fi-
de, vt ſcias quòd poſſim ex deſperatis
rebus quoſlibet in ſpem bonã addu-
cere.
[13] *Et dictum eſt ad Abram: Cognoſcẽs*
ſcies, quòd peregrinum erit ſemen tuum in
terra non ſua, & redigent eos in ſeruitutẽ,
& affligent, & humiliabũt eos annis qua-
dringentis:
[14] *Gentem autem cui ſeruient,*
iudicabo ego: poſtea autem egredientur huc
cum apparatu multo. Magna ſunt hæc
dicta, & quæ ad animum maſculum
pertinent, qui tranſcendat, & infra ſe
relinquat humana omnia. Niſi enim
generoſum & fortem, & optimis mo-
ribus prędituum habuiſſet patriarcha,

tanta erant hæc, vt perturbare potuiſſent. Sciens enim, inquit, ſcito, quòd peregrinum erit ſemen tuum in terra non ſua, & redigent eos in ſeruitutem, & affligent, & humiliabunt eos annis quadringentis: Gentem autem cui ſeruient, iudicabo ego, poſt hæc egredientur huc cum apparatu multo. Ne admireris, inquit, teipſum reſpiciens, & ſenium tuum, & Saræ ſterilitatem & vterum eius emortuum: & ne putes magnum aliquid eſſe dictum, quòd dixi, Semini tuo dabo terram hanc. Non ſolum enim hoc tibi prædico, ſed addo quòd & illud ſemen tuum in alienam terram abducetur. Et non dixit, in Ægyptum, neque indicauit terræ nomen: ſed dixit, in terra non ſua: & ſeruitutem ferent, & miſeriam: ídque non ad breue tempus, neque ad paucorum annorum numerum, ſed vſque ad quadringentos annos. Vltionem ſanè eorum ego faciam, & gentem illam ſeruitute prementem ego iudicabo, & ſic eos magno cum apparatu huc redire faciam. Interim & prædicens ei quæ poſthac certò euentura eſſent, & ſeruitutem declarat, & deſcenſum in Ægyptum, & indignationem, quam propter eos Ægyptij ſenſuri erant, & glorioſum eorum reditum. Et oſtendit ei, quòd non in ipſo duntaxat ea, quæ ſuper naturam ſunt, euenient: & poſt tanta impedimenta quæ à Deò promiſſa implebuntur, ſed & in toto ſemine eius hoc continget. Hæc autem, inquit, iam tibi dixi, vt priuſquam vitam finias, ſcire poſſis quæ & nepotibus & poſteris euenient. Tu autem, inquit, abibis ad patres tuos, nutritus in ſenectute bona. Non dixit, morieris: ſed, abibis, quaſi peregrinaturo eo, & migraturo à patria in patriam. Abibis, inquit, ad patres tuos. Non carnales dicit: qui enim poterat? Incredulus enim erat pater eius, & non erat poſſibile vt eundem locum caperet, quem ille. Hiatus enim, inquit, magnus eſt inter nos & vos. Quare dixit ad patres tuos? iuſtos inſinuans vt Abel, & Noë, & Enoch.

Luc. 16. 26.

A ταῦτα καὶ θορυβῆσαι αὐτὸν ἱκανὰ ἦν. γινώσκων γὰρ, φησι, γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσι, καὶ κακώσουσι, καὶ ταπεινώσουσιν αὐτοὺς ἔτη υ. τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. μὴ θαυμάσῃς, φησὶ, πρὸς ἑαυτὸν ὁρῶν, καὶ τὸ γῆρας τὸ σὸν, καὶ τὴν τῆς Σάῤῥας στείρωσιν, καὶ τὴν τῆς μήτρας νέκρωσιν, καὶ νομίσῃς με μέγα τι εἰρηκέναι, ὅτι εἶπον, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. οὐ μόνον γὰρ τοῦτό σοι προλέγω, ἀλλ' ὅτι καὶ αὐτὸ τὸ σπέρμα σου εἰς ἀλλοτρίαν γῆν
B ἀπενεχθήσεται. καὶ οὐκ εἶπεν εἰς Αἴγυπτον, οὐδὲ ὠνόμασε τῆς γῆς τὴν προσηγορίαν, ἀλλά φησιν, ἐν γῇ οὐκ ἰδίᾳ. καὶ δουλείαν ὑπομενοῦσι καὶ ταλαιπωρίαν, καὶ ὀδυνήσονται οὐ πρὸς βραχὺν χρόνον, οὐδὲ πρὸς ὀλίγων ἐτῶν ἀριθμὸν, ἀλλὰ μέχρι τετρακοσίων ἐτῶν. τὴν μέντοι ἐκδικίαν αὐτῶν ἐγὼ ποιήσομαι, καὶ τὸ ἔθνος ἐκεῖνο τὸ καταδουλωσόμενον ἐγὼ κρινῶ, καὶ οὕτως αὐτοὺς μετὰ πολλῆς ἀποσκευῆς ἐπανελθεῖν ἐνταῦθα ποιήσω· ὁμοῦ καὶ προλέγων αὐτῷ τὰ μετὰ ταῦτα ἐσόμενα μετ' ἀκριβείας, καὶ τὴν
C δουλείαν δηλῶν, καὶ τὴν εἰς Αἴγυπτον κάθοδον, καὶ τὴν ἀγανάκτησιν ἣν δι' αὐτοὺς μέλλουσι πειρᾶσθαι οἱ Αἰγύπτιοι, καὶ τὴν μετὰ περιφανείας αὐτῶν ἐπάνοδον. καὶ δείκνυσιν αὐτῷ, ὅτι οὐκ ἐπ' αὐτῷ μόνον τὰ ὑπὲρ φύσιν ἔσται, καὶ μετὰ τοσαῦτα κωλύματα τὰ ὑπὸ τοῦ θεοῦ ἐπαγγελθέντα εἰς πέρας ἀχθήσεται, ἀλλὰ καὶ ἐπὶ παντὸς τοῦ σπέρματος αὐτοῦ τοῦτο συμβήσεται. ταῦτα δέ, φησιν, ἤδη σοι εἶπον, ἵνα πρὶν ἢ τὸν βίον καταλύσῃς, εἰδέναι ἔχῃς τὰ καὶ τοὺς σοὺς ἐκγόνους διαδεξόμενα. σὺ δέ, φησιν, ἀπελεύσῃ πρὸς τοὺς πα-
D τέρας σου, τραφεὶς ἐν γήρᾳ καλῷ. οὐκ εἶπεν ἀποθανῇ, ἀλλ' ἀπελεύσῃ, ὡς ἀποδημεῖν αὐτοῦ μέλλοντος καὶ μεθίστασθαι ἀπὸ πατρίδος εἰς πατρίδα. ἀπελεύσῃ, φησὶ, πρὸς τοὺς πατέρας σου, οὐ τοὺς κατὰ σάρκα λέγων. πῶς γὰρ, ἐπεὶ ἄπιστος ἦν αὐτοῦ ὁ πατήρ; καὶ οὐχ οἷόν τε ἦν τὸν πιστὸν πατριάρχην εἰς τὸν αὐτὸν ἐκείνῳ χῶρον ἀπελθεῖν. χάσμα γὰρ μέγα ἐστί, φησι, μεταξὺ ἡμῶν τε καὶ ὑμῶν. τίνος οὖν ἕνεκεν εἴρηκε πρὸς τοὺς πατέρας σου; τοὺς δικαίους αἰνιττόμενος, τοὺς περὶ τὸν Ἄβελ, τοὺς περὶ τὸν Νῶε, τοὺς περὶ τὸν Ἐνώχ.

A τραφεὶς ἐν γήρει καλῷ. ἴσως ἂν εἴποι τις, καὶ ποῖον ἂν εἴη τοῦτο καλὸν γῆρας, ὃ διὰ τοσούτων θλίψεων ἅπαντα τὸν βίον παρελθὸν; ἀλλὰ μὴ τοῦτο ἴδῃς ἄνθρωπε· ἀλλὰ ἀναλογίζου καὶ τὴν καθ' ἕκαστον καιρὸν περιφάνειαν, καὶ ὅπως ἐπίδοξος γέγονεν ὁ ξένος, ὁ ἄπολις, ὁ ἀνέστιος, καὶ ὅσης διὰ παντὸς τοῦ χρόνου ἀπήλαυσε τῆς τοῦ θεοῦ ἀντιλήψεως. μὴ τοίνυν κατὰ τὴν νῦν ὑπόληψιν κρῖνε τὰ πράγματα, μηδὲ νόμιζε ἐκεῖνο εἶναι γῆρας καλὸν, τὸ ἐν τρυφῇ καὶ ἀδηφαγίᾳ διάγειν, καὶ πλοῦτον κεκτῆσθαι, καὶ οἰκετῶν πλῆθος, καὶ ἀνδραπόδων ἀγέλας. B ταῦτα γὰρ οὐκ ἂν ποιήσειε γῆρας καλὸν, ἀλλὰ καὶ πολλὴν κατάγνωσιν ἂν ἐνέγκοι τῷ μηδὲ ἐν γήρᾳ σωφρονιζομένῳ, μηδὲ πρὸς αὐτὰς τὰς ἐσχάτας ἀναπνοάς τι τῶν δεόντων βουλευομένῳ, ἀλλὰ καθ' ἑκάστην ἡμέραν γαστριζομένῳ, καὶ συμπόσια καὶ μέθας μεταδιώκοντι, καὶ μετ' οὐ πολὺ τούτων ἁπάντων εὐθύνας ἀπαιτεῖσθαι μέλλοντι. ὁ μέντοι μετὰ τοσαύτης ἀρετῆς ὁδεύσας τὸν βίον, οὗτος ἀληθῶς τραφεὶς ἐν γήρᾳ καλῷ καταλύει τὴν ζωὴν, καὶ τῶν ἐνταῦθα πόνων εὑρίσκει λοιπὸν τὰς ἀμοιβὰς καὶ τὰς ἀντιδόσεις. C διὰ τοῦτό φησι, τοῖς μὲν σοῖς ἐκγόνοις ταῦτα διαδέξεται· σὺ δὲ ἀπελεύσῃ τραφεὶς ἐν γήρει καλῷ. σκόπει πάλιν ἐνταῦθα, εἰ μὴ πολλὴ τοῦ δικαίου ἦν ἡ ἀνδρεία, καὶ τῆς φιλοσοφίας ἡ ὑπερβολὴ, πῶς καὶ αὐτὰ ταῦτα ἱκανὰ ἦν αὐτοῦ διαταράξαι τὸν λογισμόν. εἶπε γὰρ ἂν, εἰ τῶν πολλῶν τις ἦν· τίνος ἕνεκεν ἐπαγγέλλῃ μοι τοσοῦτον ἐξ ἐμοῦ σπέρμα ποιήσειν ἐκταθῆναι, εἰ μέλλουσι τοσούτοις περιβάλλεσθαι κακοῖς, καὶ ἐπὶ τοσοῦτον ἐτῶν ἀριθμὸν δουλείαν ὑπομένειν; τί μοι τὸ ὄφελος; ἀλλ' οὐδὲν τούτων ὁ δίκαιος ἐλογίσατο· D ἀλλὰ καθάπερ εὐγνώμων οἰκέτης τὰ παρὰ τοῦ θεοῦ ἅπαντα ἔστεργε, καὶ τὰ αὐτῷ δοκοῦντα τῶν ἑαυτοῦ λογισμῶν προετίμα. εἶτα καὶ τὸν καιρὸν αὐτῷ μηνύει τῆς ἐπανόδου τῆς ἀπὸ τῆς δουλείας. εἰπὼν γὰρ τῶν ἐτῶν ἀριθμὸν, φησιν, ἔτη υ'· τετάρτη δὲ γενεᾷ ἀποστραφήσονται ὧδε. ἀλλ' ἐνταῦθα ἄν τις διαπορήσειε, πῶς υ' ἔτη ἔφη δουλεύειν αὐτοὺς, καί τοι οὐδὲ τὰ ἡμίση τούτων πεποιηκότων αὐτῶν εἰς τὴν Αἴγυπτον. διὰ τοῦτο οὐκ εἶπεν, ὅτι εἰς τὴν Αἴγυπτον ποιήσουσιν ἔτη υ', ἀλλ' ἐν γῇ οὐκ ἰδίᾳ,

Nutritus enim, inquit, in ſenectute bona. Et qualis hæc ſenectus bona, fortaſſe dicet aliquis, ad quam tantis moleſtiis per omnem vitā venit? Verùm ne hoc attēdas homo, ſed ſpecta quæ illi omni tempore fuerit gloria, & quomodo glorioſus vixerit peregrinus, qui ciuitate focóque carebat, & quanto frui ei datum eſt omni tempore Dei ſubſidio. Nō igitur iuxta præſentem opinionem iudica res, neque ſenectutem eſſe bonam cenſe, verſari in luxu, deliciis, & crapula, & poſſeſſione diuitiarum, & magna famulorum multitudine, & mancipiorum gregibus. Non enim faciunt iſta ſenectutem bonam, ſed & multam condemnationem afferunt ei, qui ne in ſenectute quidem continentiam exercet, neq; ad extremos ſpiritus de his quę expediunt deliberat, ſed quotidie indulget ventri, & ſectatur conuiuia, & ebrietates, de quibus omnibus non multò poſt rationem redditurus eſt. Sanè qui in via virtutis ambulauit, hic verè nutritus in ſenectute bona, vita defungitur, & laborum præſentium inuenit mercedes & retributiones. Et idcirco inquit: Tuis quidem nepotibus talia euenient, tu autem abibis nutritus in ſenectute bona. Conſidera obſecro, quomodo niſi multiplex fuiſſet fortitudo & virtus eximia, & hæc quoque conturbare eius mentem potuiſſent. Dicere enim potuiſſet, ſi vnus aliquis è vulgo fuiſſet, quare promittis mihi tantum ſemen ex me futurum & propagandum, ſi tantis erunt malis & calamitatibus obnoxij, ſeruitutémque tot annis toleraturi? Quæ hæc mihi vtilitas? Verùm nihil horum iuſtus cogitauit, ſed quaſi gratus famulus, omnia quæ à Deo fiebant boni cōſuluit, & quæ Deo videbantur, ſuæ præferebat ſententiæ. Deinde & tempus ei ſignifica, quo à ſeruitute ſunt redituri. Nam poſtquam annos quadringentos ſeruituros dixiſſet, ſubdit: Generatione autem quarta reuertentur huc. Verum hîc meritò quis addubitet, quomodo quadringentis annis dicit ſeruire eos, quanuis neque dimidium eorum fuerint ipſi in Ægypto. Et propterea non dixit, quòd in Ægypto futuri ſint annis quadringentis, ſed in terra non ſua:

ita vt poſſit connumerari cum annis in Ægypto, & tempus patriarchæ,ex quo ei imperatum eſt,vt ex Charran egrederetur. Ab illo enim tempore, tempus annorum nobis manifeſtum fecit ſcriptura,quæ dixit,quòd ſeptuaginta quinque annorum fuerit Abram, quando exiuit ex Charran : ex eo igitur tempore vſque ad exitum de Ægypto,inueniet quis numerum ſaluum & integrũ. Dici poteſt etiam aliter,quòd cum dominus ſit miſericors, & imbecillitati noſtræ reſpondentes faciat pœnas,quia vidit eos ita labore preſſos,& Ægyptios magnam in eos crudelitatem exercere, ante definitum tempus vltionem fecit, & ad libertatem eos reduxit. Dei enim mos eſt, quoniam in omnibus ſalutem noſtram operatur, vt etiamſi minetur ſe puniturum, ſi nos voluerimus conuerſionis ſpecimen exhibere poſſimus eius reuocare ſententias:& è diuerſo ſi pollicetur aliquid ſuaue ſe nobis daturum, nos autem non attulerimus, quod ex nobis eſt, neque ipſe promiſſum adimplet, ne nos ea ratione deteriores fiamus. Atque hæc inuenire poterunt ſtudioſi ſacrarum literarum omnes. 16 *Quarta autem generatione reuertentur huc. Nondum enim completæ ſunt iniquitates Amorrhæorum vſque nunc.* Tunc, inquit, erit tempus, vt & illi reducantur in libertatem, & hi pœnam luentes pro multitudine peccatorum è terra expellantur. Ambo itaque fient tempore opportuno, & illorum inſtauratio,& horum excidium. Nondum enim impletæ ſunt iniquitates eorum : quaſi dicat aliquis: Nondum in tanto numero peccata fecerunt, vt talem ferant pœnam. Deus enim cùm benignus ſit, non ſolum non inducit pœnas peccatis grauiores, ſed & valde minores. Atque propter hoc tantam oſtendit longanimitatem, vt cùm ſibiipſis pœnarum ſint authores,nullam poſthac excuſationem habeant. Vidiſtis quomodo patriarchæ omnia diligenter indicauit, vt vndequaque eius roboraret fidem, & vt ex his quæ ad eum dixerat, habere poſſit fidem, quod etiam hæc poſteritati eius omnino accident: & vt ex prædictis viciſſim firmam habeat fidem,

A ὥστε δυνηθῆναι τοῖς ἔτεσιν, οἷς κατὰ τὴν Αἴγυπτον ἐποίησαν, συναριθμεῖσθαι καὶ τὸν χρόνον τοῦ πατριάρχου, καθ' ὃν ἐκ τῆς Χαῤῥὰν ἐξελθεῖν προσετάχθη. ἐξ ἐκείνου γὰρ ἡμῖν καὶ τὸν ἀριθμὸν τῶν ἐτῶν αὐτοῦ κατάδηλον ἐποίησεν ἡ γραφὴ εἰποῦσα, ὅτι ἑβδομηκονταπέντε ἐτῶν ἦν, ἡνίκα ἐξῆλθεν ἐκ Χαῤῥάν. ἐξ ἐκείνου τοίνυν μέχρι τῆς ἐξόδου τῆς ἐξ Αἰγύπτου, εἰ βουληθείη τις ἀριθμῆσαι, εὑρήσει σωζόμενον τὸν ἀριθμόν. καὶ ἕτερον δὲ ἔστιν εἰπεῖν, ὅτι φιλάνθρωπος ὢν ὁ δεσπότης καὶ συμμετρῶν ἀεὶ τῇ ἀσθενείᾳ τῇ ἡμετέρᾳ καὶ τὰς τιμωρίας, ἐπειδὴ εἶδεν
B αὐτοὺς πεπονηκότας, καὶ τοὺς Αἰγυπτίους πολλὴν περὶ αὐτοὺς τὴν ὠμότητα ἐπιδεικνυμένους, πρὸ τοῦ ὡρισμένου καιροῦ τὴν ἐκδικίαν ἐποιήσατο, καὶ πρὸς τὴν ἐλευθερίαν αὐτοὺς ἐπανήγαγεν. ἔθος γὰρ αὐτῷ τοιοῦτον, ἐπειδὴ διὰ πάντων τὴν ἡμετέραν σωτηρίαν πραγματεύεται, κἂν ἀπειλήσῃ τιμωρήσασθαι, βουληθῶμεν δὲ ἡμεῖς πολλὴν ἐπιδείξασθαι τὴν ἐπιστροφήν, ἀνακαλέσασθαι αὐτοῦ τὰς ἀποφάσεις· καὶ τοὐναντίον πάλιν κἂν ὑπόσχηταί τι χρηστὸν ἡμῖν παρέξειν, ἡμεῖς δὲ μὴ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, οὐδὲ αὐτὸς εἰς πέρας ἄγει τὰ ἐπαγγελθέντα, ὥστε μὴ χείρους ἡμᾶς ἐν ταύτῃ γίνεσθαι. καὶ ταῦτα ἅπαντα,
C ὅσοι φιλότεχνοι περὶ τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν ἐστε, εὑρεῖν δυνήσεσθε. τετάρτη δέ, φησι, γενεὰ ἀποστραφήσονται ὧδε. οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων ἕως τοῦ νῦν. τότε, φησί, καιρὸς ἔσται τοῦ καὶ ἐκείνους πρὸς τὴν ἐλευθερίαν ἐπαναχθῆναι, καὶ τούτους δίκην δοῦναι ὑπὲρ τοῦ πλήθους τῶν ἡμαρτημένων, καὶ τῆς γῆς ἐξεωσθῆναι. ἀμφότερα τοίνυν κατὰ τὸν δέοντα καιρὸν γενήσεται, κἀκείνων ἡ ἀποκατάστασις, καὶ τούτων ἡ ἐκβολή. οὔπω γὰρ αὐτῶν, φησιν, ἀναπεπλήρωνται αἱ ἁμαρτίαι· ὡς ἂν εἴποι τις, οὐδέπω τοσοῦτον εἰργάσαντο πλῆθος πλημμελημάτων, ὡς
D τοιαύτην ὑπέχειν δίκην. φιλάνθρωπος γὰρ ὢν οὐ μόνον τῶν ἐσφαλμένων μείζους οὐκ ἐπάγει τὰς τιμωρίας, ἀλλὰ καὶ σφόδρα ἐλάττους. διὰ τοῦτο καὶ περὶ τούτους πολλὴν ἐπιδείκνυται τὴν μακροθυμίαν, ἵνα καθ' ἑαυτῶν ἐπισπασάμενοι τὴν τιμωρίαν μηδεμίαν ἔχωσι λοιπὸν ἀπολογίαν. εἴδετε πῶς ἅπαντα μετὰ ἀκριβείας ἐγνώρισε τῷ πατριάρχῃ, ἵνα πανταχόθεν αὐτοῦ νευρώσῃ τὴν πίστιν, καὶ ἐκ τῶν πρὸς αὐτὸν εἰρημένων ἔχῃ θαῤῥεῖν, ὅτι καὶ τὰ εἰς τοὺς ἐκγόνους πάντως ἐκβήσεται· καὶ ἐκ τῶν προειρημένων πάλιν βεβαίαν κτήσεται τὴν πίστιν,

ὥστε καὶ τὰ κατ' αὐτὸν ἤδη εἰς ἔργον ἐλθεῖν ἀνάγκη. εἶτα ἐπειδὴ ἐπλήρωσε τὴν προῤῥησιν, καὶ ἐδέξατο σημεῖον ἱκανὸν τῶν πρὸς αὐτὸν γεγενημένων. ἐπεὶ ἐγένετο ὁ ἥλιος πρὸς δυσμαῖς, φησι, φλὸξ ἐγένετο, καὶ ἰδοὺ κλίβανος καπνιζόμενος, καὶ λαμπάδες πυρὸς, καὶ διῆλθον ἀνὰ μέσον τῶν διχοτομημάτων. καὶ ἡ φλὸξ καὶ ὁ κλίβανος καὶ αἱ λαμπάδες ἐγίνοντο πρὸς τὸ γνωρίσαι τῷ δικαίῳ τῶν συνθηκῶν τὸ βέβαιον, καὶ τῆς τοῦ θεοῦ ἐνεργείας τὴν παρουσίαν. εἶτα ἐπειδὴ ἐπληρώθη ἅπαντα καὶ ἀπηρτίσθη, τοῦ πυρὸς ἀναλώσαντος τὰ προκείμενα, διέθετο, φησι, κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῷ Ἀβραὰμ διαθήκην λέγων· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου, τοὺς Κιναίους, καὶ τοὺς Κενεζαίους, καὶ τοὺς Κεδμωναίους, καὶ τοὺς Χετταίους, καὶ τοὺς Φερεζαίους, καὶ τοὺς Ῥαφαεὶμ, καὶ τοὺς Ἀμορραίους, καὶ τοὺς Χαναναίους, καὶ τοὺς Εὐαίους, καὶ τοὺς Γεργεσαίους, καὶ τοὺς Ἰεβουσαίους. ὅρα πῶς πάλιν τῇ συνεχείᾳ βεβαιοῖ τὴν εἰς αὐτὸν ἐπαγγελίαν. διέθετο γὰρ, φησι, διαθήκην λέγων, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. εἶτα ἵνα ἐκ τοῦ πλάτους τῆς γῆς καὶ ἐκ τοῦ μεγέθους τῶν ὁρίων εἰδέναι ἔχῃ ὁ δίκαιος, ὅσον ἐκταθήσεται αὐτοῦ τὸ σπέρμα, φησὶν, ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως τοῦ ποταμοῦ Εὐφράτου τοσοῦτον ἔσται, φησὶ, τὸ σπέρμα σου. σκόπει πῶς διὰ πάντων τοῦ πλήθους αὐτοῦ τὴν ὑπερβολὴν ἐμφᾶναι βούλεται. ἀνωτέρω γὰρ εἰπὼν κατὰ τὸ τῶν ἄστρων πλῆθος, οὕτως ἀναρίθμητον αὐτὸ ποιήσειν, ἐνταῦθα καὶ τὸ μῆκος τῶν ὁρίων δῆλον ἐποίησεν, ἵνα καὶ ἐντεῦθεν μάθῃ τοῦ μέλλοντος ἔσεσθαι πλήθους τὴν ἔκτασιν. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ κατ' εἶδος τῶν ἐθνῶν μνημονεύει, ὧν ἔμελλε τὴν κατάσχεσιν παρέξειν αὐτοῦ τῷ σπέρματι, ἵνα πολλὴν διὰ πάντων πληροφορίαν παράσχῃ τῷ δικαίῳ. καὶ τοσούτων ἐπαγγελιῶν γεγενημένων ἔτι ἔμενεν ἄγονος ἡ Σάῤῥα, καὶ τὸ γῆρας αὐτοῖς ἐπετείνετο, ἵνα τῆς πίστεως αὐτῶν μέγιστον τεκμήριον ἐξενέγκαντες, τότε καὶ τῆς ἀνθρωπίνης φύσεως ἴδωσι τὴν ἀσθένειαν, καὶ τῆς τοῦ θεοῦ δυνάμεως τὸ μέγεθος. ἀλλ' ἵνα μὴ πάλιν εἰς πολὺ μῆκος τὴν διδασκαλίαν

Ἠθικόν. ἐκτείνωμεν, μέχρι τούτου τὰ τῆς ὑποθέσεως στήσαντες καταπαύσωμεν τὸν λόγον, παρακαλέσαντες ὑμᾶς ζηλωτὰς γενέσθαι τοῦ πατριάρχου. ἐννόησον γὰρ, ἀγαπητὲ, διὰ τὰ ῥήματα ἐκεῖνα, ἃ πρὸς τὸν βασιλέα Σοδόμων ἐποιήσατο,

A quòd neceſſe ſit iam fieri, quod de eo dictum. Poſtea vbi compleuit prophetiam, accepit etiam ille ſignum eorum, quæ ipſi contigerunt. [17] *Poſtquam fuit ſol ad occaſum*, inquit, *facta eſt flamma, & ecce clibanus fumigans, & lampades ignis, quæ tranſierunt inter diuiſiones illas.* Et flamma, & clibanus, & lampades exiſtunt, vt ſignum habeat iuſtus firmiorum fœderum, & aduentus diuinæ operationis. Denique poſtquam completa & perfecta ſunt omnia, igne conſumente, quæ propoſita erant. [18] *Diſpoſuit*, inquit, *Dominus in die illo Abræ teſtamentum, di-*

B *cens : Semini tuo dabo terram hanc, à fluuio AEgypti vſque ad fluuium magnum Euphratem : Cinæos, & Cenezæos, & Cedmonæos, & Chettæos, & Pherezæos, & Raphaim, & Amorrhæos, & Chananæos, & Euæos, & Gergeſæos, & Iebuſæos.* Vide quomodo adhuc perſeuerat, vt confirmet ſuam in illum promiſſionem. Diſpoſuit enim, inquit, teſtamentum: ſemini tuo dabo terram hanc. Deinde vt ex latitudine terræ, & amplitudine terminorum ſcire poſſit quan-

C tum extendetur eius ſemen, inquit: A flumine Ægypti, vſque ad flumen Euphraten, tantum erit ſemen tuum. Conſidera quomodo ſemper excellentiam multitudinis declarare ei vult. Superius enim dixit, ſe ſicut innumerabilem ſtellarum numerum illud facturum: hîc & latitudine finium idipſum declarat, vt & hinc diſcat, quàm ſit ſe dilatatura multitudo futura. Neque hoc ſolùm, ſed & ſpecialiter gentium mentionem facit, quarum poſſeſſionem ſemini eius ſit daturus, quò copioſis argumentis

D vndique fulciatur iuſtus Et cùm tantæ promiſſiones eſſent factæ, adhuc manſit Sara ſterilis, & ſenectus eorum augebatur, vt cum maximum fidei ſuæ ſignum ediderint, tunc ſciant & humanæ naturæ infirmitatem, & diuinæ virtutis magnitudinem. Verùm ne iterum aliquanto prolixius ſermonem extendamus, hîc finem imponamus; attamen obſecramus vos, vt imitatores ſitis huius patriarchæ. Cogita enim dilecte, quomodo propter verba illa quæ ad Regem Sodomorum, faciebat, Moralis exhortatio.

imò & propter virtutem aliam omnem, quam per omnem vitam ſuam declarauit, tanta mercede eum dignatus ſit, & quanta humanitate ſe ad eum accommodauerit Deus: monſtrans per ea, quæ in patriarcham contulit, nobis omnibus ſuæ liberalitatis immenſitatem, & quòd vel minimis operibus prouocatus, nos abſque mora magnis donis remuneret, ſi ſynceram fidem, ſicut ille iuſtus exhibuerimus, & nunquam mente fluctuauerimus, ſed conſtantem & firmam illam habuerimus. Hinc enim & ille celebritatem & laudem conſequutus eſt. Audi igitur beatum Paulum prædicantem eius fidem, quam ab initio oſtendit: dicit enim. Fide vocatus Abram, obediuit vt exiret in locum, quem accepturus erat: & exiuit, ignorans quò iret. Illud nobis inſinuans, quod à Deo dictum eſt: Egredere de terra tua, & veni in terram quam monſtrauero tibi. Vidiſti fidem firmam? vidiſti mentem ſynceram? Hunc & nos imitemur & egrediamur mente & alacritate à præſentis vitæ negociis, & eamus in cœlum. Poſſibile enim eſt, ſi voluerimus & hîc verſantes eò pergere, quando digna cœlis operamur, quando non ſuſpicimus ea quæ ſunt huius mundi, quando non gloriam vanam huius vitæ inquirimus: ſed hac contempta, illam deſiderare ſtudemus, veram illam dico & ſemper manentem: Quando non in luxu veſtium occupati ſumus, neque corpus ornare ſtudemus: ſed omnem illum externum cultum in animæ transferimus curam, & non permittimus eam nudam & ſpoliatam indumentis virtutum: quando ridemus delicias, quando gulam & crapulam fugimus, quando non conuiuia & cœnas ſectamur: ſed frugalitatem habemus iuxta apoſtolicam admonitionem: Habentes victum & indumentum, his contenti erimus. Quæ enim vtilitas ſuperfluorum, dic mihi, ita vt ventrem diſtendas præ nimia voracitate, & mentis iudicium deſtruas præ immodica vini potatione? An non inde corporis & animæ mala naſcũtur omnia?

Heb. 11. 8.

A μᾶλλον δὲ καὶ διὰ τὴν ἄλλην ἅπασαν ἀρετήν, ἣν διὰ πάσης ἐπεδείκνυτο τῆς ζωῆς, πόσης ἠξιώθη τῆς ἀμοιβῆς, καὶ πόσην περὶ αὐτὸν τὴν συγκατάβασιν ὁ δεσπότης ἐπεδείξατο, δεικνὺς διὰ τῶν εἰς τὸν πατριάρχην γεγενημένων ἅπασιν ἡμῖν τῆς φιλοτιμίας αὐτοῦ τὴν ὑπερβολήν, καὶ ὅτι, κἂν βραχύ τι προλαβόντες ἐπιδείξασθαι δυνηθῶμεν, τοῦ δὲ τυχεῖν ὑπερτιθέμενος, μεγάλαις ἡμᾶς ἀμείβεται ταῖς δωρεαῖς, μόνον ἐὰν εἰλικρινῆ τὴν πίστιν ἐπιδειξώμεθα, καθάπερ ὁ δίκαιος οὗτος, καὶ μηδέποτε σαλευώμεθα τὸν λογισμόν, ἀλλ' ἐρηρεισμένην ἔχωμεν τὴν γνώμην. ἐντεῦθεν γὰρ καὶ οὗτος εὐδοκίμησεν.
B ἄκουε γὰρ τοῦ μακαρίου Παύλου ἀνακηρύττοντος αὐτοῦ τὴν πίστιν, ἣν ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐπεδείξατο. φησὶ γάρ, πίστει καλούμενος Ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον, ὃν ἤμελλε λαμβάνειν, καὶ ἐξῆλθε μὴ ἐπιστάμενος ποῦ ἔρχεται, ἐκεῖνο ἡμῖν αἰνιττόμενος τὸ παρὰ τοῦ θεοῦ εἰρημένον· ἔξελθε ἐκ τῆς γῆς σου, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. εἶδες πίστιν βεβαίαν; εἶδες γνώμην εἰλικρινῆ; τοῦτον καὶ ἡμεῖς μιμησώμεθα, καὶ ἐξέλθωμεν τῇ γνώμῃ καὶ τῇ προθυμίᾳ ἐκ τῶν τοῦ παρόντος βίου πραγμάτων, καὶ ὁδεύσωμεν εἰς τὸν
C οὐρανόν. δυνατὸν γάρ, ἐὰν ἐθέλωμεν καὶ ἐνταῦθα διάγοντες, τῆς ἐκεῖ ὁδοῦ ἔχεσθαι, ὅταν ἄξια τῶν οὐρανῶν διαπραττώμεθα· ὅταν μὴ περὶ τὰ τοῦ κόσμου ὦμεν ἐπτοημένοι· ὅταν μὴ τὴν δόξαν τὴν κενὴν τοῦ βίου τούτου ἐπιζητῶμεν· ἀλλὰ ταύτης ὑπερορῶντες, ἐκείνης ἐφίεσθαι σπουδάζωμεν τῆς ἀληθοῦς καὶ ἀεὶ μενούσης· ὅταν μὴ περὶ τὴν τῆς ἐσθῆτος πολυτέλειαν ἀπασχολώμεθα, μηδὲ τὸ σῶμα καλλωπίζειν σπουδάζωμεν, ἀλλὰ πάντα τοῦτον τὸν ἔξωθεν κόσμον μετάγωμεν εἰς τὴν τῆς ψυχῆς ἐπιμέλειαν, καὶ μὴ ἀνεχώμεθα γυμνὴν αὐτὴν
D καὶ ἔρημον ταύτης τῆς ἀρετῆς τῶν ἐνδυμάτων περιορᾶν· ὅταν καταγελῶμεν τρυφῆς· ὅταν γαστριμαργίαν φεύγωμεν· ὅταν μὴ τὰ συμπόσια καὶ τὰ δεῖπνα μεταδιώκωμεν· ἀλλὰ τῆς αὐταρκείας ἐχώμεθα κατὰ τὴν ἀποστολικὴν παραίνεσιν τὴν λέγουσαν· ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. τί γὰρ ὄφελος, εἰπέ μοι, τῶν περιττῶν καὶ τοῦ τὴν γαστέρα διαρρήγνυσθαι ἀπὸ τῆς πολλῆς ἀδηφαγίας, ἢ τοῦ λογισμοῦ τὸ κριτήριον ἡμῖν διαφθείρεσθαι ἀπὸ τῆς ἀμέτρου οἰνοποσίας; ἢ οὐχὶ ἐντεῦθεν καὶ τῷ σώματι καὶ τῇ ψυχῇ πάντα τίκτεται τὰ κακά;

πόθεν γὰρ αἱ νόσοι αἱ παντοδαπαί, καὶ τῶν μελῶν αἱ διαστροφαί; οὐχὶ ἐντεῦθεν ἀπὸ τοῦ τὴν χρείαν ἡμᾶς ὑπερβαίνοντας βαρὺ φορτίον ἐπιτιθέναι τῇ γαστρί; πόθεν δὲ αἱ μοιχεῖαι, αἱ πορνεῖαι, αἱ ἁρπαγαί, αἱ πλεονεξίαι, οἱ φόνοι, αἱ λῃστεῖαι, καὶ πᾶσα τῆς ψυχῆς ἡ διαφθορά; οὐ διὰ τὸ τοῦ πλείονος ἐφίεσθαι τῆς συμμετρίας; ὥσπερ γὰρ ῥίζαν τῶν κακῶν ἁπάντων τὴν φιλαργυρίαν ὁ Παῦλος ἐκάλεσεν, οὕτως οὐκ ἄν τις ἁμάρτοι πηγὴν τῶν κακῶν ἁπάντων προσκαλῶν τὴν ἀμετρίαν, καὶ τὸ τὴν χρείαν ἐφ᾽ ἑκάστου βούλεσθαι ἡμᾶς ὑπερβαίνειν. Εἰ γὰρ ἐβουλόμεθα καὶ ἐν τῇ τροφῇ καὶ ἐν τοῖς ἐνδύμασι καὶ ἐν τοῖς οἰκήμασι καὶ ἐν ταῖς χρείαις ταῖς ἄλλαις ταῖς σωματικαῖς μὴ αὐτῶν ἐφίεσθαι, ἀλλὰ τὰ ἀναγκαῖα μόνον ἐπιζητεῖν, πολλῆς ἂν λύμης ἀπήλλακτο τὸ τῶν ἀνθρώπων γένος. Ἀλλ᾽ οὐκ οἶδ᾽ ὅπως ἕκαστος ἡμῶν κατὰ τὴν ἑαυτοῦ δύναμιν τὸ τῆς πλεονεξίας νόσημα δεξάμενος φιλονεικεῖ μηδέποτε εἴσω τῶν τῆς χρείας ὅρων γίνεσθαι, ἀλλ᾽ ἀπεναντίας τῇ ἀποστολικῇ παραινέσει τῇ λεγούσῃ, ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα, οὕτως ἡμεῖς ἅπαντα πράττομεν; οὐκ εἰδότες, ὡς πάντων τῶν ὑπὲρ τὴν χρείαν τὴν ἀναγκαίαν εὐθύνας καὶ λόγον ὑφέξομεν, ὡς οὐ δεόντως κεχρημένοι τοῖς παρὰ τοῦ δεσπότου ἡμῖν παρασχεθεῖσιν. οὐ γὰρ ἵνα εἰς ἀπόλαυσιν ἡμετέραν μόνον ἀποχρησώμεθα, ταῦτα ἡμῖν παρέσχετο, ἀλλ᾽ ἵνα καὶ τῶν ὁμογενῶν τὴν ἔνδειαν παραμυθησώμεθα. ποίας ἂν οὖν εἶεν συγγνώμης ἄξιοι οἱ καὶ ἐν ἐσθήμασι πολλὴν τὴν βλακείαν ἐπιδεικνύμενοι, καὶ τὰ τῶν σκωλήκων νήματα περιβάλλεσθαι σπουδάζοντες, τὸ δὴ χαλεπώτατον, καὶ ἐπὶ τούτοις μέγα φρονοῦντες, δέον ἐγκαλύπτεσθαι καὶ δεδοικέναι καὶ τρέμειν, ὅτι αὐτοὶ μὲν εἰς οὐδὲν δέον οὐδὲ χρείας ἕνεκεν, ἀλλὰ βλακείας καὶ κενοδοξίας χάριν, καὶ ὥστε ὑπὸ τῶν ἀγοραίων θαυμασθῆναι, τοιαῦτα περίκεινται· ὁ δὲ τῆς αὐτῆς σοι φύσεως τυγχάνων γυμνὸς περίεισιν, οὐδὲ ἁδρὸν ἱμάτιον περιβαλέσθαι ἔχων· καὶ οὔτε ἡ φύσις αὐτὴ εἰς συμπάθειάν σε ἕλκει, οὐδὲ τὸ συνειδὸς διεγείρει πρὸς τὴν ἀντίληψιν τοῦ ὁμογενοῦς, οὔτε ἡ ἔννοια τῆς φοβερᾶς ἡμέρας ἐκείνης, οὔτε τῆς γεέννης ὁ φόβος, οὔτε τῶν ἐπαγγελιῶν τὸ μέγεθος, οὔτε τὸ αὐτὸν τὸν κοινὸν ἡμῶν δεσπότην ἁπάντων οἰκειοῦσθαι τὰ εἰς τοὺς ὁμογενεῖς γινόμενα·

Vnde enim multiplices illæ ægritudines & membra diſtorta? nónne hinc quòd plus quàm vtile eſt, ventrem oneribus grauamus? Vnde autem adulteria, ſtupra, rapinæ, auarorum fraudes, cædes, latrocinia, & totius animæ deſtructio? nónne quia plus concupiſcimus quàm nobis congruit? Sicut enim Paulus radicem omnium malorum auaritiam vocauit: ſic non aberrauerit quis, ſi fontem omnium malorum dicat immoderantiam, & quod tranſgredi volumus ſuum cuiuſque vſum. Nam ſi vellemus in alimentis, & veſtibus, & domiciliis, & aliis corporalibus cunctis vſibus nihil immodicè concupiſcere, ſed neceſſaria tantum quærere, multis damnis liberaretur humanum genus. Verùm neſcio quî fiat, vt omnes & ſinguli pro ſuis viribus auaritiæ morbo laboremus, nunquam enitentes vt intra neceſſitatis maneamus limites, ſed planè contra apoſtolicum mandatũ, quod dicit: Habentes victum & amictum his contenti erimus: omnia facimus, neſcientes quòd de omnibus quæ vltra vſum noſtrum ſunt, rationem daturi ſimus, quòd abuſi ſimus diuinis muneribus. Non enim hæc nobis conceſſit, vt nos tantum eis vtamur: ſed & vt proximorum indigentiam ſubleuemus. Quali igitur venia dignandi ſunt, qui & in veſtimentis multam vanitatem oſtentant, & vt vermium texturas geſtent, ſolliciti ſunt: & quod grauiſſimum, in his ſuperbiunt? Quos oportebat tremere, & ſe abſcondere, & vereri præ confuſione, quòd ipſi quidem ob nullam vtilitatem, neque neceſſarij vſus gratia: ſed tantum ob vanitatem & inanem gloriam, & vt vulgo ac forenſibus admirationi ſint, talibus induantur: obambulat autem eiuſdem naturæ conſors, nudus, qui neque craſſiſſima veſte amicire ſe poteſt: & neque natura ad compaſſionem ducuntur, neque conſcientia ad opitulandũ proximo eos incitat: neque memoria horrendi illius diei, neque gehennæ timor, neque promiſſionum magnitudo: neque iſtucipſum, quòd communis dominus noſter vt ſibi facta vſurpat quæ proximis fiunt:

1. Tim. 6. 10.

1. Tim. 6. 8.

A ſed quaſi lapideum cor haberent, & non eiuſdem naturæ forent, ita ſe putant ob veſtium cultus etiam aliis hominibus ſuperiores eſſe, non perpendentes ſecum quantis malis ſeipſos obnoxios reddãt, qui concredita ſibi à domino malè diſpenſant, & nolunt conſeruis partem concedere: ſed potius à vermibus conſumi permittentes, grauiorem gehennæ ignem iam ſibi præparant? Nam ſi omnia quæ intus repoſita habent, indigentibus diuites diſtribuerent, neque ſic ſupplicium effugerent eorum peccatorum quæ in deliciis veſtium & conuiuiorum admittunt. B Quo enim ſupplicio non ſunt digni, qui modis omnibus dant operam, vt ſericis & auro vel aliter pictis veſtibus intertextis induantur, & poſt ſe pompam trahant in foro: Chriſtum autem deſpiciunt nudum, & neque cibum neceſſarium impetrantem? Maximè autem ſermo iſte aduerſus mulieres congruerit. Maiorem enim apud eas inuenimus ornandi cupiditatem & intemperantiam, cùm auratis veſtibus & auro in capite, in ceruice, & in aliis corporis partibus C ornantur, & in his quoque ſuperbiunt. Quot pauperum vẽtres poterant inde paſci, & quot corpora nudè agentium poterant contegi ex his, quæ à ſolo collo & humeris pendent, nullius alterius vſus gratia, quàm in damnum & nocumentum animæ? Propter hoc & doctor orbis, cùm dixiſſet: Habentes victum & amictum: vertit ſtatim ad mulieres ſermonem, & dicit: Non in tortis crinibus, vel in auro, vel margaritis, vel veſte ſumptuoſa ornent ſe. Vides quomodo non vult eas talibus ornari, neque D auro circundari, neque margaritis, neque veſte ſumptuoſa: ſed verum ornatum in animam inducere, & per bonorum operum actionem, pulchritudinem animæ illuſtrare, & ne ea quæ ſuſpicit talia, contemnat illam ſordidam, ſqualidam, pannoſam, famelicam, gelúque rigeſcentem? Hoc enim ſtudium in ornando corpore internam indicat deformitatem, & huius deliciæ illius manifeſtam faciunt famem: & huius veſtium ſumptus illius indicat nuditatem.

1. Tim. 6.8.

1. Tim. 2. 9.

ἀλλὰ καθάπερ λιθίνην καρδίαν ἔχοντες καὶ ἔξω τῆς φύσεως ὄντες, οὕτω νομίζουσι λοιπὸν διὰ τὴν τῶν ἱματίων περιβολὴν καὶ ἀνώτεροι τῆς ἀνθρωπίνης φύσεως εἶναι, οὐκ ἐννοοῦντες ὅσων ὑπευθύνους ἑαυτοὺς καθιστῶσι, κακῶς οἰκονομοῦντες τὰ παρὰ τοῦ δεσπότου αὐτοῖς ἐμπιστευθέντα, καὶ οὐ βουλόμενοι τοῖς συνδούλοις διδόναι τι μέρος, ἀλλ' ἡδέως ἀφέντες ὑπὸ τῶν σητῶν αὐτὰ καταναλίσκεσθαι, δαψιλέστερον αὐτοῖς τὸ τῆς γεέννης πῦρ ἤδη προευτρεπίζουσιν; εἰ γὰρ καὶ πάντα τὰ ἔνδον ἀποκείμενα διένεμον τοῖς δεομένοις οἱ πλουτοῦντες, καὶ οὕτως οὐκ ἂν τὴν κόλασιν διέφυγον ὑπὲρ ὧν τρυφῶντες καὶ ἐν τοῖς ἐσθήμασι καὶ ἐν ταῖς ἑστιάσεσι διετέλουν. πόσης γὰρ οὐκ ἂν εἶεν κολάσεως ἄξιοι οἱ πάντα τρόπον σπουδάζοντες τὰ μὲν σηρικὰ περιβεβλῆσθαι πολλάκις ἱμάτια, καὶ σοβεῖν ἐπὶ τῆς ἀγορᾶς, καὶ τὰ μὲν χρυσίῳ καθυφασμένα περικεῖσθαι, τὰ δὲ καὶ ἄλλως πως πεποικίλθαι, τὸν δὲ Χριστὸν περιορᾶν γυμνόν, καὶ μηδὲ τῆς ἀναγκαίας εὐπορεῖν τροφῆς; μάλιστα γάρ μοι πρὸς τὰς γυναῖκας οὗτος ἂν ὁ λόγος ἁρμόσειε. πλείονα γὰρ παρ' αὐταῖς ἐστιν εὑρεῖν τὴν φιλοκοσμίαν καὶ τὴν ἀσωτίαν, καὶ τὸ μετὰ τῶν διαχρύσων ἱματίων, καὶ τὰ χρυσία αὐτὰ περικεῖσθαι ἐπί τε τῆς κεφαλῆς, ἐπί τε τοῦ τραχήλου, καὶ τοῦ λοιποῦ σώματος, καὶ μέγα φρονεῖν ἐπὶ τούτοις. πόσων, εἰπέ μοι, πενήτων γαστέρας ἠδύναντο παραμυθήσασθαι, καὶ πόσα σώματα γυμνητευόντων σκεπάσαι τὰ ἐπὶ τῶν ὤτων μόνον ἐκκρεμάμενα μάτην καὶ εἰκῇ, καὶ ἐπ' οὐδενὶ κέρδει, ἀλλ' ἢ μόνον ἐπὶ βλάβῃ καὶ λύμῃ ψυχῆς; διὰ τοῦτο καὶ ὁ τῆς οἰκουμένης διδάσκαλος εἰπών, ἔχοντες διατροφὰς καὶ σκεπάσματα, μετήγαγε πάλιν ἐπὶ τὰς γυναῖκας τὸν λόγον καί φησι, μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ κοσμεῖν ἑαυτάς. ὁρᾷς πῶς οὐ βούλεται τούτοις κοσμεῖσθαι, οὐδὲ χρυσία περικεῖσθαι οὐδὲ μαργαρίτας καὶ ἱμάτια πολυτελῆ· ἀλλὰ τὸν ἀληθῆ κόσμον ἐπὶ τὴν ψυχὴν μετάγειν, καὶ διὰ τῆς τῶν ἀγαθῶν ἔργων πράξεως τὸ κάλλος τῆς ψυχῆς φαιδρύνειν, καὶ μὴ περὶ ταῦτα ἐπτοημένην περιορᾶν ἐκείνην ῥυπῶσαν, αὐχμῶσαν, ῥάκια περιβεβλημένην, λιμῷ τηκομένην, ὑπὸ τοῦ κρυμοῦ πηγνυμένην. ἡ γὰρ σπουδὴ αὕτη καὶ ὁ περὶ τὸ σῶμα καλλωπισμὸς ἐκείνης δείκνυσι τὴν ἀμορφίαν, καὶ ἡ τούτου τρυφὴ ἐκείνης τὸν λιμὸν φανερὸν καθίστησι, καὶ ἡ περὶ τὴν ἐσθῆτα πολυτέλεια ἐκείνης τὴν γυμνότητα ἐκφαίνει.

A οὐδὲ γὰρ οἷόν τέ τινα ψυχῆς ἐπιμελούμενον, καὶ τὴν εὐμορφίαν ἐκείνης καὶ τὸ κάλλος περὶ πολλοῦ ποιούμενον, πρὸς τὸν ἔξω κόσμον ἐπτοῆσθαι· ὥσπερ πάλιν ἀδύνατόν τινα πρὸς τὴν φαντασίαν τὴν ἔξωθεν ἐσχολακότα καὶ τῆς ἐσθῆτος τὸν καλλωπισμὸν καὶ τὸν ἀπὸ τῶν χρυσίων κόσμον, ἐκείνης ἥν τινα οὖν ποιεῖσθαι φροντίδα. πότε γὰρ ἀνέξεταί ἡ τοιαύτη ψυχὴ τῶν δεόντων τι συνιδεῖν, ἢ εἰς ἔννοιαν πνευματικῶν πραγμάτων εἰσελθεῖν, ἅπαξ περὶ τὰ γήϊνα ἑαυτὴν ἐκδεδωκυῖα, καὶ χαμαί, ὡς εἰπεῖν, συρομένη, καὶ οὐδέποτε ἀνακύψαι δυναμένη, ἀλλὰ συγκεκυφυῖα καὶ μυρίοις φορτίοις ἁμαρτημάτων ἑαυτὴν βαρύνουσα; ὅσαι γὰρ ἐντεῦθεν αἱ B ἀηδίαι τίκτονται, οὐ δυνατὸν νῦν παραστῆσαι τῷ λόγῳ· ἀλλ' ἀρκεῖ τῷ συνειδότι καταλιπεῖν τῶν περὶ ταῦτα ἐσχολακότων, ὅσας καθ' ἑκάστην ἡμέραν ἐντεῦθεν δέχονται τὰς ἀθυμίας. ἢ γὰρ διέπεσέ τι τῶν χρυσίων, καὶ πολὺς ὁ χειμὼν καὶ ὁ θόρυβος κατέλαβεν ἅπασαν τὴν οἰκίαν· ἢ οἰκέτης ὑφείλετο, καὶ πᾶσι μάστιγες καὶ πληγαὶ καὶ δεσμωτήρια· ἢ βάσκανοί τινες ἐπεβούλευσαν, καὶ ἐξαίφνης ἐγύμνωσαν τῶν ὄντων, καὶ πολλὴ καὶ ἀφόρητος ἡ ἀθυμία· ἢ πραγμάτων περίστασις ἐμπεσοῦσα εἰς ἐσχάτην πενίαν κατήνεγκε, καὶ βαρυτέραν θανάτου τὴν ζωὴν C αὖθις κατέστησεν· ἢ ἕτερόν τι πάλιν παρεμπεσὸν πολλὴν τὴν ἀηδίαν προεξένησε. καὶ ἁπλῶς οὐκ ἔστι ποτὲ ταραχῆς ἐκτὸς εὑρεῖν τὴν ἐν τούτοις ἐσχολακυῖαν ψυχήν, ἀλλ' ὥσπερ τὰ τῆς θαλάττης κύματα οὐχ οἷόν τε ἐπιλιπεῖν, οὐδὲ ἀριθμῷ ὑποβληθῆναι διὰ τὴν πολλὴν συνέχειαν, τὸν αὐτὸν δὴ τρόπον καὶ τὰς ἐντεῦθεν τικτομένας ταραχὰς οὐχ οἷόν τε πάσας ἐξαριθμήσασθαι. διὸ παρακαλῶ, φύγωμεν ἐν ἅπασι τοῖς πράγμασι τὴν πλεονεξίαν καὶ τὸ τὴν χρείαν ὑπερβαίνειν. ὁ γὰρ ἀληθὴς πλοῦτος, ἡ ἀνάλωτος περιουσία αὕτη τυγχάνει, τὸ D τῆς χρείας ἐφίεσθαι, καὶ τὰ ὑπὲρ τὴν χρείαν δεόντως διατιθέναι. ὁ γὰρ τοιοῦτος οὔτε πενίαν δεῖσαί ποτε δυνήσεται, οὔτε ἐπήρειαν ὑπομένει, οὔτε ταραχῆς πειραθήσεται· ἀλλὰ καὶ συκοφαντίας ἐκτὸς ἔσται, καὶ τῶν ἐπιβουλευόντων ἐλευθερωθήσεται, καὶ, ἁπλῶς εἰπεῖν, ἐν διηνεκεῖ ἔσται γαλήνῃ, ἡσυχίας καὶ ἀπραγμοσύνης ἀπολαύων· καὶ τὸ δὴ μεῖζον ἁπάντων καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν, ὁ τοιοῦτος καὶ τὸν θεὸν ἵλεων ἕξει, καὶ πολλῆς ἀπολαύσει τῆς ἄνωθεν ῥοπῆς, ἅτε δὴ οἰκονόμος πιστὸς τῶν τοῦ δεσπότου χρημάτων. μακάριος γάρ, φησιν, ὁ δοῦλος ἐκεῖνος,

fieri enim non poteſt, vt qui animæ curam habeat, eiúſque pulchritudinem plurimi faciat, is externo cultui inhiet: ſicut & impoſſibile, in externo illo cultu tantopere occupatum illius agere curam. Quomodo enim poſſet anima talis aliquid vtile contemplari, vel in cogitationem ſpiritualium venire, quæ ſemel terrenis ita dedita cœpit eſſe, & humi, vt ita dicam, trahitur, & nunquam caput attollere poteſt, & obſtipa innumeris peccatorum ſarcinis, ſeipſam grauat? Nam quot inde naſcantur mala, non poſſum nunc ſermone complecti: ſed ſatis eſt vt relinquam conſcientiæ eorum, qui in iis occupati ſunt, quantas inde quotidiánas moleſtias experiuntur. Etenim vel aliquid decidit ex aureo illo cultu, & magna tempeſtas, magnúſque tumultus oboritur in tota domo: vel famulus ſurripuit, & omnes flagellantur & verberantur, & in carcerem coniiciuntur: vel inuidi quidam inſidiati ſunt, & ſubitò ſpoliarunt, quantus tunc & quàm intolerabilis mœror? vel rerum difficultas ingruens in extremam inopiam redegit, & grauiorem morte vitam eis attulit: vel aliud quiddam incidens multam triſtitiam peperit. Et in ſumma, nunquam inuenies animam iſtiuſmodi occupatam, à turbationibus alienam: ſed ſicut maris fluctus neque deficere, neque numerari queunt ſemper nouis ſuccreſcentibus: ita turbationes inde orientes nemo dinumerarit. Idcirco obſecro, fugiamus in omnibus rebus habendi cupiditatem, & modici vſus exceſſum. Veræ enim diuitiæ ſunt, & inexhauſtæ facultates, deſiderare tantum, quantum vſui ſatis, & ea quæ vſum excedunt, rectè diſpenſare. Neque enim ille qui hoc facit, inopiam timere poterit, neque calumniam ſuſtinebit, neque turbationem ſentiet: ſed & extra calumniam erit; & liberabitur ab inſidiantibus, & vt ſummatim dicam, in perpetua tranquillitate erit, & quiete ac ocio fruetur: & quod maius eſt omnibus, capútque bonorum, & Deum habebit propitium, & ſuperna fruetur gratia, vtpote fidelis factus diſpenſator pecuniarum domini. Beatus enim: inquit, ſeruus ille,

Lucæ 12. 43. quem cùm venerit dominus, inueſerit ſic facientem, & ſic diſpenſantem conſeruis, & non ianuis & vectibus includentem, & vermibus eſcam fieri permittẽtem: ſed inopum miſeriam ſubleuantem, bonúmque & fidelem diſpenſatorem factum eorum, quæ à domino ſuppeditantur. Vt & pulchræ huius diſpenſationis magnam mercedem aſſequi, & promiſſa bona obtinere mereatur, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει οὕτω ποιοῦντα, οὕτω διανέμοντα τοῖς συνδούλοις, καὶ μὴ θύραις καὶ μοχλοῖς ἐναποκλείοντα, καὶ τοῖς σκώληξι βορὰν συγχωροῦντα γίνεσθαι, ἀλλὰ τῶν πενήτων τὴν ἔνδειαν παραμυθούμενον, καὶ καλὸν καὶ πιστὸν οἰκονόμον γινόμενον τῶν παρὰ τοῦ δεσπότου χορηγηθέντων, ἵνα καὶ τῆς καλῆς ταύτης διανομῆς μέγαν τὸν μισθὸν κομίσηται, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν καταξιωθῇ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, B τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Homilia XXXVIII.

Gen. 16. 1. *Sara autem vxor Abram non peperit ei, ſed habebat ancillam AEgyptiam nomine Agar.*

Etiam hodierna lectio linguam noſtram denuò in memoriam patriarchæ vocat: neque vos admiratio teneat, quòd cum tot diebus hiſtoriam eiuſdem toties in medium attulerimus, nec hodie illam abſoluere potuerimus. Magna enim abundantia eſt virtutum iuſti, & eximia ſunt illius bona opera, atque adeo vt omnem humanam linguam vincant. Quem enim Deus ſupernè prædicauit & celebrem fecit, quis hominum dignè laudare poterit? Quamuis autem longè inferiores ſumus, quàm expoſcant illius merita, nos tamen vel ſaltem pro noſtris viribus, quæ de illo ſcripta ſunt in medium afferentes, ad æmulandum & imitandum virtutem illius, vos inducere cupimus. Sufficit enim huius viri philoſophia ad omne hominum genus erudiendum, & ad trahendum diligenter auſcultantes in virtutum viam. Cæterum obſecro, vt intendatis his quæ dicuntur, quò liceat etiam ex nuper lectis iuſti vitam, quàm fuerit bonis moribus prædita addiſcere. Poteſt enim hic locus docere & viros & mulieres, vt magna inter ſe concordia viuant, & coniugij vinculum indiſruptum ſeruent: & neque vir inſurgat aduerſus mulierem,

Ὁμιλία λη.

Σάρα δὲ ἡ γυνὴ Ἀβρὰμ οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ.

Πάλιν τὰ σήμερον ἀναγνωσθέντα ἐπὶ τὴν ὑπόθεσιν τὴν κατὰ τὸν C πατριάρχην τὴν ἡμετέραν καλεῖ γλῶτταν. καὶ μὴ θαυμάσητε, εἰ ἐπὶ τοσαύταις ἡμέραις τὴν κατ' αὐτὸν ἱστορίαν εἰς μέσον παραγαγόντες οὐδέπω καὶ τήμερον αὐτὴν ἀπαρτίσαι δεδυνήμεθα. πολλὴ γὰρ ἡ περιουσία τῆς τοῦ δικαίου ἀρετῆς, καὶ τῶν τούτου κατορθωμάτων τὸ μέγεθος ἅπασαν ἀνθρωπίνην νικᾷ γλῶτταν. ὃν γὰρ ὁ θεὸς ἄνωθεν ἐστεφάνωσε καὶ ἀνεκήρυξε, τίς ἀνθρώπων κατ' ἀξίαν ἐπαινέσαι δυνήσεται; ἀλλ' ὅμως εἰ καὶ τῆς ἀξίας πολλῷ τῷ μέτρῳ ἀπολειπόμεθα, ἀλλ' οὖν γε εἰς δύD ναμιν ἡμετέραν τὰ κατ' αὐτὸν εἰς μέσον προθέντες εἰς ζῆλον ὑμᾶς καὶ μίμησιν τῆς τούτου ἀρετῆς ἐναγαγεῖν βουλόμεθα. ἱκανὴ γὰρ τοῦ ἀνδρὸς ἡ φιλοσοφία πᾶσαν τῶν ἀνθρώπων παιδεῦσαι τὴν φύσιν, καὶ τοὺς προσέχειν βουλομένους πρὸς τὴν τῆς ἀρετῆς ὁδὸν ἐφελκύσασθαι. ἀλλὰ προσέχετε, παρακαλῶ, τοῖς λεγομένοις, ἵνα καὶ ἐκ τῶν προσφάτως ἀνεγνωσμένων καταμάθωμεν τοῦ δικαίου τὴν φιλοσοφίαν. ἱκανὸν γὰρ τοῦτο τὸ χωρίον παιδεῦσαι καὶ ἄνδρας καὶ γυναῖκας, ὥστε πολλὴν περὶ ἀλλήλους ἐπιδείκνυσθαι τὴν ὁμόνοιαν, καὶ τῆς συζυγίας τὸν σύνδεσμον ἄρραγῆ διαφυλάττειν· καὶ μήτε τὸν ἄνδρα τῆς γυναικὸς κατεξανίστασθαι,

A ἀλλ' ὡς ἀσθενεστέρῳ σκεύει πολλὴν ἀπονέμειν τὴν συγγνώμην, μήτε τὴν γυναῖκα πρὸς τὸν ἄνδρα διχοστατεῖν, ἀλλ' ἀλλήλων τὰ βάρη βαστάζειν ἑκατέρους διαμιλλᾶσθαι, καὶ τὴν οἰκείαν εἰρήνην πάντων ἡγεῖσθαι προτιμοτέραν. ἀναγκαῖον δὲ καὶ αὐτῶν ἀκοῦσαι τῶν ῥημάτων, ἵνα σαφεστέρα ὑμῖν γένηται ἡ διδασκαλία. Σάρα δέ, φησιν, ἡ γυνὴ Ἄβραμ οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ. σκόπει μοι ἐντεῦθεν, ἀγαπητέ, τοῦ θεοῦ τὴν ἄφατον μακροθυμίαν, καὶ τοῦ δικαίου τὴν ὑπερβάλλουσαν πίστιν καὶ τὴν εὐγνωμοσύνην, ἣν περὶ τὰς ἐπαγγελίας ἐπεδείκνυτο
B τὰς εἰς αὐτὸν γεγενημένας. τοσαυτάκις γὰρ ὑποσχομένου θεοῦ ὅτι τῷ σπέρματι αὐτοῦ δώσει τὴν γῆν, καὶ ὅτι εἰς τοσοῦτον πλῆθος ἐκταθήσεται, ὡς τῷ τῶν ἄστρων πλήθει παρισωθῆναι, ὁρῶν οὐδὲν τῶν ἐπαγγελθέντων εἰς ἔργον ἐκβαῖνον, ἀλλ' ἔτι μέχρι λόγων τὰ τῶν ὑποσχέσεων τυγχάνοντα, οὐκ ἐταράττετο τὸν λογισμόν, οὐκ ἐσαλεύετο τὴν γνώμην, ἀλλ' ἔμενεν ἀκλινὴς πιστεύων τῇ δυνάμει τοῦ ἐπαγγειλαμένου. διὰ γὰρ τοῦτο καὶ νῦν ἐπεσημήνατο ἡ θεία γραφὴ λέγουσα· Σάρα δὲ ἡ γυνὴ Ἄβραμ οὐκ ἔτικτεν αὐτῷ· μονονουχὶ τοῦτο ἡμῖν ἐμφαίνουσα, ὅτι
C μετὰ ταῦτα ἅπαντα, μετὰ τὰς συνθήκας τὰς πρὸς αὐτὸν γεγενημένας, μετὰ τὸ ὑποσχέσθαι ἀναρίθμητον ἐξ αὐτοῦ γενήσεσθαι πλῆθος, οὐκ ἤσχαλλεν, οὐκ ἐνεδοίαζεν ὁρῶν οὐδὲν τῶν εἰρημένων εἰς ἔργον ἐκβαῖνον, ἀλλὰ πάντα τὰ ἐναντία. διὰ τοῦτό φησι μετ' ἐκεῖνα ἅπαντα, Σάρα δὲ ἡ γυνὴ αὐτοῦ οὐκ ἔτικτεν αὐτῷ, ἵνα μάθῃς ὅτι οὐδὲν αὐτῷ πλέον γέγονε μετὰ τὰς τοσαύτας ὑποσχέσεις, καίτοι καὶ ἡ στείρωσις τῆς Σάρας, καὶ τῆς μήτρας ἡ νέκρωσις πολλὴν τὴν ἀπορίαν ἐμποιῆσαι ἦν ἱκανὴ τῷ δικαίῳ. ἀλλ' ὁ πατριάρχης οὐ πρὸς τὰ ἀπὸ τῆς φύσεως κωλύματα ἑώρα λοιπόν. ἀλλ' εἰδὼς τὸ εὐμήχανον τοῦ
D δεσπότου, καὶ ὅτι δημιουργὸς ὢν τῆς φύσεως καὶ ἐξ ἀπόρων πόρους εὑρεῖν δύναται, καθάπερ εὐγνώμων οἰκέτης, οὐ περιειργάζετο τὸν τρόπον τῶν γινομένων, ἀλλὰ παρεχώρει τῇ ἀκαταλήπτῳ αὐτοῦ προνοίᾳ, καὶ ἐπίστευσε τοῖς εἰρημένοις. διὰ τοῦτό φησι, Σάρα δὲ μετὰ τὰς τοσαύτας ὑποσχέσεις οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ. οὐχ ἁπλῶς ἡμῖν οὐδὲ ἐνταῦθα τῆς παιδίσκης τὴν μνήμην ἐποιήσατο ἡ θεία γραφή, ἀλλ' ἵνα μάθωμεν πόθεν αὐτὴν εἶχε. διὰ γὰρ τοῦτο προσέθηκεν ὅτι Αἰγυπτία, ἵνα ἐπὶ τὴν ἱστορίαν ἀναδραμόντες ἐκείνην·

ſed vt vaſi infirmiori maiorem illi veniam tribuat: neque mulier viro ſe opponat, aut ab eo diſſideat, ſed vt viciſſim alter alterius onera ferre certent, domeſticámque pacem omnibus bonis præferant. At operæprecium fuerit audire verba ipſa, vt fiat nobis doctrina manifeſtior. [1] *Sara autem*, inquit, *vxor Abræ, non peperit ei: cæterum habebat ancillam AEgyptiam, cui nomen Agar.* Conſidera chariſſime hoc loco ineffabilem Dei tolerantiã, & eximiam fidem & gratitudinem iuſti, quam in factis ſibi promiſſionibus declarauit. Cùm enim toties promiſiſſet Deus ſe daturum ſemini eius terram, & in tanto multiplicaturum numero, vt multitudini ſtellarum adæquaretur: videns quòd nulla promiſſionum opere impleretur, ſed ex promiſſionibus nihil præterquã verba acciperet, non turbabatur ratione, non commouebatur mente: ſed manſit immotus & inflexus, credens potentiæ promittentis. Et idcirco etiam hîc aſſignauit ſcriptura diuina, dicens: Sara autem vxor Abræ non peperit ei, quaſi hoc declarans. Poſt pacta cum eo inita, poſt pollicitationem innumeræ multitudinis ex eo procreandæ, nihil fluctuabat ſecum, videns nihil dictorum opere impleri, ſed omnia contrario modo ſeſe habere: & propterea dicit poſt illa omnia, Sara vxor eius non peperit ei: vt diſcas quòd nihil illi acceſſit poſt tantas promiſſiones, quamuis Saram ſterilem & vtero emortuo eſſe in mente iuſti multam hæſitationem ingenerare poſſet. Verùm patriarcha non ſpectabat ad impedimenta naturæ, ſed omnipotentiam domini cognoſcens, qui naturæ dominus & conditor eſt, viámque in inuiis poteſt inuenire: ſicut gratus ſeruus non quærit curioſè modum eorum quæ fiunt, ſed relinquit incomprehenſibili domini prouidentiæ, & credidit dictis: idcirco inquit. Sara autem poſt tantas promiſſiones non peperit ei. *Habebat autem ancillam AEgyptiam, cui nomen Agar.* Non abſque cauſa etiam hoc loco ſcriptura diuina nobis ancillæ memoriam facit, ſed vt ſciamus vnde habuerit illam. Et idcirco adiecit, quòd Ægyptia fuerit, vt ad ſuperiorem hiſtoriam recurramus,

Cap. 16.

& quòd fuerit ex his quæ Pharao Abræ donauerat, quando tanta vltione ab omniũ Deo potitus eſt, redeundo etiam hanc accepit. Studioſè enim nobis & nomen & gentem ſignificauit diuina ſcriptura. Verum vlterius hîc conſidera, quomodo & Saræ mens bonis prædita fuerit moribus, & mirum in modum cõtinens, atque quam fuerit ipſe patriarcha illi obſequens, & ſupra quàm dici poteſt obediens. [2] *Dixit autem Sara*, inquit, *Abræ in terra Chanaan: Ecce concluſit me Dominus, ne parerem: ingredere igitur ad ancillam meam, vt ex ea prolem procrees.* Vide mulieris probitatem: nihil tale dixit, quale poſt hæc Rachel, inquit, ad Iacob: Da mihi filios, quod ſi minus, morior ego. Sed quid dicit? Ecce concluſit me Dominus, vt ne pariam. Et quia, inquit, ſterilem me fecit naturæ conditor, & priuauit me filiorum procreatione, vt ne propter meam ſterilitatẽ, cum in profundam veneris ſenectam, poſtea maneas abſque liberis, ingredere ad ancillam meam, vt ex ea filios procrees. Multiplex & ineffabilis mulieris probitas. Quæ enim vnquam mulier hoc ſuſtineret facere, vel viro conſulere, vel ancillæ coniugali thoro cedere? Vidiſti quomodo ab omni affectione fuerint alieni? Vnus erat eis ſcopus, ne abſque liberis hinc decederent, & ſpectabant quomodo etiam illinc conſolationem acquirerent, & indiſſolubile pacis vinculum ſeruarent. Obſerua igitur hîc patriarchæ inſignem continentiam, admirabilémque manſuetudinem. Neque enim difficilior fuit vxori propterea quod liberos non haberet, vt imprudentes nõnulli: neque amor eius erga mulierem imminutus eſt. Scitis enim multos hãc potiſſimũ ob cauſam mulieres deſpicere, ſicut ob contrariam adamare. Vtrumq; ſtolidè & imprudenter agunt, qui vxoribus aſcribunt ſterilitatẽ vel fœcunditatẽ, quaſi neſcientes quod à naturę conditore fiãt vniuerſa, & quòd neq; coitus, neque aliud quiddam ad procreãdos liberos ſufficere poteſt, niſi cooperetur manꝰ ſuperna, quæ naturã ad procreandũ excitet. Quæ ſanè iuſtus ille ſciens, vxori non imputabat ꝙ carebant filiis; ſed congruum honorẽ ſemper ei tri-

καὶ ὅτι ἐκ τῶν παρὰ τοῦ Φαραὼ παρασχεθέντων αὐτῇ ἦν, ἡνίκα τοσαύτης ἀπήλαυσεν ἐκδικίας παρὰ τοῦ τῶν ὅλων θεοῦ, καὶ ταύτην λαβοῦσα ἐπανῆλθεν, ἐπιτηδὲς ἡμῖν αὐτῆς καὶ τὸ ὄνομα καὶ τὸ ἔθνος ἐγνώρισεν ἡ θεία γραφή. ἀλλ᾽ ὅρα λοιπὸν ἐνταῦθα τῆς Σάρρας τὴν φιλόσοφον γνώμην, καὶ τῆς σωφροσύνης τὴν ὑπερβολὴν, καὶ τοῦ πατριάρχου τὴν ἄφατον πειθὼ καὶ τὴν ὑπακοήν. εἶπε δὲ Σάρρα, φησὶ, πρὸς Ἀβραὰμ ἐν γῇ Χαναάν· ἰδοὺ συνέκλεισέ με κύριος τοῦ μὴ τεκεῖν. εἴσελθε οὖν πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς. σκόπει τὴν εὐγνωμοσύνην γυναικός. οὐδὲν τοιοῦτον B εἶπεν, οἷον μετὰ ταῦτα ἡ Ῥαχὴλ φησι πρὸς τὸν Ἰακὼβ, Δός μοι τέκνα· εἰ δὲ μὴ, ἀποθνήσκω ἐγώ. ἀλλὰ τί φησιν; ἰδοὺ συνέκλεισέ με κύριος τοῦ μὴ τεκεῖν. ἐπειδὴ, φησιν, ἄγονόν με κατέστησεν ὁ τῆς φύσεως δημιουργὸς, καὶ ἀπεστέρησε τῆς τῶν παίδων γονῆς, ἵνα μὴ οὖν διὰ τὴν ἐμὴν στείρωσιν αὐτὸς εἰς βαθὺ γῆρας ἐλάσας λοιπὸν ἄπαις διαμείνῃς, εἴσελθε πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς. πολλὴ καὶ ἄφατος ἡ φιλοσοφία τῆς γυναικός. τίς γὰρ ἂν ἕλοιτο πώποτε γυνὴ τοῦτο ποιῆσαι, ἢ συμβουλεῦσαι τῷ ἀνδρὶ τοῦτο, ἢ τῇ C παιδίσκῃ τῆς εὐνῆς παραχωρῆσαι; εἶδες πῶς παντὸς πάθους ἐκτὸς ἦσαν, καὶ εἷς ἦν αὐτοῖς μόνον σκοπὸς, τοῦ μὴ ἄπαιδας τελευτῆσαι. ἀλλ᾽ ἐσκόπουν ὅπως καὶ τὴν ἐντεῦθεν παραμυθίαν κτήσωνται, καὶ τῆς εἰρήνης τὸν σύνδεσμον ἄρραγῆ διατηρήσωσιν. ἐννόει γάρ μοι τοῦ πατριάρχου ἐνταῦθα τὴν πολλὴν σωφροσύνην, καὶ τὴν ὑπερβάλλουσαν ἐπιείκειαν. οὔτε γὰρ, καθάπερ τινὲς τῶν ἀνοήτων, ἐδυσχέραινε πρὸς τὴν γαμετὴν διὰ τὴν ἀπαιδίαν, οὔτε τὸν περὶ αὐτὴν πόθον ἠλάττωσεν. ἴστε γὰρ, ἴστε πῶς τοῖς πλείοσι τῶν ἀνθρώπων τοῦτο μάλιστα αἴτιον D γέγονε τῆς κατὰ τῶν γυναικῶν ὑπεροψίας· ὥσπερ αὖ πάλιν καὶ φίλτρου πλείονος ὑπόθεσιν τὸ ἐναντίον ποιοῦνται, σφόδρα κούφως καὶ ἀνοήτως ταῖς γυναιξὶ λογιζόμενοι καὶ τὴν ἀπαιδίαν καὶ τὴν εὐπαιδίαν, οὐκ εἰδότες ὅτι τοῦ τῆς φύσεώς ἐστι δημιουργοῦ τὸ πᾶν· καὶ οὔτε ἡ συνουσία, οὔτε ἕτερόν τι ἐστὶ τὸ δυνάμενον συντελέσαι πρὸς τὴν τῶν παίδων διαδοχὴν, μὴ τῆς ἄνωθεν χειρὸς συνεφαπτομένης, καὶ τὴν φύσιν διεγειρούσης πρὸς τὸν τόκον. ἅπερ ἀκριβῶς ὁ δίκαιος οὗτος ἐπιστάμενος, οὔτε τῇ γυναικὶ ἐλογίζετο τὴν ἀπαιδίαν, καὶ τὴν προσήκουσαν αὐτῇ τιμὴν διὰ πάντων ἀπένεμε.

A διὰ τοι τοῦτο καὶ αὐτὴ φιλοτιμουμένη, καὶ βουλομένη δεῖξαι ὅσην ποιεῖται περὶ τὸν δίκαιον φιλοστοργίαν, οὐ τὸ ἑαυτῆς σκοποῦσα, ἀλλ' ὅπως ἂν ἐκείνῳ παραμυθίαν τινὰ τῆς ἀπαιδίας ἐπινοήσειε, μονονουχὶ ταῖς οἰκείαις χερσὶ λαβοῦσα τὴν παιδίσκην τὴν Αἰγυπτίαν ἐπὶ τὴν ἰδίαν εὐνὴν ἀνήγαγεν· ἀλλὰ καὶ διὰ τῶν ῥημάτων δηλοῦσα τὸν σκοπὸν, δι' ὃν τοῦτο ποιῆσαι κατεδέξατο, φησιν, ἐπειδὴ ἐγὼ ἄχρηστος ὤφθην καὶ ἀνεπιτήδειος πρὸς γονήν. συνέκλεισε γάρ με ὁ κύριος τοῦ μὴ τεκεῖν. ὅρα ψυχῆς εὐγνωμοσύνην, πῶς οὐδὲν δυσχερὲς φθέγγεται, οὐδὲ ἀποδύρεται διὰ τὴν στείρωσιν, ἀλλὰ μόνον τοῦτο ἡμῖν ἐμφῆναι βούλεται, ὅτι τῷ δημιουργῷ τῆς φύσεως τοῦτο λογιζομένη πράως B καὶ γενναίως ἔφερε, προτιμῶσα τὸ τῷ θεῷ δοκοῦν τῆς οἰκείας ἐπιθυμίας, καὶ ἐσκόπει ὅπως τὸν ἄνδρα παραμυθήσηται. ἐπειδὴ οὖν φησιν, ἐμὲ συνέκλεισεν ὁ κύριος τοῦ μὴ τεκεῖν. πόση καὶ αὐτοῦ τοῦ ῥήματος ἡ ἔμφασις; πῶς δείκνυσι τοῦ θεοῦ τὴν πρόνοιαν καὶ τὴν ἄφατον δύναμιν; καθάπερ γὰρ ἡμεῖς, φησιν, ἐπὶ τῆς οἰκίας κλείομεν καὶ ἀνοίγομεν, οὕτω καὶ ὁ δεσπότης ἐπὶ τῆς φύσεως ἐργάζεται· καὶ τῷ οἰκείῳ προστάγματι καὶ τὰς κλεῖς ἐπάγει, καὶ πάλιν ἡνίκα ἂν βουληθῇ ἀνοίγει, καὶ κελεύει τὴν φύσιν τὸ ἑαυτῆς ἐργάζεσθαι. ἐπεὶ οὖν συνέκλεισέ με, φησιν, ὁ κύ- C ριος τοῦ μὴ τεκεῖν, εἴσελθε πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς. οἶδα ὅτι ἐγώ εἰμι ἡ αἰτία τῆς ἀπαιδίας· διὰ τοῦτο οὐ βούλομαί σε ἀποστερῆσαι τῆς ἐντεῦθεν παραμυθίας. ἴσως δὲ καὶ ὑπώπτευεν ἡ Σάρα μὴ παρ' αὐτὴν μόνην εἶναι τὰ τῆς ἀπαιδίας, ἀλλὰ καὶ παρὰ τὸν πατριάρχην. διὰ τοῦτο βουλομένη δι' αὐτῶν τῶν ἔργων πληροφορηθῆναι, παραχωρεῖ τῇ παιδίσκῃ, καὶ εἰς τὴν εὐνὴν αὐτὴν ἄγει, ἵνα μάθῃ δι' αὐτῶν τῶν πραγμάτων, ὡς ἑαυτῇ τὸ πᾶν ὀφείλει λογίζεσθαι. ὑπήκουσε δέ, φησιν, Ἀβραμ τῆς φωνῆς Σάρας. D πολλὴ τοῦ δικαίου ἡ φιλοσοφία. ὅπερ γὰρ ἔφθην εἰπὼν, τοῦτο καὶ νῦν ἐρῶ· ὅτι οὔτε πρότερον τοῦτο ἐβουλεύσατο, καίτοι ἐν ἐσχάτῳ γήρᾳ λοιπὸν ὤν, καὶ νῦν τὴν προτροπὴν παρὰ τῆς Σάρας δεξάμενος ἑτοίμως ὑπήκουσε, δεικνὺς ὅτι οὐκ ἐπιθυμίας ἕνεκεν ἁπλῶς, οὐδὲ πάθει κατακολουθῶν τῆς συνουσίας ἠνέσχετο, ἀλλ' ὥστε σπέρματος διαδοχὴν καταλιπεῖν. καὶ λαβοῦσα Σάρα ἡ γυνὴ Ἀβραμ Ἄγαρ τὴν Αἰγυπτίαν τὴν ἑαυτῆς παιδίσκην, μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι Ἀβραμ τῷ ἀνδρὶ αὐτῆς ἐν τῇ Χαναναίᾳ, ἔδωκεν Ἀβραμ τῷ ἀνδρὶ αὐτῆς αὐτὴν γυναῖκα. σκόπει τῆς γραφῆς

buebat. Atque hanc ob cauſam, ipſa gratitudinis ſtudioſa, voléntque declarare quanto amore erga virum afficiatur: non quod ſui ipſius erat, ſpectabat, ſed quomodo illi conſolationem quandam orbitatis liberorum excogitaret, quaſi manibus ſuis acceptam puellam Ægyptiam, in lectum ſuum induxit. Quin & verbis ipſis oſtendit, qua de cauſa faciat, & quis eius ſit ſcopꝰ. Quia ego, inquit, inutili viſa ſum, & ad generandũ non idonea: *Cõcluſit enim me dominus, vt ne pariam.* Vide prudentem animam, quomodo nihil aſperum loquitur, ſterilitatem non deplorat: ſed ſolum hoc nobis declarare vult, ꝙ naturæ domino opifici hoc aſcribẽs, leniter & generosè ferat, malẽs quod Deo placebat, quàm quod ipſa cõcupiſcebat: & hoc vnum ſpectans, vt virum ſoletur. Quoniam, inquit, Dominus me concluſit, vt ne parerem. Quanta huius verbi emphaſis eſt? quàm ineffabilem oſtendit Dei potentiam & prouidentiã? quaſi diceret: Sicut nos aperimus & claudimus domos: ita & Dominus in naturâ operatur, & ſuo præcepto claudit, & iterum quãdo vult aperit, & iubet naturam quod ſuum eſt operari. Quoniam igitur cõcluſit me Dominus, vt ne parerem, ingredere ad ancillam meam, vt ex ea prolem procrees. Scio quòd ego ſum cauſa quare non habeas pueros, propterea nolo te priuare eo ſolatio. Fortaſſis autem etiam ſuſpicabatur Sara ſterilitatem illam non à ſe ſola eſſe, ſed etiam ex patriarcha: ideo volens certo experimento comperire, ancillæ cedit, & illam in lectum illius ducit: vt re ipſa diſcat ſe ſolam in cauſa eſſe, ſibíque ſoli aſcribendam ſterilitatem.[3] *Obediuit autem Abram voci Saræ.* Magna iuſti virtus. Id enim quod dixi, hoc & nũc dico: quia neque prior hoc cõſuluit, quamuis in extrema ſenectute eſſet, & nunc à Sara admonitus promptè obediuit: docens quòd non concupiſcentiam vel affectiones ſectando, congredi illi voluerit, ſed vt ſeminis relinqueret ſucceſſorem. *Et vt accepit Sara vxor Abræ Agarem AEgyptiam, ancillam ſuam, poſtquam decem annos cohabitaſſet viro ſuo in Chananæa, dedit eam Abræ viro ſuo in vxorem.* Attende obſecro ſcripturę diligentiam:

vt enim diſcamus, quòd nõ mox poſt hæc verba quæ ad eum fecit Sara, in opus proſiluerit, ideo dicit: Et accepit Sara vxor Abræ Agarem Ægyptiam ancillam ſuam: quaſi monſtrãs nobis ſcriptura diuina quòd vxorem ſuã conſolaturus, & obedire ei volẽs, hanc rem fecerit. Nam vt euidenter ſcias patriarchæ continentiam & eximiam temperãtiam, dicit: poſtquam decem annis cohabitaſſet Abræ viro ſuo in terra Chanaan. Non abſque cauſa tempus aſſignauit, ſed vt ſcire poſſimus quot annis iuſtus fortiter infœcunditatem tulerit, & affectionibus ſuperior, magnam declarauerit continentiã: neque hoc ſolũ, ſed vt & aliud quiddã inde diſcamus. Propter hoc enim adiecit: Poſtquam decem annis cohabitaſſet viro ſuo in terra Chanaan: vt ſignificaret quòd non omne tempus cohabitationis nobis declararit, ſed ſolum quod in Chananæa cõſumptum. Quare, & ob quam cauſam hoc? Quia ſtatim vt venit in Chananæam, miſericors dominus promiſſionem fecit, dicens: Semini tuo dabo terram hanc: & poſt hæc quoque ſemel atque iterum promiſſiones ei fecit: vt ſcias dilecte, quòd quamuis tanto tempore dominus diſtulit, & promiſſa non impleuit, patriarcha tamen non fuerit animo turbatus, ſed prætulerit ſuæ ſententiæ diuina dicta. Propterea dicit, poſtquam decem annos cohabitaſſet viro ſuo in terra Chanaan. Vidiſti maſculum animum? Vidiſti philoſophiæ huius exercitationem, quomodo dominus vt eam magis declaret, ceſſat, ac differt? Nam quia plurimum ei curæ ſunt famuli ſui, non ita ſimpliciter in eos conferre beneficia: ſed ſimul etiam claros facere, fidémque ipſorũ omnibus manifeſtare vult. Si enim ſtatim vt promiſit ſe daturum ſemini eius terram hanc, aperuiſſet Saræ vuluam, & ſucceſſores dediſſet liberos, neque tam magnum monſtraſſet miraculum, neque tam clara apud omnes fuiſſet virtus iuſti. Virtus enim Dei & tunc manifeſta quidem fuiſſet: nam emortuam naturæ officinam, & inutilem ad procreandos filios factam, ſuo præcepto iterum viuificaſſet: at non ita ſuarum laudum corona redimitus fuiſſet propheta,

A τὴν ἀκρίβειαν. ἵνα γὰρ μάθωμεν ὅτι οὐδὲ μετὰ τὰ ῥήματα ταῦτα, ἅπερ ἡ Σάρα πρὸς αὐτὸν ἐποιήσατο, ἐπεπήδησε τῷ πράγματι, διὰ τοῦτό φησι, καὶ ἔλαβε Σάρα ἡ γυνὴ Ἀβρὰμ Ἄγαρ τὴν Αἰγυπτίαν τὴν ἑαυτῆς παιδίσκην, μονονουχὶ δεικνῦσα ἡμῖν ἡ θεία γραφή, ὅτι τὴν γαμετὴν παραμυθούμενος, καὶ ὑπακοῦσαι ταύτῃ βουλόμενος τὸ πρᾶγμα κατεδέξατο. ἵνα γὰρ μάθῃς μετὰ ἀκριβείας τοῦ πατριάρχου τὴν σωφροσύνην, καὶ τὴν ὑπερβάλλουσαν ἐγκράτειαν, φησι μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι Ἀβρὰμ τῷ ἀνδρὶ αὐτῆς ἐν γῇ Χαναάν. οὐχ ἁπλῶς οὐδὲ τὸν χρόνον ἐπεσημήνατο, ἀλλ' ἵνα εἰδέναι ἔχωμεν,
B ἐν πόσοις ἔτεσιν ὁ δίκαιος ἐκαρτέρησε καὶ γενναίως τὴν ἀπαιδίαν ἤνεγκε, καὶ ἀνώτερος πάντων τῶν παθῶν τυγχάνων, πολλὴν τὴν σωφροσύνην ἐπεδείξατο· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ ἕτερόν τι ἐκ τούτου μάθωμεν. διὰ γὰρ τοῦτο προσέθηκε μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι Ἀβρὰμ τῷ ἀνδρὶ αὐτῆς ἐν γῇ Χαναάν. οὐ γὰρ πάντα τὸν χρόνον τῆς συνοικεσίας νῦν ἡμῖν ἐγνώρισεν, ἀλλὰ τὸν ἐν τῇ Χαναὰν χρόνον αὐτοῖς ἀναλωθέντα. τίνος ἕνεκεν καὶ διὰ τί; ἐπειδὴ γὰρ εὐθέως ἐπιστάντι τῇ Χαναναίᾳ ἐπηγγείλατο ὁ φιλάνθρωπος δεσπότης λέγων, τῷ σπέρματί σου τὴν γῆν ταύτην
C δώσω, καὶ πάλιν μετὰ ταῦτα καὶ ἅπαξ καὶ δεύτερον τὰς ὑποσχέσεις πρὸς αὐτὸν ἐποιήσατο, ἵνα γνῷς, ἀγαπητέ, ἐν πόσοις ἔτεσι διαναβαλλομένου τοῦ δεσπότου, καὶ μηδὲν τῶν ἐπαγγελθέντων εἰς ἔργον ἄγοντος, ὁ δίκαιος οὐκ ἐταράττετο τὴν γνώμην, ἀλλὰ τῶν οἰκείων λογισμῶν προετίμα τὰ παρὰ τοῦ θεοῦ ῥηθέντα, διὰ τοῦτό φησι, μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι αὐτοὺς ἐν γῇ Χαναάν. εἶδες ψυχῆς ἀνδρείαν; εἶδες γυμνάσιον φιλοσοφίας; πῶς περιφανέστερον αὐτὸν ποιῆσαι βουλόμενος ὁ δεσπότης μέλλει καὶ ἀναβάλλεται; ἐπειδὴ γὰρ κήδεται τῶν αὐτοῦ θεραπόντων, οὐχ ἁπλῶς εἰς αὐ-
D τοὺς τὰς εὐεργεσίας βούλεται κατατίθεσθαι, ἀλλὰ καὶ περιφανεῖς αὐτοὺς δεικνύναι, καὶ τὴν πίστιν αὐτῶν ἅπασι κατάδηλον ποιεῖν γίνεσθαι. εἰ γὰρ εὐθέως ἐπαγγειλάμενος τῷ σπέρματι αὐτοῦ δώσειν τὴν γῆν, διήνοιξε τῆς Σάρας τὴν μήτραν, καὶ τὴν τῶν παίδων διαδοχὴν αὐτοῖς ἐχαρίσατο, οὔτε τὸ θαῦμα οὕτως ἐδείκνυτο μέγα, οὔτε ἡ τοῦ δικαίου πίστις πᾶσι περιφανὴς καθίστατο. ἡ μὲν γὰρ τοῦ θεοῦ δύναμις καὶ τότε δήλη ἂν ἦν. νεκρωθὲν γὰρ τὸ ἐργαστήριον τῆς φύσεως καὶ ἄχρηστον γεγονὸς πρὸς παιδοποιΐαν πάντως αὐτὸς τῷ οἰκείῳ προστάγματι πάλιν ἐζωογόνει· ἀλλ' οὐκ ἂν οὕτω τὸν στέφανον ἀνεδήσατο ὁ πατριάρχης,

ὥσπερ νῦν ἐν τοσούτῳ μήκει χρόνου τῆς ἀρετῆς A αὐτοῦ βασανιζομένης, καὶ καθ' ἑκάστην ἡμέραν λαμπροτέρας γινομένης. καὶ ἵνα μάθης ὅτι οὐ μόνον εὐεργετεῖν βούλεται, καὶ τὰς παρ' ἑαυτοῦ δωρεὰς παρέχειν, ἀλλ' ἔθος αὐτῷ τοῦτο καὶ τοὺς ταύτας δεχομένους περιφανεστέρους ἐθέλειν ποιεῖν, ὅρα αὐτὸν καὶ ἐπὶ τῆς Χαναναίας τοῦτο διαπραξάμενον, καὶ διὰ τοῦτο μέλλοντα καὶ ὑπερτιθέμενον, ἵνα μὴ μόνον τὴν αἴτησιν ἐκείνην παράσχῃ, ἀλλὰ καὶ αὐτὴν εἰς πᾶσαν τὴν οἰκουμένην κατάδηλον ἐργάζηται. ἐπεὶ γὰρ προσῆλθεν ἱκετεύουσα καὶ λέγουσα, ἐλέησόν με κύριε, ὅτι ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται· οὔτε ἀποκρίσεως αὐτὴν ἀξιοῖ ὁ εὔσπλαγχνος καὶ φιλάν- B θρωπος, καὶ ἀεὶ τὰς αἰτήσεις ἡμῶν προφθάνων. καὶ οἱ μὲν μαθηταὶ οὐκ εἰδότες ὃ μέλλον ἔσεσθαι, καὶ ὅτι κηδόμενος τῆς γυναικὸς, καὶ οὐ βουλόμενος αὐτῆς τὸν θησαυρὸν κεκρύφθαι, διὰ τοῦτο οὐκ ἀποκρίνεται, ὡς δῆθεν συμπαθέστεροι, προσελθόντες παρεκάλουν αὐτὸν λέγοντες, ἀπόλυσον αὐτὴν ὅτι κράζει ὄπισθεν ἡμῶν· μονονουχὶ δεικνῦντες ὅτι οὐκ ἔτι φέρουσιν αὐτῆς τὴν ἐπάχθειαν. ἀπόλυσον γὰρ αὐτὴν φασιν, οὐχ ὅτι κατώδυνός ἐστιν, οὐδὲ ὅτι ἡ αἴτησις αὐτῆς εὔλογος, ἀλλ' ὅτι κράζει ὄπισθεν ἡμῶν. τί οὖν ὁ δεσπότης; βουλόμενος κἀκείνης τὸν C θησαυρὸν κατὰ μικρὸν ἐκκαλύψαι, καὶ τούτους διδάξαι, ὅσον λείπονται τῆς αὐτοῦ φιλανθρωπίας, ἀπόκρισιν ποιεῖται ἱκανὴν οὖσαν κἀκείνης περιάσαι τὸν λογισμὸν, εἰ μὴ συντεταμένην εἶχε τὴν διάνοιαν, καὶ ζέοντα τὸν πόθον, καὶ τὴν προθυμίαν ἀκμάζουσαν, κἀκείνους ἀποστῆσαι τῆς ὑπὲρ αὐτῆς ἱκετηρίας. οὐκ ἀπεστάλην γὰρ, φησιν, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. τοῦτο ἐκείνους μὲν ἀπέστησε τοῦ παρακαλεῖν ὑπὲρ τῆς γυναικὸς, ἐκείνην δὲ ὀκνηροτέραν οὐκ εἰργάσατο, ἀλλὰ καὶ μᾶλλον ἐπικεῖσθαι παρεσκεύασε. τοιοῦτον D γὰρ ἡ ὀδυνωμένη ψυχὴ, καὶ μετὰ θερμῆς τῆς διαθέσεως προσιοῦσα· πρὸς οὐδὲν ἐπιστρέφεται τῶν λεγομένων, ἀλλ' ἓν μόνον σκοπεῖ, ὅπως ἐπιτύχῃ τῶν σπουδαζομένων, ὅπερ καὶ αὕτη πεποίηκεν. ἀκούσασα γὰρ ταῦτα, πάλιν φησὶ, προσεκύνησεν αὐτὸν λέγουσα· ἐλέησόν με κύριε. ᾔδει τοῦ δεσπότου τὴν εὐσπλαγχνίαν, καὶ διὰ τοῦτο πολλῇ κέχρηται τῇ προσεδρίᾳ. ἀλλ' ὅρα πάλιν τὸν σοφὸν καὶ εὐμήχανον. οὐδὲ οὕτως ἐπινεύει, ἀλλὰ καὶ σφοδροτέραν καὶ τραχυτέραν ποιεῖται ἀπόκρισιν. ᾔδει γὰρ τὴν ἀνδρείαν τῆς γυναικὸς, καὶ ἐβού-

ſtatim promiſſa accipiens, vt nunc cùm tanto tempore ipſius probata eſt virtus, & quotidie facta eſt clarior. Et vt ſcias quòd Deus non ſolùm benefacere vult, & dona ſua dare: ſed ſolitus ſit ſua beneficia accepturos facere clariores: vide quomodo hoc & in Chananæa illa faciat, & idcirco ceſſat & differt, vt non ſolùm petitionem illius exaudiat, ſed & vt illam ipſam in toto orbe nobilem faciat. Quandoquidem cum ſupplicaret ac diceret: Miſerere mei domine, quia filia mea malè à dæmonio torquetur: neque reſponſo eam dignatur miſericors & clementiſſimus dominus, alioqui preces noſtras ſemper præueniens. Et diſcipuli quidem neſcientes quid futurum eſſet, & quòd curam ageret mulieris, nollétque theſaurum latere, ac ideo non reſponderet: quaſi magis compatientes acceſſerunt, inquit, & obſecrabant eum dicentes: Dimitte eam, quia clamat poſt nos: quaſi monſtrarent ſe iam non ferre illius moleſtiam. Dimitte enim eam, inquiunt, non quia tam ærumnoſa eſt, non quia preces eius rationabiles, ſed qui clamat poſt nos. Quid igitur dominus? Volens & paulatim illius theſaurum detegere, & docere quantum apoſtoli ab humanitate ſua abeſſent, reſponſum dat, quod & mulieris occæcare mentem, niſi tanto ſuccenſa deſiderio alacritatéque viguiſſet, & apoſtolos ab interpellatione deterrere potuiſſet. Non ſum miſſus, inquit, niſi ad oues domus Iſraël, quæ perierunt. Et hoc quidem dictum illos abſterruit, ne pro muliere intercederent: ſed illam ſegniorem non fecit, imò fecit vt magis vrgeret. Ita enim ſe habet anima dolens, & ferventi affectione accedens, nihil attendit quod dicitur, ſed vnum ſolum ſpectat, quomodo ea quę ſibi curæ ſunt aſſequatur: id quod & iſta fecit. Auditis enim his, iterum, inquit, adorauit eum, dicens: Miſerere mei. Sciebat domini miſericordiam, & proinde magna aſſiduitate vtebatur. Sed vide ſapientem illum & ſolertem, quomodo neque ſic annuat, ſed aſperius & vehementius illam concutiens reſponſum det. Sciebat enim fortitudinem mulieris, &

Matth. 15.

volebat eam non occultè accipere beneficium, ſed ita vt diſcipuli diſcerent ex facto dilationis cauſam, & alij omnes docerentur, quanta ſit aſſiduitatis & perſeuerantiæ potentia, & mulieris virtus. Nam dicit: Non eſt bonum ſumere panem filiorum, & obiicere canibus. Hîc obſecro animaduerte, quæ fuerit mulieris conſtantia, quanta alacritate ſuccenſa, quanta in Deum fide incitata fuerit, cùm interim viſcera ipſa, vt ita dicam, præ dolore diſſecarentur, & multum filiæ compateretur: non auerſatur, nec retrò cedit ob verbi contumeliam: ſed audito canis nomine, boni conſulit, & fatetur ſe catellum, vt à canum liberetur immanitate, & in filiorum allegatur ordinem. Audi nunc quid ad hæc mulier dixerit, vt diſcas quantum differente Deo lucrum concedatur. Non ſolum enim non abegit mulierem dictorum aſperitas, ſed in maiorem alacritatem excitauit, nempe poſtquam audiuit hæc verba, inquit: Etiam domine, nam & catelli edunt de micis, quæ cadunt à mēſa dominorum ſuorum. Vidiſti quare hucuſque diſtulerit? vt per verba mulieris, fidem illius eximiam diſcamus. Vide enim quomodo ſtatim eam laudauit, & prædicauit dominus, dicens: O mulier, magna eſt fides tua. Quam principio neque reſponſo dignabatur, cum admiratione & laudibus dimittit. Magna, inquit, eſt fides tua. Erat enim reuera ſupra naturam magna, quod cum videret ſemel atque iterum & ſæpius auerſantem preces, non ſegnior fuerit facta, neque retroceſſerit: ſed perſeuerantia ſedula prouocauerit dominum, ita vt voti compos fieret. Fiat enim tibi, inquit, ſicut vis. Vidiſti quomodo qui prius illam neque reſponſo dignatus fuerat, nunc largitionibus certat? Non enim ſimpliciter annuit precib⁹ illius, ſed prædicauit & celebrauit illā. Nam dicendo, O mulier, mōſtrauit quomodo fidem eius obſtupeſcat dicēdo autem, Magna eſt fides tua: diuitias quoque mulieris oſtēdit. Deinde, inquit: Fiat tibi ſicut vis. Quantum vis, quantum animo concipis, tantum præbeo. Tanta enim tua perſeuerantia dignam te declarauit tua petitione.

A λεῖ μὴ λανθανόντως αὐτὴν δέξασθαι τὴν εὐεργεσίαν, ἀλλὰ καὶ τοὺς μαθητὰς ἐκ τῆς ἐκβάσεως μαθεῖν τῆς μακροθυμίας αὐτοῦ τὴν αἰτίαν, καὶ πάντας ἄλλους ἀποδεῖξαι παιδευθῆναι, ὅση τῆς προσεδρίας ἡ ἰσχὺς, καὶ τῆς γυναικὸς ἡ ἀρετή. Φησὶ γάρ, οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἐνταῦθά μοι σκόπει τῆς γυναικὸς τὸν τόνον, πῶς τῷ θερμῷ τῆς προθυμίας πεπυρωμένη, καὶ τῇ πίστει τῇ εἰς τὸν θεὸν ἐπτερωμένη, καὶ τὰ σπλάγχνα αὐτά, ὡς εἰπεῖν, διακοπτομένη, καὶ πολλὴν περὶ τὴν θυγατέρα τὴν συμπάθειαν ἔχουσα, οὐδὲ ἀποστρέφεται τοῦ ῥήματος

B τὴν ὕβριν, ἀλλὰ κυνάριον ἀκούσασα καταδέχεται, καὶ ὁμολογεῖ κυνάριον εἶναι, ἵνα ἀπαλλαγῇ τῆς τῶν κυνῶν ἀλογίας, καὶ εἰς τὴν τῶν υἱῶν τάξιν ἀθρόον ἐναρίθμιος γένηται. ἄκουσον λοιπὸν τὰ παρὰ τῆς γυναικὸς, ἵνα μάθῃς ὅσον τῆς τοῦ θεοῦ μακροθυμίας τὸ κέρδος γέγονεν. οὐ μόνον γὰρ οὐκ ἀπέστησε τὴν γυναῖκα ἡ τῶν εἰρημένων πρὸς αὐτὴν σφοδρότης, ἀλλὰ καὶ πρὸς πλείονα προθυμίαν διήγειρεν. ἐπειδὴ γὰρ ἤκουσε ταῦτα τὰ ῥήματα, φησί, ναὶ κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐ-

C τῶν. εἶδες τίνος ἕνεκεν μέχρι τοῦ παρόντος τὴν μακροθυμίαν ἐπεδείξατο; ἵνα διὰ τῶν ῥημάτων τῆς γυναικὸς μάθωμεν αὐτῆς τῆς πίστεως τὴν ὑπερβολήν. ὅρα γὰρ πῶς εὐθέως αὐτὴν ἀνεκήρυξεν ὁ δεσπότης, καὶ ἐστεφάνωσε λέγων· ὦ γύναι, μεγάλη σου ἡ πίστις. μετὰ θαυμασμοῦ καὶ ἐγκωμίων ἀπέπεμψε τὴν οὐδὲ ἀποκρίσεως παρ' αὐτοῦ ἐν προοιμίοις ἀξιωθεῖσαν. μεγάλη σου, φησίν, ἡ πίστις. καὶ γὰρ ἦν ὄντως μεγάλη, διὰ τὸ καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις ὁρῶσαν ἀνανεύοντα πρὸς τὴν αἴτησιν, μὴ ναρκῆσαι, μηδὲ ἀποπηδῆσαι, ἀλλὰ

D τῷ τόνῳ τῆς προσεδρίας ἐκκαλέσασθαι καὶ παρασκευάσαι εἰς πέρας ἀγαγεῖν τὰ αἰτηθέντα. γενηθήτω γάρ σοι, φησίν, ὡς θέλεις. εἶδες, ὁ πρότερον μηδὲ ἀποκρίσεως αὐτὴν ἀξιῶν, πῶς νῦν φιλοτιμεῖται ταῖς δωρεαῖς; οὐδὲ γὰρ ἁπλῶς αὐτῇ παρέσχε τὴν αἴτησιν, ἀλλὰ ἀνεκήρυξε καὶ ἐστεφάνωσε· καὶ τῷ εἰπεῖν, ὦ γύναι, ἔδειξεν ὅπως αὐτῆς τὴν πίστιν ἐξεπλάγη· καὶ τῷ εἰπεῖν, μεγάλη σου ἡ πίστις, κατάδηλον ἡμῖν ἐποίησε τῆς γυναικὸς τὸν πλοῦτον. εἶτά φησι, γενηθήτω σοι ὡς θέλεις. ὅσον βούλει, ὅσον θέλεις, τοσοῦτον παρέχω. ἡ γὰρ τοσαύτη προσεδρεία ἀξίαν σε ἀποφαίνει τῆς αἰτήσεως,

εἴδετε τῆς γυναικὸς τὴν εὐτονίαν; εἴδετε τῆς τοῦ θεοῦ μακροθυμίας τὴν αἰτίαν, καὶ ὅτι περιφανεστέραν αὐτὴν ἐργάσασθαι βουλόμενος, διὰ τοῦτο ἀνεβάλλετο; ἐπανέλθωμεν δὲ, εἰ δοκεῖ, ἐπὶ τὴν προκειμένην ἱστορίαν, ἵνα μάθωμεν ὅτι δι' οὐδὲν ἕτερον ἐν τοσούτοις ἔτεσι τὰς ἐπαγγελίας τὰς κατὰ τὸν πατριάρχην γεγενημένας εἰς ἔργον οὐκ ἤγαγεν, ἀλλ' ἵνα μετὰ πολλῆς τῆς περιφανείας ταύτας αὐτῷ παράσχῃ, καὶ πᾶσι τοῦ δικαίου τὴν πίστιν κατάδηλον ἐργάζηται. διὰ τοῦτό φησι, μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι αὐτοὺς ἐν γῇ Χαναὰν, ἵνα μάθῃς ὅσος παρῆλθε χρόνος ἐξ οὗ τὰ τῆς ἐπαγγελίας ἐδέξατο. εὐθὺς γὰρ ἐπιστὰς τῇ Χαναναίᾳ, ἤκουσεν ὅτι τῷ B σπέρματί σου δώσω τὴν γῆν ταύτην, καὶ ἐν τοσούτῳ μήκει χρόνου καὶ αὐτὸς ἄπαις διέμεινε, καὶ τῆς Σάρρας ἡ στείρωσις ἐπετείνετο. καὶ ἔδωκε τὴν Ἄγαρ, φησὶν, Ἀβραὰμ τῷ ἀνδρὶ αὐτῆς εἰς γυναῖκα. ὅρα πόση τὸ παλαιὸν ἐπολιτεύετο παρ' αὐτοῖς ἡ φιλοσοφία· πῶς καὶ οἱ ἄνδρες ἦσαν ἐγκρατεῖς καὶ τῆς σωφροσύνης πολλὴν ποιούμενοι λόγον, καὶ αἱ γυναῖκες ζηλοτυπίας ἐκτὸς ἐτύγχανον. ἐπίτηδες γὰρ ἡ γραφὴ συνεχῶς λέγει, καὶ λαβοῦσα Σάρρα Ἄγαρ τὴν παιδίσκην· καὶ πάλιν, ἔδωκεν αὐτὴν εἰς γυναῖκα, ἵνα μάθῃς ὅπως ἀπαθῶς τὸ C πρᾶγμα μετεχείριζε, καὶ πόση παρ' αὐτοῖς ἦν ἡ φιλοσοφία. καὶ εἰσῆλθε, φησὶ, πρὸς Ἄγαρ, καὶ συνέλαβεν. ὅρα πῶς μανθάνει ἡ Σάρρα, ὅτι οὐ παρὰ τὸν δίκαιον ἐν ἀπαιδίᾳ ἐτύγχανεν, ἀλλὰ παρὰ τὴν στείρωσιν τὴν ἑαυτῆς. εὐθέως γὰρ ἡ συνουσία τὴν σύλληψιν εἰργάσατο. ἀλλ' ὅρα πάλιν τῆς παιδίσκης τὴν ἀγνωμοσύνην καὶ τῆς γυναικείας φύσεως τὴν ἀσθένειαν, ἵνα μάθῃς καὶ ἐντεῦθεν τοῦ πατριάρχου τὴν πολλὴν ἐπιείκειαν. καὶ εἶδε, φησιν, ὅτι ἐν γαστρὶ ἔχει, καὶ ἠτιμάσθη ἡ κυρία ἐναντίον αὐτῆς. τοιοῦτον γὰρ τῶν οἰκετῶν τὸ ἦθος· ἂν μικρᾶς εὐπραγίας ἐπιλάβωνται, οὐκ ἀνέχονται μένειν εἴσω τῶν οἰκείων ὅρων, ἀλλ' εὐθέως ἐπιλανθάνονται τῆς οἰκείας τάξεως, καὶ πρὸς ἀγνωμοσύνην ἐπείγονται, ὅπερ καὶ αὐτὴ ἡ παιδίσκη πέπονθεν. ἐπειδὴ γὰρ εἶδε τῆς γαστρὸς τὸν ὄγκον, οὐκ ἐννοοῦσα, οὐ τῆς δεσποίνης τὴν ἄφατον φιλοσοφίαν, οὐ τῆς οἰκείας ἀξίας τὴν εὐτέλειαν, ἀλλ' ἐπαρθεῖσα καὶ μέγα φρονήσασα ὑπερορᾷ τῆς δεσποίνης τῆς τοσαύτην περὶ αὐτὴν ἐπιδειξαμένης τὴν κηδεμονίαν, ὡς καὶ ἐπὶ τὴν εὐνὴν αὐτὴν ἀγαγεῖν τοῦ ἀνδρός. τί οὖν ἡ Σάρρα;

D

Vidiſtis mulieris conſtantiam? vidiſtis diuinæ dilationis cauſam, videlicet vt mulierem clariorem redderet? Redeamus autem, ſi placet, ad propoſitam hiſtoriam, & diſcamus, quod propter nihil aliud promiſſiones patriarchæ factas, tot annis implere diſtulit, quàm vt multa cum gloria eas illi concederet, omnibúſque monſtraret iuſti fidem: & idcirco dicit, *Poſtquam decem annos cohabitaſſet viro ſuo in terra Chanaan*: Vt diſcas quantum præteriiſſet temporis ex quo promiſſiones accepiſſet. Statim enim vt venit in Chananæã, audiuit: Semini tuo dabo terram hanc: & tanto interuallo temporis abſque liberis manſerat, minúſque apta generationi Sara fiebat. Et dedit, inquit, Agar Abræ viro ſuo in vxorem. Vide quantum etiam olim virtutis ſtudium apud veteres exercebatur, quomodo & viri temperati erant, & magnam continentiæ habebant rationem, & mulieres zelotypiæ carebant vitio. Dedita enim opera ſæpius dicit ſcriptura: Et vt tulit Sara Agarem ancillam. Et iterum: Dedit eam in vxorem: vt diſcas quomodo abſque affectione negocium egerit, & quantum apud eos virtutis ſtudium. *Et ingreſſus eſt*, inquit, *ad Agar, & concepit.* Vide quomodo diſcit Sara, quòd non iuſtus in cauſa fuerit, vt carerent filiis, ſed ſua potius ſterilitas: ſtatim enim congreſſum cum ancilla ſubſecuta eſt conceptio. Cæterum vide & ancillæ ingratitudinem, & muliebris ſexus infirmitatem: vt diſcas etiam hoc loco patriarchæ miram lenitatem. *Et vidit*, inquit, *quòd vterum gereret, & contempta eſt domina coram ea.* Ille enim fermè ſeruorum mos eſt, vt cùm parum proſperitatis eis aſpirauerit, nequeant intra ſuos limites manere: ſed ſtatim ſui ordinis obliuiſcantur, & in ingratitudinem propenſi ſint: id quod & huic ancillæ accidit. Nam vt vidit vteri ſarcinam, neque dominæ admirabilem honeſtatem, neque ſuæ conditionis vilitatem cogitauit: ſed inflata & ſuperbiens contempſit dominam, quæ illam tam commendatam habebat, vt & in viri thalamum admitteret. Quid igitur Sara?

Dixit, inquit, *ad Abram: Iniuria à te afficior. Ecce dedi ancillam meam in ſinum tuum, quæ quia vidit quòd vterum gerit, contemptui coram ea habita ſum. Iudicet Deus inter me & te.* Hîc quæſo animaduerte incredibilem longanimitatem & reuerentiam iuſti, quam erga Saram declarauit, veniam ab ea petens tam immeritò obiecti criminis. Quæ enim manibus ancillam viro tradiderat, & dixerat: Ingredere ad ancillam meam: quæ à ſemetipſa & ſua ſponte ad congreſſum hortata fuit, iſta nunc mutato animo, inquit, Iniuria à te afficior. Mulier, nunquid ipſe ad ancillæ congreſſum feſtinauit? Nunquid intemperantia impellente, ad rem habendam cum ancilla accelerauit? A te perſuaſus & tuo mandato obtemperans, hoc tandem fecit. Qua te igitur iniuria maritus affecit? Ecce dedi ancillam meam in ſinum tuum. Si igitur fateris quod ipſa dederis, nec ipſe eam ſua ſponte acceperit, quare iniuſtitiam improperas? Etiam, inquit, nam quamuis ego dederim, ſed videns eius temeritatem, debebas cohibere mentem tam petulantem. Nam vt vidit ſe vterum gerere, contempſit me. Iudicet Deus inter me & te. Verè hæc mulieris verba ſunt, & infirmi illius ſexus, quaſi enim hæc, inquit, ad eum: Ego quidem volebam tuum mœrorem ſolari, quem habes ex prolis inopia. Tam officioſam ea in re me præbui, vt & ancillam meam meis manibus traderem, & ad congreſſum cohortarer: tu autẽ videns hanc inde fieri temerariam propter vteri ſarcinam, & magno faſtu inflari, debebas reprimere & vlciſci eius in me iniurias. Attamen quaſi omnium priorum oblitus, me deſpicis etiam tu, me quæ tibi tot annis cohabitaui, & ab Ægyptia ancilla mea contemnor. Iudicet Deus inter me & te. Dolentis animæ verba. Et niſi tantis virtutibus præditus fuiſſet patriarcha, & in tanta reuerentia Saram habuiſſet, ægrè tuliſſet hæc verba, & ex dictorum aſperitate dolorem concepiſſet. Verùm eximius ille ad ſexus fragilitatem ſpectans, omnem ei veniam dedit. Iudicet Deus inter me & te. Cogita quantam rem egerim,

A Εἶπε, φησι, πρὸς Ἀβραάμ· ἀδικοῦμαι ἐκ σοῦ. ἰδοὺ δέδωκα τὴν παιδίσκην μου εἰς τὸν κόλπον σου. ἰδοῦσα δὲ ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθην ἐναντίον αὐτῆς. κρίναι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. ἐνταῦθά μοι σκόπει τοῦ δικαίου τὴν ἄφατον μακροθυμίαν, καὶ τὴν αἰδῶ ἣν περὶ τὴν Σάῤῥαν ἐπιδείκνυται, συγγνώμην αὐτὴν αἰτῶν τῆς ἀλόγου ταύτης αἰτίας. ἡ γὰρ ταῖς χερσὶ παραδοῦσα τὴν παιδίσκην τῷ ἀνδρὶ, ἡ εἰποῦσα, εἴσελθε πρὸς τὴν παιδίσκην μου, ἡ οἴκοθεν καὶ ἀφ' ἑαυτῆς πρὸς τὴν συνουσίαν αὐτὸν προτρεψαμένη, αὕτη νῦν μεταβαλλομένη φησὶν, ἀδικοῦμαι ἐκ σοῦ. μὴ γὰρ αὐ- B τὸς ἐπέδραμεν, ὦ γύναι, τῇ τῆς παιδίσκης συνουσίᾳ; μὴ γὰρ ἐξ ἀσελγείας ὁρμηθεὶς τῷ πράγματι ἐπεπήδησε; σοὶ πειθόμενος καὶ τῷ σῷ ἐπιτάγματι τοῦτο πεποίηκε. τί οὖν ἠδίκησαι παρὰ τοῦ ἀνδρός; ἰδοὺ δέδωκα τὴν παιδίσκην μου εἰς τὸν κόλπον σου. εἰ τοίνυν ὁμολογεῖς, ὅτι αὐτὴ δέδωκας, καὶ οὐκ ἀφ' ἑαυτοῦ ταύτην ἔλαβε, τίνος ἕνεκεν ἀδικίαν ἐγκαλεῖς; ναὶ φησιν· εἰ γὰρ καὶ ἐγὼ δέδωκα, ἀλλ' ὁρῶν αὐτῆς τὴν προπέτειαν ὤφειλες ἐπισχεῖν αὐτῆς τὴν ἀκόλαστον γνώμην. ἰδοῦσα γὰρ ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθην ἐναντίον αὐτῆς. C κρίναι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. γυναικὸς ἀληθῶς ταῦτα τὰ ῥήματα καὶ τῆς ἀσθενείας ταύτης τῆς φύσεως. μονονουχὶ γὰρ ταῦτά φησι πρὸς αὐτόν· ἐγὼ μὲν τὴν ἀπαιδίαν βουλομένη παραμυθήσασθαι τὴν σὴν, τοσαύτην ἐπεδειξάμην τὴν κηδεμονίαν, ὡς καὶ τὴν ἐμὴν παιδίσκην καὶ ταῖς ἐμαυτῆς σοι χερσὶ παραδοῦναι, καὶ πρὸς τὴν συνουσίαν προτρέψασθαι· ὁρῶν δὲ αὐτὸς ἐντεῦθεν αὐτὴν γινομένην προπετεστέραν διὰ τὸν τῆς γαστρὸς ὄγκον, καὶ φρονήματος ἐμπεπλησμένην, δέον ἀναστεῖλαι καὶ ἐκδικῆσαι τὰς ὕβρεις τὰς εἰς ἐμὲ D γινομένας, οὐκ ἐποίησας· ἀλλ' ὡσανεὶ πάντων τῶν προτέρων ἐπιλαθόμενος, περιορᾶσθαι ἐμὲ καταδέχῃ, τὴν ἐν τοσούτοις ἔτεσι συνοικήσασάν σοι, ὑπὸ τῆς Αἰγυπτίας τῆς παιδίσκης τῆς ἐμῆς ἀτιμαζομένην. κρίναι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. ὀδυνωμένης ψυχῆς τὸ ῥῆμα, καὶ εἰ μὴ φιλόσοφός τις ἦν ὁ πατριάρχης, καὶ πολλὴν τὴν αἰδῶ περὶ τὴν Σάῤῥαν ἐπεδείκνυτο, καὶ ἐδυσχέρανεν ἂν πρὸς τὰ ῥήματα, καὶ ἤλγησεν ἐπὶ τῇ βαρύτητι τῶν λεχθέντων. ἀλλ' ὁ θαυμάσιος οὗτος πρὸς τὸ τῆς φύσεως ἀσθενὲς ἀφορῶν, πᾶσαν ἔδωκεν αὐτῇ συγγνώμην. κρίναι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. ἐννόησον, φησι,

πόσον πρᾶγμα κατεδεξάμην διὰ τὴν σὴν παραμυθίαν, βουλομένη σε κἂν γοῦν ἐν γήρᾳ πατέρα κληθῆναι, καὶ τὴν παιδίσκην τὴν ἐμὴν εἰς τὴν ἀξίαν τὴν ἐμαυτῆς ἀνήγαγον. σὺ δὲ ὁρῶν ἀγνωμόνως αὐτὴν ἐντεῦθεν διατεθεῖσαν, οὐκ ἤμυνας, οὐκ ἠμείψω με τῆς γνώμης, ἣν περὶ σὲ ἐπεδειξάμην. κρίναι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. ἐκεῖνος, φησιν, ὁ τὰ ἀπόρρητα ἑκάστου ἐπιστάμενος τῆς διανοίας, αὐτὸς ἔσται κριτὴς μεταξὺ ἡμῶν, καὶ πῶς ἐγὼ μὲν παντὸς πάθους ἀνωτέρα γενομένη προετίμησα ἐμαυτῆς τὴν παραμυθίαν τὴν σήν, καὶ εἰς τὴν εὐνὴν τὴν ἐμήν, τὴν παιδίσκην ἀνήγαγον· αὐτὸς δὲ οὐδὲν τῶν παρ' ἐμοῦ γενομένων ἐν διανοίᾳ λαβών, συγχωρεῖς ἐκείνην κατεξανίστασθαι τῆς ἐμῆς ἐπιεικείας, καὶ οὐκ ἀναστέλλεις τὴν τόλμαν, οὐδὲ σωφρονίζεις τὴν ἀγνώμονα. τί οὖν ὁ ἀδάμας, ὁ γενναῖος ἀθλητὴς τοῦ θεοῦ, ὁ πανταχόθεν ἑαυτῷ πλέκων τοὺς στεφάνους; δεικνὺς καὶ διὰ τούτου τὴν οἰκείαν ἀρετήν, ὅρα τί φησι πρὸς αὐτήν. ἰδοὺ ἡ παιδίσκη σου ἐν ταῖς χερσί σου. χρῶ αὐτῇ, ὡς ἐάν σοι ἀρεστὸν ᾖ. μεγάλη τοῦ δικαίου ἡ φιλοσοφία. πολλὴ τῆς μακροθυμίας ἡ ὑπερβολή. οὐ μόνον γὰρ οὐκ ἐδυσχέρανε πρὸς τὰ παρὰ τῆς Σάρρας εἰρημένα, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς ἐπιεικείας ποιεῖται τὴν ἀπόκρισιν, καί φησιν· ὑποπτεύεις με αἴτιον γεγενῆσθαι τῶν εἰς σὲ ὕβρεων, καὶ νομίζεις με ἥδεσθαι τοῖς παρὰ τῆς παιδίσκης γινομένοις, ἐπειδὴ ἅπαξ ἐκοινώνησέ μοι τῆς εὐνῆς· μάνθανε ὅτι καὶ πρότερον, εἰ μή σοι ὑπακοῦσαι βουλόμενος τοῦτο κατεδεξάμην, οὐκ ἄν ποτε ἠνεσχόμην τὴν παιδίσκην εἰς τὴν εὐνὴν ἀγαγεῖν τὴν σήν, καὶ νῦν ἵνα διὰ τῶν πραγμάτων πληροφορηθῇς, ἰδοὺ ὑπὸ τὰς χεῖράς σου ἐστί, χρῶ αὐτῇ, ὡς ἄν σοι ἀρεστὸν ᾖ. μὴ γὰρ ὑπετέμετό σου τις τὴν ἐξουσίαν; μὴ γὰρ ἀφῃρέθης αὐτῆς τὴν δεσποτείαν; εἰ γὰρ καὶ τὴν πρὸς αὐτὴν συνουσίαν κατεδεξάμην, ἀλλ' ἔχεις αὐτῆς τὴν ἐξουσίαν, καὶ ὑπὸ τὰς χεῖράς σου ἐστί. κόλαζε, σωφρόνιζε, ἐπιτίμα. ὃ βούλει, καὶ ὡς ἀρέσκει σοι, οὕτω διαπράττου τὰ εἰς αὐτήν. μόνον μὴ δυσχέραινε, μόνον μὴ ἐμοὶ ἐπίγραφε τὰ παρ' αὐτῆς προπετῶς γεγενημένα. οὐδὲ γὰρ ἀπὸ πάθους οἰκείου κινούμενος τῆς πρὸς αὐτὴν ἠνεσχόμην συνουσίας, ἵνα καὶ προσπαθῶς ἐντεῦθεν κινούμενος ἄλογον αὐτῇ προστασίαν δῶ. οἶδα τὴν ὀφειλομένην σοι τιμήν. οὐκ ἀγνοῶ τῶν οἰκετῶν τὴν ἀγνωμοσύνην. οὐδείς μοι ταύτης λόγος, οὐδεμία φροντίς· ἕν ἐστί μοι μόνον τὸ σπουδαζόμενον, τὸ σὲ ἄλυπον, ἀτάραχον, ἐν τιμῇ πάσῃ καθεστάναι, παντὸς ἀπηλλαγμένην λυπηροῦ.

A vt te conſolarer, volens te vel in ſenectute patrem fieri, & ancillam meam in locum meum adduxi: tu autem videns illam tam ingratam, non vltus es, non rependiſti mihi vices beneuolentiæ, quam in te declaraui. Iudicet Deus inter me & te. Ille, inquit, qui abſcondita omnium cordium nouit, ipſe erit iudex inter nos: & quomodo ego quidem victis omnibus affectionibus, tuam conſolationem meæ prætuli, & in lectum meum ancillam meam induxi. Ipſe autem nihil eorum quæ à me facta ſunt, in mentem accipiens, permittis B illi vt contra meam inſurgat lenitatem: nec audaciam reprimis, neque ingratam caſtigas. Quid igitur adamas ille, fortis ille Dei athleta, qui vndequaque coronas ſibi plectebat? monſtrans etiam in hoc ſuam virtutem, vide quid dicat ei. *Dixit autem Abram ad Saram: Ecce ancilla tua in manibus tuis, vtere ea vt tibi libitum fuerit.* Ingens iuſto virtutis ſtudium, mira æquanimitatis excellentia. Non ſolum enim non ægrè tulit ea quæ Sara dixerat, ſed & oppidò manſuetè reC ſpondit & inquit: Suſpicaris me authorem eſſe contumeliarum, quibus affecta es, & putas me oblectari in his quæ ancilla aduerſum te auſa fuit, quoniam ſemel communicauit mihi in lecto? diſce quod & primum, niſi hoc ſuſcepiſſem vt tibi gratificarer, nunquam admiſiſſem ancillam in lectum meum: veruntamen vt re ipſa certior fias, ecce in manibus tuis eſt, vtere ea vt tibi placuerit. Num quis enim poteſtatem tuam minuit? Num dominium in eam à te ablatum eſt? Nam licet cum ea congreſſus fuerim, D ſalua tamen adhuc eſt in eam poteſtas tua, ipſa ſub manibus tuis eſt, puni, caſtiga, increpa: vt volueris & tibi placuerit, ſic facito cum ea, tantum ne ſuccenſeas, tantum ne mihi imputes, quæ illa temerè egit Neque enim meis affectionibus incitatus rem cum ea habui, vt erga eam ſic afficiar, quò contra æquitatem ei patrociner. Scio quem tibi debeam honorem. Non ignoro famulorum ingratitudinem. Nulla mihi eius rei cura vel ratio. Vnum tantum eſt cui ſtudeo, vt tu mœrore careas & turbatione, ac in omni ſis honore.

Hoc eſt verum contubernium, hoc mariti officium, quando non magna diligentia ad mulieris ſpectat verba, ſed imbecillitati ſexus veniæ nonnihil concedit, hoc vnum ſatagens, vt è medio tollatur triſtitia, & pax atque concordia conſtringantur arctius. Audiant viri, & imitentur iuſti lenitatem, & tantum honorem ac reuerentiam mulieribus tribuant, & tanquam imbecilli vaſculo parcant, vt concordiæ vinculum creſcat. Illæ enim veræ ſunt diuitiæ, illæ maximæ ſunt facultates, ſi vir cum muliere non diſcordet, ſed coniuncti ſint vt corpus vnum. Erunt enim, inquit, duo in carnem vnam. tales etſi in paupertate ſint, etſi in vilitate, omnium ſunt beatiſſimi, veram percipiunt voluptatem, & in continua conſiſtunt tranquillitate. Sicut contrà, qui hac non fruuntur, ſed zelotypia laborant, & bonum pacis amittunt, etiamſi magnis affluant diuitiis, etiamſi ſumptuoſas habeant menſas, etiamſi clari fuerint ac nobiles, miſerrimi omnium ſunt: turbellas & fluctus ſibi quotidie excogitant, & viciſſim ſuſpicantur, nullámque voluptatem habere poſſunt, interno bello omnia confundente, multámque eis amaritudinem inuehente. Verum hîc nihil tale, ſed patriarcha indignationem matrisfamiliâs ſua placauit lenitate, & data ei contra ancillam poteſtate domum pace repleuit. *Et afflixit eam*, inquit, *Sara, & aufugit a facie eius.* Poſtquam domina illius puniuit inſolentiam, fugam iniit ancilla. Talis ſcilicet ſeruorum mos eſt, quando non permittitur eis more ſuo agere, ſed impediuntur eorum conatus, ſtatim dominorum ruptis frænis, fugam capeſſunt. Cæterum vide & hoc, quomodo ancillæ ſupernum auxilium non deeſt, quò iuſtus in maiori ſit honore. Nam quia iuſti ſemen intra ſe gerebat, ideo & angeli aſpectum videre meruit. Inuenit enim eam, inquit, angelus domini prope fontem aquæ in ſolitudine in via Sur. Conſidera benignitatem domini, quomodo nullum deſpicit, ſed etiamſi ſeruus ſit vel ancilla, ſuam erga eum declarat prouidentiam, non ad dignitatum reſpiciens differentiam, ſed ad animæ affectionem.

Gen. 2. 24.

A τοῦτο ἀληθὲς συνοικέσιον, τοῦτο ἀνήρ, ὅταν μὴ ἀκριβολογῆται πρὸς τὰ τῆς γυναικὸς ῥήματα, ἀλλὰ τῇ ἀσθενείᾳ τῆς φύσεως πολλὴν νέμων τὴν συγγνώμην μίαν ποιῆται σπουδήν, ὥστε τὴν λύπην ἐκποδὼν ποιῆσαι, καὶ τὰ τῆς εἰρήνης καὶ τῆς ὁμονοίας συσφίγγειν. ἀκουέτωσαν ἄνδρες, καὶ μιμείσθωσαν τοῦ δικαίου τὴν ἐπιείκειαν, καὶ τοσαύτην αἰδῶ καὶ τιμὴν ταῖς γυναιξὶν ἀπονεμέτωσαν, καὶ ὡς ἀσθενεστέρου σκεύους φειδέσθωσαν, ἵνα ὁ τῆς ὁμονοίας σύνδεσμος ἐπιτείνηται. τοῦτο γὰρ ὁ ἀληθὴς πλοῦτος, αὕτη ἡ μεγίστη περιουσία, ὅταν ἀνὴρ μετὰ γυναικὸς μὴ διχονοῇ, ἀλλὰ καθάπερ σῶμα ἓν οὕτως ὦσι συ-
B νημμένοι. ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. οἱ τοιοῦτοι κἂν ἐν πενίᾳ ὦσι, κἂν ἐν εὐτελείᾳ, πάντων ἂν εἶεν μακαριώτεροι, τὴν ἀληθῆ ἡδονὴν καρπούμενοι, καὶ ἐν διηνεκεῖ γαλήνῃ καθεστῶτες. ὡς οἵ γε ταύτης μὴ ἀπολαύοντες, ἀλλὰ ζηλοτύπως διακείμενοι, καὶ τὸ τῆς εἰρήνης καλὸν διαφθείροντες, κἂν πολλῷ περιῤῥέωνται πλούτῳ, κἂν πολυτελεῖς ἔχωσι τὰς τραπέζας, κἂν ἐν περιφανείᾳ τύχωσιν ὄντες, πάντων ἐλεεινότερον ζῶσι βίον, κύματα καὶ ταραχὰς καθ' ἑκάστην ἡμέραν ἑαυτοῖς ἐπινοοῦντες, καὶ ἀλλήλους ὑποπτεύοντες, καὶ οὐδε-
C μίαν ἡδονὴν ἔχειν δυνάμενοι, τοῦ ἔνδοθεν πολέμου πάντα συγχέοντος, καὶ πολλὴν ἐν αὐτοῖς τὴν ἀηδίαν ἐργαζομένου. ἀλλ' ἐνταῦθα οὐδὲν τοιοῦτον· ἀλλὰ διὰ τῆς οἰκείας ἐπιεικείας ὁ πατριάρχης τόν τε θυμὸν κατεμάλαξε τῆς δεσποίνης, καὶ δοὺς αὐτῇ τὴν ἐξουσίαν ἅπασαν τὴν κατὰ τῆς παιδίσκης, εἰρήνης πολλῆς ἐνέπλησεν ἑαυτοῦ τὴν οἰκίαν. καὶ ἐκάκωσεν αὐτήν, φησι, Σάρρα, καὶ ἀπέδρα ἀπὸ προσώπου αὐτῆς. ἐπειδὴ γὰρ ἴσως ἐκόλασεν αὐτῆς τὴν προπέτειαν, εἰς φυγὴν ἐτράπη ἡ παιδίσκη. τοιοῦτον γὰρ τῶν οἰκετῶν τὸ ἔθος. ἐπειδὰν μὴ ἐξῇ αὐτοῖς τῷ
D οἰκείῳ τρόπῳ κεχρῆσθαι, ἀλλ' ἐγκόπτηται αὐτῶν τὰ τῆς ἐπιχειρήσεως, εὐθέως ἀφηνιάζουσι τῶν δεσποτῶν, καὶ πρὸς φυγὴν ὁρμῶσιν. ἀλλ' ὅρα πάλιν ἐνταῦθα πόσης ἀπολαύει τῆς ἄνωθεν ῥοπῆς καὶ ἡ παιδίσκη διὰ τὴν εἰς τὸν δίκαιον τιμήν. ἐπειδὴ γὰρ περιέφερε μεθ' ἑαυτῆς τοῦ δικαίου τὸ σπέρμα, διὰ τοῦτο καὶ τῆς ὀπτασίας ἀξιοῦται τῆς παρὰ τοῦ ἀγγέλου. εὗρε γὰρ αὐτήν, φησιν, ἄγγελος κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ, ἐν τῇ ὁδῷ Σούρ. σκόπει φιλανθρωπίαν δεσπότου πῶς οὐδένα παρορᾷ, ἀλλὰ κἂν οἰκέτης ᾖ, κἂν παιδίσκη, αὐτὸς ἐν πᾶσι τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν, οὐ πρὸς τὴν τῶν ἀξιωμάτων ὁρῶν διαφοράν, ἀλλὰ πρὸς τὴν τῆς ψυχῆς διάθεσιν.

ἐνταῦθα δὲ οὐ διὰ τὴν τῆς παιδίσκης ἀξίαν ὁ ἄγγελος ἐφίσταται, ἀλλὰ διὰ τὴν πρὸς τὸν δίκαιον τιμήν. καθάπερ γὰρ ἔφθην εἰπὼν, ἐχρῆν αὐτὴν πολλῆς ἀξιωθῆναι προνοίας, διὰ τὸ ἀξίαν γενέσθαι ὑποδέξασθαι τὸ τοῦ δικαίου σπέρμα. καὶ εὑρὼν αὐτὴν, φησιν, ὁ ἄγγελος εἶπεν αὐτῇ· Ἄγαρ παιδίσκη Σάρρας, πόθεν ἔρχῃ; καὶ ποῦ πορεύῃ; ὅρα πῶς καὶ τὰ παρὰ τοῦ ἀγγέλου εἰς ὑπόμνησιν αὐτὴν ἦγε τῆς οἰκείας ἀξίας. ἵνα γὰρ προσεκτικωτέραν αὐτὴν ποιήσῃ, εὐθέως τὴν προσηγορίαν αὐτῆς εἰς μέσον ἤγαγε, καί φησιν, Ἄγαρ. εἰώθαμεν γάρ πως ἐκείνοις προσέχειν μᾶλλον τοῖς ἐξ ὀνόματος ἡμᾶς καλοῦσιν. εἶτά φησι, παιδίσκη Σάρρας. ὑπομιμνήσκει αὐτὴν τῆς δεσποίνης, ἵνα εἰδέναι ἔχῃ, ὅτι κἂν μυριάκις τῆς δεσποτικῆς εὐνῆς ἐκοινώνησεν, ἀλλ' ὅμως καὶ δεσπότιν ὀφείλει ἐπιγράφεσθαι τὴν Σάρραν. ὅρα τοίνυν τὸν ἄγγελον πυνθανόμενον, ἵνα εἰς ἀνάγκην αὐτὴν ἀγάγῃ τῆς ἀποκρίσεως. πόθεν, φησὶ, νῦν εἰς τὴν ἔρημον ταύτην παραγέγονας, καὶ ποῦ τὴν ὁρμὴν ἔχεις; διὰ τοῦτο καὶ εἰς αὐτὴν τὴν ἔρημον αὐτῇ γενομένῃ φαίνεται ὁ ἄγγελος, ἵνα μὴ νομίσῃ ἁπλῶς τινα τῶν παριόντων εἶναι τὸν πυνθανόμενον. ἐρημία γὰρ ἦν, καὶ οὐδεὶς παρῆν. ἵνα οὖν εἰδέναι ἔχῃ, ὅτι οὐχ ἁπλῶς ἐστιν ὁ τυχὼν, ὁ πρὸς αὐτὴν διαλεγόμενος, διὰ τοῦτο ἐν τῇ ἐρήμῳ φανεὶς πυνθάνεται αὐτῆς· καί φησιν ἐκείνη, ἀπὸ προσώπου Σάρρας τῆς κυρίας μου ἐγὼ ἀποδιδράσκω. ὁρᾷς πῶς οὐκ ἀρνεῖται τὴν δεσποτείαν, ἀλλ' ὁμολογεῖ μετ' ἀληθείας ἅπαντα; οὐκ ἔστι, φησὶν, ἄνθρωπος ὁ πυνθανόμενος, ἵνα δυνηθῶ παρακρούσασθαι. προλαβὼν καὶ τὴν προσηγορίαν εἶπε τὴν ἐμὴν, καὶ τῆς δεσποίνης ἐμνήσθη. προσήκει τοίνυν κἀμὲ μετ' ἀληθείας ἅπαντα εἰπεῖν. ἀπὸ προσώπου, φησὶ, Σάρρας τῆς κυρίας μου ἐγὼ ἀποδιδράσκω. ὅρα πῶς ἀνεπαχθῶς τὴν μνήμην ἐποιήσατο. οὐ γὰρ εἶπεν, ὅτι δεινά με διέθηκεν· οὐκ εἶπεν, ὅτι ἐκάκωσέ με, καὶ διὰ τὸ μὴ φέρειν τὴν πολλὴν ἐπάχθειαν εἰς φυγὴν ἐτράπην. οὐδὲν δυσχερὲς ἐφθέγξατο, ἀλλὰ μόνον ἑαυτῆς κατηγόρησεν ὡς ἀποδρασάσης. εἶδες αὐτῆς τὴν εὐγνωμοσύνην. ὅρα πάλιν τὰ παρὰ τοῦ ἀγγέλου εἰρημένα πρὸς αὐτήν. εἶπε δὲ αὐτῇ ὁ ἄγγελος κυρίου, ἀποστράφηθι πρὸς τὴν κυρίαν σου, καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς. πρὸς μὲν τὸ εἰπεῖν, ἀπὸ προσώπου τῆς κυρίας μου ἀποδιδράσκω, φησὶν ἀποστράφηθι, ἐπάνελθε, μὴ ἀγνωμόνως διάκεισο περὶ τὴν τοσαῦτά σε εὐεργετήσασαν. εἶτα ἐπεὶ ἐξ ἀλαζονείας καὶ φρονήματος ὑψηλοῦ πρὸς ὀργὴν διήγειρε τὴν ἑαυτῆς δέσποιναν, φησὶ

A Hîc autem non propter ancillæ meritum angelus aſſiſtit, ſed ob honorem iuſti. Nam ſicut dixi, digna erat quæ non negligeretur, ob dignitatem ſeminis iuſti, quod in ea erat conceptum. [8] *Et vt inuenit eam angelus, dixit ei: Agar ancilla Saræ, vnde venis, & quò vadis?* Vide quomodo & angeli dicta, eam in memoriam ſuæ conditionis inducunt. Nam vt attentiorem reddat, ſtatim appellationem nominis eius in medium affert, & dicit, Agar. Solemus enim diligentius auſcultare, quando noſtris nominibus vocamur. Deinde dicit, ancilla B Saræ: quo recordari eam facit dominæ ſuæ, vt ſciat quòd licet particeps fuerit herilis lecti, attamen dominam agnoſcere debeat Saram. Et vide angelum interrogantem, vt eam ad reſpondendi neceſſitatem cogeret. Vnde, inquit, nunc in ſolitudinem hanc aduenisti, & quò contendis? Atque ob hoc in hac ſolitudine comparet angelus, vt ne putet aliquem ex vulgaribus viatoribus eum eſſe qui interrogat. Solitudo enim erat. & nullus alius aderat: & idcirco vt ſciat C non eſſe vulgarem aliquem, qui ſibi colloquitur, eapropter vt in eremo apparuit, rogauit ex ea. Et inquit illa: *A facie Saræ dominæ meæ ego fugio.* Vides quomodo non negat dominatum, ſed confitetur verè omnia? Non eſt, inquit, homo qui interrogat, vt poſſim decipere. Primum dixit nomẽ meum, & dominæ meæ meminit, congruum eſt igitur vt & ego omnia vera dicam. A facie, inquit, Saræ dominæ meæ ego fugio. Vide quomodo citra odium meminit dominę. Non dixit, malè afflixit: non dixit, D grauia mihi fecit, non poſſum ferre moleſtiam eius, & ideo fugam inij: nihil aſperum locuta eſt, ſed ſolùm ſeipſam vt fugitiuam accuſauit. Vidiſti eius probitatem? Vide quid iterum angelus ei dixit. [9] *Dixit autem ei angelus Domini*, inquit, *Reuertere ad dominam tuam, & humiliare ſub manibus eius.* Ad hoc quidem, quod dicit: A facie dominæ meæ fugio, inquit, Reuertere, & nę ſis ingrata erga dominam tuam, quæ de te tam bene merita eſt. Deinde quia ex faſtu & ſuperbia mentis dominam ſuam in iram excitauerat, inquit:

Et humiliare ſub manibus eius, ſubiecta eſto ei: hoc enim tibi proderit. Agnoſce ſeruitutem, ne ignores dominium, nihil ſublime ſapito, ne plus de te quàm oportet ſenti. Humiliare ſub manu eius, magnam præ te fer obedientiam. Satis eius animam demulſerant angeli dicta, ſatis eius ſpiritum compreſſerant, ſatis frænauerant eius iracundiam, multam in cogitationibus ſerenitatem fecerant. Cæterùm ne putet temerè & abſque cauſa id curæ in eam impenſum, ſed diſcat quòd propter ſemen iuſti tantam beneuolentiam aſſecuta ſit: vide quomodo eam conſolatur, & mentem eius erigit, & conſolationem dat, quę abundè ſufficiat, cùm ita ſubiungit: [10] *Et dixit ei angelus domini: Multiplicans multiplicabo ſemen tuum, & præ multitudine non numerabitur.* Et tibi, inquit, prædico tantum fore ſemen tuum, vt neque numero ſubiaceat. Ne igitur mœſta ſis, neque ſuccumbas, neque turberis animo, ſed præ te fer omnem obedientiam. *Ecce enim vterum geris, & paries filium, & vocabis nomen eius Iſmaël.* Ideo inquit & partum tibi prædico, & nomen iam impono puero qui naſcetur, vt re certius comperta, viam remetiaris, & emendes quòd deliquiſti: *quia audiuit dominus humilitatem tuam.* Hinc diſcamus, quantum ſit in afflictionibus lucrum, quanta calamitatis vtilitas. Poſtquam enim ſeceſſit, & dolor auctus eſt, multiſque circumdata eſt afflictionum moleſtiis in ſolitudine, in vaſtitate & anguſtiis verſans, poſt tantam proſperitatem, & poſtquam in parem cum domina ſua dignitatem euecta fuiſſet: ideo acceleratum nacta eſt ſubſidium. Hæc enim tibi erunt, inquit, quæ promiſi, & paries filium, & ſemen tuum innumerabile erit, quia exaudiuit dominus humilitatem tuam. Ne igitur grauatim feramus, ſi moleſtiis prementibus humiliemur. Nihil enim ita noſtræ naturæ conducit, vt mentem ſubducere, & humiliare ſuperbum ſpiritum, & inflationem mentis deprimere. Tunc enim nos magis audit dominus, quãdo cum dolore animæ, & corde contrito ipſum inuocamus maiorem in precibus aſſiduitatẽ adhibentes, quia audiuit dominus

καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς, ὑποτάγηθι αὐτῇ· τοῦτο γάρ σοι λυσιτελεῖ. ἐπίγνωθι τὴν δουλείαν, μὴ ἀγνόει τὴν δεσποτείαν, μηδὲν ὑψηλὸν φρόνει, μὴ τὰ ὑπὲρ σαυτὴν φαντάζου· ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς, πολλὴν ἐπίδειξαι τὴν ὑποταγήν. ἱκανῶς αὐτῆς τὴν ψυχὴν κατεμάλαξε τὰ παρὰ τοῦ ἀγγέλου εἰρημένα, κατέστειλεν αὐτῆς τὸ φρόνημα, ἐχαλίνωσεν αὐτῆς τὸν θυμόν, πολλὴν εἰργάσατο γαλήνην ἐν τοῖς λογισμοῖς. εἶτα ἵνα μὴ νομίσῃ ἁπλῶς καὶ εἰκῇ τοσαύτης ἠξιῶσθαι προνοίας, ἀλλὰ μάθῃ ὅτι διὰ τὸ τοῦ δικαίου σπέρμα τοιαύτης ἀπολαύει τῆς κηδε-
B μονίας, ὅρα πῶς αὐτὴν παραμυθεῖται, καὶ ἀνίστησιν αὐτῆς τὴν ψυχήν, καὶ ἀρκοῦσαν αὐτῇ χαρίζεται τὴν παράκλησιν διὰ τῶν ἐπαγομένων. καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος κυρίου, πληθύνων πληθυνῶ τὸ σπέρμα σου, καὶ οὐκ ἀριθμηθήσεται ἀπὸ τοῦ πλήθους. καὶ τοῦτό σοι, φησί, προλέγω, ὅτι τοσοῦτον ἔσται τὸ σπέρμα σου, ὡς μηδὲ ἀριθμῷ ὑποβάλλεσθαι. μὴ τοίνυν ἀθύμει, μηδὲ καταπίπτε, μηδὲ ταράττου τοῖς λογισμοῖς, ἀλλὰ πᾶσαν ἐπίδειξαι τὴν ὑποταγήν. ἰδοὺ γὰρ ἐν γαστρὶ ἔχεις, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ισμαήλ. διὰ γὰρ τοῦτό σοι, φη-
C σι, καὶ τὸν τόκον προλέγω, καὶ τὸ ὄνομα ἤδη ἐπιτίθημι τῷ παιδὶ τῷ τικτομένῳ, ἵνα πλείονα τὴν πληροφορίαν δεξαμένη οὕτω ποιήσῃς τὴν ἐπάνοδον, καὶ τὰ ἤδη ἐπταισμένα διορθώσῃς. ὅτι ἐπήκουσε, φησί, κύριος τῇ ταπεινώσει σου. ἐντεῦθεν μανθάνωμεν ὅσον τῶν θλίψεων τὸ κέρδος, ὅση τῆς συμφορᾶς ἡ ὠφέλεια. ἐπειδὴ γὰρ ἀνεχώρησε, καὶ τὰ τῆς ὀδύνης ηὐξήθη, καὶ πολλὴν ὑπέστη τῶν θλίψεων τὴν περίστασιν, ἐν μονώσει, ἐν ἐρημίᾳ, ἐν στενοχωρίᾳ διάγουσα, μετὰ τὴν τοσαύτην εὐημερίαν, καὶ τὸ εἰς τὸ αὐτῇ τῇ δεσποίνῃ πρέπον ἀξίωμα ἀνενεχθῆναι, διὰ τοῦτο ταχείας ἀπήλαυ-
D σε τῆς ἀντιλήψεως. ταῦτα γάρ σοι ἔσται, φησίν, ἅπερ ὑπεσχόμην, καὶ τέξῃ υἱόν, καὶ τὸ σπέρμα σου ἀριθμοῦ κρεῖττον ἔσται, ὅτι ἐπήκουσε κύριος τῇ ταπεινώσει σου. μὴ τοίνυν μηδὲ ἡμεῖς ἀσχάλλωμεν, ἐπειδὰν ἀπό τινος περιστάσεως τῶν πραγμάτων ταπεινωθῶμεν. οὐδὲν γὰρ ἡμῶν τῇ φύσει οὕτω συμβάλλεται, ὡς τὸ συστέλλεσθαι, καὶ ταπεινοῦσθαι ἡμῶν τὸ φρόνημα, καὶ τὸ φύσημα τῆς ψυχῆς καταστέλλεσθαι. τότε γὰρ ἡμῶν μᾶλλον ὁ δεσπότης ἐπακούει, ὅταν μετ' ὀδυνωμένης ψυχῆς καὶ συντετριμμένης τῆς καρδίας αὐτὸν καλῶμεν, πολλὴν

τὴν προσεδρίαν περὶ τὰς ἱκετείας ποιούμενοι. ὅτι ἐπήκουσε, φησι, κύριος τῇ ταπεινώσει σου. εἶτα προλέγει τοῦ μέλλοντος τίκτεσθαι παιδὸς τὸ ἐπιτήδευμα. οὗτος ἔσται, φησὶν, ἄγροικος ἄνθρωπος· αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας, καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτόν· καὶ κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατοικήσει. προμηνύει αὐτῇ ὅτι ἀνδρεῖος ἔσται, ὅτι πολέμιος, ὅτι πρὸς τὴν τῆς γῆς ἐπιμέλειαν πολὺν τὸν πόνον ἐπιδείξεται. εἶδες διὰ τῶν εἰς τὴν παιδίσκην γεγενημένων τὴν εἰς τὸν πατριάρχην τιμήν. ἡ γὰρ περὶ ταύτην πρόνοια δείκνυσι τὴν εὔνοιαν τοῦ δεσπότου, ἣν πρὸς τὸν δίκαιον ἐπιδείκνυται. ταῦτα συμβουλεύσας ὁ ἄγγελος καὶ εὐαγγελισάμενος τῇ Ἀγὰρ ἀνεχώρησεν. ἀλλ' ὅρα πάλιν τῆς παιδίσκης τὴν εὐγνωμοσύνην. καὶ ἐκάλεσε, φησι, τὸ ὄνομα κυρίου τοῦ λαλοῦντος πρὸς αὐτὴν, σὺ ὁ θεὸς, ὁ ἐπιδών με. ὅτι εἶπε, καὶ γὰρ ἐνώπιον εἶδον ὀφθέντα μοι. ἕνεκεν τούτου ἐκάλεσε τὸ φρέαρ, φρέαρ οὗ ἐνώπιον εἶδον, ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Βαράχ. σκόπει πῶς καὶ αὐτὴ βούλεται διηνεκῆ τὴν μνήμην ἐναποθέσθαι τῷ τόπῳ διὰ τῆς προσηγορίας. ἐκάλεσε γὰρ, φησι, τὸν τόπον, φρέαρ οὗ ἐνώπιον εἶδον. εἶδες τὴν παιδίσκην κατὰ μικρὸν ἐκ τῆς περιεχούσης αὐτὴν θλίψεως φιλοσοφωτέραν γινομένην, καὶ πολλὴν εὐγνωμοσύνην περὶ τὴν γεγενημένην εἰς αὐτὴν εὐεργεσίαν ἐπιδεικνυμένην; καὶ οἷς ἐνόμισεν, ἀμειβομένην τὴν τοσαύτης αὐτὴν ἀξιώσαντα κηδεμονίας; καὶ ἔτεκε, φησιν, Ἀγὰρ τῷ Ἀβρὰμ υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, ὃν ἔτεκεν αὐτῷ Ἀγὰρ, Ἰσμαήλ. ἐντεῦθεν μανθάνομεν ὅσον ἐστὶν ἀγαθὸν ἐπιείκεια, ὅσον ἐστὶ κέρδος καὶ ἀπὸ τῶν θλίψεων καρπώσασθαι. καὶ τὴν μὲν ἐπιείκειαν, ἐξ ὧν ὁ πατριάρχης ἐπεδείξατο καταπραΰνας τῆς Σάρρας τὴν ἀγανάκτησιν, καὶ τὴν ἐξουσίαν τῆς παιδίσκης αὐτῇ δεδωκὼς, καὶ διὰ τούτου εἰρήνης ἐμπλήσας τὴν οἰκίαν· τὸ δὲ κέρδος τῶν θλίψεων ἐκ τῶν κατὰ τὴν παιδίσκην ἐστὶν ἰδεῖν. ἐπειδὴ γὰρ κακωθεῖσα ὑπὸ τῆς δεσποίνης ἀπέδρα, καὶ πολλὴν ὑπέμεινε τὴν ταλαιπωρίαν, καὶ μετὰ ὀδυνωμένης ψυχῆς ἐκάλεσε τὸν δεσπότην, εὐθέως τῆς ἄνωθεν ἐπισκοπῆς ἠξιώθη. ἵνα γὰρ μάθῃ, ὅτι διὰ τὸ ταπεινωθῆναι καὶ συσταλῆναι, τῆς τοσαύτης ἀξιοῦται κηδεμονίας, φησὶν, ὁ ἄγγελος πρὸς αὐτὴν, ἐν γαστρὶ ἔχεις, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ, ὅτι ἐπήκουσε κύριος τῇ ταπεινώσει σου.

Ἠθικόν. Εἰδότες τοίνυν, ἀγαπητοὶ, ὅτι ἐὰν νήφωμεν, αἱ θλίψεις μᾶλλον ἡμᾶς οἰκειοῦσι τῷ δεσπότῃ,

A humilitatem tuam. Poſtea prædicit pueri qui naſciturus erat ſtudium. *Hic erit, inquit, agreſtis homo, manus eius contra omnes, & manus omnium contra eum & : contra faciem omnium fratrum ſuorum tabernacula figet.* Prædicit ei quòd virilis & fortis erit, quòd bellator, quòd agriculturæ vacabit. Vidiſti propter patriarchæ honorem quanta ſint & ancillæ facta? Quicquid enim illi impenſum eſt, ad honorem patriarchæ pertinet. Hæc vbi angelus conſuluit & felicia annunciauit, receſſit. B Cæterùm vide iterum ancillæ probitatem. [13] *Et vocauit*, inquit, *nomen domini, qui loquebatur ſibi: Tu es Deus qui vidiſti me: quia dixit: Etenim coràm vidi eum qui apparuit mihi.* [14] *Propter hoc vocauit puteum, puteum vbi coràm vidi, inter Cades & inter Barach.* Vide quomodo & hæc vult perpetuam memoriam infigere loco per vocabuli impoſitionem. Vocauit enim locum, puteum vbi coràm vidi. Vidiſti & ancillam creſcentibus afflictionibus aliquantò caſtigatioribus moribus fieri, & C magnam gratitudinem declarare erga eam, quæ tanta in eam contulerat beneficia, tantáque illam cura & ſtudio complexa erat? [15] *Et peperit*, inquit, *Agar Abræ filium, & vocauit Abram nomen eius, quem peperit ſibi Agar, Iſmaël.* Hinc diſcimus quantum bonum ſit manſuetudo, quantum lucri habeat, & quanti fructus ex afflictionibus proueniant. Nam manſuetudine patriarcha placauit Saram indignabundam, & famulæ poteſtatem ei dedit, domúmque pace repleuit: afflictionis autem fructus in ancilla D videre licet. Quia poſtquam ab hera afflicta fugit, & multum ærumnoſa fuit, dolentéque anima dominum inuocauit, ſtatim ſupernam viſitationem aſſecuta eſt. Vt enim diſcat quòd per humiliationem & afflictionem tantam beneuolentiam inuenerit, dicit angelus ei: Vterum geris, & paries filium, & vocabis nomen eius Iſmaël, quoniam audiuit dominus humilitatem tuam.

Moralis exhortatio. Itaque dilectiſſimi cùm ſciamus, quòd ſi ſobrij & prudentes fuerimus, tribulationes nos magis domino

conciliabunt, & tunc poterimus eius auxilium promereri, quando dolente anima & feruidis lachrymis ad ipſum acceſſerimus: ne doleamus in afflictionibus, ſed lucrum quod ex afflictionibus prouenit cogitantes, omnia quæ nobis eueniunt placido feramus animo, & diſcamus humani eſſe & manſueti erga omnes quidem, maximè autem mulierum noſtrarum curam agamus, vt ſiue iuſtè, ſiue iniuſtè nos arguant, ne ita ad viuum & accuratè excutiamus cauſas: ſed vnius rei nobis cura ſit, vt triſtitiæ cauſa è medio tollatur, creſcátque ac roboretur pax domeſtica: vt & illa ad virum ſuum habeat conuerſionem, & vir ab externis ac forenſibus negotiis & turbationibus ad eam quaſi ad portum confugere, & omnigenam inuenire poſſit conſolationem. In adiutorium enim data eſt vxor, vt contentus eius conſolatione, vir aduerſus ingruentia reſiſtere valeat. Nam ſi fuerit ornata virtutibus & manſueta, nõ ſolùm viro ſuo communicationis præbebit conſolationem, ſed & in aliis omnibus multum fiet vtilis: omnia illi leuia & facilia reddet, & percipere non ſinet illas aut externas aut eas quæ quotidie domi naſcuntur difficultates: ſed quaſi gubernator optimus omnem animi tempeſtatem in ſerenitatem ſua ſapientia conuertet, intelligentiáque ſua magnam conferet conſolationem. Enimuerò qui ſic coniuncti fuerint, à nulla rerum difficultate malè habebunt. Quando enim concordia, & pax, & vinculum dilectionis cũ muliere & viro fuerit, omnia ſimul affluunt bona, & nullis inſidiis expoſiti ſunt, magno & inexpugnabili quodã muro circundati, hoc eſt ſua iuxta Dei præceptum concordia. Hoc adamãte firmiores, hoc ferro fortiores eos reddet, hoc omnibus diuitiis & abundantia magis locupletabit, hoc ſupernam gloriam eis conferet, hoc & Dei beneuolentiam eis vbertim conciliabit. Proinde oro, ne quid illi præferendum exiſtimemus: ſed omnia faciamus & agamus, ita vt tranquillitas & pax ſit [cohabitantibus. Tunc enim & filij qui naſcuntur parentum virtutem ſequentur, quos imitabuntur & ſerui,

A καὶ τότε δυνησόμεθα τὴν παρ' αὐτοῦ ῥοπὴν ἐπισπάσασθαι, ὅταν μετ' ὀδυνωμένης ψυχῆς καὶ θερμῶν δακρύων αὐτῷ προσιῶμεν, μὴ ἀλγῶμεν ἐπὶ ταῖς θλίψεσιν, ἀλλὰ τὸ ἐκ τῶν θλίψεων κέρδος λογιζόμενοι πάντα πράως φέρωμεν τὰ συμπίπτοντα, καὶ παιδευώμεθα ἐπιεικεῖς εἶναι καὶ ἡμέροι πρὸς πάντας μὲν, μάλιστα δὲ περὶ τὰς ἑαυτῶν γυναῖκας, καὶ πολλὴν ποιεῖσθαι σπουδὴν, ὥστε, κἂν δικαίως, κἂν ἀδίκως μέμψωνται, μὴ ἀκριβολογεῖσθαι, ἀλλ' ἑνὸς μόνου γίνεσθαι, τοῦ τὰ τῆς λύπης αἴτια ἐκποδὼν ποιεῖν, καὶ βαθεῖαν εἰρήνην κατασκευάζειν τῇ οἰκίᾳ, ἵνα καὶ ἐκείνη ἔχῃ πρὸς τὸν ἄνδρα τὴν
B ἐπιστροφὴν, καὶ ὁ ἀνὴρ ὡς εἰς λιμένα εἰς αὐτὴν ἔχῃ καταφεύγειν ἐκ τῶν ἔξωθεν ταραχῶν καὶ τῶν θορύβων, καὶ πᾶσαν ἐκεῖθεν εὑρίσκειν τὴν παραμυθίαν. πρὸς βοήθειαν γὰρ ἡ γυνὴ ἐδόθη, ἵνα ἀρκούμενος τῇ ταύτης παρακλήσει ἀντέχειν ὁ ἀνὴρ δύνηται πρὸς τὰ ἐπιόντα αὐτῷ. ἐὰν γὰρ ᾖ κοσμία καὶ ἐπιεικὴς, οὐ μόνον τὴν ἀπὸ τῆς κοινωνίας παραμυθίαν παρέξει τῷ ἀνδρὶ, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι πολλὴν τὴν ἑαυτῆς χρείαν ἐπιδείξεται, πάντα αὐτῷ κοῦφα καὶ ῥᾴδια κατασκευάζουσα, καὶ οὐκ ἀφιεῖσα πεῖραν λαβεῖν οὔτε τῶν ἔξωθεν, οὔτε
C μὴν τῶν κατὰ τὴν οἰκίαν τικτομένων καθ' ἑκάστην ἡμέραν δυσχερῶν· ἀλλὰ καθάπερ κυβερνήτης ἄριστος, οὕτως αὐτῷ τὸν χειμῶνα τῆς ψυχῆς διὰ τῆς οἰκείας σοφίας εἰς γαλήνην καταστήσει, καὶ τῇ παρ' ἑαυτῆς συνέσει πολλὴν αὐτῷ παρέξει τὴν παραμυθίαν. τοὺς γὰρ οὕτω συνδεδεμένους οὐδὲν λοιπὸν τῶν ἐν τῷ παρόντι βίῳ λυπῆσαι δυνήσεται, οὐδὲ τὴν ἡδονὴν αὐτῶν λυμήνασθαι. ὅταν γὰρ ὁμόνοια ᾖ καὶ εἰρήνη καὶ σύνδεσμος ἀγάπης μετὰ γυναικὸς καὶ ἀνδρὸς, ἐκεῖ πάντα συρρεῖ τὰ ἀγαθὰ, καὶ ἀνάλωτοι πάσης ἐπιβουλῆς γενήσονται, μεγάλῳ καὶ
D ἀρρήκτῳ τείχει τινὶ πεφραγμένοι, τουτέστι, τῇ κατὰ θεὸν ὁμονοίᾳ. τοῦτο ἀδάμαντος αὐτοὺς ἰσχυροτέρους ἀπεργάσεται, τοῦτο σιδήρου στερροτέρους καταστήσει, τοῦτο παντὸς πλούτου καὶ περιουσίας αὐτοῖς συμβαλεῖται πλέον, τοῦτο εἰς τὴν ἀνωτάτω περιφάνειαν αὐτοὺς ἀνάξει, τοῦτο καὶ τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν αὐτοῖς προξενήσει μετὰ πολλῆς τῆς δαψιλείας. μὴ τοίνυν, παρακαλῶ, τούτου προτιμότερόν τι ἡγώμεθα, ἀλλὰ πάντα ποιῶμεν καὶ πραγματευώμεθα, ὥστε γαλήνην καὶ εἰρήνην εἶναι μεταξὺ τῆς συνοικήσεως· τότε γὰρ καὶ οἱ τικτόμενοι παῖδες τῇ τῶν γεγεννηκότων ἀρετῇ κατακολουθήσουσι, καὶ οἱ οἰκέται τούτοις ἕψονται,

καὶ πανταχόθεν τὰ τῆς οἰκίας πρὸς ἀρετὴν ἐπιδώσῃ, καὶ πολλὴ τῶν πραγμάτων ἔσται ἡ εὐημερία. ὅταν γὰρ τὰ τοῦ θεοῦ προτιμῶμεν, τὰ ἄλλα πάντα κατὰ ῥοῦν ἥξει ἡμῖν, καὶ οὐδενὸς αἰσθησόμεθα λυπηροῦ, τῆς τοῦ θεοῦ ἀγαθότητος μετὰ δαψιλείας ἡμῖν ἅπαντα χορηγούσης. ἵνα οὖν καὶ αὐτοὶ ἀλύπως κατὰ τὸν παρόντα βίον διάγωμεν, καὶ τὴν παρὰ τοῦ δεσπότου εὔνοιαν ἐπὶ πλέον ἐπισπασώμεθα, ἀντεχώμεθα τῆς ἀρετῆς, τὴν ὁμόνοιαν καὶ τὴν εἰρήνην εἰς τὴν οἰκείαν εἰσάγειν σπουδάζωμεν τὴν ἑαυτῶν, τῆς τῶν τέκνων εὐκοσμίας ἐπιμελώμεθα, φροντίζωμεν τοῦ τρόπου τῶν οἰκετῶν, ἵνα παρὰ ἁπάντων δαψιλεῖς τὰς ἀμοιβὰς κομισάμενοι καταξιωθῶμεν καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία λθ.

Ἡνίκα δὲ ἐγένετο ὁ Ἀβρὰμ ἐννενήκοντα ἐννέα ἐτῶν, ὤφθη αὐτῷ ὁ θεός.

Εἴδετε, ἀγαπητοὶ, πῶς οὐδὲν ἀργὸν τῶν παρὰ τῇ θείᾳ γραφῇ κειμένων; εἴδετε χθὲς πῶς τὰ κατὰ τὴν Ἄγαρ εἰς μέσον παραγαγόντες καὶ τὴν ταύτης ἀναχώρησιν, πολλὴν ὠφέλειαν ἐκεῖθεν ἐκαρπωσάμεθα; ἐμάθομεν γὰρ τὴν τοῦ πατριάρχου τὴν πολλὴν ἐπιείκειαν, τῆς σωφροσύνης τὴν ὑπερβολὴν, τὴν αἰδῶ, ἣν ἀπένειμε τῇ Σάρρᾳ, τὴν πρὸς αὐτὴν ὁμόνοιαν πάντων ἡγούμενος προτιμοτέραν. εἴδομεν τοῦ θεοῦ τὴν ἄφατον φιλανθρωπίαν ὅπως διὰ τὴν εἰς τὸν δίκαιον τιμὴν οὐ μόνον ἐπανήγαγε τὴν Ἄγαρ κατὰ τὴν ἔρημον πλανωμένην, καὶ διὰ τὸν τῆς δεσποίνης φόβον ἀποδράσασαν, ἀλλὰ καὶ τὸν Ἰσμαὴλ τὸν τόκον ἐχαρίσατο, πολλὴν ἐντεῦθεν τῷ δικαίῳ τὴν παραμυθίαν ἐπινοῶν, καὶ τῆς τοσαύτης ὑπομονῆς ἀποδιδοὺς αὐτῷ τὰς ἀμοιβάς. καὶ ἐπειδὴ ἐτέχθη ὁ Ἰσμαὴλ, βουλομένη διδάξαι ἡμᾶς ἡ θεία γραφὴ τὸν χρόνον τοῦ πατριάρχου, καὶ τῶν ἐτῶν τὸν ἀριθμὸν ἡμῖν ἐπεσημήνατο εἰποῦσα, ὅτι, ἡνίκα ἐτέχθη ὁ Ἰσμαὴλ, ἐτῶν ὀγδοηκονταὲξ ἦν ὁ Ἀβραάμ. ἴδωμεν δὲ λοιπὸν τὰ ἐντεῦθεν, ἵνα καὶ ἐκ τῶν ἑξῆς μάθωμεν πάλιν καὶ τοῦ δικαίου τὴν πολλὴν ὑπομονὴν, καὶ τοῦ δεσπότου τὴν ἄφατον καὶ ὑπερβάλλουσαν φιλανθρωπίαν.

A & vndequaque domus virtute florebit, eritque multiplex rerum proſperitas. Quando enim diuina præferimus, facilè alia omnia proſperè nobis ſuccedent, & nullam ſentiemus moleſtiam, ſuppeditante nobis omnia largiter diuina bonitate. Vt igitur etiam ipſi abſque triſtitia, & temporis iſtius vitam tranſigamus, & maiorem domini beneuolentiam nobis conciliemus, concordiam & pacem in domum noſtram introducere conemur: & amplexando virtutem, B cura nobis ſit vt honeſtè enutriantur liberi, curæ nobis ſint mores famulorum: vt pro omnibus largis acceptis remunerationibus, mereamur & promiſſa bona, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum patre, & Spiritu ſancto ſit gloria, imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

HOMILIA XXXIX.

Quando autem factus eſt Abram nonaginta nouem annorum, apparuit ei Deus. Gen. 17. 1.

C VIDISTIS dilectiſſimi, quomodo nihil ſit otioſè in diuina ſcriptura poſitum? Vidiſtis quãtum vtilitatis heri percepimus, cùm de Agar ancilla fugitiua diſſeremus? Didicimus enim magnam patriarchæ lenitatem, eximiam continentiam, reuerentiam, qua Saram complexus eſt, & quomodo concordiam bonis omnibus præferendam duxerit. D Vidimus Dei ineffabilem benignitatem, quomodo in honorẽ iuſti non ſolùm reduxit Agar, quæ in ſolitudine errabat, & ob timorẽ dominæ aufugerat, ſed & ei Iſmaëlem prolem dedit, inde iuſto magnum ſolatium excogitans, tantæque patientiæ mercedes ei tribuens. Et poſtquam natus eſt Iſmaël, volens nos docere ſcriptura tempus patriarchæ, etiam numerum annorum deſignauit dicens: [16] *Quando natus eſt Iſmaël, annorum octoginta ſex erat Abram.* Videamus autẽ & hoc loco, id quod & ex ſequẽtibus diſcemus, inſignem patientiam iuſti, & ineffabilem atque eximiam benignitatem domini

Sciemus autem vtraque euidenter, ſi iterum tempora vitæ iuſti addiſcere poterimus: & quomodo bonus Deus quæ ad ſe attinent omni tempore diſpenſat, probans ſuum famulum, & piam eius mentem detegens. Ipſe enim clarè præſciebat famuli ſui gratitudinem, & animæ eius pulchritudinem ſciebat, margaritámque hanc euidenter agnoſcebat: ſed quia voluit omnibus tunc præſentibus eum manifeſtare, vt & poſterioribus ſeculis ipſa iuſti virtus ad imitationem ac zelum, eos qui æmulari volunt, prouocaret: idcirco paulatim mentem iuſti tam opulentam nobis detegit, vt diſcamus & nos diuinis promiſſionibus non diffidere, neque dilationem grauatim ferre: ſed maiorem ſpem in inuiſibilibus quàm viſibilibus ponere, quæ dominus omnium promiſerit: & ſciamus quòd non ſit poſſibile, vt vnquam excidant promiſſa Dei: ſed & ſi longo poſt tempore eueniant aliqua diuinis promiſſis diuerſa, ne propterea mens turbetur, ſed cognoſcamus eius qui promiſit inuictam virtutem & ſapientiam: & quòd quandocunque voluerit, opere quæ probantur complere poterit, omniáque ei cedent & obtemperabunt. Nam quia dominus eſt naturæ & opifex, potens etiam eſt dare ea quæ ſupra naturam ſunt. Ne igitur ad propriam imbecillitatem reſpicientes, curioſius quæ à Deo fiunt inquiramus, neque ad naturæ ordinem intendentes, mentem diuidamus: ſed ſicut grati famuli immenſam domini noſtri potentiam non ignorantes credamus eius promiſſionibus: vt humanis viribus ſuperiores facti promiſſa aſſequamur omnino: & eius fruamur beneuolentia, ac pro noſtro virili Deum quoque veneremur. Maximus enim hic eſt noſter honos, quem offerre poſſumus, vt virtuti ipſius fidamus, etiamſi pro oculis quæ ſunt contraria videamus. Et quid admiraris apud Deum honorem maximum eſſe non dubitare, cùm apud nos maximum honorem ſibi impenſum putent homines, quando aliquid vile & modicum promittunt, nóſque de promiſſis non dubitamus, ſed promit-

A Εἰσόμεθα δὲ μετ' ἀκριβείας, ἐὰν πάλιν τοὺς χρόνους τῆς ζωῆς τοῦ δικαίου καταμαθεῖν δυνηθῶμεν, καὶ ὅπως ὁ ἀγαθὸς θεὸς τὰ κατ' αὐτὸν ᾠκονόμει, καθ' ἕκαστον καιρὸν δοκιμὴν τοῦ ἰδίου θεράποντος λαμβάνων, καὶ τὸ θεοφιλὲς αὐτοῦ τῆς γνώμης ἐκκαλύπτων. αὐτὸς μὲν γὰρ προῄδει σαφῶς τοῦ ἰδίου οἰκέτου τὴν εὐγνωμοσύνην, καὶ τῆς ψυχῆς αὐτοῦ τὸ κάλλος ἠπίστατο, καὶ τὸν μαργαρίτην ἀκριβῶς ἐγίνωσκεν. ἀλλ' ἐπειδὴ ἐβούλετο καὶ πᾶσι τοῖς τότε παροῦσι κατάδηλον αὐτὸν ποιῆσαι, ἵνα καὶ εἰς τὰς μετὰ ταῦτα γενεὰς ἡ τοῦ δικαίου ἀρετὴ πρὸς ζῆλον καὶ μίμησιν ἐφέλκηται τοὺς βουλομένους,

B διὰ τοῦτο κατὰ μικρὸν ἐκκαλύπτει τὸν πλοῦτον τῆς τοῦ δικαίου γνώμης, ἵνα παιδευώμεθα καὶ ἡμεῖς μηδέποτε διαπιστεῖν ταῖς τοῦ θεοῦ ἐπαγγελίαις, μηδὲ δυσχεραίνειν πρὸς τὴν ἀναβολήν· ἀλλὰ μᾶλλον τῶν ὁρωμένων καὶ τῶν ἐν χερσὶ τοῖς μὴ βλεπομένοις θαρρεῖν, ἐπειδὰν ὁ πάντων δεσπότης ὑπόσχηται, καὶ εἰδέναι ὡς οὐχ οἷόν τέ ποτε διαπεσεῖν τὰ παρὰ τοῦ θεοῦ ἐπαγγελθέντα, ἀλλὰ κἂν χρόνου πολλοῦ παραδραμόντος ἐναντία ταῖς τοῦ θεοῦ ὑποσχέσεσι γένηται, μηδὲ οὕτω σαλεύεσθαι τὸν λογισμόν, ἀλλ' εἰδέναι τοῦ ἐπαγ-

C γελαμένου τὸ εὐμήχανον καὶ τὴν ἄμαχον δύναμιν, καὶ ὅτι ἐπειδὰν βουληθῇ εἰς ἔργον ἀγαγεῖν τὰ δεδογμένα, πάντα εἴκει καὶ παραχωρεῖ. ἐπειδὴ γὰρ κύριός ἐστι τῆς φύσεως καὶ δημιουργός, δυνατὸν αὐτῷ καὶ τὰ ὑπὲρ τὴν φύσιν δωρήσασθαι. μὴ τοίνυν πρὸς τὴν οἰκείαν ἀσθένειαν ἀφορῶντες πολυπραγμονῶμεν τὰ παρὰ τοῦ θεοῦ γινόμενα, μηδὲ πρὸς τὴν φυσικὴν ἀκολουθίαν ἀποβλέποντες σχίζωμεν τὸν λογισμόν, ἀλλὰ καθάπερ εὐγνώμονες οἰκέται εἰδότες τοῦ ἡμετέρου δεσπότου τὴν ὑπερβάλλουσαν δύναμιν, πιστεύωμεν

D αὐτοῦ ταῖς ὑποσχέσεσιν, καὶ ἀνώτεροι γινώμεθα τῆς φυσικῆς ἀσθενείας, ἵνα καὶ τῶν ἐπαγγελθέντων ἐπιτευξώμεθα, καὶ τῆς παρ' αὐτοῦ ἀπολαύσωμεν εὐνοίας, καὶ κατὰ δύναμιν ἡμετέραν τιμήσωμεν τὸν θεόν. μεγίστη γὰρ αὕτη τιμὴ παρ' ἡμῶν εἰς αὐτόν, τὸ θαρρεῖν αὐτοῦ τῇ δυνάμει, κἂν ἐναντία ᾖ τὰ τοῖς ὀφθαλμοῖς τῆς σαρκὸς ὁρώμενα. καὶ τί θαυμάζεις, εἰ ἐπὶ θεοῦ μεγίστη ἐστὶ τιμή, τὸ μὴ ἀμφιβάλλειν; καὶ ἐπὶ τῶν ὁμογενῶν, ἐπειδὰν ἡμῖν ὑπόσχωνταί τι τῶν ἐπικήρων τούτων καὶ φθαρτῶν πραγμάτων, ἂν μὴ ἀμφιβάλλωμεν, ἀλλὰ θαρρήσωμεν τοῖς ὑποσχομένοις,

πᾶς τις αὐτῶν μεγίστην ταύτην ἡγῆται τετιμῆσθαι A
τιμὴν, ὃ μὴ ἐνδοιάσαι δηλονότι ἡμᾶς, ἀλλὰ θαῤῥῆ-
σαι αὐτοῦ τῇ ὑποσχέσει. εἰ τοίνυν καὶ ἐπ' ἀνθρώπων
τοῦτό ἐστι τῶν καὶ μεταβαλλομένων πολλάκις, ἢ δι' ἀσθέ-
νειαν μὴ δυναμένων εἰς ἔργον ἀγαγεῖν τὰ δόξαντα,
πολλῷ μᾶλλον ἐπὶ τοῦ θεοῦ ὀφείλομεν αὐτοῦ θαῤῥεῖν
τῇ ἐπαγγελίᾳ, κἂν ἐν τῷ μέσῳ πολὺς διανύηται χρό-
νος. ταῦτα δέ μοι νῦν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα εἰ-
δέναι ἔχωμεν ὅταν ἔλθωμεν ἐπὶ τὴν ἀρχὴν τῶν σήμε-
ρον ἡμῖν προτεθέντων, ὅπως ὁ φιλάνθρωπος θεὸς
βουλόμενος ἅπασιν ἐπίσημον ποιῆσαι τὸν πατριάρ-
χην, ἐπὶ τοσούτων ἐτῶν ἀριθμὸν τὴν οἰκείαν ἐπιδεί-
κνυται μακροθυμίαν, καὶ ὁ δίκαιος οὐ δυσχεραίνει, οὐ B
ναρκᾷ πρὸς τὸ μῆκος, οὐκ ἀπαγορεύει, ἀλλὰ ταῖς χρη-
σταῖς ἐλπίσι τρεφόμενος τὴν φιλόθεον αὐτοῦ γνώμην
διὰ πάντων ἐπιδείκνυται. εἰσόμεθα δὲ ἀκριβῶς ἅπα-
σαν τοῦ πατριάρχου τὴν ἀρετήν, ἐὰν μάθωμεν πόσος
μεταξὺ διεγένετο χρόνος. πάντα γὰρ ἡμᾶς ταῦτα
σαφῶς διδάξει ὁ μακάριος Μωυσῆς ὑπὸ τοῦ πνεύ-
ματος τοῦ ἁγίου ἐνηχούμενος. τί οὖν οὗτός φησιν; ἡνί-
κα ὑπήκουσε τῷ προστάγματι τοῦ θεοῦ, καὶ ἀναστὰς ἀπὸ
τῆς Χαῤῥὰν ἐπὶ τὴν Χαναναίαν ὥρμησεν, ἐτῶν ἦν ἑβ-
δομηκονταπέντε· καὶ εὐθὺς καταλαβόντι τὴν Χανα-
ναίαν ὑπέσχετο αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ δώσειν C
πᾶσαν τὴν γῆν, καὶ εἰς τοσοῦτον πλῆθος ποιῆσαι ἐπιδώ-
σειν, ὡς ἀναρίθμητον εἶναι, καθάπερ τὴν ἄμμον καὶ τοὺς
ἀστέρας. καὶ μετὰ τὴν ἐπαγγελίαν ταύτην πολλὰ ἐν τῷ
μέσῳ συνέβη τῷ δικαίῳ, ἡ κάθοδος ἡ ἐν Αἰγύπτῳ
διὰ τὸν λιμόν, ἡ ἁρπαγὴ τῆς Σάῤῥας, καὶ εὐθὺς ἡ παρὰ
τοῦ θεοῦ πρόνοια. καὶ πάλιν μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον ἡ
παρὰ τοῦ βασιλέως τῶν Γεράρων περὶ τὴν Σάῤῥαν
ἐπήρεια, καὶ παραχρῆμα ἡ παρὰ τοῦ θεοῦ ἀντίληψις.
καὶ ταῦτα ἅπαντα ὁρῶν ὁ δίκαιος μετὰ τὴν ὑπόσχεσιν
ἐκείνην αὐτῷ συμβαίνοντα, οὐκ ἐσαλεύετο τὸν λογι-
σμόν, οὐδὲ περιειργάζετο, τίνος ἕνεκεν ὁ τοιαύτην ἐπαγ- D
γελίαν δεξάμενος τοσούτοις καὶ τοιούτοις πειρασμοῖς
καθ' ἑκάστην περιπίπτει, καὶ ἐν τοσούτῳ χρόνῳ ἐν ἀ-
παιδίᾳ διαμένει. ἀλλὰ φιλόθεος ὢν καὶ οὐκ ἀνεχόμε-
νος τῇ ἀσθενείᾳ τῶν οἰκείων λογισμῶν ὑποβάλλειν τὰ
παρὰ τοῦ θεοῦ γινόμενα, καὶ ἔστεργε, καὶ μεθ' ἡδονῆς ἐδέ-
χετο τὰ τῷ θεῷ δοκοῦντα, καὶ μετὰ δέκατον ἐνιαυτὸν
λαμβάνει τὸν Ἰσμαὴλ, τὸν ἀπὸ τῆς παιδίσκης, καὶ εἰς
τοῦτον ἐνόμιζεν αὐτῷ λοιπὸν τὰ τῆς ἐπαγγελίας πε-
πληρῶσθαι. ἦν γὰρ ὁ πατριάρχης, φησίν, ἡνίκα ἐτέχθη
ὁ Ἰσμαὴλ, ἐτῶν ὀγδοηκονταέξ. ἀλλὰ πάλιν ἑτέρων δε-
κατριῶν ἐτῶν ἀριθμὸν γυμνάσας ὁ φιλάνθρωπος θεὸς

tentibus bene fidimus? Quod ſi hoc
in hominibus, qui tam crebro fallere
ſolent, vel ob infirmitatem præſtare
nihil valent: quantò magis omnipo-
tentis Dei promiſſis credere debe-
mus, etiamſi interim multum tem-
poris interfluat? Hæc autem à me
nunc non abſque cauſa dicta ſunt,
ſed vt ſcire poſſimus, cùm venerimus
ad principium eorum quæ hodie no-
bis ſunt propoſita, quomodo beni-
gnus Deus volens apud omnes nobi-
lem reddere patriarcham, qui tot
annis ſuam longanimitatem ſerua-
uit: & iuſtus non ægrè fert, nec ſe-
gnior fit, nec deſperat: ſed bona ſpe
vegetatus, religioſum animum in
omnibus præ ſe fert. Sciemus autem
liquidò omnem patriarchæ virtu-
tem, ſi didicerimus, quantum tem-
pus interfuerit. Omnia enim beatus
Moſes Spiritu ſancto afflatus doce-
bit. Quid igitur ille dicit? Quando
obediuit mandato Dei, & migrans
à Charran, in Chananæam conten-
dit, annorum erat ſeptuagintaquin-
que. Et ſtatim vt venit in Chana-
næam, dominus promiſit ei & ſemi-
ni eius daturum ſe omnem terram:
& tanto numero multiplicaturum,
vt innumerabile fiat ſicut ſtellæ &
arena. Et poſt promiſſionem hanc
multa interim acciderint iuſto, nem-
pe deſcenſus in Ægyptum propter
famem, rapina Saræ, & ſtatim diuina
prouidentia. Iterum poſt reditum ab
Ægypto, aliæ in Saram moleſtiæ à
rege Gerarorum, & ſtatim à Deo
ſubſidium. Atque hæc omnia videns
iuſtus poſt promiſſionem quæ ei eue-
nerat, non turbabatur animo, neque
curioſius diſquirebat quare accepta
promiſſione tali, in tantas taléſque
tentationes quotidie incidat, & tan-
to tempore maneat abſque prole.
Noluit enim vtpote pius, humanis
rationibus ea quæ à Deo fiebant ſub-
mittere, & boni conſulebat, graté-
que ſuſcipiebat quæcunque Deo
fuerant viſa. Et poſt decimum an-
num ſuſcepit Iſmaëlem ex ancilla,
& in illo putat quod reliquum erat
promiſſionis adimplendum. Erat
enim patriarcha quando natus eſt ei
Iſmaël, annorum octoginta ſex: &
iterum tredecim annis exerce-
tur à benigno Deo in patientia,

donec eius promiſſio impleatur. A Nam quia viderat, quemadmodum aurum in conflatoria fornacula purgari, ita temporis acceſſione iuſti virtutem clariorem factam eſſe & illuſtriorem: *Quando factus eſt Abram annorum nonagintanouem,* inquit, *apparuit ei Deus iterum.* Et quarénam tanto tempore diſtulit? vt non ſolum iuſti patientiam & virtutem diſcamus, ſed & immenſam ipſius potentiam videamus. Cùm enim nihil ſpei & expectationis eſſet in natura, quæ ad procreandam prolem inutilis erat, & membra præ ſenectute languida & frigida eſſent, tunc tandem iuſti B virtutem detexit, & ſuam potentiam indicauit, promiſſionem implendo. Sed operæpreciũ eſt, vt iterum audiamus ea ipſa, quæ cum illo Deus locutus eſt verba. *Cùm factus enim eſſet,* inquit, *nonagintanouem annorum, apparuit ei Deus, & dixit ei.* Cùm autem audieris, apparuit, nihil humile ſuſpiceris, neque putes oculis carnalibus videri diuinam illam & incorruptibilem potentiam, ſed piè omnia intellige. Apparuit, inquit, ei Deus: hoc eſt, viſitatione ſua illum dignatus eſt, & dignum duxit eum cuius C curam ageret, vſus magna ſermonis attemperatione. *Dicit enim,* inquit, *ad eum: Ego ſum Deus tuus, place coram me, & eſto irreprehenſibilis, ² & ponam teſtamentum meum inter me & inter te, & multiplicabo te valde. Et procidit Abram ſuper faciem ſuam.* Magna iuſti probitas, excellens item clementiſſimi Dei in illum benignitas. Ego ſum, inquit, Deus tuus: quaſi diceret, Ego ſum qui vſque in præſens res tuas variis modis diſpenſo. Ego ſum, qui te è domo tua euocaui, & huc D duxi, qui omni tempore propugnator tuus ſum, & qui te inimicis præualere feci. Ego ſum: & non dixit ſimpliciter, ego ſum Deus: ſed, ego ſum Deus tuus. Vide miram bonitatem, quomodo hoc etiam additamento amorem ſuum erga iuſtum declarauit. Nam qui totius mundi eſt Deus, & vniuerſi opifex, creator cœli & terræ, dicit: Ego ſum Deus tuus. Ingens profecto honor, qui iuſto tribuitur. Sic & prophetis loqui mos eſt. Nam ſicut ipſe nunc, cum ſit dominus

Cap.17.

Cur tādiu diſtulerit Deus apparere Abrahæ.

A τοῦ δικαίου τὴν ὑπομονήν, τότε τὴν οἰκείαν ὑπόσχεσιν εἰς ἔργον ἄγει. ἐπειδὴ γὰρ εἶδε, καθάπερ ἐν χωνευτηρίῳ διὰ τοῦ μήκους τοῦ χρόνου τὸ χρυσίον ἐκκαθαρθέν, καὶ λαμπροτέραν καὶ φαιδροτέραν τοῦ δικαίου τὴν ἀρετὴν ἀναφανεῖσαν, ἡνίκα, φησίν, ἐγένετο Ἀβραὰμ ἐτῶν ἐννενηκονταεννέα, ὤφθη αὐτῷ πάλιν ὁ θεός. καὶ τίνος ἕνεκεν τοσοῦτον χρόνον ἐμακροθύμησεν; οὐχ ἵνα τοῦ δικαίου μόνον τὴν ὑπομονήν, καὶ τὴν πολλὴν ἀρετὴν καταμάθωμεν, ἀλλ' ἵνα καὶ τῆς αὐτοῦ δυνάμεως τὴν ὑπερβολὴν ἴδωμεν. ἡνίκα γὰρ ἀπηγόρευσεν ἡ φύσις, καὶ πρὸς τὴν παιδοποιΐαν λοιπὸν ἄχρηστος ἦν καταμαρανθέν- B των αὐτοῦ τῶν μελῶν καὶ κατεψυγμένων ὑπὸ τοῦ γήρως, τότε καὶ τοῦ δικαίου τὴν ἀρετὴν ἐκκαλύπτων, καὶ τὴν οἰκείαν δεικνὺς δύναμιν τὰ τῆς ἐπαγγελίας εἰς ἔργον ἄγει. ἀλλ' ἀναγκαῖον ἀκοῦσαι καὶ αὐτῶν τῶν παρὰ τοῦ θεοῦ πρὸς αὐτὸν ῥηθέντων. γενομένῳ, φησίν, αὐτῷ ἐτῶν ἐννενηκονταεννέα, ὤφθη αὐτῷ ὁ θεός, καὶ εἶπεν αὐτῷ. ὅταν δὲ ἀκούσῃς, ὤφθη, μηδὲν ταπεινὸν ὑπόπτευε, μηδὲ νομίσῃς ὀφθαλμοῖς σαρκὸς ὁρᾶσθαι τὴν θείαν ἐκείνην καὶ ἄφθαρτον δύναμιν, ἀλλ' εὐσεβῶς ἅπαντα νόει. ὤφθη οὖν αὐτῷ ὁ θεός, ἀντὶ τοῦ, τῆς παρ' αὐτοῦ δηλονότι ἐπι- C σκέψεως αὐτὸν ἠξίωσε, καὶ ἄξιον αὐτὸν ἡγησάμενος τῆς παρ' ἑαυτοῦ προνοίας, πολλῇ κεχρημένος τῇ συγκαταβάσει καὶ διαλέγεται καί φησιν, ἐγώ εἰμι ὁ θεός σου. εὐαρέστει ἐνώπιόν μου, καὶ γίνου ἄμεμπτος, καὶ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ, καὶ πληθυνῶ σε σφόδρα. καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ. πολλὴ τοῦ δικαίου ἡ εὐγνωμοσύνη, ὑπερβάλλουσα τοῦ ἀγαθοῦ θεοῦ ἡ περὶ αὐτὸν φιλανθρωπία. ἐγὼ γάρ εἰμι, φησίν, ὁ θεός σου· μονονουχὶ λέγων, ὁ μέχρι τοῦ παρόντος τὰ κατὰ σὲ διαφόρως οἰκονομήσας ἐγώ εἰμι, ὁ ἀναστήσας σε οἴκοθεν καὶ ἐνταῦθα ἀγαγὼν ἐγώ εἰ- D μι, ὁ καθ' ἕκαστον καιρὸν ὑπέρμαχός σοι γινόμενος, καὶ τῶν ἐπιβουλευόντων σε ἀνώτερον πεποιηκὼς ἐγώ εἰμι. καὶ οὐκ εἶπεν, ἐγώ εἰμι ὁ θεός, ἀλλ' ἐγώ εἰμι ὁ θεός σου. ὅρα τὴν πολλὴν ἀγαθότητα, πῶς καὶ διὰ τῆς προσθήκης ταύτης τὸ φίλτρον τὸ περὶ τὸν δίκαιον ἐπιδείκνυται. ὁ γὰρ τῆς οἰκουμένης ἁπάσης θεός, ὁ τῶν ὅλων δημιουργός, ὁ οὐρανοῦ καὶ γῆς ποιητής φησιν, ἐγώ εἰμι ὁ θεός σου. μέγας ὁ ὄγκος τῆς τιμῆς τῆς εἰς τὸν δίκαιον. οὕτω καὶ τοῖς προφήταις ἔθος λαλεῖν. ὥσπερ γὰρ αὐτὸς νῦν κοινὸς ὢν ἁπάντων δεσπότης ἀπὸ τοῦ

A δούλου καλεῖσθαι καταδέχεται, καὶ εὑρήσομεν αὐτὸν μετὰ ταῦτα λέγοντα, ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οὕτω καὶ οἱ προφῆται εἰώθασι λέγειν, ὁ θεὸς ὁ θεός μου, οὐ περικλείοντες αὐτοῦ εἰς ἑαυτοὺς τὴν δεσποτείαν, ἀλλὰ καὶ αὐτοὶ τὸν πόθον ἀκάθεκτον ἐνδεικνύμενοι. ἀλλὰ τὸ μὲν ἀνθρώποις τοῦτο ποιεῖν οὐδὲν θαυμαστόν· ὅταν δὲ αὐτὸς ἐπ᾽ ἀνθρώπων τοῦτο ποιῇ, τοῦτό ἐστι τὸ καινὸν καὶ παράδοξον. ἀλλὰ μὴ θαυμάζωμεν, ἀγαπητοί, ἀλλ᾽ ἀκούωμεν τοῦ προφήτου λέγοντος, κρεῖσσον εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μυρίοι παράνομοι·
B καὶ πάλιν τοῦ μακαρίου Παύλου λέγοντος, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. οὕτως ὁ μὲν προφήτης μυρίων παρανόμων τὸν ἕνα τὸν ποιοῦντα τὸ θέλημα κυρίου κρείττονα ἀπέφηνεν· ὁ δὲ μακάριος Παῦλος ὁ τῆς οἰκουμένης διδάσκαλος μνημονεύσας τῶν δικαίων ἁπάντων τῶν ἐν θλίψεσι, τῶν ἐν ξενοχωρίᾳ διαγόντων φησίν, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. πάντα τὸν κόσμον εἰπών, τούτοις τοῖς ἐλαυνομένοις, τοῖς θλιβομένοις ἀντέστησεν, ἵνα μάθῃς, ὅσον τῆς ἀρετῆς
C τὸ μέγεθος. διὰ τοῦτο καὶ ὁ τῶν ἁπάντων δημιουργός φησι πρὸς τὸν πατριάρχην, ἐγώ εἰμι ὁ θεός σου, εὐαρέστει ἐναντίον ἐμοῦ, καὶ γίνου ἄμεμπτος. οὐδὲ γὰρ παρόψομαι τῆς τοσαύτης σου ἀρετῆς τοὺς ἱδρῶτας, ἀλλὰ θήσομαι τὴν διαθήκην μου ἀναμέσον ἐμοῦ καὶ σοῦ, καὶ πληθυνῶ σε σφόδρα. οὐχ ἁπλῶς εἰς πλῆθος ἐπιδιδόναι παρασκευάσω, ἀλλὰ καὶ σφόδρα, τὴν πολλὴν ἐπίτασιν δηλῶν· καὶ ὅπερ ἀνωτέρω ἔλεγεν εἰπών, ὡς τὴν ἄμμον καὶ τοὺς ἀστέρας, τοῦτο ἐνταῦθα διὰ τοῦ σφόδρα ἐδήλωσεν. ἀλλ᾽ ὁ εὐγνώμων καὶ φιλόθεος οἰκέτης ὁρῶν τοῦ
D θεοῦ τὴν τοσαύτην συγκατάβασιν, καὶ τὴν περὶ τὸν αὐτοῦ θεράποντα κηδεμονίαν, καταπλαγεὶς καὶ εἰς ἔννοιαν ἐλθὼν τῆς τε οἰκείας φύσεως, τῆς τε τοῦ θεοῦ ἀγαθότητος, καὶ τῆς ἀπείρου δυνάμεως, ἔπεσε, φησίν, ἐπὶ πρόσωπον αὐτοῦ δεικνὺς διὰ τοῦ σχήματος τὴν οἰκείαν εὐγνωμοσύνην. οὐ μόνον γὰρ οὐκ ἀπενοήθη, οὐδὲ μέγα ἐφρόνησεν ἐπὶ τῇ εὐνοίᾳ τῇ εἰς αὐτὸν γεγενημένῃ, ἀλλὰ καὶ πολλῷ μᾶλλον συνεστάλη, καὶ ἔπεσε, φησίν, ἐπὶ πρόσωπον. τοιοῦτον γὰρ ἡ εὐγνώμων ψυχή, ἐπειδὰν πλείονος ἀπολαύσῃ τῆς παρρησίας, τότε μᾶλλον πολλὴν ἐπιδείκνυται τὴν περὶ τὸν θεὸν εὐλάβειαν· ἔπεσε γάρ, φησίν, ἐπὶ πρόσωπον αὐτοῦ.

communis omnium, à ſeruo vt peculiaris vocari voluit, & inueniemus eum poſt hæc dicentem, Ego ſum Deus Abraham, Deus Iſaac, Deus Iacob, ita & prophetę dicere conſueuerunt: Deus Deus meus: non cōcludentes eius dominiū, ſed amorē immenſum declarantes. Non igitur mirum ſi homines hoc faciant, ſed quod ipſe erga homines id faciat, id vero nouū eſt & mirabile. Cęterùm ne miremur dilecti, ſed audiamus prophetam dicentē: Melior eſt vnus faciens voluntatē domini, quàm decies mille peccatores. Et iterū audiamus Paulū dicentem: Obambulauerūt in melotis, in pellibus caprinis, egētes, anguſtiati, afflicti, quibus non erat dignus hic mundus. Sic propheta quidē pronunciat, vnum qui facit voluntatem domini, impiis decem milibus meliorē. Beatus verò Paulus doctor orbis, memorans bonos omnes in afflictionibus hic agentes, inquit: quibus non erat dign⁹ hic mundus. Ita cùm dixiſſet totū mundū, mundo oppoſuit eos qui hic vexantur & affliguntur, vt diſcas quanta ſit virtutis magnitudo. Atque ob hoc dominus Deus, inquit, ad patriarcham: Ego ſum Deus tuus, place coram me, & eſto irreprehenſibilis. Neque enim contemnam tuæ virtutis ſudores, ſed ponam teſtamētum meum inter me & inter te, & multiplicabo te valde. Non tantùm faciam te in multitudinem magnam creſcere, ſed valde manifeſtans augmentationem plurimam. Quod ſuprà dicebat, cùm diceret ſicut arenam & ſtellas: id hic per aduerbium, valde, ſignificauit. At gratus & religioſus famulus, videns tantam Dei condeſcenſionem, & erga famulum ſuum curam obſtupeſcēs, animóque verſans & naturā ſuam & bonitatem, immenſamque virtutem Dei, Cecidit, inquit, in faciem ſuam. Qua figura ſuam indicauit gratitudinem. Non ſolùm enim tunc non fuit factus arrogantior, neque ſuperbiebat propter fauorem Dei, quem experiebatur, ſed & multò magis humiliabatur. Et cecidit, inquit, in faciem. Ita enim gratæ animæ, quantò maiori fruuntur fiducia, tantò maiorem Deo reuerentiam exhibent. Cecidit enim, inquit, in faciem ſuam.

Exod. 3. Pſal. 62. Eccl. 16. 4. Heb. 11. 37. Ibid.

Et quia poſt tantam fiduciam iuſtus ſcipſum & naturæ ſuæ imbecillitatem conſiderans, neque oculos attollere auſus fuit, ſed in faciem pronus multam declarauit reuerentiam: vide iterum boni Dei ineffabilem benignitatem. *Locutus eſt enim*, inquit, *ei Deus dicens :* [4] *Ecce ego & teſtamentum meum tecum, & eris pater multitudinis gentium,* [5] *& non vocabitur vltrà nomen tuum Abram, ſed erit nomen tuum Abraham: quia patrem multarum gentium conſtitui te,* [6] *faciámque te creſcere valde: & ponam te in gentem, & reges ex te egredientur.* Conſidera dilecte, quomodo prædicit iuſto & nunc manifeſtè omnia, & vt maioribus eum argumentis certũ reddat, etiam literam addit nomini eius, & inquit: Eris pater multitudinis gentium. Nõ vocabitur enim nomen tuum Abrã, ſed Abraham: quia patrem multarũ gentium cõſtitui te. Nam ſicut prius nomen eius tranſitum indicabat: Abrã enim tranſitorẽ ſonat, iuxta Hebræorum linguam: & hoc ſciunt qui

Abram quid Hebraïcè.

linguæ illius ſunt periti: Itaque parẽtes eius nomen hoc indiderant, eò quòd à patria ſua in Chananæã tranſiturus erat. Iam fortaſſe dixerit quiſpiam: cùm parentes eius infideles fuerint, vnde illis ſcientia hæc, vt quod multo tempore poſtea futurum erat, nomine complecterentur?

Infideles etiã prophetant.

Sed eſt etiam hoc omnipotentis ſapientiæ Dei argumentum, quæ ſæpenumero per infideles eiuſmodi res diſpenſat: & multa ſimilia inuenimus etiam in aliis facta. Statim enim occurrit nobis & Noë vocabulum: neque enim abſque cauſa & in vanum etiam huic nomen indiderunt parentes, ſed præſignarunt ſubſecuturum diluuiũ. Enimuerò & patrem huius non ideo nomen puero indidiſſe, quòd ipſe iuſtus eſſet, audi ſcripturam dicentem: Noë ſolus inuentus eſt iuſtus perfectus in generatione ſua. Non autem obticuiſſet ſcriptura,

Gen. 6.9

neque dixiſſet, Noë ſolus iuſtus erat, ſi & Lamech pater eius virtutem iuſti fuiſſet imitatus. Impoſiturus itaque puero nomen, inquit: Et vocabitur nomen eius Noë, hic faciet nos quieſcere ab operibus noſtris, & à moleſtiis manuũ noſtrarum, & à terra, quam maledixit dominus Deus.

A καὶ ἐπειδὴ μετὰ τὴν τοσαύτην παῤῥησίαν εἰς ἑαυτὸν ὁρᾷ ὁ δίκαιος καὶ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, οὐδὲ ἀνανεῦσαι ἐτόλμα, ἀλλὰ κάτω κύπτων πολλὴν ἐπεδείκνυτο τὴν εὐλάβειαν, ὅρα πάλιν τοῦ ἀγαθοῦ θεοῦ τὴν ἄφατον φιλοτιμίαν. ἐλάλησε γὰρ αὐτῷ, φησὶν, ὁ θεὸς λέγων· ἰδοὺ ἐγὼ καὶ ἡ διαθήκη μου μετὰ σοῦ, καὶ ἔσῃ πατὴρ πλήθους ἐθνῶν, καὶ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἀβρὰμ, ἀλλὰ ἔσται τὸ ὄνομά σου Ἀβραάμ· ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε, καὶ αὐξανῶ σε καὶ θήσω σε εἰς ἔθνος, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται. σκόπησον, ἀγαπητὲ, πῶς προλέγει τῷ δικαίῳ καὶ νῦν ἅπαντα σαφῶς. καὶ B ἵνα πλείονα αὐτῷ τὴν πληροφορίαν ποιήσῃ, καὶ τοῦ στοιχείου τὴν προσθήκην τῇ προσηγορίᾳ αὐτοῦ ἐναποτίθεται, καί φησιν, ἔσῃ πατὴρ πλήθους ἐθνῶν. οὐ κληθήσεται γὰρ τὸ ὄνομά σου Ἀβρὰμ, ἀλλὰ Ἀβραάμ, ἐπειδὴ πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. ὥσπερ γὰρ τὸ πρότερον ὄνομα τὴν ἀπὸ τοῦ πέραν ἐνταῦθα ἐπάνοδον ἐσήμαινεν. Ἀβρὰμ γὰρ περάτης ἑρμηνεύεται κατὰ τὴν Ἑβραίων γλῶτταν· καὶ τοῦτο ἴσασιν, ὅσοι τῆς γλώττης ἐκείνης εἰσὶν ἔμπειροι· ἐπεὶ οὖν ἔμελλεν ἀπὸ τοῦ πέραν εἰς τὴν Χαναναίων ἔρχεσθαι, διὰ τοῦτο οἱ γονεῖς αὐ- C τῷ τὸ ὄνομα ἐπιτεθείκασιν. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ εἰ ἄπιστοι ἐτύγχανον οἱ τοῦτον γεγεννηκότες, πόθεν αὐτοῖς ἡ πρόγνωσις αὕτη, ὥστε τῇ προσηγορίᾳ ἐναποθέσθαι τὸ μέλλον μετὰ πολὺν ἔσεσθαι χρόνον; καὶ τοῦτο τῆς τοῦ θεοῦ εὐμηχάνου σοφίας, τὸ καὶ διὰ τῶν ἀπίστων πολλάκις τοιαῦτα οἰκονομεῖν. καὶ πολλὰ τοιαῦτα εὑρήσομεν καὶ ἐφ' ἑτέρων γεγενημένα. εὐθέως γὰρ ἐπεισέρχεται ἡμῖν καὶ ἡ τοῦ Νῶε προσηγορία. οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε καὶ τούτῳ τὴν προσηγορίαν ἐπέθηκαν οἱ γονεῖς, ἀλλὰ προμηνύοντες τὸν μετὰ πεντακόσια ἔτη μέλλοντα γενήσεσθαι κατακλυσμόν. ὅτι γὰρ καὶ ὁ τούτου πα- D τὴρ οὐ διὰ τὸ ἐνάρετος εἶναι, ταύτην τὴν προσηγορίαν ἐπέθηκε τῷ παιδὶ, ἄκουε τῆς γραφῆς σαφῶς λεγούσης· ὅτι Νῶε μόνος εὑρέθη δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ. οὐκ ἂν παρεσιώπησεν ἡ γραφὴ, οὐδὲ εἶπε Νῶε δίκαιος μόνος ὤν, εἰ καὶ Λάμεχ ὁ τούτου πατὴρ ζηλωτὴς ἦν τῆς τοῦ δικαίου ἀρετῆς. μέλλων τοίνυν τὴν προσηγορίαν ἐπιτιθέναι τῷ παιδὶ, φησὶ, καὶ κληθήσεται τὸ ὄνομα αὐτοῦ Νῶε. οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν, καὶ τῶν λυπηρῶν τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο κύριος ὁ θεός.

πόθεν,

πόθεν, εἰπέ μοι, ἐκείνῳ ἡ γνῶσις τῶν μελλόντων γίνεσθαι μετὰ τοσαύτας γενεάς; κληθήσεται γάρ, φησι, Νῶε. οὗτος γὰρ διαναπαύσει ἡμᾶς. τὸ Νῶε τῇ Ἑβραίων διαλέκτῳ ἀνάπαυσις λέγεται. ἐπεὶ οὖν οὗτος ἔμελλε τοῦ ναυαγίου ἐκείνου καταλαμβάνοντος τὴν οἰκουμένην μόνος διασώζεσθαι, καὶ τῇ μετὰ ταῦτα γενεᾷ ἀρχήν τινα παρέχειν τῆς συστάσεως, διὰ τοῦτό φησιν, οὗτος διαναπαύσει ἡμᾶς, ἀνάπαυσιν τὸν κατακλυσμὸν καλῶν. καθάπερ γὰρ κεκμηκυῖαν τὴν γῆν πᾶσαν ἐκ τῆς τῶν ἐνοικούντων πονηρίας, καὶ πολλὴν τὴν λύμην δεξαμένην ἐλθὼν ὁ κατακλυσμὸς διὰ τῆς τῶν ὑδάτων φορᾶς, καὶ στήσας τῶν μοχθηρῶν ἀνδρῶν ἐκείνων τὴν πονηρίαν, τήν τε γῆν ἐξεκάθηρεν ἀκάθαρτον γεγενημένην διὰ τὴν τῶν ἐνοικούντων μοχθηρίαν, κἀκείνους διὰ τῆς τιμωρίας ἀνέπαυσε. θάνατος γάρ, φησιν, ἀνδρὶ ἀνάπαυσις. εἶδες ὅπως καὶ διὰ ἀπίστων πολλάκις τὰ μέλλοντα προαναφωνεῖσθαι παρασκευάζει; τὸν αὐτὸν δὴ τρόπον καὶ τῷ πατριάρχῃ τὸ ὄνομα οἱ γονεῖς ἐπέθεσαν, ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων δηλοῦντες, ὅτι μετανάστης ἔσται, καὶ περάσας τὸν ποταμὸν ἐπὶ τὴν ἀλλοτρίαν ἥξει. ἐπεὶ τοίνυν, φησί, τὸ μὲν παρὰ τῶν γονέων ἐπιτεθὲν ὄνομα ἐκεῖνό σοι προεμήνυε τὸ ἐκ τῶν ἐκεῖσε ἐνταῦθα διαπεράσαι, δέχου καὶ τὴν τοῦ στοιχείου προσθήκην, ἵνα μάθῃς ὅτι τοῦτό σοι μηνύει, ὅτι πολλῶν ἐθνῶν ἔσῃ πατήρ. καὶ ὅρα τὴν ἀκρίβειαν τῶν ῥημάτων. οὐκ εἶπε, πάντων τῶν ἐθνῶν, ἀλλὰ πολλῶν ἐθνῶν. ἐπειδὴ γὰρ ἦν ἔθνη καὶ ἕτερα, ἅπερ ἔμελλεν ἐκεῖθεν ἐξωθεῖσθαι, ἵνα τοῦ δικαίου τὸ σπέρμα δέξηται τὴν κληρονομίαν, διὰ τοῦτό φησι, πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. εἰδὼς σοῦ τῆς ἀρετῆς τὸ μέγεθος, πολλῶν ἐθνῶν διδάσκαλόν σε ἀπεργάσομαι, καὶ αὐξανῶ σε καὶ πληθυνῶ σε σφόδρα σφόδρα, καὶ θήσω σε εἰς ἔθνη, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται. μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, τὰ εἰρημένα. ἂν γὰρ ἐννοήσωμεν τοῦ πατριάρχου τὴν ἡλικίαν, καὶ ὅτι ἐν ἐσχάτῳ γήρᾳ ταῦτα ἤκουσεν, ἐκπλαγησόμεθα τήν τε τοῦ δικαίου πίστιν, καὶ τοῦ φιλανθρώπου θεοῦ τὴν ὑπερβάλλουσαν δύναμιν, ὅτι ἐξ ἀνθρώπου λοιπὸν νενεκρωμένου, ὡς εἰπεῖν, καὶ τὰ μέλη διαλελυμένου, καὶ καθ' ἑκάστην ἡμέραν τὴν τελευτὴν φανταζομένου, ἐπὶ τοσοῦτον αὐξάνεσθαι τὸ σπέρμα ἐσήμανεν, ὡς καὶ εἰς ἔθνη πολλὰ γενήσεσθαι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ βασιλεῖς, φησιν, ἐκ σοῦ ἐξελεύσονται. εἶδες ἐπίτασιν ἐπαγγελίας; αὐξανῶ σε, φησι, σφόδρα, σφόδρα.

A Vnde illi quæſo eſſet præſcientia eorum, quæ poſt tot ſecula erant euentura? dicit enim: Vocabitur enim, inquit, Noë, hic enim nos quieſcere faciet. Nomen autem Noë, lingua Hebræorum quies dicitur. Itaque quia ingruente diluuio hic ſolus mundum ſeruaturus, & poſterioris ſeculi futurus author erat: idcirco, inquit, hic faciet nos requieſcere: requiem diluuium vocans. Nam omnem terram quaſi fatigatam, & valde deteriorem factam inhabitantium malitia, ſuperueniens diluuij aquarum inundantia, B quæ finem malitię malorum iſtorum hominum faciebat, & terram repurgauit, quam fecerat immundam inhabitantium malitia: & illos puniendo quieſcere fecit. Mors enim, vt inquit ille, requies viro. Vidiſti quomodo & per incredulos multa ſæpe præſignari facit? Eodem modo & patriarchæ nomen parentes indiderant, ſtatim ab initio declarantes quòd peregrinus erat futurus, & trãſiturus flumen, in terram alienam veniret. Quoniam igitur, inquit, C nomen à parentibus tibi inditum illud præſignauit: accipe & vnius elementi additionem, vt ſcias quòd hoc tibi declarat te multarum gentium fore patrem. Et vide quàm accuratè ſit locutus. Non dixit omnium gentiũ, ſed multarum gentium: nã quia erant & aliæ gentes inde expellendæ, vt ſemen iuſti hæreditatem acciperet, ideo dicit, Patrem multarum gentium conſtitui te. Sciens, inquit, tuæ virtutis magnitudinem multarum gentium doctorem te faciam, & creſcere te faciam ac multiplicari valde, valde: & ponam te in D gentes, & reges ex te egredietur. Ne perfunctoriè tranſeamus quæ dicuntur dilectiſſimi: nam ſi cogitauerimus patriarchæ ætatem, & quòd hæc in extrema ſenecta audiit, ſtupeſcemus iuſti virtutem, & benigni Dei eximiã potentiã: quia ex homine propemodum mortuo, & membris inualido, qui & quotidie mortem præ oculis imaginabatur, in tantum auctũ iri ſignificauit ſemẽ, vt & in multas gẽtes fiat, & ex eo gentes egrediantur. Vidiſti quomodo creſcãt promiſſiones? Faciã te creſcere, inquit, valde, valde.

Noë quietẽ ſonat.

Iob. 3. 23 apud LXX.

Duplicationem huius aduerbij non fruſtra adiecit, ſed vt ſignificet iuſto miram multitudinem dandam. Quoniam igitur per elementi additionem, quaſi in columna quadam indelebilē promiſſionem ei inſcripſit, iterum dicit:[7] *Et ſtatuam teſtamentum meum inter te, & inter ſemen tuum poſt te in generationes eorum, in teſtamentum ſempiternum, vt ſim Deus tuus.* Non ſolùm erga te hanc meam declarabo prouidentiam & curam, ſed & erga ſemen tuum, & poſt tuam mortem. Vide quomodo refocillat animam iuſti, promittens ei quòd & ſeminis eius multam curam ſit habiturus. Et quæ virtus teſtamenti? vt ſim Deus tuus, inquit, & ſeminis tui poſt te. Hoc enim erit tibi & ſemini tuo ſumma & caput bonorum.[8] *Et dabo tibi & ſemini tuo poſt te terram, in qua peregrinus es, omnem terram Chanaan in poſſeſſionem ſempiternam, & ero eorum Deus.* Propter tuam, inquit, virtutem & poſteri tui erunt mihi commendatiores, & dabo eis in poſſeſſionem æternam terram Chanaan, & ero eorum Deus. Quid eſt, Et ero eorum Deus? hoc eſt, multam me eorum curam habere oſtendam, & meum ſubſidium illis præſtabo. Et dixit Deus ad Abraham: Tantùm tu teſtamentum meum obſerua, tu & ſemen tuum poſt te in generationibus eorum. Nihil aliud à vobis requiro, quàm obedientiam & gratitudinem, & ego omnia quæcunque pollicitus ſum, opere complebo. Inſuper volebat eos qui ex ipſo naſcituri erant, facere ſuum peculiarem populum: & vt poſtea, cùm multitudo propagaretur, non ſe gētibus illis, quarum hæreditatē occupaturā erat, cōmiſceret. Et aliter: Quia iuxta prædictionē ſuam in Ægypto ſeruituri erant. Vt igitur ne gentibus ſe commiſcerent in Ægypto, circumciſionem, ſigni gratia, iuſto præcipit & inquit:[18] *Hoc eſt teſtamentum quod ſeruabis inter me & vos, & inter ſemen tuū poſt te in generationibus illorum. Circumcidetur in vobis omne maſculinum. Circūcidetis carnem præputij veſtri.* Deinde vt doceat & illos & omnes nos, quare hoc iniunxit, & quòd nō alterius cuiuſpiam gratia, quàm vt eſſet aſſignatus & ſibi ſegregatus populus, inquit,

Hoc loco poti' fœdus aut pactū ſignificat, vt alibi ſæpe, quā teſtamē tum & vltimā moriētium volūtatē.

A οὐχ ἁπλῶς τὸν διπλασιασμὸν ἐπέθηκεν, ἀλλ' ἵνα σημαίνῃ τῷ δικαίῳ τοῦ πλήθους τὴν ὑπερβολήν. ἐπειδὴ γὰρ διὰ τῆς τοῦ στοιχείου προσθήκης καθάπερ ἐν στήλῃ τινὶ ἀνεξάλειπτον αὐτῷ τῆς ὑποσχέσεως τὴν ἐπαγγελίαν ἐπέγραψε, πάλιν φησί, καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον εἶναί σου θεός. οὐ μόνον περὶ σέ, φησι, πολλὴν ἐπιδείξομαι τὴν κηδεμονίαν, ἀλλὰ καὶ εἰς τὸ σπέρμα τὸ σὸν καὶ μετὰ τὴν σὴν ἔξοδον. ὅρα πῶς ἀνακτᾶται τοῦ δικαίου τὴν ψυχὴν ὑπισχνούμενος αὐτῷ, ὅτι καὶ τῷ σπέρματι αὐτοῦ πολλὴν παρέξει B τὴν πρόνοιαν. καὶ τίς ἡ δύναμις τῆς διαθήκης; ὥστε εἶναί σου θεός, φησι, καὶ τοῦ σπέρματός σου μετὰ σέ. τοῦτο γὰρ στι ἔσται τὸ κεφάλαιον τῶν ἀγαθῶν, σοί τε καὶ τῷ σπέρματί σου. καὶ δώσω σοι καὶ τῷ σπέρματί σου μετὰ σὲ τὴν γῆν, ἣν παροικεῖς, πᾶσαν τὴν γῆν Χαναάν, εἰς κατάσχεσιν αἰώνιον· καὶ θεὸς ἔσομαι αὐτῶν. διὰ τὴν σὴν ἀρετὴν καὶ οἱ ἔκγονοι οἱ σοὶ ἀπολαύσουσι τῆς ἐμῆς προνοίας, καὶ δώσω αὐτοῖς εἰς κατάσχεσιν αἰώνιον τὴν γῆν Χαναάν, καὶ ἔσομαι αὐτῶν θεός. τί ἐστι, καὶ ἔσομαι αὐτῶν θεός; ἀντὶ τοῦ, πολλὴν ἐπιδείξομαι τὴν κηδεμονίαν, πολλὴν τὴν πρόνοιαν, ἐν C ἅπασιν αὐτοῖς τὴν παρ' ἐμοῦ συμμαχίαν παρέξομαι· μόνον σὺ τὴν διαθήκην μου διατήρησον, σὺ καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. οὐδὲν ἕτερον παρ' ὑμῶν ἐπιζητῶ, ἢ τὴν ὑπακοὴν καὶ τὴν εὐγνωμοσύνην, κἀγὼ πάντα ἅπερ ὑπεσχόμην εἰς ἔργον ἄξω. εἶτα λοιπὸν βουλόμενος ἰδιοποιήσασθαι τοὺς ἐξ αὐτοῦ τικτομένους, καὶ οἰκεῖον ἑαυτοῦ τὸν λαὸν ἀπεργάσασθαι, καὶ ἵνα λοιπὸν τὸ πλῆθος ἐκτεινόμενον μὴ συναναμιγνύηται τοῖς ἔθνεσιν ἐκείνοις, ὧν τὴν γῆν ἔμελλον κληρονομεῖν, ἄλλως δὲ καὶ ἐπειδὴ μετὰ ταῦτα ἔμελλον D κατὰ τὴν αὐτοῦ πρόρρησιν ὑπομένειν τὴν ἐν Αἰγύπτῳ δουλείαν, ἵνα μὴ καὶ ἐν αὐτῇ γενόμενοι συναναφυρῶσι τοῖς ἔθνεσι τοῖς ἐν Αἰγύπτῳ, σημείου χάριν τὴν περιτομὴν τῷ δικαίῳ διατάττεται, καὶ φησίν· αὕτη ἡ διαθήκη, ἣν διατηρήσεις ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν· περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν. εἶτα ἵνα διδάξῃ κἀκείνους καὶ πάντας ἡμᾶς, τίνος ἕνεκεν τοῦτο ἐπέταξε, καὶ ὅτι οὐδενὸς ἑτέρου χάριν τοῦτο βούλεται γίνεσθαι, ἀλλ' ἢ ὥστε ἐπίσημον λοιπὸν εἶναι τὸν λαὸν τὸν αὐτῷ ἀνακείμενον, φησί·

A καὶ ἔσται ἐν σημείῳ διαθήκης ἀναμέσον ἐμοῦ καὶ ὑμῶν. εἶτα λοιπὸν καὶ τὸν καιρὸν διατάττεται, καθ' ὃν προσήκει τοῦτο γίνεσθαι. παιδίον γάρ, φησιν, ὀκτὼ ἡμερῶν περιτμηθήσεται ὑμῖν, καὶ ὁ οἰκογενὴς καὶ ὁ ἀργυρώνητος, καὶ πάντες ἁπαξαπλῶς ὡς εἰπεῖν οἱ συνόντες ὑμῖν τὸ σημεῖον τοῦτο δέξονται. καὶ ὅστις οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ διατεταγμένῃ, ἐξολοθρευθήσεται, ὅτι τὴν διαθήκην μου διεσκέδασεν. ὅτι παρέβη, φησί, τὸ πρόσταγμα. ὅρα σοφίαν δεσπότου· πῶς εἰδὼς τὸ μελλόντων ἔσεσθαι τὸ ἀτελὲς τῆς γνώμης, καθάπερ χαλινόν τινα ἐπιτιθεὶς οὕτω τὸ σημεῖον τοῦτο τῆς περιτομῆς ἔδωκε, τὴν ὁρμὴν αὐτῶν τὴν ἀκάθεκτον ἐκκόπτων, ὥστε μὴ τοῖς ἔθνεσι συναναμί- B γνυσθαι. ᾔδει γὰρ ἤδη αὐτῶν τὸ λάγνον, καὶ ὅτι οὐκ ἀνέξονται, κἂν ὦσι μυριάκις ἐνηχούμενοι, ἀποσχέσθαι τῆς ἀλόγου ὁρμῆς, διὰ τοῦτο διηνεκῆ ὑπόμνησιν αὐτοῖς διδοὺς καθάπερ δεσμῷ τινι περιέβαλε τῷ σημείῳ τῆς περιτομῆς, ὅρους αὐτοῖς καὶ κανόνας διδοὺς μὴ περαιτέρω προβαίνειν, ἀλλὰ μέχρι τοῦ οἰκείου ἔθνους ἵστασθαι, καὶ μηδεμίαν ἐπιμιξίαν ποιεῖσθαι πρὸς τούτους, ἀλλὰ τοῦ πατριάρχου τὸ σπέρμα διασώζειν ἀμιγές, ἵν' οὕτω καὶ τὰ τῆς ἐπαγγελίας εἰς αὐτοὺς ἐκβῆναι δυνηθῇ. καὶ καθάπερ τις ἀνὴρ σώφρων καὶ ἐπιεικὴς παι- C δίσκην ἔχων ἀκόλαστον ὅρους αὐτῇ καὶ κανόνας τίθησι, μηδέποτε ἔξω φαίνεσθαι τῶν προθύρων τῆς οἰκίας, μηδὲ τοῖς παριοῦσι φαίνεσθαι, ἀλλὰ πολλάκις καὶ τοῖς ποσὶ δεσμὰ περιτίθησιν, ἵν' οὕτω περιγενέσθαι δυνηθῇ τῆς πολλῆς ἀκολασίας· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ φιλάνθρωπος δεσπότης, καθάπερ δεσμὰ ποσίν, οὕτω τὸ σημεῖον τῆς περιτομῆς τῇ σαρκὶ ἐνεπέθετο, ἵνα οἴκοθεν ἔχοντες ὑπόμνησιν, μηκέτι μηδὲ τῆς παρ' ἑτέρων δέωνται διδασκαλίας.

Ἠθικόν. ἀλλ' οἱ ἀγνώμονες καὶ ἀναίσθητοι Ἰουδαῖοι καὶ παρὰ καιρὸν νῦν τὴν περιτομὴν φυλάσσειν βούλονται, καὶ παιδικὴν ἐπιδείκνυνται γνώμην. D τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, νῦν περιτέμνεσθαι βούλονται; τότε μὲν γάρ, ἵνα μὴ τοῖς παρανόμοις ἐκείνοις ἔθνεσι συναναφύρωσι, τοῦτο ἐπετάγησαν· νυνὶ δὲ διὰ τὴν τοῦ θεοῦ χάριν πάντων πρὸς τὴν ἀλήθειαν τοῦ φωτὸς χειραγωγηθέντων, ποῖον τῆς περιτομῆς ὄφελος; μὴ γὰρ πρὸς τὴν τῆς ψυχῆς ἐλευθερίαν τι συμβάλλεσθαι ἡ τῆς σαρκὸς ἀπόθεσις; οὐκ ἤκουσαν σαφῶς τοῦ θεοῦ λέγοντος, καὶ ἔσται ἐν σημείῳ διαθήκης, μονονουχὶ δεικνύντος, ὅτι διὰ τὴν πολλὴν αὐτῶν ἀγνωμοσύνην τοῦ σημείου ἐδεήθησαν;

Et erit in ſignum teſtamenti inter me & vos. Et poſtea etiam de tempore imperat, quo conueniat hoc fieri.[12] *Puellus enim*, inquit, *octo dierũ circumcidetur vobis, & vernaculus, & emptitius: & omnes in ſumma, vt ita dicam, qui apud vos ſunt, hoc ſignum ſuſcipient.* [14] *Et quiſquis non circũcidetur in die conſtituto, perdetur: quia teſtamentum meum diſsipauit*, quia tranſgreſſus eſt (inquit) præceptum. Vide ſapientiam Domini, quomodo cùm ſciret imperfectas & prauas eorum mentes futuras, ſignum circumciſionis quaſi frænum quoddam impoſuit, ad indomitos eorum impetus cohibendos, vt ne gentibus commiſcerentur. Nam quia ſciebat eorum laſciuiã, & quòd licet infinities moniti, vt ſe ab illicito continerent obedituri non eſſent: ideo dato eis perpetuo memoriali, iniecit eis circumciſionis ſignũ, quaſi vinculum quoddam: dedítque eis leges & regulas, vltra quas tranſire eis non liceat, vt in nullo cum gentibus ſe commiſcerent: ſed ſua gente contenti eſſent, vt patriarchæ ſemen impermixtum maneret, vt ſic & promiſſa in eis compleri poſſent. Et quémadmodum vir aliquis temperans & lenis, ancillam habens petulantem, terminos & regulas illi dat, ne vnquã extra veſtibula prodeat, neque cum prætereuntibus conueniat, & nonnunquam pedibus compedes addit, vt ſic illius intemperantiam coërcere valeat: ita & benignus dominus circumciſionis ſignum carni eorum indidit, quaſi pedibus vinculum quoddam: vt domeſticum habentes ſignũ, non vltra doctrina aliorum opus habeant. Atqui ingrati, inſenſatíque Moralis exhortatio. Iudæi etiam hoc tempore circumciſionem ſeruare volunt, puerilémque declarant mentem. Cuius enim rei gratia, dic mihi, circumcidi volunt? Nam tunc quidem, vt ne impiis illis gentibus ſe commiſcerent, hoc in mandatis acceperunt: nunc autẽ per Dei gratiam omnibus ad lucem veritatis adductis, quæ circumciſionis vtilitas? Nunquid ad animæ libertatẽ aliquid cõfert carnis depoſitio? Non audierunt manifeſtè Deũ dicentem: Et erit in ſignum teſtamenti: quaſi demonſtrantem quòd ob multam inſipientiam tali ſigno indiguerint?

Ita enim & in humanis rebus nonnunquam fieri ſolet. Quando non habemus aliquibus fidem, curamus vt ab ipſis ſignum pignoris loco recipiamus. Similiter & omnium dominus, ſciens ipſorum animi inconſtantiam, hoc ab eis ſignum petere voluit: non vt ſemper maneat ſignum hoc, ſed vt poſtquam ſignata finem acceperint, & ſigni vſus auferatur. Nam ſicut qui ſignum repetunt, & pignus accipere volunt, cùm negocium perfectum fuerit, tunc & ſignum tollunt: ita etiam hic cùm ſignaretur populus patriarchę, ſignum hoc apud vos introduci oportebat, quoad gentes illæ, propter quas ſignum accepiſtis, eſſe ceſſarent: at nunc cùm illæ ad veritatis lucem accelerent, veſtrum eſt non iam propriæ ingratitudinis indicium circumferre: ſed liberos eſſe, & ad priſtinam generoſitatem redire. Conſidera enim quòd eximius ille patriarcha, priuſquam acciperet circumciſionis mandatum (nonaginta enim & nouem annorum erat, quando hoc ei præceptum eſt) & acceptus fuerit Deo, & multis modis à Domino prædicatus ſit. Et quia propediem promiſſiones erant implendæ, naſciturúſque Iſaac, & augendum genus, & patriarchæ emigrandum ex hac vita: nunc demum accipit mandatum circumciſionis, & in tali ætate circumciditur, vt poſteris omnibus lex quædam & regula fierent ea quæ patriarcha prior fecerat. Et vt euidenter diſcatis dilecti quòd hoc nihil ad animæ virtutem conducat, ex his quæ fiunt videri poteſt. Cur enim, inquit, octo dierum infans circumciditur? Tempus autem definitum à benigno Deo duabus de cauſis opinor. Vna, vt in ætate immatura facilius circumciſionis in carne moleſtiam ferre queat: alia, vt rebus ipſis diſceremus, quòd id animæ nihil conducat, ſed hoc fiat ſigni gratia. Puer enim immaturus, cùm ea quæ fiunt ignorat, neque ſenſum eorum habet, quam inde in anima ſua vtilitatem accipere poterit? Illa enim ſunt verè bona opera animæ, quæ ex electione fiunt. Animæ enim bonum opus eſt virtutem eligere, & malitiam fugere.

Circumciſio cur data Iudæis.

A οὕτω γὰρ καὶ ἐπὶ τῶν ἀνθρωπίνων πολλάκις γίνεται πραγμάτων. ἐπειδὰν μὴ θαῤῥῶμέν τισι, σημεῖον ἐνεχύρου χάριν λαμβάνειν παρ' αὐτῶν σπουδάζομεν, οὕτω καὶ ὁ τῶν ὅλων θεὸς, εἰδὼς αὐτῶν τῆς γνώμης τὴν εὐκολίαν, τὸ σημεῖον τοῦτο παρ' αὐτῶν ἀπαιτῆσαι κατεδέξατο, οὐχ ἵνα διηνεκῶς μένῃ τὸ σημεῖον τοῦτο, ἀλλ' ἵνα τῶν τότε τέλος λαμβανόντων καὶ ἡ τοῦ σημείου χρεία περιαιρεθῇ. ὥσπερ γὰρ ὅταν σημεῖόν τινες ἀπαιτῶσι, καὶ ἐνέχυρον βούλωνται λαμβάνειν, ἐπειδὰν τοῦ πράγματος ἡ ὑπόθεσις τέλος λάβῃ, καὶ τὸ σημεῖον λοιπὸν αἴρεται, οὕτω δὴ καὶ ἐνταῦθα. ἐπειδὴ ἔμελλε τὸ καταφανῆ γίνεσθαι τὸν λαὸν B τοῦ πατριάρχου, τὸ σημεῖον τοῦτο παρ' ὑμῶν εἰσηνέχθη, ἐχρῆν, τῶν ἐθνῶν ἐκείνων, δι' οὓς τὸ σημεῖον ἐδέξασθε, τῶν μὲν ἄρδην ἀφανισθέντων, τῶν δὲ μετ' ἐκείνους τῷ τῆς ἀληθείας φωτὶ προσδραμόντων, μηκέτι τὸν ἔλεγχον τῆς οἰκείας ἀγνωμοσύνης περιφέρειν, ἀλλ' ἀπαλλάττεσθαι καὶ εἰς τὴν προτέραν εὐγένειαν ἀνατρέχειν. ἐννόησον γάρ μοι, ὅτι ὁ θαυμάσιος ἐκεῖνος, ὁ πατριάρχης λέγω, πρὶν ἢ τὴν περιτομῆς δέξασθαι τὴν ἐντολὴν (ἐνενήκοντα γὰρ καὶ ἐννέα ἐτῶν ἦν, ἡνίκα τοῦτο ἐπετάττετο) καὶ εὐάρεστος τῷ θεῷ γέγονε, καὶ μυριάκις ἀνεκηρύχθη C παρὰ τοῦ δεσπότου. καὶ ἐπειδὴ λοιπὸν εἰς ἔργον ἔμελλεν ἐκβαίνειν τὰ τῆς ἐπαγγελίας, καὶ τίκτεσθαι ἔμελλεν ὁ Ἰσαὰκ, καὶ αὔξεσθαι τὸ γένος, καὶ ὁ πατριάρχης δὲ μεθίστασθαι τῆς ζωῆς, τότε δέχεται τὴν ἐντολὴν τῆς περιτομῆς, καὶ ἐν ἡλικίᾳ τοιαύτῃ περιτέμνεται, ἵνα τοῖς ἑξῆς ἅπασι νόμος τις καὶ κανὼν γένηται τὰ παρὰ τοῦ πατριάρχου γεγενημένα. καὶ ἵνα μάθητε ἀκριβῶς, ἀγαπητοὶ, ὅτι οὐδὲν τοῦτο πρὸς τὴν τῆς ψυχῆς ἀρετὴν λυσιτελεῖ, ἐξ αὐτῶν τῶν γινομένων συνιδεῖν δυνατόν. τί γάρ φησιν; ὀκτὼ ἡμερῶν παιδίον περιτμηθήσεται. τὸν δὲ χρόνον οἶμαι D τοῦτον ὡρίσθαι παρὰ τοῦ φιλανθρώπου θεοῦ, δύο τούτων ἕνεκεν· ἑνὸς μὲν, ἵνα ἐν τῇ ἀώρῳ ἡλικίᾳ κουφότερον ἐνεγκεῖν τὸν πόνον δυνηθῇ τῆς περιτομῆς τῆς σαρκός· δευτέρου δὲ, ἵνα δι' αὐτῶν τῶν ἔργων παιδευθῶσιν, ὡς οὐκ εἰς ψυχήν τι συντελεῖ τὸ γινόμενον, ἀλλὰ σημείου χάριν τοῦτο γίνεται. τὸ γὰρ ἄωρον παιδίον, τὸ μὴ γινῶσκον τὰ γινόμενα, μηδὲ αἴσθησίν τινα ἔχον, ποίαν ὠφέλειαν εἰς τὴν ψυχὴν ἐκ τούτου δέξασθαι δυνήσεται; ἐκεῖνα γάρ ἐστι τῆς ψυχῆς ἰδικῶς κατορθώματα, τὰ ἐκ προαιρέσεως γινόμενα. ψυχῆς γάρ ἐστι κατόρθωμα, τὸ ἀρετὴν ἑλέσθαι, καὶ κακίαν φυγεῖν.

ψυχῆς κατόρθωμα, τὸ μὴ τῶν πλειόνων μόνον μὴ ἐφίεσθαι, ἀλλὰ καὶ τὰ ὄντα προΐεσθαι τοῖς δεομένοις· ψυχῆς κατόρθωμα, τὸ μὴ τοῖς παροῦσι προστετηκέναι, ἀλλὰ τούτων μὲν ὑπερορᾶν, τὰ δὲ μέλλοντα καθ᾽ ἑκάστην ἡμέραν φαντάζεσθαι. τὸ δὲ σημεῖον ἐπὶ τῆς σαρκὸς δέξασθαι, ποῖον ἂν εἴη κατόρθωμα; ἀλλ᾽ οἱ ἀγνώμονες καὶ ἀναίσθητοι Ἰουδαῖοι τῆς ἀληθείας φανείσης ἔτι τῇ σκιᾷ παρακαθήμενοι, καὶ τοῦ ἡλίου τῆς δικαιοσύνης λάμψαντος, καὶ τὰς ἀκτῖνας τοῦ φωτὸς πανταχοῦ ἀφιέντος, ἔτι τῷ λυχνιαίῳ φωτὶ προσηλωμένοι, καὶ μετὰ τὸν καιρὸν τῆς στερεᾶς τροφῆς ἔτι τῷ γάλακτι τρεφόμενοι, οὐδὲ τοῦ μακαρίου Παύλου ἀκούειν ἀνέχονται βοῶντος καὶ λέγοντος περὶ τοῦ πατριάρχου· καὶ σημεῖον ἔλαβε περιτομῆς, σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν ἀκροβυστίᾳ. ὅρα πῶς ἀμφότερα ἡμᾶς ἐνταῦθα ἐδίδαξε, καὶ ὅτι σημείου χάριν τὴν περιτομὴν ἐδέξατο, καὶ ὅτι ἡνίκα ἀκρόβυστος ἦν, τὴν δικαιοσύνην τὴν ἐκ τῆς πίστεως ἐπεδείξατο. ἵνα γὰρ μὴ ἀναισχυντῇ ὁ Ἰουδαῖος καὶ λέγῃ, ὅτι οὐχὶ ἡ περιτομὴ τὴν δικαιοσύνην αὐτῷ προεξένησε; διὰ τοῦτο ὁ μακάριος οὗτος ὁ παρὰ τοὺς πόδας Γαμαλιὴλ μαθητευθεὶς, ὁ κατὰ ἀκρίβειαν τὸν νόμον παιδευθεὶς, φησι, μὴ νομίσητε, ὦ ἀναίσχυντοι Ἰουδαῖοι, ὅτι ἡ περιτομή τι εἰς δικαιοσύνην αὐτῷ συνετέλεσε. καὶ γὰρ ἐν τῷ καιρῷ τῆς ἀκροβυστίας τὴν πίστιν ἐπιδειξάμενος ἤκουσεν, ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. γενόμενος οὖν ἐν τῇ δικαιοσύνῃ διὰ τὴν εἰς τὸν θεὸν πίστιν, τότε δέχεται σημείου χάριν τὴν περιτομὴν, καὶ πρότερον καὶ τῷ ὀνόματι αὐτοῦ τὸ στοιχεῖον ἐπιτίθησι, καὶ μετὰ ταῦτα τὴν περιτομὴν ἐπιτάττει, ἵνα δείξῃ ὅτι διὰ τὴν πολλὴν ἀρετὴν λοιπὸν τὸν δίκαιον ᾠκειώσατο, καὶ δι᾽ ἐκεῖνον καὶ τοὺς ἐξ αὐτοῦ ἐσομένους. καὶ καθάπερ τις οἰκέτην κτησάμενος πολλάκις καὶ τὸ ὄνομα αὐτοῦ μετατίθησι, καὶ τὸ σχῆμα, καὶ πάντα ποιεῖ ὥστε κατάδηλον αὐτὸν ποιῆσαι, ἵνα διὰ πάντων κηρύττῃ τὴν δεσποτείαν· οὕτω δὴ καὶ ὁ τῶν ὅλων θεὸς, ὥσπερ αὐτὸν χωρίσαι λοιπὸν τῶν ἄλλων ἀνθρώπων βουλόμενος, διὰ μὲν τῆς προσθήκης τοῦ στοιχείου, ὅτι πολλῶν ἐθνῶν πατὴρ ἔσται, ἐμήνυσε· διὰ δὲ τῆς περιτομῆς, ὅτι ἐξαίρετος ἔσται αὐτοῦ λαὸς, καὶ τῶν λοιπῶν ἐθνῶν κεχωρισμένον τὸ ἐξ αὐτοῦ μέλλον τίκτεσθαι σπέρμα. ἀλλ᾽ εἰ καὶ ἐκεῖνοι διὰ τὴν οἰκείαν πώρωσιν ἔτι τὴν περιτομὴν τῆς σαρκὸς φυλάττειν βούλονται, οὐκ ἀκούοντες Παύλου λέγοντος·

A Animæ bonum opus eſt, vt ne plura quàm oportet concupiſcat, & facultates tribuat indigentibus. Animæ bonum opus eſt, non addictum eſſe rebus præſentibus, ſed eas quidem deſpicere, futuras autem continuò in animo habere. In carne verò ſignum accipere, quale bonum opus fuerit? Verùm ingrati illi & inſenſati Iudæi, quamuis iam illuxerit veritas, adhuc in vmbra ſedent: & quamuis ſol iuſtitiæ affulſerit: qui lucis ſuæ radios vndiq; emiſit, adhuc lucernariæ luci ſunt addicti: & quamuis ſit tempus vt ſolido paſcantur cibo, ipſi adhuc B lacte nutriuntur. Neque beatum Paulum audire volunt clamantem & dicentem de patriarcha: Et ſignum accepit circumciſionis, ſignaculũ iuſtitiæ fidei in præputio. (Rom. 4. 11.) Vide quomodo vtraq; nos docuit, & quòd acceperit ſigni loco circumciſionẽ, & quòd cùm præputiatus erat, iuſtitiam ex fide oſtenderit, quippe ne impudenter Iudæus dicat: Nónne circumciſio ei iuſtitiam conciliauit? Idcirco beatus ille ad pedes Gamalielis eruditus, (Act. 22.) & in lege apprimè inſtitutus, inquit: C Ne putetis impudentes Iudæi, quòd circumciſio ipſi aliquid ad iuſtitiam contulit: nam cum tempore præputij fidem præ ſe ferret, audiit: Credidit autem Abraham Deo, & reputatũ eſt ei in iuſtitiam. (Rom. 4. 3.) Cùm igitur eſſet iam iuſtus ob ſuã in Deum fidem, in ſignũ circumciſionẽ accepit. Et primùm quidem nomini eius litera additur, deinde autẽ circũciſio imperatur: quo oſtẽdit Deus, ꝙ ob multam virtutem iuſtitiam peculiariter poſſederit, & propter illum etiam eos qui ex eo naſcituri erãt. Et quemadmodũ cùm quis ſeruum cõ- D parauerit, nomen eius & habitũ ſæpe immutat, omniáque facit, vt ſciatur ipſius eſſe, ac ſub cuius ſit dominatu, præ ſe ferat: ita nimirum & omnium dominus, quaſi poſthac ſeparare eos volẽs ab aliis hominibus, adiecta quidem litera declarauit quòd multorũ populorum eſſet pater: circũciſione autem, quòd electus eius populus futurus eſſet, & ab aliis gentibus ſequeſtratum ſemẽ ex eo naſciturũ. Quod ſi & illi ob cęcitatem ſuam adhuc ſeruare volunt carnis circumciſionem, non audiẽtes iterũ Paulũ dicentem,

Galat. 5. 2. Si circumcidimini, Chriſtus nihil vobis proderit. Nam propter hæc affuit Dominus, vt omnia illa tolleret, atque propter hoc legem impleuit, vt legis obſeruatio finem haberet. Et idcirco dicebat beatus Paulus: Ibid. Quicunque in lege iuſtificamini, à gratia excidiſtis. Verùm nos pareamus beato huic, & non manufactam circumciſionem ſuſcipiamus. Coloſſ. 2. 11. Dicit enim, In quo circumciſi eſtis circumciſione non manufacta, in deſpoliatione peccatorum carnis, in circumciſione Chriſti. Deinde docens nos diligentius quid ſit circumciſio, ſubdit: Ibid. & Rom. 6. Conſepulti ei in baptiſmo. Sicut enim illos circumciſionis ſignum ab aliis gentibus ſegregauit: & demonſtrabat quòd peculiariter ad Deum pertinerent: ſimili modo etiam apud nos circumciſio per baptiſmum, euidentiorem facit ſeparationem & diſcretionem fidelium & infidelium. Dicit enim: In quo circumciſi eſtis circumciſione non manufacta, in deſpoliatione peccatorum carnis. Nam id quod illic operatur circumciſio in depoſitionem carnis, hoc hic agit baptiſmus in depoſitionem peccatorum. Igitur qui ſemel carnis peccata exuimus, & puram induti ſumus veſtem, maneamus dilecti, in puritate, magiſtri ſimus affectionum carnis, virtutem amplexemur. Et qui ſub gratia ſumus, eum qui in lege, imò ante legem fuit, æmulemur: vt cùm veſtigia eius ſequendo, vitam noſtram rexerimus, mereamur in illius ſinus occurrere, & ſempiternis frui bonis, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum Patre, & Spiritu ſancto ſit gloria, honor, imperium, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

ἐὰν γὰρ περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. διὰ γὰρ τοῦτο παρεγένετο ὁ δεσπότης, ἵνα ταῦτα πάντα ἀνέλῃ, καὶ διὰ τοῦτο πάντα τὸν νόμον ἐπλήρωσεν, ἵνα στήσῃ λοιπὸν τοῦ νόμου τὴν παρατήρησιν. διὰ τοῦτο ἐβόα ὁ μακάριος Παῦλος, οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. ἀλλ' ἡμεῖς πειθώμεθα τῷ μακαρίῳ Παύλῳ, καὶ τὴν ἀχειροποίητον περιτομὴν καταδεχώμεθα. ἐν ᾧ γάρ, φησι, περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ. εἶτα διδάσκων ἡμᾶς ἀκριβέστερον τί ἐστιν ἡ τοιαύτη πε-
B ριτομή, ἐπήγαγε· συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι. καθάπερ γὰρ ἐκείνοις τὸ τῆς περιτομῆς σημεῖον ἐχώριζε τῶν λοιπῶν ἐθνῶν, καὶ ἐδείκνυ τὴν οἰκείωσιν αὐτῶν τὴν πρὸς τὸν θεόν· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐφ' ἡμῶν ἡ διὰ τοῦ βαπτίσματος περιτομὴ τὸν χωρισμὸν ἀκριβέστερον καθίστησι, καὶ τὴν διαίρεσιν τῶν πιστῶν καὶ τῶν οὐ τοιούτων. ἐν ᾧ γάρ, φησι, περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τῶν ἁμαρτιῶν τῆς σαρκός. ὅπερ γὰρ ἐκεῖ ἐργάζεται ἡ περιτομὴ εἰς τὴν τῆς σαρκὸς ἀπόθεσιν, τοῦτο ἐνταῦθα τὸ βά-
C πτισμα εἰς τὴν τῶν ἁμαρτημάτων ἀπόθεσιν. ἀπεκδυσάμενοι τοι γὰρ ἅπαξ τὰς τῆς σαρκὸς ἁμαρτίας, καὶ καθαρὸν τὸ ἔνδυμα δεξάμενοι μένωμεν, ἀγαπητοὶ, ἐπὶ τῆς καθαρότητος, καὶ τῶν παθῶν τῆς σαρκὸς ἀνώτεροι γινόμενοι τῆς ἀρετῆς ἐπιλαβώμεθα, καὶ οἱ ἐν τῇ χάριτι τὸν ἐν τῷ νόμῳ, μᾶλλον δὲ καὶ πρὸ τοῦ νόμου, ζηλώσωμεν, ἵνα κατ' ἴχνος ἐκείνου τὴν ἑαυτῶν ζωὴν οἰκονομήσαντες, καταξιωθῶμεν εἰς τοὺς ἐκείνου κόλπους καταντῆσαι, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι-
D στοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία μ.

Καὶ εἶπεν ὁ θεὸς τῷ Ἀβραάμ· Σάρα ἡ γυνή σου οὐ κληθήσεται Σάρα, ἀλλὰ Σάρρα ἔσται τὸ ὄνομα αὐτῆς.

Φέρε τὰ λείψανα τῆς χθεσινῆς τραπέζης ὑμῖν παραθῶμεν, καὶ τέλος ἐπιθῶμεν σήμερον τῷ λόγῳ, μᾶλλον δὲ τῇ εὐλογίᾳ καὶ τῇ ὑποσχέσει, ἣν ὁ τῶν ὅλων θεὸς ἐποιήσατο πρὸς τὸν πατριάρχην. ἀλλὰ λείψανα τραπέζης ἀκούων, μηδὲν αἰσθητὸν ὑποπτεύσῃς. οὔτε γὰρ οἷα τὰ τῶν ἐδεσμάτων λείψανα, τοιαῦτά εἰσι καὶ τὰ πνευματικά. ἐκεῖνα μὲν γὰρ ἕωλα γινόμενα οὐ τὴν αὐτὴν παρέχει ἡδονὴν τοῖς ἑστιωμένοις· εἰ δὲ καὶ μίαν καὶ δευτέραν ἡμέραν καταλειφθείη, ἄχρηστα λοιπὸν πάντη γίνεται. ταῦτα δὲ τὰ λείψανα οὐ μίαν καὶ δευτέραν ἡμέραν, ἀλλὰ κἂν διηνεκῶς τῷ αἰῶνι καταλείπηται, τὴν ἴσην ὠφέλειαν παρέχεται, καὶ τὴν ἡδονὴν οὐκ ἀπόλλυσι. θεῖα γάρ ἐστι καὶ πνευματικὰ, καὶ οὐδεμίαν ὑπὸ τοῦ χρόνου βλάβην ὑφίσταται, ἀλλὰ καθ' ἑκάστην ἡμέραν νεαρὰν δείκνυσι τὴν χάριν, καὶ πολλῆς ἐμπίπλησι τῆς εὐφροσύνης τοὺς ἀπολαύειν τούτων βουλομένους. ἐπεὶ οὖν τοιαύτη τούτων τῶν λειψάνων ἡ δύναμις· φέρε, μετὰ προθυμίας καὶ ὑμεῖς τῆς ἀπὸ τούτων ἀπολαύσεως ἐμφορήθητε, καὶ ἡμεῖς θαρροῦντες αὐτῶν τῇ δυνάμει παραθῶμεν αὐτὰ τῇ ὑμετέρᾳ ἀγάπῃ. ἀλλ' ἵνα δόξῃ σαφέστερος ὑμῖν γίνεσθαι ὁ λόγος, ἀναγκαῖον τοῦ τέλους τῶν χθὲς εἰρημένων ὑπομνησθῆναι, ἵν' οὕτω τῆς ἀκολουθίας ἐπιλαβόμενοι, τῆς διδασκαλίας ἁψώμεθα. τὴν περὶ τῆς περιτομῆς ἐντολὴν εἰς μέσον παραγαγόντες, καὶ ὅτι εἶπεν ὁ θεὸς τῷ πατριάρχῃ, περιτμηθήσεται ὑμῶν πᾶν ἀρσενικὸν, καὶ ἔσται ἐν σημείῳ διαθήκης ἀναμέσον ἐμοῦ καὶ ὑμῶν, καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται· καὶ ὃς οὐ περιτμηθήσεται, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη, ὅτι τὴν διαθήκην μου διεσκέδασεν, ἐνταῦθα εἰς τὸν τῆς περιτομῆς λόγον τὴν διδασκαλίαν κατελύσαμεν, καὶ ἵνα μὴ τῷ πλήθει τῶν λεγομένων καταχώσωμεν ὑμῶν τὴν διάνοιαν, περαιτέρω προελθεῖν οὐκ ἠνεσχόμεθα. οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶν ἡμῖν τὸ σπουδαζόμενον, τὸ πολλὰ εἰπεῖν καὶ ἀναχωρῆσαι,

A

Homilia XL.

Et dixit Deus Abrahæ: Sara vxor tua non vocabitur Sara, ſed Sarra erit nomen eius. Gen. 17. 15.

AGe reliquias heſternę menſæ vobis proponamus, & finem hodie imponam⁹ ſermoni, imò benedictioni & promiſſioni, quam fecit vniuerſorum
B dominus patriarchæ. Verùm audiēs reliquias menſæ, ne quid ſenſibile ſuſpiceris. Neque enim quales ſunt eduliorum ſenſibilium, tales ſunt ſpiritualium reliquiæ. Illæ enim cum frigidæ facta fuerint haud parem voluptatem conuiuatoribus præſtant: nam ſi ad vnum aut alterum diem fuerint reſeruatæ, inutiles omnino fiunt: iſtæ verò non ſolùm, ſi in vnum & alterum diem, ſed & quantouis tempore relictæ fuerint, parem exhibent vtilitatem, eandémque ſeruant
C voluptatem: diuinæ enim ſunt & ſpirituales, neque vllum eis à tempore nocumentum imminet: ſed quotidie nouum vigorem afferunt, & eos qui illis frui volunt, multa implent lætitia. Proinde quia talis harū reliquiarum vis eſt, age alacriter & vos magnam inde voluptatem auferte, & nos fidentes earum efficaciæ, proponamus eas veſtræ charitati. Verùm vt vobis ſermo ille manifeſtior fieri videatur, operæprecium fuerit meminiſſe finis heri dictorum, vt ſic ordinem ac ſeriem aſſecuti doctrinam at-
D tingamus. Heri præceptum circumciſionis adduximus in medium, & quòd dixit Deus patriarchæ: Circumcidetur omne maſculinum veſtrum, & erit in ſignum teſtamenti inter me & vos. Et puer octo dierum circumcidetur. Et qui non circumciſus fuerit, peribit anima illa: quia teſtamentum meum diſſipauit. Ibi ſermonem finiuimus in circumciſionis argumento: & ne multitudine dictorum veſtram adobrueremus mentem, noluimus vltrà progredi. Neque enim hoc ſolum curamus, vt multa dicamus, antequam abeatis,

A ſed noſtri ſermonis doctrinam veſtris viribus cupimus eſſe adæquatam, vt fructu quopiam inde percepto ex his quæ dicuntur, domum redeatis omnes. Age igitur ad ea quæ dicta ſunt, adiungamus & reliqua: vt videamus poſt circumciſionis præceptum, quid benignus Deus patriarchæ loquatur, & proponat. [15] *Et dixit*, inquit, *Deus Abrahæ: Sara vxor tua non vltrà vocabitur nomine ſuo Sara, ſed Sarra erit nomen eius.* Quemadmodum, inquit, elemento tibi addito. ſignificaui, quòd pater ſis futurus multarum gentium: ita & vxori tuæ
B ſimiliter appono literam, vt diſcas quod nunc tempus adeſt, vt olim à me promiſſa impleantur, *Erit enim,* inquit, *nomen eius Sarra. Benedicam autem eam, & dabo tibi ex ea filium, & benedicam illum, & erit in gentes, & reges gentium ex eo exibunt.* Et idcirco prius litteram adieci, vt ſcias quòd omnino fient quæ à me dicta ſunt. Ne igitur ad infirmitatem naturæ ſpectans animum deſponde, ſed potius ad virtutis meæ magnitudinem reſpiciens, fidem habe iis quæ à me dicta ſunt.
C Benedicam enim eam, & dabo tibi ex ea filium, & benedicam illum, & erit in gentes, & reges exibunt ex eo. Excedunt humanam naturam promiſſa: & ſimile fuit, quaſi aliquis polliceretur ex lapidibus homines ſe facturum. Nihil enim à lapidibus differebant, quantum ad generationem attinet. Et patriarcha præ ſenectute propè impotens erat, & ad filiorum procreationem omnino inutilis: & Sarra ad hoc quòd natura ſterilis erat, laborabat & ætatis, & ſenectutis vitio. Cæterùm iuſtus hæc audiens, & putans olim Dei promiſſionem
D impletam in Iſmaële, quando dixit, Tibi & ſemini tuo dabo terram hãc non exiſtimabat autem, quòd hoc tribueretur ei qui è Sarra naſciturus erat: ſed cogitabat ſecum quòd promiſſiones impletæ eſſent: Nunc audiens dominum Deum dicentem Benedicam Sarram, & dabo tibi ex ea filium, & benedicam illum, & erit in gentes, & iterũ: Ex illo reges gentium egredientur: cùm neſciret quid diceret: neque enim Dei verbis diſcredere potuit tam religioſus, ad ſuam reſpiciens ætatem, & Sarræ

ἀλλὰ σύμμετρον βουλόμεθα τῇ δυνάμει τῇ ὑμετέρᾳ τοῦ λόγου τὴν διδασκαλίαν, ἵνα καρπωσάμενοί τι ἐκ τῆς τῶν λεγομένων ὠφελείας, οὕτως οἴκαδε πάντες ἀναχωρήσητε. Φέρε οὖν τὰ λειπόμενα προσθῶμεν τοῖς εἰρημένοις, καὶ ἴδωμεν μετὰ τὴν τῆς περιτομῆς ἐντολὴν, τί προσθεὶς ὁ φιλάνθρωπος θεὸς διαλέγεται τῷ πατριάρχῃ. καὶ εἶπε, φησιν, ὁ θεὸς τῷ Ἀβραὰμ, Σάρα ἡ γυνή σου οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα, ἀλλὰ Σάῤῥα ἔσται τὸ ὄνομα αὐτῆς. ὥσπερ σοί, φησι, τὸ στοιχεῖον προσθεὶς ἐμήνυσα, ὅτι πατὴρ ἔσῃ πολλῶν ἐθνῶν, οὕτω καὶ τῇ Σάρα ὁμοίως προστίθημι τὸ στοιχεῖον, ἵνα μάθῃς ὅτι νῦν ὁ καιρὸς ἥκει τοῦ εἰς ἔργον ἐλθεῖν τὰ πάλαι παρ' ἐμοῦ ἐπαγγελθέντα. ἔσται γὰρ, φησι, τὸ ὄνομα αὐτῆς Σάῤῥα. εὐλογήσω δὲ αὐτὴν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον, καὶ εὐλογήσω αὐτὸν, καὶ ἔσται εἰς ἔθνος, καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἐξελεύσονται. διὰ τοῦτο προλαβὼν τοῦ στοιχείου τὴν προσθήκην ἐποιησάμην, ἵνα μάθῃς ὅτι πάντως ἔσται τὰ παρ' ἐμοῦ λεγόμενα, μηδὲ πρὸς τὴν ἀσθένειαν τῆς φύσεως ἀφορῶν καταπέσῃς· ἀλλὰ πρὸς τὸ μέγεθος τῆς δυνάμεως τῆς ἐμῆς ἀποβλέπων, θάῤῥησον τοῖς παρ' ἐμοῦ λεγομένοις. εὐλογήσω γὰρ αὐτὴν καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον, καὶ εὐλογήσω αὐτὸν, καὶ ἔσται εἰς ἔθνη, καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἐξελεύσονται. ὑπὲρ φύσιν ἀνθρωπίνην τὰ ἐπαγγελθέντα, καὶ ὅμοιον ἦν ὡς ἂν εἰ ὑπέσχετο ἀπὸ λίθων ἀνθρώπους ποιῆσαι. οὐδὲν γὰρ λίθων ἦσαν διενηνοχότες, ὅσον πρὸς τὸ τεκεῖν, καὶ ὁ πατριάρχης ὑπὸ τοῦ γήρως λοιπὸν ἀνενέργητος ὢν, καὶ πρὸς παιδοποιΐαν ἄχρηστος, καὶ ἡ Σάῤῥα μετὰ τῆς στειρώσεως ἔχουσα καὶ τὴν ἀπὸ τῆς ἡλικίας καὶ τοῦ γήρως προσθήκην. ἀλλ' ὁ δίκαιος ταῦτα ἀκούων καὶ νομίζων τὴν πάλαι γεγενημένην παρὰ τοῦ θεοῦ ἐπαγγελίαν ἐκβεβηκέναι τὸν Ἰσμαήλ. ἐπειδὴ γὰρ εἶπε, σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, οὐ διέκρινε δὲ ὅτι περὶ τοῦ ἀπὸ τῆς Σάῤῥας τικτομένου φησὶ, ἐλογίζετο καθ' ἑαυτὸν ὅτι τὰ τῆς ὑποσχέσεως ἐκβέβηκε· νυνὶ δὲ ἀκούων κυρίου τοῦ θεοῦ λέγοντος, ὅτι εὐλογήσω τὴν Σάῤῥαν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον, καὶ εὐλογήσω αὐτὸν, καὶ ἔσται εἰς ἔθνη, καὶ πάλιν, ἐξ ἐκείνου βασιλεῖς ἐθνῶν ἐξελεύσονται, οὐκ ἔχων ὅ, τι εἴπῃ· οὔτε γὰρ ἀπιστεῖν ἠδύνατο τοῖς παρὰ τοῦ θεοῦ λεγομένοις φιλόθεος ὤν, καὶ πρὸς τὴν ἡλικίαν ὁρῶν τὴν ἑαυτοῦ, καὶ πρὸς τὴν τῆς Σάῤῥας

A στείρωσιν τὴν μέχρις ἐκείνης ἡλικίας γεγενημένην, ἐν ἀμηχανίᾳ γενόμενος, καὶ καταπλαγεὶς τοῦ θεοῦ τὴν ὑπόσχεσιν, ἔπεσε, φησιν, ἐπὶ πρόσωπον, καὶ ἐγέλασεν. εἶδε τὴν ὑπερβολὴν τῆς ὑποσχέσεως, καὶ τῆς δυνάμεως τοῦ ἐπαγγειλαμένου τὸ μέγεθος ἐννοήσας, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐγέλασεν, ἀντὶ τοῦ, περιχαρὴς ἐγένετο, καὶ κατὰ τοὺς τῆς διανοίας λογισμοὺς ἐνενόει, πῶς ἂν κατὰ ἀνθρωπίνην ἀκολουθίαν τοῦτο γένοιτό ποτε, καὶ εἰ τῷ ἑκατονταέτει παιδίον γενήσεται, καὶ εἰ ἡ στεῖρα, καὶ μέχρις ἐννενήκοντα ἐτῶν ἄγονος διαμείνασα, ἐξαίφνης δυνήσεται πρὸς τεκνογονίαν διεγερθῆναι. B καὶ ταῦτα κατὰ τὴν διάνοιαν λογισάμενος, οὐκ ἐτόλμησέ τι τοιοῦτον διὰ τῆς γλώττης προενεγκεῖν, ἀλλὰ δεικνὺς ἑαυτοῦ τὴν εὐγνωμοσύνην, παράκλησιν προσάγει περὶ τοῦ Ἰσμαὴλ μονονουχὶ λέγων, δέσποτα, ἀρκούντως με παρεμυθήσω καὶ τὴν ἐκ τῆς ἀπαιδίας ἀθυμίαν τῇ δόσει τοῦ Ἰσμαὴλ εἰς εὐφροσύνην μετέβαλες. οὐδὲ γὰρ τούτου τεχθέντος, λοιπὸν κἂν ἐν διανοίᾳ ἔλαβον ἢ ἐνενόησά ποτε, ὅτι ἐκ τῆς Σάῤῥας ἔσται μοι παῖς, ἀλλ' οὐδὲ αὐτὴ τοῦτο προσεδόκησε· διὸ καὶ τὴν Ἄγαρ μοι παρέδωκεν, ἀπαγορεύσασα τὰ καθ' ἑαυτήν. ἱκανὴν τοίνυν ἀμφότεροι τὴν παραμυθίαν ἐδεξάμεθα τεχθέντος τοῦ Ἰσμαήλ. C οὗτος οὖν ὁ παρὰ σοῦ δοθεὶς ἡμῖν ζήτω ἐναντίον σου, καὶ ἀρκούντως ἕξομεν τὴν παράκλησιν, καὶ τὸ γῆρας τὸ ἡμέτερον ἡ τούτου ζωὴ παραμυθήσεται. τί οὖν ὁ φιλάνθρωπος δεσπότης; ἐπειδὴ ἱκανῶς καὶ τοῦ δικαίου τῆς γνώμης τὸ φιλόθεον διὰ τῆς τοῦ χρόνου παρατάσεως ἐβασάνισε, καὶ τῆς Σάῤῥας τὴν πίστιν, καὶ εἶδεν ἀμφοτέρους ἀπαγορεύσαντας, καὶ τὸν μὲν διὰ τὸ γῆρας, τὴν δὲ μετὰ τῆς ἡλικίας καὶ διὰ τὴν στείρωσιν, φησί· νῦν ἐπειδὴ πάντη ὑμῖν ἀδύνατον τοῦτο εἶναι φαίνεται, διὰ γὰρ τοῦτο κἀγὼ τὴν τοσαύτην μακροθυμίαν ἐπεδειξάμην, D ἵνα δείξω ὅτι ὑπὲρ φύσιν ἀνθρωπίνην ἐστὶν ἡ δωρεὰ ἡ παρ' ἐμοῦ παρεχομένη, καὶ ἵνα καὶ ὑμεῖς καὶ οἱ ἄλλοι πάντες δι' αὐτῶν μάθωσι τῶν πραγμάτων, ὅτι καὶ τῆς φύσεώς εἰμι δεσπότης, καὶ πρὸς ὃ βούλομαι αὐτὴ ὑπακούει, καὶ εἴκει τοῖς ἐμοῖς ἐπιτάγμασιν. εἰ γὰρ ἐκ τοῦ μὴ ὄντος αὐτὴν παρήγαγον, πολλῷ μᾶλλον αὐτὴν γενομένην τὴν φύσιν καὶ χωλεύουσαν διορθῶσαι δυνήσομαι. ἵνα τοίνυν θαῤῥεῖν ἔχῃς, ἄκουε καὶ διεγέρθητι, καὶ τοὺς ἐν τῇ διανοίᾳ λογισμοὺς σου κινηθέντας παρωσάμενος, δέχου ἱκανὴν πληροφορίαν ἐκ τῶν παρ' ἐμοῦ λεγομένων. ἰδοὺ γὰρ Σάῤῥα ἡ γυνή σου, ἣν νομίζεις διά τε τὴν στείρωσιν,

ſterilitatem, quæ ad illam vſque ætatem perdurauerat, conſilij inops & obſtupeſcens promiſſionem Dei: 17 *Cecidit*, inquit, *in faciem ſuam, & riſit.* Videns excellentem promiſſionem, & magnitudinem eius, qui promiſerat cogitans, cecidit in faciem ſuam, & riſit, hoc eſt, voluptate perfuſus eſt. Et in animo cogitabat, quomodo iuxta humanum morem hoc fiat aliquando, & num centenario naſcatur filius, & num ſterilis & nonagenaria repentè poſſit idonea fieri ad partum: & cùm hæc animo cogitaſſet, non audebat tale quiddam lingua effari: ſed monſtrata ſua gratitudine orauit, pro Iſmaële, quaſi diceret: Domine ſatis me conſolatus es, & dolorem quem ex prolis inopia gerebam, dato Iſmaële in lætitiam vertiſti. Nato enim illo, neque in mentem poſtea accepi, vel cogitaui aliquando quòd è Sara ſit mihi futurus filius: ſed neque ipſa hoc expectauit, eò quod Agar mihi tradidit, omnem ſibi ſpem denegans. Satis conſolationum nimirum accepimus nato filio Iſmaële. Hic igitur qui à te datus eſt, viuat coram te, & abundè ſatis recreati erimus, & ſenectutem noſtram illius vita ſolabitur. Quid igitur ad hæc benignus Dominus? Quia ſatis piam iuſti mentem tanto tempore probauerat, & Sarræ fidem: quia viderat vtrunque nihil ſibi de ſuis promittentem viribus, Abraham quidem propter ſenectutem, Sarram autem propter ſterilitatem & annos, dicit: Nunc quia omnino vobis hoc eſſe videtur impoſſibile, idcirco & ego tamdiu diſtuli, vt oſtendam quod longè vltra naturam ſit donum, quod concedo, quò & vos aliíque omnes his factis diſcant, quòd naturæ ſim dominus, & ad quodcunque libuerit ea vtar, & ipſa obedit, & cedit meis præceptis. Qui enim eam ex nihilo produxi, multò magis quum iam ſit, & claudicet, erigere poſſum. Vt igitur melius confidere poſſis, audi & expergiſcere, & repulſis cogitationibus mentis tuæ, accipito ex his quæ tibi afferuntur certum argumentum. Ecce enim Sarra vxor tua, quam putas tum propter ſterilitatē,

tum propter ætatem parere non poſſe, ipſa pariet tibi filium: & vt nihil hæſites, ecce tibi & nomen eius qui naſcetur præmonſtrabo. Eum enim qui naſcetur, vocabis Iſaac. *Et ponam teſtamentum meum ad eum in teſtamentum ſempiternum, & ſemini eius poſt eum.* Hic enim eſt quem primùm & ab initio tibi promiſi, & in hoc promiſſiones meæ implebuntur. Proinde & omnia tibi prædico, non ſolùm quòd naſcetur, ſed & quomodo eum vocabis, & quòd ei conſtituam teſtamentum meum. Et adhæc, quòd & ſemini eius poſt eum. Inſuper Dominus qui ſemper accumulare ſolet beneficia, & longè noſtras excedere petitiones: quoniam mentem iuſti erexerat, & per ea quæ promiſit ferè iuuenem ex ſene fecerat, & eum qui mortuus erat, vt ita dicam, verbis fœcundarat, beneficiis eum largiſſimis proſequens, inquit: Et hæc quidem, quæ ſcilicet promiſi, opere complebo: & etiam quòd de Iſmaële rogaſti, concedam tibi. Audiui enim ora-
Gen. 17. 20. tionem tuam. *Et ecce benedixi eum, & augebo eum & multiplicabo eum valde, valdè. Duodecim gentes generabit, & dabo eum in gentem magnam.* Quandoquidem enim, inquit, ſemen tuum eſt, ſic augebo eum, & multiplicabo valde, vt duodecim gentes ex eo procedant, *Cæterum teſtamentum meum ſtatuam cum Iſaac, quem tibi Sarra pariet tempore hoc, anno ſequente.* Vide obſecro hîc dilecte, quomodo iuſtus in vno temporis momento mercedes omnis temporis accepit, & impletum eſt illud, quod Chriſtus diſcipu-
Matth. 19.29. & Marc. 10. lis ſuis dixit: Quiſquis reliquerit vel patrem, vel matrem, vel domum, vel fratres, propter nomen meum, & hîc centuplum accipiet, & illic vitam æternam in hæreditatem accipiet. Conſidera enim quoniam iuſtus ille promptè præcepto Domini obediuit, & relicta domo paterna, prætulit alienam natali: quomodo paulatim multam præ ſe ferens patientiam, in faſtigium virtutis progreſſus, ita illuſtris & ſpectabilis factus eſt, vt ex eo nati multitudine aſtris cœli adæquentur. Fortaſſe ſi quis probè velit intelligere, non ſolum centuplum accepit hîc iuſtus ille, ſed decies millies millecupla

A διά τε τὸ γῆρας ἀδύνατον λοιπὸν τεκεῖν, αὕτη τέξεταί σοι υἱόν. καὶ ἵνα μηδὲ ἀμφιβάλλειν ἔχῃς, ἰδού, σοι καὶ τὴν προσηγορίαν τοῦ τικτομένου προμηνύω. τὸν γὰρ τικτόμενον καλέσεις Ἰσαάκ. πρὸς γὰρ ἐκεῖνον στήσω τὴν διαθήκην μου εἰς διαθήκην αἰώνιον, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν. οὗτος γάρ ἐστιν, ὃν ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων σοι ὑπεσχόμην, καὶ εἰς τοῦτον τὰ τῆς ἐπαγγελίας τῆς ἐμῆς πληρωθήσεται. διὸ καὶ πάντα σοι προλέγω, οὐχ ὅτι τέξεται μόνον, ἀλλὰ καὶ ὅπως αὐτὸν καλέσεις, καὶ ὅτι πρὸς αὐτὸν τὴν διαθήκην μου θήσομαι, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῷ σπέρματι αὐτοῦ
B μετ' αὐτόν. εἶτα ὁ φιλότιμος ἀεὶ ταῖς δωρεαῖς καὶ τὰς αἰτήσεις ἡμῶν ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαλλόμενος, ἐπειδὴ διανέστησε τοῦ δικαίου τὸ φρόνημα, καὶ σχεδὸν εἰπεῖν, δι' ὧν ὑπέσχετο νέον ἐκ γέροντος τὸν πρεσβύτην εἰργάσατο, καὶ τὸν νεκρόν, ὡς εἰπεῖν, ὄντα διὰ τῶν ῥημάτων ἐζωογόνησεν, ἐπιδαψιλευόμενος ταῖς εὐεργεσίαις φησί, καὶ ταῦτα ἅπερ ὑπεσχόμην εἰς ἔργον ἄξω, καὶ μετὰ τούτου καὶ τὴν περὶ τὸν Ἰσμαὴλ παράκλησιν δεξάμενος. ἐπήκουσα γάρ σου τῆς δεήσεως, καὶ εὐλόγηκα αὐτόν. αὐξήσω αὐτὸν καὶ πληθυνῶ αὐτὸν σφόδρα
C σφόδρα. δώδεκα ἔθνη γεννήσει, καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα. ἐπειδὴ γάρ, φησι, σὸν σπέρμα ἐστίν, οὕτως αὐτὸν αὐξήσω καὶ πληθυνῶ σφόδρα, ὡς δώδεκα ἔθνη ἐξ αὐτοῦ διαδοθῆναι· τὰ μέντοι τῆς διαθήκης τῆς ἐμῆς στήσω πρὸς Ἰσαάκ, ὃν τέξεταί σοι Σάῤῥα εἰς τὸν καιρὸν τοῦτον ἐν τῷ ἐνιαυτῷ τῷ δευτέρῳ. ὅρα μοι ἐνταῦθα, ἀγαπητέ, ὅπως ἐν μιᾷ καιροῦ ῥοπῇ ὁ δίκαιος παντὸς τοῦ χρόνου τὰς ἀμοιβὰς ἐκομίσατο, καὶ ἐπληροῦτο ἐκεῖνο τὸ παρὰ τοῦ Χριστοῦ τοῖς μαθηταῖς εἰρημένον· ὅτι ὅστις ἂν καταλίπῃ πατέρα ἢ μητέρα ἢ οἰκίαν ἢ ἀδελφοὺς διὰ τὸ
D ὄνομά μου, καὶ ἐνταῦθα ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. ἐννόησον γάρ μοι τὸν δίκαιον τοῦτον. ἐπειδὴ ἑτοίμως ὑπήκουσε τῷ προστάγματι τοῦ δεσπότου, καὶ καταλιπὼν τὴν οἰκείαν πατρίδα προετίμησε τὴν ἀλλοτρίαν τῆς ἐνεγκούσης, ὅπως κατὰ μικρὸν πολλὴν τῆς ὑπομονῆς ἐπιδειξάμενος, καὶ εἰς ἄκραν ἀρετῆς κορυφὴν ἀνελθών, οὕτω περίβλεπτος γέγονε καὶ περιφανής, ὡς τῷ πλήθει τῶν ἄστρων τοὺς ἐξ αὐτοῦ τεχθέντας παρισωθῆναι. τάχα εἴ τις εὐγνωμόνως βουληθείη συνιδεῖν, οὐ μόνον εἰσὶν ἑκατονταπλασίονα, ἃ ὁ δίκαιος οὗτος ἐκομίσατο ἐνταῦθα,

A

ἀλλὰ καὶ μυριοπλασίονα. εἰ δὲ ἐνταῦθα τοσούτων ἠξιώθη, τίς ἂν λόγος παραστῆσαι δυνήσεται τῆς ἐκεῖ ἀπολαύσεως τὴν λῆξιν; μᾶλλον δὲ, ὡς οἷόν τε, καὶ τοῦτο ὁ λόγος δεῖξαι δυνήσεται. ὅταν γὰρ ἀκούσῃς, ὅτι πάντες οἱ δίκαιοι ἐξ ἐκείνου μέχρι νῦν καὶ μέχρι τῆς συντελείας αὐτῆς, εὐχῆς ἔργον ποιοῦνται εἰς τοὺς κόλπους τοῦ πατριάρχου καταντῆσαι, ποίαν ἑτέραν μείζονα ταύτης τιμὴν παραστῆσαι δυνήσῃ; εἶδες οἷόν ἐστιν ὑπομονὴ, ὅσον ἐστὶν ἀρετὴ, ὅσον ἐστὶ τὸ εἶναι φιλόθεον, καὶ πολλὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι περὶ τὰς τοῦ δεσπότου εὐεργεσίας; ἐπειδὴ γὰρ κατὰ καιρὸν τὰ

B

παρ' ἑαυτοῦ εἰσέφερεν, εὐχαρίστως πάντα δεχόμενος, καὶ τὰ χρηστὰ καὶ τὰ ἐναντία, διὰ τοῦτο ὁ φιλάνθρωπος θεὸς τελευταῖον ἁπάντων τὸ κεφάλαιον τῶν ἀγαθῶν, καὶ ὅπερ μάλιστα ὁ δίκαιος ἐπεθύμει, τοῦτο αὐτῷ ἐχαρίσατο. σκόπει γὰρ πῶς ἐν εἰκοσιτέσσαρσιν ἔτεσιν ἐβασάνιζε τοῦ δικαίου τὴν ἀρετήν. ἡνίκα γὰρ ἐξῆλθεν ἀπὸ τῆς Χαρρὰν ὑπακούσας τῷ τοῦ δεσπότου προστάγματι, ἑβδομήκοντα πέντε ἦν ἐτῶν φησί· νυνὶ δὲ, ὅτε ταῦτα ἤκουσεν, ἐνενηκοστὸν λοιπὸν ἦν ἔτος ἐπιβάς. ταῦτα ἀκούοντες, ἀγαπητοὶ, παιδευώμεθα πολλὴν τὴν ὑπομονὴν ἐπιδεί-

C

κνυσθαι, καὶ μηδέποτε ἀλύειν μηδὲ ναρκᾷν πρὸς τοὺς τῆς ἀρετῆς ἱδρῶτας, ἀλλ' εἰδέναι ὅτι φιλότιμος ὢν καὶ μεγαλόδωρος ὁ δεσπότης ὁ ἡμέτερος, ἀντὶ μικρῶν πόνων μεγάλας ἡμῖν ἀποδίδωσι τὰς ἀμοιβὰς, καὶ οὐ μόνον ἐν τῷ μέλλοντι τὰ ἀθάνατα ἀγαθὰ ταμιευόμενος, ἀλλὰ καὶ κατὰ τὸν παρόντα βίον παραμυθούμενος ἡμῶν τῆς φύσεως τὴν ἀσθένειαν, πολλὰς φιλοτιμεῖται τὰς δωρεάς. ἐπεὶ καὶ ὁ πατριάρχης οὗτος οὐκ ὀλίγα ἐν τῷ μεταξὺ χρόνῳ ὑπέμεινε τὰ λυπηρὰ, εἰ καὶ ὅτι ἑκάστοτε ἀνεμίγνυτο τοῖς λυπηροῖς καὶ χρηστά. κηδόμενος γὰρ

D

ἡμῶν τῆς ἀσθενείας ὁ τῶν ὅλων θεὸς οὔτε ἀεὶ τοῖς λυπηροῖς ἀφίησιν ἡμᾶς ἐναπομένειν, ἵνα μὴ ἐλέγχηται ἡμῶν ἡ ἀσθένεια, ἀλλὰ ταχεῖαν καὶ αὐτὸς παρέχει τὴν ἀντίληψιν, ῥωννὺς ἡμῶν τὴν προθυμίαν, καὶ τὸν λογισμὸν διεγείρων, οὔτε ἀεὶ ἐν ἀνέσει εἶναι καταλιμπάνει, ἵνα μὴ ῥαθυμότεροι γενόμενοι πρὸς τὴν κακίαν αὐτομολήσωμεν. ἡ γὰρ φύσις ἡ ἀνθρωπεία, ἐπειδὰν πολλῆς ἀνέσεως ἐπιλάβηται, ἐπιλανθάνεται τῆς εὐγενείας, καὶ οὐχ ἵσταται ἐπὶ τῶν οἰκείων ὅρων. διὸ, καθάπερ πατὴρ φιλόστοργος, ποτὲ μὲν ἡμᾶς ἀνίησι, ποτὲ δὲ σωφρονίζει, ἵν' οὕτως ἡμῶν μεθοδεύσῃ τῆς ψυχῆς

Quòd ſi hic tanta cōſecutus eſt, quis ſermo narrare poſſet, quibus poſt hæc fruiturus ſit ille? imò etiam hoc, quantum nobis poſſibile, ſermo oſtēdere poterit. Quando enim audis quòd omnes iuſti ab illo tempore vſque nunc, & vſque ad conſummationem temporum, id maximè in votis habent, vt ad ſinum patriarchæ perueniant, quem alium hoc maiorem honorem exhibere quis poterit? Vidiſti quanta res ſit patientia, quanta virtus, quantum ſit eſſe religioſum, & magnam præ ſe ferre gratitudinem in beneficiis Dei? Quia enim, quando oportebat ſua attulit, cum gratiarum actione omnia ferens, tam iucunda, quàm iniucunda, propterea miſericors Deus caput bonorum, & id quod iuſtus maximè concupiſcebat, largitus eſt. Conſidera enim, quomodo vigintiquatuor annis probauit iuſti virtutem. Quando enim exiuit à Charrā, & obediuit præcepto Domini, ſeptuagintaquinque annorū erat: nūc autem poſtquam hæc audiuit, nonaginta & nouē annos exceſſerat. Hæc audientes dilecti, diſcamus multam exhibere patientiam, & nunquam in laboribus virtutum vel dormitare, vel torpeſcere: ſed ſciamus, quòd dominus noſter benignus eſt & munificus, & pro paruis laboribus magna nobis reddit præmia: non ſolùm in futurum immortalia bona reponens, ſed & in præſenti vita, noſtræ naturæ infirmitatē multis largitionibus conſolans. Quādoquidem propheta iſte non mediocriter interiecto illo tempore aduerſis rebus exercitus eſt: quamuis ſemper aduerſa temperarentur proſperis. Vniuerſorum enim Deus noſtri curam agens, non ſemper in aduerſis nos manere ſinit, vt nō opprimatur noſtra infirmitas, ſed celeriter & ipſe opitulatur, firmās noſtrā alacritatem, & mentē excitans. Neq; ſemper in proſperitate nos eſſe ſinit, vt ne fiamus negligētiores, & in vitiorum partes transfugiamus. Humana enim natura quando multū proſperè ei ſuccedit, ſuæ obliuiſcitur nobilitatis, neq; intra ſuos limites ſubſiſtit: Idcirco quaſi amantiſſimus pater aliquādo nobis indulget, aliquando caſtigat, vt variis viis noſtræ animæ

Moralis exhortatio.

A ſalutem curet. Quoniam & medicus, quando infirmum curat, neque ſemper inopia cibi torquet, neque ſemper larga menſa frui ſinit, vt non voracitas febrim pariens augeat morbum, cibi vero inopia infirmiorem eum efficiat: ſed coniectans apud ſe, quantæ ſint ægrotantis vires, & diligenter vtens arte, omnia ſua in medium affert. Similiter & benignus Deus, ſciens quid cuiuis expediat, aliquando concedit nobis proſperitate frui, aliquando autem exercitationis gratia tentationibus nos B circumdat. Nam ſi virtute prædìti ſunt qui tentationes experiuntur, clariores euadunt, abundantiorem ſibi ſupernam gratiam conciliantes: ſi autem, vt nos peccatores fuerint, & cum gratiarum actione tentationes ferunt, grauem deponent peccatorum ſarcinam, multáque venia & ipſi potientur. Ideo obſecro, cùm ſciamus potentiam & ſapientiam medici animarum noſtrarum, nunquam curioſè eius diſpenſationes inquira- C mus. Enimuerò cùm eas neque mens noſtra comprehendere valeat, magis obſtupeſcamus & glorificemus Deū pro omnibus, quòd talem habemus dominum cuius diſpenſationem neque mens noſtra, neque humanæ naturæ ratio capere poteſt. Neq; enim tam bene ſcimus quid nobis expediat, quàm ipſe ſcit, neque ſic noſtra nos curamus, vt ipſe ſalutem noſtrã: & omnia facit & molitur, vt ad virtutem nos inducat, & à diaboli manibus eripiat. Et cùm videt nihil pro- D deſſe nobis proſperitatem, tunc ſicut bonus medicus, qui animaduertit habitiores fieri eos, quorum curam gerit, propter crapulam, ad ſanitatem per ſobrietatem reducit. Ita & eximius animarum noſtrarum medicus dimittit pauliſper nos tentari, vt ſentiamus quantum damni ex proſperitate acceperimus: & quando ſcit profutura remedia, tunc celerẽ nobis ſubſidio concedit, vt à tentationibus liberemur, & ſuæ prouidentiæ curam vbertim declarat. Itaque etſi aliqui prædìti virtute in tentationes incidant, ne turbentur, ſed hinc meliorem ſpem concipiant: quia afflictiones & tentamenta præmiorum eis ſunt materia.

A ἐπεὶ καὶ ἰατρὸς ἐπειδὰν ἄῤῥωστον θεραπεύῃ, οὔτε ἀεὶ κατατείνει τῇ ἀσιτίᾳ, οὔτε ἀεὶ ἀδεῶς ἀπολαύειν ἐπιτρέπει τῆς τραπέζης, ἵνα μὴ ἡ ἀδδηφαγία πυρετὸν τεκοῦσα, ἐπιτείνῃ τὴν ἀῤῥωστίαν, μηδὲ τῇ ἀσιτίᾳ ἀεὶ κατατείνων ἀσθενέστερον ἐργάσηται, ἀλλὰ καταστοχαζόμενος τῆς δυνάμεως, καὶ ἐπιμελῶς τῇ τέχνῃ κεχρημένος, οὕτω τὰ παρ' ἑαυτοῦ παρατάττεται. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ φιλάνθρωπος θεὸς εἰδὼς τὸ ἑκάστῳ ἡμῶν συμφέρον, ποτὲ μὲν ἀνέσεως ἡμᾶς ἀπολαύειν συγχωρεῖ, ποτὲ δὲ καὶ γυμνα- B σίας ἕνεκεν πειρασμοῖς περιβάλλει. εἴτε γὰρ ἐνάρετοί τινες εἶεν, διὰ τῆς τῶν πειρασμῶν ἐπαγωγῆς λαμπρότεροι δεικνύμενοι πλείονα τὴν ἄνωθεν εὐμένειαν ἐπισπάσονται, εἴτε καθ' ἡμᾶς ἁμαρτωλοὶ τυγχάνοιεν, εὐχαρίστως δεχόμενοι τὴν πειρασμῶν τὴν ἐπαγωγὴν, τὸ βαρὺ τῶν ἁμαρτημάτων ἀποθήσονται φορτίον, καὶ πολλῆς καὶ αὐτοὶ συγγνώμης ἀπολαύσουσι. διὸ παρακαλῶ, εἰδότες τὸ εὐμήχανον καὶ σοφὸν τοῦ ἰατροῦ τῶν ψυχῶν τῶν ἡμετέρων, μηδέποτε περιεργαζώμεθα αὐτοῦ τὰς οἰκονομίας. κἂν γὰρ ἡ διάνοια ἡ ἡ- C μετέρα ταῦτα καταλαμβάνειν μὴ δύνηται, ταύτῃ μᾶλλον ἐκπληττώμεθα τοῦ θεοῦ τὰς οἰκονομίας, καὶ δοξάζωμεν αὐτὸν ὑπὲρ ἁπάντων, ὅτι τοιοῦτον ἔχομεν δεσπότην, οὗ μηδὲ χωρῆσαι δύναται ἡ διάνοια ἡ ἡμετέρα, καὶ ὁ τῆς ἀνθρωπίνης φύσεως λογισμὸς τὰς οἰκονομίας. οὐδὲ γὰρ οὕτως ἡμεῖς ἴσμεν τὸ συμφέρον ἡμῖν, ὡς αὐτὸς ἐπίσταται. οὐχ οὕτως ἡμεῖς κηδόμεθα ἑαυτῶν, ὡς αὐτὸς κήδεται ἡμῶν τῆς σωτηρίας, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε πρὸς τὴν ἀρετὴν ἡμᾶς χειραγωγῆσαι, καὶ ἐξαρπάσαι τῶν τοῦ διαβόλου χειρῶν. καὶ ὅταν D ἴδῃ μὴ δυναμένους κερδαίνειν ἀπὸ τῆς εὐημερίας, καθάπερ ἰατρὸς ἄριστος, ἐπειδὰν θεάσηται ἀπὸ πολλῆς λαιμαργίας εἰς πολυσαρκίαν ἐξιόντας, διὰ τῆς ἐγκρατείας πρὸς ὑγίειαν ἐπανάγει, οὕτω δὴ καὶ ὁ θαυμάσιος τῶν ἡμετέρων ψυχῶν ἰατρὸς ἀφίησι μικρὸν διὰ τῆς τῶν πειρασμῶν ἐπαγωγῆς εἰς αἴσθησιν ἐλθεῖν τῆς βλάβης, ἣν ἐκ τῆς εὐημερίας ὑπεμείναμεν, καὶ ὅταν ἴδῃ καλῶς τὰ τῆς ὑγιείας κατορθωθέντα, τότε λοιπὸν διὰ τῆς οἰκείας ἀντιλήψεως καὶ τῶν πειρασμῶν χαρίζεται τὴν ἀπαλλαγὴν, καὶ τὴν παρ' ἑαυτοῦ πρόνοιαν ἐπιδείκνυται μετὰ πολλῆς τῆς δαψιλείας. εἴτε οὖν ἐν ἀρετῇ ὄντες τινὲς πειρασμοῖς περιπέσοιεν, μὴ θορυβείσθωσαν, ἀλλὰ ταύτῃ μᾶλλον ταῖς χρησταῖς ἐλπίσι τρεφέσθωσαν;

ἔτι ἡ τῶν πειρασμῶν ἐπαγωγὴ, στεφάνων ὑπόθεσις αὐτοῖς γίνεται καὶ βραβείων. A εἴτε ἐν ἁμαρτήματι γεγονότες τοῖς λυπηροῖς ἐναφίενται, μηδὲ οὕτω δυσχεραινέτωσαν, εἰδότες ὅτι καθάρσιον τῶν ἁμαρτηθέντων ἐν παντὶ τῷ χρόνῳ γίνεσθαι ἡ τούτων ἐπαγωγὴ, ἐπειδὰν μετ' εὐχαριστίας πάντα τὰ ἐπιόντα δεχώμεθα. τοῦτο γὰρ εὐγνώμονος οἰκέτου, τὸ μὴ μόνον, ἡνίκα ἀδείας ἀπολαύῃ, εὐχαριστεῖν τῷ δεσπότῃ, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις τὴν αὐτὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι. οὕτω γὰρ καὶ ὁ πατριάρχης οὗτος εὐδοκίμησε, καὶ τοσαύτης παρὰ τῷ Θεῷ τυχὼν παρρησίας, καὶ δωρεὰς ἐδέχετο νικώσας τὴν φύσιν τὴν ἀνθρωπίνην. ἀναγκαῖον δὲ πάλιν ἐπὶ τὴν B ἀκολουθίαν ἐπανελθεῖν τοῦ λόγου, καὶ ἰδεῖν τοῦ δικαίου τὴν ὑπακοὴν, καὶ ὅπως εἰς ἔργον ἤγαγε τὰ παρὰ τοῦ Θεοῦ ἐπιταττόμενα, οὐ ζητῶν τὸν λόγον, οὐδὲ εὐθύνας ἀπαιτῶν, καθάπερ οἱ πολλοὶ τῶν ἀνοήτων ποιοῦσι περιεργαζόμενοι τὰ παρὰ τοῦ Θεοῦ γινόμενα, καὶ λέγοντες, εἰς τί τοῦτο; εἰς τί ἐκεῖνο; καὶ τί τὸ ὄφελος ἀπὸ τοῦ τόδε γενέσθαι, ἢ τόδε; ἀλλ' οὐχ ὁ δίκαιος οὕτως. ἀλλὰ καθάπερ οἰκέτης φιλοδέσποτος οὕτως, ἅπερ ἂν ἐπετάγη, εἰς ἔργον ἀγαγεῖν ἔσπευδε, μὴ περιεργαζόμενος. καὶ ἵνα μάθῃς, ἄκουε τῶν ἑξῆς. ἐπειδὴ γὰρ τὴν ὑπόσχεσιν ἐποιήσατο πρὸς αὐτὸν C ὁ δεσπότης, καὶ ἐτέλεσε τὴν πρὸς αὐτὸν διάλεξιν, εὐθέως ὁ δίκαιος τὰ κελευσθέντα ἐπλήρου, καὶ τὸ σημεῖον τὸ παρὰ τοῦ Θεοῦ κελευσθὲν ἐπετίθει τῷ Ἰσμαὴλ, τὴν περιτομὴν λέγω, καὶ πᾶσι τοῖς οἰκογενέσι, καὶ τοῖς ἀργυρωνήτοις, καθὰ ἐλάλησεν αὐτῷ ὁ Θεός. περιετέμετο δὲ καὶ αὐτός. ἐνενήκοντα γὰρ καὶ ἐννέα ἐτῶν ἦν, φησιν, ἡνίκα περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. Ἰσμαὴλ δὲ ἦν ἐτῶν δεκατριῶν. μὴ νομίσῃς ἁπλῶς ἡμῖν τῶν ἐτῶν τὸν ἀριθμὸν τὴν γραφὴν ἐπισημήνασθαι, ἀλλ' ἵνα καὶ ἐκ τούτου μάθῃς τοῦ δικαίου τὴν πολλὴν D ὑπακοὴν, ὅτι ἐν ἐσχάτῳ γήρᾳ ὢν πράως ἤνεγκε τὴν ὀδύνην διὰ τὸ τοῦ Θεοῦ ἐπίταγμα, διὰ τοῦτο ποιεῖται τὴν αὐτῶν ἀπαρίθμησιν, καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ ὁ Ἰσμαὴλ καὶ πάντες οἱ οἰκογενεῖς. οὐδὲ γὰρ τὸ τυχόν ἐστιν, ἀγαπητὲ, ὑγιαίνουσαν σάρκα ἀποτέμνειν καὶ κακῶς ἔχουσαν. εἰ γὰρ καὶ ἰατρῶν παῖδες μέλη ἀῤῥωστήσαντα ἀποτέμνουσιν· ἀλλ' οὐκ ἴση γίνεται τότε ἡ ὀδύνη. νεκρωθὲν γὰρ, ὡς εἰπεῖν, λοιπὸν καὶ τῆς ζωτικῆς δυνάμεως ἀποστερηθὲν ἐκτέμνουσιν. ἐνταῦθα δὲ γέρων καὶ πρεσβύτης· ἑκατὸν γὰρ ἐτῶν ἐτύγχανε·

Quòd ſi in peccatis fuerint, & aduerſa eis eueniant, ne propterea grauatim ferant, ſcientes quia ſemper peccatores purificantur aduerſis, modo cum gratiarum actione ſuſcipiamus ea quæ eueniunt. Grati enim famuli eſt, non ſolùm gratias agere domino, quando vbertim pro ſententia omnia ſuccedunt: ſed & vt in aduerſis eandem grati animi ſignificationem det. Sic enim patriarcha ille celebris & illuſtris fuit, & tantam apud Deum obtinuit fiduciam, & dona accepit quæ ſupra humanam ſunt naturam. Sed operæprecium eſt vt ad inſtitutum ſermonem redeamus, & videamus iuſti obedientiam: & quomodo fecit quòd à Deo imperatum eſt, non quærens cauſam, neque rationem exigens, ſicut multi inſipientes faciunt, & de his quæ à Deo fiunt curioſè quærunt, & dicunt: Quare hoc, & quare illud? & quæ hinc, vel quæ illinc vtilitas enaſcitur? At non ad eum modũ fecit iuſtus: ſed ſicut famulus diligens dominũ, quæcunque præcepiſſet implere ſtuduit, nihil vlterius percontãs: & vt diſcas, audi quę ſequuntur. Poſtquam enim Dominus promiſſionem ei fecit, & compleuit ſermonem ſuum, ſtatim iuſtus quæ imperata fuerũt perfecit, & ſignũ hoc quod à Deo erat datũ, indidit Iſmaëli, circumciſionẽ dico, & omnibus vernaculis & emptitiis, ſicut locutus eſt ei Deus. *Circumciſus eſt autem & ipſe. Nonaginta enim & nouem annorum erat,* inquit, *quando circũcidit carnem præpucij ſui: Iſmaël autẽ erat annorũ tredecim.* Ne putes abſque cauſa ſcripturã proponere nobis numerum annorum: Nam vt ex hoc diſcas iuſti magnam obedientiã, quòd cùm iam in decrepita eſſet ætate, leniter tulerit dolorẽ propter pręceptũ Dei, propterea facit illam enumerationẽ, & nõ ipſe ſolùm, ſed & Iſmaël, & omnes vernaculi circumciduntur. Neq; hoc paruum & leue fuerit. Nõ enim idẽ eſt cariſſime carnẽ ſanam, & malè habentem ſecare. Nam etſi medici quoque membra morbida aliquãdo incidunt, at non eſt ſimilis dolor. Emortuum enim membrũ, vt ita dicã, iam, & vitali operatione deſtitutum tunc incidũt: hîc autem ſenex & decrepitus (centum enim annorũ erat)

cruciatum leniter tulit, ſimul & præceptum Dei implere volens, & filium & vernaculos omnes promptiores reddens, vt ne cunctarentur, ſed magna alacritate Dei præceptum implerent. Vidiſti quanta res ſit vir præſtans virtute, quomodo miniſtros omnes docet vt ſua veſtigia ſequantur? Nam id quod heri dicebam, hoc item & nunc dico, quòd propter hoc ferè ex illo die præceptum fuit à Deo, vt immatura ætate hoc ferrent pueri, quò abſque ſenſu inciſionem carnis ferrent. Verùm conſidera Dei benignitatem, & ineffabilem eius erga nos beneficentiam. Illa enim circumciſio dolorem habuit & laborē: & nulla alia ex circumciſione fuit vtilitas, quàm hæc ſola, quòd ex hoc ſigno dignoſci poſſent, & ab aliis gentibus ſequeſtrarentur. Noſtra autem circumciſio, vel baptiſmatis inquam gratia, medicinam habet citra dolorem, & innumera bona nobis affert, & Spiritus ſancti gratia nos implet, & nullum definitum habet tempus ſicut illic: ſed licet & in prima, & in media, & in vltima ætate hanc non manufactam circumciſionem recipere, in qua non ſuſtinetur labor, ſed peccatorum deponuntur onera, & remiſſio inuenitur omnium peccatorum, quæ per totam vitam geſta ſunt. Quippe cùm benignus Deus vidit grauem noſtram infirmitatem, & quòd ægrotaremus incurabiliter, ſummáque indigeremus medicina, ac ineffabili benignitate diſpenſans noſtram ſalutem, largitus eſt nobis per lauacrum regenerationis innouationem: vt depoſito homine vetere, hoc eſt, operibus malis, & induti nouum, in via virtutis incedamus. Verùm iterum oro, ne deteriores ſimus ingratis & inſenſatis deteriores Iudæis. Illi enim ſuſcipientes circumciſionis ſignaculum, ſatis ſibi cauebant, ne vltra cum gentibus ſe miſcerent, quantum ad communionis rationem pertinet: quantum autem ad impietatem, ſæpe illos ingrati facti ſuperabant. Nos verò cùm ſemel ſuſcepimus baptiſmi circumciſionem, ita ſecurè noſtra diſpenſemus. Non dixerim quòd non liceat nobis verſari inter gentes:

A πράως ἤνεγκε τὴν ὀδύνην, ὁμοῦ καὶ τὸ τοῦ θεοῦ ἐπίταγμα εἰς ἔργον ἀγαγεῖν σπεύδων, καὶ τὸν υἱὸν καὶ τοὺς οἰκογενεῖς ἅπαντας προθυμοτέρους ἐργαζόμενος, ὥστε μὴ ἐνδοιάσαι, ἀλλὰ μετὰ πολλοῦ τοῦ τάχους τὸ παρὰ τοῦ θεοῦ προσταχθὲν ἐπιτελέσαι. εἶδες ὅσον ἐστὶν ἀνὴρ ἐνάρετος, ὅπως καὶ τοὺς ὑπηρετουμένους ἅπαντας ἐπαίδευσε κατ᾽ ἴχνος αὐτοῦ βαίνειν; ὅπερ γὰρ χθὲς ἔλεγον, τοῦτο πάλιν καὶ νῦν ἐρῶ, ὅτι διὰ τοῦτο λοιπὸν ἐξ ἐκείνου πρόσταγμα γέγονε παρὰ τοῦ θεοῦ, ὥστε ἐν ἀώρῳ τῇ ἡλικίᾳ τοῦτο ὑπομένειν τοὺς παῖδας, ἵνα ἐν ἀναισθησίᾳ τὴν ἐκτομὴν τῆς
B σαρκὸς ὑπομένοντες μηδεμίαν τῆς ὀδύνης πεῖραν λάβωσιν. ἀλλὰ σκόπει μοι, ἀγαπητὲ, τοῦ θεοῦ τὴν φιλανθρωπίαν καὶ τὴν ἄφατον περὶ ἡμᾶς εὐεργεσίαν. ἐκεῖ καὶ ὀδύνη καὶ πόνος ἐκ τοῦ γινομένου, καὶ οὐδὲν ἕτερον ἐκ τῆς περιτομῆς ὄφελος ἦν, ἢ τοῦτο μόνον, τὸ διὰ τοῦ σημείου τούτου γνωρίμους αὐτοὺς εἶναι, καὶ τῶν λοιπῶν ἐθνῶν κεχωρίσθαι. ἡ δὲ ἡμετέρα περιτομὴ, ἡ τοῦ βαπτίσματος λέγω χάρις, ἀνώδυνον ἔχει τὴν ἰατρείαν, καὶ μυρίων ἀγαθῶν πρόξενος γίνεται ἡμῖν, καὶ τῆς τοῦ πνεύματος ἡμᾶς ἐμπίπλησι
C χάριτος, καὶ οὐδὲ ὡρισμένον ἔχει καιρὸν, καθάπερ ἐκεῖ, ἀλλ᾽ ἔξεστι καὶ ἐν ἀώρῳ ἡλικίᾳ, καὶ ἐν μέσῃ, καὶ ἐν αὐτῷ τῷ γήρᾳ γενόμενόν τινα, ταύτην δέξασθαι τὴν ἀχειροποίητον περιτομὴν, ἐν ᾗ οὐκ ἔστι πόνον ὑπομεῖναι, ἀλλ᾽ ἁμαρτημάτων φορτία ἀποθέσθαι, καὶ τῶν ἐν παντὶ χρόνῳ πλημμελημάτων τὴν συγχώρησιν εὑρέσθαι. ἐπειδὴ γὰρ εἶδεν ὁ φιλάνθρωπος θεὸς τῆς ἀσθενείας ἡμῶν τὴν ὑπερβολὴν, καὶ ὅτι ἀνίατα νοσοῦντες μεγάλης δεόμεθα τῆς ἰατρείας, καὶ ἀφάτου τῆς φιλανθρωπίας, οἰκονομῶν
D τὴν ἡμετέραν σωτηρίαν ἐχαρίσατο ἡμῖν τὴν διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἀνακαίνισιν, ἵνα ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον, τουτέστι τὰς πράξεις τὰς πονηρὰς, καὶ ἐνδυσάμενοι τὸν νέον, ἐπὶ τὴν τῆς ἀρετῆς ὁδὸν βαδίζωμεν. ἀλλὰ παρακαλῶ, μὴ τῶν ἀγνωμόνων, τῶν ἀναισθήτων χείρους γενώμεθα Ἰουδαίων. ἐκεῖνοι μὲν γὰρ δεξάμενοι τὸ σημεῖον τοῦτο τῆς περιτομῆς, εἶχον ἱκανὴν ἀσφάλειαν πρὸς τὸ μηκέτι συναναμίγνυσθαι τοῖς ἔθνεσι κατὰ τὸν τῆς κοινωνίας λόγον. κατὰ γὰρ τὴν ἀσέβειαν πολλάκις καὶ αὐτοὺς καὶ ὑπερηκόντισαν ἀγνώμονες γεγονότες. ἀλλ᾽ ἡμεῖς ἅπαξ δεξάμενοι τὴν διὰ τοῦ βαπτίσματος περιτομὴν, μετὰ ἀσφαλείας τὰ καθ᾽ ἑαυτοὺς οἰκονομήσωμεν· οὐ λέγω ἵνα μὴ συναναμιγνυώμεθα τοῖς ἔθνεσιν,

ἀλλ' ἵνα ἐπὶ τῆς οἰκείας ἀρετῆς μένοντες, καὶ A ἐκείνοις συναναμιγνύμενοι ἕλκωμεν αὐτοὺς εἰς τὴν εὐσέβειαν, καὶ διὰ τῆς τῶν ἀγαθῶν ἔργων πολιτείας, διδασκαλίας αὐτοῖς ὑπόθεσις γινώμεθα. διὰ γὰρ τοῦτο καὶ ὁ κοινὸς ἁπάντων δεσπότης συνεχώρησεν ἀναμεμίχθαι καὶ τοὺς πονηροὺς καὶ τοὺς ἀγαθούς, καὶ τοὺς εὐσεβεῖς καὶ τοὺς ἀσεβεῖς, ἵνα οἱ πονηροὶ κερδαίνωσιν ἀπὸ τῶν ἀγαθῶν, καὶ οἱ ἐν ἀσεβείᾳ ἔτι κατεχόμενοι χειραγωγῶνται πρὸς τὴν εὐσέβειαν. οὐδὲν γὰρ οὕτω τῷ θεῷ περισπούδαστον, ὡς σωτηρία ψυχῆς. μὴ τοίνυν ἀμελῶμεν, παρα- B καλῶ, μήτε ἑαυτῶν, μήτε τῶν πλησίον· ἑαυτῶν μὲν, διὰ τοῦτο καθ' ἑαυτοὺς οὕτως οἰκονομεῖν ὡς δοκεῖ τῷ θεῷ τῶν δὲ πλησίον, ἵν' οὕτω λάμπωμεν ἐν ἀρετῇ, ὥστε καὶ σιγώντων ἡμῶν ἱκανὴν ἔχειν διδασκαλίαν τοὺς εἰς ἡμᾶς ὁρῶντας. ὥσπερ οὖν ἐνάρετοι ὄντες τὰ μέγιστα καὶ αὐτοὶ κερδαίνομεν, καὶ τοὺς ἀπίστους ὠφελήσομεν, οὕτως, εἰ ῥᾳθυμήσαιμεν, καὶ αὐτοὶ πολλὴν ὑποστησόμεθα τὴν κόλασιν, καὶ ἑτέροις σκανδάλου ὑπόθεσις γενησόμεθα. καθάπερ γὰρ τὴν ἀρετὴν μετιόντες διπλῆν τὸν μισθὸν παρὰ τοῦ θεοῦ καρπούμεθα, καὶ C ὑπὲρ ὧν αὐτοὶ ταύτην μετίωμεν, καὶ ὑπὲρ ὧν τοὺς πλησίον ἐφελκώμεθα εἰς τὴν τῆς ἀρετῆς κοινωνίαν· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς κακίας, οὐχ ὑπὲρ ὧν ἡμαρτήκαμεν κολαζόμεθα μόνον, ἀλλ' ὑπὲρ ὧν καὶ ἑτέρους ὑποσκελίζομεν. ἀλλὰ μὴ γένοιτο τῶν ἐνταῦθά τινα συνιόντων τοιοῦτον γενέσθαι, ἀλλὰ πάντας ἡμᾶς πρὸς οἰκοδομὴν τῶν ὁρώντων τὸν ἑαυτῶν βίον ἰθύνειν, ἵνα δυνηθῶμεν μετὰ παρρησίας στῆναι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῆναι, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φι- D λανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ſed licet cum illis verſemur, noſtram tamen cuſtodiamus virtutem: ſic eos ad noſtram trahentes religionem, vt per bonorum operum conuerſationem, doctrinæ eis autores ſimus. Ea enim de cauſa communis omnium dominus permiſit ſimul verſari bonos & malos, pios & impios, vt boni lucrifaciant malos, & qui in malitia adhuc ſunt detenti, manuducantur ad pietatem. Nihil enim adeo ſtudioſè affectat Deus, vt ſalutem animarum. Proinde obſecro, ne curam abiiciamus neque noſtri neque aliorum. Quantum ad nos attinet, ita inſtituamus vitam, vt viſum eſt & probatur Deo: quantum autem ad proximum, ſic luceamus virtutibus, vt etiam ſilentibus nobis, omnes quotquot nos vident, ſatis doceantur. Nam ſicut ſi virtute præditi ſumus, maxima & ipſi lucramur, & infidelibus vſui ſumus: ita ſi negligentes fuerimus, & ipſi magnam feremus pœnam: & aliis occaſio ſcandali erimus. Et ſicut virtutem amplexati, duplicem mercedem à Deo accipimus, tum quòd ipſi virtutem exerceamus, tum quòd alios ad virtutis communionem trahamus: ita & in peccatis non ſolùm punimur quòd ipſi peccauimus, ſed & quòd aliis ſcandalo fuimus. Verùm abſit vt aliquis eorum qui hîc ſunt, talis fiat, ſed omnes nos ad ædificandum eos qui nos vident, vitam inſtituamus, vt poſſimus magna fiducia ſtare apud tribunal Chriſti, & ineffabilia illa bona conſequi. Quæ nobis omnibus concedantur, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri & ſancto Spiritui ſit gloria, honor, & imperium, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A

HOMILIA XLI.

Gen. 18. 1. *Apparuit autem eis Deus apud quercum Mambre, ſedente ipſo ad ianuam tabernaculi ſui meridie.*

CVNCTABVNDVS hodie, nec admodum alacris ad docendum enarrandúmque accedo. Nam cùm mente repeto, quòd nobis quotidie inſonãtibus, admonentibus, & ſpirituale hoc vobis conuiuium apponentibus, multi ex his ipſis qui aſſunt, & ſpiritualis huiꝰ doctrinæ, ac tremẽdæ terribiliſque mẽſæ ſunt participes, totos dies in ſpectandis ludis equeſtribus perdunt, & perinde atque non doceremus, tam nihil proficiunt, ſed quaſi conſuetudini cuipiam ſeruientes, ſi tantum annuat eis diabolus, ſua ſpõte accelerant ad impia illa ſpectacula, & ſeipſos voluntarij maligni dæmonis illaqueant retibus, & neque noſtra admonitio, neque periculum ipſum, neque inutilis ipſa conuerſatio, docere eos poſſunt. Qua ergo poſthac promptitudine docebo viros, quibus non eſt animus, vt ex iis quæ à nobis dicuntur proficiant? Et ne mireris. Siquidem & agricola, cùm poſt multos labores & ærumnas ſterilem videt agrum, neque digna laboribus mercede reſpondentem, non pari alacritate illum ſeminat & colit. Et medicus qu que videns infirmum ſuis mandatis non obtemperare, ſed vacantem quotidie his quæ morbum incrudeſcere faciunt, ſæpenumero in ſua illum ægritudine relinquit, vt experiẽtia ipſa vtatur magiſtra, & ea quid ſibi proſit, ediſcat. Similiter & qui diſciplinas pueros docent, vidẽtes illos priora reſpuere, & abiicere eorum quæ antea edocti ſunt memoriam, ſæpe auerſantur: ſic negligentiã eorum correcturi, & ad maius ſtudium reducturi. Verumtamen agricola quidem meritò tardior ſæpe fit, quia videt damnũ ſuum maius fieri, vtpote qui laborẽ & ſumptꝰ ferat, & fructibꝰ deſtituatur. Medicꝰ autem non immeritò ægrũ ſæpe relinquit: corpus enim eſt ꝙ curatur,

Ὁμιλία μα.

Ὤφθη δὲ ὁ θεὸς τῷ Ἀβραὰμ πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας.

Ὀκνῶ καὶ ἀναδύομαι σήμερον πρὸς τὴν τῆς διδασκαλίας ἐξήγησιν. ὅταν γὰρ ἐννοήσω, ὅτι καθ' ἑκάστην ἡμέραν ἡμῶν ἐνηχούντων, παραινούντων, παρατιθέντων ὑμῖν τὴν πνευματικὴν ταύτην ἑστίασιν, B πολλοὶ τῶν ἐνταῦθα παραγινομένων, καὶ μετεχόντων τῆς πνευματικῆς ταύτης διδασκαλίας, καὶ τῆς φρικτῆς καὶ φοβερᾶς τραπέζης, ἐπὶ ταῖς ἱπποδρομίαις διημερεύουσι, καὶ οὐδὲν αὐτοῖς πλέον ἀπὸ τῆς ἡμετέρας γίνεται σπουδῆς· ἀλλὰ καθάπερ συνηθείᾳ τινὶ δουλεύοντες, ἐπειδὰν νεύσῃ μόνον ὁ διάβολος, αὐτόματοι σπεύδουσιν ἐπὶ τὰ παράνομα ἐκεῖνα θέατρα, καὶ ἑαυτοὺς ἑκόντες τοῖς δικτύοις περιβάλλουσι τοῦ πονηροῦ δαίμονος, καὶ οὔτε ἡμετέρα νουθεσία, οὔτε ἡ πεῖρα αὐτή, καὶ τὸ ἀνόνητον τῆς ἐκεῖ διατριβῆς, διδασκαλίας αὐτοῖς ὑπόθε- C σις γέγονε, ποίᾳ λοιπὸν προθυμίᾳ τὰ τῆς διδασκαλίας ποιήσαιμι πρὸς ἄνδρας οὐδὲν κερδαίνειν βουλομένους ἐκ τῶν παρ' ἡμῶν λεγομένων; καὶ μὴ θαυμάσῃς· ἐπεὶ καὶ γηπόνος, ἐπειδὰν ἴδῃ μετὰ πόνους πολλοὺς καὶ ταλαιπωρίας ἄγονον γινομένην τὴν γῆν, καὶ οὐκ ἀξίαν τῶν πόνων τὴν ἀμοιβὴν παρεχομένην, ὀκνηρότερος γίνεται περὶ τὴν τοῦ σπέρματος καταβολήν, καὶ οὐκ ἔτι μετὰ τῆς αὐτῆς προθυμίας τῆς γεωργίας καθάπτεται. καὶ ἰατρὸς δέ, ἐπειδὰν ἴδῃ τὸν ἄρρωστον μὴ πειθόμενον αὐτοῦ τοῖς ἐπιτάγμασιν, ἀλλὰ τὰ τὴν νόσον αὔξειν καθ' ἑκάστην ἐπιτηδεύοντα, πολλάκις ἀφίη- D σιν ἐναπομεῖναι τῇ νόσῳ, ἵνα αὐτὴ ἡ πεῖρα διδάσκαλος αὐτῷ γένηται τῶν συμφερόντων. καὶ οἱ τὰ μαθήματα δὲ τοὺς παῖδας ἐκπαιδεύοντες, ἐπειδὰν ἴδωσι τὰ πρότερα ἀποπτύοντας, καὶ τὴν μνήμην τῶν ἤδη δοθέντων ἀποβάλλοντας, πολλάκις ἀποστρέφονται τὴν ῥᾳθυμίαν διορθούμενοι, καὶ πρὸς σπουδὴν πλείονα ἐπανάγοντες. ἀλλ' ὁ μὲν γηπόνος εἰκότως ὀκνηρότερος γίνεται πολλάκις, ἐπειδὴ οἶδεν ὅτι τὰ τῆς ζημίας αὐτῷ ἐπιτείνεται, ὅταν τὸν μὲν πόνον καὶ τὴν δαπάνην ὑπομένῃ, τῶν δὲ καρπῶν ἀποστερῆται· καὶ ὁ ἰατρὸς δὲ οὐκ ἀπεικότως καταλείπει πολλάκις τὸν ἄρρωστον (σῶμα γάρ ἐστι τὸ θεραπευόμενον,

A καὶ διὰ τοῦτο ἀφίησιν, ἵνα ἡ τῆς ὀδύνης ἐπίτασις παρασκευάσῃ εἰς αἴσθησιν τῆς νόσου ἐλθεῖν, καὶ οὕτω τὴν ἰατρείαν καταδέξασθαι· καὶ ὁ τῶν παίδων διδάσκαλος διὰ τὸ ἀτελὲς τῆς ἡλικίας συμφερόντως πολλάκις τὰς πληγὰς ἐπιδιατείνεται τοῖς παισίν. ἀλλ' ἡμεῖς σήμερον τούτους ἅπαντας ὑπερβαλλόμενοι παρασκευαζόμεθα πατρικὴν φιλοστοργίαν περὶ τοὺς ἐπταικότας ἐπιδείξασθαι, καὶ διδάξαι αὐτοὺς ὅτι, εἰ ἐπιμένοιεν ἐν τῇ αὐτῇ ῥᾳθυμίᾳ, τοῦτο αὐτὸ μείζονος αὐτοῖς κατακρίσεως ὑπόθεσις ἔσται. ὁ μὲν γὰρ γηπόνος οὐ μετὰ τῆς αὐτῆς προθυμίας καταβάλλει τὰ σπέρματα, τὴν δαπάνην ἐννοῶν εἰκῇ καὶ μάτην ἤδη γεγενημένην· B ἡμεῖς δὲ ταύτης ἀπηλλάγμεθα τῆς ἀγωνίας. κἂν γὰρ καταβαλόντες τὸν σπόρον τοῦτον τὸν πνευματικόν, διὰ τὴν ῥᾳθυμίαν τῶν ἀκουόντων τὸν καρπὸν μὴ δεχώμεθα, ἡμῖν ἀπηρτισμένος ὁ μισθὸς ἔσται. τὸ γὰρ ἐμπιστευθὲν ἀργύριον κατεβάλομεν, καὶ τὸ ἐπιταχθὲν παρὰ τοῦ δεσπότου εἰς ἔργον ἠγάγομεν· λοιπὸν τοῖς ἀκηκοόσιν ὁ λόγος πρὸς ἐκεῖνόν ἐστι τὸν μέλλοντα μετὰ τόκων ἀπαιτεῖν τὰ καταβληθέντα. ἀλλ' οὐ τοῦτο σκοποῦμεν, ὅτι ἡμεῖς ἐκτός ἐσμεν τῆς ζημίας, καὶ τὸ ἑαυτῶν πεπληρώκαμεν, ἀλλὰ βουλόμεθα καὶ ὑμᾶς C πολλὴν τῶν καταβληθέντων τὴν πραγματείαν ποιήσασθαι, ἵνα μὴ τῇ τιμωρίᾳ ἐκείνῃ ὑπεύθυνοι γένησθε, ἣν ὑπέμεινεν ἐκεῖνος ὁ τὸ τάλαντον καταχώσας, καὶ τὸ δεσποτικὸν ἀργύριον οὐ μόνον οὐ πολυπλασιάσας, ἀλλὰ καὶ κατορύξας. τοιοῦτοί εἰσιν οἱ τὸν λόγον τῆς διδασκαλίας δεχόμενοι· τάλαντον γὰρ καὶ ἀργύριον τοῦτο καλεῖ· καὶ οὐ σπουδάζοντες καρποφορῆσαι καὶ πολλὴν τὴν πραγματείαν ποιήσασθαι. ἀλλ' ἴσως εἴποι τις ἂν τὴν παραβολὴν ταύτην τὴν τῶν ταλάντων περὶ τῶν διδασκάλων εἰρῆσθαι. κἀγὼ τοῦτό φημι. ἀλλ' ἐὰν D ἐπέλθωμεν αὐτὴν ἀκριβῶς, εἴσεσθε ὅτι οἱ μὲν διδάσκαλοι τῆς καταβολῆς μόνον ὑπεύθυνοι τυγχάνουσιν· ὑμεῖς δὲ οὐ μόνον τῆς φυλακῆς τῶν καταβληθέντων, ἀλλὰ καὶ τῆς πραγματείας. καὶ ἵνα μάθῃς, ἀναγκαῖον αὐτὴν εἰς μέσον ἀγαγεῖν. οἰκοδεσπότης τίς, φησιν, ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ ἔδωκεν ᾧ μὲν πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν. μετὰ δὲ χρόνον παραγενομένου αὐτοῦ ἦλθον οἱ δοῦλοι· καὶ ὁ τὰ πέντε τάλαντα λαβὼν προσῆλθε λέγων, κύριε, πέντε τάλαντά μοι ἔδωκας, ἴδε, ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς.

& propter hoc dimittit, vt doloris acceſſio morbum ſentiri faciat, & ſic tandem medicinam non reſpuat. Magiſter autem ludi, eò quod tenera ſunt ætate, vtiliter nonnunquam plagis pueros caſtigat. Verum nos hodie præcellentes illos omnes, hoc agemus vt paternum erga lapſos amorem declaremus: & doceamus, ſi in illa negligentia manſerint, eos inde maiorem condemnationis cauſam habituros. Nam agricola quidem non pari alacritate ſeminat, cogitans ſumptus hactenus fuiſſe inutiles: nos autem ab hac cura liberi ſumus. Nam licet iacto ſpirituali ſemine, ob auditorum ignauiam fructum non capiamus, perfecta nobis tamen futura merces: pecuniam enim concreditam expendimus, & mandatum domini impleuimus: cæterũ poſthac auditores rationem reddent ei qui cum vſura repetiturus eſt concredita. Verùm hoc nos non conſideramus, quòd extra damnum ſumus, & quod noſtrum eſt implemus: ſed volumus vt & vos ex dinumeratis pecuniis multum negociemini, vt ne obnoxij fiatis ſupplicio, quod luit ille qui talentum recondidit, & dominicam pecuniam non ſolùm non multiplicauit, ſed & ipsã in terrà defodit. Tales enim ſũt, qui doctrinę ſermones audiũt (talentum enim hoc vocat, & pecuniam,) neque operam dant vt fructum afferant. Sed fortè dixerit quiſpiam, parabolam iſtam talentorum de doctoribus eſſe dictam: & ego hoc non nego. Verùm ſi diligenter eam intueamini, ſcitis quòd doctores quidem debent dinumerare pecuniam: ſed vos non ſolùm eam ſeruare, ſed & ſimiliter negociari debetis. Atque vt diſcas, operæprecium fuerit eam in medium afferri. Paterfamilias quidam, inquit, peregrè proficiſcens, vocauit ſeruos ſuos, & dedit vni quidem talenta quinque, alij autem duo, alij verò vnum. Poſt multum autem tempus, cùm adueniſſet ipſe, venerunt ſerui: & ille quidem qui acceperat quinque talenta, acceſſit dicens: Domine, quinque talenta tradidiſti mihi, ecce alia quinque talenta ſuperlucratus ſum.

Nõ fraudatur mercede, qui auditores non flectit.

A Magna ſerui gratitudo, larga etiam domini benignitas. Et quid dicit? Euge ſerue bone & fidelis, ſuper pauca fuiſti fidelis, ſuper multa te conſtituam: ingredere in gaudium domini tui. Quoniā, inquit, in iis quæ tibi credita ſunt, multam præ te tuliſti gratitudinē, dignus es cui & maiora tradantur. Acceſſit autem & qui duo talenta acceperat, dicēs: Nónne duo talenta mihi tradidiſti? ecce alia duo lucratus ſum in eis. Habuit & ille in pecuniis domini ſui debitam curam, B & beneuolentiam, vnde & eadem quæ ſuperior meritus eſt. Et quare ille qui duo attulit talenta, eundem conſequitur honorem, quem ille qui talēta quinque attulerat? meritò: accretionem enim & imminutionem, non vel huius diligentia, vel illius negligentia fecit, ſed concreditorum quantitas. Nam quòd ad diligētiam attinet, ambo pares fuerunt, proinde & eandē remunerationē nacti ſunt. Verùm alius ille nihil tale fecerat: ſed quid? Acceſſit, dicēs: Cognoui te, C quòd auſterus homo ſis, metens vbi non ſeminaſti, & congregans vbi non ſparſiſti: & reueritus abij & occultaui talentū in terra. Ecce habes quod tuum eſt. O malitiam famuli, ô immenſam ingratitudinem. Nam non ſolùm contempſit, & nihil negotiatus eſt talento ſibi concredito, ſed & pro talento accuſationem attulit. Ita enim ſolet malitia, obtenebrat rationem, & eum qui ſemel à recta via eſt auerſus, in præceps ferri facit. Hæc autem omnia de magiſtris dicta ſunt, vt talenta ſibi concredita non abſcō- D dant, ſed omni diligentia diſcere cupientibus apponant. Verùm vltrà audi dilecte ex indignatione erga illū, quomodo & diſcipuli rei ſunt, & non ſolùm illa repetuntur quæ concredita, ſed & cū fœnore operatio quæritur. Quid igitur dicit illi dominus? Serue maligne. Terribilis indignatio, & minæ valentes per ſe percellere animum. Sciebas, inquit, quòd metam vbi non ſemino, & cōngregem vbi non diſperſi: oportebat igitur te pecuniam meam dinumerare menſariis, & ego cùm veniſſem, cum fœnore repetiſſem illam: Pecuniam dicēs eloquia precioſa: nummularios autem vos qui ſuſcipitis,

A πολλὴ τοῦ οἰκέτου ἡ εὐγνωμοσύνη, δαψιλὴς ἡ τοῦ δεσπότου φιλανθρωπία. τί γάρ φησιν; εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. ἐπειδὴ, φησι, πολλὴν ἔδειξας ἐν τοῖς ἤδη πιστευθεῖσι τὴν εὐγνωμοσύνην, ἄξιος εἶ καὶ πλείονα ἐγχειρισθῆναι. προσῆλθε δὲ καὶ ὁ τὰ δύο τάλαντα εἰληφὼς λέγων, οὐχὶ δύο τάλαντά μοι παρέδωκας; ἴδε, ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. πολλὴ καὶ τούτου ἡ περὶ τὰ δεσποτικὰ B χρήματα εὔνοια, διὸ καὶ τῆς αὐτῆς ἀξιοῦται τῷ προτέρῳ. καὶ τίνος ἕνεκεν δύο προσενεγκὼν τάλαντα τῆς αὐτῆς ἐκείνῳ τῷ τὰ πέντε προσαγαγόντι ἀξιοῦται τιμῆς; εἰκότως. τὸν μὲν γὰρ πλεονασμὸν καὶ τὴν ἐλάττωσιν οὐχ ἡ τούτου σπουδὴ, οὐδὲ ἡ ἐκείνου ῥαθυμία πεποίηκεν, ἀλλ' ἡ τῶν ἐμπιστευθέντων ποσότης. τὰ μέντοι τῆς σπουδῆς ἴσα καὶ παρὰ τούτου καὶ παρ' ἐκείνου εἰσενήνεκται. διὰ τοῦτο καὶ τῆς ἀμοιβῆς τῆς αὐτῆς ἀπήλαυσαν. ἀλλ' ὁ ἕτερος οὐδὲν τοιοῦτον διεπράξατο. ἀλλὰ τί; προσῆλθε λέγων, ἔγνων σε ὅτι σκλη- C ρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας, καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ. ἰδοὺ, ἔχεις τὸ σόν. ὢ κακία οἰκέτου· ὢ ἀγνωμοσύνης ὑπερβολὴ, οὐ μόνον ὅτι οὐδὲν εἰργάσατο ἐπὶ τῷ δοθέντι αὐτῷ ταλάντῳ, ἀλλ' ὅτι καὶ ἀντὶ ταλάντου κατηγορίαν προσήνεγκε. τοιοῦτον γὰρ ἡ πονηρία. σκοτοῖ τὸν λογισμὸν, καὶ κατὰ κρημνῶν ποιεῖ φέρεσθαι τὸν ἅπαξ τῆς εὐθείας ἐκτραπέντα ὁδοῦ. ταῦτα δὲ πάντα περὶ τῶν διδασκάλων εἴρηται, ὥστε μὴ ἀποκρύπτεσθαι τὰ ἐμπιστευθέντα, ἀλλὰ μετὰ πά- D σης σπουδῆς παρατιθέναι τοῖς μαθητευομένοις. ἀλλ' ἄκουε λοιπὸν, ἀγαπητὲ, ἐκ τῆς πρὸς ἐκεῖνον ἀγανακτήσεως, ὅπως καὶ οἱ μαθητευόμενοι ὑπεύθυνοι γίνονται, καὶ οὐκ ἐκεῖνα μόνον ἀπαιτοῦνται τὰ καταβληθέντα, ἀλλὰ καὶ μετὰ τοῦ τόκου τὴν μέθοδον ὑπομένουσι. τί οὖν φησι πρὸς αὐτὸν ὁ δεσπότης; πονηρὲ δοῦλε. φοβερὰ ἡ ἀγανάκτησις, ἱκανὴ καταπλῆξαι ἡ ἀπειλή. εἰ ᾔδεις, φησὶν, ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅπου οὐ διεσκόρπισα, ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοῖς τραπεζίταις, καὶ ἐγὼ ἐλθὼν μετὰ τόκου ἀπῄτησα ἂν αὐτό, ἀργύριον λέγων τὰ λόγια τὰ τίμια, τραπεζίτας δὲ ὑμᾶς καλῶν τοὺς ὑποδεχομένους.

σὸν μὲν ἦν, φησι, καταβαλεῖν μόνον, ἐμὸν δὲ ἦν τὸ παρ' ἐκείνων ἀπαιτῆσαι, μὴ μόνον τὰ καταβληθέντα, ἀλλὰ καὶ τὸν ὑπὲρ τούτων τόκον. ὁρᾶτε, ἀγαπητοὶ, πῶς πολὺς ὁ φόβος τῶν εἰρημένων. τί ἂν οὖν εἴποιεν οἱ καὶ τῆς φυλακῆς τῶν καταβληθέντων ἀμελοῦντες, ὅταν καὶ τὸν ὑπὲρ τούτων τόκον μεθοδεύονται; καὶ ὅρα φιλανθρωπίαν δεσπότου. ἐπὶ μὲν τῶν χρημάτων τῶν αἰσθητῶν ἀπηγόρευσε τὸν τόκον λαμβάνειν. τίνος ἕνεκεν καὶ διὰ τί; ὅτι ἑκάτερος αὐτῶν πολλὴν ἐντεῦθεν ὑπομένει τὴν βλάβην. ὁ μὲν γὰρ τῇ πενίᾳ ἐπιτρίβεται, ὁ δὲ μετὰ τοῦ πλεονασμοῦ τῶν χρημάτων καὶ ἁμαρτημάτων πλῆθος ἑαυτῷ ἐπισωρεύει. διὰ τοῦτο ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων Ἰουδαίοις τοῖς παχύτερον διακειμένοις ταύτην τὴν ἐντολὴν ἐνομοθέτησε λέγων, οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου καὶ τῷ πλησίον σου. ποίας οὖν ἂν εἶεν ἀπολογίας ἄξιοι, οἱ καὶ τῶν Ἰουδαίων ὠμότεροι γινόμενοι, καὶ μετὰ τὴν χάριν καὶ τὴν τοσαύτην παρὰ τοῦ δεσπότου φιλανθρωπίαν τῶν ἐν τῷ νόμῳ ἐλάττους εὑρισκόμενοι, μᾶλλον δὲ καὶ χείρους; ἐπὶ μέν τοι τῶν πνευματικῶν αὐτὸς ἀπαιτεῖν ὑπισχνεῖται τοὺς τόκους. διὰ τί; ἐπειδὴ ἀπ' ἐναντίας τοῖς αἰσθητοῖς χρήμασιν οὗτός ἐστιν ὁ τόκος ὁ πνευματικός. ἐκεῖ μὲν γὰρ ὁ μεθοδευθεὶς εἰς ἐσχάτην πενίαν ἀθρόον καταφέρεται. ἐνταῦθα δὲ ὁ μεθοδευόμενος, ὅταν πολλὴν εὐγνωμοσύνην ἐπιδείξηται, ὅσῳ ἂν πλείονα τόκον εἰσενέγκῃ, τοσούτῳ δαψιλεστέρας ἀπολαύει τῆς ἄνωθεν ἀμοιβῆς. ἕκαστος τοίνυν ὑμῶν, ἀγαπητοὶ, ἐπειδὰν καταβάλλωμεν ἡμεῖς τὰ ἐμπιστευθέντα, διπλοῦν ὀφείλει τὸν πόνον καὶ τὴν ἀγρυπνίαν ἐπιδείκνυσθαι, τὸν μὲν τῆς φυλακῆς τῶν καταβληθέντων, ὥστε πάγια ταῦτα μένειν· τὸν δὲ τῆς ἐργασίας, ὥστε καὶ ἑτέροις μεταδιδόναι, καὶ πολλοὺς ἐπὶ τὴν τῆς ἀρετῆς ὁδὸν χειραγωγεῖν, ἵνα διπλῆ πάλιν ὑμῖν τὸ κέρδος αὔξηται, ὑπέρ τε τῆς οἰκείας σωτηρίας, ὑπέρ τε τῆς τῶν ἄλλων ὠφελείας. ἐὰν γὰρ τοῦτο ποιῆτε, καὶ ἡμᾶς μακαρίους ἀπεργάσεσθε· μακάριος γὰρ, φησιν, ὁ λέγων εἰς ὦτα ἀκουόντων· καὶ παρασκευάσετε δαψιλεστέραν ὑμῖν παρατεθῆναι τὴν πνευματικὴν ταύτην τράπεζαν. μὴ τοίνυν ἀμελεῖτε τῶν ἀδελφῶν τῶν ὑμετέρων, μηδὲ τὰ καθ' ἑαυτοὺς μόνον σκοπεῖτε, ἀλλ' ἕκαστος σπουδαζέτω τὸν πλησίον ἐξαρπάζειν τοῦ τοῦ διαβόλου φάρυγγος, καὶ τῶν παρανόμων ἐκείνων θεαμάτων, καὶ εἰς τὴν ἐκκλησίαν ἐπαναγαγεῖν, δεικνύντες αὐτοῖς μετὰ πολλῆς τῆς ἐπιεικείας καὶ τῆς πραότητος, καὶ τῆς λύμης τὴν ὑπερβολὴν, καὶ τῶν ἐνταῦθα ἀγαθῶν τὸ μέγεθος,

A Tuum quidem fuerat, ait, tantum dinumerare, meum autem repetere ab illis, non ſolùm dinumerata, ſed & vſuram. Videtis dilecti, quantus in dictis terror. Quid ergo dicent, qui concredita ſeruare negligunt, quando & lucrum ab eis requiritur? Et vide humanitatem domini. In his ſenſibilibus pecuniis prohibuit, ne quis vſuram acciperet. Quare, & ob quã cauſam? quia vterque magno damno afficitur. Nam debitor quidem inopia atteritur, creditor autem augens diuitias, & peccatorum accumulat ſibi multitudinem. Proinde B ab initio olim Iudæis craſſioribus tale dedit præceptum, dicens: Non fœneraberis fratri tuo & proximo tuo. Deut. 23
Qua igitur excuſatione digni erunt, qui Iudæis ſunt inhumaniores, & poſt gratiam, & tantam à Domino benignitatem inueniuntur his qui ſub lege fuerunt inferiores, immò peiores? In ſpiritualibus enim repetiturum ſe promittit vſuras. Quare? quia omnino diuerſo modo ſe habent ſpiritualis vſura, & ſenſibilis. Illic enim is à quo requiritur ſeuerè, C ſubitò in extremam inopiã defertur: hic autem is à quo exigitur, quando gratitudinem præ ſe tulerit, quantò maiorem vſuram afferet, tantò largiori fruetur cœleſti remuneratione. Quocirca dilecti, cùm vobis concredita dinumerauerimus, vobis neceſſarium erit duplicem afferre laborem & vigilantiam, tum quòd dinumerata cuſtodienda ſunt, vt fixa maneant: tum quòd operandum vt & aliis communicentur, & multos in viam virtutis inducant: vt bifariam vobis lucrum accreſcat, tum pro ſalute veſtra, tum pro aliorũ vtilitate. D Quòd ſi hoc feceritis, & nos reddetis beatos. Beatus enim, inquit, qui dicit in aures audientium: & facietis vt largior vobis hæc ſpiritualis apponatur menſa. Igitur fratres veſtros nolite negligere, neque ſolùm ſpectate quæ ad vos attinent: ſed vnicuique cura ſit quomodo proximum ſuum è diaboli faucibus eripiat, & ab impiis illis ſpectaculis in eccleſiam adducat, monſtrando ei multa lenitate & manſuetudine tum damni grauitatem quod illinc fert, tum bonorum quæ hic conceduntur magnitudinẽ. Eccl. 25. 9.

Et non ſolùm ſemel atque iterum hoc facite, ſed ſemper. Nam etſi hodie verbis tuis non obtemperat, poſtea obtemperabit: & ſi neque ſecundò vel tertiò admonenti obtemperabit: iterum tamen te videns vrgentem, fortè erubeſcet: & reueritus tuam curam, ab his quæ offendunt deſiſtet. Et nunquam dic, quia ſemel, & iterum, & tertiò, & ſæpius dixi, & nihil profeci. Ne dicere deſinas: nam quantò magis tu perſeueraueris, tantò magis & merces tibi creſcet. Non videtis quanta omnium Deus nos longanimitate tolerat, & quomodo quotidie negligimus obtemperare eius mandatis, & neque ſic ceſſat à cura noſtra, ſed omnia ſua ſuppeditat: ſolem oriri facit, pluuias concedit, aliáque omnia? Simili modo & nos erga fratres noſtros bene affecti, magnam faciamus diligentiam, & obluctemur maligno illi dæmoni, vt irritos eius faciamus conatus. Nam ſi ſinguli qui aſſint, vnum lucrifacere poſſent, cogita quantam nobis lætitiam eccleſia multitudine filiorum ſuorum oſtenderet: & diabolus confunderetur, videns in varium & fruſtra extendi ſua retia. Quòd ſi hoc feceritis, audietis & vos in die illo: Euge ſerue bone & fidelis, in pauca fuiſti fidelis, ſupra multa te conſtituam. Cæterùm bona ſpe ſum vos hoc facturos: Video enim vultus veſtros, & coniecturam ſumo quòd admonitionem noſtram magna voluptate acceperitis, atque hinc ſpero vos, quòd veſtrum fuerit, facturos. Proinde hanc admonitionem hîc finiamus: proponamus autem vobis tenuem noſtram ac pauperem menſam, vt cùm ſolitam acceperitis doctrinam, domum concedatis. Operæprecium enim fuerit & hodie in medium afferre patriarcham Abraham, vt diſcatis quantam ab hoſpitalitate mercedem acceperit. Caput 18. *Apparuit autem ei Deus*, inquit, *apud quercum Mambre, ſedente ipſo ad ianuas tabernaculi ſui meridie.* Singula verba diligenter excutiamus, & aperto theſauro, omnes in eo latentes diuitias diſcamus. Apparuit autem ei Deus, inquit. Quare ſic exorſus eſt: Specta domini benignitatem,

A καὶ μὴ μόνον ἅπαξ καὶ δεύτερον τοῦτο ποιεῖτε, ἀλλὰ καὶ διηνεκῶς. κἂν γὰρ σήμερον μὴ πείθηται τοῖς παρὰ σοῦ λεγομένοις, τῇ ἑξῆς πεισθήσεται. κἂν μὴ τῇ ἑξῆς, πάλιν ὁρῶν σε ἐπικείμενον, ἴσως ἐντραπήσεται, καὶ αἰδεσθεὶς σου τὴν κηδεμονίαν, ἀποστήσεται τῶν βλαπτόντων. καὶ μηδέποτε λέγε, ὅτι καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον καὶ πολλάκις εἶπον, καὶ οὐδὲν ἤνυσα. μὴ παύσῃ λέγων. ὅσῳ γὰρ ἂν ἐπιμένῃς, τοσούτῳ σου καὶ ὁ μισθὸς αὔξεται. οὐχ ὁρᾶτε πόσης ἀπολαύομεν μακροθυμίας παρὰ τοῦ τῶν ὅλων θεοῦ, καὶ πῶς καθ' ἑκάστην ἡμέραν παρακούομεν αὐτοῦ τῶν προσταγμάτων, καὶ οὐκ ἀφίσταται τῆς B περὶ ἡμᾶς κηδεμονίας, ἀλλὰ καὶ τὰ παρ' ἑαυτοῦ πάντα χορηγεῖ, τὸν ἥλιον ἀνατέλλων, τοὺς ὑετοὺς διδοὺς, τὰ ἄλλα πάντα; τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους πολλὴν ποιώμεθα τὴν σπουδὴν, καὶ ἀντιπαταττώμεθα τῷ πονηρῷ δαίμονι ἐκείνῳ, ἵνα ἄκυρα αὐτοῦ ποιῶμεν τὰ μηχανήματα. ἐὰν γὰρ ἕκαστος τῶν ἐνταῦθα συνιόντων ἕνα κερδᾶναι δυνηθῇ, ἐννόησον ὅπως ἡμῖν καὶ ἡ ἐκκλησία ἐπὶ τῷ πλήθει τῶν οἰκείων τέκνων πολλὴν δέξεται τὴν εὐφροσύνην, καὶ ὁ διάβολος καταισχυνθήσεται ὁρῶν εἰκῆ καὶ μάτην αὐτοῦ C τὰ δίκτυα τεταμένα. ἐὰν γὰρ τοῦτο ποιῆτε, ἀκούσεσθε καὶ ὑμεῖς κατὰ τὴν ἡμέραν ἐκείνην, εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. ἀλλ' ὅτι μὲν τοῦτο ποιήσετε, σφόδρα πέπεισμαι. ὁρῶ γὰρ ὑμῶν καὶ τὰ πρόσωπα, καὶ στοχάζομαι ὅπως μεθ' ἡδονῆς ἐδέξασθε τὴν παρ' ἡμῶν νουθεσίαν, καὶ διὰ τοῦτο ἐλπίζω καὶ τὰ παρ' ὑμῶν εἰσενεχθήσεσθαι. διὸ τὴν μὲν περὶ τούτου παραίνεσιν ἐνταῦθα στήσωμεν. παραθήσωμεν δὲ ὑμῖν τὴν πτωχὴν ἡμῶν καὶ εὐτελῆ τράπεζαν, ἵνα τῆς συνήθους ἀπολαύσαντες διδασκαλίας οὕτως D οἴκαδε ἐπανέλθητε. ἀναγκαῖον γὰρ καὶ σήμερον τὸν πατριάρχην Ἀβραὰμ εἰς μέσον ἀγαγεῖν, ἵνα μάθητε οἵας ἐδέξατο τῆς φιλοξενίας παρὰ τοῦ θεοῦ τὰς ἀμοιβάς. ὤφθη δὲ αὐτῷ, φησὶν ὁ θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῆ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. ἕκαστον τῶν ῥημάτων μετ' ἀκριβείας ἐξετάσωμεν, καὶ ἀναπτύξωμεν τὸν θησαυρὸν, καὶ ἅπαντα τὸν ἐναποκείμενον πλοῦτον καταμάθωμεν. ὤφθη δὲ αὐτῷ, φησὶν ὁ θεός. τίνος ἕνεκεν οὕτως ἤρξατο, ὤφθη δὲ αὐτῷ ὁ θεός. ὅρα δεσπότου φιλανθρωπίαν, καὶ σκόπει μοι οἰκείαν

εὐγνωμοσύνην. ἐπειδὴ γὰρ ἐν τοῖς προλαβοῦσιν ὀφθεὶς αὐτῷ μετὰ τῶν ἄλλων ἁπάντων καὶ τὴν περὶ τῆς περιτομῆς αὐτῷ ἐντολὴν διετάξατο, ὁ δὲ θαυμαστὸς οὗτος ἀεὶ τὰ παρὰ τοῦ θεοῦ κελευόμενα εἰς ἔργον σπεύδων ἄγειν, εὐθέως οὐδὲ τὸ τυχὸν ἀναβαλλόμενος αὐτός τε περιετέμνετο, τὸ παρὰ τοῦ θεοῦ προσταχθὲν πληρῶν, καὶ τὸν Ἰσμαὴλ περιέτεμε καὶ τοὺς οἰκογενεῖς ἅπαντας, καὶ ἔδειξεν αὐτοῦ τὴν πολλὴν ὑπακοήν, πάλιν αὐτῷ ἐπιφαίνεται. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος. ἐπειδὰν τοῖς ἤδη φθάσασιν εὐγνώμονας γενομένους ἴδῃ, ἐπιδαψιλεύεται καὶ οὐδέποτε ἵσταται τῆς εὐεργεσίας, ἀμειβόμενος τὴν τῶν ὑπακουόντων εὐγνωμοσύνην. διὰ τοῦτο οὖν ἐπειδὴ ὑπήκουσε, φησί, πάλιν ὤφθη αὐτῷ. ταύτης τοίνυν ἕνεκα τῆς αἰτίας οὕτως ἤρξατο ὁ μακάριος Μωυσῆς λέγων, ὤφθη δὲ αὐτῷ ὁ θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. σκόπει μοι ἐνταῦθα τοῦ δικαίου τὴν ἀρετήν. καθημένου, φησὶν, ἐπὶ τῆς σκηνῆς, οὕτως ἔργον ἐποιεῖτο τὴν φιλοξενίαν, ὡς μηδὲ ἀνασχέσθαι ἑτέρῳ τινὶ τῶν προσηκόντων ἐπιτρέψαι τὴν τούτων θήραν· ἀλλὰ τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς ἔχων, ἄνθρωπος πρεσβύτης, καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἑκατονταέτης γὰρ ἐτύγχανε, παρὰ τὴν θύραν ἐκαθέζετο. καὶ οὗτος μὲν τοῦτο ἔργον ἐποιεῖτο, καὶ οὐδὲ τὸ γῆρας αὐτῷ κώλυμα ἐγένετο, οὐδὲ τῆς οἰκείας ἀναπαύσεως ἦν, οὐδὲ ἔσω ἐπὶ τῆς κλίνης ἦν ἀνακείμενος· ἀλλὰ παρὰ τὴν θύραν ἐκαθέζετο. ἕτεροι δὲ πολλάκις οὐ μόνον ταύτην οὐ ποιοῦνται τὴν σπουδὴν, ἀλλὰ καὶ τὸ ἐναντίον, καὶ ἐκκλίνειν ἐπιχειροῦσι τὰς τῶν ἐπιδημούντων συντυχίας, ὡς ἂν μὴ καὶ ἄκοντες ἀναγκασθεῖεν ὑποδέξασθαι. ἀλλ' οὐχ ὁ δίκαιος οὕτως, ἀλλὰ παρὰ τὴν θύραν τῆς σκηνῆς ἐκαθέζετο μεσημβρίας. τοῦτο γὰρ ἡ πολλὴ τῆς φιλοξενίας ἐπίτασις, καὶ τῆς ἀρετῆς τοῦ δικαίου ἡ ὑπερβολὴ, ὅτι καὶ ἐν μεσημβρίᾳ τοῦτο διεπράττετο. εἰκότως· ἐπειδὴ γὰρ ᾔδει τοὺς ὁδοιπορεῖν ἀναγκαζομένους κατ' ἐκεῖνον τὸν καιρὸν μάλιστα δεομένους πολλῆς τῆς θεραπείας, διὰ τοῦτο ὡς ἐπιτήδειον καιρὸν τοῦτον ἐξελέγετο, καὶ καθήμενος ἐθήρα τοὺς παριόντας, οἰκείαν ἀνάπαυσιν κρίνων τὴν τῶν ὁδιτῶν θεραπείαν, καὶ τοὺς ὑπὸ τοῦ καύσωνος φλεγομένους ὑπὸ τὴν σκέπην εἰσάγειν ἐσπούδαζεν, οὐ περιεργαζόμενος τοὺς παριόντας, οὐδὲ ἐξετάζων εἰ γνώριμοι, ἢ εἶεν. ἄγνωστοι οὐ φιλοξενίας γὰρ τὸ μεταδιδόναι τὸ τὰ τοιαῦτα περιεργάζεσθαι

A & conſidera famuli gratitudinem. Poſtquam enim ſuperius apparuit ei, & præter cætera etiam circumciſionis mandatum præcepit: eximius autem iſte vir ſemper quæ à Deo præcepta erant, diligenter perficere, reiecta omni mora, curauit: & circumciſus eſt ipſe, implens mandatum Dei, & Iſmaëlem circumcidit, & vernaculos omnes, & in ſumma miram declarauit obedientiam: iterum ei apparet. Talis enim eſt dominus noſter, vt ſi quando viderit nos in prioribus gratos, accumulet beneficia, & nunquam à
B ſua beneficentia deſiſtat, remunerans obedičtium gratitudinem. Propter hoc igitur, quia obediuit, iterum apparuit ei. Qua de cauſa ſic dixit beatus Moſes: Apparuit autem ei Deus apud quercum Mambre, ſedente eo ad ianuam tabernaculi ſui meridie. Conſidera, oro, hîc virtutem iuſti. *Sedente*, inquit, *ad fores tabernaculi ſui.* Tantopere curabat hoſpitalitatem, vt nollet hoſpitum venationem cuipiam familiarium committere: ſed trecentos de-
C centos decem & octo habens vernaculos, homo ſenex & nunc decrepitæ ætatis (centenarius enim erat) apud ianuam ſedebat. Et hic quidem hoc ſummo ſtudio curabat, & neque ſenectus illi obſtaculo erat, neque ſuæ quietis cura, neque intus ſuper lectum recumbebat, ſed ad oſtium ſedebat: alij autem ſæpe non ſolùm tantum ſtudium non adhibent, ſed & planè diuerſum, & horum congreſſus fugiunt & euitant, vt ne inuiti cogantur excipere. Verùm non iuſtus ille ita agebat, ſed ſedebat ad
D ianuam meridie. Hoc enim valde auget hoſpitalitatem & virtutem iuſti. *Et meridie*, inquit, *hoc faciebat.* Meritò quoniam ſciebat, quòd quibus eſt itineris neceſſitas, eo tempore maximè indigent cura: proinde tempus hoc vt idoneum elegit, & ſedens eos qui præteribant venabatur, pro ſua quiete ducens miniſtrare viatoribus: & eos qui calore æſtuabant, ſub tectum introducere ſtudebat, nõ curioſè explorans eos qui præteribant, neque requirens an noti, vel ignoti eſſet. Neq; enim hoſpitalitatis fuerit diligenter ſingula perſcrutari,

ſed omnibus ſimpliciter ſuam communicare benignitatem. Et quia hoſpitalitatis ſagenam expanderat, meruit & vniuerſitatis dominum cum angelis ſuis ſuſcipere. Eapropter & Paulus dicebat: Hoſpitalitatis ne obliuiſcamini. Per hanc enim quidam neſcij angelos exceperunt hoſpitio, patriarcham omnino inſinuãs. Atque ob hoc Chriſtus dicebat: Qui ſuſceperit vnum ex his minimis in nomine meo, me ſuſcipit. Audiamus dilecti, & hoſpitio excepturi nunquã quæramus quis, & vnde. Nam ſi patriarcha in rogando fuiſſet curioſus, fortè peccaſſet. Sed ſciebat, inquis, aduenientium dignitatem. Vnde hoc tibi liquet? Quomodo, autem ſi ita eſt, admirationẽ promeritus fuiſſet? Neque enim ſic admirabile fuiſſet, ſi ſuſcipiendo hoſpites curioſius exploraſſet, qui eſſet, ſicut nunc cùm ignorans, quinam aduenerint, tanta alacritate & honore accedit quaſi ſeruꝰ ad dominos, ſuiſque verbis propemodum vincula iniicit, & ſupplicat eis vt ne renuant, neque ſe maximo damno afficiant. Sciebat enim quid faceret, quòd propter hoc magna cum voluptate fructum copioſum perciperet. Sed audiamus verba ſcriptoris ipſius, vt videas in extrema ſenecta iuuenilem alacritatem, & ſenem quaſi iuuenem exultantem, & putantem ſe inueniſſe theſaurum quendam hoſpitum aduentum.

Heb. 13. 2.

Matth. 18. 5.

2 *Eleuatis autem*, inquit, *oculis, vidit, & ecce tres viri ſteterunt ſupra eum: & vt vidit, accurrit in occurſum eis ab oſtio tabernaculi ſui.* Currit, & volat ſenex. Vidit enim prædam quam venabatur, & nulla infirmitatis ſuæ ratione habita, ad venationem cucurrit, & non vocauit famulos, neque imperauit puero, nihílque ruſticitatis neque deſidiæ præ ſe tulit, ſed ipſe cucurrit: quaſi diceret, Magnus theſaurus eſt, magna negociatio: per memetipſum hanc mercem inferre debeo, ne elabatur tantum lucrum. Et hæc faciebat iuſtus, homines obſcuros & viatores ſuſcipere ſe exiſtimans. Diſcamus & nos, ac imitemur iuſti virtutem. Nam ſi hoc fecerimus, veriſimile eſt & nos aliquando eiuſmodi præda potituros, imò ſemper aſſequimur, ſi attẽdimus.

A ἀλλὰ πᾶσι τοῖς παριοῦσι τῆς οἰκείας φιλοφροσύνης. καὶ ἐπειδὴ ἥπλωσε τῆς φιλοξενίας τὴν σαγήνην, κατηξιώθη καὶ τὸν τῶν ὅλων δεσπότην ὑποδέξασθαι μετὰ τῶν ἀγγέλων αὐτοῦ. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους, τὸν πατριάρχην πάντως αἰνιττόμενος. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, ὃς ἂν δέξηται ἕνα τούτων τῶν ἐλαχίστων ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. ἀκούωμεν, ἀγαπητοί, καὶ ξενίζειν μέλλοντες μηδέποτε περιεργαζώμεθα, τίς, καὶ πόθεν. εἰ γὰρ τοῦτο περιειργάσατο ὁ πατριάρχης, ἴσως ἂν διήμαρτεν. B ἀλλ' ἔγνω, φησὶ, τῶν παραγινομένων τὴν ἀξίαν. πόθεν δῆλον; πῶς δ' ἂν τοῦτο ποιῶν ἐθαυμάσθη; οὐ γὰρ οὕτω θαυμαστὸν ἦν τὸ τῆς φιλοξενίας αὐτοῦ περιεργασάμενος, ὡς νῦν, ὅτε ἀγνοῶν τίνες οἱ παραγινόμενοι, μετὰ τοσαύτης προθυμίας καὶ τιμῆς πρόσεισι, καθάπερ οἰκέτης δεσπόταις, μονονουχὶ δεσμὰ διὰ τῶν λόγων αὐτοῖς περιβάλλων, καὶ ἱκεσίαν πρὸς αὐτοὺς ποιούμενος, ὥστε μὴ ἀνανεῦσαι, μηδὲ ζημίᾳ τῇ μεγίστῃ περιβαλεῖν. ᾔδει γὰρ ὅπερ ἔπραττε· διὰ τοῦτο καὶ μετὰ πολλῆς θερμότητος τὴν ἐντεῦθεν ἐκαρποῦτο περιουσίαν. ἀλλ' C ἀκούσωμεν αὐτοῦ τοῦ συγγραφέως τῶν ῥημάτων, ἵν' εἰδῇς ἐν βαθυτάτῳ γήρᾳ νεάζουσαν προθυμίαν, καὶ τὸν γέροντα νεάζοντα, καὶ μονονουχὶ περιχαρῆ γινόμενον, καὶ νομίζοντα θησαυρὸν εὑρηκέναι τὴν τῶν παραγινομένων τὴν παρουσίαν. ἀναβλέψας δὲ, φησι, τοῖς ὀφθαλμοῖς εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ, καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ. τρέχει καὶ ἵπταται ὁ γέρων. εἶδε γὰρ τὴν θήραν, καὶ οὐδένα τῆς ἀσθενείας λόγον ποιησάμενος D ἐπὶ τὴν ἄγραν ἔδραμε, καὶ οὐκ ἐκάλεσεν οἰκέτας, οὐκ ἐπέταξε παιδὶ, οὐδὲν βάναυσον, οὐδὲ ῥᾴθυμον ἐπεδείξατο, ἀλλὰ δι' ἑαυτοῦ ἔδραμε μονονουχὶ λέγων, μέγας θησαυρὸς, μεγάλη πραγματεία· δι' ἑαυτοῦ ταύτην ὀφείλω ἐμπορεύσασθαι, μὴ παραδράμῃ με τοσοῦτο κέρδος. καὶ ταῦτα ἐποίει ὁ δίκαιος, ἀνθρώπους ἀγνῶτας ὁδίτας νομίζων ὑποδέχεσθαι. μάθωμεν, καὶ ζηλώσωμεν τοῦ δικαίου τὴν ἀρετήν. ἐὰν γὰρ οὕτω ποιῶμεν, εἰκὸς καὶ ἡμᾶς ποτε ἐπιτυχεῖν τοιαύτης θήρας, μᾶλλον δὲ καὶ ἀεὶ ἐπιτυγχάνομεν, εἰ βουλοίμεθα.

A διὰ γὰρ τοῦτο ὁ φιλάνθρωπος δεσπότης, ἵνα μὴ ὀκνῶμεν πρὸς τὴν τοιαύτην φιλοφροσύνην, μηδὲ περιεργαζώμεθα τοὺς παριόντας, φησίν, ὃς ἂν δέξηται ἕνα τῶν ἐλαχίστων τούτων ἐν τῷ ἐμῷ ὀνόματι, ἐμὲ δέχεται. μὴ τοίνυν πρὸς τὴν εὐτέλειαν τοῦ παριόντος ὅρα, μηδὲ ἐξευτελίσῃς αὐτὸν ἐκ τῶν ὁρωμένων, ἀλλ' ἐννόησον ὅτι τὸν δεσπότην ὑποδέχῃ τὸν σὸν διὰ τούτου. ὅταν γὰρ διὰ τὸ αὐτοῦ ὄνομα τὴν εἰς ἐκεῖνον θεραπείαν ἐπιδείξῃ, ὡσανεὶ ἐκεῖνον ὑποδεξάμενος, οὕτω λήψῃ τὸν μισθόν. κἂν ῥᾴθυμος τοίνυν ᾖ καὶ ἠμελημένος ὁ τῆς παρὰ σοῦ φιλοφροσύνης ἀπολαύων, μηδείς σοι λόγος τούτου ἔστω. ἀπηρτισμένος γάρ σοι ὁ μισθὸς δοθή- B σεται, διὰ τὴν εἰς τὸν δεσπότην τιμὴν τοῦτο ποιοῦντι, καὶ ζηλοῦντι τοῦ πατριάρχου τούτου τὴν ἀρετήν. καὶ ἰδών, φησι, προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς. καλῶς καὶ τὸ προσέδραμε πρόσκειται, ἵνα μάθῃς ὅτι ὡς ἀγνῶτες παρήεσαν, καὶ οὐκ ἂν αὐτόματοι ἦλθον ἐπὶ τὴν σκηνήν. διὰ τοῦτο ἵνα μὴ διαφύγῃ αὐτὸν τὸ πνευματικὸν τοῦτο κέρδος, ὁ γεγηρακώς, ὁ πεπολιωμένος, ὁ ἑκατονταέτης προστρέχει, καὶ διὰ τοῦ δρόμου τὴν προθυμίαν ἐπιδείκνυται. καὶ θεασάμενος προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε, κύριε, εἰ ἄρα εὗρον C χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου. ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον, καὶ λήψομαι ἄρτον, καὶ φάγεσθε· καὶ μετὰ τοῦτο παρελεύσεσθε, οὗ εἵνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. πολλὴ τῶν τοῦ δικαίου ῥημάτων ἡ ὑπερβολή. οὐ γάρ, ὅτι ὑπεδέξατο, θαῦμα τοσοῦτον τῆς προθυμίας, ἀλλ' ὅτι μετὰ τοσαύτης σπουδῆς, καὶ οὔτε πρὸς τὴν ἑαυτοῦ ἡλικίαν ἀπιδών, οὔτε πρὸς τοὺς παριόντας· ἴσως γὰρ νέοι τινὲς αὐτῷ κατεφαίνοντο· οὐδὲ νομίσας ἀρκεῖν τὴν διὰ τῶν λόγων μόνον προτροπήν, προ- D σεκύνησε, φησιν, ἐπὶ τὴν γῆν, μονονουχὶ καθικετεύων, καὶ σφοδρὰν τὴν παράκλησιν προσάγων, ἵνα μὴ νομισθῇ ἁπλῶς ἀφοσιώσει προτρέπεσθαι. διὰ δὴ τοῦτο καὶ ἡ θεία γραφὴ δεικνῦσα τοῦ δικαίου τὴν πολλὴν καὶ ἄφατον ἀρετήν, φησι, προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τῶν ῥημάτων πολλὴν τὴν θερμότητα ἐπιδεικνύμενος, πολλὴν τὴν ταπεινοφροσύνην, μεγίστην τὴν φιλοξενίαν, ἄφατον τὴν κηδεμονίαν, καὶ προσκυνήσας, φησίν, εἶπε· κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου.

Ob illam enim cauſam benignus dominus, vt ne ad talem benignitatem ſegnes ſimus, neque curioſiùs eos, qui adueniunt ſcrutemur, inquit: Qui acceperit vnum his ex minimis in meo nomine, me accipit. Ne igitur ad vilitatem prætereuntis ſpectes, neque vilem ex his quæ vides putes: ſed cogita quod per ipſum, dominum tuum ſuſcipias. Quando enim propter eius nomen miniſterium tuum in illum exhibueris, mercedem accipies, quaſi illum ſuſceperis. Eſto, ſit deſes & negligentioris vitæ, qui tua fruitur benignitate, non ſit tibi eius rei cura: plena enim tibi & perfecta merces dabitur, in domini honorem hoc facienti, & imitanti patriarchæ virtutem. Et vt vidit, inquit, accurrit in occurſum eis ab oſtio tabernaculi. Bene & hoc verbum, accurrit, quadrat: vt diſcas quòd quaſi ignoti affuerunt, & qui non ſua ſponte ad tabernaculum venerunt: propterea ne ſubterfugeret eum ſpirituale hoc lucrum, qui ſenuerat, incanuerat, & cẽtenarius erat, accurrit, & curſu prõptitudinem declarat. *Et cõſpicatus eos*, inquit, *adorabat ſuper terram,*[3] *& dixit: Domine, ſi inueni gratiam coram te, ne tranſeas ſeruum tuum.*[4] *Sumatur ſanè aqua, & lauent pedes veſtros, & refrigerabimini ſub arbore, & accipiam panem, & comedetis, & poſthac præteribitis, cuius gratia declinaſtis ad ſeruum veſtrum.* Verba iuſti ſublimia valde ſunt. Neque tantum miraculum, quòd eos ſuſceperit, quantum quòd cum tanta promptitudine, & ſtudio, & non atteta aut ſua, aut eorum, qui aduenerant, ætate. Nam fortaſſis videbantur ipſi iuuenes, neque exiſtimauit ſufficere vt verbis duntaxat adhortaretur, adorabat, inquit, ſuper terram: quaſi ſupplicans, & efficacem exhortationem afferens, vt ne putetur perfunctoriè adhortari. Et idcirco diuina ſcriptura monſtrans nobis iuſti virtutem, inquit: Adorabat ſuper terram, & geſtibus, & verbis magnum feruorem, egregiam animi humilitatem, ſummam hoſpitalitatem & immenſam ſollicitudinem declarabat. Et cùm adoraſſet, inquit, dixit: Domine, ſi inueni gratiã coram te, ne prætereas ſeruum tuum.

Matth. 25.45.

Quis pro dignitate laudauerit iuſtum hunc, vel quo pacto eum quis innumeris etiam labiis prædicet? Dicere enim, Domine, eſt captantium beneuolentiam: dicere autem. Si inueni gratiam in oculis tuis, hoc eſt admirabile. Beneficium, inquit, das, non accipis. Verè enim eiuſmodi res hoſpitalitas eſt, qua magis accipit quàm dat, qui illã promptè & alacriter exercet. At ne quis auditorũ eleuans iuſti virtutem, exiſtimet, quòd cõſcius quales fuerint præſentes, hęc locutus ſit. neque enim (vt ſæpe etiã dictũ eſt) magnũ quiddã tale fuiſſet, ſi ſciens dixiſſet, ſed admirabile & rarum eſt, quòd quaſi homines alloquens, talia verba loquitur. Ne admireris autem, quòd cùm tres exceperit, ad vnum ſe conuerterit iuſtus, dicens, Domine. Fortaſſis enim vnus illuſtrior cæteris apparebat, ad quem exhortationẽ ſuam conuertit. Deinde autem cùm progreditur, communem facit ſermonem, & inquit: Sumatur aqua, & lauent pedes veſtros: & iterum, refrigerabimini ſub arbore, & comedetis panem, & poſtea tranſibitis, cuius gratia declinaſtis ad puerum veſtrum. Vides quomodo ignorans qui ſint, quaſi hominibus loquens tranſeuntibus, ita communi exhortatione vtitur, & ſemel atque iterum ſeruum ſe vocans? Et vide quomodo prædicit & menſæ ſuæ tenuitatem, imò lautitias. Sumatur, inquit, aqua, & lauent pedes veſtros, & refrigerabimini ſub arbore. Quia enim fatigati eſtis, & multum tuliſtis æſtum, ideo oro ne prætereatis ſeruum veſtrum. Num enim magnũ quiddam eſt id, quod ego exhibeo? aquã vobis ſolum præſtare poſſum, qua loti pedes veſtros ſub arbore fatigationem deponatis. Inſuper & menſæ dicit ſpeciem. Ne putetis, inquit, me ſplendida vobis appoſiturum, vel condimentorum diuerſitatem, vel opſoniorum varietatem. Panem comedetis, & ſic tranſibitis, cuius gratia declinaſtis ad ſeruum veſtrum. Vidiſti quomodo variis vtitur modis, precibus vincere prætereuntes, & geſtibus, & verbis, & operibus attrahere eos volens? Primum enim, inquit, adorauit, deinde dominos vocat & ſeipſum ſeruum

Hoſpitalitatē laudat Abrahã

A τί ἄν τις κατ' ἀξίαν εἴποι τοῦ δικαίου τούτου; ἢ πῶς ἄν τις αὐτὸν μυρίοις στόμασιν ἐγκωμιάσῃ; τὸ μὲν γὰρ εἰπεῖν, κύριε, τῶν ἐγχωριούντων ἐστί· τὸ δὲ λέγειν, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, τοῦτό ἐστι τὸ παράδοξον. χάριν, φησί, δίδως, οὐ λαμβάνεις. τοιοῦτον γὰρ ἀληθῶς ἡ φιλοξενία. μᾶλλον λαμβάνει, ἢ δίδωσιν ὁ μετὰ προθυμίας αὐτὴν ἐπιδεικνύμενος. ἀλλὰ μηδεὶς τῶν ταῦτα ἀκουόντων ὑποτεμνέσθω τοῦ δικαίου τὴν ἀρετήν, καὶ νομιζέτω, ὅτι εἰδὼς τίνες οἱ παραγεγονότες, ταῦτα ἐφθέγγετο. οὐδὲ γὰρ ἄν, καθὼς καὶ πολλάκις εἴρηται, μέγα τι τοῦτο ἦν, εἰ εἰδὼς ταῦτα ἔλεγεν· ἀλλὰ τὸ θαυμαστὸν καὶ
B παράδοξον τοῦτό ἐστιν, ὅτι ὡς ἀνθρώποις προσφερόμενος, τοιαῦτα ἐφθέγγετο ῥήματα. μὴ θαυμάσῃς δὲ εἰ τριῶν ὄντων τῶν ὑποδεχομένων ὡς πρὸς ἕνα προτεινόμενος ὁ δίκαιος λέγει, κύριε. ἴσως γὰρ ἐπιδοξότερός τις τῶν ἐλθόντων ἐφαίνετο πρὸς ὃν ποιεῖται καὶ τὴν παράκλησιν. εἶτα προϊὼν κοινοποιεῖ τὸν λόγον, καί φησι, ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν· καὶ πάλιν, καταψύξατε ὑπὸ τὸ δένδρον, καὶ φάγεσθε ἄρτον, καὶ μετὰ τοῦτο παρελεύσεσθε, οὗ εἵνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. ὁρᾷς πῶς οὐκ εἰδὼς τίνες εἰσί, καθάπερ
C ἀνθρώποις διαλεγόμενος παριοῦσιν, οὕτω κοινὴν πρὸς αὐτοὺς ποιεῖται τὴν προτροπήν, καὶ ἅπαξ καὶ δεύτερον παῖδα ἑαυτὸν αὐτῶν καλεῖ; καὶ ὅρα πῶς καὶ προλέγει τῆς τραπέζης αὐτοῦ τὴν εὐτέλειαν, μᾶλλον δὲ τὴν πολυτέλειαν. ληφθήτω δὴ ὕδωρ, φησί, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον. ἐπειδὴ γάρ φησι, κεκμήκατε, καὶ πολὺν τὸν καύσωνα ὑπεμείνατε, διὰ τοῦτο ἀξιῶ μὴ παρελθεῖν τὸν παῖδα ὑμῶν. μὴ γάρ μέγα τί ἐστι τὸ παρ' ἐμοῦ γινόμενον; ὕδωρ ἔχω παρασχεῖν μόνον
D ὑφ' οὗ νιψαμένοις, ὑπὸ τὸ δένδρον τὸν πολὺν ὑμᾶς κάματον ἀποθέσθαι. εἶτα καὶ τῆς τραπέζης λέγει τὴν ἰδέαν. μὴ νομίσητε πολυτελές τι παρατεθήσεσθαι ὑμῖν, ἢ καρυκευμάτων ποικιλίαν, ἢ ὄψων διαφοράν. ἄρτον φάγεσθε, καὶ οὕτω παρελεύσεσθε, οὗ εἵνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. εἶδες πῶς διαφόροις κέχρηται τρόποις, βουλόμενος δυσωπῆσαι τοὺς παριόντας, καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τῶν ῥημάτων, καὶ διὰ πάντων ἐπισπάσασθαι αὐτοὺς θέλων. πρῶτον μὲν γάρ, φησι, προσεκύνησεν, εἶτα κυρίους καλεῖ, καὶ ἑαυτὸν παῖδα.

εἶτα λέγει τὸ μέλλον ὑπ' αὐτοῦ γίνεσθαι εἰς αὐτοὺς A ἐξευτελίζων, καὶ δεικνὺς οὐδὲν μέγα ὄν. ὕδωρ γάρ, φησι, τὸ πᾶσιν ἀνειμένον ἔχω παρέχειν εἰς τοὺς πόδας ὑμῶν, καὶ ἄρτον, καὶ τὴν ἀπὸ τῆς δρυὸς σκέπην. μὴ δὴ ἐξευτελίσητέ μου τὴν σκηνήν, μὴ ὑπερίδητέ μου τὸ γῆρας, μὴ ἀνανεύσητε πρὸς τὴν ἐμὴν παράκλησιν. οἶδα ὅσην ὑπεμείνατε ταλαιπωρίαν, στοχάζομαι τοῦ καύσωνος τὴν φλόγα, διὰ τοῦτο ἀνεθῆναι μικρὸν ὑμᾶς βούλομαι. ποῖος πατὴρ φιλόστοργος πρὸς παῖδα τοσαύτην ἂν ἐπεδείξατο φιλοφροσύνην, ὅσην οὗτος πρὸς τοὺς ἀγνῶτας καὶ ξένους, καὶ οὐδαμόθεν αὐτῷ τέως γνωρίμους; ἀλλ' ἐπειδὴ μετὰ σπουδῆς προσῆλθε καὶ πολλοῦ τοῦ τόνου, ἐπέτυχε B τῆς ἄγρας, καὶ τὴν θήραν εἴσω τῶν δικτύων λαβεῖν ἠδυνήθη. καὶ εἶπον, φησιν, οὕτω ποιήσομεν, καθὰ εἴρηκας. ἀνεζωπύρησεν ὁ πρεσβύτης. ἐν χερσί, φησιν, ἔχω τὸν θησαυρόν, τοῦ πλούτου ἐπελαβόμην, ἐπελαθόμην λοιπὸν τοῦ γήρως. καὶ ὅρα αὐτὸν πάνυ γαννύμενον τῷ πράγματι, καὶ μονονουχὶ σκιρτῶντα, καί, καθάπερ τὰ μυρία ἀγαθὰ ἐν ταῖς χερσὶν ἐπιφερόμενον, οὕτως ἡδόμενον. καὶ ἔσπευσεν Ἀβραάμ, φησιν, ἐπὶ τὴν σκηνήν. ὥσπερ ἡνίκα ἐπὶ τὴν θήραν αὐτῶν ἠπείγετο, ἐμήνυσεν αὐτοῦ τὸν τόνον καὶ τὴν προθυμίαν ἡ θεία γραφή, εἰποῦσα, C προσέδραμεν εἰς συνάντησιν αὐτοῖς· οὕτω καὶ νῦν ἐπειδὴ εἶδε τοὺς ἄνδρας, καὶ κατώρθωσεν ὅπερ ἐπεθύμει, οὐδὲ οὕτως ἵστησι τὴν προθυμίαν, ἀλλὰ θερμότερον πάλιν ἐπιδείκνυσι τὸν ἔρωτα. οὐδὲ ἐπειδὴ ἐν ἀσφαλείᾳ γέγονε, λοιπὸν ῥαθυμότερος κατέστη, ὅπερ πολλάκις ἡμεῖς ὑπομένομεν, καὶ παρὰ μὲν τὴν ἀρχὴν ἐνίοτε πολλὴν ἐπιδεικνύμεθα τὴν σπουδήν, ἐπειδὰν δὲ τοῦ πράγματος ἐντὸς γενώμεθα, οὐ τὸν ἴσον πόνον εἰσφέρομεν· ἀλλ' οὐχ ὁ δίκαιος οὗτος, ἀλλὰ τί; πάλιν σπεύδει καὶ ἐπείγεται καὶ τρέχει ὁ γεγηρακὼς ἐπὶ τὴν σκηνὴν D πρὸς Σάρραν, καὶ εἶπεν αὐτῇ, σπεῦσον καὶ φύρασον τρία μέτρα σεμιδάλεως. σκόπει πῶς καὶ τὴν Σάρραν κοινωνὸν λαμβάνει τῆς θήρας, καὶ πῶς αὐτὴν ἐξεπαίδευσε ζηλοῦν αὐτοῦ τὴν ἀρετήν. καὶ γὰρ κἀκείνην παρορμᾷ μὴ ῥαθύμως τῇ χρείᾳ προσελθεῖν, ἀλλὰ σπεῦσον, φησι. τῆς μεγάλης ἐπετύχομεν πραγματείας· μὴ ἀπολέσωμεν τὸν θησαυρόν, ἀλλὰ σπεῦσον καὶ φύρασον τρία μέτρα σεμιδάλεως. ἐπειδὴ γὰρ ᾔδει τοῦ κατορθώματος τὸ μέγεθος, ἐβούλετο κοινωνὸν τῶν μισθῶν λαμβάνειν καὶ τῶν ἀντιδόσεων καὶ τὴν τοῦ βίου γενομένην αὐτῷ κοινωνόν.

Poſtea dicit quæ illis exhibiturus ſit, extenuans res, & nihili eſſe ſignificans. Ait enim, aquam hanc omnibus expoſitam habeo ad lauandos pedes, & panem, & tectum ab arbore. Ne parui feceritis meum tabernaculum, ne deſpexeritis ſenectutem, ne renuatis ad exhortationem meam. Scio quantum fertis laborem, coniecto quantus ſit caloris æſtus, & propterea paululum vos refrigerare volo. Quis pater, filios ſuos tenerè diligens, tantam filiis exhibet benignitatem, quantam ille ignotis & peregrinis, & nunquam ſibi cognitis? Verùm quia magna alacritate proceſſit ac contentione, aſſecutus eſt venationem, & prædam intra retia concludere potuit. *Et dixerunt*, inquit: *Sic fac, vt dixiſti.* Senis excitatus eſt iuuenilis vigor. In manibus, inquit, habeo theſaurum, diuitias aſſecutus ſum, ſenectutis obliuiſcar. Et vide eum exultantem in opere, & quaſi præ gaudio ſaltãtem, perinde atque multa bona in manibus afferret, ita ſe oblectantem. [6] *Et feſtinauit*, inquit, *Abraham in tabernaculum.* Sicut quando ad venationem contendebat, ſignificauit eius alacritatem & laborem diuina ſcriptura, dicens: Accurrit autem in occurſum eorum. Ita & nunc, quia adduxit viros, & id quod optabat perfecit, neque ſic ab alacritate deſiſtit: ſed magis feruentem declarat amorem, neque quia ſecurus fuit, ideo fit negligentior. Id quod nobis frequenter euenit, & principiò valdè ſtudioſi ſumus: quando autem in negocium vẽtum eſt, non par ſtudium afferimus. Verùm iuſtus non ſic, ſed quid? Iterũ feſtinat & anhelat, & currit ſenio cõfectus in tabernaculum ad Sarram, *Et dixit ei, Accelera, & miſce tres menſuras ſimilæ.* Conſidera quomodo & Sarram venationis ſociam aſſumit, & quomodo eam erudit, vt ſuam imitemur virtutem. Etenim & illam incitat ne officio ſuo negligenter fungatur, ſed acceleret. Magnam, inquit, negociationem aſſecuti ſumus, ne perdamus theſaurũ. Accelera & miſce tres menſuras ſimilæ. Quoniam ſciebat boni operis magnitudinẽ, volebat vitæ ſuæ ſociam etiã retribuendarum mercedum eſſe participem.

Quare enim, dic mihi, nulli famu- A
larum hoc præcepit, ſed mulieri tam
prouectæ ætatis? Nonaginta enim
annorum erat. Non rebellat man-
dato Sarra, ſed parem alacritatem
etiam ipſa affert. Audiant viri, au-
diant mulieres. Viri quidem, vt ſic
ſuas contubernales erudiant, vt ſi
quando ſpirituale lucrum incidat, ne
per famulos hoc perficiatur, ſed per
ſeipſos faciant omnia. Mulieres au-
tem, vt feſtinent iuuare viros in tam
bonis operibus, & non erubeſcant,
aliquos accipiendo hoſpites propter
Chriſtum, illis congruum præbere
miniſterium, & per ſeipſas afferre: B
ſed imitentur Sarram vetulam, in
tanta ſenecta laborem libenter ſu-
ſcipientem, & famularum opera per-
ficientem. Verùm ſcio, quòd nullus
Inuehitur in ornatũ mulierũ — ferret ea quæ à nobis dicuntur. Nunc
enim omnes planè contraria via in-
cedunt, & multa mulierum eſt mol-
lities, & omne ſtudium in cultu ve-
ſtium, in aureis ornamentis, & mo-
nilibus, & externo ornatu, animæ ve-
1. Tim. 2.9. — rò nulla eſt cura. Neque Paulus eas
commouet, dicens: Non in crini-
bus tortis, vel auro, vel margaritis, C
vel ſumptuoſa veſte. Vide animam
hanc in cælo vagantem, quomodo
non putauit indignum ſe & vile,
etiam de capillorum ornamentis
admonere. Meritò: omne enim ei
ſtudium erat in excolenda anima.
Quia igitur ſciebat quòd hæc ma-
ximè animæ perniciem generent,
propterea non refugit quæ conue-
niebant ad docendum ſic ægrotan-
tes, ſed inquit: Si vis ornari, vero
te ornatu cole, qui decet mulieres
pias. Bonis te operibus orna, hic
animæ cultus eſt, hic à nullis ex- D
ternis condemnatur, hunc nullus
deprædari poterit, hic perpetuò
manet indireptus. A cultu autem
externo innumera fiunt mala. Et
nondum dico animæ nocumenta,
arrogantiam quæ inde naſcitur,
deſpectum proximi, faſtum ſpiri-
tus, animæ corruptionem, volu-
ptatum illicitarum fomitem, ſed
quòd facilè diripitur ille cultus &
famulorum malignitate, & latro-
num inſidiis, & ſycophantarum ca-
lumniis, & infinita mala inuenire in
eo licet, ac perpetuas amaritudines.

Διατί γάρ, εἰπέ μοι, οὐδενὶ τῶν παιδισκῶν τοῦτο ἐπέταξεν, ἀλλὰ τῇ γυναικὶ τῇ προβεβηκυίᾳ; ἐννενήκοντα γὰρ ἐτῶν ἐτύγχανεν οὖσα. καὶ οὐκ ἀνανεύει ἡ Σάῤῥα πρὸς τὸ ἐπίταγμα, ἀλλὰ τὴν ἴσην καὶ αὐτὴ προθυμίαν εἰσφέρει. ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖκες· ἄνδρες μὲν οὖν, ἵνα οὕτω τὰς ἑαυτῶν συνοίκους ἐκπαιδεύωσιν, ἐπειδὰν πνευματικόν τι κέρδος παρεμπέσῃ, μὴ διὰ τῶν οἰκετῶν τοῦτο πληρῶσιν, ἀλλὰ δι' ἑαυτῶν ἅπαντα διαπράττεσθαι· γυναῖκες δέ, ἵνα σπεύδωσι κοινωνεῖν τοῖς ἀνδράσι τῶν τοιούτων κατορθωμάτων, καὶ μὴ ἐπαισχύνωνται τὴν φιλοξενίαν, καὶ τὴν εἰς τούτους θεραπείαν, ἀλλὰ μιμείσθωσαν τὴν Σάῤῥαν, τὴν πρεσβῦτιν, τὴν ἐν ἡλικίᾳ τοιαύτῃ πόνον καταδεχομένην, καὶ τὰ τῶν παιδισκῶν ἔργα ἐπιτελοῦσαν. ἀλλ' οἶδα ὅτι οὐδεὶς ἀνέξεται τῶν παρ' ἡμῶν λεγομένων. νῦν γὰρ ἡμῖν ἀπ' ἐναντίας ἐκείνῃ πάντες βαδίζειν ἐπείγονται, καὶ πολλὴ ἡ βλακεία ταῖς γυναιξί, καὶ ἡ σπουδὴ πρὸς τὸν κόσμον τῶν ἱματίων, περὶ τὰ χρυσία, καὶ τὰ περιδέῤῥαια, καὶ τὸν ἔξωθεν καλλωπισμόν, καὶ τῆς ψυχῆς οὐδεμία πρόνοια. καὶ οὐδὲ Παῦλος αὐτῶν καθικνεῖται βοῶν καὶ λέγων, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ. ὅρα τὴν οὐρανομήκη ταύτην ψυχήν, πῶς οὐκ ἐνόμισεν αἰσχρὸν αὐτῷ εἶναι μέχρι τούτου τὸν λόγον ποιήσασθαι, καὶ ἐπὶ ἐμπλεγμάτων παραινέσαι. εἰκότως. πᾶσα γὰρ αὐτῷ ἡ σπουδὴ περὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν ἦν. ἐπεὶ οὖν οἶδεν, ὅτι ταῦτα μάλιστα τῆς ψυχῆς τὸν ὄλεθρον ἐργάζεται, διὰ τοῦτο οὐδὲν παρῃτήσατο τῶν προσηκόντων εἰς διδασκαλίαν ταῖς ταῦτα νοσούσαις· ἀλλά φησιν, εἰ βούλει κοσμεῖσθαι, τὸν ἀληθῆ κοσμοῦ κόσμον, ὃν πρέπει γυναιξὶν εὐσεβέσι, τοῖς ἀγαθοῖς ἔργοις κοσμοῦ. οὗτος τῆς ψυχῆς ὁ κόσμος, οὗτος οὐδεμίαν παρὰ τῶν ἔξωθεν κατάγνωσιν δέχεται, τοῦτον οὐδεὶς ἀποσυλῆσαι δυνήσεται, οὗτος ἀνάλωτος μένει διηνεκῶς. ἀπὸ γὰρ τοῦ κόσμου τούτου τοῦ ἔξωθεν μυρία τίκτεται κακά· καὶ οὔπω λέγω τὴν τῆς ψυχῆς λύμην, τὴν ἐντεῦθεν φυομένην ἀλαζονείαν, τὴν ὑπερηφανίαν τὴν κατὰ τῶν πλησίον, τοῦ φρονήματος τὴν ἀπόνοιαν, τῆς ψυχῆς τὴν διαφθοράν, τῶν ἡδονῶν τῶν ἀτόπων τὸν ἐσμόν· ἀλλ' ὅτι καὶ ἁλωτὸς ὁ κόσμος οὗτος καὶ οἰκετῶν κακουργίαις, καὶ λῃστῶν ἐφόδῳ, καὶ συκοφαντῶν ἐπιβουλαῖς, καὶ μυρία ἄν τις εὕροι ἐντεῦθεν φυόμενα κακά, καὶ ἀηδίας διηνεκεῖς.

ἀλλ' οὐχ ἡ Σάῤῥα τοιαύτη· ἀλλὰ τὸν ἀληθῆ κόσμον ἐκέκτητο, διὸ καὶ ἀξία τοῦ πατριάρχου ἦν, καὶ καθάπερ ἐκεῖνος ἔσπευσε καὶ ἐπὶ τὴν σκηνὴν ἔδραμεν, οὕτω καὶ ἐκείνη μετὰ σπουδῆς τὸ ἐπιταχθὲν ἐπλήρου· καὶ ἔφυρε τρία μέτρα σεμιδάλεως. ἐπειδὴ γὰρ τρεῖς ἦσαν οἱ παραγεγονότες, τρία μέτρα ἐκέλευσε φυρᾶσθαι, ὥστε θᾶττον φθάσαι τοὺς ἄρτους. καὶ τοῦτο διαταξάμενος εἰς τὰς βοῦς πάλιν αὐτὸς ἔδραμεν. ὢ γέροντος νεότης, ὢ ψυχῆς τόνος. τρέχει ἐπὶ τὰς βοῦς, καὶ οὐκ ἀφίησί τινα τῶν οἰκετῶν ἀπελθεῖν, διὰ πάντων δεικνὺς τοῖς παραγεγονόσιν, ὅσης ἡδονῆς ἐπληρώθη, καὶ ὅπως μέγα τι ἡγεῖται τὴν αὐτῶν παρουσίαν, καὶ ὅτι θησαυρὸν εἶναι τὸ πρᾶγμα νομίζει. καὶ ἔλαβε, φησι, μοσχάριον ἁπαλὸν καὶ καλόν. αὐτὸς δι' ἑαυτοῦ τὴν ἐκλογὴν ἐποιήσατο, καὶ τὸ κάλλιστον τῶν ὄντων λαβὼν δίδωσι τῷ παιδὶ, κἀκεῖνον κατεπείγων μὴ μελλῆσαι, ἀλλὰ πολλὴν τὴν σπουδὴν ἐπιδείξασθαι. σκόπει πῶς πάντα μετὰ τάχους, μετὰ προθυμίας ζεούσης, μετὰ ἱλαρότητος, μετὰ χαρᾶς, μετὰ πολλῆς τῆς εὐθυμίας γίνεται. καὶ ἐτάχυνεν ὁ παῖς τοῦ ποιῆσαι, φησι. καὶ οὐδὲ οὕτως ἠρεμεῖ ὁ γέρων, ἀλλὰ πάλιν ἐν τάξει ὑπηρέτου ἵσταται, καὶ λαβὼν βούτυρον καὶ γάλα καὶ τὸ μοσχάριον, ὃ ἐποίησε, παρέθηκεν αὐτοῖς. αὐτὸς δι' ἑαυτοῦ πάντα ποιεῖ, καὶ παρατίθησι, καὶ οὐδὲ ἄξιον ἑαυτὸν ἐνόμισε τοῦ συγκαθεσθῆναι αὐτοῖς, ἀλλ' ἐκείνων ἐσθιόντων παρειστήκει αὐτὸς ὑπὸ τὸ δένδρον. ὢ φιλοξενίας μέγεθος, ὢ ταπεινοφροσύνης ὑπερβολὴ, ὢ φιλοθέου γνώμης ἐπίτασις. παρειστήκει ὁ ἑκατονταέτης ἄνθρωπος ἐσθιόντων αὐτῶν. ἐμοὶ δοκεῖ ὑπὸ τοῦ πόθου πολλοῦ καὶ τῆς προθυμίας, καὶ τῆς ἀσθενείας ἀνώτερον αὐτὸν τότε γεγενῆσθαι, καὶ ἰσχύν τινα προσλαβεῖν. εἴωθε γὰρ πολλάκις ἡ τῆς ψυχῆς προθυμία, ἐπειδὰν ἐῤῥωμένη ᾖ, νικᾷν τοῦ σώματος τὴν ἀσθένειαν. εἱστήκει τοίνυν ὁ πατριάρχης, καθάπερ οἰκέτης, μεγίστην τιμὴν ταύτην ἡγούμενος, τοῦ καταξιωθῆναι ὑπηρετήσασθαι τοῖς παροῦσι, καὶ τὸν ἀπὸ τῆς ὁδοιπορίας κάματον αὐτῶν παραμυθήσασθαι. εἶδες ὅση τοῦ δικαίου φιλοξενία; μὴ γὰρ δὴ τοῦτο σκόπει, ὅτι ἄρτους παρέθηκε καὶ τὸ μοσχάριον, ἀλλ' ἐκεῖνο λογίζου, μεθ' ὅσης τιμῆς, μεθ' ὅσης ταπεινοφροσύνης τὰ τῆς φιλοξενίας ἐπεδείκνυτο·

A Atqui Sarra talis non erat, ſed verum poſſidebat ornatum: ideo & digna fuit patriarcha: & ſicut ille feſtinauit, & in tabernaculum cucurrit, ita & ipſa magno ſtudio fecit quæ imperata erant, & miſcuit tres menſuras ſimilæ. Nam quia tres erant qui aduenerant, tres menſuras iuſſit miſceri, vt citius panes pararentur. 7 *Et vt hoc præcepit, ad boues ipſe iterum cucurrit.* O ſenis iuuentutem, ô animæ conſtantiam, currit ad boues, & non permittit aliquem famulorum eò tranſire: per omnia monſtrans his qui aduenerant, quan-
B ta voluptate perfuſus ſit, & quanti faciat eorum præſentiam, & quod hunc pro theſauro haberet honorem. *Et accepit*, inquit, *vitulum tenellum & bonum.* Ipſe per ſemetipſum electionem fecit, & optimum qui aderat accepit, pueróque dedit, & illum quoque vrget, vt ſine mora quantum fieri poteſt approperet. Animaduerte, quomodo omnia cum velocitate, cum feruenti alacritate, cum hilaritate, cum gaudio, cum magna iucunditate fiunt. *Et feſtina-*
C *uit puer vt hoc faceret.* Et neque hîc ſenex quieſcit, ſed iterum in miniſtrorum ordinem tranſit. Et vt accepit butyrum, & lac, & vitulum, quem mactauerat, appoſuit illis. Sic per ſemetipſum omnia facit & apponit. Et neque dignum ſemetipſum cenſuit qui conſideret eis, ſed illis comedentibus aſtabat ipſe ſub arbore. O magnitudinem hoſpitalitatis, ô humilitatis excellentiam, ô mentem oppidò piam. Aſtabat centenarius comedentibus illis. Mihi videtur tunc præ gaudio alacritaté-
D que multa imbecillitate ſua factus ſuperior, & robur quoddam accepiſſe. Sæpe enim conſueuit alacritas animæ, ſi quando roborata fuerit, vincere corporis imbecillitatem. Aſtitit igitur patriarcha quaſi famulus, ſummum honorem ſuum exiſtimans, quòd præſentibus miniſtraret, & ſolaretur itineris eorum laborem. Vidiſti quanta iuſti hoſpitalitas? Neque enim hoc ſolùm cõſidera, quòd panes propoſuit & vitulum: ſed illud cogita, cum quanto honore & quanta modeſtia exhibita ſit hoſpitalitas.

Non ſicut multi, qui ſi quid tale fecerint, ſuperbiunt & deſpiciunt ſuſceptos, eò quòd miniſterium illis exhibeant. Hoc autem perinde eſt, ac ſi quis diuitias congreget & circumferat: & cum collegerit, omnia ſimul è manibus labi ſinat. Quiſquis enim cum arrogantia operatur quippiam, & ſic facit quaſi plus præberet quàm acciperet, neſcit quid faciat, proinde & mercedem quæ hinc proueniret, diſperdit. Verùm iuſtus ille ſciens quid operaretur, per omnia quæ faciebat oſtendit alacritatem mentis. Et poſtquam largiter & magna hilaritate ſeminauit hoſpitalitatem, ſtatim & manipulos vberrimos meſſuit. Nam vbi ea quæ ex ſe erant impleuit, & nihil intermiſit, & finem acceperunt quæ ad hoſpitalitatem pertinebant, declarataque fuit virtus iuſti: vt poſtea diſcas quantorum & qualium bonorum cauſa fuerit iuſto hoſpitalitas, manifeſtat ſe qui aduenerat, & paulatim iuſtum ſuæ magnitudinem potentiæ docet. Quia vbi vidit eum ſtantem apud quercum, & ſtando magnum honorem & miniſterium afferre, dixit ei: Vbi eſt Sarra vxor tua? Statim autem per interrogationem indicauit ei quòd non eſſet ex vulgaribus aliquis, quandoquidem & mulieris illius nomen ſciuit. Ille autem inquit: Ecce in tabernaculo. Et quia ſtatim tanquam Deus polliciturus erat ei quæ ſupra naturam, propter hoc & dicendo nomen Sarræ, ſignificauit quòd ſuper hominem eſſet qui in tabernaculum eius diuerterat. [10] *Reuertens enim*, inquit, *veniam ad te ſecundùm tempus hoc, in horas, & habebit filium Sarra vxor tua.* Ecce hoſpitalitatis fructus, ecce alacritatis illius miræ merces, ecce laborum Sarræ retributiones. *Illa autem*, inquit, *audiuit iuxta oſtium tabernaculi, ſtans poſt illud.* [12] *Et vt hoc audiuit, riſit ſecum, dicens: Nondum quidem mihi fuit vſque nunc, dominus autem meus ſenex.* Et vt reſpondeat diuina ſcriptura pro Sarra, prius ſignificauit, Abraham autem & Sarra progreſſi erant in diebus ſuis. Et neque hoc contenta, adiicit: Et deſierant Sarræ fieri muliebria.

A οὐ καθάπερ οἱ πολλοί, κἂν ποιήσωσί ποτέ τι τοιοῦτον μέγα φρονοῦσι κατὰ τῶν ὑποδεχθέντων, καὶ πολλάκις καὶ ὑπερορῶσιν αὐτῶν διὰ τὴν φθάσασαν εἰς αὐτοὺς θεραπείαν. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ τινα πλοῦτον συναγαγόντα καὶ περιφέροντα ἐκ τῶν χειρῶν ἅπαντα ῥίψαι τὰ συλλεγέντα. ὁ γὰρ μετὰ ἀπονοίας τι ἐργαζόμενος, καὶ οὕτω ποιῶν ὡς παρέχων μᾶλλον ἢ λαμβάνων, οὐκ οἶδεν ὃ διαπράττεται. διὰ τοῦτο ἀπόλλυσι καὶ τὸν ἐκ τούτου μισθόν. ἀλλ' ὁ δὲ δίκαιος οὗτος εἰδὼς ὅπερ εἰργάζετο, διὰ τῶν γινομένων ἁπάντων ἐδείκνυ τῆς ψυχῆς τὴν προθυμίαν. καὶ ἐπειδὴ μετὰ δαψιλείας καὶ πολλῆς τῆς ἱλα- B ρότητος ἔσπειρε τὴν φιλοξενίαν, παραχρῆμα δαψιλῆ τῇ χειρὶ τὰ δράγματα ἐδέχετο. ἐπειδὴ γὰρ ἅπαντα τὰ παρ' ἑαυτοῦ ἐπλήρωσε, καὶ οὐδὲν ἐγκατέλιπεν, ἀλλὰ τέλος ἔλαβε τὰ τῆς φιλοξενίας, καὶ ἐδείχθη τοῦ δικαίου ἡ ἀρετή, τότε λοιπόν, ἵνα μάθῃ ὁ δίκαιος οἵων ἐπέτυχε, καὶ ὅσων αὐτῷ τῶν ἀγαθῶν αἰτία γεγένηται ἡ τῆς φιλοξενίας ὑπόθεσις, ἐκκαλύπτει ἑαυτὸν ὁ παραγεγονώς, καὶ κατὰ μικρὸν ὑποδείκνυσι τῷ δικαίῳ τῆς οἰκείας δυνάμεως τὸ μέγεθος. ἰδὼν γὰρ αὐτὸν παρεστῶτα παρὰ τὴν δρῦν, καὶ διὰ τῆς στάσεως τὴν πολλὴν τιμήν, καὶ τὴν θε- C ραπείαν ἐπιδεικνύμενον, φησὶ πρὸς αὐτόν· ποῦ Σάρρα ἡ γυνή σου; εὐθέως διὰ τῆς ἐρωτήσεως παρήνιξεν αὐτῷ, δεικνὺς ὡς οὐχ ὁ τυχών ἐστιν ὁ παραγεγονώς, εἴγε καὶ τῆς γυναικὸς αὐτοῦ τὴν προσηγορίαν ἠπίστατο. ὁ δέ φησιν, ἰδοὺ ἐν τῇ σκηνῇ. καὶ ἐπειδὴ ἔμελλε λοιπόν, ὡς θεός, ὑπισχνεῖσθαι αὐτῷ τὰ ὑπὲρ φύσιν, διὰ τοῦτο καὶ τῷ εἰπεῖν τὴν προσηγορίαν τῆς Σάρρας ἐσήμαινεν, ὅτι ὑπὲρ ἄνθρωπόν ἐστιν ὁ εἰς τὴν σκηνὴν αὐτοῦ καταχθείς. ἐπαναστρέφων γάρ, φησιν, ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάρρα ἡ γυνή σου. ἰδοὺ D τῆς φιλοξενίας οἱ καρποί, ἰδοὺ τῆς προθυμίας τῆς ἐπιτεταμένης ὁ μισθός, ἰδοὺ τῶν καμάτων τῆς Σάρρας αἱ ἀμοιβαί. ἐκείνη δέ, φησιν, ἤκουσε παρὰ τὴν θύραν τῆς σκηνῆς ἑστῶσα ὄπισθεν, καὶ τοῦτο ἀκούσασα ἐγέλασε καθ' ἑαυτὴν λέγουσα· οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν· ὁ δὲ κύριός μου πρεσβύτερος. καὶ ἵνα ἀπολογήσηται ἡ θεία γραφὴ ὑπὲρ τῆς Σάρρας, προλαβοῦσα ἐπεσημήνατο, ὅτι Ἀβραὰμ δὲ καὶ Σάρρα προβεβηκότες ἦσαν ἐν ταῖς ἡμέραις αὐτῶν. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλά φησιν, ἐξέλιπε δὲ Σάρρα γίνεσθαι τὰ γυναικεῖα.

ἐξηραμμένη ἦν, φησιν, ἡ πηγή, τετύφλωτο ὁ ὀφθαλμός, αὐτὸ τὸ ἐργαστήριον ἦν πεπηρωμένον. διὸ ἀφορῶσα πρὸς ταῦτα ἡ Σάρρα καθ' ἑαυτὴν ἐλογίζετο τήν τε ἑαυτῆς ἡλικίαν, τό τε γῆρας τοῦ πατριάρχου. ἀλλ' ἐκείνης κατὰ τὴν σκηνὴν ταῦτα λογιζομένης, ὁ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος δεῖξαι βουλόμενος καὶ τῆς οἰκείας δυνάμεως τὴν ὑπερβολὴν, καὶ ὅτι οὐδὲν αὐτὸν λανθάνει τῶν ἀπορρήτων, φησὶ πρὸς τὸν Ἀβραάμ· τί ὅτι ἐγέλασε Σάρρα ἐν ἑαυτῇ λέγουσα, ἆρά γε ἀληθῶς τέξομαι; ἐγὼ δὲ γεγήρακα. ταῦτα γὰρ ἐκείνη ἐν ἑαυτῇ ἐλογίζετο. μὴ ἀδυνατεῖ, φησι, παρὰ τῷ θεῷ ῥῆμα; ἰδοὺ φανερῶς ἑαυτὸν ἐξεκάλυψεν. οὐκ ἴστε, φησὶν, ὅτι τῆς φύσεως ὢν δεσπότης πάντα δύναμαι, ἅπερ ἂν βουληθῶ, καὶ τὴν νεκρωθεῖσαν μήτραν ζωογονῆσαι, καὶ ἐπιτηδείαν κατασκευάσαι; μὴ ἀδυνατεῖ, φησιν, ἀδύνατόν τι τῷ θεῷ; οὐχὶ πάντα ποιῶ, καὶ μετασκευάζω; οὐχὶ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχω; μὴ ἀδυνατεῖ παρὰ τῷ θεῷ πᾶν ῥῆμα; οὐ φθάσας ὑπεσχόμην δὴ τοῦτο; μὴ ἐνεχώρει τὸ παρ' ἐμοῦ ῥηθὲν μὴ εἰς ἔργον ἐλθεῖν; ἄκουε τοίνυν, ὅτι, εἰς τὸν καιρὸν τοῦτον ἀναστρέψω πρὸς σὲ εἰς ὥρας, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. ἐπειδὰν, φησιν, ἀναστρέψω κατὰ τὸν καιρὸν τοῦτον, τότε γνώσεται διὰ τῶν πραγμάτων ἡ Σάρρα, ὅτι οὔτε τὸ γῆρας αὐτῆς κώλυμα γενήσεται, οὔτε ἡ στείρωσις· ἀλλὰ τὸ ῥῆμα τὸ ἐμὸν ἀπαράβατον ἔσται, καὶ ὁ τόκος αὐτὴν διδάξει τῶν παρ' ἐμοῦ ῥηθέντων τὴν δύναμιν. εἶτα ἐκείνη ἀκούσασα, ὅτι οὔτε τὰ ἐν τῇ διανοίᾳ αὐτῆς κινηθέντα ἔλαθε τὸν παρόντα, ἠρνήσατο λέγουσα, οὐκ ἐγέλασα. ὁ γὰρ φόβος κατέσεισεν αὐτῆς τὴν διάνοιαν. διὰ τοῦτο τῇ ἀσθενείᾳ αὐτῆς ἡ γραφὴ τὸ πᾶν λογιζομένη φησὶν, ἐφοβήθη γάρ. ἀλλ' ὁ πατριάρχης φησὶ πρὸς αὐτὴν, οὐχὶ, ἀλλὰ ἐγέλασας. μὴ νομίσῃς, φησὶν, εἰ καὶ ἐν διανοίᾳ ταῦτα ἐβουλεύσω, καὶ κατὰ τὸ λεληθὸς γέλωτα ἐποιήσω, ὅτι τοῦ παραγενομένου τὴν δύναμιν λαθεῖν εἶχες. μὴ τοίνυν ἀρνοῦ τὸ γεγονὸς, μηδὲ προσθήκην ἐργάζου τῷ ἁμαρτήματι. μεγάλα γὰρ ἡμᾶς σήμερον διαδέξεται ἀγαθὰ, τῆς φιλοξενίας ἡμῖν τούτων πάντων αἰτίας γινομένης. τοῦτον ἅπαντες μιμησώμεθα, καὶ πολλὴν περὶ τὴν φιλοξενίαν τὴν σπουδὴν ποιώμεθα, οὐχ ἵνα τῶν ἐπικήρων τούτων καὶ φθειρομένων λάβωμεν τὴν ἀντίδοσιν μόνον, ἀλλ' ἵνα καὶ τῶν ἀθανάτων ἀγαθῶν τὴν ἀπόλαυσιν ἑαυτοῖς ἀποθώμεθα.

Arefactus erat, inquit, fons excæcatus oculus, officina ipſa erat inutilis facta: ad quæ reſpiciens Sarra, cogitabat apud ſemetipſam ætatem ſuam, & ſenectutem patriarchæ. Verùm dum illa intra tabernaculum ita cogitat, is qui ſcit arcana mentis, demonſtrare volens & virtutis ſuæ excellentiam, & quòd nullum occultum ſe lateat, dicit Abrahæ: [13] *Cur riſit Sarra apud ſeipſam, dicens: Nunquid verè pariam? ego autem ſenui?* Hæc enim illa apud ſemetipſam cogitabat. [14] *Num impoſsibile,* inquit, *apud Deum verbum?* Ecce manifeſtè ſeipſum detegit. Non ſcitis, inquit, quòd naturæ dominus exiſtens, omnia poſſum quando voluero, & mortuam quoque vuluam fœcundam, & partui idoneam facere? *Num impoſsibile*, inquit, *apud Deum verbum?* Nónne omnia facio & transformo? nónne vitæ & mortis poteſtatem habeo? num impoſſibile eſt aliquid apud Deum? Nónne prius hoc pollicitus ſum? Num à me dictum prodiit aliquod, & opere non perficitur? Audi igitur, *quòd in tempore hoc reuertar ad te in horas, & erit Sarræ filius.* Poſtquam reuertero, inquit, tempore hoc, tunc ſciet re ipſa Sarra, quòd neque ſenectus ei obſtaculo fuerit, neque ſterilitas: ſed verbum meum non poterit irritum reddi, & partus eam docebit eorum quæ à me dicta ſunt potentiam. Cæterùm vt illa audiuit, quòd neque illa quæ cogitaret eſſent à præſente occulta, [15] *Negauit, dicens: Non riſi.* Timor enim concuſſerat eius mentem. Et propterea ſcriptura tribuens hoc infirmitati eius totum, inquit: Timore enim perterrita fuit. Verùm patriarcha dicit ei: non, ſed riſiſti. Ne putes, inquit, licèt in animo hæc tractaueris, & quòd in occulto riſeris, quòd poſſit abſcondi ab eius qui aduenit, virtute & ſcientia. Itaque negare factum noli, ne addas ad peccatum: magna enim ab hac hoſpitalitate nobis prouenient bona. Hunc imitemur omnes, & magnam geramus hoſpitalitatis curam: non vt momentaneam & corruptibilem retributionem ſolùm accipiamus, ſed vt reponamus nobis etiam immortalium bonorum fruitionem.

Moralis exhortatio.

Nam ſi hoc facimus, ſuſcipiemus & nos hîc Chriſtum, & ſuſcipiet etiam ipſe nos in manſionibus illis quæ ab æterno præparatæ ſunt diligentibus
Matth. 25.35. ſe. Et audiemus ab eo: Venite benite benedicti patris mei, in hæreditatem accipite præparatum vobis regnum ab origine mundi. Cuius gratia, & propter quid? Eſuriui enim, & dediſtis mihi manducare: ſitiui, & potaſtis me: peregrinus fui, & collegiſtis me: in carcere fui, & inuiſiſtis me. Quid minus moleſtum quàm hæc? num enim præcepit nobis curioſè ſcrutari & inquirere, quibuſnam deberemus curam exhibere? Tu quod tuum eſt, inquit, oſtende, licèt abiectus & vilis ſit, vt apparet, quem foues. Quæ enim in illos facta ſunt, ego vt mihi ipſi facta agnoſco. Propterea addidit: Quatenus feciſtis vni fratrum meorum minimorum, mihi feciſtis. Igitur cùm tanta ex hoſpitalitate ſint lucra, non contemnamus, ſed quotidie huius bonæ negociationis merces inferre ſtudeamus, ſcientes quòd dominus noſter alacritatem magnam, non ciborum pondus requirat, non menſam ſumptuoſam, ſed mentem hilarem, non tantum miniſterium à nudis verbis, ſed charitatem à puro ſynceróque corde.
Eccl. 18. 16. Idcirco & ſapiens quidam dicebat: Melior ſermo, quàm munus. Sæpe enim ſermonis obſequium magis recreat indigentem, quàm donum ipſum. Proinde ſcientes hæc, ne ſimus difficiles erga eos qui ad nos accedunt. Quòd ſi poterimus eorum inopiam ſubleuare, hoc faciamus cum gaudio, lætitiáque magna: non vt præbentes aliquid, ſed vt ab eis accipientes. Quòd ſi non poſſumus, ne ſimus aſperi in eos: ſed vel verbis eorum curam agamus, & in manſuetudine reſpondeamus eis. Quare enim durè compellas eum? num cogit? num vim facit? orat, ſupplicat, obſecrat. Qui autem hæc facit, contumelia dignus non eſt. Quid dico orat & ſupplicat? innumera bene apprecatur, & hæc omnia facit pro vno obolo, & neque illum erogamus. Et quam aſſequemur veniam? quam habebimus defenſionem?

A ἐὰν γὰρ τοῦτο ποιῶμεν, ὑποδεξόμεθα καὶ ἡμεῖς ἐνταῦθα τὸν Χριστὸν, καὶ ὑποδέξεται ἡμᾶς καὶ αὐτὸς ἐν ταῖς μοναῖς ἐκείναις ταῖς ἡτοιμασμέναις τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ ἀκουσόμεθα παρ' αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. τίνος ἕνεκεν· καὶ διὰ τί; ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· ἐν φυλακῇ, καὶ ἐπεσκέψασθέ με. τί τούτων ἀνεπαχθέστερον; μὴ γὰρ ἐπέταξεν ἡμῖν περιεργάζεσθαι καὶ πολυπραγμονεῖν τοὺς παρ' ἡμῶν μέλλοντας θεραπεύεσθαι; B σὺ δὲ σαυτοῦ, φησιν, ἐπίδειξαι, κἂν εὐτελὴς ᾖ, κἂν ἀπερριμμένος κατὰ τὸ φαινόμενον. τὰ γὰρ εἰς τούτους γινόμενα ἐγὼ οἰκειοῦμαι. διὰ τοῦτο προσέθηκεν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. μὴ τοίνυν τοῦ ἀπὸ τῆς φιλοξενίας τοσούτου κέρδους ἐπιγινομένου καταφρονήσωμεν, ἀλλὰ καθ' ἑκάστην ἡμέραν ἐμπορεύεσθαι τὴν καλὴν ταύτην ἐμπορείαν σπουδάζωμεν εἰδότες, ὅτι ὁ δεσπότης ὁ ἡμέτερος. προθυμίας δαψιλείαν· οὐ βρωμάτων ὄγκον ἀπαιτεῖ, οὐ τράπεζαν πολυτελῆ, ἀλλὰ γνώμην ἱλαρὰν, οὐ θεραπείαν ἁπλῶς C τὴν διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ τὴν ἀπὸ καρδίας καὶ εἰλικρινοῦς διανοίας ἀγάπην. διὰ τοῦτο καί τις σοφὸς ἔλεγε, κρεῖσσον λόγος, ἢ δόσις. πολλάκις γὰρ λόγου θεραπεία πλέον τῆς δόσεως ἀνεκτήσατο τὸν δεόμενον. ταῦτα οὖν εἰδότες μηδέποτε δυσχεραίνωμεν πρὸς τοὺς προσιόντας, ἀλλ' ἂν μὲν δυνηθῶμεν παραμυθήσασθαι αὐτῶν τὴν πενίαν, τοῦτο ποιῶμεν μετὰ χαρᾶς καὶ πολλῆς τῆς εὐφροσύνης, οὐχ ὡς παρέχοντες, ἀλλ' ὡς τὰ μέγιστα κερδαίνοντες· εἰ δὲ μὴ δυνώμεθα, μὴ τραχυνώμεθα πρὸς D αὐτούς· ἀλλὰ κἂν τὴν διὰ τοῦ λόγου θεραπείαν παρέχωμεν, καὶ μετ' ἐπιεικείας αὐτοῖς ἀποκρινώμεθα. τίνος γὰρ ἕνεκεν τραχέως αὐτῷ προσφέρῃ; μὴ γὰρ ἀναγκάζει; μὴ γὰρ βιάζεται; ἀξιοῖ, ἱκετεύει, παρακαλεῖ· ὁ δὲ ταῦτα ποιῶν οὐχ ὕβρεως ἄξιος. τί λέγω ἀξιοῖ, καὶ παρακαλεῖ; μυρία ἐπεύχεται, καὶ πάντα ταῦτα ποιεῖ ὑπὲρ ἑνὸς ὀβολοῦ, καὶ οὐδὲ τοῦτον προϊέμεθα. καὶ ποίας ἂν τύχοιμεν συγγνώμης, ποίαν δὲ σχοίημεν ἀπολογίαν,

αὐτοὶ μὲν οὕτω καθ' ἑκάστην ἡμέραν δαψιλῆ τράπεζαν παρατιθέμενοι, καὶ πολλάκις τὴν χρείαν ὑπερβαίνοντες, ἐκείνοις δὲ μηδὲ τοῦ τυχόντος μεταδιδόντες, καὶ ταῦτα μυρία ἀγαθὰ διὰ τούτου κομιζόμενοι; ἀλλ' ὢ τῆς πολλῆς ῥαθυμίας· οἷα γὰρ ἀπ' αὐτῆς ζημιούμεθα, καὶ ὅσον κέρδος ἐκ τῶν ἡμετέρων χειρῶν περιϊέμεθα, καὶ τὴν ὑπόθεσιν τῆς σωτηρίας ἡμῶν τὴν παρὰ τοῦ θεοῦ ἡμῖν παρασχεθεῖσαν ἀποπεμπόμεθα, οὔτε ἐννοοῦμεν οὔτε μὴν λογιζόμεθα οὔτε τῶν διδομένων τὸ εὐτελές, οὔτε τὴν ὑπὲρ τῶν τοιούτων ἀμοιβῶν ὑπερβολήν; ἀλλὰ πάντα τοῖς κιβωτίοις ἐναποκλείομεν, καὶ τὸ μὲν χρυσίον ὑπὸ τοῦ ἰοῦ δαπανᾶσθαι συγχωροῦμεν, μᾶλλον δὲ ταῖς τῶν κλεπτῶν χερσὶ περιτίθεμεν· τὰ δὲ ἱμάτια τὰ ποικίλα ὑπὸ τῶν σητῶν ἀναλίσκεσθαι ἀφίεμεν, καὶ οὐκ ἀνεχόμεθα τὰ ἁπλῶς κείμενα δεόντως οἰκονομεῖσθαι, ἵνα πάλιν ἡμῖν διαφυλάττηται, καὶ διὰ τούτων τῶν ἀπορρήτων ἀγαθῶν ἀξιωθῆναι δυνηθῶμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία μβ.

Ἐξαναστάντες δὲ οἱ ἄνδρες ἐπέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας.

ΕΜάθομεν ἐκ τῶν χθὲς ἀνεγνωσμένων, ἀγαπητοί, τὴν ὑπερβολὴν τῆς τοῦ δικαίου φιλοξενίας· φέρε δὴ καὶ σήμερον τὰ ἑξῆς ἐπελθόντες, πάλιν καταμάθωμεν τοῦ πατριάρχου τὸ φιλόστοργον καὶ συμπαθές. ἑκάστην γὰρ τῶν ἀρετῶν μεθ' ὑπερβολῆς ὁ δίκαιος οὗτος ἐκέκτητο. οὐδὲ γὰρ μόνον φιλόστοργος, οὐδὲ φιλόξενος ἦν καὶ συμπαθής, ἀλλὰ καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας μετὰ δαψιλείας ἐπεδείκνυτο. ἄν τε γὰρ ὑπομονὴν δέῃ ἐπιδείξασθαι, εὑρήσεις αὐτὸν εἰς αὐτὴν τὴν ἄκραν κορυφὴν ἀναβεβηκότα· ἄν τε ταπεινοφροσύνην, ὄψει πάλιν καὶ ἐνταῦθα οὐδενὶ παραχωροῦντα, ἀλλὰ πάντας ὑπερακοντίζοντα· κἂν πίστιν ἐπιδείξασθαι δέῃ, καὶ ἐν τούτῳ πάλιν μᾶλλον εὑρεθήσεται τῶν ἄλλων ἁπάντων εὐδοκιμῶν.

A Ipſi quidem quotidie lautam menſam nobis apponi curamus, & ſæpe plus quàm vſus requirit inſumimus, illis verò neque paruum quid communicamus; idque cum innumera bona per hos nos habituros expectemus? O magnam deſidiam. Quantum enim hic damni facimus? quantum lucri è manibus noſtris excidere permittimus? Materiam noſtræ ſalutis à Deo nobis datam amandamus, neque in mentem accipimus, neque conſideramus, neque paruitatem eorum, quæ damus, neque immenſitatem eorum quæ pro his accipimus: B ſed omnia arculis includentes, & aurum quidem à rubigine abſumi permittimus; imò furum manibus proponimus: veſtes quoque varias à tineis arrodi ſinimus, nolumus autem vt ea quæ abſque vſu iacent, bene diſpenſentur, vt iterum nobis cuſtodiantur, ac per ea etiam ineffabilia bona mereamur aſſequi. Quæ nobis omnibus concedat gratia & benignitate ſua dominus noſter Ieſus Chriſtus, cui cum patre, & ſancto Spiritu ſit gloria, nunc, & ſemper, & C in ſecula ſeculorum. Amen.

HOMILIA XLII.

Cùm ſurrexiſſent autem viri, reſpexerunt in faciem Sodomorum & Gomorrhæ. Gen. 18. 19.

DIDICIMVS ex heſterna lectione, chariſſimi, eximiam iuſti hoſpitalitatem: age & ea quæ ſequũtur tractantes, D hodie diſcamus benignitatem & compaſſionem patriarchæ. Poſſedit enim eximiè iuſtus ille virtutes omnes. Neque enim tantùm bene affectus erat in proximos, neque hoſpitalis tantùm & compatiens, ſed & alias virtutes omnes vbertim exhibuit. Nam ſiue patientiam exhibere opus ſit, inuenies eum in ſummum illius verticem progreſſum: ſiue humilitatẽ requiris, videbis & in hac nulli cedẽtem, ſed omnes tranſcendentẽ, ſiue fides declaranda ſit, & in hoc præ omnibus aliis laudẽ merebitur.

eſt enim anima eius imago quædam animata, varios virtutum colores in ſe oſtentans. Quæ igitur nobis poſthac relicta eſt excuſatio, cùm vnus homo cunctas in ſe virtutes poſſideat, nos verò ita immunes earum ſumus, vt ne vnam quidem perficere iuuet? Quòd enim non ex eo quod non poſſumus, ſed quod non volumus, à bonis omnibus ſumus alieni, manifeſtè indicat quòd multi eiuſdē naturæ homines inueniuntur virtutibus conſpicui. Et vero iſtuc ipſum quòd patriarcha, qui ante gratiæ tempus & ante legem fuit, à ſeipſo & à ſcientia quæ naturæ inſita eſt, in tantum peruenit virtutis faſtigium, ſufficit vt omnes noſtras excuſationes refutet. At fortè dicent aliqui, quòd vir ille multam à Deo gratiam conſecutus ſit, & omnium dominus, eius ſingularem habuerit curam. Fateor ita eſſe & ego. Verùm niſi primùm & ipſe quod ſuum erat feciſſet, non tanta à Domino obtinuiſſet. Eapropter non hoc ſolum vide, ſed in vnoquoque diligenter attende, quomodo primùm in omnibus virtutis ſuæ indicium exhibuerit, atque ſic diuinum meruerit præſidium. Atque hæc ſæpe vobis declarauimus: quando à patria ſua migrabat, quòd neque à progenitoribus ſemen fidei acceperit, & à ſeipſo valde religioſam atque piam mentem obtulerit: & homo ille cùm nuper à Chaldæa tranſlatus eſſet, iterum ſubitò iuſſus vt aliò pergat, & alienam terram ſuæ præferat: non fluctuauit animo, non diſtulit, ſed ſtatim imperata fecit: idque neſciens vbinam errandi futurus eſſet finis, & feſtinabat, & anhelabat, vt in iis quæ planè incerta erant, tanquam certa eſſent, mandatum Dei omnibus præferendum duceret. Vidiſti quomodo ab initio quæ à ſemetipſo erant attulerit, & propterea diuina quotidie vbertim ſuſceperit? eodem modo, dilecti, etiam nos, ſi voluerimus ſuperna frui gratia, imitemur patriarcham, & ne cunctemur ad obeundam virtutem: ſed quotidie ita eam exerceamus, vt oculum illum, qui ſopiri neſcit, conciliemus nobis ad mercedem tribuen-

Facienti quod in ſe eſt Deus auxiliũ non negat.

A καθάπερ γὰρ εἰκών τις ἔμψυχός ἐστιν ἡ τούτου ψυχὴ, τὰ διάφορα τῆς ἀρετῆς χρώματα ἐν ἑαυτῇ δεικνῦσα. ποία οὖν ἡμῖν ὑπολείπεται λοιπὸν ἀπολογία, ὅταν ἑνὸς ἀνθρώπου πάσας τὰς ἀρετὰς ἐν ἑαυτῷ περιφέροντος, ἡμεῖς οὕτως ἔρημοι τυγχάνωμεν, ὡς μηδεμίαν ἀρετὴν βούλεσθαι κατορθοῦν; ὅτι γὰρ οὐ παρὰ τὸ μὴ δύνασθαι, ἀλλὰ παρὰ τὸ μὴ βούλεσθαι ἔρημοι πάντων ἐσμὲν τῶν ἀγαθῶν, σαφὴς ἀπόδειξις, τὸ πολλοὺς τῶν ὁμοφυῶν ἡμῖν εὑρεῖν διαλάμποντας ἐν ἀρετῇ. καὶ αὐτὸ δὲ τοῦτο, τὸ τὸν πατριάρχην καὶ πρὸ τῆς χάριτος, καὶ πρὸ τοῦ νόμου γεγονότα, οἴκοθεν καὶ ἀπὸ τῆς ἐν τῇ

B φύσει κειμένης γνώσεως εἰς τοσοῦτον μέτρον ἀρετῆς ἐλθεῖν, πάσης ἡμᾶς ἀπολογίας ἀποστερῆσαι δυνήσεται. ἀλλ' ἴσως ἐροῦσί τινες, ὅτι πολλῆς ἀπέλαυσε τῆς παρὰ τοῦ θεοῦ κηδεμονίας ὁ ἀνὴρ, καὶ πολλὴν ἐπεδείξατο τὴν περὶ αὐτὸν πρόνοιαν ὁ τῶν ὅλων θεός. ναὶ, ὁμολογῶ· ἀλλ' εἰ μὴ πρότερος τὰ παρ' ἑαυτοῦ καὶ αὐτὸς ἐπεδείξατο, οὐκ ἂν τῶν παρὰ τοῦ δεσπότου ἀπήλαυσε. μὴ τοίνυν τοῦτο μόνον ὅρα, ἀλλὰ καθ' ἕκαστον ἐξετάζων καταμάνθανε, πῶς πρότερον τῆς οἰκείας ἀρετῆς ἐν πᾶσι τὴν βάσανον παρεσχηκὼς, οὕτως ἠξιοῦτο τῆς παρὰ τοῦ

C θεοῦ συμμαχίας. καὶ ταῦτα πολλάκις ὑμῖν ἐδείξαμεν, ἡνίκα τὰ κατὰ τὴν μετάστασιν αὐτοῦ τὴν ἐκ γῆς τῆς πατρῴας ἐποιεῖτο, ὅπως οὐδὲ ἀπὸ προγόνων σπέρματα εὐσεβείας δεξάμενος, οἴκοθεν καὶ παρ' ἑαυτοῦ πολὺ τὸ φιλόθεον ἐπεδείκνυτο, καὶ ἄνθρωπος ἄρτι τῆς Χαλδαίας μεταναστὰς, ἀθρόον κελευόμενος τὴν ἀλλοτρίαν τῆς οἰκείας ἀνταλλάξασθαι, οὐκ ἐνεδοίασεν, οὐκ ἀνεβάλλετο, ἀλλ' εὐθέως ἐπλήρου τὸ ἐπιταχθὲν, καὶ ταῦτα οὐκ εἰδὼς ὅπου στήσεται αὐτῷ τὰ τῆς πλάνης, καὶ ἔσπευδε καὶ ἠπείγετο ὡς ἐπὶ ὡμο-

D λογημένοις, τοῖς ἀδήλοις, τὸ τοῦ θεοῦ πρόσταγμα πάντων προτιμότερον ἡγούμενος. εἶδες πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τὰ παρ' ἑαυτοῦ εἰσέφερε, καὶ διὰ τοῦτο καὶ τὰ παρὰ τοῦ θεοῦ καθ' ἑκάστην ἐκαρποῦτο μετὰ πολλῆς τῆς δαψιλείας; τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, ἀγαπητοὶ, εἰ βουλοίμεθα τῆς ἄνωθεν ἀπολαύειν εὐνοίας, ζηλώσωμεν τὸν πατριάρχην, καὶ μὴ ἀναδυώμεθα πρὸς τὴν ἀρετὴν, ἀλλ' ἑκάστην ἀπολαβόντες, οὕτω ταύτην μετὰ σπουδῆς μετερχώμεθα, ὡς τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν ἐπισπάσασθαι πρὸς τὴν τῆς ἀμοιβῆς ἀντίδοσιν.

ὁ γὰρ τὰ ἀπόῤῥητα τῆς διανοίας ἡμῶν ἐπιστάμενος, ἐπειδὰν ἴδῃ ὑγιῆ γνώμην ἐπιδεικνυμένους, καὶ πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας ἀποδύεσθαι ἐσπουδακότας, παραχρῆμα καὶ τὴν παρ' ἑαυτοῦ παρέχει ῥοπὴν, ὁμοῦ καὶ τοὺς πόνους ἡμῖν ἐπικουφίζων, καὶ τὸ ἀσθενὲς τῆς ἡμετέρας φύσεως ἐπιῤῥωννὺς, καὶ δαψιλεῖς τὰς ἀμοιβὰς χορηγῶν. καὶ ἐπὶ μὲν τῶν Ὀλυμπιακῶν ἀγώνων οὐκ ἄν ποτε εὕροις τι τοιοῦτον γινόμενον· ἀλλ' ἕστηκεν ὁ παιδοτρίβης, θεατὴς μόνον γινόμενος τῶν ἀγωνιζομένων, καὶ οὐδὲν ἕτερον συνδιενεγκεῖν δυνάμενος, ἀλλ' ἀναμένων τὴν νίκην γενέσθαι· ὁ δὲ δεσπότης ὁ ἡμέτερος οὐχ οὕτως, ἀλλὰ καὶ συναγωνίζεται, καὶ χεῖρα ὀρέγει, καὶ συνεφάπτεται, καὶ μονονουχὶ πανταχόθεν τὸν ἀντίπαλον ὑποτεταγμένον ἡμῖν παραδίδωσι, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε δυνηθῆναι ἡμᾶς καταγωνίσασθαι, καὶ τὴν νίκην ἄρασθαι, ἵνα τὸν ἀμαράντινον στέφανον ἐπιθῇ τῇ ἡμετέρᾳ κεφαλῇ. στέφανον γὰρ, φησι, χαρίτων δέξῃ σῇ κορυφῇ. καὶ ἐν μὲν τοῖς Ὀλυμπιακοῖς τούτοις ἀγῶσιν ὁ στέφανος μετὰ τὴν νίκην οὐδὲν ἕτερόν ἐστιν, ἢ φύλλα δάφνης, καὶ κρότος, καὶ βοὴ παρὰ τοῦ δήμου γινομένη, ἅπερ ἅπαντα, τῆς ἑσπέρας καταλαβούσης, κατεμαράνθη καὶ ἀπώλετο· ὁ δὲ ὑπὲρ τῆς ἀρετῆς καὶ τῶν ταύτης ἱδρώτων στέφανος οὐδὲν αἰσθητὸν ἔχει, οὐδὲ ἐν τῷ αἰῶνι τούτῳ συγκαταλυόμενον, ἀλλὰ διηνεκὴς, ἀθάνατος, ἅπασι τοῖς αἰῶσι συμπαρεκτεινόμενος. καὶ ὁ μὲν πόνος πρὸς χρόνον βραχὺν, ἡ δὲ ὑπὲρ τῶν πόνων ἀμοιβὴ τέλος οὐκ οἶδεν, οὐδὲ εἴκει τῷ χρόνῳ, οὐδὲ μαραίνεται. καὶ ἵνα μάθητε, ἰδοὺ πόσα ἔτη διελήλυθε, καὶ πόσαι γενεαὶ, ἐξ οὗ πατριάρχης οὗτος γέγονε· καὶ ὡς χθὲς καὶ σήμερον οὕτω διαλάμπουσιν αὐτοῦ οἱ ὑπὲρ τῆς ἀρετῆς στέφανοι, καὶ μέχρι τῆς συντελείας αὐτῆς πᾶσι τοῖς εὖ φρονοῦσι διδασκαλίας ὑπόθεσις γίνεται. ἐπεὶ οὖν τοιαύτη τοῦ δικαίου τούτου ἡ ἀρετὴ, εἰς ζῆλον τούτου διεγερθῶμεν, καὶ ὀψὲ γοῦν ποτε τὴν οἰκείαν ἐπιγνόντες εὐγένειαν, τὸν πατριάρχην μιμησώμεθα, καὶ ἔννοιάν τινα λάβωμεν τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ πολλὴν ἐπιμέλειαν ποιώμεθα, ὥστε μὴ τὸ σῶμα μόνον ὑγιαίνειν, ἀλλὰ καὶ τῆς ψυχῆς τὰ διάφορα νοσήματα ἰατρεύειν. ἐὰν γὰρ βουλώμεθα νήφειν, καὶ ἐγρηγορέναι, τῶν τοῦ σώματος παθῶν εὐκολώτερον τὰ τῆς ψυχῆς ἰασόμεθα νοσήματα. ὅ, τι γὰρ ἂν ἐνοχλῇ ἡμῖν πάθος, ἐὰν ἐθέλωμεν εὐσεβεῖ λογισμῷ ἐν νῷ ἀναλαβεῖν, τὸ κριτήριον τῆς φοβερᾶς ἐκείνης ἡμέρας,

A dam. Etenim qui ſcit arcana mentis noſtræ, cùm viderit ſanam mentem noſtram, & nos conari & eniti ad virtutis agones, ſtatim & nutu ſuo nos adiuuat, ſimul & labores noſtros alleuians, & infirmitatem noſtræ naturæ confirmans, vberéſque retributiones ſuppeditans. Sanè in Olympicis certaminibus neutiquam quis tale quid inueniet: ſed ſubſiſtit adornator & magiſter, fitque ſpectator tantum certantium, neque in vlla re poteſt adiuuare, ſed expectat vt fiat victoria: dominus autem noſter non ita, ſed ſimul nobiſcum certat, & manũ B porrigit, & ſimul adiuuat, & quaſi vndequaque aduerſarium noſtrum nobis tradit, & omnia facit, ſatagens vt in certamine duremus, & vincamus, quò nobis immarceſcibilem imponat coronam. Coronam enim, inquit, gratiarum accipies in capite tuo. Iam in mediis illis Olympicis certaminibus corona poſt victoriam nihil aliud eſt, quàm folia lauri, quàm applauſus & acclamatio vulgi, quæ tamen omnia veſpera ingruente marceſcunt & pereunt: at corona C quæ pro virtute & eius ſudoribus datur, nihil habet ſenſibile, neque in hoc ſeculo nobiſcum diſſoluitur, ſed perpetua eſt, & immortalis, extendens ſe in omnia ſecula. Et labor quidem eſt parui temporis: merces autem laborum, finem non habet, neque cedit tempori, neque marceſcit. Et vt diſcatis, ecce quot anni præterierunt, quot generationes, à quo Abraham hic in viuis fuit: & ſicut heri ac hodie, ita fulgent eius pro virtute coronæ, & vſque ad conſummationem ſeculi, omnibus qui rectè ſa-D piunt, argumentum eſt ſermonis & doctrinæ. Proinde quia talis eſt virtus iuſti, ad æmulandum expergiſcamur, & vel tandem noſtram agnoſcentes generoſitatem, patriarcham imitemur, & de ſalute noſtra cogitemus, multa adhibita diligentia: ita vt non ſolum corpus ſanum ſit, ſed & vt diuerſi animæ morbi curentur. Nam ſi voluerimus ſobrij eſſe ac vigiles, facilius morbos animæ quàm corporis emendabimus. Nam quoties nos affectio quæpiam perturbat, ſi volumus pia religioſáque mente cogitare iudicium diei illius terribilis,

Eccl. 32. 2. Prouer. 1. 9.

Facilius medemur animæ quã corporis morbis.

& non ad præſentem voluptatem ſpectare, ſed ad cruciatus quos propter illam feremus, ſtatim ab anima noſtra reſiliet ac reuolabit. Ea propter ne ſimus negligentes, ſed ſcientes quòd agon eſt & certamen, & vt in prælio, hoſtibus nos obiiciamus oportet, quotidie renouetur, ac rigorem iuuenilem recipiat animus noſter, vt ſuperno freti præſidio, malæ huius beſtiæ, inſidiatoris dico ſalutis noſtræ, caput ſtatim conterere valeamus. Ipſe enim Dominus nobis promiſit, dicens: Ecce

Luc. 10. 19. dedi vobis poteſtatem calcandi ſuper ſerpentes & ſcorpios, & ſuper omnem virtutem inimici. Sobrij igitur ſimus obſecro, ac prudentes, vt cum veſtigia huius patriarchæ ſequimur, omnigenam virtutem amplexati, eaſdem coronas mereri poſſimus, & ad eius ſinus peruenire, & effugere gehennæ pœnam, & aſſequi bona illa ineffabilia. Verùm vt amplior fiat veſtra æmulatio, & magis ad imitandum hunc iuſtum vos prouocemus: age iterum ex hiſtoria iuſti illius cum veſtra charitate colloquentes, ſequentia aggrediamur. Igitur poſt largam illam hoſpitalitatem, quam fecerat, non qualitate ferculorum, neque quantitate, ſed promptitudine & liberalitate mentis æſtimatam, ſtatim hoſpitalitatis mercedem obtinuit: & didicit quiſnam præſens ille eſſet, & quanta eius virtus. Abituri illinc erant ad ſubuertenda Sodoma, comitatur eos patriarcha & deducit, vt inquit. Vide Domini clementiam quanta condeſcenſione, vſus eſt. Simul & iuſto honorem impendit, & virtutem in anima eius latentem detegere voluit. 16 *Cùm ſurrexiſſent autem*, inquit, *viri, reſpexerunt in faciem Sodomorum & Gomorrhæ.* De angelis dicit. Nam hic quidem in tabernaculo Abrahæ, & angeli, & eorum Dominus per idem tempus viſi ſunt: poſteà verò illi quidem vt miniſtri miſſi ſunt ad ſubuerſionem illarum ciuitatum, ipſe autem dominus manſit, & quaſi amicus amico iuſto communicabat quænam facturus eſſet. Vnde cùm illi profecti ſunt, 17 *Dixit*, inquit, *Dominus: Non celabo ab Abraham puero meo, quæ ego faciam.*

A καὶ μὴ πρὸς τὸ παρὸν ἡδὺ ἀπιδεῖν, ἀλλὰ τὴν μετὰ ταῦτα ὀδύνην ἐγγινομένην ἡμῖν, παραχρῆμα ἀποστήσεται καὶ ἀποπηδήσει τῆς ἡμετέρας ψυχῆς. μὴ τοίνυν ῥᾳθυμῶμεν, ἀλλ' εἰδότες ὅτι ἀγών ἐστι, καὶ παλαίσματα, καὶ δεῖ παρατετάχθαι πρὸς τὴν μάχην καθ' ἑκάστην ἡμέραν, ἡμεῖς τὸν λογισμὸν ἀκμάζοντα καὶ νεαρὸν ἔχωμεν, ἵνα τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντες, τοῦ πονηροῦ τούτου θηρίου, τοῦ ἐπιβούλου λέγω τῆς σωτηρίας τῆς ἡμετέρας, τὴν κεφαλὴν συντρίψαι δυνηθῶμεν. αὐτὸς γὰρ ἡμῖν ὁ δεσπότης ἐπήγγελται λέγων, ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ

B σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. νήφωμεν τοίνυν, παρακαλῶ, ἵνα κατ' ἴχνος τοῦ πατριάρχου τούτου τὴν ἀρετὴν μετιόντες, τῶν αὐτῶν ἐκείνῳ στεφάνων ἀξιωθῆναι δυνηθῶμεν, καὶ εἰς τοὺς τούτου καταντῆσαι κόλπους, καὶ διαφυγεῖν τὴν ἐν τῇ γεέννῃ κόλασιν, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀξιωθῆναι. ἀλλ' ἵνα πλείονα ζῆλον ἐν ὑμῖν ἐργαζώμεθα, καὶ πρὸς τὴν τοῦ δικαίου τούτου μίμησιν ὑμᾶς διεγείρωμεν, φέρε πάλιν ἐκ τῆς κατ' αὐτὸν ἱστορίας διαλεχθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην, ἐπελθόντες τὴν

C ἑξῆς τὴν ἀκολουθίαν. μετὰ γὰρ τὴν δαψιλῆ φιλοξενίαν ἐκείνην, οὐ τῇ ποιότητι, ἢ ποσότητι τῶν ἐδεσμάτων κρινομένην, ἀλλὰ τῇ προθυμίᾳ, τὸ δαψιλὲς τῆς γνώμης δεξάμενος παραχρῆμα τῆς φιλοξενίας τὰς ἀμοιβὰς ἐχαρίσατο. καὶ μαθὼν τίς τε εἴη ὁ παραγεγονώς, καὶ πόση ἡ τούτου δύναμις, μέλλουσιν ἐκεῖθεν ἐπὶ τὴν Σοδόμων καταστροφὴν ὁρμᾶν ἠκολούθησεν ὁ πατριάρχης συμπαραπέμπων, φησίν. ὅρα δεσπότου φιλανθρωπίαν, ὅσῃ συγκαταβάσει κέχρηται, ὁμοῦ καὶ τὴν εἰς τὸν δίκαιον τιμὴν δεικνύς, καὶ ἐκκαλύψαι βουλόμενος τὴν ἀρετὴν τὴν ἐναποκειμένην

D αὐτοῦ τῇ ψυχῇ. ἐξαναστάντες δέ, φησιν, οἱ ἄνδρες κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας, τοὺς ἀγγέλους φησίν. ἐνταῦθα μὲν γὰρ ἐν τῇ σκηνῇ τοῦ Ἀβραὰμ καὶ οἱ ἄγγελοι καὶ ὁ τούτων δεσπότης κατὰ ταυτὸν ὤφθησαν· λοιπὸν δὲ οἱ μὲν ὡς ὑπηρέται ἀπεστέλλοντο ἐπὶ τὴν καταστροφὴν τῶν πόλεων ἐκείνων, ὁ δὲ ἔμενε, καθάπερ φίλος φίλῳ, μονονουχὶ κοινολογούμενος τῷ δικαίῳ, ἅπερ ἔμελλε ποιεῖν. ἀπελθόντων τοίνυν ἐκείνων, εἶπε, φησιν, ὁ κύριος· οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ.

μεγίστη τοῦ θεοῦ ἡ συγκατάβασις, καὶ πάντα λόγον ὑπερβαίνουσα ἡ εἰς τὸν δίκαιον τιμή. ὅρα γὰρ πῶς πρὸς αὐτὸν διαλέγεται, ὡσανεὶ ἄνθρωπος ἀνθρώπῳ διαλεγόμενος, δεικνὺς ἡμῖν ὅσης οἱ ἐνάρετοι ἀξιοῦνται τῆς παρὰ τοῦ θεοῦ τιμῆς. καὶ ἵνα μὴ νομίσης τῆς τοῦ θεοῦ μόνον εἶναι ἀγαθότητος τὴν τοσαύτην εἰς τὸν δίκαιον τιμὴν, ὅρα πῶς ἡ θεία γραφὴ διδάσκει ἡμᾶς, ὅτι αὐτὸς ἑαυτῷ ταύτης τῆς τιμῆς αἴτιος κατέστη, μετὰ πολλῆς τῆς ὑπακοῆς τοῖς παρὰ τοῦ θεοῦ πειθόμενος ἐπιτάγμασιν. εἰπὼν γὰρ, οὐ μὴ κρύψω ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ, οὐκ εὐθέως λέγει τὸ μέλλον ἔσεσθαι. ἀκόλουθον γὰρ ἦν ἐπαγαγεῖν καὶ εἰπεῖν, ὅτι μέλλει τὰ Σόδομα ἐμπιπρᾷν. ἀλλ' ἄξιον μηδὲ ἐκεῖνο παραδραμεῖν· οὐδὲ γὰρ συλλαβὴν οὐδὲ κεραίαν παρατρέχειν χρὴ τῶν ἐν τῇ θεία γραφῇ κειμένων. πόσης γὰρ οἴει τιμῆς εἶναι καὶ τοῦτο αὐτὸ τὸ λέγειν, Ἀβραὰμ τοῦ παιδός μου, πόσου φίλτρου, πόσης διαθέσεως; τοῦτο γὰρ μάλιστα δείκνυσι τὸ ἐξαίρετον, καὶ τὴν εἰς τὸν δίκαιον τιμήν. εἶτα ὅπερ ἔλεγον, εἰπὼν οὐ μὴ κρύψω, οὐκ εὐθέως ἐπάγει καὶ λέγει τὸ γινόμενον, ἀλλὰ τί; ἵνα μάθωμεν ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοσαύτην περὶ αὐτὸν δείκνυται τὴν κηδεμονίαν, φησίν· Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολὺ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς. ᾔδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ, καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτόν. καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου τοῦ θεοῦ, ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ Ἀβραὰμ πάντα, ἃ ἐλάλησε πρὸς αὐτόν. βαβαὶ πόσον τῆς τοῦ δεσπότου φιλανθρωπίας τὸ μέγεθος. ἐπειδὴ μέλλει μετὰ ταῦτα ἐπάγειν τὰ κατὰ τὴν καταστροφὴν Σοδόμων, προλαβὼν νῦν παραθαρρύνει τὸν πατριάρχην, ἅμα καὶ τὴν μεγίστην εὐλογίαν αὐτῷ ἐπαγγελλόμενος, καὶ ὅτι εἰς πλῆθος ἔσται μέγα, καὶ διδάσκων αὐτὸν ὅτι ἀμοιβὴν ταύτην λαμβάνει τῆς φιλοθέου αὐτοῦ γνώμης. ἐννόησον γὰρ ὅση ἐστὶν ἡ τοῦ πατριάρχου ἀρετὴ, ὅταν ὁ θεὸς λέγῃ, ᾔδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτὸν, καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου. πολλὴ τῆς ἀρετῆς ἡ ἐπίτασις. οὐ γὰρ μόνον ὑπὲρ ὧν αὐτὸς μέτεισι τὴν ἀρετὴν τὰς ἀμοιβὰς δέχεται, ἀλλὰ καὶ ὑπὲρ ὧν διετάξατο τοῖς ἐξ αὐτοῦ τεχθεῖσι, δαψιλοῦς ἀξιοῦται τῆς ἀντιδόσεως· εἰκότως. αὐ-

A Mirum in modum Deus obſequitur iuſto, & plurimo eum honore dignatur. Nam quaſi homo homini loquens, ſic quodam modo cum ipſo loquitur, monſtrans nobis, quanto honore dignos ducit virtute præditos. Et vt ne putes honorem tantum iuſto conceſſum ſolius diuinæ eſſe bonitatis, vide quomodo diuina ſcriptura docet nos, quòd ipſe ſibi ipſi honoris fuerit author, obediendo mandatis diuinis magna ſedulitate. Poſtquam enim dixit: Nõ celabo ab
B Abraham puero meo, quæ ego facio, non ſtatim dicit quid futurum ſit: cõſectaneum enim erat, vt adderet, & diceret ſe incenſurum Sodoma. Verùm dignum eſt, vt neque illud prætereamus: neque enim ſyllabã, neque apicem in diuina ſcriptura præterire oportet. Quãtæ enim dignitatis eſſe putas, quòd dicit Abraham puerum ſuum? quantæ affectionis? quanti amoris? Hoc enim potiſſimum monſtrat eximiam dignitatem & honorẽ
C in iuſtum. Deinde id quod dicebam, cùm dixit, Non celabo: non ſtatim affert & dicit quod erat futurum: ſed quid? Vt diſcamus quòd non abſque cauſa, neque temerè Deus tantum erga illum declaras ſtudium, inquit:
18 *Abraham autem futurus eſt in gentem magnam & multam. Et in ipſo benedicentur omnes gẽtes terræ.* 19 *Noui enim quòd conſtituet filiis & domui ſuæ poſt ſe, & cuſtodient vias domini Dei, vt faciant iuſtitiam & iudicium, vt adducat Dominus ſuper Abraham omnia quæcunque locutus*
D *eſt ad eum.* Papæ, quanta benignitatis Domini magnitudo? Quoniam poſtea inducturus erat excidium Sodomorum, nunc prius patriarcham animat & confidentem facit, ſimul pollicens ei benedictionem maximam, & quòd in magnam multitudinem futurus ſit: docens eum quòd mercedem hanc piæ ſuæ mentis accipiat. Cogita enim quanta eſt patriarchæ virtus, quando Deus dicit: Scio enim quòd conſtituet filiis ſuis poſt ſe, & cuſtodient vias domini Dei. Magnũ hoc eſt virtutis incrementum. Non enim tãtum mercedem accipit quia ipſe bene egit: ſed & quia præcepit natis ſuis, largas retributiones accipit, idq; meritò ſiquidẽ ipſe omnibus deinceps magiſter & doctor euaſit.

Is enim qui principium præbet ac initia, etiam eorum quæ poſtea fiunt author eſt. Et vide Domini bonitatem, non ſolùm pro præterita virtute, ſed & pro futura iuſtum remuneratur. Scio enim, inquit, quòd conſtituet filiis ſuis. Quoniam, inquit, prænoui iuſti mentem, idcirco remunerationibus prœuenio. Scit enim abdita cordis noſtri, & quando videt volentes quæ oportet, ac ſanam præ ſe ferentes mentem, manum porrigit, & ante labores remunerat, alacriores hac ratione efficiens: id quod in iuſtis omnibus fieri inuenies. Nam cùm ſciat imbecillitatem humanæ naturæ, vt non in arduis & difficilibus animum deſpondeat, inter laborandum ita ſuum auxilium & remunerationes præbet, vt & labor ſubleuetur, & feruor creſcat. Noui enim, inquit, quòd conſtituet, filiis ſuis, & cuſtodient vias domini Dei. Non ſolùm de ipſo prædicit, quòd conſtituet, ſed & de filiis eius, quòd cuſtodient vias domini Dei; Iſaac & Iacob inſinuans. Vias Domini, hoc eſt, mandata & præcepta. Vt faciant, inquit, iudicium & iuſtitiã: nihil præferendo iuſtitiæ, & viuendo citra omnem iniuſtitiam. Hæc enim maxima virtus eſt, ac propterea euenient omnia quæ locutus eſt ei Dominus. Opinor autem quòd & aliud quiddam ſignificet, cùm dicit: Abraham autem futurus eſt in gentem magnam & populoſam: quaſi dicat: Tu quidem qui virtutem amplexaris, & meis obtemperas præceptis, obedientiámque præ te fers, in gentem magnam & multam eris. Impij autem illi Sodomorum regionem inhabitantes, diſperibunt omnes. Nam ſicut virtus ſalutis cauſa eſt eam operantibus, ita & malitia interitus. Porrò poſtquàm benedictionibus & laudibus fiduciã ac animos dedit iuſto, incipit quod dicturus erat argumentum. [20] *Clamor Sodomorum & Gomorrhæ apud me multiplicatus eſt, & peccata eorum magna valde.* [21] *Cùm igitur deſcendero, videbo vtrum iuxta clamorem ipſorum, qui ad me venit, perficiunt, ſi autem non, vt ſciam.* Terribilia verba. Clamor, inquit, Sodomorum & Gomorrhæ. Quamuis & aliæ ciuitates ſimul perierint,

A αὐτὸς γὰρ λοιπὸν ἅπασι διδάσκαλος γέγονεν. ὁ γὰρ
τὴν ἀρχὴν καὶ τὰ προοίμια παρασχὼν, οὗτος καὶ τῶν
μετὰ ταῦτα γινομένων αἴτιος ἂν εἴη. καὶ ὅρα τοῦ δε-
σπότου τὴν ἀγαθότητα. οὐ μόνον ὑπὲρ τῆς ἐν τῷ
παρελθόντι ἀρετῆς ἀμείβεται τὸν δίκαιον, ἀλλὰ καὶ
ὑπὲρ τῆς μελλούσης. ἤδειν γὰρ, φησιν, ὅτι συντάξει
τοῖς υἱοῖς αὐτοῦ. ἐπειδὴ, φησὶ, προγινώσκω τοῦ δι-
καίου τὴν γνώμην, διὰ τοῦτο προλαμβάνω ταῖς
ἀμοιβαῖς. οἶδε γὰρ τὰ ἀπόῤῥητα τῆς διανοίας, ἡμῶν
καὶ ὅταν θεάσηται τὰ δέοντα βουλομένους, καὶ ὑγιῆ
τὴν γνώμην ἐπιδεικνυμένους, καὶ χεῖρα ὀρέγει, καὶ
πρὸ τῶν πόνων ἀμείβεται, προθυμοτέρους ταύτῃ
B κατασκευάζων. καὶ τοῦτο ἂν εὕροις ἐπὶ τῶν δικαίων
ἁπάντων γινόμενον. εἰδὼς γὰρ τῆς ἀνθρωπίνης
φύσεως τὴν ἀσθένειαν, ὥστε μὴ ἀπαγορεύσαι
πρὸς τὰ δυσχερῆ, μεταξὺ τῶν πόνων πολλάκις τὴν
παρ' ἑαυτοῦ ἀντίληψιν καὶ τὰς ἀμοιβὰς παρέχει, ὥστε
καὶ τὸν πόνον ἐπικουφίσαι, καὶ τὴν ὁρμὴν ἐπιτεῖναι.
ἤδειν γὰρ, φησιν, ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ, καὶ
φυλάξουσι τὰς ὁδοὺς κυρίου. οὐ μόνον περὶ αὐτοῦ
προλέγει ὅτι συντάξει, ἀλλὰ καὶ περὶ τῶν υἱῶν
αὐτοῦ, ὅτι φυλάξουσι τὰς ὁδοὺς κυρίου, τὸν Ἰσαὰκ,
τὸν Ἰακὼβ αἰνιττόμενος. τὰς ὁδοὺς κυρίου, τουτέστι
C τὰ προστάγματα, τὰς ἐντολάς. ποιεῖν γὰρ, φησι,
δικαιοσύνην καὶ κρίσιν· μηδὲν τοῦ δικαίου προτιμᾷν,
ἐκτὸς γίνεσθαι πάσης ἀδικίας. τοῦτο γὰρ ἡ μεγίστη
ἀρετή. διὰ τοῦτο πάντα εἰς ἔργον ἐκβήσεται,
ὅσα ἐλάλησε κύριος πρὸς αὐτόν. οἶμαι δὲ καὶ ἕτε-
ρόν τι αἰνίττεσθαι αὐτὸν διὰ τοῦ λέγειν, Ἀβραὰμ δὲ
γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολὺ, ἀντὶ τοῦ, σὺ
μὲν ὁ τὴν ἀρετὴν ἑλόμενος, καὶ τοῖς ἐμοῖς προστά-
γμασι πειθόμενος, καὶ τὴν ὑπακοὴν ἐπιδεικνύμε-
νος, εἰς ἔθνος μέγα καὶ πολὺ γενήσῃ· οἱ δὲ παράνομοι
οὗτοι οἱ κατὰ τὴν τῶν Σοδόμων χώραν οἰκοῦντες ἀ-
D φανισθήσονται ἅπαντες. ὥσπερ γὰρ ἡ ἀρετὴ σωτη-
ρίας ὑπόθεσις γέγονε τοῖς ταύτην μετιοῦσιν, οὕτως
ἡ πονηρία ἀφανισμοῦ αἰτία καθίσταται. εἶτα ἐπειδὴ
καὶ διὰ τῆς εὐλογίας καὶ διὰ τῶν ἐπαίνων εἰς
πλείονα παῤῥησίαν ἤγαγε τὸν δίκαιον, ἄρχεται
τῆς ὑποθέσεως, καί φησι, κραυγὴ Σοδόμων καὶ
Γομόῤῥας πεπλήθυνται πρὸς μὲ, καὶ αἱ ἁμαρτίαι
αὐτῶν μεγάλαι σφόδρα. καταβὰς οὖν ὄψομαι,
εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρὸς
μὲ συντελοῦνται. εἰ δὲ μὴ, ἵνα γνῶ. φοβερὰ
τὰ εἰρημένα. κραυγὴ Σοδόμων, φησὶ, καὶ Γομόῤῥας.
καίτοι καὶ ἕτεραι πόλεις μετ' αὐτῶν ἠφανίσθησαν,
ἀλλ'

ἀλλ' ἐπειδὴ αὗται ἦσαν αἱ περιφανέστεραι, τούτων ἐμνημόνευσεν. πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. ὅρα τῶν κακῶν τὴν ἐπίτασιν. οὐ μόνον πολὺ τὸ πλῆθος τῆς κραυγῆς, ἀλλὰ καὶ τῆς ἀδικίας. τὸ γὰρ κραυγὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται οἶμαι σημαίνειν, ὅτι μετὰ τῆς παρανομίας ἐκείνης τῆς ἀφάτου καὶ πάσης συγγνώμης ἀπεστερημένης, καὶ ἑτέρας ἀδικίας πολλὰς ἐπεδείκνυντο, οἱ δυνατώτεροι κατεξανιστάμενοι τῶν ἀσθενεστέρων, οἱ πλούσιοι τῶν πενήτων. οὐ μόνον τοίνυν φησὶ, πολὺ τῆς κραυγῆς τὸ πένθος, ἀλλὰ καὶ αἱ ἁμαρτίαι αὐτῶν οὐχ αἱ τυχοῦσαί εἰσιν, ἀλλὰ καὶ μεγάλαι, καὶ σφόδρα μεγάλαι. ξένον γὰρ τρόπον παρανομίας ἐπενόησαν, καὶ ἀλλοκότους καὶ ἀθέσμους τῶν μίξεων νόμους ἐφεῦρον, καὶ τοσαύτη τῆς κακίας ἡ φορὰ, ὡς ἅπαντας τῆς λύμης ἀναπλησθῆναι πάσης, καὶ μηδεμίαν λοιπὸν διόρθωσιν αὐτοὺς ἐπιδέχεσθαι, ἀλλ' ἀφανισμοῦ δεῖσθαι παντελοῦς. οὐδὲ γὰρ ἰατρείαν λοιπὸν ἐπιδέχεται τὰ τούτων πάθη ἀνίατα γενόμενα. εἶτα παιδεύων ἅπασαν τῶν ἀνθρώπων τὴν φύσιν, κἂν μεγάλα ᾖ σφόδρα τὰ ἁμαρτήματα καὶ ὡμολογημένα, μὴ πρότερον τὰς ψήφους ἐκφέρειν, πρὶν ἂν ἐναργεῖς ἀποδείξεις γίνωνται, φησι, καταβὰς ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται τὴν ἐρχομένην πρός με· εἰ δὲ μὴ, ἵνα γνῶ. τί βούλεται τῆς λέξεως ἡ συγκατάβασις; καταβὰς, φησιν, ὄψομαι. τόπον γὰρ ἐκ τόπου μεταβαίνει ὁ τῶν ὅλων θεός; οὐχὶ, μὴ γένοιτο. οὐ τοῦτο λέγει, ἀλλ' ὅπερ πολλάκις ἔφην, τῇ παχύτητι τῆς λέξεως ἡμᾶς παιδεῦσαι βούλεται, ὅτι δεῖ πολλῇ τῇ ἀκριβείᾳ κεχρῆσθαι, καὶ μήτε ἀπὸ ἀκοῆς καταδικάζειν τοὺς ἡμαρτηκότας, μήτε ἄνευ ἀποδείξεως τὰς ψήφους ἐκφέρειν. ἀκούωμεν ταῦτα ἅπαντες. οὐ γὰρ μόνον οἱ τὸν δικαστικὸν θρόνον ἐπέχοντες, τοῦτον παραφυλάττεσθαι ὀφείλουσι τὸν νόμον, ἀλλὰ καὶ ἡμῶν ἕκαστος μηδέποτε ἀπὸ ψιλῆς διαβολῆς κατακρινέτω τὸν πλησίον. διὰ γὰρ τοῦτο καὶ μετὰ ταῦτα ὁ μακάριος Μωυσῆς ἐνηχούμενος ὑπὸ τοῦ πνεύματος παρῄνει λέγων, ἀκοὴν ματαίαν μὴ παραδέξῃ. καὶ ὁ μακάριος δὲ Παῦλος γράφων ἐβόα, σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; καὶ ὁ Χριστὸς δὲ διαταττόμενος τοῖς μαθηταῖς, καὶ διδάσκων τῶν Ἰουδαίων τὸ πλῆθος, τοὺς γραμματέας αὐτῶν καὶ Φαρισαίους,

A ſed quia hæ fuerunt clariores, eas ſolum commemorauit. Multiplicatus eſt apud me, & peccata eorum magna valde. Vide quomodo mala coaceruentur. Non ſolùm magna eſt multitudo clamoris & iniuſtitiæ. Nã quòd clamor Sodomorum & Gomorrhæ multiplicatus eſt, opinor ſignificare, quòd cum ineffabili & veniam nullam merente iniquitate, multas etiam iniuſtitias alias patrarunt: & inſurrexerunt potentiores contra inualidiores, ditioréſque contra pauperes. Proinde non ſolùm, inquit, magnus erat planctus clamoris, B ſed & peccata ipſorum non vulgaria fuere, ſed magna, atq; valde magna. Inſolitum enim iniquitatis modum excogitauerunt, & alienas & illicitas coëundi leges inuenerunt. Atque tãta erat malitiæ procliuitas, vt omnes omni malo replerentur, & nullam poſtea correctionem admitterent, penituſque aboleri digni eſſent: neq; enim incurabiles illorũ morbi medicos ferebant. Poſtea docens omne hominum genus, quòd licet magna valde & cõfeſſa ſint peccata, non ante C tea tamẽ pronunciandam ſententiã, quàm manifeſtæ demonſtrationes fiant, inquit: Cùm deſcẽderim autẽ, videbo vtrum iuxta clamorem ipſorum, qui ad me venit, perficiãt, vel ſi non, vt ſciã. Quid ſibi vult, quòd ſermonem ſuum ita attemperat? cùm deſcenderim, inquit, videbo: Nunquid de loco in locum tranſit vniuerſorum dominus? abſit. Nõ hoc dicit: ſed vt dixi, per verbum craſſius docere nos vult, quòd opus ſit magna diligẽtia: & non auditu ſolo peccatores condemnandi ſint, neque ſententiæ ferendæ, niſi comprobatio precedat. D Audiamus hæc omnes: non enim ſolum ij qui pro tribunali ſedẽt, obſeruare hanc legem debẽt, ſed & nullus vnquam ob nudam accuſationẽ proximum condemnet. Idcirco enim & poſt hæc beatus Moſes Spiritu ſancto afflatus admonet, dicens: Auditum vanum ne accipias. Et beatus Paulus, ſcribens, clamabat: Tu autẽ cur iudicas fratrem tuum? Et Chriſtus quoque præcipiens diſcipulis ſuis, & docens Iudæorum multitudinem, ſcribas eorum, & Phariſæos:

Nõ ſũt auditu ſolo cõdemnãdi rei.

Exod. 23. 1.

Rom. 2. 1. & 14.

Matth. 7. 1.

Nolite, inquit, iudicare, vt ne iudicemini. Cur enim, inquit, ante tempus inuadis iudicis ius? Cur præuenis diem illum terribilem? Vis iudex eſſe, iudica temetipſum, & tua delicta. Nullus eſt qui vetet: ſic enim & peccata tua emendabis, & nihil ex hoc incommodi capies. Quòd ſi relictis rebus tuis ſedes ad iudicandum alios, maiores te tibi ipſi colligere peccatorum ſarcinas non ſentis. Idcirco, obſecro, fugiamus omnino ne condemnemus alios. Nam etſi iudiciariæ poteſtatis non ſis particeps, attamen iudicaſti mente, & peccato feciſti te obnoxium: præſertim quando nulla demonſtratione audita, ſed ſæpenumero ſola ſuſpicione, & tenui accuſatione cōdemnas. Quapropter
Pſal.100 6. beatus Dauid clamabat, dicens: Detrahentem clam proximo ſuo, hunc perſequebar. Vidiſti virtutis eminētiam? Non ſolùm non recipiebat quę dicebātur, ſed & abigebat volentem fratri ſuo maledicere. Igitur ſi & nos peccata noſtra imminuere volumus, hoc maximè omnium ſeruemus, ne condemnemus fratres noſtros, neque detrahere cupientes admittamus: immò iuxta prophetam abigamus, & omnino auerſemur. Hoc enim opinor & prophetam Moſem inſinuare, cùm dicit: Auditum vanum ne acceperis. Et hac de cauſa etiam nunc Dominus tam craſſo verbo vſus eſt, in vtilitatem animarum noſtrarum. Dicit enim: Cùm deſcēdero autem, videbo. Cur enim? Num neſciebat? Ignorabátne peccatorum magnitudinē? Neſciebat lapſos correctionem non ſuſcepturos? abſit. Verum quaſi ſatisfactionem quandam affert iis, qui poſthac impudenter accuſare volent: & monſtrando eorum peruicaciam & virtutis penuriam, tanta vſus eſt longanimitate. Fortaſſis autem non propter hoc ſolùm, ſed & vt iuſto detur occaſio declarandi mentem ſuam condolentem, & bene in alios affectam. [22] Angeli enim (vt dixi) abierant in Sodoma: patriarcha verò ſtabat coram Domino; [23] *Et vt appropinquauit,* inquit, *Abraham, dixit: Nunquid perdes ſimul iuſtum cum impio, & erit iuſtus ſicut impius?* O quanta iuſti fiducia, immò ô quanta animi compaſſio.

A ἔλεγε, μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. τί γάρ, φησι, πρὸ καιροῦ ἁρπάζεις τὸ τοῦ δικαστοῦ ἀξίωμα; τί προλαμβάνεις τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν; βούλει κριτὴς εἶναι, σαυτοῦ γίνου, καὶ τῶν σοι πεπλημμελημένων. οὐδεὶς ὁ κωλύων. οὕτω γὰρ καὶ τὰ ἡμαρτημένα σοι διορθώσῃ, καὶ οὐδεμίαν ἐκ τοῦ πράγματος ὑποστήσῃ βλάβην. ἐὰν δὲ τὰ κατὰ σαυτὸν καταλιπὼν ἑτέροις καθίζῃ κρίνων, μείζονα σαυτῷ τὰ φορτία τῶν ἁμαρτημάτων συλλέγων οὐκ αἰσθάνῃ. διό, παρακαλῶ, φεύγωμεν
B πάντη τὸ καταδικάζειν τοὺς πλησίον. εἰ γὰρ καὶ τῆς ἐξουσίας τῆς δικαστικῆς οὐ μετέχεις, ἀλλὰ τῇ γνώμῃ κατέκρινας, καὶ ὑπεύθυνον τῷ ἁμαρτήματι πεποίηκας, οὐδεμίαν ἀπόδειξιν δεξάμενος, ἀλλὰ πολλάκις ἐξ ὑποψίας καὶ διαβολῆς ψιλῆς. διὰ γὰρ τοῦτο καὶ ὁ μακάριος Δαβὶδ ἐβόα λέγων, τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. εἶδες ἀρετῆς ὑπερβολήν; οὐ μόνον οὐ παρεδέχετο αὐτὸς τὰ λεγόμενα, ἀλλὰ καὶ ἀπήλαυνε τὸν τοῦ ἀδελφοῦ καταλαλεῖν βουλόμενον. ἐὰν τοίνυν βουλώμεθα καὶ ἡμεῖς ἐλαττοῦν τὰ
C ἑαυτοῖς ἐπταισμένα, τοῦτο μάλιστα πάντων φυλαττώμεθα, μήτε καταψηφίζεσθαι τῶν ἀδελφῶν τῶν ἡμετέρων, μήτε τοῖς καταλαλεῖν ἐπιχειροῦσι προσίεσθαι, μᾶλλον δὲ κατὰ τὸν προφήτην ἀπελαύνειν, καὶ πάντη ἀποστρέφεσθαι. τοῦτο γὰρ οἶμαι καὶ τὸν προφήτην Μωυσῆν δηλοῦν διὰ τοῦ λέγειν, ἀκοὴν ματαίαν μὴ παραδέξῃ. διά τοι τοῦτο καὶ νῦν ὁ τῶν ὅλων δεσπότης τοσαύτῃ παχύτητι λέξεως ἐχρήσατο πρὸς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν, καί φησι, καταβὰς ὄψομαι. τί γάρ; οὐκ ἠπίστατο, οὐκ ᾔδει τὸ μέγεθος τῶν ἁμαρ-
D τημάτων; οὐκ ἐγίνωσκε τὸ ἀδιόρθωτον τῶν ἐπταισμένων; ἀλλ' ὥσπερ ἀπολογίαν τινὰ συντιθεὶς τοῖς μετὰ ταῦτα ἀναισχύντως ἐγκαλεῖν βουλομένοις, καὶ δεικνὺς αὐτῶν τὸ ἀκάθεκτον, καὶ τὴν πολλὴν σπάνιν τῆς ἀρετῆς, τοσαύτῃ κέχρηται τῇ μακροθυμίᾳ. τάχα δὲ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ὥστε καὶ τῷ δικαίῳ ἀφορμὴν παρασχεῖν δεῖξαι τῆς γνώμης αὐτοῦ τὸ συμπαθὲς καὶ τὸ φιλόστοργον. οἱ μὲν οὖν ἄγγελοι, καθάπερ ἔφθην εἰπών, ἀπῆλθον εἰς τὰ Σόδομα· ὁ δὲ πατριάρχης εἱστήκει ἐναντίον κυρίου. καὶ ἐγγίσας, φησίν, Ἀβραὰμ εἶπε, μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής, ὢ τῆς τοῦ δικαίου παρρησίας, μᾶλλον δὲ ὢ ψυχῆς συμπαθείας.

ὅπως τῇ τῆς συμπαθείας μέθῃ καρωθεὶς οὐδὲ ὃ λέγει συνίησι. καὶ δεικνῦσα ἡ θεία γραφὴ ὅτι μετὰ φόβου πολλοῦ καὶ τρόμου τὴν ἱκεσίαν ποιεῖται, φησίν· ἐγγίσας Ἀβραὰμ εἶπε, μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς; τί ποιεῖς, ὦ μακάριε πατριάρχα; τῆς παρὰ σοῦ δεῖται παρακλήσεως ὁ δεσπότης, ὥστε μὴ τοῦτο ποιῆσαι; ἀλλὰ μὴ τοῦτο νοήσωμεν. οὐδὲ γὰρ ὡς τοῦ δεσπότου τοῦτο ποιεῖν μέλλοντος λέγει, ἀλλ' ἐπειδὴ ἐξ εὐθείας διὰ τὸν ἀδελφιδοῦν εἰπεῖν οὐκ ἐθάρρει, κοινὴν ὑπὲρ ἁπάντων ποιεῖται τὴν ἱκεσίαν, βουλόμενος μετὰ τῶν ἄλλων καὶ τοῦτον διασῶσαι, καὶ μετὰ τούτου καὶ τοὺς ἄλλους ἐξαρπάσαι. καὶ ἄρχεται τῆς παρακλήσεως, καί φησιν· ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολέσεις αὐτούς; οὐκ ἀνήσεις ἅπαντα τὸν τόπον ἕνεκεν τῶν πεντήκοντα δικαίων, ἐὰν ὦσιν ἐν αὐτῇ; μηδαμῶς. οὐ ποιήσεις τὸ ῥῆμα τοῦτο, τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. μηδαμῶς. ὁ κρίνων πᾶσαν τὴν γῆν οὐ ποιήσεις κρίσιν; ὅρα πῶς καὶ ἐν τῇ ἱκεσίᾳ δείκνυσιν αὐτοῦ τῆς γνώμης τὸ φιλόθεον. καὶ κριτὴν πάσης τῆς γῆς ὁμολογεῖ, καὶ ἀξιοῖ μὴ συναπολέσαι δίκαιον μετὰ ἀσεβοῦς. εἶτα ὁ ἥμερος καὶ φιλάνθρωπος θεὸς ἐπινεύει τῇ αἰτήσει, καί φησι, ποιῶ ὅπερ εἴρηκας, καὶ δέχομαί σου τὴν παράκλησιν. ἐὰν εὑρεθῶσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, δι' ἐκείνους ἀφήσω πάντα τὸν τόπον. χαρίζομαι, φησι, τοῖς πεντήκοντα δικαίοις, ἐὰν εὑρεθῶσι, τῶν λοιπῶν τὴν σωτηρίαν, καὶ τὴν αἴτησιν τὴν σὴν εἰς ἔργον ἀγάγω. ἀλλ' ἴδωμεν τὸν δίκαιον τοῦτον, ὅπως παρρησίας ἐπιλαβόμενος, καὶ τοῦ θεοῦ τὴν φιλανθρωπίαν εἰδώς, πάλιν δευτέραν αἴτησιν προσάγει, καί φησι. νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν κύριόν μου· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. μὴ νομίσῃς, φησί, δέσποτα, ἀγνοεῖν με ἐμαυτόν, καὶ ὑπερβαίνειν με τὸ μέτρον, καὶ τοσαύτῃ κεχρῆσθαι τῇ παρρησίᾳ. οἶδα γὰρ ὅτι γῆ εἰμι καὶ σποδός. ἀλλ' ὥσπερ τοῦτο οἶδα, καὶ σαφῶς ἐπίσταμαι, οὕτως οὐδὲ ἐκεῖνο ἀγνοῶ, ὅτι πολὺ τὸ μέγεθος τῆς σῆς φιλανθρωπίας, καὶ ὅτι πλούσιος εἶ ἐν ἀγαθότητι, καὶ βούλει πάντας ἀνθρώπους σωθῆναι. ὁ γὰρ ἐκ τοῦ μὴ ὄντος παραγαγών, πῶς ἄν ποτε γενομένους ἀπολέσῃς, εἰ μὴ πολλὴ ἡ τῶν ἁμαρτημάτων ἦν ἡ φορά; διὸ δέομαι πάλιν καὶ ἀξιῶ, ἐὰν ἐλάττους τῶν πεντήκοντα εὑρεθῶσι, καὶ τεσσαράκοντα πέντε ὦσιν ἐν τῇ πόλει δίκαιοι, οὐ σώσεις τὴν πόλιν; καὶ εἶπεν, ἐὰν εὑρεθῶσι τεσσαράκοντα πέντε, οὐ μὴ ἀπολέσω.

A Quodãmodo compaſſionis ebrietate grauatus neſcit quid dicat. Et monſtrans diuina ſcriptura, quòd magno timore & tremore preces faciat: Vt appropinquauit, inquit, Abraham, dixit: Nunquid perdes ſimul iuſtum cũ impio? Quid facis ô beate patriarcha? Quid opus habet tua deprecatione Dominus, vt ne hoc faciat? Verùm ne hoc cogitemus: non enim quaſi Domino hoc facturo dicit, ſed quia manifeſtè proprer fratris filium dicere non audebat, communes pro omnibus facit preces, volẽs cum aliis & hũc ſeruare, & cum hoc etiã alios B eripere: incipítque patrocinari, ac dicit: [26] *Si fuerint inuẽti quinquaginta iuſti in ciuitate, perdes eos? Non parces toti loco propter quinquaginta iuſtos, ſi inuenti fuerint in ea? [25] Nequaquã facies verbũ hoc, vt occidas iuſtum cum impio, & ſit iuſtus ſicut impius. Nequaquã. Qui iudicas omnem terram, nõ facies iudiciũ?* Vide quomodo & in hac oratione ſuam religioſam & piam mentem declarat, & iudicem omnis terræ confitetur, precatúrque ne pereat iuſtus cum iniuſto. Poſtea mitis & benignus dominus C annuit petitioni, & dicit: Facio id ꝙ dixiſti, & accipio tuam petitionem. *Si inuenientur quinquaginta iuſti in ciuitate, propter illos parcam omni ciuitati, & toti loco.* Dabo hoc, inquit, quinquaginta iuſtis, ſi inuenti fuerint, & alios ſaluabo, & petitionẽ tuam implebo. Verùm videamus iuſtum illum, quomodo arrepta fiducia, & agnita clementia Dei, iterũ aliam petitionem affert, & inquit: [27] *Nunc cœpi loqui ad dominum meum, ego autem ſum terra & cinis.* Ne putes, inquit, Domine me ignorare meipſum, & tranſgredi menſuram, & tanta vti fiducia. Scio D enim, quod terra ſum & cinis: ſed ſicut hoc ſcio, & manifeſtè ſcio, ita neque illud ignoro, quòd copioſa eſt tuæ clementiæ magnitudo, & quòd diues es in bonitate, & quòd vis omnes homines ſaluos fieri. Nam quos ex nihilo produxiſti, quomodo factos perderes, niſi magna eſſet peccatorum noſtrorum copia? Idcirco iterum oro & precor. [28] *Si pauciores quinquaginta inuenti fuerint, & quadraginta quinque fuerint in ciuitate iuſti, num ſaluabis ciuitatẽ? Et dixit: Si inuenti fuerint quadraginta quinque, non perdam.*

Pſal. 32. Rom. 10 1. Tim. 2

Quis pro dignitate dominum omnium laudarit, ob tantam longanimitatem & condeſcenſionem : vel iuſtum beatum prædicarit, cui tanta eſt fiducia? [29] *Et adiecit*, inquit, *vltrà loqui,& dixit:Si inuenti fuerint ibi quadraginta? Et dixit, non perdam propter quadraginta.* Exin quaſi reueritus ineffabilem Dei longanimitatem iuſtus,& timens ne fortè videatur trãſcendere modum precando, dicit: [30] *Nunquid domine ſi loquar, Si inuenti fuerint tibi triginta?* Et quia paratum inuenit ad miſericordiam, non iam paulatim diminuit, neque quinque iuſtos detrahit, ſed decẽ, & ſic affert patrocinium. Si inuenti fuerint illic triginta? *Et dixit:Non perdam,ſi inuenti fuerint illic triginta.* Animaduerte quãta iuſti conſtãtia, quaſi ipſe foret obnoxius ſententiæ,ita eripere ſtudet à pœna Sodomitarum gentem.[31] *Et dixit,quoniam poſſum loqui ad Dominum: Si inuenti fuerint ibi viginti? Et dixit: Non perdam propter viginti.* Omnem ſermonem tranſcendit, & omnem cogitationẽ Domini bonitas. Quis enim noſtrum, qui in medio infinitorum malorum verſamur,vellet ferendo ſententiam contra proximos tanta vti condeſcenſione & clementia? Verumtamẽ iuſtus ille videns diuitias clementiæ Dei, non ſubſiſtit, ſed iterum dicit:[32] *Nunquid domine,ſi loquar adhuc ſemel?* Nam quia ineffabilis erat longanimitas, propter hoc reueritus ne & indignationem aduerſus ſe moueret eius qui rogabatur,dicit : Nunquid Domine? Num temerarium quiddam facio? dicit. Num impudentiam præ me fero? num opus condemnatione dignum facio,ſi loquar adhuc ſemel, pro magna & inenarrabili bonitate tua, adhuc vnam orationem accipito à me. *Si autem inuenti fuerint illic decem? Et dixit:Non perdam propter decem.* Et quia prius dixit : Adhuc ſemel loquar.[33] *Abiit,inquit,Dominus poſtquam ceſſauerat loqui Abrahæ,& Abraham reuerſus eſt in locum ſuum.* Vidiſtis Dominum ad noſtram infirmitatem ſe demittentem? Vidiſtis & iuſti erga alios affectionem? Didiciſtis, quanta virtus ſit eorum qui virtutem exercent? Si enim inuenti fuerint, inquit, decem iuſti, propter illos omnibus remiſſionem concedo peccatorum.

A τίς ἂν κατ' ἀξίαν τὸν τῶν ὅλων θεὸν ὑμνήσῃ τῆς τοσαύτης μακροθυμίας καὶ συγκαταβάσεως, ἢ τὸν δίκαιον μακαρίσῃ τοσαύτης ἀπολαύοντα παῤῥησίας; καὶ προσέθηκε, φησὶν, ἔτι λαλῆσαι, καὶ εἶπεν· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τεσσαράκοντα. καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τεσσαράκοντα. εἶτα λοιπὸν ὥσπερ αἰδεσθεὶς τοῦ θεοῦ τὴν ἄφατον μακροθυμίαν ὁ δίκαιος, καὶ δεδιὼς μήποτε καὶ δόξῃ ὑπερβαίνειν, καὶ πέρα τοῦ μέτρου τὴν ἱκεσίαν ποιεῖσθαι, φησὶ, μή τι κύριε ἐὰν λαλήσω; ἐὰν εὑρεθῶσιν ἐκεῖ τριάκοντα. ἐπειδὴ εἶδεν ἕτοιμον πρὸς φιλανθρωπίαν, οὐκ ἔτι κατὰ μικρὸν καθυφίησιν, οὐδὲ πέντε δικαίους
B παραλιπὼν, ἀλλὰ δέκα, οὕτω προσάγει τὴν παράκλησιν, καί φησιν· ἐὰν εὑρεθῶσιν ἐκεῖ τριάκοντα. καὶ εἶπεν, οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ τριάκοντα. σκόπει πόση τοῦ δικαίου ἡ εὔνοια. καθάπερ αὐτὸς μέλλων ὑπεύθυνος τῇ ψήφῳ γίνεσθαι, οὕτω πολλὴν τίθεται τὴν σπουδὴν ἐξαρπάσαι τῆς μελλούσης ἐπάγεσθαι τιμωρίας τὸ τῶν Σοδομιτῶν ἔθνος. καὶ εἶπεν, ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν κύριον, ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ εἴκοσι. καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν εἴκοσι. πάντα λόγον ὑπερβαίνει καὶ πᾶσαν ἔννοιαν ἡ τοῦ δεσπότου ἀγαθότης. τίς γὰρ ἡμῶν
C τῶν ἐν μέσῳ μυρίων κακῶν στρεφομένων εἵλετό ποτε κατὰ τῶν ὁμογενῶν ψῆφον ἐκφέρων τοσαύτῃ χρήσασθαι συγκαταβάσει καὶ φιλανθρωπίᾳ; ἀλλ' ὅμως ὁ δίκαιος οὗτος ὁρῶν τὸν πλοῦτον τῆς τοῦ θεοῦ φιλανθρωπίας οὐχ ἵσταται, ἀλλὰ πάλιν φησί· μή τι κύριε, ἐὰν λαλήσω ἔτι ἅπαξ; ἐπειδὴ γὰρ ἄφατος ἦν ἡ μακροθυμία, διὰ τοῦτο δεδοικὼς μὴ καὶ εἰς ἀγανάκτησιν τὴν κατ' αὐτοῦ κινήσῃ τὸν παρακαλούμενον, φησί· μή τι κύριε; μὴ προπετές τι ποιῶ; μὴ ἀναίσχυντόν τι ἐπιδείκνυμι; μὴ καταγνώσεως ἄξιον πρᾶγμα διαπράττομαι,
D ἐὰν λαλήσω ἔτι ἅπαξ; μετὰ τῆς πολλῆς ἐκείνης ἀγαθότητος ἔτι μίαν ἱκεσίαν δέξαι παρ' ἐμοῦ. ἐὰν εὑρεθῶσιν ἐκεῖ δέκα. καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα. καὶ ἐπειδὴ προλαβὼν εἶπεν, ἔτι ἅπαξ λαλήσω, ἀπῆλθε, φησὶ, κύριος, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ, καὶ Ἀβραὰμ ὑπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ. εἴδετε τοῦ δεσπότου τὴν συγκατάβασιν; εἴδετε τοῦ δικαίου τὴν φιλοστοργίαν; ἐμάθετε ὅση ἡ ἰσχὺς τῶν τὴν ἀρετὴν μετιόντων; ἐὰν γὰρ εὑρεθῶσι, φησὶ, δέκα δίκαιοι, δι' ἐκείνους πᾶσι τὴν συγχώρησιν τῶν ἡμαρτημένων δωροῦμαι.

A οὐ καλῶς ἔλεγον, ὅτι ταῦτα πάντα ἐγένετο, ἵνα μηδεμία καταλίπηται τοῖς μετὰ ταῦτα ἀναισχυντοῦσιν ἀντιλογίας ἀφορμή; εἰσὶ γὰρ πολλοὶ τῶν μεμηνότων ἀκόλαστον γλῶτταν ἔχοντες, καὶ αἰτιᾶσθαι βουλόμενοι καὶ λέγοντες, τίνος ἕνεκεν ἐνεπρήσθη τὰ Σόδομα; εἰ μακροθυμίας ἀπήλαυσαν, ἴσως ἂν μετενόησαν. Διὰ τοῦτο δείκνυσί σοι τῆς κακίας τὴν ἐπίτασιν, καὶ ὅτι ἐν τοσούτῳ πλήθει τοσαύτη ἦν σπάνις ἀρετῆς, ὡς ἑτέρου κλυδωνίου τοιούτου δεῖσθαι, οἷος πρότερον κατέλαβε τὴν οἰκουμένην. ἀλλ' ἐπειδὴ ὑπόσχεσίς ἐστι τοῦ θεοῦ, ὥστε μηκέτι τοιαύτην ἐπενεγκεῖν τιμωρίαν, διὰ τοῦτο ἕτερον τρόπον τιμωρίας ἐπάγει, ὁμοῦ B κἀκείνους ὑπὸ τὴν τιμωρίαν ἄγων, καὶ τοῖς ἑξῆς ἅπασι διηνεκῆ τὴν διδασκαλίαν παρεχόμενος. ἐπειδὴ γὰρ ἀνέτρεψαν τοὺς τῆς φύσεως νόμους, καὶ ξένας καὶ παρανόμους ἐπενόησαν μίξεις, διὰ τοῦτο ξένον τιμωρίας τὸν τρόπον ἐπήγαγε, διὰ τὴν ἐκείνων παρανομίαν, καὶ τῆς γῆς τὴν γαστέρα πηρώσας, καὶ καταλιπὼν ὑπόμνημα διηνεκὲς ταῖς μετὰ ταῦτα γενεαῖς, ὥστε μὴ τοῖς αὐτοῖς ἐπιχειρεῖν, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσωσι. καὶ ἔξεστι τῷ βουλομένῳ εἰς τοὺς τόπους ἀφικέσθαι ἐκείνους καὶ ὁρᾶν αὐτὴν, ὡς εἰπεῖν, τὴν γῆν βοῶ- C σαν καὶ δεικνῦσαν τῆς τιμωρίας τὰ ἴχνη, καὶ μετὰ τοσούτων ἐτῶν ἀριθμὸν, ὡς χθὲς καὶ πρώην ἐπαχθείσης τῆς τιμωρίας, οὕτω καταφανὴς ἡ ἀγανάκτησις δείκνυται. διὸ παρακαλῶ, δι' ὧν ἕτεροι τὴν δίκην ἔδοσαν, ἡμεῖς σωφρονιζώμεθα. ἀλλ' ἴσως εἴποι τις ἄν, τί οὖν; ἐπειδὴ ἐκεῖνοι οὕτως ἐκολάσθησαν, οὐκ εἰσὶ καὶ νῦν πολλοὶ τὰ αὐτὰ ἐκείνοις παρανομοῦντες, καὶ μὴ κολαζόμενοι; ναί. ἀλλὰ τοῦτο μᾶλλον τιμωρίαν προξενήσει τοῖς τὰ τοιαῦτα παρανομοῦσι. ὅταν γὰρ μήτε ἐκ τῶν εἰς ἐκείνους συμβεβηκότων σωφρονιζώ- D μεθα, μήτε ἀπὸ τῆς μακροθυμίας τοῦ θεοῦ κερδαίνωμέν τι, ἐννόησον καὶ ὅπως ἐκεῖνο τὸ ἄσβεστον πῦρ σφοδρότερον ἑαυτοῖς ὑπανάπτομεν, καὶ τὸν σκώληκα πικρὸν ἐργαζόμεθα. ὅμως δὲ ἐπειδὴ πολλοὶ διὰ τὴν τοῦ θεοῦ χάριν εἰσὶ καὶ νῦν ἐνάρετοι δυσωπεῖν δυνάμενοι τὸν δεσπότην, καθάπερ τότε ὁ πατριάρχης· εἰ καὶ ἡμεῖς ἐκ τοῦ τὰ καθ' ἑαυτοὺς σκοπεῖν, καὶ πρὸς τὴν ῥᾳθυμίαν ἀφορᾶν τὴν ἡμετέραν νομίζομεν πολλὴν εἶναι τὴν σπάνιν τῆς ἀρετῆς· ὅμως διὰ τὴν ἐκείνων ἀρετὴν τὴν περὶ τούτους μακροθυμίαν ἐπιδείκνυται.

Non bene dicebam, quòd hæc omnia facta ſunt, vt nulla relinquatur impudenter loquentibus contradicendi occaſio? Sunt enim multi inſanientium, qui infræni lingua, & reprehendere & dicere audent: Quare incenſa ſunt Sodoma? ſi tuliſſet eos Domin⁹ longanimiter, fortè pœnitentiā egiſſent. Propter hoc oſtendit tibi malitiæ nimietatem, & quòd in tanta multitudine tanta raritas fuit virtutis, vt alio quodam diluuio indigeret, & quale prius in mundo fuit. Sed quia promiſſio Dei eſt, vt non vltrà tale inferat ſupplicium, propterea alium pœnæ modum excogitat, ſimul & illos in pœnam ducens, & poſteris omnibus perpetuam præbens doctrinā. Quoniam enim naturæ leges irritas fecerant, & alienos & illicitos excogitarant coitus, idcirco inſolitum ſupplicij modum induxit propter illorum iniquitatem: & ventre terræ inutili facto, & relicto poſteris monimento perpetuo, vt ne eadem attentantes in eaſdem incidant pœnas: & licet volenti ad loca illa pergere, videre ipſam terram (vt ita dicam) clamantem & oſtendentem ſupplicij veſtigia impreſſa, & quaſi heri vel hodie facta: tam manifeſta oſtenditur indignatio. Ideo obſecro, vt per illa, per quæ alij pœnam dederunt, nos caſtigemur. Sed fortè dixerit aliquis: Quid ergo quòd illi ſic puniti ſunt? nónne ſunt & nunc multi qui eadem committunt quæ illi, attamen non puniuntur? Etiam: ſed hoc potiſſimùm maiorem pœnam conciliabit his, qui talia perpetrant. Quando enim non caſtigamur ex his quæ illis acciderunt, & non eſt nobis lucro longanimitas Dei, cogita quomodo illum inextinguibilem ignem vehementius nobiſmetipſis ſuccendimus, & acerbum vermem paramus. Verumtamen, quia propter gratiam Dei ſunt & nunc multi virtute prediti, qui placare poſſunt Dominum, ſicut tunc patriarcha: tametſi nos, cùm noſipſos attendimus, & noſtram videmus deſidiam, putamus miram virtutis raritatem: attamē propter illorum virtutem, longanimitatem Deus in alios ſeruat,

Et vt ſcias quòd talium fiducia nobis longanimitatem Dei conciliet, audi ex hac ipſa hiſtoria, quid dicat patriarchæ: Quòd ſi decem iuſtos inuenero, non perdam ciuitatem. Et quid dico decem iuſtos? nullus inuentus illic ab iniquitate alienus, niſi ſolus Loth iuſtus, & eius duæ filiæ. Vxor enim propter ipſum fortè pœnam ciuitatis effugit poſtea tamen pœnam dedit propter ſuam malitiam. Nunc autem propter ineffabilem Dei miſericordiam, quia pietas incrementum ſumpſit, multi etiam in mediis ciuitatibus ignorati poſſunt placare Deum, & alij in montibus & ſpeluncis, aliorúmque virtus multorum tegere valet malitiã. Multa enim Domini bonitas eſt, & ſæpe ſolet etiam propter paucos multis dare ſalutem. Et quid dico, propter paucos iuſtos? ſæpe quando non inuentus eſt in præſenti vita iuſtus, propter defunctorum virtutem, viuentium miſeretur & curam habet: vnde clamat dicens: Protegam ciuitatem hanc propter me, & propter Dauid puerum meum quaſi diceret: Licèt ipſi indigni ſint qui ſaluentur, & nullam ſalutis habeant occaſionem: verùm quia ſolitus ſum miſericorditer agere, & ad miſerandum promptus ſum & ad eripiendum è calamitatibus, propter meipſum faciam, & propter puerum meum Dauid: & qui ante tot annos è vita migrauit, hic author fit ſalutis his qui ſua ſeſe perdiderant deſidia. Vidiſti clementiam Domini, quomodo eos qui virtute pollent, honore afficit, præponit, & toti multitudini æquiparat? Quapropter & Paulus dicebat: Obambulauerunt in ouillis capriniſque pellibus, deſtituti, preſſi, afflicti, quibus indignus erat mundus, Totus, inquit, iſte mundus, & totus orbis non eſt conferendus his qui in afflictionibus & preſſuris, & nuditate agunt & obambulant, & in ſpeluncis verſantur propter Deum. Igitur dilecte, quando videris virum vili externo habitu veſtitum, virtute verò intrinſecus amictum, ne hunc vilipenderis propter id quod apparet: ſed animæ diuitias diſce, & internam gloriam, & videbis vndequaque fulgentem virtutem. Talis erat beatus Elias,

4. Reg. 19.34.

Heb. 11. 37.

A καὶ ἵνα μάθῃς ὅτι ἡ τῶν πιστῶν παῤῥησία τῆς μακροθυμίας ἡμῖν πρόξενος γίνεται, ἄκουσον ἐξ αὐτῆς ταύτης τῆς ἱστορίας, τί φησι πρὸς τὸν πατριάρχην· ὅτι ἐὰν δέκα δικαίους εὕρω, οὐ μὴ ἀπολέσω τὴν πόλιν. καὶ τί λέγω δέκα δικαίους; οὐδεὶς εὑρέθη ἐκεῖ τῆς παρανομίας ἐκτὸς, εἰ μὴ μόνος Λὼτ ὁ δίκαιος, καὶ αἱ τούτου δύο θυγατέρες. ἡ γὰρ γυνὴ δι' αὐτὸν ἴσως τὴν ἐν τῇ πόλει τιμωρίαν διαφυγοῦσα ὕστερον τὴν δίκην ἔδωκε διὰ οἰκείαν ῥαθυμίαν. νυνὶ δὲ διὰ τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, ἐπειδὴ ἐπέδωκε τὰ τῆς εὐσεβείας, πολλοὶ καὶ ἐν μέσαις ταῖς πόλεσι λανθάνοντές εἰσι δυνάμενοι δυσωπεῖν τὸν θεὸν, καὶ ἐν ὄρεσι καὶ σπηλαίοις ἕτεροι, καὶ ἡ τῶν ὀλίγων τούτων ἀρετὴ τὴν τῶν πολλῶν κακίαν ἀποκρύψαι δύναται, ἐπειδὴ πολλὴ τοῦ δεσπότου ἡ ἀγαθότης, καὶ πολλάκις οἶδε δι' ὀλίγους δικαίους τῶν πολλῶν χαρίζεσθαι τὴν σωτηρίαν. καὶ τί λέγω δι' ὀλίγους δικαίους; πολλάκις ὅταν μὴ εὑρεθῇ ἐν τῷ παρόντι βίῳ δίκαιος, διὰ τὴν τῶν τετελευτηκότων ἀρετὴν τῶν ζώντων κήδεται, καὶ βοᾷ λέγων, ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. εἰ καὶ αὐτοί, φησιν, ἀνάξιοί εἰσι σώζεσθαι, καὶ οὐδεμίαν ἀφορμὴν ἔχουσι σωτηρίας, ἀλλ' ἐπειδὴ τὸ φιλανθρωπεύεσθαι σύνηθες ἐμοί, καὶ πρὸς τὸ ἐλεεῖν εἰμι ἕτοιμος, καὶ ἐξαρπάζειν τῶν δεινῶν, δι' ἐμαυτὸν ποιήσω καὶ διὰ τὸν παῖδά μου Δαβὶδ ὑπερασπισμόν· καὶ ὁ πρὸ τοσούτων ἐτῶν τοῦ βίου μεταστὰς, οὗτος αἴτιος τῆς σωτηρίας γίνεται τοῖς ὑπὸ τῆς οἰκείας ῥαθυμίας προδεδομένοις. εἶδες φιλανθρωπίαν δεσπότου, πῶς τιμᾷ τοὺς ἐν ἀρετῇ διαλάμποντας, πῶς αὐτοὺς προΐστησι, καὶ ἀνταξίους δείκνυσι παντὸς τοῦ πλήθους; διὰ τοῦτο καὶ Παῦλος ἔλεγε· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. οὗτος ἅπας, φησὶν, ὁ κόσμος, ὁ κατὰ τὴν οἰκουμένην ἅπασαν, οὐκ ἂν εἴη ἰσοστάσιος τούτων τῶν ἐν θλίψεσι, τῶν ἐν κακουχίαις, τῶν γυμνητευόντων, τῶν περιϊόντων καὶ ἐν σπηλαίοις διαγόντων διὰ τὸν θεόν. ὅταν οὖν ἴδῃς, ἀγαπητὲ, ἄνδρα εὐτελὲς μὲν σχῆμα ἔξωθεν περικείμενον, ἀρετὴν δὲ ἔνδοθεν περιβεβλημένον, μὴ ἐξευτελίσῃς τοῦτον διὰ τὸ φαινόμενον, ἀλλὰ τὸν τῆς ψυχῆς πλοῦτον καταμάνθανε, καὶ τὴν ἔνδον περιφάνειαν, καὶ ὄψει πανταχόθεν τὴν ἀρετὴν διαλάμπουσαν. τοιοῦτος ἦν ὁ μακάριος Ἠλίας

A μηλωτὴν μόνον εἶχε, καὶ ὁ τὴν πορφυρίδα περιβεβλημένος Ἀχαὰβ τῆς ἐκείνου μηλωτῆς ἐδεῖτο. εἶδες τοῦ μὲν Ἀχαὰβ τὴν πενίαν, τοῦ δὲ Ἠλία τὸν πλοῦτον; ὅρα καὶ τῆς δυνάμεως ὅσον τὸ μέσον. ἡ μηλωτὴ τούτου τὸν οὐρανὸν ἀπέκλεισε, τὴν ὑετῶν ἔστησε τὴν φορὰν, καὶ ἡ γλῶσσα τοῦ προφήτου χαλινὸς ἐγένετο τῷ οὐρανῷ, καὶ ἐπὶ τρία ἔτη καὶ μῆνας ἓξ ὑετὸς οὐκ ἐγένετο· καὶ ὁ τὴν ἁλουργίδα καὶ τὸ διάδημα περικείμενος, περιῄει τὸν προφήτην ἐπιζητῶν, καὶ οὐδὲν δυνάμενος κερδᾶναι ἐκ τῆς τοσαύτης δυναστείας. ἀλλ᾽ ὅρα δεσπότου φιλανθρωπίαν. B ἐπειδὴ εἶδεν ἀπὸ ζήλου καὶ πολλῆς θερμότητος τὸν προφήτην κινηθέντα, καὶ τὴν μεγάλην ταύτην τιμωρίαν ἐπαγαγόντα κατὰ πάσης τῆς γῆς, ὥστε μὴ καὶ αὐτὸν συναπολαῦσαι τῆς τιμωρίας, καὶ ὁμοίως τῇ ἐκείνων πονηρίᾳ κολάζεσθαι, φησὶ πρὸς αὐτόν· ἐγερθεὶς πορεύθητι εἰς Σάρεπτα τῆς Σιδωνίας. ἐκεῖ γὰρ ἐντελοῦμαι γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε. καὶ ἀναστὰς ἐπορεύθη. ὅρα τοῦ πνεύματος τὴν χάριν, ἀγαπητέ. καὶ γὰρ καὶ χθὲς εἰς φιλοξενίαν ἡμῖν ὁ λόγος ἅπας κατέληξε, καὶ σήμερον ἰδοὺ ἡ φιλόξενος αὕτη χήρα εἰς τέλος ἡμῖν ἄγειν τὸν C λόγον μέλλει. καὶ παρεγένετο, φησὶ, πρὸς τὴν χήραν, καὶ εὗρεν αὐτὴν συλλέγουσαν ξύλα, καί φησι πρὸς αὐτήν· δός μοι μικρὸν ὕδωρ, καὶ πίομαι. ἡ δὲ ὑπήκουσε. καί φησι πρὸς αὐτὴν πάλιν, ποίησόν μοι ἐγκρυφίας, καὶ φάγομαι. ἡ δὲ λοιπὸν ἐκκαλύπτει αὐτῆς τὴν ὑπερβάλλουσαν πενίαν, μᾶλλον δὲ τὸν ἄφατον πλοῦτον. ἡ γὰρ τῆς πενίας ἐπίτασις ἐδείκνυ τοῦ πλούτου τὸ μέγεθος. ἡ δέ φησιν, οὐκ ἔστι τῇ δούλῃ σου, εἰ μὴ δρὰξ ἀλεύρου, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ, καὶ φαγόμεθα, ἐγώ τε καὶ τὰ παιδία, καὶ ἀποθανούμεθα. ἐλεεινὰ τὰ ῥήματα, καὶ D αὐτὴν λιθίνην ψυχὴν ἱκανὰ ἐπικάμψαι. οὐδεμία λοιπὸν, φησὶν, ἔσται ἐλπὶς σωτηρίας. ἐπὶ θύραις τὰ τοῦ θανάτου. τοῦτο μόνον ἡμῖν ὑπολέλειπται πρὸς ζωὴν, ὃ μόλις ἀρκέσει ἐμοὶ καὶ τοῖς παιδίοις. ὅπερ ἦν μοι δυνατὸν πεποίηκα· τοῦ ὕδατος μετέδωκα. ἀλλ᾽ ἵνα μάθωμεν καὶ τῆς γυναικὸς τὸ φιλόξενον, καὶ τοῦ δικαίου τὴν πολλὴν παρρησίαν, ὅρα τί γίνεται, ἐπειδὴ ἔμαθεν ὁ προφήτης πάντα μετὰ ἀκριβείας, ἵνα ἐκκαλύψῃ ἡμῖν τὴν ἀρετὴν τῆς γυναικός. ὁ γὰρ θεὸς ὁ εἰπὼν, ὅτι ἐντέταλμαι γυναικὶ τοῦ διατρέφειν σε, αὐτὸς ἦν ὁ διὰ τοῦ προφήτου ἐνεργῶν, καί φησι πρὸς αὐτήν· ποίησον ἐμοὶ πρῶτον, καὶ φάγομαι· καὶ τότε τοῖς τέκνοις σου.

qui meloten tantum habuit, & purpura veſtitus Achab, illius melote indigebat. Vidiſti Achabi inopiam, Eliæ autem diuitias? vide & quantum poteſtate diſtent. Melote huius cœlum clauſit, pluuiarum deſcenſum inhibuit, & lingua prophetæ frænum fuit cælo, & annis tribus & ſex menſibus pluuia non fuit: purpura autem amictus & diademate, circumibat quærens prophetam, & nihil lucri ex tanta poteſtate habebat. Cæterùm vide Domini clementiam, quia vidit prophetam multo zelo & feruore moueri, & magnam hanc pœnam inferri contra totam terram, ne & ipſe ſimul in ſupplicium incideret cum illis, dicit ei: Surge, & vade in 3. Reg. 17.9.
Sarepta Sidoniorum. Illic enim præcipiam mulieri viduæ, vt te paſcat. Et vt exurrexit, abiit. Vide ſpiritus gratiam dilecte. Etenim & heri nobis totus ſermo de hoſpitalitate fuit, & hodie hoſpitalis iſta vidua ſermonem noſtrum complebit. Et venit, inquit, ad viduam, & inuenit eam colligentem ligna, & dicit ei: Da mihi parum aquæ, & bibam: illa obediuit. Et dixit ad eam iterum: Fac mihi ſubcinericios panes, & comedam. Illa verò poſtea detegit immodicam ſuam egeſtatem, imò inenarrabiles diuitias. Magna enim paupertas indicat diuitiarum illius magnitudinem. Et dicit: Non eſt ancillæ tuæ niſi pugillus farinæ, & parum olei in amphora, & comedemus ego & pueri, & moriemur. Miſerabilia verba, quæ & ipſam lapideam animam inflectere poſſent. Nulla poſthac nobis ſpes ſalutis. Mors in foribus eſt. Hoc ſolùm nobis relictum eſt ad vitam, quod vix ſufficiet mihi & puerulis: id quod erat mihi poſſibile feci, aquam communicaui. Verùm vt diſcamus & mulieris hoſpitalitatem, & iuſti magnam fiduciam, vide quid fit. Vbi propheta didicit diligenter hæc omnia, vt detegeret nobis virtutem mulieris. Nam Deus qui dixerat: Præcepi mulieri, vt te paſcat: ipſe erat qui tunc per prophetã operabatur: dicit ei: Fac mihi primùm & comedam, & tunc filiis tuis.

Audite mulieres, quæ diuitiis affluitis, & in multa inutilia veſtras facultates inſumitis, & poſt illa omnia duos vel tres obolos indigentibus, vel viro cuipiam virtute prædito, propter Deum egeno, impendere non vultis. Iſta autem nihil horum poſſidens, ſed tantum pugillum farinæ, & paulò pòſt iuxta ſuam opinionem, filiorum mortem ſpectatura, vt audiuit à propheta, Fac mihi primùm, & tunc tibi & puerulis tuis: non ægrè tulit, non cunctata eſt, ſed fecit imperata: erudiens omnes nos, præferendos noſtræ refocillationi ſeruos Dei: & non temere talia lucra prætereunda, ſed attendendum quòd multa hinc nobis erit merces. Vide igitur hanc viduam, pro pugillo farinæ, & pauxillo oleo, quomodo perpetuum horreum ſibi comparauerit. Nam poſtquam pauit prophetam, neque pugillus farinæ defecit, neque amphora olei, cùm interim fame terra omnis corrumperetur. Eſt autem & hoc admirabile & rarum, quòd neque laboribus poſtea opus habebat, ſed parata perpetuò erant farina & oleum: & neque agricultura indigebat, neque boum cooperatione, neq; vlla alia cura, ſed videre erat omnia præter naturam euenire. Et cùm rex, qui coronam capite geſtabat, anxius eſſet, & fame laboraret: pauper vidua omnib⁹ deſtituta, quia prophetam ſuſceperat, in perpetuam venit abundantiam. Propterea & Chriſtus dicebat: Qui ſuſceperit prophetam in nomine prophetę, mercedem prophetæ recipiet. Vidiſti heri quid patriarcha meruerit dapſili ſua hoſpitalitate, & feruida alacritate: vide & nunc hanc Sidoniã repentè diuitias poſſidẽtem. Lingua enim prophetæ quæ cœli habenas moderabatur, farinę pugillum, & olei amphorã iugiter ſcaturire fecit. Hanc omnes imitẽtur & viri & mulieres. Ego quidem vellem nos prophetam imitari, & eius poſſidere virtutes: ſed quia hoc oneroſum vobis videtur eſſe, quamuis & ille homo erat, carnémq; ſicut & nos circumferebat, & eandẽ quam nos habebat naturam, verùm quia quæ ſua erant largiter attulit, atque virtutẽ amplexatus eſt, ſupernam quoque gratiam aſſecutus eſt.

2. Reg. 17.14.

Matth. 10.41.

Moralis exhortatio.

A ἀκούετε γυναῖκες αἱ πλούτῳ περιρρεόμεναι, καὶ εἰς μάταια ἀνόνητα καταναλίσκουσαι τὴν οἰκείαν περιουσίαν, καὶ οὐδὲ μετὰ τὴν οἰκείαν ἀπόλαυσιν πολλάκις καταδεχόμεναι ὀβολοὺς δύο προέσθαι τοῖς δεομένοις, ἢ ἀνδρί τινι τῶν ἐναρέτων διὰ τὸν θεὸν πενομένῳ. αὕτη δὲ οὐδὲν ἕτερον κεκτημένη, ἢ τὴν δράκα τοῦ ἀλεύρου, καὶ μέλλουσα κατὰ μικρὸν, ὅσον κατὰ τὸν ἑαυτῆς λογισμὸν, τῶν παίδων τὸν θάνατον ὁρᾷν, ἀκούσασα παρὰ τοῦ προφήτου, ὅτι ἐμοὶ πρῶτον ποίησον, καὶ τότε σοὶ καὶ τοῖς παιδίοις σου, οὐκ ἐδυσχέρανεν, οὐκ ἠμέλλησεν, ἀλλ' ἐποίει τὸ ἐπιταχθὲν, παιδεύουσα πάντας ἡμᾶς προτιμᾶν τῆς

B οἰκείας ἀναπαύσεως τοὺς τοῦ θεοῦ δούλους, καὶ μὴ ἁπλῶς παρατρέχειν τὰ τοιαῦτα κέρδη, ἀλλ' εἰδέναι ὅτι πολλὴ ἡ ὑπὲρ τούτων ἡμῖν ἀντίδοσις ἔσται. ὅρα γοῦν ταύτην τὴν χήραν, ἀντὶ μιᾶς δρακὸς ἀλεύρου καὶ ὀλίγου ἐλαίου πῶς διηνεκῆ ἅλωνα ἐκτήσατο. μετὰ γὰρ τὸ τραφῆναι τὸν προφήτην, οὔτε ἡ δρὰξ τοῦ ἀλεύρου ἐπέλειψεν, οὔτε ὁ καμψάκης τοῦ ἐλαίου, πάσης τῆς γῆς λιμῷ διαφθειρομένης. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι οὐδὲ μόχθων ἐδεῖτο λοιπὸν, ἀλλ' εἶχεν ἕτοιμον διηνεκῶς τὸ ἄλευρον καὶ τὸ ἔλαιον, καὶ οὔτε γεωργίας ἐχρῄζεν,

C οὔτε τῆς τῶν βοῶν συνεργίας, οὔτε ἑτέρας τινὸς ἐπιμελείας, ἀλλὰ παρὰ φύσιν ἦν ἰδεῖν ἅπαντα συμβαίνοντα· καὶ τοῦ βασιλέως τοῦ τὸ διάδημα περικειμένου ἐν ἀμηχανίᾳ ὄντος, καὶ λιμῷ διαφθειρομένου, ἡ χήρα ἡ πενιχρὰ, ἡ πάντων ἐστερημένη, ἐπειδὴ τὸν προφήτην ὑπεδέξατο, ἐν εὐπορίᾳ ἐτύγχανε διηνεκεῖ. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. εἶδες χθὲς οἵων ὁ πατριάρχης ἠξιώθη, δαψιλῆ τὴν φιλοξενίαν ἐπιδειξάμενος καὶ μετὰ πολλῆς τῆς θερμότητος· ὅρα καὶ νῦν ταύτην τὴν Σιδωνίαν ἀθρόον πλοῦτον ἄφατον κτησαμένην. ἡ

D γὰρ γλῶττα τοῦ προφήτου ἡ τοῦ οὐρανοῦ τὰς ἡνίας ἐπισχοῦσα, αὕτη τοῦ ἀλεύρου τὴν δράκα πηγάσαι ἐποίησε, καὶ τοῦ ἐλαίου τὸν καμψάκην. ταύτην πάντες μιμείσθωσαν, καὶ ἄνδρες καὶ γυναῖκες. ἐγὼ μὲν γὰρ ἐβουλόμην εἰς τὸν τοῦ προφήτου ζῆλον ὑμᾶς ἐναγαγεῖν καὶ τῆς ἀρετῆς τούτου τὴν μίμησιν. ἀλλ' ἐπειδὴ τοῦτο ὑπέρογκον ὑμῖν δοκεῖ εἶναι, καίτοι κἀκεῖνος ἄνθρωπος ἦν, καὶ σάρκα περιέκειτο καθὼς ἡμεῖς, καὶ τῆς αὐτῆς ἡμῖν μετεῖχε φύσεως, ἀλλ' ἐπειδὴ τὰ παρ' ἑαυτοῦ μετὰ δαψιλείας εἰσήνεγκε καὶ τὴν ἀρετὴν εἵλετο, ἠξιώθη καὶ τῆς ἄνωθεν χάριτ-

Ηθικόν.

ἀλλὰ τέως κἂν τὴν γυναῖκα ταύτην μιμησώμεθα, καὶ τότε κατὰ μικρὸν ἥξομεν καὶ ἐπὶ τὴν τοῦ προφήτου μίμησιν. μιμησώμεθα τοίνυν τὴν ταύτης φιλοξενίαν, καὶ μηδεὶς λοιπὸν πενίαν προβαλλέσθω. οἷος γὰρ ἂν ᾖ πένης, οὐκ ἂν εἴη ταύτης πενέστερος, ἣ πρὸς μίαν ἡμέραν μόνον ἐκέκτητο τροφὴν, καὶ οὐδὲ οὕτως ὀκνηροτέρα γέγονε περὶ τὴν τοῦ δικαίου αἴτησιν, ἀλλὰ πολλῇ τῇ προθυμίᾳ χρησαμένη ταχεῖαν τὴν ἀμοιβὴν ἐκομίσατο. τοιαῦτα γὰρ τὰ παρὰ τοῦ θεοῦ. αὐτῷ μικρῶν ἔθος ἀντὶ μεγάλα δωρεῖσθαι. τί γὰρ, εἰπέ μοι, τοσοῦτον εἰσήνεγκεν, ὅσον ἐκομίσατο; ἀλλ' ὁ δεσπότης ὁ ἡμέτερος οὐ τῇ ποσότητι προσέχειν εἴωθεν, ἀλλὰ τῇ δαψιλείᾳ τῆς γνώμης, καὶ ἀπὸ ταύτης καὶ τὰ μικρὰ μεγάλα γίνεται, καὶ τὰ μεγάλα πολλάκις εὐτελίζεται, ὅταν μὴ ἱλαρᾷ τῇ προθυμίᾳ ἐπιτελῆται τὰ γινόμενα. διὰ τοῦτο καὶ ἡ χήρα ἐκείνη ἡ ἐν τῷ εὐαγγελίῳ, πολλῶν πολλὰ βαλόντων ἐν τῷ γαζοφυλακίῳ δύο λεπτὰ βαλοῦσα πάντας ὑπερηκόντισεν, οὐκ ἐπειδὴ πλείονα τῶν ἄλλων ἔβαλεν, ἀλλ' ὅτι δαψιλῆ τὴν γνώμην ἐπεδείξατο. οἱ μὲν γὰρ ἄλλοι, φησὶν, ἐκ τοῦ περισσεύοντος αὐτοῖς τοῦτο ἐποίουν· αὕτη δὲ ἅπαντα ὅσα ἐκέκτητο ἔβαλεν. ὅλον γὰρ τὸν βίον αὐτῆς ἔβαλε. κἂν τὰς γυναῖκας μιμησώμεθα οἱ ἄνδρες, καὶ μὴ ἐλάττους αὐτῶν ὀφθῶμεν, ἀλλὰ σπουδάσωμεν μὴ μόνον πρὸς τὴν οἰκείαν ἀπόλαυσιν πᾶσαν τὴν οὐσίαν καταναλίσκειν, ἀλλὰ καὶ τῶν δεομένων πολλὴν ποιεῖσθαι πρόνοιαν, καὶ μετὰ προθυμίας καὶ φαιδρότητος τοῦτο ποιεῖν. καὶ γὰρ ὁ γεωργὸς εἰς τὴν γῆν καταβάλλων τὰ σπέρματα, οὐ μετὰ στυγνότητος τοῦτο ἐργάζεται, ἀλλὰ χαίρων καὶ γεγηθὼς, καὶ ἤδη τῇ προσδοκίᾳ τὰ δράγματα βλέπειν νομίζων, οὕτως εἰς τὴν γῆν ἀφίησι τὰ σπέρματα. καὶ σὺ τοίνυν, ἀγαπητὲ, μὴ πρὸς τὸν λαμβάνοντα ὅρα μόνον, μηδὲ πρὸς τὴν δαπάνην τὴν γινομένην, ἀλλ' ἐννόει ὅτι οὗτος μέν ἐστιν ὁ ὁρώμενος, ὁ παρὰ σοῦ δεχόμενος· ἕτερος δὲ ὁ τὰ εἰς ἐκεῖνον γινόμενα οἰκειούμενος, καὶ οὐχ ὁ τυχὼν, ἀλλ' ὁ τῶν ὅλων δεσπότης, ὁ τῶν ἁπάντων κύριος, ὁ οὐρανοῦ καὶ γῆς ποιητής· καὶ ὅτι ἡ δαπάνη αὕτη πρόσοδος γίνεται, καὶ οὐ μόνον οὐκ ἐλαττοῖ σου τὴν οὐσίαν, ἀλλὰ καὶ πλεονάζει μᾶλλον, ἐὰν σὺ μετὰ πίστεως τοῦτο ἐργάζῃ καὶ ἱλαρᾶς τῆς προθυμίας. εἴπω δὲ κεφάλαιον τῶν ἀγαθῶν; μετὰ τῆς προσόδου τῆς ἀπὸ τῆς δαπάνης ταύτης γινομένης καὶ ἁμαρτημάτων συγχωρήσεώς σοι πρόξενος γίνεται, οὗ τί γένοιτο ἴσον;

A Cæterùm interim nos vel mulierem hanc imitemur, & ſic paulatim eò veniemus, vt etiam prophetam imitemur. Æmulemur itaque eius hoſpitalitatem, & nullus poſthac inopiam prætexat. Nam quantumuis inops ſit aliquis, non erit hac egentior, cui ad vnum tantum diem erat alimentum: & neque ſic fuit ſegnis ad petitionem prophetæ, ſed magna promptitudine ei paruit, & mercedẽ protinus recepit. Talia enim ſunt, quæ à Deo fiunt. Mos ei dare magna B pro paruis. Quid enim, dic oro, tantum attulit, quãtum accepit? Verùm dominus noſter, non quanta dentur conſueuit attendere, ſed voluntatis largitatem: & ab hac quæ parua ſunt magna redduntur: & magna ſæpe vilia efficiuntur, quando non hilari promptitudine quæ fiunt, inſumuntur. Et eapropter vidua illa euangelica, multis multa in gazophylacium mittẽtibus, proiectis duobus minutis omnes vicit: nõ quòd immiſerit plu- (Mar. 12. 42. Luc. 21. 3.) C ra aliis, ſed quòd liberaliorem voluntatem oſtenderit. Alij enim, inquit, ex eo quòd ſibi abundabat eleemoſynam faciebant: iſta autem omnia quæcunque poſſidebat, immiſit. Omnem enim victum ſuum, inquit, iniecit. Ergo mulieres ſaltem imitemur viri, & non inferiores eis videamur: ſed ſtudeamus nõ ſolùm ad noſtrum vſum omnem ſubſtantiam noſtram impendere, ſed & egenorũ magnam habere curam, ídque cum alacritate & hilaritate. Etenim & agricola, ter- D ræ concredens ſemina, non hoc triſti facit vultu, ſed gaudens & lætabundus, & quaſi iam ſpe manipulos videre ſe exiſtimans, in terram ſeminat. Et tu dilecte, ne ſolùm reſpexeris ad eum qui recipit: ſed cogita, quòd ipſe quidem eſt viſibilis qui à te accipit: alius autem quæ in illum fiunt, ſibi facta dicit: neque ille vulgaris quiſpiam eſt, ſed omnium dominus, cœli terræque conditor. Et ſumptus ille redituum locum obtinet, & non ſolum non minuit tuam ſubſtantiam, ſed auget magis, ſi cum fide & promptitudine hilari hoc feceris. Addam id quod præcipuum eſt bonum: præter hoc reditus & lucra, quæ ex hoc ſumptu parantur, peccata etiam condonantur: cui bono quid par eſſe po-

terit? Si igitur volumus verè locupletari, & cum diuitiis etiam peccatorum inuenire remiſſionem, effundamus res noſtras in egenorum manus, præmittamus eas in cœlum, vbi neque fur, neque latro, neque parietum effoſſor, neque famuli malitia, neque aliud quicquam nocere poterit diuitiis noſtris. Regio enim illa omnibus iſtiuſmodi damnis ſuperior eſt. Tantùm ne vanam gloriam ſectemur, ſed vt iuxta leges à Chriſto traditas, non ab hominibus laudes percipiamus, ſed à communi omnium domino: vt ne & ſumptus faciamus, & lucro deſtituamur. Nam licét non diripi poſſint diuitiæ per manus pauperum eò tranſlatæ, vana tamen gloria abſumuntur. Et vt tinea & vermes veſtes corrumpunt, ita & inanis gloria diuitias quæ miſericordia colliguntur. Idcirco obſecro non ſolum faciamus eleemoſynas, ſed & cautè faciamus, vt magna percipiamus pro paruis, & pro fragilibus incorruptibilia, & pro temporalibus æterna, & cum his omnibus etiam peccatorum remiſſionem aſſequi poſſimus, bonáque illa ineffabilia: quibus nos omnes potiri contingat, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre, & Spiritu ſancto & viuificatore, ſit gloria, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Matth. 6.

HOMILIA. XLIII.

Gen. 1. *Venerunt autem, inquit, duo Angeli Sodoma veſpere.*

QVEMADMODVM floridum quoddã pratum varios & omnigenos flores oſtentat, ita & diuina ſcriptura iuſtorum virtutes nobis demonſtrat: non vt ſicut illorum florum fragrantia paruo tempore fruamur, ſed vt perpetuam inde vtilitatem recipiamus. Illic manu tantum carpimus flores, & protinus marceſcentes ſuam gratiam amittunt: hîc autem non ſic: ſed quando auribus iuſtorum virtutes accipimus,

A εἰ τοίνυν βουλόμεθα εἰδέναι πλουτεῖν τὸν ἀληθῆ πλοῦτον, καὶ μετὰ τοῦ πλούτου καὶ τῶν ἁμαρτημάτων τὴν συγχώρησιν εὑρέσθαι, ἐκχέωμεν τὰ ὄντα εἰς τὰς τῶν δεομένων χεῖρας, προαποστείλωμεν αὐτὰ εἰς τὸν οὐρανόν, ἔνθα οὐδὲ κλέπτης, οὐδὲ λῃστής, οὐ τοιχωρύχος, οὐκ οἰκέτου κακουργία, οὐκ ἄλλο οὐδὲν λυμήνασθαι δυνήσεται τὸν πλοῦτον τὸν ἡμέτερον. ὁ γὰρ χωρίον ἐκεῖνο πάσης τοιαύτης βλάβης ἀνώτερον· μόνον μὴ μετὰ κενοδοξίας τοῦτο ποιῶμεν, ἀλλὰ κατὰ τοὺς ὑπ' αὐτοῦ δεδομένους νόμους, ὥστε μὴ τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον καρπώσασθαι, ἀλλὰ τὸν παρὰ τοῦ κοινοῦ πάντων δεσπότου, ἵνα μὴ καὶ
B τὴν δαπάνην ὑπομείνωμεν, καὶ τοῦ κέρδους ἀποστερηθῶμεν. ὥσπερ γὰρ πάσαις ταῖς ἄλλαις ἐπιβουλαῖς ἀνάλωτός ἐστιν ὁ πλοῦτος, ὁ ἐκεῖ μετατιθέμενος διὰ τῆς τῶν πενήτων χειρός, οὕτω κενοδοξία μόνη ἀναλίσκεται, καὶ ὅπερ ἐστὶν ἐνταῦθα ὁ σὴς, καὶ ὁ σκώληξ πρὸς τὴν τῆς ἐσθῆτος διαφθοράν, τοῦτο κενοδοξία πρὸς τὸν ἀπὸ τῆς ἐλεημοσύνης συλλεγόμενον πλοῦτον. διὸ παρακαλῶ, μὴ μόνον ποιῶμεν τὴν ἐλεημοσύνην, ἀλλὰ καὶ μετὰ ἀσφαλείας ταύτην ἐργαζώμεθα, ἵνα ἀντὶ μικρῶν μεγάλα καρπωσώμεθα ἀγαθά, καὶ ἀντὶ τῶν ἐπικήρων
C τὰ ἄφθαρτα, καὶ ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, καὶ μετὰ τούτων ἁπάντων καὶ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων τυχεῖν δυνηθῶμεν, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία μγ.

Ἦλθον δέ φησιν οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας.

D Καθάπερ λειμών τις εὐανθὴς διάφορα καὶ ποικίλα τὰ ἄνθη ἐν ἑαυτῷ δείκνυσιν, οὕτως ἡ θεία γραφὴ τῶν δικαίων τὰς ἀρετὰς ἡμῖν δείκνυσιν, οὐχ ἵνα καθάπερ ἐπὶ τῶν ἀνθῶν πρὸς βραχὺ μόνον ἀπολαύσωμεν τῆς εὐωδίας, ἀλλ' ἵνα διηνεκῆ τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσώμεθα. ἐκεῖ μὲν γὰρ μόνον ἐδεξάμεθα τῇ χειρὶ τὰ ἄνθη, καὶ μετ' ὀλίγον αὐτὰ μαρανθέντα τὴν οἰκείαν χάριν ἠμαύρωσεν· ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλ' ἐπειδὰν δεξώμεθα διὰ τῆς ἀκοῆς τὰς ἀρετὰς τῶν δικαίων,

καὶ εἰς τοὺς κόλπους τῆς διανοίας ἡμῶν αὐτὰς ἐναποθώμεθα, διὰ παντὸς τοῦ χρόνου τῆς τούτων εὐωδίας ἀπολαύειν δυνάμεθα, ἐὰν ἐθέλωμεν. Φέρε οὖν, ἐπειδὴ τοιαύτη τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων ἁγίων ἡ εὐωδία, σήμερον τοῦ Λὼτ τὴν εὐωδίαν καταμάθωμεν, ἵνα γνῶμεν ἀκριβῶς, ὅπως εἰς ἄκραν τῆς ἀρετῆς τὴν κορυφὴν ἡ τοῦ πατριάρχου συνουσία τὸν δίκαιον τοῦτον ἀνήγαγε, καὶ κατ' ἴχνος αὐτοῦ καὶ αὐτὸς τὴν οἰκείαν φιλοξενίαν διὰ τῶν ἔργων ἐπιδείκνυται. Ἀλλ' ἵνα σαφέστερος ἡμῖν ὁ λόγος γένηται, ἄξιον αὐτῶν τῆς γραφῆς ἐπακοῦσαι τῶν ῥημάτων. Ἦλθον δέ, φησιν, οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας. Τίνος ἕνεκεν οὕτως ἤρξατο, ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας; ἐπειδὴ μετὰ τὸ ἐπιξενωθῆναι τῷ πατριάρχῃ, ἐξαναστάντων αὐτῶν ἐκεῖθεν, ὁ μὲν κηδεμὼν καὶ φιλάνθρωπος θεὸς τὴν οἰκείαν ἀγαθότητα μιμούμενος, καὶ σχήματι ἀνθρώπου τότε ὀφθεὶς παρέμενε τῷ πατριάρχῃ διαλεγόμενος, καθάπερ χθὲς ἠκούσατε, βουλόμενος ἅπαντας ἡμᾶς διδάξαι καὶ τῆς ἑαυτοῦ μακροθυμίας τὴν ὑπερβολήν, καὶ τοῦ πατριάρχου τὸ φιλόστοργον, οἱ δὲ ἄγγελοι ὥρμησαν ἐπὶ τὰ Σόδομα, τὴν ἀκολουθίαν ἑαυτῆς διατηροῦσα ἡμῖν ἡ θεία γραφὴ νῦν φησιν, ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας, τὸ ἐπιταχθὲν πληρώσοντες. Καὶ ὅρα ἀκρίβειαν καὶ παρατήρησιν τῆς θείας γραφῆς, πῶς καὶ τὸν καιρὸν ἡμῖν ἐσήμανε, καθ' ὃν παρεγένοντο. Ἑσπέρας γάρ φησι. Καὶ τίνος ἕνεκεν τὸν καιρὸν ἐδήλωσε, καὶ διὰ τί κατὰ τὴν ἑσπέραν παρεγένοντο; ἵνα τὴν πολλὴν ἡμῖν ἐπίτασιν δείξῃ τῆς τοῦ Λὼτ φιλοξενίας. Καθάπερ γὰρ ὁ πατριάρχης κατὰ τὸν τῆς μεσημβρίας καιρὸν καθήμενος ἐπετήρει τοὺς παριόντας, καὶ ἔργον ἐποιεῖτο τὸ τούτων θήραν, καὶ ἐπέτρεχε, καὶ μετὰ περιχαρείας τοὺς ὁδίτας ὑπεδέχετο· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος, ἐπειδὴ ᾔδει τῆς κακίας τῶν ἐν Σοδόμοις οἰκούντων τὴν πονηρίαν, οὐδὲ τὸν τῆς ἑσπέρας καιρὸν παρέπεμπεν, ἀλλὰ μέχρι τούτου παρέμενε, μήπου θησαυρός τις αὐτοῦ παραπέσῃ, καὶ τὸν ἀπὸ τῆς φιλοξενίας καρπὸν δρέψασθαι δυνηθῇ. Ἀληθῶς θαυμάσαι ἔστι μετὰ πολλῆς τῆς ὑπερβολῆς τοῦ δικαίου τούτου τὴν ἀρετήν, ὅτι ἐν μέσῳ τοιούτων παρανόμων, οὐ μόνον οὐ γέγονε ῥαθυμότερος, ἀλλὰ καὶ πολλῷ πλείονα τὴν ἀρετὴν ἐπεδείκνυτο, καὶ πάντων, ὡς εἰπεῖν, κατὰ κρημνῶν φερομένων, οὗτος μόνος ἐν τοσούτῳ πλήθει τὴν εὐθεῖαν ὥδευεν ὁδόν. Ποῦ νῦν εἰσιν οἱ λέγοντες,

A & eas in ſinu mentis reponimus, per omne tempus (ſi volumus) eorũ ſuauiolẽtia frui poterimus. Itaque quia tanta ſanctorum in diuina ſcriptura fragrantia eſt, hodie Loth bonum odorem inquiramus, vt ſciamus liquidò quòd iuſtum hunc in tantum virtutis apicem euexit patriarchæ conſuetudo, quæ effecit vt veſtigia illius ſequeretur, & peculiariter hoſpitalitatem exerceret. Verùm vt manifeſtior ſit ſermo noſter, operæprecium fuerit ſcripturæ verba audire.[1] *Venerunt autem*, inquit, *duo angeli Sodoma veſperi.* Quare ſic incœpit, (Caput 19.)

B & dixit: Venerunt autem duo angeli Sodoma veſperi? Quoniam poſtquam diuerſati ſunt apud patriarcham, & inde ſurgentes abierunt, & clemens Dominus & curator, pro ſua bonitate in humana figura viſus, manſit apud patriarcham, loquens cum eo, ſicut heri audiuiſtis: volens omnes nos docere & excellentem ſuam longanimitatem, & patriarchæ charitatem, Angeli autem contendebãt tunc verſus Sodoma: ſeruans ſcriptura ſuum ordinem dicit iterum:

C Venerunt autem duo angeli Sodoma veſperi, facturi quod imperatũ erat. Et vide diligentiam & obſeruationem diuinæ ſcripturæ, quomodo & tempus nobis declararit, quando venerint eò: dicit enim, veſperi. Et quare tempus ſignificauit? & quare ad veſperam eò venerunt? vt oſtenderetur nobis magna Loth hoſpitalitas. (Lothi hoſpitalitas laudatur.) Sicut enim patriarcha ſedens tempore meridiei, obſeruabat prætereuntes, & venationem ſuam hanc ſtudioſè exercebat, & occurrebat, ac magno gaudio viatores ſuſcipiebat,

D ita ſimili modo & iuſtus ille, quoniã ſciebat peruerſitatem eorum, qui in Sodomis habitabant, neque veſperi diſcedebat, ſed manebat, necubi theſaurus aliquis ipſi elaberetur, & vt hoſpitalitatis fructum decerpere poſſet. Verè admirari licet vehementer iuſti huius virtutem, quòd conuerſans in medio tam impiorum, nõ ſolùm non fuit inde negligentior factus: ſed & maiorem virtutem præ ſe tulit: & cùm omnes (vt ita dicam) in præceps ruerent, ipſe ſolus in tanta multitudine rectam ambulauit viam. Vbi igitur ſunt qui dicunt,

quòd nõ ſit poſſibile in media ciuitate verſantem ſeruare virtutem: ſed opus eſſe ſeceſſu, & montana quadã conuerſatione, & non poſſe domui ſuæ præfectum, & habentem mulierem, & filios curantem ac famulos, virtute præditum eſſe? Videant ergo iuſtum illum cum muliere, & pueris, & famulis, & in ciuitate degentem, & inter tam malos ac impios conuerſantem, & quaſi ſcintillam quandam in medio mari lucentem, & non ſolùm non extingui, ſed & quotidie lucem clariorem emittere. Et hæc dico, non prohibens ſeceſſum ab vrbibus, neque interdico montium & ſolitudinum conuerſationem: ſed mõſtro, volenti ſobriè agere & vigilare, nihil inde obſtaculi eſſe. Sicut igitur negligenti ac ſupino nihil prodeſt ſolitudo: neque enim locus nos virtute facit præditos, ſed mens & mores: ita & prudens atque vigil non offenditur, etiam in media ciuitate viuens. Quocirca vellem, ſicut beatum illum, virtute præſtantes in mediis ciuitatibus eſſe, vt quaſi fermentum facti aliis, multos ad ſui imitationem trahant. Verùm quia hoc difficile videtur eſſe, ſaltem illud alterum fiat. Tranſit enim figura mundi huius, & breuis eſt vita præſens: & niſi nunc, cùm adhuc in ſtadio ſumus, labores virtutum aggrediamur, & laqueos malitiæ effugiamus, poſtea in vanum noſmetipſos reprehendemus, quando nulla erit pœnitudinis ſeræ vtilitas. Nam quãdiu in præſenti vita fuerim⁹, poſſibile eſt vt pœnitentes inde fructum accipiant, & ablutis prioribus peccatis, miſericordiam Domini aſſequantur. Quòd ſi præterierit tempus præſens, repentéque abrepti fuerimus: pœnitentia quidem ducemur tunc, nullam autem vtilitatem inde capiemus. Quod vt diſcas, audi prophetam dicentem: In inferno autem quis confitebitur tibi? & iterum: Frater non redimit, redimet homo? Nullus, inquit, erit illic poſtea, qui eripiat eum quem ſua deſidia prodiderit, neque ſi frater fuerit, neque ſi pater neque ſi mater. Et quid dico frater pater & mater? neque iuſti, quibus tanta apud Deũ fiducia eſt, poterũt nobis tũc aliquid prodeſſe, ſi nunc deſides fuerimus.

Negligenti ac ſupino ſolitudo nil prodeſt.

1.Cor.7.31. id eſt, intra ſulcum ſtadii, in campo athletico, in loco certaminis.

Pſal.6.5. Pſal.48.7.

A ὅτι οὐχ οἷόν τε ἐν μέσῃ πόλει στρεφόμενόν τινα διασῶσαι τὴν ἀρετὴν, ἀλλ' ἀναχωρήσεως δεῖ, καὶ τῆς ἐν τοῖς ὄρεσι διατριβῆς, καὶ οὐ δυνατὸν τὸν οἰκίας προεστῶτα, καὶ γυναῖκα ἔχοντα, καὶ παίδων ἐπιμελούμενον καὶ οἰκετῶν, ἐνάρετον εἶναι; ὁράτωσαν τοίνυν τὸν δίκαιον τοῦτον μετὰ γυναικὸς καὶ παιδίων καὶ οἰκετῶν καὶ ἐν πόλει διάγοντα, καὶ μεταξὺ τοσούτων πονηρῶν καὶ παρανόμων διατρίβοντα· καὶ καθάπερ σπινθῆρά τινα ἐν μέσῳ πελάγει διαλάμποντα, καὶ οὐ μόνον οὐ σβεννύμενον, ἀλλὰ καὶ λαμπρότερον τὸ φῶς δεικνύοντα. καὶ ταῦτα λέγω, οὐ κωλύων τὴν ἀναχώρησιν τὴν ἀπὸ τῶν πόλεων, καὶ B τὴν ἐν τοῖς ὄρεσι καὶ ταῖς ἐρημίαις διατριβὴν ἀπαγορεύων, ἀλλὰ δεικνὺς ὅτι τὸν βουλόμενον νήφειν καὶ ἐγρηγορέναι οὐδὲν τούτων κώλυμά ἐστιν. ὥσπερ οὖν τὸν ῥάθυμον καὶ ἀναπεπτωκότα οὐδὲ ἡ ἔρημος ὠφελῆσαί τι δύναται. οὐδὲ γὰρ ὁ τόπος ἐστὶν ὁ τὴν ἀρετὴν κατορθῶν, ἀλλ' ἡ γνώμη καὶ ὁ τρόπος· οὕτω τὸν νήφοντα καὶ διεγηγερμένον οὔτε τὸ ἐν μέσῃ τῇ πόλει διατρίβειν καταβλάψαι τι δυνήσεται. καὶ διὰ τοῦτο ἐβουλόμην, καθάπερ τὸν μακάριον τοῦτον, τοὺς ἐναρέτους μάλιστα ἐν μέσῳ τῶν πόλεων εἶναι, ἵνα καθάπερ ζύμη τοῖς ἄλλοις γινόμενοι, πολλοὺς C εἰς τὸν οἰκεῖον ζῆλον ἐνάγωσιν. ἀλλ' ἐπειδὴ δυσχερὲς τοῦτο καταφαίνεται εἶναι, κἂν ἐκεῖνο γινέσθω. παράγει γὰρ λοιπὸν τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ βραχὺς ὁ παρὼν βίος. καὶ εἰ μὴ νῦν, ὡς ἔτι ἐν τοῖς σκάμμασι ἑστήκαμεν, τῶν πόνων τῆς ἀρετῆς ἀψώμεθα, καὶ τὰ δίκτυα τῆς κακίας διαφύγωμεν, ὕστερον μάτην ἑαυτοὺς αἰτιασόμεθα, ὅτε οὐδὲν ὄφελος τῆς μεταγνώσεως. ἕως μὲν γὰρ ἂν ὦμεν ἐν τῇ παρούσῃ ζωῇ, δυνατὸν μεταγνόντας τοῦ ἐντεῦθεν ἀπόνασθαι κέρδους, καὶ τὰ πρότερα ἀπονιψαμένοις ἁμαρτήματα τῆς τοῦ δεσπότου φιλανθρωπίας D ἀξιωθῆναι. εἰ δὲ τὸν παρόντα καιρὸν παρεϊέμενοι ἀθρόον παραναρπασθείημεν, μεταμελησόμεθα μὲν καὶ τότε, οὐδεμίαν δὲ ὄνησιν ἐκ τούτου ἕξομεν. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ προφήτου λέγοντος, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; καὶ πάλιν, ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; οὐδεὶς, φησὶν, ἔσται ἐκεῖ λοιπὸν ὁ ἐξαιρούμενος τὸν ὑπὸ τῆς οἰκείας ῥαθυμίας προδεδομένον, οὔτε ἂν ἀδελφὸς ᾖ οὔτε ἂν πατὴρ, οὔτε ἂν μήτηρ, καὶ τί λέγω ἀδελφὸς καὶ πατὴρ καὶ μήτηρ; οὔτε αὐτοὶ οἱ δίκαιοι οἱ παρρησίαν πολλὴν κεκτημένοι τότε συμβαλέσθαι τι δυνήσονται ἡμῖν, εἰ νῦν ῥαθυμήσαιμεν.

ἐὰν

A ἐὰν στῇ γάρ, φησι, Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, υἱοὺς αὐτῶν καὶ θυγατέρας αὐτῶν οὐ μὴ ἐξέλωνται. καὶ ὅρα τῆς ἀπειλῆς τὸ μέγεθος, καὶ οἵους δικαίους εἰς μέσον παρήγαγεν. ἐπεὶ γὰρ οὗτοι κατὰ καιρὸν καὶ ἑτέροις σωτηρίας ὑπόθεσις γεγόνασιν, ὅ τε γὰρ Νῶε, τοῦ φοβεροῦ κλύδωνος ἐκείνου τὴν οἰκουμένην κατειληφότος, καὶ τὴν γυναῖκα καὶ τοὺς υἱοὺς ἔσωσε· καὶ ὁ Ἰὼβ ὁμοίως καὶ ἑτέροις σωτηρίας ὑπόθεσις γέγονε· καὶ ὁ Δανιὴλ δὲ πολλοὺς ἐξήρπασε θανάτου, ἡνίκα ὁ βάρβαρος ἐκεῖνος ἐπιζητῶν τὰ ὑπὲρ ἀνθρωπίνην φύσιν τυγχάνοντα ἀνελεῖν ἐπεχείρει τοὺς Χαλδαίους καὶ τοὺς μάγους καὶ τοὺς Γαζαρηνούς· καὶ ἵνα μὴ νομίσωμεν, ὅτι καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἔσται τινὰ τοιαῦτα, καὶ οἱ ἐνάρετοι καὶ παρρησίαν ἔχοντες τοὺς μετὰ ῥᾳθυμίας ἐνταῦθα διάγοντας ἐλευθερῶσαι τῆς ἐκεῖ τιμωρίας δυνήσονται τοὺς αὐτῶν ἐπιτηδείους, διὰ τοῦτο τοὺς δικαίους τούτους παρήγαγεν ἡμῖν, τὸν φόβον ἡμῖν ἀνατεινόμενος καὶ παιδεύων ἐν τοῖς οἰκείοις κατορθώμασι μετὰ τὴν ἄνωθεν χάριν τὰς ἐλπίδας τῆς σωτηρίας ἡμῶν ἔχειν, καὶ μήτε ἐπὶ προγόνων ἀρετῇ μέγα φρονεῖν, εἰ αὐτοὶ ἐν κακίᾳ τυγχάνομεν ὄντες, μήτε ἑτέρῳ ἄλλῳ τινί, ἀλλ' ἓν τοῦτο μόνον σπουδάζειν, κἂν προγόνους ὦμεν ἐναρέτους ἐσχηκότες, μιμεῖσθαι αὐτῶν τὴν ἀρετήν· κἂν τὸ ἐναντίον πάλιν συμβαίνῃ, καὶ φαύλων ὦμεν προγόνων, μὴ νομίζειν ἐκ τούτου τι παραβλάπτεσθαι, ἀλλὰ πρὸς τοὺς τῆς ἀρετῆς πόνους ἀποδύεσθαι. οὐδὲν γὰρ ἡμῖν ἐκ τούτου βλάβος ἔσται. ἕκαστος γάρ, ἐξ ὧν διεπράξατο, ἢ στεφανοῦται, ἢ κατακρίνεται, καθάπερ καὶ ὁ μακάριος Παῦλός φησιν, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν. καὶ πάλιν, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ἅπερ ἅπαντα εἰδότες καὶ πᾶσαν ῥᾳθυμίαν ἀποτιναξάμενοι πολλὴν τῆς ἀρετῆς ποιησώμεθα λόγον, καὶ ὡς ἔτι ἐν τῷ σκάμματί ἐσμεν, πρὶν ἢ διαλυθῆναι τὸ θέατρον, φροντίσωμεν ἡμῶν τῆς σωτηρίας, ἵνα ἐν τῷ βραχεῖ τούτῳ χρόνῳ τὴν ἀρετὴν μετελθόντες, ἐν τῷ διηνεκεῖ αἰῶνι τὰς ὑπὲρ ταύτης ἀμοιβὰς κομισώμεθα. καθάπερ καὶ ὁ δίκαιος οὗτος ὁ μεταξὺ τοσούτων πονηρῶν οἰκῶν, καὶ οὐδένα ἔχων ζηλοῦντα αὐτοῦ τὴν ἀρετήν, ἀλλὰ καὶ πάντας ὁρῶν χλευάζοντας, κωμῳδοῦντας, οὐ μόνον ὀκνηρότερος οὐκ ἐγένετο, ἀλλὰ καὶ οὕτω διέλαμψεν, ὡς καταξιωθῆναι καὶ ἀγγέλους ὑποδέξασθαι·

A Dicit enim: Si ſteterint Noë, & Iob, & Daniel, filios ſuos & filias non eripient. Et vide minarum grauitatem, & quales iuſtos in medium adduxerit. Quoniam enim illi ſuis temporibus etiam aliis ſalutis cauſa fuerunt. Noë enim, cùm terribilis illa diluuij tempeſtas terram occupaſſet, & vxorem & filios ſaluauit. Et Iob ſimiliter aliis ſalutis author fuit. Et Daniel multos eripuit à morte, quando barbarus ille inquirebat quæ ſupra humanam ſunt naturam, & interimere volebat Chaldæos, & Magos, & Gazarenos. Et ne putemus in futuro ſe-

B culo fore talia, & quòd qui virtute præditi, & fiduciam habent in Deũ, eos qui hîc negligenter vixerunt, liberare illic à ſupplicio poſſint ſuos neceſſarios: propterea adduxit nobis iuſtos illos, terrorem nobis inferens, & docens in propriis bonis operibus cum ſuperna gratia ſpem ſalutis noſtræ habendam, & non in progenitorum virtutibus ſuperbiendũ, vel confidendum, ſi nos in peccatis eſſe non deſinimus: ſed hoc vnum curandum, vt ſi parẽtes habuerimus virtute cla-

C ros, imitemur eorum virtutem: & ſi è diuerſo accidat, & ex improbis ſimus parentibus, non putandum nobis aliquid accidere nocumẽti, ſed vt exerceamur ad virtutum labores: nullum enim hinc nobis damnum erit. Nam vnuſquiſq; per ea vel coronatur, vel condemnatur, quæ ipſe geſſit, quemadmodum & beatus Paulus inquit: Vt reportet vnuſquiſque ea quæ per corpus fiunt, iuxta id quod fecit: ſiue bonum, ſiue malum. Et iterum: Qui reddet vnicuique iuxta opera ſua. Quæ omnia cùm ſciamus, excuſſa

Pro ratione operum coronæ dantur.

2. Cor. 5. 10.

Rom. 2. 6.

D omni negligentia, virtutis maximam habeamus rationem. Et cùm adhuc in ſtadio ſumus, & certandi tempus eſt, priuſquam diſſoluatur ſpectaculum, procuremus noſtram ſalutem, vt in breui illo tẽpore virtutes exercendo, in ſeculo perpetuo illarum mercedes recipiamus, ſicut & iuſtus ille. In medio enim tot malorum habitans, & nullum habens qui ſuam imitaretur virtutem, ſed videns omnes irridentes & ſubſannantes, non ſolùm non factus eſt ſegnior, verùm & tanta virtute emicuit, vt & angelos ſuſcipere meruerit:

A & cùm illi ſimul omnes perirent, ſolus ipſe cum filiabus effugit pœnam quæ illis illata eſt. Cæterùm ad ſeriem ſermonis redeamus. *Venerunt autem duo angeli in Sodoma veſperi.* Iuſti huius excellentem virtutem tempus hoc potiſſimum indicat, quia & ingruente veſpera permanſit, & non deſtitit. Nam quia ſciebat lucrum quod inde naſcebatur, ideo propter hoc diuitias aſſequi cupiens, valde ſedulus erat, & neque die impleto diſcedebat. Ita enim ſe habet anima feruida & vigilans, vt nullis impedimentis præpediatur, quò minus ſuam declaret virtutem. B Quin & iſthæc ipſa quæ prohibent maximè, magis efferueſcere faciunt, & maiorem cupiditatis flammam accendunt. *Vt autem vidit,* inquit, *Loth, ſurrexit in occurſum illis.* Audiant hi qui aduenas orantes & ſupplicantes, & ſedulò ſe coram eis humiliantes, multa inhumanitate auerſantur & repellunt. Vide enim quomodo iuſtus ille non expectauit donec ad ſe venirent, ſed ſicut patriarcha, ignorans qui eſſent hoſpites, & ſuſpicans viatores quoſdam eſſe, quaſi præ gaudio ſaltabat, quia aſſecutus erat quæ- C ſitam prædam, & non aberrarat ab eo quod cupiebat. Vt autem vidit, inquit, exurrexit in occurſum illis, & adorabat facie ſuper terram. Gratias egit Deo, quòd dignatus eſſet eum prætereuntium ſuſceptione. Animaduerte illius animæ virtutem: magnum Dei beneficium arbitrabatur, incidiſſe in hos viros, vt ſuſceptis illis ſuum perficeret deſiderium. Iam ne dixeris, quòd angeli fuerint: ſed hoc potius tecum expende, quòd iuſtus ille nondum hoc ſciebat, ſed quaſi homines ignotos & prætereuntes ſu- D ſcipiens, ita afficiebatur, & dixit: [2] *Ecce domini, diuertite in domum pueri veſtri, & manete, quieſcite, & lauate pedes veſtros, & diluculo facto proficiſcemini viam veſtram.* Sufficiunt hæc verba ad detegendam virtutem quæ in pectore iuſti latebat. Et quid mirum ſi quis obſtupeſcat eximiam humilitatem, & promptitudinem quam in hoſpitalitate declarabat? Ecce, inquit, domini, diuertite in domum pueri veſtri. Et illos dominos vocat, & ſeipſum illorum ſeruum appellat.

καὶ πάντων ἁπλῶς ἀπολλυμένων αὐτὸς μόνος σὺν ταῖς θυγατράσι διέφυγε τὴν ἐπενεχθεῖσαν δίκην. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανέλθωμεν. ἦλθον δέ, φησιν, οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας. ὁ καιρὸς μάλιστα δείκνυσιν ἡμῖν τοῦ δικαίου τούτου τὴν ὑπερβάλλουσαν ἀρετήν, ὅτι καὶ ἑσπέρας καταλαβούσης περιέμενε, καὶ οὐκ ἀφίστατο. ἐπειδὴ γὰρ ᾔδει τὸ ἐντεῦθεν αὐτῷ τικτόμενον κέρδος, διὰ τοῦτο ἐπιθυμῶν ἐπιτυχεῖν τοῦ πλούτου, πολλῇ τῇ προσεδρείᾳ ἐκέχρητο, καὶ τῆς ἡμέρας πληρωθείσης οὐκ ἀνεχώρει. τοιοῦτον γὰρ ψυχὴ ζέουσα καὶ διεγηγερμένη. οὐχ ὑπό τινων κωλυτικῶν ἐμποδίζεται τὴν οἰκείαν ἀρετὴν ἐπιδείξασθαι, ἀλλὰ καὶ δι' αὐτῶν μάλιστα τῶν κωλυόντων ἐπὶ πλεῖον αἴρεται, καὶ μείζονα τὴν φλόγα τῆς ἐπιθυμίας ἀνάπτει. ἰδὼν δέ, φησι, Λὼτ ἐξανέστη εἰς συνάντησιν αὐτοῖς. ἀκουέτωσαν οἱ καὶ παραγινομένους πολλάκις, καὶ καθικετεύοντας, καὶ πολλὴν τὴν προσεδρίαν ἐπιδεικνυμένους διακρουόμενοι, καὶ πολλὴν τὴν ἀπανθρωπίαν ἐπιδεικνύμενοι. ὅρα γὰρ τὸν δίκαιον τοῦτον, ὅπως οὐκ ἀνέμεινε παραγενέσθαι πρὸς αὐτόν, ἀλλὰ καθάπερ ὁ πατριάρχης, οὐκ εἰδὼς τίνες ἦσαν οἱ παραγεγονότες, ἀλλ' ὁδίτας τινὰς αὐτοὺς εἶναι ὑπολαμβάνων, θεασάμενος μονονουχὶ ἐσκίρτησε, καὶ περιχαρὴς γέγονεν, ὡς ἐπιτυχὼν τῆς θήρας, καὶ μὴ διαμαρτὼν τοῦ σπουδαζομένου. ἰδὼν γάρ, φησιν, ἐξανέστη εἰς συνάντησιν αὐτοῖς, καὶ προσεκύνησε τῷ προσώπῳ ἐπὶ τὴν γῆν. ηὐχαρίστησε τῷ θεῷ, ὅτι κατηξίωσεν αὐτὸν ὑποδέξασθαι τοὺς παριόντας. σκόπει ψυχῆς ἀρετήν. μεγάλην εὐεργεσίαν παρὰ τοῦ θεοῦ ταύτην ἡγήσατο, τὸ ἐπιτυχεῖν τῶν ἀνδρῶν, καὶ διὰ τῆς εἰς τούτους δεξιώσεως τὸν οἰκεῖον πόθον ἀποπληρῶσαι. μὴ γάρ μοι λέγε, ὅτι ἄγγελοι ἦσαν· ἀλλ' ἐκεῖνο λογίζου, ὅτι ὁ δίκαιος οὐδέπω τοῦτο ἠπίστατο, ἀλλ' ὡς ἀνθρώπους ἀγνῶτας παροδεύοντας ὑποδεχόμενος, οὕτω διέκειτο, καὶ εἶπε, ἰδοὺ κύριοι ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν, καὶ καταλύσατε, καὶ νίψασθε τοὺς πόδας ὑμῶν, καὶ ὀρθρίσαντες ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. ἱκανὰ τὰ ῥήματα ταῦτα τὴν ἐναποκειμένην ἀρετὴν τῇ τοῦ δικαίου ψυχῇ ἐκκαλύψαι. τί γὰρ ἄν τις ἐκπλαγείη τὴν ταπεινοφροσύνην ὑπερβάλλουσαν, τὴν θερμότητα, ἣν περὶ τὴν φιλοξενίαν ἐπεδείκνυτο; ἰδού, φησι, κύριοι ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν. κἀκείνους κυρίους καλεῖ, καὶ ἑαυτὸν παῖδα αὐτῶν ὀνομάζει.

A ἀκούσωμεν, ἀγαπητοί, τῶν ῥημάτων τούτων μετ' ἀκριβείας, καὶ παιδευθῶμεν καὶ ἡμεῖς τὰ ὅμοια διαπράττεσθαι. ὁ ἐπίδοξος, ὁ περιφανής, ὁ ἐν τοσαύτῃ περιουσίᾳ τυγχάνων, ὁ οἰκοδεσπότης, τοὺς ὁδίτας, τοὺς ξένους, τοὺς ἀγνῶτας, τοὺς εὐτελεῖς τὸ φαινόμενον, τοὺς παριόντας, τοὺς οὐδαμόθεν αὐτῷ προσήκοντας κυρίους ὀνομάζει, καί φησιν· ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν καὶ καταλύσατε. ἑσπέρα γάρ, φησι, κατέλαβε. πείσθητέ μοι, καὶ τὸν κάματον τῆς ἡμέρας παραμυθήσασθε, εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν καταλύσαντες. μὴ γάρ, φησι, μέγα τι ὑμῖν ἐπαγγέλλομαι; νίψασθε τοὺς πόδας ὑμῶν τοὺς ἀπὸ τῆς ὁδοιπορίας κεκμηκότας, καὶ ὀρθρίσαντες ἀπελεύσεσθε τὴν ὁδὸν ὑμῶν. B χαρίσασθε οὖν μοι ταύτην τὴν χάριν, καὶ μὴ ἀνανεύσητέ μου πρὸς τὴν παράκλησιν. καὶ εἶπον, φησιν, οὐχί, ἀλλ' ἐν τῇ πλατείᾳ καταλύσομεν. καὶ μετὰ τοσαύτην παράκλησιν ἰδὼν αὐτοὺς ἀνανεύοντας οὐκ ἐνάρκησεν, οὐκ ἀπέστη τοῦ σπουδαζομένου, οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον ἡμεῖς πολλάκις ποιοῦμεν· καὶ ἐὰν ἄρα ποτέ τινα προτρέψασθαι βουληθείημεν, εἶτα θεασώμεθα πρὸς ὀλίγον ἀνανεύοντα, εὐθὺς ἀφιστάμεθα, καὶ τοῦτο συμβαίνει, C ἀπὸ τοῦ μὴ θερμότητι καὶ πόθῳ τοῦτο ποιεῖν, ἀλλὰ μάλιστα καὶ νομίζειν ἀρκοῦσαν ἀπολογίαν ἔχειν τὸ λέγειν, ὅτι τό γε ἑαυτῶν πεποιήκαμεν. τί λέγεις, ὅτι τὸ σαυτοῦ πεποίηκας; ἀπώλεσας τὴν θήραν, διήμαρτες τοῦ θησαυροῦ, καὶ τὸ σαυτοῦ πεποίηκας; τότε ἂν ἦς τὸ σαυτοῦ πεποιηκώς, εἰ μὴ ἔρριψας ἀπὸ τῶν χειρῶν τὸν θησαυρόν, εἰ μὴ παρέδραμες τὴν ἄγραν, εἰ μὴ ἀφοσιώσει τῇ μέχρι ῥημάτων τὴν φιλοξενίαν ἐπεδείξω. ἀλλ' οὐχ ὁ δίκαιος οὕτως. ἀλλὰ τί; ὁρῶν ἀντιτείνοντας καὶ εἰς τὴν πλατεῖαν καταλῦσαι βουλομένους· τοῦτο δὲ ἐποίουν οἱ ἄγγελοι ἐπὶ πλέον ἐκκαλύψαι τὴν D ἀρετὴν βουλόμενοι τοῦ δικαίου, καὶ παιδεῦσαι πάντας ἡμᾶς, ὅση αὐτοῦ ἡ φιλοξενία· λοιπὸν αὐτὸς οὐκ ἔτι ἀνέχεται διὰ λόγων τὴν παράκλησιν ποιεῖσθαι, ἀλλὰ καὶ βίαν ἐπιτίθησι. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε, βιασταὶ ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν. ἔνθα γὰρ ἂν πνευματικὸν πρόκειται κέρδος, εὔκαιρος ἡ ἀνάγκη καὶ ἡ βία ἐπαινετή. καὶ κατεβιάζετο, φησιν, αὐτούς. ἐμοὶ δοκεῖ καὶ ἄκοντας αὐτοὺς ἕλκειν. εἶτα ἐπειδὴ εἶδον τὸν δίκαιον ἔργον τοῦτο τιθέμενον, καὶ οὐ πρότερον ἀφιστάμενον, εἰ μὴ τὸ σπουδαζόμενον αὐτῷ εἰς ἔργον ἀγάγοι,

Audiamus attentè, hæc verba, dilectiſſimi & ſimilia nos quoque præſtare diſcamus. Glorioſus, nobilis, tam abundans, tantus pater familiâs: viatores, hoſpites, ignotos, vt apparebant viles, & nihil ad ſe attinentes, dominos nominat, & inquit: Diuertite in domum pueri veſtri, & quieſcite. Veſpera enim, inquit, ingruit. Morem mihi gerite, & laſſitudinem diei ſolamini in domum ſerui veſtri diuertentes. Nunquid magnum vobis promitto? lauate pedes veſtros itinere longo fatigatos, & facto diluculo pergetis in viam veſtram. hanc gratiam donate mihi, & petitionem meam ne fruſtremini. *Et dixerunt*, inquit, *Minimè, ſed in platea manebimus.* Etiam poſt tantam exhortationem, quam fecerat, cùm vidit eos renuere, non fuit negligens, neque ab inſtituto ſuo deſtitit, neque fecit vti nos interdum facimus. Qui ſi quando aliquem hortari dignamur, & poſtea videmus parumper detrectantem, & renuentem, ſtatim deſiſtimus: id quod contingit, quia citra deſiderium & feruorem hoc agimus, & maximè quòd putamus ſufficere excuſationem, ſi dicere poſſimus feciſſe nos officium noſtrum. Quid ais, officium te tuum feciſſe? Amiſiſti in venatione prædam. Aberraſti à theſauro, & tuo functus es officio? Tunc tuo functus eſſes officio, ſi non abieciſſes è manibus theſaurum, ſi non præteriſſes in venatione prædam, ſi non ſummis labris & verbotenus tantum hoſpitalitatem indicaſſes: at non iuſtus ille ſic: ſed quid? Videbat obluctantes ſuis precibus, & in platea manere volentes. Hoc autem faciebant angeli, virtutem iuſti manifeſtare volentes, & nos omnes docere quanta eius fuerit hoſpitalitas. Poſtea autem non iam verbis contentus eſt exhortari, ſed & vim facit. Propterea & Chriſtus dicebat: Violenti rapiunt regnum cœlorum. Vbi enim ſpirituale affulſerit lucrum, tempeſtiua fuerit violentia, & laudabilis coactio. *Et compellebat*, inquit, *eos* Mihi autem videtur & inuitos eos trahere. Deinde vbi viderunt iuſtum ita feruentem, & nolentem deſiſtere, niſi voti compos fiat,

Matth. 11. 12.

Declinauerunt, inquit, *ad eum, & intrauerunt in domum eius. Et fecit eis conuiuium, & coxit infermentatos, & comederunt.* [4] *antequàm irent cubitum.* Vidiſti & hîc non in ſumptuoſa menſa hoſpitalitatem oſtendi, ſed potius in liberalitate mentis? Nam ſtatim vt eos inducere potuit in domum ſuam, nullum hoſpitalitatis officium prætermiſit. Et ipſe quidem in miniſterio occupatus erat, & cibos appoſuit, & omnem honorem impendit hoſpitibus, homines eos & viatores quoſdam eſſe putans: *Viri autem ciuitatis Sodomitæ circumdederunt domum à iuuene vſque ad ſenem, omnis populus ſimul:* [5] *& euocauerunt Loth, & dixerunt ei: Vbi ſunt viri, qui ſunt ingreſſi ad te nocte? educ eos ad nos, vt coëamus cum eis.* Ne perfunctoriè tranſeamus quæ dicta ſunt, cariſſimi, & non ſolùm iſtorum videamus inſaniam nulla venia dignandam: ſed & cogitemus, quomodo iuſtus in medio tam truculentarum beſtiarum habitans, ita excellenti virtute fulſerit, quomodo ferre potuerit iniquitatem eorum, quomodo non fugit eorum ciuitatem, quomodo eis loqui potuit. Quomodo? Ego dicam. Vniuerſi dominus præuidens miram illorum malitiam, diſpenſauit vt iuſtus eo loci domicilium haberet, vt ſicut optimus medicus morbos eorum emendaret. Verum videns ſe cura ſua nihil proficere, & illos nullam velle medelam ſuſcipere, non propterea à cura deſtitit. Habet enim hunc morem medicus, quamuis videat morbos eſſe grauiores quàm vt arte curari poſſint, non omittit tamen officium ſuum, vt ſi fortè poſſit ægrum vel longo tempore reparare præſtantiam artis oſtendat: quòd ſi nihil amplius proficit, habeat excuſationem maiorem, eò quòd nihil prætermiſerit quod ad ſe pertineret. Id ſanè & hîc factum eſt. Iuſtus enim, hic qui verſabatur in medio talium, etiam ſic manſit iuſtus, vitámque optimam egit: illi autem propterea omni venia ſunt deſtituti, quòd non ſolùm à malitia non ceſſarunt, ſed & magis auxerunt peccata. Vide enim: Circũdederũt, inquit, domum à iuuene vſque ad ſenem, omnis populus ſimul.

A Ἐξέκλιναν, φησι, πρὸς αὐτὸν καὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐποίησεν αὐτοῖς πότον, καὶ ἀζύμους ἔπεψεν αὐτοῖς, καὶ ἔφαγον. πρὸ τοῦ κοιμηθῆναι. εἶδες καὶ ἐνταῦθα οὐκ ἐν τῇ πολυτελείᾳ τῆς τραπέζης τὴν φιλοξενίαν ἐπιδεικνυμένην, ἀλλὰ ἐν τῇ δαψιλείᾳ τῆς γνώμης; ἐπειδὴ γὰρ ἴσχυσεν αὐτοὺς εἰσαγαγεῖν εἰς τὸν οἶκον αὐτοῦ, εὐθέως τὰ τῆς φιλοξενίας ἐπεδείκνυτο. καὶ ἐκεῖνος μὲν πρὸς τὴν θεραπείαν αὐτῶν παρεσκευάζετο, καὶ τὰ τῆς ἑστιάσεως παρεῖχε, καὶ πᾶσαν ἐπεδείκνυτο τιμὴν καὶ θεραπείαν πρὸς τοὺς παραγινομένους, ἀνθρώπους αὐτοὺς τινας ὁδίτας εἶναι νομίζων· οἱ δὲ ἄνδρες τῆς πό-
B λεως οἱ Σοδομῖται περιεκύκλωσαν τὴν οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, πᾶς ὁ λαὸς ἅμα, καὶ ἐξεκαλοῦντο τὸν Λώτ, καὶ ἔλεγον πρὸς αὐτόν· ποῦ εἰσιν οἱ ἄνδρες οἱ εἰσελθόντες πρὸς σὲ τὴν νύκτα; ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγενώμεθα αὐτοῖς. μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, τὰ εἰρημένα, μηδὲ μόνον τούτων ἴδωμεν τὴν μανίαν τὴν πάσης συγγνώμης ἀπεστερημένην, ἀλλ' ἐννοήσωμεν, πῶς ὁ δίκαιος ἐν μέσῳ τοιούτων θηρίων οὕτως ἀλλοκότων οἰκῶν, οὕτω διέλαμψε καὶ τοσαύτης ἀρε-
C τῆς ὑπερβολὴν ἐπεδείξατο, πῶς ἐνεγκεῖν ἠδυνήθη τὴν ἀνομίαν αὐτῶν, πῶς οὐκ ἔφυγε τὴν αὐτόθι οἴκησιν, πῶς τῆς πρὸς αὐτοὺς διαλέξεως ἠνείχετο. πῶς, ἐγὼ λέγω. προειδὼς ὁ τῶν ὅλων δεσπότης τὴν ὑπερβάλλουσαν αὐτῶν πονηρίαν ᾠκονόμησε τὸν δίκαιον τοῦτον αὐτόθι κατοικῆσαι, ἵνα καθάπερ ἰατρὸς ἄριστος τῶν ἀρρωστημάτων αὐτῶν περιγενέσθαι δυνηθῇ. ἀλλ' ὁρῶν αὐτοὺς ἀνίατα νοσοῦντας, καὶ μηδεμίαν θεραπείαν ἐπιδέξασθαι βουλομένους, οὐδὲ οὕτως ἀφίσταται. τοιοῦτον γὰρ ὁ ἰατρός, κἂν ἴδῃ τὰ πάθη νικῶντα τὴν τέχνην, οὐ παύεται τὰ παρ' ἑαυτοῦ πληρῶν, ἵνα, ἂν μὲν τῷ χρόνῳ
D ἀνακτήσασθαι δυνηθῇ τὸν κάμνοντα, δείξῃ τὴν περιουσίαν τῆς τέχνης· εἰ δὲ μηδὲν πλέον ἀνύει, ἔχῃ τὴν μεγίστην ἀπολογίαν, ὅτι οὐδὲν τῶν προσηκόντων εἰς αὐτὸν παρέλιπεν, ὃ δὴ καὶ ἐνταῦθα γεγένηται. ὁ μὲν γὰρ δίκαιος τοσοῦτον χρόνον τούτων ἐν μέσῳ ἀναστρεφόμενος καὶ οὕτως ἔμενε δίκαιος πολλὴν τὴν φιλοσοφίαν ἐνδεικνύμενος. ἐκεῖνοι δὲ καὶ διὰ τοῦτο ἦσαν πάσης συγγνώμης ἀπεστερημένοι, ὅτι οὐ μόνον οὐκ ἔληξαν τῆς κακίας, ἀλλὰ καὶ μᾶλλον αὐτὴν ἐπέτειναν. ὅρα γάρ, περιεκύκλωσαν, φησι, τὴν οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβύτου, ὁ λαὸς ἅμα.

μεγίστη τῆς πονηρίας ἡ συμφωνία, πολλὴ τῆς κακίας ἡ φορά, ἄφατος τῆς παρανομίας ἡ ὑπερβολή, ἀσύγγνωστος ἡ ἐπιχείρησις. ἀπὸ νεανίσκου, φησὶν, ἕως πρεσβύτου. οὐ μόνον ἡ νεότης, φησὶν, ἦν ἡ τὰ παράνομα ταῦτα ἐπιζητοῦσα, ἀλλὰ καὶ οἱ πρεσβῦται τὴν ἡλικίαν, καὶ πᾶς ὁ λαὸς ἅμα· καὶ οὔτε τὴν τόλμαν τὴν ἀναιδῆ καὶ ἀναίσχυντον ταύτην ᾐδοῦντο, οὔτε τὸν ἀκοίμητον ὀφθαλμὸν εἰς ἔννοιαν ἐλάμβανον, οὔτε τὸν δίκαιον ᾐσχύνοντο, οὔτε τῶν ξένων νομιζομένων, καὶ ἐπὶ τὴν τοῦ δικαίου φιλοξενίαν αὐτόθι καταλυσάντων ἐφείδοντο, ἀλλ' ἀπηρυθριασμένως καὶ γυμνῇ, ὡς εἰπεῖν, τῇ κεφαλῇ τὰ τῆς ἀσελγείας ἐκεῖνα ῥήματα λέγοντες προσίασι. καὶ καλέσαντες τὸν δίκαιον ἔλεγον πρὸς αὐτόν, ποῦ εἰσιν οἱ ἄνδρες οἱ εἰσελθόντες πρὸς ὑμᾶς; ἐξάγαγε αὐτούς, ἵνα συγγενώμεθα αὐτοῖς. διὰ ταύτην αὐτῶν οἶμαι τὴν ἐπιχείρησιν, καὶ τὴν παράνομον πονηρίαν, καὶ τὸν δίκαιον μέχρι τῆς ἑσπέρας παρακαθῆσθαι, ὥστε μηδενὶ συγχωρῆσαι τῶν ὁδιτῶν ἀγνοοῦντι περιπεσεῖν ταῖς ἐκείνων πάγαις. καὶ ὁ μὲν δίκαιος μετὰ τῆς φιλοξενίας, καὶ τῆς σωφροσύνης τῆς οἰκείας ἐπιδεικνύμενος τὴν ὑπερβολήν, ταύτην ἐποιεῖτο τὴν σπουδήν. ὥστε πάντας τοὺς παροδεύοντας ὑποδέχεσθαι, καὶ μηδένα αὐτὸν λαθεῖν. εἰ καὶ τέως οὐκ ἀγγέλους, ἀλλ' ἀνθρώπους εἶναι ἐνόμιζεν. οἱ δὲ παράνομοι ἐκεῖνοι μετὰ τοῦ μηδὲν τοιοῦτον ἐπιδείκνυσθαι οἷον ὁ δίκαιος τὰ πᾶσαν κακίαν ὑπερκρύπτοντα μόνα τολμᾶν ἐπετήδευον. διὰ τοῦτο οὖν εἰς τὴν πλατεῖαν ἐβούλοντο καταλῦσαι, ἵνα παράσχωσι τῷ δικαίῳ ἀφορμὴν ἐπιδείξασθαι τὴν περὶ αὐτοὺς φιλοξενίαν, καὶ δείξωσιν αὐτῷ διὰ τῶν ἔργων, ὡς ἀξίαν μέλλουσιν ὑφίστασθαι τὴν τιμωρίαν, οὕτω τὴν παρανομίαν μεθ' ὑπερβολῆς ἐπιδεικνύμενοι. ἀλλ' ἴδωμεν λοιπὸν τοῦ δικαίου τῆς ἀρετῆς τὸ μέγεθος. ἐξελθὼν, φησι, πρὸς αὐτοὺς πρὸς τὸ πρόθυρον, τὴν μὲν θύραν προσέῳξεν, εἶπε δὲ πρὸς αὐτούς. ὅρα πῶς δέδοικεν ὁ δίκαιος καὶ τρέμει ὑπὲρ τῆς τῶν ξένων ἀσφαλείας. οὐδὲ γὰρ ἁπλῶς τὴν θύραν προσέῳξεν ὀπίσω αὐτοῦ, ἀλλ' εἰδὼς αὐτῶν τὴν μανίαν καὶ τὸ τολμηρὸν, καὶ ὑφορώμενος αὐτῶν τὴν προπέτειαν, εἶτα φησὶ πρὸς αὐτοὺς, μηδαμῶς ἀδελφοί. ὢ τῆς τοῦ δικαίου μακροθυμίας, ὢ ταπεινοφροσύνης ὑπερβολή. τοῦτο ἀληθῶς ἀρετή, τὸ μετ' ἐπιεικείας τοῖς τοιούτοις προσφέρεσθαι.

A Summa malitiæ conſpiratio, vehemens malè agendi ſtudium, inenarrabilis peruerſitatis magnitudo, conatus nulla venia dignus. A iuuene, inquit, vſque ad ſenem. Non ſolùm, inquit, iuuentus hæc mala inquirebat: ſed &, inquit, prouectæ ætatis viri aderant, & omnis populus ſimul. Neque erubeſcebant tam turpe, támque impudens flagitium: neque inſomnem oculum cogitabant, neque iuſtum reuerebantur, neque iis quos hoſpites arbitrabantur, quique apud iuſtum diuerterant hoſpitalitate inſignem parcebant: B ſed abſque rubore, & nudo, vt aiunt, capite, libidinis ſuæ verba dicentes, acceſſerunt. Et vocato iuſto, dixerunt ei: Vbi ſunt viri, qui ingreſſi ſunt ad te nocte? educ eos, vt cognoſcamus eos. Propter hunc eorum illicitum conatum, & impiam peruerſitatem, opinor iuſtum vſque ad veſperam ſediſſe: ita vt ne ſineret viatores ignaros incidere in illorum laqueos. Et iuſtus quidem eum hoſpitalitate & tam excellenti pudicitia hanc quoque adhi- C buit diligentiam, vt omnes prætereuntes ſuſciperet, nullúſque eum lateret, licet eos tunc non angelos, ſed homines eſſe putaret. Impij autem illi præter hoc, quòd nihil tale agebant, quod iuſtus ille, ea ſolum perpetrare ſtudebant, quæ nequitiam omnem longo interuallo ſuperarent. Propter hoc ergo in platea volebant manere, vt darent iuſto occaſionem declarandi hoſpitalitatem erga ſe: & monſtrarent ei reipſa quàm dignè ſuppliciis in illos animaduertatur, qui tam ſtupendam impietatem agebant. Sed videamus D amplius magnitudinem virtutis iuſti. *Vt exiuit igitur*, inquit, *ad eos ad veſtibulum, ianuam quidem clauſit poſt ſe, dixitque ad eos.* Vide quomodo timet iuſtus, & tremit pro hoſpitum ſalute. Neque enim tantùm ianuam clauſit poſt ſe: ſed ſciens eorum inſaniam & audaciam, & ſuſpicans eorum temeritatem, deinde inquit ad eos: *Nequaquam viri fratres.* O iuſti longanimitatem, ô excellentem humilitatem. Hæc vera virtus eſt, ita manſuetè alloqui illos.

Nullus enim ægrum volens curare, & inſanientem caſtigare, cum iracundia & auſteritate hoc facit. Et animaduerte quòd eos qui tam abſurda patrare volebant, fratres vocat: & eorum conſcientias tangere, & à nefario flagitio volens abducere. *Nequaquam,* inquit, *fratres, nolite iniquè agere,* nihil tale cogitetis, ne ponatis tam graue ſcelus in mentem veſtram, ne naturam ipſam traducatis, ne illicitos excogitetis coitus: ſed ſi volueritis inſaniæ veſtræ furorem demulceri, ego quiddam præbebo, quo flagitium veſtrum leuius fiat. *Sunt mihi duæ filiæ, quæ viros non cognouerunt.* Adhuc, inquit, inexpertæ ſunt nuptialis congreſſus, intactæ ſunt, iuuenes ſunt, & adhuc in flore ætatis: eas omnibus expoſitas do, & vtimini eis ſicut vobis placet: vt accipiatis eas, inquit, & expleatis veſtram in eis libidinem, & impleantur veſtræ malæ concupiſcentiæ: *Tantum in viros illos ne feceritis iniuſtitiam, propterea quòd intrauerunt ſub tecta tignorum meorum.* Quoniam, inquit, coëgi eos, & induxi ſub tectum meum, vt ne mihi aſcribatur iniquitas quæ eis contigerit, & ego eis author ſim contumeliæ. idcirco pro eis duas meis filias do, vt illi à manibus veſtris liberentur. Quanta iuſti virtus? omnem virtutem hoſpitalitatis ſuperauit. Quid enim quis iuſti huius benignitate ſat dignum attulerit, qui neque filiabus parcere voluit, vt ſeruaret hoſpitibus honorem, & liberaret eos à peruerſitate Sodomitarum? Et ille quidem filias ſuas proſtituit, vt hoſpites viatores (iterum eadem dico) omnino ignotos eriperet ab impiorum contumelia: nos autem videntes ſæpe fratres noſtros in ipſum impietatis profundum, & prope dixerim, in fauces diaboli cadere, neque ſermone eos dignamur, neque conſulere, neque verbis admonere & eripere à malitia, & ad virtutem manuducere. Qualem igitur habebimus excuſationem, cùm iuſtus neque filiabus parcat, vt hoſpitum ſeruet curam: nos autem ita immiſericorditer erga fratres noſtros afficiamur, & ſæpe frigida illa & abſurditatis plena verba proferamus?

A οὐδεὶς γὰρ τὸν νοσοῦντα θεραπεῦσαι βουλόμενος, καὶ τὸν μαινόμενον σωφρονίσαι, μετὰ θυμοῦ καὶ αὐστηρίας τοῦτο ποιεῖ. σκόπει γὰρ, πῶς τοὺς τὰ τοιαῦτα παρανομεῖν βουλομένους, ἀδελφοὺς καλεῖ, ἐντρέψαι αὐτοὺς βουλόμενος, καὶ καθικέσθαι αὐτῶν τῆς συνειδήσεως, καὶ ἀποστῆσαι αὐτοὺς τῆς ἐπιχειρήσεως τῆς μιαρᾶς. μηδαμῶς, φησιν, ἀδελφοί μὴ πονηρεύσησθε. μηδὲν, φησι, τοιοῦτον λογίσησθε, μὴ τὴν πονηρὰν ταύτην πρᾶξιν ἐννοήσητε, μηδὲ τὴν φύσιν αὐτὴν παραδειγματίσητε, μηδὲ ἀθέσμους ἐπινοήσητε μίξεις· ἀλλ' εἰ καὶ B βούλεσθε τῆς μανίας ὑμῶν τὸν οἶστρον παραμυθήσασθαι, ἐγὼ τοῦτο παρέξω, ὥστε κουφότερον ὑμῶν γενέσθαι τὸ τόλμημα. εἰσί μοι δύο θυγατέρες, αἳ οὐκ ἔγνωσαν ἄνδρας. ἔτι, φησὶν, ἄπειροί εἰσι γαμικῆς συνουσίας, ἀνέπαφοι τυγχάνουσιν, ἐν αὐτῇ τῇ ἀκμῇ τῆς ἡλικίας εἰσὶ, λάμπουσαι τῇ ὥρᾳ. ταύτας πᾶσιν ἐκδότους δίδωμι, καὶ χρᾶσθε αὐταῖς ὡς ἀρέσκει ὑμῖν. λαβόντες αὐτὰς, φησι, πληρώσατε ὑμῶν εἰς αὐτὰς τὴν ἀσέλγειαν, καὶ ἐμφορήθητε τῆς ἐπιθυμίας ὑμῶν τῆς πονηρᾶς· μόνον εἰς τοὺς ἄνδρας τούτους μηδὲν ποιήσητε ἄδικον, οὗ εἵνεκεν εἰσῆλθον ὑπὸ τὴν C σκέπην τῶν δοκῶν μου. ἐπειδὴ ἐβιασάμην, φησὶν, αὐτοὺς, καὶ εἰσήγαγον ὑπὸ τὰς δοκούς μου, ἵνα μὴ ἐπιγραφῇ ἡ εἰς αὐτοὺς γινομένη παρανομία, καὶ ἐγὼ αὐτοῖς αἴτιος τῆς ὕβρεως ταύτης γένωμαι, διὰ τοῦτο ὑπὲρ αὐτῶν τὰς δύο μου θυγατέρας δίδωμι, ὥστε τούτους ἐλευθερῶσαι τῶν ὑμετέρων χειρῶν. πόση τοῦ δικαίου ἡ ἀρετή; πᾶσαν ἀρετὴν φιλοξενίας ἐνίκησε. τί γὰρ ἄν τις εἴποι κατ' ἀξίαν τῆς τοῦ δικαίου τούτου φιλοφροσύνης, ὃς οὐδὲ τῶν θυγατέρων φείσασθαι ἠνέσχετο, ἵνα τὴν εἰς τοὺς ξένους τιμὴν ἐπιδείξηται, καὶ ἐλευθερώσῃ τῆς πα- D ρανομίας τῶν Σοδομιτῶν; καὶ ἐκεῖνος μὲν καὶ τὰς θυγατέρας τὰς ἑαυτοῦ ἐκδίδωσιν, ἵνα τοὺς ξένους τοὺς ὁδίτας· πάλιν γὰρ τὰ αὐτὰ λέγω· τοὺς μηδαμόθεν αὐτῷ γνωρίμους ἐξαρπάσῃ τῆς τῶν παρανόμων ὕβρεως· ἡμεῖς δὲ ὁρῶντες πολλάκις τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους εἰς αὐτὸ τῆς ἀσεβείας τὸ βάραθρον, καὶ σχεδὸν εἰπεῖν, ὑπὸ τὴν φάρυγγα τοῦ διαβόλου γινομένους, οὐδὲ λόγου μεταδοῦναι ἀνεχόμεθα, οὐδὲ συμβουλεῦσαι, καὶ τὴν διὰ τῶν λόγων παραίνεσιν εἰσενεγκεῖν, καὶ ἐξαρπάσαι τῆς κακίας, καὶ πρὸς τὴν ἀρετὴν χειραγωγῆσαι. ποίαν οὖν ἕξομεν ἀπολογίαν, τοῦ μὲν δικαίου μηδὲ τῶν θυγατέρων φεισαμένου διὰ τὴν εἰς τοὺς ξένους κηδεμονίαν, ἡμῶν δὲ οὕτως ἀνηλεῶς περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους διακειμένων, καὶ πολλάκις τὰ ψυχρὰ ἐκεῖνα καὶ ἀλογίας γέμοντα ῥήματα προϊε-

μένων· τί γὰρ κοινὸν ἔχω, φησὶ, πρὸς αὐτόν; οὐδέν μοι A μέλει, οὐδὲν πρᾶγμα ἔχω μετ' αὐτοῦ. τί λέγεις, ἄνθρωπε; οὐδὲν κοινὸν ἔχεις πρὸς αὐτόν; ἀδελφός σου ἐστὶ, τῆς αὐτῆς σοι μετέχει φύσεως· ὑπὸ τὸν αὐτὸν ἐστε δεσπότην. πολλάκις δὲ καὶ τῆς αὐτῆς μετέχετε τραπέζης, τῆς πνευματικῆς λέγω καὶ φρικτῆς, καὶ λέγεις οὐδὲν κοινὸν ἔχω πρὸς αὐτόν, καὶ ἀνηλεῶς παρατρέχεις, καὶ οὐκ ὀρέγεις χεῖρα κειμένῳ; καὶ Ἰουδαίοις μὲν ὁ νόμος προσέταττε μηδὲ τῶν ἐχθρῶν τὰ ὑποζύγια παρορᾶν πεπτωκότα· σὺ δὲ τὸν ἀδελφὸν ὑπὸ τοῦ διαβόλου πολλάκις τετρωμένον καὶ κείμενον ὁρῶν, οὐκ ἐπὶ τῆς γῆς, ἀλλ' εἰς τὸ τῆς ἁμαρτίας βάραθρον, οὐκ ἀνασπᾷς B διὰ τῆς παραινέσεως, οὐδὲ νουθεσίαν εἰσάγεις τὴν παρὰ σαυτοῦ, οὐδὲ σπουδάζεις καὶ ἑτέρους, εἰ οἷόν τε, εἰς συμμαχίαν λαβεῖν, ἵνα τῆς φάρυγγος τοῦ θηρίου τὸ μέλος τὸ σὸν ἐλευθερῶσαι δυνηθῇς, καὶ πρὸς τὴν οἰκείαν ἐπαναγαγεῖν εὐγένειαν, ἵνα καὶ αὐτὸς, εἴ ποτε περιπέσῃς, ὃ μὴ γένοιτο, τοῖς δικτύοις τοῦ πονηροῦ δαίμονος ἐκείνου, δυνηθῇς ἔχειν τοὺς ἀμύνειν δυναμένους, καὶ ἐλευθερῶσαι τῶν τοῦ διαβόλου χειρῶν; οὕτω καὶ Παῦλος διεγεῖραι βουλόμενος Γαλάτας εἰς τὴν τῶν οἰκείων μελῶν πρόνοιαν, φησι, σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς· μονονουχὶ C λέγων, ἐὰν ἀσυμπαθῶς καὶ ἀνηλεῶς παραδράμῃς τὸν ἀδελφὸν, ἴσως καὶ σε περιπεπτωκότα ἕτερος οὕτω παραδραμεῖται. εἰ τοίνυν βούλει μὴ παροφθῆναι, εἴ ποτε περιπέσοις, μήτε αὐτὸς παρίδῃς, ἀλλὰ πολλὴν ἐπιδείξαι τὴν φιλοστοργίαν, καὶ θησαυρὸν ἡγοῦ μέγιστον, τὸ δυνηθῆναι διασῶσαι τὸν ἀδελφόν. οὐδὲν γὰρ τούτου ἴσον γένοιτ' ἄν ποτε εἰς ἀρετῆς λόγον. ἐὰν γὰρ ἐννοήσῃς μόνον, ὅτι οὗτος, ὃν παρορᾷς καὶ παρατρέχεις, ὑπὸ τοῦ δεσπότου σου τοσαύτης ἠξίωται τῆς τιμῆς, ὡς δι' αὐτὸν μὴ παραιτήσασθαι καὶ τὸ αἷμα ἐκχέαι τὸ ἑαυτοῦ, κα- D θὼς καὶ Παῦλός φησι, καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανε, πῶς οὐχὶ τῇ γῇ σεαυτὸν κατορύξεις; εἰ τοίνυν δι' αὐτὸν ὁ Χριστὸς καὶ τὸ αἷμα ἐξέχεε, τί μέγα ποιήσεις, ἐὰν τὴν παρὰ σαυτοῦ φιλοστοργίαν ἐπιδείξῃ, καὶ τῇ διὰ τῶν λόγων προτροπῇ διαναστήσῃς κείμενον, καὶ τὴν αὐτοῦ ψυχὴν βεβαπτισμένην ἴσως καὶ ὑποβρύχιον γεγενημένην ἀνενέγκῃς ἐκ τοῦ τῆς κακίας βυθοῦ, καὶ παρασκευάσῃς ἰδεῖν τῆς ἀρετῆς τὸ φῶς, καὶ μὴ παλινδρομῆσαι ἐπὶ τὸν τῆς κακίας ζόφον; μιμησώμεθα τοίνυν, παρακαλῶ, τὸν δίκαιον τοῦτον,

Quid enim, inquit, mihi cum eo commune? mihi non eſt curæ, nihil mihi negocij cum eo. Quid dicis homo? Nihil tibi commune cum eo? Frater tuus eſt, eiuſdem tecum naturæ, ſub eodem eſtis domino, ſæpe etiam eiuſdem participes menſæ, ſpiritualis illius (inquam) & terribilis, & dicis: Nihil commune habeo cum eo: & immiſericorditer præteris, & non porrigis iacenti manum. Et Iudæis quidem lex imperabat, ne inimicorum lapſa iumenta negligerēt: tu autem fratrem tuum à diabolo ſæpe ſaucium & iacentem, non ſuper terram, ſed ſuper peccati barathrum videns, tua exhortatione non reuellis, non admonitionem tuam adhibes, non alios in auxilium vocas, vt à faucibus beſtiæ membrum tuum eruere valeas, & ad ſuam reducere nobilitatem: vt & ipſe, ſi quando cecideris (quod abſit) in laqueos mali dæmonis illius, poſſis habere aliquos qui te iuuent, & liberent à manibus diaboli? Sic & Paulus excitare volens Galatas, vt ſuis prouideant mēbris, inquit: Conſiderans temetipſum, ne & tu tenteris: quaſi diceret, Si abſque compaſſione & miſericordia fratrem præteris, fortè & te, ſi cecideris, alius ſimiliter præteribit. Si igitur vis non deſpici, ſicubi labaris, ne ipſe deſpexeris alium: ſed magnam præ te fer benignitatem, & theſaurum crede maximum, ſi ſeruare poſſis fratrem. Nihil enim huic vnquam par fieri poterit, quod ad virtutem attinet. Nam ſi ſolùm mente cogitaueris, quòd ille quem deſpicis & præteris, à domino tuo tanto in honore habitus eſt, vt propter ipſum non refugerit & ſanguinem ſuum effundere: ſicut & Paulus dicit: Et peribit infirmus frater in tua ſciētia, propter quem Chriſtus mortuus eſt: quomodo non præ pudore ſub terra te abſcondes? Si igitur propter illum Chriſtus ſanguinem effudit, quid magnum facies, ſi tuam in eum declares beneuolentiam, & exhortatione verborū iacentem erigas, & animam merſam fortè & ſubmerſam referas ex profundo malitiæ, & facias vt videat virtutis lucem, ac nō recurrat ad vitiorum caliginem? Imitemur igitur, obſecro, iuſtum illum,

Exod. 23. 15. & Deut. 22

Galat. 6. 1.

1. Cor. 8. 11.

& ſi periclitandum etiam fuerit pro ſalute proximi, non hoc ſubterfugiamus. Nam tale periculum nobis ſalutis fuerit occaſio, multámque conciliabit fiduciam. Conſidera enim, obſecro, quomodo iuſtus ille toti populo, qui ita in malitiam conſpirauerat, ſe oppoſuerit: & magnam clementiam, ineffabilémque fortitudinem præ ſe tulerit: quamuis neque ſic corrigere potuerit indomitam illorum inſaniam. Quippe poſt verba illa, & tam eximiam manſuetudinem, cum verbis ſuis quaſi manibus proſtituiſſet filias: quid dicunt ad eum? *Recede illuc.* O grauem ebrietatem, ô immodicam inſipientiam. In hunc modum ſe habet efferata & mala beſtia concupiſcentia, quando rationem vicerit, nihil quod oportet videre ſinit, ſed quaſi in tenebris & pugna nocturna omnia facit. [9] *Recede illuc, dicunt: veniſti vt eſſes aduena, nunquid etiam vt iudicium iudices? Ergo nunc te affligemus magis quàm illos.* Vide quomodo iuſtus manſuetè cum eis loquitur, illi autem quanta ferocitate reſpondent. Enimuerò quaſi à diabolo exagitati, & eo ducatum præbente, ita contra iuſtum inſurgunt, & dicunt: Veniſti vt aduena eſſes, nunquid etiam vt iudicium iudices? Aduenam te, inquit, ſuſcepimus, num & iudex noſter es factus? O excellens ingratitudo: oportebat erubeſcere, oportebat reuereri conſilium iuſti: verùm ſicut inſani etiam medicum impetere conantur, ita & illi. Te, aiunt, magis affligemus, quàm illos. Si non vis, aiunt, ſilere & quieſcere, diſces quòd patrocinio tuo nihil aliud efficies, præterquam quòd illi quidem periculum effugient, tu autem in ipſum incides. *Faciebant autem vim Lot valde.* Vide iuſtum illum quantam fortitudinem declarat, & tantæ multitudini opponere ſe attentat. *Et appropinquauerunt,* inquit, *vt contererent ianuã.* Nam quoniam egreſſurus, & horum inſaniam præuidens clauſit poſt ſe ianuam: non ferentes impij & ſceleſti illi admonitionem iuſti, ipſum vi premebant, & ianuam conterere molie-

A καὶ εἰ δέοι καὶ κίνδυνόν τινα ὑπομένειν ὑπὲρ τοῦ τὴν σωτηρίαν τοῦ πλησίον πραγματεύσασθαι, μηδὲ τοῦτο παραιτησώμεθα. ὁ γὰρ τοιοῦτος κίνδυνος σωτηρίας ἡμῖν ὑπόθεσις γίνεται, καὶ πολλῆς παρρησίας πρόξενος. ἐννόησον γάρ μοι τὸν δίκαιον τοῦτον, ὅπως πρὸς δῆμον ὁλόκληρον τοσαύτην περὶ τὴν κακίαν τὴν συμφωνίαν ἐπιδειξάμενον παρετάξατο, καὶ μετ' ἐπιεικείας πολλῆς καὶ τὴν ἀνδρείαν ἄφατον ἐπεδείκνυτο, εἰ καὶ οὐδὲ οὕτω καθικέσθαι ἠδυνήθη τῆς ἀκαθέκτου αὐτῶν μανίας. μετὰ γὰρ τὰ ῥήματα ἐκεῖνα, καὶ τὴν ἐπιείκειαν τὴν ὑπερβάλλουσαν, καὶ τὸ μονονουχὶ ταῖς χερσὶν ἐκ- B δοῦναι διὰ τῶν λόγων τὰς θυγατέρας, τί φασι πρὸς αὐτόν; ἀπόστα ἐκεῖ. ὢ μέθης ὑπερβολή, ὢ παραφροσύνης ἐπίτασις. τοιοῦτον γὰρ ἡ πονηρὰ αὕτη καὶ ἀκόλαστος ἐπιθυμία· ἐπειδὰν περιγένηται τοῦ λογισμοῦ, οὐκ ἀφίησι συνιδεῖν οὐδὲν τῶν δεόντων, ἀλλὰ καθάπερ ἐν σκότῳ καὶ νυκτομαχίᾳ τινί, οὕτως ἅπαντα διαπράττεται. ἀπόστα, φησίν, ἐκεῖ. εἰσῆλθες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; νῦν οὖν σε κακώσομεν μᾶλλον, ἢ ἐκείνους. ὅρα πῶς μὲν ὁ δίκαιος ἐπιεικῶς αὐτοῖς διαλέγεται, οἱ δὲ πόσῃ κέχρηνται τῇ θρασύτητι. C ὥσπερ ἐκβακχευθέντες λοιπὸν ὑπὸ τοῦ διαβόλου, καὶ ὡς ὑπ' ἐκείνου στρατηγούμενοι, οὕτω κατεξανίστανται τοῦ δικαίου, καί φασιν, εἰσῆλθες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; πάροικόν σε, φησίν, ἐδεξάμεθα· μὴ γὰρ καὶ κριτὴς ἡμῶν κατέστης; ὢ ἀγνωμοσύνης ὑπερβολή. δέον ἐντραπῆναι, δέον αἰδεσθῆναι τὴν συμβουλὴν τοῦ δικαίου, οἱ δέ, καθάπερ οἱ μαινόμενοι καὶ τὸν ἰατρὸν συγκόψαι ἐπιχειροῦσιν, οὕτω καὶ οὗτοι, σέ, φησι, κακώσομεν μᾶλλον, ἢ ἐκείνους. εἰ μὴ βούλει, φησίν, ἡσυχάσαι, μαθήσῃ ὡς οὐδέν σοι πλέον ἔσται τῆς D εἰς ἐκείνους προστασίας, ἢ τὸ ἐκείνους μὲν διαφυγεῖν τὸν κίνδυνον, σὲ δὲ τούτῳ περιβληθῆναι. παρεβιάζοντο δὲ τὸν Λὼτ σφόδρα. ὅρα τὸν δίκαιον τοῦτον καὶ ἀνδρείαν ἐπιδεικνύμενον, καὶ τοσούτῳ πλήθει ἀντιπάττεσθαι ἐπιχειροῦντα. καὶ ἤγγισαν, φησι, συντρῖψαι τὴν θύραν. ἐπεὶ γὰρ μέλλων ἐξιέναι, καὶ τὴν τούτων μανίαν προορῶν προσέφαξεν αὐτοῦ ὄπισθεν τὴν θύραν, οὐκ ἀνεχόμενοι οἱ μιαροὶ οὗτοι καὶ παράνομοι τῆς τοῦ δικαίου παραινέσεως, αὐτόν τε ἐβιάζοντο καὶ τὴν θύραν συντρῖψαι ἐπεχείρουν. ἀλλ' ἐπεὶ

A

διὰ τῶν πραγμάτων ἐδείκνυτο καὶ ἡ τοῦ δικαίου ἀρετὴ καὶ ἡ πρὸς τοὺς ξένους νομιζομένους κηδεμονία, καὶ τοῦ πλήθους ἐκείνου παντὸς ἡ περὶ τὴν κακίαν συμφωνία, τότε λοιπὸν ἐκκαλύπτουσιν ἑαυτοὺς οἱ παραγεγονότες· καὶ ἐπειδὴ εἶδον τὸν δίκαιον πάντα τὰ παρ' ἑαυτοῦ πεπληρωκότα, τὴν οἰκείαν ἐπιδεικνύμενοι δύναμιν ἐπαμύνουσι τῷ δικαίῳ καταδυναστευομένῳ ὑπὸ τῆς ἐκείνων μανίας. ἐκτείναντες γάρ, φησιν, οἱ ἄνδρες τὰς χεῖρας εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν. τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τοῦ

B

οἴκου ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν. ὁρᾷς πῶς καὶ ὁ δίκαιος εὐθέως παραχρῆμα τῆς φιλοξενίας κομίζεται τὰς ἀμοιβάς, καὶ οἱ παράνομοι ἐκεῖνοι ἀξίαν τίνουσι δίκην; εἰσεσπάσαντο γάρ, φησι, τὸν Λὼτ εἰς τὸν οἶκον, καὶ τὴν θύραν ἀπέκλεισαν, τοὺς δὲ ἄνδρας ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν. ἐπειδὴ γὰρ τὸ τῆς διανοίας αὐτῶν ὄμμα πεπήρωτο, διὰ τοῦτο καὶ τῆς ὁράσεως τὴν τύφλωσιν ὑπομένουσιν, ἵνα μάθωσιν ὡς

C

οὐδὲν αὐτοῖς ὄφελος τῶν σωματικῶν ὀφθαλμῶν, τῶν τῆς διανοίας ὀμμάτων πεπηρωμένων. καὶ ἐπειδὴ σύμφωνον τὴν κακίαν ἐπεδείκνυντο, καὶ οὔτε οἱ νέοι, οὔτε οἱ πρεσβῦται ἀπείχοντο τῆς πονηρᾶς ἐπιχειρήσεως, διὰ τοῦτο πάντες, φησίν, ἀπετυφλώθησαν, καὶ οὐ μόνον τὴν πήρωσιν ἐδέχοντο, ἀλλὰ καὶ τὰ τῆς ἰσχύος αὐτοῖς τοῦ σώματος διελύετο. ἐπειδὴ γὰρ τὸ κυριώτερον μέρος τὴν ψυχὴν ἦσαν διαλελυμένοι, διὰ τοῦτο καὶ τοῦ σώματος τὴν ἰσχὺν παρελύθησαν, καὶ οἱ πρότερον συντρῖψαι τὴν θύραν ἐπιχειροῦντες, καὶ μετὰ πολλῆς ἀπειλῆς τῷ δικαίῳ διαλεγόμενοι, ἀθρόον

D

εἱστήκεισαν παραλελυμένοι, καὶ πρὸ τῶν ὀφθαλμῶν κειμένην τὴν θύραν οὐχ ὁρῶντες. τότε λοιπὸν ἀνέπνευσεν ὁ δίκαιος, ὁρῶν τίνες ἦσαν οἱ παραγενόμενοι, καὶ ὅτι μεγάλη τις αὐτῶν ἡ δύναμίς ἐστι. καὶ γὰρ εἶπον φησι πρὸς αὐτὸν οἱ ἄνδρες· ἔστι τίς σοι ὧδε γαμβρός, ἢ υἱοί, ἢ θυγατέρες, ἢ εἴ τίς σοι ἄλλος ἐστὶν ἐν τῇ πόλει; ὅρα πῶς τῆς φιλοξενίας ἀμείβονται τὸν δίκαιον, καὶ πῶς αὐτῷ χαρίσασθαι βούλονται τῶν οἰκείων πάντων τὴν σωτηρίαν. εἴ τίς σοι, φησιν, ἐν τῇ πόλει, εἴ τινος ἀντέχῃ, εἴ τινα οἶδας ἐκτὸς γεγονότα τῆς τούτων παρανομίας, ἐξάγαγε ἐκ τοῦ τόπου τούτου, καὶ ἐκ τῆς γῆς, καὶ πάντας τοὺς σοι προσήκοντας ἐξάγαγε. ἀπόλλυμεν γὰρ ἡμεῖς τὸν τόπον τοῦτον. εἶτα καὶ τὴν αἰτίαν ἐπάγουσι, διδάσκοντες τὸν δίκαιον ἅπαντα μετὰ

bantur. Sed quia operibus ſatis demonſtrata fuit iuſti virtus, & cura eorum qui hoſpites putabantur, & conſpiratio totius populi in malum: tunc & ij qui aduenerant, manifeſtarunt ſe. Et quia viderant iuſtum omne officium ſuum impleſſe, ſuam declarantes pôtentiam, ſuppetias ferebant iuſto, cui vis fiebat ab illorum inſania. *Itaque*, inquit, *viri manibus extentis attraxerunt Loth ad ſe in domum, & ianuam domus clauſerunt.* [11] *Viros autem qui erant apud ianuam, percuſſerunt cæcitate à paruo vſque ad magnum, & diſſoluti ſunt quærentes ianuam.* Vides, quo pacto iuſtus ille ſtatim hoſpitalitatis accipit mercedem, & impij illi digna plectuntur pœna? Dicit enim: Attraxerunt Loth in domum, & ianuam clauſerunt: viros autem percuſſerunt cæcitate, à paruo vſque ad magnum, & diſſoluti ſunt quærentes ianuam. Quoniam mentis eorum oculus excæcatus erat, propter hoc & viſu priuati ſunt: vt diſcant quòd nihil ſibi proſint corporales oculi, ſi oculi mentis fuerint excæcati. Et quia conſpirauerant in malitia, & à malo conatu neque ſenes, neque iuuenes abſtinebant, ideo omnes excæcati ſunt: & non ſolùm excæcati ſunt, ſed & viribus corporis deſtituti ſunt: quandoquidem enim potiore hominis parte anima debilitati erant, idcirco viribus etiam corporis ſunt deſtituti: & qui prius ianuam conterere nitebantur, & multum ſermone ſuo prius minabantur iuſto, ſtatim ſteterunt luxatis membris, & ante oculos ſitam ianuam non videntes. Tunc quaſi reſpirauit iuſtus, videns quales hoſpites eſſent, & quòd magnæ virtutis. [12] *Et enim dixerunt ad eum viri: Eſt quis tibi hic gener, vel filij, vel filiæ, vel alius quis in ciuitate?* Vide quomodo iuſti hoſpitalitatem remunerant, & quomodo ei largiri volunt ſuorum omnium ſalutem. Si quis eſt tibi, inquit, in ciuitate, ſi quem ſaluare cupis, ſi quem ſcis ab iſtorum crimine alienum, educ ex hoc loco, & de terra. Omnes qui tibi iuncti ſunt, educ: [13] *perdimus enim nos locum hunc.* Deinde & cauſam afferunt, iuſtum omnia diligenter docentes.

Quia exaltatus eſt, inquit, *clamor eorum coram Domino, & miſit nos Dominus vt extereremus eos.* Hoc fuit quod dictum eſt patriarchæ Abrahæ: Clamor Sodomorum & Gomorrhæ multiplicatus eſt ante me. Exaltatus eſt, inquit, clamor eorum coram Domino. Grandis peruerſitatis eorum magnitudo, & idcirco quia incurabilis morbus, & vulnus hoc nullam curam recipit, miſit nos Dominus vt extereremus eos. Et hoc eſt quod dicebat Dauid: Qui facit angelos ſuos ſpiritus, & miniſtros ſuos flammam ignis. Quia, inquit, aduenimus vt hæc regio vndique deleatur: propter malitiam enim inhabitantium, etiam terra pœnam accipiet: egredere tu hinc. Hæc vt audiuit iuſtus, & didicit cauſam propter quam affuerunt viri quidem, vt apparebant, angeli autem reuera & miniſtri Dei omnium. *Egreſſus Loth, locutus eſt generis ſuis, qui acceperant filias eius.* Atqui ſuprà dicebat impiis illis, Ecce duas filias habeo, quæ nondum cognouerunt viros: quomodo igitur hîc dicit, Ad generos ſuos, qui acceperant filias eius? Ne putes cõtraria eſſe hæc illis, quæ ſuperius à iuſto ſunt dicta. Mos enim ille veteribus erat, ante multum tempus ſponſalia facere: ſæpè item & cohabitare deſponſatis, & ſimul cum parentibus conuerſari: id quod & nunc multis in locis fieri ſolet. Quia igitur iam deſponſatio facta erat, ideo vocat eos generos. Et dixit qui acceperant filias eius, propoſito videlicet ac compromiſſione: *Et dicit, Surgite, & exite de hoc loco: quia exterit Dominus ciuitatem.* 13. *Viſus eſt autem ridicula loqui coram generis ſuis.* Vide quomodo è malo illo fermento erant & iſti. Et propterea volens Deus ſtatim liberare iuſtum ab illorum affinitate, non permiſit eis commiſceri filiabus iuſti: ſed cum impiis etiam illos perdidit, vt egreſſus iuſtus cum filiabus effugeret eorum cognationem. Itaque cum audirent à iuſto terribiles illas minas, quaſi ſubſannabant, & putabant deliramenta eſſe quæ dicebantur: veruntamen iuſtus quod ſuum erat faciebat.

Gen. 18. 20.

Pſal. 103. 4.

Mos veterũ in ſponſalibus.

A ἀκριβείας ὅτι ὑψώθη, φησὶν, ἡ κραυγὴ αὐτῶν ἐναντίον κυρίου, καὶ ἀπέστειλεν ἡμᾶς κύριος ἐκτρῖψαι αὐτούς. τοῦτο ἦν ὅπερ ἔλεγε τῷ πατριάρχῃ, ὅτι κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με. ὑψώθη, φησὶν, ἡ κραυγὴ αὐτῶν ἐναντίον κυρίου. πολὺ τῆς παρανομίας αὐτῶν τὸ μέγεθος. καὶ διὰ τοῦτο ἐπειδὴ ἀνίατός ἐστιν ἡ νόσος, καὶ τὸ τραῦμα οὐδεμίαν θεραπείαν ἐπιδέχεται, ἀπέστειλε κύριος ἡμᾶς ἐκτρῖψαι αὐτήν. τοῦτό ἐστιν ὃ ἔλεγεν ὁ μακάριος Δαβὶδ, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. ἐπειδὴ ἀφανίσαι, φησὶ, παραγεγόναμεν πᾶσαν ταύτην

B τὴν περίχωρον· διὰ γὰρ τὴν πονηρίαν τῶν ἐνοικούντων καὶ ἡ γῆ τὴν τιμωρίαν δέξεται· ἔξελθε σὺ ἐντεῦθεν. ταῦτα ἀκούσας ὁ δίκαιος, καὶ μαθὼν τὴν αἰτίαν, δι᾽ ἣν παραγεγόνασιν ἄνδρες μὲν τὸ φαινόμενον, ἄγγελοι δὲ τυγχάνοντες, καὶ ὑπηρέται τοῦ τῶν ὅλων θεοῦ, ἐξελθὼν ἐλάλησε πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ. καὶ μὴν ἄνω ἔλεγε τοῖς παρανόμοις ἐκείνοις, ὅτι ἰδοὺ δύο θυγατέρας ἔχω, αἵτινες οὐκ ἔγνωσαν ἄνδρας. πῶς οὖν ἐνταῦθά φησι, πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ;

C μὴ νομίσῃς ἐναντία εἶναι ταῦτα τοῖς πρότερον παρὰ τοῦ δικαίου ῥηθεῖσιν. ἔθος γὰρ τοῦτο ἦν τοῖς παλαιοῖς πρὸ πολλοῦ τοῦ χρόνου τὰς μνηστείας ποιεῖσθαι, καὶ πολλάκις καὶ συνοικεῖν ταῖς μνηστευθείσαις, καὶ ἅμα τοῖς γονεῦσι διατρίβειν· ὃ καὶ νῦν ἐστιν ἰδεῖν πολλαχοῦ γινόμενον. ἐπεὶ οὖν ἤδη τὰ τῆς μνηστείας ἐγεγόνει, διὰ τοῦτο καὶ γαμβροὺς αὐτοὺς ὀνομάζει, καί φησι τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ. τῇ γνώμῃ γὰρ καὶ τῇ συγκαταθέσει εἰληφότες ἦσαν. καί φησιν ἀνάστητε, καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου, ὅτι ἐκτρίβει κύριος τὴν πόλιν. ἔδο-

D ξε δὲ γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ. ὁρᾷς πῶς ἐκ τῆς ζύμης ἦσαν τῆς πονηρᾶς οὗτοι, καὶ διὰ τοῦτο βουλόμενος ὁ θεὸς ταχέως ἐλευθερῶσαι τὸν δίκαιον τῆς πρὸς ἐκείνους συγγενείας, οὐ συνεχώρησεν οὐδὲ μιγῆναι αὐτοῖς τὰς θυγατέρας τοῦ δικαίου, ἀλλὰ προανήρπασε μετὰ τῶν πονηρῶν καὶ τούτους, ἵνα ἐξελθὼν ὁ δίκαιος μετὰ τῶν θυγατέρων διαφύγῃ τὴν πρὸς ἐκείνους συγγένειαν. ἀκούσαντες τοίνυν παρὰ τοῦ δικαίου τὴν φοβερὰν ταύτην ἀπειλὴν, μονονουχὶ διεχλεύαζον, καὶ ἐνόμιζον λῃρῳδίαν εἶναι τὰ παρ᾽ αὐτοῦ λεγόμενα. ἀλλ᾽ ὅμως ὁ δίκαιος τὰ παρ᾽ ἑαυτοῦ ἐπλήρου.

καὶ ἐπεὶ ἅπαξ ἐμνηστεύσατο αὐτοῦ τὰς θυγατέρας, ἐβουλήθη ἐξαρπάσαι αὐτοὺς τῆς τιμωρίας, ἐπεὶ δὲ ἐκεῖνοι οὐδὲ οὕτως ἠνέσχοντο, ἀλλ' ἐπέμενον τῷ οἰκείῳ τρόπῳ, καὶ ἐμάνθανον λοιπὸν δι' αὐτῶν τῶν ἔργων, ὡς οὐ συμφερόντως αὐτοῖς τοῦ δικαίου τὴν συμβουλὴν ἀπεπέμψαντο. ἡνίκα δέ, φησιν, ὄρθρος ἐγένετο, ἐπεσπούδαζον οἱ ἄγγελοι τὸν Λὼτ λέγοντες, ἀναστὰς λάβε τὴν γυναῖκά σου, καὶ τὰς δύο θυγατέρας ἃς ἔχεις, καὶ ἔξελθε, ἵνα μὴ σὺ συναπόλῃ ταῖς ἀνομίαις τῆς πόλεως. καὶ ἐταράχθησαν. μὴ μέλλε, φησί. δεῖ γὰρ ἤδη τὸν ὄλεθρον τούτοις ἐπιστῆναι. σαυτὸν οὖν καὶ τὴν γυναῖκά σου, καὶ τὰς δύο θυγατέρας διάσωσον. ἐκεῖνοι γὰρ οἱ μὴ θελήσαντες πεισθῆναί σου τῇ παραινέσει, οὐκ εἰς μακρὰν τῆς ἀπωλείας κοινωνήσουσι τοῖς λοιποῖς. μὴ τοίνυν μέλλε, ἵνα μὴ καὶ αὐτὸς τῇ ἀπωλείᾳ τῶν παρανόμων τούτων κοινωνήσῃς. καὶ ἐταράχθησαν. ταῦτα ἀκούσαντες οἱ περὶ τὸν Λὼτ καὶ τὴν γυναῖκα καὶ τὰς θυγατέρας, ἐταράχθησαν, φησι, τουτέστιν ἔμφοβοι γεγόνασιν, εἰς πολλὴν δειλίαν κατέστησαν, ἠγωνίασαν τὴν ἀπειλήν. διὸ κηδόμενοι τοῦ δικαίου οἱ ἄγγελοι, ἐκράτησαν, φησι, τῆς χειρὸς αὐτοῦ. οὐκ ἔτι λοιπὸν ὡς περὶ ἀνδρῶν διαλέγεται ἡ γραφή, ἀλλ' ἐπειδὴ μέλλουσιν ἐπάγειν τὴν τιμωρίαν, ἀγγέλους αὐτοὺς ὀνομάζει, καί φησιν· ἐκράτησαν τῆς χειρὸς αὐτοῦ, καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ, καὶ τῶν χειρῶν τῶν θυγατέρων αὐτοῦ, ἐν τῷ φείσασθαι αὐτοῦ κύριον. παρεθάρρυναν αὐτοὺς διὰ τῆς ἁφῆς τῆς χειρός, καὶ ἐνεύρωσαν αὐτῶν τὴν προθυμίαν, ἵνα μὴ ὁ φόβος διαλύσῃ αὐτῶν τὴν ἰσχύν. διὰ τοῦτο ἐπήγαγεν, ἐν τῷ φείσασθαι αὐτοῦ κύριον. ἐπειδὴ γάρ, φησι, σωτηρίας αὐτὸν ἄξιον ἔκρινεν ὁ κύριος, διὰ τοῦτο καὶ οἱ ἄγγελοι βουλόμενοι νευρῶσαι αὐτῶν τὴν προθυμίαν, τῆς χειρὸς αὐτῶν κρατοῦσι, καὶ ἐξαγαγόντες αὐτοὺς ἔξω εἶπον· σῶζε τὴν σεαυτοῦ ψυχήν. μὴ περιβλέψῃς εἰς τὰ ὀπίσω· μὴ στῇς ἐν πάσῃ τῇ περιχώρῳ. εἰς τὸ ὄρος σῶζε, μήποτε συμπαραληφθῇς. ἐπειδή, φησι, λοιπὸν ἀπηλλάξαμέν σε τῶν παρανόμων τούτων, μηκέτι περιβλέψῃ εἰς τὰ ὀπίσω, μήτε θελήσῃς ἰδεῖν τὰ τούτοις συμβησόμενα, ἀλλὰ σπεῦσον καὶ μακρὰν γενοῦ, ἵνα διαφυγεῖν δυνηθῇς τὴν ἐπαγομένην τούτοις τιμωρίαν. εἶτα δεδοικὼς ὁ δίκαιος, μήποτε οὐ δυνηθῇ καταλαβεῖν τὸν ὑπ' αὐτῶν ἀφορισθέντα τόπον, καὶ εἰς τὸ ὄρος φθάσαι, φησί· δέομαι κύριε, ἐπεὶ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου, καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου, ὃ ποιεῖς εἰς ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου· ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος, μὴ καταλάβῃ με τὰ κακά,

A Et quia ſemel illis filias deſponſarat, voluit eripere eos à plaga: at illi noluerunt, ſed in moribus ſuis manſerunt, & reipſa didicerunt quòd magno ſuo damno conſilium iuſti reiecerunt. *Vbi autem*, inquit, *mane factum eſt, ſtudioſè adhortati ſunt angeli Loth, dicentes: Surge, accipe vxorem tuam, & filias duas quas habes, & exi, vt ne & tu cum iniquitatibus ciuitatis pereas.* [16] *Et turbati ſunt.* Ne differ, inquit. Iam enim illis pernicies infligenda eſt: teipſum igitur, & vxorem, & filias ſerua. B Illi enim qui noluerunt admonitioni tuæ parêre, non longè poſt participes erũt cõmunis interitus. Ne igitur differ, vt ne & ipſe internecionis iſtorum impiorum particeps fias. Et turbati ſunt. Hæc vt audierunt Loth, & vxor, & filiæ, turbati ſunt, inquit: hoc eſt attoniti fuerunt, & in nimium pauorem inciderunt, & propter minas anxij fuere. Et ideo angeli curam agentes iuſti, apprehenderunt, inquit, manum eius. C Iam non vt de viris loquitur de eis ſcriptura diuina, ſed quia plagam inflicturi erant, angelos eos nominat, & dicit: *Apprehenderunt manum eius, & manum vxoris eius, & manus filiarum eius, eo quòd parceret ei Dominus.* Animabant eos manuum contactu, & roborauerunt eorum alacritatem, vt ne timor eorum diſſolueret robur: propterea adiecit, eò quòd parceret ei Dominus. Quia enim Dominus iudicauit eum ſalute dignum, idcirco & angeli volentes D eorum alacritatem roborare, manum eorum apprehendunt, *Et educentes eos forâs, dixerunt: Salua animam tuam: ne reſpicias poſt tergum: ne ſtes in omni loco per circuitum: in mõtem ſaluum te fac, ne fortè ſimul abripiaris.* Quoniã liberamus te ab impiis illis, inquit ne vltrà circumſpicias poſt tergum, ne velis videre, quæ illis euentura ſunt, ſed feſtina, & longè fias, vt effugere queas pœnam eis infligendam. Exin iuſtus timens, ne fortè non poſſet deſignatum locum aſſequi, & in montem peruenire, inquit: [19] *Oro domine, quia inuenit puer tuus miſericordiam coram te, & magnificaſti iuſtitiam tuam, quam facis mecum, vt viuat anima mea: ego autem non potero ſaluari in monte, ne apprehendant me mala, & moriar.*

A [20] *ecce ciuitas iſta propè, ad quam confugiam ego, parua eſt, ibi ſeruabor, & viuet anima mea (propter te.)* Quia enim, inquit, ſemel iudicaſtis ſalutem mihi dandam: aſcendere autem in montis verticem, vires meas tranſcendit, ampliorem miſericordiam mihi exhibete, & laborem meum alleuate. Ne quando igitur apprehendar à pœna quæ infligitur illis, & particeps fiam interitus iſtorum, ciuitatem hãc vicinam & paruam ſegregate mihi. Nam licet vilis ſit, & parua, attamen illic ſeruatus, ſecurè poſtea agere potero. [21] *Et dixit ei: Ecce admiratus ſum* B *tuam faciem & in verbo hoc, vt ne ſubuertam ciuitatem de qua locutus es.* Accepi tuas preces, inquit, & faciam hoc: & petitionem tuam tibi exhibebo, proptérque te etiã ciuitati parcam. *Feſtina igitur, & occupa locum, & ſaluare. Neque enim faciam aliquid; donec illuc venias.* Non potero, inquit, facere quicquam, vſquequo tu illuc ingrediaris; quia curam ago tuæ ſalutis, expectabo donec illuc abeas, & tunc eis infligam pœnam. [23] *Sol igitur egreſſus eſt ſuper terram, & Loth intrauit in* C *Segor.* Circa ſolis ortum, inquit, venit in ciuitatem, & ſtatim cùm ipſe eſſet intra ciuitatem, illi pœnam accipiebant. *Pluit enim,* inquit, *Dominus ſuper Sodoma & Gomorrha ſulphur & ignem à Domino de coelo:* [25] *& ſubuertit ciuitates illas, & quicquid circa eas habitabatur, & omnes qui habitabant in ciuitatibus, & omne quod exoriebatur de terra.* Dilecte ne ob hunc loquendi modum tenearis admiratione: proprietas enim eſt ſcripturæ, & indifferenter ſic ſæpe ponit verba: id quod & nunc videre licet. Pluit enim, in- D quit, Dominus ſulphur & ignem à Domino de cœlo: vt dicat, quòd Dominus pœnam inducat: & non ſolùm ciuitates ſubuertit, & omnem circa regionem, & omnes inhabitantes, ſed & quæ exoriuntur de terra, aboleuit. Quia enim homines, qui eam inhabitabant, multos impietatis fructus protulerunt: idcirco, inquit, & inutiles fructus terræ facio, vt & illis abolitis perpetuum ſit monimentum ſequentibus generationibus: omnes per ſuam ſterilitatem docens, quanta fuerit inhabitantium malitia.

ἰδοὺ ἡ πόλις αὕτη ἐγγὺς τοῦ καταφυγεῖν με ἐκεῖ, μικρά ἐστιν· ἐκεῖ σωθήσομαι, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκέν σου. ἐπειδὴ ἅπαξ, φησὶν, ἐκρίνατε τὴν σωτηρίαν χαρίσασθαί μοι, ὑπερβαίνει δέ μου τὴν ἰσχὺν τὸ φθάσαι τὴν τοῦ ὄρους κορυφὴν, πλείονα περὶ ἐμὲ τὴν φιλανθρωπίαν ἐπιδείξασθε, καὶ κουφότερόν μοι τὸν κάματον ποιήσατε, μήποτε οὖν καταληφθῶ ὑπὸ τῆς ἐπαγομένης τιμωρίας, καὶ κοινωνήσω τῆς δίκης τούτοις, τὴν πόλιν ταύτην τὴν πλησίον ἀφορίσατέ μοι. εἰ γὰρ καὶ εὐτελής ἐστι καὶ μικρά, ἀλλ' ἐκεῖ διασωθεὶς δυνήσομαι ἐν ἀσφαλείᾳ εἶναι λοιπόν. καὶ εἶπεν αὐτῷ· ἰδοὺ ἐθαύμασά σου τὸ πρόσωπον, καὶ ἐπὶ τῷ ῥήματι τούτῳ, τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς ἐλάλησας. ἐδεξάμην σου τὴν ἱκεσίαν, φησὶ, καὶ ποιήσω καὶ τοῦτο, καὶ παρέξω σοι τὸ αἰτηθὲν, καὶ διὰ σὲ καὶ τῆς πόλεως φείσομαι. σπεῦσον οὖν, καὶ κατάλαβε τὸν τόπον, καὶ σώζου· οὐδὲ γὰρ ποιήσω τι μέχρι τοῦ παραγενέσθαι σε ἐκεῖ. οὐ γὰρ δυνήσομαι, φησι, τοῦ ποιῆσαι πρᾶγμα, ἕως τοῦ εἰσελθεῖν σε ἐκεῖ. ἐπειδὴ κήδομαί σου τῆς σωτηρίας, ἀναμένω τὴν ἐκεῖ σου ἄφιξιν, καὶ τότε τούτοις ἐπάγω τὴν τιμωρίαν. ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ. περὶ τὴν τοῦ ἡλίου ἀνατολὴν ἔφθασε τὴν πόλιν· καὶ εὐθέως ἐκείνου ἐντὸς τῆς πόλεως γενομένου, οὗτοι τὴν τιμωρίαν ἐδέχοντο. ἔβρεξε γὰρ, φησι, κύριος ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέστρεψε τὰς πόλεις ταύτας καὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι, καὶ πᾶν ἀνατέλλον ἐκ τῆς γῆς. μὴ ξενιζέτω σε, ἀγαπητὲ, τῶν ῥημάτων ἡ συνήθεια. ἰδίωμα γὰρ τοῦτό ἐστι τῆς γραφῆς, καὶ διαφόρως οὕτω πολλάκις τίθησι τὰ ῥήματα· ὃ δὴ καὶ νῦν ἐστιν ἰδεῖν. ἔβρεξε γὰρ, φησι, κύριος θεῖον καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ, ἵνα εἴπῃ, ὅτι κύριος τὴν τιμωρίαν ἐπήγαγε, καὶ οὐ μόνον τὰς πόλεις κατέστρεψε, καὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας, ἀλλὰ καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς ἠφάνισεν. ἐπειδὴ γὰρ οἱ ταύτην οἰκοῦντες ἄνθρωποι πολὺν τῆς πονηρίας τὸν καρπὸν ἐπεδείξαντο, διὰ τοῦτο καὶ τῆς γῆς, φησι, τοὺς καρποὺς ἀχρήστους ἐργάζομαι, ἵνα καὶ ἐκείνων ἀφανισθέντων αὕτη διηνεκὲς ὑπόμνημα γένηται ταῖς μετὰ ταῦτα γενεαῖς, διὰ τῆς οἰκείας ἀκαρπίας πάντας διδάσκουσα τῶν ἐνοικησάντων αὐτῇ τὴν πονηρίαν.

A εἶδες ὅσον ἐστὶν ἀρετή, καὶ ὅσον κακία, καὶ πῶς ὁ μὲν δίκαιος ἐσώθη, αὐτοὶ δὲ ἀξίαν τὴν τιμωρίαν ἔδοσαν τῆς πονηρίας; καὶ ὥσπερ ὁ δίκαιος διὰ τὴν οἰκείαν ἀρετὴν καὶ τὰς θυγατέρας διέσωσε, καὶ τῆς πόλεως ἐκείνης τὴν καταστροφὴν διεκώλυσεν, οὕτω καὶ οὗτοι διὰ τὴν ὑπερβολὴν τῆς οἰκείας πονηρίας οὐ μόνον αὐτοὶ ἀπώλοντο καὶ διεφθάρησαν, ἀλλὰ καὶ τὴν γῆν ἄκαρπον εἰς τὸ ἑξῆς γενέσθαι παρεσκεύασαν. καὶ ἐπέβλεψεν ἡ γυνή, φησιν, εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός. ἐπειδὴ γὰρ ἀκούσασα τῶν ἀγγέλων τῶν διαταττομένων τῷ δικαίῳ, ὥστε μὴ προσέχειν εἰς τὰ ὀπίσω, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπείξεως τὴν ἀναχώρησιν ποιήσασθαι, B παρήκουσε τῶν ῥηθέντων, καὶ τὸ παραγγελθὲν οὐκ ἐφύλαξε, διὰ τοῦτο τῆς οἰκείας ῥαθυμίας δίδωσι δίκην. Ἠθικόν. ἀλλ' ἡμεῖς ταῦτα ἀκούοντες πολλὴν τῆς οἰκείας σωτηρίας τὴν πρόνοιαν ποιησώμεθα, καὶ τῆς μὲν ἐκείνων παρανομίας φύγωμεν τὴν μίμησιν, τοῦ δὲ δικαίου τούτου τὴν φιλοξενίαν ζηλώσωμεν, καὶ τὴν ἄλλην ἀρετήν, ἵνα δυνηθῶμεν καὶ τὴν ἄνωθεν ὀργὴν ἀποκρούσασθαι. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν μετὰ σπουδῆς ταύτην μετιόντα, μὴ πολὺν ἐντεῦθεν κομίσασθαι τὸν θησαυρόν. καὶ γὰρ οἱ δίκαιοι οὗτοι οὕτω τῆς ἄνωθεν ῥοπῆς ἠξιώθησαν, C καὶ ὁ πατριάρχης καὶ ὁ Λώτ, καὶ ἀνθρώπους νομίζοντες ὑποδέχεσθαι, κατηξιώθησαν καὶ ἀγγέλους ὑποδέξασθαι, καὶ τὸν τῶν ἀγγέλων δεσπότην. ἔξεστι καὶ ἡμῖν, ἐὰν βουλώμεθα, καὶ νῦν αὐτὸν ὑποδέξασθαι. αὐτὸς γάρ ἐστιν ὁ εἰρηκώς, ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται. οὕτω τοίνυν τοὺς ξένους ὑποδεχώμεθα, καὶ μὴ πρὸς τὴν τῶν φαινομένων εὐτέλειαν ἀπίδωμέν ποτε. ἐνίοτε γάρ, εἰ τοιαύτῃ γνώμῃ τὰ τῆς φιλοξενίας ἐπιδειξώμεθα, καταξιωθησόμεθα καὶ ἡμεῖς τοιούτους ὑποδέχεσθαι, ἄνδρας μὲν νομιζομένους, τῶν ἀγγέλων δὲ D τὴν ἀρετὴν μετιόντας· μόνον μὴ περιεργαζώμεθα μηδὲ πολυπραγμονῶμεν, ἵνα μὴ διαμάρτωμεν τοῦ θησαυροῦ. ἐπεὶ καὶ ὁ μακάριος Παῦλος τούτους τοὺς δικαίους αἰνιττόμενος, καὶ διδάσκων ἡμᾶς πῶς ἐπέτυχον τοιαύτης ὑποδοχῆς φησι, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. τοῦτο γὰρ αὐτοὺς μάλιστα θαυμαστοὺς καὶ μεγάλους ἀπέδειξεν, ὅτι οὐκ εἰδότες αὐτούς, τὴν θεραπείαν ἐπεδείκνυντο. καὶ ἡμεῖς τοίνυν πίστει καὶ εὐλαβείᾳ τὸ πρᾶγμα μετίωμεν, ἵνα καὶ τοῦ θησαυροῦ ἐπιτυχεῖν δυνηθῶμεν·

A Vidiſti quanta res ſit virtus, & quanta res malitia: & quomodo iuſtus ſaluatus ſit, alij autem dignam ſua malitia pœnam receperint? Et ſicut iuſtus per ſuam virtutem & filias ſaluauerit, & ciuitatis illius ſubuerſionem prohibuit: ita & illi propter immodicam ſuam malitiam, non ſolùm ipſi perierunt & deleti ſunt, ſed & effecerunt terram inutilem in futurum. 26 *Et reſpexit*, inquit, *vxor eius poſt tergum, & facta eſt columna ſalis.* Nam quoniam audiuit angelos præcipientes iuſto, vt ne ſe conuerterent retrorſum, ſed cum magna feB ſtinatione ſecederent: neglexitque verba, & præceptum non cuſtodiuit, propterea ſua negligentia dedit pœnam. Cęterùm nos audientes illa, noſtræ ſalutis curam diligentiorem habeamus, & vitia illa imitari caueamus. Imitemur iuſti illius hoſpitalitatem, & alias virtutes, vt poſſimus & ſupernam iram depellere. Neque enim poſſibile eſt, vt qui virtutem hanc magno ſtudio exerceat, non grandem inde reportet theſaurum. Etenim iuſti illi ſic ſupernam graC tiam conſecuti ſunt, item tam patriarcha, quàm Loth, & qui homines ſuſcipere ſe putauerunt, meruerunt ſuſcipere angelos, & angelorum dominum. Nobis quoque & nunc, ſi voluerimus, ſuſcipere licet. Ipſe enim eſt qui dixit, Qui ſuſcipit vos, me ſuſcipit. Sic igitur hoſpites ſuſcipiamus, & non ad externam vilitatem reſpiciamus. Enimuerò, ſi tali mente hoſpitalitatem etiam nos exercuerimus, digni erimus & nos qui tales excipiamus, qui videntur quidem viri, angelorum autem virD tutes operantur. Tantum ne curioſi exploratores & inquiſitores ſimus, vt ne theſaurum perdamus. Quandoquidem & beatus Paulus tales iuſtos inſinuat, & docet nos, quomodo tales vt ſuſciperent, eis euenerit. Hoſpitalitatis, inquit, ne obliuiſcamini: propter hanc enim neſcientes quidam hoſpitio exceperunt angelos. Hoc enim eos potiſſimum fecit admirabiles, quòd curam eorum quos neſcierunt egere. Et nos quoque cum fide ac pietate rē obeamus, vt ſic theſaurum aſſequi poſſimus.

Moralis exhortatio.

Luc. 9. 4

Heb. 13. 1.

Quod nobis omnibus concedatur A gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit gloria, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

HOMILIA. XLIV.

Gen. 15. 27. *Diluculo autem venit Abraham ad locum vbi ſteterat coram Domino.*

HERI nos argumentum de muliere Samaritana ſatis docuit ineffabilem Domini B longanimitatem, & excellentem erga illam prouidentiam, atque illius gratitudinem. Vidiſtis quomodo, vt aquam ſenſibilem hauriret, aduenit, & ex ſpirituali fonte diuina flumina hauſit, ac domum rediit, implens quod dictum
Ioan. 4. 14. eſt à Domino: Aqua, quam ego dabo, erit in eo fons aquæ ſalientis in vitam æternam. Impleta enim ipſa diuino illo & ſpirituali fonte, non detinuit intra ſe flumina: ſed ſuperſcaturiens, vt ita dicam, effudit C & in habitatores ciuitatis conceſſi doni gratiam, & præconis officium egit mulier Samaritana & alienigena. Vidiſtis quantum bonum ſit animæ gratitudo. Vidiſtis Domini benignitatem, quomodo nullum contemnit: ſed etiam in muliere, etiam in paupertate, & vbicunque inuenit animam excitatam & vigilem ac feruidam, ſtatim gratiam ſuam illi largitur. Imitemur igitur, obſecro, & nos mulierem hanc, cúmque magna attentione accipiamus doctrinas à ſpiritu. D Neque enim noſtra ſunt quæ dicuntur, neque ex propria lingua loquimur quæcunque dixerimus, ſed Domini benignitate afflati propter veſtram ſalutem & ædificationem eccleſiæ Dei. Ne igitur ad me dicentem reſpicias, chariſſime, neque ad tenuitatem meam: ſed quoniam ea quæ Domini ſunt affero, ad eum qui me miſit habens attentam mentem, collecto animo quæ dicuntur accipe. Quandoquidem & in humanis negociis, quando rex diademate coronatus literas mittit,

οὗ τύχοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία μδʹ.

Ὤρθρισε δὲ Ἀβραὰμ τὸ πρωῒ εἰς τὸν τόπον, οὗ εἱστήκει ἐναντίον τοῦ θεοῦ.

Ἡ κατὰ τὴν Σαμαρεῖτιν ὑπόθεσις ἱκανῶς ἡμᾶς χθὲς ἐδίδαξε καὶ τοῦ δεσπότου τὴν ἄφατον μακροθυμίαν, καὶ τὴν ὑπερβάλλουσαν περὶ αὐτὴν κηδεμονίαν, καὶ ἐκείνης τὴν εὐγνωμοσύνην. εἴδετε πῶς ὕδωρ αἰσθητὸν ὑδρεύσασθαι παραγενομένη, ἐκ τῆς νοητῆς πηγῆς τὰ θεῖα νάματα ἀρυσαμένη οὕτως οἴκαδε ἐπανῆλθε, πληρώσασα τὸ παρὰ τοῦ δεσπότου εἰρημένον· τὸ ὕδωρ, ὃ ἐγὼ δώσω, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. ἐμφορηθεῖσα γὰρ αὕτη τῆς θείας ἐκείνης καὶ πνευματικῆς πηγῆς, οὐ κατέσχεν εἴσω τὰ νάματα, ἀλλ' ὑπερβλύζουσα, ὡς εἰπεῖν, ἐξέχεε καὶ εἰς τοὺς τὴν πόλιν οἰκοῦντας τῆς παρασχεθείσης αὐτῇ δωρεᾶς τὸ χάρισμα, καὶ κῆρυξ ἐγένετο ἀθρόον ἡ γυνή, ἡ Σαμαρεῖτις, ἡ ἀλλόφυλος. εἴδετε ὅσον ἐστὶ ψυχῆς εὐγνωμοσύνη, εἴδετε δεσπότου φιλανθρωπίαν, ὅπως οὐδενὸς ὑπερορᾷ, ἀλλά, κἂν ἐν γυναικί, κἂν ἐν πενίᾳ, κἂν ὅπου δήποτε εὕρῃ διεγηγερμένην ψυχὴν καὶ ζέουσαν, παραχρῆμα τὴν παρ' ἑαυτοῦ χάριν ἐπαφίησι. μιμησώμεθα τοίνυν, παρακαλῶ, καὶ ἡμεῖς τὴν γυναῖκα ταύτην, καὶ μετὰ πολλῆς προσοχῆς δεχώμεθα τὰ παρὰ τοῦ πνεύματος διδάγματα. οὐδὲ γὰρ ἡμέτερά ἐστι τὰ λεγόμενα, οὐδὲ ἐξ οἰκείας γλώττης φθεγγόμεθα, ἅπερ ἂν εἴπωμεν, ἀλλ' ἐκ τῆς τοῦ δεσπότου φιλανθρωπίας ὁδηγούμενοι, διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν καὶ τὴν οἰκοδομὴν τῆς τοῦ θεοῦ ἐκκλησίας. μὴ τοίνυν πρὸς ἐμὲ τὸν λέγοντα ἀπίδῃς, ἀγαπητέ, μηδὲ πρὸς τὴν εὐτέλειαν τὴν ἐμήν, ἀλλ' ὅτι τὰ παρὰ τοῦ δεσπότου διακομίζω, καὶ πρὸς τὸν ἀποστείλαντα ἔχων τὴν διάνοιαν τεταμένην, οὕτω μετὰ νήψεως δέχου τὰ λεγόμενα. ἐπεὶ καὶ ἐν τοῖς ἀνθρωπίνοις πράγμασι, ἐπειδὰν ὁ βασιλεύς, ὁ τὸ διάδημα περικείμενος,

A γράμματα διαπέμπηται, ὁ μὲν ἐπιφερόμενος ταῦτα καθ' ἑαυτὸν μὲν οὐδενὸς λόγου ἄξιος τυγχάνει, ἀλλ' εὐτελής τίς ἐστι, καὶ πολλάκις οὐδὲ προγόνους ἀριθμεῖν ἔχων, ἀλλ' ἀνώνυμος καὶ ἐξ ἀνωνύμων. ἀλλ' οὐκ ἐκείνῳ προσέχουσιν οἱ ταῦτα δέχεσθαι μέλλοντες, ἀλλὰ διὰ τὰ τοῦ βασιλέως γράμματα πολλὴν κἀκείνῳ τιμὴν ἀπονέμουσι, καὶ τὰ γράμματα μετὰ πολλοῦ τοῦ φόβου καὶ πολλῆς τῆς ἡσυχίας δέχονται. εἰ τοίνυν ἐκεῖνος ἀνθρώπου ἐπαγόμενος γράμματα, καὶ χάρτην ἁπλῶς ἐπιφερόμενος, παρὰ πᾶσιν ἐναποδέχεται, πολλῷ μᾶλλον ὑμᾶς ἂν εἴητε δίκαιοι τὰ παρὰ τοῦ πνεύματος δι' ἡμῶν ὑμῖν πεμφθέντα λόγια μετὰ πολλῆς τῆς
B προσοχῆς ὑποδέχεσθαι, ἵνα τῆς εὐγνωμοσύνης πολλὴν κομίσησθε τὴν ἀμοιβήν. ἐὰν γὰρ ἴδῃ ὁ τῶν ὅλων δεσπότης τῆς ψυχῆς ὑμῶν τὴν προθυμίαν, καὶ ἡμῖν δαψιλεστέραν παρέξει τὴν χορηγίαν διὰ τὴν οἰκοδομὴν τὴν ὑμετέραν, καὶ ὑμῖν πλείονα δωρήσεται τὴν σύνεσιν, ὥστε συνιέναι τὰ λεγόμενα. δαψιλὴς γὰρ ἡ τοῦ πνεύματος χάρις, καὶ εἰς πάντας ἐκχεομένη οὐδένα μερισμὸν ὑπομένει, ἀλλὰ τῇ διανομῇ μᾶλλον αὔξεται, καὶ ὅσῳ ἂν πλείους ὦσιν οἱ ταύτης μετέχοντες, τοσούτῳ καὶ τὰ τῆς χάριτος ἐπὶ πλέον ἐκτείνεται. φέρε οὖν, εἰ δοκεῖ, καὶ σήμερον
C τῆς ἀκολουθίας τῶν πρώην ἡμῖν εἰρημένων ἐπιλαβώμεθα, καὶ ἴδωμεν ὅπου τὸν λόγον κατελύσαμεν, καὶ ὅθεν αὐτὸν ἀναλαβεῖν σήμερον προσήκει. ποῦ οὖν τὸν λόγον πρώην προσωρμίσαμεν, οὕτω τῆς διδασκαλίας ἐπαυσάμεθα; τὰ κατὰ τὸν Λὼτ ὑμῖν διηγούμενοι, καὶ τὸν τῶν Σοδόμων ἐμπρησμὸν, ἐκεῖ τὸν λόγον ἐστήσαμεν, ὅπου ὁ δίκαιος εἰς τὴν Σηγὼρ διεσώθη. ὁ ἥλιος γὰρ ἐξῆλθεν ἐπὶ τῆς γῆς, φησι, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγὼρ, καὶ τότε ἡ θεήλατος ἐκείνη ὀργὴ τούς τε ἐν Σοδόμοις κατέλαβε, καὶ τῆς γῆς τὸν ἀφανισμὸν εἰργάσατο, ὅτε καὶ
D ἡ γυνὴ τοῦ δικαίου ἐπιλαθομένη τῶν ῥηθέντων παρὰ τῶν ἀγγέλων, ἐπιβλέψασα εἰς τὰ ὀπίσω, ἐγένετο στήλη ἁλὸς, διηνεκὲς ὑπόμνημα ταῖς μετὰ ταῦτα γενεαῖς τῆς οἰκείας ῥαθυμίας παρεχομένη. ἀναγκαῖον οὖν σήμερον τὰ ἑξῆς ἐπελθόντας μικρά τινα διαλεχθῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην, ἵνα πάλιν εἰδῆτε τοῦ πατριάρχου τὸ συμπαθὲς καὶ φιλόστοργον, καὶ τοῦ θεοῦ τὴν περὶ αὐτὸν εὔνοιαν. ἐπὶ γὰρ τῆς ἀνατολῆς τοῦ ἡλίου γινομένης ὁ μὲν δίκαιος Λὼτ εἰς τὴν Σηγὼρ διεσώθη, οἱ δὲ τὰ Σόδομα κατοικοῦντες ὑπὸ τὴν δίκην γεγόνασιν,

tunc is qui eas affert, per ſe nullius momenti eſt, ſed humilis quidam, ſæpe neque progenitores numerare ſciens, obſcurus, & ex obſcuris: ſed non ad illum ſpectant qui literas ſuſcepturi ſunt, ſed propter Regis literas, illi quoque multum exhibent honoris, ac literas magna cum reuerentia & ſilentio recipiunt. Si igitur is qui hominis literas affert, & chartam tantum apportat, ſic omnibus acceptus eſt: multò magis vos, conuenit, eloquia quæ à ſpiritu vobis per nos mittuntur, magna attentione ſuſcipere, vt magnam gratitudinis recipiatis mercedem. Nam ſi viderit dominus vniuerſorum, animarum noſtrarum promptitudinem, & nobis largiores ſumptus ſuppeditabit propter veſtram ædificationem, & vobis maiorem præbebit intellectum, ita vt quæ dicuntur intelligere valeatis. Liberalis enim eſt ſpiritus gratia, & ſe in omnes effundens, nullam partitionem ſuſtinet: ſed cum diſtribuitur, magis creſcit, & quantò plures ſunt eius participes, tantò & beneficium magis extenditur. Agè igitur, ſi videtur, & hodie ad ſeriem eorum quæ prius dicta ſunt veniamus: & videamus vbi ſermo manſerit, & vnde eum repetere hodie congruat. Quo igitur nuper ſermonem terminauimus, & à doctrina ceſſauimus? De Loth vobis narrabamus, & de Sodomorum incendio illic ſermonem ſuſpendimus, vbi iuſtus in Segor ſeruatus eſt. Sol enim egreſſus eſt ſuper terram, & Loth intrauit in Segor, & tunc ira à Deo immiſſa Sodomitas apprehendit, & terram illam aboleuit. Quando & vxor iuſti, obliuiſcens dictorum ab angelis, ſpectauit retrorſum, & facta eſt columna ſalis, perpetuum monimentum poſterioribus ſeculis ſuæ negligentiæ præbens. Operæ pretium nunc, fuerit vt dicamus veſtræ charitati pauca ex his quæ ſequuntur, vt iterum videatis charitatem & compaſſionem patriarchæ, & Dei erga illum beneuolentiam. Nam vbi orto ſole iuſtus Loth in Segor ſeruatus eſt, qui autem Sodomis erant, pœnã luerunt:

patriarcha ſimul & illorum interi-
tum miſerans, quem propter ſuum
peccatum ſuſtinuerunt, & de iuſto
valde ſollicitus, mane veniens ſpe-
ctabat quæ ibi facta fuerant. [27] *Dilu-
culo autem, venit,* inquit, *Abraham
mane ad locum, vbi ſteterat coram Do-
mino,* [28] *& reſpexit in faciem Sodomo-
rum & Gomorrhæ, & in faciem circum-
iacentis regionis. Et vidit, & ecce aſcen-
dit flamma de terra, quaſi fumus camini.*
In eo, inquit, loco, in quo collocu-
tus eſt cum Domino, & pro Sodo-
mitis rogauit, vidit terribilis illius
pœnæ veſtigia & de iuſto diſcere ali-
quid volebat. Is enim ſanctorum
mos eſt, vt plurimum afflictis affi-
ciantur, & compatiantur. Et vt do-
ceat nos diuina ſcriptura, quòd ſta-
tim ipſi huius ſcientiam conceſſerit
ſpiritus gratia, & iuſtum cura, quam
pro Loth gerebat liberarit, inquit,
*Cum contereret omnes ciuitates circa re-
gionem Iordanis, recordatus eſt Deus A-
brahæ, & emiſit Loth è media ſubuerſio-
ne.* Quid eſt, recordatus eſt Deus
Abrahæ? hoc eſt, petitionis quam
fecit, dicens, Ne ſimul perdas iu-
ſtum cum impio. Cur igitur, dixerit
aliquis, propter orationem patriar-
chæ iuſtus ſeruatus eſt, & non pro-
pter ſuam iuſtitiam? Ita certè, etiam
propter orationem patriarchæ. Quã-
Interceſſio ſanctorum.
do enim quod ex nobis eſt ſimul af-
ferimus, & accedit interceſſio ſan-
ctorum, plurimum nobis confert.
Quòd ſi ipſi negligentes fuerimus
& ſpem in illis ſolis collocamus no-
ſtræ ſalutis, nihil amplius nobis pro-
deſt: non quòd infirmi ſint iuſti, ſed
quia propter noſtram deſidiam nos-
ipſos perdimus. Et vt diſcas quòd
quando negligentes ſumus, etiamſi
iuſti ſint qui pro nobis orant, etiamſi
prophetæ, nulla nobis inde fiat vti-
litas (illi enim ſuam virtutem & per
hoc demonſtrant, nobis autem nulla
erit vtilitas propter mores noſtros)
audi Deum omnium, ad eum, qui de
vtero matris ſanctificatus eſt, Hiere-
Hier. 7. 15. & 11. & 14.
miam prophetam dicentem: Ne ores
pro populo hoc, quia non exaudiã te.
Vide Domini benignitatẽ: prædicit
prophetæ, vt ne quum poſt orationẽ
non exaudiatur, tribuat hoc ſuis pec-
catis: & ideo iam prædicit ei populi
malitiam, & prohibet ne precetur,

A ὁ πατριάρχης ὁμοῦ κἀκείνους οἰκτείρων τῆς ἀπω-
λείας, ἣν διὰ τὴν οἰκείαν παρανομίαν ὑπέμει-
ναν, καὶ περὶ τοῦ δικαίου σφόδρα φροντίζων, ὀρθρί-
σας, φησί, περιεσκόπει τὰ γεγενημένα. ὤρθρισε
γάρ, φησιν, Ἀβραὰμ τῷ πρωῒ εἰς τὸν τόπον, οὗ
εἱστήκει ἐναντίον τοῦ θεοῦ, καὶ ἐπέβλεψεν ἐπὶ πρό-
σωπον τῆς περιχώρου Σοδόμων, καὶ εἶδε, καὶ ἰδοὺ ἀνέ-
βαινε φλὸξ ἐκ τῆς γῆς, ὡσεὶ ἀτμὶς καμίνου. ἐν
ἐκείνῳ, φησί, τῷ τόπῳ γενόμενος, ἔνθα τὴν διάλε-
ξιν πρὸς τὸν δεσπότην ἐποιήσατο, καὶ τὴν περὶ
τῶν ἐν Σοδόμοις παράκλησιν, ἑώρα τῆς φοβερᾶς
ἐκείνης τιμωρίας τὰ ἴχνη, καὶ τοῦ δικαίου ἕνεκεν μα-
B θεῖν τι ἐπεθύμει. τοιοῦτον γὰρ τῶν ἁγίων τὸ ἔθος φιλό-
στοργον καὶ συμπαθητικόν. καὶ ἵνα διδάξῃ ἡμᾶς ἡ
θεία γραφή, ὅτι εὐθέως αὐτῷ τούτου τὴν γνῶσιν
ἐνέθηκεν ἡ τοῦ πνεύματος χάρις, ὁμοῦ δὲ καὶ τὸν δί-
καιον, ἵνα τῆς περὶ τοῦ Λὼτ ἀπαλλάξῃ φροντίδος,
φησίν, ἐν τῷ ἐκτρίψαι κύριον τὰς πόλεις τῆς πε-
ριοίκου, ἐμνήσθη ὁ θεὸς τοῦ Ἀβραάμ, καὶ ἐξαπέστει-
λε τὸν Λὼτ ἐκ μέσου τῆς καταστροφῆς. τί ἐστιν ἐμ-
νήσθη ὁ θεὸς τοῦ Ἀβραάμ; τῆς παρακλήσεως, φη-
σίν, ἧς ἐποιήσατο λέγων, μὴ συναπολέσῃς δίκαιον
μετὰ ἀσεβοῦς. τί οὖν, ἂν εἴποι τις, διὰ τὴν παρά-
C κλησιν τοῦ πατριάρχου ὁ δίκαιος διεσώθη, καὶ οὐχὶ
διὰ τὴν ἰδίαν δικαιοσύνην; ναί, καὶ διὰ τὴν
παράκλησιν τοῦ πατριάρχου. ὅταν γὰρ τὰ παρ'
ἑαυτῶν συνεισενέγκωμεν, καὶ ἡ παρὰ τῶν δικαίων
πρεσβεία τὰ μέγιστα ἡμᾶς ὀνίνησιν. ἐπεὶ ἐὰν αὐ-
τοὶ μὲν ῥαθυμῶμεν, τὰς δὲ ἐλπίδας τῆς ἡμε-
τέρας σωτηρίας ἐπ' ἐκείνοις μόνοις ποιώμεθα,
οὐδὲν ἡμῖν ἔσται πλέον. οὐκ ἐπειδὴ ἀσθενεῖς οἱ δί-
καιοι, ἀλλ' ἐπειδὴ ἡμεῖς διὰ τῆς οἰκείας ῥαθυμίας
ἑαυτοὺς προδίδομεν. καὶ ἵνα μάθῃς ὅτι, ὅταν ἀμε-
λῶμεν, κἂν δίκαιοι ὦσιν οἱ ὑπὲρ ἡμῶν παρακα-
λοῦντες, κἂν προφῆται, οὐδὲν ἡμῖν ἐκ τούτου
D ὄφελος γίγνεται. ἐκεῖνοι μὲν γὰρ τὴν ἑαυτῶν ἀρετὴν καὶ
διὰ τούτων ἐπιδείκνυνται, ἡμῖν δὲ οὐδεμία ἔσται
ὄνησις διὰ τὸν οἰκεῖον τρόπον, ἄκουσον τοῦ τῶν ὅλων
θεοῦ πρὸς τὸν ἐκ κοιλίας ἁγιασθέντα Ἱερεμίαν
τὸν προφήτην λέγοντα, μὴ προσεύχου περὶ τοῦ
λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου. ὅρα τοῦ δε-
σπότου φιλανθρωπίαν. προλέγει τῷ προφήτῃ,
ἵνα μὴ μετὰ τὸ προσεύξασθαι παρακουσθείς, νο-
μίσῃ ὅτι διὰ τὴν περὶ αὐτοῦ αἰτίαν τοῦτο γεγένη-
ται. διὰ τοῦτο ἤδη προμηνύει αὐτῷ τὴν κακίαν
τοῦ λαοῦ, καὶ διαστέλλεται μὴ προσεύξασθαι,

ἵνα καὶ αὐτὸς εἰδέναι ἔχῃ τῆς πονηρίας ἐκείνων τὴν ἐπίτασιν, κἀκεῖνοι μάθωσιν ὡς οὐδὲν αὐτοῖς ὁ προφήτης συμβάλλεται, εἰ μὴ καὶ αὐτοὶ τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν βουληθῶσιν. ὅπερ εἰδότες, ἀγαπητοί, καταφεύγωμεν μὲν ἐπὶ τὰς τῶν ἁγίων πρεσβείας, καὶ παρακαλῶμεν ὥστε ὑπὲρ ἡμῶν δεηθῆναι, ἀλλὰ μὴ ταῖς ἐκείνων ἱκεσίαις μόνον θαῤῥῶμεν, ἀλλὰ καὶ αὐτοὶ τὰ καθ' ἑαυτοὺς δεόντως οἰκονομῶμεν, καὶ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς ἐχώμεθα, ἵνα χώραν δῶμεν τῇ πρεσβείᾳ τῇ ὑπὲρ ἡμῶν γινομένῃ. τοῦτο καὶ πρὸς ἕτερον προφήτην φησὶν ὁ τῶν ἁπάντων δεσπότης· οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσι; θυμιῶσι στέαρ, καὶ χαυῶνας ποιοῦσι τῇ στρατιᾷ τοῦ οὐρανοῦ· μονονουχὶ λέγων πρὸς αὐτόν, ὑπὲρ τούτων με παρακαλεῖς τῶν οὐχ ἱσταμένων τῆς πονηρίας, τῶν οὐδεμίαν αἴσθησιν λαμβανόντων τῆς νόσου ἐν ᾗ κατέχονται, ἀλλ' οὕτως ἀναλγήτως διακειμένων; οὐχ ὁρᾷς αὐτῶν τὴν ὑπερβάλλουσαν καταφρόνησιν; οὐ βλέπεις αὐτῶν τὴν μανίαν τὴν πολλήν; πῶς οὐδέπω κόρον εἰλήφασι τῆς ἀσεβείας, ἀλλὰ καθάπερ ὗς ἐν βορβόρῳ, οὕτως ἐγκαλινδοῦνται ταῖς οἰκείαις παρανομίαις; μὴ γάρ, εἰ ἐβούλοντο ἐπιστρέφειν, παρακληθῆναι ἀνέμενον; οὐκ ἐγώ εἰμι ὁ διὰ τῶν προφητῶν βοῶν καὶ λέγων, καὶ εἶπον μετὰ τὸ πορνεῦσαι αὐτήν, μετὰ ταῦτα πάντα πρός με ἀνάστρεψον, καὶ οὐκ ἀνέστρεψε; μὴ γὰρ ἕτερόν τι ζητῶ, ἢ παύσασθαι τῆς πονηρίας μόνον, καὶ στῆναι τῶν κακῶν; μὴ γὰρ ὑπὲρ τῶν παρελθόντων εὐθύνας ἀπαιτῶ, ἐὰν ἴδω μεταβάλλεσθαι βουλομένους; οὐ καθ' ἑκάστην ἡμέραν βοῶ λέγων, οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν; οὐ διὰ τοῦτο πάντα ποιῶ, ἵνα τῆς ἀπωλείας ἐξαρπάσω τοὺς ἐπὶ τῇ πλάνῃ προκατειλημμένους; μὴ γάρ, ἐὰν ἴδω μεταβαλλομένους, ὑπερτίθεμαι; οὐκ ἐγώ εἰμι ὁ λέγων, ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι; μὴ γὰρ οὕτως αὐτοὶ ἐπιθυμοῦσι τῆς ἑαυτῶν σωτηρίας, ὡς ἐμοὶ περισπούδαστόν ἐστιν ἅπαντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν; μὴ γὰρ διὰ τοῦτό σε ἀπὸ τοῦ μὴ ὄντος παρήγαγον, ἵνα ἀπολέσω; μὴ γὰρ εἰκῆ τὴν βασιλείαν καὶ τὰ μυρία καὶ ἀπόῤῥητα ἀγαθὰ ηὐτρέπισα; οὐχὶ διὰ τοῦτο καὶ γέενναν ἠπείλησα, ἵνα εἰς τὴν βασιλείαν ἅπαντας καὶ διὰ τούτου [illegible] παρασκευάσω; μὴ τοίνυν, ὦ μακάριε προφῆτα, ἐκείνους καταλιμπάνων, ἐμοὶ προσάγ[illegible] παράκλησιν,

A vt & ipſe ſcire queat immodicam Iudæorum peruerſitatem: & illi ſciant quòd nihil eis prodeſt propheta, niſi & ipſi quæ ſua ſunt proferre velint. Id ſcientes dilecti, confugiamus ad ſanctorum preces, & oremus vt pro nobis intercedant: ſed non illorum precibus tantum confidamus, ſed & ipſi noſtra, vt oportet diſpenſemus rectè & ad meliora ſemper conuertamur, vt locum demus orationi quæ pro nobis funditur. Hoc & ad alium prophetam dicit dominus omnium: Non vides quid ipſi faciunt? incendunt
B adipem, & placentas faciunt exercitui cœli: quaſi dicens ad eum: Pro illis me rogas, qui à peccato non deſiſtunt, qui carent ſenſu infirmitatis ſuæ qua laborant, ſed ſic abſque dolore ſunt affecti? Non vides ſummum eorum contemptum? non vides eorum magnam inſaniam quomodo nondum ſatientur impietate, ſed ſe volutent in ſuis iniquitatibus, quaſi ſus in luto? Nunquid ſi vellent conuerti, audirent cohortantes? Nónne ego ſum per prophetas Hier. 7. 17.
C clamans, & dicens: Et dixi poſtquam ipſa omnia hæc admiſit ſcortando, ad me conuertere, & non eſt conuerſa? Num aliud quæro, quàm vt quieſcat à peccato tantum, & ſiſtat mala? Num pro præteritis rationem exigo, ſi videam illos velle reſipiſcere? Nonne quotidie clamo, dicens: Nunquid voluntate volo mortem peccatoris, ſicut conuerti eum & viuere? Nónne propterea omnia facio, vt ab interitu eripiam eos qui ab errore præoccupati ſunt? Num ſi videam conuerſos, differo? Hier. 3. 7. Ezech. 18.33.
D Nónne ego ſum qui dico, Adhuc te loquente dicam, ecce adſum? Num ſic ipſi ſuæ ſalutis auidi ſunt vt ego, cui maximè peculiare eſt velle omnes homines ſaluos fieri, & ad agnitionem veritatis peruenire? Num enim vos ex nihilo produxi vt perdam? Num ſine cauſa regnum futurum, & innumera bona præparaui? An non propter hoc & gehennam minatus ſum, vt in regnum cœlorum huius metu intrare homines faciam? Ne igitur ô beate propheta illos relinquens, mihi afferas orationem: Eſaiæ 65.24. 1. Tim. 2.4.

ſed hoc tuo ſtudio facias, vt illorum morbus vincatur, & in ſenſum infirmitatis ſuæ, & ad ſanitatem ipſi reducantur, & mea omnino ſequentur. Neque enim moror, vel differo, quando video animam gratam: vnum enim tantum requiro, nempe vt confiteantur peccata, & ab eis abſtineant, & non vltrà infero pœnam peccatis. Num graue & moleſtum eſt quod à me proponitur? Niſi ſcirem deteriores fieri, quando priora peccata non confitentur, neque idipſum requirerem. Verùm quia ſcio hominum genus magis ad peccatum vergere: propterea volo vt confiteantur priora peccata, & confeſſione prohibeatur, ne in eadē recidant peccata. Hanc igitur, dilecti, domini benignitatem in animo verſantes, ne ſimus deſides: ſed magnam noſtri ipſorum geramus curam, & peccatorum maculas purgemus, atque ſic ſanctorum precibus nos commendemus. Nam ſi ſobrij eſſe voluerimus, & expergefacta atque ſtrenua mente etiam per nos ipſos orantes, plurimum nobis proderimus. Nam quoniam clemens eſt dominus noſter, non ſic annuit quum oratur ab aliis pro nobis, vt quum à nobis ipſis. Vide bonitatem eximiam: nam ſi viderit nos qui offendimus, & ignominioſi facti ſumus, nullámque habemus fiduciam, paululum excitari, & ad clementiæ ſuæ diuitias confugere volentes, ſtatim precibus annuit, & manum porrigit iacentibus & lapſos excitat, clamátque dicens: Nunquid qui cadit, non reſurget? Verum vt diſcatis etiam reipſa quomodo multi per ſemetipſos orantes id quod cupiebant aſſequi valuerunt, operæpretium fuerit eos, quibus id contigit, in medium producere, vt & nos imitemur, & ad æmulationem prouocemur. Audiamus igitur, quomodo Chananæa illa mulier quum eſſet alienigena, & anima valde cruciaretur: vbi vidit medicum animatum, & ſolem iuſtitiæ qui exortus eſt his, qui ſedent in tenebris, acceſſit ad eum feruida & alacri promptitudine: neque ideo ſegnior facta, quòd vel mulier, val alienigena eſſet: ſed omnibus impedimentis repulſis, vt acceſſit, inquit,

Pſal. 40. 9. & Eſaiæ 24. 20. & Hier. 8. 4.

A ἀλλ' ἐν σοὶ τοῦτο διὰ σπουδῆς ἔστω, ὥστε τῆς ἐκείνων νόσου περιγενέσθαι, καὶ εἰς αἴσθησιν ἀγαγεῖν τῆς ἀρρωστίας, καὶ πρὸς ὑγίειαν ἐπαναγαγεῖν, καὶ τὰ παρ' ἐμοῦ πάντως ἕψεται. οὐ γὰρ μέλλω, οὐδὲ ἀναβάλλομαι, ἐπειδὰν ἴδω ψυχὴν εὐγνώμονα. ἓν γὰρ μόνον ἐπιζητῶ, ὁμολογίαν τῶν ἐπταισμένων, καὶ οὐκ ἔτι τὴν ἐπὶ τοῖς ἐπταισμένοις δίκην ἐπάγω. μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς τὸ παρ' ἐμοῦ προτεινόμενον; εἰ μὴ ᾔδειν χείρους γινομένους, ἐκ τοῦ μὴ ὁμολογῆσαι τὰ πρότερα ἁμαρτήματα, οὐκ ἂν οὐδὲ τοῦτο ἐζήτουν· ἀλλ' ἐπειδὴ οἶδα τὸ τῶν ἀνθρώπων γένος μᾶλλον πρὸς κακίαν ῥέπον, διὰ τοῦτο βούλομαι τὰ B πρότερα ὁμολογῆσαι ἁμαρτήματα, ἵνα ἡ ὁμολογία κώλυμα αὖθις γένηται πρὸς τὸ τοῖς αὐτοῖς μὴ περιπεσεῖν. Ταῦτα τοίνυν, ἀγαπητοί, ἀναλογιζόμενοι καὶ ἐννοοῦντες τοῦ ἡμετέρου δεσπότου τὴν φιλανθρωπίαν, μὴ ῥαθυμῶμεν, ἀλλὰ πρότερον πολλὴν ἑαυτῶν τὴν ἐπιμέλειαν ποιώμεθα, καὶ τὸν ῥύπον τὸν ἀπὸ τῶν ἁμαρτημάτων ἐκκαθαίρωμεν, καὶ οὕτω ἐπὶ τὰς πρεσβείας τῶν ἁγίων σπεύδωμεν. ἐὰν γὰρ βουλώμεθα νήφειν καὶ ἐγρηγορέναι, καὶ δι' ἑαυτῶν παρακαλοῦντες τὰ μέγιστα ὀνησόμεθα. ἐπειδὴ γὰρ φιλάνθρωπός ἐστιν ὁ δεσπότης ὁ ἡμέτερος, C οὐχ οὕτω δι' ἑτέρων παρακαλούμενος ὑπὲρ ἡμῶν ἐπινεύει, ὡς δι' ἡμῶν αὐτῶν. ὅρα ἀγαθότητος ὑπερβολήν. ἐὰν ἴδῃ τοὺς προσκεκρουκότας ἡμᾶς, τοὺς ἠτιμωμένους, τοὺς μηδεμίαν παρρησίαν ἔχοντας, μικρὸν διεγερθέντας, καὶ ἐπὶ τὸν πλοῦτον τῆς φιλανθρωπίας αὐτοῦ καταφυγεῖν ἐθελήσαντας, εὐθέως ἐπινεύει ταῖς αἰτήσεσι, καὶ χεῖρα ὀρέγει κειμένοις, καὶ διανίστησι πεπτωκότας, καὶ βοᾷ λέγων· μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἀλλ' ἵνα μάθητε καὶ ἐξ αὐτῶν τῶν πραγμάτων, ὅτι πολλοὶ δι' ἑαυτῶν μᾶλλον παρακαλέσαντες ἴσχυσαν ἐπιτυχεῖν τῶν σπουδαζομένων, ἢ δι' ἑτέρων, D ἀναγκαῖόν ἐστι τοὺς ἐπιτυχόντας εἰς μέσον παραγαγεῖν, ἵνα καὶ ἡμεῖς μιμησώμεθα, καὶ εἰς ζῆλον διεγερθῶμεν. ἀκούσωμεν τοίνυν πῶς ἡ Χαναναία ἐκείνη γυνὴ κατάδικος οὖσα τὴν ψυχὴν καὶ ἀλλόφυλος, ἐπειδὴ εἶδε τὸν τῶν ψυχῶν ἰατρὸν, καὶ τὸν ἥλιον τῆς δικαιοσύνης ἀνατείλαντα τοῖς ἐν σκότει καθημένοις, ὅπως μετὰ θερμῆς καὶ ζεούσης προθυμίας τὴν πρόσοδον ἐποιήσατο, καὶ οὔτε τὸ γυναῖκα αὐτὴν εἶναι, οὔτε τὸ ἀλλόφυλον, ὀκνηροτέραν γενέσθαι παρεσκεύασεν, ἀλλὰ πάντα τὰ κωλύματα ταῦτα παρωσαμένη, προσελθοῦσά φησι·

ἐλέησόν με, κύριε, ὅτι ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ἀλλ' ὁ τὰ ἀπόρρητα τῆς διανοίας ἐπιστάμενος σιγᾷ καὶ οὐκ ἀποκρίνεται, οὐ λόγου μεταδίδωσιν, οὐδὲ οἰκτείρει τὸ γύναιον, ὁρῶν μετὰ τοσαύτης οἰμωγῆς προσελθοῦσαν, ἀλλὰ μακροθυμεῖ βουλόμενος τὸν λανθάνοντα θησαυρὸν ἐν τῇ γυναικὶ κατάδηλον ἅπασι ποιῆσαι. ᾔδει γὰρ τὸν κρυπτόμενον μαργαρίτην, ὃν οὐκ ἐβούλετο λαθεῖν ἡμᾶς, καὶ διὰ τοῦτο ἀναβάλλεται, καὶ οὐδὲ ἀποκρίσεως ἀξιοῖ, ἵνα ἡ πολλὴ τῆς γυναικὸς προσεδρία, διδασκαλία πᾶσι γένηται τοῖς μετὰ ταῦτα. καὶ ὅρα τοῦ θεοῦ τὴν ἄφατον ἀγαθότητα. αὐτὸς μὲν, φησιν, οὐκ ἀπεκρίνατο αὐτῇ, οἱ δὲ μαθηταὶ συμπαθέστεροι καὶ φιλανθρωπότεροι νομίζοντες εἶναι, οὐ τολμῶσι φανερῶς εἰπεῖν, παράσχου αὐτῇ τὴν αἴτησιν, ἐλέησον αὐτὴν, σπλαγχνίσθητι ἐπ' αὐτῇ· ἀλλὰ τί; ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν, μονονουχὶ λέγοντες, ἐλευθέρωσον ἡμᾶς τῆς ἐπηρείας· ἀπάλλαξον ἡμᾶς τῆς κραυγῆς τῆς παρ' αὐτῆς γινομένης. τί οὖν ὁ δεσπότης; νομίζετέ με, φησιν, εἰκῆ σεσιγηκέναι, καὶ μὴ ἀξιῶσαι αὐτὴν ἀποκρίσεως; ἀκούετε· οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. οὐκ ἴστε, φησὶν, ὅτι ἀλλόφυλός ἐστιν ἡ γυνή; οὐκ ἴστε ὅτι καὶ ὑμῖν ἤδη παρηγγύησα εἰς ὁδὸν ἐθνῶν μὴ ἀπελθεῖν; τίνος οὖν ἕνεκεν οὕτως ἀνεξετάστως τὴν συμπάθειαν ἐπιδείκνυσθε; σκόπει τὴν πολυμήχανον τοῦ θεοῦ σοφίαν. πῶς καὶ, ὅτε ἔδοξεν ἀποκρίνεσθαι, τῆς σιγῆς βαρύτερον καθικνεῖτο τῆς γυναικὸς, καὶ μονονουχὶ καιρίαν αὐτῇ δέδωκε τὴν πληγὴν, κατὰ μικρὸν αὐτὴν διεγείρειν βουλόμενος, ἵνα μάθωσιν ἀγνοοῦντες οἱ μαθηταὶ τὴν ἐγκεκρυμμένην ἐν αὐτῇ πίστιν. ἀλλ' οὐδὲ οὕτως ἐνάρκησεν, οὐδὲ ὀκνηροτέρα γέγονε θεασαμένη καὶ τοὺς μαθητὰς οὐδὲν πλέον ἀνύσαντας. καὶ οὐκ εἶπε πρὸς ἑαυτὴν, εἰ μηδὲ οὗτοι ἴσχυσαν δυσωπῆσαι τὴν ὑπὲρ ἐμοῦ ἱκεσίαν ποιησάμενοι, τίνος ἕνεκεν εἰκῆ καὶ μάτην προσεδρεύω; ἀλλὰ καθάπερ ὑπὸ πυρὸς φλεγομένη, καὶ ἐμπιπραμένη τὸν λογισμὸν, καὶ τὰ σπλάγχνα διακοπτομένη, προσῆσι προσκυνοῦσα καὶ λέγουσα, κύριε, βοήθει μοι. καὶ οὐδὲ οὕτως ἐπινεύει τῇ γυναικὶ, ἀλλ' ἀπόκρισιν ποιεῖται τῆς προτέρας βαρυτέραν. οὐκ ἔστι, φησὶ, καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἐννόησον, ἀγαπητὲ, καὶ θαύμασον ἐνταῦθα τῆς ψυχῆς αὐτῆς τὸν πόθον καὶ τὴν πίστιν τὴν ὑπερβάλλουσαν,

A Domine miſerere mei, quia filia mea male à dæmonibus torquetur. Verũ qui ſcit abſcondita cordium, tacet & non reſpondet, neque ſermone eam dignatur: neque miſeretur mulieri, quam videbat tanto cum eiulatu accedere: ſed differt, volens occultum mulieris theſaurum omnibus manifeſtum facere. Sciebat enim reconditam margaritam, quam latere nos nolebat: & idcirco differebat, & nec reſponſo dignabatur, vt poſteris omnibus mulieris ſedulitas magna foret doctrina. B Et vide ineffabilem Dei bonitatem. Ipſe enim, inquit, non reſpondebat ei. Diſcipuli autem, qui miſericordiores & maioris compaſſionis eſſe videbantur, non audent manifeſtè dicere, Da ei quod petit, miſerere ei, eſto ei clemens. Sed quid? Dimitte eam, quia clamat poſt nos, quaſi dicerent, libera nos à moleſtia, libera nos à clamore quẽ excitat. Quid igitur Dominus? Putatis me, inquit, abſque cauſa tacuiſſe, & reſponſo eam non fuiſſe di- C gnatum? audite, Non ſum miſſus, niſi ad oues quæ perierunt domus Iſraël. Neſcitis, inquit, quòd alienigena mulier eſt? neſcitis quòd & vobis iam præcepi, ne iretis in viam gentium? Quare igitur tam temerè compaſſionem erga eam declaratis? Conſidera multifariam Dei ſapientiam, quomodo & quum reſpondere videbatur, mulierem magis perſtringebat quàm ſilendo: & quaſi lethalem plagam dabat, prouocare paulatim eam volens, vt diſcerent ignorantes diſcipuli, quanta in ea lateret fides. Sed D neque ſic tardior negligentiórve facta eſt viſis diſcipulis nihil proficientibus, neque dixit intra ſemetipſam: Si non potuerunt illi dominum pro me exorare, quare ego fruſtra ſequerer, & continuò inſtarem? Sed quaſi ab igne calefacta & ſuccenſa ratione, viſceribúſque conturbatis, accedit adorans, & dicens, Domine adiuua me. Ille autem neque ſic adiuuat mulierem, ſed reſponſum dat ſuperiore grauius. Non eſt, inquit, bonum vt tollatur panis filiorum, & detur canibus. Conſidera dilecte, & animaduerte hic animæ eius deſiderium, & fidem eximiam.

Matth. 15. 22.

Ibidem.

Matth. 10. 6.

Vt audiuit ſe canem dici, non grauatim tulit, non retroceſſit: ſed magna ingenuitate inquit, Etiam domine: nam & catuli edunt de micis menſæ dominorum ſuorum. Confiteor, inquit, catulum me eſſe, igitur ſicut catulum dignare me micis menſæ. Vidiſti mulieris fidem & probitatem? Suſcepit quod dictum eſt, & ſtatim id pro quo ſollicitabat tanto ſtudio, obtinuit, obtinuitque magnis cum laudibus. Quid enim dicit Chriſtus? O mulier, magna eſt fides tua, fiat tibi ſicut vis. O mulier, admirationis verbum, & dictum laude plenum. Magnam, inquit, declaraſti fidem, propterea tanta tibi erũt, quanta vis. Vide liberalitatis amplitudinem, & admirare domini ſapientiam: an non ab initio putabamus, quum ſic repelleret eam compaſſione carere illum? Et primum quidem non dignabatur reſponſo, poſtea autem per primum & ſecundum reſponſum quaſi abigebat, & eam quæ cum tanto aduenerat deſiderio & feruore à comitatu ſegregabat. Verum à fine diſce Dei bonitatem, quòd volens eam clariorem fieri, tanta dilatione fuerit vſus. Equidem ſi ſtatim annuiſſet, neſciuiſſemus nos mulieris virtutem: quia autem parumper diſtulit, & domini cognouimus ineffabilem humanitatem, & illius fidem eximiam. Totam autem hanc hiſtoriam in medium afferre coacti ſumus, vt diſcamus quod non tantum perficimus per alios orantes, vt per noſipſos, ſi quidem cum alacri & vigili mente accedimus. Enimuerò illa & diſcipulos habens pro ſe orantes, nihil profecit, donec ipſa per ſe aſſiſteret, clementiam domini ſibi concilians.

Luc. 11. 8. Atque parabola illa amici intempeſta nocte venientis, & tres panes petentis, idem hoc ſignificat. Nam licet non exaudiat, eò quòd amicus ſit, attamen vel propter importunitatem, quum ſurrexit, ei dabit. Itaque quum videmus ineffabilem clementiam domini noſtri, accedamus ad eum, declaratis, & quaſi ante oculos noſtros propoſitis ſingulis peccatis noſtris, etiam pro præteritis peccatorum veniam petamus,

A ὅτι κυνάριον ἀκούσασα οὐκ ἐδυσχέρανεν, οὐκ ἀπεπήδησεν, ἀλλὰ μετὰ πολλῆς εὐγνωμοσύνης φησί· ναί κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῆς τραπέζης τῶν κυρίων αὐτῶν. ὁμολογῶ, φησί, κυνάριον εἶναι. ὡς κυνάριον οὖν με ἀξίωσον τῶν ψιχίων τῆς τραπέζης. εἶδες γυναικὸς πίστιν καὶ εὐγνωμοσύνην; κατεδέξατο τὸ εἰρημένον, καὶ παραχρῆμα ἐπέτυχε τοῦ σπουδαζομένου, καὶ ἐπέτυχε μετὰ πολλῶν τῶν ἐγκωμίων. τί γάρ φησιν ὁ Χριστός; ὦ γύναι, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις. ὦ γύναι· θαυμαστοῦ τὸ ῥῆμα, ἐπαίνου πολλοῦ γέμον τὸ εἰρημένον. μεγάλην, φησίν, B ἐπεδείξω τὴν πίστιν· διὰ τοῦτο τοσαῦτά σοι ὑπάρξει, ὅσα θέλεις. ὅρα φιλοτιμίας δαψίλειαν, καὶ θαύμασον τοῦ δεσπότου τὴν σοφίαν. ἆρα οὐκ ἐν προοιμίοις ἐνομίζομεν ἀσυμπαθῆ τινα αὐτὸν εἶναι, οὕτω διακρουόμενον, καὶ πρότερον μὲν οὐδὲ ἀποκρίσεως ἀξιοῦντα τὸ γύναιον; μετὰ δὲ ταῦτα καὶ διὰ τῆς προτέρας καὶ διὰ τῆς δευτέρας ἀποκρίσεως μονονουχὶ ἀπελαύνοντα, καὶ τὴν μετὰ τοσούτου πόθου προσελθοῦσαν ἀποσοβοῦντα; ἀλλ' ἐκ τοῦ τέλους κατάμαθε τοῦ θεοῦ τὴν ἀγαθότητα, ὅτι βουλόμενος αὐτὴν περιφανεστέραν ἐργάσασθαι, διὰ C τοῦτο τῇ μακροθυμίᾳ ἐχρήσατο. εἰ μὲν γὰρ εὐθέως ἐπένευσεν, οὐκ ἂν ἔγνωμεν ἡμεῖς τῆς γυναικὸς τὴν ἀρετήν· ἐπειδὴ δὲ μικρὸν ἀνεβάλλετο, καὶ τοῦ δεσπότου ἔγνωμεν τὴν ἄφατον φιλανθρωπίαν, κἀκείνης τὴν πίστιν τὴν ὑπερβάλλουσαν. ταύτην δὲ πᾶσαν τὴν ἱστορίαν εἰς μέσον παραγαγεῖν ἠναγκάσθημεν, ἵνα μάθωμεν, ὅτι οὐχ οὕτω δι' ἑτέρων παρακαλοῦντες ἀνύομεν, ὡς αὐτοὶ δι' ἑαυτῶν, ἐπειδὰν μετὰ θερμότητος προσίωμεν καὶ διεγηγερμένης διανοίας. ἰδοὺ γὰρ αὕτη καὶ τοὺς μαθητὰς ἔχουσα ὑπὲρ αὐτῆς ἱκετεύοντας οὐδὲν πλέον ἀνύσαι ἠδυνήθη, D μέχρις ὅτε αὐτὴ δι' ἑαυτῆς προσμείνασα τὴν φιλανθρωπίαν ἐπεσπάσατο τοῦ δεσπότου. καὶ παραβολὴ δὲ ἐκείνη τοῦ φίλου τοῦ ἀωρὶ τῆς νυκτὸς παραγινομένου, καὶ τοὺς τρεῖς ἄρτους αἰτοῦντος, τὸ αὐτὸ αἰνίττεται. εἰ γὰρ καὶ μὴ διὰ τὸ φίλος αὐτοῦ εἶναι, φησιν, ὑπακούσῃ αὐτῷ, διά γε τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει. εἰδότες τοίνυν τὴν ἄφατον φιλανθρωπίαν τοῦ ἡμετέρου δεσπότου προσίωμεν αὐτῷ, δεικνύντες, καὶ μονονουχὶ πρὸ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων προτιθέντες κατ' εἶδος ἕκαστον τῶν ἡμῖν πεπλημμελημένων, καὶ τὴν ὑπὲρ τῶν παρελθόντων συγχώρησιν αἰτοῦντες,

ἵνα καὶ εἰς τὸ ἑξῆς πολλὴν τὴν ἀκρίβειαν ἐπιδειξάμενοι πλείονα τὴν παρ' αὐτοῦ εὔνοιαν ἐπισπασώμεθα. Ἀλλ' ἐπανέλθωμεν, εἰ δοκεῖ, ἐπὶ τὴν ἀκολουθίαν τοῦ ἀναγνώσματος. ἀνέβη δὲ, φησι, Λὼτ εἰς Σηγώρ, καὶ ἐκάθητο ἐν τῷ ὄρει, καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ. ἐφοβήθησαν γὰρ οἰκῆσαι ἐν Σηγώρ· καὶ ᾤκησεν ἐν τῷ σπηλαίῳ αὐτὸς, καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ. ἐναπακμάζοντα ἔχων ἔτι τὸν φόβον τῆς τιμωρίας τῆς ἐπαχθείσης τοῖς κατὰ τὰ Σόδομα, πόρρωθεν ἄπεισιν ὁ δίκαιος, καὶ εἰς τὸ ὄρος, φησὶ, κατοικεῖ μετὰ τῶν θυγατέρων, καὶ ἐν ἐρημίᾳ ἐσχάτῃ καὶ μονώσει λοιπὸν ἐτύγχανε μετὰ τῶν δύο θυγατέρων ἐν τῷ ὄρει κατοικῶν. εἶπε δὲ, φησιν, ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ. δεῦρο, καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον, καὶ κοιμηθῶμεν μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν σπέρμα ἐκ τοῦ πατρὸς ἡμῶν. μετ' εὐλαβείας καὶ φόβου πολλοῦ ἀκούωμεν, ἀγαπητοὶ, τῶν ἐν ταῖς θείαις γραφαῖς κειμένων. οὐδὲν γὰρ ἁπλῶς καὶ εἰκῇ γέγραπται, ἀλλὰ πάντα συμφερόντως καὶ πρὸς ὠφέλειαν ἡμετέραν, κἂν ἡμεῖς ἔνια ἀγνοῶμεν. οὐ γὰρ ἅπαντα δυνάμεθα μετ' ἀκριβείας εἰδέναι, ἀλλ' εἰ καὶ αἰτίας πειρώμεθα τινὰς ἀποδιδόναι κατὰ τὸ ἡμῖν ἐφικτὸν, ἀλλ' ὅμως καὶ οὕτως ἔχει ἐγκεκρυμμένον τινὰ θησαυρὸν πολὺ ἀπόκρυφόν τε καὶ δυσερμήνευτον. σκόπει τοίνυν, πῶς ἡ γραφὴ πάντα σαφῶς διηγησαμένη, καὶ τὸν σκοπὸν ἡμῖν γνωρίσασα τῶν τοῦ δικαίου θυγατέρων, νῦν μὲν ὑπὲρ αὐτῶν ἀρκοῦσαν ἀπολογίαν ποιεῖται, νῦν δὲ ὑπὲρ τοῦ δικαίου, ἵνα μηδεὶς ἀφορῶν πρὸς τὸ γεγονὸς μήτε τοῦ δικαίου καταγνοίη, μήτε τῶν αὐτοῦ θυγατέρων, ὡς δι' ἀσέλγειαν τῆς μίξεως ταύτης γεγενημένης. πῶς οὖν ὑπὲρ τῶν θυγατέρων τοῦ δικαίου ἀπολογεῖται; εἶπε, φησιν, ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ. ὅρα τὸν σκοπὸν μετ' ἀκριβείας, καὶ πάντως αὐτὰς ἀπαλλάξεις ἐγκλήματος. ἐνόμισαν γὰρ πανωλεθρίαν γεγενῆσθαι, καὶ μηδένα ἔτι καταλελεῖφθαι. εἶτα καὶ τοῦ πατρὸς ἑώρων τὸ γῆρας. ἵν' οὖν, φησι, μὴ ἀφανισθῇ τὸ γένος, καὶ ἀνώνυμοι γενώμεθα. τοῦτο γὰρ ἦν τὸ παλαιοῖς περισπούδαστον, ὥστε διὰ τῆς τῶν ἐκγόνων διαδοχῆς ἐκτείνεσθαι αὐτῶν τὸ γένος. ἵνα οὖν, φησι, μὴ παντελῆ τὸν ἡμῶν ἀφανισμὸν ὑπομείνω-

A Vt in futurum maiori diligentia viuentes, vberiorem eius gratiam aſſequamur. Verùm redeamus, ſi placet, ad lectionis ſeriem. [30] *Aſcendit autem,* inquit, *Loth in Segor, & ſedit in monte, & duæ filiæ eius cum eo. Timuerunt enim habitare in Segor, & habitauit in ſpelunca ipſe, & duæ filiæ eius cum eo.* Iuſtus inualeſcente adhuc timore, quem conceperat à plaga Sodomis introducta. procul abit, & in monte, inquit, habitat cum filiabus ſuis: & in ſolitudine & vaſtitate extrema poſt-
B ea fuit cum filiabus, in monte habitans. [31] *Dixit autem,* inquit, *maior natu ad iuniorem: Pater noſter ſenex eſt, & nullus eſt ſuper terram qui ingrediatur ad nos, vt congruit vniuerſæ terræ:* [32] *veni, & potemus patrem noſtrum vino, & dormiamus cum eo, & excitemus ſemen ex patre noſtro.* Cum reuerentia & timore multo audiamus ea, quæ in diuinis ſcripturis continentur: non enim temerè & abſque cauſa ſcripta ſunt, ſed omnia vtiliter & nobis pro-
C ficua, etiam ſi nos quædam ignoremus. Non enim omnia poſſumus euidēter ſcire: ſed ſi & cauſas attentauerimus reddere pro noſtro captu, habent tamen adhuc latentē quendam theſaurum, à multis abſconditum, nec inueſtigabilem. Conſidera igitur quomodo ſcriptura omnia manifeſtè narrarit, & nobis ſcopum ac finem oſtenderit filiarum iuſti: & nunc quidem pro illis, nunc verò pro iuſto dignam ſatisfactionem afferens: vt nullus ad factum reſpi-
D ciens, vel iuſtum condemnet, vel iuſti filias, quaſi congreſſus ille propter incontinentiam fuerit. Quomodo igitur pro filiabus ſatisfacit? Dixit, inquit, maior natu ad iuniorem: Pater noſter eſt ſenex, & nullus eſt ſuper terram, qui ingrediatur ad nos, iuxta morem vniuerſæ terræ. Vide ſcopum diligenter, & omni eas liberabis crimine. Putauerunt generalem totius orbis factum interitū, nullúmque amplius ſuperſtitem: deinde & patris viderūt ſenectutem. Vt igitur, inquit, non aboleatur genus, & pereat nomen noſtrum. Hæc enim erat priſcorū maxima cura, quomodo genus ſuum liberorū ſucceſſione dilatarent: proinde dicit, Ne ergo, inquit noſtri generis tota fiat abolitio,

præſertim iam ſenio patre confecto: & nullus inueniatur vir qui nobis iungatur, vt poſſimus extẽdere & relinquere ſeminis noſtri propagationem: veni, inquit, vt ne hoc fiat, potemus patrem noſtrum vino. Quaſi dicere velit, quia nũquam ferret vel auribus hoc pater, vino decipiamus eum. [33] *Potauerunt autem patrem ſuum vino nocte iſta, & ingreſſa eſt ſenior, & dormiuit cum patre ſuo: & neſciuit quando illa accubuerit, vel ſurrexerit.* Vidiſti quomodo diuina ſcriptura & pro iuſto rationẽ dederit ſemel atque iterum? & prius quidem, quòd filię vino ei impoſuerint, declarauit: & quòd non aliter potuerint perſuadere patri, quàm ſic faciendo: nunc autem opinor & ſuperna diſpenſatione eſſe factum, ita fuiſſe eum aggrauatũ vino, vt omnino ignoraret, ne ſcilicet fieret criminum reus. Ea enim peccata nos condemnant, quæ ſcientes & voluntariè facimus. Vides quomodo teſtimoniũ prębet iuſto ſcriptura, quòd omnino factum neſcierit? Verum iterum quæſtio ſurgit de ebrietate. Oportet enim omnia inueſtigare, vt nulla rudibus & impudentibus calũniãdi relinquatur occaſio. Quid igitur & de hac dicemus? Nõ tam ex ebrietate vel incontinẽtia hæc facta ſunt, quam ex triſtitia. Nullus igitur audeat aut iuſtũ, aut iuſti filias condẽmnare. Quomodo enim non eſſet extremæ dementiæ & deſipientię, vt eos quos diuina ſcriptura ab omni liberat crimine, imò pro quibus tantã apologiam componit, nos innumeris peccatis pleni condẽnaremus, & non audiremus Paulum dicentem: Deus qui iuſtificat, quis eſt qui condẽnat? Et vt diſcas, quòd hoc non in vanum & ſimpliciter factum ſit, ſed triſtitiæ nimietas accedente vino nullum ei reliquerit ſenſum, audi quid dicat: [34] *Et factũ eſt die ſequenti, dixítque maior natu ad iuniorẽ: Ecce dormiui heri cum patre noſtro: potemus igitur eum vino & nocte iſta, & ingreſſa dormi cum eo, & excitemus ex patre noſtro ſemen.* Vides quomodo recta ſententia hoc faciebãt? Nã, quia potui, inquit, ego quod quærebam implere, neceſſarium eſt, & te idem facere: fortè enim votorũ noſtrorum compotes erimus, & non in æternum genus noſtrum peribit.

Queſtio de ebrietate Loth.

Rom. 8. 33.

A τοῦ μὲν πατρὸς πρὸς γῆρας ἐλάσαντος, οὐδενὸς δὲ ὑπολειπομένου ἀνδρὸς, ᾧ συγγενόμεναι δυνησόμεθα ἐκπαιδεῦσαι, καὶ καταλιπεῖν τοῦ σπέρματος διαδοχὴν, δεῦρο, φησὶν, ἵνα μὴ τοῦτο γένηται, ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον. ἐπειδὴ οὐκ ἄν ποτε, φησὶν, ἀνάσχοιτο οὐδὲ ἀκοῇ τοῦτο παραδέξασθαι ὁ πατὴρ, διὰ τοῦ οἴνου τὴν ἀπάτην ἐργασώμεθα. ἐπότισαν δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ταύτῃ, καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς, καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὴν, καὶ ἀναστῆναι. εἶδες πῶς καὶ ὑπὲρ τοῦ δικαίου ἀπελογήσατο ἡ θεία γραφὴ, οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον; πρότερον μὲν B γὰρ ἐξ ὧν αἱ θυγατέρες τὴν διὰ τοῦ οἴνου ἀπάτην εἰργάσαντο, ἔδειξεν ὡς οὐκ ἂν ἑτέρως ἠδυνήθησαν πεῖσαι τὸν πατέρα τοῦτο καταδέξασθαι· νυνὶ δὲ λοιπὸν οἶμαι καὶ οἰκονομίας εἶναι τῆς ἄνωθεν τὸ γεγονὸς, ὥστε τοσοῦτον αὐτῷ κάρον ἐγγενέσθαι, ὡς πάντη ἀγνοῆσαι, ἵνα ἀνεύθυνος γένηται τοῦ ἐγκλήματος. τὰ γὰρ ἁμαρτήματα ἐκεῖνα ἡμᾶς κατακρίνει καὶ καταδικάζει, ἅπερ ἂν εἰδότες καὶ ἑκόντες ἁμαρτάνωμεν. ὁρᾷς δὲ τὴν γραφὴν μαρτυροῦσαν τῷ δικαίῳ, ὅτι ὅλως οὐκ ᾔδει τὸ γεγονός; ἀλλὰ πάλιν ἕτερον ἀνακύπτει ζήτημα τὸ τῆς μέθης. δεῖ γὰρ πάντα διερευνᾶσθαι, ὥστε μηδεμίαν καταλιπεῖν C τοῖς ἀγνώμοσι καὶ ἀναισχύντοις ἀφορμήν. τί οὖν καὶ περὶ τούτου εἴπωμεν; ὅτι οὐ τοσοῦτον ἐξ ἀκρασίας τὰ τῆς μέθης αὐτῷ γέγονεν, ὅσον ἀπὸ ἀθυμίας. μηδεὶς τοίνυν τολμάτω ἢ τοῦ δικαίου ποτὲ καταψηφίσασθαι, ἢ τῶν τούτου θυγατέρων. πῶς γὰρ οὐκ ἂν εἴη μανίας ἐσχάτης καὶ παραφροσύνης, οὓς ἡ θεία γραφὴ πάντως ἀπήλλαξεν ἐγκλήματος, μᾶλλον δὲ ὑπὲρ ὧν τοσαύτην ἀπολογίαν συνέθηκεν, ἡμᾶς τοὺς μυρίοις ἁμαρτημάτων φορτίοις πεπληρωμένους καταδικάζειν, καὶ μὴ ἀκούειν Παύλου λέγοντος, θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; καὶ ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς οὐδὲ D εἰκῆ τοῦτο γέγονεν, ἀλλ' ἡ ὑπερβολὴ τῆς ἀθυμίας μετὰ τῆς τοῦ οἴνου προσθήκης οὐδεμίαν αὐτῷ αἴσθησιν συνεχώρησε γενέσθαι, ἄκουσον τί φησιν. ἐγένετο δὲ τῇ ἐπαύριον, καὶ εἶπεν ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ἰδοὺ, ἐκοιμήθην χθὲς μετὰ τοῦ πατρὸς ἡμῶν, ποτίσωμεν οὖν αὐτὸν οἶνον καὶ τὴν νύκτα ταύτην, καὶ εἰσελθοῦσα κοιμήθητι μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. ὁρᾷς πῶς ἐξ ὀρθῆς γνώμης τοῦτο ἐποίουν. ἐπειδὴ γὰρ ἠδυνήθην, φησὶν, ἐγὼ τὸ σπουδαζόμενόν μοι πληρῶσαι, ἀναγκαῖον καί σε τὸ αὐτὸ διαπράξασθαι. ἴσως γὰρ εἰς ἔργον ἡμῖν ἐκβήσεται τὰ τῆς προσδοκίας, καὶ οὐκ εἰς τέλος τὸ γένος ἡμῶν

ἀφανισθήσεται. ἐπότισαν δὲ καὶ τῇ νυκτὶ ἐκείνῃ τὸν πατέρα αὐτῶν οἶνον, καὶ εἰσελθοῦσα ἡ νεωτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς. καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὴν, καὶ ἀναστῆναι. σκόπησον, ἀγαπητὲ, ὅτι τὸ πᾶν τῆς τοῦ θεοῦ οἰκονομίας ἦν ἔργον τὸ γεγονὸς, ὥσπερ ἐπὶ τοῦ πρωτοπλάστου. καθάπερ γὰρ ἐκεῖ καθεύδοντος αὐτοῦ ἐκ τῆς πλευρᾶς μέρος λαβὼν οὐδεμίαν αἴσθησιν αὐτῷ συνεχώρησε γενέσθαι, ἀλλὰ τὴν πλευρὰν ἐκείνην εἰς γυναῖκα διαπλάσας προσήγαγε τῷ Ἀδάμ· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν. εἰ γὰρ ἡ τῆς πλευρᾶς ἀφαίρεσις, ἐπειδὴ τὴν ἔκστασιν αὐτῷ ὁ θεὸς ἐπήγαγεν, ἀνεπαισθήτως γέγονε, πολλῷ μᾶλλον νῦν τοῦτο αὖ ἐγένετο. ὥσπερ γὰρ εἶπεν ἐκεῖ ἡ θεία γραφὴ, ὅτι ἐπέβαλεν ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε, τοῦτο καὶ ἐνταῦθα ἐσήμανε διὰ τοῦ εἰπεῖν, ὅτι οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι, καὶ ἀναστῆναι. καὶ συνέλαβον, φησιν, ἐκ τοῦ πατρὸς αὐτῶν, καὶ ἔτεκεν ἡ πρεσβυτέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωάβ, λέγουσα, ἐκ τοῦ πατρός μου. οὗτος πατὴρ Μωαβιτῶν. ἔτεκε δὲ καὶ ἡ νεωτέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀμμὰν, λέγουσα, υἱὸς τοῦ γένους μου. οὗτος πατὴρ Ἀμμανιτῶν. ὁρᾷς πῶς οὐκ ἀσελγείας ἦν τὸ γεγονὸς, ὅτι παραχρῆμα καὶ τὰς προσηγορίας τοῖς τεχθεῖσιν ἐπέθεσαν μηνύουσαι τὸ γεγενημένον, καὶ μονονουχὶ καθάπερ ἐν στήλῃ τινὶ τοῖς τῶν παιδίων ὀνόμασιν ἐναποτιθέμεναι τοῦ γεγονότος τὴν μνήμην, καὶ ἤδη προμηνύουσαι, ὅτι ἔθνη ἐξ αὐτῶν ἔσται, καὶ εἰς πλῆθος ἐκταθήσεται τῶν τεχθέντων τὸ γένος; ὁ μὲν γὰρ, φησιν, ἔσται πατὴρ Μωαβιτῶν, ὁ δὲ, πατὴρ Ἀμμανιτῶν. ἀλλὰ τότε μὲν, ἐπειδὴ ἀρχὴ καὶ προοίμια ἦν, καὶ διὰ τῆς τῶν γενῶν διαδοχῆς τὴν μνήμην αὐτοῖς ἐβούλοντο διατηρεῖσθαι, τοσαύτην σπουδὴν τοῦ δικαίου αἱ θυγατέρες ἐποιήσαντο. νυνὶ δὲ, ἐπειδὴ διὰ τὴν τοῦ θεοῦ χάριν τὰ τῆς εὐσεβείας ἐπιδέδωκε, καὶ κατὰ τὸν μακάριον Παῦλον, παράγει λοιπὸν τὸ σχῆμα τοῦ κόσμου τούτου, τὴν διὰ τῆς τῶν ἀγαθῶν πράξεως ἔργων μνήμην ἑαυτοῖς καταλιμπάνωμεν, ἵνα καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν, ἡ τῆς ἀρίστης ἡμῶν πολιτείας ἀκρίβεια, ὑπόμνησις καὶ διδασκαλία γένηται τοῖς εἰς ἡμᾶς ὁρῶσιν. οἱ γὰρ ἐνάρετοι, καὶ τὸν σώφρονα βίον μετιόντες οὐκ ἐν τῇ ζωῇ ταύτῃ μόνον τυγχάνοντες, τὰ μέγιστα τοὺς εἰς αὐτοὺς ὁρῶντας ὠφελεῖν δύνανται, ἀλλὰ καὶ μετὰ τὴν τοῦ βίου πάροδον. καὶ ἵνα μάθῃς, ὅρα μοι πόσος ἐτῶν ἀριθμὸς παρῆλθε μέχρι τῆς σήμερον,

Ηθικόν.

35 *Potauerunt autem & nocte illa patrem ſuum vino, & ingreſſa eſt iunior, & dormiuit cum patre ſuo. Et ignorauit ille quando ipſa vel accubuerit, vel ſurrexerit.* Cõſidera dilecte, quòd totum factum fuerit diuina diſpenſatione, ſicut & homini primigenio euenit. Nam ſicut illic ex dormientis latere portio ſumpta eſt, eo non ſentiente: ſed qui finxerat latus illud, inde vxorẽ Adæ produxit: ſimili modo & nunc. Nam ſi coſtæ ereptio, exceſſu mẽtis à Deo immiſſo, abſque illius ſenſu fuit: multó magis & quod nunc eſt factum. Nam id quod dixit illic diuina ſcriptura, quòd immiſit ecſtaſim in Adam, & dormiuit: hoc & hîc ſignificauit, dicendo, Neſciuit quando vel accubuerit, vel ſurrexerit. 36 *Et conceperunt*, inquit, *de patre ſuo.* 37 *Et peperit maior natu filium, & vocauit nomen eius Moab: dicens, Ex patre meo. Hic pater eſt Moabitarum.* 38 *Peperit autem & iunior filium, & vocauit nomen eius Amman: dicens, Filius generis mei. Hic eſt pater Ammanitarum.* Vides quòd non fuerit incontinentiæ opus, cum nomina ſtatim natis indiderint, quibus factum ſignificabant, & in filiorum nominibus quaſi in columna quadam memoriam facti inſcribebant: & iam tum præſignabant quòd gentes ex eis futuræ eſſent, & in multitudinem ſe propagaturum natorum genus? Nam ille quidem, inquit, pater erit Moabitarum, iſte autem Ammanitarum. Verùm tunc quidem, quoniam origo & initia erant, & per generis ſucceſſionem memoriam ſuam volebant conſeruare: tantum eius rei ſtudium fuit iuſti filiabus. Nunc autem quia per gratiam Dei religio maiora ſumpſit incrementa, & iuxta beatum Paulum, Præterit figura mundi huius, opera bona agendo, memoriam noſtri relinquamus: vt quum hinc migrauerimus, vitæ noſtræ diligens & accurata conuerſatio ſit monimentum & doctrina omnibus qui in nos ſpectant. Nam qui virtute præditi ſunt, & caſtam vitam ducunt: non ſolum quum in hac vita ſunt, ſed & poſt vitæ exitum, plurimum prodeſſe poterunt his qui in ſe reſpexerint. Et vt diſcas, vide obſecro quantus annorum numerus tranſiit,

Geneſ. 2. 21.

Moralis exhortatio.

1. Cor. 7. 31.

& vſque in hodiernum diem, quoties voluerimus aliquos in æmulationem continentiæ prouocare, Ioſeph in medium afferimus: ſpecioſum, formoſum, adoleſcentem, in ipſo ætatis flore tantam caſtitatis conſtantiam præ ſe ferentem: & ſic ad imitationem iuſti huius auditores prouocare ſtudemus. Quis enim non admiraretur beatum illum, qui in ſeruitute exiſtens, & in ipſo flore ætatis, quando maximè fornax concupiſcentiarum accenditur, quum videret dominam ſuam ſe inuadentem, & inſanientem in ſe, tantam oſtendit fortitudinem, & ita ad caſtitatis agones ſe exercuit, vt ab intemperata illa muliere nudus quidem veſtibus profugeret, caſtitatis autem indumentum ſeruaret? Licebátque videre rem nouam & admirabilem, agnum in lupi, imò leænæ vngues incidiſſe, & ſaluari potuiſſe. Et ſicut columba aquilæ damnum
Dan.3. effugit, ita & iuſtus ab illius manibus euaſit. Non ſic admirabile mihi videtur eſſe, tres pueros illos in medio Babylonicæ fornacis ignem viciſſe, illæſis eorum corporibus: vt mirabile & rarum eſt, quòd iuſtus iſte, qui in fornacem hanc Babylo-
Collatio Ioſephi continentiæ cù Babylonica fornace. nica multo grauiorem, in incontinentiam inquam Ægyptiæ incidit, & intactus permanſit, puróque caſtitatis indumento ſeruato, exiit. Et ne mireris dilecte: quia enim quod ſuum erat attulit, habuit ſupernam gratiam comitem, quæ incendium illud reſtingueret, & in media fornace rorem ſpiritus daret. Vidiſtis quomodo virtute præditi, & quum hîc adhuc ſunt ac præſentes, & poſt migrationem ex hac vita magnæ vtilitatis authores nobis ſunt? Atque ob eam cauſam & iuſtum illum in medium adduximus vt eum omnes ſequamur. Hunc igitur omnes imitemur, & concupiſcentias noſtras vincamus, ſcientéſque quòd non
Epheſ. 6.12. eſt nobis pugna aduerſus ſanguinem & carnem: ſed aduerſus principatus & poteſtates, aduerſus mundi rectores tenebrarum huius ſeculi, ſic noſipſos armemus, & cogitantes quòd corpore circumdati, aduerſus incorporeas virtutes certare cogimur, muniamur armis ſpiritus.

A καὶ ὁσάκις ἂν βουληθείημεν εἰς τὸν τῆς σωφροσύνης ζῆλόν τινας ἐναγαγεῖν, τὸν Ἰωσὴφ εἰς μέσον ἄγοντες, τὸν εὐειδῆ, τὸν καλὸν, τὸν νέον, τὸν ἐν αὐτῇ τῇ ἀκμῇ τῆς ἡλικίας τοσαύτην ἀνδρείαν περὶ τὴν σωφροσύνην ἐπιδειξάμενον, οὕτω πρὸς τὴν μίμησιν τοῦ δικαίου τοὺς ἀκούοντας διεγείρειν σπουδάζομεν. τίς γὰρ ἂν, εἰπέ μοι, κατ' ἀξίαν θαυμάσειε τὸν μακάριον τοῦτον, ὅτι ἐν δουλείᾳ τυγχάνων, καὶ ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, ὅτε καὶ μάλιστα ἡ κάμινος ἐπὶ πλέον ἐξάπτεται τῶν ἐπιθυμιῶν, ὁρῶν τὴν αὐτοῦ δέσποιναν ἐπιπηδῶσαν αὐτῷ καὶ ἐπιμαινομένην, τοσαύτην ἐπεδείξατο τὴν ἀν-
B δρείαν, καὶ οὕτω πρὸς τοὺς τῆς σωφροσύνης ἀγῶνας ἀπεδύσατο, ὡς τῆς ἀκολάστου γυναικὸς ἐκείνης γυμνὸς μὲν τῶν ἱματίων ἀποπηδῆσαι, τὸ δὲ τῆς σωφροσύνης ἔνδυμα περιβαλέσθαι; καὶ ἦν ἰδεῖν πρᾶγμα καινὸν καὶ παράδοξον, ἀρνίον ταῖς τοῦ λύκου χερσὶν ἐμπεσὸν, μᾶλλον δὲ τῆς λεαίνης, καὶ διασωθῆναι δυνηθὲν, καὶ καθάπερ περιστερὰν τοῦ ἱέρακος διαφυγοῦσαν τὴν βλάβην, οὕτω τὸν δίκαιον τῶν ἐκείνης ἀποδράντα χειρῶν. οὐχ οὕτω θαυμαστὸν εἶναί μοι δοκεῖ, τὸ τοὺς τρεῖς παῖδας ἐκείνους ἐν μέσῃ τῇ καμίνῳ τῇ Βαβυλωνίᾳ ἐκείνῃ τοῦ πυ-
C ρὸς ἀνωτέρους γενέσθαι, καὶ μηδὲν πλέον τὰ σώματα αὐτῶν παθεῖν, ὡς θαυμαστὸν καὶ παράδοξον τὸν δίκαιον τοῦτον εἰς τὴν κάμινον ταύτην τὴν τῆς Βαβυλωνίας χαλεπωτέραν ἐμπεπτωκότα, τὴν ἀσέλγειαν λέγω τῆς Αἰγυπτίας, ἀνέπαφον διαμεῖναι, καὶ καθαρὸν τῆς σωφροσύνης τὸ ἔνδυμα διατηρήσαντα οὕτως ἐξελθεῖν. καὶ μὴ θαυμάσῃς, ἀγαπητέ. ἐπειδὴ γὰρ τὰ παρ' ἑαυτοῦ εἰσήνεγκεν, εἶχε καὶ τὴν ἄνωθεν ῥοπὴν αὐτῷ συμπαροῦσαν, καὶ τὴν πυρὰν ἐκείνην κατασβεννύουσαν, καὶ ἐν μέσῃ τῇ καμίνῳ τὴν δρόσον τὴν παρὰ τοῦ πνεύματος χαριζομένην. εἴδετε
D πῶς οἱ ἐνάρετοι καὶ ἐνταῦθα παρόντες, καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν ὠφελείας ἡμῖν ὑποθέσεις γίνονται; διὰ γὰρ τοῦτο τὸν δίκαιον τοῦτον εἰς μέσον νῦν περιηγάγομεν, ἵνα τούτῳ πάντες ἑπώμεθα· τοῦτον οὖν ἅπαντες ζηλώσωμεν, καὶ ἀνώτεροι τῶν ἡδονῶν γενώμεθα, καὶ εἰδότες, ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, οὕτως ἑαυτοὺς καθοπλίζωμεν· καὶ ἐννοοῦντες ὅτι σῶμα περικείμενοι, πρὸς ἀσωμάτους δυνάμεις πυκτεύειν ἀναγκαζόμεθα, φραττώμεθα τοῖς ὅπλοις τοῦ πνεύματος,

A διὰ γὰρ τοῦτο ὁ φιλάνθρωπος δεσπότης, ἐπειδὴ σάρκα περικείμενοι πρὸς τὰς ἀοράτους δυνάμεις τὴν πάλην ἔχομεν, καὶ τὰ ὅπλα ἡμῖν ἀόρατα κατεσκεύασεν, ἵνα τῇ δυνάμει τῶν ὅπλων περιγινώμεθα τῆς φύσεως τῶν ἀντιπάλων. θαρροῦντες τοίνυν τῇ τῶν ὅπλων δυνάμει, τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ δυνησόμεθα τῇ πανοπλίᾳ ταύτῃ τῇ πνευματικῇ φραττόμενοι, αὐτὴν τοῦ διαβόλου συγκόψαι τὴν ὄψιν. οὐδὲ γὰρ ἐνεγκεῖν δύναται τὴν ἐντεῦθεν ἀστραπήν, ἀλλά, κἂν ἐπιχειρήσῃ στῆναι ἐξ ἐναντίας, εὐθέως ἀποτυφλοῦται τὰς ὄψεις. ἔνθα γὰρ ἂν ἡ σωφροσύνη, καὶ σεμνότης, καὶ πολλὴ τῶν ἄλλων ἀρετῶν ἡ σύνοδος, ἐκεῖ καὶ ἡ τοῦ πνεύματος χάρις μετὰ δαψιλείας
B ἐφίπταται. διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν, εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν. ἐκκαθάρωμεν τοίνυν ἑαυτῶν, παρακαλῶ, τὸ συνειδός, καὶ ἀποσμήξωμεν ἡμῶν τὸν λογισμόν, ἵνα πάσης ῥυπαρᾶς ἐννοίας ἀπηλλαγμένοι τοῦ πνεύματος τὴν χάριν ἐπισπασώμεθα, καὶ τῶν τοῦ διαβόλου περιγινώμεθα μηχανημάτων, καὶ καταξιωθῶμεν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀπολαῦσαι, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας
C τῶν αἰώνων· ἀμήν.

Ὁμιλία με.

Καὶ ἐκίνησεν ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς Λίβα, καὶ ᾤκησεν ἀναμέσον Κάδης, καὶ ἀναμέσον Σοὺρ, καὶ παρῴκησεν ἐν Γεράροις.

Χαίρω ὁρῶν ὑμᾶς συντρέχοντας ἐπὶ τὴν ἀκρόασιν, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς δεχομένους τὴν παρ' ἡμῶν διδασκαλίαν, καὶ διὰ τοῦτο καὶ αὐτὸς μετὰ πλείονος τῆς προθυμίας καθ'
D ἑκάστην ἡμέραν ὑμῖν τὴν πτωχὴν ἡμῶν ταύτην καὶ εὐτελῆ τράπεζαν παρατιθέναι σπουδάζω. ἡ γὰρ ἐπιτεταμένη ὑμῶν ὄρεξις ἀποκρύπτει τῆς τραπέζης τὴν εὐτέλειαν, καὶ τὰ μικρὰ μεγάλα ποιεῖ φαίνεσθαι. τοῦτο καὶ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων ἔστιν ἰδεῖν. ὥσπερ γὰρ ὁ κεκορεσμένους λαβὼν τοὺς δαιτυμόνας, κἂν μεγάλα καὶ πολυτελῆ παραθῇ τὰ ἐδέσματα, ὁ τῶν ἑστιωμένων κόρος ὑποτέμνεται τῶν παρατεθέντων τὴν πολυτέλειαν, καὶ τὰ μεγάλα πολλάκις οὐδενὸς ἄξια λόγου φαίνεται, διὰ τὸ μὴ μεθ' ἡδονῆς προσβάλλειν αὐτοῖς τοὺς ἑστιωμένους. οὕτως ὁ πεινῶντας καὶ ὄρεξιν ἔχοντας παραλαβὼν τοὺς ἑστιᾶσθαι μέλλοντας,

A Propter hoc enim benignus dominus, quia carne veſtiti ſumus, & eſt nobis aduerſus inuiſibiles virtutes certamen, inuiſibilia nobis præparauit arma, vt auxilio armorum naturæ aduerſarios expugnemus. Bene igitur fidentes armis, quod à nobis eſt afferamus, & poterimus hac ſpirituali armatura muniti, ipſam diaboli faciem ferire. Neque enim ferre poterit fulgorem, qui inde egreditur, ſed etſi conetur ſtare ex aduerſo, excæcabitur. Vbi enim continentia & honeſtas, aliarúmque virtutum concurſus: illuc & larga ſpiritus gratia
B aduolat: quapropter & Paulus dicebat, Pacem ſectemini cum omnibus, & ſanctificationem. Rom. 12. 18. Hebr. 12. 14. Purificemus igitur, obſecro, conſcientias noſtras, & extergamus mentem noſtram: vt omni mala cogitatione liberati, ſpiritus gratiam nobis conciliemus, ſuperemúſque diaboli machinationes, vnde mereamur ineffabilibus illis bonis frui, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit gloria, nunc, & ſemper, & in ſecula ſeculorum,
C Amen.

HOMILIA. XLV.

Et mouit illinc Abraham in terram verſus Africū, & habitauit inter Cades & inter Sur, & peregrinus fuit in Geraris. Gen. 20. 1.

QVONIAM frequentes vos in auditorio, magna cū voluptate doctrinam noſtram ſuſcipere video, gaudeo, & in dies maiori alacritate pauperem hanc noſtram & tenuem menſam vobis
D proponere ſtudeo. Veſtra enim ciborum immodica appetentia, menſæ noſtræ vilitatem obtegit, paruáque facit vt magna appareant: id quod & in ſenſibilibus eduliis videre licet. Nam ſicut cum magna ſumptuoſáque fercula apponuntur, præcedens conuiuarum ſatietas facit, vt aliquid decedat ſplendori appoſitorum: & magna nonnunquam nullius videantur momenti, eò quòd conuiuæ abſque edendi auiditate aduenerunt: ita contrà qui ſuſceperunt famelicos & eſurientes,

licet illis tenuem proponant menſam, ſplendida tamen apparebit conuiuis, multa cum voluptate atque auiditate appoſita comedentibus. Sic & nos bene fiſi ſpirituali veſtro appetitu, non grauamur pauperem & vilem hanc menſam veſtræ charitati continuè apponere. Hoc & ſapiens quidam dicebat: Melius eſt conuiuium olerum cum charitate, quàm bos de præſepio cum odio. Quo docet, charitatem aliter videre appoſita, illiúſque oculis vilia apparere ſumptuoſa, & parua magna. Quid igitur beatius nobis qui apud tot auditores, támque feruenti & ſollicita charitate præditos diſſerimus? Nihil enim tantopere dicenti neceſſarium eſt, vt auditoris beneuolentia. Quandoquidem cùm videt auditores feruere deſiderio, firmatur & ipſe: & ſæpe robur, vt ita dicam, accipit, ſciens quòd quantò ſumptuoſiorem menſam ſpiritualem proponit, tantò & abundantiæ ſuæ magis accedit. Secus enim ſe habent ſenſibilia, quàm ſpiritualia. Illic enim menſæ largitas ſumptum facit, & conuiuium exhibentis imminuit ſubſtantiam: hîc autem omnino aliter. quantò plures enim ſunt participes, tantò plus ſubſtantiæ noſtræ accreſcit. Neque enim noſtra dicimus, ſed ea quæ in veſtram vtilitatem Dei gratia per ſuam benignitatem ſuppeditat. Agè igitur, quia tanta acceditis alacritate & frequentia, iterum iam lecta indagabimus, faciemúſque vt & quod hîc eſt lucrum, percipiamus. Nam quia iuxta magnam exhortationem Chriſti, dicentis, Scrutamini ſcripturas, theſaurus magnus in ſcripturis eſt reconditus, & in profunditate latens: idcirco ſcrutatione opus, vt cùm didicerimus virtutem quæ in profundo latet, multam inde vtilitatem accipere queamus. Etenim propterea iuſtorum omnium virtutes, Spiritus ſancti gratia & diſpenſatione ſcripturis ſunt traditæ, vt nos continuam habentes doctrinam, ad æmulationem & imitationem iuſtorum vitam noſtram inſtituamus. Audiamus igitur diuinam ſcripturam, quid & hodie nobis de patriarcha narrare velit.

Prou. 15. 17.

Auditoris beneuolétia neceſſaria.

Ioan. 5. 36.

A κἂν εὐτελῆ παραθῇ τὴν τράπεζαν, μεγάλη αὐτὴ φανεῖται μετὰ πολλῆς τῆς ἡδονῆς καὶ τῆς προθυμίας προσφερομένων τὰ παρατιθέμενα τῶν ἑστιωμένων. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς θαῤῥοῦντες ὑμῶν τῇ ὀρέξει τῇ πνευματικῇ οὐκ ὀκνοῦμεν, κἂν εὐτελῆ καὶ πτωχὴν ἔχοντες τράπεζαν, ταύτην παρατιθέναι συνεχῶς τῇ ὑμετέρᾳ ἀγάπῃ. τοῦτο καὶ σοφός τις ἔλεγε, κρείσσων ξενισμὸς λαχάνων μετὰ ἀγάπης, ἢ βοῦς ἀπὸ φάτνης μετὰ ἔχθρας· δεικνὺς ὅτι ἡ ἀγάπη ἑτέρως ὁρᾷ τὰ παρατιθέμενα, καὶ τοῖς ἐκείνης ὀφθαλμοῖς καὶ τὰ εὐτελῆ πολυτελῆ δείκνυται, καὶ τὰ μικρὰ, μεγάλα. τί οὖν B ἂν εἴη μακαριώτερον ἡμῶν ἐπὶ τοσούτων ἀκροατῶν διαλεγομένων, οὕτω θερμὴν καὶ διεγηγερμένην κεκτημένων ἀγάπην; οὐδενὸς γὰρ οὕτω μάλιστα δεῖ τῷ λέγοντι, ὡς εὐνοίας ἀκροατοῦ. ὅταν γὰρ ἴδῃ τὴν προθυμίαν ζέουσαν τῶν ἀκροατῶν, νευροῦται καὶ αὐτὸς, καὶ πολλὴν, ὡς εἰπεῖν, τὴν ἰσχὺν προσλαμβάνει, εἰδὼς ὅτι ὅσῳ ἂν πλείονα παραθῇ τὴν τράπεζαν ταύτην τὴν πνευματικὴν, τοσούτῳ τὰ τῆς εὐπορίας αὐτῷ αὔξεται. ἀπ' ἐναντίας γὰρ τοῖς αἰσθητοῖς τὰ πνευματικά. ἐκεῖ μὲν γὰρ ἡ δαψίλεια τῆς τραπέζης δαπάνην ἐργάζεται, καὶ C τὴν οὐσίαν ἐλαττοῖ τοῦ ἑστιάτορος· ἐνταῦθα δὲ ἅπαν τοὐναντίον, ὅσῳ ἂν πλείους ὦσιν οἱ μετέχοντες, τοσούτῳ αὔξεται ἡμῖν τὰ τῆς περιουσίας. οὐδὲ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλ' ἅπερ ἂν ἡ τοῦ θεοῦ χάρις διὰ τὴν οἰκείαν φιλανθρωπίαν, καὶ τὴν ὑμετέραν οἰκοδομὴν χορηγήσῃ. φέρε οὖν, ἐπειδὴ μετὰ τοσαύτης ἡδονῆς καὶ προθυμίας τῇ ἀκροάσει προσβάλλετε, πάλιν τῶν προσφάτως ἡμῖν ἀναγνωσθέντων ἔρευναν ποιήσωμεν, καὶ τὸ ἐντεῦθεν κέρδος καρπωσώμεθα. ἐπειδὴ γὰρ κατὰ τὴν μεγάλην παραίνεσιν τοῦ Χριστοῦ λέ- D γοντος, ἐρευνᾶτε τὰς γραφάς· θησαυρός ἐστι πολὺς ἐναποκείμενος ταῖς γραφαῖς, καὶ ἐν τῷ βάθει κρυπτόμενος, διὰ τοῦτο ἐρεύνης χρεία, ἵνα τὴν δύναμιν τὴν ἐν τῷ βάθει κρυπτομένην καταμαθόντες πολλὴν ἐκεῖθεν τὴν ὠφέλειαν εὑρεῖν δυνηθῶμεν. διὰ γὰρ τοῦτο καὶ τὰς ἀρετὰς τῶν δικαίων ἁπάντων ἡ τοῦ πνεύματος χάρις γραφῇ παραδοθῆναι ᾠκονόμησεν, ἵνα ἡμεῖς ἔχωμεν διηνεκῆ διδασκαλίαν, καὶ πρὸς ζῆλον καὶ μίμησιν τῶν δικαίων τὸν ἑαυτῶν βίον οἰκονομῶμεν. ἀκούσωμεν τοίνυν τῆς θείας γραφῆς, τί καὶ σήμερον ἡμῖν περὶ τοῦ πατριάρχου διηγήσασθαι βούλεται.

καὶ ἐκίνησε, φησίν, ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς Λίβα, καὶ ᾤκησεν ἀναμέσον Κάδης καὶ ἀναμέσον Σούρ, καὶ παρῴκησεν ἐν Γεράροις. καὶ ἐκίνησε φησιν ἐκεῖθεν. πόθεν ἐκίνησεν; ἀπὸ τοῦ τόπου ἔνθα ἦν ἐσκηνωμένος, ὅπου καὶ τὸν τῶν ἁπάντων δεσπότην μετὰ τῶν ἀγγέλων ὑποδέξασθαι κατηξιώθη. ἐκεῖθέν, φησι, κινήσας παρῴκησεν ἐν Γεράροις. ὅρα τῶν δικαίων τὴν διαγωγήν, ὅπως ἦν συνεσταλμένη καὶ ἀπέριττος, ὅπως μετ' εὐκολίας τὰς μεταναστάσεις ἐποιοῦντο, καὶ καθάπερ οἱ πάροικοι καὶ παρεπίδημοι, οὕτω τὸν ἑαυτῶν B βίον ᾠκονόμουν, καὶ ποτὲ μὲν ὧδε, ποτὲ δὲ ἐκεῖ τὰς σκηνὰς ἐπήγνυντο, καθάπερ ἐν ξένῃ διάγοντες· οὐ καθάπερ ἡμεῖς ποιοῦμεν, τὴν ξένην ὡς πατρίδα οἰκοῦντες, καὶ οἰκίας οἰκοδομοῦντες λαμπράς, καὶ στοὰς καὶ περιπάτους, καὶ ἀγροὺς κεκτημένοι, καὶ λουτρὰ κατασκευάζοντες, καὶ ἕτερα μυρία. ἀλλ' ὅρα τὸν δίκαιον καὶ ἐν τοῖς οἰκογενέσι μόνοις καὶ τοῖς ποιμνίοις τὴν οὐσίαν ἅπασαν κεκτημένον, καὶ οὐδαμοῦ ἱστάμενον, ἀλλὰ ποτὲ μὲν εἰς τὴν Βεθὴλ τὴν σκηνὴν πηγνύντα, ποτὲ δὲ παρὰ τὴν δρῦν τὴν Μαμβρῆ, καὶ ποτὲ μὲν εἰς C Αἴγυπτον κατιόντα, νυνὶ δὲ ἐν Γεράροις κατασκηνοῦντα, καὶ πάντα μετ' εὐκολίας ὑπομένοντα, καὶ τὴν εὐγνωμοσύνην τὴν πρὸς τὸν οἰκεῖον δεσπότην διὰ πάντων σαφῶς ἐπιδεικνύμενον. καὶ μετὰ τοσαύτας ὑποσχέσεις καὶ ἐπαγγελίας τὰς παρὰ τοῦ θεοῦ εἰς αὐτὸν γεγενημένας, ὁρῶν ἑαυτὸν τοσαύταις περιστάσεσι κυκλούμενον, καὶ ποικίλοις καὶ διαφόροις πειρασμοῖς ἐμπίπτοντα, καθάπερ ἀδάμας τις ἀπερίτρεπτος, εἱστήκει τὴν φιλόθεον αὐτοῦ γνώμην δεικνύς, καὶ οὐδενὶ τῶν ἐν τῷ μέσῳ κωλυμάτων νωθρότερος γινόμενος. D ὅρα γὰρ καὶ νῦν, ἀγαπητέ, οἷος αὐτὸν πειρασμὸς εἰς τὰ Γέραρα καταλαμβάνει, καὶ θαύμασον τοῦ δικαίου τῆς ἀρετῆς τὴν ἀνδρείαν, ὅπως ὃ πᾶσιν ἀφόρητον, καὶ ὃ οὐδὲ ἀκοῇ τις παραδέξασθαι ἀνάσχοιτο, τοῦτο ἔστιν ὑπέμεινεν, οὐ δυσχεραίνων, οὐδὲ ἀπαιτῶν εὐθύνας τῶν γινομένων τὸν δεσπότην, καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων ποιοῦσι, καὶ ταῦτα μυρίοις ἁμαρτημάτων φορτίοις πιεζόμενοι, ἐπειδὰν δυσχερέσι τισὶ περιπέσωσιν, εὐθέως πολυπραγμονοῦντες καὶ περιεργαζόμενοι λέγουσι, διὰ τί τὸ καὶ τὸ συνέβη; καὶ τίνος ἕνεκεν τόδε συνεχωρήθη; ἀλλ' οὐχ ὁ δίκαιος οὕτως· διὸ καὶ πλείονος ἀπήλαυσε τῆς ἄνωθεν ῥοπῆς.

A *Et mouit*, inquit, *illinc Abraham in terram verſus Africum, & habitauit inter Cades & inter Sur, & peregrinus fuit in Geraris.* Cap.20. Et mouit, inquit, illinc. Vnde mouit? à loco vbi tabernaculum fixerat; vbi & vniuerſi conditorem cum angelis ſuſcipere ei conceſſum fuit. Illinc, inquit, vt mouit & profectus eſt, peregrinus fuit in Geraris. Vide iuſtorum conuerſationẽ, quàm contracta illis fuerit & minimè ſuperuacua ſupellex: quomodo facilè transmigrabant, vitámque ſuam inſtituebant ſicut peregrini & aduenæ: & nunc hîc, nunc illic tabernacula erigebant, quaſi peregrè degentes non ſicut nos facimus, habitantes in aliena terra quaſi in patria, & domus extruimus ſplendidas, & veſtibula, & deambulacra, & villas poſſidemus, & balnea facimus, aliáque plurima. Sed vide quomodo iuſtus ſubſtantiam ſuam in vernaculis tantum & pecoribus poſſidens, & nunquam in eodem loco ſtans: & aliquando quidem in Bethel figit tabernacula, aliquando autem apud quercum Mambre, aliquando in Ægyptum deſcendit, nunc autem in Geraris tabernaculum figit, & omnia facilè ſuſtinet, & gratitudinem erga ſuum dominum per omnia manifeſtè declarat: & poſt tantas promiſſiones quæ ei à Deo factæ erant, videns ſe in tantis verſari difficultatibus, & in diuerſas ac multijugas tentationes incidere, quaſi adamas immotus perſiſtit: piámque ſuam mentem oſtendens, nullis obſtaculis fiebat negligentior. Vide enim & nunc dilecte, qualis tentatio eum in Geraris inuadit, & admirare fortitudinem & virtutem iuſti, quomodo quod omnibus intolerabile, & quod neque auribus ſuſcipere quis vellet, hoc ipſe ſuſtinuit: non ægrè ferens, neque exigens à domino rationem eorum quæ fiebant, ſicut plerique homines faciunt, híque innumeris peccatorum ſarcinis preſſi. Nam cùm in difficultates quaſdam inciderint, ſtatim obmurmurant, & curioſius inquirunt, & dicunt: Quare hoc & hoc euenit? & quare hoc permiſſum eſt? At iuſtus ille non ſic: vnde & amplius ſupernum auxilium eſt conceſſum.

Iuſtorũ ſuppellex qualis.

Hoc enim verè grati ſerui fuerit, vt nunquam obmurmuret, & curioſior ſit in his quæ à domino fiunt, ſed in ſilentio & gratitudine ſuſcipiat omnia. Et animaduerte, quomodo etiam per illas ipſas quæ ſequuntur tentationes, iuſti virtus magis emicuit, Deo clarum illum ſemper oſtēdente. Nam ſicut quando in Ægyptum deſcendit, vt ignotus & peregrinus, & nulli agnitus, ſubito magno cum honore inde rediit: ita & nunc, cùm peregrinus eſſet in Geraris, in ipſis quidem initiis quod ſuum erat fecit: poſtea verò tanto Dei ſubſidio munitus eſt, vt & rex & omnes qui in ea regione habitabant, omni ſtudio miniſtrare iuſto ſtuderent. *Dixit autem*, inquit, *Abraham de Sarra vxore ſua, ſoror mea eſt. Timuit enim dicere, vxor mea eſt: ne fortè occiderent eum viri ciuitatis propter illam.* Vide quomodo à violentiſſimis affectionibus anima iuſti impugnetur, & timor eum inceſſat. Et quàmuis prior timor, ne mulierem amittat, grauis fuerit: timor tamen mortis illum expulit. Vt enim hunc effugeret, ſuſtinuit ſuis oculis videre, vt ſocia vitæ ſuæ in regis manus incideret. Quàm ſit autem hoc toleratu difficile, ſciunt qui vxores habent. Vnde & ſapiens quidam dicebat: Plenus zelo furor viri eius, non parcet in die iudicij, nullo precio mutabit inimicitias. Verum graue hoc, & omnibus intolerabile, vide quomodo propter mortis metum ille tulit. Hoc ſanè & in corporalibus affectionibus contingere ſolet: ſi quando duo morbi ſimul infeſtant corpus noſtrum, vnius incrementum tegit aliud, & totos nos ille grauior dolor ſibi vindicat, ita vt ſæpe minorem dolorem à maiori diſtracti, non ſentiamus. Eodem modo iuſtus quoque ille nunc videns vrgere dolorem mortis, omnia acerba toleranda cenſebat. Cæterum hæc audiens dilecte, ne condemnes iuſtum ob puſillanimitatem, quòd mortem timuerit: ſed potius admirare conditorem vniuerſi, qui tantæ erga nos eſt benignitatis, vt mortem iuſtis illis & ſanctis tunc terribilem, eandem nunc ita contemptibilem fecerit Chriſtus,

Zelotypia quā intolerabilis.

Prou. 6. 32.

A τοῦτο γὰρ ἀληθῶς εὐγνώμονος οἰκέτου, μηδὲν τῶν ὑπὸ τοῦ δεσπότου γινομένων πολυπραγμονεῖν, ἀλλὰ σιγῇ πάντα καταδέχεσθαι, καὶ μετὰ πολλῆς τῆς εὐχαριστίας. καὶ σκόπει πῶς καὶ διʼ αὐτῶν τῶν παρακολουθούντων πειρασμῶν ἡ τοῦ δικαίου ἀρετὴ μᾶλλον ἐξέλαμπε, τοῦ θεοῦ φανερὸν αὐτὸν διὰ πάντων δεικνύντος. ὥσπερ γὰρ ἡνίκα εἰς τὴν Αἴγυπτον κατῆλθεν, ὡς ἄγνωστος καὶ ξένος καὶ οὐδενὶ γνώριμος, ἀθρόον μετὰ πολλῆς τῆς τιμῆς ἐκεῖθεν ἐπανῄει· οὕτω καὶ νῦν παροικήσας ἐν Γεράροις, ἐν μὲν τοῖς προοιμίοις τὰ παρʼ ἑαυτοῦ ἐπιδείκνυται· μετὰ δὲ ταῦτα τοσαύτης ἀπολαύει τῆς παρὰ τοῦ θεοῦ συμμαχίας, ὡς καὶ τὸν B βασιλέα, καὶ τοὺς αὐτόθι πάντας οἰκοῦντας περὶ τὴν θεραπείαν τοῦ δικαίου πᾶσαν ἐπιδείκνυσθαι τὴν σπουδήν. εἶπε δέ, φησιν, Ἀβραὰμ περὶ Σάρρας τῆς γυναικὸς αὐτοῦ, ἀδελφή μού ἐστιν. ἐφοβήθη γὰρ εἰπεῖν, ὅτι γυνή μού ἐστι, μή ποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως διʼ αὐτήν. ὅρα πῶς ὑπὸ τυραννικωτάτων παθῶν ἐπολιορκεῖτο ἡ τοῦ δικαίου ψυχή, καὶ ὁ φόβος αὐτὸν ἐξωθεῖτο. ἀλλὰ καίτοι σφόδρα χαλεπὸν ὄντα τὸν πρότερον φόβον, τὸν τῆς προδοσίας τῆς γυναικός, περιωθεῖτο ὁ τοῦ θανάτου φόβος. ἵνα γὰρ τοῦτον διαφύγῃ, ὑπέμεινεν ὁρᾶν C τοῖς οἰκείοις ὀφθαλμοῖς τὴν κοινωνὸν αὐτοῦ τοῦ βίου ὑπὸ ταῖς τοῦ βασιλέως χερσὶ γινομένην. ὅσον δὲ τοῦτό ἐστιν ἀφόρητον, ἴσασιν ὅσοι γυναῖκας ἔχουσι. διὰ τοῦτο καὶ σοφός τις ἔλεγε, μεστὸς ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως, οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν. ἀλλὰ τὸ βαρὺ τοῦτο, καὶ πᾶσιν ἀφόρητον ὅρα πῶς διὰ τὸν τοῦ θανάτου φόβον γενναίως ὁ δίκαιος ἤνεγκε. τοῦτο δὲ καὶ ἐπὶ τῶν σωματικῶν παθῶν συμβαίνειν ἔθος. ἐπειδὰν γὰρ δύο κατὰ ταυτὸ πάθη πολιορκῇ τὸ σῶμα τὸ ἡμέτερον, ἡ τοῦ ἑνὸς ἐπίτασις ἀποκρύπτει τὸ ἕτερον, καὶ ὅλοι D τῆς ὀδύνης ἐκείνης γινόμεθα, καὶ πολλάκις οὐδὲ αἴσθησιν τοῦ ἑτέρου λαμβάνομεν, τῆς πολλῆς ὀδύνης περισπώσης ἡμᾶς, καὶ οὐκ ἀφιείσης τοῦ ἐλάττονος πάθους πεῖραν λαβεῖν. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος νῦν ὁρῶν τοῦ θανάτου τὸν φόβον ἐπικείμενον, πάντα τὰ λοιπὰ φορητὰ ἡγεῖτο. ἀλλὰ ταῦτα ἀκούων, ἀγαπητέ, μὴ καταγνῷς τοῦ δικαίου μικροψυχίαν, εἰ τὸν θάνατον ἐδεδοίκει· ἀλλὰ θαύμασον τοῦ πάντων ἡμῶν δεσπότου τὴν ὑπερβάλλουσαν περὶ ἡμᾶς φιλανθρωπίαν, ὅτι τὸν θάνατον τὸν τοῖς δικαίοις ἐκείνοις καὶ ἁγίοις τότε φοβερὸν, τοῦτον νῦν εὐκαταφρόνητον εἰργάσατο ὁ Χριστός,

καὶ ὃν ἐδεδοίκεισαν οἱ ἐνάρετοι ἐκεῖνοι καὶ τοσαύτην παῤῥησίαν πρὸς τὸν θεὸν ἐσχηκότες, τοῦτον νῦν καταγελῶσι καὶ νέοι καὶ κόραι ἁπαλαί. οὐδὲ γὰρ θάνατός ἐστι λοιπὸν, ἀλλ' ὕπνος καὶ ἀποδημία καὶ μετάστασις ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω. ὁ γὰρ θάνατος τοῦ δεσπότου τὴν ἀθανασίαν ἡμῖν ἐδωρήσατο, καὶ κατελθὼν εἰς τὸν ᾅδην ἐξέλυσεν αὐτοῦ τὰ νεῦρα, καὶ τὴν ἰσχὺν αὐτοῦ καθεῖλε, καὶ τὸν φοβερὸν πρὸ τούτου καὶ ἀμείλικτον, τοῦτον οὕτως εὐκαταφρόνητον εἰργάσατο, ὡς καὶ ἐπιπηδᾶν τινας καὶ ἐπείγεσθαι πρὸς τὴν ἐντεῦθεν μετάστασιν. διὰ τοῦτο καὶ Παῦλος βοᾷ λέγων, τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον. ἀλλὰ ταῦτα μὲν νῦν μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, μετὰ τὸ συγκλασθῆναι τὰς πύλας τὰς χαλκᾶς, μετὰ τὸ πανταχοῦ τῆς οἰκουμένης τὸν ἥλιον τῆς δικαιοσύνης ἐκλάμψαι. τότε δὲ ἔτι φοβερὰν εἶχε τὴν πρόσοψιν, καὶ κατέσειε τῶν δικαίων ἐκείνων ἀνδρῶν τὴν διάνοιαν. διὸ καὶ πάντα τὰ ἄλλα κούφως ἔφερον, κἂν ἀφόρητα ἐτύγχανεν ὄντα. διὰ τοῦτο καὶ ὁ δίκαιος οὗτος φοβούμενος τῶν ἐν Γεράροις οἰκούντων τὴν ἐπιβουλὴν, οὐχ ὡς γυναῖκα, ἀλλ' ὡς ἀδελφὴν ἐπαγόμενος, οὕτω τὴν ἐνταῦθα παροίκησιν ποιεῖται. καὶ καθάπερ εἰς τὴν Αἴγυπτον κατελθεῖν αὐτὸν συνεχώρησεν ὁ θεὸς, βουλόμενος καὶ τοὺς ἀγνώμονας ἐκείνους καὶ ἀναισθήτους τοῦ δικαίου μαθεῖν τὴν ἀρετὴν, οὕτω καὶ ἐνταῦθα τὴν οἰκείαν μακροθυμίαν ἐπιδείκνυται ὁ δεσπότης, ἵνα καὶ τοῦ δικαίου ἡ ὑπομονὴ διὰ πάντων ἐκλάμψῃ, καὶ ἡ τοῦ Θεοῦ περὶ αὐτὸν εὔνοια πᾶσι κατάδηλος γένηται. ἀπέστειλε δὲ Ἀβιμέλεχ ὁ βασιλεὺς Γεράρων λαβεῖν τὴν Σάῤῥαν. ἐννόησόν μοι τὸν χειμῶνα τῶν λογισμῶν, ὧν ὑπέμεινεν ὁ δίκαιος ὁρῶν αὐτοῦ τὴν γυναῖκα ἀπαγομένην, καὶ οὐδὲν δυνάμενος ἐπαμῦναι. σιγῇ γὰρ ἅπαντα ἔφερεν, εἰδὼς ὅτι οὐ περιόψεται αὐτὸν ὁ δεσπότης, ἀλλὰ ταχεῖαν παρέξει τὴν συμμαχίαν. καὶ τῆς Σάῤῥας δὲ θαυμάσαι ἔστι τὴν πολλὴν φιλοστοργίαν, πῶς τοῦ κινδύνου τοῦ θανάτου τὸν δίκαιον ἐξαρπάσαι βουλομένη· ἐξῆν γὰρ αὐτὴν ἐκκαλύψασαν τὸ δρᾶμα διαφυγεῖν τὴν ὁμολογουμένην ὕβριν· ὑπέμεινεν ἅπαντα γενναίως, ἵνα τοῦ δικαίου τὴν σωτηρίαν πραγματεύσηται, καὶ ἐπληρώθη ἐκεῖνο τὸ εἰρημένον, ὅτι ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὥσπερ γὰρ μία σὰρξ ὄντες, οὕτω τῆς ἀλλήλων σωτηρίας ἐκήδοντο, καὶ τοσαύτην ἐπεδείκνυντο τὴν ὁμόνοιαν, ὡς ἓν σῶμα τυγχάνοντες καὶ μία ψυχή.

A vt quam formidabant illi virtute clari, & tanta erga Deum fiducia freti, nunc derideant & iuuenes, & teneræ virgines. Nihil enim aliud mors eſt vltrà quàm ſomnus & peregrinatio, & tranſmigratio à deterioribus ad meliora. Mors enim Domini immortalitatem nobis donauit, & vt deſcendit in infernum, diſſoluit eius neruos, & robur deſtruxit: & quod antea terribile erat & & implacabile, hoc nunc contemptibile fecit, adeò vt & nonnulli exiliant & feſtinent, cùm hinc eſt migrandum. Proinde & Paulus clamat,

Mors nihil eſt vltra quam ſomnus.

B dicens: Diſſolui, & cum Chriſto eſſe multò melius. Verum hæc quidem nunc poſt Chriſti aduẽtum, poſtquã confractæ ſunt portæ inferni æreæ, poſtquam ſol iuſtitiæ vbique terrarum affulſit. Tunc autem terribilem adhuc habebat faciem, concutiebátque iuſtorum illorũ virorum mentẽ: ideo & omnia alia ferebant leuiter, etiam quæ intolerabilia eſſe videbãtur. Hinc eſt quòd & iuſtus ille, timens eorũ qui in Geraris habitabãt, inſidias, domicilium ibi habuerit: nõ

Philipp. 1.23.

C vt vxorem, ſed vt ſororem ſecum habens: ita nũc in hac regione peregrinus degit. Et ſicut cùm in Ægyptum eum deſcendere permiſit Deus, volẽs & rudes illos & inſenſatos diſcere iuſti virtutem: ita & hîc differt Dominus, vt iuſti patientia in omnibus eluceat, fiátque Dei in ipſum beneuolentia manifeſta omnibus. [2] *Miſit autem Abimelex rex Gerarorum, vt acciperent Sarram.* Cogita hîc quæſo tempeſtatem cogitationum quam tulit iuſtus, videns vxorem ſuam abduci, & ſe nihil poſſe iuuare eam. Silenter

D enim ferebat omnia, ſciens quòd ſe non eſſet deſpecturus Dominus, ſed acceleratum adhibiturus ſubſidium. Admirabilis quoque Saræ charitas eſt, quæ periculo mortis iuſtum eripere voluit. Poterat enim ipſa detegendo factum, certam contumeliam effugere: ſed pertulit omnia fortiter, vt viro ſalutem pararet. Et impletum eſt illud dictum, Erunt duo in carnem vnam. Tanquam enim vna eſſent caro, ita mutuæ ſalutis curam viciſſim agebant; & tantam declarabant concordiam, quaſi vnum eſſent corpus, & vna anima.

Geneſ. 2.24.

A Audiant hæc viri, audiant & mulieres: & iſtæ quidem vt eandem erga ſuos viros charitatem declarent, & nihil aliud illorum præferant ſaluti: viri autem erga vxores habeant beneuolentiam, & quaſi vnam animam & vnum corpus poſſiderent, omnia faciant. Hoc enim verum eſt coniugium, quando tanta inter eos eſt cōcordia, quando vinculo charitatis ita ſunt concatenati. Sicut enim corpus nunquam à ſemetipſo diſſidet, neque anima aduerſus ſeipſam: ita virum & mulierem non conuenit diſſidere, ſed vnitos eſſe. Tunc enim bona infinita ſibi coaceruare poterunt. B Vbi enim concordia, ibi bonorum confluxus, ibi pax, ibi charitas, ibi ſpiritualis lætitia: nullum bellum, nulla rixa: nuſquam inimicitiæ & contentio: ſed hæc omnia è medio tolluntur per concordiam, bonorum omnium radicem, quæ omnia illa ſimul abolet. [2] *Miſit autem Abimelech rex Gerarorum, & accepit Sarram.* [3] *Et intrauit Deus ad Abimelech in ſomno noctu, & dixit: Ecce tu morieris propter vxorem quam abſtuliſti: iſta autem cohabitatrix fuit viro.* C Vide Dei clementiam: quomodo, quia vidit propter metum mortis, Sarræ ablationem fortiter ferre, & regem eam vt ſororem iuſti abducere: ſuam poſtea declarat prouidentiam, iuſtum quoque illuſtriorem reddit, & Sarram ab iniuria, regem verò à peccato liberat. Et intrauit, inquit, Deus ad Abimelech in ſomno noctu. Per ipſum, inquit, ſomni tempus, eripere eum volens ab iniquitate, dedit menti eius ſcientiam, & occulta manifeſtauit, multùmque metum auxit interminando mortem. D Morieris enim, inquit, propter mulierem quam abſtuliſti: iſta autem cohabitatrix fuit viro. [4] *Abimelech autem non tetigerat illam.* Hæc autem omnia facta ſunt, vt Dei promiſſio facta patriarchæ impleretur. Enimuerò quia paulò antea ipſi promiſerat, Iſaac eſſe naſciturum, & propè aderat tempus: vt ne officeret promiſſioni Dei, tantum timorem in Abimelech immiſit, vt perculſus animo Sarram attingere non auderet.

Ταῦτα ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖκες· γυναῖκες, ἵνα τοσαύτην περὶ τοὺς ἄνδρας τὴν φιλοστοργίαν ἐπιδεικνύωσι, καὶ μηδὲν ἕτερον προτιμῶσι τῆς ἐκείνων σωτηρίας· καὶ ἄνδρες, ἵν' οὕτω πολλὴν τὴν περὶ αὐτὰς εὔνοιαν ἔχωσι, καὶ ὡς μίαν ψυχὴν κεκτημένοι, καὶ ἓν σῶμα ὄντες, οὕτω πάντα διαπράττωνται. τοῦτο γὰρ ἀληθὲς συνοικέσιον, ὅταν τοσαύτη ἐν αὐτοῖς πολιτεύηται συμφωνία, ὅταν τοσοῦτος ᾖ ὁ σύνδεσμος, ὅταν οὕτως ὦσι τῇ ἀγάπῃ συνεσφιγμένοι. καθάπερ γὰρ σῶμα πρὸς ἑαυτὸ οὐκ ἄν ποτε διαστασιάσειεν, οὐδὲ ψυχὴ πρὸς ἑαυτήν, οὕτως ἄνδρα καὶ γυναῖκα οὐ διαστασιάζειν, ἀλλ' ἡνῶσθαι χρή. τότε γὰρ καὶ τὰ μυρία αὐτοῖς ἀγαθὰ ἐπιρρεῦσαι δυνήσεται. ὅπου γὰρ ὁμόνοια τοσαύτη, ἐκεῖ πάντων τῶν ἀγαθῶν ἡ σύνοδος, ἐκεῖ ἡ εἰρήνη, ἐκεῖ ἡ ἀγάπη, ἐκεῖ ἡ εὐφροσύνη ἡ πνευματική· οὐδαμοῦ πόλεμος, οὐδαμοῦ μάχη, οὐδαμοῦ ἔχθρα καὶ φιλονεικία· ἀλλὰ ταῦτα πάντα ἐκποδὼν γάρ, τῆς ῥίζης τῶν ἀγαθῶν, τῆς ὁμονοίας λέγω, ταῦτα πάντα ἀφανιζούσης. ἀπέστειλε δὲ Ἀβιμέλεχ βασιλεὺς Γεράρων, καὶ ἔλαβε τὴν Σάρραν. καὶ εἰσῆλθεν ὁ θεὸς πρὸς Ἀβιμέλεχ ἐν ὕπνῳ τὴν νύκτα, καὶ εἶπεν, ἰδοὺ σὺ ἀποθνήσκεις περὶ τῆς γυναικός, ἧς ἔλαβες. αὕτη δέ ἐστι συνῳκηκυῖα ἀνδρί. ὅρα θεοῦ φιλανθρωπίαν. ἐπειδὴ εἶδε τὸν δίκαιον διὰ τὸν τοῦ θανάτου φόβον γενναίως ἐνεγκόντα τῆς Σάρρας τὴν ἀφαίρεσιν, καὶ τὸν βασιλέα ὡς ἀδελφὴν τοῦ δικαίου οὕτως αὐτὴν ἀγόμενον, λοιπὸν τὴν οἰκείαν πρόνοιαν ἐπιδείκνυται, ὁμοῦ καὶ τὸν δίκαιον περιφανέστερον ἀποδεικνύς, καὶ τὴν Σάρραν τῆς ὕβρεως ἐλευθερῶν, καὶ τὸν βασιλέα ἀπαλλάττων τῆς παρανομίας. καὶ εἰσῆλθεν ὁ θεὸς πρὸς Ἀβιμέλεχ ἐν ὕπνῳ τὴν νύκτα. κατ' αὐτόν, φησι, τὸν τοῦ ὕπνου καιρὸν ἐξαρπάσαι αὐτὸν βουλόμενος τῆς παρανομίας, ἐνέθηκεν αὐτοῦ τῇ διανοίᾳ τὴν γνῶσιν, καὶ τὰ λανθάνοντα αὐτοῦ εἰς φῶς ἤγαγε, καὶ πολὺν τὸν φόβον αὐτοῦ ἐπέτεινε, τὸν θάνατον ἀπειλήσας. ἀποθνήσκεις γάρ, φησι, περὶ τῆς γυναικός, ἧς ἔλαβες. αὕτη δέ ἐστι συνῳκηκυῖα ἀνδρί. Ἀβιμέλεχ δὲ οὐχ ἥψατο αὐτῆς. ταῦτα δὲ πάντα ἐγίνετο, ἵνα ἡ τοῦ θεοῦ ἐπαγγελία ἡ εἰς τὸν πατριάρχην εἰς ἔργον ἐξέλθῃ. ἐπειδὴ γὰρ πρὸ βραχέως ὑπέσχετο αὐτῷ τὸν Ἰσαὰκ τεχθήσεσθαι, ἐγγὺς δὲ λοιπὸν ὁ καιρὸς ἦν, ἵν' οὕτω μὴ λυμήνηταί τι τῇ τοῦ θεοῦ ἐπαγγελίᾳ, τοσοῦτον φόβον τῷ Ἀβιμέλεχ ἐπιτίθησιν, ὡς καταπλαγέντα αὐτὸν μὴ τολμῆσαι ἅψασθαι τῆς Σάρρας.

Διὰ γὰρ τοῦτο προσέθηκεν ἡ θεία γραφή, ὅτι Ἀβιμέλεχ οὐχ ἥψατο αὐτῆς. ἀλλὰ καὶ ἀπολογεῖται ὑπὲρ τοῦ τολμήματος, καί φησι, κύριε, ἔθνος δίκαιον καὶ ἀγνοοῦν ἀπολεῖς; μὴ γὰρ αὐτοῦ εἰδώς, φησι, γυναῖκα οὖσαν αὐτήν, τοῦτο πεποίηκα; μὴ γὰρ ἀδικῆσαι βουλόμενος τὸν ξένον; μὴ γὰρ ὡς γυναῖκα ἀφαιρούμενος; ὡς ἀδελφὴν μέλλων λαμβάνειν τοῦτο διεπραξάμην, νομίζων καὶ ταύτῃ τιμήσειν καὶ αὐτόν. ἔθνος οὖν ἀγνοοῦν καὶ δίκαιον ἀπολεῖς; μετὰ τοῦ δικαίου, φησί, πεποιηκότα με τὸ ἐπιχείρημα ἀπολεῖς; εἶτα σαφέστερον ποιῶν, ὅπερ ἔλεγε, φησιν, οὐκ αὐτός μοι εἶπεν, ὅτι ἀδελφή μου ἐστί, καὶ αὕτη μοι εἶπεν, ὅτι ἀδελφός μου ἐστι; σκόπει πῶς εἶχον τὴν ὁμόνοιαν καὶ τὴν συμφωνίαν. καὶ αὐτός, φησι, τοῦτό μοι εἶπε, καὶ αὕτη συνέθετο τοῖς παρ' αὐτοῦ λεγομένοις. ἐν καθαρᾷ καρδίᾳ, καὶ ἐν δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο, φησιν, οὐχ ὥσπερ παράνομόν τι μέλλων διαπράττεσθαι, ἀλλ' ὡς νενομισμένον καὶ ἀκόλουθον, καὶ οὐδεμίαν ἔχον μέμψιν τοῦτο πεποίηκα. τί οὖν ὁ φιλάνθρωπος δεσπότης; εἶπε δὲ αὐτῷ ὁ θεὸς καθ' ὕπνον. ὅρα πόσῃ συγκαταβάσει κέχρηται ὁ τῶν ὅλων δεσπότης τὴν οἰκείαν ἀγαθότητα διὰ πάντων ἐπιδεικνύμενος. κἀγὼ ἔγνων, φησίν, ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο. οἶδα φησὶν ὅτι αὐτοὶ τοῦτο τὸ δρᾶμα κατεσκευάσατε, καὶ ὅτι ἀπατηθεὶς τοῖς παρ' αὐτῶν λεγομένοις τοῦτο πεποίηκας. καὶ διὰ τοῦτο, ἵνα μὴ διὰ τὴν ἀπάτην ἐκείνων ἁμάρτῃς, ἐφεισάμην τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ. πολλὴ τοῦ ῥήματος ἡ συγκατάβασις, μεγίστη τοῦ δεσπότου ἡ φιλανθρωπία. Εἰς ἐμέ, φησιν, ἔμελλεν ἀνατρέχειν τὸ ἁμάρτημα. καθάπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων, ἐπειδάν τις εἴς τινα τῶν οἰκετῶν πολλῆς ἀπολαύοντα τῆς τιμῆς παρὰ τοῦ δεσπότου ὑβριστικόν τι διαθῇ, οἰκείαν ἡγεῖται τὴν ὕβριν ὁ δεσπότης, καί φησιν, ἐμὲ ὕβρισας. δι' ὧν τὸν ἐμὸν οἰκέτην οὕτω διέθηκας· καὶ γὰρ τὰ εἰς ἐκεῖνον γινόμενα εἰς ἐμὲ διαβαίνει· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ ἀγαθὸς δεσπότης, ἐφεισάμην σέ, φησι, τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ. ἐμοί, φησιν, οἰκέται τυγχάνουσι, καὶ οὕτως αὐτῶν ποιοῦμαι πολλὴν τὴν κηδεμονίαν, ὅτι οἰκειοῦμαι τὰ εἰς αὐτοὺς γινόμενα, κἄντε ἀγαθὰ ᾖ, κἄντε ἐναντία. ἕνεκεν τούτου οὐκ ἀφῆκά σε ἅψασθαι αὐτῆς. ἐπειδὴ πολὺ αὐτῶν κήδομαι, τοῦτο εἰδὼς ὅτι ἐξ ἀγνοίας μέλλεις τὴν ὕβριν αὐτοῖς ταύτην ἐπάγειν, ἐφεισάμην σου, τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ. μὴ δὴ ἁπλῶς ὡς ἑνὶ τῶν τυχόντων πρόσεχε τῷ ἀνδρί,

A Propter hoc enim adiecit diuina ſcriptura, Abimelech non tetigerat illam. ſed & de facinore ſe defendit, ac dicit: *Domine, gentem iuſtam & ignorantem perdes?* Nunquid ſciens, inquit, mulierem eius eſſe, hoc feci? nunquid iniuria peregrinum afficere volens? nunquid vt vxorem eius auferens? vt ſororem eam accepturus eram, ratus hoc nomine & hunc, & illam honorari. Gentem igitur iuſtam & ignorantem perdes? méne iuſti officio functum perdes? Deinde B manifeſtans quod dicebat, inquit. 5 *Nonne ipſe mihi dixit, Soror mea eſt: & ipſa mihi dixit, Frater meus eſt?* Vide quomodo habuerint concordiam & conſpirationem. Et ipſe, inquit, hoc mihi dixit, & ipſa adſtipulata eſt dictis eius. *In corde puro, & in iuſtitia manuum feci hoc.* Non vt iniquum facturus, inquit, ſed vt legitimum & licitum irreprehenſibiléque hoc feci. Quid igitur benignus Deus? 6 *Dixit autem ei Deus in ſomno.* Vide quomodo ſe attemperat omnium dominus, C ſuam bonitatem per omnia declarãs. *Et ego ſcio quòd corde puro hoc feceris.* Scio, inquit, quòd ipſi hanc fabulam commenti ſint, & quòd deceptus eorum dictis hoc feceris: ob hoc, vt ne propter deceptionem hanc pecces, *Peperci tibi, ne tu peccares in me.* Magna verbi eſt attemperatio, maxima domini eſt clementia. In me, inquit, rediturum eſt peccatum. Nam ſicut in hominibus quando quis aliquem in multo honore apud dominum ſuum iniuria quadam afficit, ſibi iniuriam factam putat dominus: & D dicit, Mihi iniuriam feciſti per ea quibus à te ſeruus iniuria eſt affectus: ea enim quæ in illum committuntur, in me tranſeunt: eodem modo & bonus dominus, Peperci tibi, inquit, vt ne peccares in me. Mei, inquit, famuli ſunt, & adeò mihi commendati, vt mihi fieri exiſtimem quæcunque illis fiunt, ſiue bona ſint, ſiue non bona: *Propterea non dimiſi te, vt tangeres eam.* Quoniam magnam eorum curam gero, ſciens quòd per ignorantiam hanc eis contumeliam facturus eras, peperci tibi, vt ne peccares in me. Ne ſimpliciter, vt quempiam vulgarium, attende hunc virũ:

Qui colit ſeruos, dominum colit.

ſed diſce quòd eſt ex his, quorum ego maximam curam gero, & qui peculiariter mei ſunt. [7] *Redde igitur vxorem viro, quia propheta eſt, & orabit pro te, & viues.* Vide quomodo virtutem iuſti detegit, prophetam ipſum vocat, & propemodum efficit, vt rex ſupplicem ſe ei præbeat. Orabit enim pro te, & viues. Ille etenim, inquit, veritus ne occideretur à te, hanc comœdiam inſtruxit, & quaſi cooperatus eſt in contumeliam Sarræ: ſcias autem, quòd illius preces vitam tibi præbebunt. Deinde vt ne concupiſcentia flagrans, & pulchritudine Sarræ victus, mandata, contemnat: immittit ei timorem & maiorem pœnam minatur ſe inducturum. *Quòd ſi non dederis*, inquit, *ſcias quòd morieris tu, & omnia tua.* Non ſolùm tu inobedientiæ pœnam lues, ſed & omnia tua propter te mors perdet. Ob hoc autem per tempus noctis hæc omnia Deus ei loquitur, vt in quiete accepta admonitione, magno timore imperata faciat. [8] *Statim enim*, inquit, *mane ſurgens Abimelech vocauit pueros ſuos, & locutus eſt omnia verba hæc in aures eorum.* Vide quomodo rex fit præco virtutis iuſti, & eum omnibus manifeſtum facit. Narrauit omnia ſibi à Deo manifeſtata, vt omnes ſciant & Dei erga illum beneuolentiam, & quantum ſit Deo curæ propter eius mores & virtutem. *Timuerunt autem omnes homines valde.* Vidiſti quomodo non fruſtra & abſque cauſa toties tranſmigrabat iuſtus? Nam ſi in tabernaculo ſuo primo manſiſſet, vnde potuiſſent Geraritæ ſcire, quantam iuſtus apud Deum haberet fiduciam? Timuerunt autem omnes homines valde. Magnus in eos timor immiſſus, de rerum ſumma faciebat anxios. Poſtea ſequitur: [9] *Vocauit Abimelech Abrahamum.* Conſidera in quanta gloria iuſtus poſtea apud regem agit, qui paulò antea ab omnibus habebatur contemptibilis, quaſi erro & peregrinus. Igitur cum omnes conueniſſent, vocatur ſtatim patriarcha, qui nihil horum ſciebat, & diſcebat poſtea à rege ipſo, quæ propter ſe à Deo illi facta erant.

A ἀλλὰ μάνθανε, ὅτι τῶν ἐμοὶ περισπουδάστων ἐστὶ, καὶ τῶν πολλὴν ἐχόντων πρὸς ἐμὲ τὴν οἰκείωσιν. ἀπόδος τοίνυν τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστὶ, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσῃ. ὅρα πῶς τὴν ἀρετὴν τοῦ δικαίου ἐκκαλύπτει· καὶ προφήτην αὐτὸν καλεῖ, καὶ μονονουχὶ παρασκευάζει τὸν βασιλέα ἱκέτην αὐτοῦ γενέσθαι. προσεύξεται γὰρ περὶ σοῦ, καὶ ζήσῃ, φησίν. ἐκεῖνος μὲν οὖν δεδοικὼς τὸν παρὰ σοῦ θάνατον τὸ δρᾶμα τοῦτο κατεσκεύασε, καὶ μονονουχὶ συνέπραξε πρὸς τὴν τῆς Σάῤῥας ὕβριν· γίνωσκε δὲ ὅτι αἱ παρ᾽ ἐκείνου προσευχαὶ τὴν ζωήν σοι παρέξουσιν. εἶτα ἵνα μὴ τῇ ἐπιθυμίᾳ φλεγόμενος, καὶ
B ἀπὸ τοῦ κάλλους τῆς Σάῤῥας ἡττώμενος ἔλαττον φροντίσῃ τῶν προσταττομένων, ἐπιτείνει τὸν φόβον, καὶ τὴν τιμωρίαν ἐπαγγέλλεται μείζονα ἐπάξειν. εἰ γὰρ μὴ ἀποδίδως, φησὶ, γνῶθι, ὅτι ἀποθανῇ σύ τε, καὶ πάντα τὰ σά. οὐ μόνον αὐτὸς τῆς παρακοῆς, φησὶν, ὑφέξεις τὴν τιμωρίαν, ἀλλὰ καὶ πάντα τὰ σὰ διὰ σὲ θάνατος καταλήψεται. διὰ τοῦτο δὲ κατὰ τὸν τῆς νυκτὸς καιρὸν ταῦτα ἅπαντα ὁ θεὸς αὐτῷ διαλέγεται, ἵνα μετὰ ἡσυχίας δεξάμενος τὴν παραίνεσιν, μετὰ πολλοῦ τοῦ φόβου τὸ προσταχθὲν εἰς ἔργον ἀγάγῃ. εὐθέως γὰρ ὀρθρίσας Ἀβιμέλεχ, φησὶν, ἐκάλεσε τοὺς παῖδας
C αὐτοῦ, καὶ ἐλάλησε πάντα τὰ ῥήματα ταῦτα εἰς τὰ ὦτα αὐτῶν. ὅρα πῶς κήρυξ γίνεται λοιπὸν ὁ βασιλεὺς τῆς τοῦ δικαίου ἀρετῆς, καὶ πᾶσιν αὐτὸν κατάδηλον ποιεῖ. καλέσας γὰρ, φησὶ, πάντας τοὺς παῖδας αὐτοῦ διηγήσατο πάντα τὰ πρὸς αὐτὸν παρὰ τοῦ θεοῦ δηλωθέντα, ἵνα πάντες γνῶσι καὶ τὴν τοῦ θεοῦ πρὸς αὐτὸν τὴν εὔνοιαν, καὶ τῆς προνοίας, ἧς ἀξιοῦται παρὰ τοῦ δεσπότου διὰ τὴν τῶν τρόπων ἀρετήν. ἐφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα. εἶδες πῶς οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τὰς μεταναστάσεις ἐποιεῖτο ὁ δίκαιος; εἰ γὰρ ἐπὶ τῆς σκηνῆς τῆς προτέρας ἔμενε,
D πόθεν εἶχον ἅπαντες οἱ ἐν Γεράροις γνῶναι, ὅσης ὁ δίκαιος ἀπολαύει τῆς παρὰ τοῦ θεοῦ προνοίας; ἐφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα. πολὺς αὐτοῖς φόβος κατεσκεδάσθη, περὶ τοῦ παντὸς ἠγωνίασε. εἶτα ἐκάλεσε, φησὶν, Ἀβιμέλεχ τὸν Ἀβραάμ. ἐννόει μοι μεθ᾽ ὅσης λοιπὸν τῆς περιφανείας ὁ δίκαιος εἰσάγεται πρὸς τὸν βασιλέα. ὁ πρὸ μικροῦ παρὰ πᾶσιν εὐκαταφρόνητος νομιζόμενος, καὶ καθάπερ ἀλήτης καὶ ξένος, ἀθρόον πάντων συνδραμόντων καλεῖται ὁ πατριάρχης οὐδὲν τούτων εἰδὼς τέως, καὶ ἐμάνθανε λοιπὸν παρὰ αὐτοῦ τοῦ βασιλέως τὰ παρὰ τοῦ θεοῦ δι᾽ αὐτὸν εἰς ἐκεῖνον γεγενημένα.

A Εἶπε γὰρ αὐτῷ· τί τοῦτο ἐποίησας ἡμῖν; τί ἡμάρτομεν εἰς σὲ, ὅτι ἐπήγαγες ἐπ' ἐμὲ, καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; ἔργον, ὃ οὐδεὶς ποιήσει, ἐποίησας ἡμῖν. τί συνιδὼν ἐποίησας τοῦτο; διὰ τί, φησι, τοσαύτῃ με περιβαλεῖν ἁμαρτίᾳ ἠβουλήθης; τίνος ἕνεκεν, καὶ τί συννοήσας τοῦτο πεποίηκας; ὅρα πῶς διὰ τῶν οἰκείων ῥημάτων δείκνυσι τὴν παρὰ τοῦ θεοῦ ἀπειλὴν τὴν εἰς αὐτὸν γεγενημένην. ἐπειδὴ γὰρ εἶπεν αὐτῷ, ὅτι εἰ μὴ ἀποδίδως, ἀποθανῇ σὺ, καὶ πάντα τὰ σὰ, τοῦτο αὐτὸ ἑρμηνεύων ὁ Ἀβιμέλεχ φησὶ, τί ἥμαρτον εἰς σὲ, ὅτι ἐπήγαγες ἐπ' ἐμὲ καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; B μὴ γὰρ μέχρις ἐμοῦ εἶχε στῆναι τὰ τῆς τιμωρίας; πᾶσά μου ἡ βασιλεία ἄρδην ἔμελλεν ἀφανίζεσθαι ἐκ τῆς ἀπάτης τῆς παρὰ σοῦ γεγενημένης. τί οὖν συνιδὼν ἐποίησας τοῦτο; σκόπει ἐνταῦθα, ἀγαπητὲ, τοῦ δικαίου τὸ φρόνημα, ὅπως ἐν τάξει ἀπολογίας διδασκαλίαν αὐτοῖς θεογνωσίας εἰσάγει. εἶπα γὰρ, φησι, μήποτε οὐκ ἔστι θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ, ἐμέ τε ἀποκτενοῦσιν ἕνεκεν τῆς γυναικός μου. ἐναγώνιος, φησι, γέγονα, μήποτε, διὰ τὸ ἔτι τῇ πλάνῃ ὑμᾶς κατέχεσθαι, οὐδεμίαν τοῦ δικαίου πρόνοιαν ποιῆσθε, C καὶ διὰ τοῦτο ὑμῶν φειδόμενος, μὴ μαθόντες αὐτὴν γυναῖκά μου γεγενῆσθαι διὰ τὴν περὶ ταύτην ἐπιθυμίαν ἐμὲ ἀνελεῖν ἐπιχειρήσητε, τοῦτο ἐποίησα. ὅρα πῶς διὰ τῶν ὀλίγων τούτων ῥημάτων ὁμοῦ καὶ καθήψατο αὐτῶν, καὶ ἐδίδαξεν, ὅτι δεῖ τὸν ἐπὶ πάντων θεὸν ἐν νῷ λαμβάνοντα μηδὲν τῶν παρανόμων διαπράττεσθαι, ἀλλὰ τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν δεδοικέναι, καὶ διὰ τὴν ἐκεῖθεν ἐπηρτημένην δίκην πολλὴν τοῦ δικαίου ποιεῖσθαι τὴν πρόνοιαν. εἶτα βουλόμενος τὴν ὑπὲρ ἑαυτοῦ ἀπολογίαν ποιήσασθαι, φησι, μὴ νομίσητέ με καὶ οὕτως ἐψεῦσθαι· D καὶ γὰρ ἀδελφή μού ἐστιν ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ μητρός· ἐγενήθη δέ μοι εἰς γυναῖκα. τὸν αὐτόν μοί φησι πατέρα ἐπιγράφεται, διὸ καὶ ἀδελφὴν αὐτὴν ἐκάλεσα. μὴ τοίνυν καταγνῶτέ μου. εἰ γὰρ καὶ ὁ φόβος τοῦ θανάτου εἰς τὴν ἀνάγκην με ταύτην κατέστησε, καὶ τὸ δεδοικέναι μήποτε διὰ ταύτην ἐμὲ μὲν ἀποκτείνητε, ταύτην δὲ περιποιήσησθε. ἀλλ' ὅμως οὐδὲ οὕτως ἐστὶ ψεῦδος τὸ παρ' ἐμοῦ εἰρημένον. ὅρα πόσην ποιεῖται τὴν σπουδὴν ὁ δίκαιος, ὥστε δεῖξαι μηδὲ ἐν τούτῳ ἑαυτὸν ἐψεῦσθαι. καὶ ἵνα πάντα μετ' ἀκριβείας μάθητε, παρ' ἐμοῦ ἀκούσατε καὶ τὴν βουλὴν, ἣν μεταξὺ ἀλλήλων ἐσχήκαμεν,

Dixit enim ei: Quare hoc feciſti nobis? quid peccauimus in te, quòd induxiſti ſuper me & ſuper regnum meum peccatum magnum? Rem quam nullus faceret, feciſti nobis. [10] *Quid videns feciſti hoc?* Quare in tantum, inquit, voluiſti me incidere peccatum? Quid cogitaſti, quòd hoc feciſti? Vide quomodo per verba ſua indicat minas, quæ à Deo ſibi ſunt factæ. Quoniam enim dixerat ei, Quòd ſi non reddideris, morieris tu, & omnia tua: hoc ipſum interpretatur Abimelech, & dicit, Quid peccaui in te, quòd induxiſti ſuper me & ſuper regnum meũ peccatum magnum? Non ſatis erat, ſi ego punirer? omne regnum meum ſimul perdendum erat ex deceptione quam feciſti? Quid vidiſti in nobis vt hoc faceres? Conſidera hîc dilecte iuſti prudentiam, quomodo ſatisfactionis loco, in agnitionem Dei illos introducit. [11] *Dixi enim*, inquit, *Num fortè non eſt timor Dei in loco iſto, méque occident propter vxorem.* Quaſi diceret, Valde mecum anxius fui, ne fortè, eò quòd adhuc erroribus tenemini, nulla vobis iuſtitiæ cura ſit: propter hoc ſimulaui, vobis parcens: vt ne, ſi intelligeretis eam vxorem meam fuiſſe, capti eius amore, occidere me tentaretis. Vide quomodo per pauca illa verba docet, quòd oportet eum qui Deum in mente habet, nihil iniquum agere, ſed timere iudicem illum qui falli nequit: & ob pœnam quæ ab illo infligetur, multam iuſtitiæ curam gerere. Poſtea volens pro ſe defenſionem afferre. *Ne putetis*, inquit, *me etiam ſic mentitum eſſe.* [12] *Etenim ſoror mea eſt ex patre, ſed non ex matre. Data autem mihi eſt in vxorem.* Quia eundem patrem vocat, inquit, quem & ego, ideo & ſororẽ ipſam vocaui. Ne igitur cõdemnetis me. Nam etſi metus mortis in hanc me neceſſitatem coëgerit, & quòd timui ne fortè propter eam me occideretis, ipſam autem in vita conſeruaretis: attamen neque ſic eſt mendacium quod à me dictum. Vide quàm diligenter agit iuſtus, vt monſtret quòd neque in hoc ſit mentitus. Et vt omnia, inquit, diligenter à me ſciatis, audite & conſilium, quod inter nos iniuimus.

13 *Quando enim eduxit me Deus de domo patris mei.* Conſidera obſecro, hîc magnam iuſti ſapientiam, quomodo in ſerie narrationis docet eos, quòd à principio fuerit peculiariter addictus Deo: & quòd Deus ſe à domo ſua euocarit, & in eum locum duxerit: vt ſciat rex, quòd ex eorum numero ſit Abraham qui magnam in Deo habent fiduciam. 13 *Quando enim*, inquit, *euocauit me Deus ex domo patris mei, dicebam ei: Hanc iuſtitiam facies in me, in omni loco in quem venerimus, dic: Frater meus eſt.* Quia enim ſuperius dixerat: Dixi enim, fortaſſis non eſt timor Dei in loco iſto: & videbatur eos nimium carpere, volens mitigare aſperitatem verbi, hîc dicit, Ne putetis me hoc ſolum veſtri gratia feciſſe. Statim enim quando eduxit me Deus de domo patris mei, dicebam ad eam, Hanc iuſtitiam facies mihi in omni loco, in quem venturi ſumus. De omnibus, inquit, qui terram hanc inhabitant, mandatum ei dedi: & docuit quod etiam ſic extra mendacium ſit ſimulatio. Mortis enim timor ad hoc nos compulit. Hæc vt dixit iuſtus, & iram eorum demulſit, ſuámque detexit virtutem, & ſufficientem religionis veræ doctrinam eis tradidit. Reueritus igitur rex magnam iuſti manſuetudinem, magna liberalitate remunerat patriarcham. 14 *Dicit enim: Accepit Abimelech mille didrachmas, & oues, & vitulos, & ſeruos, & ancillas, & reddidit illi Saram vxorem ſuam.* Vidiſti dilecte, omnipotentem & variam Dei ſapientiam? Qui enim in mortis periculo conſtitutus erat, & omnia faciebat vt mortem poſſet effugere: non ſolùm mortem effugit, ſed & magnam obtinuit fiduciam, & repente glorioſus factus eſt. In hunc enim modum agere ſolet Deus: non ſolùm à triſtibus liberat eos, qui fortiter ſe gerunt in tentationibus, in quas incidunt: ſed & tantam in aduerſis præbet lætitiam, vt in eorum obliuionem omnino veniant, & in multa ſint bonorum affluentia. Et vide inſuper regis erga iuſtum illum officium. Nō ſolum enim tantis muneribus illum honorat, ſed etiam poteſtatē ei dat, vt in terra ſua habitet.

Simulatio abſque mēdacio.

A ἡνίκα ἐξήγαγέ με ὁ θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου. ὅρα μοι ἐνταῦθα τὴν πολλὴν τοῦ δικαίου σοφίαν, πῶς ἐν τάξει διηγήσεως διδάσκει αὐτοὺς, ὡς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων τῶν ᾠκειωμένων ἐστὶ τῷ θεῷ, καὶ ὅτι αὐτὸς καὶ οἴκοθεν αὐτὸν ἀνέστησε, καὶ ἐκεῖσε ἤγαγεν, ἵνα μάθῃ ὁ βασιλεὺς, ὅτι τῶν πολλὴν ἐχόντων ἐστὶ πρὸς τὸν θεὸν παῤῥησίαν. ἡνίκα, φησὶν, ἐξήγαγέ με ὁ θεὸς ἐκ τοῦ οἴκου πατρός μου, εἶπον αὐτῇ, ταύτην τὴν δικαιοσύνην ποιήσῃς ἐπ' ἐμέ· εἰς πάντα τόπον, οὗ ἐὰν εἰσέλθωμεν, ἐκεῖ εἰπὲ, ὅτι ἀδελφός μού ἐστιν. ἐπειδὴ γὰρ ἀνωτέρω εἶπεν, εἶπα γὰρ, μήποτε οὐκ ἔστι θεοσέβεια ἐν τῷ B τόπῳ τούτῳ, καὶ ἐδόκει πολὺ αὐτῶν καθάπτεσθαι, βουλόμενος τὸ σφοδρὸν τοῦ ῥήματος παρεκλῦσαι, ἐνταῦθά φησιν, ὅτι μὴ νομίσητε, ὅτι ὑμῶν ἕνεκεν μόνον τοῦτο πεποιηκέναι ἐπέγνωμεν. εὐθέως γὰρ ἡνίκα ἐξήγαγέ με ὁ θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου, εἶπον αὐτῇ, ταύτην τὴν δικαιοσύνην ποιήσῃς εἰς ἐμὲ εἰς πάντα τόπον, οὗ ἐὰν εἰσέλθωμεν. περὶ πάντων τῶν τὴν γῆν, φησι, ταύτην οἰκούντων τὴν παραγγελίαν πρὸς αὐτὴν ἐποιησάμην· καὶ ὅτι καὶ οὕτως ἐκτὸς ψεύδους ἐστὶν ἡ ὑπόκρισις. ὁ γὰρ τοῦ θανάτου φόβος εἰς τοῦτο ἡμᾶς C ἐλθεῖν κατηνάγκασε. ταῦτα εἰπὼν ὁ δίκαιος, καὶ τὸν θυμὸν αὐτῶν κατεμάλαξε, καὶ τὴν οἰκείαν ἀρετὴν ἐξεκάλυψε, καὶ ἀρκοῦσαν αὐτοῖς διδασκαλίαν ἐνέθηκε θεοσεβείας. αἰδεσθεὶς τοίνυν ὁ βασιλεὺς τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν, τῇ οἰκείᾳ φιλοτιμίᾳ ἀμείβεται τὸν πατριάρχην. ἔλαβε γὰρ, φησιν, Ἀβιμέλεχ χίλια δίδραχμα καὶ πρόβατα καὶ μόσχους καὶ παῖδας καὶ παιδίσκας, καὶ ἀποδέδωκεν αὐτῷ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ. εἶδες, ἀγαπητὲ, τὴν εὐμήχανον τοῦ θεοῦ σοφίαν; ὁ γὰρ περὶ τοῦ θανάτου δεδοικὼς καὶ πάντα ποιῶν ὥστε D δυνηθῆναι τοῦτον διαφυγεῖν, οὐ μόνον τὸν θάνατον διέφυγεν, ἀλλὰ καὶ πολλῆς ἀξιοῦται παῤῥησίας, καὶ περιφανὴς ἀθρόον γέγονε. τοιαῦτα γὰρ τὰ παρὰ τοῦ θεοῦ. οὐ μόνον τῶν λυπηρῶν ἐλευθεροῖ τοὺς γενναίως ἀντέχειν πρὸς τοὺς ἐπιόντας πειρασμοὺς σπουδάζοντας, ἀλλὰ καὶ τοσαύτην ἐν αὐτοῖς τοῖς λυπηροῖς παρέχει τὴν εὐφροσύνην, ὡς καὶ λήθην ἡμᾶς ἔχειν παντελῆ, καὶ ἐν πολλῇ γίνεσθαι τῶν ἀγαθῶν περιουσίᾳ. καὶ ὅρα λοιπὸν τοῦ βασιλέως τὴν πρὸς τὸν δίκαιον θεραπείαν. οὐ μόνον γὰρ τοῖς τοσούτοις αὐτὸν δώροις τιμᾷ, ἀλλὰ καὶ τὴν ἐξουσίαν αὐτῷ δίδωσι τῆς ἐν τῇ γῇ κατοικήσεως.

A ἰδοὺ γάρ, φησιν, ἡ γῆ μου ἐναντίον σού ἐστιν. οὗ ἐάν σοι ἀρέσκῃ, κατοίκει. ἐπειδὴ γὰρ ἔμαθεν ὅτι δι' ἐκεῖνον, καὶ διὰ τὰς ἐκείνου προσευχὰς ἡ ζωὴ αὐτῷ κεχάρισται, ὡς εὐεργέτην λοιπὸν καὶ προστάτην, τὸν ξένον, τὸν ἀλήτην, τὸν οὐδαμόθεν γνώριμον οὕτω θεραπεύειν ἐπείγεται. τῇ δὲ Σάῤῥᾳ, φησὶν, εἶπεν, ἰδοὺ δέδωκα χίλια δίδραχμα τῷ ἀδελφῷ σου. ὅρα πῶς δεξάμενος τὴν παρὰ τοῦ δικαίου διδασκαλίαν, καὶ πιστεύσας τοῖς παρ' αὐτοῦ εἰρημένοις, καὶ αὐτὸς ἀδελφὸν αὐτῆς αὐτὸν καλεῖ. ἃ γὰρ δέδωκα, φησι τῷ ἀδελφῷ σου, ἔσται εἰς τιμὴν τοῦ προσώπου σου· καὶ πάντα ἀλήθευσον. τί ἐστιν, εἰς τιμὴν τοῦ προσώπου σου, καὶ πάντα ἀλήθευσον; ὑπὲρ ὧν δι' B ἄγνοιαν ἐπεχείρησα γαμετήν σε οὖσαν τοῦ δικαίου εἰς τὴν οἰκίαν τὴν ἐμὴν ἀγαγεῖν, ὑπὲρ τούτου μόνου, ἐπειδὴ ὕβρεώς σοι αἴτιος γέγονα, τὰ χίλια δέδωκα δίδραχμα, θεραπεύων τὰ παρ' ἐμοῦ γεγενημένα εἰς σέ, ἀλλὰ πάντα ἀλήθευσον. τί ἐστι, πάντα ἀλήθευσον; πάντες, φησὶ, παρὰ σοῦ μανθανέτωσαν, ὅτι οὐδὲν γέγονε παρ' ἐμοῦ παράνομον, ὅτι ἀνέπαφος ἐξῆλθες ἐκ τῆς οἰκίας τῆς ἐμῆς. δίδαξον, φησὶ, τὸν ἄνδρα τὸν σὸν, ὅτι ἀθῶός εἰμι τῆς ἁμαρτίας. μανθανέτω παρὰ σοῦ, ὡς οὐδὲν εἴργασταί μοι. τίνος δὲ ἕνεκεν ταῦτά φησιν; ἵνα μαθὼν C παρ' αὐτῆς ὁ δίκαιος καὶ πληροφορηθεὶς τὰς ὑπὲρ αὐτοῦ προσευχὰς ἀνενέγκῃ τῷ δεσπότῃ. ἐπειδὴ γὰρ εἶπεν ἐκεῖνος, ὅτι πάντα ἀλήθευσον, ἀντὶ τοῦ, δίδαξόν σου τὸν ἄνδρα τὰ γεγενημένα, εὐθέως ἐπήγαγεν ἡ γραφή, καὶ προσηύξατο Ἀβραὰμ πρὸς τὸν θεόν, καὶ ἰάσατο ὁ θεὸς τὸν Ἀβιμέλεχ, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰς παιδίσκας αὐτοῦ, καὶ ἔτικτον· ὅτι συνέκλεισεν ἔξωθεν πᾶσαν μήτραν ἐν τῷ οἴκῳ τοῦ Ἀβιμέλεχ ἕνεκεν Σάῤῥας τῆς γυναικὸς Ἀβραάμ. ὅρα πῶς διὰ πάντων περιφανέστερον τὸν δίκαιον ποιῆσαι βουλόμενος ὁ δεσπότης, ταῖς προσ- D ευχαῖς τοῦ πατριάρχου τὴν σωτηρίαν τοῦ βασιλέως καὶ πάντων τῶν ἐν τῷ οἴκῳ αὐτοῦ χαρίζεται. προσηύξατο γάρ, φησιν, Ἀβραὰμ πρὸς τὸν θεόν, καὶ ἰάσατο ὁ θεὸς τὸν Ἀβιμέλεχ, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰς παιδίσκας αὐτοῦ, καὶ ἔτικτον. ὅτι συγκλείων συνέκλεισε κύριος ἔξωθεν πᾶσαν μήτραν ἐν τῷ οἴκῳ τοῦ Ἀβιμέλεχ. διὰ τοῦτο καί τοι τῆς ἁμαρτίας ἐκτὸς γενομένου τοῦ βασιλέως τὴν τιμωρίαν ταύτην αὐτῷ ἐπήγαγεν ὁ ἀγαθὸς δεσπότης, ἵνα ταῖς προσευχαῖς τοῦ δικαίου ἐπινεύσας, οὕτω τὴν λύσιν ἐπαγάγῃ, καὶ περιφανέστερον καὶ λαμπρότερον τὸν δίκαιον ἀπερ-

15 *Ecce enim*, inquit, *terra mea coram te eſt, vbicunque tibi placuerit, habita.* Nam quia didicit quòd propter illum, & propter illius preces vita ſibi data ſit, ideo ita in vagum, erronem, & antea nulli cognitum, quaſi in benefactorem & tutorē aliquem officioſus fuit. Sarræ autem, inquit, dixit: Ecce dedi mille didrachmas fratri tuo. Vide quomodo accepta à iuſto doctrina, vt credidit eius dictis, etiam ipſe fratrem huius illum vocat. *Ea quæ dedi*, inquit, *fratri tuo, tua erunt in honorem vultus tui, & omnia verè dic.* Quid eſt in honorem vultus tui, & omnia verè dic? Pro his quæ per ignorantiam attentaui, te quæ es vxor iuſti, in domum meam introducendo: pro hoc ſolum quia contumeliæ tibi author fui, mille dedi didrachmas reſarturus ea quæ à me in te ſunt admiſſa. Verùm omnia alia verè dic. Quid ſignificat omnia verè dic? Omnes, inquit, à te diſcant, quòd nihil factum eſt à me iniquum: quia intacta exiuiſti de domo mea. Doce, inquit, virum tuum, quòd innocens ſum à peccato: diſcat à te, quòd nihil à me factum ſit. Quare vero hæc dicit? Vt cùm iuſtus ab ea didicerit, multiſque fuerit rationibus edoctus, pro eo preces Domino offerat. Nam poſtquam ille dixit, Omnia verè dic: hoc eſt, doce virum tuum ea quæ facta ſunt: ſtatim ſubdidit ſcriptura: 17 *Et orauit Abraham Deum. Et ſanauit Deus Abimelech, & vxorem eius, & ancillas eius, & pepererunt.* 18 *Quia concludens concluſit extrinſecus omnem vuluam in domo Abimelech propter Sarram vxorem Abrahæ.* Vide quomodo Dominus volens iuſtum per omnia reddere illuſtriorem, precibus patriarchæ ſalutem regis & omnium quæ in domo illius donat. Orauit enim, inquit, Abraham ad Deum, & curauit Deus Abimelech, & vxorem eius, & ancillas eius, & pepererunt: quia concludens concluſerat Dominus omnem vuluam in domo Abimelech. Propterea quamuis alienus eſſet à peccato rex, plagam hanc induxit bonus Dominus, vt precibus iuſti annuens eam ſoluat, & iuſtum clariorem & illuſtriorem efficiat.

Nam ſemper omnia ita facit & tractat, & ſingula diſpenſat, vt qui ſibi ſeruiunt quaſi luminaria reluceant, & eorum virtutem vbique manifeſtam faciat. Et vide obſecro, poſtquam iuſtum ita liberauit à moleſtiis quomodo iterum ſumma bonorum iuſto traditur: nempe quòd nunc eueniunt, quæ olim à Deo promiſſa

Cap. 21. ſunt. *Et Dominus*, inquit, *viſitauit Sarram, ſicut dixit, & fecit Sarræ ſicut locutus eſt:* [2] *& vt concepit, peperit Sarra Abrahæ filium in ſenectute, in tempore ſicut locutus eſt ei Dominus.* Quid eſt, ſicut locutus eſt, & ſicut dixit? Quemadmodum, inquit, promiſit, quando hoſpitio exceptus eſt cum angelis apud quercū Mambre. Nam quod dixit; Quia in tempore hoc veniam, & erit Sarræ filius: hoc nunc opere impletum eſt, Et quę natura & denegabat, ea videbant eueniſſe: non iuxta humanum & ſolitum morem, ſed per diuinam gratiam, [3] *Et vocauit nomen filij ſui, quem peperit ipſi Sarra, Iſaac.* Non abſque cauſa aſſignauit, quem peperit ipſi Sarra. Non enim dixit ſimpliciter, vocauit nomen filij ſui: ſed adiecit, quem peperit ipſi Sarra, infœcunda illa, & vetula [4]. *Et circumcidit eum,* inquit, *die octauo, ſicut præceperat Dominus.* Sic enim præceptum acceperat, vt die octauo circumciderentur, qui poſthac naſcerentur. Porrò vt vlterius diſcamus ineffabilem potentiam Dei, quòd quæ apud homines impoſſibilia ſunt, apud eum ſint poſſibilia: idcirco nobis tempus aſſignauit iterum diuina ſcriptura, & poſt partum docet nos: Abraham erat annorum centum, quando natus eſt ei Iſaac filius ſuus. [6] *Dixit autem Sarra: Riſum fecit mihi Dominus: nam qui audiet, gaudebit mecum.* Quid eſt, Riſum fecit mihi Dominus? lætitiæ occaſio mihi partus eſt. Et quid mirum, ſi mihi gaudium? omnes etiam qui audient habebo congratulantes: non quia peperi, ſed quia ſic peperi. Tam admirabilis rarúſque partus omnes in admirationem adducet, & maiorem omnibus voluptatem afferet, cùm ſciuerint quod ego, quæ nihil à mortuis differebam quantum ad generationem, ſubitò mater facta ſim, & è vulua exciccata puellum peperi,

Omnia Deo poſſibilia.

A πάντα γὰρ ἀεὶ ποιεῖ καὶ πραγματεύεται, καὶ οὕτως ἕκαστον οἰκονομεῖ, ὥστε τοὺς αὐτῷ δουλεύοντας, καθάπερ φωστῆρας, οὕτω διαλάμπειν, καὶ τὴν τούτων ἀρετὴν πανταχοῦ κατάδηλον γίνεσθαι. καὶ ὅρα μοι λοιπὸν, ἀγαπητὲ, μετὰ τὴν τῶν λυπηρῶν ἀπαλλαγὴν, πῶς πάλιν διαδέχεται τὸν δίκαιον ἡ κορωνὶς τῶν ἀγαθῶν, ἡ τῆς ἐπαγγελίας ἀπόδοσις, καὶ εἰς ἔργον λοιπὸν ἐξῄει τὰ πάλαι παρὰ τοῦ θεοῦ ἐπαγγελθέντα αὐτῷ. καὶ κύριος, φησιν, ἐπεσκέψατο τὴν Σάρραν, καθὰ εἶπε, καὶ ἐποίησε τῇ Σάρρᾳ, καθὰ ἐλάλησε, καὶ συλλαβοῦσα ἔτεκε Σάρρα τῷ Ἀβραὰμ υἱὸν εἰς τὸ γῆρας, εἰς τὸν καιρὸν, καθὰ ἐλάλησεν

B αὐτῷ κύριος. τί ἐστι, καθὰ ἐλάλησε, καὶ καθὰ εἶπε; καθάπερ, φησὶν, ὑπέσχετο, ἡνίκα ἐπεξενοῦτο μετὰ τῶν ἀγγέλων εἰς τὴν δρῦν τὴν Μαμβρῆ, εἰρηκὼς ὅτι εἰς τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. ταῦτα τοίνυν εἰς ἔργον ἐξῆλθε, καὶ τὰ τῇ φύσει ἀπηγορευμένα, ταῦτα ἑώρων εἰς ἔργον ἐκβεβηκότα, οὐ κατὰ ἀνθρωπίνην ἀκολουθίαν, ἀλλὰ κατὰ θείαν χάριν. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ, ὃν ἔτεκεν αὐτῷ Σάρρα, Ἰσαάκ. οὐχ ἁπλῶς ἐπεσημήνατο ἡ θεία γραφὴ τὸ, ὃν ἔτεκεν αὐτῷ Σάρρα. οὐ γὰρ εἶπεν ἁπλῶς, ἐκάλεσε τὸ ὄνομα τοῦ

C υἱοῦ αὐτοῦ, ἀλλὰ προσέθηκεν, ὃν ἔτεκεν αὐτῷ Σάρρα, τουτέστιν ἡ στεῖρα, ἡ ἄγονος, ἡ γεγηρακυῖα. καὶ περιέτεμεν αὐτὸν, φησὶ, τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καθὰ ἐνετείλατο κύριος. οὕτω γὰρ ἦν διαταξάμενος, ὥστε τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτέμνεσθαι λοιπὸν τὰ τικτόμενα. εἶτα ἵνα μάθωμεν λοιπὸν τὴν ἄφατον δύναμιν τοῦ θεοῦ, ὅτι καὶ τὰ παρὰ ἀνθρώποις ἀδύνατα, παρ' αὐτῷ δυνατὰ, διὰ τοῦτο καὶ τὸν χρόνον ἡμῖν πάλιν ἐπισημαίνεται ἡ θεία γραφὴ, καὶ μετὰ τὸν τόκον διδάσκει ἡμᾶς λέγουσα, Ἀβραὰμ δὲ ἦν ἐτῶν ἑκατὸν, ἡνίκα ἐγένετο αὐτῷ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ.

D εἶπε δὲ Σάρρα, γέλωτά μοι ἐποίησεν ὁ κύριος. ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι. τί ἐστι, γέλωτά μοι ἐποίησεν ὁ κύριος; εὐφροσύνης ὑπόθεσίς μοι ὁ τόκος ἐστίν. καὶ τί θαυμαστὸν, εἰ ἐμοί; καὶ πάντας τοὺς ἀκούοντας συνηδομένους ἕξω, οὐκ ἐπειδὴ ἔτεκον, ἀλλ' ἐπειδὴ οὕτως ἔτεκον. τὸ παράδοξον τοῦ γεγενημένου πάντας εἰς θαῦμα καταστήσει, καὶ πλείονα πᾶσι παρέξει τὴν ἡδονὴν, ὅταν μάθωσιν, ὅτι ἐγὼ ἡ τῶν νεκρῶν οὐδὲν ἄμεινον διακειμένη, ἀθρόον μήτηρ γέγονα, καὶ ἀπὸ νενεκρωμένης μήτρας παιδίον ἔτεκον.

καὶ μὴν

καὶ μὴν θηλάζειν δύναμαι, καὶ πηγὰς γάλακτος A ἀφιέναι ἡ μηδεμίαν ἐλπίδα λοιπὸν τεκνογονίας ἔχουσα. καὶ εἶπε, τίς ἀναγγελεῖ τῷ Ἀβραάμ, ὅτι θηλάζει παιδίον Σάῤῥα; διὰ γὰρ τοῦτο καὶ τοῦ γάλακτος αἱ πηγαὶ παρεσχέθησαν, ἵνα τὸν τόκον πιστώσωνται, καὶ μή τις ὑποβλητὸν εἶναι νομίσῃ τὸ παιδίον. αἱ γὰρ πηγαὶ τοῦ γάλακτος πᾶσιν ἐκήρυττον παρὰ πᾶσαν ἀνθρωπίνην προσδοκίαν εἶναι τὸ γεγενημένον. τίς ἀναγγελεῖ, ὅτι θηλάζει παιδίον Σάῤῥα; ὅτι ἔτεκεν υἱὸν ἐν γήρᾳ μου, ὅτι ἐγὼ ἡ γεγηρακυῖα τεκεῖν ἠδυνήθην, καὶ ἐν ἡλικίᾳ τοιαύτῃ παιδίον τρέφειν δύναμαι; καὶ ηὐξήθη, φησί, τὸ παιδίον, καὶ ἀπεγαλακτίσθη. καὶ ἐποίησεν B Ἀβραὰμ δοχὴν μεγάλην, ἡ ἡμέρα ἀπεγαλακτίσθη ὁ υἱὸς αὐτοῦ. εἶδες τοῦ θεοῦ τὴν ἄφατον σοφίαν, ὅπως διὰ πάντων τὴν ὑπομονὴν τοῦ δικαίου βασανίσας, ὅτε ἀπαγορεύειν ἔδοξε καὶ αὐτὸς καὶ πάντες οἱ εἰς αὐτὸν ὁρῶντες, τῇ ἀνθρωπίνῃ φύσει κατακολουθοῦντες, τότε τὴν οἰκείαν ὑπόσχεσιν εἰς ἔργον ἤγαγε; καὶ ἡμεῖς τοίνυν, ἀγαπητοί, τὴν αὐτὴν τοῦ δικαίου ὑπομονὴν ἐπιδεικνύμεθα, καὶ μηδέποτε ναρκῶμεν, ἀλλὰ ταῖς χρησταῖς ἐλπίσι τρεφώμεθα, εἰδότες ὅτι οὔτε δυσκολία πραγμάτων, οὔτε ἕτερόν τι τῶν ἀνθρωπίνων ἱκανόν, C κώλυμα ἡμῖν γενέσθαι, ἐπειδὰν ἡ τοῦ θεοῦ χάρις τὴν οἰκείαν φιλοτιμίαν ἐπιδείξασθαι βουληθῇ. ὅταν γὰρ ἐκεῖνος νεύσῃ, πάντα εἴκει καὶ παραχωρεῖ, καὶ τὰ δύσκολα εὔκολα γίνεται, καὶ τὰ ἀδύνατα δυνατά· μόνον ἐὰν ἡμεῖς στεῤῥὰν τὴν εἰς αὐτὸν πίστιν ἐπιδεικνυώμεθα, καὶ πρὸς τὸ μέγεθος αὐτοῦ ἀφορῶντες, ἀνώτεροι γινώμεθα τῶν ἀνθρωπίνων ἁπάντων. ὁ γὰρ τὰ μέλλοντα ἀγαθά, καὶ τὰ ἀπόῤῥητα ἐκεῖνα ὑποσχόμενος τοῖς μετ' ἀρετῆς τὴν ἐνταῦθα ζωὴν διανύουσιν, οὐ πολλῷ μᾶλλον καὶ τὰ ἐνταῦθα παρέξει; καὶ μάλιστα, ἐὰν ἡμεῖς ἐκείνων ἐφιέμενοι, τῶν παρόντων ὑπερορῶμεν. τότε γὰρ D αὐτῶν μάλιστα ἀπολαύσομεν μετὰ δαψιλείας, ὅταν αὐτῶν ὑπεριδεῖν βουληθῶμεν. ταῦτ' οὖν εἰδότες δὴ ἐκεῖνα ποθῶμεν τὰ μένοντα, καὶ ἀκίνητα ἀγαθά, τὰ τέλος οὐκ ἐπιστάμενα· ἵνα καὶ τὸν παρόντα βίον ἀλύπως διανύσωμεν, κἀκείνων ἐπιτυχεῖν δυνηθῶμεν, ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ἠθικόν.

& lactare poſſum, & fontes lactis emittere; quæ nullam ſpem pariendi habebam.[7] *Et dixit: Quis annunciabit Abrahæ, quòd lactat puerum Sarra?* Nam propter hoc & lactis fontes conceſſi ſunt, vt partum magis credibilem faciant: & ne quis ſuppoſititium eſſe putet puerum. Fontes enim lactis omnibus prædicabant præter humanam expectationem hoc eueniſſe. Quis annunciabit, quòd lactat puerum Sarra? quòd peperi filium in ſenectute mea: quòd ego, quæ ſenui parere potui, & in hac ætate filium alere poſſum?[8] *Et creuit*, inquit, *puer, & ablactatus eſt. Et fecit Abraham conuiuium magnum die quo ablactatus eſt filius ſuus.* Vidiſti Dei ineffabilem ſapientiam, quomodo patientiam iuſti modis omnibus probauit, quando ipſe & omnes qui ipſum videbant, humanæ naturæ vires ſpectantes, nihil polliceri audebant, tunc ipſa promiſſio completa eſt? Igitur dilecti, & nos eandem, quam iuſtus ille patientiam habeamus, & nunquam deſides ſimus: ſed ſpe bona recreemur, ſcientes quòd neque rerum difficultas, neque aliud quid humanum obſtaculum nobis eſſe poterit, ſi quando gratia Dei ſuam declarare voluerit liberalitatem. Quoties enim ille annuit, omnia cedunt & obtemperant, & difficilia facilia ſunt, & impoſſibilia poſſibilia: tantum firmam in ipſo fidem conſeruemus, & ad magnitudinem eius potentiæ ſpectantes humanis omnibus ſuperiores fiamus. Nam qui futura bona & ineffabilia illa promiſit his, qui cum virtute vitam hîc peregerint, quantò magis & ea quibus hîc opus eſt præbebit: & maximè ſi nos illa deſiderantes præſentia deſpiciamus? Tunc enim eis maximè & vbertim fruemur, quando ea contemnere voluerimus. Proinde hæc ſcientes, illa deſideremus bona quæ manent & immobilia ſunt, & quæ finem neſciunt: vt & præſentem vitam citra triſtitiam tranſmittamus, & illa aſſequi valeamus, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre, & Spiritu ſancto ſit gloria, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Moralis exhortatio.

Nihil non cedit nutui diuino.

Homilia XLVI.

Gen. 21. 7. *Et dixit Sarra: Quis annunciabit Abrahæ, quòd lactat puerum Sarra? quòd peperi filium in ſenectute mea?*

AGe & hodie dilecti, heri dictorum ſeriem repetentes, conuiuium hoc ſpirituale inſtruamus: vt iterum, ſicut heri, diſcamus & boni Dei ineffabilem benignitatem, qua noſtra curat, nobis ſe attemperans, & magnam patriarchæ obedientiam atque gratitudinem. Vidiſtis quomodo natiuitas Iſaac Sarram exhilarauit? *Dixit enim,* inquit, *Riſum fecit mihi Deus. Nam qui audierit, gaudebit mecum.* Omnes, dicit, auditores participes gaudij mei faciam. Magnum enim donum mihi à Deo conceſſum eſt, & quod humanam tranſcendit infirmitatem. Quis enim, inquit, non obſtupeſcat, videns me lacte meo enutricantem puerum in extrema ſenectute, quæ hucuſque non peperi? Et quaſi admirans & attonita de facto, ſubdidit, *Quis annunciabit Abrahæ, quòd lactat puerum Sarra, quòd peperi filium in ſenectute mea?* Quoniam, ſuper naturam eſt hoc factum, propterea, inquit, quis annunciabit? ac ſi diceret, quis expendet, quis mente concipiet? quę mens comprehendere poterit? quæ ratio ſufficit vt inuenit facti huius euidentiam? Non ſic admirabile fuit, quòd ex petra in deſerto ſcaturierint fontes aquarum, quando illam Moſes virga percuſſit: ſicut de vulua iam emortua puerum naſci, & lactis fontes ſcaturire. Nam vt omnibus partus manifeſtus eſſet, & omnes tam eos qui tunc aderant, quàm qui poſtea audierint, ad fidem miraculi induceret, idcirco ipſa puerum alit, & lacte ſuo vult enutricari, & inquit, Quis annunciabit Abrahæ, quòd lactet puerum Sarra? Hoc nouum & admirabile, & præter expectationem mihi conceſſum, inquit, quòd peperi filium in ſenectute mea. Quid hoc eſt, peperi filium in ſenectute mea? quia præter ſterilitatem ſufficiebat ſenectæ tempus, ne mihi prolem pollicerer. Veruntamen impedimenta hæc omnia è medio tulit Dominus,

Exod. 17. Num. 20.

A

Ὁμιλία μϛ.

Καὶ εἶπε Σάῤῥα, τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ, ὅτι θηλάζει παιδίον Σάῤῥα; ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου;

Φέρε καὶ σήμερον, ἀγαπητοὶ, τὴν ἀκολουθίαν τῶν χθὲς εἰρημένων ἀναλαβόντες, οὕτω τὴν ἑστίασιν ὑμῖν παραθῶμεν ταύτην τὴν πνευματικήν· ἵνα μάθωμεν πάλιν, καθάπερ χθὲς ἠκούσατε, τοῦ ἀγαθοῦ θεοῦ τὴν ἄφατον κηδεμονίαν
B καὶ συγκατάβασιν, καὶ τοῦ πατριάρχου τὴν πολλὴν ὑπακοὴν καὶ εὐγνωμοσύνην. εἴδετε ὅπως ἡ τοῦ Ἰσαὰκ γέννησις περιχαρῆ τὴν Σάῤῥαν ἐποίησεν. εἶπε γὰρ, φησὶ, γέλωτά μοι ἐποίησεν ὁ θεός. ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι. ἕκαστον, φησὶ, τῶν ἀκουόντων εἰς κοινωνίαν τῆς χαρᾶς ἐπισπάσομαι. μεγάλη γάρ ἐστιν ἡ παρὰ τοῦ θεοῦ παρασχεθεῖσά μοι δωρεὰ, καὶ ὑπερβαίνουσα τὴν ἀνθρωπίνην ἀσθένειαν. τίς γὰρ, φησὶν, οὐκ ἂν ἐκπλαγείη ὁρῶν ἐμὲ γαλακτοτροφοῦσαν καὶ τιθηνουμένην, τὴν ἐν ἐσχάτῳ γήρᾳ καὶ μέχρι τοῦ
C παρόντος ἐν ἀπαιδίᾳ γενομένην; καὶ ὡσανεὶ θαυμάζουσα καὶ ἐκπληττομένη τὸ γεγονὸς, ἐπήγαγε, τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ, ὅτι θηλάζει παιδίον Σάῤῥα; ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου; ἐπειδὴ ὑπὲρ φύσιν ἐστὶ τὸ γεγονὸς, διὰ τοῦτό φησι, τίς ἀναγγελεῖ; ἀντὶ τοῦ, τίς ἀναλογίσεται; τίς ἂν ἐνθυμηθείη; ποία διάνοια καταλαβεῖν δυνήσεται; ποῖος λογισμὸς εὑρεῖν ἱκανὸς τοῦ γεγενημένου τὴν ἀκρίβειαν; οὐχ οὕτω θαυμαστὸν ἦν, τὸ ἐκ τῆς πέτρας κατὰ τὴν ἔρημον ἀναβλύσαι τὰς πηγὰς τῶν ὑδάτων, ἡνίκα τῇ ῥάβδῳ Μωυσῆς ταύτην ἔπαι-
D σεν, ὡς τοῦτο τὸ ἀπὸ μήτρας ἤδη νενεκρωμένης παιδίον τεχθῆναι, καὶ γάλακτος πηγὰς ἀναβλύσαι. ἵνα γὰρ πᾶσιν ὁ τόκος κατάδηλος γένηται, καὶ πάντας, καὶ τοὺς τότε παρόντας καὶ τοὺς μετὰ ταῦτα ἀκούοντας εἰς πίστιν τοῦ θαύματος ἐναγάγῃ, διὰ τοῦτο καὶ αὐτὴ τρέφει παιδίον καὶ τῆς γαλακτοτροφίας ἀνέχεται. καί φησι, τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ, ὅτι θηλάζει παιδίον Σάῤῥα; τοῦτο τὸ καινὸν, καὶ παράδοξον, καὶ παρ' ἐλπίδα ἐμοὶ παρασχεθὲν, ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου; τί ἐστιν, ὅτι ἔτεκον υἱὸν ἐν γήρᾳ μου; ὅτι καὶ ἄνευ τῆς στειρώσεως ἱκανὸς ἦν, φησὶ, καὶ ὁ τῆς ἡλικίας χρόνος ἀπαγορεῦσαι τὸν τόκον. ἀλλὰ ταῦτα πάντα τὰ κωλύματα ὁ δεσπότης ἐκποδὼν ποιησάμενος,

καὶ τοῦ παιδὸς τὸν τόκον ἐμοὶ κεχάρισται, καὶ τοῦ γάλακτος τὰς πηγάς. ἀλλ' ἴδωμεν λοιπὸν τὰ ἑξῆς. ἐπειδὴ γὰρ ἀπήρτιστο τὰ τῆς γαλακτοτροφίας. εἶδε, φησι, Σάρρα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας, ὃς ἐγένετο τῷ Ἀβραάμ, παίζοντα μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς. καὶ εἶπε τῷ Ἀβραάμ, ἔκβαλε τὴν παιδίσκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς. οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ. σκληρὸν δὲ ἐφάνη τὸ ῥῆμα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ. ὅρα μοι, ἀγαπητέ, ἐνταῦθα τὴν Σάρραν πάλιν οὐ φέρουσαν τοῦ Ἰσμαὴλ τὴν πολλὴν παρρησίαν, οὐδὲ ἀνεκτῶς ἐνεγκεῖν δυναμένην τὸν τῆς παιδίσκης υἱὸν μετὰ τοῦ Ἰσαὰκ ἀναστρεφόμενον. καθάπερ οὖν πρώην καταστεῖλαι τῆς Ἄγαρ τὸ φρόνημα βουλομένη, διὰ τῆς σφοδρᾶς ἀγανακτήσεως εἰς φυγὴν αὐτὴν τραπῆναι παρεσκεύασεν, οὕτω καὶ νῦν βουλομένη ἐκ προοιμίων ἀναστεῖλαι τοῦ Ἰσμαὴλ τὴν προπέτειαν, καὶ μὴ φέρουσα ὁρᾶν τὸν ἐκ χάριτος τεχθέντα υἱὸν καὶ ἐξ αὐτῆς τοῦ θεοῦ τῆς δωρεᾶς μετὰ τοῦ τῆς παιδίσκης τῆς Αἰγυπτίας συναναστρεφόμενον, φησι πρὸς τὸν Ἀβραάμ, ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς. οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ μου. ἐπειδὴ ᾔδει ὅτι καὶ αὐτὴ ἐν ἐσχάτῳ γήρᾳ τυγχάνει, καὶ τὸν πατριάρχην ἑώρα προβεβηκότα. ἦσαν γὰρ ἀμφότεροι προβεβηκότες ἡμερῶν. ὑφορῶσα μήποτε ἀθρόον αὐτῶν τελευτησάντων ὁ Ἰσμαήλ, διὰ τὸ ἐκ τῆς τοῦ πατριάρχου συνουσίας τεχθῆναι, ἐπιχειρήσει εἰς τὸν κλῆρον ἑαυτὸν τοῦ πατρὸς εἰσαγαγεῖν, καὶ κοινωνὸς γενέσθαι τῷ Ἰσαάκ, διὰ τοῦτό φησιν, ἔκβαλε τὴν παιδίσκην ἐντεῦθεν, καὶ τὸν υἱὸν αὐτῆς. μανθανέτω, φησίν, ἤδη ὅτι οὐδὲν κοινὸν ἕξει ὁ τῆς παιδίσκης υἱὸς μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ. οὐδὲ γὰρ εὔλογον τὸν τῆς δούλης υἱὸν μετὰ τοῦ υἱοῦ τοῦ ἐμοῦ τῆς δεσποίνης συναναστρέφεσθαι. ἀλλ' ἡ μὲν Σάρρα οὐκ ἀπεικὸς πρᾶγμα πέπονθεν, ἀλλὰ καὶ σφόδρα ἀκόλουθον, καὶ οὕτως ἀκόλουθον, ὡς καὶ τὸν θεὸν συναινέσαι τοῖς παρ' αὐτῆς εἰρημένοις. ὁ δὲ πατριάρχης φιλόστοργος ὤν, καὶ συμπαθῶς διακείμενος πρὸς τὸν Ἰσμαήλ, ἐπαχθῶς ἐδέξατο τὰ παρὰ τῆς Σάρρας εἰρημένα. σκληρὸν γάρ, φησιν, ἐφάνη τὸ ῥῆμα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ. οὐδὲ γὰρ τῆς Ἄγαρ ἐποιήσατο λόγον, ἀλλὰ συμπαθῶς πρὸς τὸν παῖδα διέκειτο, ἅτε δὴ λοιπὸν ἐν ἡλικίᾳ γεγονότα. ἀλλὰ σκόπει μοι ἐνταῦθα τοῦ φιλανθρώπου θεοῦ τὴν ὑπερβάλλουσαν συγκατάβασιν.

A & pueri partum & lactifluos fontes mihi conceſſit. Verùm videamus & ſequentia. Poſtquam impletum eſt & lactandi tempus. *Vidit,* inquit, *Sarra filium Agar AEgyptiæ, qui factus eſt Abrahæ, ludentem cum Iſaac puero ſuo.* [10] *Et dixit Abrahæ : Eijce ancillam hanc, & puerum eius. Nequaquam enim hæres erit filius ancillæ cum filio meo Iſaac.* [11] *Durum autem apparuit verbum hoc coram Abraham ſuper filio ſuo.* Vide obſecro hîc dilecte Sarram iterum non ferentem Iſmaëlis licentiam, neque patienter ſuſtinere volentem ancillæ filium cum ſuo Iſaac con- B uerſantem. Sicut igitur prius ſuperbum ſpiritum Agar humiliare volens, vehementi indignatione fugam inire eam fecit: ita & nunc volens ab initio reprimere Iſmaëlis temeritatem, & non ferens vt videat puerum ſuum, à Deo ſibi donatum, cum ancillæ Ægyptiacæ filio ſimul verſari, dicit Abrahæ: Eijce ancillam, & filium eius. Non enim erit hæres filius ancillæ huius cum filio meo. Quoniam & ſe in extrema ætate eſſe videbat, & patriarcham C quoque decrepitum, (Erant enim ambo, inquit, pleni dierum) ſuſpicans ſi fortè repentè morerentur, illum, eò quòd ex patriarchæ concubitu natus eſſet, attentaturum vt ſe in patris hæreditatem intrudat, participſque fiat & æqualis Iſaac: idcirco dicit, Eijce ancillam hinc & filium eius. Diſcat, inquit, iam, quòd nihil commune habebit filius ancillæ, cum filio meo Iſaac. Neque enim congruum vt filius Ægyptiæ & ancillæ, cum filio meo & dominæ ſimul verſetur. Cæterùm D Sarra non immeritò rem hanc egit, ſed oppidò decenter, atque ita decenter, vt & Deus collaudarit eius dicta. Patriarcha verò bene affectus erga Iſmaëlem, moleſtè accipiebat quæ à Sarra dicebantur. Durum enim, inquit, apparuit verbum hoc coram Abraham de filio ſuo. Neque enim de Agar multum ſollicitus erat, ſed erga puerum ita afficiebatur, vtpote adhuc adoleſcentem. Sed conſidera, obſecro, hîc clementis Dei miram condeſcenſionẽ.

Cur eiici voluerit Iſmaëlem Sarra.

Nam quia vidit & Sarram pati aliquid humanum, & ægrè ferrè parem filiorum honorem : ídque meritò : Abraham autem non ferre æquo animo eiectionem Iſmaëlis & ancillæ (nam licet non obluctaretur Sarræ ob ſingularem manſuetudinem, attamen durum ei videbatur: hoc eſt graue, moleſtum, & oneroſum) tunc ſuam ſolitam ſeruans miſericordiam, & concordiæ illorum copulam conſtringens, dicit ad Abraham : [12] *Ne durum ſit coram te verbum hoc, de puero & ancilla. Omnia quæcunque dixerit tibi Sarra, audi vocem eius.* Ne accipias, inquit, grauiter quod ab ea dictum eſt : ſed omnia quæcunque dixerit tibi Sarra, audi vocem eius. Hæc omnia, inquit, quæ nunc tibi dicit de Iſmaële & de Agar, accipe : & audi vocem eius. Ne velis, inquit, contriſtare eam, quæ tanto tempore tantum amorem erga te declarauit: quæ non ſolùm ſemel, ſed & ſecundò, vt te à morte eriperet, ſeipſam pro tua ſalute expoſuit, & author tuæ iſtius gloriæ fuit. Primum quidem te fecit cum tantis diuitiis ab Ægypto redire, poſtea verò iterum in cauſa fuit vt ita te veneraretur ac obſeruaret Abimelech. Ne igitur diuerſa ab his quæ locuta eſt velis inire conſilia : enimuerò non aliter eueniet. In Iſaac enim ex ea nato tuum ſemen vocabitur, & ipſe erit tuus hæres. [13] *Filium autem illum ancillæ creſcere faciam, & in gentem magnam faciam eum, quoniam ſemen tuum eſt.* Fac igitur quæ illa tibi dixerit, & obedi voci eius. Cogita hic, obſecro, quanta ſubitò concordia & pax in contubernium eorum conceſſerit, bonitate diuina vinculum eorum conſtringente. [14] *Surrexit enim*, inquit, *mane, & accepit panes, & vtrem aquæ, & dedit Agar, & impoſuit ſuper humerum eius & puerum & dimiſit eam.* Vide hîc iterum iuſti eximiam probitatem, & qua ratione in omnibus religioſam ſuam mentem declaret : nam quando audiuit Sarram dicentem, Eiice ancillam & filium eius : durum ei videbatur, eò quòd bene afficiebatur erga Iſmaëlem:

A ἐπεὶ γὰρ εἶδε καὶ τὴν Σάῤῥαν κατὰ τὸ εἰκὸς παθοῦσάν τι ἀνθρώπινον, καὶ δυσχεραίνουσαν ἐπὶ τῇ ὁμοτιμίᾳ τῶν παίδων. καὶ τὸν Ἀβραὰμ οὐ φέροντα πράως τὴν ἐκβολὴν τοῦ Ἰσμαὴλ καὶ τῆς παιδίσκης. εἰ γὰρ καὶ μὴ ἀντέτεινε τῇ Σάῤῥᾳ διὰ πολλὴν τὴν ἐπιείκειαν, ἀλλ᾽ ὅμως σκληρὸν αὐτῷ κατεφαίνετο, τοῦτ᾽ ἔστι βαρὺ, φησὶ, καὶ ἐπαχθὲς καὶ φορτικόν. τότε λοιπὸν τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος ὁ δεσπότης, καὶ τῆς ὁμονοίας τὸν σύνδεσμον αὐτῶν συσφίγγων, φησὶ πρὸς τὸν Ἀβραάμ, μὴ σκληρὸν ἔστω ἐναντίον σου τὸ ῥῆμα περὶ τοῦ παιδίου καὶ τῆς παιδίσκης. πάντα ὅσα ἂν εἴπῃ σοι
B Σάῤῥα, ἄκουσον τῆς φωνῆς αὐτῆς. μὴ δέξῃ, φησὶ, βαρέως τὸ παρ᾽ αὐτῆς ῥηθέν σοι, ἀλλὰ πάντα ὅσα ἂν εἴποι σοι Σάῤῥα, ἄκουσον τῆς φωνῆς αὐτῆς. ταῦτα πάντα, φησὶν, ἅπερ σοι νῦν διαλέγεται περὶ τοῦ Ἰσμαὴλ καὶ τῆς Ἄγαρ καταδέξαι, καὶ ὑπάκουσον τῆς φωνῆς αὐτῆς· μὴ θελήσῃς λυπῆσαι τὴν ἐν παντὶ τῷ χρόνῳ τοσαύτην περὶ σὲ τὴν φιλοστοργίαν ἐπιδειξαμένην, τὴν οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δεύτερον, ἵνα τοῦ θανάτου σε ἐξαρπάσῃ, ἑαυτὴν ἐκδεδωκυῖαν ὑπὲρ τῆς σῆς σωτηρίας, καὶ ὑπόθεσίν σοι γενομένην τοσαύτης περιφανείας·
C καὶ πρότερον μὲν μετὰ τοσούτου πλούτου ἀπὸ τῆς Αἰγύπτου ἐπανελθεῖν πεποιηκυῖαν· μετὰ ταῦτα δὲ τοσαύτης τιμῆς ποιήσασαν ἀξιωθῆναί σε ὑπὸ τοῦ Ἀβιμέλεχ. μὴ τοίνυν ἀνάσχῃ ἐναντία τοῖς παρ᾽ αὐτῆς λεγομένοις βουλεύσασθαι. οὐ γὰρ οὐδὲ ἄλλως ἔσται. ἐν γὰρ τῷ Ἰσαὰκ τῷ παρ᾽ αὐτῆς τεχθέντι τὸ σπέρμα σοι κληθήσεται, οὗτος ἔσται σου κληρονόμος, καὶ τὸν υἱὸν δὲ τοῦτον τῆς παιδίσκης αὐξηθῆναι παρασκευάσω, καὶ εἰς ἔθνος μέγα ποιήσω αὐτὸν, ἐπειδὴ σπέρμα σόν ἐστι. ποίει οὖν τὰ παρ᾽ αὐτῆς σοι λεγόμενα, καὶ ὑπάκουσον τῆς φωνῆς αὐτῆς. ἐν-
D νόησόν μοι λοιπὸν, ὅση ἀθρόον ἡ εἰρήνη καὶ ἡ ὁμόνοια εἰς τὸ συνοικέσιον αὐτῶν ἐπολιτεύετο, τῆς τοῦ θεοῦ ἀγαθότητος τὸν σύνδεσμον αὐτῶν συσφιγγούσης. ἀνέστη γὰρ, φησι, τὸ πρωΐ, καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος, καὶ ἔδωκεν Ἄγαρ, καὶ ἐπέθηκεν ἐπὶ τῶν ὤμων αὐτῆς καὶ τὸ παιδίον, καὶ ἀπέστειλεν αὐτήν. ὅρα μοι πάλιν τοῦ δικαίου τὴν πολλὴν εὐγνωμοσύνην, καὶ ὅπως διὰ πάντων τὸν φιλόθεον αὐτοῦ σκοπὸν δείκνυσιν. ὅτε μὲν γὰρ ἤκουσε τῆς Σάῤῥας λεγούσης, ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς, πονηρὸν αὐτῷ ἐφάνη, ἐπειδὴ φιλοστόργως πρὸς τὸν Ἰσμαὴλ διέκειτο.

ἐπειδὴ δὲ ὁ δεσπότης ἐκέλευσεν, εὐθέως ἐποίει τὸ ἐπιταχθέν. καὶ ἐπελανθάνετο τῆς φυσικῆς φιλοστοργίας. ὅταν γὰρ, φησιν, αὐτὸς ἐπιτάττῃ, σχολαζέτω πάντα τὰ πάθη. ὁ γὰρ τῆς φύσεώς ἐστι δεσπότης ὁ κελεύων. λαβοῦσα τοίνυν ἡ παιδίσκη, φησὶ, τοὺς ἄρτους καὶ τὸν ἀσκὸν τοῦ ὕδατος, ἐξῆλθε μετὰ τοῦ παιδίου. ἀλλ' ὅρα μοι πάλιν διὰ τὴν περὶ τὸν δίκαιον εὔνοιαν, πῶς καὶ αὐτὴ ἀξιοῦται τῆς κηδεμονίας τῆς ἄνωθεν. ἀπελθοῦσα τοίνυν ἐπλανᾶτο κατὰ τὴν ἔρημον, καὶ τοῦ ὕδατος ἀναλωθέντος, καὶ οὐδεμίαν οὐδαμόθεν εὑρίσκουσα παραμυθίαν, ἔρριψε, φησι, τὸ παιδίον ὑποκάτω μιᾶς ἐλάτης, καὶ διεκόπτετο τὰ σπλάγχνα, καὶ ὑπὸ τῆς ὀδύνης συνεχομένη καὶ τῆς περὶ τὸ παιδίον φιλοστοργίας. ἐκάθητο, φησιν, ἀπέναντι αὐτοῦ, ὡσεὶ τόξου βολήν. εἶπε γὰρ, οὐ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου μου. καὶ ἐκάθισεν ἀπέναντι παιδίου, καὶ ἀναβοῆσαν τὸ παιδίον ἔκλαυσεν. ἀλλ' ὁ ἐλεήμων καὶ φιλάνθρωπος θεὸς, καὶ πατρὸς καὶ μητρὸς φιλοστοργίαν εἰς τὴν περὶ ἡμᾶς κηδεμονίαν ὑπερακοντίζων, εἰσήκουσε τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου οὗ ἦν, ᾤκτειρε τὸ παιδίον, ἠλέησε τὴν συμφορὰν τῆς Ἄγαρ· συνεχώρησεν αἴσθησιν αὐτὴν λαβεῖν τῆς ἐρημίας, καὶ εὐθέως τὴν παρ' ἑαυτοῦ ἀντίληψιν ἐχαρίσατο. καὶ ἐκάλεσε, φησιν, ἄγγελος τοῦ θεοῦ τὴν Ἄγαρ ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν αὐτῇ, τί ἐστιν Ἄγαρ; μὴ φοβοῦ. ἐπακήκοε γὰρ ὁ θεὸς τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου οὗ ἐστιν. ἀνάστηθι, λάβε τὸ παιδίον, καὶ κράτησον τῆς χειρὸς αὐτοῦ. εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό. ὢ φιλανθρωπίας δεσπότου. οὐκ ἐπειδὴ παιδίσκη ἦν, ὑπερεῖδεν αὐτήν, ἀλλ' ἐπειδὴ ἐπαγγελίαν ἐποιήσατο πρὸς τὸν πατριάρχην, καὶ ἐπειδὴ ἐκείνου τὸ σπέρμα ἐτύγχανε, τοσαύτης προνοίας καὶ αὐτὴν ἀξιοῖ, καὶ φησι, τί ἐστιν Ἄγαρ; μὴ φοβοῦ. ἐπήκουσε γὰρ ὁ θεὸς τῆς φωνῆς τοῦ παιδίου. ἀνάστηθι καὶ λάβε αὐτὸ, καὶ κράτησον τῆς χειρὸς αὐτοῦ. εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό. μὴ ἀθύμει, φησὶ, διὰ τὸ ἐκβληθῆναί σε τῆς οἰκίας. τοσαύτης γὰρ ἀπολαύσεται τῆς παρ' ἐμοῦ προνοίας, ὡς καὶ εἰς ἔθνος μέγα γενέσθαι καὶ αὐτό. καὶ ἤνοιξε, φησι, τοὺς ὀφθαλμοὺς αὐτῆς. οὐκ ἐπειδὴ πρὸ τούτου οὐχ ἑώρα, ἀλλ' ἐπειδὴ καὶ τῶν ὀφθαλμῶν ἀνεῳγμένων οὐδὲν αὐτῇ ὄφελος ἐγένετο πρὸ τῆς ἄνωθεν ἐπισκοπῆς. διὰ τοῦτο ὅτε ἐβουλήθη τὴν παρ' ἑαυτοῦ κηδεμονίαν ἐπιδείξασθαι, φησιν, ἀνέῳξε τοὺς ὀφθαλμοὺς αὐτῆς, ἀντὶ τοῦ, ὑπέδειξεν αὐτῇ ἀγνοούσῃ, τὴν διάνοιαν αὐτῆς διήγειρεν, ὡδήγησεν αὐτήν, ὥστε ἰδεῖν τὸν τόπον τὸν ἀναβλύζοντα τοῦ ὕδατος τὰς πηγάς.

A verum vbi Dominus præcepit, ſtatim fecit quod imperatum eſt etiam naturalis amoris oblitus, quaſi diceret: Vbi quid præcipit Dominus, faceſſant omnes affectiones: quia naturæ dominus eſt, qui præcipit, *Vt accepit igitur,* inquit, *ancilla panes, & vtrem aquæ, egreſſa eſt cum puero.* Verum (obſecro) vide iterum, propter beneuolentiam, qua proſequebatur iuſtum Deus, quomodo hæc quoque ſuperna cura digna habetur. Vt ergo abiit, vagabatur per ſolitudinem, & cùm aqua cōſumpta nullam vſquam inueniret conſolationem, [15] *Abiecit* B *puerum,* inquit, *ſubter vnam abietē.* Diſrumpebantur eius viſcera, & dolebat multum ob immodicam erga puerum affectionem. [16] *Sedit,* inquit, *aduerſus eum, quaſi ad iactum arcus. Dicebat enim: Non videbo mortem pueri mei. Et ſedit è regione pueri. Clamans autem puer, plorauit.* Cæterum miſericors & benignus Deus, patris & matris erga nos curam ſua tranſcendens pietate, *Exaudiuit vocem pueri de loco vbi erat.* Miſertus eſt & pueri, & calamitatis Agar. Permiſit tantum eam ſentire C quid ſit ſolitudo, & ſtatim ſuum conceſſit præſidium. [17] *Et vocauit,* inquit, *angelus Dei Agar de coelo, & dixit ei: Quid eſt Agar? Ne timeas: audiuit enim Deus vocem pueri de loco vbi eſt.* [18] *Surge, accipe puerum, & apprehende manum eius: in gentem enim magnam faciā eum.* O miſericordiam Domini, non quia ancilla erat, deſpexit eam: ſed quia patriarchæ promiſerat, & illius hoc ſemen erat, tantam quoque curam erga eam declarare dignatur. Dicit: Quid eſt Agar? Ne timeas: exaudiuit enim dominus vocem pueri. Surge D & accipe illum, & apprehende manum eius. In gentem enim magnam faciam illum. Ne mœreas, inquit, eò quòd è domo eiecta ſis. Tantam enim curam ego pueri agam, vt & in gentem magnam fiat. [19] *Et aperuit,* inquit, *oculos eius.* Non quòd antea non viderit, ſed quia nihil proderant ei aperti oculi ante ſupernam viſitationem. Propterea cùm vellet ſuam prouidentiam declarare, inquit: Aperuit oculos eius: id eſt, indicauit ei ignoranti, & mentem eius excitauit, viámque ei oſtendit, vt videret locū in quo fontes aquæ ſcaturiebant.

Et vidit, inquit, *fontem aquæ viuentis, & iuit, & impleuit vtrem, & potauit puerum.* In inuiis viam præbuit: & perplexæ menti, nullámque ſalutis ſpem habenti ſuam liberalitatem exhibuit, ſimul eam conſolans, & pueri curam agens. Sic quandocunque voluerit Deus, licet in ſolitudine ſimus, & in extremis afflictionibus, nullámque ſpem ſalutis habeamus, nullo alio opus habebimus, diuino auxilio nobis omnia ſuppeditante. Nam ſi eius beneuolentiam nobis conciliauerimus, nullus nobis præualebit, ſed nos potentiores omnibus erimus. [20] *Et erat Deus cum puero*, inquit, *& creuit, & habitauit in ſolitudine.* Sic quando amicum & beneuolum habemus Deum, etiamſi in deſerto fuerimus, multò ſecuriores viuemus, quàm ij qui in ciuitatibus verſantur. Maxima enim ſecuritas, & inexpugnabilis murus eſt auxilium diuinum. Et vt diſcas, quomodo qui in ſolitudinibus agit, ſecurior ſit, & potentior his qui in mediis ciuitatibus verſantur, ingenti hominum præſidio freti: videamus quomodo Dauid de loco in locum tranſiens, & quaſi erraticus vagans, manu ſuperna munitus fuerit. Saul autem cùm eſſet in mediis ciuitatibus, & tantum ſecum duceret exercitum, & ſatellites habens, & armigeros, quotidie timebat, & tremebat inimicorum inſidias. Et ille quidem qui ſolus erat, nullúmque alium ſecum habebat, non indigebat humano præſidio: hic verò coronatus, & purpura indutus illius auxilio indigebat, & regi opus erat paſtoris opera: & diademate redimito, priuati adiumentum neceſſarium erat. Sed ſi vultis, aliquanto ſuperiora de ſerie huius ſermonis petamus, vt omni hac hiſtoria in medium producta, diſcamus nihil fortius eſſe munito ſuperna gratia, & nihil infirmius eo qui hac priuatus eſt, etiamſi innumeris circumdetur exercitibus. Igitur Dauid ille cùm adhuc adoleſcens ob immaturam ætatem in paterna domo verſaretur, quoniam tempus aliquãdo expoſcebat, vt clarior eius fieret virtus, admonitus à patre, vt fratres ſuos inuiſeret, miſſus eſt ad eos. Porrò cũ ad illos veniſſet inuiſendi gratia,

1. Reg. 18. & ſeq.

Nihil potentius eo qui Dei auxilio munitus eſt.

A καὶ εἶδε, φησι, φρέαρ ὕδατος ζῶντος, καὶ ἐπορεύθη καὶ ἔπλησε τὸν ἀσκὸν, καὶ ἐπότισε τὸ παιδίον. ἐν ἀπόροις πόρον ἐχαρίσατο ὁ κύριος, καὶ ἐν ἀμηχανίᾳ τοιαύτῃ τυγχανούσῃ καὶ οὐδεμίαν ἐλπίδα σωτηρίας ἐχούσῃ τὴν οἰκείαν φιλοτιμίαν εἰς αὐτὴν ἐπεδείξατο, ὁμοῦ καὶ αὐτὴν παραμυθησάμενος, καὶ τοῦ παιδὸς τὴν πρόνοιαν ποιησάμενος. οὕτως ὅταν βούληται ὁ θεὸς, κἂν ἐν ἐρημίᾳ ὦμεν, κἂν ἐν αὐτοῖς τοῖς ἐσχάτοις κακοῖς, κἂν μηδεμίαν ἐλπίδα σωτηρίας ἔχωμεν, οὐδενὸς ἑτέρου δεησόμεθα, τῆς B τοῦ θεοῦ ῥοπῆς τὰ πάντα ἡμῖν γινομένης. ἐὰν γὰρ τὴν παρ' αὐτοῦ εὔνοιαν ἐπισπασώμεθα, οὐδεὶς ἡμῶν περιέσται, ἀλλὰ πάντων ἐσόμεθα ὑψηλότεροι. καὶ ἦν ὁ θεὸς μετὰ τοῦ παιδίου, φησὶ, καὶ ηὐξήθη, καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ. οὕτως, ὅταν εὐμενῆ τὸν θεὸν ἔχωμεν, κἂν ἐν ἐρήμῳ ὦμεν, τῶν ἐν ταῖς πόλεσι διαγόντων ἀσφαλέστερον διατρίψομεν. μεγίστη γὰρ ἀσφάλεια καὶ τεῖχος ἀκαταγώνιστον ἡ παρὰ τοῦ θεοῦ ῥοπή. καὶ ἵνα μάθῃς ὅπως ὁ ἐν ἐρήμῳ τυγχάνων τοῦ ἐν μέσαις ταῖς πόλεσι διατρίβοντος, καὶ πολλῆς τῆς ἀνθρωπίνης συμμαχίας ἀπολαύοντος C καὶ ἀσφαλέστερος καὶ δυνατώτερος καθέστηκεν, ἴδωμεν πῶς ὁ μὲν Δαβὶδ τόπους ἐκ τόπων ἀμείβων, καὶ καθάπερ ἀλήτης διάγων, ὑπὸ τῆς ἄνωθεν χειρὸς ἐτειχίζετο· ὁ δὲ Σαοὺλ ἐν μέσαις ταῖς πόλεσι τυγχάνων, καὶ στρατόπεδα τοσαῦτα ἐπαγόμενος καὶ δορυφόρους καὶ ὑπασπιστὰς ἔχων, καθ' ἑκάστην ἡμέραν ἐδεδοίκει καὶ ἔτρεμε τῶν πολεμίων τὴν ἔφοδον. καὶ ὁ μὲν μόνος ὢν καὶ οὐδένα ἔχων μεθ' ἑαυτοῦ ἕτερον, οὐκ ἐδεῖτο τῆς παρὰ τῶν ἀνθρώπων συμμαχίας· ὁ δὲ τὸ διάδημα περικείμενος καὶ τὴν ἁλουργίδα ἔχων, τῆς παρὰ τούτου βοηθείας D ἐχρῇζεν· ὁ βασιλεὺς τοῦ ποιμένος ἐδεῖτο, καὶ ὁ τὸ διάδημα περικείμενος τοῦ ἰδιώτου. ἀλλ', εἰ βούλεσθε, ἀνωτέρω ἀναγάγωμεν τὴν ἀκολουθίαν τοῦ λόγου, ἵνα πᾶσαν αὐτοῦ τὴν ἱστορίαν εἰς μέσον ἀγαγόντες, μάθωμεν ὡς οὐδὲν ἰσχυρότερον τοῦ πεφραγμένου τῇ ἄνωθεν συμμαχίᾳ, καὶ οὐδὲν ἀσθενέστερον τοῦ ταύτης ἐρήμου τυγχάνοντος, κἂν ὑπὸ μυρίων στρατοπέδων κυκλούμενος ᾖ. οὗτος οὖν ὁ Δαβὶδ νέος ὢν κομιδῇ, καὶ διὰ τὸ τῆς ἡλικίας ἄωρον ἐν τῇ οἰκίᾳ τῇ πατρικῇ διάγων, ἐπειδή ποτε καιρὸς ἐκάλει, τοῦ τὴν ἀρετὴν φανερὰν γενέσθαι, προτραπεὶς ὑπὸ τοῦ πατρὸς ἐπισκέψασθαι τοὺς ἑαυτοῦ ἀδελφοὺς ὑπήκουσε καὶ ἀπεστέλλετο πρὸς αὐτούς. παραγενόμενος οὖν εἰς τὴν τούτων ἐπίσκεψιν.

ὅτε γὰρ εἶδε τὸν πόλεμον συνεστῶτα τὸν τοῦ ἀλλοφύλου Γολιάθ, καὶ πάντα τὸν λαὸν καταπεπληγότα τὸν μετὰ τοῦ Σαοὺλ, καὶ αὐτὸν τὸν βασιλέα εἰς τὸν περὶ τοῦ παντὸς κίνδυνον καθεστῶτα, τέως θεατὴς ἐβούλετο γενέσθαι, καὶ ἀπῄει ἰδεῖν τὸ καινὸν καὶ παράδοξον, ὅτι εἷς ἄνθρωπος τοσούτων μυριάδων κατεξανίστατο. ἀλλ' οἱ ἀδελφοὶ τοῦ φρονήματος αὐτοῦ οὐκ ἐνεγκόντες τὴν ἀνδρείαν, εἰς φθόνον διηγέρθησαν, καί φασι πρὸς αὐτὸν δι' οὐδὲν ἕτερον ἐλήλυθας, ἢ ἵνα τὸν πόλεμον ἴδῃς· οὐδὲ γὰρ διὰ τὴν ἐπίσκεψιν τὴν ἡμετέραν παραγέγονας· ἀλλ' ὅρα τούτου τὴν σύνεσιν καὶ τὴν πολλὴν ἐπιείκειαν. οὐδὲν προπετὲς πρὸς αὐτοὺς φθέγγεται, οὐδὲν τραχὺ, ἀλλὰ καταστέλλων αὐτῶν τὴν φλόγα, καὶ τὸν φθόνον καταπραΰνων, φησὶν, οὐχὶ ῥῆμά ἐστι; μὴ γὰρ ὅπλα με εἴδετε μεταχειριζόμενον; μὴ γὰρ παραταττόμενον ἐθεάσασθε; ἁπλῶς ἰδεῖν ἐβουλήθην, καὶ πυθέσθαι πόθεν τούτῳ τῆς τοσαύτης μανίας ἡ ὑπερβολή. τίς γάρ ἐστιν ὁ ἀλλόφυλος, ὁ ὀνειδίζων παράταξιν θεοῦ ζῶντος; εἶτα ἀκούων κἀκείνου τὴν πολλὴν μεγαλορρημοσύνην, καὶ τῶν μετὰ τοῦ Σαοὺλ ἀφιεμένων τὴν ἄφατον δειλίαν, φησὶ, τί ἔσται τῷ ἀνθρώπῳ τῷ τούτου τὴν κεφαλὴν ἐκτέμνοντι; καὶ πολλὴν τῆς ψυχῆς τὴν ἀνδρείαν ἐδείκνυ διὰ τῶν ῥημάτων πάντας εἰς ἔκπληξιν ἀγαγών. ταῦτα γνοὺς ὁ Σαοὺλ μεταπέμπεται τὸν νέον τὸν τῆς ποιμαντικῆς πλέον εἰδότα οὐδὲν, καὶ ἰδὼν αὐτοῦ τὴν ἡλικίαν ἐξευτέλισεν. εἶτα μαθὼν παρ' αὐτοῦ, ὅπως τοῖς ἄρκοις ἐνέχετο, ἡνίκα ἐπῄεσαν τοῖς ποιμνίοις· ἠναγκάσθη γὰρ ταῦτα διηγήσασθαι ὁ θαυμάσιος οὗτος, οὐ κενοδοξῆσαι βουλόμενος, ἀλλ' εἰς ἀνάγκην καταστὰς, ὥστε ἐκείνῳ θάρσος ἐνθεῖναι, καὶ μὴ πρὸς τὴν εὐτέλειαν τοῦ φαινομένου ἰδεῖν, ἀλλὰ πρὸς τὴν πίστιν τὴν ἔνδοθεν κρυπτομένην, καὶ τὴν συμμαχίαν τὴν ἄνωθεν, δι' ἣν ὁ νέος τῶν ἀνδρῶν ἦν ἰσχυρότερος, καὶ ὁ ἄοπλος τῶν ὡπλισμένων, καὶ ὁ ποιμὴν τῶν στρατιωτῶν· εἶτα ἰδὼν αὐτοῦ τὸ παράσημον τῆς γνώμης ὁ βασιλεὺς, τὰ οἰκεῖα ὅπλα ἐνδύειν αὐτὸν ἐβούλετο. ὁ δὲ ταῦτα περιθέμενος οὐδὲ ἐνεγκεῖν αὐτὰ ἴσχυσε. τοῦτο δὲ ἐγίνετο, ἵνα γυμνὴ δειχθῇ ἡ τοῦ θεοῦ δύναμις ἡ δι' αὐτοῦ ἐνεργοῦσα, καὶ μὴ τοῖς ὅπλοις λογίσωνται τὰ γινόμενα. ἐπειδὴ γὰρ μετὰ τὸ ἐνδύσασθαι ταῦτα ἐχώλευεν, ἀπέθετο τὰ ὅπλα, καὶ τὴν κάδον τὴν ποιμαντικὴν λαβὼν καὶ τὰς βώλους, οὕτως ἐπὶ τὸν σαρκινὸν ἐκεῖνον πύργον ἐξῄει.

A vbi vidit inſtructam aciem contra alienigenam Goliath, & omnem populum iuxta Saulum formidine perculſum, regémque ipſum in ſummo conſtitutum periculo, tunc ſpectator volebat fieri, & abiit vt videret nouũ & rarum ſpectaculum, quòd vnus homo aduerſus tot millia ſe opponeret. Verum fratres eius non ferentes fortitudinem ſpiritus, prouocati ſunt in inuidiã, & dicunt ad eum: Nõ alia de cauſa veniſti, quàm vt bellum videres. Non enim veniſti noſtri cauſa, vt nos inuiſeres. At tu vide huius pru- 1. Reg.
dentiam & manſuetudinem: nihil te- 17.
B merarium, neque aſperum eis loquitur: ſed reprimens eorum flammam, & demulcens inuidiam, inquit: Nunquid non verbum eſt? nunquid, inquit, vidiſtis me arma arripere? nunquid vidiſtis me ordinari cum cæteris in acie? Tãtum videre volui, & interrogare vnde huic tantum inſaniẹ. Quis enim eſt alienigena iſte, qui exprobrat exercitum Dei viuentis? Poſtea cùm audiret illius blaſphemias & arrogantiam, & videret trepidationem eorum qui cum Saul
C erãt, inquit: Quid erit viro, qui illius caput execuerit? & magnum animi robur his verbis oſtendebat, omnes in admirationem adducens. Hæc vt cognouit Saul, mittit ad iuuenem, qui præter paſtoritiam artem ſciebat nihil: & vt vidit eius ætatem, vilipendit eum. Deinde cum didiciſſet ex eo, quomodo cum vrſis egiſſet, qui greges ſuos inuaſerant: (Coactus enim fuit admirabilis ille vir hæc narrare, nolens hinc vanam gloriam aucupari, ſed in neceſſitate conſtitutus, & vt illi animum aederet, & ne ſpe-
D ctaret ad vilitatem eius quod apparebat, ſed ad fidem quæ intrinſecus latebat, ſupernúmq; auxiliũ quo adoleſcẽs inermis viris armatis, & paſtor militibus fortior erat:) Ergo vbi rex vidit mentis eius fiduciam, ſuis illum armis induere volebat, indutus autẽ ea ferre nõ potuit. Hoc autem factũ eſt, vt virtus Dei manifeſta monſtraretur: & non armis, quę fiebant mira, aſcriberentur. Nam quoniam indutus illis grauabatur, & minus expeditus erat, depoſuit arma, & accepta pera paſtorali & ſilicibus, contra carneam illam turrim egreſſus eſt.

Et vide iterum alienigenam ad vilitatem ætatis ſpectantem, & ob hoc vilipendentem iuſtum illum, & quaſi contra puerum humilem verbis exurgentem. Nam poſtquam vidit eum cum paſtorali pera contra ſe contendentem, & lapides ſolùm afferentem, in hunc fermè modum ad eum dicebat: Putaſti te adhuc apud oues eſſe, & canes quoſdam perſequi: & ita aduerſum me, quaſi contra canem inſtrumentis illis inſtructus, in pugnam veniſti? ſtatim experientia diſces non tibi cum homine vulgari bellum eſſe. Et vſus magno verborum faſtu, properabat, armaturámque ſuam omnem mouebat, ac arma exerebat. Et ipſe quidem armorum virtute fidens, pugnam iniuit: Dauid autem fide, ſupernóque præſidio munitus. Et prius verbis ſuperbi elationem & ſupercilium decutiens, vt dixit ad eum: Tu venis ad me in armis & lancea, & tua virtute victurum te putans: ego autem in nomine domini Dei. Vt hæc inquam dixit, ſumpto ex pera paſtorali ſilice, quaſi reuera canem aliquem gregem inuadentem abacturus, funda iaculatus eſt: ſtatímque in fronte percuſſum alienigenam deiecit: & feſtinãter educto illius gladio, caput eius amputauit, & regi attulit, finémque bello impoſuit. Atque illius opera & rex ſalutem inuenit, & omnis illius exercitus reſpirauit. Vidiſſes tunc inopinatas admirabiléſque res, armatum ab inermi deiectum. reíque militaris peritum ab eo proſtratum, qui præter paſtoralem artem nihil ſciebat. Quare, & ob quam cauſam? Quia hic quidem habuit ſupernam gratiam ſe adiuuantem: ille autem ea carens, in huius manus venit. Iam vide hîc, quàm abſurda operatus ſit inuidiæ morbus. Poſtquam enim rex vidit iuſtum hunc tanta gloria celebrari, & tripudiantes clamare, Vicit Saul in

1.Reg. 18. millibus, Dauid autem in decẽ millibus: non ferens æquo animo quę de hoc dicebantur, (quanuis iuxta rationem iuſtam ei magis tribuerãt quàm Dauid) victus inuidia benefactori malm rependit. Et quem oportebat vt ſaluatorem & benefactorem agnoſcere, eum interficere quærebat.

A ἀλλ' ὅρα πάλιν καὶ τὸν ἀλλόφυλον πρὸς τὸ εὐτελὲς τῆς ἡλικίας ὁρῶντα, καὶ ἐντεῦθεν ἐξευτελίζοντα τὸν δίκαιον, καὶ καθάπερ παιδίου εὐτελοῦς κατεξανιστάμενον διὰ τῶν ῥημάτων. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν μετὰ τῆς κάδδου τῆς ποιμαντικῆς ἐπ' αὐτὸν ὁρμήσαντα, καὶ τὰς βώλους μόνας ἐπιφερόμενον, μονονουχὶ πρὸς αὐτὸν ἔλεγεν, ἐνόμισας σὺ πάλιν προβάτοις ἐφεστάναι, καὶ κύνας τινὰς ἐκδιώκειν, καὶ διὰ τοῦτο καθάπερ κύνα τινὰ ἐλαύνων, οὕτω μετὰ τῶν ὀργάνων ἐκείνων ἐπὶ τὴν πρὸς ἐμὲ μάχην ὥρμησας. ἄρτι σε ἡ πεῖρα διδάξει, ὡς οὐ πρὸς τὸν τυχόντα σοι ὁ πόλεμος. καὶ πολλῇ τῇ μεγαλορρημοσύνῃ
B χρησάμενος ἔσπευδε καὶ ἠπείγετο, καὶ τὴν πανοπλίαν ἐκίνει, καὶ τὰ ὅπλα ἐξέτεινεν. ἀλλ' ὁ μὲν τῇ δυνάμει τῶν ὅπλων πεποιθὼς ἥπτετο τῆς μάχης· ὁ δὲ τῇ πίστει καὶ τῇ ἄνωθεν συμμαχίᾳ συμφράξας ἑαυτὸν, καὶ πρότερον διὰ τῶν ῥημάτων τοῦ ἀλλοφύλου τὸ φρύαγμα κατενεγκὼν, καὶ εἰπὼν πρὸς αὐτὸν, σὺ μὲν ἔρχῃ πρὸς μὲ ἐν ὅπλῳ καὶ δόρατι, καὶ τῇ οἰκείᾳ ἰσχύϊ νομίζεις περιγενέσθαι· ἐγὼ δὲ ἐν ὀνόματι κυρίου τοῦ θεοῦ. καὶ ταῦτα εἰπὼν καὶ ἀνελόμενος ἐκ τῆς κάδδου τῆς ποιμενικῆς μίαν βῶλον, καθάπερ ὄντως κύνα τινὰ μέλλων ἀπελαύνειν ἐπιόντα τῇ ποίμνῃ, οὕτω
C τῇ σφενδόνῃ ἐξακοντίσας, παραχρῆμα κατὰ τοῦ μετώπου πλήξας τὸν ἀλλόφυλον κατήνεγκε, καὶ σπεύσας καὶ ἀφελὼν αὐτοῦ τὸ ξίφος, δι' ἐκείνου τὴν κεφαλὴν ἀποτεμὼν, οὕτως ἀνήνεγκε τῷ βασιλεῖ, καὶ τέλος τῷ πολέμῳ δέδωκε. καὶ δι' ἐκείνου καὶ ὁ βασιλεὺς τὴν σωτηρίαν εὕρατο, καὶ πᾶς ὁ τούτου στρατὸς ἀνέπνευσε. καὶ ἦν ἰδεῖν θαυμαστὰ καὶ παράδοξα πράγματα, τὸν ὡπλισμένον ὑπὸ τοῦ ἀόπλου κατενηνεγμένον, καὶ τὸν τὰ πολεμικὰ ἔμπειρον ὑπὸ τοῦ τῆς ποιμενικῆς πλέον εἰδότος μηδὲν πίπτοντα. τίνος ἕνεκεν καὶ διὰ τί; ὅτι ὁ μὲν τὴν ἄνωθεν εἶχε συμμαχίαν συνεφαπτομένην αὐτῷ· ὁ δὲ ταύτης ἔρη-
D μος ὢν ὑπὸ ταῖς τούτου χερσὶν ἐγίνετο. ἀλλ' ὅρα λοιπὸν ἐνταῦθα τὸ πάθος τοῦ φθόνου ὅσην εἰργάσατο τὴν ἀτοπίαν. ἐπειδὴ γὰρ εἶδεν ὁ βασιλεὺς εὐφημίας πολλῆς ἀπολαύσαντα τὸν δίκαιον τοῦτον, καὶ τὰς χορευούσας κραζούσας, ἐνίκησε Σαοὺλ ἐν χιλιάσι, καὶ Δαβὶδ ἐν μυριάσιν, οὐκ ἐνεγκὼν πράως τὰ παρ' αὐτῶν ῥηθέντα· καίτοι κατὰ τὸν τοῦ δικαίου λόγον αὐτῷ μᾶλλον ἐχαρίσαντο, ἢ τῷ Δαβὶδ· ἡττηθεὶς ὑπὸ τοῦ φθόνου τὸν εὐεργέτην τοῖς ἐναντίοις λοιπὸν ἠμείβετο, καὶ ὃν ἐχρῆν σωτῆρα καὶ εὐεργέτην ἐπιγράφεσθαι, τοῦτον ἀνελεῖν ἐπεχείρει.

ὢ μανίας ὑπερβολή, ὢ παραπληξίας ἐπίτασις. A τὸν τὴν ζωὴν αὐτοῦ διασωσάμενον, καὶ πάντα τὸν στρατὸν αὐτοῦ ἐλευθερώσαντα τῆς τοῦ ἀλλοφύλου μανίας, τοῦτον ὡς πολέμιον λοιπὸν ὑφεωρᾶτο, καὶ οὐδὲ ἔναυλος οὖσα ἡ εὐεργεσία περιεγίνετο τοῦ πάθους, ἀλλὰ καθάπερ ὑπὸ μέθης τινός, ὑπὸ τοῦ φθόνου σκοτωθεὶς τὸν τῆς διανοίας λογισμόν, τὸν εὐεργέτην ὡς πολέμιον ἑώρα. τοιοῦτον γὰρ ἡ κακία τοῦ πάθους τούτου· αὐτοῦ πρότερον λυμαίνεται τοῦ τοῦτο τίκτοντι. καὶ καθάπερ σκώληξ ὑπὸ τοῦ ξύλου τικτόμενος αὐτὸ πρότερον τὸ ξύλον καταναλίσκει. οὕτω καὶ ὁ φθόνος ἐκείνην πρότερον διαφθείρει τὴν τεκοῦσαν αὐτὸν ψυχήν, B καὶ τὸ ἐναντίον ἢ βούλεται τὸν φθονούμενον διατίθησι. μὴ γάρ μοι τὰ προοίμια σκόπει ἐπὶ τῶν φθονουμένων, ἀλλὰ πρὸς τὸ τέλος ἀφόρα, καὶ ἐννόει ὅτι αὐτὴ ἡ κακία τῶν φθονούντων εἰς μείζονα περιφάνειαν ἄγει τοὺς φθονουμένους. οἱ μὲν γὰρ καὶ τὸν θεὸν ἐφέλκονται εἰς συμμαχίαν, καὶ τῆς ἄνωθεν ἀπολαύουσι ῥοπῆς· ὁ δὲ ταύτης ἔρημος, πᾶσιν εὐεπιχείρητος γίνεται, καὶ πρὸ τῶν ἔξωθεν πολεμίων ὑπὸ αὐτοῦ τοῦ πάθους πολιορκούμενος μονονουχὶ καταναλίσκεται, καὶ ὥσπερ ἀδήλοις γνάθοις κατεσθιόμενος, οὕτω δαπανώμενος ὑποβρύχιος, ὡς εἰπεῖν, γίνεται. C ὅπερ εἰδότες φεύγωμεν, παρακαλῶ, τὴν λύμην τοῦ πάθους, καὶ πάσῃ δυνάμει ἐξορίζωμεν τοῦτο τῆς ἑαυτῶν ψυχῆς. πάντων γὰρ τῶν παθῶν τοῦτο ὀλεθριώτερον, καὶ αὐτῇ ἡμῶν τῇ σωτηρίᾳ λυμαινόμενον. τοῦ γὰρ πονηροῦ διαβόλου ἐστὶν εὕρημα. δι' ὃ καί τις σοφὸς ἔλεγε, φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. τί ἐστι, φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον; ἐπειδὴ γὰρ εἶδε τὸ πονηρὸν τοῦτο θηρίον ἀθάνατον γενόμενον τὸν πρωτόπλαστον, διὰ τῆς οἰκείας πονηρίας εἰς τὴν τῆς ἐντολῆς παρακοὴν αὐτὸν D ἤγαγε, καὶ δι' ἐκείνης τοῦ θανάτου τὴν τιμωρίαν παρεσκεύασεν αὐτὸν ἐπισπάσασθαι. ὁ φθόνος τοίνυν τὴν ἀπάτην εἰργάσατο, ἡ ἀπάτη τὴν παρακοήν, ἡ παρακοὴ τὸν θάνατον. διὰ τοῦτό φησι, φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. εἶδες πόση τοῦ πάθους ἡ λύμη; τὸν ἀθανασίᾳ τιμηθέντα θανάτῳ ὑποκεῖσθαι πεποίηκεν. ἀλλ' ὁ μὲν ἐχθρὸς τῆς ἡμετέρας σωτηρίας τὸν οἰκεῖον φθόνον κινήσας, ὄντα ἀθάνατον τὸν πρωτόπλαστον θανάτῳ καταδικασθῆναι πεποίηκεν·

O excellentem inſaniam, ô ſtuporis magnitudinem, eum qui vitam ſibi ſeruarat,& omnem ſuum exercitum ab alienigenæ Goliath furore liberauerat, vt hoſtem ſuſpectum habuit:& immemor beneficij, ab affectione vincebatur:ſed mente ſua obtenebratus ab inuidia, perinde ac ab ebrietate quadam, benefactorem vt hoſtem ſpectabat. Ita enim ſe habere ſolet huius affectionis malitia, primum corrumpit eum à quo generatur. Et quemadmodum vermis qui à ligno producitur, lignum primò conſumit: ita & inuidia illam primò animam corrumpit à qua nata eſt, & ei cui inuidetur planè diuerſa quàm vult affert. Ne igitur reſpice ad principium eorum quibus inuidetur, ſed ad finem reſpice, & attende, quia malitia inuidentium, eos quibus inuidet clariores efficit. Nam is cui inuidetur ſubſidiarium habet Dei auxilium,& gratia fruitur:qui autem inuidet,gratia ſpoliatur,& facilè vincitur ab omnibus:& antea à ſuis affectionibus, quàm externis hoſtibus infeſtatus,quaſi conſumitur, & quaſi occultis maxillis deuoratur, & abſumptus(vt ita dicam) ſubmergitur. Quæ cùm nobis comperta ſint, obſecro fugiamus affectionis huius damnum, & omnibus viribus ab animabus noſtris eliminemus. Pernicioſiſſima enim eſt omnium affectionum, noſtrámque ſalutem corrumpit, vtpote diaboli inuentum: propterea & ſapiens quidam dicebat, Inuidia autem diaboli mors intrauit in mundum. Quid eſt, inuidia diaboli mors intrauit in mũdum? Nam poſtquam mala hæc beſtia primum hominem vidit immortalem, per ſuam malignitatem ad tranſgreſſionem mandati induxit,per quam fecit vt morti fieret obnoxius. Inuidia igitur deceptionem operata eſt, deceptio tranſgreſſionem, tranſgreſſio inobedientiam, inobedientia mortem. Propterea dicit: Inuidia autem diaboli mors intrauit in mundum. Vidiſti quantum affectionis huius damnum? immortalitate inſignem, mortalem fecit. Verùm inimicus quidem noſtræ ſalutis, ſua inuidia immortalem primigenium hominem, ad mortem condemnari fecit:

Moralis exhortatio ad fugiendã inuidiam.

Sap.2.24.

miſericors autem, ſollicitúſque pro nobis dominus, per mortem ſuam iterum immortalitatem nobis largitus eſt. Vnde & maiora quàm amiſimus inuenimus: paradiſo eiecit, & in cœlum induxit, morte condemnari fecit, & immortalitatem nobis donauit: paradiſi deliciis priuauit, & regnum cœlorum nobis præparauit. Vidiſti ſolertem domini tui ſapientiam? & quomodo ea, quæ per inuidiam diaboli contra ſalutem noſtrā facta ſunt, in caput illius conuertit? non enim ſolùm nos maioribus dignatus eſt, ſed & illum ipſum nobis ſubiecit dicens: Ecce dedi vobis poteſtatem calcandi ſuper ſerpentes & ſcorpios. Proinde hæc omnia cogitantes, & inuidiam ex animabus noſtris effugemus, & ſtudeamus vt diuinam nobis beneuolentiam conciliemus. Hæc enim noſtra armatura ſolida, & inexpugnabilis, hæc noſtræ maximæ diuitiæ: per hanc & Iſmaël, quamuis adoleſcens, & in ſolitudine, rerúmque omnium inopia ſtatim creuit, & in gentem magnam factus eſt. Quia Deus erat, inquit, cum puero. Hinc enim totus ſermo noſter egreſſus eſt. Deſpiciamus igitur, oro, præſentia, deſideremus futura: gratiam Dei omnibus præferamus, & per vitam optimam multam fiduciam nobis antea reponamus: vt & præſentem vitam citra mœrorem tranſigamus, & futura bona conſequamur, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum patre ſimul, & Spiritu ſancto ſit gloria, nunc, & ſemper, & in ſecula ſeculorum, Amen.

Dæmon ſubiect[9] homini.

Lucæ 10.19.

Homilia. XLVII.

Gen. 22. 1.

Et factum eſt poſt verba hæc, Deus tentabat Abraham.

INGENS lucrum, grandíſque theſaurus in verbis quæ hodie lecta, tametſi pauca ſint, latēt. Eo enim modo ſe habent diuina eloquia, vt multas diuitias non in multitudine verborum, ſed in breuitate ſermonum contineant. Agè igitur aperiamus quæ dicta ſunt, & diſcamus diligenter eorum quæ hodie lecta, vim & mētem.

A ὁ δὲ κηδεμὼν καὶ φιλάνθρωπος διὰ τοῦ θανάτου τοῦ οἰκείου πάλιν τὴν ἀθανασίαν ἡμῖν ἐχαρίσατο, καὶ μείζονα ὧν ἀπωλέσαμεν, εὕραμεν. παραδείσου ἐκεῖνος ἐξήγαγε, καὶ εἰς τὸν οὐρανὸν οὗτος ἀνήγαγε· θανάτῳ καταδικασθῆναι ἐκεῖνος πεποίηκε, καὶ τὴν ἀθανασίαν ἡμῖν οὗτος ἐχαρίσατο. τῆς ἐν παραδείσῳ τρυφῆς ἀπεστέρησεν ἐκεῖνος, καὶ βασιλείαν ἡμῖν οὐρανῶν εὐτρέπισεν οὗτος. εἶδες τοῦ δεσπότου σου τὸ εὐμήχανον, καὶ ὅπως τὰ παρὰ τῆς βασκανίας ὅπλα τοῦ διαβόλου κατὰ τῆς ἡμετέρας σωτηρίας γεγενημένα, ἐκεῖνα αὐτὰ περιέτρεψεν εἰς τὴν αὐτοῦ κεφαλήν; οὐ μόνον γὰρ ἡμᾶς μειζόνων ἠξίωσεν, ἀλλὰ καὶ B ἐκεῖνον ἡμῖν ὑποχείριον ἔδωκεν, εἰπών, ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Ταῦτα τοίνυν ἅπαντα λογιζόμενοι καὶ τὸν φθόνον τῆς ἑαυτῶν ψυχῆς ἐξορίζωμεν, καὶ τὴν εὔνοιαν τὴν παρὰ τοῦ θεοῦ ἐπισπώμεθα. τοῦτο γὰρ ἡμῶν τὸ ὅπλον τὸ ἀκαταγώνιστον· τοῦτο ἡμῶν ἡ μεγίστη περιουσία. διὰ τοῦτο καὶ ὁ Ισμαὴλ, καίτοι νέος καὶ ἐν ἐρημίᾳ ὢν καὶ πολλῇ ἀπορίᾳ, ἀθρόον ηὐξήθη, καὶ εἰς ἔθνος μέγα ἐπέδωκεν· ἐπειδὴ ὁ θεὸς ἦν, φησι, μετὰ τοῦ παιδίου. ἐντεῦθεν γὰρ ἡμῖν καὶ ὁ λόγος ἅπας ἐξεκυλίσθη. ὑπερίδωμεν οὖν, παρακαλῶ, τῶν παρόντων, C ποθήσωμεν τὰ μέλλοντα, τὴν εὔνοιαν τὴν παρὰ τοῦ θεοῦ πάντων προτιμῶμεν, καὶ διὰ τῆς ἀρίστης πολιτείας ἑαυτοῖς πολλὴν προαποθώμεθα τὴν παρρησίαν, ἵνα καὶ τὸν παρόντα βίον ἀλύπως διανύσαι δυνηθῶμεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ομιλία μζ.

D Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ θεὸς ἐπείραζε τὸν Ἀβραάμ.

ΠΟλὺ τῶν σήμερον ἡμῖν ἀναγνωσθέντων τὸ κέρδος, καὶ ἄφατος ὁ θησαυρὸς ὁ τοῖς βραχέσι τούτοις ῥήμασιν ἐγκεκρυμμένος. τοιαῦτα γὰρ τὰ θεῖα λόγια· οὐκ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ' ἐν τῇ συντομίᾳ τῶν λόγων πολὺν ἐναποκείμενον ἔχει τὸν πλοῦτον. φέρε οὖν, ἀναπτύξωμεν τὰ εἰρημένα, καὶ καταμάθωμεν ἀκριβῶς τῶν σήμερον ἀναγνωσθέντων τὴν δύναμιν.

A οὕτω γὰρ πάλιν εἰσόμεθα καὶ τοῦ πατριάρχου τὴν πολλὴν ἀρετὴν, καὶ τοῦ θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν. καὶ ἐγένετο, φησι, μετὰ τὰ ῥήματα ταῦτα, ὁ θεὸς ἐπείραζε τὸν Ἀβραάμ. τί βούλεται ταυτὶ τὰ ῥήματα, καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ θεὸς ἐπείραζε τὸν Ἀβραάμ; σκόπει μοι τὴν θείαν γραφὴν, πῶς ἐντεῦθεν ἤδη βούλεται ἐκκαλύψαι ἡμῖν τοῦ δικαίου τὴν ἀρετήν. καὶ ἐπειδὴ μέλλει διηγεῖσθαι τὴν πεῖραν τὴν παρὰ τοῦ θεοῦ ἐπαγομένην τῷ Ἀβραάμ, πρότερον ἡμᾶς βούλεται τὸν καιρὸν διδάξαι, καθ' ὃν ταῦτα ὁ πατριάρχης ἐπετάττετο, καὶ πότε τὸν Ἰσαὰκ ἀνενεγκεῖν ἐκελεύετο, ἵνα μάθης τὴν πολλὴν τοῦ πατριάρχου ὑπακοὴν, καὶ ὅπως τῶν τῷ θεῷ δοκούντων B οὐδὲν προτιμᾶν ἠνέσχετο. τί οὖν ἐστιν, ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα; ἐπειδὴ γὰρ μετὰ τὸν τοῦ Ἰσαὰκ τόκον, ἡνίκα ἐθεάσατο ἡ Σάῤῥα τὸν Ἰσμαὴλ συναναστρεφόμενον τῷ Ἰσαὰκ, καθάπερ χθὲς πρὸς ὑμᾶς διελέχθημεν, δυσχεράνασα πρὸς τοῦτο ἡ Σάῤῥα ἔλεγε πρὸς τὸν Ἀβραάμ· ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς, οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ μου. ἐφάνη δὲ τοῦτο σκληρὸν τῷ πατριάρχῃ, βουλόμενος ὁ θεὸς παραμυθήσασθαι τὸν δίκαιόν, φησιν, ὑπάκουσον Σάῤῥας τῆς γυναικός σου, καὶ ποίει τὸ παρ' αὐτῆς λεχθέν· καὶ μὴ σκληρόν σοι φαινέσθω τὸ περὶ τοῦ παιδίου καὶ τῆς παιδίσκης. ἐν γὰρ τῷ Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· καὶ C τοῦτον δὲ ποιήσω εἰς ἔθνος μέγα, ἐπειδὴ σπέρμα σόν ἐστι. καὶ πᾶσα ἡ ὑπόσχεσις αὐτῷ καὶ ἡ παρὰ τοῦ θεοῦ ἐπαγγελία αὕτη ἦν, ὥστε εἰς πολὺ πλῆθος ἐκτείνεσθαι τοὺς ἐκ τοῦ Ἰσαὰκ· ἐπειδὴ ταύταις ταῖς ἐλπίσι τρεφόμενος ὁ δίκαιος διετέλει, καὶ ὡς τῶν τοσούτων καὶ ἐπαλλήλων θλίψεων καὶ πειρασμῶν τὰς ἀμοιβὰς κομισάμενος, καὶ ἐν ἀσφαλείᾳ λοιπὸν γεγονὼς, καὶ ὁρῶν ἐν ὀφθαλμοῖς τὸν μέλλοντα διαδέχεσθαι αὐτοῦ τὸν κλῆρον, οὕτω μετὰ ἀδείας καθειστήκει μεγίστην ἐν- D τεῦθεν παραμυθίαν καρπούμενος. ἀλλ' ὁ τὰ ἀπόῤῥητα τῆς διανοίας ἐπιστάμενος, βουλόμενος ἡμῖν ἐκκαλύψαι τοῦ δικαίου τὴν ἀρετὴν, καὶ τὸν πολὺν πόθον, ὃν περὶ αὐτὸν ἐπεδείκνυτο, μετὰ τὰς τοσαύτας ὑποσχέσεις, καὶ ταύτην τὴν πρόσφατον γεγενημένην, καὶ ἧς τὴν μνήμην ἔναυλον εἶχεν, ὅτε λοιπὸν ἐν ἡλικίᾳ γέγονεν ὁ Ἰσαὰκ, καὶ ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας ἐτύγχανε, καὶ τὸν πόθον τοῦ πατρὸς τὸν περὶ αὐτὸν ἦν ἰδεῖν αὐξανόμενον, τότε μετὰ τὰ ῥήματα ταῦτα τῆς ἐπαγγελίας καὶ μετὰ τὸ εἰπεῖν, ὅτι ἐν αὐτῷ κληθήσεταί σοι σπέρμα, καὶ αὐτὸς ἔσται σου διάδοχος, μετὰ τὰ ῥήματα ταῦτα ὁ

Nam ſic iterum ſciemus & patriarchæ copioſam virtutem, & Dei excellẽtem clementiam. [1] *Et factum eſt*, inquit, *poſt verba hæc Deus tentabat Abraham.* Quid ſibi volunt ſtatim verba hæc, Et factum eſt poſt verba hęc, tentabat Deus Abraham? Conſidera obſecro, diuinam ſcripturam: quomodo iam vult detegere nobis iuſti virtutem: & quia narratura eſt, quomodo Abraham à Deo tentatus ſit: prius vult vt diſcamus tempus, quo hæc patriarchæ præcepta ſunt, & quando iuſſus eſt offerre Iſaacum: vt ſcias magnam patriarchæ obedientiam, & quomodo nihil præferri ſuſtinuit his quę Deo placuerint. Quid igitur eſt, Factum eſt autem poſt verba hæc? Quoniam poſtquam natus eſt Iſaac, quando vidit Sarra Iſmaëlem ſimul verſari cum Iſaac, ſicut heri vobis diximus, ægrè ferens hoc, dicebat Abrahæ: Eijce ancillam & filium eius. Non enim erit hæres filius ancillæ cum filio meo. Cúmque hoc videretur durum patriarchæ, volens eum Deus conſolari, ait: Audi Sarram vxorem tuam, & fac quod ab ea dictum: neque videatur tibi durum, quod dictum eſt de puero & ancilla. In Iſaac enim vocabitur tibi Gen. 21. 16. ſemen, & illum quoque faciam creſcere in gentem magnam, quia ſemen tuum eſt. Et omnis promiſſio quam à Deo habebat, eò tẽdebat, vt nati ex Iſaac in magnum populum propagarentur. Itaque aliquandiu bona ſpe alebatur iuſtus, & viciſſim affligebatur ac tentabatur, & afflictionum præmia recipiebat: nunc autem præ oculis videbat ſucceſſurum hæredem, magnámque inde conſolationem percipiens, impauidè & ſecurè agebat. Verum qui abſcondita cordium nouit, volens nobis iuſti huius detegere virtutem & magnum amorem quem erga ſe gerebat, poſt tot promiſſiones & hanc quoque quæ recens facta, & cuius memoria adhuc in auribus illius ſonabat, cùm iam adoleſceret Iſaac, & in ipſo ætatis flore eſſet, creſcerẽtque patris erga illum dilectio, poſt verba promiſſionis & poſtquam dixit: In illo vocabitur tibi ſemen, & ille erit ſucceſſor tuus: *Poſt verba hæc*, inquit, *tentabat Deus Abraham.* Cap. 22.

Quid eſt, tentabat? non quòd ipſe ignoraret, tentatione illum probauit, ſed vt & hi qui tunc erant, & qui ab eo tempore vſque ad præſens, iſtucipſum patriarchæ deſiderium & obedientiam in præceptis dominicis præ ſe ferre diſcant.[2] *Et dixit,* inquit, *ad eũ: Abrahã, Abrahã. At ille dixit: Ecce ego.* Quid ſibi vult verbi duplicatio? Magnæ beneuolentiæ erga patriarcham argumentum eſt, & monſtrabat ei vocatione ipſa, quòd magnum aliquid oſtenſurus eſſet. Vt igitur attentiorem redderet, vocationem geminabat, & dixit: Abraham, Abraham. *Ille autem dixit: Ecce ego.*[2] *Et dixit: Accipe filium tuum dilectum, quem dilexiſti, Iſaac, & vade in terram excelſam, & offer eum in holocauſtum ſuper vnum montium, quem tibi dixero.* Magnum præcepti pondus, & res humanam tranſcendens naturam. Accipe filium tuum dilectum, quem dilexiſti Iſaac. Vide quomodo per verba iſta maius incendium ſuccendit: & fornacem amoris, quo iuſtus in Iſaac affectus erat, vehementius excitat. Accipe filium tuum dilectũ, quem dilexiſti, Iſaac. Vnumquodque verbum per ſe ſufficeret ad ſauciandam animam iuſti. Non enim ſimpliciter dixit, Iſaac: ſed addidit filium tuum, quem prçter omnem expectationem genuiſti, & in ipſa ſenectute habere potuiſti: dilectũ, deſiderabilẽ tuum, quem tam immodicè diligis Iſaacũ, quem ſucceſſurum tibi expectas, ex quo & ſemen tuum multiplicandum promiſi: & in tantum multiplicandũ, vt ſtellarũ multitudini & arenæ quæ eſt iuxta littus maris adæquetur. Illũ ipſum accipe, & vade in terram excelſam, & offer eum ibi in holocauſtum ſuper vnum montium, quem tibi dicam. Admiror ego, quomodo hæc iuſtus auribus ferre potuerit. Illum enim ipſum, inquit, tam deſiderabilem tibi, offer mihi in holocauſtum ſuper vnum montium. Quid igitur iuſtus? non turbatus eſt animo, non confuſus eſt mente, non conſilio deſtitutus eſt: in tam graui præcepto non cogitabat, non ratiocinabatur ſecum: Quid hoc eſt? Qui mihi præter omnem expectationem beneficium exhibuit, qui propter benignitatem ſuam, emortuam Sarræ

A τί ἐστιν, ἐπείραζεν; οὐχ ὡς αὐτὸς ἀγνοῶν, ἀλλὰ προσῆγεν αὐτῷ τὴν πεῖραν, ἵνα καὶ οἱ τότε παρόντες καὶ οἱ ἐξ ἐκείνου μέχρι τοῦ παρόντος παιδεύωνται τὸν αὐτὸν πόθον τοῦ πατριάρχου καὶ τὴν ὑπακοὴν ἐπιδείκνυσθαι περὶ τὰ τοῦ δεσπότου προστάγματα. καὶ εἶπε, φησὶ, πρὸς αὐτὸν, Ἀβραὰμ, Ἀβραάμ· ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. τί βούλεται ὁ τοῦ ὀνόματος διπλασιασμός; τῆς πολλῆς εὐνοίας τῆς περὶ τὸν πατριάρχην σημεῖόν ἐστι, καὶ ἐδείκνυ αὐτῷ καὶ διὰ τῆς κλήσεως, ὅτι μέλλει τι τῶν ἀναγκαίων αὐτῷ ἐπιτάττειν. παρασκευάζων τοίνυν αὐτὸν συντεῖναι ἑαυτὸν καὶ μετὰ σπουδῆς προσέχειν τοῖς παρ' αὐτοῦ λεγομένοις, τῷ διπλασιασμῷ τῆς κλήσεως
B ἐχρήσατο, καί φησιν· Ἀβραὰμ, Ἀβραάμ. ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. καὶ εἶπε, λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαὰκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν, καὶ ἀνένεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. μέγας ὁ ὄγκος τοῦ ἐπιτάγματος, καὶ ὑπερβαῖνον ἀνθρωπίνην φύσιν τὸ πρᾶγμα. λάβε τὸν υἱόν σου, τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ. ὅρα πῶς διὰ τῶν ῥημάτων μείζονα τὴν πυρὰν ἀνάπτει, καὶ τὴν κάμινον τῆς φιλοστοργίας τοῦ δικαίου, ἣν περὶ τὸν Ἰσαὰκ ἐκέκ-
C τητο, σφοδρότερον διεγείρει. λάβε τὸν υἱόν σου, τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ. ἕκαστον καθ' ἑαυτὸ ἱκανὸν καθικέσθαι τῆς τοῦ δικαίου ψυχῆς. οὐ γὰρ ἁπλῶς εἶπε τὸν Ἰσαὰκ, ἀλλὰ προσέθηκε τὸν υἱόν σου, ὃν παρὰ πᾶσαν προσδοκίαν ἐκτήσω, καὶ ἐν αὐτῷ τῷ γήρᾳ ἔχειν ἠδυνήθης, τὸν ἀγαπητὸν, τὸν περιπόθητόν σου, ὃν μεθ' ὑπερβολῆς ἀγαπᾷς, τὸν Ἰσαὰκ, ὃν διάδοχον ἕξειν προσδοκᾷς, ἐξ οὗ καὶ τὸ σπέρμα σου αὔξεσθαι ἐπηγγειλάμην, καὶ τοσοῦτον αὔξεσθαι, ὡς τῷ πλήθει τῶν ἄστρων, καὶ τῇ ἄμμῳ τῇ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἐξισωθῆναι.
D τοῦτον οὖν αὐτὸν λάβε, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν, καὶ ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκαύτωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. θαυμάσαι μοι ἔπεισι, πῶς καὶ τὴν ἀκοὴν ἤνεγκεν ὁ δίκαιος. τοῦτον γὰρ αὐτόν, φησι, τὸν οὕτω σοι περιπόθητον, ἀνένεγκέ μοι εἰς ὁλοκαύτωσιν ἐφ' ἓν τῶν ὀρέων. τί οὖν ὁ δίκαιος; οὐκ ἐταράχθη τὸν λογισμὸν, οὐ συνεχύθη τὴν διάνοιαν, οὐκ ἠπόρησε πρὸς τὸ ξένον τοῦ ἐπιτάγματος, οὐκ ἐνενόησεν, οὐκ ἐλογίσατο πρὸς ἑαυτόν· τί τοῦτο; ὁ παρὰ πᾶσαν προσδοκίαν σπέρμα χαρισάμενος, ὁ διὰ τὴν οἰκείαν φιλανθρωπίαν τὴν μήτραν τῆς Σάρρας ζωογονήσας

ζωογονήσας νεκρωθεῖσαν, λοιπὸν μετὰ τὸ γαλακτοτροφηθῆναι καὶ αὐξηθῆναι, καὶ λοιπὸν ἐν ἡλικίᾳ γενέσθαι, σφαγιάσαι τὸ τεχθέν μοι κελεύει, καὶ εἰς ὁλοκαύτωσιν ἀνενεχθῆναι. ὁ πρὸ βραχέως εἰπών, ἐν αὐτῷ κληθήσεταί σοι σπέρμα, νῦν τὰ ἐναντία ἐπιτάττει. καὶ πῶς ἂν εἰς ἔργον ἐξέλθοι ποτὲ τὰ παρ᾽ αὐτοῦ ἐπαγγελθέντα; πῶς γὰρ οἷόν τε τῆς ῥίζης ἐκτεμνομένης τοὺς κλάδους φυῆναί ποτε, ἢ τοῦ δένδρου ἐκκοπτομένου τὸν καρπὸν ἐνεχθῆναι, ἢ τῆς πηγῆς ξηρανθείσης ποταμοὺς ἀναδοθῆναι; κατὰ μὲν τὴν ἀνθρωπίνην ἀκολουθίαν ταῦτα γενέσθαι ἀμήχανον· τοῦ δὲ θεοῦ βουληθέντος πάντα γενέσθαι, δυνατόν. ἀλλὰ τούτων μὲν οὐδὲν ἐλογίσατο ὁ δίκαιος οὗτος, ἀλλὰ καθάπερ εὐγνώμων οἰκέτης, πάντα λογισμὸν ἀνθρώπινον παρωσάμενος, ἑνὸς μόνου ἐγίνετο, τοῦ τὸ ἐπιταχθὲν εἰς ἔργον ἀγαγεῖν, καὶ ὥσπερ ἐκτὸς γεγονὼς τῆς ἀνθρωπείας φύσεως, καὶ πᾶσαν συμπάθειαν καὶ πατρικὴν φιλοστοργίαν δευτέραν ἡγησάμενος, τὴν τοῦ θεοῦ προσταγμάτων ἐπὶ τὴν ἐκπλήρωσιν ἔσπευδε. καὶ ἀναστάς, φησιν, Ἀβραὰμ τὸ πρωῒ ἐπέσαξε τὴν ὄνον αὐτοῦ. παρέλαβε δὲ μεθ᾽ ἑαυτοῦ δύο παῖδας καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν ἀναστὰς ἐπορεύθη, καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ θεός, τῇ ἡμέρᾳ τῇ τρίτῃ. ὅρα τὸν φιλάνθρωπον δεσπότην, πῶς καὶ ἐν τῷ διαστήματι βασανίζει τοῦ δικαίου τὴν ἀρετήν, ἐννόησον δὲ καὶ τὸν δίκαιον τί εἰκὸς ἦν ὑπομένειν ταῖς τρισὶν ἡμέραις αὐτὸν καθ᾽ ἑαυτὸν μὲν ἀναλογιζόμενον τὸ ἐπίταγμα, καὶ ὅτι αὐτὸς μέλλει ταῖς οἰκείαις χερσὶ τὸν οὕτω ποθούμενον σφάζειν υἱόν, ἐνθυμούμενον, οὐδενὶ δὲ τὸ πρᾶγμα κοινώσασθαι ἔχοντα. καὶ καταπλάγηθι τὴν γνώμην αὐτοῦ τὴν φιλόθεον καὶ τὴν σύνεσιν. ἐπειδὴ γὰρ ᾔδει τὸ μέγεθος τοῦ ἐπιτάγματος, οὐδενὶ ὅλως τοῦτο γνώριμον ποιεῖ, οὔτε τοῖς παισίν, οὔτε αὐτῷ τῷ Ἰσαάκ, ἀλλὰ μόνος καθ᾽ ἑαυτὸν τὸν ἀγῶνα τοῦτον ἠγωνίζετο, καὶ καθάπερ ἀδάμας τις οὕτως ἀκαταγώνιστος ἔμενε, τὴν ἀνδρείαν τῶν λογισμῶν ἐπιδεικνύμενος, οὐδὲ πολυπραγμονῶν, ἀλλ᾽ εἴκων μετὰ πολλοῦ τοῦ πόθου τῷ τοῦ θεοῦ νεύματι. καὶ ἐπειδὴ περὶ τὸν τόπον ἔφθασεν ἀναβλέψας, φησίν, Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου. ὅρα καὶ ἐνταῦθα τοῦ δικαίου τὴν πολλὴν σύνεσιν καὶ τοὺς παῖδας λαθεῖν ἐβούλετο, διὰ πάντων δεικνὺς, ὅτι μετὰ προθυμίας ζεούσης καὶ ἐπιτεταμένου πόθου πληροῦν ἐβούλετο τὸ τῷ θεῷ δοκοῦν,

A vuluam generationi idoneam fecit: nunc poſtquam ablactatus eſt, & creuit, & in flore ætatis eſt, occidi, & in holocauſtum offerri præcipit; qui paulò antea dixit, In ipſo vocabitur tibi ſemen: nunc contraria præcipit. Et quomodo implebuntur, quæ ab eo ſunt promiſſa? Quo pacto enim fieri poteſt, vt radice execta rami pullulent, vel ſuccisa arbore fructus proueniant, vel fonte arefacto fluuij ſcaturiant? Iuxta hominis rationem talia fieri non eſt poſſibile, Deo B autem volente fieri poſſunt omnia. Cæterùm horum nihil cogitauit ſecum iuſtus ille, ſed ſicut gratus famulus, omiſſa omni ratione humana, vnam tantum rem curabat, vt imperata opere impleret: & quaſi factus ab humana natura alienus, & poſtponendam ducens diuinis præceptis omnem affectionem & dilectionem, ad implenda Dei iuſſa feſtinauit. [3] *Et cum ſurrexiſſet*, inquit, *Abraham mane, ſtrauit aſinam ſuam: accepit autem ſecum duos ſeruos, & Iſaac* C *filium ſuum: & ſciſsis lignis in holocauſtum, cùm ſurrexiſſet profectus eſt. Et venit in locum, quem dixit ei Deus, die tertio.* Vide clementem dominum, quomodo & interuallo loci, iuſti probauit virtutem. Cogita autem, quod probabile fuerit triduo illo ſuſtinuiſſe iuſtum. Reputabat enim ſecum, ſibi præceptum eſſe quòd ſuis manibus tam dilectum filium occidere debeat, & nec rem vlli communicare & detegere poſſit; & obſtupeſce pium religioſúmque & prudentem ipſius animum. Quia e- D nim ſciebat magnitudinem præcepti, nemini prorſus hoc ſignificauit, neque pueris, neque ipſi Iſaac: ſed ſolus ſecum agonem illum decertabat, & quaſi adamas quidam manebat inuictus, robur cogitationum tantum declarans, & non multa cauſatus obtemperabat magno cum deſiderio nutui diuino. [4] *Et poſtquam ad locum illum peruenit, ſublatis*, inquit, *Abraham oculis ſuis, vidit locum à longè,* [5] *& dixit ſeruis ſuis: Sedete hic cum aſina.* Vide & hîc iuſti magnam prudentiam, & ſeruis vult eſſe occultum: per omnia declarans quòd cum feruenti alacritate, & intento deſiderio implere vellet quod Deo probabatur.

Nam quia ſciebat quòd nouum & inauditum eſſet id quod ab ipſo faciẽdũ erat, neque ab vllo vnquam tale quiddam factum erat antea, facit vt lateat ſeruos: *Et relictis eis cum aſina*, inquit, *Hic expectate. Ego enim & puer ambulabimus vſque illuc, & cùm adorauerimus, reuertemur ad vos.* Ignorans futurum quod dicebat, ſed prophetauit quidem, ignorans tamen fortaſſis. Dicebat autem hæc ſeruis, fortè vt imponeret eis, & faceret vt ibi manentes non ſequerentur ac deinceps cum puero fuit patriarcha. 6 *Accepit autem Abraham ligna holocauſti, & impoſuit Iſaac filio ſuo. Tulit quoque in manibus ignem & gladiũ, & perrexerunt duo illi ſimul.* O animæ fortitudinem, ô ſpiritus ſoliditatem. Et impoſuit, inquit, Iſaac ligna holocauſti: ipſe autem gladium & ignem accepit, & iuerunt ambo ſimul. Qualibus oculis ſpectabat puerum ligna afferentẽ, ſuper quæ non multò poſt illum mactaturus erat? Quomodo manus ferre potuit ignem & gladiũ? Et manus quidem ferebat ignẽ, qui ſenſibilis erat, intus autem accendebat ipſius mentem, & rationem abſumebat, & perſuadebat vt vinceret amore in Deum: faciebátque cogitare, quòd is qui iam dederat ſupra humanam naturã factum eſſe patrem, iterum poſſet & nũc quæ humanam tranſgrediuntur rationem operari. Cæterùm vide obſecro prætereà, ante ſenſibilem ignem incendium internum, quod paulatim exardeſcebat, & iuſti mentem concremabat. 7 *Dixit autem,* inquit, *Iſaac ad Abraham patrem ſuũ: Pater.* Sufficiebat hoc verbum ad lancinanda iuſti huius viſcera. *Ille autem dixit: Quid eſt fili?* Patrem vocas, paulò pòſt futurum orbum: & ego filium appello, qui non multò poſt altare aſcenſurus eſt, meis occidendus manibus. Deinde puer inquit: *Ecce ignem affers, & ego ligna, vbi eſt hoſtia immolanda? vbi eſt ouis ad holocauſtũ?* Conſidera obſecro hîc, quomodo probatur iuſtus, quomodo tulit auribus, quomodo potuit reſpondere puero, quomodo non eſt confuſus mente, quomodo futura occultauit à puero: ſed inquit generoſo ſpiritu, & forti anima: 8 *Deus videbit ſibimetipſi ouem ad holocauſtũ, fili.*

A ἐπειδὴ γὰρ ᾔδει ὅτι καινὸν καὶ παράδοξον ἦν, καὶ οὐ
πρότερον ὑφ' ἑτέρου γεγονὸς, τὸ παρ' αὐτοῦ μέλ-
λον γίνεσθαι, κρύπτει τοὺς παῖδας, καὶ καταλιπὼν
αὐτοὺς μετὰ τῆς ὄνου, φησὶν, ἐνταῦθα ἀναμείνατε.
ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε, καὶ
προσκυνήσαντες ἀνακάμψομεν πρὸς ὑμᾶς.
οὐκ εἰδὼς, ὅτι τοῦτο ἔσται, ὃ ἔλεγεν, ἀλλὰ προε-
φήτευσε μὲν, ἴσως τοῦτο ἀγνοῶν, ἔλεγε δὲ τοῖς παι-
σὶ τάχα ἐξαπατῶν αὐτοὺς καὶ παρασκευάζων αὐτόθι
μένειν. καὶ λοιπὸν ἦν ὁ πατριάρχης μετὰ τοῦ παιδός.
ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως,
καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ. ἔλαβε δὲ μετὰ
B χεῖρας τὸ πῦρ καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν
οἱ δύο ἅμα. ὢ ψυχῆς ἀνδρεία, ὢ φρονήματος στερ-
ρότης. ἐπέθηκέ, φησι, τῷ Ἰσαὰκ τὰ ξύλα τῆς
ὁλοκαρπώσεως· αὐτὸς δὲ τὴν μάχαιραν καὶ τὸ πῦρ
ἔλαβε, καὶ ἐπορεύοντο οἱ δύο ἅμα. ποίοις ὀφθαλ-
μοῖς ἑώρα τὸ παιδίον τὰ ξύλα ἐπιφερόμενον, οἷς
ἔμελλεν αὐτὸν μετ' οὐ πολὺ ἐπιθύειν; πῶς ἡ χεὶρ
φέρειν ἠδυνάτο τὸ πῦρ καὶ τὴν μάχαιραν; καὶ ἡ
μὲν χεὶρ ἐπεφέρετο τὸ πῦρ τὸ αἰσθητὸν, τὸ δὲ ἔν-
δοθεν πῦρ κατέφλεγεν αὐτοῦ τὴν διάνοιαν, καὶ ἐδα-
πάνα τὸν λογισμόν, πεῖθον νικᾶν τῷ πρὸς τὸν θεὸν
C πόθῳ καὶ παρασκευάζον λογίζεσθαι ὅτι ὁ ἤδη πα-
ρασχὼν, καὶ ὑπὲρ φύσιν ἀνθρωπίνην πατέρα γε-
νέσθαι παρασκευάσας, δυνήσεται καὶ νῦν τὰ ὑπερ-
βαίνοντα τὸν ἀνθρώπινον λογισμὸν ἐργάσασθαι.
ἀλλ' ὅρα μοι λοιπὸν πρὸ τοῦ αἰσθητοῦ πυρὸς τὴν
ἔνδοθεν κατὰ μικρὸν ἐξαπτομένην κάμινον καὶ φλέ-
γουσαν τοῦ δικαίου τὴν ψυχήν. εἶπε δέ, φησιν, Ἰσαὰκ
πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ· πάτερ. ἱκανὸν
τὸ ῥῆμα τῶν σπλάγχνων αὐτῶν τοῦ δικαίου καθά-
ψασθαι. ὁ δὲ εἶπε, τί ἐστι τέκνον; πατέρα καλεῖς
τὸν μετὰ μικρὸν ἄπαιδα ἐσόμενον, κἀγὼ τέκνον
D προσαγορεύω τὸν μετ' οὐ πολὺ μέλλοντα ἐπὶ τὸν
βωμὸν ἀνιέναι, καὶ ὃν ταῖς οἰκείαις χερσὶ μέλλω
σφάζειν. εἶτα ὁ παῖς φησιν, ἰδοὺ τὸ πῦρ ἐπιφέρῃ,
κἀγὼ τὰ ξύλα. ποῦ ἐστι τὸ θῦμα τὸ μέλλον προσ-
άγεσθαι; ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς τὴν
ὁλοκάρπωσιν; ἐννόει μοι ἐνταῦθα τοῦ δικαίου τὴν
βάσανον, πῶς ἤνεγκε τὴν ἀκοήν· πῶς ἴσχυσεν
ἀποκρίνασθαι τῷ παιδί· πῶς οὐ συνεχύθη· πῶς
ἤνεγκε ταμιεύσασθαι, καὶ μὴ κατάδηλον ποιῆσαι
τῷ παιδὶ τὸ μέλλον ἔσεσθαι· ἀλλά φησι γεν-
ναίῳ φρονήματι καὶ ἀνδρείᾳ τῇ ψυχῇ, ὁ θεὸς ὄψε-
ται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον.

ὅρα καὶ ἐνταῦθα πῶς οὐκ εἰδὼς πάλιν μηνύει τὸ μέλλον ἔσεσθαι. ἔδοξε γὰρ διὰ τῆς ἀποκρίσεως παραλογίζεσθαι τὸν Ἰσαὰκ, ἀλλ' ἐκεῖνον μὲν διὰ τῶν ῥημάτων πρὸς τὸ παρὸν ἔπεισεν, αὐτὸς δὲ μείζονα τὴν ὀδύνην καὶ ἐπιτεταμένην ὑπέμενε, τὰ ῥήματα αὐτὰ στρέφων ἐν τῇ διανοίᾳ, καὶ ἐννοῶν τοῦ παιδὸς τὴν εὐμορφίαν τὴν ἔξωθεν, τῆς ψυχῆς τὸ κάλλος, τὸ πειθήνιον, τὸ ἐπέραστον, αὐτὸ τῆς ἡλικίας τὸ ἄνθος. πορευθέντες δὲ ἀμφότεροι ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ θεός. παραγενόμενοι, φησιν, ἐπὶ τὸ ὄρος τὸ ὑψηλὸν, ὅπερ αὐτῷ ὁ θεὸς ἐγνώρισε, καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ θυσιαστήριον. πάλιν ἐκπλήττομαι τοῦ δικαίου τὴν ἀνδρείαν, πῶς ἠδυνήθη τὸ θυσιαστήριον οἰκοδομῆσαι, πῶς ἴσχυσε, πῶς οὐ διελύθη ὑπὸ τῆς ἀγωνίας. ἀλλὰ καὶ τὸ θυσιαστήριον ᾠκοδόμησε, καὶ ἐπέθηκε τὰ ξύλα, καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, τὰ εἰρημένα, ἀλλ' ἐννοήσωμεν πῶς οὐκ ἀπέπτη τοῦ σώματος ἡ ψυχὴ, πῶς ἠνέσχε ταῖς οἰκείαις χερσὶ συμποδίσαι, καὶ τοῖς ξύλοις ἐπιθεῖναι τὸν ἀγαπητὸν, τὸν ἐπέραστον, τὸν μονογενῆ. καὶ ἐξέτεινε, φησιν, Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. ὢ φιλοθέου ψυχῆς, ὢ γνώμης ἀνδρείας, ὢ πόθου ἐπιτεταμένου, ὢ λογισμοῦ νικῶντος ἀνθρωπίνην φύσιν. ἔλαβε, φησι, τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. τίνα θαυμάσω καὶ ἐκπλαγῶ; τοῦ πατριάρχου τὸ ἀνδρεῖον φρόνημα, ἢ τοῦ παιδὸς τὴν ὑπακοήν; ὅτι οὐκ ἀπεσκίρτησεν, οὐδὲ ἐδυσχέραινε πρὸς τὸ γινόμενον, ἀλλ' ἐπείθετο, καὶ εἶκε τοῖς ὑπὸ τοῦ πατρὸς γινομένοις, καὶ καθάπερ ἀρνίον μεθ' ἡσυχίας τῷ βωμῷ ἐπέκειτο, ἀναμένων τοῦ πατρὸς τὴν δεξιάν; ἀλλ' ἐπειδὴ τὰ τῆς γνώμης ἄρτια ἀπηρτίσθη, καὶ οὐδὲν λοιπὸν ἐνέλιπε, δεικνὺς ὁ ἀγαθὸς δεσπότης ὅτι οὐ σφαγιάσαι τὸν παῖδα βουλόμενος ταῦτα ἐπέταξεν, ἀλλὰ τοῦ δικαίου θέλων ἐκκαλύψαι τὴν ἀρετὴν, ἀπὸ τῆς γνώμης στεφανώσας τὸν δίκαιον, καὶ ἀπὸ τῆς προαιρέσεως τοῦ πατριάρχου τὴν ἀπηρτισμένην θυσίαν δεξάμενος, λοιπὸν τὴν οἰκείαν ἐπιδείκνυται φιλανθρωπίαν. καὶ ἐκάλεσεν αὐτὸν, φησιν, ἄγγελος κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν, Ἀβραὰμ, Ἀβραάμ.

A Vide etiam hîc, quo pacto ignarus inſinuat iterum quod futurum erat. Videbatur enim per reſpõſum Iſaac decerpiſſe, ſed illi quidẽ verbis interim perſuaſit: ipſe autem maiorẽ grauiorémque dolorem pertulit, verba in anima verſans, & cogitans pueri elegantiam externam, internámque pulchritudinem, obedientiam, gratiam, ætatis florem. 9 *Cúmque irent ambo, venerunt ad locum de quo dixit ei Dominus.* Venerunt, inquit, ad montem excelſum, quem ſcilicet ei Dominus indicarat. *Et ædificauit ibi Abraham altare.* Iterum obſtu-B peſco iuſti fortitudinem, quomodo potuerit extruere altare, quomodo valuerit, quomodo non defecerit præ anguſtia: ſed & altare ædificauerit, & impoſuerit ligna. *Et ligatum filium ſuum Iſaac impoſuit ſuper altare.* 10 *Et extendit Abraham manum ſuam, vt acciperet gladium, & occideret filium ſuum.* Ne leuiter prætercurramus, dilecti, quæ dicta ſunt: ſed conſideremus quomodo non auolarit à corpore anima, quomodo potuerit ſuis mani-C bus colligare, & lignis imponere tam dilectum, tam amabilem vnigenitum. Et extendit, inquit, Abraham manum ſuam, vt arriperet gladium ad occidendum filium ſuum. O religioſam animam, ô fortem mentem, ô ingentem amorem, ô rationem vincentem humanam naturam. Accepit, inquit, gladium, vt occideret filium ſuum. Vtrum admirer & obſtupeſcam iuſtius, fortémne ſpiritum patriarchæ, an pueri obedientiam: quòd neque reluctatus eſt, neque factum ægrè tu-D lit, ſed ceſſit & obtemperauit his, quæ à patre facta ſunt, & ſicut agnus, cum ſilentio ſuper altare accubuit, expectans patris dexteram? Eſaïæ.53 Verum vbi illa pia mens ſua omnia conſummauit, & nihil intermiſit: monſtrans bonus dominus, quòd non occidere puerum, ſed potius iuſti detegere virtutem volens, hæc imperauerit: coronato iuſto ob voluntatem ſuam, & accepta conſummata hoſtia ex mente patriarchæ, nunc & ſuam declarat benignitatẽ. 11 *Et vocauit eum,* inquit, *angelus Domini de coelo, dixítque: Abraham, Abraham.*

Nam quia videbat iuſtũ iam accinctum & paratum ad immolationem, & volentem implere mandatum Domini, idcirco vocat eum de cœlo, & dicit: Abraham, Abraham. Bene & hîc geminatione vſus eſt, vt ſuperetur impetus iuſti, & quaſi per vocem detineatur iuſti dextera, iam tendẽs ad pueri cædem. *Et dixit: Ecce ego.* 12 *Et dixit: Ne inijcias manũ tuam in puerum, neque facias illi quicquam. Nũc enim cognoui, quia times Deum tu, & non pepercisti filio tuo dilecto propter me.* Ne iniicias, inquit, manum tuam in puerum. Non hoc præcepi vt opus perficiatur, neque volo vt occidatur filius tuus: ſed vt obedientia tua manifeſta fiat omnib9. Igitur ne feceris ei quicquam. Contẽtus ſum voluntate tua, & ex hac te corono & prædico. Nũc enim cognoui, quia times Deum tu. Vide quomodo humiliter ſe noſtræ infirmitati hoc verbo attemperat. Quid igitur? ignorabat ne ante hoc iuſti virtutem, & nunc cognouit omnium dominus? Non hoc inquit, dicens nunc ipſe cognoui. Sed quid dicere vult? Nunc, inquit, omnibus declaraſti, quomodo ſyncero timore Deũ colas. Nam ego noueram famulum meum: quæ autẽ nunc à te facta ſunt, in doctrinam ſunt tam præſentibus, quàm futuris. Notũ enim feciſti nunc omnibus quòd timeas Deum, & mãdata eius opere cures implere: quia non pepercisti filio tuo dilecto propter me. Illi qui tam dilectus, quẽ teneriter, támque germanè amas, nõ pepercisti propter me, propter mandatum meum: propterea quia ego tibi præcepi, prætuliſti mandatum meum filio tuo: proinde & filiũ tuum accipe. Propter hoc enim pollicitus ſum fore vt ſemen tuum extenderetur: redimitus ergo obedientiæ tuæ corona, abi. Ego enim voluntatem coronare ſoleo, & propter mentem præmia largiri. Opere enim impleri congruit quæ à te dicta ſunt, & ſeruis tuis, & Iſaac: illis enim promiſiſti, Cũ adorauerimus, redibimus. Ecce hoc nunc erit: & puero rogante, Vbi ouis eſt ad holocauſtum? Deus videbit ſibimetipſi ouem ad holocauſtum, dixiſti. Ecce cùm reſpexeris, inquit, oculis, vide prædictam à te ouem, quam ſcilicet pro puero ſacrificabis.

A ἐπειδὴ γὰρ ἑώρα συντεταμένον τὸν δίκαιον, καὶ ἕτοιμον ὄντα πρὸς τὴν σφαγήν, καὶ τὸ ἐπίταγμα πληρῶσαι βουλόμενον, διὰ τοῦτο καλεῖ αὐτὸν ἐκ τοῦ οὐρανοῦ, καί φησιν, Ἀβραάμ, Ἀβραάμ. καλῶς καὶ ἐνταῦθα τῷ διπλασιασμῷ ἐχρήσατο, ἵνα περικόψηται τῆς ὁρμῆς τοῦ δικαίου, καὶ μονονουχὶ διὰ τῆς φωνῆς κατάσχῃ τοῦ πατριάρχου τὴν δεξιὰν ἐπειγομένην πρὸς τὴν τοῦ παιδὸς σφαγήν. ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. καὶ εἶπε, μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μηδὲ ποιήσῃς αὐτῷ μηδέν. νῦν γὰρ ἔγνων, ὅτι φοβῇ τὸν θεόν σύ, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. μὴ ἐπιβάλῃς, φησί, τὴν χεῖρά σου ἐπὶ τὸ παι-
B δάριον. οὐ τὸ ἔργον γενέσθαι βουλόμενος τοῦτο ἐπέταξα, οὐδὲ σφαγιάσαι θέλων τὸν παῖδα τὸν σόν, ἀλλὰ τὴν ὑπακοὴν τὴν σὴν ἅπασι κατάδηλον ποιῆσαι. μὴ τοίνυν ποιήσῃς αὐτῷ μηδέν· ἀρκοῦμαι γὰρ τῇ γνώμῃ τῇ σῇ, καὶ ἐντεῦθεν στεφανῶ καὶ ἀνακηρύττω σε. νῦν γὰρ ἔγνων ὅτι φοβῇ σὺ τὸν θεόν. ὅρα λέξεως συγκατάβασιν. τί οὖν; πρὸ τούτου ἠγνόει τοῦ δικαίου τὴν ἀρετήν, καὶ νῦν ἔγνω ὁ τῶν ὅλων δεσπότης; οὐ τοῦτό φησιν, ὅτι αὐτὸς νῦν ἔγνω· ἀλλὰ τί; νῦν, φησιν, ἅπασιν ἐγνώρισας, ὅπως εἰλικρινῆ τὸν φόβον ἔχεις τὸν πρὸς τὸν θεόν. ἐγὼ μὲν γὰρ ᾔδειν τὸν
C ἐμὸν θεράποντα· τὰ δὲ νῦν παρὰ σοῦ γενόμενα τοῖς τε νῦν οὖσι, ταῖς τε μετὰ ταῦτα γενεαῖς διδασκαλίας ὑπόθεσις γενήσεται. ἐγνώρισας γὰρ νῦν ἅπασιν, ὅπως φοβῇ τὸν θεόν, καὶ τὰ προσταττόμενα εἰς ἔργον ἀγαγεῖν σπεύδεις, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, τοῦ σφόδρα σοι περιποθήτου, καὶ γνησίως ὑπὸ σοῦ ἀγαπωμένου οὐκ ἐφείσω δι' ἐμέ, διὰ τὸ πρόσταγμα τὸ ἐμόν, διὰ τὸ ἐπίταγμα τὸ παρ' ἐμοῦ· ἀλλὰ προετίμησας τὸ παρ' ἐμοῦ κελευσθὲν τοῦ παιδὸς τοῦ σοῦ. διὰ τοῦτο καὶ τὸν παῖδα δέχου τὸν σόν· διὰ τοῦτο γάρ σοι ἐπηγγειλάμην τὸ σπέρμα τὸ σὸν ἐκταθήσεσθαι· καὶ τὸν ἐπὶ τῇ ὑπα-
D κοῇ στέφανον ἀναδησάμενος ἄπιθι. ἐγὼ γὰρ τὴν προαίρεσιν οἶδα στεφανοῦν, καὶ ἀπὸ τῆς γνώμης τὰ βραβεῖα παρέχειν. εἰς ἔργον γὰρ ἐκβῆναι προσήκει τὰ παρὰ σοῦ ῥηθέντα καὶ τοῖς παισὶ τοῖς σοῖς καὶ τῷ Ἰσαάκ. ἐκείνοις γὰρ ἐπηγγείλω, ὅτι προσκυνήσαντες ἀναστρεψόμεθα, καὶ τοῦτο ἤδη ἔσται. καὶ τῷ παιδὶ πυνθανομένῳ, ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; ὁ θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, εἶπας. ἰδοὺ οὖν ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου ὅρα τὸ προρρηθὲν παρὰ σοῦ πρόβατον, ὅπερ ἀντὶ τοῦ παιδὸς ὁλοκαρπώσεις.

ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς εἶδε, καὶ ἰδοὺ κριὸς A
εἷς κατεχόμενος τῶν κεράτων ἐν φυτῷ σαβέκ. καὶ
ἐπορεύθη Ἀβραάμ, καὶ ἔλαβε τὸν κριόν, καὶ ἀνήνεγ-
κεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ.
εἶδον σοῦ, φησι, τῆς γνώμης τὸ φιλόθεον, ἰδοὺ ὅπερ προ-
λαβὼν εἶπες τῷ παιδὶ, τοῦτό σοι παρεσκεύασα. καὶ
ἔλαβε, καὶ ἀνήνεγκεν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ
υἱοῦ αὐτοῦ. εἶδες θεοῦ φιλανθρωπίαν; καὶ ἡ θυσία ἀ-
πηρτίσθη, καὶ ὁ πατριάρχης τὸ φιλόθεον αὐτοῦ τῆς
γνώμης ἐπεδείξατο, καὶ ἀπὸ τῆς προαιρέσεως τὸν
στέφανον ἐκομίσατο, καὶ τὸν Ἰσαὰκ λαβὼν ἐπανῆλθε
μετὰ μυρίων στεφάνων. ταῦτα δὲ πάντα τύπος ἐγί-
νετο τοῦ σταυροῦ. διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῖς Ἰου- B
δαίοις ἔλεγεν, Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιά-
σατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε καὶ
ἐχάρη. πῶς εἶδεν ὁ πρὸ τοσούτων γενόμενος χρό-
νων; διὰ τοῦ τύπου, διὰ τῆς σκιᾶς. καθάπερ γὰρ ἐν-
ταῦθα τὸ πρόβατον προσηνέχθη ἀντὶ τοῦ Ἰσαάκ,
οὕτως ὁ λογικὸς ἀμνὸς προσηνέχθη ὑπὲρ τῆς οἰκου-
μένης. ἔδει γὰρ ἐν τῇ σκιᾷ προδιαγραφῆναι τὴν
ἀλήθειαν. ὅρα μοι γὰρ, ἀγαπητέ, πῶς ἅπαντα διὰ
τῆς σκιᾶς προετυπώθη· μονογενὴς ἐκεῖ, καὶ μονογενὴς
ἐνταῦθα· ἀγαπητὸς ἐκεῖ καὶ γνήσιος, ἀγαπητὸς καὶ ἐν-
ταῦθα καὶ γνήσιος. οὗτος γάρ ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, C
φησιν, ἐν ᾧ ηὐδόκησα. ὑπὸ τοῦ πατρὸς ἐκεῖνος εἰς ὁλο-
καύτωσιν ἀνεφέρετο, καὶ τοῦτον ὁ πατὴρ ἐξέδωκε. καὶ
βοᾷ Παῦλος λέγων, ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ'
ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν
αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; μέχρι τούτου ἡ σκιά,
λοιπὸν δὲ τῶν πραγμάτων ἡ ἀλήθεια πολὺ τὸ
ὑπερέχον ἐπιδείκνυται. ὁ γὰρ ἀμνὸς οὗτος ὁ λογικὸς
ὑπὲρ ἁπάσης τῆς οἰκουμένης προσεφέρετο, καὶ οὗτος
τὴν οἰκουμένην ἅπασαν ἐξεκάθηρεν, οὗτος τοὺς ἀν-
θρώπους τῆς πλάνης ἠλευθέρωσε, καὶ πρὸς τὴν ἀλήθειαν
ἐπανήγαγεν, οὗτος τὴν γῆν οὐρανὸν ἐποίησεν, οὐ τῶν στοι- D
χείων ἐναλλάξας τὴν φύσιν, ἀλλὰ τὴν ἐν τοῖς οὐρανοῖς
πολιτείαν εἰς τοὺς ἐπὶ γῆς ἀνθρώπους μεταστήσας.
διὰ τούτου πᾶσα ἡ τῶν δαιμόνων θεραπεία λέλυται,
διὰ τούτου οὐκ ἔτι λίθοις καὶ ξύλοις προσκυνοῦσιν
ἄνθρωποι, οὐδὲ οἱ λόγῳ τετιμημένοι τοῖς ἀναι-
σθήτοις ὑποκύπτουσιν, ἀλλὰ πᾶσα ἀπελήλαται ἡ
πλάνη, καὶ τὸ τῆς ἀληθείας φῶς τὴν οἰκουμένην
κατηύγασεν. εἶδες τῆς ἀληθείας τὴν ὑπεροχήν;
εἶδες τί μὲν ἡ σκιά, τί δὲ ἡ ἀλήθεια; καὶ ἐκάλεσε, φη-
σιν, Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, κύριος εἶ-
δεν· ἵνα εἴπωσι σήμερον, ἐν τῷ ὄρει κύριος ὤφθη.

13 *Vt reſpexit enim,* inquit, *vidit: & ecce aries vnus detinebatur cornibus in arbuſto Sabek & iuit Abrahã, & accepit arietẽ, & obtulit illum in holocauſtum pro Iſaac filio ſuo.* Vidi religioſam tuam mentẽ, inquit, ecce id quod prius dixiſti puero, hoc tibi præparaui. Et accepit, inquit, & obtulit in holocauſtum pro Iſaac filio ſuo. Vidiſti Dei clemẽtiam? Et ſacrificium conſummatum eſt, & patriarcha religioſam ſuam mentẽ declarauit, & à voluntate coronam reportauit: & Iſaac accepto, rediit cum innumeris coronis. Hæc autem omnia figura fuerunt crucis: propterea & Chriſtus Iudæis dicebat: Abraham pater veſter exultauit, vt videret diem meum: & vidit, & gauiſus eſt. (Ioan. 8. 56.) Quomodo vidit, qui tot annis præceſſit? per figuram, per vmbram. Sicut enim hîc ouis oblata eſt pro Iſaac, ita & rationalis agnus oblatus eſt pro mundo. Oportebat enim in vmbra deſcribi & præſignari antea veritatẽ. Vide namq; obſecro hîc, cariſſime quomodo omnia per vmbrã præfigurata ſunt: vnigenitus illic, & vnigenitus hîc: dilectus illic & germanus, dilectꝰ & hîc ac germanꝰ. Hic enim eſt filius meus dilectus, in quo mihi bene cõplacui. (Matth 3. 17. Lucæ 9.) A patre ille in holocauſtum offerebatur, & hunc pater expoſuit. Et clamat Paulus, dicẽs: Qui ſanè proprio filio ſuo nõ pepercit, ſed pro nobis omnibꝰ tradidit illum: quomodo non & cum illo omnia nobis daturus eſt? (Rom. 8. 32.) Hucuſque vmbra, poſtea rerum veritas magna excellentia mõſtratur. Agnus enim hic rationalis pro toto mundo oblatus eſt, totum orbem terrarum purificauit, homines ab errore liberauit, & ad veritatem reduxit: terram cœlum fecit, non elementorum immutata natura, ſed conuerſatione cœleſti hominibus ſuper terram degentibus allata. Per hunc omnis dæmonũ cultus ſolutus eſt. Per hunc factũ eſt vt non adorentur lapides & ligna ab hominibus: & ante inſenſata inſigniti ratione non procidunt, ſed omnis abijt error, & veritatis lux orbem illuſtrauit. Vidiſti veritatis excellentiam? Vidiſti quid vmbra, quid veritas? [2] *Et* 14 *vocauit,* inquit, *Abraham nomen loci illius, Dominus vidit: vt dicant hodie, in monte Dominus viſus eſt.*

Vide iuſti religioſam mentem, quomodo vndequaque ex his quæ acciderant appellationes locis imponit. viſitationem enim à Deo factam, volens quaſi in columna ærea inſculpere loco per appellationem, vocauit nomen loci, Dominus vidit. Sufficiebat quidem iuſto pro præmio, quòd viuus rediret Iſaac, & quòd meritus orat illam eximiam laudem, nempe quòd dicit: Nunc cognoui, quòd times Deum tu. Verumtamen iis qui donis certare cupit, & beneficiis ſemper vincit mentem noſtram, coaceruat etiam nunc iuſti volũtatis remunerationes, & inquit iterũ ad illum.
15 *Et vocauit angelus Domini Abraham ſecundò de coelo,* 16 *dicẽs: Per memetipſum iuraui (dicit Dominus) eò quòd feciſti verbum hoc, & non peperciſti filio tuo dilecto propter me:* 17 *profectò benedicens benedicam te, & multiplicans multiplicabo ſemẽ tuum ſicut ſtellas coeli, & ſicut arenam quæ eſt in littore maris. Et hæreditate poſſidebit ſemen tuum ciuitates hoſtium.* 18 *Et in ſemine tuo benedicentur omnes gẽtes terræ, eo quòd audiſti vocem meam.* Quia, inquit, impleuiſti præceptum meum, & tuam obedientiam per omnia declaraſti, propterea audi: Per memetipſum iuraui, dicit Dominus. Vide quomodo in ſermone ſe demittit Dominus: per memetipſũ, inquit, iuraui, vt confidas omnino euentura tibi quæ à me dicta ſunt. Quandoquidem enim homines promiſſis iuramenta adhibent, vt ſtabiliorem accipiant promiſſionem ij quibus promittitur: eapropter & Dominus, humana vſus conſuetudide, inquit: Per memetipſum iuraui, eò quòd feciſti verbum hoc, & non peperciſti filio tuo dilecto propter me. Conſidera, obſecro, clementiam domini. Non peperciſti filio tuo dilecto propter me. Attamen viuum ipſum reducit. Non euentum conſidera dilecte, ſed voluntatem & mentem diſce, qua faciebat mandata citra ratiocinationem curioſam. Quantum enim ad voluntatem attinet, cruentauerat dextram patriarcha, & per ceruicem pueri immiſerat gladium, perfectúmque obtulerat ſacrificium: idcirco & Dominus quaſi ſacrificio re ipſa conſummato, laudat iuſtum, & dicit:

A ὅρα τοῦ δικαίου τὴν φιλόθεον γνώμην, πῶς ἑκάστοτε ἐκ τῶν συμβαινόντων τὰς προσηγορίας τοῖς τόποις ἐπιτίθησι. τὴν γὰρ παρὰ τοῦ θεοῦ γινομένην ἐπίσκεψιν βουλόμενος, καθάπερ ἐν στήλῃ χαλκῇ, ἐναποθέσθαι τῷ τόπῳ διὰ τῆς προσηγορίας, φησί, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, κύριος εἶδεν. ἤρκει μὲν οὖν πρὸς ἀμοιβὴν τῷ δικαίῳ καὶ τὸ ζῶντα ἐπαναγαγεῖν τὸν Ἰσαάκ, καὶ τὸ ἀξιωθῆναι τοῦ ἐγκωμίου τοῦ μεγάλου, τοῦ νῦν ἔγνων ὅτι φοβῇ τὸν θεὸν σύ. ἀλλ' ὁ φιλότιμος ταῖς δωρεαῖς ἀεὶ νικῶν καὶ ταῖς εὐεργεσίαις τὴν ἔννοιαν τὴν ἡμετέραν, ἐπιδαψιλεύεται καὶ νῦν τοῦ δικαίου τὴν γνώμην,
B καὶ ἀμειβόμενός φησι πάλιν πρὸς αὐτόν. καὶ ἐκάλεσεν ἄγγελος κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ οὐρανοῦ, λέγων, κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος, οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων, καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς
C φωνῆς. ἐπειδὴ ἐπλήρωσας, φησι, τὸ ἐπίταγμα τὸ ἐμόν, καὶ τὴν οἰκείαν ὑπακοὴν διὰ πάντων ἐπεδείξω, διὰ τοῦτο ἄκουε, ὅτι κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος. ὅρα θεοῦ συγκατάβασιν. κατ' ἐμαυτοῦ, φησιν, ὤμοσα, ἵνα θαρρεῖν ἔχῃς, ὅτι πάντως ἔσται τὰ παρ' ἐμοῦ εἰρημένα. ἐπειδὴ γὰρ οἱ ἄνθρωποι, ἐπὰν δὴ ὅρκον ἐπιθῶσι ταῖς ἐπαγγελίαις, τότε ὡς βεβαίαν τὴν ὑπόσχεσιν δεξάμενοι, οὕτω διάκεινται οἱ τὴν ἐπαγγελίαν ἐσχηκότες· διὰ τοῦτο καὶ ὁ δεσπότης τῇ ἀνθρωπίνῃ συνηθείᾳ χρησάμενός, φησι, κατ' ἐμαυτοῦ ὤμοσα, οὗ εἵ-
D νεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. σκόπει μοι φιλανθρωπίαν δεσπότου. οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. καὶ μὴν ζῶντα αὐτὸν ἐπανάγει. μὴ τὸ τέλος ἴδῃς, ἀγαπητέ, ἀλλὰ τὴν γνώμην μάθε, μεθ' ἧς ἀσυλλογίστως τὰ προσταττόμενα ἐπλήρου. ὅσον γὰρ εἰς προαίρεσιν ἥμαξε τὴν δεξιὰν ὁ πατριάρχης, καὶ κατὰ τῆς δέρρας τοῦ παιδὸς ἐπαφῆκε τὸ ξίφος, καὶ ἀπηρτισμένην ἀπειργάσατο τὴν θυσίαν. διὸ καὶ ὁ δεσπότης, ὡς εἰς ἔργον τῆς θυσίας ἐκβαθείσης, οὕτω τὸν ἔπαινον τοῦ δικαίου συντίθησι,

καί φησιν, ὅτι οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾽ ἐμέ. σὺ μὲν οὐκ ἐφείσω διὰ τὸ ἐμὸν πρόσταγμα, ἐγὼ δὲ ἐφεισάμην διὰ τὴν σὴν ὑπακοήν. ἕνεκεν οὖν τῆς ὑπακοῆς ταύτης ἀμειβόμενός σε εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ σε. ὅρα εὐλογίας ἐπίτασιν, ἀντὶ τοῦ, ἐπὶ πλέον πληθυνῶ τὸ σπέρμα σου. οὗτος γὰρ ὁ τῇ γνώμῃ σου σφαγιασθεὶς οὕτως εἰς πλῆθος ἐκτεινόμενον ἕξει τὸ σπέρμα, ὡς τοῖς ἄστροις καὶ τῇ ἄμμῳ παρισωθῆναι, καὶ πάντα τὰ ἔθνη ἐνευλογηθῆναι ἐν τῷ σπέρματί σου, ἀνθ᾽ ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς. ταῦτα δέ σοι, φησιν, ἅπαντα ἔσται διὰ τὴν πολλὴν ὑπακοήν. ἆρα τῶν μυρίων ἡμῖν ἀγαθῶν πρόξενον γίνεται τὸ ὑπακούειν τῷ δεσπότῃ, καὶ πείθεσθαι αὐτοῦ τοῖς προστάγμασι, καὶ ὁμοίως τῷ πατριάρχῃ τούτῳ μὴ περιεργάζεσθαι τὰ παρ᾽ αὐτοῦ ἐπιταττόμενα· ἀλλὰ καθάπερ εὐγνώμονας οἰκέτας πληροῦν τὰ διατεταγμένα, καὶ τὸν ὑπὲρ τούτων λόγον παραχωρεῖν τῷ δεσπότῃ; ἐὰν οὖν οὕτω παιδεύσωμεν ἑαυτούς, δυνησόμεθα καὶ τὴν αὐτὴν ὑπακοὴν τῷ δικαίῳ ἐπιδείξασθαι, καὶ τῶν αὐτῶν στεφάνων ἐπιτυχεῖν. πῶς δὲ ὑπακούσομεν; ἐὰν τὰς ἐντολὰς αὐτοῦ διὰ τῶν ἔργων πληρώσωμεν. οὐ γὰρ οἱ ἀκροαταί, φησι, τοῦ νόμου δικαιωθήσονται, ἀλλ᾽ οἱ ποιηταί. τί γὰρ ὄφελος, ἐὰν καθ᾽ ἑκάστην μὲν ἀκούωμεν, ἀμελῶμεν δὲ τῆς τούτων ἐργασίας; διὸ παρακαλῶ, ἐπὶ τὴν ἐργασίαν αὐτῶν τῶν ἔργων σπεύσωμεν· οὐδὲ γὰρ ἄλλως σωθῆναι δυνατὸν ἵνα καὶ τὰ ἡμαρτημένα ἀπονιψώμεθα, καὶ τῆς παρ᾽ αὐτοῦ τοῦ δεσπότου φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία μη.

Ἀπεκρίθησαν δὲ οἱ υἱοὶ τοῦ Χὲτ πρὸς Ἀβραάμ, καὶ εἶπον, βασιλεὺς παρὰ θεοῦ εἶ σὺ ἐν ἡμῖν. ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου.

Εἴδετε χθές, ἀγαπητοί, τοῦ πατριάρχου τὴν ἀνδρείαν; εἴδετε ψυχὴν ἀδάμαντος στερροτέραν; πῶς τὸ ἧκον εἰς αὐτὸν διὰ τὸν περὶ τὸν θεὸν πόθον ἱερεὺς τοῦ παιδὸς ἐγένετο, καὶ τῇ μὲν γνώμῃ ἥμαξε τὴν δεξιάν.

A Non pepercisti filio tuo dilecto pro-
pter me. Tu quidem non pepercisti
propter meum mandatum, ego au-
tem peperci propter tuam obedien-
tiam. Propter hanc tuam obedien-
tiam remunerans te, Benedicens be-
nedicam te,& multiplicans multipli-
cabo te. Vide cumulatam benedi-
ctionem: hoc eſt amplius multiplica-
bo ſemẽ tuum. Hic enim qui per vo-
luntatem tuam occiſus eſt,in tantam
multitudinem propagabit ſemen
tuum, vt ſtellis & arenæ adæquetur.
Et omnes gentes in ſemine tuo be-
nedicentur, eò quòd audiſti vocem
B meam. Hæc omnia, inquit, tibi pro-
pter obedientiam erunt.Nónne plu- Morale.
rima nobis bona cõciliat, quòd obe-
dimus Deo,& præceptis eius obtem-
peramus? & ſicut patriarcha ille, cu-
rioſius non inquirimus, quare talia
ab eo imperata ſint:ſed vt grati ſerui
implemus mandata, rationémque
eorum relinquimus Domino? Si ergo
ſic docuerimus nosmetipſos, poteri-
mus & eandem obedientiam exhi-
bere, quam iuſtus ille, eaſdémque
conſequi coronas. Quomodo autem
C obediemus? ſi mandata eius opere
adimpleuerimus. Non enim audito- Rom. 2.
res, inquit, legis iuſtificabuntur, ſed 13.
factores. Quæ enim vtilitas, ſi quoti-
die audiamus, & opera negligamus?
Ideo oro,vt ad agenda opera feſtine-
mus, neque enim aliter ſaluari nos
poſſibile eſt: vt & peccata noſtra ab-
luamus, & miſericordiam Dei con-
ſequamur, gratia & miſerationibus
domini noſtri Ieſu Chriſti, cum quo
patri, & Spiritui ſancto ſit gloria,
nunc, & ſemper, & in ſecula ſeculo-
rum. Amen.

D

HOMILIA. XLVIII.

Reſponderunt autem filij Chet, ad Abra- Gen. 23.
ham,& dixerunt: Rex à Deo es tu in 5.
nobis,in electis ſepulchris noſtris ſepeli
mortuum tuum.

VIDISTIS heri patriarchæ fortitudinem? vidiſtis animam adamante ſolidiorem, quomodo quantum in ipſo erat,ob magnam in Deum charitatem, Sacerdos pueri factus eſt, & propoſito quidem cruẽtauit dextrã,

ſacrificiúmque obtulit: per ineffabilem autem miſericordiam Dei ſaluo & ſano filio ſuo recepto rediit: & propter voluntatem prædicatur, coronáque fulgida redimitur, & ſummum agonem certauit, & per omnia pietatem mentis ſuæ declarauit? Videamus & hodie iuſtum illum, quantam filij habuerit curam. Nam poſtquam à ſacrificio illo nouo & admirabili rediit, excepit eum Sarræ luctus: cùm autem petiiſſet à filiis Chet poſſeſſionem ſepulchri, empto loco impoſuit mortuum, & hoc primum principium poſſeſſionis fecit patriarcha propter Sarræ mortem. Monſtrans enim nobis ſcriptura diuina virtutem patriarchæ per omnia, & quòd ſicut peregrinus & aduena toto tempore egit, hoc quoque ſignificauit, vt diſcamus quòd tanto ſuperno præſidio fruens, & ſic illuſtris factus, & in tantam multitudinem diffuſus, proprium ſepulchrum nõ poſſedit, ſicut nunc multi faciunt, agros & villas, infinitámque aliam ſubſtantiam poſſidere ſtudentes. Habebat enim ſufficientes diuitias mentis, & de aliis non erat anxius. audiant qui repentè, & in vno temporis momento omnia corradunt, & vbique (vt ita dicam) ſuæ auaritiæ concupiſcentiam extendunt: imitentúrque patriarcham, qui nullibi habuit locum, in quo Sarrę collocaret reliquias: ſed tunc primum, quando ab ipſa neceſſitate compulſus eſt, emit agrum & ſpeluncam à filiis Chet. Nam quòd ſpectabilis erat apud Chananæos, audi filios Chet ad eum dicentes.

Cap. 23. 6. *Rex à Deo es tu in nobis, in electis ſepulchris noſtris ſepeli mortuum tuum: nullus enim noſtrum prohibebit ſepulchrum ſuum à te.* Cæterum vide iuſtum, quomodo operibus ſuis doceat optimæ vitæ mores, & non prius vult accipere monumentum, priuſquam iuſtum dinumeret precium. Nam licet vos, inquit, ita beneuoli erga me ſitis: at ego non patiar, niſi prius debitum precium dependerim: & ſic accipiam ſepulchrum. Et data, inquit, pecunia accepit ſepulchrum. *Fuit autem*, inquit, *vita Sarræ centum vigintiſeptem annorum, & mortua eſt*, 19 *& ſepeliuit Sarram vxorem ſuam in ſpelunca agri duplici, quæ eſt è regione Mambre.*

A καὶ τὸ ἱερεῖον προσήνεγκε· διὰ δὲ τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν σῶον καὶ ὑγιῆ τὸν παῖδα λαβὼν ἐπανῆλθε, καὶ ἀπὸ τῆς προαιρέσεως ἀνεκηρύττετο ὁ πατριάρχης, καὶ τὸν στέφανον λαμπρὸν ἀνεδήσατο, καὶ τὸν τελευταῖον ἀγῶνα ἠγωνίσατο, καὶ διὰ πάντων τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης ἐπεδείξατο; ἴδωμεν καὶ σήμερον τοῦ δικαίου τούτου τὸ φιλόστοργον, ὅσην ποιεῖται τοῦ παιδὸς τὴν κηδεμονίαν. ἐπειδὴ γὰρ μετὰ τὸ ἀπὸ τῆς θυσίας ταύτης ἐπανελθεῖν τῆς καινῆς καὶ παραδόξου διεδέξατο αὐτὸν τὸ τῆς Σάῤῥας πένθος, αἰτήσας παρὰ τῶν υἱῶν Χὲτ κτῆσιν τάφου, καὶ πριάμενος τὸν τόπον ἀπέθετο τὸν νεκρόν, καὶ ταύτην πρώτην B ἀρχὴν κτήσεως ποιεῖται ὁ πατριάρχης διὰ τὴν τῆς Σάῤῥας τελευτήν. δεικνῦσα γὰρ ἡμῖν ἡ θεία γραφὴ διὰ πάντων τοῦ δικαίου τὴν ἀρετήν, καὶ ὅτι ὡς πάροικος καὶ παρεπίδημος ἅπαντα διῆγε τὸν χρόνον, καὶ τοῦτο ἐπεσημήνατο, ἵνα μάθωμεν, ὅτι ὁ τοσαύτης ἀπολαύων τῆς ἄνωθεν συμμαχίας, καὶ οὕτω περιφανὴς γεγονὼς, καὶ ἐπὶ τοσοῦτον πλῆθος ἐκταθεὶς οἰκεῖον τόπον οὐκ ἐκτήσατο, καθάπερ νῦν πολλοὶ ποιοῦσιν, ἀγροὺς καὶ κώμας καὶ πολλήν τινα καὶ ἄφατον περιουσίαν κατακτᾶσθαι σπουδάζοντες. εἶχε γὰρ ἀρκοῦντα πλοῦτον τὸν ἀπὸ τῆς γνώμης, καὶ οὐδεμίαν περὶ ταῦτα ἐποιεῖτο τὴν σπουδήν. C ἀκουέτωσαν οἱ ἀθρόον καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ τὰ πάντων περιβαλλόμενοι, καὶ πανταχοῦ, ὡς εἰπεῖν, τῆς οἰκείας πλεονεξίας τὴν ἐπιθυμίαν ἐκτείνοντες, καὶ μιμείσθωσαν τὸν πατριάρχην, τὸν οὐδὲ ὅπου καταθῇ τῆς Σάῤῥας τὸ λείψανον ἐσχηκότα, μέχρις ὅτε καὶ ὑπ' αὐτῆς τῆς ἀνάγκης ὠθούμενος, ὠνήσατο τὸν ἀγρὸν καὶ τὸ σπήλαιον παρὰ τῶν υἱῶν Χέτ. ὅτι γὰρ περίβλεπτος ἦν παρὰ τοῖς τὴν Χαναναίαν οἰκοῦσιν, ἄκουε τῶν υἱῶν Χὲτ πρὸς αὐτὸν λεγόντων· βασιλεὺς παρὰ θεοῦ σὺ εἶ ἐν ἡμῖν. ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου. οὐδεὶς γὰρ ἡμῶν οὐ μὴ κωλύσῃ D τὸ μνημεῖον αὐτοῦ ἀπὸ σοῦ. ἀλλ' ὅρα τὸν δίκαιον, ὅπως κἀκείνους παιδεύει δι' αὐτῶν τῶν ἔργων τὴν οἰκείαν φιλοσοφίαν, καὶ οὐ πρότερον ἀνέχεται λαβεῖν τὸ μνημεῖον, πρὶν ἂν τὴν δικαίαν καταβάλῃ τιμήν. εἰ γὰρ καὶ ὑμεῖς, φησιν, οὕτω περὶ ἐμὲ εὐγνώμονες γεγόνατε, ἀλλ' ἐγὼ οὐκ ἀνέξομαι, εἰ μὴ πρότερον τὴν δέουσαν τιμὴν καταβάλοιμι, λαβεῖν παρ' ὑμῶν τὸ μνημεῖον. καὶ δοὺς, φησι, τὸ ἀργύριον ἔλαβε τὸ μνημεῖον. ἐγένετο δέ φησιν ἡ ζωὴ Σάῤῥας ἑκατὸν εἴκοσι ἑπτὰ ἔτη, καὶ ἀπέθανε, καὶ ἔθαψε Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ ἐν τῷ σπηλαίῳ τοῦ ἀγροῦ τῷ διπλῷ, ὅ ἐστιν ἀπέναντι

Μαμβρῆ. καὶ ὁ οὕτω περιφανὴς καὶ περίβλεπτος, καὶ τοσαύτην παῤῥησίαν παρὰ τῷ θεῷ ἔχων, καὶ παρὰ πάντων, ὡς εἰπεῖν, τῶν αὐτόθι τοσαύτης ἀπολαύων θεραπείας, ὡς καὶ τοὺς υἱοὺς Χὲτ βασιλέα αὐτὸν ὀνομάζειν, οὐδὲ βῆμα ποδὸς ἐκέκτητο. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἀνακηρύττων τοῦ δικαίου τούτου τὴν ἀρετὴν γράφων ἔλεγε, Πίστει παρῴκησεν Ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. εἶτα διδάσκων ἡμᾶς πῶς πίστει παρῴκησεν, ἐπήγαγεν, ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. τῇ ἐλπίδι, φησὶ, τῶν μελλόντων ὑπερεώρα τῶν παρόντων, καὶ τῇ προσδοκίᾳ τῶν μειζόνων ἔλαττον ἐφρόντιζε τούτων τῶν ἐν τῷ παρόντι βίῳ, καὶ ταῦτα πρὸ τοῦ νόμου, καὶ πρὸ τῆς χάριτος. ποίαν οὖν ἕξομεν ἡμεῖς ἀπολογίαν, εἰπέ μοι, οἱ μετὰ τοσαύτας ἐπαγγελίας καὶ τὰς ὑποσχέσεις τῶν ἀποῤῥήτων ἀγαθῶν πρὸς τὰ παρόντα ἐπτοημένοι, καὶ ὠνούμενοι ἀγροὺς, καὶ πανταχοῦ φαιδρύνεσθαι σπουδάζοντες, καὶ ἀπὸ πλεονεξίας καὶ ἁρπαγῆς ταῦτα ἅπαντα συλλέγοντες, καὶ ὅπερ ὁ μακάριος προφήτης θρηνῶν ἔλεγε, τοῦτο διὰ τῶν ἔργων πληροῦντες, οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι; ἢ οὐχὶ ταῦτα καθ' ἑκάστην ἡμέραν ὁρῶμεν γινόμενα, καὶ χήρας μὲν ἁρπαζομένας, ὀρφανοὺς δὲ ἀποδυομένους, καὶ τοὺς ἀσθενεῖς ὑπὸ τῶν δυνατωτέρων πιεζομένους; ἀλλ' οὐχ οὗτος ὁ δίκαιος οὗτος· ἀλλὰ καὶ μνημεῖον ὠνήσασθαι βουληθεὶς, ἐπειδὴ εἶδεν ἑτοίμους διαδοῦναι βουλομένους τοὺς αἰτηθέντας, οὐ πρότερον ἠνέσχετο, πρὶν ἢ τὴν δικαίαν κατέβαλε τιμήν. ἅπερ ἐννοοῦντες, ἀγαπητοὶ, μιμησώμεθα οἱ ἐν τῇ χάριτι τὸν πρὸ τοῦ νόμου, καὶ μὴ περὶ τὴν τῶν πλειόνων ἐπιθυμίαν ἐκκαιόμενοι, μεῖζον ἑαυτοῖς καὶ σφοδρότερον ἐπισωρεύωμεν τὸ πῦρ τὸ ἄσβεστον, τὴν φλόγα τὴν ἀφόρητον. ἀκουσόμεθα γὰρ, εἰ ἐπιμείνοιμεν ταῖς τοιαύταις ἁρπαγαῖς καὶ πλεονεξίαις, τὰ πρὸς τὸν πλούσιον ἐκεῖνον εἰρημένα, ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; τίνος γὰρ ἕνεκεν, ἀγαπητὲ, τοσαῦτα συλλέγειν σπουδάζεις, ἅπερ μετ' οὐ πολὺ μέλλων ἐντεῦθεν ἀφαρπάζεσθαι καταλείψεις ἐνταῦθα, οὐ μόνον οὐδὲν ἀπ' αὐτῶν καρπώσασθαι δυνηθεὶς,

A Et qui tam clarus & ſpectabilis, & tantam apud Deum habens fiduciam, & apud omnes ferè qui ibi agebant in tanto honore erat, vt & à filiis Chet rex nominaretur, neque gradum pedis poſſidebat. Propterea & beatus Paulus prædicans virtutem iuſti, ſcribens dicebat: Per fidem peregrinus fuit Abraham in terra promiſſionis veluti aliena, cùm in tabernaculis habitaſſet cum Iſaac & Iacob cohæredibus eiuſdem promiſſionis. (Hebr. 16. 9.) Deinde docens nos, quo-
B modo fide peregrinus fuerit, ſubdidit: Expectabat enim habentem fundamenta ciuitatem, cuius opifex & conditor eſt Deus. Spe, inquit, futurorum deſpiciebat præſentia: & expectatione maiorum bonorum, minus curabat ea quæ in præſenti vita ſunt: atque hæc ante legem, & ante gratiam. Qualem igitur habebimus nos excuſationem, dic oro, qui poſt tot annunciationes, & promiſſiones ineffabilium bonorum, inhiamus præſentibus, & emimus agros, & v-
C bique clari eſſe ſtudemus, colligimúſque hæc omnia per auaritiam & rapinam? Et id quod beatus propheta cum lamento dicebat: Væ his qui coniungunt domum domui, vt quid à proximo auferant: (Eſaïæ 5. 8.) hoc nos operibus implemus. An non quotidie fieri videmus, ſpoliari orphanos, prædæ patere viduas, infirmos à fortioribus opprimi? Verùm iuſtus ille nequaquam ſic, ſed & ſepulchrum emere cùm voluit, quoniam vidit eos à quibus petiit, dare volentes, non prius accepit, quàm iuſtum de- (Abrahæ factum ab auaritia nos auocat.)
D pendiſſet precium. Hæc itaque mente verſantes dilecti, nos qui ſub gratia, eum qui ante legem imitemur: & ne multa poſſidendi cupiditate accenſi, maiorem & grauiorem accumulemus ignem inextinguibilem, & flammam intolerabilem. Audiemus enim ſi in huiuſmodi rapinis & auaritiis manſerimus, ea quæ dicta ſunt diuiti illi: Stulte, iſta nocte abs te animam tuam auferent: quæ autem præparaſti, cuius erunt? (Lucæ 12. 20.) Quare (dic mihi) tantopere ſtudes, vt colligas ea quæ non multò pòſt hinc abripiendus, hîc relinques, & ex eis non ſolùm nihil vtilitatis percipere valens:

ſed & onus peccatorum in humeris A propriis ferens, & inutili pœnitudine ductus: nam ea quæ à te per auaritiam collecta ſunt, in hoſtium ſæpe deuenient manus, tu autem pro his rationem & pœnam dabis. Quantæ igitur eſt dementiæ aliis laborare, & te propterea pœnam dare? Eſto autem, hactenus ita negligenter nos geſſerimus, nunc ſaltem, quid opus facto ſit, conſultemus: & non tantum operam demus, vt nobis opes affluant, ſed vt & iuſtitiæ magnam rationem & curam geramus. Neque enim res noſtræ intra hanc vitam totæ concluſæ ſunt, neque ſemper in a- B liena hac regione erimus: ſed non multò pòſt in propriam remeabimus patriam. Omnia igitur faciamus, ne illic egeni ſimus futuri. Nam quæ vtilitas, in aliena regione multas diuitias relinquere, in propria autem, & in patria neceſſariis carere? Itaque oro, feſtinemus dum adhuc tempus eſt, vt illuc transferamus etiam quæ in hac aliena habemus. Enimuerò licet multum inter ſe diſtent, facilis tamen eſt tranſuectio. Qui enim noſtra eò transferant, pa- C rati ſunt, & ſecurè illuc pergunt, atque in theſauro indeprædabili ea reponunt quæcunque per illorum manus præmittere potuerimus. Pauperum enim manus in cœleſtia promptuaria ſibi à nobis data reponunt. Quoniam igitur tanta & facilitas & ſecuritas, quare moramur, & non omni ſtudio hoc facimus, vt ibi ea inueniamus, vbi eis maximè opus erit? Propterea patriarcha ille quaſi alienam inhabitat Chananæam: quia illam expectabat ciuitatem, cuius opifex & con- D ditor eſt Deus. Si igitur voluerimus iuſtum hunc imitari, & nos in illam occurremus, & in ſinum patriarchæ veniemus. Operum enim communio, & fruitionis communionem præſtat. Verum ſi placet, redeamus ad ſermonis ſeriem, & videamus poſt Sarræ mortem quantam iuſtus curam agit pueri, Iſaac dico. Audiamus igitur diuinam ſcripturam nobis narrãtem. *Et Abraham erat ſenex, prouectus diebus. Et dominus benedixit Abraham per omnia.*

Cap. 24.

A ἀλλὰ καὶ τὸ φορτίον τῶν ἁμαρτημάτων ἐπὶ τῶν οἰκείων ὤμων ἐπιφερόμενος, καὶ ἀπέρακτα λοιπὸν μεταγινώσκων. καὶ τὰ μὲν παρὰ σοῦ μετὰ πλεονεξίας συλλεγέντα πολλάκις καὶ εἰς τὰς τῶν ἐχθρῶν χεῖρας ἐλεύσεται· αὐτὸς δὲ τὴν ἐπὶ τούτοις δίκην ἀπαιτηθήσῃ. ποίας οὖν οὐκ ἂν εἴη τοῦτο παραφροσύνης, τὸ ἑτέροις πονεῖσθαι, καὶ αὐτὸς τὴν ἐπὶ τούτοις δίκην διδόναι; ἀλλ' εἰ καὶ πρότερον οὕτω τὰ καθ' ἑαυτοὺς ῥαθύμως διεθήκαμεν, νῦν γοῦν τὸ δέον βουλευσώμεθα, καὶ μὴ ἁπλῶς περιβάλλεσθαι σπουδάζωμεν πολλὴν τὴν περιουσίαν, ἀλλὰ πολλὴν τοῦ δικαίου ποιώμεθα πρό- B νοιαν. οὐδὲ γὰρ μέχρι τοῦ παρόντος στήσεται τὰ ἡμέτερα, οὐδὲ ἐπὶ τῆς ξένης διὰ παντὸς ἐσόμεθα, ἀλλὰ μετ' οὐ πολὺ εἰς τὴν οἰκείαν ἐπανήξομεν πατρίδα. πάντα οὖν ποιῶμεν, ὥστε μὴ ἐκεῖ ἐν ἐνδείᾳ ἡμᾶς γενέσθαι. τί γὰρ ὄφελος ἐν ξένῃ μὲν πολὺν τὸν πλοῦτον καταλιπεῖν, ἐν δὲ τῇ οἰκείᾳ πατρίδι μηδὲ τῶν ἀναγκαίων τὴν χρείαν ἔχειν; σπεύσωμεν οὖν, παρακαλῶ, ὡς ἔτι καιρὸς, καὶ τὰ ἐπὶ τῆς ξένης ἐκεῖ μεταθῶμεν. εἰ γὰρ καὶ πολὺ τὸ διάστημα, ἀλλὰ σφόδρα εὔκολος ἡ μετακομιδή. καὶ γὰρ οἱ μετακομίζοντες ἕτοιμοι, καὶ μετὰ ἀσφα- C λείας ἐκεῖσε βαδίζοντες, καὶ ἐν ἀσύλῳ θησαυρῷ ἀποτιθέμενοι, ἅπερ ἂν δι' αὐτῶν προαποστεῖλαι δυνηθῶμεν. αἱ γὰρ τῶν πενήτων χεῖρες εἰς ταμεῖα τῶν οὐρανῶν ἀποτίθενται τὰ παρ' ἡμῶν διδόμενα. ὅταν οὖν καὶ ἡ εὐκολία ἡ τοσαύτη καὶ ἀσφάλεια, τίνος ἕνεκεν ἀναδυόμεθα; οὐχὶ δὲ μετὰ πάσης σπουδῆς τοῦτο διαπραττόμεθα, ἵνα ἐκεῖ ταῦτα εὕρωμεν, ἔνθα μάλιστα αὐτῶν χρήζομεν; διὰ τοῦτο καὶ ὁ πατριάρχης οὗτος, ὡς ἀλλοτρίαν, κατῴκει τὴν Χαναναίαν, ἐπειδὴ ἐκείνην ἐξεδέχετο τὴν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. D ἐὰν τοίνυν βουληθῶμεν τὸν δίκαιον τοῦτον μιμήσασθαι, καὶ ἡμεῖς εἰς ἐκείνην καταντήσομεν ἂν, καὶ εἰς τοὺς κόλπους τοῦ πατριάρχου φθάσομεν. ἡ γὰρ κοινωνία τῶν πράξεων, καὶ τῆς ἀπολαύσεως τὴν κοινωνίαν ἡμῖν χαρίζεται. ἀλλ', εἰ δοκεῖ, ἐπανέλθωμεν λοιπὸν ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου, καὶ ἴδωμεν μετὰ τὸν τῆς Σάρρας θάνατον, ὅσην ὁ δίκαιος ποιεῖται φροντίδα τοῦ παιδὸς, τοῦ Ἰσαὰκ λέγω. ἀκούσωμεν τοίνυν τῆς θείας γραφῆς διηγουμένης ἡμῖν. καὶ Ἀβραὰμ, φησιν, ἦν πρεσβύτερος, προβεβηκὼς ἡμερῶν, καὶ κύριος ηὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα.

τίνος ἕνεκεν τοῦτο ἡμῖν ἐπεσημήνατο; ἐπειδὴ ἔμελλε φροντίδα ποιεῖσθαι τοῦ Ἰσαὰκ καὶ σπουδὴν, ὥστε νύμφην αὐτῷ ἀγαγέσθαι, διὰ τοῦτο ἐσήμανεν ἡμῖν τὴν ἡλικίαν τοῦ πατριάρχου. ἡνίκα γὰρ, φησὶ, πρὸς ἔσχατον γῆρας ἤλασε, βουλόμενος τὸν Ἰσαὰκ τῆς τῶν Χαναναίων συγγενείας ἀπαλλάξαι, ἵνα μὴ ἐκεῖθεν ἀγάγηται γυναῖκα, καλέσας, φησὶ, τὸν οἰκέτην τὸν εὐνούστερον, ἐντέλλεται αὐτῷ περὶ τούτου, καί φησι· θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου. τῇ μὲν Ἑλλάδι γλώττῃ οὕτω γέγραπται, ὑπὸ τὸν μηρόν μου· ἐν δὲ τῇ Ἑβραΐδι φασὶν, ὑπὸ τὴν ὀσφύν. καὶ τίνος ἕνεκεν οὕτω φησίν; ἰδίωμα τοῦτο τῶν παλαιῶν ἀνδρῶν ἦν. ἄλλως δὲ καὶ ἐπειδὴ ἐντεῦθεν ἡ ἀρχὴ τῆς Ἰσαὰκ γεννήσεως γέγονε, καὶ ἵνα μάθῃς, ὅτι συνηθείας τινὸς ἦν τὸ γινόμενον, ὅρα αὐτὸν ἐπιτάττοντα τὴν μὲν χεῖρα αὐτόθι ἐπιθεῖναι, εὐθέως δὲ ἐπάγοντα, καὶ ἐξορκιῶ σε κύριον τὸν θεὸν τοῦ οὐρανοῦ, καὶ τὸν θεὸν τῆς γῆς. ὅρα πῶς καὶ τὸν οἰκέτην διδάσκει εἰδέναι τὸν τῶν ἁπάντων δημιουργόν. εἰπὼν γὰρ, θεὸν οὐρανοῦ καὶ θεὸν γῆς, ἅπασαν τὴν κτίσιν συμπεριέλαβε. καὶ τίς ὁ ὅρκος; ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων Χαναναίων, μεθ' ὧν ἐγὼ κατοικῶ ἐν αὐτοῖς· ἀλλ' εἰς τὴν γῆν μου, οὗ ἐγεννήθην, πορεύσῃ, καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν. εἶδες τὴν ἐντολὴν τοῦ πατριάρχου τὴν πρὸς τὸν οἰκέτην γινομένην; μὴ ἁπλῶς γὰρ παραδράμῃς τὰ εἰρημένα, ἀλλ' ἐννόησον τὸν σκοπὸν τοῦ δικαίου, καὶ λόγισαι ὅπως τὸ παλαιὸν ἐποιοῦντο σπουδὴν, οὐ χρημάτων ἐπιζητοῦντες περιουσίαν, οὐ πολὺν πλοῦτον, καὶ ἀνδράποδα, καὶ πλέθρα γῆς τόσα καὶ τόσα, οὐ τὸ ἔξωθεν κάλλος τὴν εὐμορφίαν, ἀλλὰ τῆς ψυχῆς τὸ κάλλος ἐπεζήτουν, καὶ τρόπων εὐγένειαν. ἐπειδὴ γὰρ εἶδε τῶν ἐν τῇ Χαναναίᾳ οἰκούντων τὴν πονηρίαν, εἰδὼς ὅσον ἐστὶν ἀγαθὸν ὁμότροπον ἔχειν σύζυγον, διατάττεται τῷ παιδὶ, καὶ ὅρκον προστίθησιν, ὥστε ἐκ τῆς συγγενείας αὐτοῦ ἀγαγέσθαι τῷ Ἰσαὰκ γυναῖκα. καὶ οὔτε τὸ διάστημα τῶν τόπων, οὔτε αἱ ἄλλαι δυσχολίαι ὀκνηρότερον αὐτὸν περὶ τοῦτο πεποιήκασιν· ἀλλ' εἰδὼς τοῦ πράγματος τὸ ἀναγκαῖον, πᾶσαν ποιεῖται τὴν σπουδὴν, καὶ ἀποστέλλει τὸν οἰκέτην. ἀλλ' ὁ μὲν πατριάρχης ἐπιμελούμενος τῆς κατὰ ψυχὴν ἀρετῆς, καὶ φεύγων τῶν ἐγχωρίων τὴν πονηρίαν, τοῦτο ποιεῖ· οἱ δὲ νῦν ἄνθρωποι οὐκ ἄν ποτε ἀνάσχοιντο τοιοῦτόν τι ἐννοῆσαι,

A Quare hæc nobis aſſignauit ſcriptura? quia patriarcha diligenter curaturus erat vt ſponſa Iſaaco adduceretur, ideo nobis eius ætatem aſſignauit. Quando enim, inquit, ad extremam ſenectutem peruenit, volens Iſaacum à Chananæorum cognatione liberum eſſe, ita ne inde vxorem duceret, vocato, inquit, famulo prudentiore, commendat ei negocium hoc & dicit:[2] *Pone manum tuam ſubter femur meum.* Lingua Græca habet ſubter femur meum: Hebraïca verò ſubter lumbum. Et quare ſic dicit? Mos ille veterum erat. (Mos veterũ in adiurationib⁹.) B Aliter autem dic, quòd hinc principium natiuitatis Iſaac fuit. Et vt diſcas, quòd hoc facere conſueuerint, vide, quia ipſe imperat vt manum ille eo loco ponat, & ſtatim adiungit:[3] *Et adiurabo*, inquit, *te per dominum Deum cœli, & Deum terræ.* Vide quomodo & famulum docet, vt ſciat vniuerſorum conditorem. Nam qui dixit, Deum cœli, & Deum terræ, omnem creaturam comprehendit. Et quod iuramentum? *Vt non accipias vxorem filio meo Iſaac de* C *filiabus Chananæorum, inter quos ego habito:*[4] *ſed in terram meam, in qua natus ſum, ibis, & ad cognationem meam, & inde accipies vxorem filio meo Iſaac.* Vidiſti mandatum patriarchæ, quod famulo dedit? At ne perfunctoriè prætereas dicta, ſed cogita mentem & propoſitum iuſti, & quò ſpectarit: & attende quomodo veteres non quærebant ſubſtantiam multam, nõ diuitias, non ſeruos, & iugera agri tot & tot, non externæ venuſtatis formam: ſed animę pulchritudinem, & morum nobilitatem. (Qualis vxor quærẽda & quomodo.) Nam quoniam videbat malitiam eorum, qui D in Chananęa habitabant, ſciens quãtum bonum ſit ſortiri coniugem iiſdem moribus viuentem, præcipit ſeruo, & iuramentum adhibet, vt ex ſua cognatione vxorẽ adducat Iſaac, & neque interuallum locorum, neque aliæ difficultates ſegnem eum in his reddunt: ſed ſciens rei neceſſitatem, omnem curam & ſtudiũ adhibet, ac mittit ſeruum. Cæterùm patriarcha habens reſpectum virtutum animæ, & abhorrens à vicinorum malitia, ita quidem ſe gerit: at nunc omnes tale quiddam ne cogitarent quidem.

Nam etſi malis innumeris plena ſit, hoc ſolum inquirunt, quantum abundet pecuniis, cætera omnia poſteriore loco habent, neſcientes quòd cùm mens peruerſa ſit, licèt immenſæ affluant diuitiæ, facile in extremam venient inopiam: & nihil proderunt opes, cùm non ſit ibi mens quæ bene illas diſpēſare queat. Verùm patriarcha ſeruo ſatis magnum mandatum dedit, & iuramento eum aſtrinxit. Videamus autem nunc & ſerui probitatem, quomodo imitatus ſit pietatem domini. Nam poſtquam vidit tam ſerio iuſtum ſibi præcipere, dicit ei: [5] *Si non voluerit venire mecum, vis filium tuum in terram vnde exiſti inducam?* Vt ne, inquit, ſi difficultas aliqua incidat, tranſgrediar mandata tua: rogo, quid oportebit me obſeruare: & non placet, tibi vt illuc abeat Iſaac, & accepta ſponſa redeat, ſi non voluerit (vt mandaſti) venire mecum? Quid igitur iuſtus? denegat hoc & dicit: [6] *Attende tibi: Ne reducas filium meum illuc.* Non erit hoc tibi opus. Qui enim mihi hoc annunciauit, & promiſit ſemen eius ita multiplicandum, etiam hoc proſpere faciet ſuccedere. Ne igitur abducas illuc filium meū: [7] *Dominus Deus coeli & Deus terræ.* Vide quomodo ſuperius ſeruum adiurans, ipſum de omnium conditore docet: & nunc precaturus, iterum eadem verba dicit: per omnia docens vt ſeruus profecturus in illo fiduciam habeat, & de bono rei exitu benę ſperet. Docet enim eum quantam olim ab initio beneuolentiam Dei inuenerit, & quòd ille qui à domo paterna euocauerit, & vſque ad hoc tempus ita gubernauerit, iámque in tam prouecta ſenecta Iſaac dederit, proſpera etiam quæ adhuc reſtant faciet. *Dominus enim*, inquit, *coeli & terræ, qui aſſumpſit me de domo patris mei, & de terra in qua natus ſum, ille ipſe qui locutus eſt mihi, dicens: Tibi dabo terram, & ſemini tuo.* Ille qui tantam erga me declarauit benignitatem & curam. *Ipſe mittet angelum ſuum ante te, & inde accipies filio meo vxorem.* Confidens, inquit, abi, certus enim ſum quòd qui tantis me beneficiis hactenus proſecu-

A ἀλλὰ κἂν μυρίων ᾖ κακῶν ἀνάμεστος, ἓν μόνον ἐπιζητοῦσι, τῶν χρημάτων τὴν περιουσίαν, καὶ πάντα τὰ ἄλλα δεύτερα αὐτοῖς νενόμισται· οὐκ εἰδότες ὅτι γνώμης διεφθαρμένης οὔσης, κἂν ἄφατος ἐπιρρέῃ πλοῦτος, θᾶττόν τις εἰς ἐσχάτην πενίαν ἥξει, καὶ οὐδὲν ὄφελος ἔσται τῆς περιουσίας, οὐκ οὔσης τῆς οἰκονομεῖν ταῦτα δυναμένης δεόντως ψυχῆς. ἀλλ' ὁ μὲν πατριάρχης ἀρκοῦσαν τῷ παιδὶ τὴν ἐντολὴν ἐποιήσατο, καὶ ὅρκοις αὐτὸν συνέδησεν. ἴδωμεν δὲ λοιπὸν τὴν εὐγνωμοσύνην τοῦ οἰκέτου, ὅπως ἐζήλου τοῦ δεσπότου τὸ φιλόθεον. ἐπειδὴ γὰρ εἶδε μετὰ πολλῆς σφοδρότητος ἐντελλόμενον τὸν δίκαιον, φησὶ πρὸς αὐτόν· ἐὰν B μὴ βούληται ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ, βούλει τὸν υἱόν σου ἀποστρέψω εἰς τὴν γῆν, ὅθεν ἐξῆλθες ἐκεῖθεν; ἵνα μή, φησι, δυσκολίας τινὸς παρεμπεσούσης ἐκβαίνειν δόξω τὰς ἐντολὰς τὰς σάς, διὰ τοῦτο πυνθάνομαι, τί δέοι με παραφυλάξασθαι, καὶ εἰ ἀρεστόν σοι τὸν Ἰσαὰκ ἐκεῖ ἀπελθεῖν, ὥστε λαβόντα τὴν γαμετὴν οὕτως ἐπανελθεῖν, εἰ μὴ ἀνάσχοιτο, καθάπερ ἐνετείλω, μετ' ἐμοῦ παραγενέσθαι. τί οὖν ὁ δίκαιος; ἀπαγορεύει τοῦτο αὐτῷ, καί φησι· πρόσεχε σεαυτῷ· μὴ ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ. οὐ χρεία σοι γενήσεται τούτου, φησίν. ὁ γὰρ τὴν ἐπαγ- C γελίαν πρὸς μὲ ποιησάμενος, καὶ ἐπὶ τοσοῦτον αὐξηθῆναι τὸ σπέρμα αὐτοῦ ὑποσχόμενος, αὐτός σοι καὶ τοῦτο εὐοδώσει. μὴ τοίνυν ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ. κύριος ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ ὁ θεὸς τῆς γῆς. ὅρα πῶς καὶ ἀνωτέρω ὁρκῶν τὸν παῖδα, τὸν δημιουργὸν τῶν ὅλων αὐτὸν ἐκπαιδεύει· καὶ νῦν μέλλων ἐπεύχεσθαι, τὰ αὐτὰ ῥήματά, φησι, διὰ πάντων παιδεύων τὸν οἰκέτην ἐπ' ἐκεῖνον τὴν πεποίθησιν ἔχοντα, οὕτω τῆς ὁδοιπορίας ἅψασθαι, καὶ θαρρεῖν καὶ ὑπὲρ τοῦ τέλους. διδάσκει γὰρ αὐτὸν ὅσης ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἀπήλαυσε τῆς παρὰ τοῦ τῶν ὅλων θεοῦ εὐνοίας, καὶ ὅτι αὐ- D τός ἐστιν, ὁ καὶ ἐκ τῆς οἰκείας πατρίδος ἀναστήσας, καὶ μέχρι νῦν τὰ κατ' αὐτὸν οὕτως οἰκονομήσας, καὶ ἐν αὐτῷ τῷ γήρᾳ τὸν Ἰσαὰκ τὸν τόκον χαρισάμενος, αὐτὸς καὶ τὰ προκείμενα αὐτῷ καλῶς εὐοδώσει. κύριος ὁ θεός, φησι, τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐκ τῆς γῆς ἧς ἐγεννήθην, αὐτός ἐστιν, ὃς ἐλάλησέ μοι, λέγων, σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου, ἐστὶν ὁ τοσαύτην περὶ ἐμὲ τὴν κηδεμονίαν ἐπιδειξάμενος, αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. θαρρῶν, φησιν, ἄπιθι. πέπεισμαι γάρ, ὅτι ὁ τοσαύτην περὶ ἐμὲ τὴν εὐεργεσίαν ἐπιδειξάμενος,

καὶ ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου. αὐτός σοι προοδοποιήσει ἅπαντα, αὐτός σοι καὶ τὴν γυναῖκα γνώριμον ποιήσει, καὶ λαβὼν αὐτὴν ἥξεις. ἐὰν δὲ γένηται, ὃ μὴ γένοιτο, καὶ ἀντιτείνῃ ἡ γυνὴ τοῦ μὴ πορευθῆναι, ἀλλότριος ἔσῃ ἀπὸ τῆς ἀρᾶς τοῦ ὅρκου. τὸν μέντοι υἱόν μου μὴ ἀποστρέψῃς ἐκεῖ. οὐκ ἀμφιβάλλω γὰρ ὅτι κατευοδώσει σε κύριος. καὶ δείκνυς ὅπως ἐπεποίθει τῇ τοῦ θεοῦ δυνάμει, ἀπαγορεύει τῷ παιδὶ τὸν Ἰσαὰκ ἐκεῖσε ἀπαγαγεῖν. εἶτα ἐπειδὴ μετ᾽ ἀκριβείας διετείλατο τῷ παιδὶ, καὶ ἀπήλλαξεν αὐτὸν τῆς φροντίδος (ἐδεδοίκει γὰρ ὁ παῖς, μὴ ἐπιορκήσας ἁλῷ τὸ προσταχθὲν μὴ πληρώσας) θεὶς, φησι, τὴν χεῖρα αὐτοῦ ὑπὸ τὸν μηρὸν, ὤμοσεν αὐτῷ περὶ τοῦ ῥήματος τούτου, ὥστε μὴ τὸν Ἰσαὰκ ἐκεῖσε ἀπαγαγεῖν. εἶδες πῶς ἐκ προοιμίων ἔδειξεν ὁ οἰκέτης τὴν εὔνοιαν τὴν περὶ τὸν δεσπότην; ὅρα λοιπὸν αὐτὸν ἐκ τῆς τοῦ πατριάρχου διδασκαλίας βελτίω γινόμενον καὶ μιμούμενον τοῦ δικαίου τὸ φιλόθεον. λαβὼν γάρ, φησιν, ὁ παῖς τὰς καμήλους καὶ ἀπὸ πάντων τῶν ἀγαθῶν τοῦ κυρίου αὐτοῦ, ἀναστὰς ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν εἰς τὴν πόλιν Ναχώρ, καὶ ἐκοίμισε τὰς καμήλους ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ ὕδατος τὸ πρὸς ὀψὲ, ἡνίκα ἐκπορεύονται αἱ ὑδρευόμεναι. καὶ εἶπε· κύριε ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ. ὅρα τοῦ οἰκέτου τὴν εὐγνωμοσύνην. τὸν τῆς οἰκουμένης δεσπότην ἀπὸ τοῦ πατριάρχου ὀνομάζει. κύριε γὰρ ὁ θεὸς, φησι, τοῦ κυρίου μου Ἀβραάμ, ὁ τοσαύτας περὶ αὐτὸν εὐεργεσίας ἐπιδειξάμενος. καὶ τί θαυμάζεις, εἰ ὁ οἰκέτης αὐτὸν οὕτω καλεῖ θεὸν Ἀβραάμ; αὐτὸς ὁ τῶν ὅλων θεὸς δεικνὺς, ὅπως τῶν δικαίων τὴν ἀρετὴν περὶ πολλοῦ ποιεῖται, φησιν, ἐγώ εἰμι ὁ θεὸς Ἰακὼβ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἀβραάμ. κύριε, φησιν, ὁ θεὸς τοῦ κυρίου μου Ἀβραὰμ εὐόδωσον ἐναντίον μου σήμερον, καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ. ὡς εἰ ἔλεγεν· εἰς ἔργον ἐλθεῖν ποίησον τὰ δόξαντα αὐτῷ, καὶ κατὰ γνώμην τὴν αὐτοῦ πάντα εὐόδωσον, ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ. τί ἐστι, ποίησον ἔλεος; τὴν ἐπιθυμίαν αὐτοῦ πλήρωσον. εἶτα, φησιν, ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος. αἱ δὲ θυγατέρες τῶν οἰκούντων τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ. καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω, ἐπίκλινον τὴν ὑδρίαν σου, ἵνα πίω,

A & mittet angelum ſuum ante te. Ipſe, inquit, præcedet te, & viam præparabit in omnibus, vxorémque tibi notam faciet, vt accepta ea huc redeas. Quòd ſi contingat, quod abſit, vt reluctetur vxor venire huc, alienus eris à maledictione iuramenti. Tantum filium meum illuc non reduces. Nullum enim mihi dubium eſt, quin dominus ſecunda tibi faciat omnia. Declarat itaque quomodo virtute diuina bene fidat, & prohibet ſeruum, ne filium illuc inducat. Poſtea, cùm diligenter mandaſſet ſeruo, cúráque eum liberaſſet (vere-
B batur enim ſeruus, ne mandato non impleto periurij reus fieret.) [9] *Poſita* inquit, *manu ſua ſubter femur, iurauit ei ſuper verbo hoc, quòd filium ſuum illuc non abduceret Iſaac.* Vidiſti quomodo ab initio ſeruus indicauit ſuam erga dominum beneuolentiam? vide nunc quomodo ea patriarchæ doctrina melior euaſerit, & imitatus fuerit iuſti pietatem atque religionem. [10] *Acceptis enim*, inquit, *ſeruus decem camelis, & de omnibus bonis quæ domini ſui erant, ſurrexit, &*
C *profectus eſt in Meſopotamiam, in ciuitatem Nachor,* [11] *& recumbere camelos fecit extra ciuitatem iuxta puteum aquæ veſperi, quando egrediuntur aquaturæ.* [12] *Et dixit: Domine Deus domini mei Abraham.* Vide ſerui probitatem, orbis Dominum à patriarcha nominat. Domine enim, inquit, Deus domini mei Abraham, qui tanta in illum beneficia contuliſti. Et quid miraris, ſi ſeruus eum ita vocat Deum Abraham? ipſe omnium Deus, monſtrans quomodo iuſtorum virtutem magni fa-
D ciat, inquit, Ego ſum Deus Abraham, & Deus Iſaac, & Deus Iacob: Exod. 3. 6.
& dicit: Domine Deus domini mei Abraham proſperè dirige coram me hodie, & fac miſericordiam cum domino meo Abraham? quaſi diceret, Fac vt impleantur quæ ille vult, & iuxta eius ſententiam proſpera fac omnia. Fac miſericordiam cum domino meo Abraham. Quid eſt, fac miſericordiam? voti compotem eum fac. *Deinde*, inquit, [13] *Ecce ego ſteti propter fontem aquæ, filiæ autem habitantium ciuitatem, egrediuntur vt hauriant aquam,* [14] *& erit virgo, cui ego dixero: Inclina hydriam tuam, vt bibam:*

& dixerit mihi, bibe, & camelos tuos potabo, vſquequo bibere omnes ceſſent, illam præparaſti puero tuo Iſaac: & in hoc cognoſcam, quòd feciſti miſericordiam domino meo Abraham. Vide ſerui prudentiam. Nam quia ſciuit patriarchæ hoſpitalitatem; & quia virginem inde ducendam, congruebat iiſdem eſſe præditam moribus, quibus iuſtus: nullam aliam coniecturam inquirit, ſed characterem virginalis animi ex hoſpitalitate colligere vult, & inquit: Si quando ego aquam ab ea petiuero, dicens: Inclina mihi hydriam: & non ſolùm faciet quod petiui, ſed & candorem ac liberalitatem mentis ſuæ declarabit, & dicet: Etiam camelos tuos aquabo, morum ſuorum mititatem ſatis ex aquæ præbitione oſtendet. Animaduerte obſecro cariſſime quantum fuerit, quòd virgo tenera aquatum profecta non ſolum annuerit eius petitioni, & depoſuerit ab humeris hydriam, & ad ſatietatem præbuerit petenti viro peregrino, & prorſus ignoto: & non ſolum illi dederit, ſed & camelos omnes aquauerit, & per ea quæ fiebant monſtrauerit animæ ſuæ ingenuitatem. An neſcitis quòd multi etiam viri denegant ſæpe petentibus talia? Et quid dico de aqua quæ præbetur? Interdum cum faces tenent, & ab accedentibus orantur, vt pauliſper expectent, quo lumen accendant: id facere renuunt, tametſi nihil inde minuatur ignis, etſi innumeri ſint qui accendere velint. Hîc autem & mulier, & puella, & hydriam ſuper humeros ferens, non ſolum non grauatim tulit, quod ab ea peteretur: ſed & pluſquam petitum erat, conceſſit: & potum dedit, vt petebat, & ex ſeipſa etiam camelos potare feſtinat. Annuerat enim benignus Deus patriarchæ precibus, angelóque ſuo miſſo omnia illa diſpoſuit fieri, ſicut ſeruus petiuerat. Dein poſtquam vidit re ipſa preces patriarchæ efficaces, & obtinuit virginem, quam optabat, illiúſque eximiam vidit hoſpitalitatem, vide quid fit, dicit enim: *Feſtinauit, & euacuauit aquam in canales, & cucurrit ad puteum, vt hauriret aquam, & aquauit omnes camelos eius.* Vide locupletiſſimam promptitudinem.

A καὶ εἴπῃ μοι, πίε, καὶ τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πᾶσαι πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου Ἰσαάκ, καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ. ὅρα τοῦ οἰκέτου τὴν σύνεσιν. ἐπειδὴ γὰρ ᾔδει τοῦ πατριάρχου τὸ φιλόξενον, καὶ ὅτι τὴν κόρην τὴν ἐκεῖ μέλλουσαν ἀπάγεσθαι, ὁμότροπον εἶναι προσήκει τῷ δικαίῳ, οὐδὲν ἕτερον τεκμήριον ἐπιζητεῖ, ἀλλ' ἀπὸ τῆς γνώμης τὴν φιλοξενίαν χαρακτηρίσαι βούλεται τῆς κόρης, καί φησιν· ἐὰν ἐμοῦ αἰτήσαντος παρ' αὐτῆς τὸ ὕδωρ, ἐπικλίνῃ μοι τὴν ὑδρίαν, καὶ μὴ μόνον τὸ αἰτηθὲν ποιήσῃ, ἀλλὰ καὶ τὴν δαψίλειαν τῆς
B οἰκείας γνώμης ἐπιδείξηται καὶ εἴπῃ, καὶ ταῖς καμήλοις σου ἐφυδρεύσομαι, ἀρκοῦσαν ἀπόδειξιν παρέξει διὰ τῆς τοῦ ὕδατος παροχῆς τῆς τῶν τρόπων ἐπιεικείας. ἐννόησον γάρ μοι, ἀγαπητέ, ὅσον ἦν κόρην ἁπαλὴν ὑδρευομένην οὐ μόνον μὴ ἀνανεῦσαι πρὸς τὴν αἴτησιν, ἀλλὰ καὶ καθεῖναι τὴν ὑδρίαν ἀπὸ τῶν ὤμων, καὶ παρασχεῖν ἐμφορηθῆναι τῷ αἰτοῦντι, καὶ ταῦτα ξένῳ ὄντι καὶ οὐδαμόθεν γνωρίμῳ, καὶ οὐ μόνον τούτῳ, ἀλλὰ καὶ ταῖς καμήλοις ἁπάσαις ὑδρεύσασθαι, καὶ δεῖξαι διὰ τῶν γινομένων τῆς ἐν τῇ ψυχῇ εὐγενείας τὰ τεκμήρια. ἢ
C οὐκ ἴστε ὅτι πολλοὶ καὶ ἄνδρες ὄντες ἀνανεύουσι πολλάκις πρὸς τὰς τοιαύτας αἰτήσεις; καὶ τί λέγω πρὸς ὕδατος παροχήν; ἐνίοτε δᾷδας κατέχοντες, καὶ ὑπὸ τῶν παριόντων παρακαλούμενοι, ὥστε παρασχεῖν βραχὺ ἀναμεῖναι, ἵνα λύχνον ἀνάψωσιν, οὐδὲ τοῦτο ποιῆσαι ἀνέχονται, καὶ ταῦτα τοῦ πυρὸς οὐδεμίαν ἐλάττωσιν ὑπομένοντος, κἂν μυρίοι ὦσιν οἱ μέλλοντες ἅπτειν. ἐνταῦθα δὲ καὶ γυνὴ καὶ κόρη καὶ ὑδρίαν ἐπὶ τῶν ὤμων φέρουσα, οὐ μόνον οὐκ ἐδυσχέρανε πρὸς τὴν αἴτησιν, ἀλλὰ καὶ ἐπιδαψιλεύεται τῇ αἰτήσει, καὶ τὸ ποτὸν παρέχει, καὶ ἐξ
D οἰκείας γνώμης καὶ ταῖς καμήλοις ὑδρεύσασθαι ἐπείγεται. ὁ γὰρ φιλάνθρωπος θεὸς ἐπινεύσας ταῖς τοῦ πατριάρχου προσευχαῖς, τὸν ἄγγελον αὐτοῦ προπέμψας ἅπαντα ταῦτα ᾠκονόμησε γενέσθαι, καὶ καθάπερ ᾔτησεν ὁ παῖς, οὕτως ἅπαντα εἰς ἔργον ἐξῆλθεν. εἶτα ἐπειδὴ εἶδε διὰ τῶν ἔργων τὴν ἐνέργειαν τῆς εὐχῆς τοῦ πατριάρχου, καὶ ἐπέτυχε καθάπερ ἐπεθύμει τῆς κόρης, καὶ εἶδεν αὐτῆς τὴν ὑπερβάλλουσαν φιλοξενίαν, ἔσπευσε γάρ, φησι, καὶ ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι, καὶ ὑδρεύσατο πάσαις ταῖς καμήλοις. ὅρα τὴν προθυμίαν ἐπιτεταμένην.

τὸ γὰρ ἔσπευσε καὶ ἐξεκένωσε τὴν ὑδρίαν, καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ, δείκνυσι τῆς κόρης τὴν ἄφατον προθυμίαν, ὅτι οὔτε ὡς ξένη ἀπέφυγεν, οὔτε προφάσει τῆς σωφροσύνης ἀνένευσε πρὸς τὴν αἴτησιν, ἀλλὰ μετὰ πολλῆς ἐπιεικείας φησί, πίε, κύριε. ἐννόησόν μοι ἐν ἡλικίᾳ τοιαύτῃ πόση ἡ σωφροσύνης ἀκρίβεια, καὶ ταπεινοφροσύνης ὑπερβολή, καὶ φιλοξενίας ἐπίτασις. πόσου πλούτου γοῦν οὐκ ἂν εἴη ταῦτα τιμιώτερα; πόσων θησαυρῶν ταῦτα οὐκ ἂν προτιμότερα τις ἡγήσαιτο; τοῦτο ἡ μεγίστη προίξ, τοῦτο τὰ μυρία ἀγαθά, ὁ θησαυρὸς ὁ μηδέποτε δαπανώμενος. ὁρῶν τοίνυν λοιπὸν ὁ εὐγνώμων οἰκέτης ἐναργῆ τοῦ θεοῦ τὴν πρόνοιαν, κατεμάνθανεν αὐτήν, φησι, καὶ παρεσιώπα τοῦ γνῶναι, εἰ εὐώδωσε κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ. τί ἐστι, κατεμάνθανεν αὐτήν; αὐτὰ τὰ ῥήματα τῆς κόρης κατενόει, τὸ βλέμμα, τὴν βάδισιν, τὸ σχῆμα, τὰ ἄλλα ἅπαντα, καὶ ἀνέμενεν ἰδεῖν, εἰ εὐώδωσε κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ. τὰ μὲν γὰρ ἤδη γεγενημένα, φησί, πολλὴν δείκνυσι τῆς κόρης καὶ ὑπερβάλλουσαν τὴν ἀρετήν. διὸ καὶ ἀμειβόμενος αὐτὴν τῆς ὑπακοῆς καὶ τῆς τοῦ ὕδατος παροχῆς, περιτίθησιν αὐτῇ φησιν ἐνώτια χρυσᾶ καὶ δύο ψέλλια, καὶ περιειργάζετο μετ' ἀκριβείας τὰ κατ' αὐτήν, καὶ ἠρώτα, τίνος θυγάτηρ εἶ; καὶ εἰ ἔστι παρὰ τῷ πατρί σου τόπος ἡμῖν καταλῦσαι; σκόπει καὶ ἐνταῦθα τῆς κόρης τὴν ἀπόκρισιν. καθάπερ γὰρ ἐπὶ τοῦ ὕδατος οὐ μόνον τὸ αἰτηθὲν παρέσχεν, ἀλλὰ μετὰ τὸ πιεῖν αὐτὸν καὶ ταῖς καμήλοις ὑδρεύσατο, οὕτω καὶ ἐνταῦθα πυθομένου τοῦ παιδός, εἰ ἔστι μόνον τόπος, καὶ τίνος εἴη θυγάτηρ, φησὶν ἡ κόρη, θυγάτηρ εἰμὶ Βαθουὴλ τοῦ Μελχᾶς, ὃν ἔτεκεν αὐτῷ Ναχώρ. λέγει καὶ τὸν πατέρα καὶ τὸν πάππον, ἵνα γνωρίσας ἐκείνους προθυμότερος γένηται. ὅρα εὐγνωμοσύνην τῆς παιδός. περὶ τοῦ πατρὸς ἐρωτηθεῖσα οὐ μόνον τοῦτο καταμηνύει, ἀλλὰ καὶ τὸν πατρὸς τὸν πατέρα. καὶ πυθομένου, εἰ ἔστι τόπος μόνον καταλῦσαι, φησιν οὐ μόνον τόπος, ἀλλὰ καὶ ἄχυρα καὶ χορτάσματα πολλὰ παρ' ἡμῖν. ταῦτα ἀκούσας ὁ οἰκέτης καὶ θαυμάσας τὴν παῖδα τῆς δαψιλοῦς φιλοξενίας, καὶ μαθὼν ὡς οὐ πρὸς ἀγνῶτάς τινας παραγέγονεν, ἀλλ' εἰς τὴν οἰκίαν τοῦ Ναχώρ, ὃς ἀδελφὸς ἦν τοῦ πατριάρχου, εὐδοκήσας, φησίν, ὁ ἄνθρωπος προσεκύνησε τῷ κυρίῳ. ἡσθεὶς ἐπὶ τοῖς γνωσθεῖσιν, ἐπὶ τοῖς εἰρημένοις παρὰ τῆς παιδός, προσεκύνησε τῷ κυρίῳ, τὴν εὐχαριστίαν ἀνέφερε τῷ δεσπότῃ τῷ διὰ τὸ πρὸς

A Per hoc enim quod ait, feſtinauit & euacuauit hydriam, & cucurrit ad puteum, monſtratur puellæ ſumma alacritas: quia neque vt aliena aufugit, neque prætextu continentiæ petitioni renuit: ſed cum multa manſuetudine inquit, Bibe domine. Cogita, obſecro, quanta etiam ea ætate fuerit continentiæ diligentia, & modeſtiæ eminentia, hoſpitalitatiſque frequentia. Quibus igitur opib. hæc non ſunt precioſiora? Quibus theſauris hæc non ſunt præferenda? Hæc ſumma dos, hæc innumera bona, hæc theſaurus qui non
B conſumitur, Videns igitur prudens ſeruus manifeſtam Dei prouidentiam, [21] *Diſcebat eam*, inquit, *& ſilebat, vt ſciret proſperúmne feciſſet Dominus iter ſuum, an non.* Quid eſt, diſcebat eam? Verba ipſa puellæ diligenter conſiderabat, aſpectum, inceſſum, habitum, aliáque omnia: & expectabat, vt ſciret an proſperum feciſſet Dominus iter ſuum, an non. Nam quæ iam facta erant, inſignem & plurimam virginis indicabant virtutem. Et ideo remunerans eius obe-
C dientiam, & aquæ ſuppeditationem. [22] *Circumponit ei*, inquit, *inaures aureas, & duas armillas, & diligenter addiſcebat vt ſe haberet.* [23] *Et rogabat, cuius filia eſſet: & num eſſet apud patrem eius locus diuerſorij.* Conſidera & hîc puellæ reſponſum. Nam ſicut cùm aquam peteret, non ſolum eam dedit, ſed & camelos illius potauit: ita & hîc rogante ſeruo num eſſet locus, & cuius eſſet filia: inquit, [24] *Filia ſum Bathuelis filij Melchæ, quem peperit ipſi Nachor.* Dicit & patrem & auum, vt illis cognitis fiat alacrior. Vide
D prudentiam puellæ: de patre rogatur, & non ſolum hoc indicat, ſed & patrem patris. Et cùm rogaſſet ſeruus ſolum, an eſſet locus diuertendi, illa addidit: Non ſolum locus, ſed. [25] *Et foenum & pabulum multum apud nos.* Hæc vt audiuit ſeruus, & admiratus eſt miram & largam puellæ hoſpitalitatem. Et vt didicit quòd non ad ignotos quoſdam veniſſet, ſed in domum Nachor, qui frater erat patriarchæ. [26] *Quòd cùm probaret* inquit, *homo adorauit Dominum.* Exhilaratus in his quæ cognouerat, & ob ea quæ ei puella dixerat, adorauit Dominũ,

& gratias illi egit, eò quòd in patriarcham & in ſe tantam declaraſſet prouidentiam, & quòd omnia tam proſperè & facilè ſucceſſiſſent. [27] *Et dixit: Benedictus dominus Deus domini mei Abraham, qui non abſtulit iuſtitiam ſuam & veritatem à domino meo.* Poſtquam vidit puellæ beneuolentiam, & ab ea omnia manifeſtè didicit, tunc & ipſe puellæ ſignificat quis ſit: & per gratiarum actionem in Deum, manifeſtum ei facit quòd non ex aliena domo veniat, ſed frater Nachor ſit, qui huc eum miſerat. Hæc vbi didicit puella, cum magna voluptate cucurrit, inquit. Vide quomodo in ſingulis declaret nobis hoſpitalitatis alacritatem, curſu, verbis, manſuetudine. [28] *Cucurrit enim*, inquit, *& annunciauit in domo matris ſuæ iuxta verba hæc omnia:* Omnia quæ audiuerat à ſeruo, parentibus ſignificauit. [29] *Et cucurrit*, inquit, *Laban ad hominem foras ad fontem.* Vide quomodo & hîc curſu deſiderium ſuum monſtret. [30] *Et vt vidit hominem ſtantem apud fontem cum camelis, dixit ei: Veni, ingredere, benedictus Dominus: cur foris ſtetiſti? Ego diſpoſui domum & locum camelis.* Vide & hunc benedicentem Deum in aduentu peregrini, & quomodo antequam hoſpitalitatem impleuit opere, multis eum exhortatus eſt. Veni, inquit, ingredere. Prius enim præparaui domum & locum camelis. Deinde ingreſſo eo, inquit: [32] *Deſtrauit camelos, & dedit paleas, & foenum, & aquam, vt lauarentur pedes eius.* Vide quomodo hi qui adhuc in errore tenebantur, magnam hoſpitalitatis curam agebant. *Et dedit aquam, vt lauarentur pedes eius, & pedes virorum qui cum eo erant.* [33] *Et appoſuit eis panes ad comedendum.* Sed hîc attende obſecro, magnam famuli prudentiam. Quid enim ait? *Non comedam, donec loquar verba mea.* Vos quidem, inquit, officium veſtrum in me præſtitiſtis: ego autem nequaquam antea quietis meæ rationem habebo, donec cauſam vos docuero, propter quam in hanc viam ſim miſſus, & quare à Chananæa huc venerim,

A τὸν πατέρα εὔνοιαν τοσαύτην καὶ περὶ αὐτὸν ἐπιδειξαμένῳ τὴν κηδεμονίαν, καὶ οὕτω πάντα μετ' εὐκολίας αὐτῷ κατευοδώσαντι· καί φησιν, εὐλογητὸς κύριος ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην καὶ τὴν ἀλήθειαν αὐτοῦ ἀπὸ τοῦ κυρίου μου. ἐπειδὴ εἶδε τῆς παιδὸς τὴν εὐγνωμοσύνην, καὶ ἔμαθεν ἅπαντα σαφῶς παρ' αὐτῆς, λοιπὸν καὶ αὐτὸς γνωρίζει τῇ κόρῃ, ὅστις ἐστί, καὶ διὰ τῆς εὐχαριστίας τῆς εἰς τὸν θεὸν κατάδηλον αὐτῇ ποιεῖ, ὅτι οὐκ ἐξ ἀλλοτρίας οἰκίας παραγέγονεν, ἀλλὰ καὶ ἀδελφὸς τοῦ Ναχώρ ἐστιν ὁ τοῦτο διαπεμψάμενος. Ταῦτα πυθομένη ἡ παῖς μετὰ πολ-
B λῆς τῆς περιχαρείας δραμοῦσα, φησίν. ὅρα πῶς δι' ἑκάστου τῶν παρ' αὐτῆς γινομένων δείκνυσι τὸ πρόθυμον τὸ περὶ τὴν φιλοξενίαν, διὰ τοῦ δρόμου, διὰ τῶν ῥημάτων, διὰ τῆς ἐπιεικείας. ἔδραμε γάρ, φησι, καὶ ἀπήγγειλεν εἰς τὸν οἶκον τῆς μητρὸς αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα. πάντα ἅπερ ἤκουσε παρὰ τοῦ παιδός, ἐγνώρισε τοῖς γονεῦσι. καὶ ἔδραμε, φησι, Λάβαν πρὸς τὸν ἄνθρωπον ἔξω ἐπὶ τὴν πηγήν. ὅρα καὶ τοῦτον διὰ τοῦ δρόμου δεικνύντα τὸν πόθον. καὶ ἰδὼν τὸν ἄνθρωπον ἑστῶτα ἐπὶ τῆς πηγῆς μετὰ τῶν καμήλων, εἶπεν
C αὐτῷ· δεῦρο εἴσελθε· εὐλογητὸς κύριος. ἵνα τί ἕστηκας ἔξω; ἐγὼ δὲ ἡτοίμακα τὴν οἰκίαν καὶ τόπον ταῖς καμήλοις. ὅρα καὶ τοῦτον εὐλογοῦντα τὸν κύριον ἐπὶ τῇ παρουσίᾳ τοῦ ξένου, καὶ πρὸ τῆς διὰ τῶν ἔργων φιλοξενίας πολλὴν τὴν προτροπὴν ἐπιδεικνύμενον. δεῦρο, φησιν, εἴσελθε· προλαβὼν ἡτοίμασα τὴν οἰκίαν καὶ τόπον ταῖς καμήλοις. Εἶτα εἰσελθόντος αὐτοῦ, φησιν, ἀπέσαξε τὰς καμήλους, καὶ ἔδωκεν ἄχυρα καὶ χορτάσματα, καὶ ὕδωρ νίψασθαι τοῖς ποσὶν αὐτοῦ. ὅρα πῶς καὶ ἔτι τῆς πλάνης ἐχόμενοι περὶ τὴν φιλοξενίαν ἦσαν πολλὴν τὴν σπουδὴν ἐπιδεικνύμενοι. καὶ ἔδωκε
D νίψασθαι τοῖς ποσὶν αὐτοῦ, καὶ τοῖς ποσὶ τῶν ἀνδρῶν τῶν μετ' αὐτοῦ. καὶ παρέθηκεν αὐτοῖς ἄρτους φαγεῖν. ἀλλ' ἐνταῦθα σκόπει μοι τοῦ οἰκέτου τὴν πολλὴν σύνεσιν. τί γάρ φησιν; οὐ μὴ φάγω, ἕως τοῦ λαλῆσαί με τὰ ῥήματά μου. ὑμεῖς μέν, φησιν, ἐπεδείξασθε τὰ παρ' ἑαυτῶν· ἐγὼ δὲ οὐ πρότερον τῆς ἐμῆς ἀναπαύσεως λόγον τινὰ ποιήσομαι, μέχρις ἂν τὴν αἰτίαν ὑμᾶς διδάξω, δι' ἣν ἐστάλην τὴν τοσαύτην ὁδόν, καὶ τίνος ἕνεκεν ἀπὸ τῆς Χαναναίας ἐνταῦθα παραγέγονα,

A καὶ πῶς εἰς τὸν οἶκον τὸν ὑμέτερον ὡδηγήθην, ἵνα πάντα μαθόντες οὕτω καὶ ὑμεῖς τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείξησθε πρὸς τὸν ἐμὸν δεσπότην. καὶ ἀρξάμενος διηγεῖσθαι, φησὶ, παῖς Ἀβραὰμ ἐγώ εἰμι· κύριος δὲ εὐλόγησε τὸν κύριόν μου σφόδρα, καὶ ἔδωκεν αὐτῷ πρόβατα καὶ μόσχους, καὶ χρυσίον καὶ ἀργύριον, καὶ παῖδας καὶ παιδίσκας, καὶ καμήλους καὶ ὄνους. καὶ ἔτεκε Σάῤῥα ἡ γυνὴ τοῦ κυρίου μου υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ τὸ γηρᾶσαι αὐτὸν, καὶ ἔδωκεν αὐτῷ πάντα, ὅσα ἦν αὐτῷ. ὅρα πῶς μετὰ ἀκριβείας ἅπαντα αὐτοῖς διηγεῖται. ἐκείνου εἰμὶ παῖς, φησιν, Ἀβραὰμ, ὃν ἴστε. μανθάνετε τοίνυν ὅτι τοσαύτης B εὐλογίας ἀπήλαυσε παρὰ τοῦ τῶν ἁπάντων δεσπότου, ὡς ἐν πλούτῳ γενέσθαι αὐτὸν πολλῷ. εἶτα διδάσκων καὶ τοῦ πλούτου τὴν περιουσίαν, φησὶ, πρόβατα καὶ μόσχους, ἀργύριον καὶ χρυσίον, παῖδας καὶ παιδίσκας, καμήλους καὶ ὄνους αὐτῷ γεγενῆσθαι. ἀκούετε οἱ πλούσιοι, οἱ πλέθρα γῆς τόσα καὶ τόσα καθ᾽ ἑκάστην ἡμέραν ὠνούμενοι, καὶ λουτρὰ καὶ περιπάτους καὶ οἰκοδομὰς λαμπρὰς οἰκοδομούμενοι, ὁρᾶτε ἐν τίσιν ἦν τοῦ δικαίου ἡ περιουσία. οὐδαμοῦ ἀγρὸς, οὐδαμοῦ οἰκοδομὴ, καὶ ἡ περιττὴ πολυτέλεια· ἀλλὰ πρόβατα καὶ μόσχοι C καὶ κάμηλοι καὶ ὄνοι, παῖδες καὶ παιδίσκαι. καὶ ἵνα μάθῃς τῶν οἰκετῶν τὸ πλῆθος πόθεν αὐτῷ ἐγεγόνει, ἐπήγαγεν ἑτέρωθι, ὅτι οἰκογενεῖς ἅπαντες ἦσαν. οὗτος τοίνυν ὁ δεσπότης ὁ ἐμὸς ἐν τοσαύτῃ περιουσίᾳ γενόμενος, καὶ πολλῆς ἀπολαύσας τῆς ἄνωθεν ῥοπῆς, ἡνίκα εἰς γῆρας ἤλασεν, ἡ Σάῤῥα υἱὸν ἔτεκεν αὐτῷ· τοῦτον ἔχων τὸν μονογενῆ, πάντων αὐτὸν κληρονόμον ἤδη κατέστησε. πάντα γὰρ ἔδωκεν αὐτῷ, ὅσα ἦν αὐτῷ. εἶτα ἐπειδὴ διηγήσατο τοῦ δεσπότου τὴν περιφάνειαν, τοῦ Ἰσαὰκ τὸν τόκον, λέγει λοιπὸν τὰς ἐντολὰς, ἃς λαβὼν παρὰ τοῦ δεσπότου αὐτοῦ εἰς τὴν D Χαῤῥὰν παραγέγονε. καὶ ὥρκωσέ με, φησιν, ὁ κύριός μου, λέγων, οὐ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ, ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, ἐν οἷς ἐγὼ παροικῶ, ἀλλ᾽ ἢ εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. καὶ αὐτὸς μὲν ταῦτα ἐνετείλατο· ἐγὼ δὲ τὰς δυσκολίας ἐννοῶν, καὶ τοῦ πράγματος τὸ δυσχερὲς λογιζόμενος, ἐπυθόμην τοῦ κυρίου μου, εἰ μὴ βούλοιτο ἡ γυνὴ πορευθῆναι μετ᾽ ἐμοῦ, καὶ εἶπέ μοι, κύριος ὁ θεὸς, ᾧ εὐηρέστησα ἐναντίον αὐτοῦ, αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ μετὰ σοῦ,

& quomodo in domum veſtram huc ductus ſim, vt cùm omnia didiceritis, tunc & vos veſtram erga dominum meum beneuolentiã declarare poteritis. Et incœpit narrare, & dixit: [34] *Seruus Abrahæ ſum ego: Dominus autem benedixit dominum meum valde, & dedit ei oues & vitulos, aurum & argentum, ſeruos & ancillas, camelos & aſinos.* [36] *Et peperit Sarra vxor domini mei filium vnum domino meo, cum ipſe iam ſenuiſſet, & dedit illi omnia, quæcunque habuit.* Vide quomodo cum diligentia omnia éis narrat. Illius ſum, inquit, Abrahæ ſeruus, quem ſcitis. Diſcite itaque quantam ab omnium domino benedictionem conſecutus ſit, ita vt valde ſit ditatus. Deinde docet & diuitiarum abundantiam, inquiens: Oues & vitulos, argentum & aurum, ſeruos & ancillas, camelos & aſinos acquiſiuit. Audite diuites, qui tot & tot quotidie emitis prædia, & balnea, ac deambulacra, & ſplendidas domos ædificatis. Videtis, in quibus diuitiæ iuſti fuerint conſtitutæ? Nuſquam ager, nuſquam domus, & ſuperuacanea ſumptuoſitas: ſed oues & vituli, cameli & aſinæ, ſerui & ancillæ. Et vt diſcas, ſeruorum multitudo vnde ei contigerit, addidit alio loco: Vernaculi omnes erant. Hic igitur, inquit, dominus meus, qui in tanta ſubſtantia fuit, & multam ſupernè gratiam inuenit, quando iam ſenuit, Sarra filium peperit ei, hunc habens vnigenitum, eum hæredem omnium ſuorum iam conſtituit: quippe omnia dedit illi, quæcunque habuit. Dein poſtquam narrauit domini gloriam, & Iſaac partum, dicit inſuper & mandata quæ acceperat ab hero ſuo, vt in Charras proficiſceretur. [37] *Et adiurauit me,* inquit, *dominus meus, dicens: Non accipies vxorem filio meo Iſaac de omnibus filiabus Chananæorum, inter quos ego habito:* [38] *ſed in domum patris mei vade, & ad cognationem meam, & inde accipies vxorem filio meo.* Et ipſe quidem hæc mihi mandauit, ego autem difficultatem negocij mecum perpendens, rogabam dominum meum, Si non voluerit mulier venire mecum. [40] *Et dixit mihi: Dominus cui complacui coram eo, ipſe mittet angelum ſuum tecum,*

Diuitiæ non in ſuperfluis.

& proſperabit iter tuum, & accipies vxorem filio meo ex cognatione mea, & domo patris mei: quod ſi non potuerit perſuaderi mulieri, vt tecum huc proficiſcatur, [41] *tunc innocens eris à maledictione mea.* Igitur dominus quidem hæc mihi mandauit, & talium precium, viatico me inſtructum huc miſit. Ego autem fretus illius precibus, vbi ad fontem veni, hæc verba locutus ſum, & dixi: [42] *Domine Deus domini mei Abraham, ſi tu proſperum facis iter quod nunc abeo:* [43] *Ecce ego ſto apud fontem aquæ, filiæ autem hominum huius ciuitatis egredientur ad ferendas aquas. Et erit virgo, cui ego dixero: porrige mihi parum aquæ ex hydria tua.* [44] *ſi dixerit mihi, Et tu bibe, & camelos tuos aquabo: ipſa erit vxor quam præparaſti ſeruo tuo Iſaac. Et in hoc ſciam quòd feciſti miſericordiam domino meo Abraham.* Hæc ego quidem, inquit, apud memetipſum Deum rogaui, nondum autem finem acceperant quæ à me dicta ſunt, & confeſtim adimpleta ſunt. [45] *Nam priuſquam ego dicendi finem facerem, ecce Rebecca exiit aquam ferens in humeris ſuis: dicebam autem ei: Da mihi potum.* [46] *Et accelerans depoſuit hydriam ſuam, & dixit mihi: Bibe & tu, & camelos tuos aquabo.* Et cùm viderem iam euidentem fieri Dei prouidentiam, interrogabam cuius eſſet filia. Et vt didici ex iis quæ dixit, quòd non ad alienos veniſſem, ſed in domum Nachor fratris domini mei, ſumpta ſpe bona, [47] *appendi ei inaures & armillas. & cum hoc placeret, adoraui dominum, & benedixi Deum domini mei Abraham, quia proſperum mihi iter fecit, vt aſſumerem filiam fratris domini mei.* Verùm hæc ita à Domino manifeſtè diſpenſata ſunt, & ad preces domini mei ita euenenerunt: Cæterùm vos ſi veſtrum officium impletis, [49] *Facite miſericordiam & iuſtitiam cum domino meo: ſin minus, annunciate mihi.* Iam mihi, inquit, ſignificate, vt ſcire poſſim, quid oporteat me facere. Quòd ſi minus placet, & idipſum dicite, vt aliò iter faciam, & me conuertam vel ad dextram, vel ſiniſtram. Poſtea quoniam Deus erat qui omnia propter preces patriarchæ ſecundabat, dicunt ei pater virginis & frater:

A καὶ εὐοδώσῃ τὴν ὁδόν σου, καὶ λήψῃ τῷ υἱῷ μου γυναῖκα ἐκ τῆς φυλῆς μου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐὰν μὴ πείθηται ἡ γυνὴ τοῦ μὴ πορευθῆναι μετὰ σοῦ ἐνταῦθα, τότε ἀθῷος ἔσῃ ἀπὸ τῆς ἀρᾶς μου. ὁ μὲν οὖν δεσπότης, φησί, ταῦτα ἐντειλάμενος, καὶ ταύταις με ταῖς προσευχαῖς ἐφοδιάσας οὕτως ἐξέπεμψεν· ἐγὼ δὲ θαῤῥήσας ταῖς ἐκείνου προσευχαῖς, ἡνίκα παρεγενόμην ἐπὶ τὴν πηγήν, ταῦτα τὰ ῥήματα ἐφθεγξάμην, καὶ εἶπον· κύριε, ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ, εἰ σὺ εὐοδοῖς τὴν ὁδόν, ἣν ἐγὼ πορεύομαι. ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν ἀνθρώπων B τῆς πόλεως ἐξελεύσονται ὑδρεύσασθαι ὕδωρ· καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω, πότισόν με μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου, καὶ εἴπῃ μοι, καὶ σὺ πίε, καὶ τὰς καμήλους σου ὑδρεύσομαι, αὕτη ἡ γυνή, ἣν ἡτοίμασας τῷ θεράποντί σου Ἰσαάκ, καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ. ταῦτα μὲν ἐγώ φησι καθ᾽ ἐμαυτὸν εὐχόμενος τὸν θεὸν καθικέτευσα· οὔπω δὲ τέλος εἰλήφει τὰ παρ᾽ ἐμοῦ ῥηθέντα, καὶ παραχρῆμα εἰς ἔργον ἐξῄει, καὶ τὰ ῥήματα πράγματα ἐγίνετο. πρὸ τοῦ γὰρ συντελέσαι με λαλοῦντα, ἰδοὺ Ῥεβέκκα ἐξε- C πορεύετο τὴν ὑδρίαν ἔχουσα ἐπὶ τῶν ὤμων αὐτῆς. εἶπον δὲ αὐτῇ, πότισόν με, καὶ σπεύσασα καθῆλε τὴν ὑδρίαν αὐτῆς, καὶ εἶπέ μοι, πίε καὶ σύ, καὶ τὰς καμήλους σου ποτιῶ. καὶ θεασάμενος λοιπὸν ἐναργῆ τὴν παρὰ τοῦ θεοῦ γεγενημένην πρόνοιαν, ἐπηρώτων τίνος εἴη θυγάτηρ· καὶ μαθὼν, ἐξ ὧν εἶπεν, ὅτι οὐ πρὸς ξένους ἀφικόμην, ἀλλ᾽ εἰς τὴν οἰκίαν Ναχὼρ τοῦ ἀδελφοῦ τοῦ κυρίου μου, θαρσήσας. περιέθηκα αὐτῇ τὰ ἐνώτια καὶ τὰ ψέλλια, καὶ εὐδοκήσας προσεκύνησα τῷ κυρίῳ, καὶ εὐλόγησα τὸν θεὸν τοῦ κυρίου μου Ἀβραάμ, ὅτι εὐώδωσέ με λαβεῖν τὴν θυγατέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου μου. ἀλλὰ τὰ μὲν παρὰ τοῦ θεοῦ D οὕτως ἐναργῶς ᾠκονομήθη. αἱ γὰρ προσευχαὶ ἐληλύθασιν αἱ γινόμεναι παρὰ τοῦ δεσπότου μου. ὑμεῖς δὲ λοιπόν, εἰ τὰ παρ᾽ ἑαυτῶν ἐπιδείκνυσθε, ποιήσατε ἔλεος καὶ δικαιοσύνην πρὸς τὸν κύριόν μου. εἰ δὲ μή, ἀπαγγείλατέ μοι. ἤδη μοί, φησι, γνωρίσατε, ἵνα εἰδέναι ἔχω ὅ, τι δέοι με διαπράξασθαι. εἰ δὲ μήγε, ἵνα ἑτέρωθι τὴν ὁδὸν ποιήσωμαι, καὶ ἐπιστρέψω ἢ εἰς δεξιά, ἢ εἰς ἀριστερά. εἶτα ἐπειδὴ ὁ θεὸς ἦν ὁ τὰ πάντα ἐξευμαρίζων διὰ τὰς τοῦ πατριάρχου προσευχάς, φησι πρὸς αὐτὸν ὁ πατὴρ τῆς κόρης καὶ ὁ ἀδελφός·

παρὰ κυρίου ἐξῆλθε τὸ ῥῆμα τοῦτο. οὐ δυνησόμεθα ἀντειπεῖν κακὸν, ἢ καλόν. ἡ διήγησίς σου, φησὶ, δείκνυσιν ὅλον τῆς τοῦ θεοῦ οἰκονομίας γεγενημένον. μὴ τοίνυν νομίσης ἡμᾶς ἐναντιοῦσθαι τοῖς τῷ θεῷ δόξασιν. οὐδὲ γὰρ οἷόν τε τοῦτο παρ᾽ ἡμῶν γενέσθαι. ἰδοὺ ἔχεις τὴν κόρην. λαβὼν ἀπότρεχε, καὶ ἔσται γυνὴ τῷ υἱῷ τοῦ κυρίου σου, καθὰ ἐλάλησε κύριος. εἴδετε ὅπως τὸ παλαιὸν ἐσπούδαζον γυναῖκας ἄγεσθαι τοῖς ἑαυτῶν παισὶν, ὅπως περὶ τῶν χρημάτων ψυχῆς εὐγένειαν ἐπεζήτουν; οὐδαμοῦ γραμματεῖα, οὐδαμοῦ συνθῆκαι, καὶ τὰ ἄλλα τὰ καταγέλαστα, ἃ νῦν γίνεται; καὶ αἱ αἱρέσεις ἐκεῖναι αἱ τοῖς γραμματείοις ἐντιθέμεναι, ἐὰν ἄπαις, φησὶ, τελευτήσῃ, ἐὰν τόδε καὶ τόδε συμβῇ, ἀλλὰ παρ᾽ ἐκείνοις οὐδὲν τοιοῦτον· ἀλλὰ τὸ μέγιστον καὶ ἀσφαλὲς γραμματεῖον, τῆς κόρης ὁ τρόπος. οὐδαμοῦ κύμβαλα καὶ χορεῖαι. καὶ τοῦτο εἴσῃ, ἐπειδὰν πρὸς τὸν νυμφίον τὴν κόρην ἴδῃς ἐπαναχθεῖσαν. ἀκούσας γὰρ ὁ παῖς ταῦτα, φησι, παρὰ τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ, προσεκύνησε τῷ θεῷ ἐπὶ τὴν γῆν. ὅρα πῶς καθ᾽ ἕκαστον τῶν γινομένων τῷ δεσπότῃ τῶν ὅλων τὴν εὐχαριστίαν ἀναφέρει. αὐτὸς γὰρ ἦν ὁ πάντα προοδοποιῶν, καὶ κατὰ τὸ ῥῆμα τοῦ πατριάρχου ἄγγελον προαποστείλας ἔμπροσθεν αὐτοῦ τὰ πάντα αὐτῷ ἐξευμαρίζοντα. καὶ λοιπὸν μαθὼν ὡς τέλος αὐτῷ τὸ σπουδαζόμενον ἔσχεν, ἐξενέγκας σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἱματισμὸν, ἔδωκε τῇ Ῥεβέκκᾳ. λοιπὸν μετὰ παρρησίας αὐτὴν θεραπεύει, ὡς ἤδη διὰ τῶν ῥημάτων ἐγγυηθεῖσαν τῷ Ἰσαάκ. τιμᾷ δὲ δώροις καὶ τὸν ἀδελφὸν καὶ τὴν μητέρα. καὶ ὅτι εἰς ἔργον εἶδεν ἐκβᾶσαν τὴν παρὰ τοῦ δεσπότου ἐντολὴν, τότε λοιπὸν τῆς οἰκείας ἀναπαύσεως γίνεται. ἔφαγον γὰρ, φησι, καὶ ἔπιον, αὐτὸς, καὶ οἱ ἄνδρες οἱ μετ᾽ αὐτοῦ, καὶ ἐκοιμήθησαν. καὶ ἀναστὰς τὸ πρωῒ εἶπεν, ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. ἐπειδὴ πάντα μοι οὕτω κατευωδώθη, φησὶ, καὶ οὐδέν ἐστι λοιπὸν τὸ ἐλλεῖπον, ἀλλὰ καὶ ὑμῖν τοῦτο ἀρεστὸν ἐφάνη, ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. εἶπον δέ, φησιν, οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ, μεινάτω ἡ παρθένος μεθ᾽ ἡμῶν ἡμέρας ὡσεὶ δέκα, καὶ μετὰ ταῦτα ἀπελεύσεσθε. ὁ δὲ εἶπε πρὸς αὐτοὺς, μὴ κατέχητέ με, καὶ κύριος εὐώδωσε τὴν ὁδόν μου. ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. τίνος ἕνεκεν, φησιν, ὑπερτίθεσθε καὶ διαναβάλλεσθε, τοῦ θεοῦ τοσαύτην εὐκολίαν ἐν ἅπασί μοι παρεσχηκότος; ἀπολύσατέ με, ἵνα ἀπέλθω πρὸς τὸν

A [50] *A domino exiit verbum hoc: non poterimus tibi contradicere vel malum vel bonum.* Ex narratione tua ſatis intelligimus, totum hoc diuina diſpenſatione fieri. Ne igitur putes nos velle aduerſari his quæ Deo probantur. [51] *Ecce habes virginem, tolle eam, & proficiſcere, & erit vxor filio domini tui, ſicut locutus eſt Dominus.* Vidiſti quomodo ſolebant olim filiis ſuis vxores ducere? Quomodo magis animæ generoſitatem, quàm opum abundantiam inquirebant? nuſquam inſtrumenta, nuſquam pacta, & alia ridicula quæ nunc apud nos
B fiunt, & conditiones illæ quæ tabulis inſeruntur: Si abſque liberis, inquit, moriatur, ſi hoc & hoc contingat. Verùm apud illos nihil tale, ſed maximæ & ſecuriſſimæ tabulæ erant virginis mores: nuſquam cymbala & choreæ. Et hoc ſcies, quando ad ſpõſum virginẽ videris introduci. [52] *Vt enim audiuit ſeruus*, inquit, *hæc à patre & fratre, adorauit Deũ ſuper terrã.* Vide quomodo in ſingulis quæ fiebant, vniuerſorũ domino gratias offert. Ipſe enim erat qui antea præpa-
C rabat omnia, & iuxta verbũ patriarchæ præmittebat angelũ ante illum, qui omnia fœliciter ordinabat, Denique quia certior factus de negotio bene perfecto: [53] *Prolata*, inquit, *vaſa aurea, & argentea, & veſtem dedit Rebeccæ.* Nunc cum fiducia eam ſibi conciliat officiis, quaſi iam verbis deſponſatam Iſaac. Honorat autem donis & fratrem, & matrem: & quum vidit negocium & mandatum impletum, tunc tandem refici ſe paſſus eſt. [54] *Comederunt enim*, inquit, *& biberunt ipſe & viri qui cum eo erant, & dormiuerunt.*
D *Cúmque mane ſurrexiſſet, dixit: Emitte me, vt vadam ad dominum meum.* Quoniam omnia mihi tam fœliciter ſucceſſerunt, inquit, & nihil eſt quod reſtet, ſed vobis bene placet: dimittite me, vt abeam ad dominum meum. [55] *Dixerunt autem*, inquit, *fratres & mater: Maneat nobiſcum virgo diebus quaſi decem, & poſt hæc abibitis.* [56] *Ille autem dixit ad eos: Ne me detineatis, et enim Dominus proſperum fecit iter meum: dimittite me, vt abeam ad dominum meum.* Quare, inquit, differtis, quum Deus tantam facilitatem mihi in omnibus dederit? Dimittite me, vt abeam ad

dominum meum. [57] *Illi autem dixerunt: vocemus puellam, & interrogemus eam. Et vocauerunt eam, dixeruntque ei: Ibis cum homine? Illa autem dixit, Ibo.* [59] *Et dimiſerunt Rebeccam ſororem ſuam, & ſubſtantias eius, & ſeruum Abraham, & eos qui cum eo erant.* [60] *Et benedixerunt,* inquit, *Rebeccam, & dixerunt ei: Soror noſtra es, fias in millia decem millium, & hæreditate poßideat ſemen tuum ciuitates inimicorum.* Vide quomodo & illi ignorantes virgini quæ futura ſunt, indicant, Deo mentem eorum ad hoc dirigente & incitante. Vtraque enim ei prædicta ſunt tum quòd in millia myriadum fieret, tum quòd ſemen eius hæreditate poſſeſſurum eſſet ciuitates inimicorum. Vidiſti per omnia euidentem Dei prouidentiam relucere, quomodo per infideles futura vt prædicantur, diſpenſat omnium dominus? [61] *Cùm ſurrexiſſent autem Rebecca & ancillæ eius, aſcenderunt ſuper camelos.* Vidiſti qualem ſponſam ducat patriarcha? aquantem, & hydriam ſuper humeros ferentem, & nunc iterum aſcendentem ſuper camelos. Nuſquam mulæ argento fulgẽtibus ceruicibus, neque famulorũ turba, neq; magna mollities, quæ nunc fieri ſolet: ſed tãtum erat priſcarum mulierum robur, vt & in camelos ipſæ aſcenderent, & ſic iter facerẽt. *Et profectæ ſunt,* inquit, *cum homine.* [63] *Iſaac autẽ egreſſus erat, vt ſe exerceret in agro ad crepuſculum: & ibi eleuatis oculis, vidit camelos venientes.* Dũ in cãpo verſaretur, inquit, Iſaac, vidit camelos. [64] *Rebecca autẽ vt vidit Iſaac, deſiliit à camelo,* [65] *& dixit ſeruo: Quis eſt homo ille qui vadit in campo nobis obuiam?* Vide puellæ generoſitatem, poſtquam vidit Iſaac, quærebat quis eſſet. Et vbi didicit quòd ipſe eſſet ſponſus, velauit ſe theriſtro: & veniens ſeruus omnia clarè annunciauit Iſaac Hîc conſidera oro, quomodo nuſquam ſuperflua illa & inutilia, nuſquam diabolica pompa, nuſquam cymbala, & tibiæ, & choreæ, & Satanica illa cõuiuia, & ſcommata omni obſcœnitate plena, ſed omnis honeſtas, omnis ſapiẽtia, omnis modeſtia. [67] *Intrauit autem Iſaac,* inquit, *in domũ matris ſuæ, & accepit Rebeccam: & fuit ei vxor, & dilexit eam, & conſolationem*

Infideles quoque prophetãt.

A οἱ δέ, φησιν, εἶπον, καλέσωμεν τὴν παῖδα, καὶ ἐρωτήσωμεν αὐτήν. καὶ ἐκάλεσαν, καὶ εἶπον αὐτῇ· πορεύσῃ μετὰ τοῦ ἀνθρώπου; ἡ δὲ εἶπε, πορεύσομαι. καὶ ἐξέπεμψαν Ῥεβέκκαν τὴν ἀδελφὴν αὐτῶν, καὶ τὰ ὑπάρχοντα αὐτῆς, καὶ τὸν παῖδα τοῦ Ἀβραάμ, καὶ τοὺς μετ᾽ αὐτοῦ, καὶ εὐλόγησαν Ῥεβέκκαν καὶ εἶπον αὐτῇ· ἀδελφὴ ἡμῶν εἶ, γίνου εἰς χιλιάδας μυριάδων, καὶ κληρονομησάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων. ὅρα πῶς καὶ οὗτοι ἀγνοοῦντες σημαίνουσι τῇ κόρῃ τὰ μέλλοντα ἔσεσθαι, τοῦ θεοῦ τὴν διάνοιαν αὐτῶν πρὸς τοῦτο κατευοδώσαντος. ἀμφότερα γὰρ αὐτῇ προμηνύουσιν, ὅτι καὶ εἰς χιλιάδας B μυριάδων ἔσται, καὶ ὅτι κληρονομήσει τὸ σπέρμα αὐτῆς τὰς πόλεις τῶν ὑπεναντίων. εἶδες διὰ πάντων δεικνυμένην ἐναργῆ τοῦ θεοῦ τὴν πρόνοιαν, πῶς καὶ διὰ τῶν ἀπίστων προμηνύεσθαι τὰ μέλλοντα οἰκονομεῖ ὁ τῶν ἁπάντων δεσπότης. καὶ ἀναστᾶσα, φησι, Ῥεβέκκα καὶ αἱ ἅβραι αὐτῆς ἐπέβησαν ἐπὶ τὰς καμήλους. εἶδες οἵαν ἄγεται νύμφην ὁ πατριάρχης; ὑδρευομένην, καὶ τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων φέρουσαν, καὶ νῦν πάλιν ἐπιβαίνουσαν ἐπὶ τὰς καμήλους. οὐδαμοῦ ἡμίονοι ἀργύρῳ περιλαμπόμεναι τοὺς τραχήλους, οὐδὲ οἰκετῶν ἑσμός, οὐδὲ ἡ πολλὴ βλα- C κεία ἡ νῦν γινομένη, ἀλλὰ τοσαύτη ἦν τῶν παλαιῶν γυναικῶν ἡ ἀνδρεία, ὡς καὶ ἐπὶ τὰς καμήλους αὐτὰς ἐπιβαίνειν, καὶ οὕτως ὁδοιπορεῖν. καὶ ἐπορεύθησαν, φησι, μετὰ τοῦ ἀνθρώπου. ὁ δὲ Ἰσαὰκ ἐξῆλθεν ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ πρὸς δείλης· καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδε τὰς καμήλους ἐρχομένας. Εἰς τὸ πεδίον, φησίν, ὁ Ἰσαὰκ διατρίβων ἐθεάσατο τὰς καμήλους· ἡ δὲ Ῥεβέκκα ἰδοῦσα τὸν Ἰσαάκ, κατεπήδησεν ἀπὸ τῆς καμήλου, καὶ εἶπε τῷ παιδί, τίς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς συνάντησιν ἡμῶν; ὅρα τῆς κόρης τὴν εὐγένειαν. D ἐπειδὴ εἶδε τὸν Ἰσαάκ, ἐπυνθάνετο τίς εἴη. καὶ μαθοῦσα ὅτι αὐτός ἐστιν ὁ μέλλων αὐτὴν ἄγεσθαι, περιεβάλετο, φησι, τὸ θέριστρον, καὶ παραγενόμενος ὁ παῖς διηγήσατο πάντα μετ᾽ ἀκριβείας τῷ Ἰσαάκ. ἐνταῦθα σκόπει μοι, ἀγαπητέ, πῶς οὐδαμοῦ τὰ περιττὰ ταῦτα καὶ ἀνόνητα, οὐδαμοῦ πομπὴ διαβολική, οὐδαμοῦ κύμβαλα καὶ αὐλοὶ καὶ χορεῖαι, καὶ τὰ σατανικὰ ἐκεῖνα συμπόσια, καὶ αἱ λοιδορίαι αἱ πάσης ἀσχημοσύνης γέμουσαι, ἀλλὰ πᾶσα σεμνότης, πᾶσα σοφία, πᾶσα ἐπιείκεια. εἰσῆλθε δέ, φησιν, Ἰσαὰκ εἰς τὸν οἶκον τῆς μητρὸς αὐτοῦ, καὶ ἔλαβε τὴν Ῥεβέκκαν, καὶ ἐγένετο αὐτῷ γυνή, καὶ ἠγάπησεν αὐτὴν καὶ

παρεκλήθη Ἰσαὰκ περὶ Σάρρας τῆς μητρὸς αὐτοῦ.

Ηλιχόν. Ταύτην μιμείσθωσαν αἱ γυναῖκες· τοῦτον ζηλούτωσαν οἱ ἄνδρες· οὕτω τὰς νύμφας ἀγαγέσθαι σπουδαζέτωσαν. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων κηλίδων πληρῶσαι συγχωρεῖς τῆς κόρης τὰς ἀκοὰς διὰ τῶν αἰσχρῶν ἀσμάτων, διὰ τῆς ἀκαίρου πομπῆς ἐκείνης; οὐκ οἶσθα ὅπως ἡ νεότης εὔκολος πρὸς ὄλισθον; τί τὰ σεμνὰ τοῦ γάμου ἐκπομπεύεις μυστήρια; δέον ἅπαντα ταῦτα ἀπελαύνειν, καὶ τὴν αἰδῶ ἐκ προοιμίων ἐκπαιδεύειν τὴν κόρην, καὶ ἱερέας καλεῖν, καὶ δι' εὐχῶν καὶ εὐλογιῶν τὴν ὁμόνοιαν τοῦ συνοικεσίου συσφίγγειν, ἵνα καὶ ὁ πόθος τοῦ νυμφίου αὔξηται, καὶ τῆς κόρης ἡ σωφροσύνη ἐπιτείνηται, καὶ διὰ πάντων τὰ τῆς ἀρετῆς ἔργα εἰσελεύσηται εἰς τὴν οἰκίαν ἐκείνην, καὶ πᾶσαι τοῦ διαβόλου αἱ μηχαναὶ ἐκποδὼν ἔσονται, καὶ αὐτοὶ μεθ' ἡδονῆς τὸν βίον διάξωσιν, ὑπὸ τῆς τοῦ θεοῦ ῥοπῆς συγκροτούμενοι, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία μθ.

Αὗται δὲ αἱ γενέσεις, φησὶν, Ἰσαὰκ τοῦ υἱοῦ Ἀβραάμ.

Πάλιν ὑμᾶς ἐπὶ τὴν συνήθη τράπεζαν ἀναγαγεῖν βούλομαι, καὶ ἐκ τῶν παρὰ τοῦ Μωυσέως ῥημάτων τὴν ἑστίασιν ὑμῖν παραθεῖναι, μᾶλλον δὲ τῶν τοῦ πνεύματος. οὐδὲ γὰρ ἀφ' ἑαυτοῦ Μωυσῆς ταῦτα ἡμῖν διέξεισιν, ἀλλ' ὑπὸ τοῦ ἁγίου πνεύματος ἐνηχούμενος. ἴδωμεν οὖν τί καὶ σήμερον ἡμᾶς διδάξαι βούλεται. οὐδὲ γὰρ ἁπλῶς οὐδὲ εἰκῆ τοὺς βίους ἡμῖν τῶν δικαίων ἐκτίθεται, ἀλλ' ἵνα ζηλώσωμεν τούτων τὴν ἀρετὴν, καὶ μιμηταὶ γενώμεθα τῶν ἐκείνοις κατωρθωμένων. ἐπεὶ γὰρ ἡμῖν τὰ κατὰ τὸν πατριάρχην ἀκριβῶς διηγησάμενος, καὶ τὸν τελευταῖον αὐτοῦ ἆθλον τὸν ἐπὶ τῇ τοῦ μονογενοῦς σφαγῇ, διδάξας ἡμᾶς πῶς ἂν τῷ θεῷ αὐτὸν καλλιέρημα, εἰ καὶ μὴ αὐτῷ ἔργῳ, ἀλλὰ τῇ προθυμίᾳ εἰργάσατο, τέλος ἐπέθηκεν ἐκείνοις τοῖς διηγήμασι, νῦν ἡμῖν ἐκτίθεται τὰ κατὰ τὸν Ἰσαὰκ, τὸν σφαγέντα καὶ μὴ σφαγέντα. αἰνίγματι γὰρ ἔοικε τὸ

A *accepit Iſaac ſuper Sarra matre ſua.*

Hanc imitentur mulieres, hunc æmulentur viri. Sic ſponſas ducere curent. Quare enim, dic oro, ſtatim ab initio ſordibus impleri ſinis puellæ aures, tam turpibus cantilenis, tam intempeſtiua illa pompa? neſcis quomodo adoleſcentia per ſe in malum propenſa? Cur honeſta nuptiarum myſteria inuulgas? oportebat omnia hæc depellere, & verecundiam principiò docere puellam, & ſacerdotes vocare, & precibus & benedictionibus concordiam coniugij conſtringere: vt a-
B mor ſponſi augeatur, & puellæ continentia creſcat, & omnia quæ fiunt eò ſpectent, vt virtutis opera ingrediantur in domum illam, tollantúrque è medio omnes diaboli inſidiæ: & ipſi Dei auxilio vniti, iucundè vitam perficiant: quo nobis omnibus frui detur, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum patre, & Spiritu ſancto ſit gloria in ſecula ſeculorum. Amen. — Moralis exhortatio.

C HOMILIA XLIX.

Hæ autem ſunt generationes, inquit, *Iſaac filij Abraham.* Gen. 18. 25.

ITERVM vos ad conſuetam menſam ducere volo, & ex verbis Moſis conuiuium proponere, imò ex verbis ſancti Spiritus. Neque enim à ſeipſo Moſes hæc nobis expoſuit, ſed Spiritu ſancto afflatus. Videamus igi-
D tur, quid & hodie nos docere velit. Neque enim ſimpliciter, neque in vanum vitas ſanctorum exponit: ſed vt imitemur eorum virtutem, & imitatores ſimus bonorum operum quæ illi fecerunt. Nam poſtquam nobis diligenter narrauit ea, quæ ad ſanctum patriarcham Abraham attinent, & docuit poſtremum illius certamen in immolatione filij, quod etſi non opere, voluntate tamen perfecit, finémque impoſuit narrationibus illis: nunc exponit nobis, quæ ad Iſaac occiſum & non occiſum pertinent; factum enim ænigmati

Hebr. 11. 17. ſimile eſt. Audi enim Paulum dicentem: Fide obtulit Iſaac Abraham, cum tentaretur: & vnigenitum obtulit, qui promiſſiones acceperant. Deinde vt diſcamus quomodo fide hæc omnia faceret, & contraria videns promiſſioni, ea quæ iubebatur facere, non perturbaretur: ſubiicit, Vnde illum & in parabolam & typũ accepit. Quid eſt, & in parabolam accepit? Nam poſtquam eum in ſacrificium obtulit, & mentem perfectam declarauit, ipſe corona redimitus eſt, & accepto puero rediit, & ſacrificium per ouem impletum eſt, & oſtendit per omnia vniuerſi conditor ſuæ benignitatis excellentiam: & quòd hoc imperando non occidi Iſaac, ſed iuſti exercere obedientiam

Cur Iſaac offerri voluerit Deus.

voluerit. Cæterùm ſicut vidimus patriarchæ virtutem in omnibus relucentem: agè, & quæ de Iſaac dicta ſunt hodie in medium afferentes videamus quomodo & ipſe piam & religioſam mentem in omnibus prætulerit. Dignum autem eſt, vt ipſa ſcripturæ verba audiamus.

Cap. 25.

[9] *Hæ autẽ ſunt,* inquit, *generationes Iſaac filij Abrahæ. Abraham genuit Iſaac.* [20] *Iſaac autẽ erat annorum quadraginta, quando accepit Rebeccam filiam Bathuelis Syri ex Meſopotamia, ſororem Laban Syri, ſibi in vxorem.* Conſidera obſecro dilecte, diuinæ ſcripturæ diligentiam, quomodo nihil ſuperuacuè ponat. Quare nobis tempus Iſaac ponit, & dicit: Erat autem Iſaac quadraginta annorum quando accepit Rebeccam? Non abſque cauſa, neque temerè: ſed quia nobis poſtea Rebeccæ ſterilitatem narraturus erat, & quòd ex precatione iuſti procreatio prolis illi conceſſa ſit, vult docere nos magnitudinem patientiæ Iſaac, & clarè indicare quanto tempore liberis caruerit: vt & nos æmulantes iuſtum, aſſidui ſimus in diuinis precibus, ſi quando aliquid à Deo petierimus. Si enim iuſtus ille ita virtute præditus, & tantam apud Deum gratiam habens, tantam præ ſe tulit conſtantiam & ſtudium, continuò Deum orando, ita vt ſolueretur Rebeccæ ſterilitas: quid dicemus nos, qui tantis peccatorum oneribus premimur, & neque minimam virtutis iuſti partem oſtendimus: ſed

A γεγονός. ἄκουσον γὰρ Παύλου λέγοντος, πίστει προσενήνοχε τὸν Ἰσαὰκ Ἀβραὰμ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος. εἶτα ἵνα μάθωμεν ἀκριβῶς, πῶς πίστει ταῦτα πάντα διεπράττετο, καὶ ἐναντία τῇ ὑποσχέσει ὁρῶν τὰ ὑπ' αὐτοῦ γίνεσθαι κελευόμενα οὐκ ἐταράττετο, φησιν, ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. τί ἐστιν, ἐν παραβολῇ ἐκομίσατο; ἐπειδὴ γὰρ αὐτὸν εἰς θυσίαν ἀνήνεγκε, καὶ ἀπηρτισμένην τὴν γνώμην ἐπεδείξατο, αὐτός γε τὸν στέφανον ἀνεδήσατο, καὶ τὸν παῖδα λαβὼν ἐπανῆλθε, καὶ ἡ θυσία διὰ προβάτου ἐπληροῦτο, καὶ

B ἐδείκνυ διὰ πάντων ὁ τῶν ὅλων θεὸς τῆς οἰκείας φιλανθρωπίας τὴν ὑπερβολήν, καὶ ὅτι οὐ σφαγιάσαι τὸν Ἰσαὰκ βουλόμενος τοῦτο ἐπέταττεν, ἀλλὰ τοῦ δικαίου γυμνάζων τὴν ὑπακοήν. ἀλλ' ὥσπερ εἴδομεν τοῦ πατριάρχου τὴν ἀρετὴν διὰ πάντων λάμπουσαν, φέρε καὶ τὰ κατὰ τὸν Ἰσαὰκ σήμερον εἰς μέσον προθέντες, ἴδωμεν ὅπως καὶ αὐτὸς τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης διὰ πάντων ἐπιδείκνυται. ἄξιον δὲ καὶ αὐτῶν ἐπακοῦσαι τῶν τῆς γραφῆς ῥημάτων. αὗται δὲ αἱ γενέσεις, φησίν, Ἰσαὰκ τοῦ υἱοῦ Ἀβραάμ. Ἀβραὰμ ἐγέννησε τὸν

C Ἰσαάκ. ἦν δὲ Ἰσαὰκ ἐτῶν μ', ὅτε ἔλαβε Ῥεβέκκαν θυγατέρα Βαθουὴλ τοῦ Σύρου ἐκ τῆς Μεσοποταμίας, ἀδελφὴν δὲ Λάβαν τοῦ Σύρου, ἑαυτῷ εἰς γυναῖκα. σκόπει μοι, ἀγαπητέ, τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, ὅπως οὐδὲν περιέργως τίθησι. τίνος γὰρ ἕνεκεν ἡμῖν τὸν χρόνον τοῦ Ἰσαὰκ ἐπισημαίνεται, καί φησιν, ἦν δὲ Ἰσαὰκ ἐτῶν μ', ὅτε ἔλαβε τὴν Ῥεβέκκαν; οὐχ ἁπλῶς, οὐδὲ εἰκῆ. ἀλλ' ἐπειδὴ μέλλει μετὰ ταῦτα τῆς Ῥεβέκκας ἡμῖν διηγεῖσθαι τὴν στείρωσιν, καὶ ὅτι ἐξ εὐχῆς τοῦ δικαίου τὰ τῆς παιδοποιΐας αὐτῇ γέγονε, βούλεται διδά-

D ξαι ἡμᾶς τὸ μέγεθος τῆς ὑπομονῆς τοῦ Ἰσαάκ, καὶ σημᾶναι τὸν χρόνον ἀκριβῶς, ὅσον ἐν ἀπαιδίᾳ γέγονεν· ἵνα καὶ ἡμεῖς ζηλοῦντες τὸν δίκαιον, οὕτω προσεδρεύωμεν ταῖς πρὸς τὸν θεὸν ἱκεσίαις, ἐπειδὰν αἰτῶμέν τι παρ' αὐτοῦ. εἰ γὰρ ὁ δίκαιος οὗτος οὕτως ἐνάρετος ὤν, καὶ τοσαύτης εὐνοίας ἀπολαύων παρὰ τοῦ θεοῦ, τοσαύτην ἐπεδείκνυτο σπουδὴν καὶ εὐτονίαν, τὸν θεὸν διηνεκῶς παρακαλῶν ὥστε λῦσαι τῆς Ῥεβέκκας τὴν στείρωσιν, τί ἂν εἴποιμεν ἡμεῖς οἱ τοσαῦτα φορτία ἁμαρτημάτων ἔχοντες ἐπικείμενα, καὶ μηδὲ τὸ πολλοστὸν τοῦ δικαίου τούτου μέρος ἐπιδεικνύμενοι, ἀλλὰ

κἂν πρὸς ὀλίγον σπουδήν τινα ἐπιδειξώμεθα, A
ναρκῶντες καὶ ἀποπηδῶντες, εἰ μὴ θᾶττον εἰσακου-
σθείημεν; διὰ τοῦτο, παρακαλῶ, ἐκ τῶν τῷ δι-
καίῳ τούτῳ συμβάντων παιδευόμενοι, μηδέποτε
παυώμεθα τὸν θεὸν παρακαλοῦντες ὑπὲρ τῆς
συγχωρήσεως τῶν οἰκείων πλημμελημάτων, ἀλ-
λὰ θερμὴν καὶ ζέουσαν προθυμίαν ἐπιδεικνυώμε-
θα, καὶ μὴ ἀσχαλλῶμεν, μηδὲ ὀκνηρότεροι γινώμε-
θα, εἰ μὴ θᾶττον εἰσακουσθείημεν. ἴσως γάρ, ἴσως
σοφιζόμενος ἡμῶν τὴν διηνεκῆ προσεδρίαν ὁ δε-
σπότης, διαναβάλλεται, βουλόμενος καὶ τῆς ὑπο-
μονῆς ἡμᾶς κομίσασθαι τὸν μισθόν, καὶ τὸν καιρὸν
εἰδώς, καθ' ὃν λυσιτελές ἐστιν ἡμῖν τῶν σπουδαζο- B
μένων ἐπιτυχεῖν. οὐδὲ γὰρ οὕτως ἡμεῖς ἴσμεν τὸ
συμφέρον ἑαυτοῖς, ὡς αὐτὸς ἀκριβῶς ἐπίσταται, ὁ
τὰ ἀπόρρητα τῆς διανοίας ἑκάστου ἐπιστάμενος. διὸ
προσήκει μηδὲν περιεργάζεσθαι καὶ πολυ-
πραγμονεῖν τῶν παρὰ τοῦ θεοῦ γινομένων, ἀλλὰ
πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι, καὶ
θαυμάζειν τῶν δικαίων τὰς ἀρετάς. ἐπειδὴ γὰρ εἶπεν
ἡμῖν ἡ θεία γραφή, ὅσων ἐτῶν ἦν Ἰσαάκ, λέγει, καὶ
περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν.
θέα μοι τοῦ δικαίου τὸ φιλόθεον. ἐπειδὴ γὰρ εἶδε χω- C
λεύουσαν τὴν φύσιν, ἐπὶ τὸν τῆς φύσεως δημιουρ-
γὸν ἔδραμε, καὶ τὰ δεσμὰ τῆς φύσεως διὰ τῆς εὐ-
χῆς λῦσαι ἠπείγετο. ἐδέετο γάρ, φησιν, Ἰσαὰκ περὶ
Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. ἐν τού-
τῳ πρῶτον ἄξιον ζητῆσαι, τίνος ἕνεκεν οὖσα θαυ-
μαστὴ καὶ αὐτή, καὶ ὁ ἀνὴρ αὐτῆς, καὶ πολλῆς τῆς
σωφροσύνης ἀμφότεροι ἐπιμελούμενοι, στεῖρα
ἦν; οὐκ ἔχομεν ἐπιλαβέσθαι αὐτῶν τῆς ζωῆς, καὶ
εἰπεῖν ὅτι τῶν ἁμαρτιῶν ἦν ἔργον ἡ στείρωσις. καὶ
ἵνα μάθῃς τὸ θαυμαστόν, ὅτι οὐκ αὐτὴ μόνον στεῖ-
ρα ἦν, ἀλλὰ καὶ ἡ μήτηρ τοῦ δικαίου ἡ Σάρ-
ρα· καὶ οὐχ ἡ μήτηρ δὲ αὐτοῦ μόνον, ἀλλὰ καὶ ἡ D
νύμφη, τοῦ Ἰακὼβ ἡ γυνὴ ἡ Ῥαχήλ· λέγω τί βού-
λεται τῶν στειρῶν τούτων ὁ χορός. πάντες δίκαιοι,
πάντες ἐνάρετοι, πάντες ὑπὸ θεοῦ μαρτυρούμε-
νοι. περὶ γὰρ αὐτῶν ἔλεγεν, ἐγώ εἰμι ὁ θεὸς
Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ. καὶ
ὁ μακάριος δὲ Παῦλός φησι, δι' ὃ οὐκ ἐπαι-
σχύνεται ὁ θεός, θεὸς ἐπικαλεῖσθαι αὐτῶν. πολ-
λὰ αὐτῶν τὰ ἐγκώμια ἐν τῇ καινῇ, πολλοὶ οἱ
ἔπαινοι ἐν τῇ παλαιᾷ, πανταχόθεν λαμπροὶ
καὶ ἐπίσημοι, καὶ πάντες στείρας εἶχον γυναῖ-
κας, καὶ ἐν ἀπαιδίᾳ ἦσαν μέχρι πολλοῦ τοῦ χρόνου.

& ſi paruo tempore ſtudium aliquod
& diligentiam exhibuerimus, torpe-
ſcimus, & reſilimus, niſi ſtatim ex-
audiamur? Propterea oro, vt ex his
quæ iuſto illi euenerunt eruditi,
nunquam ceſſemus orare Deum, vt
ignoſcat nobis peccata, feruénſque
& æſtuans deſiderium oſtendamus:
& non ægrè feramus, neque ſegnio-
res fiamus, ſi non ſtatim audiamur.
Fortaſſis enim dominus continuam
noſtram ſedulitatem ſapienter exer-
cens, ita differt, volens vt mercedem
quoque patientiæ recipiamus: &
quia ipſe tempus ſcit quando nobis
vtile eſt aſſequi quod quærimus. Ne-
que enim nos ita ſcimus quid nobis
vtile, vt ipſe euidenter nouit, qui
etiam abſcondita mentis noſtræ co-
gnoſcit. Proinde par eſt, vt nihil cu- Nõ ſunt
rioſius quæramus, vel incuſemus in curioſè
his quæ à Deo fiunt: ſed grati ſimus, inqui-
& admiremur iuſtorum virtutes. réda Dei
Nam poſtquam dixit nobis diuina opera.
ſcriptura, quot annorum fuerit
Iſaac: dicit & de Rebecca vxore
eius, quòd ſterilis fuerit. Vide, ob-
ſecro, iuſti religioſam mentem. Quo-
niam enim vidit naturam claudican-
tem, ad naturæ conditorem confu-
git, & vincula naturæ precibus ſol-
uere feſtinauit. [21] *Deprecatus enim eſt*,
inquit, *Iſaac ſuper Rebecca vxore ſua,*
quia ſterilis erat. Vnum hoc in primis
operæprecium vt quęramus: Quare,
cùm & ipſa, & vir eius vitæ fuerint
eximiæ, & ambo continentiæ ſtu-
dioſi, ſterilis fuit? Non poſſumus car-
pere eorum vitam, & dicere quòd
ſterilitatem illam peccata fuerint
operata. Et vt diſcas rem miram, non
ſolùm ipſa ſterilis fuit, ſed & mater
iuſti Sarra: neque mater eius ſola, ſed
& nurus, Rachel vxor Iacob. Quid
ſibi vult ille ſterilium chorus? omnes
iuſti, omnes virtute præditi, om-
nes à Deo teſtimonium habentes.
Nam de ipſis dicebat: Ego ſum Exod. 3. 6
Deus Abraham, Deus Iſaac, Deus
Iacob. Beatus autem Paulus: Ideo Heb. 11. 16.
non confunditur Deus, vt vo-
cetur eorum Deus. Multæ ipſo-
rum laudes in nouo, multæ in ve-
teri; vndique clari & nobiles, & om- Steriles
nes ſteriles habuerunt vxores, mul- & orbi
tóque tempore caruerunt liberis, liberis
etiã pij.

A Quando igitur uideris virum & mulierem virtuti deditos, carereque pueris: quando videris pios, & religionis ſtudioſos non habere liberos, ne tribuas hoc peccatis. Multi enim diuinæ diſpenſationis ſermones nobis ſunt arcani, & pro omnibus gratias agere oportet, & ſolos illos miſeros dicere, qui in peccato viuunt, non eos quibus filij deſunt. Quippe ſæpenumero multa Deus vtiliter diſpenſat, quorum nos cauſam neſcimus. Eapropter vndequaque ſapientiam eius admirari oportet, ac glorificare ineffabilem miſericordiam.

B Sed hæc quidem ad vtilitatem veſtram dicta ſunt, ideo vt multam gratitudinem exhibeatis, neque de diſpenſatione diuina curioſè rogetis. Dicamus tamen & cauſam, propter quam mulieres illæ ſteriles fuere. Quænam igitur eſt cauſa? vt cùm videris virginem noſtrum dominum parientem, ne ſis incredulus. Exerce enim hîc tuos ſenſus, inquit, in vulua ſterilium, vt cùm didiceris ligatam & emortuam vuluam diuina virtute ad procreationem aperiri, inde copioſis argumentis acceptis, non admireris audiens quòd virgo peperit: imò admirare & obſtupeſce, ſed ne ſis incredulus miraculo.

Fœcunditas ſterilis partum virginis probat.

C Quando igitur tibi dicit Iudæus, quomodo peperit virgo? dic ei: Quomodo peperit ſterilis & vetula? Duo impedimenta tunc erant, & ætas intempeſtiua, & natura vitiata: in virgine autem vnum impedimentum fuit, quòd non eſſet particeps concubitus. Sterilis igitur iam viam parat virgini. Et vt ſcias quòd propter hoc ſteriles prius fuerunt, vt credatur virginitatis partus: audi verba Gabrielis, quæ ad virginem dixit.

D Poſtquam enim venit, & dixit: Concipies in vtero, & paries filium, & vocabis nomen eius Ieſum: obſtupefacta eſt & admirata, ac dixit: Quomodo erit mihi iſtud, quia virum non cognoſco? Quid igitur angelus? Spiritus ſanctus ſuperueniet ſuper te, & virtus altiſſimi obumbrabit tibi. Ne quæras, inquit, naturæ modum & ordinem, quando ſuper naturam ſunt quæ fiunt. Ne ſpectes coniugij dolores, quãdo maior quàm in nuptiis natiuitatis modus erit.

Lucæ 1. 31.

A ὅταν οὖν ἴδῃς ἄνδρα καὶ γυναῖκα ἐν ἀρετῇ ζῶντας, καὶ ἐν ἀπαιδίᾳ τυγχάνοντας, ὅταν ἴδῃς θεοσεβεῖς ὄντας, καὶ εὐλαβείας ἐπιμελουμένους, ἄπαιδας, μὴ νομίσῃς ἁμαρτιῶν εἶναι ἔργα. πολλοὶ γὰρ τοῦ θεοῦ τῆς οἰκονομίας οἱ λόγοι καὶ ἡμῖν ἀπόρρητοι, καὶ ὑπὲρ πάντων εὐχαριστεῖν δεῖ, καὶ μόνους ἐκείνους ταλανίζειν τοὺς ἐν κακίᾳ ζῶντας, οὐ τοὺς παιδία μὴ κεκτημένους. πολλὰ γὰρ πολλάκις ὁ θεὸς συμφερόντως οἰκονομεῖ, ἡμεῖς δὲ τὴν αἰτίαν τῶν γενομένων οὐκ ἴσμεν. διὰ τοῦτο πανταχοῦ θαυμάζειν αὐτοῦ τὴν σοφίαν χρὴ, καὶ δοξάζειν αὐτοῦ τὴν

B φιλανθρωπίαν τὴν ἄφατον. ἀλλὰ ταῦτα μὲν πρὸς ὠφέλειαν ἡμῖν εἴρηται τὴν ὑμετέραν, ὥστε πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδείκνυσθαι, καὶ μὴ περιεργάζεσθαι τοῦ θεοῦ τὰς οἰκονομίας· δεῖ δὲ καὶ τὴν αἰτίαν εἰπεῖν, δι᾽ ἣν ἦσαν ἐκεῖναι στεῖραι αἱ γυναῖκες. τίς οὖν ἐστιν ἡ αἰτία; ἵνα ὅταν ἴδῃς τὴν παρθένον τίκτουσαν τὸν κοινὸν ἡμῶν δεσπότην, μὴ ἀπιστήσῃς· γύμνασόν σου ἐνταῦθα τὴν διάνοιαν, φησὶν, ἐν τῇ μήτρᾳ τῶν στειρῶν, ἵν᾽ ὅταν ἴδῃς πεπηρωμένην καὶ δεδεμένην μήτραν, πρὸς παι-

C δοποιΐαν ἀνοιγομένην ἐκ τῆς τοῦ θεοῦ χάριτος, μὴ θαυμάσῃς ἀκούων ὅτι παρθένος ἔτεκε. μᾶλλον δὲ θαύμασον καὶ ἐκπλάγηθι, ἀλλὰ μὴ ἀπιστήσῃς τῷ θαύματι. ὅταν οὖν λέγῃ πρὸς σὲ ὁ Ἰουδαῖος, πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πρὸς αὐτὸν, πῶς ἔτεκεν ἡ στεῖρα καὶ γεγηρακυῖα; δύο γὰρ κωλύματα τότε ἦν, τό, τε ἄωρον τῆς ἡλικίας, καὶ τὸ ἄχρηστον τῆς φύσεως· ἐπὶ δὲ τῆς παρθένου ἓν κώλυμα ἦν, τὸ μὴ μετασχεῖν αὐτὴν γάμου. προοδοποιεῖ τοίνυν τῇ παρθένῳ ἡ στεῖρα. καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο στεῖ-

D ραι προέλαβον, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τόκος, ἄκουσον ἀπὸ τῶν ῥημάτων τοῦ Γαβριὴλ τῶν πρὸς τὴν παρθένον εἰρημένων. ἐπειδὴ γὰρ ἦλθε καὶ εἶπεν αὐτῇ, συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, ἐξεπλάγη καὶ ἐθαύμασε καὶ εἶπε, πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; τί οὖν ὁ ἄγγελος; πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. μὴ ζήτει, φησὶ, φύσεως ἀκολουθίαν, ὅταν ὑπὲρ φύσιν ἦ τὰ γινόμενα. μὴ περίβλεπε γάμον ὠδῖνας, ὅταν μείζων γάμου τῆς γεννήσεως ὁ τρόπος ᾖ.

καὶ πῶς

καὶ πῶς ἔσται τοῦτο, φησιν, ἐπεὶ ἄνδρα οὐ γι- A
νώσκω; καὶ μὴν διὰ τοῦτο ἔσται, ἐπειδὴ ἄν-
δρα οὐ γινώσκεις. εἰ γὰρ ἐγίνωσκες ἄνδρα, οὐκ
ἂν κατηξιώθης ὑπηρετήσασθαι τῇ διακονίᾳ
ταύτῃ. ὥστε δι' ὃ ἀπιστεῖς, δι' αὐτὸ πίστευε. οὐκ
ἐπειδὴ κακὸν ὁ γάμος, ἀλλ' ἐπειδὴ κρείττων ἡ
παρθενία· τὴν δὲ τοῦ κοινοῦ πάντων δεσπότου
εἴσοδον σεμνοτέραν ἐχρῆν εἶναι τῆς ἡμετέ-
ρας. βασιλικὴ γὰρ ἦν ἡ εἴσοδος. ἔδει κοινωνεῖν
ἡμῖν τῆς γεννήσεως, καὶ ἐξηλλάχθαι τῆς ἡμε-
τέρας. καὶ ἀμφότερα ταῦτα γέγονε, καὶ ὅπως
ἄκουε. τὸ μὲν γὰρ ἀπὸ μήτρας γενέσθαι κοι-
νὸν πρὸς ἡμᾶς· τὸ δὲ χωρὶς γάμων γενέσθαι B
μεῖζον, ἢ καθ' ἡμᾶς. καὶ τὸ μὲν ἐν γαστρὶ φέρειν
σε, τῆς φύσεως τῆς ἀνθρωπείας· τὸ δὲ χωρὶς
μίξεως γενέσθαι τὴν κύησιν, σεμνότερον τῆς
ἀνθρωπίνης φύσεως, ἵνα καὶ τὴν ὑπεροχὴν
καὶ τὴν κοινωνίαν τὴν πρὸς σὲ μάθῃς. καὶ σκό-
πει τὴν σοφίαν τῶν γινομένων. οὔτε ἡ ὑπερο-
χὴ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν καὶ συγγένειαν
ἐλυμήνατο, οὔτε ἡ πρὸς ἡμᾶς συγγένεια τὴν
ὑπεροχὴν ἠμαύρωσεν, ἀλλ' ἑκάτερα ἐδεί-
κνυτο διὰ τῶν πραγμάτων, καὶ τὰ μὲν ὁλό-
κληρα εἶχεν ἡμέτερα, τὰ δὲ ἐνηλλαγμένα C
πρὸς ἡμᾶς. ἀλλ', ὅπερ ἔλεγον, διὰ τοῦτο αἱ
στεῖραι αὗται, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τό-
κος, ἵνα αὐτὴ χειραγωγηθῇ πρὸς τὴν πίστιν
τῆς ἐπαγγελίας καὶ τῆς ὑποσχέσεως. ἄκουσον
γὰρ τί φησιν ὁ ἄγγελος πρὸς αὐτήν· πνεῦμα
ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψί-
στου ἐπισκιάσει σοι. οὕτω, φησὶν, ἔχεις τε-
κεῖν, καὶ τῆς ἐνεργείας τοῦ πνεύματος τὸ πᾶν
ἔσται. μὴ τοίνυν βλέπε πρὸς τὴν γῆν, ἀπὸ
τῶν οὐρανῶν ἡ ἐνέργεια ἔρχεται. τοῦ πνεύμα-
τός ἐστι χάρις τὸ γινόμενον. μὴ ζήτει φύσεως
ἀκολουθίαν, μὴ κατὰ νόμους καὶ γάμον. ἀλλ' D
ἐπειδὴ μείζονα ταῦτα ἦν ἐκείνης τὰ ῥήματα,
βούλεται καὶ ἑτέραν αὐτῇ παρασχεῖν ἀπόδει-
ξιν. σὺ δέ μοι σκόπει, ἀγαπητὲ, πῶς ἡ στεῖ-
ρα αὐτὴν χειραγωγεῖ πρὸς τὴν πίστιν τοῦ τό-
κου. ἐπειδὴ γὰρ ἡ προτέρα ἀπόδειξις μεί-
ζων ἦν τῆς διανοίας τῆς παρθένου, ἄκου-
σον πῶς καὶ ἐπὶ τὰ ταπεινότερα κατήγαγε τὸν
λόγον, διὰ τῶν αἰσθητῶν αὐτὴν χειραγω-
γῶν. καὶ ἰδοὺ, φησιν, Ἐλισάβετ ἡ συγγενής
σου καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς.

Et quomodo fiet iſtud, inquit, quo-
niam virum non cognoſco? Sane
propter hoc erit, quoniam virum nō
cognoſcis. Nam ſi cognoſceres vi-
rum, nō fuiſſes habita digna, vt huic
miniſterio ſeruires. Itaque quamob-
rem dubitas, eam ob rem crede: non
quia malum nuptiæ, ſed quia melior
virginitas. Hunc autem ingreſſum
noſtri omnium domini digniorem
eſſe oportet, quàm noſtrum. Regius
enim fuit introitus. Oportebat au-
tem & partim cum noſtra natiuitate
communicare, & partim alienum
eſſe: & vtraque hæc fuerunt. Et quo-
modo? audi. Nam de vtero prodire,
commune habet nobiſcum: abſque
nuptiali autem congreſſu naſci, ſu-
pra noſtram eſt natiuitatem. Natu-
rale eſt conceptum fieri in vtero: ſu-
pra naturam humanam eſt, abſque
commixtione eſſe prægnantem. Et
propterea vtraque, vt & excellen-
tiam, & communionem quam habet
tecum, diſcas. Conſidera autem
quanta ſapientia hæc facta ſint, ne-
que eminentia obfuit aſſimilationi
& affinitati eius nobiſcum: neque
noſtra affinitas & ſimilitudo, eius ob-
ſcurauit excellentiam: ſed operibus
vtraque oſtenſa ſunt: & alia perfe-
ctè habuit nobiſcum: alia non ha-
buit, ſed ab eis totus liber fuit. Ve-
rùm, vt dixi, propter hoc ſteriles
fuerunt iſtæ, vt credatur virginita-
tis partus, vt ipſa inducatur ad fidem
promiſſionis. Audi enim quid dicit Luc. 1. 35
angelus Dei: Spiritus ſanctus veniet
ſuper te, & virtus altiſſimi obum-
brabit tibi. Sic, inquit, poteris pa-
rere. Totum operatione Spiritus
erit. Ne igitur ſpectes in terram, è Ibidem.
cœlis operatio venit. Spiritus gratiæ
eſt quod fit, ne quæras naturæ mo-
dum, ne iuxta nuptiarum leges intel-
ligas. Verùm quoniam maiora ſunt
verba hæc, quàm vt illa caperet, vult
& aliam ei præbere demonſtratio-
nem. Tu autem, obſecro, attende
quomodo ſterilis iſtam manuducat
ad fidem partus. Quoniam prior de-
monſtratio maior erat cogitatione
virginis, audi quomodo & humilio-
rem ſermonem affert, per ſenſibilia
ipſam manuducens. Et ecce, in-
quit, Elizabeth cognata tua & ipſa
concepit filium in ſenectute ſua:

A & hic menſis ſextus eſt ei quæ vocatur ſterilis. Vides quòd ſterilis propter virginem in medium eſt adducta? Alioqui cuius rei gratia alioqui retuliſſet partũ cognatæ, cuius item gratia dixiſſet quæ vocatur ſterilis? Planè per omnia manuducebat eam ad credendum annunciationi: propterea & tempus dixit, & naturæ ſterilitatem: propterea & tempus diſtulit conceptionis. Non enim ſtatim à principio ei annunciatum eſt, ſed præterito tempore ſemeſtri, vt vteri ſarcina conceptionem doceat. Et vide quanta Gabriel vtitur ſolertia. B Non enim in memoriam ei reducit vel Sarram, vel Rebeccam, vel Rachelem. Quare, & quam ob cauſam? Et hæ fuerunt ſteriles, & vetulæ, & magnum miraculum in illis fuit: ſed quia erant antiquæ omnes hæ narrationes, adducit eam ad hoc quod nuper contigerat, vt mentem eius ad credẽdum prouocaret. Sed neceſſarium eſt vt ad inſtitutũ ſermonẽ redeamus, & ſignificemus iuſti virtutẽ, quomodo precibus ſterilitatem Rebeccæ ſoluit, & vincula naturæ ſuperauit. C *Deprecabatur autem*, dicit, *pro Rebecca vxore ſua, quoniam ſterilis erat, & exaudiuit eum Deus.* Non quia mox ita ſubditur, & ſcriptum eſt, putes eueſtigiò & protinus aſſecutum eſſe quod optabat & quærebat. Nam viginti annis perſeuerauit orans & deprecans Deum, & tunc tandem aſſecutus eſt quod deſiderabat. Et vnde ſciemus hoc? Si diligenter percurramus, quæ in diuina ſcriptura continentur. Non enim tempus à nobis abſconditum eſt, ſed ſignauit quidẽ, latenter tamen, ita vt prouocet deſiderium noſtrum, & ad dignam D inquiſitionẽ incitet. Nam ſicut docuit nos annorũ numerum quot habuerit quando Rebeccam duxit, ita & hoc nobis manifeſtũ fecit. Erat enim, inquit, Iſaac annorũ quadraginta, quãdo accepit Rebeccã filiam Bathuëlis Syri. Didiciſti diligenter tẽpus? deinde poſtquam dixit: Deprecatus eſt Iſaac pro vxore ſua, quia ſterilis fuit: vt diſcamus annorum numerum, aſſignauit nobis, quot annorum fuerit Iſaac, quando nati ſunt ei filij de Rebecca. 26 *Erat enim Iſaac*, inquit, *annorum ſexaginta, quando peperit Rebecca.*

Viginti annis perſeuerat orãs Iſaac.

A καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρα. διὰ τὴν παρθένον πάντως παρήγαγε καὶ τὴν στεῖραν. ἐπεὶ τίνος ἕνεκεν παρήγαγεν αὐτῇ τὸν τόκον τῆς συγγενοῦς, καὶ τίνος ἕνεκεν ἔλεγε τῇ καλουμένῃ στείρᾳ; διὰ πάντων χειραγωγῶν αὐτὴν πρὸς τὸ πιστεῦσαι τῷ εὐαγγελισμῷ. διὰ τοῦτο καὶ τὴν ἡλικίαν εἶπε, καὶ τὴν πήρωσιν τῆς φύσεως. διὰ τοῦτο καὶ τὸν χρόνον ἀνέμεινε τῆς κυήσεως. οὐ γὰρ ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων αὐτῇ εὐθέως εὐηγγελίσατο, ἀλλ' ἑξαμηνιαίου διελθόντος χρόνου, ἵνα ὁ τῆς γαστρὸς ὄγκος τὴν κύησιν ἐγγυησάμενος σαφῆ τὴν ἀπόδειξιν παράσχῃ τῆς συλλήψεως. καὶ B θέα μοι τοῦ Γαβριὴλ τὴν σύνεσιν. οὐκ ἀνέμνησεν αὐτὴν τῆς Σάρρας, οὐδὲ τῆς Ῥεβέκκας, οὐδὲ τῆς Ῥαχήλ. τίνος ἕνεκεν καὶ διὰ τί; καὶ αὗται γὰρ στεῖραι ἦσαν, καὶ γεγηρακυῖαι, καὶ πολὺ καὶ ἐν αὐταῖς τὸ θαῦμα ἦν. ἀλλ' ἐπειδὴ πάντα ταῦτα παλαιὰ ἦν τὰ διηγήματα, ἐπὶ τὸ πρόσφατον αὐτὴν ἄγει, ἵνα διαναστήσῃ αὐτῆς τὴν διάνοιαν. ἀλλ' ἀναγκαῖον ἐπὶ τὸ προκείμενον τὸν λόγον ἀναγαγεῖν, καὶ γνωρίσαι τοῦ δικαίου τούτου τὴν ἀρετήν, ὅπως διὰ τῆς εὐχῆς τὴν στείρωσιν τῆς Ῥεβέκκας ἔλυσε, καὶ τῶν δεσμῶν C τῆς φύσεως περιεγένετο. ἐδέετο γάρ, φησιν, Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ ὅτι στεῖρα ἦν, καὶ ἐπήκουσεν αὐτοῦ ὁ θεός. μὴ ἐπειδὴ εὐθέως οὕτω γέγραπται, νομίσῃς καὶ παραχρῆμα αὐτὸν τετυχηκέναι τοῦ σπουδαζομένου. καὶ γὰρ εἴκοσι ἐτῶν ἀριθμὸν διέμενε δεόμενος καὶ παρακαλῶν τὸν θεόν, καὶ τότε ἐπέτυχε τοῦ ποθουμένου. καὶ πόθεν εἰσόμεθα τοῦτο; ἐὰν μετ' ἀκριβείας ἐπέλθωμεν τὰ ἐν τῇ θείᾳ γραφῇ κείμενα. οὐδὲ γὰρ τὸν χρόνον ἡμᾶς ἀπέκρυψεν, ἀλλ' ἐσήμανε μέν, λανθανόντως δέ, ὥστε διεγεῖραι ἡμῶν τὴν D προθυμίαν, καὶ πρὸς ζήτησιν παρορμῆσαι. ὥσπερ γὰρ ἐδίδαξεν ἡμᾶς τῶν ἐτῶν τὸν ἀριθμὸν ὅσον ἦν, ἡνίκα τὴν Ῥεβέκκαν ἠγάγετο, οὕτω καὶ τοῦτο ἡμῖν δῆλον καθίστησιν. ἦν γάρ, φησιν, Ἰσαὰκ ἐτῶν τεσσαράκοντα, ἡνίκα ἔλαβε Ῥεβέκκαν τὴν θυγατέρα Βαθουὴλ τοῦ Σύρου. ἔμαθες ἀκριβῶς τὸν χρόνον; εἶτα εἰπὼν ὅτι ἐδέετο Ἰσαὰκ περὶ τῆς γυναικὸς αὐτοῦ ὅτι στεῖρα ἦν, ἵνα μάθωμεν τῶν ἐτῶν τὸν ἀριθμόν, σημαίνει ἡμῖν πόσων ἐτῶν ἦν ὁ Ἰσαάκ, ἡνίκα ἐτέχθησαν αὐτῷ οἱ παῖδες παρὰ τῆς Ῥεβέκκας. ἦν δὲ Ἰσαάκ, φησιν, ἐτῶν ἑξήκοντα, ἡνίκα ἔτεκε Ῥεβέκκα.

εἰ τοίνυν τεσσαράκοντα ἐτῶν ἦν ὅτε ἠγάγετο αὐτὴν, ἑξήκοντα δὲ ἐτῶν ὅτε ἔτεκεν ἡ γυνὴ, δηλονότι ἐν τοῖς εἴκοσι ἔτεσι δεόμενος τοῦ θεοῦ διέμενεν, καὶ οὕτω τὴν πήρωσιν τῆς μήτρας τῆς Ῥεβέκκας εἰς παιδοποιΐαν διήγειρεν. εἴδετε εὐχῆς δύναμιν, πῶς καὶ αὐτῆς περιγίνεται τῆς φύσεως ἰσχύος; τοῦτον καὶ ἡμεῖς πάντες μιμώμεθα, καὶ οὕτω ταῖς εὐχαῖς προσεδρεύωμεν μετὰ νηφούσης ψυχῆς, μετὰ κατεσταλμένης διανοίας· καὶ ἀκούσωμεν Παύλου παραινοῦντος καὶ λέγοντος, ἐπαίροντες ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ, καὶ σπουδάσωμεν πάντοτε μὲν ἀπηλλάχθαι ταραχῆς, καὶ ἐν γαλήνῃ ἔχειν τὸν λογισμὸν, μάλιστα δὲ κατὰ τὸν καιρὸν τῆς εὐχῆς, ὅτε πολλῆς ἡμῖν χρεία τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας. ἐὰν γὰρ ἴδῃ κατὰ τοὺς παρ' αὐτοῦ κειμένους νόμους ταύτην ἡμᾶς ποιουμένους, ταχεῖαν ἡμῖν τὴν παρ' ἑαυτοῦ δωρεὰν χαρίζεται τὴν φιλοτιμίαν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A B

Ὁμιλία ν.

C

Ἐν γαστρὶ δὲ ἔλαβεν ἡ Ῥεβέκκα, καὶ ἐσκίρτων τὰ παιδία ἐν αὐτῇ.

Βούλεσθε σήμερον τὰ λείψανα τῶν χθὲς ἡμῖν εἰρημένων ἀποδῶμεν ὑμῶν τῇ ἀγάπῃ; οὐδὲ γὰρ ἅπασαν τὴν ὑπόθεσιν εἰς τέλος ἀγαγεῖν ἠδυνήθημεν· ἀλλ' ὅτι διὰ τῆς οἰκείας εὐχῆς καὶ τῆς πολλῆς προσεδρίας ἴσχυσεν ὁ Ἰσαὰκ τὴν μήτραν D τῆς Ῥεβέκκας πρὸς παιδοποιΐαν διεγεῖραι, καὶ τὴν φύσιν αὐτὴν πεπηρωμένην, ὡς εἰπεῖν, διανοῖξαι, ταῦτα ἅπαντα χθὲς ἱκανῶς ὑμᾶς ἐδιδάξαμεν, δείξαντες τῶν ἐτῶν τὸν ἀριθμὸν, ὃν δεόμενος καὶ ἱκετεύων τὸν θεὸν διετέλεσεν ὑπὲρ τούτου ὁ μακάριος ἐκεῖνος, καὶ εἰς τὸν περὶ τῶν στειρῶν λόγον ἐξελθόντες, καὶ τὴν αἰτίαν ὑμῖν εἰπόντες, δι' ἣν αἱ τῶν δικαίων ἐκείνων γαμεταὶ στεῖραι γεγόνασιν, ἐνταῦθα κατελύσαμεν τὸν λόγον. δεῖ δὲ σήμερον ἡμᾶς μαθεῖν καὶ τῆς Ῥεβέκκας τὸ φιλόθεον, ἵνα μὴ μόνον ἀπὸ τῆς τοῦ δικαίου ἀρετῆς κερδάνωμεν,

Si igitur quadraginta annorum erat quando duxit; ſexaginta autem quando peperit vxor: manifeſtum quòd annis viginti perſeuerauit orans Deum, & vterum Rebeccæ inutilem generationi, idoneum fecit. Vidiſtis orationis vim, quòd & naturam ſuperet? Hunc omnes imitemur, & ita in precibus ſimus aſſidui, & anima ſobrij, & humiliata mente: audiamúſque Paulum admonentem & dicentem: Leuantes ſanctas manus abſque ira & diſceptationibus, & ſtudeamus ſemper liberari à perturbatione, vt mens ſit in tranquillo, maximè autem precum tempore, quando multa nobis opus eſt à Deo benignitate. Nam ſi nos viderit operari iuxta leges quas ipſe dedit, ſtatim nobis donorum ſuorum largitatem liberaliter concedet. Quod nobis aſſequi liceat, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri ſit gloria ſimul & ſancto Spiritui, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Moralis epilog.

1. Timo. 2.8.

HOMILIA L.

Concepit autem Rebecca: & colludebant paruuli in ea. Gen. 25. 22.

VVLTIS etiam hodie apponamus charitati veſtræ ea quæ in lectione heſterna relicta ſunt? Ad finẽ enim perducere totum argumentum nequiuimus, ſed oſtendimus quòd per ſuas continentes preces Iſaac valuerit Rebeccæ vuluam filiorum generationi reddere idoneam, naturámque ipſam inutilem factam (vt ita dicam) reparare. Hæc omnia heri ſatis vos docuimus, monſtrãtes annorum numerum, quibus, vt hoc impetraret beatus ille, orans & deprecans permanſit: & in ſermonem de ſterilibus egreſſi, dicta vobis cauſa propter quã iuſtorum illorũ vxores ſteriles fuere, ſermonem miſſum fecimus. Operæprecium autẽ vt & hodie diſcatis Rebeccæ religioſam mẽtem, vt non ſolũ lucrũ nobis à virtute iuſti accedat,

ſed ex hiſtoria quæ de Rebecca nunciatur, ad æmulationem prouocare poſſimus auditores. *Poſtquam enim Deus exaudiuit orationem iuſti, & vterum geſsit Rebecca, colludebant*, inquit, *pueri in ea, & magno eam dolore affecerunt. Dixit enim* inquit, *ſi ſic mihi futurum, cur mihi hoc?* Neque enim vnus erat naſciturus, ſed duos ſimul in vtero pueros geſtabat, & ex anguſtia multum cruciatum ſentiebat. Sed vide obſecro, hîc mulieris pietatem & religionem. Non enim fecit ſicut mulieres multæ, quæ negligenter viuunt, facere conſueuerunt. Non ad humanum confugit ſubſidium, non ad eos qui talia ſuis coniecturis, ſuæque rationis obſeruationibus iudicare volunt: neque ſe expoſuit deceptioni curioſorum, & eorum qui polliceri audent quæ ſupra humanam ſunt naturam: ſed abiit, inquit, vt conſuleret Dominum. Vide mulieris ſagacitatem, quoniam vidit quòd is qui vuluam eius reſerarat, is naturæ eſſet dominus, & infœcundum ventrem repentè ita fœcundum effeciſſet: vt videbat vteri ſarcinam magna quædam promittentem, *Perrexit*, inquit, *vt conſuleret Dominum*. Quid eſt, perrexit vt conſuleret Dominum? Cucurrit ad veram ſcientiam, & feſtinauit ad ſacerdotem Dei miniſtrum, per quem latentium ſcientiam volebat diſcere: & enarrans omnia quæ ſibi contigerant, didicit diligenter omnia, miſericorde Deo per ſacerdotis linguam detegente ei omnia manifeſtè, & alacriorem eam reddente. Et vide quanta & tunc erat ſacerdotum dignitas. Nuſquam enim dicit, quòd ſacerdos ei reſponderit, ſed poſtquam dixit, Abiit vt conſuleret Dominum: ſubiecit, & dixit Dominus ei, nempe per ſacerdotem: Duas gentes in vtero tuo contines. Etenim & alio loco angelum vocat ſacerdotem diuina ſcriptura, monſtrans quòd ille loquatur, quæ inſpirat ac ſuggerit Spiritus gratia. Dixit igitur Dominus ei: *Duæ gentes in vtero tuo ſunt, & duo populi in ventre tuo diuidentur, & populus populo præſtabit, & maior ſeruiet minori.* Vide vaticinium, quod prædicit ei omnia futura.

Malac. 1.

A ἀλλὰ καὶ ἀπὸ τῆς κατὰ τὴν Ῥεβέκκαν διηγήσεως εἰς ζῆλον διεγεῖραι δυνησόμεθα τοὺς ἀκούοντας. ἐπειδὴ γὰρ ἤκουσεν ὁ θεὸς τῆς τοῦ δικαίου προσευχῆς, καὶ ἐν γαστρὶ ἔλαβεν ἡ Ῥεβέκκα, ἐσκίρτων, φησὶ, τὰ παιδία ἐν αὐτῇ, καὶ πολὺν αὐτῇ πόνον αἱ ὠδῖνες παρεῖχον. εἶπε γάρ, φησιν, εἰ οὕτω μοι μέλλει γίνεσθαι, ἵνα τί μοι τοῦτο; οὐδὲ γὰρ εἷς ἦν ὁ μέλλων τίκτεσθαι, ἀλλὰ δύο κατὰ τὸ αὐτὸ ἐν τῇ γαστρὶ παιδία περιέφερε, καὶ ἡ στενοχωρία πολλὴν αὐτῇ τὴν ὀδύνην κατεσκεύαζεν. ἀλλ᾽ ὅρα μοι ἐντεῦθεν τῆς γυναικὸς τὸ φιλόθεον. οὐ, καθάπερ πολλαὶ τῶν νῦν γυναικῶν τῶν ῥαθύμως ζῆν βου-
B λομένων διαπράττονται, ἐπὶ ἀνθρωπίνην τινὰ συμμαχίαν ἔδραμεν, οὐδὲ πρὸς τοὺς τὰ τοιαῦτα στοχασμοῖς τισι καὶ παρατηρήσει διὰ τῶν οἰκείων λογισμῶν κρίνειν βουλομένους, οὐδὲ τῇ ἀπάτῃ τῶν περιέργων καὶ τὰ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ἐπαγγέλλεσθαι βουλομένων ἑαυτὴν ἐξέδωκεν, ἀλλ᾽ ὅτι ἐπορεύθη πυθέσθαι παρὰ κυρίου. ὅρα γυναικὸς σύνεσιν. ἐπειδὴ εἶδεν ὅτι ὁ τῆς φύσεως δεσπότης ἦν ὁ τὴν μήτραν αὐτῆς διανοίξας, καὶ τὴν ἄγονον γαστέρα ἀθρόον οὕτω γόνιμον ἀπεργασάμενος, καὶ ἑώρα τῆς γαστρὸς τὸν ὄγκον μεγάλα τι-
C νὰ αὐτῇ ἐγγυώμενον, ἐπορεύθη, φησὶ, πυθέσθαι παρὰ κυρίου. τί ἐστιν, ἐπορεύθη πυθέσθαι παρὰ κυρίου; ἔδραμεν ἐπὶ τὴν ἀληθῆ γνῶσιν, καὶ ἐπὶ τὸν ἱερέα τὸν τοῦ θείου θεραπευτὴν σπεύσασα διὰ τούτων λανθανόντως μαθεῖν τὴν γνῶσιν, καὶ διηγησαμένη πάντα τὰ καθ᾽ ἑαυτὴν, ἐμάνθανεν ἅπαντα μετ᾽ ἀκριβείας, τοῦ φιλανθρώπου θεοῦ διὰ τῆς τοῦ ἱερέως γλώττης ἐκκαλύπτοντος αὐτῇ ἅπαντα σαφῶς, καὶ ταύτῃ προθυμοτέραν αὐτὴν ἐργαζομένου. καὶ ἵνα μάθῃς ὅσον ἦν τότε τῶν ἱερέων τὸ ἀξίωμα, οὐδαμοῦ φησιν, ὅτι ὁ ἱερεὺς ταῦτα ἀπεκρίνατο. ἀλλ᾽ ἐπειδὴ εἶπεν, ἐπορεύθη πυθέσθαι
D παρὰ κυρίου, ἐπήγαγε, καὶ εἶπε κύριος αὐτῇ διὰ τοῦ ἱερέως, δύο ἔθνη ἐν τῇ γαστρί σου περιέχεις. καὶ γὰρ καὶ ἑτέρωθι ἄγγελον καλεῖ τὸν ἱερέα ἡ θεία γραφὴ, δεικνῦσα ὅτι ἐκεῖνα φθέγγεται ἅπερ ἐνηχήσει ἡ τοῦ πνεύματος χάρις. εἶπεν οὖν κύριος αὐτῇ διὰ τοῦ ἱερέως, δύο ἔθνη ἐν τῇ γαστρί σού ἐστι, καὶ δύο λαοὶ ἐν τῇ κοιλίᾳ σου διασταλήσονται, καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάττονι. ὅρα πρόρρησιν ἅπαντα σαφῶς αὐτῇ μηνύουσαν τὰ μέλλοντα γίνεσθαι.

ἀλλόμενοι γὰρ οἱ παῖδες ἐν τῇ γαστρὶ καὶ σκιρτῶντες, ἤδη προανεφώνουν ἅπαντα μετ᾽ ἀκριβείας. καὶ λοιπὸν ἐμάνθανεν ἡ γυνή, οὐχ ὅτι δύο μόνον τέξεται παῖδας, ἀλλ᾽ ὅτι καὶ εἰς ἔθνη οὗτοι ἐκταθήσονται· καὶ ὅτι ὁ ἐλάσσων κυριεύσει τοῦ μείζονος. καὶ ὅτε, φησίν, ἤγγισεν ὁ καιρὸς τοῦ τόκου, ἐξῆλθεν ὁ πρωτότοκος πυρράκης, ὡσεὶ δορὰ δασύς, καὶ μετὰ ταῦτα ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πτέρνης Ἡσαῦ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰακώβ· μονονουχὶ ἤδη καὶ ἐκ προοιμίων δεικνύντος τοῦ θεοῦ, ὅτι περιέσται κατὰ τὰ ῥηθέντα ὁ ἐλάττων τοῦ μείζονος. κατεῖχε γάρ, φησι, τῇ χειρὶ τὴν πτέρναν Ἡσαῦ, ὅπερ ἦν σημεῖον καταγωνιζομένου τὸν ἰσχυρὸν εἶναι δοκοῦντα. καὶ σκόπει μοι τὴν θείαν γραφήν, ὅπως διὰ τὰ μέλλοντα ὕστερον συμβήσεσθαι ἤδη προαναφωνεῖ, καὶ δείκνυσιν ἡμῖν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἑκάστου τὸ ἐπιτήδευμα. καὶ ὅτι ὁ μὲν περὶ τὸ κυνηγεῖν ἠσχολεῖτο, ὁ δὲ ἄγροικος ἦν ἄνθρωπος, ἄπλαστος, οἰκίαν οἰκῶν. διὸ ἡ μὲν Ῥεβέκκα ἠγάπα τὸν Ἰακώβ, ὁ δὲ Ἰσαὰκ τὸν Ἡσαῦ. ὅτι ἡ θήρα αὐτοῦ, φησι, βρῶσις ἦν αὐτῷ. ὅρα πῶς τοὺς παῖδας διενείμαντο, καὶ ἡ μὲν διὰ τὸ ἐπὶ τῆς οἰκίας διατρίβειν ὁρῶσα τοῦ παιδὸς τὸ ἄπλαστον, πλείονα τὴν εὔνοιαν περὶ αὐτὸν ἐπεδείκνυτο· ὁ δὲ πατὴρ διά τε τὸ πρωτότοκον ἐκεῖνον γεγενῆσθαι, καὶ διὰ τὴν θήραν ἠγάπα τὸν Ἡσαῦ. ἀλλ᾽ οὗτοι μὲν τῇ φυσικῇ φιλοστοργίᾳ κατακολουθοῦντες ταῦτα ἐποίουν· ἡ δὲ πρόρρησις κατὰ μικρὸν εἰς ἔργον ἐξῄει ἡ λέγουσα, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. ὅρα γὰρ εὐθέως. ἥψησε, φησίν, Ἰακὼβ ἕψημα. ἦλθε δὲ Ἡσαῦ ἐκ τοῦ πεδίου ἐκλείπων, καὶ εἶπεν Ἡσαῦ τῷ Ἰακώβ· γεῦσόν με ἀπὸ τοῦ ἑψήματος πυρροῦ τούτου, ὅτι ἐκλείπω. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἐδώμ. καὶ εἶπεν Ἰακώβ, ἀπόδος μοι τὰ πρωτοτόκια. ὁ δέ φησι, τί μοι τούτων ὄφελος, τῆς τελευτῆς ἤδη με καταλαμβανούσης, εἰ μὴ μετάσχοιμι τῆς τροφῆς; ὁ δὲ καὶ τὸν ὅρκον ἀπαιτεῖ, ὥστε βεβαίαν αὐτῷ γενέσθαι τούτων τὴν παραχώρησιν. καὶ ὤμοσε, φησίν, Ἡσαῦ. ἰδοὺ λοιπὸν ἐντεῦθεν ἀντεστράφη ἡ τάξις, καὶ τὸ τοῦ πρωτοτόκου ἀξίωμα μετῆλθεν ἐπὶ τὸν τῇ ἀρετῇ τῆς ψυχῆς διαλάμποντα. καὶ ἀπέδοτο, φησίν, Ἡσαῦ τὰ πρωτοτόκια, ἀντὶ τοῦ, πέπρακε τῆς τροφῆς ἕνεκα τὸ ἀξίωμα τὸ παρὰ τῆς φύσεως αὐτῷ δωρηθέν. διὸ ἐπήγαγε, καὶ ἐφαύλισεν Ἡσαῦ τὰ πρωτοτόκια.

A Salientes enim pueri in vtero, & incompoſitis geſtibus ſe mouentes, iam omnia liquidò prædicebant. Et nunc didicit mulier quòd non duos ſolùm pareret pueros, ſed quòd illi in gentes propagandi ſint, & quòd minor maiori dominabitur. *Et quando poſtea appropinquauit tempus pariendi: exiit*, inquit, *primus rufus quaſi pellis hiſpidus. Et poſtea exiit frater eius, & manus eius comprehendit calcaneum Eſau. Et vocauit nomen eius Iacob.* Quaſi iam & ab initio monſtret Deus quòd ſuperior eſſet futurus, iuxta id quod dictum eſt. Maior ſeruiet minori: dicit B enim, Tenebat manu calcaneũ Eſau: id quod erat ſignum ſuperantis eum qui fortis videbatur. Et conſidera diuinam ſcripturã, quomodo propter ea quæ poſtea futura, iam prædicit: & ab initio monſtrat nobis vtriuſq; ſtudium: & quòd ille quidem venationi deditus, hic verò ruſticus erat homo, ſimplex domum inhabitans, propterea Rebecca diligebat Iacob, Iſaac autem Eſau: *Quoniam venatio eius*, inquit, *cibus erat illi.* Vide quomodo pueros diſtribuit. Et mater C quidem erga Iacob maiorem declarabat beneuolentiam, eò quòd ſimplicem videbat, & domi verſantem: pater autem diligebat Eſau, tum quòd primogenitus eſſet, tum quòd venatione eius veſcebatur. Hæc quidem illi faciebant naturalem dilectionem ſequentes, vaticinium autem paulatim implebatur, dicens: Maior ſeruiet minori. Vide enim ſtatim. *Coxit*, inquit, *Iacob coctionem: venit autem Eſau ex campo deficiens. Et dixit Eſau ad Iacob: Vende mihi guſtare de edulio hoc rufo, quia deficio: pro*-D*pterea vocatum eſt nomen eius Edom. Et dixit Iacob, Da mihi hodie primogenita tua. Ille autem dixit: Quid mihi hiſce opus, cùm mors iam me inuadat, niſi accepero cibum? Alius autem iuramentum exigebat, vt ſtabilis ei fieret illa conceſſio. Et iurauit*, inquit, *Eſau.* Ecce nunc hîc inuerſus eſt ordo, & primogenituræ dignitas tranſiit ad eum qui virtute animi præfulgebat. *Et vendidit*, inquit, *Eſau primogenita.* Hoc eſt, vendidit cibi gratia dignitatem à natura ſibi datam, ideo & ſubdidit, *Et paruipendit Eſau primogenita.*

Ruſticus, agreſtis: alij tamen ad Eſau referunt.

A Quaſi diceret: Ingratus erat ac indignus ea, quam ſibi natura dederat, dignitate. Hoc autem totum eſt, vt illius demonſtrareiur ingratitudo, & Dei oraculum adimpleretur. Hæc audientes, diſcamus nunquam negligere dona à Deo nobis data, neque perdere magna propter parua & vilia. Quare enim, dic mihi, propoſito regno cœlorum, boniſque illis ineffabilibus, ita in diuitiarum cupiditatem inſanimus, & momentanea, & quæ ſæpe non vſque ad veſperam permanent, perpetuis ſemperque duraturis præferimus? Et quid hac amentia deterius eſſe poſſit? quando

Moralis epilogus.

De contemptu diuitiarum.

B & illis priuamur ob nimium in iſta amorem, & nunquam his frui purè poſſumus. Quæ enim vtilitas magnarum facultatum? An neſcitis quòd acceſſio multarum pecuniarum nihil aliud nobis affert, quàm curarum incrementa, occupationes mentis, & vigiliam? Non videtis quòd hi omnium potiſſimum ſerui ſunt, quibus plura affluunt: & quotidie vmbras ipſas timent? Inde enim naſcuntur inſidiæ, inuidentia, odium graue, & innumera alia mala. Et ſæpe vides

C eum qui habet decem millia talenta auri recondita, beatum vocare eum qui in officina operatur; & ex labore manuum cibum acquirit. Qualis igitur voluptas, & quale lucrum, quando neque his fruimur, & propter hanc concupiſcentiam etiam maioribus priuamur? Quid autem dico maioribus, cùm poſt mala quæ hîc nos apprehendunt, & à bonis quæ alibi ſunc excidimus, & ad gehennam ipſam mittimur? Et nondum dico innumera peccata quæ hîc colliguntur, dolos, calumnias, rapinas &

D fraudes: verùm etiamſi quis ab omnibus illis liber (id quod perquam difficile & rarum) opibus abundat, & ipſe ſolus eis vtitur, & his qui opus habent non communicat, gehennæ ignem expectabit. Quod nos docet manifeſtè parabola in Euangelio poſita, ſtatuens alios à dextris, alios verò à ſiniſtris: illis quidem præparatum eſſe regnum cœlorum ob curam egenis impenſam. Dicit enim: Venite benedicti patris mei, in hæreditatem accipite præparatum vobis regnum ab origine mundi.

Matth. 25. 33.

A ἀγνώμων γέγονε περὶ τὴν καταξιωθεῖσαν αὐτῷ ἐξ αὐτῆς τῆς φύσεως προεδρίαν. τοῦτο δὲ ὅλον ἐγίγνετο, ἵνα κἀκείνου δειχθῇ ἡ ἀγνωμοσύνη, καὶ ἡ τοῦ θεοῦ πρόρρησις εἰς ἔργον ἐξέλθῃ. Ταῦτα δὲ ἀκούοντες

Ηθικόν.

παιδευώμεθα μηδέποτε τῶν παρὰ τοῦ θεοῦ δωρεῶν ἀμελεῖν, μηδὲ μικρῶν ἕνεκα καὶ εὐτελῶν τὰ μεγάλα προΐεσθαι. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, βασιλείας οὐρανῶν προκειμένης καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, περὶ τὴν τῶν χρημάτων ἐπιθυμίαν μεμήναμεν, καὶ τὰ πρόσκαιρα, καὶ πολλάκις οὐδὲ μέχρις τῆς ἑσπέρας ἡμῖν παραμένοντα τῶν διηνεκῶς καὶ ἀεὶ παραμενόντων προτιμῶμεν; καὶ

B τί τῆς ἀνοίας ταύτης χεῖρον γένοιτ' ἄν, ὅταν κἀκείνων ἀποστερώμεθα διὰ τὴν περὶ ταῦτα ἐπιθυμίαν, καὶ μηδὲ τούτων ἀπολαύειν καθαρῶς δεδυνήμεθα; τί γὰρ ὄφελος, εἰπέ μοι, τῆς πολλῆς περιουσίας; ἢ οὐκ ἴστε ὅτι ἡ πολλὴ προσθήκη τῶν χρημάτων οὐδὲν ἕτερον ἡμῖν ἐργάζεται, ἢ φροντίδων προσθήκην καὶ περισπασμὸν καὶ ἀγρυπνίαν; οὐχ ὁρᾶτε ὅτι οὗτοι μάλιστά εἰσιν οἱ πάντων, ὡς εἰπεῖν, δοῦλοι, οἱ τὰ πλείονα περιβεβλημένοι, καὶ καθ' ἑκάστην ἡμέραν τὰς σκιὰς αὐτὰς δεδοικότες; ἐντεῦθεν γὰρ τίκτονται αἱ ἐπιβουλαί, αἱ βασκανίαι, ὁ φθόνος ὁ πολύς, τὰ

C μυρία ἄλλα κακά. καὶ πολλάκις ἂν ἴδοις τὸν μυρία τάλαντα χρυσίου ἔχοντα ἀποκείμενα μακαρίζοντα τὸν ἐπ' ἐργαστηρίου ἑστηκότα, καὶ ἐκ τῆς τῶν χειρῶν ἐργασίας τὴν τροφὴν ποριζόμενον. ποία οὖν ἡδονή, ἢ ποῖον κέρδος, ὅταν μήτε τούτων ἀπολαύωμεν, καὶ διὰ τὴν περὶ ταῦτα ἐπιθυμίαν καὶ τῶν μειζόνων ἀποστερώμεθα; τί δὲ λέγω τῶν μειζόνων, ὅταν μετὰ τῶν ἐνταῦθα κακῶν, καὶ τὴν ἔκπτωσιν τῶν ἐκεῖ ἀγαθῶν, καὶ πρὸς τὴν γέενναν αὐτὴν ἀποπεμπώμεθα; καὶ οὔπω λέγω τὰ μυρία ἁμαρτήματα τὰ ἐντεῦθεν συλλεγόμενα, τοὺς δόλους, τὰς συκοφαντίας, τὰς ἁρ-

D παγάς, τὰς πλεονεξίας. Ἀλλὰ κἂν ἁπάντων τούτων ἐλεύθερος ᾖ τις, ὅπερ ἂν εἴη τῶν δυσχερῶν, τοσαῦτα δὲ εἴη περιβεβλημένος χρήματα, καὶ τῆς οἰκείας μόνης ἀπολαύσεως γινόμενος, καὶ μὴ προϊέμενος τοῖς ἐν χρείᾳ οὖσι μετὰ δαψιλείας, τὸ τῆς γεέννης πῦρ καὶ τὸ τοιοῦτον ἐκδέξεται. καὶ τοῦτο διδάσκει ἡμᾶς σαφῶς ἡ παραβολὴ ἡ ἐν τῷ εὐαγγελίῳ κειμένη, ἡνίκα τοὺς μὲν ἐκ δεξιῶν ἔστησε, τοὺς δὲ ἐξ εὐωνύμων· καὶ τοῖς μὲν τὴν βασιλείαν εἶπεν ἡτοιμάσθαι διὰ τὴν περὶ τοὺς δεομένους ἐπιμέλειαν. δεῦτε γάρ, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

A τίνος ἕνεκεν καὶ διὰ τί; ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν. τοῖς δὲ τὸ πῦρ αἰώνιον· πορεύεσθε γάρ, φησιν, ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. μέγας τοῦ ῥήματος ὁ ὄγκος. ὁ δεσπότης τῶν ἁπάντων καὶ δημιουργός φησιν, ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. ποίας οὐκ ἂν καθίκοιτο τοῦτο ψυχῆς, κἂν αὐτολιθίνη τυγχάνῃ; ὁ δεσπότης σου πεινῶν περιέρχεται, καὶ σὺ τρυφᾷς; καὶ οὐ τοῦτο μόνον τὸ δεινὸν, ἀλλ' ὅτι καὶ τρυφῶν περιορᾷν αὐτὸν ἀνέχῃ, καὶ ταῦτα οὐδὲ πολλοῦ τινος δεόμενον, ἀλλ' ἄρτου μόνον ἑνὸς, ὥστε τὸν λιμὸν παραμυθήσασθαι. B ἀλλ' αὐτὸς μὲν τῷ κρυμῷ πηγνύμενος περιέρχεται, σὺ δὲ τὰ τῶν σηρῶν νήματα περικείμενος οὐκ ἐπιστρέφῃ, οὐδὲ τὴν συμπάθειαν ἐπιδείκνυσαι, ἀλλ' ἀνηλεῶς παρατρέχεις. καὶ ποίας ταῦτα ἂν εἴη συγγνώμης ἄξια; μὴ τοίνυν τοῦτο σπουδάζωμεν, τὸ πάντων ἐκ παντὸς τρόπου πλείονα περιβάλλεσθαι, ἀλλ' ἐκεῖνο σκοπῶμεν ὅπως καὶ ταῦτα καλῶς διαθῶμεν, καὶ τὴν τῶν ἐν χρείᾳ τυγχανόντων ἔνδειαν παραμυθησώμεθα, κἀκείνων μὴ ἐκπέσωμεν τῶν ἀεὶ μενόντων, τῶν οὐδεμίαν μεταβολὴν ἐπιδεχομένων. διὰ γὰρ τοῦτο καὶ τὴν ἡμέραν C ἡμῶν τῆς τελευτῆς ἄδηλον ἡμῖν ἐποίησεν ὁ δεσπότης, ἵνα ἡμᾶς παρασκευάσῃ διηνεκῶς νήφειν καὶ ἐγρηγορέναι, καὶ ταύτῃ μᾶλλον διεγείρῃ πρὸς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν. γρηγορεῖτε γάρ, φησιν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν. ἀλλ' ἡμεῖς τὸ ἐναντίον πράττομεν, καὶ δι' ὅλου καθεύδομεν ὕπνον τούτου τοῦ φυσικοῦ βαρύτερον. ὁ μὲν γὰρ τοῦτον καθεύδων τὸν ὕπνον καὶ πρὸς τὰ κακὰ καὶ πρὸς τὰ καλὰ ἀνενέργητος τυγχάνει· ἡμεῖς δὲ ἕτερον ὕπνον καθεύδομεν, πρὸς μὲν τὰ τῆς ἀρετῆς ἔργα καθεύδοντες, πρὸς δὲ τὰ τῆς κακίας ἐγρηγορότες· κἀκεῖνα μὲν ἀόκνως δια- D πραττόμενοι, ἐν δὲ τούτοις πολλὴν τὴν ῥαθυμίαν καὶ τὸν ὕπνον ἐπιδεικνύμενοι, καὶ ταῦτα ὁρῶντες καθ' ἑκάστην ἡμέραν τοὺς μὲν ἐντεῦθεν ἀπαγομένους, τοὺς δὲ καὶ ἐν τῷ παρόντι βίῳ πολλὴν τὴν μεταβολὴν ὑπομένοντας. καὶ οὐδὲ αὕτη ἡ ἀνωμαλία παιδεῦσαι ἡμᾶς ἱκανὴ καὶ εἰς πόθον τῆς ἀρετῆς ἀναγαγεῖν, καὶ παρασκευάσαι ὑπεριδεῖν τῶν παρόντων, καὶ ποθῆσαι τὰ μέλλοντα, καὶ προτιμῆσαι τῆς σκιᾶς καὶ τῶν ὀνειράτων τὴν ἀλήθειαν. σκιᾶς γὰρ καὶ ὀνειράτων οὐδὲν τὰ παρόντα διενήνοχε. μὴ τοίνυν ἑαυτοὺς ἀπατῶμεν, μηδὲ

Quare & qua de cauſa? Eſuriui enim, & dediſtis mihi vt comederem: His verò, ignem æternum: dicit enim: Diſcedite à me maledicti in ignem æternum, qui præparatus eſt diabolo & angelis eius. Magnum verbi pondus, omnium dominus & conditor dicit: Eſuriui, & non dediſtis mihi vt comederem. Cuius animam non mordebunt hæc verba, etiamſi lapidea ſit? Dominus tuus eſuriens obambulat, & tu es in deliciis: neque hoc ſolum, ſed in deliciis ipſum deſpicis? tametſi non multum ſit quod à te petit: nam panem ſolum, quo famem poſſit ſubleuare. Et ipſe quidem frigore rigeſcens obambulat, tu autem ſericis indutus, ne reſpicis quidem, nullam compaſſionem præ te fers, ſed immiſericorditer præteris. Et qua venia ſunt hæc digna? Ne igitur ſit hoc ſtudium noſtrum, vt multas quibuſuis artibus opes conquiramus: ſed illud conſideremus, quomodo & hæc bene diſponamus, & egenis conſulamus: & ne ab illis excidamus quæ ſemper manent, & quæ nullam admittunt viciſſitudinem ac mutationem. Quocirca diem mortis noſtræ incertũ eſſe voluit Dominus, vt nos præpararet continua ſobrietate & vigilantia: & ita magis ad virtutum ſtudiũ nos prouocaret. Dicit enim: Vigilate, quia neſcitis neque diem, neque horam. Marc. 13 & Luc. 21. Atqui nos planè diuerſum operamur, & dormimus ſomnum grauiorem quàm ſit naturalis ille. Nam qui naturali ſomno quieſcit, nec bonum, nec malum operatur, nos autem alium ſomnum dormimus, dormientes in virtutibus, vigilantes in vitiis? ſtrenui in malis, deſides in bonis: idque facimus videntes quotidie multos hinc ad iudicem abduci: magnas autem aliorum eſſe viciſſitudines, & neque tanta rerum mutatio ad virtutis amorem nos adducit, neque diſponit vt deſpiciamus præſentia, & deſideremus futura, præferamus ſomniis & vmbræ veritatem. Non enim differunt præſentia ab vmbris & ſomniis. Proinde ne decipiamus noſmetipſos, neque

ſectemur vmbras: ſed vel tardè aliquando ſalutis noſtræ curam habeamus, & opes indigis euacuemus, vt pro illis remunerationem à miſericordi Deo accipere mereamur æternam: qua nobis omnibus frui concedatur, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri & Spiritui ſancto ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A τὰς σκιὰς μεταδιώκωμεν· ἀλλ' ὀψὲ γοῦν ποτε τῆς οἰκείας σωτηρίας φροντίδα ποιησώμεθα, καὶ τὰ χρήματα κενώσωμεν εἰς τοὺς δεομένους, ἵνα τῆς ἐπὶ τούτοις ἀμοιβῆς ἀξιωθῶμεν παρὰ τοῦ φιλανθρώπου θεοῦ, ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν,

Homilia LI.

Ὁμιλία να.

Gen 26. 1. *Facta eſt autem fames ſuper terram, præter famem priorem, quæ fuerat tempore Abraham.*

B Ἐγένετο δὲ λιμὸς ἐπὶ τῆς γῆς, χωρὶς τοῦ λιμοῦ τοῦ πρότερον, ὃς ἐγένετο ἐν τῷ χρόνῳ τοῦ Ἀβραάμ.

ITERVM ex heſterna lectione doctrinam vobis afferam, & vt liquidò ſciatis vbi heri ſermonem miſſum fecerimus, & vnde hodie reſumendus ſit, ea quæ ſuprà dicta ſunt, veſtræ charitati in memoriam referre operæprecium fuerit. Fortaſſis enim vos, quia multis curis diſtrahimini, eorum obliti eſtis, & meum eſt vt in memoriam vobis reducam ea, quò fiat manifeſtior ſermo hodie dicendus. Scitis enim, quòd nuper Rebeccæ pietatem enarrantes, inde ad Eſau & Iacob deuenimus: & reliquimus vbi primogenita Eſau, vt cibum haberet, Iacob vendidit, & propter cibi cupiditatem ſemetipſum ſuo honore priuauit. Hoc autem non temerè factum, ſed vt prophetia compleretur, quę dicit: Iacob dilexi, Eſau autem odio habui. (Malac. 1. 3.) Nam cùm Deus futurorum ſit præſcius, prædixit & illius virtutem, & huius mentis malitiam. Quænam autem ſunt illæ primogenituræ? Igitur, quia tunc tempus non permittebat charitati veſtræ dicere, nunc neceſſe eſt vt doceam. Apud veteres ſummus honor erat primogenituræ: hinc autem honoris cauſam habuit. Cùm Deus Iſraëlitarum gentem & Ægypto liberare, & iuxta promiſſionem patriarchæ factam, à tyrannide Pharaonis aſſerere vellet, obluctante & detinere volente tunc Ægyptio: poſt varias plagas etiam

ΠΑλιν ἐκ τῆς ἀκολουθίας τῶν πρώην ἡμῖν εἰρημένων βούλομαι τῆς πρὸς ὑμᾶς ἅψασθαι διδασκαλίας. ὥστε δὲ εἰδέναι ὑμᾶς σαφῶς ποῦ τὸν λόγον πρώην κατελύσαμεν, καὶ ὅθεν αὐτὸν προσήκει σήμερον ἀναλαβεῖν, ἀναγκαῖον ὑπομνῆσαι τὴν ὑμετέραν ἀγάπην. εἰ γὰρ καὶ ὑμεῖς διὰ τὸ πολλαῖς φροντίσι περιέλκεσθαι ἴσως ἐπιλέλησθε, ἀλλ' C ἐμοὶ προσήκει εἰς ὑπόμνησιν ὑμᾶς ἀγαγεῖν, ἵνα διὰ τῆς μνήμης σαφέστερος ὑμῖν ὁ λόγος γένηται ὁ μέλλων σήμερον ῥηθήσεσθαι. ἴστε ὅτι πρότερον τῆς Ῥεβέκκας τὸ φιλόθεον διηγούμενοι, κἀκεῖθεν ἐπὶ τὸν Ἡσαῦ καὶ τὸν Ἰακὼβ ἐλθόντες ἐκεῖ κατελύσαμεν, ἔνθα τὰ πρωτοτόκια ἀπέδοτο τῷ Ἰακὼβ ὁ Ἡσαῦ, τοῦ ἐδέσματος ἀπολαύσας, καὶ διὰ τὴν τῆς τροφῆς ἐπιθυμίαν τῆς προεδρίας ἑαυτὸν ἀπεστέρησε. τοῦτο δὲ ἐγίνετο οὐχ ἁπλῶς, ἀλλ' ἵνα ἡ τοῦ θεοῦ πρόρρησις διὰ τῶν ἔργων πληρωθῇ ἡ λέγουσα, τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. D ἐπειδὴ γὰρ ὡς θεὸς τὰ μέλλοντα προῄδει, προανεφώνησε καὶ τούτου τὴν ἀρετὴν, κἀκείνου τῆς γνώμης τὴν μοχθηρίαν. τί δέ ἐστι τοῦτο τῶν πρωτοτοκίων, εἰ καὶ μὴ τότε ὁ καιρὸς ἐπέτρεπεν εἰπεῖν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ἀλλ' ἀναγκαῖον νῦν ὑμᾶς διδάξαι. μεγίστη γὰρ εἶναι τιμὴ τὸ παλαιὸν ἐνομίζετο. ἔσχε δὲ τῆς τιμῆς τὴν ὑπόθεσιν ἐντεῦθεν. ἡνίκα τὸ τῶν Ἰσραηλιτῶν ἔθνος τῆς Αἰγύπτου ἀπαλλάξαι ἐβούλετο ὁ τῶν ὅλων θεὸς, καὶ τῆς τυραννίδος ἐλευθερῶσαι τοῦ Φαραὼ διὰ τὴν πρὸς τοὺς πατριάρχας ἐπαγγελίαν, ἀντιτείνοντος, καὶ κατέχειν βουλομένου τότε τοῦ Αἰγυπτίου, μετὰ τὰς διαφόρους

A πληγὰς ταύτην ἐπαγαγὼν τὴν πληγὴν ὁ δεσπότης τελευταίαν, μονονουχὶ ταῖς οἰκείαις χερσὶ παρεσκεύασε τοὺς Αἰγυπτίους ἐξῶσαι τὸ τῶν Ἰσραηλιτῶν ἔθνος. ἀθρόον γὰρ πάντων τῶν Αἰγυπτίων τὰ πρωτότοκα ἀναιρεθῆναι προσέταξε, καὶ ἦν ἰδεῖν καθ᾽ ἑκάστην οἰκίαν οἰμωγὰς καὶ δάκρυα, καὶ οὐδὲ μέχρι τούτου στῆναι ἐνόμιζον τὴν ἀπειλήν, ἀλλὰ καὶ ἐκ τούτου προσεδόκων καὶ ἐπὶ πάντας ὁδῷ βαδίζοντα ἐλεύσεσθαι τὸν θάνατον. ἐπεὶ οὖν τῶν ἐν Αἰγύπτῳ πάντων τῶν γεννωμένων πρωτοτόκων ἀθρόον ὁ θάνατος γέγονεν, οἱ δὲ Ἰσραηλῖται τῆς ἄνωθεν ῥοπῆς ἀπολαύοντες ἀβλαβεῖς διέμενον, δεικνὺς B καὶ διὰ τούτου τὴν περὶ αὐτοὺς εὔνοιαν ὁ τῶν ὅλων θεὸς ἀντὶ τῆς ἀναιρέσεως τῶν πρωτοτόκων ἐκείνων, τὰ πρωτότοκα τῶν Ἰουδαίων αὐτῷ ἀνατιθέναι λοιπὸν προσέταξεν. ἐντεῦθεν καὶ ἡ Λευῒ φυλὴ εἰς ἱερουργίαν ἀφωρίσθη, καὶ ἐξ ἐκείνου οὐ μόνον τῶν ἀνθρώπων τὰ πρωτότοκα ἀνετίθεντο τῷ θεῷ, ἀλλὰ καὶ τῶν ἀλόγων, καὶ πάντων ἁπαξαπλῶς. καὶ πρόσταγμα ἦν δὲ κελεῦον ὑπέρ τε τῶν ἀνθρώπων, ὑπέρ τε τῶν ἀκαθάρτων ζώων τὴν τιμὴν κατατιθέναι. ἀλλ᾽ εἰ καὶ ὕστερον αὕτη ἡ νομοθεσία γέγονεν ἡ περὶ τῶν πρωτοτόκων, ἀλλ᾽ ὅμως ἤδη ἄνωθεν καὶ ἐκ C προοιμίων ἐδόκουν πλέον τι ἔχειν προτέρημα οἱ τὴν νηδὺν τῆς μητρὸς διανοίξαντες. ταύτην οὖν τὴν τιμήν, ἣν καὶ ἐκ φύσεως εἶχεν ὁ Ἡσαῦ, μετήγαγε διὰ τὴν οἰκείαν ἀκρασίαν ἐπὶ τὸν ἀδελφόν. καὶ ὁ μὲν καὶ τὸ παρὰ τῆς φύσεως αὐτῷ δοθὲν ἀπώλεσεν· ὁ δέ, καὶ ὅπερ οὐκ εἶχεν ἐκ φύσεως, αὐτῷ προσέλαβε. καὶ ἐπειδὴ ἄνωθεν αὐτῷ ταῦτα ἦν κεχρησμῳδημένα, διὰ τοῦτο καὶ ἡ Ῥεβέκκα τὴν προσηγορίαν αὐτῷ ἐπιθεῖσα, Ἰακὼβ αὐτὸν ἐκάλεσεν, ὅπερ πτερνισμὸς ἑρμηνεύεται, καθάπερ καὶ ὁ Ἡσαῦ μετὰ τὰς τοῦ πατρὸς εἰς αὐτὸν εὐλογίας γεγενημένας ἀποδυρόμενος ἔλεγε, δικαίως ἐκλήθη τὸ D ὄνομα αὐτοῦ Ἰακώβ. ἐπτέρνικε γάρ με ἤδη δεύτερον τοῦτο, τά τε πρωτοτόκιά μου εἴληφε, καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου. σκόπει πόση τῶν παλαιῶν ἦν ἡ σύνεσις, μᾶλλον δὲ πόση τοῦ θεοῦ ἡ σοφία, ὡς καὶ τὰς γυναῖκας παρασκευάζειν μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχε τὰς προσηγορίας τοῖς τεχθεῖσιν ἐπιτιθέναι, ἀλλ᾽ ἐναποτίθεσθαι τῇ τοῦ παιδίου προσηγορίᾳ τῶν μελλόντων ἔσεσθαι τὴν προαναφώνησιν. καὶ σπανίως εὑρήσεις ὁμωνύμους τοῖς γεννησαμένοις τοὺς τεχθέντας καλουμένους, ἢ τάχα που οὐδαμοῦ· ἀλλὰ κἂν ὁ πατὴρ τὴν προσηγορίαν τῷ παιδὶ μέλλῃ ἐπιτιθέναι,

hanc poſtremam eis intulit, quaſi faciens vt Ægyptij ſuis manibus extruderent Iſraëlitarum genus. Nam ſimul omnia Ægyptiorum primogenita occidi iuſſit: vidiſséſque in ſingulis domibus eiulatus & lachrymas. Neque ſic putabant finiri plagam, ſed illinc etiam expectabant vt mors quà cœperat pergens, ad omnes perueniret. Itaque quia in Ægypto vna omnium primogenitorum mors fuit, Iſraëlitæ autem, diuina freti gratia, illæſi permanſerunt: monſtrabátque etiam per hoc omnium Deus ſuam erga illos beneuolentiam: imperauit in poſterum vt propter interfectionẽ primogenitorum Ægypti, primogeniti Iudæorum pueri ſibi offerrentur. Hinc & tribus Leui in ſanctum miniſterium ſegregata eſt, & ex illo non ſolùm primogenita hominum oblata ſunt Deo, ſed & brutorum, & in vniuerſum omnium. Et præceptum erat, pro hominibus & brutis & immundis animalibus precium dependi. Quamuis autem legiſlatio hæc de primogenitis poſterior fuerit: attamen iam ſuprà & olim videbantur aliquod habere priuilegium, qui vuluam matris primum adaperiebant. Hanc igitur dignitatem, quam à natura habebat Eſau, propter intemperantiam ſuam tranſtulit in fratrem. Et ille quidem perdidit quod à natura habebat: hic autem & quod non habebat à natura, accepit. Et quia hæc antea oraculo promiſſa erant, ideo & Rebecca appellatione ei indita, Iacob eum vocauit: quod ſcilicet ſupplantationem interpretari potes, ſicut & Eſau poſt patris benedictiones eiulans dicebat, Iuſtè vocatum eſt nomen eius Iacob: ſupplantauit enim me iam ſecundò, & primogenita mea accepit, & nunc benedictionem meam. Vide quantas erat priſcorum prudentia, vel potius, quanta fuerit Dei ſapientia, qui effecerit, vt & mulieres natis nomina non temerè nec fortuitò imponerent, ſed appellarent filios iuxta futurorum prædictionem. Et rarò inuenies eodem quo patres nomine appellari filios, vel fortè nuſquam: ſed ſiue mater, ſiue pater nomen filio impoſiturus erat, rarum quoddam

Exod. 12.

Exod. 13. & 22.
Leuit. 27.
Num. 3. & 8. &c.

Gen. 27.

Nominũ priorũ impoſitio.

& nouum imponebat, vt per illud A aliqua futura præſignificaret. Ita & Lamech filium vocauit Noë, dicens: Gen. 5. 29. Hic nos requieſcere faciet. Ita ſi ſingula nomina ſcruteris, omnino in omnibus inuenies aliquid inſinuari: non ſicut nunc faciunt, qui ſimpliciter, & vt fortè euenit, à parentibus agnominare ſolent: ſed omnino illuc ſpectabant, vt perpetuam memoriam per appellationem illam filiis inderent. Cæterum videamus nunc poſt primogenitorum permutationem, quid iterum nobis narret beatus Moſes de patre illorum, & quomodo ſicut de patriarcha dictum B eſt, ita & de hoc legimus, quòd fame ingruente multam Dei curam ſenſerit, tum propter promiſſionem patriarchæ factam, tum propter virtu- Cap. 26. tem propriam. [1] *Facta eſt autem fames ſuper terram, præter famem priorem, quæ fuerat tempore Abraham.* Vt ne putes de illa fame eum dicere, propterea ſubdidit: præter famem quæ erat tempore patriarchæ, quaſi diceret alia ſimilis nunc iterum fames venit ſuper terram tempore Iſaac, qualis erat tempore patris illius. Et quia C neceſſariorum raritas omnes in ſummam anguſtiam concludebat: è ſuis migrare, & ad illa loca tranſire cogebat, vbi rerum neceſſariarū copiam inueniret. Vnde cùm iuſtus ille famem videret, *Profectus eſt*, inquit, *ad Abimelech in Gerara:* Eo enim & Abraham poſt reditum ſuum ex Ægypto venerat. Veriſimile autem & hunc propterea illuc abiiſſe, quòd inde in Ægyptum contendere vellet, & quòd hoc ita ſit, audi ſcripturam dicentem: *Viſus eſt enim ei*, inquit, *Deus, & dixit: Ne deſcendas in AEgyptum.* Nolo te, inquit, longam illam D viam proficiſci, ſed hîc manere volo. Neque permitto vt anguſtiam experiaris, ſed promiſſionem patri tuo factam implebo, & quæ illi promiſſa ſunt, in te euenient: & tu promiſſionum, quæ illi factæ ſunt, impletionem accipies. *Ne deſcendas in AEgyptum, habita autem in terra quam tibi dixero,* [3] *& peregrinus eſto in terra hac.* Deinde, vt ne putet iuſtus, quòd hoc imperet quaſi volens eum famis anguſtiam experiri, & non permittere ei tranſitum in Ægyptum,

A ξένην τινὰ καὶ καινὴν ἐπιτίθησιν, ὥστε δι' αὐτῆς προμηνῦσαί τινα τῶν μελλόντων ἔσεσθαι· καὶ ἡ μήτηρ πάλιν ὁμοίως. οὕτω καὶ ὁ Λάμεχ τὸν υἱὸν προσαγορεύων, Νῶε ἐκάλεσε, καὶ ἐπήγαγε λέγων, οὗτος διαναπαύσει ἡμᾶς. οὕτω καὶ ἑκάστην προσηγορείαν διερευνώμενος μετ' ἀκριβείας, εὑρήσεις πάντως τι αἰνιττομένην, οὐ καθάπερ νῦν ποιοῦσιν, ἁπλῶς καὶ ὡς ἔτυχεν ἀπὸ τῶν γεννησαμένων σπουδάζοντες τὰς προσηγορείας ὀνομάζειν, ἀλλὰ πᾶς ὁ σκοπὸς αὐτοῖς ἦν, ὥστε διηνεκῆ ὑπόμνησιν ἐναποτιθέναι διὰ τῆς προσηγορείας τῷ τεχθέντι. ἀλλ' ἴδωμεν λοιπὸν μετὰ τὴν τῶν πρωτοτοκίων ἐναλλαγὴν, τί B πάλιν ἡμῖν διηγεῖται ὁ μακάριος Μωυσῆς. περὶ τοῦ πατρὸς τούτων, καὶ ὅπως καθάπερ ἐπὶ τοῦ πατριάρχου, καὶ οὗτος λιμοῦ καταλαβόντος πολλῆς ἀξιοῦται τῆς ἄνωθεν κηδεμονίας διά τε τὴν οἰκείαν ἀρετὴν, διά τε τὴν εἰς τὸν πατριάρχην γεγενημένην ἐπαγγελίαν. ἐγένετο δέ, φησι, λιμὸς ἐπὶ τῆς γῆς, χωρὶς τοῦ προτέρου, ὃς ἐγένετο ἐν τῷ χρόνῳ τοῦ Ἀβραάμ. ἵνα μὴ νομίσῃς περὶ ἐκείνου τοῦ λιμοῦ αὐτὸν διαλέγεσθαι, διὰ τοῦτο ἐπήγαγε, χωρὶς τοῦ λιμοῦ τοῦ πατριάρχου, ἀντὶ τοῦ, ἕτερος τοιοῦτος νῦν κατέλαβε λιμὸς τὴν γῆν ἐπὶ τοῦ Ἰσαὰκ, οἷος καὶ C ἐπὶ τοῦ πατρὸς αὐτοῦ. καὶ ἡ τῶν ἀναγκαίων σπάνις πάντας ἐν θορύβῳ μεγίστῳ καθίστα, καὶ ἐκ τῶν οἰκείων μετανίστασθαι κατήπειγε, καὶ πρὸς ἐκείνους τοὺς τόπους χωρεῖν, ἔνθα τῶν ἐπιτηδείων τὴν εὐπορίαν ἦν εὑρεῖν. ὅθεν καὶ ὁ δίκαιος οὗτος θεασάμενος τὸν λιμὸν, ἐπορεύθη, φησὶ, πρὸς Ἀβιμέλεχ εἰς Γέραρα. ἐνταῦθα γὰρ καὶ ὁ Ἀβραὰμ μετὰ τὴν ἀπὸ τῆς Αἰγύπτου ἐπάνοδον πάλιν ἀπῆλθεν. εἰκὸς δὲ καὶ τοῦτον διὰ τοῦτο ἐκεῖ ἀπεληλυθέναι, ὡς ἐκεῖθεν ὁρμῆσαι βουλόμενον ἐπὶ τὴν Αἴγυπτον. καὶ ὅτι τοῦτό ἐστιν, ἄκουσον τῆς γραφῆς λεγούσης. ὤφθη γὰρ αὐτῷ, φησιν, ὁ θεὸς, καὶ εἶπε, μὴ καταβῇς εἰς Αἴγυπτον. D οὐ βούλομαί σε, φησι, τὴν μακρὰν ἐκείνην στείλασθαι ὁδὸν, ἀλλ' ἐνταῦθα μένειν. ἀλλ' οὐδὲ ἀφίημί σε πεῖραν τῆς στενοχωρίας λαβεῖν, ἀλλὰ τὴν ὑπόσχεσιν τὴν πρὸς τὸν πατέρα σου εἰς ἔργον ἄξω, καὶ τὰ ἐκείνῳ ἐπηγγελμένα εἰς σὲ ἐκβήσεται, καὶ σὺ τῶν πρὸς ἐκεῖνον ὑποσχέσεων τὸ πέρας δέξῃ. μὴ καταβῇς εἰς Αἴγυπτον. κατοίκησον δὲ ἐν τῇ γῇ, ᾗ ἐάν σοι εἴπω, καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ. ἵνα μὴ νομίσῃ ὁ δίκαιος ὅτι βουλόμενος αὐτὸν τῆς στενοχωρίας τῆς ἀπὸ τοῦ λιμοῦ πεῖραν λαβεῖν, τοῦτο ἐπιτάττει, καὶ οὐ συγχωρεῖ εἰς τὴν Αἴγυπτον ἀπελθεῖν,

φησι, μὴ ἀγωνία, μηδὲ φρόντιζε, ἀλλ' ἐνταῦθα μένε. ἐγὼ γὰρ ἔσομαι μετὰ σοῦ. τὸν χορηγὸν ἁπάντων τῶν ἀγαθῶν ἔχων, μὴ φρόντιζε μηδενός. ἐγὼ γὰρ ὁ πάντων δεσπότης ἔσομαι μετὰ σοῦ, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ εὐλογήσω σε, ἀντὶ τοῦ, ἐπίδοξόν σε ποιήσω, καὶ τὴν παρ' ἐμοῦ σοι εὐλογίαν παρέξω. τί ἂν εἴη τούτου μακαριώτερον τοῦ δικαίου τοῦ τοιαύτην ἐπαγγελίαν παρὰ τοῦ θεοῦ δεξαμένου, ὅτι ἔσομαι μετὰ σοῦ, καὶ εὐλογήσω σε; τοῦτό σε πάντων εὐπορώτερον ἀποδείξει, τοῦτό σε ἐν πολλῇ περιουσίᾳ εἶναι παρασκευάσει, τοῦτό σοι ἡ μεγίστη δόξα, τοῦτο ἡ ἄφατος περιφάνεια, τοῦτο ἡ ἀσφάλεια, τοῦτο τῶν ἀγαθῶν τὸ κεφάλαιον, τὸ ἐμὲ εἶναι μετὰ σοῦ, καὶ εὐλογῆσαί σε. πῶς δέ σε εὐλογήσω; σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ὡς ξένος καὶ ἀλήτης νομίζεις ἐπιχωριάζειν τοῖς μέρεσι τούτοις· ἴσθι ὅτι σοὶ καὶ τῷ σπέρματί σου πᾶσα αὕτη δοθήσεται ἡ γῆ. καὶ ἵνα θαῤῥεῖν ἔχῃς, μάνθανε ὅτι τὸν ὅρκον, ὃν ὤμοσα Ἀβραὰμ τῷ πατρί σου, τοῦτον ἐπὶ σοὶ στήσω. ὅρα συγκατάβασιν θεοῦ. οὐκ εἶπεν ἁπλῶς τὰς συνθήκας, ἃς ἐποιησάμην πρὸς τὸν πατέρα τὸν σόν, οὔτε τὰς ἐπαγγελίας, ἃς ὑπεσχόμην. ἀλλὰ τί; τὸν ὅρκον ὃν ὤμοσα. ὅρκῳ αὐτὸν ἐπιστωσάμην, φησί, καὶ ὀφείλω εἰς ἔργον ἀγαγεῖν καὶ πληρῶσαι τὸν ὅρκον τὸν ἐμόν. ὁρᾷς θεοῦ φιλανθρωπίαν. οὐ πρὸς τὴν οἰκείαν ἀξίαν ὁρῶν φθέγγεται, ἀλλὰ πρὸς τὴν ἀσθένειαν συγκαταβαίνων τὴν ἡμετέραν. ἐπειδὴ γὰρ οἱ ἄνθρωποι ὡς ἐπὶ τὸ πλεῖστον ἐκεῖνα εἰς ἔργον ἄγειν σπουδάζουσιν, οὐχ ἅπερ ἂν ἁπλῶς ὑπόσχωνταί τισιν, ἀλλ' ὅσα ἂν μεθ' ὅρκου ἐπαγγέλλωνται· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τῶν ὅλων θεὸς πληροφορῶν τὸν δίκαιον, ὅτι πάντως ἔσται τὰ παρ' αὐτοῦ λεγόμενα, φησιν, ἴσθι ὅτι τὰ παρ' ἐμοῦ ὀμνυθέντα εἰς ἔργον ἀχθῆναι δεῖ. τί οὖν, φησιν, ὁ θεὸς ὤμοσε; καὶ κατὰ τίνος ὀμόσαι ἠδύνατο; ὁρᾷς ὅτι συγκαταβάσεως ἦν τὸ εἰρημένον. τὴν γὰρ βεβαίωσιν τῆς ὑποσχέσεως ὅρκον ἐκάλεσε. καὶ στήσω, φησί, τὸν ὅρκον μου, ὃν ὤμοσα Ἀβραὰμ τῷ πατρί σου. εἶτα διδάσκει αὐτὸν τὰ τίνα ἐστὶν ἃ ὑπέσχετο, καὶ περὶ τίνων αὐτῷ διεβεβαιώσατο. καὶ πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ. τοῦτο γὰρ καὶ τῷ πατριάρχῃ ἔλεγεν, ὅτι τοσοῦτον ἔσται τὸ σπέρμα σου, ὡς καὶ τοῖς ἄστροις καὶ τῇ ἄμμῳ παρισωθῆναι. καὶ δώ-

A inquit, Ne ſis anxius, neque curam habe, ſed hîc mane: *Ego enim ero tecum.* Igitur cùm ſuppeditatorem bonorum omnium habeas, ne ſis ſollicitus: ego enim Dominus omnium ero tecum, neque hoc ſolum, ſed *& benedicam te*, hoc eſt, glorioſum te faciam, & benedictionem meam præbebo. Quid hoc iuſto beatius, qui talem promiſſionem à Deo accepit: Quia ero tecum, & benedicam te? Hoc te declarabit omnibus fœliciorem, hoc te affluentem rebus omnibus faciet, hæc eſt ſumma gloria, hęc eſt vera ſecuritas, hæc eſt ſumma &

B caput bonorum? quia ego tecum ſum. Et benedicam te. Quomodo autem te benedicam? *Tibi & ſemini tuo dabo omnem terram hanc.* Tu videris in hac regione verſari quaſi hoſpes & vagus: ſcias autem quòd tibi & ſemini tuo dabitur omnis terra. Et vt bene confidas, diſce quòd iuramentum illud, quod iurans iuraui Abrahæ patri tuo, tecum ſtatuam. Vide quomodo ſermonem ſuum Deus iterum attemperat noſtræ infirmitati. Non dixit ſimpliciter, pacta quæ feci cum

C patre tuo: neque promiſſiones quas promiſi, ſed quid? Iureiurãdo ipſum confirmaui iuramentum, quod iurãs iuraui, & teneor, vt opere perficiam quod iuraui. Vides Dei clementiam? non ad propriam dignitatem reſpiciens loquitur, ſed ad noſtram condeſcendens infirmitatem. Nam quia homines (ferè ſemper) illa opere perficere ſtudent, non quæ ſimpliciter promiſerunt alicui, ſed quæ cum iuramento promiſerunt: ſimili modo & Deus iuſto plenam fidem faciens, quòd omnino fient quæ à ſe dicta

Nõ ſpectat ſuã dignitatẽ Deus, ſed noſtrã infirmitatem:

D ſunt: dicit, Scias ea quæ à me iuramento firmata ſunt, opere implenda. Quid igitur? Deus iurauit? inquit. Et per quem iurare potuit? Vides, quòd hoc erat cõdeſcenſionis ipſius? firmationem promiſſionis vocauit iuramentum. *Et ſtatuam*, inquit, *iuramentum meum, quod iurans iuraui Abrahæ patri tuo.* Deinde docet eum quæ ſunt illa quæ promiſit, & de quibus ei iurauit. 4 *Et multiplicabo ſemen tuum ſicut ſtellas coeli.* Hoc enim & patriarchæ in principio dicebat: Tantum erit ſemen tuum, vt & ſtellis & arenæ adæquetur. *Et dabo,*

inquit, *ſemini tuo omnem terram iſtam, & benedicentur in ſemine tuo omnes gentes terræ.* Propterea promiſſiones, quæ illi factæ ſunt, in te implebo,
5 *Eo quòd audiuit Abraham pater tuus vocem meam, & cuſtodiuit mandata mea, & iuſtificationes meas, & omnia legitima mea.* Vide Dei ſapientiam, quomodo erigit mentem iuſti, & alacriorem reddit: & vt patris imitator fiat, efficit. Nam ſi ille, inquit, quia meæ obediuit voci, tanta pollicitatione dignus habitus eſt, & eam propter illius virtutem in te, qui ex eo natus es, ſum impleturus: ſi & ipſe illius imitator fueris, & eadem qua ille via inceſſeris, cogita quantam apud me beneuolentiam habiturus ſis, & quanta mea cura te dignaturus ſim. Nam ſi cui ob alterius virtutem bene futurum eſt, ſi & ipſe virtute præditus fuerit, multò maiore dignus habebitur cura. Quid autem eſt: Eò quòd obediuit voci meæ, & cuſtodiuit mandata mea, & præcepta mea, & iuſtificationes? Dicebam ei, inquit: Egredere de terra tua, & de cognatione tua, & veni in terram quam demonſtrauero tibi: relinque quæ in manibus, & incerta ſequere. Et non fluctuabat, neque cunctabatur: ſed cum omni alacritate mandatum implebat, & obediebat voci meæ. Iterum quæ ſuper naturam ſunt ei promiſi, & cùm iam ætas eum à ſpe deiiceret, & vltrà neque ipſe, neque mater tua procreandæ proli idonei eſſent, cùm audiret à me quòd ſemen eius in tantum foret propagandum, vt omnem terram eſſet impleturum: neque tunc turbatus fuit ratione, ſed credidit. Ideo & in iuſtitiam ei reputatum eſt: quia virtuti meæ credendo, & in promiſſionibus meis ſpem habendo, humana infirmitate ſuperior fuit. Et poſtquam tu natus es, cùm mater tua ſuccenſeret Iſmaëli ex ancilla nato, & vellet eum abigere à domo cum Agar, ita vt nihil commune illi tecum eſſet, licet & illi patriarcha paterna & genuina dilectione bene afficeretur: audiens tamen à me, vt faceret quod viſum eſſet Sarræ, oblitus naturalis dilectionis, eiecit Iſmaëlem cum ancilla, & ſemper obediuit voci meæ,

Gen. 12. 1.

Quanta fides Abrahæ fuerit.

A σῷ, φησὶν, τῷ σπέρματί σου πᾶσαν τὴν γῆν ταύτην, καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς. Διὰ τοῦτο δὲ τὰς ὑποσχέσεις τὰς εἰς ἐκεῖνον γεγενημένας εἰς σὲ πληρώσω, ἀνθ' ὧν ὑπήκουσεν Ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου, καὶ τὰ δικαιώματά μου, καὶ τὰ νόμιμά μου. ὅρα θεοῦ σοφίαν, ὅπως διεγείρει τοῦ δικαίου τὴν διάνοιαν, καὶ προθυμότερον ἐργάζεται, καὶ παρασκευάζει μιμητὴν τοῦτον τοῦ οἰκείου πατρὸς καταστῆναι. εἰ γὰρ ἐκεῖνος, ἐπειδή, φησιν, ὑπήκουσε τῆς ἐμῆς φωνῆς, ταύτης ἠξιώθη τῆς ὑποσχέσεως, καὶ διὰ τὴν ἐκεί-
B νου ἀρετὴν εἰς σὲ τὸν ἐξ αὐτοῦ τεχθέντα ταῦτα πληρῶν μέλλω, εἰ δὲ σὺ αὐτὸς ἐκείνου ζηλωτὴς καταστάιης, καὶ τὴν ἐκείνου ὁδὸν ἔλθοις, ἐννόησον ὅσης ἀπολαύσεις τῆς παρ' ἐμοῦ εὐνοίας, καὶ πόσης προνοίας ἀξιωθήσῃ. ὁ γὰρ διὰ τὴν ἑτέρου ἀρετὴν μέλλων εὖ πάσχειν, εἰ καὶ αὐτὸς ἐνάρετος γένοιτο, πολλῷ πλείονος ἀξιωθήσεται κηδεμονίας. τί δέ ἐστιν, ἀνθ' ὧν ὑπήκουσε τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου, καὶ τὰς ἐντολάς μου, καὶ τὰ δικαιώματά μου; εἶπον αὐτῷ, ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν
C ἄν σοι δείξω, καὶ κατέλειπε τὰ ἐν χερσὶ, καὶ τὰ ἄδηλα ἐδίωκε, καὶ οὐκ ἐνεδοίασεν, οὐδὲ ἠμέλλησεν, ἀλλὰ μετὰ πάσης προθυμίας τὸ ἐπίταγμα πληρῶν ὑπήκουσε τῆς ἐμῆς φωνῆς. πάλιν τὰ ὑπὲρ τὴν φύσιν αὐτῷ ἐπηγγειλάμην, καὶ μετὰ τὸ τὴν ἡλικίαν ἀπαγορεῦσαι, καὶ μηκέτι μήτε αὐτὸν, μήτε τὴν μητέρα τὴν σὴν πρὸς τεκνογονίαν ἔχειν τινὰ ἐπιτηδειότητα, ἀκούων παρ' ἐμοῦ, ὅτι τὸ ἐξ αὐτοῦ σπέρμα εἰς τοσοῦτον ἐκταθήσεται, ὡς πᾶσαν πληρῶσαι τὴν γῆν, οὐδὲ τότε διεταράχθη τὸν λογισμὸν, ἀλλ' ἐπίστευσε· δι' ὃ καὶ δικαιοσύνη αὐτῷ ἐλογίσθη, ὅτι
D τῇ δυνάμει τῇ ἐμῇ πιστεύσας, καὶ ταῖς ὑποσχέσεσι θαρρήσας ταῖς ἐμαῖς, ἀνώτερος γέγονε τῆς ἀσθενείας τῆς ἀνθρωπίνης. καὶ μετὰ τὸ σε τεχθῆναι, τῆς μητρὸς τῆς σῆς δυσχεραινούσης πρὸς τὸν Ἰσμαὴλ τὸν ἐκ τῆς παιδίσκης τεχθέντα, καὶ βουλομένης αὐτὸν ἀπελάσαι τῆς οἰκίας μετὰ τῆς Ἄγαρ, ὥστε μηδὲν κοινὸν ἔχειν πρὸς σὲ, τοῦ πατριάρχου διὰ τὴν πατρικὴν φιλοστοργίαν ἤδη σχέσιν τινὰ καὶ πρὸς ἐκεῖνον ἔχοντος, ἀκούσας παρ' ἐμοῦ ὅτι, τὸ δοκοῦν ποίει τῇ Σάῤῥα, ἐπελάθετο τῆς φυσικῆς φιλοστοργίας, καὶ ἐξέβαλε τὸν Ἰσμαὴλ μετὰ τῆς παιδίσκης, καὶ πανταχοῦ ὑπήκουσε τῆς ἐμῆς φωνῆς, καὶ ἐφύ-

A καὶ ἐφύλαξε τὰ προστάγματά μου. καὶ γὰρ τὸ τελευταῖον προσταχθεὶς ὑπ' ἐμοῦ εἰς θυσίαν ἀνενεγκεῖν τὸν ἐν τῷ γήρᾳ αὐτῷ δοθέντα, τὸν οὕτω περιπόθητον, οὐ περιειργάσατο τὸ πρόσταγμα, οὐ διεταράχθη τὸν λογισμόν, οὐδὲ ἀνεκοινώσατο τῇ μητρί σου, οὐ τοῖς παισίν, οὐ σοὶ αὐτῷ τὸ μέλλον ὑπ' αὐτοῦ πραχθήσεσθαι κατάδηλον ἐποίησεν, ἀλλ' ἐρρωμένῳ τῷ λογισμῷ καὶ συντεταμένῃ τῇ προθυμίᾳ εἰς ἔργον ἄγειν τὸ ἐπίταγμα ἠπείγετο τὸ ἐμόν. διὰ τὴν γνώμην αὐτοῦ στεφανώσας τὸ ἔργον ἐκώλυσα γενέσθαι. ἐπεὶ οὖν διὰ πάντων πολλὴν ἐπεδείξατο τὴν ὑπακοὴν καὶ τὴν φυλακὴν τῶν ἐμῶν προσταγμάτων, διὰ τοῦτό σε, τὸν ἐξ B ἐκείνου τεχθέντα, τῶν ὑποσχέσεων τῶν εἰς αὐτὸν γεγενημένων ποιῶ κληρονόμον. μίμησαι τοίνυν ἐκείνου τὴν ὑπακοήν, καὶ τοῖς παρ' ἐμοῦ λεγομένοις πίστευε, ἵνα πολυπλασίονος τῆς ἀμοιβῆς ἀξιωθῇς ὑπέρ τε τῆς τοῦ πατρὸς ἀρετῆς, ὑπέρ τε τῆς οἰκείας ὑπακοῆς, καὶ μὴ καταβῇς εἰς Αἴγυπτον, ἀλλ' ἐνταῦθα μένε. εἶδες θεοῦ φιλανθρωπίαν, ὅπως διὰ τῆς μνήμης τῆς ἀρετῆς τοῦ πατρὸς τούτου τὸν λογισμὸν ἐνεύρωσε; κατῴκησε δέ, φησιν, Ἰσαὰκ ἐν Γεράροις. ὅρα τοῖς αὐτοῖς καὶ τοῦτον περιπίπτοντα σχεδόν, οἷς ὁ πατὴρ περιέπεσεν. ἐπειδὴ C γὰρ τὴν κατοίκησιν ἐποιήσατο ἐν Γεράροις, ἐπηρώτησαν, φησιν, οἱ ἄνδρες τοῦ τόπου περὶ τῆς Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ. καὶ εἶπεν, ἀδελφή μου ἐστίν. ἐφοβήθη γάρ, μήποτε ἀποκτείνωσιν αὐτόν, ἡττώμενοι τοῦ κάλλους τῆς γυναικός. μήποτε γάρ, φησιν, ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τοῦ τόπου περὶ Ῥεβέκκας, ὅτι ὡραία τῇ ὄψει ἦν. ἐγένετο δὲ πολυχρόνιος ἐκεῖ. παρακύψας δὲ Ἀβιμέλεχ εἶδε τὸν Ἰσαὰκ παίζοντα μετὰ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, καὶ ἐκάλεσεν αὐτόν, καὶ εἶπεν αὐτῷ, ἆρά γε γυνή σου ἐστί; τί ὅτι εἶπες, ἀδελφή μου ἐστίν; ἐπειδὴ ἐκ D τῶν τεκμηρίων ἐφωράθη ὁ δίκαιος, οὐκέτι λοιπὸν ἀρνεῖται, ἀλλ' ὁμολογεῖ, καὶ τὴν αἰτίαν φανερὰν καθίστησι, δι' ἣν ἀδελφὴν καλέσαι κατεδέξατο. εἶπε γάρ, φησι, μήποτε ἀποθάνω δι' αὐτήν. ὁ τοῦ θανάτου φόβος εἰς τοῦτό με ἐλθεῖν κατηνάγκασεν. ἴσως δὲ μεμαθηκὼς ἦν, ὅτι καὶ ὁ πατὴρ τοῦτο τὸ δρᾶμα κατασκευάσας διέσωσεν ἑαυτόν, καὶ διὰ τοῦτο καὶ αὐτὸς ταύτην ἦλθε τὴν ὁδόν. ἀλλ' ὁ βασιλεὺς ἔναυλον ἔχων τὴν μνήμην ὧν πέπονθεν ἐπὶ τοῦ πατριάρχου τὴν Σάρραν ἀφελόμενος, πρόσχημα ὑπὸ τῆς ἄνωθεν ἐπιτιμήσεως ἑαυτὸν ὑπεύθυνον καταστήσας, φησὶ πρὸς αὐτόν,

ac cuſtodiuit præcepta mea. Denique cùm iuſſiſſem eum, vt mihi in ſacrificium offerret filium in ſenectute ſibi conceſſum, & tam dilectum, nihil cauſatus eſt, neque curioſius de præcepto inquiſiuit, neque turbatus eſt mente, neque rem communicauit matri tuæ, neque pueris, neque tibi ipſi à ſe ſacrificando: ſed forti mente, & contenta alacritate feſtinauit, vt mandatum meum impleret: proinde voluntatem eius coronaui; opus autem vt perficeretur non admiſi. Eapropter, quia in omnibus declarauit magnam obedientiam, & mandatorum meorum cuſtodiam, propterea te ex illo natũ, promiſſionum quæ illi factæ ſunt, facio hæredem. Imitare igitur illius obedientiam, & his quæ à me dicta ſunt crede, vt multò pluribus remunerari dignus habeare, & pro patris tui virtute, & pro tua obedientia: & ne deſcendas in Ægyptum, ſed hîc mone. Vidiſti Dei miſericordiam, quomodo per mentionem virtutis patris, huius mentem roborauit? *Habitauit autem Iſaac in Geraris.* Vide quomodo fermè in eadem pericula incidit ille, in quæ & pater eius. Nam cum domicilium haberet in Geraris, [17] *Rogauerunt*, inquit, *viri loci illius de Rebecca vxore eius: & dixit, Soror mea eſt.* Timuit enim ne fortè occiderent eum, victi pulchritudine vxoris: dixit enim, *Ne fortè occidant eum viri loci propter Rebeccam; quia pulchra facie erat. Fuit autem illic longo tempore. Abimelech autem, cum proſpiceret per feneſtram, vidit Iſaac ludentem cum Rebecca vxore ſua,* [9] *& vocauit eum, & dixit ei: Profectò vxor tua eſt. Cur dixiſti, Soror mea eſt?* Poſtquam ex coniecturis deprehenſus eſt iuſtus, non vltrà negat: ſed fatetur, & cauſam manifeſtam affert, quare ſororem vocandam cenſuerit. Dixit enim, inquit, ne fortè moriar propter ipſam. Mortis timor me hoc agere coëgit. Fortè autem edoctus erat, quòd & pater talem fabulam commentus erat, & ſe ſaluarat, cuius viam & ipſe ſecutus eſt. Sed rex adhuc habens recentem memoriam eorum, quæ tempore patriarchæ rapta Sarra tulerat; increpabat eum, reúmque arguens dicebat:

Volũtas coronatur à Deo.

Gen. 20. 2.

Cur hoc feciſti? ferè concubuiſſet quiſpiam de genere meo cum vxore tua, & induxiſſes ſuper nos ignorantiam. Hanc deceptionem, inquit, & olim ſuſtinuimus à patre tuo, & nunc niſi in tempore proſpexiſſemus, eadem laturi eramus. Et induxiſſes ſuper nos ignorantiam. Etenim & tunc per ignorantiam peccaturi eramus, & nunc quoque propter ignorantiam fermè in cauſa fuiſſes, vt in peccatum incideremus. Præcepit autem Abimelech populo ſuo, dicens: *Omnis qui tetigerit hominem hunc & vxorem eius, mortis reus erit.* Vide Dei prouidentiam, & ineffabilem curam. Nam qui dixerat ei: Ne deſcendas in Ægyptum, & habita in terra iſta, & ero tecum: ille erat qui hæc omnia diſpenſabat, & iuſtum in tanta conſtituebat ſecuritate. Conſidera enim regem procurantem vt impauidè ibi agat, libérque ſit ab omni cura. Mortem, inquit, interminatus eſt omnibus quicũque tetigerint aut eum, aut vxorem eius. Quia enim hic erat timor qui concuſſerat eius mentem, propterea & illum auferri fecit miſericors Dominus, vt poſtea omnino ſecurè ageret. Et vide quomodo variæ viæ ſint ſapientiæ Dei, & quomodo omnia iuxta ſuam voluntatem faciat, & in inuiis viam inueniat, per illa ipſa quæ maximè aduerſa videntur, ſalutem ſeruorum ſuorum conſeruans. Hinc enim eſt, quòd rex ille tantam habet curam iuſti, quaſi prædicans eum omnibus ciuitatis ſuæ inhabitatoribus, & declarans quàm glorioſus ſit, & ſummo honore dignus, quem & maximi faciebat. Sic & Nabuchodonoſor

Dan. 3. 28.

poſtquam pueros illos tres in fornacem iniecerat, & reipſa comprobauerat captiuorum adoleſcentum virtutem, tunc prædicare eos cœpit, & vbique lingua ſua fecit illuſtres. Hæc enim potiſſimum magna Dei virtus eſt, quando facit vt per inimicos celebrentur ſerui Dei. Et qui cum furore accendi fecerat fornacem illam, quoniam vidit quòd per ſupernum auxilium puerorum virtus ignis actionem vinceret, repentè mutatus clamauit,

Ibidem.

dicens: Serui Dei excelſi. Vide, non ſolum illos excelſos prædicat,

A τί τοῦτο ἐποίησας; μικροῦ ἐκοιμήθη τις τοῦ γένους μου μετὰ τῆς γυναικός σου, καὶ ἐπήγαγες ἂν ἐφ' ἡμᾶς ἄγνοιαν. Ταύτην, φησί, τὴν ἀπάτην καὶ ἤδη ὑπεμείναμεν ὑπὸ τοῦ πατρός σου, καὶ νῦν εἰ μὴ ταχέως συνείδομεν, τὰ αὐτὰ ἂν ἐμέλλομεν ὑπομένειν, καὶ ἐπήγαγες ἂν ἐφ' ἡμᾶς ἄγνοιαν. καὶ γὰρ καὶ τότε δι' ἄγνοιαν ἁμαρτάνειν ἐμέλλομεν, καὶ νῦν ὑπὸ τῆς ἀγνοίας μικροῦ δεῖν ἡμᾶς ἁμαρτίᾳ περιπεσεῖν παρεσκεύασας. συνέταξε δέ, φησιν, Ἀβιμέλεχ τῷ λαῷ αὐτοῦ λέγων, πᾶς ὁ ἁπτόμενος τοῦ ἀνθρώπου τούτου, ἢ τῆς γυναικὸς αὐτοῦ, θανάτου ἔνοχος ἔσται. ὅρα θεοῦ πρόνοιαν, ὅρα κηδεμονίαν ἄφατον. ὁ γὰρ

B εἰπὼν αὐτῷ, μὴ καταβῇς εἰς Αἴγυπτον, καὶ κατοίκει ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ, οὗτος ἦν ὁ ταῦτα πάντα οἰκονομῶν, καὶ τὸν δίκαιον ἐν τοσαύτῃ ἀσφαλείᾳ καθιστάς· σκόπει γὰρ τὸν βασιλέα ἔργον τοῦτο ποιούμενον, ὥστε ἐν ἀδείᾳ διάγειν αὐτόν, καὶ πάσης ἀπηλλάχθαι φροντίδος. θάνατον γάρ, φησιν, ἠπείλησεν ἅπασιν, εἴ τις ἅψαιτο αὐτοῦ, ἢ τῆς γυναικὸς αὐτοῦ. ἐπειδὴ γὰρ οὗτος ἦν ὁ φόβος, ὁ τοῦ θανάτου λέγω, καταστείων τοῦ δικαίου τὴν διάνοιαν, διὰ τοῦτο καὶ τοῦτον ἐκβληθῆναι πεποίηκεν ὁ φιλάνθρωπος δεσπότης, καὶ ἐν πάσῃ ἀσφαλείᾳ αὐτὸν λοιπὸν διά-

C γειν. καὶ ὅρα τὸ θαυμαστὸν καὶ παράδοξον, πῶς εὐμήχανος ὢν καὶ σοφὸς καὶ πάντα κατὰ τὸ βούλημα τὸ οἰκεῖον μετασκευάζων, καὶ ἐν ἀπόροις πόρον εὑρίσκων, διὰ τῶν ἐναντίων αὐτῶν καὶ πολεμίων εἶναι νομίζεσθαι, διὰ τούτων τὴν ἀσφάλειαν τοῖς ἰδίοις θεράπουσι γίνεσθαι παρεσκεύασε. πόθεν γάρ, εἰπέ μοι, ὁ βασιλεὺς οὗτος τοσαύτην τοῦ δικαίου ποιεῖται τὴν πρόνοιαν, μονονουχὶ ἀνακηρύττων αὐτὸν ἅπασι τοῖς τὴν πόλιν οἰκοῦσι, καὶ περιφανῆ δεικνὺς καὶ περισπούδαστον αὐτόν; οὕτω καὶ ὁ Ναβουχοδονόσορ μετὰ τὸ βαλεῖν εἰς τὴν κάμινον τοὺς παῖδας τοὺς τρεῖς, καὶ διὰ τῶν πραγμάτων μαθεῖν τῶν νέων, τῶν

D αἰχμαλώτων τὴν ἀρετήν, τότε ἀνακηρύττειν αὐτοὺς ἤρξατο, καὶ πανταχοῦ διὰ τῆς οἰκείας γλώττης περιφανεῖς καθιστᾷν. τοῦτο γάρ ἐστι μάλιστα τῆς περιουσίας τῆς τοῦ θεοῦ δυνάμεως, ὅταν διὰ τῶν ἐχθρῶν ἀνακηρύττεσθαι τοὺς αὐτοῦ δούλους παρασκευάζῃ. καὶ ὁ μετὰ θυμοῦ τὴν κάμινον ἐκείνην ἐξαφθῆναι ποιήσας, ἐπειδὴ εἶδεν ὅτι διὰ τὴν ἄνωθεν συμμαχίαν καὶ τῆς τοῦ πυρὸς ἐνεργείας περιεγίνετο ἡ τῶν παίδων ἀρετή, ἀθρόον μεταβαλλόμενος ἐκεκραύγασε λέγων, οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου. ὅρα μὴ μόνον αὐτοὺς ἀνακηρύττοντα,

A ἀλλὰ καὶ τὸν δεσπότην τῶν ὅλων. οἱ δοῦλοι γὰρ τοῦ θεοῦ, φησὶ, τοῦ ὑψίστου ἐξέλθετε. τί γέγονεν; οὐ σὺ τῇ τιμωρίᾳ παρέδωκας. οὐ σὺ ἐπὶ τοσοῦτον ἐκκαυθῆναι τὴν κάμινον προσέταξας; ναὶ, φησὶν, ἀλλὰ νῦν ὁρῶ ξένα καὶ παράδοξα πράγματα. τὸ γὰρ στοιχεῖον τοῦτο τῆς οἰκείας ἐνεργείας ἐπιλαθόμενον, ὥσπερ δεσμοῖς τισι πεδηθὲν, τοσαύτην ἐπεδείξατο τὴν ὑπακοὴν, ὡς μηδὲ τῶν τριχῶν ἐφάψασθαι, αὐτῶν. ὅθεν ἐστὶ συνιδεῖν, ὅτι ὑπὲρ ἀνθρωπίνην φύσιν ἐστὶ τὸ γεγονὸς, καὶ ἀπόρρητός τις καὶ θεία δύναμίς ἐστιν ἡ ταῦτα ἐργαζομένη, καὶ τῶν παίδων τούτων τοσαύτην ποιουμένη τὴν πρόνοιαν. B εἶδες θεοῦ φιλανθρωπίαν, ὅπως οὐκ ἐγκαταλιμπάνων τοὺς ἰδίους θεράποντας συνεχώρησεν εἰς τὴν κάμινον εἰσενεχθῆναι, ἀλλὰ καὶ αὐτοὺς βουλόμενος λαμπροτέρους ἐργάσασθαι, καὶ τὴν οἰκείαν δύναμιν ἐνδεικνύμενος, καὶ τοῦ βαρβάρου κατεμάλαξε τὴν διάνοιαν, καὶ τὴν τοσαύτην μακροθυμίαν ἐπεδείξατο; οὐδὲ γὰρ οὕτω θαυμαστὸν ἦν, εἰ παρὰ τὴν ἀρχὴν ἐκώλυσεν αὐτοὺς εἰς τὴν κάμινον ἐμβληθῆναι, ὡς νῦν θαυμαστότερον γέγονε, καὶ πολὺ τὸ παράδοξον, ὅτι καὶ ἐν μέσῳ τῷ πυρὶ τυγχάνοντας οὐδὲν ἀηδὲς παθεῖν συνεχώρησεν. C ὅταν γὰρ αὐτὸς βούληται, καὶ τοὺς ἐν μέσοις τοῖς δεινοῖς γεγενημένους ἀνωτέρους καθίστησι, καὶ τοὺς πάσχοντας τῶν ποιούντων δυνατωτέρους ἀπεργάζεται. τοῦτο καὶ ἐπὶ τῶν ἀποστόλων ἐγένετο. οἱ ἔχοντες γὰρ αὐτοὺς ἀπειλημμένους ἐν τῷ μέσῳ, καὶ μονονουχὶ τοὺς ὀδόντας θήγοντες κατ᾽ αὐτῶν, πρὸς ἀλλήλους ἔλεγον, τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὑποχειρίους αὐτοὺς ἔχοντες, ἐν ἀπορίᾳ καθειστήκεισαν. τοσοῦτόν ἐστιν ἡ ἀρετὴ ἰσχυρὸν, καὶ οὕτως ἡ κακία ἀσθενὲς, ὡς ἐκείνην μὲν ἐν τῷ πάσχειν περιγίνεσθαι, ταύτην δὲ καὶ ἐν τῷ ποιεῖν τὴν οἰκείαν ἀσθένειαν ἐπιδείκνυσθαι. D ὅπερ εἰδότες, ἀγαπητοὶ, πολλὴν τῆς ἀρετῆς ποιώμεθα λόγον, καὶ φεύγωμεν τὴν κακίαν. οὕτω γὰρ καὶ τὴν ἄνωθεν ἐπισπασόμεθα ῥοπὴν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα καὶ κράτος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ſed & dominum vniuerſorum: Serui enim, inquit, Dei excelſi, egredimini. Quid factum eſt? nónne tu eos tormento tradidiſti? nónne tu in tantum fornacem flagrare præcepiſti? Profectò, inquit, ſed nunc video res admirabiles & nouas. Elementum enim hoc ſuæ operationis oblitum, quaſi vinculis quibuſdam ligatum, tantam exhibuit obedientiam, vt neque contingerentur illorum capilli. Vnde videre poſſumus quòd factum ſupra humanam naturam eſt, & ineffabilis quædam ac diuina vis, quæ hæc operatur, tantam puerorum habet curam. Vidiſti Dei miſericordiam, quomodo nunquam derelinquat ſeruos ſuos? permittit in fornacem inijci, ſed eos volens clariores facere, & ſuam virtutem demonſtrare. Vnde & barbari demulſit mentem, & tantam longanimitatē oſtendit. Neque enim tam admirabile erat, ſi à principio prohibuiſſet eos in caminum inijci: ſicuti nūc admirabilius & rarius factum eſt, cùm in medio ignis exiſtentes, nihil inſuaue ferre permittit. Nam quando vult, etiam eos qui in mediis ſunt periculis & pœnis, potentiores ipſis facit: & eos qui patiuntur, his qui illos affligunt. Hoc & in Apoſtolis Act. 4.
factum eſt. Nam qui eos vrgebant 16.
& adducebant in medium, & quaſi dentibus aduerſus eos fremebant, inter ſe dicunt: Quid faciemus viris iſtis? in manibus illos habebant, & dubitabant ſecum, quid de eis facerent. Tanta, támque valida res eſt virtus, támque imbecillis malitia: vt illa quidem, licet patiatur, vincat: hæc verò & ſi quid faciat, nihil proficit, quàm quòd ſuam prodit infirmitatem. Id ſcientes dilecti, magnam virtutis habeamus rationem, & vitia fugiamus: ita enim & ſupernam gratiam nobis conciliabimus, & futura conſequamur bona. Quæ nobis omnibus eueniant, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui ſit & gloria, & imperium cum patre & Spiritu ſancto, & nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Homilia LII.

A

Ὁμιλία νβ.

Gen. 26. 12. *Seminauit autem Iſaac in terra illa, & inuenit centuplicans hordeum in anno illo.*

Ἔσπειρε δὲ Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἑκατοστεύουσαν κριθὴν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ.

Reliqvias heri dictorum operæprecium eſt hodie reddere veſtræ charitati; & repetita ſermonis ſerie iterũ videre quantum & iuſtus Iſaac ſuperis gratus & curæ fuerit. Nam qui ei prohibuerat deſcenſum in Ægyptum, & dixerat: Habita in terra hac, & ero tecum: B illc in omnibus tam clarum eum fecit, vt non multò pòſt inuidioſus foret apud regem Gerarorum. Videntes enim eius ſubſtantiam quotidie augeri, ægrè tulerunt viri ibi habitantes eius cohabitationem, & tranſmigrare inde coëgerunt. Dignum autem eſt, vt ipſa ſcripturæ verba audiamus, vt per omnia videamus Dei beneuolentiam, quam erga famulos ſuos declarat. [12] *Seminauit autem,* inquit, *Iſaac in terra illa, & inuenit centuplicans hordeum in anno illo.* C Conſidera obſecro, Dei ſapientiam, quomodo oſtendat iuſto quòd ipſe naturę conditor ſit, & in rebus difficilibus facilia omnia facere queat, & qui ab initio terram ſuo mandato fecerit idoneam ad proferendos fructus, idem nunc efficiat vt centuplices reddat pro ſatis manipulos: & interim illum in tanta affluentia conſtituit, vt nullius indigeat: atque alij per opera diſcant quanta ſuperna gratia iuſtus fruatur. Omnipotens enim & ſapiẽs D Deus per res eaſdem frequenter cõprobat quàm benefaciat ſuis, & facit vt hi etiam qui adhuc in gentilium errore verſantur, ſuam virtutem & potentiam addiſcant. Hoc poſtea & in Ægypto fecit: illis enim pœnas irrogabat, Iſraëlitas verò illæſos conſeruabat. Diſcebant enim non ſolum per indignationem Dei, qua ipſi puniebantur; omnium opificis virtutem: ſed & per ſollicitudinem, quam in illos exhibebat. Et illi iterum non ex ſola prouidentia & ſollicitudine, quam experiebantur, diſcebant immodicam Dei bonitatem:

Dei virtus in Ægyptiis & in Iudæis apparet.

Τὰ λείψανα τῶν χθὲς εἰρημένων ἀναγκαῖον ἀποδοῦναι σήμερον τῇ ὑμετέρᾳ ἀγάπῃ, καὶ τοῦ λόγου τὴν ἀκολουθίαν ἀναλαβόντας ἰδεῖν πάλιν τὸν δίκαιον Ἰσαάκ, ὅσης ἀπολαύει τῆς ἄνωθεν κηδεμονίας. ὁ γὰρ τὴν εἰς Αἴγυπτον κάθοδον αὐτοῦ διακωλύσας, καὶ εἰπών, παροίκει ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ, οὕτως αὐτὸν διὰ πάντων περιφανῆ καθίστησιν, ὡς μετ' οὐ πολὺ ἐπίφθονον αὐτὸν γενέσθαι παρὰ τῷ βασιλεῖ Γεράρων. ὁρῶντες γὰρ αὐτοῦ καθ' ἑκάστην ἡμέραν αὐξανομένην τὴν εὐπορίαν, ἐδεδοίκεισαν λοιπὸν τοῦ ἀνδρὸς τὴν αὐτόθι κατοίκησιν, καὶ μεταναστῆναι ἐκεῖθεν καταναγκάζουσιν. ἄξιον δὲ καὶ αὐτῶν ἀκοῦσαι τῶν ῥημάτων τῆς θείας γραφῆς, ἵνα διὰ πάντων θεασώμεθα τοῦ θεοῦ τὴν εὔνοιαν, ἣν περὶ τοὺς αὐτοῦ οἰκέτας ἐπιδείκνυται. ἔσπειρε δέ, φησιν, Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἑκατοστεύουσαν κριθὴν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. σκόπει μοι τοῦ θεοῦ τὴν σοφίαν· ἵνα δείξῃ τῷ δικαίῳ ὅτι δημιουργὸς ὢν τῆς φύσεως, καὶ ἐξ ἀπόρων πόρον παρασχεῖν δύναται, καὶ ὅτι καὶ ἐξ ἀρχῆς αὐτὸς τὴν γῆν τῷ οἰκείῳ προστάγματι διήγειρε πρὸς τὴν τῶν καρπῶν βλάστην, παρασκευάσας τὸν δίκαιον ἑκατονταπλασίονα τῶν ὑπ' αὐτοῦ σπαρέντων ἐπὶ τῆς γῆς κομίσασθαι τὰ δράγματα, ὁμοῦ καὶ αὐτὸν ἐν πλείονι καθιστὰς εὐπορίᾳ τοῦ μηδενὸς ἐν χρείᾳ γενέσθαι, κἀκείνους διὰ τῶν ἔργων διδάσκων ὅσης ὁ δίκαιος ἀπολαύει τῆς ἄνωθεν ῥοπῆς. εὐμήχανος γὰρ ὢν καὶ σοφός, διὰ τῶν αὐτῶν πολλάκις πραγμάτων καὶ τοὺς οἰκείους εὐεργετεῖ, καὶ τοὺς ἔτι πεπλανημένους διδάσκεσθαι παρασκευάζει τῆς οἰκείας προνοίας τὴν δύναμιν. τοῦτο καὶ μετὰ ταῦτα κατὰ τὴν Αἴγυπτον εἰργάσατο, ἐκείνοις μὲν τὰς τιμωρίας ἐπαγαγών, τὸν δὲ λαὸν τῶν Ἰσραηλιτῶν ἀπαθῆ διαφυλάττων. ἐμάνθανον γὰρ οὐ μόνον διὰ τῆς κατ' αὐτῶν ἀγανακτήσεως τοῦ τῶν ὅλων θεοῦ καὶ δημιουργοῦ τὴν δύναμιν, ἀλλὰ καὶ διὰ τῆς προνοίας τῆς εἰς ἐκείνους· καὶ οὗτοι πάλιν οὐκ ἐκ τῆς εἰς αὐτοὺς προνοίας καὶ κηδεμονίας μόνον ἐδιδάσκοντο τοῦ θεοῦ τὴν ὑπερβάλλουσαν περὶ αὐτοὺς φιλανθρωπίαν,

A ἀλλὰ καὶ δι' ὧν ἐκείνοις ἑώρων καθ' ἑκάστην ἡμέραν τὰς πληγὰς δεχομένοις. καὶ διὰ τῶν αὐτῶν πραγμάτων καὶ τοῖς οἰκείοις καὶ τοῖς ἐναντίοις ἐδείκνυ τῆς οἰκείας δυνάμεως τὴν ὑπερβολήν. καὶ γὰρ αὐτὰ τὰ στοιχεῖα τὴν περὶ ἑαυτῶν διακονίαν καὶ τὴν ὑπακοὴν ἐπιδείκνυνται τοῖς ὁμοδούλοις, ὅταν ὁ δεσπότης εὐνοϊκῶς πρὸς αὐτοὺς διακέηται. καὶ τοῦτο ἄν τις θεάσοιτο γεγονὸς ἐπὶ τοῦ δικαίου τούτου· ὅπερ ἄλλοτε ἡ φύσις τῆς γῆς οὐκ ἐπεδείξατο, τοῦτο διὰ τὸ πρόσταγμα τοῦ τῶν ὅλων θεοῦ νῦν ἐπιδείκνυται, καὶ τοσαύτην ἤνεγκε τὴν φορὰν, ὡς ἀθρόον ἐν περιουσίᾳ πολλῇ καταστῆναι τὸν Ἰσαάκ. B εὐλόγησε γὰρ αὐτὸν ὁ θεὸς, καὶ ὑψώθη ὁ ἄνθρωπος, καὶ προβαίνων μείζων ἐγίνετο, ἕως οὗ μέγας ἐγένετο σφόδρα. ἐπειδὴ γὰρ τότε ἐν τούτοις ἦν τὰ τῆς εὐπορίας τοῖς δικαίοις, ἐν τῇ τῆς γῆς εὐετηρίᾳ, ἐν τῷ τῶν θρεμμάτων πλήθει, διὰ τοῦτο, φησιν, εὐλόγησεν αὐτὸν ὁ θεὸς, καὶ ὑψώθη ὁ ἄνθρωπος, ἀντὶ τοῦ, εὔπορος ἐγένετο· καὶ οὐχ ἁπλῶς εὔπορος, ἀλλὰ καὶ μείζων, φησὶν, ἐγίνετο, ἕως οὗ μέγας ἐγένετο σφόδρα. ἐννόησον γὰρ ὅσον ἦν ἑκατονταπλασίονα τῶν παρ' αὐτοῦ καταβαλλομένων ὑποδέχεσθαι. εἰ δὲ τοῦτό σοι μέγα φαίνεται, σκόπει τὴν ἐπίτασιν τῆς τοῦ θεοῦ φιλανθρωπίας, ἣν τοῦ χρόνου προϊόντος περὶ ἡμᾶς ἐπεδείξατο. τοῖς γὰρ μετὰ τὴν αὐτοῦ παρουσίαν τὴν ἀρετὴν μετιοῦσιν οὐ μόνον ἑκατονταπλασίονα ἐνταῦθα παρέχειν ὑπισχνεῖται, ἀλλὰ καὶ τὴν αἰώνιον ζωὴν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν εἰς ἀπόλαυσιν. εἶδες φιλοτιμίαν δεσπότου; εἶδες ἐπίτασιν εὐεργεσίας; εἶδες πόσον ἡμῖν κεχάρισται ἡ τοῦ μονογενοῦς παρουσία, ὅπως ἀφάτων τῶν πραγμάτων τὴν ἐναλλαγὴν εἰργάσατο; ταῦτα τοίνυν ἕκαστος καθ' ἑαυτὸν λογιζόμενος, καὶ ὁρῶν τὴν διαφορὰν, καὶ τίνα μὲν ἦν, ἃ τοῖς πρὸ τῆς χάριτος παρέχειν ὑπισχνεῖται, τίνα δὲ μετὰ τὴν χάριν, D δοξαζέτω κἂν τούτῳ τὴν ἄπειρον αὐτοῦ φιλανθρωπίαν, καὶ μὴ τῇ τῶν καιρῶν ἐναλλαγῇ τὸ πᾶν ἐπιγραφέτω. ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανελθεῖν δίκαιον, καὶ ἰδεῖν ὅπως οἱ ἐν Γεράροις ὁρῶντες τοῦ δικαίου τὴν πολλὴν εὐπορίαν, εἰς ζῆλον διηγέρθησαν, καὶ ἀπελαύνειν αὐτὸν ἐκεῖθεν ἐπεχείρουν. ἐζήλωσαν γὰρ, φησιν, αὐτὸν οἱ Φυλιστιείμ. εἶτα δεῖξαι βουλομένη ἡ θεία γραφὴ ἐν τίνι τὸν ζῆλον ἐπεδείκνυντο, ἐπήγαγε, καὶ πάντα ἃ ὤρυξαν φρέατα οἱ παῖδες ἐν τῷ χρόνῳ τοῦ πατρὸς αὐτοῦ, ἐνέφραξαν αὐτὰ, καὶ ἐνέπλησαν γῆς.

ſed etiam per eos quibus videbant tot plagas irrogari. Per eadem enim opera & ſuis, & aduerſariis indicabat ſuæ potentiæ magnitudinem. Nam elementa ipſa ſuum miniſterium & obſequium conſeruis demonſtrant quando beneuolè dominus erga illos afficitur. Et hoc vtique viderit aliquis huic iuſto contingere. Id enim quod alioqui natura terræ non habuit, hoc propter mandatum vniuerſorum Dei nunc profert tanta vbertate, vt repente valde abũdans effectus ſit Iſaac. *Benedixit enim,* inquit, *eum Deus,* [13] *& exaltatus eſt homo, & procedens maior fiebat, donec magnus factus eſt valde.* Nam quia tũc abundantia iuſtorum erat in fertilitate terræ, & in multitudine pecorum: propterea dicit, Benedixit eum Deus, & exaltatus eſt homo, id eſt abundauit: & non ſimpliciter abundauit, ſed & maior, inquit, fiebat, donec magnus factus eſt valde. Conſidera enim quantum ſit, pro his quæ ſeminabat, centuplum accipere. Quòd ſi hoc tibi magnum videtur, conſidera immenſam Dei clementiam, quam proceſſu temporis erga nos declarauit. His enim qui bona in eum fiducia virtutem exercent, non ſolùm centuplum hîc promittit, ſed & vitam æternam, & frui regno cœlorũ. Vidiſti liberalitatem Domini? vidiſti beneficentiæ augmentum? vidiſti quantum nobis largitus eſt vnigeniti filij Dei aduentus? & quomodo ineffabilem rerum commutationem operatus eſt? Hæc igitur vnuſquiſque apud ſe expendens, & videns diuerſitatem, & quæ illis ante gratiæ tempus promitti ſolebant, & quæ nunc poſt gratiæ tempus: glorificet etiam in hoc immenſam eius miſericordiam, & nemo temporum mutationi totum aſcribat. At iuſtum eſt vt ad ſeriem ſermonis redeamus, vt videamus quomodo Gerareni videntes affluere iuſto opes, in æmulationem prouocati, abigere eum inde conati ſunt. [14] *AEmulati ſunt enim eum,* inquit, *Phyliſtiim.* Deinde monſtrare volens ſcriptura diuina, in quo æmulationem declararunt, ſubdidit: [15] *Et omnes puteos, quos effoderant ſerui tempore patris eius, obturauerunt, & impleuerunt terra*

Centuplum & vitã æternam promittit De°.

Conſidera quanta illorum malitia, qui & aquas iuſto inuident: & neque rex, qui in tanta poteſtate erat, inuidiam continere potuit: ſed dicit, Abi à nobis, quia potentior nobis factus es valde. Magna maleuolentia. Cuius gratia abigis iuſtum? num aliqua in re tibi nocuit? num iniuriam intulit? Sed ita ſe habet inuidia, nihil cum ratione operatur. Cum enim oporteret eum, quem omnium Deus tanta gratia proſequebatur, Dei exemplo magis fouere, ei ſeruiendo: vt honore in illum collato, etiam ipſe diuinum ſibi fauorem conciliaret: ille non ſolùm hoc non facit, ſed expellere tentat, ac dicit, [10] *Abi à nobis, quia multò potentior factus es quàm nos ſumus.* Ita agere ſolet inuidentia, non poteſt benignè videre aliorum fœlicitatem: ſed fœlicitatem proximi ſuam putat infœlicitatem, & tabeſcit bonis proximi: id quod & hîc accidit. Rex enim, ſub cuius poteſtate tota ciuitas erat, & habens omnes ſub manu ſua, peregrino, vago, huc & illuc migranti, dicit: Abi à nobis, quia potentior factus es quàm nos ſumus. Et verè potentior erat, ſupernum præſidium habens in omnibus, dexteráque Dei munitus. Quò igitur abigis iuſtum? ignoras quòd quocunque eum ire coëgeris, ſemper erit in his quæ domini ſui ſunt? Non docuit te rerum experientia, quòd Dei manus eſt, quæ illuſtrem facit, & conſeruat iuſtum? Quare igitur abigendo iuſtum, erga dominum ingratitudinem declaras? & neque magna viri manſuetudo tuam domare potuit inuidiam, ſed victus à vitio, inuidiam opere comples, & iterum migrare eum cogis, qui in nullo te læſit? Neſcis quòd licèt in ipſiſſimam ſolitudinem eum fugaris, habebit tamen potentem dominum, qui ſe iuuare, (ſicut & illic factum) & multo clariorem facere nouit? Nihil enim robuſtius eo qui fruitur ſuperno præſidio: ſicut nihil infirmius eo, qui tali auxilio deſtituitur. Vidiſti dilecte, & regis Geraronum, & omnium qui ibi habitabant mentis malitiam? vide & iuſti magnam manſuetudinem, quomodo non ſuperbiuit: neque videns reipſa diuinam ſibi gratiam aſſiſtere,

Inuidia Gerarenorum quanta.

Nihil robuſti' eo, qué Deus iuuat.

A σκόπει πόση τῆς αὐτόθι ἡ κακία, ὡς τῶν ὑδάτων φθονῆσαι τῷ δικαίῳ. καὶ οὐδὲ ὁ βασιλεὺς ὁ ἐν τοσαύτῃ περιουσίᾳ καθεστὼς κατασχεῖν τὸν φθόνον ἴσχυσεν, ἀλλά φησιν, ἄπελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα. πολλὴ ἡ ἀγνωμοσύνη. τίνος γὰρ ἕνεκεν ἀπελαύνεις τὸν δίκαιον; μὴ γὰρ ἐλυμήνατό τι τοῖς σοῖς; μὴ γὰρ ἠδίκησέ τι; ἀλλὰ τοιοῦτον ὁ φθόνος· οὐδὲν μετὰ λογισμοῦ διαπράττεται. δέον γὰρ αὐτὸν θεασάμενον τοσαύτης εὐνοίας ἀπολαύοντα τὸν δίκαιον παρὰ τοῦ τῶν ὅλων θεοῦ, μᾶλλον περιέπειν, μᾶλλον θεραπεύειν, ἵνα διὰ τῆς εἰς ἐκεῖνον τιμῆς ἐπισπάσηται καὶ αὐτὸς τὴν ἄνωθεν ῥοπήν· ὁ δὲ οὐ B μόνον τοῦτο οὐ ποιεῖ, ἀλλὰ καὶ ἀπελαύνειν ἐπιχειρεῖ, καί φησιν, ἄπελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα. τοιοῦτον γὰρ ἡ βασκανία. οὐκ ἀνέχεται ῥᾳδίως τὴν ἑτέρων εὐπραγίαν, ἀλλὰ τὴν τοῦ πλησίον εὐημερίαν, οἰκείαν δυσπραγίαν εἶναι νομίζει, καὶ τήκεται τοῖς τοῦ πλησίον ἀγαθοῖς. ὃ δὴ καὶ ἐνταῦθα γέγονεν. ὁ γὰρ βασιλεύς, ὁ τῆς πόλεως ἁπάσης τὴν ἐξουσίαν ἔχων, καὶ πάντας ὑπὸ τὴν ἀπειλὴν τὴν ἑαυτοῦ ἔχων, τῷ ξένῳ, τῷ ἀλήτῃ, καὶ ἐντεῦθεν ἐκεῖ, κἀκεῖθεν ὧδε μετανισταμένῳ φησὶν, ἄπελθε ἀπ' ἐμοῦ, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα, καὶ ἀληθῶς C δυνατώτερος ἦν, τὴν ἄνωθεν συμμαχίαν ἔχων ἐν ἅπασι, καὶ ὑπὸ τῆς τοῦ θεοῦ δεξιᾶς φρουρούμενος. ποῖ τοίνυν ἀπελαύνεις τὸν δίκαιον; οὐκ οἶσθα ὅτι, ὅπου ἂν αὐτὸν ἀπελθεῖν συμβαίνῃ, ἐν τοῖς τοῦ δεσπότου τοῦ ἑαυτοῦ ἔσται αὐτὸν ἀνάγκη; οὐκ ἐπαίδευσέ σε τῶν πραγμάτων ἡ πεῖρα, ὅτι ἡ τοῦ θεοῦ χείρ ἐστιν, ἡ περιφανῆ τὸν δίκαιον καθιστῶσα; τίνος οὖν ἕνεκεν, δι' ὧν τὸν δίκαιον ἀπελαύνεις, τὴν πρὸς τὸν αὐτοῦ δεσπότην ἀγνωμοσύνην ἐπιδείκνυσαι, καὶ οὐδὲ ἡ πολλὴ τοῦ ἀνδρὸς ἐπιείκεια περιγενέσθαι ἠδυνήθη τῆς βασκανίας τῆς σῆς, ἀλλ' ἡττηθεὶς ὑπὸ τοῦ πάθους εἰς ἔργον ἀγαγεῖν σπεύδεις τὸν D φθόνον, καὶ πάλιν μετανάστην γενέσθαι παρασκευάζεις τὸν οὐδέν σε ἠδικηκότα; οὐκ οἶδας ὅτι κἂν εἰς αὐτὴν τὴν ἔρημον ἀπελθεῖν καταναγκάσῃς, οὕτως εὐμήχανον ἔχει δεσπότην, ὡς κἀκεῖ γενόμενον πολλῷ πλέον περιφανέστερον αὐτὸν ἀποδεῖξαι; οὐδὲν γὰρ ἰσχυρότερον τοῦ τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντος, ὥσπερ οὐδὲν ἀσθενέστερον τοῦ τῆς ἐκεῖθεν βοηθείας ἠρημωμένου. εἶδες, ἀγαπητέ, καὶ τοῦ βασιλέως Γεράρων καὶ πάντων τῶν αὐτόθι οἰκούντων τῆς γνώμης τὴν μοχθηρίαν; ὅρα καὶ τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν, πῶς οὐκ ἐφρόνησε μέγα, οὐδὲ ὁρῶν διὰ τῶν πραγμάτων πολλὴν τοῦ θεοῦ τὴν ῥοπὴν περὶ αὐτὸν γινομένην,

κατεξανέστη τοῦ βασιλέως, τῇ τοῦ συμμαχοῦντος A
αὐτῷ δυνάμει πεποιθώς, ἀλλὰ καθάπερ τις ἀνὴρ
καὶ ἀπροστάτευτος, καὶ οὐδαμόθεν οὐδεμίας ἀπο-
λαύων βοηθείας, οὕτω μετὰ πολλῆς τῆς ἐπιεικείας,
οὐδὲ μέχρι λόγων ἀντιτείνας τῷ βασιλεῖ, ἐποίει
τὸ παρ' αὐτοῦ κελευόμενον, καὶ εὐθέως ἐκεῖθεν ἀπα-
νίστατο, καὶ πορρωτέρω γενόμενος, κατέστελλε τοῦ πά-
θους τὴν φλόγα, ὁμοῦ καὶ τὴν ὑπερβάλλουσαν αὐ-
τοῦ ἐπιείκειαν ἐνδεικνύμενος, κἀκείνου τὸ πάθος πα-
ραμυθούμενος. καὶ ἀπῆλθεν ἐκεῖθεν, καὶ κατῴκησεν
ἐν τῇ φάραγγι Γεράρων. καὶ ὅπερ ὁ Χριστὸς παραγε-
γενόμενος τοῖς μαθηταῖς ἐνετέλλετο λέγων, ὅταν
διώκωσιν ὑμᾶς, φεύγετε ἑτέρωσε, τοῦτο καὶ οὗτος ἤδη B
διὰ τῶν ἔργων ἐπλήρου. καὶ καθάπερ Δαβὶδ τοῦ
Σαοὺλ τὸν πολὺν φθόνον καταστέλλων, διὰ τῆς ἀνα-
χωρήσεως ἑαυτὸν ὑπεξάγων ἐκείνου τὴν πολλὴν
παρεμυθεῖτο φλεγμονήν, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ
δίκαιος οὗτος ἐπλήρου τὸ ἀποστολικὸν ἐκεῖνο λόγιον,
δότε τόπον τῇ ὀργῇ. καὶ καταλιπὼν τὴν πόλιν ἐξῆλ-
θε, φησιν, ἐν τῇ φάραγγι. ἀλλ' ὅρα αὐτὸν κἀκεῖ μετὰ
πολλῆς τῆς ἐπιεικείας τὴν ἔνστασιν ἐνδεικνύμενον.
οὐδὲ γὰρ μέχρι τούτου ἔστη τὰ δεινά, ἀλλὰ κἀκεῖ γε-
νομένῳ καὶ τὰ φρέατα ἀνορύξαι βουλομένῳ μάχε-
σθαι ἐπεχείρουν. ὤρυξε γάρ, φησι, τὰ φρέατα, C
ἅπερ ἦσαν οἱ παῖδες τοῦ πατρὸς αὐτοῦ πεποιηκότες,
καὶ ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιεὶμ, καὶ ἐπέθηκεν αὐ-
τοῖς τὰ ὀνόματα, ἅπερ ἦν ὁ πατὴρ ἐπιθείς. καὶ ὤρυ-
ξαν, φησιν, οἱ παῖδες Ἰσαὰκ, καὶ εὗρον φρέαρ ὕδα-
τος ζῶντος, ἀντὶ τοῦ, κάτωθεν ἀναβλύζοντος. καὶ ἐμα-
χέσαντο οἱ ποιμένες Γεράρων, φάσκοντες αὐτῶν
εἶναι τὸ ὕδωρ. καὶ οὐδὲ ἐνταῦθα φιλονεικεῖ ὁ δίκαιος, οὐ-
δὲ ἀντιτείνει, ἀλλὰ καὶ τοῖς ποιμέσι παραχωρεῖ. τοῦ-
το γὰρ ἀληθῶς ἐπιείκεια, οὐχ ὅταν τις παρὰ τῶν ἐν
δυναστείᾳ ἀδικούμενος φέρῃ πράως, ἀλλ' ὅταν καὶ
ὑπὸ τῶν νομιζομένων ὑποδεεστέρων εἶναι ἐπηρεα- D
ζόμενος παραχωρῇ. ἐνταῦθα μὲν γὰρ τῇ ἐπιεικείᾳ ἄν
τις τὸ πᾶν λογίσαιτο τοῦ ἐπηρεαζομένου, ἐκεῖ δ' ἴσως
τις εἴποι, διὰ τὸ μὴ δύνασθαι ἀντιτείνειν τῇ δυνα-
στείᾳ τοῦ ἠδικηκότος, τὴν ἐπιείκειαν ἐπιδείκνυσθαι.
ἀλλ' ἵνα μάθῃς ὅτι καὶ ἐπὶ τοῦ βασιλέως οὐ διὰ τὴν
ἐκείνου δυναστείαν ἐπεδείξατο τὴν ἐπιείκειαν, ἀλλὰ
διὰ τὸν οἰκεῖον τρόπον, ὅρα αὐτὸν καὶ ἐπὶ τῶν ποιμέ-
νων τὸ αὐτὸ ποιοῦντα. καὶ καθάπερ ἐκεῖνος ἔλεγεν,
ἄπελθε ἀφ' ἡμῶν, καὶ εὐθέως καθάπερ ἐπίταγμα
δεχόμενος ὑπανεχώρει· οὕτω καὶ νῦν τῶν ποιμένων ἐπη-
ρεάζειν ἐπιχειρούντων, καὶ τὸ φρέαρ οἰκειουμένων πα-

contra regem, fretus commilitantis virtute, inſurrexit: ſed quaſi vir omni patrocinio carens, & nullum auxilium alicunde expectans, multa cum manſuetudine, ne verbis quidem reſiſtens, faciebat quod ſibi à rege præcipiebatur, & ſtatim illinc diſceſſit: & vlterius progreſſus, repreſſit affectionum flammam, ſimul & eximiam ſuam manſuetudinem declarans, & illius perturbatum animum mitigans. [17] *Et abiit inde, & habitauit in valle Gerarorum.* Et id quod diſcipulis ſuis omnibus Christus aduentens præcepit, dicens: Quando perſequentur vos, fugite in alium locum: hoc ille iam operibus declarabat. Et ſicut Dauid Saulis magnam inuidiam reprimebat, ſecedens & ſubducens ſe, & illius refrigerabat calorem: eodem ſanè modo & iuſtus ille apoſtolicum illud implebat: Date locum iræ. Et relicta ciuitate, exiit in vallem. Cæterùm vide, quantam iterum manſuetudinem præ ſe tulit. Neque enim hîc finis eſt moleſtiarum: nam cùm etiam illic eſſet, & fontes effodere vellet, rixari tentauerunt. [18] *Fodit enim*, inquit, *puteos, quos ante pueri patris eius fecerant, & obturauerunt eos Phyliſtiim, & impoſuit eis nomina, quæ pater ſuus impoſuerat.* [19] *Et foderunt*, inquit, *pueri Iſaac, & inuenerunt puteum aquæ viuentis:* Hoc eſt, deſubtus ſcaturientis. [20] *Et litigauerunt paſtores Gerarorum, dicentes ſuas eſſe aquas.* Et nihil hîc contendit iuſtus, neque obluctatur, ſed etiam paſtoribus cedit. Hæc enim verè manſuetudo eſt, non quando quis offenſus à potentioribus manſuetè fert: ſed quando quis ab his etiam qui inferiores putantur offenſus cedit. Sic rectè cognoſcitur manſuetudo eius qui inuaditur. Nam aliâs diceret quis, quòd manſuetudinem ſimulaſſet: quia non poſſet potentiæ offendentis reſiſtere. Et vt diſcas, quòd regi ceſſerit, non propter potentiam eius, ſed ſuo more: vide quomodo idem apud paſtores facit. Et ſicut ille dicebat, Recede à nobis: & ſtatim accepto mandato, abſceſſit: ita & nunc, paſtoribus lædere cupientibus, & puteum ſibi vindicantibus, recedit.

Matth. 10.23.

1. Reg. 19 & ſeq.

Rom. 12 9.

Quæ vera ſit mãſuetudo.

Et vt perpetuò poſteri ſcirent hanc iniuſtitiam, nomen imponit puteo ex eo quod acciderat. Enimuerò quia manifeſtam admiſerant iniuſtitiam, vocauit nomen putei, loci iniuſtitia. Et erat poſtea, quaſi in columna ærea, poſteris nomen loci doctrina & manſuetudinis iuſti, & maleuolentiæ illorum. Nomen enim loci faciebat, vt quiſquis rogaret quarénam ſic diceretur, addiſceret & huius virtutem, & multam illorum malitiam. Et animaduerte quomodo etiam hîc ſuam auget virtutem, per omnia declarans ſuam manſuetudinem: & illi excellentia malitiæ, etiam inuiti iuſtum illuſtriorem reddere attentant. Neque enim contenti ſunt his quæ fecerant, ſed iterum inſidiantur, cum alium fodiſſet fontem. [21] *Profectus enim, inquit, illinc fodit puteum alium: litigabant autem etiam de illo, & nominauit eum inimicitias.* Hîc iterum animaduerte iuſti prudentiam. Non omnino puteum (vt videtur) abſtulerunt ſed contendebant: & viſa manifeſta iniuſtitia, diſceſſerunt. Propterea inimicitias eum appellauit, quòd inimicitiarum fuiſſet occaſio. Cæterùm quotidie (propemodum) talia ferens ab his qui regionem incolebant, non grauatim tulit, non abiecto fuit animo, non cogitauit ſecum, neque dixit: Ecce ne puteorum quidem vt ſim dominus, mihi datur, an non ſuperno auxilio deſtitutus ſum? an non Dominus abiecta cura mei oblitus eſt? Nihil talium vel dixit, vel cogitauit: ſed omnia magna cum manſuetudine tolerauit, & idcirco dignus fuit habitus, qui ampliori diuino auxilio adiuuaretur. Nam ea quæ euenerunt (vt ita dicam) exercitatio quædam fuere virtutis iuſti. Dicit enim. [22] *Profectus enim illinc fodit puteum alium, & non contenderunt ſuper illo: & agnominauit nomen eius latitudinem, dicens: Quia nunc dilatauit nos Dominus, & creſcere nos fecit ſuper terram.* Vide gratitudinem iuſti. Nam cùm priores fontes diripere tentarent, non ægrè tulit, non obluctatus eſt: ſed in ſola puteorum appellatione malitię illorum indelebilem reliquit memoriam. Hîc verò quia nulla fuerunt obſtacula,

Puteum cur appellarit inimicitias.

A ἐπεχώρησε. καὶ ἵνα διηνεκὴς ᾖ τοῖς μετὰ ταῦτα ἡ γνῶσις τῆς ἀδικίας, ὄνομα ἐπιτίθησι τῷ φρέατι ἐκ τοῦ συμβεβηκότος. ἐπειδὴ γὰρ φανερὰν ἐπεδείξαντο τὴν ἀδικίαν, ἐκάλεσε, φησι, τὸ ὄνομα τοῦ φρέατος, τόπου ἀδικία. καὶ ἦν λοιπὸν καθάπερ ἐν στήλῃ χαλκῇ τὸ ὄνομα τοῦ τόπου διδασκαλία τοῖς ἑξῆς καὶ τῆς τοῦ δικαίου ἐπιεικείας, καὶ τῆς ἐκείνων ἀγνωμοσύνης. τὸ γὰρ ὄνομα τοῦ τόπου ἕκαστον προεσκεύαζε τὴν αἰτίαν τῆς προσηγορίας μανθάνοντα γινώσκειν τοῦ μὲν τὴν ἀρετήν, τοῦ δὲ τῆς κακίας τὴν ὑπερβολήν. καὶ σκόπει πῶς καὶ ἐνταῦθα ἐπιτείνει τὴν οἰκείαν ἀρετήν, διὰ πάντων B ἐπιδεικνὺς ἑαυτοῦ τὴν ἐπιείκειαν, κἀκεῖνοι τῇ ὑπερβολῇ τῆς κακίας λαμπρότερον καὶ ἄκοντες πειρῶνται τὸν δίκαιον ἀποφαίνειν. οὐδὲ γὰρ ἀρκεσθέντες, πάλιν ἕτερον ὀρύξαντι φρέαρ ἐπιτίθενται. ἀπάρας γάρ, φησιν, ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον. ἐκρίνοντο δὲ καὶ περὶ ἐκείνου. καὶ ἐπωνόμασεν αὐτὸ, ἔχθρα. σκόπει πάλιν τοῦ δικαίου τὴν σύνεσιν. ἐνταῦθα οὐ πάντη ὡς ἔοικε τὸ φρέαρ ἀφείλοντο, ἀλλὰ διαμαχεσάμενοι, καὶ πρὸς τὸ προφανὲς τῆς ἀδικίας ὁρῶντες ἀπέστησαν. διὰ τοῦτο ἔχθραν αὐτὸ προσηγόρευσεν, ἐπειδὴ ἔχθρας C ὑπόθεσις κατέστη. καὶ καθ' ἑκάστην, ὡς εἰπεῖν, ὑπὸ τῶν ἐγχωρίων τοιαῦτα ὑπομένων οὐκ ἐδυσχέρανεν, οὐδὲ μικροψυχίαν τι ἐπεδείξατο, οὐδὲ ἐνενόησε πρὸς ἑαυτόν, οὐδὲ εἶπεν, ὅτι οὐδὲ μέχρι φρεάτων ἀπολαύειν εἰμὶ κύριος. ἆρα μὴ ἔρημος γέγονα τῆς ἄνωθεν ῥοπῆς; ἆρα μὴ τῆς προνοίας ἐστέρημαι τῆς παρὰ τοῦ δεσπότου; οὐδὲν τούτων οὐκ ἐνενόησεν, οὐκ ἐλογίσατο, ἀλλὰ μετ' ἐπιεικείας ἁπάσης ἅπαντα ἔφερε. διὰ τοῦτο καὶ πλείονος ἀπήλαυε τῆς ἄνωθεν συμμαχίας. ταῦτα γάρ, ὡς εἰπεῖν, τὰ συμβαί- D νοντα γυμνάσιά τις ἦν τῆς τοῦ δικαίου ἀρετῆς. ἀπάρας γάρ, φησιν, ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον, καὶ οὐκ ἐμαχέσαντο περὶ αὐτοῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ εὐρυχωρία, λέγων, διότι νῦν ἐπλάτυνε κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς. ὅρα εὐγνωμοσύνην τοῦ δικαίου. ἡνίκα μὲν τὰ πρότερα φρέατα ἐκεῖνοι παρασπᾶσθαι ἐπεχείρησαν, οὐκ ἐδυσχέρανεν, οὐκ ἀντέτεινεν, ἀλλὰ μόνον τῇ προσηγορίᾳ τῶν φρεάτων ἀνεξάλειπτον τὴν μνήμην τῆς ἐκείνων κακίας ἐναπέθετο. ἐνταῦθα δὲ πάλιν, ἐπειδὴ οὐδεὶς ἐμποδὼν γέγονεν,

A ἀλλὰ μετ᾽ ἀδείας πάσης τῶν οἰκείων πόνων ἀπήλαυε, τὸ πᾶν ἀνατίθησι τῷ θεῷ. ἐκάλεσε γὰρ αὐτὸ, εὐρυχωρίαν. εἶτα ἑρμηνεύει αὐτὴν τὴν προσηγορίαν· διὰ τοῦτο, φησὶν, εὐρυχωρίαν τοῦτο καλῶ, ὅτι ἐπλάτυνε κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς. εἶδες γνώμην φιλόθεον, πῶς τῶν ἐν μέσῳ δυσχερῶν οὐδεμίαν μνήμην ποιησάμενος, τῶν χρηστῶν μόνον μεμνημένος, ὑπὲρ ἐκείνων τὴν εὐχαριστίαν ἀναφέρει, καὶ φησιν, ὅτι ἐπλάτυνε κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς; οὐδὲν γὰρ οὕτως ὁ θεὸς ἀποδέχεται, ὡς ψυχὴν εὐγνώμονα καὶ εὐχάριστον, καὶ μυρία καθ᾽ ἑκάστην ἡμέραν ἀπολαύοντας ἡμᾶς εὐεργετῶν καὶ ἑκόν- B τας καὶ ἄκοντας καὶ εἰδότας καὶ ἀγνοοῦντας, οὐδὲν ἕτερον παρ᾽ ἡμῶν ἐπιζητεῖ, ἢ τὸ χάριτας εἰδέναι αὐτῷ ὑπὲρ τῶν εἰς ἡμᾶς γεγενημένων, ἵνα καὶ ὑπὲρ τούτου αὐτοῦ πάλιν πλείονα τὴν ἀμοιβὴν ἡμῖν παράσχῃ. καὶ ἵνα μάθῃς, ὅρα τὸν δίκαιον τοῦτον διὰ τὴν πολλὴν αὐτοῦ εὐγνωμοσύνην πάλιν τῆς ἄνωθεν ἐπιφανείας ἀξιούμενον. ἐπειδὴ γὰρ ἀρκοῦσαν βάσανον τῆς οἰκείας ἀρετῆς ἐπεδείξατο ἐπί τε τῶν ἐν Γεράροις, ἐπί τε τοῦ βασιλέως ἀπωθουμένου αὐτὸν, ἐπί τε τῶν ποιμένων παρασπώντων τὰ φρέατα, ὥσπερ νευρῶσαι βουλόμενος C αὐτοῦ τὴν προθυμίαν ὁ φιλάνθρωπος δεσπότης, καὶ τῆς ἐπιεικείας αὐτὸν ἀποδεχόμενος τῆς πολλῆς, ἐπειδὴ ἀνέβη ἐκεῖθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, ὤφθη αὐτῷ κύριος ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἶπε· ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου· μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι, καὶ εὐλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου. ὤφθη αὐτῷ, φησιν, ἐν τῇ νυκτὶ ἐκείνῃ. σκόπει θεοῦ κηδεμονίαν. ἵνα γὰρ αὐτὸν ἀνακτήσηται, καὶ θαῤῥεῖν παρασκευάσῃ, ἐπιφαίνεται αὐτῷ, καί φησιν, ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου, ὁ τὸν πατέρα τὸν σὸν ἐπίδοξον πεποιηκὼς, καὶ ἐν τοσαύ- D τῃ περιφανείᾳ καταστήσας, καὶ ξένον ὄντα περιφανέστερον τῶν ἐγχωρίων ἀπεργασάμενος. ἐγώ εἰμι ἐκεῖνος ὁ ἐκεῖνον οὕτως αὐξηθῆναι παρασκευάσας, καὶ μεγάλην διὰ πάντων τὴν περὶ αὐτὸν πρόνοιαν ἐπιδειξάμενος ἐγώ εἰμι. μὴ τοίνυν φοβοῦ. τί ἐστι, μὴ φοβοῦ; μή σε ταῦτα ξενιζέτω, τὸ παρὰ τοῦ Ἀβιμέλεχ ἐλαθῆναι, τὸ παρὰ τῶν ποιμένων ἀδικηθῆναι. πολλὰ τοιαῦτα καὶ ὁ πατήρ ὁ σὸς πέπονθε, καὶ διὰ τούτων λαμπρότερος ἀνεδείχθη. μὴ τοίνυν ταῦτά σε φοβείτω. μετὰ σοῦ γάρ εἰμι.

ſed abſque omni pauore laboribus ſuis frui licuit, totum tribuit Deo. Vocauit enim, inquit, puteum illum latitudinem: & deinde interpretatus vocabulum, dicit:. Propter hoc latitudinem voco, quia dilatauit Dominus & auxit nos ſuper terram. Vidiſti piam mentem, quomodo non facta mentione tam atrocium difficultatum quæ obſtiterant, bonorum tantum meminit, & pro illis gratias Deo offert, & dicit: Quia dilatauit Dominus nos, & auxit nos ſuper terram? Nihil enim tam gratum Deo, vt anima grata & gratias agens. Nam cùm innumeris beneficiis quotidie omnes nos proſequatur, ſiue velimus, ſiue nolimus: ſiue ea ſciamus, ſiue ignoremus, nihil tamen aliud à nobis exigit, quàm habere gratiam pro his quæ nobis facta ſunt, vt pro illa ipſa gratiarum actione ad ampliora danda prouocetur. Et vt ſcias, vide quomodo iuſtus ille ob magnam ſuam gratitudinem iterum ſupernè meruerit illuſtrari. Nam quoniam condignum ſuæ virtutis ſpecimen exhibuerat, & apud Gerarenos, & cùm rex eum expelleret, & cùm paſtores puteos auferrent: benignus Dominus, veluti confirmaturus eius alacritatem, iam ob inſignem illam manſuetudinem eum charum habens: poſtquam aſcendit illinc ad puteum iuramenti, viſus eſt ei Dominus in nocte illa, & dixit: 24 *Ego ſum Deus Abraham patris tui, ne timeas: tecum enim ſum, & benedixi te, & multiplicabo ſemen tuum propter Abraham patrem tuum.* Viſus eſt ei, inquit, in nocte illa. Conſidera Dei ſollicitudinem: vt illum refocillet ac fidentiorem faciat, apparet ei, & dicit: Ego ſum Deus Abraham patris tui, qui patrem tuum glorificaui: & peregrinum ac aduenam, illuſtriorem omnibus incolis feci. Ego ſum ille, qui hunc ita creſcere feci, & in omnibus curam eius geſſi. Ego ſum, ne igitur timeas, ne te iſtud perturbet, & mirum videatur quòd ab Abimelech ſis expulſus, quòd à paſtoribus ſis iniuria affectus. Multa talia & pater tuus pertulit, & inde glorioſior effectus eſt. Ne igitur hoc te terreat: ego enim tecum ſum.

Deus exigit vt gratias agamus.

Idcirco fieri hæc permitto, ſimul volens & declarare tuam virtutem, & manifeſtari mentis illorum prauitatem, vt & propter hæc te coronem. Tecum enim ſum, ideo & inuictus eris, & infeſtantibus potentior, & inuadentibus fortior. Et tantam tui curam habebo, vt inuidioſus illis ſis futurus: Ego enim tecum ſum, & benedicam te, & multiplicabo ſemen tuum, propter Abraham patrem tuum. Conſidera benignitatem Dei. Nam cùm dixiſſet, Ego ſum Deus Abrahæ patris tui: oſtendit quomodo ſibi vindicauerit, & proprium fecerit patriarcham, ita vt dignatus ſit ſe vocare Deum Abrahæ. Et Dominus orbis ac conditor, vnius hominis Deum ſe dicens, non concludit & abbreuiat cum patriarchæ appellatione ſuum dominium, ſed magnam in illum ſuam beneuolentiam monſtrat. Ita, inquit, eum mihi feci proprium, vt apud me reputetur tanti, quanti alij omnes. Ideo & multiplicabo ſemen tuum propter Abraham patrem tuum. Multas, inquit, illi debeo retributiones ob ſuam in me obedientiam: igitur propter illum multiplicabo ſemen tuum. Interim & iuſtum ad æmulationem patris ſui prouocauit, vt monſtraret ſimilem illi virtutem. poſtquam autem tanta ei bona promiſit, 25 *AEdificauit*, inquit, *ibi altare, & inuocauit nomen Domini, & fixit illic tabernaculum ſuum.* Quid eſt, ædificauit illic altare? Gratiarũ actiones, inquit, illic Domino obtulit, ꝙ tantam pro ſe geſſerat ſollicitudinem. *Et foderunt illic pueri Iſaac puteum.* Et fit ſecurus iuſtus: nam qui dixerat, Ego tecum ſum, & benedicam te, & multiplicabo ſemen tuum: ipſe ſimul eum & illuſtrauit, & omnibus fecit ſpectabilem. Itaque vide Abimelech illum, qui abigere eum conatus eſt, & dixit, Abi à nobis: nunc ad eum venientem: dicit enim, 26 *Iuit enim*, inquit, *Abimelech, & præfectus gynæcei, & dux exercitus,* 27 *& dixit eis Iſaac: Quare veniſtis ad me, vos autẽ odio me habuiſtis, & expuliſtis à vobis?* Vide obſecro quanta manſuetudo iuſti. Videns eos à quibus fugatus erat, & qui tanto eum odio fuerãt proſecuti, nunc veluti ſupplices ad ſe venire,

Cur ſe dicat Deum Abrahã.

A Διὰ τοῦτο ταῦτα γίνεσθαι συγχωρῶ, ὁμοῦ καὶ σὲ βουλόμενος διὰ τῆς ἐπηρείας ἐνδείξασθαι τὴν οἰκείαν ἀρετὴν, κἀκείνων τῆς γνώμης τὴν μοχθηρίαν κατάδηλον ἅπασι γενέσθαι, ἵνα σε καὶ ὑπὲρ τούτων στεφανώσω. μετὰ σοῦ γάρ εἰμι. διὸ καὶ ἀχείρωτος ἔσῃ, καὶ τῶν πολεμούντων δυνατώτερος, καὶ τῶν ἐπηρεαζόντων ἰσχυρότερος. καὶ ἡ μὲν παρ' ἐμοῦ πρόνοια καὶ ἐπίφθονόν σε ἐργάσεται. μετὰ σοῦ γάρ εἰμι, καὶ εὐλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου. σκόπει θεοῦ φιλανθρωπίαν. εἰπὼν, ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ δείξας ὅπως ᾠκειώσατο τὸν πατριάρ- B χην, ὡς καταξιῶσαι θεὸν ἑαυτὸν καλεῖν Ἀβραὰμ, καὶ ὁ τῆς οἰκουμένης δεσπότης καὶ δημιουργὸς ἑνὸς ἀνθρώπου φάσκειν εἶναι θεὸς, οὐ συγκλείων μέχρι τοῦ πατριάρχου τὴν οἰκείαν δεσποτείαν, ἀλλὰ τὴν πολλὴν περὶ αὐτὸν εὔνοιαν δεικνὺς, οὕτω, φησὶν, αὐτὸν ᾠκειωσάμην, ὡς πάντων τῶν ἄλλων ἀντάξιον ἐκεῖνον ἐμοὶ νομισθῆναι. διὸ καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου. πολλὰς ὀφείλω τὰς ἀμοιβὰς ἐκείνῳ τῆς εἰς ἐμὲ ὑπακοῆς· δι' ἐκεῖνον οὖν πληθυνῶ τὸ σπέρμα σου. ὁμοῦ καὶ παρεθάῤῥυνε τὸν δίκαιον, καὶ διὰ τῆς C μνήμης τοῦ πατρὸς εἰς ζῆλον αὐτὸν διήγειρε τοῦ τὴν ὁμοίαν ἐκείνῳ ἀρετὴν ἐπιδείξασθαι. εἶτα ἐπὶ τοσαῦτα αὐτῷ ἀγαθὰ ὑπέσχετο, ᾠκοδόμησεν ἐκεῖ, φησὶ, θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸ ὄνομα κυρίου, καὶ ἔπηξεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ. τί ἐστιν ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον; τὰς εὐχαριστίας, φησὶν, ἐκεῖ ἀνήνεγκε τῷ δεσπότῃ, ὑπὲρ ὧν τοσαύτην περὶ αὐτὸν κηδεμονίαν ἐπεδείξατο. καὶ ὤρυξαν ἐκεῖ οἱ παῖδες Ἰσαὰκ φρέαρ. ἐν ἀδείᾳ λοιπὸν ὁ δίκαιος γίνεται. ὁ γὰρ εἰπὼν, μετὰ σοῦ εἰμι, καὶ πληθυνῶ τὸ σπέρμα σου, οὗτος ἀθρόον D αὐτῷ καὶ τὴν περιφάνειαν ἐχαρίσατο, καὶ πᾶσιν αὐτὸν περίβλεπτον γίνεσθαι πεποίηκεν. ὅρα γοῦν τὸν Ἀβιμέλεχ ἐκεῖνον τὸν ἐλάσαι ἐπιχειρήσαντα καὶ εἰπόντα, ἄπελθε ἀφ' ἡμῶν, νῦν πρὸς αὐτὸν ἐρχόμενον. ἐπορεύθη γὰρ, φησιν, Ἀβιμέλεχ, καὶ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ ὁ ἀρχιστράτηγος· καὶ εἶπεν αὐτοῖς Ἰσαὰκ, ἵνα τί ἤλθετε πρός με; ὑμεῖς δὲ ἐμισήσατέ με, καὶ ἀπεστείλατε ἀφ' ὑμῶν. θέα μοι πόση τοῦ δικαίου ἡ πρᾳότης. ὁρῶν τοὺς ἀπελάσαντας καὶ τοσοῦτον περὶ αὐτὸν τὸ μῖσος ἐπιδειξαμένους, νῦν ἐν τάξει ἱκετῶν πρὸς αὐτὸν παραγινομένους,

οὐκ ἐφρόνησε μέγα κατ' αὐτῶν, οὐδὲ ἐπήρθη τὴν διάνοιαν, ἔναυλον ἔχων τὴν μνήμην τῶν παρὰ τοῦ θεοῦ πρὸς αὐτὸν ῥηθέντων, οὐδὲ τῇ δυνάμει τοῦ δεσπότου πεποιθὼς κατεξανίσταται τοῦ βασιλέως, ἀλλὰ πάλιν τὴν συνήθη ἐπιείκειαν ἐπιδεικνύμενος μετὰ πολλῆς πραότητός φησι πρὸς αὐτούς· ἵνα τί ἤλθετε πρὸς μέ; ὑμεῖς δὲ ἐμισήσατέ με, καὶ ἀπεστείλατε ἀφ' ὑμῶν. τίνος ἕνεκεν, φησι, παραγίνεσθε πρὸς μὲ κατεδέξασθε, τὸν ἐλαθέντα, τὸν μισηθέντα; καὶ εἶπον, ἰδόντες ἑωράκαμεν ὅτι κύριος μετὰ σοῦ, καὶ εἴπαμεν, γενέσθω ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σοῦ, καὶ διαθησόμεθα διαθήκην μετὰ σοῦ, μὴ ποιήσειν μεθ' ἡμῶν κακὸν, καθότι ἡμεῖς οὐκ ἐβδελυξάμεθά σε, καὶ ὃν τρόπον ἐχρησάμεθά σοι καλῶς, καὶ ἐξαπεστείλαμέν σε μετ' εἰρήνης, καὶ νῦν εὐλογημένος σὺ ὑπὸ κυρίου. ὅρα πόση τῆς ἐπιεικείας ἡ ἰσχὺς, καὶ ὅση τῆς ἀρετῆς ἡ δύναμις. οἱ γὰρ πρώην ἐλάσαντες, νῦν παραγενόμενοι πρὸς τὸν ξένον, πρὸς τὸν ἄπολιδα, πρὸς τὸν ἀλήτην; οὐ μόνον ἀπολογοῦνται ὑπὲρ τῶν ἤδη γεγενημένων, καὶ συγγνώμην αἰτοῦσιν ὑπὲρ τῶν ἡμαρτημένων, ἀλλὰ καὶ ἀνακηρύττουσι τὸν δίκαιον, καὶ δεικνύουσι τὸν ἐπιτεθέντα αὐτοῖς φόβον, καὶ ὁμολογοῦσι καὶ τὴν οἰκείαν ἀσθένειαν, καὶ τοῦ δικαίου μεγάλην μαρτυροῦσι τὴν δύναμιν. τί γὰρ ἂν εἴη τούτου ἰσχυρότερον τοῦ μεθ' ἑαυτοῦ τὸν θεὸν ἔχοντος; ἰδόντες, φησὶν, ὅτι κύριος μετὰ σοῦ. πόθεν ὑμῖν ἡ τοιαύτη γνῶσις; ναὶ, φησιν, αὐτὰ ἡμῖν τὰ πράγματα ἀντὶ διδασκαλίας γέγονεν. εἴδομεν γὰρ ὅτι ἐλαυνόμενος τῶν ἐλαυνόντων ἰσχυρότερος γέγονας, καὶ ἐπηρεαζόμενος τῶν ἐπηρεαζόντων περιγέγονας, καὶ ἐκ τῆς τῶν πραγμάτων ἀκολουθίας συνείδομεν, ὅτι πολλῆς ἀπολαύεις τῆς ἄνωθεν ῥοπῆς. τοῦτο δὲ καὶ τῆς τοῦ θεοῦ οἰκονομίας ἔργον, τὸ τὴν διάνοιαν αὐτῶν ποιῆσαι καταπλαγῆναι τὸν δίκαιον, καὶ γνῶσιν αὐτοῖς ἐνθεῖναι τοιαύτην. ἐπεὶ οὖν, φησιν, ἔγνωμεν ὅτι κύριος μετὰ σοῦ, γενέσθω ἀρὰ ἀνὰ μέσον ἡμῶν. ὅρα πῶς ὑπὸ τοῦ συνειδότος ὠθούμενοι, καὶ οὐδενὸς ἑτέρου καταναγκάζοντος, οὐδὲ τὰ γεγενημένα ἐξαγγέλλοντος, αὐτοὶ ἑαυτοὺς ἐλέγχειν ἐπείγονται. εἰ γὰρ μὴ ἠδικήσατε, φησι, τίνος ἕνεκεν καὶ συνθήκας ἀπαιτεῖτε παρὰ τοῦ δικαίου; ἀλλὰ τοιοῦτόν ἐστιν ἡ ἀδικία. καθ' ἑκάστην ἡμέραν καταξαίνει τὸ συνειδὸς, καὶ σιγῶντος τοῦ ἠδικημένου οἱ τὴν ἀδικίαν ἐργασάμενοι τὴν δίκην ἐφεστάναι νομίζοντες, ἐφ' ἑκάστης ἡμέρας ἐναγώνιοι γίνονται, καὶ μονονουχὶ ὑπογράφουσιν ἑαυτοῖς τὴν ἐκδίκησιν τῶν ἡμαρτημένων. ὃ δὴ καὶ οὗτοι παθόντες,

A non ſuperbiuit contra eos, non elato fuit animo, memor eorum quæ ſibi à Domino fuerunt dicta, neque virtute Domini fretus inſurrexit contra regem: ſed iterum conſuetam manſuetudinem præ ſe ferens, cum magna lenitate verborum dixit eis: Quare veniſtis ad me, vos autem odio me habuiſtis, & à vobis expuliſtis? Quare, inquit, cenſuiſtis, vt vobis veniendum ſit ad me abactum, & odio habitum?[28] *Et dixerunt: Videntes vidimus quia Dominus tecum, & diximus: Fiat execratio inter nos & inter te, & diſponemus foedus tecum,*[29] *vt ne feceris*
B *nobiſcum malum, ſicut nos non abominati ſumus te, & quomodo te bene ſumus vſi, & dimiſimus te cum pace, & nunc benedictus tu à Domino.* Vide quantum manſuetudinis robur, & quanta virtutis potentia. Nam qui pridem abegerant, nunc veniunt ad peregrinum, ad virum ciuitate carentem, ad erronem: & non ſolum ſatisfaciunt, & excuſant ſe de his quæ commiſerant, & peccatorum veniam petunt, ſed & prædicant iuſtum, & indicant vnde ſuus metus, & confitentur
C ſuam infirmitatem, & iuſti magnam teſtantur virtutẽ. Quid enim robuſtius eo qui ſecum habet Deum? Videntes, inquit, vidimus quòd Dominus tecum eſt. Vnde vobis illa ſcientia? Profectò, dicunt, res ipſæ nos docuerunt. Vidimus quòd abactus abigentibus fortior factus es, & vexatus eos, à quibus vexabare, ſuperaſti, & ex rerum ſerie contemplati ſumus quòd ſuperno auxilio niteris. Hoc autem diuinæ diſpenſationis opus eſt, quòd mens eorum obſtupuerit iuſtum, & quòd hoc cognouerint.
D Quoniam igitur, inquit, Dominus tecum, fiat execratio inter nos. Vide quomodo impellente conſcientia ſemetipſos reprehendere feſtinant, cùm nullus alius cogat, vel facta obiiciat. Nam niſi iniuriam feciſſetis, quare à iuſto petitis vt componatur fœdus vobiſcum? Sed ita ſe habet iniuſtitia, quotidie conſcientia mordet, & ſilente eo qui offenſus eſt, pœnam & rationem exigi putant qui iniuſtitiam ſunt operati: & quotidie anguntur, & quaſi ſibimetipſis præſcribunt peccatorum ſuorum vltionem: id quod & illis euenit.

Iniuſtitia vexatur à cõſcientia.

A Sit, inquit, execratio inter nos & inter te. Deinde dicunt & qualem execrationem fieri volunt. Et inibimus fœdus tecum, vt ne feceris nobis malum, ſicut nos non ſumus te abominati. Vide quomodo pugnãtia inter ſe præ mentis angore & turbatione loquuntur: ne feceris nobis malum. Quare ſic timuiſtis iuſtum, videntes quòd tantam præ ſe ferat manſuetudinem erga eos qui laceſſebant? Sed incorruptus iudex, conſcientia, eos excitauit, & animaduerterunt quòd erga iuſtum tam ingrati fuerint: propterea præ timore & formidine non attendunt quòd diuerſa & pugnan- B tia loquantur. Ne feceris, inquit, malũ, ſicut nos te non abominati ſumus. Quare igitur abegiſtis? Verùm iuſtus non petit rationem, neque expoſtulat, neque arguit ea quę ab illis dicta. Et quomodo, inquit, bene te vſi ſumus, & dimiſimus te cum pace, & nũc tu benedictus à Domino. Vides quòd ſupernam pœnam timuerunt? Sciuerunt enim quòd licèt ipſe propter humanitatem ſuam non vlciſceretur quæ fecerant, ſed is qui tantam eius curam agebat, repetiturus eſſet C rationem eorum quę in iuſtum facta ſunt: eapropter placant iuſtũ, & componi cum eo ſtudent, ſimul & pro his quæ facta erant rationem reddẽtes, & in futurum ſecuritatem ſibi conciliantes.[30] *Et fecit eis*, inquit, *conuiuiũ, & comederunt & biberunt:*[31] *& cum ſurrexiſſent mane, iurauit vnuſquiſque proximo ſuo, & dimiſit eos Iſaac, & diſceſſerunt ab eo cũ ſalute.* Vide iuſti benignitatem, quomodo cum eis abſque vindicandi cupiditate loquitur: & non ſolum obliuiſcitur eorum quæ in ſe facta, ſed magna hoſpitalitate illos D excipit. Fecit enim eis conuiuium, & comederunt, & biberunt. Conuiuio ſatis certa dat argumenta, ſe non fore memorem eorum quæ in ſe commiſerãt. Et dimiſit eos, inquit, & abierunt cũ ſalute. Significauit per hoc diuina ſcriptura, quòd magno cum timore aduenerant periculum expectantes: & de ſalute ſua omni (vt ita dicam) anxij, vt excuſarent ſe, ad iuſtum contenderunt. Vidiſti quomodo nihil validius virtute? nihil potẽtius ſupernis auxiliis freto? Poſtea dicit:[32] *In die illo abierunt pueri Iſaac,*

Gerareni pœnã à Deo infligẽdam timent.

A γινέσθω, φησὶν, ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σοῦ. εἶτα λέγουσιν, ὁποίαν βούλονται γενέσθαι τὴν ἀράν. καὶ διαθησόμεθα διαθήκην μετὰ σοῦ, μὴ ποιήσειν μεθ' ἡμῶν κακὸν, διότι ἡμεῖς οὐκ ἐβδελυξάμεθά σε. ὅρα πῶς ἐναντία ἑαυτοῖς ὑπὸ τοῦ θορύβου καὶ τῆς ἀγωνίας φθέγγονται, μὴ ποιήσειν μεθ' ἡμῶν κακόν. τίνος ἕνεκεν οὕτω φοβεῖσθε τὸν δίκαιον, ὁρῶντες καὶ πρὸς τοὺς ἐπηρεάζοντας τοσαύτην τὴν ἐπιείκειαν ἐπιδεικνύμενον, ἀλλ' ὁ ἀδέκαστος δικαστὴς, τὸ συνειδὸς, αὐτοὺς διήγειρε, καὶ εἰς ἔννοιαν ἤρχοντο, ὅσην περὶ τὸν δίκαιον τὴν ἀγνωμοσύνην ἐπεδείξαντο, καὶ διὰ τοῦτο ὑπὸ τοῦ φόβου καὶ τῆς δειλίας οὐ B συνορῶσιν, ὅπως ἐναντία λέγουσι. μὴ ποιήσειν, φησὶ, κακὸν μεθ' ἡμῶν, καθότι ἡμεῖς σε οὐκ ἐβδελυξάμεθα. τίνος οὖν ἕνεκεν ἀπηλάσατε; ἀλλ' ὁ δίκαιος οὐκ ἀπαιτεῖ εὐθύνας, οὐδὲ ἐλέγχει τὰ παρ' αὐτῶν εἰρημένα. καὶ ὃν τρόπον, φησὶν, ἐχρησάμεθά σοι καλῶς, καὶ ἐξαπεστείλαμέν σε μετ' εἰρήνης, καὶ νῦν σὺ εὐλογημένος ὑπὸ κυρίου. ὁρᾷς ὅτι τὴν ἄνωθεν δίκην ἐδεδίεσαν. ᾔδεσαν γὰρ ὅτι, καὶ εἰ αὐτὸς δι' ἐπιείκειαν μὴ ἀμύνηται τὰ εἰς αὐτὸν γεγενημένα, ἀλλ' ὁ τοσαύτην περὶ αὐτὸν πρόνοιαν ἐπιδεικνύμενος, εὐθύνας αὐτοὺς ἀπαιτήσει τῶν εἰς C τὸν δίκαιον γεγενημένων. διὰ τοῦτο ἐξευμενίζοντες τὸν δίκαιον καὶ συνθήκας ἀπαιτεῖν ἐπείγονται, ὁμοῦ καὶ ὑπὲρ τῶν ἤδη γεγενημένων ἀπολογούμενοι, καὶ ὑπὲρ τῶν ἑξῆς τὴν ἀσφάλειαν ἑαυτοῖς περιποιούμενοι. καὶ ἐποίησεν αὐτοῖς, φησὶ, δοχὴν, καὶ ἔφαγον καὶ ἔπιον, καὶ ἀναστάντες τὸ πρωῒ ὤμοσεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ ἐξαπέστειλεν αὐτοὺς Ισαὰκ, καὶ ἀπῴχοντο ἀπ' αὐτοῦ μετὰ σωτηρίας. ὅρα τοῦ δικαίου τὴν φιλοφροσύνην, πῶς ἀμνησικάκως αὐτοῖς διελέχθη, καὶ οὐ μόνον λήθην ἐποιήσατο τῶν εἰς αὐτὸν γεγενημένων, ἀλλὰ καὶ πολ- D λὴν περὶ αὐτοὺς τὴν φιλοξενίαν ἐπιδείκνυται. ἐποίησε γάρ, φησιν, αὐτοῖς δοχὴν, καὶ ἔφαγον καὶ ἔπιον. διὰ τῆς ἑστιάσεως πληροφορῆσαι αὐτοὺς βουλόμενος, ὡς οὐδεμίαν μνήμην ποιεῖται τῶν εἰς αὐτὸν εἰργασμένων παρ' αὐτῶν. καὶ ἐξαπέστειλεν αὐτοὺς, φησι, καὶ ἀπῴχοντο μετὰ σωτηρίας. ᾐνίξατο διὰ τούτου ἡ θεία γραφὴ, ὅτι μετὰ πολλοῦ τοῦ φόβου τὸν κίνδυνον προσδοκῶντες παρεγένοντο. καὶ περὶ τοῦ παντὸς, ὡς εἰπεῖν, ἀγωνιῶντες τοῦ πρὸς τὸν δίκαιον ἀπολογίαν ἔσπευσαν ποιήσασθαι. εἶδες πῶς οὐδὲν ἰσχυρότερον ἀρετῆς, οὐδὲ δυνατώτερον; πῶς οὐδὲν ἀσφαλέστερον τοῦ τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντος; εἶτα ἐν

ἐκείνη

A καὶ εἶπον, οὐχ εὕρομεν ὕδωρ. καὶ ἐκάλεσεν αὐτὸ, ὅρκον. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῇ πόλει, Φρέαρ ὅρκου, ἕως τῆς σήμερον ἡμέρας. ὅρα καὶ ἐνταῦθα ἐκ τῶν γεγενημένων τὴν προσηγορίαν αὐτὸν ἐπιτιθέντα τῷ τόπῳ. ἐπειδὴ γὰρ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τὸ φρέαρ ὀρύξαντες οὐδὲν εὗρον, ἐν ᾗ τοὺς ὅρκους ἐποιήσαντο πρὸς ἀλλήλους, Φρέαρ ὅρκου ἐπέθηκεν ὄνομα τῷ τόπῳ, ἵνα ὑπόμνησις ᾖ τῶν γεγενημένων. εἶδες πῶς οὔτε τὴν ἀπὸ τοῦ νόμου διδασκαλίαν ἔχων ὁ δίκαιος οὗτος, οὔτε πρὸς ἕτερόν τινα ἰδεῖν ἔχων, ἀλλὰ τῷ πατρὶ κατακολουθήσας, καὶ ἀπὸ τοῦ τῇ φύσει τῇ ἀνθρωπίνῃ ἐγκειμένου τῷ συνειδότι διδασκάλου ὁδηγούμενος, τοσαύτην φιλο-

B σοφίαν ἐπεδείκνυτο. τὰ γὰρ γεγενημένα οὐ μόνον τὴν ἐπιείκειαν ἐδείκνυ τοῦ δικαίου τούτου, ἀλλὰ καὶ τὰ τοῦ Χριστοῦ παραγγέλματα διὰ αὐτῶν τῶν ἔργων αὐτὸν πληροῦντα ἀπέφαινε. καὶ ὅπερ ὁ Χριστὸς ἔλεγε διαταττόμενος τοῖς μαθηταῖς, καὶ παραινῶν οὐ μόνον τοὺς ἀγαπῶντας ἀγαπᾷν, ἀλλὰ καὶ πρὸς τοὺς ἐχθροὺς τὴν ἀγάπην ἐπιδείκνυσθαι, τοῦτο οὗτος ἄνωθεν ἐπλήρου, καὶ πρὸς τοὺς τοσοῦτον μῖσος περὶ αὐτὸν ἐσχηκότας τοσαύτην ἐπεδείκνυτο τὴν φιλοξενίαν, καὶ τὸ τῆς μνησικακίας πάθος ἐξώριζε τῆς ἑαυτοῦ

C ψυχῆς. τίνος οὖν ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, ἡμεῖς οἱ μετὰ τὴν χάριν, καὶ τὴν τοσαύτην διδασκαλίαν, καὶ τὰ τοῦ σωτῆρος παραγγέλματα, οὐδὲ τὸ αὐτὸ μέτρον τῷ δικαίῳ τούτῳ φθάσαι δυνάμενοι; καὶ τί λέγω τὸ αὐτὸ μέτρον; ἀλλὰ μηδὲ ἐγγὺς εἶναι ἰσχύοντες; τοσαύτη γὰρ νῦν ἐπεπόλασε τῆς κακίας ἡ ὑπερβολὴ, ὡς σπάνιον εἶναι καὶ τοὺς ἀγαπῶντας ἀγαπᾷν. πόθεν οὖν ἡμῖν ἔσται σωτηρίας ἐλπὶς, εἰ μέλλοιμεν καὶ τῶν τελωνῶν χείρους γίνεσθαι, καθώς φησιν ὁ Χριστὸς λέγων, ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι; καὶ ὁ μὲν

D Χριστὸς βουλόμενος ἡμᾶς εἰς τὴν ἄκραν κορυφὴν τῆς ἀρετῆς ἀνελθεῖν, ἐκείνων ἀνωτέρους εἶναι βούλεται· ἡμεῖς δὲ κἀκείνων ἐλάττους εἶναι σπεύδομεν. καὶ τί λέγω τελωνῶν; χείρους καὶ τῶν λῃστῶν καὶ τῶν τυμβωρύχων καὶ τῶν ἀνδροφόνων. καὶ γὰρ τούτων ἕκαστος τὸν πρὸς αὐτὸν ἀγαπητικῶς διακείμενον ἀγαπᾷ, καὶ πολλάκις καὶ κινδυνεύειν ὑπὲρ τοῦ ἀγαπητοῦ καταδέχεται. τί οὖν ἂν εἴη ἡμῶν ἐλεεινότερον, ὅταν οἱ τοσαύτης ἀξιωθέντες παρὰ τοῦ θεοῦ φιλανθρωπίας, τῶν μυρία ἐργασαμένων κακὰ εὑρισκώμεθα χείρους;

& foderunt puteum, & dixerunt: Non inuenimus aquam. Et vocauit eum iuramentum. Et idcirco vocauit nomen ciuitati puteus iuramenti, vſque in hodiernum diem. Vide & hîc, ex his quæ facta ſunt, loco nomen impoſitum. Nam quia effoſſo puteo nihil inuenerunt in die illo, quo iuramenta inter ſe fecerunt, Puteum iuramenti vocauit nomen loci, vt factorum duraret memoria. Vidiſti quomodo iuſtus ille, qui neque à lege eruditus fuit, neque ad aliquem virtute præditum reſpicere potuit, ſed patris veſtigia ſecutus, & ductus à conſcientia humanæ naturæ inſita, tam bonis moribus preditam egit vitam? Quæ enim ab eo facta ſunt, nō ſolùm manſuetudinem indicabant iuſti, ſed & præcepta Chriſti ſuis illum operibus implere oſtendebant. Nam id quod Chriſtus diſcipulis ſuis præcipiens & admonens dicebat, ne ſolos diligentes diligerent, ſed & inimicis charitatem exhiberent: hoc ille nūc multò antea implebat, & tāta hoſpitalitate tractabat eos qui tāto odio ipſum proſecuti fuerāt: omnémque vindictæ cupiditatē animo ſuo excludebat. Qua igitur nos venia digni erimus, qui poſt gratiam, & tantam doctrinam, & ſaluatoris præcepta, neque ad huius iuſti menſuram peruenire valeamus? Et quid dico, ad eius menſuram? neque propè aſtare poſſumus. Tanta enim nunc malitiæ abundantia obduxit omnia, vt rarum nunc ſit, & diligentes diligere. Vnde igitur nobis ſalutis ſpes, ſi publicanis deteriores fuerimus? ſicut dicit Chriſtus: Sî diligitis diligentes vos, quid amplius facitis? nonne & publicani hoc faciunt? Et Chriſtus quidem volens nos ad ſummum virtutis venire faſtigium, illis ſuperiores vult eſſe, nos autem inferiores eſſe ſtudemus. Et quid dico, publicanis? deteriores & latronibus, & ſepulchrorum direptoribus, & homicidis. Etenim & hi omnes diligunt eos qui erga ſe bene affecti ſunt, & ſæpenumero etiam pro dilectis periclitantur. Quid igitur fuerit nobis miſerabilius, qui tantam à Domino miſericordiam nacti ſumus, & innumera mala facientibus deteriores inuenimur?

Matth. 5 42.

Moralis epilogus.

Matth. 5 46.

Obſecro igitur, & cogitemus & ſupplicij magnitudinem, & confuſionis quæ alibi futura eſt grauitatem, & vel ſaltem nunc noſtram agnoſcamus generoſitatem, & obtemperemus doctrinæ Chriſti: & non ſolùm diligentes diligamus germanè, omni odio & rancore ab animabus noſtris eliminato: ſed & eos qui hoſtiliter nos perſequuntur, diligere ſtudeamus: neque enim aliter ſaluari nos poſſibile erit, niſi hac incedamus via: & magis illos diligere ſtudeamus, vtpote eos qui nobis innumerorum bonorum ſunt authores. Sic enim & peccatorum noſtrorum remiſſionem inuenire, & humiliata mente & contrita anima Deum precari poterimus. Quia cum anima ab omni odio libera mente tranquilla eſt, dominúmque ſedulò inuocat, multum ſibi ſupernè auxilium conciliat. Quod nobis omnibus concedatur, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui gloria & imperium cum Patre & ſancto Spiritu, nunc, & ſemper, & in ſecula ſæculorum. Amen.

Homilia LIII.

Geneſ. 26.34. *Erat autem Eſau annorum quadraginta, & duxit Iudith filiam Beel Chettæi, & Baſemath filiam Elom Euæi, & exaſperabant Iſaac & Rebeccam.*

AGE & hodie, ſi placet, aggrediamur ea quæ heri dicta ſequuntur: & ſingula, quantum nobis conceditur, aperiamus, vt domum cum vtilitate aliqua redire poſſimus. Videamus igitur, quæ primum lecta ſint. *Erat autem Eſau*, inquit, *annorum quadraginta, & accepit Iudith filiam Beel Chettæi in vxorem, & Baſemath filiam Elom Euæi: & exaſperabant Iſaac & Rebeccam.* Vide quãta ex paucis verbis addiſci poſſunt. Quare enim nobis numerũ annorum Eſau ſignauit? non abſq; cauſa, ſed vt ſenectutem diſcamus Iſaac: quia iam prouectus erat ætate. Nam ſi memores fuerimus eorũ quæ antea dicta ſunt, & quòd quando accepit Rebeccam,

A ἐννοοῦντες τοίνυν, παρακαλῶ, καὶ τῆς τιμωρίας τῆς ἐκεῖ γινομένης τὸ μέγεθος, καὶ τῆς αἰσχύνης τῆς ἐνταῦθα τὴν ὑπερβολὴν, ὀψέ γοῦν ποτε τὴν οἰκείαν ἐπιγνῶμεν εὐγένειαν, καὶ πειθώμεθα τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, καὶ μὴ μόνον τοὺς ἀγαπῶντας ἀγαπῶμεν γνησίως, πᾶσαν βασκανίαν καὶ φθόνον ἐξορίζοντες τῆς ἑαυτῶν ψυχῆς, ἀλλὰ κἂν ἐχθρωδῶς τινες ὦσι πρὸς ἡμᾶς διακείμενοι, καὶ τούτους ἀγαπᾷν σπουδάζωμεν. καὶ γὰρ οὐδὲ ἑτέρως σωθῆναι δυνατὸν ἡμᾶς μὴ ταύτην ἐλθόντας τὴν ὁδὸν, καὶ μᾶλλον τῶν ἀγαπώντων ἡμᾶς τούτους ἀγαπᾷν σπουδάζωμεν, ἅτε δὴ μυρίων ἡμῖν τῶν ἀγαθῶν
B προξένους γινομένους. οὕτω γὰρ καὶ τῶν ἡμαρτημένων ἡμῖν τὴν συγχώρησιν εὑρέσθαι δυνησόμεθα, καὶ μετὰ κατεσταλμένης διανοίας καὶ συντετριμμένης ψυχῆς τὰς πρὸς τὸν θεὸν ἱκεσίας ποιεῖσθαι. ὅταν γὰρ ψυχὴ ἐκτὸς γένηται πάσης ἀπεχθείας, καὶ τὸν λογισμὸν ἐν γαλήνῃ ἱδρυμένον ἔχῃ, μετὰ πολλῆς τῆς νήψεως τὸν δεσπότην καλοῦσα, πολλὴν ἐπισπᾶται τὴν ἄνωθεν ῥοπήν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς
C τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία νγ.

Ἦν δὲ Ἠσαῦ ἐτῶν τεσσαράκοντα, καὶ ἔλαβε τὴν Ἰουδὶθ θυγατέρα Βεὴλ τοῦ Χετταίου, καὶ τὴν Βασεμὰθ θυγατέρα Ἐλὼμ τοῦ Εὐαίου, καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ.

Φέρε καὶ σήμερον, εἰ δοκεῖ, τὰ ἑξῆς τῶν χθὲς εἰρημένων ἐπελθόντες κατὰ τὸ ἡμῖν ἐγχωροῦν ἀναπτύξωμεν ἕκαστον τῶν γεγραμμένων, ἵνα τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσάμενοι, οὕτως οἴκαδε ἀναχωρήσωμεν. ἴδωμεν τοίνυν τὴν ἀρχὴν τῶν ἀνεγνωσμένων. ἦν δὲ Ἠσαῦ, φησιν, ἐτῶν μ', καὶ ἔλαβε τὴν Ἰουδὶθ θυγατέρα Βεὴλ τοῦ Χετταίου, καὶ τὴν Βασεμὰθ θυγατέρα Ἐλὼμ τοῦ Εὐαίου, καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ. ὅρα πόσα ἐκ τῶν ὀλίγων τούτων ῥημάτων ἔστι καταμαθεῖν. τίνος γὰρ ἕνεκεν ἡμῖν τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ Ἠσαῦ ἐσήμανεν, οὐχ ἁπλῶς, ἀλλ' ἵνα ἐντεῦθεν καταμάθωμεν τὸ Ἰσαὰκ τὸ γῆρας, καὶ ὅτι λοιπὸν προβεβηκὼς ἦν. ἐὰν γὰρ μνημονεύσωμεν τῶν ἔμπροσθεν εἰρημένων, καὶ ὅτι ἡνίκα μὲν ἔλαβε τὴν Ῥεβέκκαν,

καὶ αὐτὸς τεσσαράκοντα ἐτῶν ἐτύγχανεν, ὅτε δὲ ἐτέχθησαν οἱ παῖδες, ἑξήκοντα ἐτῶν ἦν, εἰσόμεθα, ὅτι νῦν ἑκατοστοῦ λοιπὸν ἔτους ἐπιβὰς ἐν βαθυτάτῳ γήρᾳ ἐτύγχανεν. ἐπειδὴ γὰρ μέλλει μετὰ ταῦτα διηγεῖσθαι ἡμῖν, ὡς ὑπὸ τοῦ γήρως ἀμβλυτέρας εἶχε τὰς ὄψεις, διὰ τοῦτο τῶν ἐτῶν τοῦ Ησαῦ τὸν ἀριθμὸν ἐσήμανεν, ἵνα ἐντεῦθεν εἰδέναι ἔχωμεν ἀκριβῶς τοῦ Ισαὰκ τὸν χρόνον. διὰ τοῦτο ἔλεγεν, ἦν δὲ Ησαῦ ἐτῶν τεσσαράκοντα. εἶτα ἵνα μάθωμεν τοῦ παιδὸς τὴν προπέτειαν, καὶ ὅτι παρὰ τῶν ἐθνῶν, ὧν οὐκ ἐχρῆν, τὰς γαμετὰς ἠγάγετο, ἐδήλωσεν ἡμῖν ὅτι ἡ μὲν ἐκ τοῦ γένους τῶν Χετταίων ἦν, ἡ δὲ ἐκ τῶν Εὐαίων. καίτοι γε ἐχρῆν αὐτὸν μαθόντα, ὅσην σπουδὴν ὁ πατριάρχης ἐποιήσατο διαγγελλόμενος τῷ παιδὶ τῷ ἑαυτοῦ, ὥστε ἐκ τῆς φυλῆς αὐτοῦ γαμετὴν τῷ Ισαὰκ ἐνέγκαι, καὶ ὅτι ἡ μήτηρ αὐτῶν ἡ Ρεβέκκα ἐκ τῆς Χαρρὰν ὡρμᾶτο, μηδὲν τοιοῦτον βουλεύσασθαι. ἀλλ' ἵνα ἐκ προοιμίων δείξῃ τῶν οἰκείων τρόπων τὸ ἄτακτον, παραλαβὼν ἐκείνας ἠγάγετο. καὶ ἵνα μάθωμεν τῶν γυναικῶν τὸ δύστροπον, φησὶν ἡ γραφή, καὶ ἦσαν ἐρίζουσαι τῷ Ισαὰκ καὶ τῇ Ρεβέκκᾳ. καὶ τί ἂν εἴη ταύτης τῆς μοχθηρίας χαλεπώτερον; ὅταν αἱ πᾶσαν τιμὴν ἀπονέμειν ὀφείλουσαι, μὴ μόνον τοῦτο μὴ ποιῶσιν, ἀλλὰ καὶ πρὸς φιλονεικίαν παρασκευάζωνται. ταῦτα δὲ πάντα οὐχ ἁπλῶς ἡμῖν ἡ ἱστορία σημαίνει, ἀλλ' ἵνα μετὰ ταῦτα ἐπειδὰν ἴδῃς τὴν Ρεβέκκαν πρὸς τὸν Ιακὼβ πολλὴν τὴν εὔνοιαν ἐπιδεικνυμένην, μάθῃς ὡς οὐκ ἀπεικὸς πρᾶγμα διεπράττετο. τέως δὲ ἵνα μὴ τὴν ἀκολουθίαν προφθάσωμεν, αὐτοῖς ἑπώμεθα τοῖς γεγραμμένοις. ἐγένετο δὲ μετὰ τὸ γηρᾶσαι τὸν Ισαὰκ, καὶ ἠμβλυώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ ὁρᾷν. οὐκ ἔτι γὰρ, φησὶν, ὑπὸ τοῦ γήρως ὁρᾷν ἠδύνατο. καὶ ἐκάλεσεν Ησαῦ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον, καὶ εἶπεν αὐτῷ, υἱέ μου, ἰδοὺ ἐγὼ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου. νῦν οὖν λαβὲ τὸ σκεῦός σου, τήν τε φαρέτραν καὶ τὸ τόξον, καὶ ἔξελθε εἰς τὸ πεδίον, καὶ θήρευσόν μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ὡς φιλῶ ἐγὼ, καὶ ἔνεγκέ μοι ἵνα φάγω, ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου, πρὶν ἢ ἀποθανεῖν με. ἐνταῦθά μοι σκόπει, ἀγαπητὲ, τὴν ἄφατον τοῦ θεοῦ σοφίαν, καὶ ὅπως ὁ μὲν πατὴρ, τὴν φυσικὴν φιλοστοργίαν ἐπιδεικνύμενος, ταῦτα διετάξατο τῷ Ησαῦ.

A & ipſe quadraginta annorum fuerit, quando autem nati ſunt ei poſteri, fuerit annorum ſexaginta: ſciemus quòd nunc centenarius ſit, & in profundiſſima ſenectute. Quoniam enim poſthac narraturus eſt, quomodo præ ſenio hebetatos oculos habeat: ideo numerũ annorum Eſau ſignat, vt inde tempus Iſaac certò ſcire poſſimus: propterea dicit, Erat autem Eſau annorum quadraginta. Deinde vt ſciamus pueri temeritatem, quòd vxores ducebat à gentibus, à quibus non oportebat: declarat nobis, quòd vna fuerit ex ge- B nere Chettæorum, alia autem ex genere Euæorum, quamuis nihil tale audendum didiciſſe eum oportebat, vel ex his quæ patriarcha tanta diligentia fecerat, præcipiens ſeruo ſuo, vt de cognatione ſua filio Iſaac adduceretur vxor: vel ex eo quòd mater ipſorum Rebecca nihil tale voluerit, quæ ex Charris venerat. Verum vt ſtatim in initio ſuos mores indicet, inconſultis parentibus illas duxit. Et vt ſciamus quàm malè moratæ mulieres fuerint, dicit ſcri- C ptura: Et erant exaſperantes Iſaac & Rebeccam. Et quid eſt hac malitia peius, quãdo illæ quæ omnem honorem impendere debebãt, non ſolum hoc non faciunt, ſed & ad contentionem paratæ ſunt? Hæc autem omnia non abſque cauſa hiſtoria nobis tradit: ſed vt poſtea, cùm videris Rebeccam Iacob maiori beneuolentia proſequi, diſcas quòd non iniuria rem eam fecerit. Iam autem ne ſeriem contextus præueniamus, ſcripta ipſa ſequamur. *Factum eſt autem* CAP. XXVII. *poſtquam ſenuit Iſaac & hebetati ſunt o-* D *culi eius ad videndum.* Iam enim, inquit, præ ſenio videre non poterat. *Et vocauit Eſau filium ſuum natu maiorem, & dixit ei:* [2] *Fili mi, ecce ſenui, & neſcio diem mortis meæ* [3] *nunc igitur ſume arma tua, & pharetram, & arcum, & egredere in campum,* [4] *& venare mihi venationem, & fac mihi edulia, ſicut ego amo, & affer mihi vt comedam, quò benedicat te anima mea priuſquam ego moriar.* Hîc, obſecro, dilecte, animaduerte immenſam Dei ſapientiam, & quomodo pater quidem genuinam præ ſe ferens dilectionem, hæc imperauit Eſau.

Deus autem, ſapiens & omnipotens A Dominus, per Rebeccam ſuam prędictionem impleri facit: docens nos, quantum valeant virtus & morum ſuauitas. Ille enim & ob ætatem, & ob primogenituram, & ob patris erga ſe affectionem primatum ſe habere putans, ſimul deſtitutus omnibus inuentus eſt: quia quæ in ſe erant, afferre noluit: hic autem, quia & domeſtica erat virtute præditus, & virtutem ſupernā habuit ſubſidiariam, etiam inuito patre illius benedictionem abripit. Nihil enim validius eo qui dextra illa adiuuatur. Vide igitur diligenter omnia, vt diſcas diſpenſationis excellentiam. Et quomodo hic quidem illa gratia fretus, magnum in omnibus auxilium & cooperationem adipiſcitur, vt patris in eum transferatur benedictio: ille autem omnia amittit, perdens ſemetipſum propter morum iniquitatem.

Nihil validius eo quē iuuat Deus.

5 *Rebecca autem,* inquit, *audiuit loquentem Iſaac cum Eſau filio ſuo. Iuit autem Eſau in campum, vt venaretur prædam patri ſuo.* 6 *Dixit autem Rebecca ad filium ſuum iuniorem.* Quare adiecit iuniorem? quia ſuperius dixerat, Vocauit Eſau filium ſuum natu maiorem, vt diſcamus cui nunc loquatur Rebecca, inquit: iuniorem, hoc eſt, Iacob. *Audiui,* inquit, *patrem tuum loquentem cum Eſau fratre tuo, & dicentem:* 7 *Affer mihi venationem, & fac mihi edulia, vt cùm comedero benedicam te coram Domino, priuſquam moriar ego. Hæc quidem audiui patrem tuum fratri tuo Eſau loquentem.* 8 *Nunc igitur fili audi me ſicut ego tibi præcipio,* 9 *& vade ad oues, & ſumito mihi inde duos hoedos teneros & bonos, & faciam ex eis edulia patri tuo, vt amat:* 10 *& inferes patri tuo, & comedet, vt benedicat te pater tuus priuſquam moriatur ipſe.* Vide magnū matris amorem, imò diſpenſationem Dei. Ipſe enim eſt, qui ei hoc conſilium dedit, & omnia bene agere fecit. Vidiſti matris optimum conſilium? Vide & Iacob prouidentiam: & quomodo reſpondens, ſuorum morum indicat manſuetudinem. 11 *Dixit enim,* inquit, *matri ſuæ: Eſt frater meus vir hiſpidus, ego autem vir lævis:* 12 *ne fortè contrectet me pater meus, & ero ante eum quaſi contemnens, & inducam mihi ipſi maledictionem, non benedictionem.*

ὁ δὲ σοφὸς καὶ εὐμήχανος δεσπότης διὰ τῆς Ῥεβέκκας τὴν οἰκείαν πρόῤῥησιν εἰς ἔργον ἐξενεχθῆναι παρασκευάζει, διδάσκων ἡμᾶς ὅση τῆς ἀρετῆς ἡ ἰσχὺς καὶ τῆς τῶν τρόπων ἐπιεικείας. καὶ γὰρ ἐκεῖνος μὲν καὶ ἀπὸ τῶν πρωτοτοκίων, καὶ ἀπὸ τῆς τοῦ παιδὸς περὶ αὐτὸν διαθέσεως τὰ πρωτεῖα ἔχειν νομίζων, ἀθρόον ἁπάντων ἔρημος ηὑρίσκετο, ἐπειδὴ τὰ παρ' ἑαυτοῦ εἰσενεγκεῖν οὐκ ἠβουλήθη. οὗτος δὲ ἐπειδὴ οἴκοθεν ἦν ἐνάρετος, καὶ τὴν ἄνωθεν εἶχε ῥοπὴν συμμαχοῦσαν αὐτῷ, καὶ ἄκοντος τοῦ πατρὸς τὴν παρ' αὐτοῦ εὐλογίαν ἐπισπᾶται. οὐδὲν γὰρ ἰσχυρότερον τοῦ παρὰ τῆς δεξιᾶς ἐκείνης βοηθουμένου. ὅρα γοῦν B ἀκριβῶς ἅπαντα, ἵνα μάθῃς τῆς οἰκονομίας τὴν ὑπερβολήν, καὶ πῶς ὁ μὲν τῆς ἐκεῖθεν ἀπολαύων ῥοπῆς, πολλῆς ἐν ἅπασιν ἀξιοῦται τῆς συνεργίας, ὥστε τὴν τοῦ παιδὸς εὐλογίαν εἰς αὐτὸν μετενεχθῆναι· ὁ δὲ πάντων διαμαρτάνει, προδεδομένος οἴκοθεν διὰ τὴν τῶν τρόπων μοχθηρίαν. Ῥεβέκκα δέ, φησιν, ἤκουσε λαλοῦντος Ἰσαὰκ πρὸς Ἡσαῦ τὸν υἱὸν αὐτοῦ. ἐπορεύθη δὲ Ἡσαῦ εἰς τὸ πεδίον θηρεῦσαι θήραν τῷ πατρὶ αὐτοῦ. εἶπε δὲ Ῥεβέκκα πρὸς τὸν υἱὸν αὐτῆς τὸν ἐλάσσω. διὰ τί προσέθηκε τὸν ἐλάσσω; ἐπειδὴ ἀνωτέρω εἶπεν, C ὅτι ἐκάλεσεν Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον, ἵνα μάθωμεν τίνι νῦν διαλέγεται ἡ Ῥεβέκκα, φησὶ πρὸς τὸν ἐλάσσω, τοῦτ' ἔστι τὸν Ἰακώβ. ἰδὲ ἐγὼ ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς Ἡσαῦ ἀδελφόν σου, καὶ λέγοντος, ἔνεγκέ μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ἵνα φαγὼν εὐλογήσω σε ἐναντίον κυρίου πρὸ τοῦ ἀποθανεῖν με. ταῦτα μὲν ἤκουσα τοῦ πατρός σου πρὸς τὸν ἀδελφόν σου τὸν Ἡσαῦ διαλεγομένου. νῦν οὖν υἱὲ ἄκουέ μου καθά σοι ἐγὼ ἐντέλλομαι, καὶ πορευθεὶς εἰς τὰ πρόβατα λαβέ μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς καὶ καλούς, καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου, ὡς φιλεῖ, καὶ D εἰσοίσεις τῷ πατρί σου, καὶ φάγεται, ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ τοῦ ἀποθανεῖν αὐτόν. ὅρα μητρὸς φιλοστοργίαν, μᾶλλον δὲ θεοῦ οἰκονομίαν. αὐτὸς γὰρ ἦν ὁ καὶ ταύτην πρὸς τὴν συμβουλὴν διεγείρων, καὶ τὸ πᾶν κατορθωθῆναι ποιῶν. εἶδες τῆς μητρὸς τὴν ἀρίστην συμβουλήν; ὅρα καὶ τοῦ Ἰακὼβ τὸ περιεσκεμμένον, καὶ ὅπως διὰ τῆς ἀποκρίσεως τῶν οἰκείων τρόπων δείκνυσι τὴν ἐπιείκειαν. εἶπε γάρ, φησι, πρὸς τὴν μητέρα αὐτοῦ· ἔστιν ὁ ἀδελφός μου Ἡσαῦ ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ λεῖος. μήποτε ψηλαφήσῃ με ὁ πατήρ, καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς καταφρονῶν, καὶ ἐπάξω ἐμαυτῷ κατάραν, καὶ οὐκ εὐλογίαν.

πολλὴ τοῦ παιδὸς ἡ εὐγνωμοσύνη, καὶ ἡ πρὸς τὸν πατέρα αἰδώς. δέδοικα, φησί, μὴ εἰς τὸ ἐναντίον μοι τὰ τῆς σπουδῆς ἐπέλθοι, μὴ δόξω ἐναντιοῦσθαι τῇ τοῦ πατρὸς γνώμῃ, καὶ ἀντὶ τῆς εὐλογίας κατάραν ἐπισπάσωμαι. τί οὖν ἡ Ῥεβέκκα ἡ θαυμασία καὶ φιλόστοργος; ἐπειδὴ οὐκ ἐξ οἰκείας γνώμης μόνον τοῦτο διεπράττετο, ἀλλὰ καὶ τῇ ἄνωθεν ὑπηρετεῖτο προῤῥήσει, πᾶσαν σπουδὴν ποιεῖται τὸν φόβον ἐξελεῖν τοῦ παιδός, καὶ θάρσος ἐνθεῖναι, ὥστε τὴν συμβουλὴν εἰς ἔργον ἀγαγεῖν. καὶ οὐχ ὑπισχνεῖται αὐτῷ ὅτι δυνήσεται παρακρούσασθαι τὸν πατέρα καὶ λαθεῖν, ἀλλὰ τί; ἐπ᾽ ἐμὲ ἡ κατάρα σου τέκνον· μόνον ὑπάκουσον τῆς φωνῆς μου, καὶ πορευθεὶς ἔνεγκέ μοι. κἂν γένηται τοιοῦτόν τι, φησίν, οὐδὲν αὐτὸς παραβλαβήσῃ. μὴ τοίνυν δείσῃς, ἀλλὰ θαῤῥῶν ὑπάκουσόν μου τῆς φωνῆς, καὶ ποίει τὰ παρ᾽ ἐμοῦ σοι συμβουλευθέντα. τοῦτο ἀληθῶς φιλοστοργία μητρός, τὸ ὑπὲρ τοῦ παιδὸς ἑτοίμως ἅπαντα καταδέχεσθαι. ταῦτα εἰποῦσα ἴσχυσεν ἐξελεῖν τοῦ παιδὸς τὸν φόβον. καὶ πορευθεὶς ἔλαβε καὶ ἤνεγκε τῇ μητρὶ αὐτοῦ, καὶ ἐποίησεν ἐδέσματα καθὰ ἐφίλει ὁ πατὴρ αὐτοῦ. καὶ λαβοῦσα, φησίν, ἡ Ῥεβέκκα τὴν στολὴν τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὴν καλήν, ἣ ἦν παρ᾽ αὐτῇ ἐν τῷ οἴκῳ, ἐνέδυσεν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον, καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκε περὶ τοὺς βραχίονας αὐτοῦ, καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ, καὶ ἔδωκε τὰ ἐδέσματα καὶ τοὺς ἄρτους, οὓς ἐποίησεν, εἰς τὰς χεῖρας Ἰακὼβ τοῦ υἱοῦ αὐτῆς, καὶ εἰσήνεγκε τῷ πατρὶ αὐτοῦ. θέα μοι ἐνταῦθα τῆς Ῥεβέκκας μετὰ τῆς φιλοστοργίας καὶ τὴν πολλὴν σοφίαν. ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω, ὅτι ὁ μὲν ἦν δασύς, ὁ δὲ λεῖος, τὴν στολήν, φησίν, ἐνέδυσεν αὐτὸν τοῦ Ἡσαῦ, καὶ τὰ δέρματα περιέθηκεν αὐτῷ, καὶ πανταχόθεν σχηματίσασα αὐτόν, ὥστε τὴν ἀπάτην εἰς ἔργον ἐλθεῖν, δοῦσα τὰ ἐδέσματα καὶ τοὺς ἄρτους εἰς τὰς χεῖρας, παρεσκεύασε προσαγαγεῖν τῷ πατρί. σκόπει μοι πάλιν ἐνταῦθα πῶς τῆς ἄνωθεν χάριτος ἦν τὸ πᾶν. ὅταν γὰρ ἡμεῖς τὰ παρ᾽ ἑαυτῶν εἰσενέγκωμεν, δαψιλῶς ἀπολαύσομεν καὶ τῆς παρὰ τοῦ θεοῦ συνεργείας. ἵνα γὰρ μὴ ῥᾳθυμῶμεν, μηδὲ ἀναπεπτωκότες ὦμεν, βούλεται καὶ ἡμᾶς τι συνεισφέρειν, ἵν᾽ οὕτω καὶ τὰ παρ᾽ ἑαυτοῦ ἐπιδείξηται· καὶ οὔτε τὸ πᾶν τῆς ἄνωθεν γίνεσθαι βοηθείας, ἀλλὰ δεῖ καὶ ἡμᾶς τι συνεισενεγκεῖν, οὔτε παρ᾽ ἡμῶν πάλιν ἀπαιτεῖ τὸ πᾶν, εἰδὼς τῆς ἡμετέρας ἀσθενείας τὴν ὑπερβολήν, ἀλλὰ τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, καὶ βουλόμενος ἀφορμήν τινα λαβεῖν, ὥστε τὴν οἰκείαν φιλοτιμίαν ἐπιδείξασθαι, ἀναμένει τὰ παρ᾽ ἡμῶν εἰσενεχθῆναι.

A Magna pueri gratitudo, & in patrem reuerentia. Timeo, inquit, ne in diuerſum eueniant ſtudia mea, ne videar aduerſari patris ſententiæ, & pro benedictione & maledictionem mihi adducam. Quid igitur Rebbeca, admirabilis illa & amans filij? Quia non ex ſua tantum ſententia faciebat, ſed & diuino miniſtrabat oraculo, ideo omni ſtudio conatur eximere puero metum, & addere animos, vt conſilium perficiat: & non promittit ei quòd poſſit deludere patrem, & latere. Sed quid? [13] *In me recidat maledictio hæc fili mi: tantum obe-* B *di voci meæ, & vadens affer mihi.* Et ſi fuerit aliquid tale, inquit, nihil tibi nocebit. Ne igitur timeas, ſed bene fidens obedi voci meæ, & fac quæ tibi conſuluntur. Hæc verè materna dilectio eſt, vt pro puero parata ſit omnia ferre. His dictis puerum à timore liberauit. [14] *Cùm igitur abiiſſet, ſumpſit & attulit matri ſuæ, & fecit edulia, ſicut amabat pater eius.* [15] *Et vt ſumpſit Rebecca,* inquit, *ſtolam filij ſui ſenioris pulchram, quam habebat apud ſe domi, induit Iacob filium ſuum iuniorem.* C [16] *& pellibus hædorum brachia eius, & nuda colli eius circumdedit,* [17] *& dedit edulia & panes quos fecerat in manus filij ſui, & obtulit patri ſuo.* Vide, obſecro, hîc Rebeccæ cum magna dilectione coniunctam raram ſapientiam. Nam quia ſuperius dixit, quòd ille quidem hiſpidus eſſet, hic verò lenis: Stola, inquit, Eſau induit eum, & pellibus circumdedit eum, & cùm vndique eum ad deceptionem inſtruxiſſet, datis eduliis & panibus in manus, effecit, vt patri afferret. Conſidera hîc, quomodo omnia ſuperna gratia euenerint. D Nam quando quod à nobis eſt offerimus, largiter diuinam cooperationem conſequimur. Nam vt ne deſides & ſupini ſimus, vult etiam nos aliquid conferre: quò ſic ſua declaret, & non totum ſit ſuperni auxilij, ſed oporteat etiam nos aliquid ſimul afferre. Neque à nobis iterum exigit totum ſciens infirmitatis noſtræ excellentiam: ſed ſuam imitans benignitatem, & volens occaſionem aliquam accipere, vt ſuam declaret liberalitatem, expectat, vt afferamus quæ à nobis ſunt:

Rebecca diuino miniſtrat oraculo.

Cooperari nos vult auxilio ſuo Deus.

id quod & nunc factum eſt. Nam quia Iacob & Rebecca fecerunt ea quæ à ſe fieri oportebat: & ille quidem obediuit conſilio matris, hæc autem omnia quæ ad ſe attinebant impleuit: tunc vltrà bonus Dominus perfici fecit magna facilitate quod omnium erat difficillimum, ne fieret actus iſtius impoſturæ manifeſtus Iſaac. *Poſtquam enim attulit edulia patri:*[19] *dixit ad eum, Quis tu es fili? Et dixit Iacob ad patrem ſuum: Eſau primogenitus tuus: feci tibi ſicut locutus mihi es. Surge ergo, ſede, & comede de venatione mea, vt benedicat me anima tua.* Conſidera hîc, obſecro, quanta cum anxietate verba hęc locutus ſit Iacob. Qui enim principiò dixerat matri: Timeo ne inducam ſuper me maledictionem, & nō benedictionem: nunc expende in quanto timore conſtitutus fuerit, qui tantam fabulam agit? Verùm quia Deus erat qui cooperabatur his quæ fiebant, omnia opere ſunt impleta. Quid igitur? cooperatúſne Deus eſt mendacio? Dilecte ne indages tantùm quod fit, ſed attēde etiam ſcopum, & quòd non factū ſit temporalis cōmodi vel auaritiæ cauſa, ſed quòd patris benedictionē ſibi cōparare ſtuderet. Alioqui ſi ita ſimpliciter quæ fiunt examinaturus es, neque ſemper ſcopum exquiſiturus es, vide ne & patriarcham puericidā, & Phinees homicidam dicas: verùm neque Abraham pueri homicida, ſed & valde ei affectus, ſi quis alius: neque Phinees homicida, ſed zelotes. Vterque enim quod Deo probabatur, faciebat: atque ille per obedientiam, multam à Deo remunerationem promeruit, hic verò propter zelum prædicatur. Dicit enim: Stetit Phinees, & placauit: Si igitur homicidium & puericidium placuerunt, quia iuxta Dei ſententiam fiebant, nec attendimus ad facta, ſed ad ſcopum eorum quæ fiebant, & ad voluntatem eorum qui fecerunt: multò magis & hîc expendendum iſtud fuerit. Ne igitur hoc cōſidera, quòd ementita fuerint quæ dicebantur à Iacob: ſed illud cogita, quòd volens Deus prædictionem impleri, omnia vt ſic fiant diſpenſauit. Et vt ſcias, quòd Deus omnia facilia reddebat, etiam quæ difficilia:

Vtrum Deus cooperetur mendacio.

Pſal. 105 30.

A ὅπερ καὶ νῦν γεγένηται. ἐπειδὴ γὰρ καὶ ὁ Ἰακὼβ καὶ ἡ Ῥεβέκκα, ἅπερ ἐχρῆν ἀφ᾽ ἑαυτῶν γενέσθαι, πεποιήκασι, καὶ ὁ μὲν ὑπήκουσε τῆς συμβουλῆς τῆς μητρὸς, ἡ δὲ τὰ παρ᾽ ἑαυτῆς πάντα ἐπλήρωσε, τότε λοιπὸν καὶ ὁ ἀγαθὸς δεσπότης τὸ πάντων δυσχερέστερον τοῦτο μετ᾽ εὐκολίας ἀνυσθῆναι πεποίηκε, τὸ μὴ γενέσθαι κατάδηλον τῆς ἀπάτης τὸ δρᾶμα τῷ Ἰσαάκ. ἐπειδὴ γὰρ προσήνεγκε τὰ ἐδέσματα τῷ πατρὶ, εἶπε, τίς εἶ σὺ τέκνον; καὶ εἶπεν Ἰακὼβ τῷ πατρὶ αὐτοῦ, ἐγώ εἰμι Ἡσαῦ ὁ υἱός σου ὁ πρωτότοκος. πεποίηκά σοι, καθὰ λελάληκάς μοι. ἀναστὰς κάθισον, καὶ φάγε ἐκ τῆς B θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. ἐννόει μοι μεθ᾽ ὅσης ἀγωνίας ταῦτα ἐφθέγγετο ὁ Ἰακώβ. ὁ γὰρ ἐν προοιμίοις εἰπὼν τῇ μητρὶ, φοβοῦμαι μὴ ἐπάξω ἐμαυτῷ κατάραν καὶ οὐκ εὐλογίαν, νῦν ἐν ὅσῳ φόβῳ καθειστήκει τοσοῦτον δρᾶμα ὑποκρινόμενος; ἀλλ᾽ ἐπειδὴ θεὸς ἦν ὁ συνεργῶν τοῖς γινομένοις, ἅπαντα εἰς ἔργον ἐξήει. τί οὖν, ἂν εἴποι τις, καὶ τῷ ψεύδει τῷ τοιούτῳ θεὸς συνήργησε; μὴ ἁπλῶς ἐξέταζε τὸ γινόμενον, ἀγαπητὲ, ἀλλὰ τὸν σκοπὸν καταμάνθανε, καὶ ὅτι οὐ βιωτικῆς ἕνεκέν τινος πλεονεξίας τοῦτο ἐγίγνετο, C ἀλλὰ τοῦ πατρὸς τὴν εὐλογίαν ἐπισπάσασθαι ἐσπούδαζεν. ἄλλως δὲ εἰ μέλλοις ἁπλῶς τὰ γινόμενα ἐξετάζειν, καὶ μὴ τὸν σκοπὸν πανταχοῦ ἐπιζητεῖν, ὥρα σοι καὶ τὸν πατριάρχην παιδοκτόνον ὀνομάζειν, καὶ τὸν Φινεὲς ἀνδροφόνον. ἀλλ᾽ οὔτε ἐκεῖνος παιδοκτόνος, ἀλλὰ καὶ λίαν φιλόστοργος, εἰ καί τις ἄλλος, οὔτε οὗτος ἀνδροφόνος, ἀλλὰ τὸ μᾶλλον καὶ ἄγαν ζηλωτής. ἑκάτερος γὰρ αὐτῶν τὸ δοκοῦν τῷ θεῷ διεπράττετο. διόπερ ὁ μὲν διὰ τὴν ὑπακοὴν πολλῆς ἀξιοῦται τῆς ἄνωθεν ἀμοιβῆς· ὁ δὲ διὰ τὸν ζῆλον ἀνακηρύτ- D τεται. ἔστη γὰρ, φησὶ, Φινεὲς, καὶ ἐξιλάσατο. εἰ τοίνυν φόνος εὐδοκίμησε, καὶ παιδοκτονία ἐν ἐκείνοις, ἐπειδὴ κατὰ θεοῦ γνώμην ἐγένετο, καὶ οὐ τοῖς γεγονόσι προσέχομεν, ἀλλὰ τῷ σκοπῷ τῶν γινομένων, καὶ τῇ τῶν πεποιηκότων γνώμῃ, πολλῷ μᾶλλον καὶ ἐνταῦθα τοῦτο λογίζεσθαι χρή. μὴ τοίνυν τοῦτο σκόπει, ὅτι ψευδῆ ἦν τὰ λεγόμενα παρὰ τοῦ Ἰακὼβ, ἀλλ᾽ ἐκεῖνο ἐννόει, ὅτι βουλόμενος ὁ θεὸς εἰς ἔργον τὴν πρόῤῥησιν αὐτοῦ ἀγαγεῖν, ἅπαντα οὕτως ᾠκονόμησε γενέσθαι. καὶ ἵνα μάθῃς ὅτι ὁ θεὸς ἦν ὁ πάντα ἐξευμαρίζων, καὶ τὰ δύσκολα εὔκολα ποιῶν,

ὅρα πῶς ὁ δίκαιος οὐκ ἠδυνήθη συνιδεῖν τὴν ἀπάτην, ἀλλὰ καὶ πείθεται τοῖς παρὰ τοῦ Ἰακὼβ ῥηθεῖσι, καὶ ἀπολαύσας τῶν ἐδεσμάτων ἀμείβεται αὐτὸν ταῖς εὐλογίαις· καὶ οὐ πρότερον παραγίνεται ἀπὸ τῆς θήρας ὁ Ἡσαῦ, μέχρις ὅτε πάντα τέλος ἔλαβεν, ἵνα διὰ πάντων γνῶμεν ὅτι κατὰ θεοῦ γνώμην τὸ γινόμενον ἦν. Εἶπε δέ, φησιν, Ἰσαάκ, τί τοῦτο ὅτι ταχὺ εὗρες ὦ τέκνον; ὁ δὲ εἶπεν, ὃ παρέδωκε κύριος ὁ θεός σου ἐναντίον ἐμοῦ. ἔτι ἐναγώνιος εἱστήκει ὁ Ἰακὼβ, καὶ ηὔξετο αὐτοῦ τὰ τοῦ φόβου, καὶ πάντα ἐγίνετο, ἵνα μάθωμεν δι' αὐτῶν ὅτι ὁ φιλάνθρωπος δεσπότης οὐχ ἁπλῶς τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν, ἂν μὴ πολλὴν ἴδῃ καὶ τὴν παρ' ἡμῶν θερμότητα γινομένην. μὴ γάρ μοι παραδράμῃς, ἀγαπητέ, τοῦτον νῦν τὸν ἀγῶνα, ἀλλὰ σκόπει ὅτι περὶ τοῦ παντὸς ἦν αὐτῷ ὁ κίνδυνος, καὶ ἐδεδίκει καὶ ἔτρεμε μὴ δι' εὐλογίαν κατάρας ὑπεύθυνος γένηται. εἶτά φησιν, εἶπε δὲ Ἰσαὰκ, ἔγγισόν μοι καὶ ψηλαφήσω σε, τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ, ἢ οὔ. ἀπὸ γὰρ τῆς φωνῆς ἠρέμα πως ἐνεδοίαζεν ὁ δίκαιος. ἀλλ' ἐπειδὴ ἐχρῆν τὴν οἰκονομίαν εἰς ἔργον ἐξελθεῖν, οὐ συνεχωρήθη συνιδεῖν τὴν ἀπάτην. ἤγγισε δέ, φησιν, Ἰακὼβ, καὶ ἐψηλάφησεν αὐτόν, καὶ εἶπεν, ἡ μὲν φωνή, φωνὴ Ἰακώβ· αἱ δὲ χεῖρες, χεῖρες Ἡσαῦ. καὶ οὐκ ἐπέγνω αὐτόν. ὅρα πῶς δείκνυται ὅτι τῆς τοῦ θεοῦ χάριτος ἦν τὸ πᾶν, τῆς παρασκευαζούσης καὶ αὐτὸν μηδὲν τῶν γινομένων συνιδεῖν, καὶ τὸν Ἰακὼβ ἀπολαῦσαι τῆς πατρικῆς εὐλογίας, καὶ οὐκ ἐπέγνω αὐτόν, φησιν. ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ ὡς αἱ χεῖρες Ἡσαῦ. καὶ εἶπεν, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ; ἵνα καὶ ἐκ τούτου πάλιν γνῶμεν, ὅτι ὁ πατὴρ μὲν ἡττηθεὶς τῇ φυσικῇ φιλοστοργίᾳ ἅπαντα διεπράττετο· ὁ δὲ θεὸς ὁ τὰ μέλλοντα προορῶν, καὶ ἀπὸ τῆς τῶν τρόπων ἀρετῆς χαρακτηρίζων καὶ δηλῶν τοὺς ἑαυτοῦ θεράποντας, οὕτως ἅπαντα οἰκονομεῖ. καὶ εἶπε, φησιν, ἐγώ. ἐπειδὴ γὰρ εἶπεν, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ; καὶ εἶπεν, ἐγώ, εἶπε, προσάγαγέ μοι, καὶ φάγομαι ἀπὸ τῆς θήρας σου τέκνον, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου. μόλις ποτὲ τῆς ἀγωνίας λοιπὸν ἀπηλλάγη ὁ Ἰακώβ, καὶ προσήνεγκε τῷ πατρὶ τὰ ἐδέσματα, καὶ εἰσήνεγκεν οἶνον, καὶ ἔπιε, καὶ

A vide quomodo iuſtus non potuit ſubolere fraudem, ſed perſuadetur dictis Iacob, & cùm edulia iſta comediſſet, benedictionibus eum remunerat. Et non prius à venatione affuit Eſau, quouſque omnia ſunt impleta: vt per omnia ſciamus, voluntate Dei hæc geſta eſſe. [20] *Dixit autem,* inquit, *Iſaac: Quid hoc, quòd tam ſtatim inueniſti fili? Ille autem dixit, Quod tradidit dominus Deus tuus coram me.* Adhuc in anguſtiis ſtabat Iacob, augebatúrque plurimum timor eius. Verùm hæc omnia propterea facta ſunt, vt diſcamus rebus ipſis quòd
B non ſimpliciter Dominus ſuam declaret ſollicitudinem & prouidentiam, niſi viderit & noſtrum accedere feruorem. Ne enim prætereas obiter hunc agonem, ſed conſideres quod cauſæ totius atque ſalutis erat periculum: & timebat & tremebat, ne propter benedictionem fieret omnis maledictionis reus. *Deinde,* inquit, [21] *Dixit Iſaac: Appropinqua mihi, & contrectabo te fili, an ſis filius meus Eſau, vel non.* Etenim ob vocem placidiorem dubitabat iuſtus: ſed quia Diſpenſatio im plenda erat.
C diſpenſatio implenda erat, non permiſit Deus vt dolus ſentiretur. [22] *Appropinquauit autem & contrectauit eum,* & dixit: *Vox quidem vox Iacob, manus autem manus Eſau: & non agnouit eum.* Vide quomodo oſtendit quod vniuerſum à Dei gratia erat: quæ efficiebat, vt ipſe nihil horum attenderet, & Iacob paterna frueretur benedictione. *Et non agnouit eum,* inquit. *Erant enim manus eius ſicut manus Eſau, & dixit, Si tu es filius meus Eſau?* Vide iterum, quomodo oſtendit diuina ſcriptura, quòd du-
D bitauerit iuſtus. *Dixit enim,* inquit, *Num tu es filius meus Eſau?* Vt ex hoc quoque ſciamus, quòd pater victus naturali affectione, omnia fecerit: Deus autem futura præcognoſcens, & in virtutũ nota ſeruos ſuos inſignire ſolitus, rem totam hunc in modum diſpenſat. Et dixit Iacob. Ego. Poſtquam enim dixit, Num tu es Eſau filius meus? & dixit, ego: dixit, Affer itaque mihi, & comedam de venatione, fili, vt benedicat te anima mea. Vix tandem à cura ſoluitur Iacob, & attulit patri edulia, attulítque vinum, & bibit. [26] *Et dixit ei.*

A *Accede ad me, & oſculare me fili. Et oſculatus eſt eum:* [27] *& accedens odoratus eſt odorem veſtimentorum eius, & benedixit eum, ac dixit.* Vide diuinæ ſcripturæ obſeruationem. Poſtquam interrogauit, Num tu es Eſau? & dixit, Ego: iterum contrectauit eum, & ſubdubitabat, & cùm ex voce penè ſimulationem deprehendiſſet: iterum interrogauit, Num tu es filius meus Eſau? Et dixit, Ego. Et poſtea attulit ei, & comedit. [27] *Tunc*, inquit, *oſculatus eſt eum, & benedixit eum.* Nam vt ne quis opinetur quòd in perſonam Eſau benedi-

B ctionem fecerit, ſed in illum quem oſculatus eſt: propterea commemorat diuina ſcriptura, quòd oſculatus eſt, & benedixit illum, quem oſculatus eſt. *Odoratus eſt enim odorem veſtimentorum eius, & benedixit eum, & dixit: Ecce odor filij mei, ſicut odor agri pleni, quem benedixit Dominus.* [28] *Et dabit tibi Deus de rore coeli, & de pinguedine terræ, & multitudinem frumenti & vini.* Det, inquit, dominus Deus tibi, qui edulia attuliſti, qui à me oſculum accepiſti: & ſeruiant tibi gentes.

C Vide quomodo neceſſariorum copiam ipſi precatus ſit, deinde principatum gentium præcedens, & futuram eius proſperitatem & eorum qui ab eo naſcuntur incremētum. *Et adorent te principes.* Non ſolùm ei apprecatur gentes ſubdi, ſed & principes. *Et ſis dominus fratris tui.* Vide quomodo ſeruit iuſtus, etiam ignorans, Dei voluntati. Omnia enim hæc propter hoc diſpenſabantur, vt hic propter virtutē dignus recipiat benedictionem. *Et adorabunt te filij patris tui.* Filios conſueuit ſcriptura vocare om-

D nem generationem: ſicut & hîc, filios patris tui: quaſi diceret aliquis eos, qui ex ſemine Eſau futuri. Non enim alios filos habuit Iſaac, quàm hos duos ſolos. *Qui maledicit te, ſit maledictus: qui benedicit te, ſit benedictus.* Ecce coronidem benedictionis, ecce ſummam omniū bonorum, eſſe benedictum. Vidiſti Dei clemētiam? Qui timuerat ne maledictionem acciperet pro benedictione, nō ſolùm cum tanta largitate benedictiones à patre reportat: ſed & illi maledicuntur, qui attentant eum maledicere.

εἶπεν αὐτῷ, ἔγγισόν μοι, καὶ φίλησόν με τέκνον. καὶ ἐγγίσας ἐφίλησεν αὐτὸν, καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπεν. ὅρα τῆς θείας γραφῆς τὴν παρατήρησιν. ἐπειδὴ ἠρώτησεν, εἰ σὺ εἶ Ἡσαῦ; καὶ εἶπεν, ἐγώ, καὶ πάλιν ἐψηλάφησεν αὐτὸν, καὶ ἠρέμα πως ἐνεδοίαζεν ἀπὸ τῆς φωνῆς εἰς ὑπόκρισίν τινα ἐμπεσών, καὶ πάλιν ἠρώτησεν, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ; καὶ εἶπεν, ἐγώ, εἶτα προσήνεγκεν αὐτῷ, καὶ ἔφαγε· τότε, φησὶν, ἐφίλησεν αὐτὸν καὶ εὐλόγησεν αὐτόν. ἵνα μὴ νομίσῃ τις ὅτι εἰς τὸ τοῦ Ἡσαῦ πρόσωπον τὴν εὐλογίαν ἐποιήσατο, ἀλλ' εἰς ἐκεῖνον τὸν ὑπ' αὐτοῦ φιληθέντα, διὰ τοῦτο ἐμνημόνευσεν ἡ θεία γραφὴ, ὅτι καὶ ἐφίλησε, καὶ ηὐλόγησεν ἐκεῖνον τὸν ὑπ' αὐτοῦ φιληθέντα. ὠσφράνθη δὲ, φησιν, τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπεν. ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου, ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν ηὐλόγησε κύριος· καὶ δώσει σοι κύριος ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου καὶ οἴνου. δώσει, φησί, σοι τῷ τὰ ἐδέσματα προσενεγκόντι, τῷ παρ' ἐμοῦ φιληθέντι. καὶ δουλευσάτωσάν σοι ἔθνη. ὅρα πῶς τὴν τῶν ἀναγκαίων ἀφθονίαν αὐτῷ ἐπηύξατο, εἶτα τὴν ἀρχὴν τῶν ἐθνῶν, προμηνύων ἤδη τὴν μέλλουσαν αὐτῷ ἔσεσθαι εὐημερίαν, καὶ τῶν ἐξ αὐτοῦ τικτομένων τὴν ἐπίδοσιν. καὶ προσκυνησάτωσάν σοι ἄρχοντες. οὐ μόνον τὴν τῶν ἐθνῶν ὑποταγὴν αὐτῷ ἐπεύχεται, ἀλλὰ καὶ τῶν ἀρχόντων. καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου. ὅρα πῶς ὑπηρετεῖται καὶ ἀγνοῶν ὁ δίκαιος τῇ τοῦ θεοῦ γνώμῃ. καὶ ἅπαντα ταῦτα διὰ τοῦτο ᾠκονομεῖτο, ἵνα οὗτος ὁ διὰ τὴν ἀρετὴν ἄξιος, αὐτὸς καρπώσηται τὴν εὐλογίαν. καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. υἱοὺς εἴωθεν ἡ γραφὴ καλεῖν πᾶσαν τὴν συγγένειαν, ὡς καὶ ἐνταῦθα, τοὺς υἱοὺς τοῦ πατρός σου, ὡς ἂν εἴποι τις, τοὺς ἐκ τοῦ σπέρματος τοῦ Ἡσαῦ ἔσεσθαι μέλλοντας. οὐδὲ γὰρ ἑτέρους παῖδας εἶχεν ὁ Ἰσαὰκ, ἀλλ' ἢ τούτους μόνους. ὁ καταρώμενός σε, ἐπικατάρατος, ὁ δὲ εὐλογῶν σε εὐλογημένος. ἰδοὺ ἡ κορωνὶς τῆς εὐλογίας, ἰδοὺ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἁπάντων, τὸ εὐλογημένον εἶναι. εἶδες θεοῦ φιλανθρωπίαν; ὁ δεδοικὼς μὴ κατάραν ἐπισπάσηται ἀντὶ εὐλογίας, οὐ μόνον μετὰ τοσαύτης δαψιλείας τὰς εὐλογίας κομίζεται παρὰ τοῦ πατρὸς, ἀλλὰ καὶ ἐκείνοις ἀρᾶται τοῖς ἐπιχειροῦσιν αὐτὸν καταρᾶσθαι.

ἐντεῦθεν μανθάνομεν ὅτι ἐπειδὰν τις κατὰ τὰ τῷ θεῷ δοκοῦντα τὰ καθ' ἑαυτὸν οἰκονομεῖν βούληται, τοσαύτης ἀπολαύει τῆς ἄνωθεν συνεργίας, ὡς αὐτῆς τῶν πραγμάτων τῆς πείρας αἴσθησιν λαβεῖν. τίς γὰρ οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειε τοῦ θεοῦ τὴν ἄφατον οἰκονομίαν, ὅτι οὐ πρότερον ὁ Ἠσαῦ ἀπὸ τῆς θήρας παραγέγονε, μέχρις ὅτε πέρας ἔλαβεν ἡ τοῦ δράματος ὑπόθεσις, κἀκεῖνος δεξάμενος τὰς εὐλογίας παρὰ τοῦ πατρὸς ἀνεχώρησε; τοῦτο γὰρ ἡμᾶς διδάξαι βουλόμενος ὁ μακάριος Μωυσῆς ἐπήγαγε, καὶ ἐγένετο μετὰ τὸ παύσασθαι τὸν Ἰσαὰκ εὐλογοῦντα Ἰακὼβ τὸν υἱὸν αὐτοῦ, καὶ ἐγένετο ὡς ἐξῆλθεν ἀπὸ προσώπου Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, καὶ ἰδοὺ Ἠσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας. ὅρα πῶς μετὰ τὴν τούτου ἔξοδον ἐκεῖνος εὐθέως παρεγένετο· οὐχ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλ' ἵνα ἀγνοῶν παραγάγῃ καὶ αὐτὸς τὰ ἐδέσματα, καὶ παρὰ τοῦ πατρὸς μάθῃ ἅπασαν τοῦ πράγματος τὴν ὑπόθεσιν. εἰ γὰρ ἔφθη καταλαβεῖν τὸν ἀδελφὸν, ἴσως ἂν αὐτὸν καὶ διεχειρίσατο ἡττώμενος ὑπὸ τοῦ θυμοῦ. ὁ γὰρ μετὰ ταῦτα τοῦτο βουλευσάμενος, πολλῷ μᾶλλον ἐν ἀκμῇ τοῦ πράγματος τοῦτο ἂν εἰργάσατο. ἀλλ' ἡ τοῦ θεοῦ χεὶρ ἦν ἡ τὸν παῖδα διασώζουσα, καὶ τοῦτον μὲν ἄξιον τῆς εὐλογίας ἀπεργασαμένη, ἐκεῖνον δὲ ἀποστερήσασα καὶ τῆς εὐλογίας καὶ τῶν πρωτοτοκίων. παραγενόμενος δέ φησιν, ἐποίησε καὶ αὐτὸς ἐδέσματα, καὶ προσήνεγκε τῷ πατρὶ αὐτοῦ, καὶ εἶπεν, ἀναστήτω ὁ πατήρ μου, καὶ φαγέτω τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. ὅρα μοι πάλιν τὸν δίκαιον ἐν θορύβῳ γινόμενον καὶ διαταραττόμενον τὸν λογισμόν. ἀκούσας γάρ, φησιν, εἶπεν, τίς εἶ σύ; ὁ δὲ εἶπεν· ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος Ἠσαῦ. ὅρα πῶς μεγαλοφρονεῖ ἐπὶ τῷ πράγματι· οὐκ ἠρκέσθη τῷ εἰπεῖν, ἐγώ εἰμι Ἠσαῦ, ἀλλὰ προσέθηκεν, ὁ πρωτότοκος. ἐξέστη δὲ Ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα, καὶ εἶπε, τίς οὖν ὁ θηρεύσας μοι θήραν, καὶ εἰσενέγκας μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ σε ἐλθεῖν, καὶ εὐλόγησα αὐτὸν, καὶ εὐλογημένος ἔστω; ὅρα πῶς καὶ εἰς ἀπορίαν γενόμενος ὁ δίκαιος, καὶ διηγούμενος αὐτῷ τὸ συμβὰν, ὅμως προσέθηκε, καιρίαν ἐκείνῳ διδοὺς τὴν πληγήν, ὃ καὶ εὐλόγηκα αὐτὸν, καὶ εὐλογημένος ἔστω. τοῦτο δὲ ἐποίει ὁ δίκαιος τῆς τοῦ θεοῦ σοφίας ὁδηγούσης αὐτοῦ τὴν γλῶτταν, ἵνα πάντα μετὰ ἀκριβείας ἐκεῖνος μαθὼν εἰδέναι ἔχῃ, ὡς οὐδὲν αὐτῷ πλέον ἔσται οὔτε ἀπὸ τῶν πρωτοτοκίων, οὔτε

A Hinc diſcamus, quando quis iuxta voluntatem Dei ſua diſpenſare vult, tanto ſuperno ſubſidio adiuuatur, vt hoc planè reipſa experiatur. Quis enim non admiretur & obſtupeſcat Dei ineffabilem diſpenſationem, quòd non prius Eſau da venatione aduenit, quouſque ſolueretur fabulæ illius argumentum, & quando ille accepta benedictione à patre diſceſſit? Hoc enim nos docere vult beatus Moſes. [30] *Et factum eſt poſtquam ceſſauit Iſaac benedicere Iacob filium ſuum: & factum eſt quando exiit Iacob à facie Iſaac patris ſui, Eſau* B *frater ſuus venit de venatione.* Vide quomodo poſt illius exitum alter ſtatim aduenit. Non hoc abſque cauſa vel temerè factum, ſed vt ignorans afferret & ipſe edulia, & à patre addiſceret rem totam vt acta erat. Nam ſi prius nouiſſet, & in fratrem incidiſſet, forſitan & ipſum interemiſſet, victus ira. Nam qui hoc poſtea deliberauit, multò magis in negocio medio attentaſſet. Sed manus Dei erat, quæ puerum ſaluabat: & hunc quidem dignum C benedictione effecit, illum autem & benedictione priuauit & primogenitura. *Vt autem aduenit,* inquit, *fecit & ipſe edulia, & attulit patri ſuo, & dixit: Surgat pater meus, & comedat de venatione filij ſui, vt benedicat me anima tua.* Vide obſecro, iterum iuſtum perturbari, & mente cruciari: dicit enim, *vt autem audiuit*, dixit: *Quis es tu? Ille autem dixit, Ego ſum filius tuus primogenitus Eſau.* Vide quomodo ſuperbit in cauſa. Non eſt contentus quòd dicat, ego ſum Eſau: ſed ad- D didit, primogenitus. [33] *Obſtupuit autem Iſaac ſtupore vehementi, & dixit: Quis igitur venatus eſt mihi venationem, & attulit mihi, & comedi de omnibus antequam tu venires: & benedixi eum, & ſit benedictus?* Vide quomodo in perplexitate conſtitutus iuſtus, & narrans factum, grauiter illius animum vulnerauit. Et benedixi eum, & ſit benedictus. Hoc autem faciebat iuſtus, ſapientia Dei illius linguam dirigente, vt cùm ille omnia diligenter didicerit, ſcire poſſit nihil ei profore vel primogenituram, vel venationem.

Prouidentia diuina in hoc facto.

[34] *Auditis ſermonibus patris, Eſau clama-*
uit voce magna & acerba. Indignatio-
nem ſignificauit per verbum, & iram
qua ſuccenſus, cùm hæc didiciſſet:
& dixit, [35] *Benedic, obſecro, & me pater.*
Dixit autem ei, Frater tuus venit cum do-
lo, & accepit benedictionem tuam. Prior,
inquit, frater tuus benedictionem
omnem vbertim & copioſè abripuit.
Et vt ſcias, quòd ſuperna gratia fue-
rit cooperata in hoc, vt iuſtus deci-
peretur, vide quomodo ipſe hoc fa-
teatur, dicens: Venit frater tuus cum
dolo: quaſi excuſet ſe apud puerum,
& doceat, ignorans illi benedictio-
nes impendi, & paratus eram tibi eas
largiri: ſed ille venit cum dolo, & ac-
cepit benedictionem tuam. Hæc tibi
præparatæ erant, ſed ille præripuit,
non hoc mea culpa factum eſt. [36] *Et*
dixit, inquit, *Eſau: Rectè vocatum eſt*
nomen eius Iacob, ſupplantauit enim me
iam ſecundò: & primogenita mea tulit, &
nunc accepit benedictionem. Non in va-
num, inquit, nomen hoc ſortitus eſt:
ſupplantationem enim interpreta-
mur nomen eius: id quod hîc in me
declarauit, & primogenitis & bene-
dictione priuans. Quid igitur ad pa-
trem Eſau? *Non reſeruaſti & mihi bene-*
dictionem pater? Reſpondit autem Iſaac,
& dixit Eſau: Diſce, inquit, quòd omnes
benedictiones in eum effudi; cum eum fe-
cerim Dominum tuum. Vide quomodo
ſtatim ab hoc exorditur. Nihil enim
aliud ei quàm ſeruitutem ſignifi-
cat & ſubiectionem, ac dicit: *Si eum*
feci dominum tuum, & omnes fratres e-
ius ſeruos, frumento & vino ſtabiliui
eum: tibi autem quid faciam fili? Ni-
hil aliud vltrà relictum eſt: cùm do-
minum eum fecerim tuum, & om-
nes famulos fratres, & rerum neceſ-
ſariarum vbertatem auxerim, quid
aliud vltrà relictum eſt? [38] *Dixit au-*
tem Eſau ad patrem ſuum: Num benedi-
ctio vna tibi eſt pater? benedic, obſecro, &
me. Quoniam audiuit patrem dicen-
tem: Et benedixi eum, & benedictus
erit, atque omnem illi deinde bene-
dictionem manifeſtauit: tūc inquit,
Benedic, obſecro, & me pater. num
vna tibi benedictio eſt? Non potes &
mihi vel vnam benedictionem im-
partiri, qui ita à te diligor, qui primo-
genitus, qui à te in venationē miſſus
ſum? Adobruit patrem enim verbis.

Iacob ſupplā- tationē ſonat.

A ἀκούσας δέ, φησιν, Ησαῦ ἀνεβόησε φωνὴν μεγάλην σφόδρα καὶ πικράν. τί ἐστι, φωνὴν μεγάλην σφόδρα καὶ πικράν; τὸν θυμὸν ἠνίξατο διὰ τοῦ ῥήματος, καὶ τῆς ὀργῆς, ἧς ἐπλήσθη ταῦτα μαθὼν, τὴν ὑπερβολήν. καὶ εἶπεν, εὐλόγησον δὴ κἀμὲ πάτερ. εἶπε δὲ αὐτῷ, ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου ἔλαβε τὴν εὐλογίαν σου. προλαβὼν, φησιν, ὁ ἀδελφός σου τὴν εὐλογίαν πᾶσαν ἐπεσπάσατο μετὰ πολλῆς τῆς δαψιλείας. καὶ ἵνα γνῷς ὅτι ἡ ἄνωθεν χάρις ἦν, ἡ τὸν δίκαιον ἀπατηθῆναι συνεργήσασα, ὅρα πῶς αὐτὸς τοῦτο ὁμολογεῖ λέγων, ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου, μονονουχὶ ἀπολογούμενος τῷ παιδὶ, καὶ
B διδάσκων αὐτὸν, ὅτι ἀγνοῶν ἐπ᾽ ἐκεῖνον τὰς εὐλογίας ἐποιησάμην, καὶ ὅτι εἰς σὲ ταύτας ἕτοιμος ἤμην ποιήσασθαι. ἀλλ᾽ ἐκεῖνος ἐλθὼν μετὰ δόλου ἔλαβε τὴν εὐλογίαν σου, τά σοι παρασκευασθέντα ἐκεῖνος ἐδέξατο· οὐ παρὰ τὴν ἐμὴν δὲ αἰτίαν γέγονε. καὶ εἶπε, φησιν, Ησαῦ· δικαίως ἐπεκλήθη τὸ ὄνομα αὐτοῦ Ιακώβ· ἐπτέρνικε γάρ με ἤδη δεύτερον τοῦτο· τά τε πρωτοτόκιά μου εἴληφε, καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου. οὐ μάτην, φησὶ, τῆς προσηγορίας ταύτης ἠξιώθη. πτερνισμὸς γὰρ ἑρμηνεύεται τὸ ὄνομα αὐτοῦ, ὅπερ ἔργοις εἰς ἐμὲ ἐπεδείξατο, καὶ τῶν πρωτοτοκίων ἀποστε-
C ρήσας καὶ τῆς εὐλογίας. τί οὖν ὁ Ησαῦ πρὸς Ισαάκ; οὐχ ὑπελίπου μοι εὐλογίαν πάτερ; ἀποκριθεὶς δὲ Ισαὰκ εἶπεν αὐτῷ, μάνθανε, φησιν, ὅτι πάσας εἰς αὐτὸν ἐξέχεα τὰς εὐλογίας, εἰ κύριον αὐτὸν ἐποίησά σου. ὅρα πῶς εὐθέως ἀπὸ τούτου ἄρχεται, καὶ οὐδὲν ἕτερον λέγει, ἀλλὰ τὴν δουλείαν αὐτῷ σημαίνει καὶ τὴν ὑποταγήν. καί φησιν, εἰ κύριον αὐτὸν ἐποίησά σου, καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ οἰκέτας, σίτῳ καὶ οἴνῳ ἐστήριξα αὐτόν, σοὶ δὲ τί ποιήσω τέκνον; οὐδὲν ἕτερον λοιπὸν ὑπολέλειπται. εἰ δεσπότην αὐτὸν ἐποίησά σου, καὶ πάντας αὐτοῦ οἰκέτας τοὺς ἀδελ-
D φοὺς, καὶ τῶν ἀναγκαίων αὐτῷ τὴν ἀφθονίαν ἐπηυξάμην, τί λοιπὸν ἕτερον λείπεται; εἶπε δὲ Ησαῦ πρὸς τὸν πατέρα αὐτοῦ, μὴ εὐλογία μία σοί ἐστι πάτερ; εὐλόγησον δὴ κἀμέ. ἐπειδὴ ἤκουσε τοῦ πατρὸς εἰπόντος, καὶ εὐλόγησα αὐτὸν, καὶ εὐλογημένος ἔσται, εἶτα καὶ τὴν εὐλογίαν αὐτῷ πᾶσαν δήλην ἐποίησε, τότε φησὶν, εὐλόγησον δὴ κἀμὲ πάτερ. μὴ γὰρ μία σοί ἐστιν εὐλογία; μὴ γὰρ οὐχ ἱκανὸς σὺ κἀμὲ ἀξιῶσαι τῆς παρὰ σοῦ εὐλογίας, τὸν οὕτω παρὰ σοῦ ἀγαπώμενον, τὸν πρωτότοκον, τὸν διὰ τὴν θήραν παρὰ σοῦ ἀποσταλέντα; συνέχεε διὰ τῶν ῥημάτων τὸν πατέρα.

Κατανυγέντος γάρ, φησιν, Ἰσαάκ, ἀνεβόησε φωνῇ Ἡσαῦ, καὶ ἔκλαυσεν. εἶδε τὸν πατέρα ἐν ἀμηχανίᾳ ὑπάρχοντα, καὶ οὐ δυνάμενον οὐδὲ ἀνεχόμενον ἀνατρέψαι τὰ ἤδη γεγονότα. καὶ ὁ μὲν τῇ βοῇ καὶ κλαυθμὸν προσέθηκεν, εἰς πλείονα συμπάθειαν ἀγαγεῖν τὸν πατέρα βουλόμενος. οἰκτείρας δὲ αὐτὸν ὁ Ἰσαάκ, εἶπεν αὐτῷ· ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν, καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις. ἔσται δὲ ἡνίκα ἂν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου. ἐπειδή, φησι, καὶ αὐτὸς τῆς παρ' ἐμοῦ εὐλογίας ἀπολαῦσαι ἐπιθυμεῖς, μάνθανε ὅτι οὐχ οἷόν τέ με ἐναντία τῇ τοῦ θεοῦ γνώμῃ διαπράξασθαι· ἀλλὰ καί σοι μὲν ἐπεύχομαι τὴν ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἀπόλαυσιν· ἴσθι δὲ μέλλων πολεμικὸν ἀναδέξασθαι βίον. ἐπὶ τῇ μαχαίρᾳ γάρ σου ζήσῃ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις. ἀλλὰ μηδεὶς ἀκούων ταῦτα ξενιζέσθω, ὁρῶν μετὰ ταῦτα τὸν ἀδελφὸν ἀλήτην γενόμενον διὰ τὸν παρὰ τούτου φόβον καὶ εἰς τὴν ἀλλοτρίαν ἐπειγόμενον, μηδὲ τοῖς προοιμίοις προσέχων, νομιζέτω διαπίπτειν τὴν πρόρρησιν. ὅταν γὰρ ὁ δεσπότης τι ὑπόσχηται, κἂν ἐναντία τῶν ὑποσχέσεων ἴδωμεν ἐν τοῖς προοιμίοις ἐκβαίνοντα, μὴ θορυβώμεθα. οὐ γὰρ οἷόν τέ ποτε μέχρι τέλους διαμαρτεῖν. τοῦτο δὲ γίνεται, ἵνα λαμπρότεροι διὰ πάντων οἱ δίκαιοι δεικνύμενοι, τὴν περιουσίαν τῆς τοῦ θεοῦ δυνάμεως κατάδηλον ἡμῖν ἅπασι γενέσθαι παρασκευάσωσι. καὶ ἐφ' ἑκάστου τῶν δικαίων τοῦτο εὑρήσεις, εἰ βουληθείης ἁπάσας μετ' ἀκριβείας κατιδεῖν τὰς ἱστορίας, ὃ δὴ καὶ νῦν γεγένηται. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι νῦν εὐθέως φυγὰς ἐγίνετο, ἀλλὰ τὴν μετὰ ταῦτα περιφάνειαν λογίζου, καὶ ὅτι τοῦ χρόνου παραδραμόντος αὐτὸς οὗτος ὁ φοβερὸς αὐτῷ γεγονὼς τοσαύτην περὶ αὐτὸν ἐπιδείκνυται τὴν αἰδῶ, καὶ ὅτι εἰς τοσαύτην ἦλθε δόξαν μετὰ τὴν ἐπὶ τῆς ξένης ταλαιπωρίαν, ὡς καὶ τοὺς ἐξ αὐτοῦ τεχθέντας εἰς ἄπειρον πλῆθος ἐκταθῆναι, καὶ διὰ τῆς τούτου προσηγορίας ἅπαν τὸ ἔθνος χαρακτηρίζεσθαι. νυνὶ δὲ διδάσκουσα ἡμᾶς ἡ θεία γραφὴ τοῦ ἀδελφοῦ τὸν θυμόν, καὶ ὅτι πρὸς φόνον ἀπέβλεπε, φησι, καὶ ἐνεκότει Ἡσαῦ τῷ Ἰακὼβ περὶ τῆς εὐλογίας, ἧς ηὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. καὶ ἵνα μάθωμεν ὅτι οὐχ ἁπλῶς ὀργὴ ἦν πρόσκαιρος τοῦτο, διὰ τῆς λέξεως ἐσήμανεν ἡμῖν τῆς κακίας αὐτοῦ τὴν ὑπερβολήν.

A 39 *Compunɛto autem Iſaac*, inquit, *clamauit voce magna Eſau, & fleuit.* Vidit patrem conſilio deſtitutum, & non poſſe, neque velle reuocare quæ facta ſunt: & clamori etiā adiecit ploratum, ad maiorem compaſſionem. Miſertus itaque eius Iſaac, inquit, dicit ei: *Ecce de pinguedine terræ erit habitatio tua, & de rore coeli deſuper,*
40 *& in gladio tuo viues, & fratri tuo ſeruies: erit autem quando depones & exolues iugum eius à collo tuo.* Quoniam, inquit, & ipſe meam benedictionem deſideras, diſce quòd non eſt poſſibile vt agam quæ diuinæ voluntati B aduerſa ſunt: ſed & tibi quidem apprecor, vt rore cœli fruaris: ſcias autem quòd militarem vitam acturus es, & in gladio tuo viues, & fratri tuo ſeruies. Cæterum nullus audiens hęc miretur, videns poſt hæc fratrem vagum factum ob illius metum, & in terram alienam contendentem: neque initia attendens, exiſtimet vaticinium excidere. Nam quando Dominus aliquid pollicetur, etſi diuerſa his quæ pollicetur videamus in principio euenire, non turbe- C mur: neque enim poſſibile eſt vt ad finem vſque aberrent. Hoc autem fit, vt dum iuſti per omnia fulgidiores redduntur, abundantiam virtutis Dei manifeſtam nobis omnibus fieri efficiant. Et in vno quoque ſanctorum hoc inuenies, ſi volueris hiſtorias ſingulas diligenter animaduertere: quod ſanè nunc quoque factum eſt. Ne hoc attendas, quòd nunc ſtatim profugus fit, ſed cogita gloriam quæ poſthac ſequetur: quia temporis proceſſu hic ipſe ſic terribilis illi factus, tantam erga D eum declaret reuerentiam, in tantámque venit gloriam poſt ærumnas, quas in terra aliena tulit, vt qui ex ipſo nati in immenſam multitudinem propagentur, & eius nomine tota gens cognominetur ac ſit diſcreta. Nunc autem docens nos diuina ſcriptura fratris indignationem, & quòd homicidium ſpectarit, inquit. 41 *Et odio graui proſequebatur Eſau Iacob, propter benedictionem, qua benedixerat eum pater ſuus.* Et vt ſciamus, quòd non fuerit ſimplex & ſubitanea ira, per verbum nobis ſignificauit malitię eius excellentiam,

Benedictionis Eſau expoſitio.

A Graui enim odio perſequebatur dicit: hoc eſt, inſidebat & perdurabat odium, ita vt & mentem in profundo latentem manifeſtaret per verba, inquit: *Dixit enim in corde ſuo, appropinquent dies luctus patris mei, vt occidam Iacob fratrem meum.* Verè omnino is qui iraſcitur non quàm, qui furioſi ſunt, inſanit. Conſidera enim quomodo dæmō ille ſicut inſanientes ſubingreſſus, mēte deſtituit correptos, & perſuadet vt faciant planè contraria iis qui oculis ſunt prædíti. Neque enim rectè vident illi, neque aliud quiddam vtile faciunt: ſed quaſi corruptis ſenſoriis, & diiudicādi vi amiſſa, faciunt omnia. Ita ſanè & qui iraſcūtur, non agnoſcunt præſentes, non memores ſunt cognationis: non amicitiam, non conſuetudinem, non dignitatē, neq; quicquam aliud in mentem accipiunt, ſed irę vi preſſi, in præceps miſerabiliter feruntur. Quid igitur illis fuerit miſerius, quando victi & capti ab affectione etiam homicidium meditantur? Propterea beatus Paulus radicem huius mali volens extirpare, admonet, & ſcribens ſic dicit: Omnis ira & indignatio, & clamor auferatur à vobis cum omni malitia. Non ſolùm, inquit, nolo vos ſuccenſere & indignari, & iraſci, ſed neque cum clamore proximis loqui: clamorem hîc dicēs, qui ab ira naſcitur. Quando enim affectio hæc intrinſecus excitatur, & cor tumet, non iam ſinit, vt lingua vltrà placidè loquatur: ſed affectionem cordis demonſtrans, efficit vt clamoſè cum proximo loquatur. Volēns igitur beatus ille, ſibi obtemperantes in perpetua verſari tranquillitate, dixit: Omnis ira, hoc eſt, à qualicunque cauſa moueatur: & omnis indignatio, & omnis clamor tollatur à vobis. Deinde radicem huius mali volens areſacere & inutilem reddere, dicit: cum omni malitia. Nam qui ſic afficitur, ſemper in portu ſedet, à fluctibus liber: & neque tempeſtatem timet, neque naufragium: ſed quaſi in tranquillitate nauigans, vel in littore ſedens, ita præſentem vitam trahit, non ſolùm ab omni turbatione liber, ſed & immortalium & ineffabilium bonorum fructus ſibi per omnia concilians.

Moralis epilogus.

Ira furor breuis eſt.

Epheſ. 4.31.

A ἐνεκότει γάρ φησιν, αὐτὶ τοῦ, ἐνέκειτο, ἐπέμενεν, ὡς καὶ διὰ τῶν ῥημάτων τὴν ἐν τοῖς βάθεσι κρυπτομένην γνώμην φανερὰν καταστῆσαι. Εἶπε γάρ, φησιν, ἐν τῇ διανοίᾳ, ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου. ὄντως ἄρα καὶ τῶν μαινομένων αὐτῶν οὐκ ἔλαττον ὁ θυμούμενος παραπαίει. σκόπει γάρ, ὅπως καθάπερ τοὺς μαινομένους ὁ δαίμων ἐκεῖνος ἐπεισελθὼν ἔκφρονας ἐργάζεται, καὶ ἐναντία τοῖς ὁρωμένοις διαπράττεσθαι ἀναπείθει. οὐ γὰρ ὁρῶσιν ὑγιῶς, οὔτε ἕτερόν τι διαπράττονται τῶν χρησίμων, ἀλλὰ καθάπερ τὰς αἰσθήσεις πεπηρωμένοι, καὶ τὸ διακριτικὸν διαφθείραντες, οὕτως B ἅπαντα ἐργάζονται· οὕτω καὶ οἱ θυμούμενοι, οὐ τοὺς παρόντας ἐπιγινώσκουσιν, οὐ συγγενείας μέμνηνται, οὐ φιλίας, οὐ συνηθείας, οὐκ ἀξιώματος, οὐκ ἄλλου τινὸς ἔννοιαν λαμβάνουσιν, ἀλλ᾽ ὅλοι ὑπὸ τοῦ θυμοῦ τυραννούμενοι κατὰ κρημνῶν φέρονται. τί οὖν ἂν εἴη τῶν τοιούτων ἐλεεινότερον, ὅταν ἁλόντες ὑπὸ τοῦ πάθους, καὶ αἰχμάλωτοι γινόμενοι, καὶ πρὸς φόνον ἐπείγονται; διὰ τοῦτο ὁ μακάριος Παῦλος τὴν ῥίζαν ἀποσπάσαι βουλόμενος τοῦ κακοῦ, γράφων παρῄνει οὕτω λέγων, πᾶσα ὀργὴ καὶ C θυμὸς καὶ κραυγὴ ἀρθήτω ἀφ᾽ ἡμῶν σὺν πάσῃ κακίᾳ. οὐ μόνον, φησί, θυμοῦσθαι ὑμᾶς οὐ βούλομαι, οὐδὲ μὴ ὀργίζεσθαι, ἀλλὰ μηδὲ μετὰ κραυγῆς τοῖς πλησίον διαλέγεσθαι, κραυγὴν ἐνταῦθα λέγων τὴν ὑπὸ τοῦ θυμοῦ γινομένην. ὅταν γὰρ τὸ πάθος ἔνδοθεν διεγείρηται, καὶ ἡ καρδία οἰδαίνῃ, οὐκ ἔτι λοιπὸν ἡ γλῶσσα ἠρέμα φθέγγεσθαι ἀνέχεται, ἀλλὰ τὴν διάθεσιν τῆς καρδίας ἐμφαίνουσα, μετὰ κραυγῆς τοῖς πλησίον διαλέγεσθαι παρασκευάζει. βουλόμενος οὖν ἐν γαλήνῃ διάγειν διηνεκεῖ τοὺς αὐτῷ πειθομένους ὁ μακάριος οὗτος, εἰπὼν πᾶσα ὀργή, ἔδειξε τί ἐστι πᾶσα ὀργή, ἡ ἀφ᾽ οἱουδή- D ποτε πράγματος κινουμένη, καὶ πᾶς θυμὸς καὶ πᾶσα κραυγὴ ἀρθήτω ἀφ᾽ ὑμῶν· εἶτα αὐτὴν τὴν ῥίζαν τῆς κακίας ξηρᾶναι βουλόμενος καὶ ἄκαρπον ἐργάσασθαι, φησι, σὺν πάσῃ κακίᾳ. ὁ γὰρ οὕτω διακείμενος διηνεκῶς ἐν λιμένι κάθηται, τῶν ἀπὸ τῆς γῆς κυμάτων ἀπηλλαγμένος, καὶ οὔτε χειμῶνα δέδοικεν, οὔτε ναυάγιον, ἀλλὰ καθάπερ ἐν γαλήνῃ πλέων, ἢ ἐν εὐδίῳ λιμένι καθήμενος, οὕτως ἕλκει τὸν παρόντα βίον πάσης ταραχῆς ἐκτὸς ὤν, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τῶν ἀθανάτων καὶ ἀπορρήτων ἀγαθῶν τὴν ἀπόλαυσιν ἑαυτῷ διὰ πάντων προξενῶν γίνοιτο

Ἠθικό

ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φι- A λανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία νδ.

Καλέσασα δὲ Ῥεβέκκα τὸν υἱὸν αὐτῆς τὸν νεώτερον, εἶπεν αὐτῷ:

Εἴδετε χθὲς καὶ τοῦ τελώνου τὴν πολλὴν εὐγνωμοσύνην, καὶ τοῦ δεσπότου τὴν ἄφατον φιλαν- B θρωπίαν, καὶ τῶν Ἰουδαίων τὴν ὑπερβάλλουσαν ἀναισθησίαν; εἴδετε πῶς ἅπαντας ἡμᾶς ἐπαίδευσεν ὁ μακάριος Ματθαῖος, δι' ὧν οὕτω ταχέως ὑπήκουσε, δι' ὧν τοσαύτην ἐπεδείξατο τὴν μεταβολὴν, ὅτι ἐν τῇ προαιρέσει κεῖται τῇ ἡμετέρᾳ μετὰ τὴν ἄνωθεν χάριν τὰ τῆς ἀρετῆς, καὶ τῆς κακίας· καὶ ὅτι καὶ σπουδάζοντες δυνάμεθα γενέσθαι ἐνάρετοι, καὶ ῥᾳθυμήσαντες πάλιν εἰς τὸν τῆς ἁμαρτίας κρημνὸν καταφερόμεθα; τοῦτο γάρ ἐστι, ᾧ τῶν ἀλόγων διεστήκαμεν, τὸ λόγῳ τετιμῆσθαι ἡμᾶς C παρὰ τοῦ φιλανθρώπου θεοῦ, καὶ ἐν τῇ φύσει τῇ ἡμετέρᾳ ἐναποκεῖσθαι τὴν γνῶσιν τοῦ καλοῦ. καὶ τοῦ πονηροῦ. μηδεὶς τοίνυν προφασιζέσθω ὡς δι' ἄγνοιαν ἀρετῆς ἀμελῶν, ἢ διὰ τὸ μὴ ἔχειν τὸν ὑποδεικνύντα τὴν ταύτης ὁδόν. ἀρκοῦντα γὰρ ἔχομεν διδάσκαλον, τὸ συνειδὸς, καὶ οὐχ οἷόν τέ τινα ἀπεστερῆσθαι τῆς ἐκεῖθεν βοηθείας. καὶ γὰρ ἅμα τῇ πλάσει τοῦ ἀνθρώπου καὶ ἡ γνῶσις τῶν πρακτέων αὐτῷ ἐναπετέθη, ἵνα τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξάμενος, καθάπερ ἐν παλαίστρᾳ τινὶ, τῷ παρόντι βίῳ ἐγγυμνασάμενος πρὸς τοὺς τῆς ἀ- D ρετῆς πόνους, τὰ ὑπὲρ τῆς ἀρετῆς βραβεῖα κομίσηται, καὶ ἐν βραχεῖ χρόνῳ πονήσας, ἐν διηνεκεῖ τῷ αἰῶνι τῶν στεφάνων ἀξιωθείη, καὶ ἐν τῷ ἐπικήρῳ τούτῳ αἰῶνι τὴν ἀρετὴν ἑλόμενος, ἐν τοῖς ἀπείροις καὶ ἀϊδίοις αἰῶσι τῶν ἀθανάτων ἀγαθῶν ἀπολαύῃ. ὅπερ εἰδότες, ἀγαπητοὶ, μὴ προδῶμεν ἡμῶν τὴν εὐγένειαν, μὴ ἀγνώμονες περὶ τὴν τοσαύτην εὐεργεσίαν γινώμεθα, μηδὲ τὸ πρόσκαιρον τῆς δοκούσης ἡδονῆς μεταδιώξαντες, διηνεκῆ τὴν ὀδύνην ἑαυτοῖς κατασκευάσωμεν.

Qui nobis omnibus concedantur, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit ſimul gloria, honor, imperium, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

HOMILIA LIIII.

Rebecca autem vocato filio ſuo iuniore, dixit ei. Geneſ. 27.42.

VIDISTIS heri, dilectiſſimi, & publicani magnam gratitudinem, & Domini ineffabilẽ miſericordiam, & Iudæorũ ſtupiditatem immenſam? Vidiſtis quomodo omnes nos erudierit beatus Matthæus, ſtatim obediens, & tantam morum mutationem præ ſe ferens: quòd in voluntate noſtra, poſt ſupernam gratiam, ſitæ ſunt & virtutes, & vitia: & quòd opera adhibita, poſſumus fieri virtutibus conſpicui: & contrà deſides facti, in peccati præcipitium deferri? Hoc enim eſt, quo à brutis differimus, quia ratione inſigniti ſumus, & à benigno Deo, in natura noſtra inſita eſt ſcientia boni & mali. Nullus ergo prætexat, quòd ignorans virtutem negligat, vel quòd non habeat aliquem viæ ducem & demonſtratorem. Sufficientem enim magiſtrum habemus conſcientiam, & fieri non poteſt, vt quis illo adiumẽto priuetur. Nam ſimul cum formatione hominis, inſita eſt ſcientia faciendorum & non faciendorum: vt noſtra gratitudine declarata, in præſenti vita, quaſi in palæſtra quadam exercitati, ſecundum virtutum labores præmia reportemus: & breui tempore laborantes, perpetuas coronas mereamur, & in momentaneo hoc ſeculo virtutẽ amplexati, æternis bonis in infinita ſecula fruamur. Id ſanè ſcientes fratres, noſtram ne perdamus generoſitatem, ne ſimus tantæ beneficentiæ ingrati: ne ſectemur voluptates, quæ tam breui tempore durant, perpetuum dolorem nobis accerſentes:

Gratiæ diuinæ auxiliũ.

Conſciẽtia ſufficiens magiſter.

ſed ante nos ſemper videntes oculum qui nunquam ſopitur, qui & abſcondita cordis nouit, res noſtras ita inſtituamus & moderemur, & muniti armis ſpiritus noſtram declaremus gratitudinem, vt & gratiam, & auxilium ſupernè nobis accipiamus, ad vincendum communem ſalutis noſtræ hoſtem, & ad irritas reddēdas eius machinationes, & ad promerendam illorum bonorū fruitionē, quæ promiſit Dominus diligentibus ſe. Ne ergo ſpectet quis ad laborem virtutum, ſed cœleſtia lucra cogitantes promptè labores obeamus. Nam ſi hi qui in terrenis verſantur negotiis, & in colligendas opes inſaniunt, omnia promptè ſuſcipiunt facienda: & videntes ante oculos pericula maris, piratarum inſidias & naufragia, non franguntur, nec ſegniores fiunt, quamuis (quod plus eſt) de fine nihil certi habeant: qualem nos habituri ſumus defenſionem, ſi non omni ſtudio & alacritate accingamur ad virtutum ſtudia & agones, propter æterna illa bona? Quare ita ingrati ſumus benefactori noſtro, & neque quæ iam donata ſunt verſamus animo; neque promiſſa cogitamus: ſed omnium (propemodum) obliti, fruſtra & in vanum, quaſi pecudes, vitam totam tranſigimus: animæ quidem nullam facientes curam, ventrem autem ſolum impinguantes, atque etiam propter hoc corpori multum nocentes, & corpori ob voracitatem & immoderantiam multa paramus incommoda, animam verò fame perire ſinimus: tametſi præſtantior anima ſit quàm corpus, & ablata illa, hoc mortuum relinquatur? Cum igitur oporteret & huic & illi congrua & conuenientia præbere alimenta, modum neque hîc, neque illic ſeruantes, vtrique nocemus: hoc plus quàm oportet ſaginantes, illam autem fame perire cogentes. Et quod omnium Dominus loco maximę indignationis aliquando interminatus eſt Iudæorum populo, dicens: Dabo vobis non famem panis, neque ſitim aquæ, ſed famem audiendi ſermonem Domini: docens nos, quòd illa quidem fames corpus emaciat,

Ingluuies corpori noxia.

Amos 8. 11.

A ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν τὸν τὰ ἀπόῤῥητα τῆς διανοίας ἐπιστάμενον διηνεκῶς προορώμενοι, οὕτως ἅπαντα τὰ καθ' ἑαυτοὺς οἰκονομώμεθα, καὶ τοῖς ὅπλοις τοῦ πνεύματος φραξάμενοι, καὶ τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξάμενοι, ἐπισπασώμεθα τὴν ἄνωθεν ῥοπὴν, ἵνα τῆς ἐκεῖθεν ἀπολαύοντες συμμαχίας, καὶ τοῦ ἐχθροῦ καὶ πολεμίου περιγενόμενοι, καὶ ἄκυρα αὐτοῦ καταστήσαντες τὰ μηχανήματα, τῶν ἀγαθῶν ἐκείνων ἀπολαῦσαι δυνηθῶμεν, ὧν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτὸν ὁ κύριος. μὴ τοίνυν πρὸς τὸν πόνον τις ὁράτω τῆς ἀρετῆς, ἀλλὰ τὸ ἐντεῦθεν κέρδος λογι-
B ζόμενος ἑτοίμως τοὺς ὑπὲρ ταύτης πόνους καταδεχέσθω. εἰ γὰρ οἱ περὶ τὰ βιωτικὰ στρεφόμενοι, καὶ περὶ τὴν τῶν χρημάτων συλλογὴν μεμηνότες, ἅπαντα προθύμως καταδέχονται, καὶ τοὺς κατὰ θάλατταν κινδύνους, καὶ τὰ ναυάγια, καὶ τὰς τῶν πειρατῶν ἐφόδους προορῶντες, οὐδὲ οὕτως ὀκνηρότεροι γίνονται, καὶ ταῦτα οὐδὲ θαῤῥεῖν περὶ τοῦ τέλους δυνάμενοι· ποίαν ἡμεῖς ἕξομεν ἀπολογίαν τῶν ἀθανάτων ἐκείνων ἕνεκεν πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας μὴ πάσῃ σπουδῇ καὶ προθυμίᾳ ἀποδυόμενοι; τίνος ἕνεκεν οὕτως ἀγνώμονες περὶ
C τὸν εὐεργέτην γινόμεθα, καὶ οὔτε τὰ ἤδη δωρηθέντα λογιζόμεθα, οὔτε τὰ ἐπαγγελθέντα ἐννοοῦμεν, ἀλλὰ πάντων, ὡς εἰπεῖν, λήθην ποιησάμενοι, ἁπλῶς καὶ εἰκῇ βοσκημάτων δίκην βίον ἅπαντα παρατρέχομεν, τῆς μὲν ψυχῆς οὐδεμίαν ἐπιμέλειαν ποιούμενοι, τὴν δὲ γαστέρα μόνην διαῤῥηγνύντες, καὶ πολλὴν διὰ ταύτης τῷ ταλαιπώρῳ τούτῳ σώματι τὴν λύμην κατασκευάζοντες, καὶ τούτῳ μὲν διὰ τῆς ἀμετρίας, καὶ τῆς πολλῆς ἀδηφαγίας μυρία πράγματα κατασκευάζειν ἡμῖν παρασκευάζομεν, τὴν δὲ ψυχὴν λιμῷ τήκεσθαι συγχωροῦμεν· καίτοι ψυ-
D χὴ σώματος κυριώτερον, καὶ ἐκείνης ἀπειρηκυίας νεκρὸν τοῦτο καταλείπεται. δέον οὖν κἀκείνην τὴν κατάλληλον καὶ ἁρμόττουσαν παρέχειν τροφὴν ἡμᾶς, ἑκατέροις λυμαινόμεθα, ἀμετρίαν καὶ ἐνταῦθα κἀκεῖ πολλὴν ἐπιδεικνύμενοι, καὶ τὸ μὲν ὑπὲρ τὴν χρείαν πιαίνοντες, τὴν δὲ ὑπὸ λιμοῦ διαφθείρεσθαι καταναγκάζοντες. καὶ ὅπερ ὁ τῶν ὅλων δεσπότης ἐν τάξει μεγίστης ἀγανακτήσεως ἠπείλησέ ποτε τῷ τῶν Ἰουδαίων δήμῳ, λέγων, δώσω ὑμῖν οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου, διδάσκων ἡμᾶς ὅτι ἐκεῖνος μὲν ὁ λιμὸς τὸ σῶμα κατατείνειν δύναται,

ἐστι δὲ ὁ λιμὸς αὐτῇ καθικνεῖται τῆς ψυχῆς τοῦτ' αὐτὸ νῦν, ὅπερ ἀντὶ τιμωρίας ἐκείνοις ἐπάγειν τότε ἠπείλησεν ὁ δεσπότης, ἡμεῖς ἑκόντες ἐπισπώμεθα, καὶ ταῦτα τοῦ θεοῦ τοσαύτην περὶ ἡμᾶς κηδεμονίαν ἐπιδειξαμένου, καὶ οἰκονομήσαντος μετὰ τῆς ἀπὸ τῶν γραφῶν ἀναγνώσεως, ἔχειν ἡμᾶς καὶ τὴν ἀπὸ τῶν διδασκάλων νουθεσίαν. διὸ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην πᾶσαν ῥαθυμίαν ἀποτινάξασθαι, καὶ διεγερθῆναι μικρὸν, καὶ πᾶσαν τὴν σπουδὴν μεταθεῖναι ἐπὶ τὴν τῆς ψυχῆς σωτηρίαν. οὕτω γὰρ ἂν καὶ τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν μετὰ δαψιλείας ἐπισπάσησθε, καὶ ἡμεῖς προθυμότερον τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιησώμεθα, ὁρῶντες εἰς ἔργον ἡμῖν ἐκβαίνουσαν τὴν συμβουλήν. ἐπεὶ καὶ γεωργὸς, ἐπειδὰν ἴδῃ τῆς γῆς τὴν ἐπιτηδειότητα πολλὴν παρέχουσαν αὐτῷ τῶν καρπῶν τὴν φορὰν, καὶ αὐτὸς μετὰ πλείονος τῆς σπουδῆς πρὸς τοὺς τῆς γεωργίας πόνους ἀποδύεται· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς ἂν θεασοίμεθα τὴν κατὰ θεὸν ὑμῶν προκοπὴν, καὶ ὅτι τὰ παρ' ἡμῶν λεγόμενα διὰ τῶν ἔργων ἐνδείκνυσθαι σπουδάζετε, πλείονα καὶ αὐτοὶ τὸν πόνον τὸν διδασκαλικὸν ἐπιδειξόμεθα· ἅτε εἰδότες ὅτι οὐ κατὰ πετρῶν σπείρομεν, ἀλλ' εἰς λιπαρὰν καὶ βαθεῖαν καταβάλλομεν τὰ σπέρματα. διὰ γὰρ τοῦτο καθ' ἑκάστην ἡμέραν τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιούμεθα, ἵνα καὶ ὑμεῖς κερδάναντές τι χρήσιμον ἐντεῦθεν ἀπέλθητε, καὶ τὰ τῆς ἀρετῆς ὑμῖν αὔξηται, καὶ ἡμεῖς ὁρῶντες ὑμῶν τὴν προκοπὴν εὐφραινώμεθα. μὴ γὰρ ἁπλῶς καὶ εἰκῇ λέγειν βουλόμεθα, ὥστε τὸν παρ' ὑμῶν ἔπαινον καρπώσασθαι, καὶ ἵνα κροτήσαντες ὑμεῖς ἀναχωρήσητε; οὐ διὰ τοῦτο (μὴ γένοιτο) ἀλλὰ διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν. ἐμοὶ μέγιστος ἔπαινος καὶ ἀρκετὸς, εἴ τις ἀπὸ τῆς κακίας ἐπὶ τὴν ἀρετὴν μεταβάλλοιτο, εἴ τις περὶ τοῦτο ῥάθυμος ὢν, σπουδαῖος ἐκ τῆς παρ' ἡμῶν ὑπομνήσεως γένηται, τοῦτο καὶ ἐμοὶ μέγιστον φέρει τὸν ἔπαινον καὶ τὴν παραμυθίαν, καὶ ὑμῖν πολὺ τὸ κέρδος καὶ τὸν πλοῦτον τὸν πνευματικόν. ἀλλὰ καὶ ὅτι μετὰ πολλῆς ἐπιδείξεσθε τὴν σπουδὴν, οὐκ ἀμφιβάλλω. οἶδα γὰρ ὅτι θεοδίδακτοί ἐστε, δυνάμενοι καὶ ἄλλους νουθετεῖν. διὰ τοῦτο ἐνταῦθα στήσας τὴν περὶ τούτου συμβουλὴν, τῆς συνήθους ἅψομαι διδασκαλίας, ἐκ τῶν τοῦ μακαρίου Μωυσέως ῥημάτων, μᾶλλον δὲ τῶν παρὰ τοῦ ἁγίου πνεύματος δι' αὐτοῦ ἡμῖν εἰρημένων, μικρά τινα εἰς τὸ μέσον προθεὶς, ἐκεῖθεν ὑμῖν σήμερον τὴν ἑστίασιν παραθήσομαι. ἠκούσατε πρώην ὅπως κατὰ τὴν συμβουλὴν τῆς Ῥεβέκκας ἅπαντα διαπραξάμενος ὁ Ἰακὼβ, τὴν παρὰ τοῦ πατρὸς εὐλογίαν ἐπεσπάσατο, τὴν ἐπαινετὴν ἐκείνην κλοπὴν ἐπιδειξάμενος,

A hæc autem animam attenuat: in hoc inquam, quod Dominus tunc ſupplicij loco illis minabatur, nunc nos ſponte incidimus, idque poſtquam Deus tantam noſtri curam declarauit, & diſpenſauit, vt cum ſacrarum ſcripturarum lectione habeamus & à doctoribus admonitiones. Ideo oro veſtram charitatem, vt excuſſa deſidia expergiſcamini, & ſtudium omne in animæ ſalutem transferatis. Sic enim & à Deo beneuolentiam vberem habebitis, & nos alacriores ad docendum vos erimus, quos videbimus B conſilio noſtro parere. Quoniam & agricola, quando videt terram fœcundam & culturæ idoneam, parat ſe etiam ipſe vt maiori ſtudio illam collat. Eodem modo & nos ſi viderimus veſtrum in diuinis profectum, & quòd ea quæ à nobis dicuntur, factis implere contendatis, maiorem docendi laborem exhibebimus: vtpote ſcientes, quòd non in petris ſeminemus, ſed in pingui & profunda terra. Ea enim de cauſa quotidie vobis concionamur: C vt aliquid lucri faciatis, & virtutes veſtræ creſcant, & nos lætemur videntes veſtrum profectum. Nunquid enim temere & in vanum dicere volumus, vt à vobis laudum fructus recipiamus, & vt plaudentes manibus recedatis? non hoc ſpectamus: abſit: ſed veſtrã vtilitatem: mea maxima laus eſt, & ſummus plauſus, ſi quis à vitiis ad virtutem conuertatur: ſi quis antea deſes, noſtra adhortatione ſtudioſus fiat, hoc & mihi maximum affert ſolatium & laudem, & vobis lu- D crum & diuitias ſpirituales: ſed non ambigo, quin multum ſtudij declaraturi ſitis. Scio enim, quòd à Deo docti eſtis, potentes etiam alios admonere. Propter hoc hic ſiſtens meum conſilium, pergam ad ſolitam doctrinam verborum beati Moſis, imò per eum dictorum à ſancto Spiritu: & vbi pauca quædam propoſuero, hodiernum vobis illinc conuiuium apponam. Audiſtis nuper, quomodo Iacob omnia faciens iuxta conſilium Rebeccæ, patris benedictionem arripuerit, laudatúmque furtum commiſerit,

Cum lectione ſcripturæ monita Doctorum.

Applauſus reiicit Chryſoſtom⁹.

Ideo & cooperatorem Deum habuit, & conatus eius bene ſucceſſit: ſed quia Eſau ob id ipſi valde inuidebat, & ſe ad cædem præparabat. Ita enim ſe habet mala hæc affectio, non ante deſiſtit, donec à ſe captum in præceps deiiciat, & ad homicidij currat ſcelus. Radix enim homicidij inuidia, & fructus inuidiæ homicidium: ita & à principio fuit inter Abel & Cain. Ille enim nihil habens vel paruum vel magnum, de quo accuſaret fratrem, vbi vidit illum Domino probari propter oblationem numerum, ſe verò ob negligentiam ſuam reiici, ad inuidiam ſtatim prouocatus eſt: & nata homicidij radice in mente eius, ſtatim & pernicioſum illum fructum attulit, & homicidium commiſit. Ita ſanè etiam Eſau, cùm accepiſſet frater benedictionem à patre, ab ira & inuidia ad homicidium prouectus, meditabatur mortem fratris. Verum admirabilis illa mater hoc ſentiens, iterum maternum amorem erga filium declarauit: & conſilium affert, quo poſſit è fratris manibus eripi. 42 *Vocato enim*, inquit, *filio ſuo iuniore, dixit ei: Ecce Eſau frater tuus minatur tibi mortem*, 43 *nunc igitur audi vocem meam*. Experientia te doceat, quòd vtilia conſulo. Et ſicut dudum audita voce mea, magnas illas à patre benedictiones aſſecutus es: ita & nunc audi vocem meam, vt effugere poſſis fratris manus. Sic enim & temetipſum à periculis liberum reddes, & me à luctu. Veriſimile enim quòd ille ſi hoc auſus fuerit, pœnam daturus ſit, & ita vndequaque mihi grauis dolor & cruciatus erit. *Audi igitur vocem meam, & ſurge, ſtatímque vade ad Laban fratrem meum in Charran*, 44 *& habita cum eo ad aliquot dies, vſquequo auertatur ira & indignatio fratris tui erga te*, 45 *& obliuiſcatur quæ ei feciſti: & mittam & reducam te inde, ne fortè vno die vobis ambobus orber*. Abi, inquit, ad fratrem meum Laban, & habita illic cum eo. Veriſimile enim, quòd ſeparatio, & temporis proceſſus poterit mitigage iram, & finire inuidiam, & obliuionem afferre eorum quæ in furto benedictionis geſta ſunt. Et obliuiſcatur, inquit, quæ feceris ei.

Radix homicidij inuidia.

A διό καὶ τῆς παρὰ τοῦ θεοῦ συνεργίας ἀπήλαυσε, καὶ εἰς ἔργον ἐξῆλθεν αὐτῷ τὸ σπουδαζόμενον. ἀλλ' ἐπειδὴ ἐντεῦθεν αὐτῷ πολὺς ὁ φθόνος ἐτίκτετο παρὰ τοῦ Ἠσαῦ, καὶ πρὸς φόνον λοιπὸν παρεσκευάζετο ὁ ἀδελφός. τοιοῦτον γὰρ τουτὶ τὸ ὀλέθριον πάθος· οὐ πρότερον ἵσταται, μέχρις ἂν τὸν ὑπὸ τοῦ πάθους ἁλόντα κατὰ κρημνῶν ἐνεχθῆναι παρασκευάσῃ, καὶ πρὸς τὴν τοῦ φόνου παρανομίαν δραμεῖν. ῥίζα γὰρ τοῦ φόνου ὁ φθόνος. οὕτω καὶ ἐξ ἀρχῆς ἐπὶ τοῦ Κάϊν καὶ ἐπὶ τοῦ Ἄβελ γέγονεν. οὐδὲν γὰρ ἔχων οὐδὲ ἐκεῖνος, οὐ μικρόν, οὐ μέγα ἐγκαλέσαι τῷ ἀδελφῷ, ἐπειδὴ εἶδεν εὐδοκιμοῦντα παρὰ τῷ δεσπότῃ τῶν ὅλων ἀπὸ τῆς προσκομιδῆς τῶν δώρων, B καὶ ἑαυτὸν ἀπόβλητον γεγενημένον διὰ τὴν οἰκείαν ῥαθυμίαν, εἰς φθόνον εὐθὺς διηγείρετο, καὶ τὴν ῥίζαν τοῦ φόνου τεκὼν ἐν τῇ διανοίᾳ, παραχρῆμα καὶ τὸν καρπὸν ἐκεῖνον τὸν ὀλέθριον ἐπεδείξατο, καὶ τὸν φόνον εἰς ἔργον ἤγαγεν. οὕτω δὴ καὶ νῦν ὁ Ἠσαῦ ἰδὼν τὸν ἀδελφὸν τὰς εὐλογίας παρὰ τοῦ πατρὸς δεξάμενον, καὶ ὑπὸ τοῦ θυμοῦ καὶ τῆς βασκανίας εἰς φόνον ἐξενεχθείς, ἐμελέτα τοῦ ἀδελφοῦ τὴν ἀναίρεσιν. ἀλλ' ἡ θαυμασία μήτηρ τοῦτο αἰσθομένη, πάλιν τὴν μητρικὴν φιλοστοργίαν περὶ τὸν παῖδα ἐπιδείκνυται, καὶ συμβουλὴν εἰσάγει τὴν δυναμένην C αὐτὸν ἐξαρπάσαι τῶν τοῦ ἀδελφοῦ χειρῶν. καλέσασα γάρ, φησι, τὸν υἱὸν αὐτῆς τὸν νεώτερον, εἶπεν αὐτῷ, ἰδοὺ Ἠσαῦ ὁ ἀδελφός σου ἀπειλεῖ σοι ἀποκτεῖναί σε. νῦν οὖν ἄκουσόν μου τῆς φωνῆς. ἡ πεῖρά σε διδασκέτω, φησίν, ὅτι τὰ λυσιτελῆ σοι συμβουλεύω, καὶ καθάπερ ἤδη τῆς ἐμῆς φωνῆς ἀκούσας, τὰς μεγάλας ἐκείνας εὐλογίας ἐπεσπάσω παρὰ τοῦ πατρός, οὕτω δὴ καὶ νῦν ἄκουσόν μου τῆς φωνῆς, ἵνα διαφυγεῖν δυνηθῇς τοῦ ἀδελφοῦ τὰς χεῖρας. οὕτω γὰρ ἑαυτὸν ἐλευθερώσεις τῶν κινδύνων, κἀμὲ τοῦ πένθους. εἰκὸς γὰρ ἐκεῖνον, εἰ τοῦτο τολμήσειε, δίκην ἀπαιτηθῆναι, καὶ πανταχόθεν ἐμοὶ D τῆς ὀδύνης τὴν ἐπίτασιν αὔξεσθαι. ἄκουσον οὖν μου τῆς φωνῆς, καὶ ἀναστὰς ἀπόδραθι πρὸς τὸν ἀδελφόν μου Λάβαν εἰς Χαρράν, καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινάς, ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, καὶ ἐπιλάθηται ἃ πεποίηκας αὐτῷ· καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν, μήποτε ἀτεκνωθῶ ἐκ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ. ἄπιθι, φησι, πρὸς τὸν ἀδελφόν μου Λάβαν, καὶ οἴκει ἐκεῖ μετ' αὐτοῦ. εἰκὸς γὰρ καὶ τὸν χωρισμόν, καὶ τὸν ἐν μέσῳ χρόνον ἰσχῦσαί τι πλέον καὶ παραμυθήσασθαι τὸ πάθος, καὶ τὴν βασκανίαν λωφῆσαι, καὶ λήθην αὐτῷ γενέσθαι τῶν ὑπὸ σοῦ γεγενημένων περὶ τὴν τῆς εὐλογίας κλοπήν. καὶ ἐπιλάθηται, φησιν, ἃ πεποίηκας αὐτῷ.

εἰκότως, φησὶν, ὀργίζεται, διὸ προσήκει ἐκκλῖναι A αὐτοῦ τὴν ὁρμὴν, ὅπως ἀπὸ τοῦ χρόνου λήθης ἐγγενομένης αὐτῷ, μετ' ἀσφαλείας λοιπὸν δυνηθῇς τὴν ἐνταῦθα οἴκησιν ποιήσασθαι. καὶ ἵνα μὴ δυσχεράνῃ ὁ παῖς ἐπὶ τὴν ἀλλοτρίαν ἀπιέναι καταναγκαζόμενος, ὅρα πῶς παραμυθεῖται τοῦ νέου τὴν ψυχήν, πρότερον μὲν εἰποῦσα, ἄπιθι πρὸς Λάβαν τὸν ἀδελφόν μου. μὴ γὰρ πρὸς ξένον τινά, φησι, κατεπείγω σε ἀπελθεῖν; πρὸς τὸν ἀδελφὸν τὸν ἐμόν, καὶ οἴκει μετ' αὐτοῦ ἡμέρας τινάς. βραχὺν, φησι, χρόνον, ὀλίγας ἡμέρας, ἕως τοῦ παύσασθαι τὴν ὀργήν. νῦν γὰρ καὶ ἀκμάζει αὐτῷ, φησιν, ὁ θυμὸς, καὶ οὔτε τοῦ πατρὸς αἰδῶ τινα ποιεῖται, καθάπαξ τυραννούμενος B ὑπὸ τοῦ πάθους, οὔτε τὴν ἀδελφικὴν στοργὴν ἐν διανοίᾳ λαμβάνει, ἀλλ' ἑνὸς μόνου γίνεται, τοῦ τὸν θυμὸν ἀποπληρῶσαι. καὶ ἀποστείλασα μεταπέμψομαί σε ταχέως, φησὶν, ἐκεῖθεν. σὲ ἐπανάξω. ἄπιθι τοίνυν θαρρῶν, ὅτι ἀποστείλασα μεταπέμψομαί σε. περὶ γὰρ τοῦ παντός ἐστί μοι ὁ ἀγὼν, καὶ περὶ ἀμφοτέρων δέδοικα, μήποτε ἀποστερηθῶ ἀμφοτέρων. ὅρα σύνεσιν μητρός. πῶς οἴκοθεν κινουμένη, μᾶλλον δὲ τῇ τοῦ θεοῦ προρρήσει καὶ νῦν ὑπηρετουμένη, ἐκεῖνα συμβουλεύει τῷ παιδὶ, ἅπερ ὁ Χριστὸς παρῄνει τοῖς μαθηταῖς, συμβουλεύων μὴ ὁμόσε χωρεῖν C τοῖς κινδύνοις, ἀλλὰ διὰ τῆς ἀναχωρήσεως παραμυθεῖσθαι τοῦ πάθους τὴν μανίαν. τοῦτο τοίνυν καὶ αὕτη εἰσηγουμένη τῷ παιδὶ, πρότερον αὐτῷ συμβουλεύσασα καὶ παραθαρρύνασα αὐτοῦ τὸν λογισμὸν, ὥστε μὴ δυσχερᾶναι πρὸς τὸν χωρισμὸν, τότε λοιπὸν καὶ ἀφορμὴν εὔλογον τῇ ἀποδημίᾳ περιθεῖναι βούλεται, ὥστε μὴ προφανῶς δόξαι διὰ τὴν τοῦ ἀδελφοῦ βασκανίαν ἀναχωρεῖν, μηδὲ τὸν πατέρα γνῶναι τὴν ἀληθῆ τῆς ἀποδημίας αἰτίαν, μήτε τοῦ Ἠσαῦ τὴν κατ' αὐτοῦ ἀγανάκτησιν. καὶ εἰσελθοῦσα, φησι, πρὸς τὸν Ἰσαὰκ ἡ Ῥεβέκκα εἶπε, D προσώχθισα τῇ ζωῇ μου διὰ τὰς θυγατέρας τῶν υἱῶν Χέτ. εἰ λήψεται Ἰακὼβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνα τί μοι τὸ ζῆν; σκόπει πῶς εὐπρόσωπον εὗρε πρόφασιν. ὅταν γὰρ ἡμῖν ἡ ἄνωθεν συμπράττῃ δεξιὰ, καὶ τὰ δυσχερῆ εὔκολα γίνεται, καὶ τὰ δύσκολα ῥᾴδια. ἐπεὶ οὖν καὶ αὕτη εἶχε τὸν τῶν ὅλων θεὸν συναινοῦντα αὐτῆς τῇ γνώμῃ, πάντα τὰ δυνάμενα συντελεῖν τῇ οἰκονομίᾳ τῇ μελλούσῃ, καὶ τοῦ παιδὸς τῇ σωτηρίᾳ, ὑπέβαλεν αὐτῆς τῇ διανοίᾳ. προσώχθισα, φησι, τῇ ζωῇ διὰ τὰς θυγατέρας τῶν υἱῶν Χέτ.

Veriſimile eſt, inſuit, eum iraſci: ideo congruit vt iram eius declines, ſi fortè per tempus obliuiſcatur; & poſtea cum libertate poſſis hic domicilium habere. Et ne puer grauatim ferat, quòd cogatur in alienam terram abire: vide quomodo ſoletur pueri animam. Primùm quidem dixit: Abi ad Laban fratem meum. Num enim ad extraneũ & alienum ire te iubeo? ad fratrem meum ibi, & habita cum eo ad dies aliquot: breue, inquit, tempus, paucos dies, quouſque quieſcat ira. Nunc enim feruet indignatio eius, & aliquando ab affectione ſuperatus, neque patris habebit reuerentiam: neque quantum fraternæ neceſſitudini debeat in mentem accipiet: ſed vnum hoc aget, vt furorem ſuum expleat. Et mittens reducam te. Statim autem, inquit, inde reducam: abi igitur bona cum fiducia, te enim nunciis eò miſſis reuocabo: Nam de vtroque anxia ſum, & vtrique timeo, ne fortè vtroque priuer. Vide ſapientiam matris, quæ à ſeipſa mota, imò Dei prędictioni etiam nunc ſeruiens, illa conſulit puero quæ Chriſtus diſcipulis ſuis conſulebat, ne temerè periculis ſe immiſceant, ſed ſeceſſu inſaniam malè affectorum demulceant: hoc igitur etiam illa puero coſulit, primùm eius mentem animans & firmans vt diſceſſum non ægrè ferret, tunc deinceps, & cauſam honeſtam profectioni eius excogitat, ita vt non manifeſtè videatur propter fratris inuidiam cedere, neque pater ſciat veram peregrinationis cauſam, Eſau ſcilicet indignationem contra illum. 40 *Et ingreſſa*, inquit, *ad Iſaac Rebecca, dixit: Grauis mihi vita eſt propter filias Chet. Si acceperit Iacob vxorem de filiabus terræ iſtius, ad quid mihi vita?* Conſidera, quomodo honeſtum inuenit prætextum. Quando enim nobis ſuperna gratia cooperatrix eſt, & difficilia facilia fiunt, & grauia leuia. Quia igitur & hæc habuit Deum ſententiæ ſuæ annuentem omnia, quæ ad futuram diſpenſationem & ſalutem pueri conducere poterant, ſuggeſſit eius menti. Grauis mihi, inquit, eſt vita mea propter filias Chet.

Conſiliũ Rebeccæ ſimile Chriſti cõſilio.

Vxores Eſau prauæ.

Si acceperit Iacob vxorem de filiabus terræ huius, ad quid mihi vita? Hîc mihi ſignificare videtur peſſimos vxorum Eſau mores, & quòd ei fuerint multæ amaritudinis cauſa. Etenim de Eſau ſuperius narrauit nobis diuina ſcriptura, quòd accepit à Chettæis & Euæis vxores, & exaſperabant Iſaac & Rebeccam. Hæc igitur in memoriam ei ſuggerere volens, quaſi dicat: Scis quomodo vitam meã exacerbarunt vxores Eſau, & quomodo propter illarum malitiam in omnes filias filiorũ Chet malè afficior, & propter illas omnem illam gentem exoſam habeã. Si igitur contingat & Iacob ex illis vxorem ducere, quæ mihi poſtea ſalutis ſpes? ad quid mihi tum vita? Nam ſi illas ferre non poſſumus, ſi etiam Iacob ex filiabus terræ huius vxores acceperit, actum eſt de vita noſtra. Quibus auditis Iſaac, atque malitiæ illarum recordatus, [1] *Aduocans Iacob, benedixit eum,* inquit, *& præcepit ei, dicens: Non ſumes vxorem de filiabus Chananæorum,* [2] *ſed ſurge & vade in Meſopotamiam, in domum patris matris tuæ, & accipe tibi inde vxorem de filiabus fratris matris tuæ.* Neque his contentus verbis: voluit & alacriorem eum reddere in peregrinatione, & eum iterum benedictionibus confirmat, ac dicit. [3] *Deus autem meus benedicet te, & augebit te, & multiplicabit te, & eris in congregationes gentium, & dabit tibi benedictionem Abrahæ patris mei, tibi & ſemini tuo poſt te: vt in hæreditatem accipias terram peregrinationis tuæ, quam dedit Deus Abrahæ.* Vide quomodo iuſtus prædicit ei omnia, & bona ei viatica dat & ſolatia: prædicit enim ei reditum & hæreditatem terræ, & quòd non ſolùm in multitudinem creſcet, ſed & congregationes gentium ex ſemine eius egredientur. Quæ vt audiit puer, impleuit iuſſa patris, & profectus eſt in Meſopotamiam ad Laban matris fratrem. Et iterum, vt hoc didicit Eſau, & quod benedictus fuerit à patre Iacob, & quòd mandatum ſit ei ne accipiat vxorem ex filiabus Chananæorum, ſed contendit in Meſopotamiam: quaſi corrigere volens erratum ſuum, & placare patrem,

CAPVT. XXVIII.

A εἰ λήψεται Ἰακὼβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνα τί μοι τὸ ζῆν; ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ τὴν γυναικῶν τοῦ Ἡσαῦ τὸ δύστροπον, καὶ ὅτι πολλῆς ἀηδίας αὐτοῖς ὑπόθεσις γεγόνασι. καὶ γὰρ ἀνωτέρω διηγήσατο ἡμῖν ἡ θεία γραφή, ὅτι ἔλαβεν ἀπὸ τῶν Χετταίων καὶ ἀπὸ τῶν Εὐαίων γυναῖκας ὁ Ἡσαῦ, καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ. τοῦτο οὖν αὐτὸ ὑπομνῆσαι αὐτὸν βουλόμενος μονονουχὶ ταῦτά φησι πρὸς αὐτόν, οἶδας ὅπως μοι τὴν ζωὴν πικρὰν πεποιήκασιν αἱ γαμεταὶ τοῦ Ἡσαῦ, καὶ ὅπως διὰ τὴν τούτων μοχθηρίαν λοιπὸν πρὸς πάσας ἀπεχθῶς ἔχω τὰς θυγατέρας τῶν B υἱῶν Χέτ, καὶ ἅπαν τὸ ἔθνος δι' ἐκείνας μεμίσηκα, εἰ τοίνυν συμβαίη καὶ τὸν Ἰακὼβ ἐκ τούτων ἀγαγέσθαι γυναῖκα, ποία μοι λοιπὸν ἔσται σωτηρίας ἐλπίς; ἵνα τί γάρ μοι τὸ ζῆν; εἰ γὰρ ἐκείνας ἐνεγκεῖν οὐκ ἰσχύομεν, εἰ καὶ οὗτος φθάσει ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης λαβεῖν γυναῖκα, τὰ τῆς ζωῆς ἡμῖν οἴχεται. ἀκούσας δὲ ταῦτα ὁ Ἰσαάκ, καὶ εἰς ὑπόμνησιν ἐλθὼν τῆς ἐκείνων κακίας, προσκαλεσάμενος τὸν Ἰακὼβ εὐλόγησε, φησὶν, αὐτὸν, καὶ ἐνετείλατο αὐτῷ λέγων, οὐ λήψῃ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων· ἀλλ' ἀναστὰς πορεύου εἰς τὴν Μεσοποταμίαν C εἰς τὸν οἶκον τοῦ πατρὸς τῆς μητρός σου, καὶ λαβὲ σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων τοῦ ἀδελφοῦ τῆς μητρός σου. καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ βουλόμενος προθυμότερον αὐτὸν ἐργάσασθαι περὶ τὴν ἀποδημίαν, καὶ ταῖς παρ' αὐτοῦ εὐλογίαις πάλιν προστίθησι, καί φησιν· ὁ δὲ θεός μου εὐλογήσει σε καὶ αὐξήσει σε καὶ πληθυνεῖ σε, καὶ ἔσῃ εἰς συναγωγὰς ἐθνῶν, καὶ δώσει σοι τὴν εὐλογίαν Ἀβραὰμ τοῦ πατρός μου, σοὶ, καὶ τῷ σπέρματί σου μετὰ σὲ κληρονομῆσαι τὴν γῆν τῆς παροικήσεώς σου, ἣν ἔδωκεν ὁ θεὸς τῷ Ἀβραάμ. ὅρα τὸν δίκαιον τοῦτον, ὅπως προαναφωνεῖ αὐτῷ ἅπαντα, καὶ D ἱκανὰ αὐτῷ ἐφόδια πρὸς παραμυθίαν δίδωσι, προλέγων αὐτῷ καὶ τὴν ἐπάνοδον καὶ τὴν τῆς γῆς κληρονομίαν, καὶ ὅτι οὐ μόνον εἰς πλῆθος ἐπιδώσει, ἀλλὰ καὶ συναγωγαὶ ἐθνῶν ἐκ τοῦ σπέρματος αὐτοῦ ἐξελεύσονται. ταῦτα ἀκούσας ὁ παῖς ἐπλήρου τὰ δόξαντα τῷ πατρί, καὶ ἐπορεύετο εἰς τὴν Μεσοποταμίαν πρὸς Λάβαν τὸν τῆς μητρὸς ἀδελφόν. ἀλλὰ πάλιν ὁ Ἡσαῦ τοῦτο μαθὼν, καὶ ὅτι εὐλογηθεὶς παρὰ τοῦ πατρὸς ὁ Ἰακὼβ, ἐντολὰς ἔλαβε, μὴ λαβεῖν γυναῖκα ἐκ τῶν θυγατέρων τῶν Χαναναίων, ἀλλ' ὥρμησεν εἰς τὴν Μεσοποταμίαν, ὥσπερ διορθῶσαι βουλόμενος τὸ οἰκεῖον πταῖσμα, καὶ ἐξευμενίσασθαι τὸν πατέρα,

A προσθείς, φησὶν ἔλαβε γυναῖκα πρὸς ταῖς γυναιξὶν αὐτοῦ, θυγατέρα Ισμαὴλ τοῦ υἱοῦ Ἀβραάμ. Εἶδες, ἀγαπητὲ, μεθ' ὅσης συνέσεως ἡ φιλόστοργος αὕτη μήτηρ ἐξήρπασε τῶν κινδύνων τὸν Ιακὼβ, πρέπον σχῆμα ἐπιθεῖσα τῇ ἀποδημίᾳ, καὶ οὔτε τοῦ Ησαῦ τὴν κακίαν ἐξέφηνεν, οὔτε τῷ πατρὶ τὴν αἰτίαν δήλην ἐποίησεν, ἀλλὰ καὶ πρὸς τὸν παῖδα κατάλληλον ἐποιήσατο τὴν συμβουλὴν, ἵνα περιτρέψασθαι δυνηθῇ διὰ τοῦ φόβου καταδέξασθαι τὰ παρ' αὐτῆς λεγόμενα, καὶ τῷ πατρὶ ἁρμόζουσαν γνώμην εἰσηγήσατο; ὅθεν καὶ ἐπιδραμὼν ὁ δίκαιος τοῖς ῥήμασι παρ' αὐτῆς, ἐφοδιάσας ταῖς παρ' ἑαυτοῦ εὐλογίαις τὸν Ιακὼβ ἐξέπεμψεν. B ἀλλ' εἰ δοκεῖ, καὶ μὴ ἀπεκάμετε, ἴδωμεν ὅπως τὴν ἀποδημίαν ποιεῖται ὁ Ιακώβ. οὐ μικρὰ γὰρ καὶ ἐντεῦθεν καρπώσασθαι δυνησόμεθα, ἐὰν προσέχωμεν. καὶ γὰρ φιλοσοφίας ἁπάσης διδασκαλίαν περιέχει τῶν δικαίων ἡ διαγωγή. ὅρα γοῦν ἐνταῦθα τὸν νέον τοῦτον, τὸν ἐπὶ τῆς οἰκίας τραφέντα, τὸν οὐχ ὁδοιπορείας πεῖραν εἰληφότα ποτὲ, οὐ τῆς ἐν ξένῃ διατριβῆς, οὐχ ἑτέρας τινὸς κακουχίας, ὅπως ἅπτεται τῆς ὁδοιπορείας, καὶ μάνθανε τῆς φιλοσοφίας τὴν ὑπερβολήν. ἐξῆλθε, φησιν, Ιακὼβ C ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαῤῥὰν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ. ἔδυ γὰρ ὁ ἥλιος. καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ. Εἶδες ἄφατον φιλοσοφίαν; Εἶδες πῶς οἱ παλαιοὶ τὰς ὁδοιπορείας ἐποιοῦντο. ἀνὴρ ἐν οἰκίᾳ τραφεὶς (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ) τοσαύτης ἀπολαύσας θεραπείας (ἄπλαστος γάρ, φησιν, οἰκῶν οἰκίαν) ἀποδημεῖν μέλλων, οὐχ ὑποζυγίων ἐδεήθη, οὐκ ἀκολούθων, οὐκ ἐφοδίων· ἀλλ' ἀποστολικὸν ἤδη μιμούμενος τρόπον, οὕτως ἥπτετο τῆς ὁδοῦ. καὶ ἐπειδὴ ὁ ἥλιος, φησιν, D ἦν πρὸς δυσμαῖς, ἔνθα κατελήφθη, ἐκεῖ ἐκάθευδε. λαβὼν, φησι, λίθον ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ. ὅρα τοῦ παιδὸς τὴν ἀνδρείαν. τῷ λίθῳ ἀντὶ προσκεφαλαίου ἐχρήσατο, καὶ ἐπὶ τοῦ ἐδάφους ἐκάθευδε. διὰ τοῦτο, ἐπειδὴ φιλόσοφον εἶχε ψυχὴν, καὶ φρόνημα ἀνδρεῖον, καὶ πάσης φαντασίας βιωτικῆς ἀπήλλακτο, καὶ τῆς ὄψεως ἠξιώθη ἐκείνης τῆς θαυμαστῆς. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος· ἐπειδὰν ἴδῃ ψυχὴν εὐγνώμονα, καὶ τῶν παρόντων οὐ πολὺν ποιουμένην λόγον, πολλὴν περὶ αὐτὴν τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν.

9 *Addidit*, inquit, *& accepit vxorem ad duas vxores ſuas, filiam Iſmaël filij Abrahæ.* Vidiſti dilecte, quanta prudentia, & quibus affectionibus filium ſuum Iacob è periculis mater eripuerit: decenter pallians peregrinationis cauſam, & neque Eſau malitiam prodens, neque patri cauſam manifeſtam faciens: ſed & filio conueniens dans conſilium, vt propter metum admoneri poſſit ne ſe opponat ſuis dictis, & patri congruam ſententiam ſuggerens? Vnde & iuſtus accedens eius dictis, viatico benedictionis inſtructũ Iacob dimiſit. Cæterùm ſi placet, & non defatigamini, videamus quomodo peregrinationem obiuerit Iacob. Non paruam enim & hinc commoditatem accipere poſſumus, ſi attenderimus. Iuſtorum enim conuerſatio & vita, totius philoſophiæ continet doctrinam. Vide igitur ſaltem vel hunc iuuenem, qui domi educatus, qui antea nunquam in peregrinatione fuerat, neque magnum iter fecerat, neque graue aliquid expertus erat, quomodo iter arripiat, & diſce quàm excellentibus præſtiterit moribus eius vita. 10 *Et egreſſus Iacob à fonte iuramenti, profectus eſt in Charran,* 11 *& occurrit loco, & dormiuit illic. Occidebat enim ſol, & accepit de lapidibus loci, & poſuit ad caput ſuum, & dormiuit in loco.* Vidiſti ineffabilem vitæ philoſophiam? Vidiſti quomodo veteres iter faciebant? Vir domi educatus, rurſus enim ea dicam, tantæque aſſuetus curæ: ſimplex enim erat, inquit, & domi habitans: peregrinaturus neque iumentis egebat, neque miniſtris, neq; viaticis: ſed apoſtolicum morem imitatus, iter facit: & cùm occumberet ſol, ibi dormiuit vbi eum nox comprehendit. Accepit, inquit, lapidem, & poſuit ad caput ſuum. Vide pueri robur, lapide pro puluinari vſus eſt, & ſuper pauimentum dormiuit. Igitur quoniã bene moratam animã habebat, & maſculũ ſpiritũ, & ab omni vanitate liberũ, admirabilem viſionem illam meruit. Hoc enim more agit dominus noſter, quando videt animam præſentia non magni facientẽ, plurimã ſibi illius curã eſſe declarat.

Iuſtorũ vita pro bos mores docet.

Peregrinationes veterum quales.

Vide igitur iuſtum illum ſuper ſolo cubantem, & viſiones videntem, imò viſione Domini dignum haberi: dicit enim. *Obdormiuit,*[12] *& ecce ſcala erat firmata ſuper terram, cuius caput pertingebat in coelum: & angeli Dei aſcenderunt & deſcenderunt ſuper eam. Dominus autem innixus eſt ſubter eam, & dixit: Ego Deus Abraham, & Deus Iſaac patris tui: ne timeas.* Conſidera, obſecro, hîc eximiam curam clementis Dei. Quia videbat iuxta conſilium matris propter timorem fratris ſuſcepturum peregrinationem, & quaſi erronem quendam viam facere, & ſolum, ac ab aliis abſtractum, nullámque habentem conſolationem vllo, ex loco, ſed totum in ſupernum auxilium proiectum: ſtatim in ipſo initio volens confirmare alacritatem eius, apparet, ac dicit: Ego ſum Deus Abraham, & Deus Iſaac patris tui. Ego & patriarcham & patrem tuum in tantam gloriam creſcere feci. Ne igitur timeas, ſed crede quòd ego qui impleui illis ſuas promiſſiones, & te mea cura & prouidentia dignabor. Ne timeas ergo, ſed confide: & omni timore depulſo, crede his quæ à me dicuntur. *Etenim terram in qua tu dormis, tibi dabo & ſemini tuo,*[14] *& erit ſemen tuum ſicut arena maris.* Ne putes, inquit, quia in tertam alienam nunc vadis, priuandum te terra in qua natus es, vbi educatus, vbi adoleuiſti. Etenim tibi dabo eam & ſemini tuo, quod ſicut arenam maris augeri faciam, *& dilatabitur ad mare, & Africum, & Septentrionem, & Orientem:* hoc eſt, vbique propagabitur. *Et benedicentur in te omnes tribus terræ, & in ſemine tuo.* Vide quomodo iam omnia ei quæ poſt longum tempus euentura erant, prędicit. Hic enim mos eſt omnium Domino & opifici. Atque hoc de omnibus iuſti dici inuenies, vt polliceatur quidem, non autem continuo promiſſiones impleat: ſed exerceat iuſtorum obedientiam & patientiam, atque ſic multa cum liberalitate impleat promiſſa. Deinde vbi pollicitus eſt ei futura, & indigebat iuſtus in rebus præſentibus non vulgari conſolatione: vide benignum Dominum,

Apparet Iacob De⁹ cur.

Quomodo exerceat iuſtorũ obediẽtiã De⁹.

A ὅρα τοίνυν τὸν δίκαιον τοῦτον ἐπὶ τοῦ ἐδάφους κείμενον, καὶ ὀπτασίαν ὁρῶντα· μᾶλλον δὲ τῆς τοῦ θεοῦ ὀπτασίας ἀξιούμενον. ἐνυπνιάσθη γάρ, φησι, καὶ ἰδοὺ κλίμαξ ἦν ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον ἐπ' αὐτῆς. ὁ δὲ κύριος ἐστήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν, ἐγὼ ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ θεὸς Ἰσαάκ· μὴ φοβοῦ. θέα μοι ἐνταῦθα τοῦ φιλανθρώπου θεοῦ τὴν ὑπερβάλλουσαν κηδεμονίαν. ἐπειδὴ γὰρ ἑώρα κατὰ τὴν συμβουλὴν τῆς μητρὸς διὰ τὸν τοῦ ἀδελφοῦ φόβον τὴν ἀποδημίαν καταδεξάμενον, καὶ καθάπερ ἀλήτην τινὰ οὕτω τὴν ὁδὸν ποιούμενον, καὶ οὐδαμόθεν οὐδεμίαν ἔχοντα παραμυθίαν, ἀλλὰ τὸ πᾶν ἐπὶ τὴν ἄνωθεν συμμαχίαν ἐπιρρίψαντα, εὐθὺς ἐν προοιμίοις τῆς ὁδοῦ νευρῶσαι αὐτοῦ τὴν προθυμίαν βουλόμενος ἐπιφαίνεται αὐτῷ, καί φησιν, ἐγώ εἰμι ὁ θεὸς Ἀβραάμ, καὶ ὁ θεὸς Ἰσαὰκ τοῦ πατρός σου. ἐγὼ καὶ τὸν πατριάρχην καὶ τὸν πατέρα τὸν σὸν εἰς τοσαύτην αὐξηθῆναι περιφάνειαν πεποίηκα. μὴ τοίνυν φοβοῦ, ἀλλὰ πίστευε ὅτι ἐγώ, ὁ ἐκείνοις τὰς ὑποσχέσεις πληρώσας, καί σε τῆς ἐμῆς ἀξιώσω προνοίας. μὴ οὖν φοβοῦ, ἀλλὰ
C θάρσει, καὶ πᾶσαν δειλίαν ἀπωσάμενος πίστευε τοῖς παρ' ἐμοῦ σοι λεγομένοις. καὶ γὰρ τὴν γῆν, ἐφ' ἧς σὺ καθεύδεις, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρματί σου, καὶ ἔσται τὸ σπέρμα σου, ὡς ἡ ἄμμος τῆς θαλάσσης. μὴ νομίσης, φησίν, ἐπειδὴ ἐπὶ τῆς ἀλλοτρίας νῦν πορεύῃ, ἀπεστερῆσθαι τῆς γῆς ταύτης, ἔνθα ἐτέχθης, ἔνθα ἐτράφης, ἔνθα ηὐξήθης. καὶ γάρ σοι αὐτὴν παρέξω, καὶ τῷ σπέρματί σου, ὅπερ ὡς τὴν ἄμμον τῆς θαλάσσης αὐξηθῆναι παρασκευάσω, καὶ πλατυνθήσεται πρὸς θάλασσαν καὶ λίβα καὶ βορρᾶν καὶ ἀνατολάς, ἀντὶ τοῦ, πανταχοῦ ἐκταθήσεται,
D καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. ὅρα πῶς ἤδη πάντα αὐτῷ τὰ μετὰ πολὺν ἐσόμενα χρόνον μηνύει. οὕτω γὰρ ἔθος τῷ τῶν ὅλων δεσπότῃ ἐφ' ἑκάστου τῶν δικαίων τοῦτο ποιεῖν· ὑπισχνεῖσθαι μέν, μὴ παραχρῆμα δὲ τὰς ὑποσχέσεις εἰς ἔργον ἄγειν, ἀλλὰ γυμνάζειν τῶν δικαίων τὴν ὑπακοὴν καὶ τὴν πολλὴν ὑπομονήν, καὶ οὕτω μετὰ πολλῆς τῆς δαψιλείας πληροῦν τὰ ἐπαγγελθέντα. εἶτα ἐπειδὴ ὑπέσχετο αὐτῷ τὰ μέλλοντα μετὰ ταῦτα γενήσεσθαι, ἐδεῖτο δὲ ὁ δίκαιος οὐ τῆς τυχούσης παρακλήσεως καὶ ἐν τοῖς αὐτῷ μάλιστα προκειμένοις, ὅρα τὸν ἀγαθὸν δεσπότην,

πῶς καὶ τὰ μέλλοντα ὑπισχνεῖται, καὶ διὰ ὧν νῦν πρὸς A αὐτὸν ἐπιδείκνυται περὶ ἐκείνων θαῤῥεῖν παρασκευάζει. μὴ γὰρ δὴ νομίσῃς, φησὶν, ὅτι ταῦτα μόνα σοι ὑπισχνοῦμαι. ἀλλὰ καὶ νῦν μετὰ σοῦ εἰμι διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς. μὴ τοίνυν νομίσῃς μόνος τὴν ὁδοιπορίαν ποιεῖσθαι· ἐμὲ ἕξεις συνοδοιπόρον· ἐμὲ ἕξεις φύλακα ἐν πάσῃ ὁδῷ, πάντα σοι τὰ δυσχερῆ διευθετίζοντα, καὶ τὰ δύσκολα εὔκολα κατασκευάζοντα. εἶτα ἐπιτείνων αὐτοῦ τὴν παραμυθίαν, ἤδη προμηνύει αὐτοῦ καὶ τὴν εἰς τὰ οἰκεῖα ἐπάνοδον. καὶ ἀποστρέψω σε, φησιν, εἰς τὴν γῆν ταύτην. μὴ δείσῃς ὡς ἐπὶ τῆς ἀλλοτρίας λοιπὸν διάξων. καὶ γὰρ ἐπανάξω σε εἰς ταύτην τὴν γῆν, καὶ οὐ B μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. οὐ περιόψομαί σε, φησὶν, ἀλλὰ ταῦτα πάντα, ἅπερ ὑπεσχόμην, εἰς ἔργον ἐλθεῖν παρασκευάσω. πῶς ἄν τις κατ' ἀξίαν ἐκπλαγείη τὴν ἄφατον τοῦ θεοῦ φιλανθρωπίαν, καὶ τὴν ὑπερβάλλουσαν συγκατάβασιν; ὅρα πόσον ὄγκον ὑποσχέσεων ἐποιήσατο πρὸς τὸν δίκαιον, καὶ ὅπως αὐτοῦ τὸ φρόνημα διανέστησε. καὶ ἐπειδὰν θαυμάσῃς τοῦ θεοῦ τὴν φιλανθρωπίαν, ἐννόει καὶ τοῦ δικαίου τούτου τὴν εὐγνωμοσύνην, καὶ ὅτι μετὰ τοσαύτας ὑποσχέσεις εἴκοσιν ἐτῶν ἀριθμὸν ταλαιπωρηθεὶς παρὰ τῷ C Λάβαν οὐκ ἐδυσχέρανεν, οὐκ ἐνάρκησε πρὸς τὸ μῆκος τοῦ χρόνου· ἀλλὰ πάντα γενναίως ἔφερεν, ἀναμένων τῶν ὑποσχέσεων τὸ τέλος, καὶ εἰδὼς ὡς οὐχ οἷόν τε τὰ παρὰ τοῦ θεοῦ ῥηθέντα διαπεσεῖν, καὶ μάλιστα ἐπειδὰν ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν σπουδάζωμεν, τὴν πίστιν, τὴν ὑπομονὴν, τὸ τοῖς μήπω γενομένοις, ἐπειδὰν ὁ δεσπότης ὑπόσχηται, ὡς ἤδη εἰς ἔργον ἐξελθοῦσι θαῤῥεῖν. τοῦτο γὰρ ἀληθῶς πίστις, τὸ μὴ τοῖς ὁρωμένοις προσέχειν, κἂν ἐναντία ᾖ τὰ γινόμενα τῇ ὑποσχέσει, ἀλλὰ θαῤῥεῖν τῇ δυνάμει τοῦ ἐπαγγειλαμένου. τέως δὲ ἴδωμεν τοῦ δι- D καίου τούτου τὴν εὐγνωμοσύνην. καὶ ἐξηγέρθη, φησὶν, Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν, ὅτι ἔστι κύριος ἐν τῷ τόπῳ τούτῳ. ἐγὼ δὲ οὐκ ᾔδειν. καὶ ἐφοβήθη καὶ εἶπεν, ὡς φοβερὸς ὁ τόπος οὗτος. οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. καταπλαγεὶς, φησιν, ὁ δίκαιος τὴν πολλὴν τοῦ θεοῦ φιλανθρωπίαν ἐφοβήθη, καὶ εἶπεν, οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος τοῦ θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. οὗτος ὁ τόπος λοιπὸν ἐμοὶ οἶκος τοῦ θεοῦ νενόμισται. τοσαύτης οὖν ἐπιφανείας ἀξιωθεὶς, καὶ αὐτὴν, ὡς εἰπεῖν, τὴν πύλην τοῦ οὐρανοῦ θεασάμενος,

& futura pollicetur, & per illa ipſa quæ nunc in eum declarat de illis fidentem facit. Dicit enim: Ne putes quòd hæc ſola tibi polliceor. [15] *Sed & nunc tecum ſum, cuſtodiens te in omni via quò vadis.* Ne igitur putes, inquit, quòd ſolus iter facias: me habebis itineris comitem, me habebis cnſtodem in omni via, omnia tibi difficilia facilia reddentem. Exin magis augens conſolationem, iam prædicit ei reditum ad ſua. *Et reuerti faciam te*, inquit, *in terram hanc.* Ne formides, inquit, quaſi in aliena terra conuerſaturus: quoniam reducam te in terram hanc, & minimè te derelinquam, donec fecero omnia quæ locutus ſum tibi. Non deſpiciam te, neque te conſilij inopem ſinam: ſed quæcunque tibi promiſi, faciam. Quomodo quis pro dignitate admirabitur & obſtupeſcet diuinam benignitatem & ineſtimabilem condeſcenſionem? Vide enim quantum pondus promiſſionum dat iuſto, & quomodo ſpiritum eius erexit. Cogita item & iuſti huius gratitudinem, & quod poſt illas promiſſiones apud Laban viginti annis laboribus afflictus, non grauatim tulit, non ſegnior fuit tanto tempore: ſed omnia fortiter ſuſtinuit, expectans promiſſionum tempus, & ſciens quòd non ſit poſſibile intercidere quæ à Deo dicta ſunt: & maximè ſi & nos afferre noſtra ſtudeamus fidem & patiētiam, & ita benefidamus his quæ à Domino promiſſa ſunt, atq; ſi iam impleta eſſent. Hæc enim vera fides eſt, non attendere ea quæ videntur, etiam ſi omnino ſint aduerſa promiſſioni, ſed ſolam promittentis potentiam. Iam verò videamus iuſti huius gratitudinem. [16] *Et euigilauit*, inquit, *Iacob de ſomno ſuo, & dixit: Dominus eſt in loco iſto, ego autem neſciui.* [17] *Et timuit, & dixit: Quàm terribilis eſt locus iſte? Non eſt hoc aliud, quàm domus Dei: & hæc eſt porta cæli.* Stupeſcens iuſtus propter magnam miſericordiam Dei, timuit, inquit, & dixit: Non eſt hoc niſi domus Dei, & iſta eſt porta cœli. Hic locus mihi poſthac pro domo Dei reputabitur. Tanta ille gloria dignus eſt habitus, & ipſe, vt ita dicam, quaſi cœli porta viſus eſt,

Intercidere nequeunt, quæ dixit Deus

Iuſtum fuerit, vt debitam hîc gratiarum actionem Domino reddam & offeram. [18] *Et ſurrexit Iacob, & accepit lapidem quem poſuerat ad caput ſuum, & ſtatuit eum in columnam, & infudit oleum ſuper ſummum eius,* [19] *& vocauit Iacob nomen loci illius, Domus Dei.* Aliud enim erat nomen loco antea. Poſtquam autem per viſionem tam magna conſecutus fuit, vocabulo memoriam loco inſcribere vult, poſteriſque eum facere celebrem, lapide pro columna erecto, ſuperfuſóque oleo (veriſimile enim eſt quod illud ſolum ſecum tulerit, vtpote iter faciens) votúmque offert benigno Deo, omni plenum philoſophia. Et ſi vultis, etiam ipſa audiamus verba: [20] *Vouit enim votum, dicens: Si fuerit dominus Deus mecum, & cuſtodierit me in via hac, quà ego ambulo.* Quoniam dixerat, Ego tecum ſum, & cuſtodiam te in via hac quà ambulas: propter hoc & ipſe dicit: Si illa mihi eueniãt; quæ ſcilicet te daturum promiſiſti. Deinde & petitionem affert, dicens: *Si dederit mihi Dominus panẽ ad manducandum, & veſtem ad tegendum.* Non diuitias, non abundantiam quandam petiuit: ſed panem & veſtem: & hanc ad contegendum corpus, illum verò in neceſſarium alimentum. Conſidera quomodo nobis apoſtolicum characterem petitione ſua ſignificauit, tanto ſapientiæ ſtudio plenus erat iuſti animus. Nam id quod Chriſtus dicebat, Ne poſſideatis aurum, vel argentum, vel duas tunicas: hoc iſte nondum à quoquam doctus, ſed à ſeipſo, & ab inſito naturæ noſtræ magiſtro didicit, & optauit à Domino ſuo præberi panem ad comedendum, & veſtem ad tegendum. *Si hæc mihi fuerint,* inquit, *in terra aliena,* [21] *& reduxerit me Dominus ſaluum in domum patris mei, ſicut promiſit: erit dominus mihi in Deum,* [22] *& lapis iſte quem erexi in columnam, erit mihi domus Dei: & omnium quæ mihi dederis, decimas tibi offeram.* Vide iuſti gratitudinem: petebat quidem, at nihil precioſum, ſed panem & veſtem: promittebat autem & ſua Domino. Sciens autem quàm certet muneribus, & quòd noſtras cogitationes retribuendo tranſcendat, inquit:

Matt. 10. 9. & Luc. 9.

A δίκαιος ἂν εἴην τὴν ὀφειλομένην εὐχαριστίαν ἀνενεγκεῖν ἐνταῦθα τῷ δεσπότῃ. καὶ ἀνέστη Ἰακὼβ, καὶ ἔλαβε τὸν λίθον, ὃν εἶχε πρὸς κεφαλὴν αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην, καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς, καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, οἶκος θεοῦ. ἕτερον γὰρ ἦν ὄνομα τῷ τόπῳ τὸ πρότερον. ἐπειδὴ μεγάλων ἠξιώθη διὰ τῆς ὀπτασίας, τῇ προσηγορίᾳ τὴν μνήμην ἐναποτίθεσθαι βούλεται τῷ τόπῳ, καὶ ἐπίσημον εἰς τὸ ἑξῆς ἐργάσασθαι. καὶ τὸν λίθον ἀντὶ τῆς στήλης στήσας, καὶ τὸ ἔλαιον ἐπιχέας (τοῦτο γὰρ αὐτὸν μόνον εἰκὸς ἐπιφέρεσθαι, ἅτε οὕτως

B ὁδοιποροῦντα) εὐχὴν προσάγει τῷ φιλανθρώπῳ θεῷ πάσης γέμουσαν φιλοσοφίας. καὶ εἰ βούλεσθε, καὶ αὐτὴν ἐπακούσωμεν τῶν ῥημάτων. ηὔξατο γὰρ, φησιν, εὐχὴν λέγων, ἐὰν ᾖ κύριος ὁ θεὸς μετ' ἐμοῦ, καὶ φυλάξῃ με ἐν τῇ ὁδῷ ταύτῃ, ᾗ ἐγὼ πορεύομαι. ἐπειδὴ εἶπεν, ὅτι ἐγώ εἰμι μετὰ σοῦ, καὶ διαφυλάξω σε ἐν τῇ ὁδῷ, ᾗ ἐὰν πορεύῃ, διὰ τοῦτο καὶ αὐτός φησιν, εἰ ἐκεῖνά μοι ὑπάρξει, ἅπερ μοι ὑπέσχου. εἶτα καὶ αἴτησιν οἴκοθεν προσφέρει, λέγων, ἐὰν δῷ μοι κύριος ἄρτον καὶ ἱμάτιον περιβαλέσθαι. οὐ πλοῦτον, οὐ περιουσίαν τινὰ

C ᾔτησεν, ἀλλ' ἄρτον καὶ ἱμάτιον, τὸ μὲν εἰς τὴν τοῦ σώματος περιβολὴν, τὸ δὲ εἰς τροφὴν τῆς χρείας. σκόπει πῶς ἀποστολικὸν χαρακτῆρα διὰ τῆς αἰτήσεως ἡμῖν ᾐνίξατο, οὕτω πολλῆς ἔγεμε τῆς φιλοσοφίας τοῦ δικαίου τὸ φρόνημα. ὅπερ γὰρ ὁ Χριστὸς ἔλεγε, μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας, τοῦτο οὗτος οὐδέπω παρ' οὐδενὸς διδαχθεὶς, ἀλλ' οἴκοθεν καὶ ἐκ τοῦ ἐγκειμένου τῇ φύσει τῇ ἡμετέρᾳ διδασκάλου ταῦτα μαθὼν, ἐπεζήτει παρὰ τοῦ δεσπότου αὐτῷ παρασχεθῆναι, ἄρτον φαγεῖν καὶ

D ἱμάτιον περιβαλέσθαι. ἐὰν ταῦτά μοι, φησιν, ὑπάρξῃ ἐπὶ τῆς ἀλλοτρίας, καὶ ἀποστρέψῃ με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου, καθάπερ ὑπέσχετο, καὶ ἔσται κύριος ἐμοὶ εἰς θεὸν, καὶ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην, ἔσται μοι οἶκος θεοῦ, καὶ πάντων ὧν ἄν μοι δῷς δεκάτην ἀποδεκατώσω αὐτὰ σοι. ὅρα τοῦ δικαίου τὴν εὐγνωμοσύνην. τὴν αἴτησιν μὲν αἰτούμενος, οὐδὲν πολυτελὲς αἰτῆσαι κατεδέξατο, ἀλλ' ἄρτον καὶ ἱμάτιον· ὑπισχνούμενος δὲ τὰ παρ' ἑαυτοῦ τῷ δεσπότῃ, εἰδὼς αὐτοῦ τὸ φιλότιμον ἐν ταῖς δωρεαῖς, καὶ ὅτι ὑπερβαίνει ταῖς ἀντιδόσεσι τὰς ἐννοίας τὰς ἡμετέρας, φησί,

καὶ τὴν στήλην ταύτην εἰς οἶκον θεοῦ ἕξω, καὶ A πάντων τῶν παρὰ σοῦ μοι χορηγουμένων τὰς δεκάτας ἀποδεκατώσω. Εἶδες γνώμην φιλόθεον; οὔπω οὐδὲν ἔλαβε, καὶ ὑπισχνεῖται τῶν μελλόντων αὐτῷ δίδοσθαι τὰς δεκάτας τῷ θεῷ προσοίσειν. μὴ ἁπλῶς, ἀγαπητοὶ, παρατρέχωμεν τὰ εἰρημένα, ἀλλὰ ζηλώσωμεν ἅπαντες τοῦτον τὸν δίκαιον, οἱ ἐν τῇ χάριτι τὸν πρὸ τοῦ νόμου, καὶ μηδὲν βιωτικὸν αἰτῶμεν παρὰ τοῦ δεσπότου. οὐδὲ γὰρ περιμένει τὴν παρ' ἡμῶν ὑπόμνησιν, ἀλλὰ κἂν μὴ αἰτῶμεν, ἡμῖν τὰ πρὸς τὴν χρείαν δωρεῖται. ἀνατέλλει γὰρ τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. καὶ B πειθώμεθα αὐτῷ παραινοῦντι καὶ λέγοντι, ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ὁρᾷς ὅτι αὐτὸς ἐκεῖνα ἡμῖν ἡτοίμασε παρασχεῖν, καὶ ταῦτα ἐν προσθήκης μέρει δοῦναι ἐπαγγέλλεται. μὴ τοίνυν ἅπερ ἐν προσθήκης μέρει λαμβάνειν μέλλεις, ταῦτα ὡς προηγούμενα αἴτει· μηδὲ ἀντιστρέψωμεν τὴν τάξιν, ἀλλὰ ζητῶμεν ἐκεῖνα, καθὼς ἐπέταξεν, ἵνα κἀκείνων καὶ τούτων ἐν ἀπολαύσει γενώμεθα. διὰ γὰρ τοῦτο καὶ ἐν τοῖς τῆς εὐχῆς ῥήμασιν ὅρους ἡμῖν καὶ κανόνας τιθεὶς, μέχρι τίνος δεῖ C τὴν περὶ τῶν βιωτικῶν αἴτησιν ποιεῖσθαι, τὰ ῥήματα ἐκεῖνα λέγειν ἡμᾶς ἐκέλευσε, τὰ πάσης φιλοσοφίας γέμοντα, τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, ἀντὶ τοῦ, τὴν τῆς ἡμέρας τροφήν· ὅπερ ὁ δίκαιος οὗτος οὐδὲν τούτων ἀκηκοὼς ηὔχετο λέγων, ἐὰν δῷ μοι κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι. μὴ τοίνυν ἕτερόν τι τῶν βιωτικῶν αἰτῶμεν παρ' αὐτοῦ. ἀνάξιον γὰρ σφόδρα παρὰ τοῦ οὕτω φιλοτίμου καὶ τοσαύτην δυνάμεως περιουσίαν κεκτημένου ταῦτα αἰτεῖν, ἃ τῷ παρόντι συγκαταλύεται βίῳ, καὶ D πολλὴν ἔχει τὴν μεταβολὴν καὶ τὴν μετάπτωσιν. τοιαῦτα γὰρ ἅπαντα τὰ ἀνθρώπινα, κἂν πλοῦτον εἴπῃς, κἂν δυναστείαν, κἂν δόξαν ἀνθρωπίνην· ἀλλ' αἰτῶμεν τὰ ἀεὶ μένοντα, τὰ διαρκῆ, καὶ μεταβολὴν οὐκ ἐπιστάμενα. καὶ εἰδότες τοῦ ἡμετέρου δεσπότου τὴν ἀγαθότητα, μηδένα ποιώμεθα λόγον τῶν παρόντων, ἀλλὰ πᾶσαν ἡμῶν τὴν σπουδὴν εἰς τὸν τῶν ἐπουρανίων πόθον μεταστήσωμεν. εἰ γὰρ τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, πολλῷ

Et columnam hanc in domum Dei habebo, & omnium quæ mihi ſuppeditabuntur decimas dabo. Vidiſti mentem piam ac religioſam? nihil adhuc acceperat, & promiſit ſe Deo decimas eorum quæ ſibi donanda erant oblaturum. Dilecti, ne ſimpliciter prætereamus quæ dicta ſunt, ſed æmulemur omnes hunc iuſtum: & nos qui in gratia, eum qui ante legem: & nihil temporale petamus à Domino. Neque enim expectat donec à nobis admoneatur, ſed & non petentibus nobis largitur ea quæ ad vſum pertinent. Oriri enim facit ſolem ſuper malos & bonos, & pluit ſuper iuſtos & iniuſtos. Et credamus ei admonenti, & dicenti: Quærite primum regnum Dei, & hæc omnia apponentur vobis. Vides, quòd nobis ipſe etiam illa præparauit vt concedat, & hæc in lucri & auctarij parte daturum ſe promittit? Ne igitur ea quæ tanquam acceſſoria accepturus es, quaſi primaria pete: ne inuertamus ordinem, ſed quæramus illa ſicut præcepit, vt & hæc, & illa habere liceat. Ea enim de cauſa in orationis noſtræ verbis limites & regulas nobis Dominus præſcripſit, quatenus petenda ſint temporalia. Verba illa iubet nos dicere, quæ omni philoſophia ſunt referta, Panem noſtrum quotidianum da nobis hodie: dici alimentum inquit. Id quod iuſtus iſte, tametſi nihil horum audierat, precatus eſt, dicens: Si dederit mihi Dominus panem ad commedendum, & veſtem ad tegendum. Ne igitur temporale aliquid ab eo petamus. Indignum enim valde eſt, à tam liberali & tanta virtute præſtanti huiuſmodi petere, quæ cum præſenti vita diſſoluuntur, & magnam viciſſitudinem & mutationem experiuntur. Id genus enim ſunt humana omnia, ſiue diuitias dixeris, ſiue potentiam, ſiue humanam gloriam: ſed petamus ſemper manentia, ſufficientia, viciſſitudinis neſcia. Et ſcientes domini noſtri bonitatem, nihil pendamus præſentia, ſed omne noſtrum ſtudium in cœleſtium deſiderium transferamus. Nam ſi ſolem ſuum oriri facit ſuper malos & bonos, & pluit ſuper iuſtos & iniuſtos: multò

Iacob vouet ſe decimas daturũ.

Moralis epilog.

Matth. 5. 45.

Ibid. 6.

Matt. 6. 11.

A magis abſtinentes a malitia, & iniuſtitiam fugientes non deſpiciet: ſed multa dignos ducet prouidentia, & ſua ſollicitudine omni tempore dignabitur. Id ſcientes, dilecti, ne increduli ſimus diuinis pollicitationibus, neque diuerſa quàm ille iuſſit, faciamus. Enimverò quantum ad ea quæ nunc à nobis fiunt, nihil ab infidelibus differimus. Quando enim ipſe quidem futura nobis promittit, nos autem nolumus fidere illius promiſſionibus, ſed præſentibus ſumus affixi, quod aliud incredulitatis indicium adhuc requiritur, rebus ipſis tam clara voce atteſtantibus? & B Chriſto iubente nos nihil à ſe petere fragilium horum & temporalium, nos ei contrauenientes quæ petere prohibuit, illa quærimus: & quæ iuſſit quæri, illa non quærimus. Et hæc facientes, & tam pigrè noſtra inſtituentes, & exacerbantes mitem & humanum dominum, quaſi obliti quæ nos fecerimus, cauſam quærimus eius erga nos indignationis, & quare nos ſæpe deſpiciat, in varias incidentes tentationes: & non cogitantes peccatorum noſtrorum magnitudinem, C noſmetipſos vltrò decipimus. Idcirco obſecro vt his omnibus repulſis, nihil ſaluti noſtræ præferamus. Quid enim vtile fuerit homini, ſi totum mundum lucretur, & animæ ſuæ detrimentum patiatur? Et ſuperuacuas diuitias iam euacuemus in pauperes, & manum ſapientiæ ſtudij ſpecimen in omnibus exhibeamus, vanam gloriam deſpicientes, humanum faſtum conculcantes, & omne charitatis ſtudium alij in alios mutuo impendentes: vt & præſentibus & futuris bonis perfrui D mereamur, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Matt. 16. 16. Marc. 8. & Luc. 9

μᾶλλον τοὺς ἀπεχομένους τῆς πονηρίας, καὶ τὴν ἀδικίαν φεύγοντας οὐ περιόψεται, ἀλλὰ πολλῆς ἀξιώσει τῆς προνοίας, καὶ τὴν ἑαυτοῦ κηδεμονίαν ἐν ἅπασι παρέξει. ταῦτα εἰδότες, ἀγαπητοὶ, μὴ ἀπιστῶμεν ταῖς τοῦ θεοῦ ὑποσχέσεσι, μηδὲ ἐναντία ὧν ἐκέλευσε διαπραττώμεθα. τὰ γὰρ νῦν παρ' ἡμῶν γινόμενα οὐδὲν ἀπιστούντων διενήνοχεν. ὅταν γὰρ αὐτὸς μὲν ἐπαγγέλληται τὰ μέλλοντα, ἡμεῖς δὲ μὴ βουλώμεθα θαρρεῖν ἐκείνοις, ἀλλὰ τοῖς παροῦσιν ὦμεν προσηλωμένοι, ποῖον ἕτερον δεῖγμα ἀπιστίας λοιπόν τις ἐπιζητήσει, τῶν πραγμάτων αὐτῶν λαμπρὰν ἀφιέντων φωνήν; καὶ πάλιν αὐτοῦ κελεύοντος μηδὲν ἡμᾶς ζητεῖν παρ' αὐτοῦ τῶν ἐπικήρων τούτων καὶ βιωτικῶν, ἀλλ' ἐκείνων μᾶλλον, ἡμεῖς ἀπ' ἐναντίας αὐτῷ ἐρχόμενοι, ἅπερ εἶπε μὴ ζητεῖν, ἐκεῖνα ζητοῦμεν, καὶ ἅπερ εἶπε ζητεῖν, ἐκεῖνα οὐ ζητοῦμεν, καὶ ταῦτα διαπραττόμενοι, καὶ οὕτω ῥαθύμως τὰ καθ' ἑαυτοὺς διοικοῦντες, καὶ παροργίζοντες τὸν ἥμερον καὶ πρᾶον δεσπότην, ὥσπερ ἐπιλαθόμενοι τῶν παρ' ἡμῶν γινομένων, τὴν αἰτίαν ζητοῦμεν τῆς καθ' ἡμῶν ἀγανακτήσεως, καὶ τίνος ἕνεκεν ἡμᾶς πολλάκις περιορᾷ ποικίλοις πειρασμοῖς περιπίπτοντας· καὶ οὐκ ἐννοοῦμεν τὸ μέγεθος τῶν ἡμῖν ἡμαρτημένων, ἀλλ' ἑκόντες ἑαυτοὺς παραλογιζόμεθα. διὸ, παρακαλῶ, πάντα ταῦτα ἀποσεισάμενοι, μηδὲν ἕτερον τῆς οἰκείας σωτηρίας προτιμῶμεν. τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν μὲν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; καὶ τὰ περιττὰ τῶν χρημάτων ἤδη κενώσωμεν εἰς τοὺς δεομένους, καὶ πολλὴν ἐν ἅπασι τὴν φιλοσοφίαν ἐπιδειξώμεθα τῆς ματαίας δόξης καταφρονοῦντες, τὸν ἀνθρώπινον τῦφον καταπατοῦντες, καὶ πολλὴν τὴν ἀγάπην πρὸς ἀλλήλους ἐπιδεικνύμενοι· ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἀγαθῶν ἀπολαῦσαι δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A

Ὁμιλία νε.

Καὶ εἶπε Λάβαν τῷ Ἰακὼβ, ἀδελφός μου εἶ σὺ· οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σου.

Ἱκανῶς ἡμᾶς χθὲς τὰ προοίμια τῆς ἀποδημίας τοῦ δικαίου τῆς φιλοσοφίας αὐτοῦ τὸ μέγεθος ἐπαίδευσε, δι' ἣν αἰτίαν τοσαύτης τῆς ὑποσχέσεως ἠξιώθη παρὰ τοῦ θεοῦ. θαρσήσας πάλιν, διὰ τῆς αἰτήσεως καὶ τῆς εὐχῆς, ἣν ἐποιήσατο πρὸς τὸν τῶν ὅλων θεὸν, ἀρκοῦσαν ἡμῖν ἅπασι διδασκαλίαν παρέσχεν, εἰ βουληθείημεν πρὸς μίμησιν διεγερθῆναι τῆς ἀρετῆς τοῦ δικαίου. καὶ γὰρ θαυμάσαι ἄξιον ὅπως καὶ τὴν δύναμιν εἰδὼς τοῦ ὑπισχνουμένου, καὶ τῶν ἐπαγγελθέντων αὐτῷ τὸ μέγεθος ἀκηκοὼς, οὐδὲ οὕτω μέγα τι καὶ ὑπέρογκον αἰτῆσαι κατεδέξατο, ἀλλ' ἐκεῖνα μόνον αἰτήσας, ἅπερ χθὲς ἠκούσατε, ὅσα πρὸς τὴν ἐφήμερον αὐτῷ τροφὴν ἀρκεῖν ἠδύνατο, καὶ τὴν τοῦ σώματος περιβολὴν παράσχειν, ὑπισχνεῖται, εἰ τὴν ἐπάνοδον αὐτῷ τὴν εἰς τὰ οἰκεῖα χαρίσαιτο, καθάπερ ὑπέσχετο, πάντων αὐτῷ δεκάτας δώσειν, ὧν ἂν λάβοι παρ' αὐτοῦ· διὰ πάντων δεικνὺς αὐτοῦ τὸ φιλόθεον, καὶ αὐτὸν ἐπιγραφόμενος τῶν ἁπάντων χορηγὸν, καὶ διδάσκων ἡμᾶς μόνῳ αὐτῷ πάντων εἰδέναι χάριν. ἤδει γὰρ ὁ δίκαιος, εἰδὼς τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας τὴν ὑπερβολὴν, καὶ ἐννοῶν τοῦτο ἐξ ὧν εἰς τὸν αὐτοῦ πατέρα ἐπεδείξατο, ὅτι καὶ αὐτὸν ἐν πολλῇ καταστήσει τῇ περιουσίᾳ. καὶ τούτων μὲν αὐτὸς οὐδὲν αἰτεῖ παρὰ τοῦ δεσπότου, οὐδὲ ἀνέχεται περὶ τούτων ἱκετηρίαν προσαγαγεῖν, ἀλλὰ δι' ὧν ὑπέσχετο τὰς δεκάτας δώσειν, ἔδειξεν ὅπως ἐν ἅπασι θαρρεῖ τῇ τοῦ ὑπισχνουμένου δυνάμει. διὰ γὰρ τοῦτο καὶ αὐτὸς, ἡνίκα αὐτῷ διελέγετο, ἔλεγεν, ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ τοῦ πατρός σου. μὴ φοβοῦ. ἐννόησον, φησὶν, ὅτι καὶ ὁ πατριάρχης, καθάπερ ξένος καὶ ἄγνωστος, εἰς τὴν γῆν ταύτην παραγενόμενος εἰς τοσαύτην ἦλθε περιφάνειαν, ὡς ἐν τοῖς ἁπάντων εἶναι στόμασι. καὶ τὸν πατέρα δὲ τὸν σὸν λογίζου, ὅτι ἐν ἐσχάτῳ γήρᾳ τῷ πατρὶ τεχθεὶς, οὕτως ηὐξήθη, ὡς ἐπίφθονον γενέσθαι τοῖς ἐγχωρίοις αὐτόν.

HOMILIA LV.

Et dixit Laban ad Iacob. Quoniam frater meus es tu, non ſeruies mihi gratis, dic mihi quæ merces tua. Gen. 29. 15.

SATIS heri ex præludiis peregrinationis iuſti edocti ſumus quãta ſit eius philoſophiæ magnitudo, propter quam cauſam tantam promiſſionem

B à Deo conſecutus eſt. Iterum autem per preces & votum, quæ fecit vniuerſorum domino, ſufficientem doctrinam nobis omnibus dedit, ſi vellemus ad imitandam virtutem illius excitari. Etenim admiratione dignum eſt, quomodo virtutem ſciens promittentis, & audiens magnitudinem ſibi promiſſorum, neque ſic magnum aliquid & ſublime poſtulare attentauerit: ſed illa duntaxat petiit, quæ audiſtis heri: nempe ea quæ ad quotidianum alimentum

C ſibi ſufficere poſſint, & veſtimentum ad corpus tegendum: & promittit ſi reditum ſibi in ſua concedat Deus, ſicut ſibi promiſerat, daturum ſe illlj omnium quæ ab eo accipiet ; decimas: per omnia monſtrans religionem ſuam, & ipſi aſcribit vt datori omnia: & docet nos vt ei habeamus gratiam. Nouerat enim iuſtus, ineffabilem eius benignitatem ſciens, & hoc coniectans ex his quæ in patrem ſuum & patriarcham exhibuerat, quòd & ſibi magnam abundãtiam cõceſſurus eſſet: & horũ

D quidẽ ipſe nihil petit à Domino neq; vult de his precari: ſed ex eo quòd decimas omniũ daturum ſe pollicetur, monſtrauit omnibus, quomodo cõfidebat eius qui promiſerat virtuti. Propterea & ipſe quando cum eo loquebatur, dicebat, Ego ſum Deus Abrahã & Iſaac patris tui, ne timeas. Cogita, inquit, ꝙ & patriarcha quaſi peregrinus & ignotus in terrã hanc aduenerit, & in tantã venerit gloriã, vt omniũ ore celebretur. Cogita itẽ & patrẽ tuũ, quòd in extrema ſenectute patri ſuo nat⁹ eſt, ac ita opibus auctus, vt inuidioſus fieret indigenis. Gen. 26. 24.

Confidentia Iacobi in Deũ.

Eadem igitur & ipſe expecta, omnémque timorem & anxietatem depone, peregrinationémque obi. Hæc ſecum cogitans iuſtus, non ad præſentem reſpiciebat ſtatum: nihil enim omnino ſecum afferebat: (quomodo enim, qui ſolus erat, & iter facere cogebatur? ſed iam fidei oculis non multò pòſt futuram præuidens abundantiam, ſuam declarabat gratitudinem: & qui nihil adhuc acceperat, vouet, digniorem fide exiſtimans promiſſionem Domini, quàm rerum poſſeſſionem. Neque enim ita fidere debemus his quæ in manibus habemus & videmus, vt promiſſionibus Dei, etiamſi non eueniant ſtatim primo tempore. Iuſtus igitur ſumpta ex his quæ Deus dixerat fiducia maxima, peregrinationem obiit. Quo pacto enim non fiſurus eſſet, cui dictum erat, Ecce ego tecum ſum, cuſtodiens te in omni via qua iturus es: & multiplicabo ſemen tuum, & reducam te iterum in terram hanc: & non te derelinquam, vſquequo compleantur promiſſa omnia? Verùm vt heri dixi, cogita & omnipotentem Dei ſapientiam, & iuſti illius magnam patientiam & gratitudinem. Surrexit enim poſt promiſſiones illas, & in Charras contendit. Et iterum agit vt peregrinus & vagus, & in omnibus diuina gratia fruitur, benigno Deo omnia ei prædiſponente, & ſuam promiſſionem adimplente. Qui enim dixerat, Tecũ ſum, cuſtodiens te in omni via qua iturus es, is duxit iuſtũ ad fontem aquę, vbi aquabant paſtores terrę incolę: à quibus cũ interrogaſſet de Laban fratre matris ſuę, & didiciſſet omnia quæ circa illum gerebantur: deinde cùm & huius filiam, & greges oculis ſpectaſſet, viderétq; paſtores nõ ſufficere vt lapidem à fonte ipſi amouerẽt, & aquarent oues, accurrit, & id quod illi facere non valebant, ipſe ſuperno auxilio roboratus, pręueniens beneficiis Laban, amouit lapidem & adaquauit oues quas paſcebat Rachel. Dein vbi oſculatus eſt puellã, & ſignificauit quis eſſet, & vnde veniſſet, manſit ipſe apud fontẽ. Verùm quia De⁹ erat qui iuſto diſponebat omnia,

Geneſ. 28.15.

A Ταῦτα οὖν καὶ αὐτὸς προσδόκα, πάντα φόβον καὶ ἀγωνίαν ἀποστησάμενος ἔχου τῆς ἀποδημίας. Ταῦτα ὁ δίκαιος λογισάμενος, καὶ οὐ πρὸς τὴν ἐν τῷ παρόντι κατάστασιν ἀπιδὼν (οὐδὲν γὰρ ὅλως ἐπεφέρετο· πῶς γὰρ μόνος ὢν καὶ ὁδοιπορεῖν ἀναγκαζόμενος;) ἀλλ' ἤδη τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὴν μετ' οὐ πολὺ μέλλουσαν αὐτῷ ἔσεσθαι εὐπορίαν προορῶν, τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται, καὶ μηδέπω λαβὼν ὑπισχνεῖται, ἀξιοπιστοτέραν αὐτῆς τῆς πείρας τῶν πραγμάτων εἶναι νομίζων τὴν ἐπαγγελίαν τοῦ δεσπότου. οὐδὲ γὰρ οὕτω τοῖς ὁρωμένοις καὶ ἐν χερσὶ κρατουμένοις θαῤῥεῖν ὀφείλομεν, ὡς B ταῖς παρὰ τοῦ θεοῦ ὑποσχέσεσι, κἂν μὴ παρ' αὐτὸν τὸν καιρὸν εἰς ἔργον ἐκβῶσι. θάρσος τοίνυν μέγιστον λαβὼν ἐκ τῶν παρὰ τοῦ θεοῦ πρὸς αὐτὸν ῥηθέντων ὁ δίκαιος, εἴχετο τῆς ἀποδημίας. πῶς γὰρ οὐκ ἔμελλε θαῤῥεῖν ἀκούσας, ὅτι ἰδοὺ ἐγὼ μετὰ σοῦ εἰμι, διαφυλάττων σε ἐν τῇ ὁδῷ πάσῃ οὗ ἐὰν πορεύσῃ, καὶ πληθυνῶ τὸ σπέρμα σου, καὶ ἀποστρέψω σε πάλιν εἰς τὴν γῆν ταύτην, καὶ οὐ μή σε ἐγκαταλίπω, ἕως οὗ πάντα εὐδοκήσω εἰς ἔργον ἀγαγεῖν τὰ ἐπαγγελθέντα; ἀλλ' ὅπερ χθὲς ἔλεγον, ἐννόει καὶ τοῦ θεοῦ τὴν ἀμήχανον σοφίαν, καὶ τοῦ δικαίου τούτου τὴν πολλὴν C ὑπομονὴν καὶ εὐγνωμοσύνην. μετὰ γὰρ ταύτας τὰς ὑποσχέσεις ἀναστὰς, ὥρμησεν ἐπὶ τὴν Χαῤῥὰν, καὶ πάλιν ἀλήτου καὶ ξένου τρόπον ποιεῖται τὴν ἀποδημίαν, καὶ διὰ πάντων ἀπολαύει τῆς ἄνωθεν εὐνοίας τοῦ φιλανθρώπου θεοῦ ἅπαντα αὐτῷ προοδοποιοῦντος, καὶ τὴν οἰκείαν ὑπόσχεσιν διὰ τῶν ἔργων ἐπιδεικνυμένου. ὁ γὰρ εἰπὼν, ὅτι μετὰ σοῦ εἰμι, διαφυλάττων σε ἐν τῇ ὁδῷ, οὗ ἐὰν πορεύσῃ, οὗτος ὡδήγησε καὶ ἤγαγε τὸν δίκαιον ἐπὶ τὸ φρέαρ τοῦ ὕδατος, ἔνθα ἐπότιζον τὰ ποίμνια οἱ ἐγχώριοι· παρ' ὧν πυθόμενος τὰ περὶ τοῦ Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς D αὐτοῦ, καὶ μαθὼν τὰ κατ' αὐτὸν ἅπαντα, εἶτα καὶ τὴν τούτου θυγατέρα καὶ τὰ ποίμνια θεασάμενος, ὁρῶν τε τοὺς ἐγχωρίους οὐ δυναμένους αὐτοῖς ἀρκέσαι πρὸς τὸ μετακινῆσαι τὸν λίθον τοῦ φρέατος, καὶ ποτίσαι τὰ πρόβατα, ἐπιδραμὼν οὗτος, ὅπερ ἐκεῖνοι ποιῆσαι οὐκ ἴσχυον, αὐτὸς ὑπὸ τῆς ἄνωθεν συμμαχίας δυναμούμενος, προφθάνει ταῖς εὐεργεσίαις τὸν Λάβαν, καὶ μετακινήσας τὸν λίθον ποτίζει τὰ πρόβατα, ἅπερ ἔνεμεν ἡ Ῥαχήλ. εἶτα ἀσπασάμενος τὴν κόρην, καὶ γνωρίσας τίς τε εἴη, καὶ πόθεν παραγέγονεν, ἔμενεν ἐφ' ἑαυτοῦ. ἀλλ' ἐπειδὴ θεὸς ἦν ὁ ἅπαντα τῷ δικαίῳ προοδοποιῶν,

οὗτος καὶ τὴν κόρην διήγειρε μετὰ πολλοῦ τοῦ τάχους A
δραμεῖν καὶ ἀναγγεῖλαι ταῦτα τῷ πατρὶ, ὃς ἀδελφὸς ἐτύγχανε τῆς τούτου μητρὸς, καὶ διηγήσασθαι τήν τε εὐεργεσίαν τὴν παρ' αὐτοῦ γενομένην εἴς τε αὐτὴν καὶ τὰ ποίμνια, καὶ ὅτι οὐ ξένος τίς ἐστιν οὐδὲ ἀγνώστος, ἀλλὰ τῆς ἀδελφῆς υἱός. σκόπει μοι, ἀγαπητὲ, τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, ὅπως ἡμῖν ἅπαντα σαφῶς διηγεῖται, παιδεύουσα ἡμᾶς τῶν παλαιῶν τοὺς τρόπους, καὶ ὅσην ἐπεδείκνυντο τὴν προθυμίαν περὶ τὴν φιλοξενίαν. ἵνα γὰρ δείξῃ καὶ τῆς κόρης τὸ πρόθυμον, οὐχ ἁπλῶς εἶπεν, ὅτι ἀπῆλθε, καὶ ἀπήγγειλε τὰ γενόμενα, ἀλλὰ δραμοῦσα, ἀντὶ τοῦ, μετὰ πολλῆς τῆς περιχαρείας. εἶτα καὶ περὶ τοῦ B
Λάβαν, ὃς πατὴρ αὐτῆς ἐτύγχανε, φησὶν, ὅτι ταῦτα ἀκούσας παρὰ τῆς κόρης, ἔδραμε καὶ αὐτὸς εἰς συνάντησιν τοῦ Ἰακὼβ, καὶ ἀσπασάμενος αὐτὸν εἰσήγαγεν εἰς τὸν οἶκον αὐτοῦ. καὶ μαθὼν ὁ Λάβαν ἅπαντα παρ' αὐτοῦ μετ' ἀκριβείας, εἶπε, φησὶν, αὐτῷ, ἐκ τῶν ὀστέων μου καὶ ἐκ τῶν σαρκῶν μου εἶ σύ. τῆς ἀδελφῆς, φησὶ, τῆς ἐμῆς τυγχάνων υἱὸς, οὐδὲν ἕτερον, ἢ σὰρξ ἡμῶν τυγχάνεις, καὶ ἀδελφὸς ἡμέτερος. καὶ ἦν μετ' αὐτοῦ, φησὶ, μῆνα ἡμερῶν. λοιπὸν ὡς ἐν οἰκίᾳ ἰδίᾳ οὕτω διῆγεν ὁ δίκαιος, ἐν ἀδείᾳ τυγχάνων καὶ πάσης ἀπηλλαγμένος φροντίδος. ἀλλ' ἐπειδὴ θεὸς ἦν ὁ τὰ C
πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν τῷ δικαίῳ τούτῳ, καὶ ἐν ἅπασιν αὐτῷ τὴν παρ' ἑαυτοῦ συνεργίαν χαριζόμενος, οὗτος καὶ τοῦ Λάβαν τὴν προθυμίαν διήγειρε, καὶ ὁρῶν τοῦ ἀνδρὸς τὴν ἐπιείκειαν, φησὶ πρὸς αὐτὸν, ὅτι γὰρ ἀδελφός μου εἶ σὺ, οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σου ἐστίν. ὅρα πῶς μὲν αὐτὸς ἐπεζήτησεν οὐδὲν, ὁ δὲ Λάβαν μόνον ἀφ' ἑαυτοῦ τοῦτο προτίθησι τῷ δικαίῳ. καὶ σκόπει μοι πῶς, ἐπειδὰν ὑπὸ τῆς ἄνωθεν χειρὸς τις βοηθῆται, πάντα αὐτῷ κατὰ ῥοῦν πρόεισιν. οὐ δουλεύσεις μοι, φησὶ, δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σου ἐστί. καίτοι ἀγα- D
πητῶς εἶχεν ὁ μακάριος οὗτος καὶ τὸ ἁπλῶς τῆς ἐφημέρου τροφῆς ἀπολαύειν, καὶ πολλὴν καὶ ὑπὲρ τούτου ἤθελεν αὐτῷ χάριν ἔχειν. ἀλλ' ἐπειδὴ αὐτὸς πολλὴν τὴν ἐπιείκειαν ἐπεδείξατο, προλαβὼν ὁ Λάβαν μισθὸν αὐτῷ τελέσειν ὑπισχνεῖται, ὃν ἂν αὐτὸς προθῇ. τί οὖν ὁ δίκαιος; ὅρα μοι καὶ ἐνταῦθα τῆς συνέσεως αὐτοῦ τὴν ὑπερβολὴν, καὶ πῶς οὐδεμίαν ἔχει περὶ χρημάτων συλλογῆς ἐπιθυμίαν, οὐδὲ καθάπερ μισθωτός τις ἀκριβολογεῖται πρὸς τὸν Λάβαν, καὶ ἕτερόν τι ἀπαιτεῖ,

hic & puellam excitauit vt celeriter curreret, ac annunciaret hæc patri, qui frater erat huius matris: narraretque beneficium quòd ab eo factum & in ipſam & in greges: & quòd neque peregrinus ſit, neque ignotus, ſed ſororis filius. Conſidera obſecro, dilecte, diuinæ ſcripturæ euidentiam, quomodo nobis omnia manifeſtè recenſeat, docendo nos mores veterum, & quantæ in excipiendis hoſpitibus fuerint alacritatis. *Quanta veterũ hoſpitalitas.* Nam vt puellæ indicaret alacritatem, non ſimpliciter dixit, quòd abiit & annunciauit quæ facta ſunt, ſed q; cucurrit, hoc eſt magno cũ gaudio. Deinde & de Laban, qui pater illius erat, dicit, quòd auditis his à virgine, cucurrit & ipſe in occurſum Iacob, & oſculatus eſt eum, & induxit in domũ ſuam. Poſtquam autem Laban omnia diligenter didicit ab eo, [14] *dixit*, inquit, *ei: Ex oſsibus meis & ex carne mea es tu.* Sororis, inquit, meæ exiſtens filius, nihil aliud quàm caro noſtra es, & frater noſter. *CAPVT XXIX.* [15] *Et erat cum eo*, inquit, *ad menſem dierum.* Dein quaſi in domo propria apud eum impauidè & ab omni cura liber agebat. Cęterum quoniam Deus erat, qui omnia ad vtilitatem huius iuſti diſpenſabat, & in omnibus ei ſuam præbebat cooperationem, ipſe alacritatem Laban excitauit: & videns viri manſuetudinem, dicit ei: *Quoniã enim frater meus es tu, non ſeruies mihi gratis: dic mihi, quæ merces tua ſit.* Vide quomodo ipſe quidẽ petebat nihil, Laban autẽ à ſe hoc proponit iuſto. Et attende obſecro, quomodo ei, cui diuina manus aſſiſtit omnia fœliciter ſuccedãt. *Omnia feliciter ſuccedunt ei quem Deus iuuat.* Nõ ſeruies mihi, inquit, gratis: indica mihi, quę merces tua ſit. Quamuis beatus ille magnę charitatis loco habebat vel ſimpliciter quotidiano alimẽto frui, multáq; pro eo gratiam referebat: verùm quia miram humanitatẽ prę ſe ferebat, ideo Laban mercedem ei pollicetur, quam ipſe propoſuerit. Quid igitur iuſtus? Vide obſecro & hîc excellentem eius ſagacitatẽ, & quomodo nullã congregandarum opũ habuerit curam. Non enim ſicut mercenarius aliquis cum Laban conuenit, & opera ſuam exquiſitiore mercede locat, & aliud quid petit:

A ſed memor matris & præceptorum patris,& mirificam continētiam præ ſe ferens,dicit Laban: [18] *Seruiam tibi ſeptem annis pro Rachel filia tua iuniore.* Hanc enim mox vt apud fontem vidi,amaui. Et vide beneuolentiam viri, ſibiipſi & tempus præſcribit, & tanto tēpore ſufficiens argumentum ſuæ continentiæ præbet. Et quid admiraris dilecte audiens quòd ſeptem annis ſe ſeruitutum promiſit pro dilecta puella? Vt enim oſtendat nobis ſcriptura, quomodo amor magnus & laborem & temporis longitudinem ſuccîdit,& breue videri fecit, dicit: [20] *Et ſeruiuit Iacob pro Rachel annis ſeptem, & erant coram eo quaſi dies pauci, eò quòd ipſe illam diligeret.* Septem, inquit, anni, pauci dies videbantur ob ingentem erga puellam amorem. Quando enim quis ſauciatur charitatis deſiderio, nihil difficile ſpectat:ſed id quod fuerit plenum periculis & multa miſeria, leuiter fert, ad vnum hoc reſpiciens, quomodo ſuo potiatur voto & deſiderio. Audiamus nos ignaui & ſupini, magna ingratitudine in Deum viuentes. Nam ſi iuſtus ille propter puellæ amorem ſeptennium ſeruire, ferréque paſtoralium laborum ærumnas decreuit, & non ſentit vel labores, vel temporis longitudînem: ſed omnia ei leuia & facilia videntur, expectationéque & ſpe fructus alitur, ita vt dies paucos longum illud tempus putet: qualem nos habebimus excuſationem, qui non pari ſtudio erga dominum noſtrum & benefactorem & curatorem, & qui nobis ſit omnia, afficimur? Atqui vbi proponitur lucrum temporale, omnia alacriter ſuſtinere volumus, etiamſi quid laborioſum ſit, & valde ærumnoſum & ſordidum, & pœnam in præſenti & futuro ſeculo præbens: popter noſtram autem ſalutem, & vt ſupernum nobis fauorem conciliemus, remiſſi & ſupini & diſſoluti videmur. Et qualis nobis erit venia, qualiſve excuſatio ſic negligentiæ deditis, qui neque quantum beatus ille in puellam declarauit amorem,tantam in Deum charitatē habemus:idq; cùm tanta poſſumus numerare beneficia in nos collocata,& quæ quotidie collocantur?

Amor longitudinem tēporis ſuccidit.

Moralis epilogus.

Ad charitarem in Deū hortatur.

ἀλλὰ μεμνημένος τῆς μητρὸς, καὶ τῆς ἐντολῆς τοῦ πατρὸς, καὶ τῆς οἰκείας σωφροσύνης δεικνὺς τὴν ὑπερβολὴν, φησὶ πρὸς τὸν Λάβαν, δουλεύσω σοι ἑπτὰ ἔτη περὶ Ῥαχὴλ τῆς θυγατρός σου τῆς νεωτέρας. ταύτην γὰρ ἐξ ἀρχῆς θεασάμενος ἐπὶ τοῦ φρέατος ἠγάπησα. καὶ ὅρα εὐγνωμοσύνην ἀνδρός. ἑαυτῷ καὶ τὸν χρόνον ὁρίζει, καὶ διὰ τοῦ χρόνου τῶν ἐτῶν ἱκανὴν βάσανον τῆς οἰκείας σωφροσύνης παρέχει. καὶ τί θαυμάζεις, ἀγαπητὲ, ἀκούων ὅτι ἑπτὰ ἔτη δουλεύειν ὑπέσχετο ὑπὲρ τῆς ἀγαπωμένης κόρης; ἵνα γὰρ δείξῃ ἡ θεία γραφὴ, ὅπως ὁ πόθος ὁ πολὺς ἐπετέμετο καὶ τὸν κάματον αὐτοῦ καὶ τοῦ χρόνου B τὸ μῆκος, φησὶ, καὶ ἐδούλευσεν Ἰακὼβ περὶ Ῥαχὴλ ἑπτὰ ἔτη, καὶ ἦσαν ἐναντίον αὐτοῦ ὡς ἡμέραι ὀλίγαι παρὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν. ὁ τῶν ἑπτὰ, φησὶν, ἐτῶν ἀριθμὸς ὀλίγαι ἡμέραι ἐνομίζοντο διὰ τὴν ἀγάπην τὴν ὑπερβάλλουσαν τὴν περὶ τὴν κόρην. ὅταν γὰρ τρωθῇ τις τῷ πόθῳ τῆς ἀγάπης, οὐδὲν ὁρᾷ τῶν δυσχερῶν, ἀλλ' ἅπερ ἂν ᾖ κινδύνων μεστὰ, καὶ πολλῆς ἑτέρας ταλαιπωρίας, πάντα κούφως φέρει, πρὸς ἓν ὁρῶν μόνον, ὥστε τὸν οἰκεῖον ἀποπληρῶσαι πόθον. ἀκούωμεν οἱ ῥᾴθυμοι Ἠθικόν. καὶ ἀναπεπτωκότες, οἱ πολλὴν περὶ τὸν δεσπότην C ἀγνωμοσύνην ἐπιδεικνύμενοι. εἰ γὰρ ὁ δίκαιος οὗτος διὰ τὸν τῆς κόρης πόθον ἑπτὰ ἐτῶν ἀριθμὸν δουλεῦσαι κατεδέξατο, καὶ τὴν ἀπὸ τῆς ποιμενικῆς ταλαιπωρίαν ὑπομεῖναι, καὶ οὐδὲ αἴσθησιν ἐλάμβανεν οὐ τῶν πόνων, οὐ τοῦ μήκους τοῦ χρόνου, ἀλλὰ πάντα αὐτῷ κοῦφα καὶ ῥᾴδια ἐφαίνετο, καὶ τῇ προσδοκίᾳ τῆς ἀπολαύσεως τρεφόμενος, ὡς ἡμέρας ὀλίγας τὸν πολὺν ἐκεῖνον εἶναι χρόνον ἐνόμιζε· ποίαν ἡμεῖς ἕξομεν ἀπολογίαν μηδὲ τὸν ὅμοιον πόθον περὶ τὸν δεσπότην τὸν ἡμέτερον, τὸν εὐεργέτην, τὸν κηδεμόνα, τὸν πάντα ἡμῖν γινόμενον ἐπιδεικνύμενοι; ἀλλ' ἂν μὲν D βιωτικὸν κέρδος προκεῖται, πάντα προθύμως ὑπομένειν αἱρούμεθα, κἂν κάματον ἔχῃ, κἂν πολλὴν τινὰ ταλαιπωρίαν, κἂν αἰσχύνην, κἂν κόλασιν τὴν ἐν τῷ παρόντι, τὴν ἐν τῷ μέλλοντι· διὰ δὲ τὴν ἡμετέραν σωτηρίαν, καὶ ὑπὲρ τοῦ τὴν ἄνωθεν ἐπισπάσασθαι ῥοπὴν, χαῦνοι καὶ ἀναπεπτωκότες καὶ διαλελυμένοι φαινόμεθα. καὶ ποία ἡμῖν ἔσται συγγνώμη, τίς δὲ ἀπολογία οὕτω ῥαθύμως διακειμένοις, καὶ οὐδὲ ὅσον ὁ μακάριος οὗτος περὶ κόρην τὸν πόθον ἐπεδείξατο, τοσαύτην ἀγάπην περὶ τὸν θεὸν ἐπιδείξασθαι βουλομένοις, καὶ ταῦτα τοσαύτας ἔχοντες ἀριθμεῖν εὐεργεσίας εἰς ἡμᾶς γεγενημένας, καὶ καθ' ἑκάστην ἡμέραν γινομένας

ἀλλ' εἰ καὶ ἡμεῖς οὕτως ἀγνώμονες, ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ὁ τοσοῦτον ζέων τῷ πνεύματι, καὶ πεπυρωμένος εἰς τὸν περὶ τὸν θεὸν πόθον, ὡς ἐκεῖνα τὰ τῆς ψυχῆς αὐτοῦ ἄξια φθέγξασθαι ῥήματα καὶ ἀναβοῆσαι καὶ εἰπεῖν, τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; ὅρα λέξεως ἔμφασιν. ὅρα πόθου τυραννικοῦ μανίαν. ὅρα ἀγάπην πεπυρωμένην. τίς ἡμᾶς χωρίσει; τί, φησίν, ἐστιν, ὃ δύναται τῆς ἀγάπης ἡμᾶς ἀποστερῆσαι τῆς πρὸς τὸν θεόν; τί τῶν ὁρωμένων; εἶτα βουλόμενος καὶ κατ' εἶδος ἅπαντα ἀπαριθμήσασθαι, καὶ πᾶσιν ἡμῖν κατάδηλον ποιήσασθαι τὸν πόθον τὸν ἀκάθεκτον, ὃν περὶ τὸν δεσπότην ἐκέκτητο, ἐπήγαγε λέγων, θλίψις, ἢ στενοχωρία, ἢ λιμός, ἢ διωγμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; ὢ ψυχῆς μαινομένης μανίαν σωφροσύνης μητέρα. τί, φησι, τῶν ἐπαγομένων ἡμῖν δυνήσεται ἡμᾶς ἀποστῆσαι τῆς πρὸς τὸν θεὸν ἀγάπης; αἱ θλίψεις αἱ καθημεριναί; οὐδαμῶς. ἀλλ' αἱ στενοχωρίαι; οὐδὲ αὗται. ἀλλ' οἱ διωγμοί; οὐδόλως. ἀλλὰ τί, λιμός, οὐδὲ τοῦτο. ἀλλὰ κίνδυνοι; καὶ τί λέγω λιμὸν καὶ γυμνότητα καὶ κινδύνους, ἀλλὰ μάχαιρα; αὐτός, φησιν, ὁ θάνατος ἐπαγόμενος τοῦτο ἰσχῦσαι οὐ δυνήσεται. ἀμήχανον γὰρ καὶ πάντα ἀδύνατον. οὐδεὶς ἕτερος οὕτως ἀγαπῆσαι κατηξιώθη τὸν δεσπότην, ὡς ἡ μακαρία αὕτη ψυχή. καθάπερ γὰρ ἀπαλλαγεὶς τοῦ σώματος, καὶ μετάρσιος, ὡς εἰπεῖν, γεγονώς, καὶ οὐδὲ ἐπὶ τῆς γῆς βαδίζειν νομίζων, οὕτως ἅπαντα φθέγγεται. ὁ γὰρ περὶ τὸν θεὸν πόθος, καὶ ἡ πεπυρωμένη ἀγάπη μετέστησεν αὐτοῦ τὸν λογισμὸν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά, καὶ ἀπὸ τῶν παρόντων ἐπὶ τὰ μέλλοντα, καὶ ἀπὸ τῶν βλεπομένων ἐπὶ τὰ μὴ ὁρώμενα. τοιοῦτον γὰρ ἡ πίστις, καὶ ἡ περὶ τὸν θεὸν ἀγάπη. καὶ ἵνα μάθῃς αὐτοῦ τὴν πολλὴν εὐγνωμοσύνην, ὅρα τὸν οὕτως ἀγαπῶντα τὸν δεσπότην καὶ ἐκκαιόμενον εἰς τὸν περὶ αὐτὸν πόθον, ἐλαυνόμενον, διωκόμενον, μαστιζόμενον, μυρία δεινὰ ὑπομένοντα, καὶ λέγοντα, ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις, ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον· τρὶς ἐρραβδίσθην· ἅπαξ ἐλιθάσθην· νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις,

A Sed etſi nos tam ingrati, verum non ita beatus Paulus, qui tant feruebat & ignitus erat charitate in Deum, vt verba illa tanto viro digna loqueretur & clamaret, dicens: Quis nos ſeparabit à charitate Dei? (Rom. 8. 35.) Vide dictionis emphaſin, & latentem vim: vide amoris violenti furorem, vide charitatem incenſam. Quis nos ſeparabit? Quid, inquit, eſt, quod poteſt nos à charitate Dei ſeparare? quid inter viſibilia, quid inter inuiſibilia? Deinde volens & particulatim omnia enumerare, & omnibus nobis manifeſtum facere irre- B frænabile deſiderium, quod erga dominum poſſidebat, ſubdidit dicens: Num afflictio? num anguſtia? num fames? num perſecutio? num nuditas? num periculum? num gladius? ô animam, inſania, quæ continentiæ mater eſt, furentem. Quid, inquit, ex his quæ nobis inferri poſſunt, nos auocare à charitate quæ eſt in Deum, poterit? Afflictiones quotidianæ? minimè. anguſtiæ? neque illæ. num perſecutiones? neque illæ. Sed quid? num C fames? num nuditas? num pericula? Verùm quid dico famem, & nuditatem, & pericula? num gladius? num mors ipſa, ſi infligatur, hoc poterit efficere? impoſſibile eſt. Nullus alius ſic dignatus eſt diligere Dominum, vt beata illa anima. Quaſi enim liberatus à corpore, & ſublimis factus (vt ſic dicam) & neque ſuper terram ambulare ſe putans, ita loquitur. Amor enim in Deum & ſuccenſa charitas mentem eius à ſenſibilibus ad ſpiritualia tranſtulit, & à præſentibus ad futura, & à viſibilibus D ad non viſibilia. Talis enim res eſt fides & charitas in Deum. Et vt diſcas magnam eius gratitudinem, vide eum qui ſic Dominum dilexit, & in eius charitatem exarſit, fugari, perſecutionem pati, flagellari, innumera grauia ferre, & dicere: In laboribus abundantius, (2. Cor. 11. 23.) in plagis ſupra modum, in mortibus frequenter: à Iudęis quinquies quadraginta vna minus accepi: ter virgis cęſus ſum, ſemel lapidat⁹ ſum, ter naufragium feci, nocte & die in profundo maris fui, in itinerib⁹ ſępe,

periculis fluminum, periculis latronum, periculis in falſis fratribus, in labore & ærumna: & talia patiens, Comparatur cũ Iacobo Paulus. gaudebat &exultabat. Sciebat enim, & argumentis multis certus erat, q̃ labores præſentes maxima ſibi præmia conciliarent,&pericula coronas parerent. Nam ſi Iacob propter amorem in Rachelem quaſi pauculos dies ſeptennium putabat: multò magis beatus ille omnia nihili faciebat, ſuccenſus ſimul amore in Deum, & propter Chriſtum dilectum omnia ferens. Studeamus igitur obſecro & nos diligere Chriſtum. Nihil enim Matth. 22.33. aliud, inquit, Chriſtus requirit à te, quàm vt ipſum diligas ex toto corde,& faciàs mandata eius. Qui enim diligit ſicut oportet Deum, manifeſtũ quòd & mãdata eius facere nititur. Quãdo enim quis erga aliquem fraternè afficitur, omnia facere ſtudet, vt dilectum attrahere poſſit in amorẽ ſuũ. Et nos quoq; ſi Dominum faternè dilexerimus,& mandata eius implere, nihilq; eorũ quæ exacerbare poterũt dilectum, facere ſtudebimus. Hoc fuerit regnũ cœlorũ, infinitáq; bona,&fructus bonorum aſſequi, ſi germanè & ſicut oportet eum dilexeris, & propter charitatẽ in eũ, &erga conſeruos multã declaraueris Matth. 22.40. Luc. 10. 27. dilectionẽ. In his enim duobus mandatis,inquit, vniuerſa lex & prophetæ pendent: nẽpe vt diligas Dominũ Deum tuum ex toto corde tuo, & ex tota mente tua, & ex omnib. viribus tuis, & proximũ tuum ſicut teipſum. Hæc omniũ virtutũ ſumma,hoc fundamentum. Simul enim cũ charitate cn Deum, ingreditur dilectio proximi. Nam qui Deum diligit, non deſpiciet fratrem: neque opes pluris, quam membrum ſuum, faciet, ſed magnam præ ſe feret benignitatem, Matth. 25.40. memor eius qui dixir: Qui fecerit aliquid vni horum minimorum, mihi fecerit. Et cogitans quòd propter miniſterium in cõſeruum, Deus ipſe ſit qui ſibi vindicet factum, magna cũ alacritate omnia operabitur, magnúmque ſtudium habebit eleemoſynæ: non ad vilitatem reſpiciens pauperis qui apparet, ſed ad magnitudinem eius qui promiſit ſe habiturum perinde ac ſi ſibi factum eſſet, quæcunque illi facta fuerint.

A κινδύνοις ποταμῶν, κινδύνοις ἐν ψευδαδέλφοις, ἐν κόπῳ καὶ μόχθῳ· καὶ τοσαῦτα πάσχων ἔχαιρε καὶ ἠγαλλιᾶτο. ᾔδει γὰρ καὶ πεπληροφόρητο, ὅτι οἱ πρὸς τὸ παρὸν πόνοι τῶν μεγίστων αὐτῷ βραβείων πρόξενοι γίνονται, καὶ οἱ κίνδυνοι στεφάνους ἔτικτον. εἰ γὰρ ὁ Ἰακὼβ διὰ τὸν περὶ τὴν Ῥαχὴλ πόθον ὡς ἡμέρας ὀλίγας τὸν ἑπτὰ ἐτῶν τὸν ἀριθμὸν ἐνόμιζε, πολλῷ μᾶλλον ὁ μακάριος οὗτος οὐδὲν ἅπαντα ἡγεῖτο πυρωθεὶς ἅπαξ τῷ περὶ τὸν θεὸν πόθῳ, καὶ διὰ τὸν ἀγαπώμενον Χριστὸν ἅπαντα ὑπομένων. σπουδάσωμεν τοίνυν, παρακαλῶ, καὶ ἡμεῖς ἀγαπῆσαι τὸν Χριστόν. οὐδὲν γὰρ ἕτερον, φησιν, ὁ Χριστὸς ζητεῖ B παρὰ σοῦ, ἢ τὸ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ποιεῖν τὰς ἐντολὰς αὐτοῦ. ὁ γὰρ ἀγαπῶν αὐτὸν, καθ' ὃν δεῖ τρόπον ἀγαπᾷν, δηλονότι καὶ τὰς αὐτοῦ ἐπείγεται ἐντολὰς ποιεῖν. ὅταν γάρ τις περί τινα γνησίως διάκειται, πάντα πράττειν σπουδάζει, ἃ τὸν ἀγαπώμενον ἐφέλκεσθαι δύναται εἰς τὸν περὶ αὐτὸν πόθον. καὶ ἡμεῖς τοίνυν, ἐὰν ἀγαπήσωμεν γνησίως τὸν δεσπότην, καὶ τὰς ἐντολὰς αὐτοῦ πληρῶσαι δυνησόμεθα, καὶ μηδὲν πράττειν ἐκείνων τῶν παροξῦναι δυναμένων τὸν ἀγαπώμενον. τοῦτο ἡ βασιλεία τῶν οὐρανῶν· τοῦτο ἡ ἀπόλαυσις τῶν ἀγαθῶν· τοῦτο τὰ μυρία C ἀγαθά, τὸ καταξιωθῆναι γνησίως, καὶ καθ' ὃν χρὴ δὴ τρόπον αὐτὸν ἀγαπᾷν. ἀγαπήσομεν δὲ αὐτὸν γνησίως, ἐὰν διὰ τῆς περὶ αὐτὸν ἀγάπης, καὶ περὶ τοὺς ὁμοδούλους πολλὴν ἐπιδειξώμεθα τὴν ἀγάπην. ἐν ταύταις γάρ, φησι, ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται, ἐν τῷ ἀγαπῆσαι κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου, ὡς σεαυτόν. τοῦτο τῶν ἀρετῶν τὸ κεφάλαιον, τοῦτο πασῶν τῶν τοῦ θεοῦ ἐντολῶν ὁ θεμέλιος. τῇ γὰρ ἀγάπῃ τῇ περὶ τὸν θεὸν συνεισέρχεται καὶ ἡ περὶ τὸν πλησίον D ἀγάπη. ὁ γὰρ ἀγαπῶν τὸν θεὸν οὐ περιόψεται τὸν ἀδελφόν, οὐδὲ τὰ χρήματα τοῦ οἰκείου μέλους προτιμήσει, ἀλλὰ πολλὴν περὶ αὐτὸν ἐπιδείξεται τὴν φιλοτιμίαν, μεμνημένος τοῦ εἰρηκότος, ὅτι ὁ ποιήσας ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε· καὶ ἐννοῶν, ὅτι διὰ τῆς εἰς τὸν ὁμόδουλον θεραπείας αὐτός ἐστιν ὁ τὰ γινόμενα οἰκειούμενος ὁ τῶν ἁπάντων δεσπότης, μετὰ πολλῆς τῆς προθυμίας ἅπαντα ἐργάσεται, καὶ πολλὴν τὴν δαψίλειαν περὶ τὴν ἐλεημοσύνην ἐπιδείξεται, οὐ πρὸς τὴν εὐτέλειαν ὁρῶν τοῦ φαινομένου, ἀλλὰ πρὸς τὸ μέγεθος τοῦ οἰκειοῦσθαι ἐπαγγειλαμένου τὰ εἰς τοὺς πένητας γινόμενα.

A μὴ δὴ παρατρέχωμεν ἁπλῶς, παρακαλῶ, τὸ κέρδος τῶν ἡμετέρων ψυχῶν, τὸ φάρμακον τῶν ἡμετέρων τραυμάτων. τοῦτο γὰρ, τοῦτο μάλιστα τὸ φάρμακον τοσαύτην ἡμῖν παρέξει τὴν θεραπείαν, καὶ οὕτως ἀφανίσει τὰ ἕλκη τῶν ἡμετέρων ψυχῶν, ὡς μηδὲ ἴχνος μηδὲ οὐλὴν καταλειφθῆναι, ὅπερ ἐπὶ τῶν σωματικῶν τραυμάτων οὐχ οἷόν τε γενέσθαι. κἂν γὰρ μυριάκις τις τὰ φάρμακα τῷ οἰκείῳ τραύματι ἐπιθῇ τὰ παρὰ τῶν ἰατρῶν κατασκευαζόμενα, ἀνάγκη τὴν οὐλὴν ἐν τῷ σώματι ἐναπομένειν· καὶ εἰκότως. σῶμα γάρ ἐστι τὸ θεραπευόμενον. ἐνταῦθα δὲ ἐπειδὴ ψυχή ἐστιν ἡ θεραπευομένη, ἐπειδὰν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείξηται, πολλὴν δέχεται B τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν, καὶ οὕτως ἅπαντα φυγαδεύεται τὰ ἕλκη, ὡς ἂν κονιορτὸς ἀνέμου σφοδροῦ διεγερθέντος· καὶ τούτων ἁπάντων τῶν ὑποδειγμάτων ὑπερπλήρεις ἡμῖν αἱ γραφαί. οὕτως ὁ μακάριος Παῦλος ἀπόστολος γέγονεν ἀπὸ διώκτου, καὶ ὁ πρότερον πορθῶν τὴν ἐκκλησίαν, ὕστερον αὐτὸς αὐτῆς γέγονε νυμφαγωγός. εἶδες ἄκραν τὴν μεταβολήν; εἶδες ἄφατον τὴν μετάστασιν; οὕτω καὶ ὁ λῃστὴς μυρίους ἐργασάμενος φόνους, ἐν μιᾷ καιροῦ ῥοπῇ διὰ τῶν ὀλίγων ἐκείνων ῥημάτων οὕτως ἅπαντα ἀπενίψατο τὰ ἁμαρτήματα, ὡς ἀκοῦσαι παρὰ C τοῦ δεσπότου, ὅτι σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. οὕτω καὶ ὁ τελώνης τὸ στῆθος πλήξας, καὶ τὰ οἰκεῖα ἁμαρτήματα ὁμολογήσας κατῆλθε δεδικαιωμένος ὑπὲρ τὸν Φαρισαῖον. ἀλλὰ τούτων μὲν ἕκαστος ψυχῆς εὐγνωμοσύνην ἐπιδειξάμενος, καὶ τὰ πρότερα ὁμολογήσας πταίσματα, οὕτω τῆς συγχωρήσεως ἀπήλαυσεν. ἴδωμεν δὲ ταύτης τῆς ἐντολῆς τὴν ἰσχὺν, καὶ ὅσην περιουσίας δύναμιν κέκτηται ἡ δαψιλὴς ἐλεημοσύνη, ἵνα μαθόντες τὸ ἐξ αὐτῆς ἡμῖν ἐγγινόμενον κέρδος, προθύμως αὐτὴν μετέλθωμεν. τάχα γὰρ τοσαύτη αὐτῆς ἡ περιου- D σία, ὡς μὴ μόνον ἁμαρτήματα ἐκκαθαίρειν, ἀλλὰ καὶ αὐτὸν τὸν θάνατον φυγαδεύειν. καὶ λέγω τὸν τρόπον. καὶ τίς, φησιν, ἐλεημοσύνην ἐπιδειξάμενος τοῦ θανάτου κρείττων γέγονε; καὶ μὴν ἅπαντας ὁρῶμεν ὑπὸ τὴν τυραννίδα τοῦ θανάτου γινομένους. μὴ θορυβηθῇς, ἀγαπητέ, ἀλλὰ μάθε δι' αὐτῶν τῶν πραγμάτων, ὅπως ἡ τῆς ἐλεημοσύνης δύναμις ἐνίκησε καὶ ταύτην τὴν τυραννίδα. Ταβιθά τις ἐγένετο γυνὴ, ἥτις διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἔργον ἐποιεῖτο καθ' ἑκάστην ἡμέραν τὸ ἀπὸ τῆς ἐλεημοσύνης εὐπορίαν συλλέγειν ἑαυτῇ, καὶ ἐνεδί-

A Ne igitur prætereamus ſimpliciter, oro, lucrum noſtrarum animarum, & remedium noſtrorum vulnerum. Hoc enim, hoc maximum pharmacum ita curabit & abolebit vlcera animarum noſtrarum, vt neque veſtigium, neque cicatrix aliqua appaɼitura ſit: id quod in corporis vulneribus non eſt poſſibile. Nam licet quis millies cataplaſmata accepta à medicis ſuperponat, neceſſe eſt cicatricem in corpore manere, & meritò: corpus enim eſt quod curatur. Hîc autem quia anima eſt quæ curatur, quando quis ſuam gratitudinem B declarat, meritò melius incipit ſeſe habere, quam antea habuerit: & ſic omnia vlcera depellit, vt ventus vehemens puluerem deturbat. Atque horum omnium exemplis plenę ſunt ſcripturæ. Ita Paulus, Apoſtolus factus eſt ex perſecutore: & qui prius impugnabat eccleſiam, poſtea factus eſt eius pronubus. Vidiſti quanta rerum viciſſitudo? Vidiſti quanta tranſmutatio? Sic & latro, qui multa fecerat homicidia, in vno temporis puncto, propter pauca illa verba C ita omnia abluit peccata, vt audiret à Domino: Hodie mecum eris in paradiſo. Sic & publicanus, qui percuſſerat pectus, & ſua peccata confeſſus erat, deſcendit iuſtificatus magis, quàm Phariſæus. Verùm omnes hi animæ ſuæ gratitudinem declararunt, & priora confeſſi peccata, remiſſionem obtinuere: videamus autem & huius mandati robur, & quantam abundantiæ vim poſſideat larga eleemoſyna, vt cùm didiceris lucrum quod inde naſcitur, alacriter eam faciamus. Fortè enim D tãta eius eſt poteſtas, vt nõ ſolũ peccata purgare, ſed & mortem fugare valeat. Et quomodo? Ego dicam. Et quis, dicet aliquis, eleemoſynam faciens, ſuperior morte factus eſt? ſanè omnes vidimus ſub mortis poteſtatem veniſſe. Ne turberis dilecte, ſed rebus ipſis diſce quomodo eleemoſynæ vis & mortis vicit tyrannidem. Tabitha erat mulier, cuius nomen ſi quis interpretatur, dicitur Dorcas: hæc quotidie dabat operam, vt colligeret ex miſericordia diuitias. Et veſtiebat, inquit,

Act. 9.

Luc. 23. 43.

Luc. 18. 13.

viduas, & alios omnes ſumpt⁹ eis præbebat. Factum eſt autem vt infirmata ipſa moreretur. Sed vide quomodo hæ quæ ab illa curabantur, & quas veſtiebat, benefactricem remunerarint. Stabant enim circa Apoſtolum, & monſtrabant, inquit, ei veſtes, quas faciebat, cum adhuc in humanis ageret Dorcas: & alumnam requirebant: & fortè etiam lachrymas profundebant, & ad miſerationem Apoſtolum prouocabant. Quid igitur beatus Petrus? Genibus poſitis, inquit, orauit: & conuerſus ad corpus, dixit: Tabita ſurge. Illa autem aperuit oculos ſuos, & vt vidit Petrum, reſedit. Data autem ei manu, erexit eam: & accerſitis ſanctis & viduis commendauit illis eam viuam. Vidiſti virtutem Apoſtoli, imò operantis per eum Domini? Vidiſti quanta retributio beneficentiæ in viduas, etiam in præſenti vita? Quid enim tantũ quæſo præbuit illa viduis, quantũ illæ ei repẽdunt? Veſtes præbuit & alimenta, ſed illæ ad vitam hanc reduxerunt, & mortem fugere fecerunt: imò non illæ, ſed clemens dominus noſter propter curam quam illis impendit. Vidiſtis pharmaci potentiam dilectiſſimi? Hoc omnes nobiſipſis paremus: neque enim ſumptuoſum eſt, quamuis tantæ ſit virtutis, ſed & vili emitur, nec multo ſumptu indiget. Magnitudo enim eleemoſynæ non in multitudine pecuniarum vel opum ſita eſt, ſed ex alacritate dantium iudicatur. Propter hoc & qui potum aquæ frigidæ dedit, acceptus eſt: & quæ duo minuta in corbonam miſit, grata eſt: vt diſcamus, quòd vbiq; rectã mentẽ requirit vniuerſorum dominus. Fieri poteſt vt qui parum habet, magnam præ ſe ferat liberalitatem, vtpote ſi valeat alacritate: & qui multa poſſidet, minor videatur his, qui parum habent, propter ſordidi animi tenacitatem. Effundamus igitur quæſo facultates noſtras in egenos mente liberali, ex his quæ nobis Dominus dedit: & quæ ab eo data ſunt, ipſi iterum demus, vt ſic iterum noſtra cum lucro fiant. Tanta enim eius eſt liberalitas, vt licet accipiat de his quæ ipſe dedit, non putet tamen propria ſe accipere,

Matt.10 42. Marc.9. Luc.21.2

A δυσκε, φησι, τὰς χήρας, καὶ τὴν ἄλλην ἅπασαν εὐποιΐαν αὐταῖς παρεῖχεν. ἐγένετο δὲ ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. ἀλλὰ βλέπε μοι ἐνταῦθα, ἀγαπητέ, πῶς αἱ τῆς θεραπείας ἀπολαύουσαι, καὶ τὰ σώματα σκεπόμεναι ἀπ' αὐτῆς, ἐν καιρῷ τὴν εὐεργέτιν ἀμειβόμεναι, παρεστῶσαι τὸν ἀπόστολον, ἐπεδείκνυον, φησι, τὰ ἱμάτια, καὶ ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς, καὶ τὴν τροφὸν ἐπεζήτουν, καὶ δάκρυα ἴσως προσέχεον, καὶ εἰς πολὺν οἶκτον τὸν ἀπόστολον ἐφείλκοντο. τί οὖν ὁ μακάριος Πέτρος; τὰ γόνατα θείς, φησι, προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε, Ταβιθά, ἀνάστηθι. ἡ δὲ ἤνοιξε τοὺς B ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε. δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτήν, καὶ φωνήσας τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν. εἶδες δύναμιν τοῦ ἀποστόλου, μᾶλλον δὲ τοῦ ἐνεργοῦντος ἐν αὐτῷ δεσπότου; εἶδες ὅση τῆς εἰς τὰς χήρας εὐποιΐας ἀμοιβὴ καὶ ἐν τῷ παρόντι καιρῷ γέγονε. τί γὰρ τοσοῦτον, εἰπέ μοι, παρέσχεν αὕτη ταῖς χήραις, ὅσον αὗται αὐτὴν ἠμείψαντο; ἱμάτια παρέσχε καὶ τροφὰς αὐταῖς, ἀλλ' αὗται πρὸς ζωὴν αὐτὴν ἐπανήγαγον, καὶ τὸν θάνατον ἐξ αὐτῆς δραπετεῦσαι ἐποίησαν· μᾶλλον δὲ οὐχ C αὗται, ἀλλὰ διὰ τὴν εἰς ταύτας θεραπείαν ὁ φιλάνθρωπος ἡμῶν δεσπότης. εἴδετε φαρμάκου δύναμιν, ἀγαπητοί; τοῦτο πάντες ἑαυτοῖς κατασκευάσωμεν. οὐδὲ γὰρ πολυτελές ἐστι, καί τοι γε τοσαύτην ἔχον τὴν δύναμιν, ἀλλὰ καὶ σφόδρα εὔωνον, καὶ οὔτε δαπάνης δεῖται πολλῆς. τὸ γὰρ τῆς ἐλεημοσύνης μέγεθος οὐκ ἐν τῷ πλήθει τῶν χρημάτων κρίνεται, ἀλλ' ἐν τῇ προθυμίᾳ τῶν διδόντων. διὰ τοῦτο καὶ ὁ ποτήριον ψυχροῦ δοὺς ἀποδεκτὸς γέγονε, καὶ ἡ τὰ δύο λεπτὰ καταβαλοῦσα, ἵνα μάθωμεν ὅτι πανταχοῦ γνώμην ὀρθὴν ἐπιζητεῖ ὁ τῶν D ἁπάντων δεσπότης. ἔστι πολλάκις καὶ ὀλίγα ἔχοντα πολλὴν τὴν δαψίλειαν τῆς ἐλεημοσύνης ἐπιδείξασθαι, ὅταν ἡ ἡ προθυμία ἐρρωμένη· καὶ πάλιν τὸ ἐναντίον ἐστὶ καὶ πολλὰ κεκτημένον ἐλάττονα ὀφθῆναι τῶν ὀλίγα ἐχόντων διὰ τὴν τῆς ἰδίας γνώμης μικρολογίαν. ἐκχέωμεν οὖν, παρακαλῶ, τὰ ὄντα εἰς τοὺς ἐν χρείᾳ ὄντας μετὰ δαψιλοῦς γνώμης, ἐξ ὧν ὁ δεσπότης ἡμῖν κεχάρισται, καὶ αὐτὰ τὰ παρ' αὐτοῦ ἡμῖν δοθέντα αὐτῷ πάλιν ἡμεῖς δῶμεν, ἵνα οὕτω πάλιν μετὰ πολλῆς προσθήκης ἡμέτερα γένηται. τοσαύτη γὰρ αὐτοῦ ἡ φιλοτιμία, ὅτι καὶ ἀφ' ὧν ἔδωκε λαμβάνων, οὐχ ἡγεῖται τὰ ἴδια λαμ-

A βαίνειν, ἀλλὰ μετὰ πολλῆς ἡμῖν αὐτὰ τῆς φιλοτιμίας ἀποδιδόναι ὑπισχνεῖται· μόνον ἐὰν ἡμεῖς τὰ παρ' ἑαυτῶν ἐπιδείξασθαι βουληθῶμεν, καὶ καθάπερ τῇ τοῦ θεοῦ χειρὶ ταῦτα παρακατιθέμενοι, οὕτως αὐτὰ τοῖς πένησι χορηγῶμεν, εἰδότες ὅτι ἅπερ ἂν ἡ χεὶρ ἐκείνη δέξηται, οὐκ ἐκεῖνα μόνον ἀποδίδωσιν, ἀλλὰ καὶ πολυπλασίονα τὰ δοθέντα οὕτως ἡμῖν αὐτὰ πάλιν χαρίζεται, τὴν οἰκείαν φιλοτιμίαν διὰ πάντων ἐπιδεικνύμενος. καὶ τί λέγω, ὅτι αὐτὰ πάλιν πολυπλασιάζει; ἡ χεὶρ ἐκείνη δίδωσιν οὐκ αὐτὰ μόνον, ἀλλὰ μετὰ τούτων καὶ τὴν βασιλείαν τῶν οὐρανῶν δωρεῖται, καὶ ἀνακηρύττει καὶ στεφανοῖ, καὶ τὰ μυρία ἀγαθὰ χαρίζεται, B ἐὰν ἐκ τῶν παρ' αὐτοῦ δοθέντων μικρόν τι εἰσενεγκεῖν βουληθῶμεν. μὴ γὰρ βαρύ τι καὶ ἐπαχθὲς παρ' ἡμῶν αἰτεῖ; τὰ περιττὰ τῆς χρείας βούλεται ἀναγκαῖα ἡμᾶς ποιήσασθαι, καὶ ἅπερ εἰκῇ καὶ μάτην ἐν τοῖς ταμείοις ἐναπόκειται, ταῦτα βούλεται ὑφ' ἡμῶν αὐτῶν καλῶς διανεμηθῆναι, ἵνα ἀφορμὴν λαβὼν ἐντεῦθεν λαμπρῶς ἡμᾶς στεφανώσῃ. σπεύδει γὰρ καὶ ἐπείγεται καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε ἀξιῶσαι ἡμᾶς ὧν καὶ ἐπηγγείλατο. μὴ τοίνυν ἑαυτοὺς ἀποστερήσωμεν, παρακαλῶ, τῶν τοσούτων C ἀγαθῶν. εἰ γὰρ οἱ περὶ τὴν γῆν πονούμενοι καὶ ταλαιπωροῦντες, τὰς ἑαυτῶν ἀποθήκας κενοῦντες εἰς τὴν γῆν καταβάλλουσι τὰ σπέρματα, καὶ τὰ πάλαι συνηγμένα σκορπίζουσι, καὶ μεθ' ἡδονῆς τοῦτο ποιοῦσι, τῇ ἐλπίδι τοῦ πλείονος ἑαυτοὺς παραμυθούμενοι, καὶ ταῦτα εἰδότες ὡς καὶ ἀέρων ἀνωμαλίαι πολλάκις, καὶ γῆς ἀκαρπία, καὶ ἕτεραι πολλαὶ περιστάσεις, ἢ ἀκρίδων στρατόπεδον, ἢ ἐρυσίβης ἡ ἔφοδος τῆς προσδοκίας διαμαρτεῖν ἐποίησε, καὶ ὅμως ταῖς χρησταῖς ἐλπίσιν ἑαυτοὺς τρέφοντες, τὰ ἐν τοῖς ταμείοις συνηγμένα τῇ γῇ παρακατίθενται· πολλῷ μᾶλλον ἡμᾶς τὰ ἁπλῶς ἀπο- D κείμενα σκορπίζειν εἰς τὴν τῶν πενήτων διατροφὴν προσήκεν, ἔνθα οὐκ ἔνι ποτὲ διαμαρτεῖν τοῦ τέλους, οὐδὲ δεῖσαι τὴν ἀποτυχίαν τὴν ἐπὶ τῆς γῆς γινομένην. ἐσκόρπισε γάρ, φησιν, ἔδωκε τοῖς πένησιν. ἀλλ' ἄκουε καὶ τῶν ἑξῆς, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ὢ θαυμασίου σκορπισμοῦ. ἐν βραχεῖ τῷ χρόνῳ τὴν διανομὴν ἐποιήσατο, καὶ ἐν διηνεκεῖ τῷ αἰῶνι ἡ δικαιοσύνη αὐτοῦ διαμένει. τί τούτου μακαριώτερον γένοιτ' ἂν ποτε; διὰ τοῦτο, παρακαλῶ, τὴν διὰ τῆς ἐλεημοσύνης δικαιοσύνην ἑαυτοῖς ἐπισπασώμεθα, ἵν' ᾖ καὶ περὶ ἡμῶν τοῦτο λέγεσθαι ἄξιον, ὅτι

A ſed magna munificentia nobis ea redditurum ſe pollicetur, tantum nos & quæ noſtra ſunt facere velimus : & ſic pauperibus erogemus, quaſi deponentes ea in manus Domini : ſcientes quòd quæcunque acceperit manus eius, ea non ſolum reddit, ſed multiplicata nobis iterum largitur, ſuæ liberalitatis gloriam declarans. Et quid aſſero, quòd ea reddat multiplicata, manus illa? non enim illa ſolum reddit, ſed cum illis regnum cœlorum donat, & celebrat, & coronat, & innumera bona largitur, modo ex iis quæ ab ipſo B data ſunt paruum quiddam inferre voluerimus. Num enim graue aliquid & oneroſum à nobis requirit? Ea quæ abundant & ſuperuacanea ſunt nobis, neceſſaria facere vult: & quæ fruſtra ac in vanum repoſita ſunt, ea vult bene diſtribui, vt occaſione accepta hinc nos coronet. Anhelat enim & vrget, ac omnia facit, vt dignos faciat his, quę illi promiſit. Ne igitur quęſo noſipſos priuemus tantis bonis. Nam ſi agricolæ penum ſuum euacuant, & ſemina terræ concredunt, & collecta diſpergunt, idq; C cum voluptate faciunt, ſpe maiora recipiendi ſe ſolantes : & quamuis ſciant quòd aëris intemperies, nonnunquã & terrę ſterilitas, & alia multa accidentia, vt locuſtarũ exercitus, & rubiginis incurſus exſtatione excidere faciant : attamen bona ſpe ſeſe alentes, ea quæ in promptuariis collecta, terræ concredunt: multò magis nos quæ abſque vſu recondita ſunt, diſpergere in pauperum vſus & educationem conuenit : vbi nunquam ſpes eluditur, neque timen- D da aliqua terræ ſterilitas. Dicit enim : Diſperſit, dedit pauperibus, ſed audi etiam quæ ſequuntur : iuſtitia eius manet in ſeculum ſeculi. O mirabilem ſementem. Breui tempore diſtribuit, & perpetuo ſeculo iuſtitia eius permanet. Quid hac beatius vnquam fuerit? & idcirco, oro, vt iuſtitiam quæ ex eleemoſyna eſt nobis acquiramus, vt & de nobis dicatur, Diſperſerunt, dede-

Agricolæ ſerẽtis exẽplum.

Pſ. 111. 8.

runt pauperibus, iuſtitia eorum manet in ſeculum ſeculi. Poſtquam enim dixit, Diſperſit, dedit, ne putes diſperſa periiſſe, ideo ſtatim ſubdidit: Iuſtitia eius manet in ſeculum ſeculi. Illis, inquit, diſperſis, iuſtitia eius manet in ſecula, & in omne ſeculum ſe extendit. Iam cum eleemoſyna etiam alias virtutes diligenter curemus, & affectiones carnis reprimamus, & eliminemus ex anima omnem illicitam concupiſcentiam, omnem malam cogitationem, iram, ſtomachationem, inuidiam: & ornemus omnibus modis animæ generoſitatem, vt claritate pulchritudinis eius conciliemus
Eſa.66.2 nobis vniuerſorum dominum. Nam vbi viderit animæ venuſtatem, ſtatim aduenit. Dicit enim: Super quem alium reſpiciam, quàm ſuper manſuetum & quietum, & trementem ſermones meos? Vidiſti quomodo nos docuit omnes ſpirituales colores, quibus animæ pulchritudo poteſt decorari? ſuper manſuetum, inquit, & quietum, & humilem. Deinde quòd hæc omnia efficit, addidit: & trementem ſermones meos. Quid eſt trementem ſermones meos? obediētiam Dei man-
Prou. 28 14. datorum operibus implentem: quod & alibi dicit, Beatus qui timet omnia propter pietatem. Nam ſi nos cùm videmus famulum qui mandata noſtra cum diligentia timoréque multo implere curat, maiorem ega illum declaramus beneuolentiā: multò magis bonus dominus erga nos id declarabit: propter hoc dicebat, Super illum reſpiciam qui tremit ſermones meos. Tremamus igitur oro, & cum magno timore ſermones eius impleamus, (nam eius ſunt ſermones) & cùm didicerimus quæ illi placent, & quæ probat, ea obeamus, & tales quales vult fieri ſtudeamus. Quietem, manſuetudinem, humilitatem magnam exhibeamus, & omnia quæ ab eo mandata ſunt, cum reuentia adimpleamus: vt cùm approbarit affectionem mentis noſtræ, placatus noſtra obedientia, reſpicere etiam ſuper

A ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἐπειδὴ γὰρ εἶπεν, ἐσκόρπισεν, ἔδωκεν, ἵνα μὴ νομίσῃς ὅτι τὰ σκορπισθέντα ἀπώλετο, διὰ τοῦτο ταχέως ἐπήγαγεν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἐκείνων, φησὶ, τῶν σκορπισθέντων ἡ δικαιοσύνη ἀθάνατος μένει, παντὶ τῷ αἰῶνι παρεκτεινομένη καὶ μηδέποτε πέρας λαμβάνουσα. καὶ μετὰ τῆς ἐλεημοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πολλὴν τὴν ἐπιμέλειαν ποιησώμεθα, καὶ τὰ πάθη τῆς σαρκὸς καταστέλλωμεν, καὶ ἐξορίσωμεν ἐκ τῆς ἑαυτῶν ψυχῆς πᾶσαν ἐπιθυμίαν ἄτοπον, πάντα πονηρὸν λογισμὸν, ὀργὴν, θυμὸν, βα-
B σκανίαν, καὶ τὴν εὐμορφίαν τῆς ψυχῆς διὰ πάντων καλλωπίζωμεν, ἵνα φαιδρὸν αὐτῆς καὶ λαμπρὸν τὸ κάλλος κατασκευάσαντες ἐπισπασώμεθα ἑαυτοῖς τὸν τῶν οὐρανῶν δεσπότην, καὶ μονὴν παρ' ἡμῖν καταξιώσῃ ποιῆσαι. ἔνθα γὰρ ἂν ἴδῃ ψυχῆς εὐμορφίαν, εὐθέως ἐκεῖ ἐφίσταται. αὐτὸς γὰρ εἴρηκεν, ὅτι ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον, καὶ ἡσύχιον, καὶ ταπεινὸν, καὶ τρέμοντά μου τοὺς λόγους; εἶδες πῶς ἡμᾶς ἐδίδαξεν ἅπαντα τὰ πνευματικὰ χρώματα τὰ δυνάμενα τῆς ψυχῆς τὴν εὐμορφίαν φαιδρὰν ἀπεργάσασθαι, καὶ τὸ κάλλος σφοδρῶς ἐξαστράπτεσθαι.
C ἐπὶ τὸν πρᾶόν, φησι, καὶ ἡσύχιον καὶ ταπεινόν. εἶτα τὸ πάντων κατασκευαστικὸν ἐπήγαγε, καὶ τρέμοντά μου τοὺς λόγους. τί ἐστι τὸ, καὶ τρέμοντά μου τοὺς λόγους; τὴν ὑπακοὴν τὴν τοῦ θεοῦ προσταγμάτων διὰ αὐτῶν τῶν ἔργων πληροῦντα, καθάπερ καὶ ἀλλαχοῦ φησι, μακάριος ὃς καταπτήσσει πάντα δι' εὐλάβειαν. εἰ γὰρ ἡμεῖς, ἐπειδὰν ἴδωμεν οἰκέτην ἡμέτερον μετ' ἐπιμελείας πολλῆς τὰ ἐπιτάγματα πληροῦντα τὰ ἡμέτερα, καὶ πολλοῦ τοῦ φόβου καὶ τοῦ τρόμου, πλείονα τὴν παρ' ἑαυτῶν εὔνοιαν καὶ συμπάθειαν εἰς αὐτὸν ἐπιδεικνύμεθα, πολ-
D λῷ μᾶλλον ἂν ὁ ἀγαθὸς δεσπότης εἰς ἡμᾶς τοῦτο ἐπιδείξηται. διὰ τοῦτο τοίνυν ἔλεγεν, ἐπ' ἐκεῖνον ἐπιβλέψω τὸν πρᾶον, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους. τρέμωμεν τοίνυν, παρακαλῶ, καὶ μετὰ πολλοῦ φόβου πληρῶμεν αὐτοῦ τοὺς λόγους· αὐτοῦ γάρ εἰσι λόγοι τὰ παρ' αὐτοῦ ἡμῖν δοθέντα προστάγματα· καὶ μαθόντες τίσιν ἀρέσκεται, καὶ τίνα προσίεται, ἐκεῖνα μετίωμεν, καὶ τοιοῦτοι γενέσθαι σπουδάζωμεν, ἡσυχίαν, πραότητα, ταπείνωσιν πολλὴν ἐπιδεικνύμενοι, καὶ πάντα τὰ παρ' αὐτοῦ ἐπιτάγματα μετ' εὐλαβείας πολλῆς μετερχόμενοι καὶ φόβου πολλοῦ, ἵνα τὴν διάθεσιν τῆς γνώμης τῆς ἡμετέρας ἀποδεξάμενος ὁ τῶν ἁπάντων

δεσπότης, καὶ ἀρκεσθεὶς ἡμῶν τῇ ὑπακοῇ, ἐπιβλέψαι ἐφ' ἡμᾶς καταξιώσῃ. ἐὰν γὰρ τοῦτο ποιῆσαι καταδέξηται, ἐν πάσῃ ἀσφαλείᾳ ἡμᾶς καταστήσει. ἐπιβλέψω γάρ, φησιν, ἀντὶ τοῦ, προνοίας ἀξιώσω, χεῖρα ὀρέξω, ἐν ἅπασιν ἀντιλήψομαι, τὰς παρ' ἐμαυτοῦ φιλοτιμίας μετὰ δαψιλείας παρέξω. ταῦτα οὖν ἅπαντα μετίωμεν, παρακαλῶ, ἵνα ἐπιβλέψῃ καὶ ἐφ' ἡμᾶς ὁ δεσπότης, καὶ δυνηθείημεν καὶ τὸν παρόντα βίον ἀλύπως διανύσαι, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ, καὶ εἰς B τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία νς'.

Εἶπε δὲ Ἰακὼβ πρὸς Λάβαν, ἀπόδος μοι τὴν γυναῖκά μου (πεπλήρωνται γὰρ αἱ ἡμέραι) ὅπως εἰσέλθω πρὸς αὐτήν.

Ἀπὸ τῆς ἀγάπης τοῦ Ἰακὼβ, ἣν περὶ τὴν Ῥαχὴλ ἐπεδείξατο, εἰς τὴν Παύλου ἀγάπην μεταστάντες χθὲς, καὶ τὸ μέγεθος τοῦ περὶ τὸν Χριστὸν πόθου αὐτοῦ καταμαθόντες, C καθάπερ ὑπὸ ῥύμης τινὸς σφοδροτέρας ἐξελκυσθέντες, οὐκ ἔτι ἰσχύσαμεν ἐπὶ τὴν ἀκολουθίαν ἐπανελθεῖν τοῦ λόγου. διόπερ, εἰ δοκεῖ, σήμερον τοῖς ἑξῆς ἐπεξελθόντες, τὰ λειφθέντα ἀναπληρώσωμεν, ἵνα καὶ ἐκ τῶν σήμερον λεγομένων ἀρκοῦσαν ὠφέλειαν καρπωσάμενοι, οὕτως οἴκαδε ἐπανέλθωμεν. ἐπεὶ γὰρ ἐπληρώθη ὁ τῶν ἑπτὰ ἐτῶν ἀριθμὸς, καὶ ἦσαν, φησιν, ἐνώπιον Ἰακὼβ ὡς ἡμέραι ὀλίγαι ὁ τοσοῦτος χρόνος διὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν, εἶπε τῷ Λάβαν, D ἀπόδος μοι τὴν γυναῖκά μου (πεπλήρωνται γὰρ αἱ ἡμέραι μου) ὅπως εἰσέλθω πρὸς αὐτήν. συνήγαγε δὲ Λάβαν πάντας τοὺς ἄνδρας τοῦ τόπου, καὶ ἐποίησε τὸν γάμον, καὶ ἐγένετο ἑσπέρα, καὶ λαβὼν Λάβαν Λείαν τὴν θυγατέρα αὐτοῦ εἰσήγαγεν αὐτὴν πρὸς Ἰακώβ. εἶδες τὸ παλαιὸν μεθ' ὅσης σεμνότητος τοὺς γάμους ἐπετέλουν. ἀκούσατε οἱ περὶ τὰς σατανικὰς πομπὰς ἐπτοημένοι, καὶ ἐξ αὐτῶν τῶν προοιμίων τὰ σεμνὰ τοῦ γάμου καταισχύνοντες. μήπου αὐλοί; μήπου κύμβαλα; μήπου χορεῖαι σατανικαί; τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τοσαύ-

A nos dignetur. Quod ſi nobis continget, erimus per omnia ſecuri: dicit enim, Reſpiciam, hoc eſt, cura mea dignabor, manum porrigam, in omnibus auxiliator ero, vbertim in eum meam liberalitatem profundam. Hæc igitur omnia faciamus, vt reſpiciat ſuper nos Dominus, quò & præſentem vitam abſque triſtitia tranſigamus, & futura bona conſequi poſſimus, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

HOMILIA LVI.

Dixit autem Iacob ad Laban, da mihi vxorem meam: impleti ſunt enim dies mei, vt ingrediar ad eam. Gen. 29. 21.

HERI cùm à dilectione Iacob, quam erga Rachelem declarauit, ad Pauli charitatem & magnitudinem amoris, quem erga Chriſtum gerebat, tranſiuimus: quaſi ab impetuoſo quodam torrente rapti, non potuimus ad ſeriem & contextum ſermonis regredi. Ideo ſi placet, hodie ſequentia aggreſſi, ea quæ nuper relicta ſunt impleamus: vt ex his quæ hodie dicnntur, percepta vtilitate aliqua domum repetamus. [21] *Igitur poſtquam impletus eſt ſeptem annorum numerus, & fuerunt*, inquit, *coram Iacob quaſi dies pauci tot anni ob amoris vehementiam, dixit ad Laban: Da mihi vxorem meam, impleti enim ſunt dies mei, vt ingrediar ad eam.* [22] *Congregauit autem.* [23] *Laban omnes viros loci, & fecit nuptias: & factum eſt veſpere, & accepit Laban Liam filiam ſuam, introduxitque eam ad Iacob.* Vidiſti cum quanta olim honeſtate nuptias egerint? Audite qui Satanicas pompas admiramini, & ſtatim ab initio nuptiarum honeſtatem dedecore afficitis. Num tunc tibiæ? num tunc cymbala? num tunc choreæ diabolicæ? Quare enim (dic mihi) tantum

In Satanicas nuptiarũ pompas inuehitur.

A ſtatim ab initio damnum inducis in domum tuam, & eos qui in ſcenis & orcheſtris operam locant vocas, vt cum intempeſtiuo ſumptu virginis lædas continentiam, & iuuenem impudentiorem facias? Satis enim arduum erat, abſque illis fomitibus illam ætatem poſſe ferre moderatè tempeſtatem affectionum: cùm autem & hæc accedunt, tam quæ videntur, quàm quæ audiuntur, maiúſque accenditur incendium, & fornax concupiſcentiarum magis inflammatur, quomodo non peſſum it adoleſcentis anima? Hinc enim omnia pereunt & corrumpuntur: quia
B ab initio caſtitas oppugnatur eorum qui inter ſe conuenturi ſunt, & ſæpe primo die iuuenis oculis videns incontinentibus, telo diabolico in anima vulneratur: & puella per ea quæ audit & videt captiua fit, & ab eo die poſtea creſcunt vulnera, maiúſque fit malum. Etenim illinc ſtatim diſcunt, vt & mutuam concordiam dilacerent, & amorem corrumpant. Quando enim ille mentem ad aliam vertit, huc & illuc diuidens cogitationem, & à diabolo
C ipſo inſtigatur, multa amaritudine domum implet. Quòd ſi & illa comperitur ita affecta eſſe, ex ipſis fundamentis omnia (vt ita dicam) ſubuertuntur. Poſtea mutuò ſe fugiunt & latere volunt, & ille quidem ſuſpicioſè obſeruat vxorem, & ſimiliter illa virum. Et vbi oportebat concordiam eſſe & copulam, & qui debebant eſſe caro vna,
Gen. 2. (Erunt enim, inquit, duo in carnem vnam) hi in tanta viuunt diuiſione, quaſi diſſecti ſint. Diabolus
D enim ſubingreſſus, tantum in eis damnum facit, vt quotidianæ pugnæ inter eos naſcantur, & à malis nunquã habeãt quietem. Quid enim quis dixerit, quomodo poſteà à famulis contemnantur, quomodo à vicinis rideantur, quã fœda operentur? Nam ſicut quando gubernatores inter ſe diſſidẽt, etiã qui in naui feruntur, periclitãtur, ac timẽt ne ſubmergatur nauis: ita & hîc, ſi diſcordes ſint vir & mulier, veriſimile eſt omnes qui apud illos ſunt, participes eſſe malorũ. Propterea oro, vt hæc omnia præuidẽtes, conſuetudinẽ non ſectemur.

A τὴν λύμην εὐθέως ἐπεισάγεις εἰς τὴν οἰκίαν, καὶ τοὺς ἀπὸ τῆς σκηνῆς καὶ τῆς ὀρχήστρας καλεῖς; ἵνα μετὰ τῆς ἀκαίρου δαπάνης καὶ τὴν τῆς κόρης λυμήνῃ σωφροσύνην, καὶ τὸν νέον ἀναισχυντότερον ἐργάσῃ; ἀγαπητὸν γὰρ, καὶ ἄνευ τούτων τῶν ὑπεκκαυμάτων, ἐκείνην τὴν ἡλικίαν δυνηθῆναι μετρίως ἐνεγκεῖν τὸν χειμῶνα τῶν παθῶν· ὅταν δὲ καὶ τοσαῦτα ᾖ τὰ διὰ τῆς ὄψεως καὶ διὰ τῆς ἀκοῆς δαψιλεστέραν ἀνάπτοντα τὴν πυρὰν, καὶ τὴν κάμινον τῶν παθῶν φλογωδεστέραν ἐργαζόμενα, πῶς οὐχὶ ὑποβρύχιος ἡ τοῦ νέου ψυχὴ γενήσεται; ἐντεῦθεν γὰρ ἅπαντα ἀπόλωλε καὶ διέφθαρται, ἀπὸ τοῦ
B τὴν σωφροσύνην ἐξ ἀρχῆς διαρρύπτεσθαι τῶν μελλόντων ἀλλήλοις συνιέναι· καὶ πολλάκις ἐκ πρώτης ἡμέρας καὶ ὁ νέος ἐδέξατο βέλος σατανικὸν ἐν τῇ ψυχῇ ἀκολάστοις ἰδὼν ὀφθαλμοῖς, καὶ ἡ κόρη καὶ διὰ τῆς ἀκοῆς καὶ διὰ τῆς ὄψεως αἰχμάλωτος γέγονε, καὶ ταῦτα ἐξ ἐκείνης λοιπὸν τῆς ἡμέρας τὰ τραύματα αὐξανόμενα μεῖζον ἐργάζεται τὸ κακόν. καὶ γὰρ πρῶτον μὲν τὴν πρὸς ἀλλήλους αὐτῶν ὁμόνοιαν διαρρύπτει, καὶ τὸν πόθον καταμαραίνει. ὅταν γὰρ πρὸς ἑτέραν ἐκεῖνος προσέχῃ τῇ διανοίᾳ, ὧδε κἀκεῖσε μεριζόμενος τὸν λογισμὸν,
C καὶ ὑπὸ τοῦ διαβόλου αὐτοῦ στρατηγούμενος, πολλῆς ἀηδίας πληρώσει τὴν οἰκίαν. Εἰ δὲ κἀκείνη εὑρεθείη τοιοῦτόν τι παθοῦσα, ἐξ αὐτῶν, ὡς εἰπεῖν, τῶν βάθρων ἅπαντα ἀνατρέπεται, καὶ λοιπὸν ἀλλήλους κρύπτοντες, ὁ μὲν δι' ὑποψίας ἔχει τὴν γαμετὴν, ἡ δὲ τὸν ἄνδρα. καὶ ἔνθα ἐχρῆν ὁμόνοιαν εἶναι καὶ σύνδεσμον, καὶ οἱ ὀφείλοντες σὰρξ εἶναι μία (ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν) οὗτοι ἐν τοσαύτῃ διαιρέσει τυγχάνουσιν, ὡς εἰ καὶ κατατετμημένοι ἦσαν. ἐπεισελθὼν γὰρ ὁ διάβολος τοσαύτην ἐν αὐτοῖς ἐργάζεται τὴν λύμην,
D ὡς πολέμους καὶ μάχας καθημερινὰς τίκτεσθαι, καὶ μηδέποτε ἀνάπαυσιν ἔχειν τῶν κακῶν. τί γὰρ ἄν τις εἴποι λοιπὸν τῶν οἰκετῶν τὰς καταφρονήσεις, τῶν πλησίον οἰκούντων τὸν γέλωτα, τὰς ἀσχημοσύνας; καθάπερ γὰρ τῶν κυβερνητῶν στασιαζόντων, καὶ οἱ ἐμπλέοντες τῶν κινδύνων συναπολαύουσι, καὶ αὔτανδρον ἀνάγκη τὴν ναῦν καταποντισθῆναι· οὕτω δὴ καὶ ἐνταῦθα τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς πρὸς ἀλλήλους διαστασιαζόντων, καὶ τοὺς ἄλλους ἅπαντας συναπολαύειν τῶν κακῶν εἰκός. διὰ τοῦτο παρακαλῶ ταῦτα ἅπαντα προορωμένους μὴ τῇ συνηθείᾳ κατακολουθεῖν.

οἶδα

A οἶδα γὰρ ὅτι πολλοὶ ταύτην ἡμῖν προβαλλόμενοι οὐδὲ ἀνέχονται τῶν παρ' ἡμῶν λεγομένων· ἀλλ' ὅμως ἡμᾶς ἀνάγκη τὰ λυσιτελῆ, καὶ τὰ τῆς μελλούσης κολάσεως ἐξαρπάζοντα λέγειν. ὅπου γὰρ λύμη τοσαύτη ψυχῆς, τίνος ἕνεκέν μοι συνήθειαν βούλει προβάλλεσθαι; ἰδοὺ κἀγὼ συνήθειάν σοι προβάλλομαι βελτίονα, ἣ οἱ ἐξ ἀρχῆς ἐκέχρηντο, ὅτε οὐδέπω τοσαύτη γνῶσις ἦν τῆς εὐσεβείας. καὶ μή μοι τὸν δίκαιον ἐνταῦθα λογίζου, τὸν Ἰακὼβ λέγω, ἀλλὰ τὸν Λάβαν ἐννόει ἄνδρα ἔτι τοῖς εἰδώλοις προσανέχοντα, καὶ οὐδεμίαν γνῶσιν ἔχοντα τῆς εὐσεβείας, καὶ τοσαύτην φιλοσοφίαν ἐπιδεικνύμενον. B τοῦτο γὰρ οὐ τοῦ μέλλοντος ἦν ἄγεσθαι τὴν κόρην τὸ κατόρθωμα, ἀλλὰ τοῦ πατρὸς τοῦ τὴν κόρην ἐκδιδόντος. διὸ καὶ τοῦτον ἐκίνησα τὸν λόγον, οὐχὶ πρὸς τοὺς νυμφίους τοσοῦτον ἀποτεινόμενος, ὅσον πρὸς τοὺς γεγεννηκότας, πρὸς τὸν πατέρα τοῦ νυμφίου, καὶ πρὸς τὸν τὴν κόρην ἐκδιδόντα φημί. πῶς γὰρ οὐκ ἄτοπον ἡμᾶς τοὺς τοσαύτης ἀπολαύσαντας φιλανθρωπίας, καὶ τῶν φρικτῶν καὶ ἀπορρήτων μυστηρίων ἀξιωθέντας, ἐλάττους κατὰ τοῦτο γίνεσθαι τοῦ Λάβαν, τοῦ ἔτι εἴδωλα θεραπεύοντος; ἢ οὐκ ἀκούεις C Παύλου λέγοντος, ὅτι μυστήριόν ἐστιν ὁ γάμος, καὶ εἰκὼν ἐστὶ τῆς ἀγάπης τοῦ Χριστοῦ, ἣν περὶ τὴν ἐκκλησίαν ἐπεδείξατο; μὴ τοίνυν καταισχύνωμεν ἑαυτούς, καὶ τὰ σεμνὰ τοῦ γάμου διαφθείρωμεν. εἰ μὲν γὰρ καλόν ἐστι τὸ τῆς συμβουλῆς καὶ ἐπωφελές, κἂν μὴ συνήθεια ᾖ, γινέσθω· εἰ δὲ βλάβην ἔχον καὶ πολλὴν τὸν ὄλεθρον τὸ νῦν παρ' ὑμῶν ἐπιτελούμενον, κἂν συνήθεια ᾖ, ἐκκοπτέσθω. ἐπεὶ εἰ τοῦτο συγχωρήσαιμεν, καὶ ὁ κλέπτων, καὶ ὁ πορνεύων, καὶ ὁ τὴν ἄλλην ἅπασαν κακίαν ἐπιδεικνύμενος, τὴν συνήθειαν ἡμῖν προβαλεῖται. ἀλλ' οὐδὲν ἀπὸ τούτου κέρδος αὐτῷ ἔσται, οὐδὲ D συγγνώμη, ἀλλὰ καὶ πολλὴ ἡ κατηγορία, ὅτι οὐκ ἴσχυσε συνηθείας περιγενέσθαι πονηρᾶς. ἐὰν γὰρ βουλώμεθα νήφειν, καὶ πολλὴν τῆς ἑαυτῶν σωτηρίας ποιεῖσθαι τὴν φροντίδα, δυνησόμεθα καὶ τῆς κακῆς συνηθείας ἀποστῆναι, καὶ εἰς καλὴν συνήθειαν ἑαυτοὺς ἀγαγεῖν. καὶ οὕτω καὶ τοῖς μεθ' ἡμᾶς οὐ μικρὰν παρέξομεν ἀφορμὴν τοῦ τὰ αὐτὰ ζηλοῦν, καὶ τῶν ὑπ' ἐκείνων κατορθουμένων ἡμεῖς ληψόμεθα τὸν μισθόν. ὁ γὰρ τὴν ἀρχὴν παρασχὼν τῆς καλῆς ὁδοῦ, οὗτος καὶ τῶν ὑφ' ἑτέρων γινομένων αἴτιος ἔσται,

Scio enim quòd multi hanc prætexant, neque tolerent, quòd hæc à nobis dicuntur: attamen neceſſe eſt vt nos vtilia dicamus, & quæ illos à futuro ſupplicio liberent. Vbi enim tantum animæ damnum, qua de cauſa mihi conſuetudinem prætexere audes? Ecce enim & ego tibi conſuetudinem meliorem obiicio, quam veteres habuerunt, quando nondum tanta pietatis erat agnitio. Et ne iuſtum hîc Iacob tantum cogites, ſed & Laban adhuc idolorum cultui deditum, & tantam pręſe ferentem philoſophiam. Neque enim hæc honeſtas eius erat, qui ducturus puellam, ſed patris eam tradentis. Ideo & illum feci ſermonem, non ad ſponſos tantum intendens, quantum ad parentes, & ad patrem ſponſi, & ad tradentem virginem. Quomodo enim non abſurdum, ſi nos qui tantam accepimus gratiam & miſericordiam, & tam terribilium ineffabiliúmque ſacramentorum participes ſumus, hac in re inferiores ſumus Laban, qui cultui idolorum adhuc erat deditus? An non audis Paulum dicentem, quòd ſacramentum ſunt nuptiæ, & imago dilectionis Chriſti, quam erga eccleſiam declarauit? Ne igitur confundamus noſipſos, & honeſtatem nuptiarum corrumpamus. Nam ſiquidem bonum & vtile fuerit conſilium, etiam ſi non ſit conſuetudo, fiat: Sin damnoſum & pernicioſum eſt, id quod à vobis efficitur: etiam ſi conſuetudo ſit, reiiciatur. Nam ſi hoc admiſerimus, & fur, & adulter, & quantumuis malus alius ad conſuetudinem prouocabit: at nullum hinc illis lucrum eſt vel vęnia, ſed maior potius accuſatio, quòd malam conſuetudinem ſuperare non valuerint. Si enim voluerimus prudentes eſſe, & habere curam noſtræ ſalutis, poſſumus & à mala conſuetudine deſiſtere, & in bonam conſuetudinem nos reducere, & ſic poſteris noſtris non paruam dabimus occaſionem eadem imitandi, & accipiemus etiam nos mercedem eorum quæ ab his aguntur. Nam qui initium bonæ viæ præbuerit, hic author eſt eorum quæ & ab aliis rectè fiunt,

Ephe. 5. 32.

Cōſuetudo mala reiiciēda.

& duplicem recipiet mercedem, tam pro his quæ ipſe rectè facit, quàm quibus alios in optimam illam inducit philoſophiam. Ne prætexatis, obſecro, frigida & ridicula verba hæc dicentes: Legitima quædam eſſe hæc, & propterea impleri oportere. Non enim hæc legitimum faciunt coniugium, ſed ſi iuxta leges Dei cum caſtitate & honeſtate fiat conuentus, & ſi concordia magna cohæreant hi qui conueniunt. Nouerunt hoc etiam externæ leges: & audies, qui his ſtuduerunt, dicere: Coniugium nihil aliud conſtituere quàm conſuetudinem. Ne igitur diuinas leges cum humanis tranſgrediamur, nec præferamus diabolicas leges, & pernicioſam hanc conſuetudinem. Illius enim lex ſunt hæc, qui gaudet de interitu noſtro. Quid igitur hac conſuetudine magis ridiculum, quando vir & vxor innumeris conuitiis & ſcommatis à ſeruis & triobolaribus hominibus inceſſuntur, & nemo eſt qui increpet: ſed licet cuiuis volenti ad veſperam omnia loqui, & conuicia iacere in ſponſum & ſponſam? Et in alio die ſi quis conaretur ita ſalibus mordere, periclitaretur, ad tribunal abduceretur, & puniretur. Tunc autem quando plurimam oportebat eſſe reuerentiam, maiorémque honeſtatem & caſtitatem, tanta obſcœnitate implentur omnia illa, vt probabile ſit à diabolo hæc omnia inuenta eſſe. Verùm ne ægrè feratis, oro: non enim abſque cauſa in hunc ſermonem digreſſi ſumus, ſed curam habens veſtræ ſalutis & honeſtatis, vellem optimam hanc mutationem fieri, vóſque optimæ huius conſuetudinis eſſe duces. Nam ſi ſolum principium & via fiat operis, paulatim vno alterum laudabili hac æmulatione æmulante omnes laudatores habebitis: & non tantum qui ciuitates habitant, imitabuntur optimã hanc innouationem, ſed & eos qui procul habitant, conciliabitis, & imitatores veſtros conſtituetis: & inſuper longè ampliorem à Deo reportabitis mercedem, quòd propter Dei timorem & eius mandatum, diabolicam hanc ſuperaueritis conſuetudinem.

Humanæ leges nō ſunt diuinis præferendæ.

A καὶ διπλοῦν κομιεῖται τὸν μισθὸν, ὑπέρ ὧν τε αὐτὸς κατορθοῖ, ὑπὲρ ὧν τε ἑτέρους ἐπάγει εἰς τὴν ἀρίστην ταύτην φιλοσοφίαν. μή μοι τὰ ψυχρὰ ἐκεῖνα ῥήματα καὶ γέλωτος γέμοντα προβάλλεσθε, λέγοντες, νόμιμά τινα εἶναι ταῦτα, καὶ διὰ τοῦτο πληροῦσθαι χρή. οὐ ταῦτα γὰρ νόμιμον ποιεῖ συνοικέσιον, ἀλλὰ τὸ κατὰ τοὺς τοῦ θεοῦ νόμους μετὰ σωφροσύνης καὶ σεμνότητος τὴν συνέλευσιν γίνεσθαι, καὶ τῇ ὁμονοίᾳ συμπεπλέχθαι τοὺς ἀλλήλοις συνιόντας. τοῦτο καὶ οἱ ἔξωθεν ἴσασι νόμοι, καὶ ἀκούσῃ τῶν περὶ ταῦτα ἐσχολακότων λεγόντων, ὅτι συνοικέσιον οὐδὲν ἕτερον συνίστησιν, ἢ
B συνήθεια. μὴ τοίνυν καὶ τοὺς θεοῦ νόμους παραβαίνωμεν μετὰ τῶν ἀνθρωπίνων, καὶ προτιμῶμεν τοὺς διαβολικοὺς νόμους, καὶ τὴν ὀλεθρίαν ταύτην συνήθειαν. ἐκείνου γάρ ἐστι νόμος ταῦτα, τοῦ χαίροντος ἀεὶ τῇ ἀπωλείᾳ τῇ ἡμετέρᾳ. τί οὖν ἂν γένοιτο καταγελαστότερον τῆς συνηθείας ταύτης, ὅταν ὑπὸ οἰκετῶν καὶ τριωβολιμαίων ἀνθρώπων σκώμματα καὶ λοιδορίας ἀπείρους δέχονται καὶ ὁ ἀνὴρ καὶ ἡ γυνὴ, καὶ οὐδεὶς ἦ ὁ ἐπιτιμῶν, ἀλλ' ἔξεστι τῷ βουλομένῳ ἀδεῶς κατὰ τὴν ἑσπέραν ἅπαντα φθέγγεσθαι, καὶ βάλλειν τοῖς σκώμμασι καὶ
C τὸν νυμφίον καὶ τὴν νύμφην; καὶ ἐν ἑτέρᾳ μὲν ἡμέρᾳ ἐάν τις ἐπιχειρήσῃ λοιδορήσασθαι, δικαστήρια αὐτῷ, καὶ ἀπαγωγαὶ, καὶ κίνδυνοι· τότε δὲ ὅτε μάλιστα πολλὴν ἐχρῆν εἶναι τὴν αἰδῶ, πολλὴν τὴν κοσμιότητα, πολλὴν τὴν ἁγνείαν, τοσαύτης ἅπαντα πληροῦνται τῆς ἀσχημοσύνης, ὡς εἰκὸς τὸν διάβολον στρατηγοῦντα ταῦτα ἅπαντα ἐπιδείκνυσθαι. ἀλλὰ μὴ δυσχεραίνετε, παρακαλῶ. οὐδὲ γὰρ ἁπλῶς εἰς τοῦτον ἐξέβην τὸν λόγον, ἀλλὰ κηδόμενος ὑμῶν καὶ τῆς σωτηρίας καὶ τῆς εὐκοσμίας, καὶ βουλόμενος ὑμᾶς τὴν ἀρί-
D στην ταύτην μεταβολὴν ἐπιδείξασθαι, καὶ τῆς καλῆς ταύτης συνηθείας ἀρχηγοὺς καταστῆναι. ἐὰν γὰρ μόνον ἀρχὴ καὶ ὁδὸς γένηται τοῦ πράγματος, κατὰ μικρὸν εἰς τὸν ἕνα ζηλοῦντες τὸν καλὸν τοῦτον καὶ ἐπαινετὸν ζῆλον, πάντας ἐπαινέτας ἕξετε, καὶ οὐ μόνον οἱ τὴν πόλιν οἰκοῦντες μιμήσονται τὴν καλλίστην ταύτην μεταβολὴν, ἀλλὰ καὶ τοὺς πόῤῥωθεν οἰκοῦντας ἐπισπάσεσθε, καὶ ζηλωτὰς ὑμετέρους καταστήσετε, καὶ πολυπλασίονα τὸν παρὰ τοῦ θεοῦ κομιεῖσθε στέφανον, ὅτι διὰ τὸν τοῦ θεοῦ φόβον, καὶ τὴν παρ' αὐτοῦ ἐντολὴν τῆς σατανικῆς ταύτης περιγεγόνατε συνηθείας.

ἀλλ' ὅτι μὲν δέξεσθε μετὰ προθυμίας ταύτην ἡμῶν τὴν συμβουλὴν, καὶ εἰς ἔργον αὐτὴν ἄξετε, σφόδρα πέπεισμαι. ὁρῶν γὰρ ὑμᾶς μετὰ τοσαύτης ἡδονῆς ἀκούοντας τῶν λεγομένων, ἀπὸ τοῦ κρότου καὶ τῶν ἐπαίνων στοχάζομαι, ὅτι καὶ πρὸς τὴν διὰ τῶν ἔργων κατόρθωσιν ἐπειχθήσεσθε. διὸ ἀρκεσθεὶς τοῖς εἰρημένοις ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανήξω. Καὶ ἐγένετο, φησιν, ἑσπέρα, καὶ ἔλαβε Λάβαν τὴν Λείαν τὴν θυγατέρα αὐτοῦ, καὶ εἰσήγαγεν αὐτὴν πρὸς τὸν Ἰακώβ. μὴ ἁπλῶς μηδὲ τοῦτο παραδράμωμεν. ἔστι γὰρ καὶ ἐκ τούτου πολλὰ συνιδεῖν· ἓν μὲν τοῦ Ἰακὼβ τὸ ἄπλαστον, καὶ ὅπως πάσης πονηρίας ἐκτὸς ὢν παρεκρούσθη· δεύτερον δὲ, ὅτι μετὰ τοσαύτης εὐκοσμίας ἅπαντα ἐγίνετο, καὶ οὐδαμοῦ λαμπάδες, καὶ χορεῖαι, καὶ φῶτα τὴν χρείαν ὑπερβαίνοντα, ὡς καὶ τὴν ἀπάτην τοῦ Λάβαν εἰς ἔργον ἐλθεῖν. ἔστι δὲ καὶ τοῦ Λάβαν ἐντεῦθεν καταλαβεῖν τὴν περὶ τὸν Ἰακὼβ φιλοστοργίαν. τοῦτο γὰρ ἐμηχανήσατο, βουλόμενος ἐπὶ πλεῖον κατέχειν παρ' ἑαυτῷ τὸν δίκαιον. ἐπειδὴ γὰρ ᾔδει, ὅτι ἐκείνης περιεκέχυτο, καὶ εἰ τοῦ σπουδαζομένου ἐπέτυχεν, οὐκ ἂν εἵλετο λοιπὸν τῆς Λείας ἕνεκεν τὴν δουλείαν ὑποστῆναι, οὐδὲ τὴν μετ' αὐτοῦ συνοίκησιν, διὰ τοῦτο θεασάμενος ὁ Λάβαν τοῦ ἀνδρὸς τὴν ἀρετὴν, καὶ ἐννοῶν ὡς οὐκ ἂν ἑτέρως αὐτοῦ περιγένοιτο καὶ πείσειε, τὴν ἀπάτην ταύτην εἰργάσατο, καὶ δίδωσιν αὐτῷ τὴν Λείαν μετὰ Ζελφᾶς τῆς παιδίσκης. εἶτα ἐγκαλούμενος ὑπὸ τοῦ δικαίου, τίνος ἕνεκεν τὰ τῆς ἀπάτης εἰργάσατο, εὐπρόσωπον ἀπολογίαν ἐποιήσατο. ἐπειδὴ γὰρ εἶπεν ὁ Ἰακὼβ, τίνος ἕνεκεν τοῦτό μοι ἐποίησας; οὐ περὶ τῆς Ῥαχὴλ ἐδούλευσά σοι; καὶ ἵνα τί παρελογίσω με; τί φησιν ὁ Λάβαν; οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ τούτῳ δοῦναι τὴν νεωτέραν, πρὶν ἢ τὴν πρεσβυτέραν. συντέλεσον οὖν καὶ ταύτης τὰ ἕβδομα, καὶ δώσω σοι καὶ ταύτην ἀντὶ τῆς ἐργασίας, ἧς ἐργάσῃ παρ' ἐμοὶ ἔτι ζ' ἔτη. ὁρᾷς ὅτι τοῦτο αὐτὸ μηχανώμενος ἅπαντα κατεσκεύασεν. ἐπειδὴ γὰρ εἶδε τὸν ἔρωτα ὃν περὶ τὴν κόρην ἐκέκτητο, φησὶ, μὴ νομίσῃς ἠδικῆσθαί σε. ἐπειδὴ γὰρ οὗτος παρ' ἡμῖν ὁ νόμος, ὥστε πρότερον τὴν πρεσβυτέραν ἐκδιδόναι ἀνδρί. διὰ τοῦτο μὲν τοῦτο γεγένηται· λήψῃ δὲ καὶ ταύτην ἣν ποθεῖς, ἐὰν τὰ ὅμοια ἔτη καὶ ὑπὲρ αὐτῆς δουλεύσῃς. ταῦτα ἀκούσας ὁ δίκαιος ἑτοίμως ἅπαντα κατεδέξατο, καὶ μετὰ ταῦτα ἕτερα ἑπτὰ ἔτη ἔδωκε, φησιν, αὐτῷ τὴν θυγατέρα αὐτοῦ Ῥαχὴλ γυναῖκα.

A Sed quòd ſuſcepturi ſitis magna alacritate hoc noſtrum conſilium, & opere impleturi, valde perſuadeor. Videns enim vos magna cum voluptate audire ea quæ dicuntur, ídque ex applauſu & laudibus coniecto, quod etiam operibus idem ſitis comprobaturi: ideo contentus dictis, ad contextus ſeriem regrediar. *Et facta eſt*, inquit, *veſpera, & accepit Laban Liam filiam ſuam, & introduxit eam ad Iacob.* Ne obiter etiam hoc prætereamus: nam etiam hîc multa conſiderari poſſunt: primùm ſimplicitas Iacob, & quomodo ab omni malitia alienus, deceptus ſit. B Secundum, quòd tanta facilitate omnia fiunt. & nuſquam lampades, choreæ, & faces, præter vſus neceſſitatem: ita vt & deceptio Laban locum habuerit. Poſſumus autem & hîc videre, quomodo Laban hic magna affectione dilexerit Iacob. Hoc enim commentus eſt, vt diutius apud ſe iuſtum retineret. Sciebat equidem quòd alterius amore flagraret, & ſi voti compos fieret, non eligeret poſthac ſeruitutem propter Liam ſuſtinere, nec C vellet cum eo cohabitare: & propterea quia vidit Laban virtutem viri, & cogitauit quòd non alter uum vinceret & perſuaderet: ita ei impoſuit, & dedit ei Liam cum Zelpha ancilla. Deinde cùm argueretur à iuſto, quare eum decepiſſet, honeſtam attulit excuſationem. Nã poſtquã dixit Iacob: [25] *Quare mihi hoc feciſti? nónne propter Rachel ſeruiui tibi? & quare decepiſti me?* [26] *Quid ergo Labã? Nõ eſt ſic in hoc loco vt elocetur iunior priuſquã maior natu.* [27] *Perfice igitur hebdomadam iſtius, & dabo tibi etiam hanc pro labore & opere, quod operaberis apud me adhuc annis ſeptem.* D Vides quòd ea de cauſa omnia hęc commentus ſit? Nã quia vidit amorem quem erga puellam habebat, inquit: Ne putes iniuria te affici, quoniam hæc apud nos lex eſt, vt primùm nuptijs tradatur maior natu, propterea hoc quidem factum eſt: accipies autem & hanc quam amas, ſi ſimiles ſeptem annos pro ea ſeruieris. Quibus auditis iuſtus omnia prompto animo ſuſcepit. Et poſt annos ſeptem, dedit, inquit, Laban Rachel filiã ſuam ei vxorem.

Applauſus & laudes in concionib⁹.

Nuptię ſine lãpadibus

Vides iterum, quòd nuptiæ fiunt cum magna honeſtate. Sed audiens quòd accepit & maiorem natu, & poſtea minorem, ne turberis: neque iuxta ſtatum qui nunc eſt, opera quæ nunc facta iudices. Tunc enim quia principia erant, permiſſum fuit cum duabus, vel tribus, vel pluribus vxoribus miſceri, vt humanum genus propagaretur. Nunc verò quia per Dei gratiam humanum genus valde multiplicatū eſt, gratia quoq; incrementum accepit: adueniens enim Chriſtus, & virtutem in hominibus plantans, angelóſque, vt ita dicam, ex hominibus faciēs, omnem illam veterem conſuetudinem aboleuit. Vides quomodo non oportet conſuetudinem prætexere, ſed quod iuſtum eſt inquirere? Ecce enim quoniam mala erat hæc conſuetudo, exploſa eſt, & non licet vlli eam prætexere. Nuſquam igitur, obſecro, conſuetudinem inquiramus, ſed vbique qnod eſt vtile, & ſi quid eſt bonum, etiamſi non ſit conſuetudo, fiat à nobis: ſi verò pernicioſum eſt, etiāſi cōſuetudo ſit, fugiamus & auerſemur. *Et dedit,* inquit, *Iacob Rachelem cum Balla ancilla.* Vidiſti quàm bonis moribus præditi fuerint? Num ſeruorum greges? num ſyngrapha & inſtrumenta, & conditiones illæ ridiculæ: ſi hoc fuerit, & hoc euenerit? Et priuſquam eueniat, neſcientes an vſque ad veſperam maneant, quæ poſt multa tempora ventura ſunt, in literis ſuis conſignant. Si liberis carens, inquit, defuncta fuerit: ſi filios habuerit: & quæcunque talia: at hic nihil tale, ſed cùm vtrique ſuam ancillam dediſſet, filias elocauit pater. [29] *Dilexit autem,* inquit, *Rachel magis quàm Liam: & ſeruiuit ei ſeptem annis alijs.* Quia enim ab initio adamauit propter venuſtam formæ puellam, & difficiliùs eam conſecutus eſt: ideo eam magis dilexit quàm Lian. Etenim illius venuſtas allexit eum ad magis amandum. Verùm hîc iterum vide domini ineffabilem miſericordiam, & quomodo quę ab ipſo fuerant promiſſa paulatim cōplet. Nā qui dixit: Ero tecū, cuſtodiens te in pmni via, qua ambulaueris: & augebo & multiplicabo te: ipſe etiam nunc omnia diſpenſat.

Plures vxores tū permiſſæ.

A ὁρᾷς πάλιν ὅτι τὰ τῶν γάμων γίνεται μετὰ πάσης κοσμιότητος. ἀλλ' ἀκούων ὅτι ἔλαβε τὴν πρεσβυτέραν, καὶ πάλιν τὴν νεωτέραν μὴ ταραχθῇς, μηδὲ πρὸς τὴν νῦν κατάστασιν τὰ τότε κρίναι πράγματα. τότε μὲν γὰρ, ἐπειδὴ ἀρχὴ καὶ προοίμια ἦν, συνεχωρεῖτο καὶ δυσὶ καὶ τρισὶ γυναιξὶ καὶ πλείοσι μίγνυσθαι, ὥστε τὸ γένος ἐκταθῆναι· νυνὶ δὲ, ἐπειδὴ διὰ τὴν τοῦ θεοῦ χάριν τὸ τῶν ἀνθρώπων γένος ἐπὶ πολὺ πλῆθος ἐκτέταται, καὶ τὰ τῆς ἀρετῆς ἐπίδοσιν ἔσχε. παραγενόμενος γὰρ ὁ Χριστὸς, καὶ τὴν ἀρετὴν καταφυτεύσας ἐν τοῖς ἀνθρώποις, καὶ ἀγγέλους, ὡς εἰπεῖν, B ἐξ ἀνθρώπων αὐτοὺς ἐργασάμενος, ἅπασαν ταύτην τὴν παλαιὰν συνήθειαν ἐξέκοψεν. ὁρᾷς πῶς οὐ δεῖ συνήθειαν προβάλλεσθαι, ἀλλὰ τὸ χρήσιμον πανταχοῦ ἐπιζητεῖν. ἰδοὺ γὰρ ἐπειδὴ κακὴ ἦν αὕτη ἡ συνήθεια, ὅρα πῶς ἐξεκόπη, καὶ οὐκ ἔξεστι νῦν οὐδενὶ ταύτην προβάλλεσθαι τὴν συνήθειαν. μηδαμοῦ τοίνυν, παρακαλῶ, συνήθειαν ἐπιζήτει, ἀλλὰ τὸ χρήσιμον ζήτει, καὶ μὴ τὸ ψυχοβλαβές. καὶ εἴ τι τυγχάνει καλὸν, κἂν μὴ ᾖ συνήθεια, γινέσθω παρ' ἡμῶν· ἂν δέ τι βλαβερὸν, κἂν ἐν συνηθείᾳ ᾖ, φεύγωμεν καὶ ἀποστρεφώμεθα. καὶ ἔδωκέ, C φησιν, Ἰακὼβ Ῥαχὴλ μετὰ Βάλλας τῆς παιδίσκης. εἶδες πόση ἡ φιλοσοφία; μήπου ἀνδραπόδων ἀγέλαι; μήπου γραμματεῖα καὶ συνθῆκαι καὶ αἱρέσεις ἐκεῖναι αἱ καταγέλαστοι, ἐὰν τόδε γένηται, καὶ ἐὰν τόδε συμβῇ; καὶ εὐθέως πρὶν ἢ συνελθεῖν, οἱ οὐκ εἰδότες οὐδ' εἰ μέχρι τῆς ἑσπέρας διαμενοῦσι, τὰ μετὰ πολὺν ἐσόμενα χρόνον ἐν τοῖς γραμματείοις συντιθέασιν· ἐὰν ἄτεκνος, φησι, τελευτήσῃ, ἐὰν παιδία ἔχῃ, καὶ ὅσα τοιαῦτα. ἀλλ' ἐνταῦθα οὐδὲν τοιοῦτον, ἀλλὰ παιδίσκην μίαν ἑκάστῃ δοὺς ὁ πατὴρ, οὕτω τὰς θυγατέρας ἐξεδίδου. ἠγάπησε δὲ, φη- D σι, Ῥαχὴλ μᾶλλον ἢ Λείαν, καὶ ἐδούλευσεν αὐτῷ ζ' ἔτη ἕτερα. ἐπειδὴ γὰρ ἐξ ἀρχῆς διὰ τὴν εὐμορφίαν ἠράσθη τῆς κόρης, μόλις δὲ τυχεῖν ποτε ἠδυνήθη τοῦ σπουδαζομένου, ἐκείνην, φησὶ, πλέον ἠγάπα, ἤπερ τὴν Λείαν. καὶ γὰρ ἡ ταύτης εὐμορφία, φησὶν, ἐφείλκετο αὐτὸν εἰς τὸν περὶ αὐτὴν πόθον. ἀλλ' ὅρα μοι ἐνταῦθα λοιπὸν τοῦ δεσπότου τὴν ἄφατον φιλανθρωπίαν, καὶ πῶς τὰ παρ' αὐτοῦ ἐπαγγελθέντα κατὰ μικρὸν εἰς ἔργον ἄγει. ὁ γὰρ εἰπὼν, ὅτι ἔσομαι μετὰ σοῦ διαφυλάττων σε ἐν πάσῃ ὁδῷ, ᾗ ἐὰν πορευθῇς, καὶ ὅτι αὐξανῶ σε καὶ πληθυνῶ, αὐτὸς καὶ νῦν ἅπαντα οἰκονομεῖ.

καὶ ἵνα μάθῃς, ἄκουε καὶ αὐτῆς τῆς θείας γραφῆς A τοῦτο σαφῶς λεγούσης. ἰδὼν δὲ κύριος ὁ θεός, φησιν, ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα. καὶ συνέλαβε Λεία, καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ. ὅρα τοῦ μεγάλου θεοῦ τὴν σοφίαν. ἐπειδὴ ἡ μὲν ἀπὸ τῆς εὐμορφίας τὴν εὔνοιαν ἐπεσπάσατο τοῦ ἀνδρὸς, ἡ δὲ ταύτης ἀπεστερημένη μισεῖσθαι ἐδόκει, ταύτην μὲν διεγείρει πρὸς γονὴν, ἐκείνης δὲ πηροῖ τὴν μήτραν, ἀμφότερα διὰ τὴν οἰκείαν φιλανθρωπίαν οἰκονομῶν, ἵνα καὶ αὕτη διὰ τὰ ἐξ αὐτῆς τικτόμενα γοῦν τινα παραμυθίαν ἐφελκομένη εἰς τὸν περὶ αὐτὴν πόθον τὸν ἄνδρα, κἀκείνη μὴ διὰ τὸ B κάλλος καὶ τὴν εὐμορφίαν κατεξανίστηται τῆς ἀδελφῆς. καὶ διήνοιξε, φησι, τὴν μήτραν αὐτῆς. μάνθανε ἐντεῦθεν, ἀγαπητὲ, ὅτι ὁ τῶν ἁπάντων δημιουργὸς ἐστὶν ὁ τὰ πάντα οἰκονομῶν, καὶ τὴν φύσιν αὐτὴν διεγείρων πρὸς γονὴν, καὶ ὅτι οὐδὲν τῆς συνουσίας ὄφελος μὴ τῆς ἄνωθεν συμμαχίας ἐρχομένης. διὰ γὰρ τοῦτο εἶπεν, ὅτι διήνοιξε τὴν μήτραν αὐτῆς, ἵνα γνῶμεν ὅτι αὐτὸς ὁ δεσπότης ἠβουλήθη τὴν Λείαν πρὸς τεκνογονίαν διεγεῖραι, ὥστε αὐτῆς τὴν ἀθυμίαν παραμυθήσασθαι. αὐτὸς γάρ ἐστιν ὁ καὶ ἐν τῇ μήτρᾳ διαπλάττων τὰ C βρέφη καὶ ζωογονῶν, καθάπερ καὶ Δαβίδ φησιν, ἀντελάβου μου ἐκ τῆς γαστρὸς μητρός μου. καὶ ὅρα πῶς δείκνυσιν ἡμῖν ἡ θεία γραφὴ τὸν τῆς φύσεως δημιουργὸν ἑκάτερα τῇ οἰκείᾳ δυνάμει ἐργαζόμενον, καὶ τῆς μὲν τὴν μήτραν διεγείροντα, τῆς δὲ Ῥαχὴλ ἐπέχοντα. δεσπότης γὰρ ὢν τῆς φύσεως μετ' εὐκολίας ἅπαντα ἐργάζεται. καὶ συνέλαβε, φησι, Λεία, καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ. ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Ῥουβὴν, λέγουσα, ὅτι εἶδέ μου κύριος τὴν ταπείνωσιν. νῦν ἀγαπήσει με ὁ ἀνήρ μου. ὅρα πῶς εὐγνώμων ἡ γυνή. θεασάμενός, φησι, τὴν ταπεί- D νωσίν μου ὁ δεσπότης, παρέσχε μοι τὸν τόκον, ἵνα διὰ τούτου ἀγαπηθῆναι δυνηθῶ. καὶ θέα μοι τοῦ φιλανθρώπου θεοῦ τὴν φιλοτιμίαν, πῶς ἐπιδαψιλεύεται, ὁμοῦ καὶ τὸ τοῦ δικαίου σπέρμα αὐξῆσαι βουλόμενος, καὶ ταύτην νῦν ποθεινοτέραν καταστῆσαι τῷ Ἰακώβ. καὶ συνέλαβε, φησι, πάλιν, καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακώβ, καὶ εἶπεν, ὅτι ἤκουσε κύριος ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι μοι καὶ τοῦτον. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Συμεών. σκόπει πῶς ἐφ' ἑκάστου τῶν παίδων εὐχαριστεῖ τῷ δεσπότῃ, καὶ εὐγνώμων γίνεται περὶ τὴν εὐεργεσίαν.

Et vt ſcias, audi ipſam diuinam ſcripturam hoc manifeſtè dicentem: [31] *Et vidit autē dominus Deus quòd odio haberetur Lia, aperuit vuluam eius: Rachel autem erat ſterilis, & concepit Lia, & peperit filium Iacobo.* Vide omnipotentis Dei ſapientiam, quoniam illa quidem pulchritudine ſua conciliarat ſibi gratiam viri, qua altera priuata odio haberi viſa eſt: hanc idoneam facit partui, illam verò inutilem: ambo hæc ſua miſericordia diſpenſans, vt & hæc per liberos qu ex ea naſcebantur, ſolatium haberet, in ſui amorem virum alliciens: & illa non propter pulchritudinem & formoſitatem aduerſus ſororem inſurgeret. Et aperuit, inquit, vuluam eius. Diſce hîc dilecte, quòd conditor omnium ipſe etiam omnia moderatur ac diſpenſat, & naturam ipſam ad partum excitat: & quod nulla ſit vtilitas concubitus, ſi abſit diuina cooperatio. Propterea dixit, quòd aperuit vuluam eius: vt ſciamus quòd voluit Liam procreandis liberis aptam fieri, quò eius mœror leniretur. Ipſe enim eſt qui in vulua figurat & animat fœtus, ſicut & Dauid dicit: Suſcepiſti me de vtero matris meæ. Et vide quomodo monſtrat nobis diuina ſcriptura naturę conditorem, vtraque ſua virtute efficientem: & alterius vuluam idoneam reddentem, Rachelis autem conſtringentem. Qui enim naturæ dominus eſt, omnia facilè operatur. [32] *Et cōcepit,* inquit, *Lia, & peperit filium Iacobo, vocauitque nomen Ruben, dicens: Quia vidit dominus vilitatem meam, nunc diliget me magis vir meus.* Vide quàm grata mulier, dicit, dominus viſa humilitate mea præbuit mihi partum, propter quem diligar. Et ſpecta hîc iterum, quomodo Deus muneribus certare contendit cum eo, & beneficia accumulat: ſimul & iuſti ſemen augeri, & hanc magis Iacobo amabilem fieri vult. *Et concepit,* inquit, *iterum, & peperit filium ſecundum Iacobo, & dixit: Audiuit dominus quòd odio habeor, & appoſuit mihi & hunc: & vocauit nomen eius Symeon.* Attende quomodo per ſingulos pueros gratias agit Domino, & ob beneficia gratitudinem declarat.

Capvt. xxx.

Pſal. 138.

Audiuit enim, inquit, Dominus, quòd odio habeor, & appoſuit mihi etiam hunc: propterea vocauit nomen eius Symeon. Vidiſti quomodo non ſimpliciter, neque temerè nomina natis indiderit? Vocauit eum Symeon, quoniam audiuit, inquit, dominus. Nobis enim Hebraico idiomate per hoc nomen ſignatur, quòd audita ſit. 33 *Et concepit iterum, & peperit filium: & dixit, Nunc temporis apud me erit vir meus, peperi enim ei tres filios: propter hoc vocauit nomen illius Leui.* Videtur mihi hîc ſignificari, quòd natis duobus filiis, nondum potuerit allicere virum, qni adhuc in Rachelem propenſior erat: ideo dicit, Nunc temporis apud me erit vir meus. Fortaſſis acceſſio tertij virum meum reddet beneuolum, & melius mihi affectum. Ecce enim tres filios ei peperi. 34 *Et concepit adhuc filium, ac peperit & dixit: Nunc adhuc iſtud confitebor Domino: propterea vocauit nomen eius Iudam.* Quid eſt, Nunc adhuc iſtud confitebor Domino? Gratias agam, & glorificabo eum, quia & quartum mihi adiecit filium, & tantam mihi abundantiam conceſſit: & quæ ob corporis deformitatem de viri erga me beneuolentia periclitatura eram, nunc procreatione filiorum à Deo mihi data, & mœroris nimietate diſcuſſa accepi ſolatium deformitatis, & in locum ſororis meæ

CAP. XXX translata ſum. *Vt peperit autem Iudam,* inquit, *ceſſauit parere. Cùm autem vidiſſet Rachel quia non peperiſſet Iacobo, æmulata eſt Lian ſororem ſuam, & dixit Iacobo, Da mihi filios: quòd ſi minus, moriar ego.* Inconſiderata & muliebris eſt hæc petitio animæque ab æmulatione impugnatæ. Da mihi, inquit, pueros. Non audiſti, quòd non viri concubitus illi hos præbuit: ſed dominus Deus: qui vt vidit, inquit, quòd odio fuit habita, aperuit vuluam eius? Quare à viro petis ea quæ ſupra naturam ſunt, & relicto naturæ domino virum arguis, qui ad hoc nihil conferre tibi poterit? Da mihi, inquit, pueros: quòd ſi minus, maior ego. Graue malum eſt zelotypia, & definit in inſipientiam: id quod & huic euenit.

A ἤκουσε, φησι, γὰρ ὁ κύριος, ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι καὶ τοῦτον, καὶ διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Συμεών. εἶδες πῶς οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, οὐδὲ τὰς ὀνομασίας τοῖς τικτομένοις ἐπετίθει. ἐκάλεσε γὰρ αὐτὸν Συμεών, ἐπειδὴ ἤκουσε κύριος. τοῦτο γὰρ ἑρμηνεύεται τὸ ὄνομα τῇ Ἑβραϊκῇ διαλέκτῳ, ὅτι ἠκούσθη. καὶ συνέλαβεν ἔτι καὶ ἕτερον υἱόν, καὶ εἶπεν, ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου. τέτοκα γὰρ αὐτῷ τρεῖς υἱούς. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Λευΐ. δοκεῖ μοι ἐνταῦθα αἰνίττεσθαι, ὅτι καὶ τῶν δύο τεχθέντων οὐδέπω ἴσχυσεν εἰς τὴν περὶ αὐτὴν διάθεσιν ἐφελκύσασθαι

B τὸν ἄνδρα, ἀλλ' ἔτι ὅλως ἦν πρὸς τὴν Ῥαχὴλ νενευκώς. διὰ τοῦτό φησιν, ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου. τάχα, φησί, κἂν ἡ προσθήκη τοῦ τρίτου παρασκευάσῃ τὸν ἄνδρα εὐνοϊκῶς περὶ ἐμὲ διατεθῆναι. ἰδοὺ γὰρ αὐτῷ τέτοκα τρεῖς υἱούς. καὶ συλλαβοῦσα ἔτι ἔτεκεν υἱόν, καὶ εἶπε, νῦν ἔτι τοῦτο ἐξομολογήσομαι τῷ κυρίῳ. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰούδαν. τί ἐστι τοῦτο ἐξομολογήσομαι τῷ κυρίῳ; τὸ ἐξομολογήσομαι ἐνταῦθα, εὐχαριστήσω καὶ δοξάσω αὐτόν ἐστιν, ὅτι καὶ τέταρτον προσέθηκέ μοι υἱόν, καὶ τοσαύτην μοι τὴν εὐπορίαν ἐχαρί-

C σατο, καὶ ὅπερ ἀπὸ τῆς τοῦ σώματος ἀμορφίας εἰς τὴν παρὰ τοῦ ἀνδρὸς εὔνοιαν ἔμελλον καταβλάπτεσθαι, τοῦτο ἡ τῶν τέκνων παρὰ τῆς τοῦ θεοῦ φιλανθρωπίας χαρισθέντων μοι γονὴ διωρθώσατο, καὶ τῆς ἀθυμίας τὴν ὑπερβολὴν διεσκέδασε τὴν διὰ τὴν ἀμορφίαν μισουμένην παραμυθησάμενος, καὶ μεταστήσας τὸ μῖσος εἰς τὴν ἀδελφὴν τὴν ἐμήν. τεκοῦσα δέ, φησι, τὸν Ἰούδαν, ἔστη τοῦ τίκτειν. ἰδοῦσα δὲ Ῥαχὴλ ὅτι οὐ τέτοκε τῷ Ἰακώβ, ἐζήλωσε τὴν ἀδελφὴν αὐτῆς, καὶ εἶπε τῷ Ἰακώβ, δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ. ἀπερίσκεπτος ἡ αἴτησις καὶ γυναικώδης, καὶ ψυχῆς ὑπὸ τῆς ζηλοτυ-

D πίας πολιορκουμένης, δός μοι τέκνα. οὐκ ἤκουσας ὅτι οὐχ ἡ τοῦ ἀνδρὸς συνουσία ἐκείνη τὸν τόκον παρέσχεν, ἀλλὰ κύριος ὁ θεός, ὁ ἰδών, φησιν, ὅτι μισεῖται, ἤνοιξε τὴν μήτραν αὐτῆς; τίνος οὖν ἕνεκεν τὰ ὑπὲρ τὴν φύσιν ἀπαιτεῖς παρὰ τοῦ ἀνδρός, καὶ καταλιποῦσα τὸν τῆς φύσεως δεσπότην τῷ ἀνδρὶ ἐγκαλεῖς τῷ μηδὲν πρὸς τοῦτο συμβάλλεσθαί σοι δυναμένῳ; δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ. δεινὸν ἡ ζηλοτυπία κακόν. καὶ γὰρ εἰς ἀφροσύνην ἐκπίπτει, ὃ δὴ καὶ αὕτη πέπονθεν.

ὁρῶσα γὰρ τὴν τέκνων τῆς ἀδελφῆς τὸν χορόν, καὶ τὴν οἰκείαν ἐρημίαν λογιζομένη, οὐκ ἔφερε τὴν ἐπήρειαν, οὐδὲ κατασχεῖν ἠδυνήθη τοῦ ταράττοντος αὐτὴν λογισμοῦ, ἀλλ' ἐκεῖνα τὰ ἀνοίας ἀνάμεστα φθέγγεται ῥήματα, καί, φησι, δός μοι τέκνα. εἰ δὲ μή, τελευτήσω ἐγώ. ἴσως εἶδε τοῦ ἀνδρὸς τὸν περὶ αὐτὴν πόθον, καὶ νομίζουσα παρὰ τὴν ἐκείνου αἰτίαν κἀκείνην τοσούτους ἐσχηκέναι παῖδας, καὶ ἑαυτὴν μηδέπω τετοκέναι, φησί, δός μοι τέκνα. εἶτα φοβῆσαι βουλομένη τὸν ἄνδρα, ἐπάγει, εἰ δὲ μή, τελευτήσω ἐγώ. τί οὖν ὁ φιλόθεος Ἰακώβ; ἐθυμώθη, φησί, πρὸς τὰ ῥηθέντα, καὶ εἶπεν αὐτῇ· μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπῶν κοιλίας; τί, φησι, καταλιποῦσα τὸν δεσπότην τῆς φύσεως, τὴν μέμψιν ἐμοὶ ἐπάγεις; ἐκεῖνός ἐστιν ὁ ἀποστερήσας σε τοῦ καρποῦ τῆς κοιλίας. διατί μὴ παρ' ἐκείνου ζητεῖς τοῦ δυναμένου διανοῖξαι τῆς φύσεως τὸ ἐργαστήριον, καὶ διεγεῖραι τὴν μήτραν πρὸς γονήν; μάνθανε τοίνυν, ὅτι ἐκεῖνος ὁ σε στερήσας τοῦ καρποῦ τῆς κοιλίας, καὶ τῇ ἀδελφῇ τῇ σῇ τὴν τοσαύτην εὐπαιδίαν ἐχαρίσατο. μὴ τοίνυν παρ' ἐμοῦ ζήτει, ἃ μὴ δύναμαι παρασχεῖν, καὶ ὧν οὐκ εἰμὶ κύριος. εἰ γὰρ ἐπ' ἐμοὶ τοῦτο ἦν, πάντως ἄν σε τῆς ἀδελφῆς προετίμησα, τὴν πλείονα εὔνοιαν περὶ σὲ κεκτημένος. ἐπειδὴ δέ, κἂν μυριάκις ὦ εὐνοϊκῶς περὶ σὲ διακείμενος, οὐδέν σε πρὸς τοῦτο συμβαλέσθαι δυνήσομαι· παρ' ἐκείνου ζήτει τοῦ καὶ τὴν στείρωσιν ἐπάγοντος, καὶ ταύτην λῦσαι δυναμένου. ὅρα τοῦ δικαίου τὴν σύνεσιν, ὅπως καὶ εἰς θυμὸν ἐξενεχθεὶς ἐκ τῶν παρ' αὐτῆς ῥηθέντων, μετὰ πολλῆς τῆς σοφίας τὴν πρὸς αὐτὴν ἀπόκρισιν ποιεῖται, μετὰ ἀκριβείας αὐτὴν πάντα διδάσκων, καὶ τὴν αἰτίαν αὐτῇ δήλην ποιῶν, ἵνα μὴ καταλιποῦσα τὸν δεσπότην, παρ' ἑτέρου ζητῇ, ἅπερ ἐκεῖνος μόνος παρασχεῖν δύναται. μαθοῦσα τοίνυν ὅτι παρὰ τοῦ θεοῦ τὸ τίκτειν ἀπεστέρηται, καὶ ὁρῶσα τὴν ἀδελφὴν κομῶσαν τοῖς τέκνοις, μετρίαν γοῦν παραμυθίαν πορίζομένη, φησὶ τῷ Ἰακώβ. ἐπειδὴ νῦν με ἐδίδαξας, ὅτι οὐ παρὰ τὴν σὴν αἰτίαν ἄτεκνος ἐγὼ τυγχάνω, κἂν τὴν παιδίσκην μου λαβὼν τεκνοποίησον ἐξ αὐτῆς, ἵνα κἂν βραχεῖαν παραμυθίαν εὑρεῖν δυνηθῶ, τὰ παρ' αὐτῆς τικτόμενα οἰκειουμένη. καὶ ἔδωκεν αὐτῷ, φησι, Βάλλαν τὴν παιδίσκην αὐτῆς αὐτῷ γυναῖκα, καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ συνέλαβε, καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν, καὶ εἶπε Ῥαχήλ, ἔκρινέ μοι ὁ θεός, καὶ ὑπήκουσε τῆς φωνῆς μου, καὶ ἔδωκέ μοι υἱόν. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Δάν.

A Videns enim chorum filium ſororis, & cogitans ſuam ſterilitatem, non ferebat dolorem, neque continere poterat cogitationem quæ ſe turbabat, ſed illa inſipientiæ plena verba loquebatur, Da mihi filios: ꝙ ſi minus, moriar ego. Fortaſſis vidit viri erga illam amorem, & putabat ea de cauſa illam tot filios habuiſſe, & ſe nondum peperiſſe: vnde dicit, Da mihi filios. Deinde terrere volens virum, ſubdit: Quòd ſi minus, moriar ego. Quid igitur pius & religioſus Iacob? [2] *Succenſuit*, inquit, *ad verba hæc: & dixit* B *ei, Nunquid pro Deo ego ſum, qui fructu ventris te priuauit?* Quare derelicto naturæ domino reprehenſionem mihi inducis? Ille eſt qui priuauit te fructu ventris. Quare non ab illo petis, qui poteſt aperire naturę officinam, & fœcundam facere vuluam? Diſce quòd ille qui te priuauit fructus ventris tui, ſorori tuæ tantum fœcunditatem præſtiterit: ne igitur à me quæras, quæ prebere non poſſum, & cuius non ſum dominus. Nam ſi hoc in me fuiſſet, C omnino te ſorori prætuliſſem, maiorem erga te beneuolentiam habens. Quandoquidem etiamſi in infinitum maiori te complectar beneuolentia, nihil tibi in hoc prodeſſe potero: ab illo quære, qui & ſterilitatem afferre & ſoluere poteſt. Vide iuſti prudentiam, quomodo etiam ob illius dicta ſuccenſens, reſponſum illi dat ſapientiſſimis verbis: docens diligenter omnia, cauſamque manifeſtat, vt non relicto domino quærat ab alio ea quæ ille ſolus præſtare poteſt. Igitur vt didi- D cit quòd ſterilis facta eſſet à Deo, & videns ſororem liberis florere, vel mediocre ſolatium requirens, dicit ad Iacob: Quoniam nunc me docuiſti quod non culpa tua liberis careo, ancillam meam accipe, filióſque ex ea procrea, vt paruum aliquod ſolatium inuenire poſſin, mihi vindicans quę ab illa naſcuntur. [4] *Et dedit ei*, inquit, *Ballam ancillam ſuam vxorem: & intrauit ad eam, & concepit, & peperit filium Iacobo,* [5] *& dixit Rachel: Iudicauit mihi Deus, & exaudiuit vocem meam, dedítque mihi filium, propter hoc vocauit nomen eius Dan.*

Prudens Iacobi reſponſum.

Habuit aliquo modo pariente ancilla vel breuem conſolationem: ideo & nomen puero imponit; & gratias agit domino pro nato. [8] *Et concepit*, inquit, *iterum Balla, & peperit filium, & dixit Rachel: adiuuit me Deus, & conuerſata ſum cum ſorore mea, & inualui. & vocauit nomen eius Nephthalim.* Et didicit poſtea manifeſtè per ancillam, quòd Iacob non fuit in cauſa quare liberis careret. Ideo natos quaſi ſuos filios educauit, & nomina eis impoſuit, maximam inde ſibi ipſi conſolationem excogitans. [9] *Vt autem vidit Lia quòd ceſſaſſet parere, & ipſa ancillam ſuam Zelpham dedit Iacobo vxorem, & concepit, & peperit. Et dixit Lia: Fortunata fui*, hoc eſt, voti compos facta ſum. *Et vocauit nomen eius Gad.* Et quoniam reipſa euenit quod optabat, vocauit nomen eius Gad. Et concepit adhuc, & peperit alium: dixítque Lia, [13] *Beata ego, quia beatam me dicent mulieres. & vocauit nomen eius Aſer.* Vidiſti quomodo & hæc natos ex ancilla pro propriis habebat, & beatam ſe eſſe dicit, & beatitudine dignam ob procreationem filiorum. Sed vide hîc quoque & poſt hæc, vt diſcas, quomodo zelotypiæ affectio huc & illuc tranſibat: & nunc hæc, nunc illa impugnabatur. [14] *Et iuit*, inquit, *Ruben in diebus meſſis triticeæ, & inuenit mala mandragorarum in agro, & attulit ea matri ſuæ. Dixítque Rachel Liæ: Da mihi de mandragoris filij tui.* [15] *Dixit autem Lia: Non ſatis tibi quòd accepiſti virum meum? num & mandragoras filij mei accipies?* Vide quomodo affectionem animæ verbis manifeſtam facit, non ſatis tibi, inquit, quòd accepiſti virum meum, num & mandragoras filij mei accipies? Dixit autem Rachel: *Non ſic, domiat tecum nocte hac pro mandragoris filij tui. Da mihi de mandragoris, & accipe hodie tecum virum.* Vide quomodo monſtratut totus beneuolentiæ Rachelis deditus. Nam ſi tanto choro filium Liæ nato, fuit adhuc amore magis propenſus in Rachelem: ſi hoc non fuiſſet factum, quomodo ferre potuiſſet Lia ſororis contubernium? vt enim omnem viri poteſtatem habens ita permittit pro mandragoris ei virum, & dicit:

A βραχεῖαν γοῦν εἶχε παράκλησιν τεκούσης τῆς παιδίσκης. διὸ καὶ αὐτὴ τὴν προσηγορίαν ἐπιτίθησι τῷ παιδὶ, καὶ εὐχαριστεῖ τῷ δεσπότῃ ὑπὲρ τοῦ τεχθέντος. καὶ συνέλαβε, φησιν, ἔτι Βάλλα, καὶ ἔτεκε, καὶ εἶπε Ραχὴλ, συναντελάβετό μου ὁ θεὸς, καὶ συνανεστράφην τῇ ἀδελφῇ μου, καὶ ἠδυνήθην. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νεφθαλείμ. καὶ ἐμάνθανε λοιπὸν διὰ τῆς παιδίσκης σαφῶς, ὅτι οὐχ ὁ Ἰακὼβ αἴτιος αὐτῇ τῆς ἀτεκνίας ἐγένετο. διὸ καὶ τοὺς τεχθέντας ὡς οἰκείους παῖδας ἀνατρέφει, καὶ τὰς προσηγορίας ἐπιτίθησι, μεγίστην ἑαυτῇ παραμυθίαν ἐντεῦθεν ἐπινοήσασα. ἰδοῦσα δέ, B φησι, Λεία ὅτι ἔστη τοῦ τίκτειν, καὶ αὐτὴ τὴν παιδίσκην τὴν Ζέλφαν ἔδωκε τῷ Ἰακὼβ εἰς γυναῖκα. καὶ συνέλαβε καὶ ἔτεκε, καὶ εἶπε Λεία, τετύχηκα, ἀντὶ τοῦ, ἐπέτυχον τοῦ σκοποῦ. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Γάδ. καὶ ἐπειδὴ εἰς ἔργον ἐξῆλθεν αὐτῇ τὸ σπουδασθὲν, ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Γάδ. καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν ἕτερον, καὶ εἶπε Λεία, μακαρία ἐγὼ, ὅτι μακαριοῦσί με αἱ γυναῖκες. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀσήρ. εἶδες καὶ ταύτην τοὺς παρὰ τῆς παιδίσκης τεχθέντας πῶς ᾠκειώσατο, καὶ μακαρίαν ἑαυτὴν εἶναι λέγει, C καὶ μακαρισμοῦ ἀξίαν ἐπὶ τῷ τόκῳ τῶν παίδων. ἀλλ᾽ ὅρα μοι πάλιν τὰ μετὰ ταῦτα, ἵνα μάθῃς ὅπως τὸ τῆς ζηλοτυπίας πάθος ἐντεῦθεν ἐκεῖ, κἀκεῖθεν ὧδε μετέβαινε, καὶ ποτὲ μὲν ἐκείνη τούτῳ ἐπολιορκεῖτο, ποτὲ δὲ αὕτη. ἐπορεύθη δέ, φησι, Ρουβὴν ἐν ἡμέραις θερισμοῦ πυρῶν, καὶ εὗρε μῆλα μανδραγορῶν ἐν τῷ ἀγρῷ, καὶ ἤνεγκεν αὐτὰ τῇ μητρὶ αὐτοῦ. καὶ εἶπε Ραχὴλ τῇ Λείᾳ, δός μοι τῶν μανδραγορῶν τοῦ υἱοῦ σου. εἶπε δὲ Λεία, οὐχ ἱκανόν σοι ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ; ὁρᾷς πῶς τὸ πάθος D τῆς ψυχῆς διὰ τῶν ῥημάτων κατάδηλον ποιεῖ. οὐχ ἱκανόν σοι, φησιν, ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ; εἶπε δὲ Ραχὴλ, οὐχ οὕτω. κοιμηθήτω δὴ μετὰ σοῦ τὴν νύκτα ταύτην ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ σου, δός μοι τῶν μανδραγορῶν, καὶ λάβε σήμερον μετὰ σοῦ τὸν ἄνδρα. ὁρᾷς πῶς δείκνυται ὅλως τῇ εὐνοίᾳ τῆς Ραχὴλ προσκείμενος; εἰ γὰρ καὶ τοσούτων παίδων χορὸν τικτούσης τῆς Λείας, ἔτι πρὸς τὴν Ραχὴλ ἦν προσκείμενος τῇ εὐνοίᾳ, εἰ μὴ τοῦτο ἐγεγόνει, πῶς ἂν ἐνεγκεῖν ἡ Λεία ἠδυνήθη τὴν μετὰ τῆς ἀδελφῆς συνοίκησιν; ὡς γὰρ ἐξουσίαν ἅπασαν ἔχουσα τοῦ ἀνδρὸς, οὕτω προΐεται τῶν μανδραγορῶν

κοιμηθήτω σήμερον μετὰ σοῦ ἀντὶ τῶν μανδραγο- A
ρῶν. πλήρωσόν μου, φησὶ, τὴν ἐπιθυμίαν τὴν ἐπὶ
τοῖς μανδραγόραις, καὶ δέχου τὸν ἄνδρα. παραγινο-
μένου δὲ τοῦ Ἰακὼβ, ἐξελθοῦσα εἰς συνάντησιν ἡ
Λεία εἶπε, πρὸς ἐμὲ εἰσελεύσῃ σήμερον. μεμί-
σθωμαι γάρ σε σήμερον ἀντὶ τῶν μανδραγορῶν τοῦ
υἱοῦ μου. καὶ ἐκοιμήθη, φησὶ, μετ' αὐτῆς τὴν νύκτα
ἐκείνην, καὶ ἐπήκουσεν ὁ θεὸς Λείας, καὶ συλλαβοῦσα
ἔτεκε τὸν πέμπτον υἱὸν, καὶ εἶπε Λεία, ἔδωκέ μοι ὁ
θεὸς τὸν μισθόν μου ἀνθ' οὗ ἔδωκα τὴν παιδίσκην
μου τῷ ἀνδρί μου. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσα-
χὰρ, ὅ ἐστι μισθός. ἐπήκουσε, φησιν, ὁ θεὸς τῆς Λείας,
ἐπειδὴ ἑώρα κατώδυνον αὐτὴν οὖσαν καὶ παρὰ τοῦ ἀνδρὸς ἀδο- B
κιμουμένην, ἐπήκουσεν αὐτῆς ὁ θεὸς, καὶ ἔτεκε καὶ εἶ-
πεν, ἐκομισάμην μισθὸν ἀνθ' ὧν ἔδωκα τὴν
παιδίσκην μου. διὰ τοῦτο ἐκάλεσεν αὐτὸν Ἰσαχάρ.
καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν υἱὸν ἕκτον, καὶ εἶπε Λεία,
δεδώρηταί μοι ὁ θεὸς δῶρον καλόν. ἐν τῷ νῦν καιρῷ
αἱρετιεῖ με ὁ ἀνήρ μου. τέτοκα γὰρ αὐτῷ υἱοὺς ἕξ. καὶ
ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαβουλών. λοιπὸν, φησιν,
ἐπέραστος ἔσομαι κἀγὼ τῷ ἀνδρί μου· ἔτεκον γὰρ
ἓξ υἱούς. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαβου-
λών. ἔτεκε δὲ καὶ θυγατέρα, καὶ ἐκάλεσε τὸ ὄνομα
αὐτῆς Δῖνα. ἐμνήσθη δὲ ὁ θεὸς, φησι, τῆς Ῥαχὴλ, καὶ C
ἐπήκουσεν αὐτῆς, καὶ ἤνοιξεν αὐτῆς τὴν μήτραν, καὶ
συνέλαβε καὶ ἔτεκε Ἰακὼβ υἱόν. εἶπε δὲ Ῥαχὴλ, ἀ-
φεῖλέ μου ὁ θεὸς τὸ ὄνειδος. καὶ ἐκάλεσε τὸ ὄνομα αὐ-
τοῦ Ἰωσὴφ, λέγουσα, προσθέτω μοι ὁ θεὸς υἱὸν ἕτε-
ρον. ἀφεῖλέ μου, φησιν, ὁ θεὸς τὸ ὄνειδος, ἔλυσε τὴν
στείρωσιν, κατηλλάγη, καὶ διήγειρέ μου πρὸς παι-
δοποιίαν τὴν μήτραν, καὶ ἠλευθέρωσέ με τοῦ ὀνει-
δισμοῦ. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰωσὴφ, λέ-
γουσα, προσθέτω μοι ὁ θεὸς υἱὸν ἕτερον. ὁρᾷς πῶς
αἱ τοῦ θεοῦ ὑποσχέσεις μετὰ μικρὸν εἰς ἔργον ἐξήε-
σαν. ἰδοὺ γὰρ ἀθρόον πόσων παίδων χορὸν ὁ δίκαιος D
ἔσχε διὰ τὴν τοῦ θεοῦ περὶ αὐτὸν πρόνοιαν. ἐπειδὴ
γὰρ πολλὴν τὴν ὑπομονὴν ἐπεδείξατο ἐν δεκα-
τέσσαρσιν ἔτεσι τὴν δουλείαν ἀσπαζόμενος, διὰ
τοῦτο καὶ ὁ τῶν ὅλων θεὸς ἀμειβόμενος τοῦ δικαίου τὸ
φιλόθεον, εἰς τοσοῦτον αὐτὸν αὐξηθῆναι παρε-
σκεύασεν, ὡς ἐπίφθονον γενέσθαι λοιπὸν, ὡς ἐκ
τῶν ἑξῆς μαθησόμεθα, οἷς ἐβουλόμην ἐπεξελθεῖν.
Ἠθικόν. Ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος τὸν λόγον ἐκτείνον-
τες παρενοχλεῖν δόξωμεν τῇ ὑμετέρᾳ ἀγάπῃ,
εἰ δοκεῖ, τὰ λειπόμενα εἰς τὴν ἑξῆς ταμιευ-
σάμενοι, τὸν λόγον ἐνταῦθα καταπαύσωμεν,

Dormiat hodie tecum pro mandra-
goris. Satis fac, inquit, meo deſide-
rio, & accipe virum. 16 *Adueniente au-*
tem, inquit, *Iacob, egreſſa in occurſum*
eius Lia dixit: Ad me ingredieris hodie,
mercede enim conduxi te mihi pro man-
dragoris filij mei. & dormiuit cum ea no-
cte illa. 17 *Et exaudiuit Deus Liam, & con-*
cepit ac peperit Iacobo quintum filium.
Et dixit Lia: 18 *Dedit mihi Deus merce-*
dem meam, eò quòd dedi ancillam meam
viro meo. & vocauit nomen eius Iſachar,
quod eſt merces. Exaudiuit Deus Liam,
quia videbat eam dolentē, neq; val-
de marito probatā. Exaudiuit eam,
inquit, Deus, & peperit, ac dixit:
Tuli mercedem, eò quòd dedi ancil-
lam meā: propterea vocauit nomen
eius Iſachar. 19 *Et concepit adhuc Lia, &*
peperit filium ſextum. Et dixit Lia, dona-
uit mihi Deus donum bonum. Nunc tem-
poris me eliget vir meus, peperi enim ei
filios ſex: & vocauit nomen eius Zabulon.
Poſthac, inquit, amabilis ero & ego,
quia peperi ſex filios, ideo vocauit
nomē eius Zabulō. 21 *Peperit autē & fi-*
liā, & vocauit nomen eius Dinā. 22 *Recor-*
datus autem Deus Rachelis, & exaudi-
uit eam, & aperuit eius vuluam, 23 *& con-*
cepit, & peperit filium Iacobo. Dixit au-
tem Rachel: Abſtulit à me Deus oppro-
brium meum. 24 *& vocauit nomen eius Io-*
ſeph, dicens: Appoſuit mihi Deus filium
alium. Abſtulit, inquit, opprobrium
meum, ſoluit ſterilitatem: propitius
factus eſt mihi, & idoneam fecit ad
procreandum filios vuluā, & liberam
me fecit ab opprobrio meo: & voca-
uit nomen eius Ioſeph, dicens: Ap-
poſuit mihi Deus filium alium. Vidi-
ſti quomodo paulatim promiſſiones
Dei in opus egreſſę ſunt? Ecce enim
ſtatim quantum chorum filiorum
circa ſe habuit iuſtus, & vidit mani-
feſtam Dei in ſe prouidētiam. Quo-
niam enim magnam prę ſe tulit pa-
tientiam, quatuordecim annis ſerui-
tutem ferens: propterea & vniuerſo-
rum dominus, remunerans iuſti pie-
tatem, in tantum eum creſcere fecit,
vt & poſthac inuidioſus aliis fieret, ſi-
cut ex ſequētibus diſcemus, quę vel-
lem pertractare. Verùm ne prolixius
ſermonem extendamus, grauareque Moralis
videar charitatem veſtram, ſi pla- epilog.
cet, quæ reliqua ſunt, in ſequentia
reſeruaturi, finiamus hic ſermonem,

illud interim charitatem veſtram admonentes, vt eorum quæ dicta ſunt memores, imitemini priſcorum virtutem, filias elocando, pueros nuptui tradendo, veſtra virtute Dei gratiam conciliare vobis ſtudendo. Nam cùm ille nobis amicus fuerit, etiamſi in aliena terra fuerimus, etiamſi ab omnibus deſtituti, etiamſi nullis cogniti, omnibus erimus clariores. Nihil enim beatius viro ſuperna manu adiuto. Et beatus Iacob illo fretus præſidio, in tantam paulatim gloriam ſublimatus eſt, vt & his, qui exceperant tam amicè, inuidioſus ſit factus. Hoc igitur & nos ſtudeamus, vt ſupernum acquiramus auxilium, & non ad humanos confugiamus principatus, neq; illorum preſidium ſectemur: nihil enim periculoſius, id quod rerum experientia ſatis diſcimus. Et enim videmus quotidie res ſe tanta velocitate ad mutationem inclinare, & verti in diuerſum omnia, & eum qui in ſumma proſperitate eſt, ſubitò in extremam infœlicitatem deiici, & condemnari vt reum. Quantæ igitur inſipientiæ fuerit, quærere auxilium in rebus tam incertis, præſertim cùm non ſufficimus res noſtras ſecurè diſponere? Ideo ne confidamus in humanis præſidiis, memores etiam prophetæ dicentis: Maledictus homo, qui ſpem ponit in homine. Vides quòd talis non ſolùm inſipiens, ſed etiam maledictus: vtpote qui relicto domino omnium, ad conſeruum currit, qui ſemetipſum iuuare nequit? Fugiamus igitur maledictionem hanc, oro, & omnem ſpem in Deum transferamus. Iſta enim ſolida eſt & immobilis, & neſcia viciſſitudinis, cuius plena eſt illa quam in hominibus habemus. Vel enim mors tollit humanum præſidium, & eos qui ad hoc confugiunt, ſolitarios & nudos relinquit: vel etiam ante mortem mutatio rerum fit. Plena eſt hæc vita exemplis talibus. Ideo hi poſt tantam experientiam nulla venia ſunt digni, qui adhuc humano nitutur præſidio, & ſæpe ab illis qui eis opitulari videntur, infinita mala ferunt. Eouſque enim creuit mali-

Humanũ auxiliũ non quærendum.

A ἐκεῖνο παραινέσαντες ὑμῶν τῇ ἀγάπῃ, μεμνῆσθαι τῶν εἰρημένων, ζηλοῦν τὴν παλαιὰν τὴν ἀρετὴν, οὕτω τοὺς παῖδας εἰς γάμον ἐκδιδόναι, οὕτω τὰς θυγατέρας τοῖς νυμφίοις παραδιδόναι, οὕτω διὰ τῆς οἰκείας ἀρετῆς τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν ἐπισπάσασθαι. ὅταν γὰρ ἐκεῖνος ἡμῖν εὐμενὴς ᾖ, κἂν ἐπ' ἀλλοτρίας ὦμεν, κἂν πάντων ἔρημοι, κἂν μηδενὶ γνώριμοι, πάντων ἐσόμεθα περιφανέστεροι. οὐδὲν γὰρ μακαριώτερον ἀνδρὸς ὑπὸ τῆς ἄνωθεν χειρὸς βοηθουμένου. ἐκείνης γὰρ ἀπολαύων τῆς συμμαχίας καὶ ὁ μακάριος Ἰακὼβ ἐπὶ τοσοῦτον κατὰ μικρὸν ηὐξήθη περιφανείας, ὡς καὶ αὐτοῖς τοῖς ὑποδεξα- B μένοις ἐπίφθονος γενέσθαι. τοῦτο τοίνυν καὶ ἡμεῖς σπουδάζωμεν, ὥστε τῆς ἐκεῖθεν ἀξιοῦσθαι βοηθείας, καὶ μὴ πρὸς τὰς ἀνθρωπίνας καταφεύγωμεν δυναστείας, μηδὲ τὴν τούτων προστασίαν διώκωμεν. οὐδὲν γὰρ ταύτης ἐπισφαλέστερον, καὶ τοῦτο ἡ πεῖρα τῶν πραγμάτων ἡμᾶς ἱκανὴ διδάξαι. καὶ γὰρ ὁρῶμεν καθ' ἑκάστην ἡμέραν ὀξυρρόπους τὰς μεταβολὰς, καὶ εἰς τὸ ἐναντίον ἅπαντα περιτρεπόμενα, καὶ τὸν ἐν τῇ ἀνωτάτω εὐημερίᾳ πρὸ μικροῦ τυγχάνοντα, ἄφνω εἰς ἐσχάτην δυσπραγίαν καταφερόμενον, καὶ τὰ τῶν καταδίκων πολλάκις ὑπομένοντα, ποίας C οὖν ἂν εἴη παρανοίας τούτων μεταδιώκειν τὴν προστασίαν τῶν ἐν τοσαύτῃ ἀδηλίᾳ τυγχανόντων, καὶ οὐδὲ τὰ καθ' ἑαυτοὺς ἱκανῶν ὄντων μετ' ἀσφαλείας διαθεῖναι; διὸ πάσης μετ' ἀνθρωπίνης προστασίας ἑαυτοὺς ἀποστήσωμεν, μεμνημένοι καὶ τοῦ προφήτου λέγοντος, ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον. ὁρᾷς ὅτι ὁ τοιοῦτος οὐ μόνον ἀνόητος, ἀλλὰ καὶ ἐπικατάρατος, ἅτε δὴ καταλιπὼν τὸν τῶν ἁπάντων δεσπότην, καὶ πρὸς τὸν ὁμόδουλον τρέχων, τὸν οὐδὲ ἑαυτῷ ἀρκέσαι δυνάμενον; φεύγωμεν τοίνυν τὴν κατάραν ταύτην παρακαλῶ, καὶ τὴν ἐλπίδα πᾶσαν ἐπὶ τὸν θεὸν μεταστήσωμεν. αὕτη D βεβαία καὶ ἀκίνητος καὶ μεταβολὴν οὐκ ἐπιδεχομένη, καθάπερ ἡ ἐπὶ τῶν ἀνθρώπων. ἢ γὰρ θάνατος ἐνταῦθα διέκοψε τὴν προστασίαν, καὶ γυμνοὺς καὶ ἐρήμους γενέσθαι παρεσκεύασε τοὺς ἐπὶ τοῦτον καταφεύγοντας, ἢ καὶ πρὸ τοῦ θανάτου μεταβολὴ πραγμάτων ἐπελθοῦσα, ἅπαντα ἄκυρα ἀμφοῖν πεποίηκε. καὶ τούτων τῶν παραδειγμάτων πᾶς γέμει ὁ βίος. διὸ οὐδὲ συγγνώμης εἰσὶν ἄξιοι, οἱ μετὰ τὴν τοσαύτην πεῖραν ἔτι τῇ ἀνθρωπίνῃ προστασίᾳ προσεστηκότες, καὶ πολλάκις ὑπ' αὐτῶν τῶν δοκούντων εἶναι προστατῶν τὰ μυρία δεινὰ ὑπομένοντες. τοσαύτη γὰρ

A τῆς κακίας ἡ ὑπερβολή, ὡς καὶ τοὺς θεραπεύοντας τοῖς ἐναντίοις ἀμείβεσθαι. ἐπὶ δὲ τοῦ τῶν ὅλων θεοῦ ἅπαν τοὐναντίον. καὶ ἀγνωμονοῦντας ἡμᾶς ἑκάστοτε εὐεργετεῖ, καὶ τὴν οἰκείαν ἀπονέμει προστασίαν, οὐ πρὸς τὴν ἡμετέραν ὁρῶν ἀγνωμοσύνην, ἀλλὰ τὴν οἰκείαν ἐν ἅπασι φιλανθρωπίαν μιμούμενος, ἧς γένοιτο τυχεῖν ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

tia, vt mala rependant etiam ij, quorum eſt curam aliorum habere. Verùm de Deo ſecus eſt: nam licet quotidie ingrati ſimus, benefacit tamen, & ſuo præſidio nos non deſtituit, non ad noſtram reſpiciens ingratitudinem, ſed in omnibus pro ſua agens clementia: qua nobis omnibus frui concedatur, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Ὁμιλία νζ.

B

Homilia LVII.

Ἐγένετο δὲ ὡς ἔτεκε Ῥαχὴλ τὸν Ἰωσὴφ, εἶπεν ὁ Ἰακὼβ τῷ Λάβαν, ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου καὶ εἰς τὴν γῆν μου.

Factum eſt autem poſtquam peperit Rachel Ioſeph, dixit Iacob ad Laban, dimitte me, vt abeam in locum meum, & in terram meam. Gen. 30. 25.

Τὰ λείψανα τῶν χθὲς εἰρημένων ἀναγκαῖον ἀποδοῦναι σήμερον τῇ ὑμετέρᾳ ἀγάπῃ, ἵνα καὶ ἐκ τῶν νῦν λεγομένων καὶ τὴν τοῦ θεοῦ κηδεμονίαν, ἣν περὶ τὸν Ἰακὼβ ἐπεδείκνυτο, καὶ τὸ τοῦ δικαίου φιλόθεον καταμαθόντες ζηλώσωμεν τοῦ ἀνδρὸς τὴν ἀρετήν. οὐδὲ γὰρ ἁπλῶς ἡμῖν τὰς ἱστορίας ταύτας ἀναγραφῆναι ἡ τοῦ πνεύματος χάρις γενέσθαι παρεσκεύασεν, ἀλλ' ἵνα πρὸς μίμησιν ἡμᾶς διεγείρῃ καὶ ζῆλον τῶν ἐναρέτων ἀνδρῶν. ὅταν γὰρ ἀκούσωμεν τοῦ μὲν τὴν ὑπομονήν, τοῦ δὲ τὴν σωφροσύνην, ἑτέρου δὲ περὶ τὴν φιλοξενίαν ἑτοιμον, καὶ ἑκάστου τὴν πολλὴν ἀρετήν, καὶ ὅπως τούτων ἕκαστος διέλαμψε καὶ περιφανέστερος γέγονεν, εἰς τὸν ὅμοιον διεγειρόμεθα ζῆλον. φέρε οὖν καὶ τὰ λείψανα τῆς κατὰ τὸν δίκαιον τοῦτον ἱστορίας σήμερον ἐπελθόντες, τέλος ἐπιθῶμεν τῷ λόγῳ. ἐγένετο δὲ, φησιν, ὡς ἔτεκε Ῥαχὴλ τὸν Ἰωσὴφ, εἶπεν Ἰακὼβ τῷ Λάβαν· ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου, καὶ εἰς τὴν γῆν μου. ἀπόδος μοι τὰς γυναῖκας, καὶ τὰ παιδία μου, περὶ ὧν δεδούλευκά σοι. ὅρα τοῦ δικαίου τὴν πολλὴν εὐγνωμοσύνην, πῶς ὁρῶν ἐναργῆ τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν περὶ αὐτόν, οὐδὲν μέγα ἐφρόνησε κατὰ τοῦ Λάβαν, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας φησίν, ἀπόστειλόν με, ἵνα ἀπέλθω. ἀληθῶς οὐδὲν ἐπιεικείας ἰσχυρότερον, καὶ οὐδὲν ταύτης δυνατώτερον. ὅρα γοῦν, ἐπεὶ προλαβὼν τῇ ἐπιεικείᾳ ἐχρήσατο, ὅπως καὶ τὸν Λάβαν παρεσκεύασε μετὰ πολλῆς τῆς εὐγνωμοσύνης τὴν

Reliqvias heri dictorũ, noſtrum eſt hodie veſtræ charitati reddere, vt ex his quę nunc dicuntur, diſcentes & prouidentiam Dei, quam erga Iacob declarauit, & iuſti pietatem ſpectantes, imitemur eius virtutem. Neque enim abſque cauſa ſancti Spiritus gratia ſcriptas nobis reliquit haſce hiſtorias: ſed vt ad æmulationem & imitationem tantorum virorum prouocet. Quando enim audimus huius quidem obedientiã, iſtius autem continentiã, illius verò in hoſpitibus colligẽdis promptitudinem, & quomodo ſinguli claruerint, ad ſimilia facienda excitamur. Agè igitur ad ea quæ relicta ſunt in hiſtoria illius iuſti, hodie accedẽtes, finem imponamus ſermoni. *Factum eſt autem,* inquit, *poſtquam peperit Rachel Ioſeph, dixit Iacob ad Laban: Dimitte me, vt abeam in locum meum, & in terram meam: redde mihi vxores & filios meos pro quibus ſeruiui tibi.* Vide iuſti magnã gratitudinem, quomodo videns manifeſtè Deum ſui habere curam, non ſuperbiuit contra Laban, ſed cum magna mãſuetudine dixit, Dimitte me vt abeam. Verè nihil manſuetudine validius, nihil potentius. Vide igitur quomodo primùm manſuetudine vſus, effecit vt & Laban magna ei

C D

Mãſuetudine nihil validius.

beneuolentia reſponderit. [28] *Dixit enim ei*, inquit, *Laban: Si inueni gratiam coram te (coniectans enim coniectare certò poſſum, quòd benedixerit me Deus in ingreſſu tuo)* [28] *indica mihi mercedem tuam, & dabo.* Non ignoro, inquit, quòd poſt aduentum tuum locupletior mihi diuina beneuolentia contigerit: igitur quia ſentio beneficia quæ mihi propter aduentum tuum data ſunt, quamuis mercedem indica, & ego promptè præſtabo. Conſidera quantum valeat manſuetudo, ne perfunctoriè dictum tranſeas: ſed attende quòd iuſtus neque cogitauerit, neque mentionem fecerit, neque requiſierit mercedem laborum: ſed hoc ſolùm dixerit, Redde mihi vxores, & liberos pro quibus ſeruiui tibi, vt abeam. Ille reueritus iuſti magnam æquitatem, inquit, Dic quam vis tibi mercedem à me dari, & illã promptè dabo. Nunquid cum ipſo erant mulieres & pueri? Quare igitur dixit, Redde mihi vxores & pueros? Digno honore eum proſecutus eſt, ſuúmque morem per omnia obſeruat, & liberè diſcedere vult. Vide igitur ex verbis ipſis quomodo attraxit Laban, vt ſe mercedem daturum ſponte promittat, & electionem ei permittat. Quid igitur iuſtus? Vide excellentem eius manſuetudinem, quomodo neque ſic oneroſus & moleſtus eſt Laban, ſed ipſum teſtem facit ſuæ gratitudinis & fidelitatis, & quanto tempore beneuolentiam in ſeruitute illius declararit. [29] *Tu noſti*, inquit, *qualiter tibi ſeruierim, & quanta fuerint pecora tua mecum.* [30] *parua enim erant coram me, & aucta ſunt in magnam multitudinem, & benedixit te Dominus ad pedem meum: nunc igitur quando faciam & ego mihi domum?* Te facio teſtem laborum meorum. Vidiſti enim quanto ſtudio & fide omnia adminiſtrarim, & quomodo in paruo numero acceperim pecora tua: quæ diligentia vigilantiáque mea in tantum numerum creſcere feci. Deinde monſtrans ſuam religionem, inquit, Benedixit enim te Deus ad pedem meum: nunc igitur quando faciam & ego mihi domum? Vidiſti etiam ipſe quòd poſt meum aduentum gratia

A πρὸς αὐτὸν ἀπόκρισιν ποιήσασθαι. εἶπε γὰρ αὐτῷ, φησι, Λάβαν, Εἰ εὗρον χάριν ἐναντίον σου, οἰωνισάμην ἄν. εὐλόγησε γάρ με ὁ θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ. διάστειλον τὸν μισθόν σου πρὸς μὲ, καὶ δώσω. Οὐκ ἀγνοῶ, φησιν, ὅτι μετὰ τὴν σὴν παρουσίαν πλουσίως ἀπήλαυσα τῆς παρὰ τοῦ θεοῦ εὐνοίας. ἐπεὶ οὖν αἰσθάνομαι τῆς εὐεργεσίας, ἧς διὰ τὴν σὴν παρουσίαν ἔτυχον, ὃν βούλει μισθὸν ἀπότεινον, κἀγὼ ἑτοίμως παρέξω. σκόπει πόσον ἐστὶν ἐπιείκεια, καὶ μὴ ἁπλῶς παραδράμωμεν τὸ εἰρημένον· ἀλλ' ἐννόησον ὅτι οὐδὲ μνήμην ποιησαμένου τοῦ δικαίου, οὐδὲ ἐπιζητήσαντος τὸν μισθὸν τῶν καμάτων, ἀλλὰ τοῦτο μόνον εἰρηκότος, ὅτι
B ἀπόδος μοι τὰς γυναῖκας καὶ τὰ παιδία, ὑπὲρ ὧν δεδούλευκά σοι, ἵνα ἀπέλθω, ἐκεῖνος αἰδεσθεὶς τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν, φησιν, εἰπέ τίνα βούλει μισθὸν παρ' ἐμοῦ σοι δοθῆναι, καὶ τοῦτον προθύμως δώσω. μὴ γὰρ οὐκ αὐτοῦ ἦσαν αἱ γυναῖκες καὶ τὰ παιδία, τίνος οὖν ἕνεκεν ἔλεγεν, ἀπόδος μοι τὰς γυναῖκας καὶ τὰ παιδία; τὴν προσήκουσαν αὐτῷ τιμὴν ἀπονέμων, καὶ τὸν οἰκεῖον τρόπον διὰ πάντων ἐμφαίνων, καὶ μετ' ἐλευθερίας τὴν ἀναχώρησιν ποιήσασθαι βουλόμενος.
C ὅρα γοῦν ἐκ τῶν ῥημάτων τούτων ὅπως ἐφειλκύσατο τὸν Λάβαν, ὡς καὶ μισθὸν ἐπαγγείλασθαι [illegible] προσθεῖναι, καὶ τούτῳ αὐτῷ ἐπιτρέψαι τὴν αἵρεσιν. τί οὖν ὁ δίκαιος· ὅρα πάλιν τῆς αὐτοῦ ἐπιεικείας τὴν ὑπερβολὴν, καὶ ὅπως οὐδὲ οὕτως ἐπαχθὴς γίνεται καὶ φορτικὸς τῷ Λάβαν. ἀλλὰ τί, πάλιν αὐτὸν μάρτυρα καλεῖ τῆς εὐγνωμοσύνης αὐτοῦ, καὶ τῆς ἐν τῷ χρόνῳ παντὶ γενομένης παρ' αὐτοῦ εὐνοίας περὶ τὴν δουλείαν. σὺ γινώσκεις, φησὶν, ἃ δεδούλευκά σοι, καὶ ὅσα ἦν κτήνη σου μετ' ἐμοῦ. μικρὰ γὰρ ἦν ὅσα σοι
D ἐναντίον ἐμοῦ. καὶ ηὐξήθη εἰς πλῆθος, καὶ εὐλόγησέ σε κύριος ἐπὶ τῷ ποδί μου. νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον; σὲ μάρτυρα, φησι, καλῶ τῶν καμάτων τῶν ἐμῶν. οἶδας γὰρ πῶς μετ' εὐνοίας τὰ παρ' ἐμαυτοῦ ἅπαντα ἐπεδειξάμην, καὶ ὅπως εὐαρίθμητα λαβὼν τὰ θρέμματά σου, τῇ ἐπιμελείᾳ τῇ ἐμαυτοῦ καὶ τῇ ἀγρυπνίᾳ εἰς πλῆθος αὐτὰ ἐπιδοῦναι πεποίηκα. Εἶτα ἐπιδεικνὺς ἑαυτοῦ τὸ φιλόθεον, φησιν, εὐλόγησε γάρ σε κύριος ἐπὶ τῷ ποδί μου. νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον; οἶδας καὶ αὐτὸς, ὅτι μετὰ τὴν ἐμὴν παρουσίαν ἡ

ἄνωθεν

ἄνωθεν χάρις ηὔξησέ σου τὴν περιουσίαν. νῦν οὖν ἐπεὶ κἀγὼ τὰ παρ' ἐμαυτοῦ πάντα ἐπεδειξάμην μετὰ πάσης εὐνοίας τὴν ὑπηρεσίαν ἀποπληρώσας, καὶ ἡ παρὰ τοῦ θεοῦ ῥοπὴ δήλη γέγονε, δίκαιον κἀμὲ ἐμαυτῷ ποιῆσαι οἶκον. τί δέ ἐστι ποιῆσαι ἐμαυτῷ οἶκον; αὐτὴ τοῦ, ἐν ἐλευθερίᾳ λοιπὸν διάγειν, καὶ οἰκίας φροντίδα ἰδίας ποιήσασθαι. ταῦτα ἀκούσας ὁ Λάβαν, εἶπεν αὐτῷ, τί σοι δώσω; ἢ τί βούλει παρ' ἐμοῦ σοι δοθῆναι, εἰπέ; ὁμολογῶ γὰρ κἀγὼ, καὶ οὐκ ἀρνηθείην. οἶδα γὰρ ὅσα μοι ὑπῆρξε παρὰ τοῦ θεοῦ, καὶ ὅτι εὐλόγησέ με ὁ θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ. εἶπε δέ, φησιν, αὐτῷ Ἰακὼβ, οὐ δώσεις μοι οὐδέν. ἐὰν δὲ ποιήσῃς μοι τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου. οὐδὲν, φησὶ, βούλομαι παρὰ σοῦ μισθῶν ἕνεκα κομίσασθαι, ἀλλὰ τοῦτο μόνον ὃ λέγω καταδέξασθαι, καὶ πάλιν ποιμανῶ τὰ πρόβατά σου. ὃ δὲ βούλομαι, ἐστὶ τοῦτο. ὅρα τὸν δίκαιον, ἐπειδὴ ἐπεποίθει τῇ περὶ αὐτὸν τοῦ θεοῦ ῥοπῇ, οἵαν πρότασιν τῷ Λάβαν προτίθησι. παρελθέτω, φησὶ, τὰ πρόβατά σου σήμερον, καὶ διαχώρισον ἐκεῖθεν πᾶν πρόβατον φαιὸν ἐν τοῖς ἄρνασι, καὶ πᾶν διάλευκον καὶ ῥαντὸν ἐν ταῖς αἰξὶν, ἔσται μοι μισθός. καὶ ἐπακούσεταί μου ἡ δικαιοσύνη μου ἐν τῇ ἡμέρᾳ τῇ αὔριον, ὅτι ἐστὶν ὁ μισθός μου ἐνώπιόν σου. πᾶν ὃ ἂν μὴ ᾖ ῥαντὸν καὶ διάλευκον ἐν ταῖς αἰξὶ, καὶ φαιὸν ἐν τοῖς ἄρνασι, κεκλεμμένον ἔσται μοι. σκόπει τοῦ δικαίου τὴν σύνεσιν. ἐπειδὴ ᾔδει ὅσης ἀξιοῦται τῆς ἄνωθεν εὐνοίας, καὶ ἐδόκει κατὰ τὴν τῆς φύσεως ἀκολουθίαν τοῦτο ἢ δυσχερὲς εἶναι, ἢ καὶ πάντη ἀδύνατον (σπάνιον ἦν γάρ ποτε τοῦτο, ἐνηλλαγμένην εἶναι τὴν χροιὰν τῶν τικτομένων) ταῦτα αἰτεῖται παρ' αὐτοῦ. ὅθεν καὶ ταχέως ἐπιδραμὼν ὁ Λάβαν τῇ αἰτήσει, καί φησιν, ἔστω κατὰ τὸ ῥῆμά σου. καὶ διέστειλεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοὺς τράγους τοὺς ῥαντοὺς καὶ διαλεύκους, καὶ πάσας τὰς αἶγας τὰς ῥαντὰς καὶ τὰς διαλεύκους, καὶ πᾶν ὃ ἦν λευκὸν ἐπ' αὐτοῖς, καὶ πᾶν ὃ ἦν φαιὸν ἐν τοῖς ἄρνασι. καὶ ἔδωκε διὰ χειρὸς τῶν υἱῶν αὐτοῦ, καὶ ἀπέστησεν ὁδὸν τριῶν ἡμερῶν ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Ἰακώβ. χωρίσας, φησὶ, τὰ πρόβατα κατὰ τὴν τοῦ Ἰακὼβ πρότασιν, ἔδωκε τοῖς υἱοῖς αὐτοῦ. Ἰακὼβ δὲ ἐποίμαινε τὰ πρόβατα Λάβαν τὰ ὑπολειφθέντα. ποῖα δὴ ταῦτα; τὰ μηδεμίαν ἔχοντα ἐν τῇ χροιᾷ διαφοράν. τοῦτο δὲ πᾶν ἐγένετο, ἵνα καὶ ὁ δίκαιος διὰ τῶν πραγμάτων μάθῃ τοῦ θεοῦ τὴν πολλὴν περὶ αὐτὸν κηδεμονίαν, καὶ ὁ Λάβαν ἴδῃ ὅσης ἀπολαύει τῆς ἄνωθεν ῥοπῆς ὁ Ἰακώβ.

A diuinas tuas auxerit facultates? Nunc igitur quoniam & ego mea omnia, magna animi promptitudine faciens, miniſterium perfeci, & gratia Dei manifeſtata eſt: iuſtum eſt & vt ego mihiipſi faciam domum, id eſt, in libertate poſtea verſer, & curam domus meæ habeam. Hæc vt audiuit Laban, dixit ei: Quid tibi dabo? quid vis à me tibi dari? Confiteor enim & ego, & inficias non eo: ſcio enim quanta mihi fuerint à Deo data, & quod benedixerit me Deus ad ingreſſum tuum. Dixit autem ei Iacob. [31] *Non* B *dabis mihi quicquã. Si vero feceris verbũ iſtud, iterum paſcam oues tuas.* Nihil volo à te mercedis nomine reportare: ſed hoc tantum quod dico, ſuſcipe, & iterum paſco oues tuas: quod autem volo, hoc eſt. Vide iuſtum, quia ſperauit in auxilio diuino, qualia proponat Laban. [32] *Prætereant,* inquit, *aues tuæ hodie, & ſegrega illinc omnem ouem fuſcam in agnis, & omnis ſubalbicans & ſparſa in capris, erit mihi merces,* [33] *& exaudiet me iuſtitia mea in die craſtino, quia eſt* C *merces mea coram te. omne, quod non fuerit ſparſum & variè albicans in capris, & quod rufum in agnis, furto ſublatũ erit à me.* Conſidera iuſti prudentiã, quoniam ſciebat quanta ſibi ſupernè gratia affulgeret: & videbatur ſibi ſecundum naturæ ordinem vel difficile eſſe, vel omnino impoſſibile (rarum enim eſt varium eſſe colorem pecudum) hæc petit ab eo, vnde petitioni eius Laban ſtatim acceſſit, & inquit: [34] *Sit iuxta verbum tuum, & diuiſit in die illa hircos maculoſos & ſubalbicantes, & omnes* D *capras maculoſas & ſubalbicantes, & omne quod erat in eis candidum, & omne quod erat fuſcum in ouibus, & dedit per manum filiorum ſuorum, & fecit diſtare viam trium dierum inter ea & inter Iacob.* Separauit, inquit, greges iuxta propoſitionem Iacob, & dedit filiis ſuis: Iacob autem pauit pecudes Laban reliquas. Quales nam hæ? nullam ſcilicet habentes coloris varietatem. Hoc autem totum factum eſt, vt iuſtus reipſa compertam haberet Dei erga ſe prouidentiam, & Laban videret quantum Dei auxilium haberet Iacob.

Accepit autem Iacob, inquit, *ad ſe virgam ſtyracinam viridem, & amygdalinam, & platani, & decorticauit Iacob eas in decorticationem albam, abradens quod viride: apparebat autem in virgis album, quia decorticarat varium,* [38] *& appoſuit virgas quas decorticauit, in canales aquatorias, vt cùm venirent pecudes ad bibendum, conciperent pecudes ſecundum virgas: & concipiebant pecudes ſecundum virgas, & pepererunt pecudes ſubalbas, maculoſas, & cinericio colore ſparſas.* Hæc faciens iuſtus non à ſeipſo mouebatur, ſed inſpirante menti eius ſuperna gratia: neque iuxta naturæ ordinem erat quod fiebat, ſed valde admirabile, & naturæ modum tranſcendens. Et agnos, inquit, diſtinxit, & ſtatuit coram ouibus arietem ſubalbicantem, & omne varium in ouibus: & ſeparauit oues ſuas, & non miſcuit eas cum ouibus Laban. Poſtea quia omnia quæ naſcebantur, fiebant talia qualia propoſuit, ſeparauit ea, & fecit ſibi greges ſingulares. [42] *Factum eſt autem in tempore, quo concipiunt oues grauidæ, poſuit Iacob virgam coram ouibus, in canalibus, vt conciperent iuxta virgas.* [43] *Quando autem pariebant oues, non ponebat. Facta autem ſunt non ſignata Laban, ſignata verò Iacob.* [44] *& ditatus eſt homo valde valde.* Quid vult ſibi duplicatio? abundantiam multam ſignificat: & quòd non tantum ditatus eſt, ſed & valde ditatus eſt. Facta enim ſunt ei, inquit, pecora multa, & boues, & pueri, & ancillæ. Sed vide hîc iterum iuſto inuidiam naſci. *Audiuit enim*, inquit, *verba filiorum Laban, dicentium: Accepit Iacob omnia quæ ſunt patris noſtri, & ex his quæ ſunt patris noſtri fecit omnem hanc gloriam.* Vide quomodo inuidia in ingratitudinem eos inducit: non eos autem ſolum, ſed & ipſum Laban. *Vidit enim*, inquit, *Iacob faciem Laban, & ecce non erat erga ſe ſicut heri & nudiuſtertius.* Verba enim puerorum mentem eius turbauerant, & oblitus eſt quæ pridē dixerat ad Iacob. Qui enim dixerat: Benedixit me Deus ad ingreſſum tuum, & gratias egerat domino, quòd propter aduentum iuſti facultates ſuę auctę fuerãt:

Mirabilia effecta induſtriæ humanæ.

Capvt. xxxi.

Inuidia ingratitudinē gignit.

A ἔλαβε δέ, φησιν, ἑαυτῷ ὁ Ἰακὼβ ῥάβδον στυρακίνην χλωρὰν, καὶ καρυΐνην, καὶ πλατάνου, καὶ ἐλέπισεν αὐτὰς ὁ Ἰακὼβ λεπίσματα λευκὰ περισύρων τὸ χλωρόν· ἐφαίνετο δὲ ἐπὶ ταῖς ῥάβδοις τὸ λευκὸν, ὃ ἐλέπισε, ποικίλον. καὶ παρέθηκε τὰς ῥάβδους, ἃς ἐλέπισεν ἐν τοῖς ληνοῖς τῶν ποτιστηρίων τοῦ ὕδατος, ἵνα ὡς ἂν ἔλθωσι τὰ πρόβατα πιεῖν, ἐνώπιον τῶν ῥάβδων ἐλθόντων αὐτῶν εἰς τὸ πιεῖν, ἐγκισσήσωσι τὰ πρόβατα εἰς τὰς ῥάβδους. καὶ ἐνεκίσσων τὰ πρόβατα εἰς τὰς ῥάβδους. καὶ ἔτικτον τὰ πρόβατα διάλευκα καὶ ποικίλα καὶ σποδοειδῆ ῥαντά. ταῦτα ποιεῖ ὁ δίκαιος, οὐκ οἴκοθεν ὁρμώμενος, ἀλλὰ τῆς B ἄνωθεν χάριτος ἐνηχούσης αὐτοῦ τῇ διανοίᾳ. οὐδὲ γὰρ ἦν κατὰ φύσεως ἀκολουθίαν τὸ γινόμενον, ἀλλὰ πολὺ τὸ παράδοξον καὶ ὑπερβαῖνον τὴν φυσικὴν ἀκολουθίαν ἦν. καὶ τοὺς ἀμνοὺς διέστειλε, καὶ ἔστησεν ἐναντίον τῶν προβάτων κριὸν διάλευκον, καὶ πᾶν ποικίλον ἐν τοῖς ἀμνοῖς, καὶ διεχώρισεν ἑαυτῷ ποίμνιον καθ' ἑαυτὸν, καὶ οὐκ ἔμιξεν αὐτὰ εἰς τὰ πρόβατα Λάβαν. ἐπειδὴ λοιπὸν τοιαῦτα ἦν τὰ τικτόμενα, ἅπαντα ὅσα προσέθηκε, διεχώρισεν αὐτὰ, φησι, καὶ ἐποίησεν ἑαυτῷ ποίμνιον κατὰ μόνας. ἐγένετο δὲ ἐν τῷ καιρῷ, ἐν ᾧ ἐνεκίσσων τὰ πρόβατα ἐν C γαστρὶ λαμβάνοντα, ἔθηκεν Ἰακὼβ τὰς ῥάβδους ἐναντίον τῶν προβάτων, τοῦ ἐγκισσῆσαι αὐτὰ κατὰ τὰς ῥάβδους. ἡνίκα δ' ἂν ἔτικτε τὰ πρόβατα, οὐκ ἐτίθη. ἐγένετο δὲ τὰ ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ· καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα σφοδρῶς. τί βούλεται ὁ διπλασιασμός; τὴν πολλὴν περιουσίαν ἐστὶν ἐμφαίνων, καὶ ὅτι οὐχ ἁπλῶς σφόδρα ἐπλούτησεν, ἀλλὰ πολὺ σφόδρα. ἐγένετο γὰρ αὐτῷ, φησι, κτήνη πολλὰ καὶ βόες καὶ παῖδες καὶ παιδίσκαι. ἀλλ' ὅρα μοι πάλιν τὸν φθόνον τὸν ἐντεῦθεν τικτόμενον τῷ δικαίῳ. ἤκουσε γὰρ τὰ ῥήματα D τῶν υἱῶν Λάβαν λεγόντων, εἴληφεν Ἰακὼβ πάντα τὰ τοῦ πατρὸς ἡμῶν, καὶ ἐκ τῶν τοῦ πατρὸς ἡμῶν πεποίηκε πᾶσαν τὴν δόξαν ταύτην. ὅρα πῶς ἡ βασκανία εἰς ἀγνωμοσύνην αὐτοὺς ἐνήγαγε, καὶ οὐ τοὺς αὐτοὺς μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν Λάβαν. εἶδε γὰρ, φησιν, Ἰακὼβ τὸ πρόσωπον Λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν, ὡς χθὲς καὶ τρίτην ἡμέραν. τὰ γὰρ ῥήματα τῶν παίδων διεσάλευσεν αὐτοῦ τὴν διάνοιαν, καὶ ἐπιλαθέσθαι πεποίηκεν ὧν πρώην διαλεγόμενος τῷ Ἰακὼβ ἐφθέγξατο, εἰπὼν, εὐλόγησέ με ὁ θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ. καὶ ὁ εὐχαριστήσας τῷ δεσπότῃ, ὅτι διὰ τὴν τοῦ δικαίου παρουσίαν αὐξηθῆναι αὐτοῦ τὴν περιουσίαν πεποίηκε,

νῦν παρατραπεὶς τὴν διάνοιαν ὑπὸ τῶν παίδων, καὶ εἰς βασκανίαν ἐξαφθεὶς ἴσως. ἐπειδὴ ἑώρα ἐν πολλῇ περιουσίᾳ τὸν δίκαιον τυγχάνοντα, οὐχ ὁμοίως αὐτῷ προσφέρεσθαι ἐβούλετο. εἶδε, γάρ, φησιν, Ἰακὼβ τὸ πρόσωπον Λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν, ὡς χθὲς καὶ τρίτην ἡμέραν. εἶδες τοῦ μὲν δικαίου τὴν πολλὴν ἐπιείκειαν, ἐκείνων δὲ τὴν ἀγνωμοσύνην· καὶ ὅπως οὐ φέροντες κατέχειν τὴν βασκανίαν, καὶ τοῦ πατρὸς τὴν γνώμην διεσάλευσαν; ὅρα λοιπὸν τοῦ θεοῦ τὴν ἄφατον κηδεμονίαν, καὶ ὅσῃ συγκαταβάσει κέχρηται, ἐπειδὰν ἤδη τὰ παρ' ἑαυτῶν εἰσφέροντας ἡμᾶς. ὁρῶν γὰρ τὸν δίκαιον ὑπ' αὐτῶν βασκαινόμενον, φησι, πρὸς τὸν Ἰακὼβ, ἀποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου, καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ. ἀρκέσθητι, φησι, τῇ ἐπὶ τῆς ξένης διαγωγῇ. ἅπερ ὑπεσχόμην σοι πρῴην λέγων, ἀποστρέψω σε εἰς τὴν γῆν σου, ταῦτα νῦν εἰς ἔργον ἀγαγεῖν βούλομαι. ἐπάνιθι τοίνυν μηδὲν δεδοικώς. ἐγὼ γὰρ ἔσομαι μετὰ σοῦ. ἵνα γὰρ μὴ ὀκνηρότερος γένηται ὁ δίκαιος περὶ τὴν ἀποδημίαν, ἀλλὰ μετὰ τοῦ θαρρεῖν ἅψηται τῆς ἐπανόδου, διὰ τοῦτό φησιν, ἐγὼ ἔσομαι μετὰ σοῦ· ὁ μέχρι τοῦ παρόντος τὰ κατὰ σὲ οἰκονομήσας, καὶ αὐξηθῆναί σου τὸ σπέρμα ποιήσας, ἐγὼ καὶ εἰς τὸ ἑξῆς ἔσομαι μετὰ σοῦ. ταῦτα ἀκούσας ὁ δίκαιος παρὰ τοῦ θεοῦ οὐκ ἠμέλησεν, ἀλλ' ἤδη πρὸς τοῦτο παρεσκευάζετο. ἀποστείλας γάρ, φησιν, ἐκάλεσε Ῥαχὴλ καὶ Λείαν εἰς τὸ πεδίον, οὗ τὰ ποίμνια ἐποίμαινεν, καὶ εἶπεν αὐταῖς. προθῆναι βούλεται ταῖς γυναιξὶ τὴν περὶ τῆς ἀποδημίας διάσκεψιν, καὶ γνωρίσαι τό τε τοῦ θεοῦ πρόσταγμα, τήν τε τοῦ πατρὸς περὶ αὐτὸν βασκανίαν. εἶπε γάρ, φησιν, αὐταῖς· ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ὅτι οὐκ ἔστι πρὸς μέ, ὡς χθὲς καὶ τρίτην ἡμέραν. ὁ δὲ θεὸς τοῦ πατρός μου ἦν μετ' ἐμοῦ. αὐταὶ δὲ οἴδατε ὅτι ἐν πάσῃ τῇ ἰσχύϊ μου δεδούλευκα τῷ πατρὶ ὑμῶν. ὁ δὲ πατὴρ ὑμῶν παρεκρούσατό με, καὶ ἤλλαξε τὸν μισθόν μου τῶν δέκα ἀμνάδων. καὶ οὐκ ἔδωκεν αὐτῷ ὁ θεὸς κακοποιῆσαί με. ἐὰν γὰρ οὕτως εἴπῃ, τὰ ποικίλα ἔσται σοι μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα ποικίλα. ἐὰν δὲ εἴπῃ, τὰ λευκὰ ἔσται σοι μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα λευκά. καὶ ἀφείλετο ὁ θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν, καὶ ἔδωκέ μοι αὐτά. ὅρα πῶς ἀμφότερα ταῦτα διδάσκει, καὶ τοῦ πατρὸς τὴν ἀγνωμοσύνην τὴν περὶ αὐτὸν, καὶ τὴν οἰκείαν εὔνοιαν, ἣν περὶ τὴν δουλείαν ἐπεδείξατο. οἴδατε γάρ, φησιν, ὅτι ἐν πάσῃ τῇ ἰσχύϊ μου δεδούλευκα τῷ πατρὶ ὑμῶν.

A nunc ſubuerſa mente à pueris & inuidia flagrante, fortè quia videbat iuſtum valde abundare, non talem ſe illi exhibebat, qualem antea. Vidit enim, inquit, Iacob faciem Laban, & ecce non erat erga ſe ſicut heri & nudiuſtertius. Vidiſti iuſti magnam manſuetudinem, & illorum ingratitudinem? & quomodo cùm inuidiam ferre non poſſent, patris mentem perturbauerunt? Vide obſero nunc & Dei ineffabilem miſericordiam, & quanta attemperatione vſus fuerit, cùm vidiſſet eos quæ ſua erant, facere. Videns e-

B nim iuſtum ab illis odio haberi, dicit ad Iacob. [3] *Reuertere in terram patrum tuorum, & ad generationem tuam, & ero tecum.* Satis diu verſatus es, inquit, in terra aliena. Nam quæ pridē tibi promiſi, dicens: Reducam te in terram tuam, ea nunc opere implere volo: reuertere igitur nihil timens, ego enim ero tecum. Vt igitur iuſtus ſegnior non fiat in proficiſcendo, ſed magna fiducia iter arripiat: ideo dicit, Ego ero tecum, qui hucuſque res tuas gubernaui, &

C augeri feci ſemen tuum, ego & in poſterum ero tecum. Hæc vt audiuit iuſtus à Deo, non fuit negligens, ſed ad iter ſe accinxit. *Miſit enim*, inquit, *& vocauit Lian, & Rachel in campum vbi erant greges.* Proponere vult mulieribus profectionis negocium, & ſignificare eis mandatum Dei, & patris erga ſe odium. *Dixit enim*, inquit, *eis:* [5] *Video ego faciem patris veſtri, quòd non ſit erga me ſicut heri & nudiuſtertius: Deus autem patris mei fuit mecum.* [6] *Ipſæ autem ſcitis, quòd ſeruiui patri veſtro pro omni virili mea:* [7] *pater*

D *autem veſter decepit me, & mutauit mercedem meam decem agnis, & non dedit ei Deus vt me affligeret.* [8] *Et cùm ſic diceret: Varia erunt merces tua: & pariebant omnes oues varia. Cùm autē diceret, Candida erunt merces tua: & periebant omnes oues candida: & tulit Daus omnia pecora patris veſtri, & dedit mihi ea.* Vide quomodo vtrumque docet, & patris ingratitudinem erga ſe, & ſuum ſtudium quod in ſeruiture declarauit. Vidiſtis enim, inquit, quòd pro virili mea ſeruiui patri veſtro.

Agnis ſic Septuaginta, alij ex Hebræo, decē vicibus vel decies legunt: quod rectius videtur.

Et declarauit quantam ſui curam Deus habuerit, monſtrans quòd ſuperno auxilio omnia fuerit operatus, & facultates Labã in ſe transtulerit. Tulit enim Deus omnia pecora patris veſtri, inquit, & dedit mihi ea. Quando autẽ concipiebant oues, & vidi oculis meis in ſomno, & ecce hirci & arietes aſcendebant ſuper oues & capras, ſubalbicantes & varij, & cinericio colore ſparſi. [11] *Et dixit mihi angelus Dei in ſomno: Iacob. Ego autem dicebam: Quid eſt? Et dixit:* [12] *Aſpice oculis tuis, & vide hircos & arietes aſcendentes ſuper capras & oues, ſubalbidos & varios, & cinericio colore ſparſos. vidi enim quæcunque Laban tibi facit.* Vides quòd omne quod tunc fiebat, ſuperna cõtingebat operatione, quæ iuſti labores remunerabatur? Nam quoniam ille ingratus erga eum erat, benignus Dominus iuſtum vbertim remunerat. Vidi enim quæcunque Laban tibi facit. Hic diſcimus quòd quando iniuria nobis fit, nóſque manſueti & mites ac tolerantes fuerimus, maiori & largiori auxilio diuino fruimur. Ne igitur oblectemur his qui nos premunt, & calumniari volunt: ſed feramus generosè, ſcientes quòd nos omnium dominus non deſpiciet, dummodo nos propriam gratitudinem & beneuolentiam demonſtremus. Mihi enim, inquit, vindictam, ego retribuam. Propter hoc & Iacob dicebat: Non dedit ei Deus, vt affligeret me. Nam quia ipſe priuare me laborũ mercede voluit, dominus tam vberem in me declarauit miſericordiam & prouidentiam, vt omnis eius ſubſtantia in me

Deut. 23 / Ezech. 9 / Rom. 12

tranſlata fuerit. Sciens enim quòd ego omni ſtudio ſeruierim, ille autem non reſpõderit mihi officio ſuo, tantam noſtri habuit curã. Et quòd non hæc abſq; cauſa & vanè dicam, neq; temerè accuſem, etiam Deum habemus teſtem eorum quæ pater veſter egit erga me. *Vidi enim*, inquit, *quecunque tibi Laban fecit:* quòd nõ ſolùm mercedem aufert, ſed & quòd nõ vt antea erga te nũc affectus ſit, *ſed alienauerit animum.* [13] *Ego ſum Deus qui apparui tibi in loco vbi inunxiſti mihi columnam.* In memoriam ei referre vult, quę ipſi tunc pollicitus fuerit, dicẽs:

A καὶ τὴν παρὰ τοῦ θεοῦ περὶ αὐτὸν ἐναργῆ κηδεμονίαν κατάδηλον ποιεῖ, δεικνὺς ὅτι ἡ ἄνωθεν συμμαχία ἦν ἡ τὸ πᾶν ἐργαζομένη, καὶ τὴν περιουσίαν τοῦ Λάβαν εἰς αὐτὸν μεθιστῶσα. ἀφείλετο γάρ, φησιν, ὁ θεὸς τὰ κτήνη τοῦ πατρὸς ὑμῶν, καὶ ἔδωκέ μοι αὐτά. ἐγένετο δὲ ἡνίκα ἐνεκίσσων τὰ πρόβατα, καὶ εἶδον τοῖς ὀφθαλμοῖς μου ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἦσαν ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας, διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί. καὶ εἶπέ μοι ὁ ἄγγελος καθ' ὕπνον, Ιακώβ. ἐγὼ δὲ εἶπον, τί ἐστι; καὶ εἶπεν, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου; καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀνα-
B βαίνοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διαλεύκους, ποικίλους καὶ σποδοειδεῖς ῥαντούς. ἑώρακα γὰρ ὅσα σοι Λάβαν ποιεῖ. ὁρᾷς ὅτι ἡ ἄνωθεν ἐνέργεια ἦν ἡ τὸ πᾶν ἐργαζομένη, καὶ τὸν δίκαιον τῶν καμάτων ἀμειβομένη; ἐπειδὴ γὰρ ἐκεῖνος ἀγνώμων περὶ αὐτὸν ἐγένετο, ὁ φιλότιμος δεσπότης μετὰ δαψιλείας ἀμείβεται τὸν δίκαιον. ἑώρακα γάρ, φησιν, ὅσα σοι Λάβαν ποιεῖ. ἐντεῦθεν μανθάνομεν, ὅτι ἐπειδὰν ἀδικούμενοι παρ' ὑπηνοσοῦν ἐπιεικῶς καὶ πράως ἐνέγκωμεν, μείζονος καὶ δαψιλεστέρας ἀπολαύομεν τῆς ἄνωθεν συμμαχίας. μὴ τοίνυν ἀντιτείνω-
C μεν πρὸς τοὺς ἐπηρεάζειν βουλομένους, ἀλλὰ φέρωμεν γενναίως, εἰδότες ὡς ὁ τῶν ἁπάντων δεσπότης οὐ περιόψεται ἡμᾶς, μόνον ἐὰν ἡμεῖς τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδειξώμεθα. ἐμοὶ γάρ, φησιν, ἐκδίκησις· ἐγὼ ἀνταποδώσω, λέγει κύριος. διὰ τοῦτο καὶ ὁ Ιακὼβ ἔλεγεν, οὐκ ἔδωκεν αὐτῷ ὁ θεὸς κακοποιῆσαί με. ἐπειδὴ γὰρ αὐτὸς ἀποστερῆσαι, φησί, με ἐβουλήθη τῶν ὑπὲρ τῶν καμάτων μισθῶν, ὁ δεσπότης μετὰ τοσαύτης περιουσίας τὴν εἰς ἡμᾶς κηδεμονίαν ἐπεδείξατο, ὡς πᾶσαν αὐτοῦ τὴν οὐσίαν μεταστῆσαι εἰς ἡμᾶς, καὶ εἰδὼς ὡς ἐγὼ μὲν μετ' εὐ-
D νοίας τὴν δουλείαν ἐποιησάμην, ἐκεῖνος δὲ οὐ προσηκόντως μοι προσηνέχθη, τοσαύτην ἐποιήσατο ἡμῶν τὴν πρόνοιαν. καὶ ὅτι οὐχ ἁπλῶς ταῦτα λέγω, οὐδὲ εἰκῆ καὶ μάτην κατηγορεῖν αὐτοῦ βουλόμενος, καὶ τὸν θεὸν ἔχω μάρτυρα τοῖς παρὰ τοῦ πατρὸς ὑμῶν εἰς ἐμὲ γινομένοις. ἑώρακα γάρ, φησιν, ὅσα σοι Λάβαν ποιεῖ, ὅτι οὐ τοῦ μισθοῦ σε μόνον ἀπεστέρησεν, ἀλλ' ὅτι καὶ οὐχ ὁμοίως νῦν πρὸς σὲ διάκειται, ὡς καὶ πρότερον, ἀλλὰ διέφθαρται τὴν γνώμην. ἐγώ εἰμι ὁ θεός σου, ὁ ὀφθείς σοι ἐν τόπῳ θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην. Εἰς ὑπόμνησιν αὐτὸν ἀγαγεῖν βούλεται, ὧν αὐτῷ τότε ὑπέσχετο, εἰπών,

εἰς πλῆθός σε αὐξηθῆναι ποιήσω, καὶ ὅτι διαφυλάξω σε εἰς τὴν γῆν σου. ἐγὼ οὖν ὁ τότε ὀφθείς σοι καὶ τὰς ὑποσχέσεις πρὸς σὲ ποιησάμενος, ἐγὼ καὶ νῦν, ἐπειδὴ καιρὸς ἥκει, τὰ τότε παρ' ἐμοῦ σοι ἐπαγγελθέντα εἰς ἔργον ἄγω, καὶ ἐπανελθεῖν σε κελεύω ἄνευ ἀγωνίας. μετὰ σοῦ γὰρ ἔσομαι. ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τῷ τόπῳ, οὗ ἤλειψάς μοι στήλην, καὶ ηὔξω μοι εὐχήν. ὑπομιμνήσκει αὐτὸν τῆς εὐχῆς καὶ τῆς ἐπαγγελίας, ἧς ἐποιήσατο. τίς δὲ ἦν ἡ εὐχή; ὅτι ὧν ἄν μοι δῷς, ἀποδεκατώσω αὐτά σοι. ἐπειδὴ γὰρ τότε μηδὲν ὅλως ἐπιφερόμενος, ἀλλὰ καθάπερ φυγὰς τὴν ὁδοιπορίαν ποιούμενος ταῦτα ηὔξατο, διὰ τοῦτό φησιν, ἡνίκα σοι ὤφθην, ηὔξω εὐχὴν, λέγων, ὧν ἄν μοι δῷς, δεκάτην ἀποδεκατώσω σοι· διὰ τῆς εὐχῆς καὶ τῆς ἐπαγγελίας τὴν δύναμιν τὴν ἐμὴν προμηνύων, καὶ τοῖς τῆς πίστεως ὀφθαλμοῖς προορῶν τὴν μέλλουσαν εὐπορίαν ἔσεσθαί σοι. νῦν οὖν ὅτε εἰς ἔργον τὰ παρ' ἐμοῦ λεχθέντα δεῖ ἐλθεῖν, καὶ καιρὸς ἥκει καλῶν τὴν εὐχὴν τὴν σὴν πληρωθῆναι, ἐπάνιθι, νῦν οὖν, φησιν, ἀνάστηθι, καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης, καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ. ἐγώ σοι πανταχοῦ συνέσομαι, καὶ ἐγώ σοι τὴν ὁδοιπορίαν εὐμαρῆ καταστήσω, καὶ οὐδεμίαν παρ' οὐδενὸς ὑποστήσῃ βλάβην, τῆς ἐμῆς δεξιᾶς ἀντὶ σκέπης πανταχοῦ γινομένης σοι. ταῦτα ἀκούσασαι αἱ περὶ τὴν Ῥαχὴλ εἶπον αὐτῷ. μή ἐστιν ἡμῖν μερὶς, ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν; οὐχ ὡς ἀλλότριαι λελογίσμεθα αὐτῷ; πέπρακε γὰρ ἡμᾶς, καὶ κατέφαγε καταβρώσει τὸ ἀργύριον ἡμῶν, καὶ πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν, ἣν ἀφείλετο ὁ θεὸς τοῦ πατρὸς ἡμῶν, σοὶ ἔδωκε. νῦν οὖν ὅσα εἴρηκέ σοι ὁ θεός σου, ποίει. ὅρα καὶ ταύτας ἑπομένας τῇ τοῦ θεοῦ γνώμῃ, καὶ λογισμὸν ἀναντίῤῥητον εἰσαγούσας. μὴ γάρ, φησιν, ἔτι τι κοινὸν ἡμῖν πρὸς τὸν πατέρα ἡμῶν; ἅπαξ γὰρ ἀπέδοτο ἡμᾶς. τὸν μέντοι πλοῦτον καὶ τὴν δόξαν, ἣν ἀφείλετο ὁ θεὸς τοῦ πατρὸς ἡμῶν, καὶ ἔδωκέ σοι, ἡμεῖς ἕξομεν, καὶ τὰ τέκνα ἡμῶν. μὴ μέλλε οὖν, μηδὲ διαναβάλλου· ἀλλὰ ποίει τὰ παρὰ τοῦ θεοῦ σοι ἐπιταχθέντα. νῦν οὖν ὅσα εἴρηκέ σοι ὁ θεός σου, ποίει. ταῦτα ἀκούσας ὁ Ἰακὼβ ἀναστὰς ἔλαβε τὰς γυναῖκας αὐτοῦ καὶ τὰ παιδία, καὶ ἀνεβίβασεν αὐτὰς ἐπὶ τὰς καμήλους, καὶ ἀπήγαγε πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ τὴν ἀποσκευὴν, ἣν περιεποιήσατο ἐν τῇ Μεσοποταμίᾳ,

A In multitudinem te creſcere faciam, & cuſtodiam te, ac reducam te in terram tuam. Ego igitur, inquit, qui tunc apparui tibi, & promiſſiones tibi feci: ego etiam nunc, quando tempus venit, quo ea quæ tunc promiſi opere complenda ſunt, & regredi te iubeo abſque omnis mentis angore: tecum enim ero. Ego ſum Deus, qui apparui tibi in loco in quo inunxiſti mihi columnam, & vouiſti mihi votum. Recordari eum facit voti,& promiſſionis quam receperat. Quodnam autem erat votum? De his quæ mihi dederis, de-
B cimas tibi offeram. Quoniam tunc nihil tecum afferebas, quaſi profugus iter faciens: cùm autem tibi apparerem, vouiſti votum, dicens: De omnibus quæ mihi dederis, decimas dabo tibi, voto & promiſſione potentiam meam præſignans, & fidei oculis præuidens futuram abundantiam: nunc quia euenerunt & impleta ſunt quæ à me prædicta, iuſtum fuerit, vt & votum tuum impleas. *Nunc ergo*, inquit, *ſurge*, *& egredere de terra iſta, & vade in terram*
C *natiuitatis tuæ, & ero tecum.* Ego te vbique comitabor, ego tibi facilem oſtendam viam, & nullum à quopiam damnum feres. Dextera enim mea vbiq; te proteget. [14] *Hæc audientes Rachel & Lia, dixerunt ei: Nunquid eſt nobis pars vel hæreditas in domo patris noſtri?* [15] *Nónne vt alienæ reputatæ ſumus apud eum? vendidit enim nos, & deuorando comedit precium noſtrum. Et quas omnes Deus abſtulit diuitias & gloriam à patre noſtro, noſtræ erunt & filiorum noſtrorum: nunc igitur quæcunque dixerit tibi Deus, fac.* Vides & has ſequentes Dei arbitrium, & afferentes ra-
D tionem cui contradici non potuit. Non eſt aliquid commune nobis, dicit, cum patre noſtro: ſemel enim nos vendidit. Diuitias & gloriam quam abſtulit Deus à patre noſtro, & dedit tibi, nos habebimus. Ne ceſſa igitur, neque differ, ſed fac quę tibi à Deo tuo ſunt imperata. Nunc igitur quæcunque dixit tibi Deus tuus, fac. [17] *Hæc vt audiuit Iacob, ſurrexit & accepit vxores ſuas, & filios, & aſcendere fecit ſuper camelos, & abduxit omnia quæ habebat, & ſupellectilem ſuam, quam acquiſierat in Meſopotamia,*

& omnia ſua, vt abiret ad Iſaac patrem ſuum. Conſidera, obſecro, fortitudinem animæ iuſti, & quomodo repulſo omni mentis angore ac metu, mandato dominico obtemperauit. Quoniam enim vidit malè ſanam mentem Laban, non vltrà, ſicut prius, interrogare eum voluit: ſed quod imperatum erat à Domino, implebat. Et acceptis mulieribus & pueris, iter arripuit. [19] *Laban autem*, inquit, *abierat, ad tollendum oues ſuas. Furata autem eſt Rachel idola patris ſui.* Neque hoc abſque cauſa nobis propoſitum eſt, ſed vt ſciamus quomodo adhuc paternam habentes conſuetudinem, idolorum cultui addictæ erant. Animaduerte enim, quantum in hoc ſtudium impenderit, cùm nihil aliud à patre auferre voluerit, quàm idola eius, idque faciebat ignorante viro: neque ille hoc permiſiſſet fieri. [20] *Occultauit autẽ*, inquit, *Iacob à Laban Syro, ne annunciaretur ei quod fugeret:* [21] *& abſceſſit ipſe & omnia ipſius, & tranſito fluuio contendit ad montẽ Galaad.* Vide, obſecro, etiam hîc magnã Dei prouidentiam, quomodo iuſtus tam procul aufugit, & non conceditur Laban vt illius receſſum ſciat. [22] *Tribus enim diebus*, inquit, *præteritis, Labã innotuit.* [23] *Et aſſumptis omnib. fratribus ſuis, perſecutus eſt eum via dierum ſeptem, & conſecutus eſt eum in monte Galaad.* Obſecro hîc quoque attendas Dei prouidentiam. Nam qui dixit, Reuertere in terram tuam, & ero tecum: ille etiam nunc ſuam declarat prouidentiam. Quia enim vidit Laban cum multa indignatione perſequi iuſtum, & pœnam furtiui receſſus (vt ita dicam) ſumpturum, apparuit Laban nocte in ſomno. [24] *Venit enim*, inquit, *Deus ad Laban Syrum in ſomno nocte, & dixit ei.* Vide Dei attemperationem, quomodo ob ſuam in iuſtum prouidentiam cum Laban colloquitur: vt territa eius mente, impetum eius à Iacob coërceat. *Serua te, ne loquaris cum Iacob mala.* Magna domini benignitas: quia enim ſciebat ad pugnam contendentem, & contra iuſtum inſurgere volentem, hoc verbo mentem eius compeſcit, & dicit: Serua te, ne loquaris cum Iacob mala:

A καὶ πάντα τὰ αὐτοῦ, ἀπελθεῖν πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ. σκόπει μοι τοῦ δικαίου τῆς ψυχῆς τὴν ἀνδρείαν, καὶ ὅπως πάντα φόβον καὶ ἀγωνίαν ἀπωσάμενος ἐπείθετο τῷ τοῦ δεσπότου ἐπιτάγματι. ἐπειδὴ γὰρ εἶδε τοῦ Λάβαν οὐχ ὑγιῆ τὴν γνώμην, οὐκ ἔτι καθάπερ πρότερον πυθέσθαι αὐτὸν κατεδέξατο, ἀλλὰ τὸ προσταχθὲν παρὰ τοῦ δεσπότου ἐπλήρου, καὶ λαβὼν τὰς γυναῖκας καὶ τὰ παιδία ἥψατο τῆς ὁδοῦ. Λάβαν δὲ, φησιν, ᾤχετο κεῖραι τὰ πρόβατα αὐτοῦ· ἔκλεψε δὲ Ῥαχὴλ τὰ εἴδωλα τοῦ πατρὸς αὐτῆς. οὐχ ἁπλῶς οὐδὲ τοῦτο πρόσκειται, ἀλλ' ἵνα γνῶμεν, πῶς ἔτι τῆς πατρικῆς εἴχοντο συνηθείας,
B καὶ πολλὴν τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐπεδείκνυντο. ἐννόησον γὰρ, ὅσην αὕτη σπουδὴν ἐποιήσατο, ὡς μηδὲν ἕτερον ὑφελέσθαι τῶν τοῦ πατρὸς, ἀλλὰ τὰ εἴδωλα μόνα. καὶ τοῦτο ἐποίει καὶ τὸν ἄνδρα λανθάνουσα. οὐδὲ γὰρ ἂν ἐκεῖνος συνεχώρησε ταῦτα γενέσθαι. ἔκρυψε δὲ, φησιν, Ἰακὼβ Λάβαν τὸν Σύρον, τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ, ὅτι ἀποδιδράσκει. καὶ ἀπέδρα αὐτὸς, καὶ πάντα τὰ αὐτοῦ, καὶ διέβη τὸν ποταμὸν, καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ. θέα μοι τὴν πολλὴν τοῦ θεοῦ καὶ ἐνταῦθα πρόνοιαν, ὅπως, μέχρις ὅτε πόρρωθεν γέγονεν ὁ δίκαιος, οὐ συνεχώρησε
C τῷ Λάβαν εἰς γνῶσιν ἐλθεῖν τὴν ἀναχώρησιν τοῦ Ἰακώβ. τριῶν γὰρ ἡμερῶν, φησι, παρελθουσῶν τῷ Λάβαν ἐγνώσθη. καὶ παραλαβὼν πάντας τοὺς ἀδελφοὺς αὐτοῦ μεθ' ἑαυτοῦ ἐδίωξεν ὀπίσω αὐτοῦ ὁδὸν ἡμερῶν ζ, καὶ κατέλαβεν αὐτὸν ἐν τῷ ὄρει Γαλαάδ. σκόπει πάλιν τὴν ἄφατον τοῦ θεοῦ κηδεμονίαν. ὁ γὰρ εἰπὼν, ἀπόστρεφε εἰς τὴν γῆν σου, καὶ ἔσομαι μετὰ σοῦ, οὗτος καὶ νῦν τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν. ἐπειδὴ γὰρ εἶδε τὸν Λάβαν μετὰ πολλῆς ἀγανακτήσεως καταδιώκοντα τὸν δίκαιον, καὶ δίκην, ὡς εἰπεῖν, εἰσπράξασθαι βουλόμενον τῆς ἀναχωρήσεως,
D ἐπιφαίνεται τῷ Λάβαν καθ' ὕπνον τὴν νύκτα. ἦλθε δὲ, φησιν, ὁ θεὸς πρὸς Λάβαν τὸν Σύρον τὴν νύκτα, καὶ εἶπεν αὐτῷ. ὅρα θεοῦ συγκατάβασιν, καὶ ὅπως διὰ τὴν περὶ τὸν δίκαιον κηδεμονίαν καὶ τῷ Λάβαν διαλέγεται, ἵνα κατασείσας αὐτοῦ τὴν διάνοιαν ἀποστήσῃ τῆς κατὰ τοῦ Ἰακὼβ ὁρμῆς. φύλαξαι σεαυτὸν, μήποτε λαλήσῃς μετὰ τοῦ Ἰακὼβ πονηρά. πολλὴ τοῦ δεσπότου ἡ ἀγαθότης. ἐπειδὴ ἑώρα αὐτὸν πρὸς μάχην ἐπειγόμενον καὶ κατεξαναστῆναι τοῦ δικαίου βουλόμενον, μονονουχὶ διὰ τοῦ ῥήματος καθέλκει αὐτοῦ τὸν λογισμὸν, καί φησι, φύλαξαι σεαυτὸν, μήποτε λαλήσῃς μετὰ Ἰακὼβ πονηρόν.

μηδὲ μέχρι ῥήματος, φησὶν, ἐπιχειρήσῃς λυπῆσαι τὸν Ἰακὼβ, ἀλλὰ φύλαξαι σεαυτόν. ἐπίσχες σου τὴν κακὴν ταύτην ὁρμὴν, κατάστειλαι τὸν θυμὸν, ἀναχαίτισόν σου θυμουμένην τὴν διάνοιαν, καὶ μηδὲ μέχρι ῥήματος λυπῆσαι αὐτὸν ἀνάσχῃ. καὶ σκόπει μοι θεοῦ φιλανθρωπίαν. οὐ προσέταξε τῷ Λάβαν εἰς τὰ οἰκεῖα ὑποστρέψαι, ἀλλὰ μόνον παρεκελεύσατο μηδὲν φορτικὸν, μηδὲ ἐπαχθὲς διαλεχθῆναι τῷ δικαίῳ. τίνος ἕνεκεν καὶ διὰ τί; ἵνα μάθῃ καὶ διὰ τῶν ἔργων αὐτῶν ὁ δίκαιος καὶ διὰ τῶν πραγμάτων, ὅσης ἀξιοῦται παρὰ τοῦ θεοῦ τῆς κηδεμονίας. Εἰ γὰρ ὑπέστρεψεν ὁ Λάβαν, πόθεν ἂν τοῦτο ἔγνω ὁ Ἰακὼβ, ἢ αἱ τούτου γυναῖκες; καὶ διὰ τοῦτο συγχωρεῖ αὐτὸν ἀπελθεῖν, καὶ διὰ τῆς οἰκείας γλώττης ὁμολογῆσαι τὰ παρὰ τοῦ θεοῦ πρὸς αὐτὸν ῥηθέντα, ἵνα καὶ ὁ δίκαιος πλείονα τὴν προθυμίαν κτήσηται περὶ τὴν ἀποδημίαν, καὶ θάρσος προσλάβῃ, καὶ αἱ τούτου γυναῖκες μάθωσιν ὅσης ἀξιοῦται ὁ Ἰακὼβ παρὰ τοῦ τῶν ὅλων θεοῦ τῆς κηδεμονίας, ἀποσείσωνται τὴν πατρικὴν πλάνην καὶ ζηλώσωσι τὸν δίκαιον, καὶ θεογνωσίας ἐντεῦθεν ἀρκοῦσαν διδασκαλίαν δέξωνται. οὐδὲ γὰρ οὕτως ἦν τὰ παρὰ τοῦ Ἰακὼβ ἀξιόπιστα, ὡς τὰ παρὰ τοῦ Λάβαν λεγόμενα, τοῦ ἔτι περὶ τὰ εἴδωλα ἐπτοημένου. αἱ γὰρ παρὰ τῶν ἀπίστων μαρτυρίαι καὶ τῶν ἐχθρῶν τῆς εὐσεβείας ἀεὶ πολὺ τὸ ἀξιόπιστον ἔχουσι. καὶ τοῦτο γὰρ τῆς εὐμηχάνου τοῦ θεοῦ σοφίας, ὅταν καὶ τοὺς ἐχθροὺς τῆς ἀληθείας αὐτοὺς μάρτυρας ποιεῖ γενέσθαι τῆς ἀληθείας, καὶ διὰ τῆς οἰκείας γλώττης τὰ αὐτὰ συναγωνίζωνται. κατέλαβε δὲ Λάβαν τὸν Ἰακώβ. Ἰακὼβ δὲ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐν τῷ ὄρει· Λάβαν δὲ ἔστησε τοὺς ἀδελφοὺς αὐτοῦ ἐν τῷ ὄρει Γαλαάδ. καὶ εἶπε Λάβαν τῷ Ἰακὼβ, τί τοῦτο ἐποίησας; ὅρα πῶς τὸ παρὰ τοῦ θεοῦ πρόσταγμα τὴν πολλὴν αὐτοῦ φλεγμονὴν κατέστειλε, καὶ τὸν θυμὸν ἐχαλίνωσε. διὰ τοῦτο μετὰ πολλῆς ἡμερότητος τοὺς πρὸς αὐτὸν ποιεῖται λόγους, μονονουχὶ ἀπολογούμενος καὶ πατρικὴν φιλοστοργίαν περὶ αὐτὸν ἐπιδεικνύμενος· ὅταν γὰρ τῆς ἄνωθεν ἀπολαύωμεν προνοίας, οὐ μόνον τῶν ἀνθρώπων τῶν πονηρῶν διαφυγεῖν δυνάμεθα τὰς ἐπιβουλὰς, ἀλλὰ καὶ θηρίοις ἀνημέροις ἐὰν περιπέσωμεν, οὐδὲν ὑποστησόμεθα δεινόν. ὁ γὰρ τῶν ἁπάντων δεσπότης τῆς οἰκείας δυνάμεως τὴν περιουσίαν ἐπιδεικνύμενος, καὶ τῶν θηρίων μεταβάλλει τὴν φύσιν, καὶ εἰς προβάτων ἡμερότητα αὐτὰ μεθίστησιν, οὐχὶ τῆς θηριωδίας αὐτὰ μεταστὰς, ἀλλ' ἐν αὐτῇ τῇ φύσει καταλιμπάνων, τὰ τῶν προβάτων ἐπιδείκνυσθαι παρα-

perinde ac ſi diceret, Caue ne vel verbis offendere Iacob coneris: ſed ſerua teipſum, contine malum tuum impetum, comprime furorem, refræna iratum tuum animum, & ne vel verbo ipſum contriſtare velis. Et conſidera Dei prouidentiam. Non imperauit Laban vt ad propria reuertetur, ſed ſolùm prohibet ne quid durum vel moleſtum cum iuſto loquatur. Quare, & propter quid? vt diſcat per opera ipſa iuſtus, quantum ſui curam gerat Deus. Nam ſi reuerſus fuiſſet Labã, vnde ſciuiſſet Iacob aut eius vxores? Ideo permittit ei vt abeat, & lingua ſua confiteatur quæ Deus dixit ad ſe, quò & iuſtus maiorem alacritatem habeat proficiſcendo, fiduciámque accipiat: & vt filiæ ſuæ diſcant quanto ſtudio Deus omnium dominus Iacobum curet, reiiciántque errorem paternum, & imitentur iuſtum, notitiæ Dei ſufficientem doctrinam inde accipientes. Neque enim ſic fide digna erant quæ Iacob dicebat, vt quæ à Laban dicebantur, qui adhuc idola colebat. Semper enim infidelium & aduerſantium religioni teſtimonia, maiorem habent fidem. Et hoc eſt ex omnipotenti ſapientia Dei, vt inimici veritatis fiant ipſi teſtes veritatis, & ſua lingua prędicēt. [25] *Conſecutus eſt aut Laban Iacobum. Iacob autem fixit tabernaculum ſuum in monte: Laban verò conſtituit fratres ſuos in monte Galaad.* [26] *Dixit autem Laban ad Iacob: Cur hoc feciſti?* Vide quomodo præceptum Dei magnum illius calorem repreſſit; & furorem refrænauit: & idcirco cum magna manſuetudine colloquium habet cum eo, quaſi ſe excuſans, & paternam dilectionem erga illum declarans. Quando enim ſuperna prouidentia nobis aſſiſtit, non ſolùm malorum hominum inſidias effugere poſſumus, ſed etſi in beſtias ipſas incidamus, nihil aduerſi nobis euenit. Omnium enim dominus ſuæ virtutis abundantiam declarans, & beſtiarum mutat naturam, & in oues manſuetas transformat: non quòd beſtialem eis naturam immutet, ſed relictas in natura eas oſtendere facit ouium morẽ & naturam.

Teſtimonia infidelium.

Idque non ſolùm in feris quis videre poterit, ſed & in elementis ipſis: quando enim vult, tunc & elementa ipſa virtutis ſuæ obliuiſcuntur, & neque ignis facit quod ignis ſolet. Et hoc quoque diſcere poterit aliquis tam in tribus pueris, quàm in Daniele. Nam hunc leones ſicut oues circumdabant, & ſuperno auxilio retuſa eorum ferocitate, nihil illi incommodabant. Nam quòd ferocitatem non exercentes feræ, eam tamen retinuerint, hi qui feris truculentiores erant, reipſa experti ſunt. Hoc autem ad maiorem illorum accuſationem factũ eſt, quia ratione inſigniti, crudelitate beſtias ratione carentes vincebant. Tandémque didicerunt reipſa per eos qui in lacum coniecti fuerunt, quòd non eſſet apparitio vana, quòd leones iuſto pepercerant, quaſi reueriti eum, & non audentes eius contingere corpus. Nam in illo imitabantur ouium manſuetudinem, & naturæ obliuiſcebantur, in iſtos autem ferociam ſuam declarabant. Similiter & in fornace ignis factum eſt: nam eos qui intus erant, reuerebatur elementum, & non vrebat ignis: ſed quaſi ligata operatione ſua, ita nihil nocebat illorum corporibus, & neque capillos eorum attingere auſus fuit, quaſi mandato alicuius elementum propriam declarare virtutem prohiberetur: hos autem qui extra fornacem erant, abſumpſit. In vtroque magna Dei potentia declaratur, & quia illi intus manſerunt illæſi: & quia qui foris erant, perierunt. Sic quando ſuperno auxilio munimur, non ſolum effugimus inimicorum inſidias, ſed etſi in beſtias ipſas incidamus, nihil patimur graue. Dei enim manus potentior eſt omnibus, ipſa nos vndequaque ſatis munit, & inuictos facit: id quod & in iuſto hoc declaratum eſt. Nam qui tanto impetu comprehendere Iacob, & pœnam fugæ de eo ſumere volebat: non ſolum nihil aſperum & durum aduerſus eum loquitur, ſed ſicut pater filium compellans, ita blandis verbis conuenit: di-

Dan.14.

Leones ferocitaté retinuerunt.

A σκευάζει. καὶ οὐκ ἐπὶ τῶν θηρίων μόνον τοῦτο ἴδοι τις ἄν, ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν στοιχείων. ὅταν γὰρ αὐτὸς βούληται, καὶ τὰ στοιχεῖα αὐτὰ τῆς οἰκείας ἐνεργείας ἐπιλανθάνεται, καὶ οὐδὲ πῦρ τὰ πυρὸς ἐπιδείκνυται. καὶ τοῦτό τις καταμάθοι ἐπί τε τῶν τριῶν παίδων, ἐπί τε τοῦ Δανιήλ. ὁ μὲν ὑπὸ λεόντων περιϊστάμενος, ὡς ὑπὸ προβάτων κυκλούμενος, οὐδὲν ἔπαθεν ἀηδὲς, τῆς ἄνωθεν ῥοπῆς τὴν ἐκείνων ἀγριότητα ἀναχαιτιζούσης. ὅτι γὰρ θῆρες ὄντες ἔμενον τὰ τῆς θηριωδίας μὴ ἐπιδεικνύμενοι, δι' αὐτῶν τῶν πραγμάτων ἔγνωσαν τῶν ἀλόγων θηρίων οἱ ἀγριώτεροι. καὶ τοῦτο δὲ ἐγίνετο πρὸς μείζονα κατηγορίαν ἐκείνων, B ὅτι οἱ λόγῳ τετιμημένοι τὰ ἄλογα θηρία ὑπερηκόντισαν τῇ ὠμότητι. καὶ ἐμάνθανον διὰ τῶν πραγμάτων, ὅπως διὰ τὴν τοῦ δεσπότου πρόνοιαν, τὸν μὲν δίκαιον καὶ τὰ θηρία ᾐδέσθη, καὶ οὐκ ἐτόλμησαν ἐφάψασθαι τοῦ σώματος, αὐτοὶ δὲ τὰ τῶν θηρίων αὐτοὶ χείρους διέθηκαν. καὶ ἵνα μὴ νομίσωσι φαντασίαν τινὰ γεγενῆσθαι, διὰ τῶν μετὰ ταῦτα βληθέντων εἰς τὸν λάκκον ἐπεγίνωσκον, ὅτι ἐπὶ μὲν τοῦ δικαίου τῶν προβάτων ἐμιμοῦντο τὴν ἡμερότητα, καὶ τῆς φύσεως ἐπελανθάνοντο, ἐπὶ δὲ τῶν μετὰ ταῦτα βληθέντων τὰ τῆς θηριωδίας ἐπεδείκνυντο. οὕτω C καὶ ἐπὶ τῆς καμίνου τοῦ πυρὸς γέγονε. τοὺς μὲν ἔνδον ὄντας καὶ ἐν μέσῳ τῷ πυρὶ τυγχάνοντας ᾐδεῖτο τὸ στοιχεῖον, καὶ οὐκ ἐνήργει τὰ τοῦ πυρὸς, ἀλλὰ καθάπερ πεδηθείσης τῆς ἐνεργείας, οὕτως ἀβλαβῆ τῶν παίδων τούτων διεφύλαττε τὰ σώματα, καὶ οὐδὲ αὐτῶν τῶν τριχῶν ἐφάψασθαι ἐτόλμησε, καθάπερ ὑπὸ προστάγματός τινος τὸ στοιχεῖον τὴν οἰκείαν ἐνέργειαν ἐπιδεῖξαι κωλυόμενον· τοὺς δὲ ἔξω τῆς καμίνου διάγοντας κατηνάλωσε, δι' ἀμφοτέρων πολλὴν τῆς τοῦ θεοῦ δυνάμεως τὴν περιουσίαν ἐμφαῖνον, καὶ δι' ὧν τοὺς ἔσω τυγχάνοντας ἀβλαβεῖς διεφύλαττε, D καὶ δι' ὧν τούτους διέφθειρεν. οὕτως ὅταν τῆς ἄνωθεν ἀπολαύωμεν ῥοπῆς, οὐ μόνον τῶν πρὸς ἡμᾶς πολεμίως ἐχόντων διαφεύγομεν τὰς ἐπιβουλὰς, ἀλλὰ κἂν αὐτοῖς τοῖς θηρίοις περιπέσωμεν, οὐδὲν πεισόμεθα δεινόν. ἡ γὰρ τοῦ θεοῦ χεὶρ ἡ πάντων δυνατωτέρα, αὕτη πολλὴν ἡμῖν πανταχόθεν περιτίθησι τὴν ἀσφάλειαν, καὶ ἀχειρώτους ἐργάζεται. ὅπερ καὶ ἐπὶ τοῦ δικαίου τούτου γέγονεν. ὁ γὰρ μετὰ τοσαύτης ὁρμῆς καταλαβεῖν βουλόμενος τὸν Ἰακὼβ, καὶ δίκην ἀπαιτῆσαι τῆς πάντων ἀναχωρήσεως, οὐ μόνον οὐδὲν πρὸς αὐτὸν τραχὺ, οὐδὲ ἐπαχθὲς φθέγγεται, ἀλλὰ καθάπερ πατὴρ διαλεγόμενος πρὸς παῖδα, οὕτω μετὰ πολλῆς τῆς ἐπιεικείας πρὸς αὐτὸν ποιεῖται τὰ

ῥήματα, καί φησι, τί ἐποίησας τοῦτο; τί κρυφῇ ἀπέδρας; ὅρα πόση ἡ μεταβολή. ὅρα πῶς ὁ καθάπερ θηρίον μεμηνὼς προβάτων μιμεῖται ἡμερότητα. ἵνα τί κρυφῇ ἀπέδρας, καὶ ἐκλοποφόρησάς με, καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας μαχαίρᾳ; τίνος ἕνεκεν, φησι, τοῦτο πεποίηκας; τί σοι ἔδοξε; διατί οὕτω λανθανόντως ἐποιήσω τὴν ἀποδημίαν; εἰ γὰρ ἀνήγγειλάς μοι, μετὰ πολλῆς τῆς πομπῆς καὶ τῆς εὐφροσύνης ἐξαπέστειλα ἄν σε. καὶ γὰρ εἰ τοῦτο ἔγνων, φησὶ, μετὰ μουσικῶν καὶ τυμπάνων καὶ κιθάρας προέπεμψα ἄν σε. οὐκ ἠξιώθην φιλῆσαι τὰς θυγατέρας μου. νῦν δὲ ἀφρόνως ἔπραξας. ὁρᾷς πῶς λοιπὸν ἑαυτὸν ἐλέγχει, καὶ διὰ τῆς οἰκείας γλώττης ὁμολογεῖ, ὅτι αὐτὸς μὲν κακῶς παρεσκευάζετο διαθεῖναι τὸν δίκαιον, ἡ δὲ τοῦ θεοῦ πρόνοια τῆς ὁρμῆς αὐτὸν ἐνέκοψεν. ἰσχύει, φησὶν, ἡ χείρ μου κακοποιῆσαί σε· ὁ δὲ θεὸς τοῦ πατρός σου ἐχθὲς εἶπε πρός με, λέγων, φύλαξαι σεαυτὸν, μήποτε λαλήσῃς πρὸς Ιακὼβ πονηρά. ἐννόει μοι πόσης τῷ δικαίῳ παρακλήσεως γέγονε ταυτὶ τὰ ῥήματα. καὶ σκόπει πῶς ἐστι καὶ τὰ βουλευθέντα αὐτῷ ἐξέφηνε, καὶ ἐπὶ ποίοις τὴν κατάληψιν ποιήσασθαι ἐβούλετο, καὶ ὅτι ὁ τοῦ θεοῦ φόβος αὐτὸν ἐπέσχεν εἰς ἔργον ἀγαγεῖν τὰ κακῶς αὐτῷ βουλευθέντα. ὁ δὲ θεὸς τοῦ πατρός σου, φησιν. ὅρα πῶς καὶ αὐτὸς ὁ Λάβαν οὐ μικρὰν ἐντεῦθεν ὠφέλειαν ἐκαρποῦτο, μεγίστην τῆς τοῦ θεοῦ δυνάμεως ἀπόδειξιν λαμβάνων ἐκ τῶν πρὸς αὐτὸν λεχθέντων. ἀλλ' ἐπειδὴ καὶ σύ, φησι, τοῦτο ἐβουλεύσω, καὶ ὁ θεός ἐστιν ὁ τοσαύτην σου ποιούμενος κηδεμονίαν, νῦν οὖν πεπόρευσαι. ἐπιθυμίᾳ γὰρ ἐπεθύμησας ἀπελθεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου. ἵνα τί ἔκλεψας τοὺς θεούς μου; ἔστω, φησί· τοῦτό σοι δεδογμένον ἦν, καὶ ἔκρινας ἐπανελθεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου. ἵνα τί τοὺς θεούς μου ἔκλεψας; ὢ ἀνοίας ὑπερβολή· καὶ τοιοῦτοί εἰσιν οἱ θεοί σου, ὡς καὶ κλαπῆναι; οὐκ αἰσχύνῃ λέγων, ἵνα τί ἔκλεψας τοὺς θεούς μου; ὅρα πόση ἦν ἡ ὑπερβολὴ τῆς πλάνης, ὡς τοὺς λόγῳ τετιμημένους ξύλα καὶ λίθους θεραπεύειν. καὶ οἱ μὲν θεοὶ οἱ σοὶ, ὦ Λάβαν, οὐδὲ κλέπτεσθαι μέλλοντες ἑαυτοῖς ἀμῦναι ἴσχυσαν. πῶς γὰρ οἱ ἀπὸ λίθου ὄντες συγκείμενοι; ὁ δὲ τοῦ δικαίου θεὸς καὶ ἀγνοοῦντος τοῦ δικαίου τὴν σὴν ὁρμὴν ἐπέσχε. καὶ οὐκ ἐννοεῖς τὸ μέγεθος τῆς πλάνης, ἀλλὰ καὶ τῷ δικαίῳ κλοπὴν ἐγκαλεῖς; τίνος γὰρ ἕνεκεν ὁ δίκαιος ἐκείνους ὑφελέσθαι ἂν κατεδέξατο,

A cit enim, Cur hoc? Quare clandeſtinò abſceſſiſti? Vide quanta mutatio, vide quomodo is qui vt beſtia inſaniebat, ouium imitatur manſuetudinem. [27] *Quare clanculò diſceſsiſti,* [28] *& mea furtim abſtuliſti, & abduxiſti filias meas quaſi captiuas gladio?* Quare, inquit, hoc feciſti? quid tibi viſum fuit? quid præ te tuliſti? quare ſic occultè paraſti abitionem? Nam ſi annunciaſſes mihi, cum magno honore & lætitia fuiſſem te proſecutus. Enimuerò ſi hoc ſciuiſſem cum muſicis, & tympanis & cithara proſecut⁹ fuiſſem te: nõ ſum B dignus habitus oſculari filias meas, nunc autem inſipienter egiſti. Vides quomodo nũc ſemetipſum arguit, & per linguã ſuã fatetur, quia ipſe quidẽ iuſtũ malè afficere paratus fuerit, Dei autẽ prouidẽtia à molimine ſuo ipsũ impediuerit. [29] *Valet,* inquit, *man⁹ mea te affligere, Deus autẽ patris tui heri mihi dixit: Serua teipſum, ne fortè loquaris cum Iacob mala.* Cogita hîc quanta cõſolatione iuſti facta fuerint verba hęc, & conſidera quomodo hîc effatur quę aduerſus iuſtũ decreuerit, & C qualiter eum cõprehẽdere voluerit, & ꝙ timor Dei à malis cõſiliis impediuerit. Deus patris tui, inquit. Vide quomodo ipſe Labã no parũ vtilitatis hinc perceperit, maximam virtutis Dei accipiens demonſtrationem, ex his quæ ſibi dicta fuerunt. Verùm quia & tu, inquit, hoc decreuiſti, & Deus eſt qui tantam tui curam gerit [30] *Nunc igitur vade. Magno enim deſiderio deſideraſti abire in domum patris tui. Quare furatus es deos meos?* Eſto, inquit, hoc decreueris, vt abeas in domum patris tui: quare deos meos D furatus es? O excellentem inſipientiam. Tales ſunt dij tui, vt quis eos furari queat? Non erubeſcis dicens: Quare furatus es deos meos? Vide quanta fuit erroris grauitas, dum hi qui ratione pręditi, colunt lapides & ligna. Et ſunt hi dij tui ô Laban, qui neq; cùm furaturi ſe quidam erant, iuuare ſe potuerunt? Quî enim poſſent qui è lapide ſunt confecti? Deus autem iuſti, & ignorante iuſto impetum tuum coërcuit: & non cogitas erroris magnitudinem, & iuſtum furti arguis? Quare enim iuſtus illos furari voluiſſet, quos abominabatur,

imò quos ſciebat eſſe inſenſatos lapides? Porrò hæc cùm audiſſet Iácob, primum magna manſuetudine de obiectis criminibus ſe purgat, & tunc vt inquirantur dij, iubet.[31] *Dixi enim*, inquit, *ne forte auferas filias tuas à me*, *& omnia mea*. Quia, inquit, videbam te non bene erga me animatum, anxius fui, ne forté conareris auferre filias tuas, & facultates meas, & priuare me meis, ſicut quondam feciſti. Iſta igitur cauſa timoris fecit, vt clàm te abirem. Cæterum [32] *apud quem inueneris deos tuos*, *non viuet coram fratribus noſtris*. Vides quòd ignorabat Iacob furtum à Rachele commiſſum? Vide enim quanta auſteritate ſupplicium decernit ei qui furtum admiſerat. Apud quem, inquit, inuenti fuerint, non viuet coram fratribus noſtris. Non ſolum, inquit, quia ablatum eſt, ſed & quia furtum qui fecerit, manifeſtum ſui flagicij indicium proferet. Scias ſi quid eſt tuorum apud me, & accipe. Scrutare, inquit, num quid abſtulerim, quod ad me non pertinebat. Nihil aliud in me arguere poteris, quàm ꝙ clam abierim: & hoc non ſponte feci, ſed ſuſpicatus iniuſtitiam, & timens, ne velles auferre filias tuas, & alias meas facultates, vbi reſciſceres. *Et non agnouit apud eos aliquid. Neſciebat autem Iacob quòd Rachel vxor ſua furata fuiſſet eos.* [23] *Ingreſſus autem Laban*, *ſcrutatus eſt domum Liæ*, *& non inuenit. Ingreſſus eſt autem & in domum Rachel.* [34] *Rachel verò accepit idola*, *& poſuit ea ſubter ſtramenta camelorum*, *& ſedit ſuper ea. Et dixit patri ſuo.* [25] *Ne grauiter feras domine mi: non poſſum ſurgere coram te*, *quia ſecundum conſuetudinem mulierum mihi eſt. Scrutatus autem eſt Laban in tota domo eius*, *& non inuenit.* Magna Rachelis ſolertia, per quam deludere potuit Labanem. Audiant qui adhuc erroribus ſunt addicti, & idololatriam magni faciunt. Poſuit ea ſubter ſtramenta cameli, inquit, & ſedit ſuper ea. Quid his magis ridiculum? quid his ſtultius? Ratione præditi, & tantam miſericordia Dei aſſecuti dignitatem, lapides inſenſatos putant colendos: & neque in men-

Inſcio Iacob furata eſt Rachel.

A οὓς ἐβδελύττετο, μᾶλλον δὲ οὓς ᾔδει λίθους ὄντας ἀναισθήτους; ἀλλὰ ταῦτα ἀκούσας ὁ Ἰακὼβ μετὰ πολλῆς ἐπιεικείας πρότερον μὲν ἀπολογεῖται πρὸς τὰ προλαβόντα ἐγκλήματα, καὶ τότε περὶ τῶν θεῶν προτρέπεται ποιήσασθαι τὴν ἔρευναν. εἶπα γάρ, φησι, μήποτε ἀφέλῃ τὰς θυγατέρας σου ἀπ᾽ ἐμοῦ, καὶ πάντα τὰ ἐμά. ἐπειδή, φησιν, ἑώρων σε οὐχ ὑγιῶς πρός με διακείμενον, ἐναγώνιος γέγονα, μήποτε ἐπιχειρήσῃς ἀφελέσθαι τὰς θυγατέρας σου, καὶ τὰ ὑπάρχοντά μου, καὶ ἀποστερῆσαί με τῶν ἐμῶν, καθάπερ ἤδη πεποίηκας. αὕτη τοίνυν ἡ αἰτία καὶ ὁ φόβος παρεσκεύασέ με λανθανόντως τὴν
B ἀποδημίαν ποιήσασθαι. παρ᾽ ᾧ δ᾽ ἂν εὕρῃς τοὺς θεούς σου, οὐ ζήσεται ἐναντίον τῶν ἀδελφῶν ἡμῶν. ὁρᾷς ὅτι ἠγνόει ὁ Ἰακὼβ τὴν παρὰ τῆς Ῥαχὴλ κλοπὴν γεγενημένην. ὅρα γὰρ μεθ᾽ ὅσης σφοδρότητος τὸ ἐπιτίμιον ὁρίζει τῷ τὴν κλοπὴν ἐργασαμένῳ. παρ᾽ ᾧ ἄν, φησιν, εὑρεθῶσιν, οὐ ζήσεται ἐναντίον τῶν ἀδελφῶν ἡμῶν. οὐκ ἐπειδὴ μόνον, φησίν, ὑφείλετο, ἀλλ᾽ ὅτι διὰ τῆς κλοπῆς δεῖγμα ἐναργὲς ὁ τοιοῦτος ἐκφέρει τῆς οἰκείας πλάνης. ἐπίγνωθι, εἴ τί ἐστι τῶν σῶν παρ᾽ ἐμοί, καὶ λάβε. ἐρεύνησον, φησιν, εἴ τι τῶν μὴ προσηκόντων ἀφειλόμην. οὐδὲν ἕτερόν μοι ἔχεις ἐγκαλέσαι,
C ἢ ὅτι λάθρα τὴν ἀποδημίαν ἐποιησάμην. καὶ τοῦτο οὐχ ἑκὼν πέπονθα, ἀλλ᾽ ὑφορώμενος τὴν ἀδικίαν, καὶ δεδοικὼς μὴ βουληθῇς καὶ τὰς θυγατέρας σου ἀφελέσθαι, τοῦτο μαθών, καὶ τὴν ἄλλην μου περιουσίαν. καὶ οὐκ ἐπέγνω, φησί, παρ᾽ αὐτῷ οὐθέν. οὐκ ᾔδει δὲ Ἰακὼβ, ὅτι Ῥαχὴλ ἡ γυνὴ αὐτοῦ ἔκλεψεν αὐτούς. εἰσελθὼν δὲ Λάβαν ἠρεύνησε τὸν οἶκον Λείας, καὶ οὐχ εὗρεν. εἰσῆλθε δὲ καὶ εἰς τὸν οἶκον Ῥαχήλ. Ῥαχὴλ δὲ ἔλαβε τὰ εἴδωλα, καὶ ἐνέβαλεν αὐτὰ εἰς τὰ σάγματα τῶν καμήλων, καὶ ἐπεκάθισεν αὐτοῖς, καὶ εἶπε τῷ πατρὶ αὐτῆς, μὴ βαρέως φέρε, κύριέ μου·
D οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὰ κατ᾽ ἐθισμὸν τῶν γυναικῶν μοί ἐστιν. ἠρεύνησε δὲ Λάβαν ἐν ὅλῳ τῷ οἴκῳ αὐτῆς, καὶ οὐχ εὗρε. πολλὴ τῆς Ῥαχὴλ ἡ σύνεσις, δι᾽ ἧς τὸν Λάβαν παρακρούσασθαι ἴσχυσεν. ἀκουέτωσαν οἱ ἔτι τῇ πλάνῃ προσεστηκότες, καὶ τῶν εἰδώλων τὴν θεραπείαν περὶ πολλοῦ ποιούμενοι. ἔθηκεν αὐτούς, φησιν, ὑπὸ τὰ σάγματα τῶν καμήλων, καὶ ἐπεκάθισεν αὐτοῖς. τί τούτων καταγελαστότερον; οἱ λόγῳ τετιμημένοι, καὶ τοσαύτης ἀξιωθέντες προεδρίας παρὰ τοῦ θεοῦ φιλανθρωπίας, λίθους ἀναισθήτους θεραπεύειν καταδέχονται, καὶ οὐκ ἐγκαλύπτονται, οὐδὲ λαμβάνουσιν

ἔννοιαν τινα τῆς τοσαύτης ἀτοπίας, ἀλλὰ καθάπερ βοσκήματα, οὕτω τῇ συνηθείᾳ ἀπάγονται; διὰ τοῦτο καὶ Παῦλος ἔλεγε γράφων, οἴδατε ὅτι, ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγεσθε ἀπαγόμενοι. καὶ καλῶς εἶπε τὰ ἄφωνα. οἱ φωνὴν ἔχοντες καὶ ἀκοῆς καὶ λόγου μετέχοντες, πρὸς τὰ μηδεμίαν αἴσθησιν ἔχοντα, ὡς ἄλογα, ἀπάγεσθε. καὶ ποίας ἂν οἱ τοιοῦτοι συγγνώμης τύχοιεν; ἀλλ' ἴδωμεν ὅπως ὁ δίκαιος λοιπὸν θαῤῥήσας ἔκ τε τῶν παρὰ τοῦ Λάβαν ὁμολογηθέντων, καὶ ἐξ ὧν οὐδεμίαν εὔλογον αἰτίαν εὗρε τῆς κατ' αὐτοῦ μέμψεως, τί φησιν. ὠργίσθη δὲ Ἰακὼβ, καὶ ἐμαχήσατο τῷ Λάβαν, καὶ εἶπεν. ὅρα πῶς καὶ διὰ τῆς μάχης τῆς οἰκείας ψυχῆς ἐκκαλύπτει τὴν ἀρετήν. τί τὸ ἀδίκημά μου, φησίν; ἢ τί τὸ ἁμάρτημά μου, ὅτι κατεδίωξας ὀπίσω μου; τίνος ἕνεκεν, φησὶ, μετὰ τοσαύτης ὁρμῆς κατεδίωξάς με; ποῖον ἀδίκημα ἐγκαλεῖν ἔχων, ποῖον ἁμάρτημα; καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τοσαύτην ὕβριν ἡμῖν ἐπήγαγες, ὥστε καὶ ἐρευνῆσαι πάντα τὰ ἐν τῷ οἴκῳ μου. τί εὗρες ἀπὸ πάντων τῶν σκευῶν τοῦ οἴκου σου; θὲς ὧδε ἐναντίον τῶν ἀδελφῶν σου καὶ τῶν ἀδελφῶν μου, καὶ ἐλεγξάτωσαν ἀνὰ μέσον τῶν δύο ἡμῶν. τοσαύτην, φησὶν, ἔρευναν ποιησάμενος, ἆρα ἠδυνήθης τι εὑρεῖν τῶν μὴ προσηκόντων μοι, ἢ τῶν σοὶ διαφερόντων; εἰ εὗρες, ἐν τῷ μέσῳ παράγαγε, ἵνα οἱ συνόντες μοι καὶ οἱ μετὰ σοῦ παραγενόμενοι τὴν διάκρισιν ποιήσωνται. ἐπειδὴ εἶδεν ἀνεύθυνον ἑαυτὸν ἐν ἅπασι γεγενημένον, πολλὴν λοιπὸν παῤῥησίαν προσλαβὼν ἀπαριθμεῖται τὴν εὔνοιαν, ἣν περὶ αὐτὸν ἐν παντὶ τῷ χρόνῳ ἐπεδείξατο, καί φησι, ταῦτά μοι εἴκοσιν ἔτη. μετὰ τὸν κάματον τῶν τοσούτων ἐτῶν τούτων ἤμην ἄξιος ταύτης τῆς ὕβρεως; ταῦτά μοι εἴκοσιν ἔτη. σήμερον εἴκοσιν ἀριθμὸν ἔχω ἐν τῷ οἴκῳ τῷ σῷ. τὰ πρόβατά σου καὶ αἱ αἶγές σου οὐκ ἠτεκνώθησαν. κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον. θηριάλωτον οὐκ ἐνήνοχά σοι. ἐγὼ ἀπετίννυον παρ' ἐμαυτοῦ κλέμματα ἡμέρας καὶ κλέμματα νυκτός. ἐγινόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι, καὶ τῷ παγετῷ τῆς νυκτὸς, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου. ἐπελάθου, φησὶ, τῶν καμάτων τῶν ἐμῶν, ὧν ἐπεδειξάμην ποιμαίνων τὰ πρόβατά σου καὶ τὰς αἶγας; μὴ ἔχεις ἐγκαλέσαι ὅτι ποτὲ τὰ πρόβατα, ἢ αἱ αἶγες ἠτεκνώθησαν;

A tem ſuam accipiunt abſurditatem, ſed à conſuetudine ſua quaſi oues abducuntur. Et idcirco Paulus quoque ſcribens, dicebat: Scitis quando gentes eratis, ad idola muta vt- (1. Cor. 12. 2.) cunque ducebamini euntes. Et rectè dixit, muta. Qui vocem, inquit, habetis & aures, & rationis eſtis participes ad ea quæ nullum ſenſum habent, ſicut bruta abducimini. Et qualem, qui tales ſunt, veniam mererentur? Sed videamus quomodo iuſtus nunc fiduciam acceperit, partim ex his quæ Laban confeſſus eſt, partim quoniam nul-
B lum crimen contra ſe inuenerat reprehenſione dignum, quid dicit? 36 *Iratus eſt autem*, inquit, *Iacob, & contendit cum Laban, & dixit.* Vide quomodo etiam expoſtulando animæ ſuæ virtutem detegit. *Quæ iniuſtitia mea, vel quod peccatum meum,* inquit, *quòd perſecutus es me?* Quare, inquit, tanto impetu inſectatus es me? qualem iniuſtitiam mihi potes exprobrare? quale peccatum? Neque id ſatis, niſi & tantam ſuperinduxiſſes contumeliam,
C vt ſcrutareris omnia quæ in domo mea. 37 *Quid inueniſti de omnibus vaſis, quæ in domo tua? pone hîc coram fratribus tuis & fratribus meis, & iudicent inter nos duos.* Tanto, inquit, ſcrutinio facto potuiſtíne aliquid inuenire quod ad me non attineat, vel quod tuum ſit? Si inueniſti, profer in medium, vt qui hîc aſſunt apud me & te iudicium faciant. Quoniam vidit ſe irreprehenſibilem in omnibus, magna ſumpta fiducia, enumerat beneficia, quæ illi per omne tempus exhibuit, & inquit: 38 *Hi*
D *ſunt viginti anni quibus tecum ſum.* Pro labore tot annorum, híſne dignus eram? haccine, inquam, contumelia? Hi mei viginti anni. Hodie viginti annorum compleui in domo tua numerum, *Oues tuæ & capræ tuæ ſteriles non fuerunt, arietes ouium tuarum nō comedi,* 39 *captum à fera tibi non attuli, ego ſatisfeci de meo, furta diei & furta noctis. Die vrebar æſtu, & nocte gelu, & diſcedebat ſomnus ab oculis meis.* Oblitus es, inquit, laborum quos exantlaui paſcens oues tuas & capras? Num potes arguere, quòd vnquam oues vel capræ tuæ fuerint ſteriles?

Vide quantam demonſtrat à Deo beneuolentiam contigiſſe domui Laban propter ſuum aduentum. Hoc enim eſt id quod & ſuprà dicebat: Benedixit te Deus ad pedem meum. Hoc enim nullus à paſtore exigeret. Neque enim paſtoralis artis hoc opus eſt, ſed naturæ. Propterea ante omnia hoc ponit, prouidentiáque ſuperna factum hoc fuiſſe in pecudibus oſtendit. Arietes ouium tuarum non comedi. Num potes, inquit, dicere quòd aliquando comederim arietem de gregibus tuis: qui ſcilicet multorum paſtorum mos eſt? A beſtia captum non attuli tibi: neque ipſe, inquit, aliquando comedi, neque beſtia aliquando rapere potuit. Num attuli aliquid à beſtia captum? An non quotidie vides eos quibus greges crediti ſunt, capta à beſtiis afferre dominis? At tu nihil tale vel demonſtrare vel obiicere factum potes in viginti annis. Et quid dico captum à fera? ſed neq; ſi furto ablatum quid, vt ſæpe contingit, ad notitiam tuam venire feci: ſed ego pro his quæ furtim ablata fuerunt ſatisfeci, ſiue die, ſiue nocte accidiſſet. Et cùm æſtus flagraret, ferebam fortiter, ſimiliter & frigus noctis, vt illæſi conſeruarentur greges tui: & non hoc ſolùm, ſed & ipſe ſomnus propter multam curam diſcedebat ab oculis meis. Vidiſti paſtoris vigilantiam: vidiſti intentum ſtudium? Qualem habebunt accuſationem ij, quibus rationale greges crediti ſunt, & magnam præ ſe ferunt negligentiam: & quotidie, iuxta prophetam, pecudes alias mactant: alias à beſtiis captas contẽnunt: alias verò ab aliis raptas, reducere non curant: tametſi minor ſit labor, & cura facilior? Anima enim eſt quæ docetur: illic autem multus eſt & corporis & animæ labor. Vide enim quid dicat. Factus ſum die aduſtus æſtu, & gelu nocte, & diſcedebat ſomnus à me. Quis hec nũc poteſt dicere, quòd propter eorum ſalutem quos paſcit, tot ferat labores & pericula? Et hoc quidem nunc nullus dicere audet. Paulo autem ſoli licebat hoc fidenter dicere, atque his maiora. Et vbi, inquis, Paulus hæc ſuſtinuit? audi eum dicentem:

Beneuolẽtia à Deo domui Laban.

Increpat neglig̃etes animarum paſtores vt Ezech. 34. 4.

A Ὅρα πόσην δείκνυσι τὴν παρὰ τοῦ θεοῦ εὔνοιαν γεγενημένην εἰς τὸν οἶκον τοῦ Λάβαν διὰ τὴν αὐτοῦ παρουσίαν. τοῦτο γάρ ἐστιν, ὅπερ καὶ ἄνω ἔλεγεν, εὐλόγησέ σε ὁ θεὸς ἐπὶ τῷ ποδί μου. τοῦτο γὰρ οὐδεὶς ἂν παρὰ ποιμένος ἀπαιτήσειεν. οὐδὲ γὰρ τῆς ποιμαντικῆς τοῦτο ἔργον· φύσεως γάρ ἐστι. διὰ τοῦτο πρὸ πάντων τοῦτο προστίθησι, καὶ πολλὴν δείκνυσι τὴν ἄνωθεν γεγενημένην πρόνοιαν περὶ τὰ ποίμνια. κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον. μὴ δύνασαι εἰπεῖν, φησιν, ὅτι ποτὲ κατέφαγον κριὸν ἐκ τῶν προβάτων σου, ὃ πολλοὺς τῶν ποιμένων ποιεῖν ἔθος; θηριάλωτον οὐκ B ἐνήνοχά σοι. οὔτε αὐτός, φησί, ποτε κατέφαγον, οὔτε θηρίον ἴσχυσέ ποτε ἀφελέσθαι. μὴ ἐνήνοχά σοι θηριάλωτον; ἢ οὐχὶ καθ' ἑκάστην ἡμέραν τοὺς τὰ ποίμνια ἐγχειριζομένους ὁρᾷς θηριάλωτα τοῖς δεσπόταις προσάγοντας; ἀλλὰ σὺ οὐδὲν τοιοῦτον ἐγκαλέσαι δυνήσῃ, ἢ δεῖξαι γεγενημένον ἐν τοῖς εἴκοσιν ἔτεσι. καὶ τί λέγω θηριάλωτον; ἀλλ' οὐδὲ εἰ ἐκλάπη ποτέ, οἷα συμβαίνειν εἰκός, εἰς τὴν σὴν γνῶσιν τοῦτο ἐλθεῖν πεποίηκα, ἀλλ' ἐγὼ καὶ κλέμματα κλεπτόμενα ἀπετίννυον, τά τε ἐν ἡμέρᾳ, τά τε ἐν νυκτὶ γινόμενα, καὶ διηνεκῶς καὶ τὸν τοῦ C καύματος καύσωνα ἔφερον γενναίως, καὶ τὸν κρυμὸν τὸν ἀπὸ τῆς νυκτός, ὥστε ἀβλαβῆ σοι τὰ ποίμνια διασώσασθαι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ ὕπνος διὰ τὴν πολλὴν φροντίδα ἀφίστατο ἀπ' ἐμοῦ. εἶδες ποιμένος ἀγρυπνίαν; εἶδες σπουδὴν ἐπιτεταμένην; ποίαν ἂν ἔχοιεν ἀπολογίαν οἱ τὰ λογικὰ ποίμνια ἐγκεχειρισμένοι, καὶ πολλὴν τὴν ῥαθυμίαν ἐπιδεικνύμενοι, καὶ καθ' ἑκάστην ἡμέραν, κατὰ τὸν προφήτην, τὰ μὲν κατασφάττοντες, τὰ δὲ ὁρῶντες θηριόβρωτα γινόμενα, τὰ δὲ ὑφ' ἑτέρων συλώμενα, καὶ οὐδεμίαν κηδεμονίαν αὐτῶν ποιεῖσθαι D βουλόμενοι; καίτοι γε ἐνταῦθα ἐλάττων ὁ πόνος, καὶ εὔκολος ἡ ἐπιμέλεια. ψυχὴ γάρ ἐστιν ἡ παιδευομένη. ἐκεῖ δὲ πολὺς καὶ τῷ σώματι καὶ τῇ ψυχῇ ὁ πόνος. ὅρα γὰρ τί φησιν· ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι, καὶ τῷ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος ἀπ' ἐμοῦ. τίς ἂν τοῦτο νῦν δυνηθῇ εἰπεῖν, ὅτι διὰ τὴν σωτηρίαν τῶν ὑπ' αὐτοῦ ποιμαινομένων κινδύνους ἀνεδέξατο καὶ ταλαιπωρίας; τὸ μὲν νῦν οὐδεὶς ἂν τοῦτο εἰπεῖν τολμήσειε. Παύλῳ δὲ μόνῳ ἔξεστι ταῦτα μετὰ παρρησίας λέγειν, καὶ τούτων μείζονα, τῷ διδασκάλῳ τῆς οἰκουμένης. καὶ ποῦ, φησι, Παῦλος ταῦτα ὑπέμεινεν; ἄκουε αὐτοῦ λέγοντος;

τίς

A τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; ὢ ποιμένος φιλοστοργία. τὰ ἑτέρων, φησὶ, πτώματα ἐμοὶ ἐπιτείνει τὰς ἀλγηδόνας· τὰ ἑτέρων σκάνδαλα ἐμοὶ τὴν κάμινον τῆς ὀδύνης ἀνάπτει. τοῦτον ἅπαντες ζηλούτωσαν οἱ τῶν λογικῶν προβάτων ἐγκεχειρισμένοι προστασίαν, καὶ μὴ χείρους γινέσθωσαν τοῦ περὶ τὴν τῶν ἀλόγων πρόνοιαν τοσαύτην ἀγρυπνίαν ἐπιδειξαμένου, καὶ ἐπὶ τοσοῦτον ἐτῶν ἀριθμόν. ἐκεῖ μὲν γὰρ κἂν ῥαθυμία τις γένηται, οὐδὲν τὸ βλάβος, ἐνταῦθα δὲ κἂν ἓν πρόβατον λογικὸν ἀπόληται, ἢ θηριάλωτον γένηται, πολλὴ ἡ ζημία, μεγίστη ἡ βλάβη, ἄφατος ἡ κόλασις. εἰ γὰρ ὁ δεσπότης B ὁ ἡμέτερος τὸ αἷμα τὸ ἴδιον ἐκχέαι ὑπὲρ αὐτοῦ οὐ παρῃτήσατο, ποίας ἂν εἴη ὁ τοιοῦτος συγγνώμης ἄξιος, ὁ τὸν οὕτω τιμηθέντα παρὰ τοῦ δεσπότου παρορᾶν ἀνεχόμενος, καὶ μὴ τὰ παρ' ἑαυτοῦ πάντα πληροῦν εἰς τὴν τοῦ προβάτου ἐπιμέλειαν; ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου ἐπανέλθωμεν. Ταῦτά μοι, φησιν, εἴκοσιν ἔτη εἰμὶ ἐν τῇ οἰκίᾳ σου. ἐδούλευσά σοι δεκατέσσαρα ἔτη ἀντὶ τῶν δύο θυγατέρων σου, καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου. καὶ παρελογίσω τὸν μισθόν μου δέκα ἀμνάδας. εἰ μὴ ὁ θεὸς τοῦ πατρός μου Ἀβραάμ, καὶ ὁ θεὸς Ἰσαὰκ ἦν μετ' ἐμοῦ, νῦν ἄν με κενὸν ἐξαπέστειλας. C τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου εἶδεν ὁ θεός, καὶ ἤλεγξέ σε ἐχθές. ὁρᾷς πῶς τὰ παρὰ τοῦ Λάβαν ὁμολογηθέντα παρεθάρρυνε τὸν δίκαιον, καὶ μετὰ παρρησίας τὸν ἔλεγχον ποιεῖσθαι; οἶδας, φησιν, ὅπως τῶν εἴκοσιν ἐτῶν τὸν ἀριθμὸν ἐδούλευσά σοι, ὑπὲρ τῶν θυγατέρων σου τὰ δεκατέσσαρα ἔτη, ἐν δὲ τοῖς προβάτοις τὰ ὑπόλοιπα. καὶ ὅμως ἀποστερῆσαί με κατεδέξω τὸν μισθὸν, καὶ οὐδὲν ὑπὲρ τούτου ἐνεκάλεσα. τοῦτο δὲ, ἐξ ὧν αὐτὸς ὡμολόγησας, οἶδα, ὅτι εἰ μὴ ὁ θεὸς τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ D ἦν μοι βοηθός, νῦν ἄν με κενὸν ἐξαπέστειλας, ἔρημον, καὶ πάντα ἂν ἀφεῖλω ἀπ' ἐμοῦ, καὶ τὴν ἀδικίαν, ἣν προέθου, εἰς ἔργον ἂν ἤγαγες. ἀλλ' ὁ θεὸς ὁ εἰδὼς τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου. τί ἐστι, τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου; ἐπειδὴ ἤδει ὁ θεὸς, ὅπως μὲν ἐγὼ μετὰ πολλῆς τῆς εὐνοίας τὴν δουλείαν ἐποιησάμην, καὶ τὸν κόπον ὅσον ὑπέμεινα ποιμαίνων τὰ πρόβατα, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ φροντίζων διετέλουν, προσέσχε καὶ ἰδὼν ὁ φιλάνθρωπος δεσπότης

Quis infirmatur, & ego non infirmor? quis ſcandalizatur, & ego non vror? O paſtoris dilectionem indulgentiſſimam. 2 Cor.11. 20. Alienæ ruinæ meos dolores augent, aliena ſcandala fornacem doloris mei ſuccendunt. Hũc omnes imitentur, quibus rationales oues concreditæ ſunt: & ne deteriores fiant hoc, qui tantæ in brutis pecudibus cuſtodiendis vigilantiæ fuit, idque tot annorum numero. Et illic quidem, ſi incuria quædam acciderit, nullum damnum: hic autem ſi vel vna ouis rationalis perierit, vel à beſtia fuerit capta, graue damnum, maximum detrimentum, ineffabilis pœna. Nam ſi dominus noſter ſanguinem ſuum proprium effundere pro illa non declinauit: qua venia dignus fuerit, qui ſic honoratam à domino deſpicere voluerit, & non omnia quæ poteſt in curanda ouicula adimpleuerit? Cæterum ad ſeriem ſermonis redeamus. *Hi mihi*, inquit, *viginti anni, quibus ſum in domo tua. Seruiui tibi quatuordecim annis pro filiab⁹ tuis, & ſex annis pro ouibus tuis, & fraudaſti mercedẽ decem agnabus: 42 & niſi Deus patris mei Abrahæ, & Deus Iſaac fuiſſet mihi adiutor, nunc fortè me vacuum dimiſiſſes. Humilitatem meam & laborem manuum mearum vidit Deus, & arguit te heri.* Vide quomodo ea quæ confeſſus eſt Laban, animarunt iuſtum, & cum fiducia illum reprehendit. Vidiſti, inquit, quomodo viginti annorum numero ſeruiui tibi: pro filiabus quatuordecim annis, reliquis autem pro ouibus: tamen priuare me voluiſti mercede, & non te ſuper hoc argui? Verum ex illis ipſis, quæ tu confeſſus es, ſcio quod niſi Deus Abraham & Iſaac fuiſſet mihi adiutor, nunc me vacuum dimiſiſſes & nudum: omnia fortè abſtuliſſes à me, & iniuſtitiã, quam propoſueras, opere compleuiſſes. *Sed Deus qui ſcit humilitatem meam, & laborem manuũ mearum.* Quid eſt, humilitatem, & laborem manuum mearum? Quoniam, inquit, ſcit Deus quomodo ego magno ſtudio ſeruitutem meam perfecerim, & quantum laborem ſuſtinuerim, paſcens oues, die noctúque in curis verſatus: ad illa, inquam, reſpexit benignus dominus,

& heri arguit te : coërcuit iniuſtitiam quam aduerſum me ſtruebas, & irrationabiles tuos conatus. Satis defendendo ſe, taxauit Laban : & poſtquam reprehendiſſet illius in ſe iniuſtitiam, ſua in illum beneficia recenſuit. Ideo ille erubeſcens de his quæ dixerat, nunc in timore aſſiſtit, & fœdera inire vult cum iuſto. Vide prouidentiam Dei, qui tanto impetu ad perſequendum exierat, timore coactus eſt vt ab eo & fœdera quæreret. 43. *Reſpondens autem Laban, dixit ad Iacob : Filiæ tuæ, filiæ meæ: & filii tui, filii mei: & pecora tua, pecora mea: & omnia quæcunque tu vides, mea ſunt, & filiarum mearum: quid facerem illis hodie, vel pueris qui ab eis ſunt nati?* Scio, inquit, quòd filiæ meæ ſunt, & omnia quæcunque habes, ex ſubſtantia mea acceſſerunt. Quid igitur facerem illis hodie, vel pueris qui ab eis nati? 44 *Nunc igitur veni, & ineamus fœdus ego & tu, & erit in teſtimonium inter me & te.* Pacta, inquit, faciamus, & erunt in teſtimonium inter me & te : in iudicium & demonſtrationem. Dixit autem ei: Si quis tranſgredi attentauerit, quæ nunc à nobis ſunt propoſita: *Ecce nullus nobiſcum, Deus autem teſtis inter me & te.* Conſidera quomodo paulatim & Laban ad cognitionem Dei ducitur. Nam qui ante hoc arguebat iuſtum de furto deorum ſuorum, & tantam propter eos ſcrutationem faciebat : nunc inquit, quia nullus eſt inter nos, qui poſſit, ſi quid poſthac nouatum fuerit, teſtis eſſe fœderis noſtri, Deus teſtis ſit inter me & te. Ille, inquit, adeſt, qui omnia videt, quem nihil latere poteſt, qui vniuſcuiuſque mentem agnoſcit 45 *Sumens autem*, inquit, *Iacob ſtatuit in columnam, & fecit collem, & comederunt ſuper collem.* 47. *Et dixit ei Laban: Collis hic teſtatur inter me & te.* Quid eſt, collis hic? id eſt, verba, quæ fiunt in hoc colle, memoria perpetua erunt. Et vocauit nomen eius loci, Collis teſtimonii. Deinde inquit, 49 *Aſpiciat Deus inter me & te.* Attende quomodo pœnam iterum à Deo precatur Laban. *Aſpiciat*, inquit, *Deus inter me & inter te, quia ſecedemus alter ab altero.*

Idololatra Deū agnoſcit.

A χθὲς ἤλεγξέ σε, ἐπέσχε τῆς κατ' ἐμοῦ ἀδικίας καὶ τῆς ἀλογίστου ὁρμῆς. ἱκανῶς ἐν τάξει ἀπολογίας καθίκετο τοῦ Λάβαν, καὶ μετὰ τὸ ἐλέγξαι τὴν εἰς αὐτὸν ἀδικίαν, καὶ τὰς παρ' αὐτοῦ εἰς αὐτὸν εὐεργεσίας ἀπηριθμήσατο. διὸ αἰδεσθεὶς ἐκεῖνος τὰ παρ' αὐτοῦ εἰρημένα, λοιπὸν καὶ εἰς δειλίαν καθίσταται, καὶ συνθήκας ἀπαιτῆσαι βούλεται παρὰ τοῦ δικαίου. ὅρα θεοῦ κηδεμονίαν. ὁ οὕτω παρεσκευασμένος, καὶ μετὰ τοσαύτης ὁρμῆς τὴν καταδίωξιν ποιησάμενος, εἰς τοσαύτην κατέστη δειλίαν, ὡς τὰς παρ' αὐτοῦ συνθήκας ἐπιζητεῖν. ἀποκριθεὶς γὰρ Λάβαν, φησὶν, εἶπε τῷ Ἰακὼβ,
B αἱ θυγατέρες σου, θυγατέρες μου, καὶ οἱ υἱοί σου υἱοί μου, καὶ τὰ κτήνη σου, κτήνη μου, καὶ πάντα ὅσα σὺ ὁρᾷς, ἐμά ἐστι καὶ τῶν θυγατέρων μου. τί ποιήσω ταύταις σήμερον, ἢ τοῖς τέκνοις αὐτῶν τοῖς τεχθεῖσιν; οἶδα ὅτι καὶ αἱ θυγατέρες, φησὶν, ἐμαί εἰσι, καὶ πάντα ὅσα σοί ἐστιν, ἐκ τῆς ὑπάρξεως τῆς ἐμῆς περιεγένετό σοι. τί οὖν ποιήσω ταύταις σήμερον, ἢ τοῖς ὑπ' αὐτῶν τεχθεῖσι; νῦν οὖν δεῦρο, διαθώμεθα διαθήκην, ἐγώ τε καὶ σὺ, καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ τε καὶ σοῦ. συνθήκας, φησὶ, ποιησώμεθα, καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ,
C εἰς ἔλεγχον, εἰς ἀπόδειξιν. εἶπε δὲ αὐτῷ· εἴ τις παραβῆναι τὰ νῦν παρ' ἡμῶν προταθέντα ἐπιχειρήσειε. ἰδοὺ οὐδεὶς μεθ' ἡμῶν· ὁ δὲ θεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. σκόπει πῶς κατὰ μικρὸν ὁ Λάβαν καὶ εἰς θεογνωσίαν ἀνάγεται. ὁ γὰρ τὴν κλοπὴν περὶ τούτου τῶν θεῶν αὐτοῦ ἐπιφέρων τῷ δικαίῳ, καὶ τοσαύτην ἔρευναν ποιησάμενος, νῦν φησιν, ἐπειδὴ οὐδείς ἐστι μεταξὺ ἡμῶν ὁ δυνάμενος, εἴ τι μετὰ ταῦτα γένηται, μαρτυρῆσαι τοῖς νῦν παρ' ἡμῶν γινομένοις, ὁ θεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. ἐκεῖνος πάρεστιν, ὁ τὰ πάντα ὁρῶν, ὃν οὐδὲν λαθεῖν δύναται, ὁ τὴν ἑκάστου γνώμην ἐπιστάμενος.
D λαβὼν δέ, φησιν, Ἰακὼβ ἔστησε στήλην, καὶ ἐποίησε βουνὸν, καὶ ἔφαγον ἐπὶ τοῦ βουνοῦ. εἶτα εἶπεν αὐτῷ Λάβαν, ὁ βουνὸς οὗτος μαρτυρεῖ ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. τί ἐστιν, ὁ βουνὸς οὗτος; ἀντὶ τοῦ, τὰ ῥήματα τὰ ἐνταῦθα γινόμενα ἐν τῷ βουνῷ τούτῳ ὑπόμνησις ἡμῖν ἔσται διηνεκῶς. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, βουνὸς μαρτυρίου. εἶτά φησιν, ἐπίδοι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. σκόπει πῶς πάλιν τὴν παρὰ τοῦ θεοῦ δίκην ἐπικαλεῖται ὁ Λάβαν. ἐπίδοι γάρ, φησιν, ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ὅτι ἀποστησόμεθα ἕτερος τοῦ ἑτέρου.

νῦν, φησι, χωρισθησόμεθα, καὶ σὺ μὲν ἀπελεύσῃ εἰς τὴν A οἰκείαν σου, ἐγὼ δὲ ἐπανελεύσομαι εἰς τὸν οἶκον τὸν ἐμόν. εἰ ταπεινώσῃς τὰς θυγατέρας μου, εἰ λάβοις γυναῖκας πρὸς ταῖς θυγατράσι μου. ὅρα, οὐδεὶς μεθ' ἡμῶν ἐστιν ὁ ὁρῶν, θεὸς μάρτυς. σκόπει πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις τὸν θεὸν καλεῖ μάρτυρα. ἐπειδὴ γὰρ ἡ πρόνοια ἡ περὶ τὸν Ἰακὼβ γεγενημένη ἐπαίδευσεν αὐτόν, ὅση τοῦ δεσπότου ἡ δύναμις, καὶ ὡς οὐχ οἷόν τέ τι λαθεῖν τὸν ἀκοίμητον ὀφθαλμόν. διὰ τοῦτο φησι, κἂν διαχωρισθῶμεν, κἂν μηδεὶς ἕτερος ὁ μαρτυρῆσαι δυνάμενος, αὐτὸς ἔσται μάρτυς ὁ πανταχοῦ παρών. διὰ ἑκάστου τῶν ῥημάτων ἐνέφαινεν, ὅτι τῆς πανταχοῦ γῆς ἐστι δεσπότης. καὶ εἶπεν Ἰακὼβ, ἰδοὺ ἡ B στήλη αὕτη μαρτυρεῖ. εἶτα πάλιν ὁ Λάβαν φησίν, ἐάν τε γὰρ ἐγὼ μὴ διαβῶ πρὸς σέ, μήτε σὺ διαβῇς πρὸς ἐμὲ τὸν βουνὸν τοῦτον καὶ τὴν στήλην ταύτην ἐπὶ κακίᾳ, ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ναχὼρ κρίνοι ἀνὰ μέσον ἡμῶν. θέα πῶς μετὰ τοῦ πατρὸς καὶ τὸν πάππον τὸν ἑαυτοῦ συνῆψεν, ἀδελφὸν μὲν τοῦ πατριάρχου τυγχάνοντα, ἑαυτοῦ δὲ πάππον. ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ναχὼρ κρίνοι ἀνὰ μέσον ἡμῶν. καὶ ὤμοσεν Ἰακὼβ κατὰ τοῦ φόβου τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ, καὶ ἔθυσε θυσίαν ἐν τῷ ὄρει, καὶ ἐκάλεσε τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔφαγον καὶ ἔπιον, καὶ ἐκοιμήθησαν ἐν τῷ ὄρει. ἔθυσε C θυσίαν ἐν τῷ ὄρει, ηὐχαρίστησε, φησι, τῷ θεῷ ἐπὶ τοῖς γεγονόσι, καὶ ἔφαγον καὶ ἔπιον, καὶ ἐκοιμήθησαν ἐν τῷ ὄρει. ἀναστὰς δὲ Λάβαν τὸ πρωῒ κατεφίλησε τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ εὐλόγησεν αὐτούς, καὶ ἀποστραφεὶς Λάβαν ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. εἶδες, ἀγαπητέ, πόση τοῦ θεοῦ ἡ σοφία, ὅπως κατὰ ταυτὸν καὶ τὴν περὶ τὸν δίκαιον πρόνοιαν ἐπεδείξατο, κἀκεῖνον ἀπέστησε τῆς κατ' αὐτοῦ ἀδικίας, καὶ δι' ὧν αὐτῷ προεξένησε μὴ λαλῆσαι πονηρὰ κατὰ τοῦ Ἰακὼβ, εἰς τὴν τῆς θεογνωσίας ὁδὸν κατὰ μικρὸν αὐτὸν ἐνήγαγε, καὶ ὁ καθάπερ θηρίον ἐπιτρέχων, καὶ φθάσαι βουλόμενος D καὶ ἀνελεῖν, ἀπολογησάμενος καὶ καταφιλήσας καὶ τὰς θυγατέρας καὶ τοὺς υἱοὺς αὐτοῦ οὕτως οἴκαδε ὑπέστρεψε. τάχα εἰς πολὺ μῆκος τὸν λόγον ἐξετείναμεν. ἀλλὰ συγγνῶτε· οὐχ ἑκόντες τοῦτο πεπόνθαμεν, ἀλλὰ τῆς ἱστορίας εἰς τὴν ἀνάγκην ἡμᾶς ταύτην καταστησάσης. διόπερ ἐνταῦθα στήσαντες τὸν λόγον, ἐκεῖνο παρακαλέσωμεν ὑμῶν τὴν ἀγάπην, ὥστε πάντα ποιεῖν καὶ πραγματεύεσθαι, ἵνα τὴν ἄνωθεν εὔνοιαν ἐπισπασώμεθα. ἐὰν γὰρ ἐκεῖνον ἔχωμεν εὐμενῆ, πάντα ἡμῖν ῥᾴδια ἔσται καὶ εὔκολα, καὶ οὐδὲν ἡμᾶς τῶν ἐν τῷ παρόντι βίῳ λυπῆσαι δυνήσεται, κἂν λυπηρὸν εἶναι δοκῇ.

Nunc, inquit, ſeparamur, & tu quidem ibis in domum propriam, ego autem redibo in domum meam: 50 *Si humiliaueris filias meas, ſi acceperis vxores ad filias meas. Vide, nullus nobiſcum eſt qui videat, Deus teſtis.* Conſidera quomodo ſemel, & iterum, atque ſæpius Deum in teſtem vocat. Quia prouidentia, quam expertus erat Iacob, docuit eum quanta eſſet eius potentia, & quòd impoſſibile ſit aliquid occultum eſſe oculo qui dormitare nequit: propterea inquit, Etiamſi ſeparemur, etiamſi nullus alius aſſit, qui teſtificari poſſit, hic teſtis erit vbique præſens: per ſingula verba docet quòd totius terræ ſit dominus. 51 *Et dixit*, inquit, *Iacob, Ecce collis iſte teſtatur.* 52 *Deinde iterum Laban inquit: Si enim ego non tranſiero ad te, neque tu tranſeas ad me, collem hunc & columnam hanc in malitia: Deus Abraham, & Deus Nachor iudicabit inter nos.* Vide quomodo cum patre & auum ſuum coniunxit, qui frater fuit patriarchę, ipſius autem auus. 53 *Deus Abraham, & Deus Nachor iudicet inter nos. Et iurauit Iacob per timorẽ Dei patris ſui Iſaac,* 54 *& ſacrificauit ſacrificium in monte: & vocauit fratres ſuos, & comederunt, & biberunt, & dormierunt in monte.* Sacrificauit ſacrificiũ in monte, gratias, inquit, egit Deo ab ea, quę acciderant, & comederunt, & biberunt, & dormierũt in mõte. 55 *Surrexit autẽ Laban mane, & oſculatus eſt filios ſuos & filias ſuas, & benedixit eos: & reuerſus Laban abijt in locũ ſuũ.* Vidiſti dilectẽ quanta Dei ſapientia, quomodo vno facto & ſuam erga iuſtum declarauit prouidentiã, & illum ab iniuſtitia abduxit, & in diuinę notitiæ viã paulatim induxit Labanẽ, interminando ei ne quid mali contra Iacob loqueretur: & quaſi beſtia accurrens, & cõprehẽdere volens & interficere, deſinit in defenſionẽ, & in filiorũ filiarũq; deoſculationem, & ſic domum redit? Fortè prolixiùs ſermo ſe extendit, ſed ignoſcite: non hoc ſpõte admiſimus, ſed coëgit nos hiſtoriæ ratio: Ideo hîc miſſum faciẽtes ſermonem, oramus veſtram charitatem, vt omnia faciamus & tractemus, quò ſupernam nobis conciliemus gratiam. Nam ſi Deum habuerimus amicum, omnia nobis facilia erunt: & nihil nos in præſenti vita contriſtare poterit, quamuis iniucundum eſſe videatur.

Tanta enim ſupernæ virtutis eſt excellentia, vt etiam ea quæ triſtia ſunt, iucunda facere queat: ſic & 2.Cor.11 25. Paulus in afflictionibus exiſtens gaudebat & exultabat, expectatione Pſa.4.1. repoſitorum bonorum animatus. Propterea & propheta dicebat: In afflictione dilataſti mihi: docens nos, quòd in ipſa afflictione ſecuros & beatos faciat. Talem igitur habentes dominum, tam potentem, tam ſapientem, támque miſericordem, & quod noſtrum eſt afferamus, virtutiſq; magnam habeamus rationem, vt non ſolnm præſentia, ſed & futura bona cõſequamur, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cũ patre gloria & imperium, ſimul cum ſanctoSpiritu, nunc, & ſemper, &in ſecula ſeculorũ. Amẽ.

A Τοσαύτη γὰρ τῆς ἄνω δυνάμεως ἡ ὑπερβολὴ, ὡς καὶ αὐτὰ τὰ λυπηρὰ εἰς τὸ ἐναντίον περιτρέπειν, ὅταν βούληται. οὕτω καὶ Παῦλος ἐν θλίψεσιν ὢν ἔχαιρε καὶ ἠγάλλετο τῇ προσδοκίᾳ τῶν ἀποκειμένων ἀμοιβῶν πτερούμενος. διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν, ἐν θλίψει ἐπλάτυνάς μοι, διδάσκων ἡμᾶς ὅτι ἐν αὐτῇ τῇ θλίψει τυγχάνοντα ἀδείας καὶ ἀνέσεως αὐτὸν ἀπολαύειν παρασκευάζει ὁ θεός. Τοιοῦτον τοίνυν ἔχοντες δεσπότην, οὕτω δυνατὸν, οὕτως εὐμήχανον καὶ σοφὸν, οὕτω φιλάνθρωπον, τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ τῆς ἀρετῆς πολλὴν ποιώμεθα λόγον, ἵνα καὶ τῶν ἐνεστώτων καὶ τῶν μελλόντων ἐπι- B τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

HOMILIA LVIII.

Gen. 32. *Et eleuatis oculis Iacob vidit caſtra Dei metata, & occurrerunt ei angeli Dei, quos cùm vidiſſet, dixit: Caſtra Dei ſunt hæc, & appellauit nomen loci illius Caſtra,*

SCIO quòd heri defatigati fueritis, nobis ſermonẽ prolixius extendentibus: ſed bono eſtote animo, labor veſter non eſt inanis: In Domino enim factus eſt, propter quẽ & breuis labor magnam mercedẽ vobis allaturus eſt. Nam licet corpus fatigaretur, anima tamen magis confirmabatur. Ideo & ipſe videns veſtrum feruẽs deſiderium & ſtudium, volebam finire doctrinæ ſermonem, ſed antequam finiretur hiſtoria, nolui, ſciens me vobis hac ratione magis gratificaturum. Multitudo enim dictorum ſatis declarabat inexplebile veſtrum deſiderium, & ſtudiũ audiẽdi auidum: propterea & ipſe cum maiori alacritate vos docere incipio, videns veſtrã quotidie appetentiam creſcere. Agè &hodie quę ſequuntur heſternã lectionem, pro virili noſtra pertractemꝰ, conſuetũ veſtræ charitati conuiuiũ proponẽtes.

Ὁμιλία νη.

Καὶ ἀναβλέψας Ἰακὼβ εἶπε παρεμβολὴν θεοῦ παρεμβεβληκυῖαν, καὶ συνήντησαν αὐτῷ οἱ ἄγγελοι τοῦ θεοῦ. εἶπε δὲ Ἰακὼβ, ἡνίκα εἶδεν αὐτοὺς, παρεμβολὴ θεοῦ αὕτη, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, παρεμβολαί.

C ΟΙΔΑ ὅτι κεκμήκατε χθὲς εἰς πολὺ μῆκος τοῦ λόγου προελθόντος ἡμῖν· ἀλλὰ καὶ θαρσεῖτε· ὁ κόπος ὑμῶν οὐκ ἔστι κενός. ἐν κυρίῳ γάρ ἐστι γινόμενος, δι' ὃν καὶ ὁ πρὸς βραχὺ πόνος μεγάλων μισθῶν πρόξενος γίνεται. εἰ γὰρ καὶ τὸ σῶμα κέκμηκεν, ἀλλ' ἡ ψυχὴ πλέον ἐῤῥώννυτο. διὸ καὶ αὐτὸς ὁρῶν ὑμῶν ἀκμάζοντα τὸν πόθον, καὶ τὴν D ἐπιθυμίαν διεγηγερμένην, βουλόμενος συστεῖλαι τὴν διδασκαλίαν, οὐκ ἠβουλήθην πρὸ τοῦ τέλους εἰς στενὴν καταλῦσαι τὸν λόγον, εἰδὼς ὡς ταύτῃ μᾶλλον ὑμῖν χαριοῦμαι. τὸ γὰρ πλῆθος τῶν εἰρημένων μάλιστα ἐδείκνυ τῆς ὑμετέρας φιληκοΐας τὴν πολλὴν σπουδὴν καὶ τὸν ἀκόρεστον πόθον. διὰ τοῦτο καὶ αὐτὸς μετὰ πλείονος προθυμίας τῆς πρὸς ὑμᾶς ἅπτομαι διδασκαλίας, ὁρῶν ὑμῶν καθ' ἑκάστην ἡμέραν τὴν ὄρεξιν ἐπιτεινομένην. φέρε οὖν καὶ σήμερον τὰ ἑξῆς τῶν χθὲς εἰρημένων κατὰ δύναμιν ἐπελθόντες, τὴν συνήθη ἑστίασιν παραθῶμεν ὑμῖν τῇ ἀγάπῃ,

ἀπαλλαγὴν μετὰ τὴν τοῦ Λάβαν ἀναχώρησιν, ὅπως ὁ δίκαιος τῆς ὁδοιπορείας ἅπτεται. οὐδὲν γὰρ ἀργὸν τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων ἐστὶν, ἀλλὰ πάντα τὰ ὑπὸ τῶν δικαίων γινόμενα μεγίστης γέμει τῆς ὠφελείας. ἐπειδὴ γὰρ τὸν τῶν ὅλων δεσπότην εἶχον διηνεκῶς αὐτοῖς συμπαρόντα, καὶ τοὺς κατὰ τὴν ὁδοιπορείαν πόνους ἐπικουφίζοντα, πολλὴν καὶ ἀπὸ τῆς ψιλῆς αὐτῶν ὁδοιπορείας ἔστι τὴν ὠφέλειαν καρπώσασθαι. ἀπελθόντος, φησὶ, τοῦ Λάβαν εἰς τὸν οἶκον αὐτοῦ, καὶ Ἰακὼβ ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ ὁδὸν, καὶ ἀναβλέψας εἶδε παρεμβολὴν θεοῦ παρεμβεβληκυῖαν, καὶ συνήντησαν αὐτῷ οἱ ἄγγελοι τοῦ θεοῦ. ἐπειδὴ γὰρ παυσαμένου τοῦ φόβου τοῦ Λάβαν καὶ τέλος εἰληφότος, διεδέχετο λοιπὸν ὁ φόβος τοῦ ἀδελφοῦ, διὰ τοῦτο ὁ φιλάνθρωπος δεσπότης παραθαρρῦναι τὸν δίκαιον βουλόμενος, καὶ πᾶσαν αὐτοῦ τὴν δειλίαν ἀποσκεδάσαι, παρεσκεύασεν αὐτὸν τῶν ἀγγέλων τὴν παρεμβολὴν ἰδεῖν. συνήντησαν γὰρ αὐτῷ, φησιν, οἱ ἄγγελοι τοῦ θεοῦ, καὶ εἶπεν Ἰακὼβ, παρεμβολὴ θεοῦ αὕτη, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, παρεμβολαί, ὥστε ἐκ τῆς προσηγορίας διηνεκῆ τὴν ὑπόμνησιν εἶναι τῆς γεγενημένης αὐτῷ ἐκεῖσε ὀπτασίας. εἶτα μετὰ τὴν ὀπτασίαν ταύτην ἀπέστειλε, φησιν, ἔμπροσθεν αὐτοῦ ἀγγέλους πρὸς Ἡσαῦ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐνετείλατο λέγων, οὕτως ἐρεῖτε τῷ κυρίῳ μου Ἡσαῦ. ὅρα καὶ μετὰ τὴν ὄψιν πόσος ἔτι ὁ φόβος ἐπέκειτο τῷ δικαίῳ. ἐδεδοίκει γὰρ τοῦ ἀδελφοῦ τὴν ὁρμὴν, καὶ ἠγωνία μὴ ἡ μνήμη τῶν πρὶν ὑπ᾽ αὐτοῦ γεγενημένων εἰς τὴν κατ᾽ αὐτοῦ ἔφοδον παρορμήσῃ. εἴπατε, φησι, τῷ κυρίῳ μου Ἡσαῦ· οὕτω λέγει ὁ παῖς σου Ἰακὼβ. μετὰ Λάβαν παρῴκησα, καὶ ἐχρόνισα ἕως τοῦ νῦν, καὶ ἐγένοντό μοι βόες καὶ ὄνοι καὶ πρόβατα καὶ παῖδες καὶ παιδίσκαι, καὶ ἀπέστειλα τῷ κυρίῳ μου, ἵνα εὕρῃ ὁ παῖς σου ἐναντίον σου χάριν. σκόπει πῶς δέδοικε τὸν ἀδελφὸν, καὶ διὰ τοῦτο ἐξευμενίζεσθαι αὐτὸν βουλόμενος, προαπαγγέλλει μηνύων αὐτῷ περιουσίαν, καὶ ὅπου τὸν ἅπαντα διετέλεσε χρόνον ἵνα μαλάξας αὐτοῦ τὸν θυμὸν, ἥμερον αὐτὸν καταστῆσαι δυνηθῇ, ὃ δὴ καὶ γέγονε, τοῦ θεοῦ κατευνάσαντος αὐτοῦ τὴν καρδίαν, καὶ σβέσαντος τὴν ὀργὴν αὐτοῦ, καὶ ἥμερον αὐτὸν καταστήσαντος. εἰ γὰρ τὸν Λάβαν τὸν μετὰ τοσαύτης ὁρμῆς καταδιώξαντα ἐν τοσούτῳ φόβῳ γενέσθαι παρεσκεύασε δι᾽ ὧν πρὸς αὐτὸν εἶπε, πολλῷ μᾶλλον τὸν ἀδελφὸν ἡμερώτερον αὐτὸν γενέσθαι παρεσκεύασε περὶ τὸν δίκαιον.

A & videamus poſt diſceſſum Laban, quomodo iuſtus iter arripiat. Nihil enim ſuperuacaneum in diuina ſcriptura poſitum eſt, ſed omnia quæ à iuſtis fiunt, maxima vtilitate plena ſunt. Quoniam enim vniuerſorum dominum continuo habuerunt comitem, & itineris difficultates reddentem faciles, multum etiam nos vtilitatis ex paruo eorum itinere poſſumus percipere. Nam poſtquam Laban in domum ſuam abiit, 1 *Et Iacob viam ſuam perrexit, & eleuatis oculis vidit caſtra Dei caſtrametata eſſe, & occurrerunt* B *ei angeli Dei.* Poſtquam enim ceſſauit, & finem hebuit timor Laban, excepit eum timor fratris: propter hoc clemens dominus animare iuſtum volens, & omnem eius metum diſcutere, fecit vt angelorum videret caſtra. *Occurrerunt enim*, inquit, *ei angeli Dei. 2 Et dixit Iacob, Caſtra Dei ſunt hæc. Et vocauit nomen loci eius, Caſtra.* Vt ex ea appellatione perpetua maneret memoria viſionis, quæ illic ei contigerat. Deinde poſt viſionem hanc, 3 *Miſit*, inquit, *ante ſe nuncios ad Eſau fratrem ſuum, & mandauit eis,* C *dicens: Sic dicetis domino meo Eſau.* Vide & poſt viſionem, quantus adhuc timor vrgebat iuſtum. Timebat enim fratris violentiam, & angebatur animo; ne forte memoria eorum, quæ olim facta ſunt, impelleret illum ad inſidias. 4. *Dicite*, inquit, *domino meo Eſau. Sic dicit ſeruus tuus Iacob: Peregrinus fui cum Laban, & longo tempore ibi moratus ſum vſque nunc, 5 & contigerunt mihi boues, & aſinæ, & oues, & ſerui, & ancillæ, & miſi vt annunciaretur domino meo* D *Eſau, vt inueniat puer tuus gratiam coram te.* Attende quomodo timuerit fratrem: & propterea placare eum volens, præmittit: ſignificans ei & reditum ſuum, & ſubſtantiam quæ ſibi contigerat, & vbi tanto tempore moratus fuerit, vt placato eius furore clementem facere poſſit: id quod & factum eſt, Deo cor illius demulcente, & tractabilem extincta ira faciente. Nã ſi Labanẽ, qui tanta concitatione perſequebatur, timere fecit per ea quę ad ipsũ dicebat: multò magis fratrẽ manſuetiorẽ fieri erga iuſtũ fecit.

Cap. 32.

Deus inіecit metum Laban.

9 *Reuerſi ſunt autem*, inquit, *dicentes: Venimus ad fratrem tuum, & venit in occurſum tuum, & quadringenti viri cum eo.* Vide quomodo & iſtuc ipſum auget metum iuſti. Neque enim ſciebat euidenter mentem fratris: ſed vt didicit multitudinem venientium cum illo, formidauit, ſuſpicans ne quaſi in bellum contra ſe veniret, & ita vellet occurrere. 7 *Timuit enim*, inquit, *Iacob & perplexus erat*, & formido mentem eius turbauerat, & neſciebat quid faceret, ſed manſit perplexus: propterea timuit, quaſi de ſalute ſua, & mortem ante oculos habens. *Diuiſit autem in duas turmas omnem populum qui ſecum erat.* 8 *Dixit enim Si venerit ad turmam vnam, & percuſſerit eam, erit adhuc altera, quæ ſaluabitur.* Talia ſuggerebant ei timor & magna formido. Videns autem ſe quaſi in reti comprehenſum, ad inuictum dominum confugit, & promiſſiones quæ ei factæ erant repetit ab omnium Deo: quaſi dicens ad eum, Nunc venit tempus in quo & propter primogenitorum virtutem, & propter promiſſionem quæ à te facta eſt mihi, dignus habear qui tuo adiuuer præſidio. 9 *Dixit enim Iacob: Deus patris mei Abraham, & Deus patris mei Iſaac es tu, qui dixiſti mihi, Vade in terram natiuitatis tuæ.* Qui euocaſti me, inquit, de terra aliena, & præcepiſti vt redirem ad patrem meum, & in terram natiuitatis. 10 *Satis mihi ſit de omni iuſtitia & veritate, quam feciſti puero tuo.* Sufficit mihi, inquit, ad ſubſidium in præſenti tempore. Qui enim vſque ad præſens tempus tantam erga me declaraſti prouidentiam, potens es etiam nunc eripere me ab vrgentibus periculis. Non enim ignoro, *quòd in iſto baculo meo trāſiui Iordanem*: ſed propter tuam de me ſollicitudinem, & baculum ſolum geſtans abiui in terram alienam, *nunc cum duabus turmis adueni.* Tu igitur domine, qui tantā mihi ſubſtantiā conceſſiſti, qui tantùm augeri me feciſti, 11 *Nunc eripe me de manu fratris mei Eſau: Quia timeo ego eū, ne forte percutiat me, & matrē, cum pueris. Tu dixiſti:* Benefaciā tibi, *& ponam ſemen tuum ſicut arenam maris, quæ numerari nequit, præ multitudine.*

A ἀνέστρεψαν δέ, φησι, λέγοντες, ἀπήλθομεν πρὸς τὸν ἀδελφόν σου, καὶ ἔρχεται εἰς συνάντησίν σου, καὶ τετρακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ. ὅρα πῶς καὶ αὐτὸ τοῦτο ἐπέτεινε τῷ δικαίῳ τὸν φόβον. οὐδὲ γὰρ ᾔδει τὸν σκοπὸν τοῦ ἀδελφοῦ μετὰ ἀκριβείας, ἀλλὰ μαθὼν τὸ πλῆθος τῶν συνιόντων αὐτῷ ἐδεδοίκει, ὑφορώμενος μὴ ὡς πρὸς πόλεμον παρασκευασάμενος, οὕτω τὴν ὑπάντησιν ποιήσασθαι βούληται. ἐφοβήθη γάρ, φησιν, Ἰακὼβ, καὶ ἠπορεῖτο. ὁ φόβος αὐτοῦ τὴν διάνοιαν διετάραξε, καὶ οὐκ ᾔδει τί ἂν πράξει, ἀλλ᾽ ἐν ἀπορίᾳ ἐγεγόνει. διὸ ὡς περὶ τῆς σωτηρίας B δεδοικὼς, καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἔχων, διαιρεῖ εἰς δύο παρεμβολὰς πάντα τὸν λαὸν τὸν μετ᾽ αὐτοῦ. εἶπε γάρ, φησιν, ἐὰν ἔλθῃ εἰς παρεμβολὴν μίαν καὶ κόψῃ αὐτήν, ἡ δευτέρα ἔσται εἰς τὸ σώζεσθαι. ταῦτα μὲν ὁ φόβος ὑπηγόρευσε καὶ ἡ πολλὴ δειλία. ὁρῶν δὲ ἑαυτὸν ὡς ἐν δικτύοις ἀπειλημμένον, ἐπὶ τὸν ἄμαχον δεσπότην καταφεύγει, καὶ τὰς ὑποσχέσεις τὰς εἰς αὐτὸν γεγενημένας ἀπαιτεῖ παρὰ τοῦ τῶν ὅλων θεοῦ, μονονουχὶ λέγων πρὸς αὐτόν. νῦν ἥκει καιρὸς, ἐν ᾧ καὶ διὰ τὴν τῶν προγόνων ἀρετὴν, καὶ διὰ τὴν παρὰ σοῦ γεγενημένην ὑπόσχεσιν δίκαιος ἂν εἴην ἀπάσης ἀ- C πολαῦσαι συμμαχίας. εἶπε γάρ, φησιν, Ἰακὼβ, ὁ θεὸς τοῦ πατρός μου Ἀβραὰμ, καὶ ὁ θεὸς τοῦ πατρός μου Ἰσαὰκ, σύ, φησιν, ὁ θεὸς, ὁ εἰπών μοι, ἀπότρεχε εἰς τὴν γῆν τῆς γενέσεώς σου. ὁ ἀναστήσας με, φησιν, ἀπὸ τῆς ξένης, καὶ προστάξας ἐπανελθεῖν πρὸς τὸν πατέρα τὸν ἴδιον καὶ εἰς τὴν γῆν τῆς γενέσεως. ἱκανούσθω μοι ἀπὸ πάσης δικαιοσύνης, καὶ ἀληθείας, ἧς ἐποίησας τῷ παιδί σου. ἀρκείσθω, φησὶ, πρὸς τὴν ἐπὶ τοῦ παρόντος καιροῦ συμμαχίαν. ὁ γὰρ μέχρι τοῦ παρόντος τοσαύτην ἐπιδειξάμενος περὶ ἐμὲ κηδεμονίαν, δυνατός εἶ καὶ νῦν ἐξαρπάσαι με τῶν ἐπικειμένων μοι κινδύ- D νων. οὐδὲ γὰρ ἀγνοῶ, ὅτι ἐν τῇ ῥάβδῳ μου ταύτῃ διῆλθον τὸν Ἰορδάνην τοῦτον· νυνὶ δὲ διὰ τὴν σὴν περὶ ἐμὲ πρόνοιαν ὁ τὴν βακτηρίαν μόνην ἐπιφερόμενος, ἡνίκα εἰς τὴν ἀλλοτρίαν ἀπῄειν, νῦν μετὰ δύο παρεμβολῶν παραγέγονα. σὺ οὖν δέσποτα, ὁ ταύτην μοι τὴν εὐπορίαν χαρισάμενος, ὁ εἰς τοσοῦτόν με αὐξηθῆναι παρασκευάσας, σὺ νῦν ἐξελοῦ με ἐκ χειρὸς τοῦ ἀδελφοῦ μου Ἠσαῦ, ὅτι φοβοῦμαι ἐγὼ αὐτὸν, μήποτε πατάξῃ με, καὶ μητέρα ἐπὶ τέκνοις. σὺ εἶπας, εὖ σε ποιήσω, καὶ θήσω τὸ σπέρμα σου, ὡς τὴν ἄμμον τῆς θαλάσσης, ἣ οὐκ ἀριθμηθήσεται ἀπὸ τοῦ πλήθους.

ὅρα τοῦ δικαίου τὸ φιλόθεον καὶ τὴν πολλὴν εὐγνωμοσύνην, πῶς οὐδὲν ἕτερον ἀξιοῖ τὸν δεσπότην, ἢ τὰς οἰκείας ὑποσχέσεις πληρῶσαι. καὶ ἐπὶ τοῖς προλαβοῦσιν εὐεργεσίαν ἐπιδειξάμενος, καὶ ὁμολογήσας ὅτι γυμνὸν ὄντα καὶ ἀπερριμμένον εἰς τοσαύτην περιουσίαν κατέστησεν, ἱκετεύει τοῦ κινδύνου αὐτὸν ἐξαρπάσαι. εἶπας γάρ, φησιν, ὅτι θήσω τὸ σπέρμα σου, ὡς τὴν ἄμμον τῆς θαλάσσης, ἣ οὐκ ἐξαριθμηθήσεται. ποιησάμενος δὲ τὴν πρὸς τὸν δεσπότην παράκλησιν, καὶ τὴν ἱκετηρίαν τῆς προσευχῆς ἀνενέγκας τῷ δεσπότῃ, καὶ τὰ παρ' ἑαυτοῦ προστίθησι, καὶ λαβών, φησι, δῶρα, ἐξ ὧν ἐπεφέρετο, ἀπέστειλε τῷ ἀδελφῷ, διελὼν τὰ ἀποσταλέντα, καὶ ἐντολὰς δεδωκώς, ὥστε καὶ διὰ τῶν λόγων ἐξευμενίσασθαι, καὶ μηνῦσαι τὴν ἑαυτοῦ παρουσίαν. Εἴπατε γάρ, φησιν, ὅτι ἰδοὺ ὁ παῖς σου παραγίνεται ὀπίσω ἡμῶν· ὥστε πρότερον ἐξευμενίσασθαι, καὶ τότε τὴν κατὰ πρόσωπον αὐτοῦ γενέσθαι συντυχίαν. μετὰ τοῦτο γάρ, φησιν, ὄψομαι τὸ πρόσωπον αὐτοῦ. ἴσως γάρ, φησι, προσδέξεται τὸ πρόσωπόν μου. καὶ προεπορεύετο τὰ δῶρα κατὰ πρόσωπον αὐτοῦ. ἀλλ' ὅρα μοι ἐνταῦθα πάλιν τοῦ θεοῦ τὴν ἄφατον φιλανθρωπίαν, καὶ ὅπως ἀεὶ καταλλήλως τὴν οἰκείαν πρόνοιαν ἐνδείκνυται. ἐπὶ μὲν γὰρ τοῦ Λάβαν, ἐπειδὴ ὁ δίκαιος οὐδὲν τοιοῦτον ὑπώπτευεν, οὐδὲ ᾔδει ὅτι πάντως αὐτὸν καταλήψεται ὁ Λάβαν μετὰ πολλῆς τῆς ὁρμῆς ἐπὶ τὸ ἀμύνασθαι τὸν δίκαιον τῆς λάθρα γενομένης ἀναχωρήσεως ἕνεκα, ὁ ἄγγελος τῷ Λάβαν ἐπιφανεὶς κατέστειλεν αὐτοῦ τὴν ὁρμήν, καὶ ἐντέλλεται μηδὲν τῷ Ἰακώβ, μηδὲ ἐν ῥήμασι λυπηρὸν ἀποτείνασθαι. μὴ λαλήσῃς γάρ, φησι, μετὰ Ἰακὼβ πονηρόν. καὶ τοῦτο ᾠκονόμει διὰ τῆς ἐκείνου γλώττης γνώριμον γενέσθαι τῷ δικαίῳ, ἵνα μαθὼν τὴν περὶ αὐτὸν γεγενημένην οἰκονομίαν θαρσαλεώτερος καταστῇ. νυνὶ δὲ ἐπειδὴ ὁ ἀδελφὸς μὲν ὑπὸ τοῦ μήκους τοῦ χρόνου λωφήσας ἦν καὶ τὸν θυμὸν καὶ τὴν ἀγανάκτησιν παύσας τὴν κατὰ τοῦ Ἰακώβ, οὗτος δὲ ἐναγώνιος ἦν, δεδοικὼς καὶ τρέμων τοῦ ἀδελφοῦ τὴν συντυχίαν, ὁ ἀγαθὸς δεσπότης οὐκ ἔτι τῷ Ἠσαῦ ἐντέλλεται (οὐδὲ γὰρ ἐβουλεύετό τι κατὰ τοῦ ἀδελφοῦ) ἀλλὰ τὸν δίκαιον παραμυθεῖται. μετὰ γὰρ τὸ ἀποστεῖλαι, φησι, τοὺς τὰ δῶρα ἀποκομίζοντας, καθευδήσας, φησί, καὶ ἀναστὰς ἐν τῇ νυκτὶ ἐκείνῃ διήγαγε τὰς δύο γυναῖκας, καὶ τὰ παιδία τὴν διάβασιν τοῦ Ἰαβώχ. καὶ ἔλαβεν αὐτούς, καὶ διέβη τὸν χείμαρρον. ὑπελείφθη δὲ Ἰακὼβ μόνος,

Vide iuſti religioſum animum, & magnam gratitudinem: quomodo non aliud dominum precatur, quàm vt ſuas promiſſiones adimpleat. Et de prioribus demonſtraturus gratiarum actionem, confitetur quòd ex nudo, & omnibus deſtituto in tantam peruenerit abundantiam; & ſupplicat vt de periculo ſe liberet. Dixiſti enim, inquit, Ponam ſemen tuum ſicut arenam maris, quæ dinumerari nequit. Cum igitur orationem ſuam ad Deum feciſſet, & ſupplicationem precum obtuliſſet, facit & ſuum officium. Et acceptis muneribus, inquit, ex his quæ afferebat, miſit fratri, cum ſegregaſſet quæ mitterentur, & mandata dediſſet, ita vt placaretur etiam per verba animus fratris, & ſuus nunciaretur aduentus. 20 *Dicite enim*, inquit, *Ecce puer tuus aduenit poſt nos*, vt primum redderetur amicus, & tunc in faciem eius occurreret Poſt hac enim, inquit, videbo faciem eius. Fortè enim accepta erit ei facies mea, & antecedebant dona ſecundum faciem eius. Verùm vide, obſecro, ineffabilem Dei clementiam, & quomodo ſemper congruo tempore ſuam declarat prouidentiam Nam de Laban quidem, quoniam iuſtus nihil tale ſuſpicabatur, neque ſciebat quòd Laban cum tanta vi inuadere ſe vellet, vt vlciſceretur clancularium ſuum abſceſſum: dictum eſt quòd apparuit angelus nocte Laban, & repreſſit eius imperium, mandatumque dedit ne vel aſperum verbum loqueretur Iacob: dicit enim, Ne loquaris cum Iacob mala: & hoc ita diſpenſabat, quò per illius linguam notum fieret iuſto, vt fidentiori eſſet animo, comperta tanta Dei in ſe prouidentia. Nunc autem quia frater temporis longitudine mitigatus erat, quieueratque ira & indignatio contra Iacob: hic autem anxius erat, timens & tremens fratris occurſum: bonus dominus non iam Eſau præcipit, nihil enim contra fratrē meditabatur, ſed iuſtū ſolatur. 22 *Nam poſtquam miſiſſet offerētes munera, & dormiuiſſet, ſurrexit in nocte illa, & vxores duas & filios trāſmiſit in trāſitu Iaboch, 23 & accepit eos, & tranſiit torrētē. Relictus eſt autē Iacob ſo-*

Petit à Deo vt ſuas promiſſiones impleat.

lus, 24 *luctabatur homo cum eo.* Magna domini clementia, quoniam occurſurus erat fratri, vt ſciret reipſa quòd nihil aſperum laturus eſſet, in figura hominis luctari cum iuſto voluit: deinde videns ſe vinci, apprehendit, inquit, latitudinem lumbi eius. Totum autem hoc factum eſt, vt ſe illius humilitati attemperaret, formidinem ex anima iuſti eximeret, & perſuaderet ei, vt citra angorem fratri occurreret. *Nam cum tenuiſſet latitudinem lumbi Iacob, emarcuit latitudo lumbi Iacob, cum colluctaretur ille cum eo.* Deinde vt ſciret Iacob virtutem eius quem ſecum luctari putabat, dicit ad eum: *Dimitte me, aſcendit enim aurora.* Sentiens igitur iuſtus magnitudinem virtutis eius, qui hæc ſibi dixerat: dixit, *Minime te dimittam, niſi me benedixeris.* Magna enim conſecutus ſum, & quæ ſupra meam ſunt dignitatem: non prius te relinquam, donec benedictionem à te accipiam. Deinde dicit, 27 *Quod nomen tuum eſt?* Vide iterum quantum ſeſe humiliet & attemperet. Nam ſi non interrogaſſet, neſciuiſſet iuſti nomen. Sed vult eius fiduciam ſolidare, & docere, quis ſit qui ei loquatur. 28 *Et poſtquam dixit, Iacob, dicit: Non vocabitur nomen tuum Iacob, ſed Iſrael erit nomen tuum. Quoniam ſi contra Deum fortis fuiſti, multò magis contra homines potens eris.* Vidiſti quomodo oſtendit totã cauſam, propter quam adeo ſe humiliauit, & ſimul docuit iuſtum per nominis impoſitionem quis eſſet quem viderit & comprehenderit? Non vltra enim vocaberis Iacob, ſed Iſrael erit nomen tuum. Iſrael autem, ſi quis interpretetur, ſonat, videns Deum. Quoniã ſicut videre homini poſſibile eſt, Deum videre meruiſti, propterea & hanc appellationem tibi impono, vt omnibus poſteris manifeſtum ſit, quam viſionem aſſecutus fueris. Et ſubiicit: Quoniam præualuiſti contra Deum, & contra homines potẽs eris: nihil amplius time, neq; damnum aliquod expectes, quod ab aliquo feras. Nã qui tantam virtutem accepiſti, vt cum Deo luctari valueris, multò magis homines ſuperabis, & inuictus omnibus eris.

Angelus in figura hominis luctatur.

Iſrael videns Deum.

A καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ. μεγάλη ἡ τοῦ δεσπότου φιλανθρωπία. ἐπειδὴ γὰρ ἔμελλε τὴν πρὸς τὸν ἀδελφὸν συντυχίαν ποιήσασθαι, ἵνα μάθῃ διὰ τῶν πραγμάτων, ὅτι οὐδὲν ἀηδὲς ὑποστήσεται, ἐν σχήματι ἀνθρώπου παλαίειν μετὰ τοῦ δικαίου καταδέχεται. εἶτα ὁρῶν ἑαυτὸν ἡττώμενον ὁ Ἰακὼβ, ἐκράτησε, φησὶ, τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ. ὅλον δὲ τοῦτο συγκαταβάσεως ἕνεκεν ἐγίνετο, ἵνα τὴν δειλίαν ἐξέλῃται τῆς τοῦ δικαίου ψυχῆς, καὶ πείσῃ ἐκτὸς πάσης ἀγωνίας τὴν πρὸς τὸν ἀδελφὸν συντυχίαν ποιήσασθαι. κρατήσαν-

B τος γὰρ, φησὶ, τοῦ Ἰακὼβ τὸ πλάτος τοῦ μηροῦ, ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ' αὐτοῦ. εἶτα ἵνα μάθῃ ὁ Ἰακὼβ τὴν δύναμιν τοῦ πρὸς αὐτὸν παλαίειν νομιζομένου, φησὶ πρὸς αὐτὸν, ἀπόστειλόν με. ἀνέβη γὰρ ὁ ὄρθρος. αἰσθόμενος τοίνυν ὁ δίκαιος τὸ μέγεθος τῆς δυνάμεως τοῦ ταῦτα εἰρηκότος, φησὶν, οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς. μεγάλων ἠξιώθην, φησὶ, καὶ ὑπὲρ τὴν ἀξίαν τὴν ἐμαυτοῦ. οὐ πρότερόν σε ἐάσω, μέχρις ἂν τῆς εὐλογίας ἀπολαύσω τῆς παρὰ σοῦ. εἶτα φησὶ, τί τὸ ὄνομά σού ἐστιν; ὅρα πάλιν συγκατάβασιν. εἰ γὰρ μὴ ἠρώτησεν, οὐκ ᾔδει τοῦ

C δικαίου τὴν προσηγορίαν, ᾔδει πάντως, ἀλλὰ βούλεται αὐτὸν πιστώσασθαι διὰ τῆς ἐρωτήσεως, καὶ διδάξαι, τίς ἐστιν ὁ πρὸς αὐτὸν διαλεγόμενος. καὶ εἶπεν Ἰακὼβ, φησὶν, οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. εἶδες πῶς ἔδειξε τὴν αἰτίαν ἅπασαν, δι' ἣν τὴν τοσαύτην συγκατάβασιν ἐπεδείξατο, καὶ ὁμοῦ διδάσκει τὸν δίκαιον διὰ τῆς ἐπιτεθείσης αὐτοῦ προσηγορίας; τίς ἐστιν ὃν εἶδε καὶ κατασχεῖν κατηξιώθη. οὐκ ἔτι γὰρ κληθήσῃ, φησὶν, Ἰακὼβ τὸ ὄνομά σου, ἀλλ' Ἰσραήλ. Ἰσραὴλ δὲ ἑρμηνεύεται, ὁρῶν θεόν. ἐπειδὴ, ὡς ἰδεῖν

D ἀνθρώπῳ δυνατὸν, ἰδεῖν κατηξιώθης θεὸν, διὰ τοῦτο καὶ τὴν προσηγορίαν σοι ταύτην ἐπιτίθημι, ἵνα πᾶσι τοῖς ἑξῆς κατάδηλον γένηται, οἵας ἠξιώθης ὀπτασίας. καὶ ἐπήγαγεν, ὅτι ἐνίσχυσας μετὰ θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. μηδὲν λοιπὸν δέδιθι, μηδὲ βλάβην τινὰ προσδοκήσῃς παρά τινος ὑπομένειν. ὁ γὰρ τοσαύτην ἰσχὺν προσλαβὼν, ὡς καὶ μετὰ θεοῦ δυνηθῆναι παλαῖσαί σε, πολλῷ μᾶλλον τῶν ἀνθρώπων περιέσῃ, καὶ ἀχείρωτος ἅπασι γενήσῃ.

Ταῦτα ἀκούων ὁ δίκαιος, καὶ καταπλαγεὶς τῶν πρὸς αὐτὸν διαλεχθέντων τὸ μέγεθος, φησίν, ἀνάγγειλόν μοι τὸ ὄνομά σου. καὶ εἶπεν, ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου; καὶ εὐλόγησεν αὐτόν. ἔσω, φησί, τῶν οἰκείων ὅρων μένε, καὶ μὴ ὑπέρβαινέ σου τὰ μέτρα. εὐλογίας βούλει ἀπολαῦσαι τῆς παρ' ἐμοῦ; ἰδοὺ ταύτην σοι δωροῦμαι. εὐλόγησε γάρ, φησιν, αὐτόν. καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, εἶδος θεοῦ. εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. ὁρᾷς πόσον αὐτῷ θάρσος γέγονε ἀπὸ τῆς ὀπτασίας τῆς γενομένης; ἐσώθη γάρ μου, φησιν, ἡ ψυχή, ἡ σχεδὸν ἀποτεθνηκυῖα ὑπὸ τοῦ δέους. ἐπειδὴ ἰδεῖν κατηξιώθην πρόσωπον πρὸς πρόσωπον τὸν θεόν, ἐσώθη μου ἡ ψυχή. ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ. εἶδες πῶς τῇ ἀσθενείᾳ τῇ ἀνθρωπίνῃ συγκαταβαίνων ὁ δεσπότης, πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξασθαι; καὶ μὴ ξενισθῇς, ἀγαπητέ, πρὸς τὸ τῆς συγκαταβάσεως μέγεθος, ἀλλ' ἐννόησον ὅτι καὶ ἐπὶ τοῦ πατριάρχου, ἡνίκα παρὰ τὴν δρῦν ἐκαθέζετο, ἐν ἀνθρώπου σχήματι μετὰ τῶν ἀγγέλων ἐπεξενώθη τῷ δικαίῳ, προμηνύων ἡμῖν ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὅτι μέλλει ἀνθρωπίνην μορφὴν λαμβάνων, οὕτω πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ἐκ τῆς τοῦ διαβόλου τυραννίδος ἐλευθεροῦν, καὶ πρὸς τὴν σωτηρίαν ἐπανάγειν. ἀλλὰ τότε μέν, ἐπειδὴ ἀρχὴ καὶ προοίμια ἦν, ἐν σχήματι φαντασίας ἑκάστῳ αὐτῶν καὶ ἐφαίνετο, καθάπερ καὶ αὐτὸς διὰ τοῦ προφήτου φησίν, ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. ὅτε δὲ κατηξίωσε τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν, καὶ τὴν ἀπαρχὴν τὴν ἡμετέραν ἀναδέξασθαι, οὐ φαντασίᾳ, οὐδὲ δοκήσει τὴν σάρκα ὑπέδυ, ἀλλ' ἀληθείᾳ, καὶ διὰ τοῦτο διὰ πάντων τῶν ἡμετέρων ἐλθεῖν κατεδέξατο, καὶ ἐκ γυναικὸς τεχθῆναι, καὶ βρέφος γενέσθαι, καὶ σπαργανωθῆναι, καὶ γάλακτι τραφῆναι, καὶ πάντα τὰ ἄλλα ὑποστῆναι, ἵνα πιστώσηται τῆς οἰκονομίας τὴν ἀλήθειαν, καὶ ἀπορράψῃ τῶν αἱρετικῶν τὰ στόματα. διὰ τοῦτο καὶ καθεύδει ἐπὶ τοῦ πλοίου, καὶ ὁδοιπορεῖ, καὶ κοπιᾷ, καὶ πάντα τὰ ἀνθρώπινα ὑπομένει, ἵνα διὰ τῶν πραγμάτων πάντας πληροφορῆσαι δυνηθῇ. διὰ τοῦτο καὶ δικαστηρίῳ παρίσταται, καὶ σταυροῦται, καὶ θάνατον ὑπομένει τὸν ἐπονείδιστον, καὶ ἐν μνημείῳ τίθεται, ἵνα τὰ τῆς οἰκονομίας διὰ πάντων κατάδηλα γένηται.

His auditis iuſtus, obſtupeſcens magnitudinem eorum quæ ad ſe dicta erant, dicit ei: [28] *Annuncia mihi nomen tuum. Et dixit: Cur quæris nomen meum? Et benedixit eum.* Intra tuos limites mane, & ne transgrediaris menſuram tuam. Vis meam benedictionem obtinere? ecce eam tibi do: dicit enim, *Et benedixit eum,* [30] *Et vocauit,* inquit, *Iacob nomen loci huius, Speciem Dei: Vidi enim Deum facie ad faciem; & ſalua facta eſt anima mea.* Vides quantum ei fiduciæ à viſione conceſſum? Salua facta eſt anima mea, quæ erat propemodum mortua præ timore: quoniam videre mihi datum eſt facie ad faciẽ Deum, ſalua facta eſt anima mea. [31] *Ortus eſt autem ei ſol, quando præteriit viſio Dei.* Vidiſti quomodo infirmitati humanæ dominus ſeſe attemperans, omnia agit & tractat vt ſuam benignitatem declaret? Et ne admireris, dilecte, quòd tanta humiliationis illius magnitudo: ſed cogita quòd & patriarchæ, cùm apud quercum ſederet, in hominis figura cum angelis hoſpes fuerit: præſignans nobis iam multò antea & ab initio, quòd humanam naturam ſuſcepturus eſſet, vt ſic omnem humanam naturam à diaboli tyrannide liberaret, & ad ſalutem reduceret. Verùm tunc quidem, quoniam initia & principia erãt, in figura vnicuique illorum apparebat, ſicut ipſe per alium prophetam dicit: Ego viſiones multiplicaui, & in manibus prophetarum aſſimilatus ſum: quando autem dignatus eſt dominus humanam formã ſuſcipere, & primitias noſtras recipere non putatiuam neq; apparẽtem tantum carnem, ſed verã induit. Et eapropter voluit per omnia noſtra trãſire, & ex muliere naſci, & infans fieri, & panniculis inuolui, & lacte paſci, aliáque omnia ferre, vt diſpenſationis veritas credibilior eſſet, & hæreticorum ora obturarentur. Propterea & dormit in naui, & iter facit, & fatigatur, & omnia humana ſuſtinet, vt per res ipſas certíſque argumentis perſuadeat: propter hoc etiam tribunali aſſiſtit, & crucifigitur, & mortem ſuſtinet ignominioſiſſimam, & in ſepulchro ponitur, vt ſua incarnatio per omnia fiat manifeſta.

Cur in humana figura appareat angeli.

Oſe. 12. 10.

Veritas incarnationis declaratur.

Nam ſi non verè carnem noſtram aſſumpſit: neque crucifixus eſt, neque mortuus, neque ſepultus, neque ſurrexit. Quòd ſi non reſurrexit, omnis de incarnatione ſermo ſubuerſus eſt. Vides enim quantam abſurditatem inducunt, qui diuinæ ſcripturæ canonem imitari nolunt, ſed ſuis cogitationibus permittunt omnia. Verùm ſicut hîc perſpicua eſt veritas, ita apud iuſtum illum apparitio quædam erat, per quam iuſtus multis argumentis certior fieret, quantam ſui curam Deus haberet, & quòd inuictus ſit futurus ab omnibus, qui ſibi inſidiantur. Domini, vt poſteritati nota fieret viſio ei facta. *Claudicauit*, inquit, *femore ſuo.* [32] *Propter hoc non comedunt filij Iſraël neruum, qui emarcuit, qui eſt ſuper latitudinem femoris, vſque in hunc diem: quia attigit neruum ſuper latitudinem femoris Iacob, & emarcuit.* Quoniam enim iuſtus impletis vitæ ſuæ annis, emigraturus erat ex hac vita, oportebat autem prouidentiam Dei in illum, & tantam Dei attemperationem omni hominum generi manifeſtari: ideo, inquit, Non comedunt filij Iſraël neruum latitudinis femoris, qui emarcuit: ſciens eorum magnam ingratitudinem, & quòd obliuiſcantur Dei beneficia, perpetuo artibus quibuſdam inducit eos, vt habeant memoriam eorum quæ à ſe facta ſunt, taliáque excogitat monimenta per illas obſeruationes, id quod per ſcripturam totam inuenies. Hæc enim maxima cauſa eſt plurimarum obſeruationum, & quòd vult perpetuò futuras generationes meditari beneficia Dei, & non obliuione vnquam obliterantes ad ſuos errores recurrere: qui mos fuit Iudæorum genti peculiaris maximè. Nam qui in beneficijs ſæpe ſummam præ ſe tulerunt ingratitudinem, multò magis niſi hoc fuiſſet factum, omnia quæ à Deo in ipſos facta ſunt, è mente ſua abieciſſent. Cæterum videamus hunc, quomodo fratri ſuo Iacobus occurrerit. Poſtquam enim ex his quæ facta ſunt, iuſtam accepit exhortationem, & ſufficiens ſolatium & promiſſionem, quòd fortis futurus eſſet, & potens etiam

Beneficiorum Dei monumenta in ſcriptura.

A Εἰ γὰρ μὴ κατ' ἀλήθειαν τὴν σάρκα τὴν ἡμετέραν ἀνέλαβεν, οὐδὲ ἐσταυρώθη, οὐδὲ ἀπέθανεν, οὐδὲ ἐτάφη, οὐδὲ ἀνέστη. εἰ δὲ μὴ ἀνέστη, πᾶς ὁ τῆς οἰκονομίας λόγος ἀνατέτραπται. ὁρᾷς εἰς ὅσην ἀτοπίαν ἐκπίπτουσιν οἱ μὴ βουλόμενοι τοῖς τῆς θείας γραφῆς ἀκολουθεῖν κανόσιν, ἀλλὰ τοῖς οἰκείοις λογισμοῖς ἅπαντα ἐπιτρέποντες; ἀλλ' ὥσπερ ἐνταῦθα ἀληθῆ ἐστι τὰ φανέντα, οὕτως ἐπὶ τοῦ δικαίου τούτου φαντασία τις ἦν, δι' ἧς ἔδει ἐκεῖνον πληροφορηθῆναι τὸν δίκαιον, ὅσης ἀπολαύει τῆς παρ' αὐτοῦ προνοίας, καὶ ὅτι ἀχείρωτος ἔσται πᾶσι τοῖς ἐπιβουλεύουσιν. εἶτα ἵνα μηδένα τῶν εἰς B τὸ ἑξῆς λάθῃ ἡ γεγενημένη αὐτῷ ὀπτασία, ἐπέσκαζε, φησὶ, τῷ μηρῷ αὐτοῦ. ἕνεκα τούτου οὐ μὴ φάγωσιν υἱοὶ Ἰσραὴλ τὸ νεῦρον, ὃ ἐνάρκησεν, ὅ ἐστιν ἐπὶ τοῦ πλάτους τοῦ μηροῦ ἕως τῆς ἡμέρας ταύτης, ὅτι ἥψατο τοῦ πλάτους τοῦ μηροῦ Ἰακὼβ, ὃ καὶ ἐνάρκησεν. ἐπειδὴ γὰρ ὁ μὲν δίκαιος ἔμελλε πληρώσας τῆς ζωῆς αὐτοῦ τοὺς χρόνους μεθίστασθαι τοῦ βίου, ἐχρῆν δὲ τὴν παρὰ τοῦ θεοῦ γεγενημένην εἰς αὐτὸν κηδεμονίαν, καὶ τὴν τοσαύτην συγκατάβασιν πάντι τῷ γένει τῶν ἀνθρώπων γνώριμον γενέσθαι, διὰ τοῦτό φησιν, οὐ C μὴ φάγωσιν υἱοὶ Ἰσραὴλ τὸ νεῦρον τοῦ πλάτους τοῦ μηροῦ, ὃ ἐνάρκησεν. εἰδὼς αὐτῶν τὴν πολλὴν ἀγνωμοσύνην, καὶ ὅπως ἐπιλανθάνονται τῶν παρὰ τοῦ θεοῦ εὐεργεσιῶν, διὰ τοῦτο σοφιζόμενος διηνεκῆ αὐτοὺς ἔχειν τὴν μνήμην τῶν παρ' αὐτοῦ γεγενημένων εὐεργεσιῶν, τὰ ὑπομνήματα φυλάττεσθαι αὐτοὺς ἐμηχανήσατο διὰ τῶν τοιούτων παρατηρήσεων· καὶ τοῦτο διὰ πάσης τῆς γραφῆς ἐστιν εὑρεῖν. αὕτη γὰρ μάλιστά ἐστιν ἡ αἰτία τῶν πλειόνων παρατηρήσεων, τὸ βούλεσθαι αὐτὸν ἀδιαλείπτως τὰς ἑξῆς γε- D νεὰς μελετᾶν τοῦ θεοῦ τὰς εὐεργεσίας, καὶ μὴ λήθην τούτων ποιησαμένους ἐπὶ τὴν οἰκείαν πλάνην πάλιν ἀνατρέχειν. μάλιστα γὰρ τοῦτο ἔθος τῷ τῶν Ἰουδαίων γένει. οἱ γὰρ καὶ παρ' αὐτὰς τὰς εὐεργεσίας πολλάκις τὴν οἰκείαν ἀγνωμοσύνην ἐπιδεικνύμενοι, πολλῷ μᾶλλον, εἰ μὴ τοῦτο ἐγίνετο, πάντα ἂν τὰ παρὰ τοῦ θεοῦ εἰς αὐτοὺς γεγενημένα ἐξέβαλον τῆς οἰκείας διανοίας. ἀλλ' ἴδωμεν λοιπὸν, πῶς τὰ τῆς συντυχίας γίνεται τῷ Ἰακὼβ πρὸς τὸν ἀδελφόν. ἐπειδὴ γὰρ ἀρκοῦσαν ἔλαβε παράκλησιν ἐκ τῶν γεγενημένων, καὶ ὑπόσχεσιν ἐδέξατο ὅτι ἰσχυρὸς ἔσται, καὶ μετ'

ἀνθρώπων δυνατός, ἀναβλέψας, φησὶν, εἶδε, καὶ ἰδοὺ Ἠσαῦ ὁ ἀδελφὸς αὐτοῦ καὶ τετρακόσιοι ἄνδρες μετ' αὐτοῦ, καὶ διεῖλεν Ἰακὼβ τὰ παιδία ἐπὶ Λείαν καὶ Ῥαχὴλ καὶ τὰς δύο παιδίσκας, καὶ ἐποίησε τὰς δύο παιδίσκας καὶ τοὺς υἱοὺς αὐτῶν ἐν πρώτοις, καὶ Λείαν καὶ τὰ παιδία αὐτῆς ὀπίσω, καὶ Ῥαχὴλ καὶ τὸν Ἰωσὴφ ἐν ἐσχάτοις. αὐτὸς δὲ προῆλθεν ἔμπροσθεν αὐτῶν, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν ἑπτάκις, ἕως ἤγγικε τῷ ἀδελφῷ αὐτοῦ. ὅρα πῶς τὴν διαίρεσιν ποιησάμενος, αὐτὸς πρὸ πάντων τὴν συντυχίαν ποιεῖται. καὶ προσεκύνησε, φησιν, ἐπὶ τὴν γῆν ἑπτάκις, ἕως οὗ ἤγγισε τῷ ἀδελφῷ αὐτοῦ, ἐφελκόμενος καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τῆς προσκυνήσεως τὸν ἀδελφὸν εἰς τὴν περὶ αὐτὸν εὔνοιαν, ὃ δὴ καὶ γέγονε. προσδραμὼν γάρ, φησι, Ἠσαῦ καὶ περιλαβὼν αὐτὸν ἐφίλησε, καὶ προσέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσαν ἀμφότεροι. ὅρα θεοῦ οἰκονομίαν. ὅπερ γὰρ χθὲς ἔλεγον, τοῦτο καὶ νῦν ἐρῶ. ὅτι ὅταν βούληται ὁ τῶν ὅλων δεσπότης τὴν περὶ ἡμᾶς κηδεμονίαν ἐπιδείξασθαι, καὶ τοὺς ἀνημέρως πρὸς ἡμᾶς διακειμένους προβάτων ἡμερωτέρους ἐργάζεται. σκόπει τοίνυν, ὅσην μεταβολὴν ἐπιδείκνυται ὁ Ἠσαῦ. προσέδραμε γάρ, φησιν, εἰς συνάντησιν αὐτοῦ, καὶ περιλαβὼν ἐφίλησε, καὶ ἔκλαυσαν ἀμφότεροι. μόλις ποτὲ δίκαιος ἀνέπνευσε, καὶ τὸν φόβον ἀπεσείσατο, καὶ τῆς δειλίας ἐλευθερωθεὶς θαρσαλεώτερος γέγονεν. ἀναβλέψας δέ, φησιν, Ἠσαῦ εἶδε τὰς γυναῖκας καὶ τὰ παιδία, καὶ εἶπε, τί ταῦτά σοί ἐστιν; ὁρῶν γὰρ τοῦ ἀδελφοῦ τὴν περιουσίαν ἐξεπλήττετο καὶ ἐθαύμαζε. διὸ καὶ ἐρωτᾶν ἐβούλετο. τί οὖν ὁ δίκαιος; τὰ παιδία, φησὶν, οἷς ἠλέησεν ὁ θεὸς τὸν παῖδά σου. ὅρα πόση τῆς ἐπιεικείας ἡ ἰσχύς, καὶ ὅπως διὰ τῆς τῶν ῥημάτων ταπεινοφροσύνης ἐκείνου τὸν θυμὸν κατεπράϋνε. καὶ προσήγγισαν, φησιν, αἱ παιδίσκαι, καὶ τὰ τέκνα, καὶ προσεκύνησαν ἡ Λεία καὶ ἡ Ῥαχήλ. καὶ εἶπε· τί ταῦτά σοί ἐστι, πᾶσαι αἱ παρεμβολαὶ αὗται, αἷς ἀπήντηκα; ὁ δὲ εἶπεν, ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐναντίον σου. θέα μοι πῶς τῇ ὑπερβολῇ τῆς ταπεινοφροσύνης κατεδουλώσατο τὸν ἀδελφόν, καὶ ὃν ἐνόμιζεν ἀγρίως πρὸς αὐτὸν διακεῖσθαι, οὕτως εὗρεν ἥμερον, ὡς βούλεσθαι πρὸς θεραπείαν αὐτοῦ πάντα τὰ παρ' ἑαυτοῦ ἐπιδείξασθαι. εἶπε γάρ, φησιν, ἔστι μοι πολλά, ἀδελφέ, ἔστω σοι τὰ σά. ἀλλ' οὐδὲ οὕτως ἠνέσχετο Ἰακώβ, ἀλλὰ δεικνὺς ὅσην ποιεῖται σπουδὴν τοῦ

A contra homines, 1 *Eleuatis oculis vidit, & ecce Eſau frater eius, & quadringenti viri cum eo. Et diuiſit Iacob pueros ad Lian & Rachel, & duas ancillas. Et poſuit duas ancillas & pueros earum in principio, & Liam & pueros eius poſtea, & Rachel ac Ioſeph poſtremos, 3. ipſe autem præceſſit ante eos, & adorauit ſuper terram ſepties, donec appropinquauit ad fratrem ſuum.* Vide quomodo diuiſione facta, ipſe præ omnibus occurrit: & adorauit ſuper terram, inquit, ſepties, donec appropinquauit ad fratrem ſuum: prouocans & per geB ſtus, & per adorationem fratrem in ſui beneuolentiam: id quod & factum eſt. 4. *Nam Eſaü accurrens*, inquit, *amplexatus eſt eum, & oſculatus eſt, ſtringens collum eius: & flebant vterque.* Vide diſpenſationem Dei. Quod enim heri dicebam, id etiamnum dicam. Quia quando vult omnium dominus ſuam erga nos declarare prouidentiam, eos etiam qui atroci in nos animo ſunt, ouibus manſuetiores facit. Conſidera igitur quantam mutationem declaC rat Eſau. Accurrit enim, inquit, in occurſum eius, & amplexatus eum, oſculatus eſt, & fleuerunt ambo. Vix tandem iuſtus reſpirauit, & timorem excuſſit, animoſior factus. 5 *Eleuatis autem oculis*, inquit, *Eſau vidit mulieres & pueros, & dixit, Quid hæc tibi ſunt?* Videns enim fratris abundantiam, in admirationem adductus eſt, ideo & rogare voluit. Quid igitur iuſtus? *Pueri*, inquit, *ſunt, quibus miſericorditer donauit Deus ſeruum tuum.* Vide quantũ manD ſuetudinis robur: & quomodo per verborũ modeſtam humilitatẽ, illius indignationem fregit & mitigauit. 6 *Et appropinquauerunt*, inquit, *ancillæ & filii*, 7 *& adorauerũt Lia & Rachel. Et dixit*, 8 *Quid hæc tibi sũt, omnia caſtra illa quæ mihi obuiam venerunt? Ille autem dixit: Vt inueniat ſeruus tuus gratiã coram te.* Conſidera, obſecro, quomodo humilitate excellenti fratrem deuicerit: & quem putabat affici erga ſe hoſtiliter & atrociter, ita inuenit manſuetũ vt voluerit in miniſterium eius omne officiũ ſuum declarare. 9 *Dixit enim*, inquit, *ſunt mihi multa frater, ſint tibi tua.* Verum neque hoc permiſit Iacob, ſed monſtrans quanti faciat

Geneſ. Cap. 32.

Mitigat iratos Deus.

Humilitate vincit fratrem Iacob.

eius amicitiam, inquit, 10 *Si inueni gratiam coram te, accipe dona de manibus meis.* Nam propter hoc videbam faciem tuam, quaſi aliquis videat vultum Dei. Accipe, inquit, dona, quæ à me tibi offeruntur. Cum tanta enim iucunditate vidi faciem tuam, cum quanta quis viderit Dei faciem. Hoc magni obſequii gratia dictum eſt à iuſto, vt eum demulceret, & ad fraternam beneuolentiam duceret. 11, *Et beneplacitum mihi facies,* hoc eſt, gratum mihi facies. *Accipe igitur benedictiones quas attuli tibi, quia miſertus eſt mei Deus, & ſunt mihi omnia.* Ne detrectes, inquit, accipere. Hæc enim omnia à Deo mihi donata ſunt, & hic mihi horum omnium ſuppeditator factus eſt. Per quæ placidè & illum docuit, quanta erga ſe fuerit Dei prouidentia, & effecit vt magnam ſibi reuerẽtiã exhiberet. 12 *Et coëgit eum, & accepit.* Vide nunc mutationem. *Et dixit Eſaü, Profecti eamus in rectam:* Hoc eſt, nunc communiter & ſimul iter faciamus. Ille autem cauſatus honeſtum prętextũ: 13 *Dominus meus,* inquit, *ſcit quod pueri mei teneriores, & oues & boues fœtæ ſint: ſi igitur ſequi ea cogam vno die, morientur.* Nõ poſſum, inquit, acceleratius facere iter, ſed cogor lentè & pedetentim progredi, tam propter pueros, quã propter pecudes, vt nõ labore plurimo pereant. Vade igitur, inquit, tu, ego autẽ parcens labori puerorum & pecudum, conueniã te in Seir. Quibus auditis, *frater: ſi vis,* inquit, *relinquam aliquos meorum apud te.* Faciebat hoc in ſignũ magni honoris & officii. Ille autem nihil tale accepit. Sufficit enim mihi, inquit, quod verè inueni gratiam coram te. Hoc vnum mihi curæ erat, vt amicũ te inuenirem. Quoniã igitur hoc aſſecutus ſum, nõ alterius cuiuſpiam indigeo. 17 *Et profectus,* inquit, *Iacob fecit ſibi ipſi & iumentis ſuis tabernacula: ptopterea vocauit locum illũ Tabernacula.*

Moralis epilogus. Hæc audiẽtes imitemur iuſtum illum, & eandem exhibeamus humilitatem animi: & ſi qui ſunt qui malè nobis afficiuntur, non magis eorum accendamus iram, ſed magna manſuetudine & humilitate tam verborum quam operum, reprimamus eorum inimicitias, &

A εὐμενῆ αὐτὸν ἔχειν, φησίν, εἰ εὕρηκα χάριν ἐναντίον σου, δέξαι τὰ δῶρα ἐκ τῶν χειρῶν μου. ἕνεκεν γὰρ τούτου εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον θεοῦ. δέξαι, φησί, τὰ παρ' ἐμοῦ σοι δῶρα προσαγόμενα. μετὰ τοσαύτης γὰρ περιχαρείας εἶδόν σου τὸ πρόσωπον, μεθ' ὅσης ἄν τις ἴδοι θεοῦ πρόσωπον. τοῦτο θεραπείας πολλῆς ἕνεκα ἐῤῥέθη παρὰ τοῦ δικαίου, ὥστε αὐτὸν καταμαλάξαι, καὶ πρὸς τὴν ἀδελφικὴν εὔνοιαν ἀγαγεῖν. καὶ εὐδοκήσεις με, ἀντὶ τοῦ, τὸ ἀρέσκον μοι ποιήσεις. λάβε τοίνυν τὰς εὐλογίας, ἃς ἐνήνοχά σοι. ὅτι ἠλέησέ με ὁ
B θεός, καὶ ἔστι μοι πάντα. μὴ παραιτήσῃ, φησί, λαβεῖν. ταῦτα γὰρ πάντα παρὰ τοῦ θεοῦ μοι δεδώρηται, καὶ αὐτός μοι τούτων ἁπάντων χορηγὸς γεγένηται. διὰ τούτων ἠρέμα κἀκεῖνον ἐπεδίδασκεν, ὅσης ἀξιοῦται τῆς παρὰ τοῦ θεοῦ προνοίας, καὶ παρεσκεύαζε πολλὴν τὴν περὶ αὐτὸν αἰδῶ ἐπιδείκνυσθαι. καὶ παρεβιάσατο αὐτόν, καὶ ἔλαβεν. ὅρα λοιπὸν τὴν μεταβολήν. καὶ εἶπεν, Ἡσαῦ, ἀπάραντες πορευσώμεθα ἐπ' εὐθεῖαν, ἀντὶ τοῦ, λοιπὸν κοινῇ ποιησώμεθα τὴν ὁδοιπορίαν. ὁ δὲ αἰτεῖ, πρόφασιν εὔλογον εὑρηκώς. ὁ κύριός μου, φησί, γινώσκει, ὅτι τὰ παιδία ἁπαλώτερα, καὶ τὰ πρό-
C βατα καὶ αἱ βόες λοχεύονται. ἐὰν οὖν καταδιώξω αὐτὰ ἡμέραν μίαν, ἀποθανοῦνται. οὐ δύναμαι, φησί, συντομώτερον ποιήσασθαι τὴν ἀποδημίαν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν ἀναγκάζομαι ὁδοιπορεῖν διά τε τὰ παιδία καὶ τὰ ποίμνια, ὥστε μὴ διαφθαρῆναι τῷ πλείστῳ καμάτῳ. πορεύου οὖν, φησίν, αὐτός, ἐγὼ δὲ κατὰ μέρος ὑποτεμνόμενος τῶν παιδίων τὸν κάματον καὶ τῶν ποιμνίων, οὕτω καταλήψομαί σε εἰς τὴν Σηείρ. ταῦτα ἀκούσας ὁ ἀδελφός, εἰ βούλει, φησί, καταλείπω τινὰς τῶν σὺν ἐμοὶ μετὰ σοῦ, πολλῆς τιμῆς καὶ θεραπείας καὶ τοῦτο δεῖγμα ποιούμενος. ὁ δὲ οὐδὲ τοῦτο καταδέχεται. ἀρκεῖ μοι, φησίν, ὅτι ὅλως
D εὗρον χάριν ἐναντίον σου. τοῦτό μοι ἦν περισπούδαστον, τὸ εὐμενῆ σε εὑρεῖν. ἐπεὶ οὖν τούτου ἐπέτυχον, οὐδενὸς ἑτέρου δέομαι. καὶ ἀπάρας, φησίν, Ἰακὼβ ἐποίησεν ἑαυτῷ σκηνὰς καὶ τοῖς κτήνεσιν αὐτοῦ. διὰ τοῦτο ἐκάλεσε τὸν τόπον, σκηναί. ταῦτα δὲ ἀκούοντες μιμώμεθα τὸν δίκαιον τοῦτον, καὶ τοσαύτην ἐπιδεικνύμεθα ταπεινοφροσύνην. καὶ ἐπειδὰν ὦσί τινες πρὸς ἡμᾶς ἀηδῶς διακείμενοι, μὴ ἐπὶ πλέον ἐξάπτωμεν τὸν θυμόν, ἀλλὰ τῇ πολλῇ ἐπιεικείᾳ καὶ τῇ ταπεινοφροσύνῃ, τῇ διὰ ῥημάτων, τῇ διὰ πραγμάτων καταστέλλωμεν αὐτῶν τὴν ἔχθραν, καὶ ἰατρεύω-

A ἰατρεύωμεν αὐτῶν τὴν ψυχὴν κεκακωμένην. ὅρα γὰρ τὴν σοφίαν τούτου τοῦ δικαίου, ὅπως τῇ πολλῇ εὐτονίᾳ τῶν ῥημάτων οὕτω τὸν Ἡσαῦ κατεμάλαξεν, ὡς καὶ πρὸς θεραπείαν αὐτοῦ ἐπείγεσθαι, καὶ πάντα πρὸς τὴν τούτου τιμὴν βούλεσθαι ποιεῖν. τοῦτο ἀληθῶς μεγίστης ἐστὶν ἀρετῆς, οὐχ ὅταν τοὺς γνησίως πρὸς ἡμᾶς διακειμένους ἀγαπᾶν σπουδάζωμεν, καὶ θεραπεύωμεν παντὶ τῷ τρόπῳ, ἀλλὰ καὶ ὅταν τοὺς ἐπηρεάζειν ἡμῖν βουλομένους διὰ τῆς πολλῆς προσηνείας ἐπισπώμεθα. οὐδὲν γὰρ ἐπιεικείας σφοδρότερον. ὥσπερ γὰρ τὴν πυρὰν σφοδρῶς πολλάκις ἐκκαιομένην ὕδωρ ἐπιβληθὲν κατέσβεσεν, οὕτω
B καὶ τὸν θυμὸν καμίνου σφοδρότερον ἐξαπτόμενον λόγος μετ᾽ ἐπιεικείας προενεχθεὶς κατασβέννυσι· καὶ διπλοῦν ἡμῖν τὸ κέρδος γίνεται, παρ᾽ ὧν τε αὐτοὶ τὴν ἐπιείκειαν ἐπιδεικνύμεθα, καὶ παρ᾽ ὧν τοῦ ἀδελφοῦ τὸν θυμὸν καταπαύοντες, τὸν λογισμὸν αὐτοῦ ταραχῆς ἐλευθεροῦμεν. τί γὰρ εἰπέ μοι; οὐχὶ μέμφῃ καὶ κατηγορεῖς τοῦ ἀδελφοῦ θυμουμένου, καὶ ἐχθρῶς πρὸς σὲ διακειμένου; τίνος οὖν ἕνεκεν, οὐχὶ διὰ τῶν ἐναντίων αὐτὸς ἔρχεσθαι σπουδάζεις, ἀλλὰ θυμοῦσθαι καὶ αὐτὸς ἐπὶ πλέον
C βούλει; μὴ γὰρ δυνατὸν πῦρ πυρὶ σβέννυσθαι; οὐκ ἔχει φύσιν τὸ γεγενημένον· οὕτως οὐδὲ θυμὸν ἑτέρῳ θυμῷ καταπραΰνεσθαι δυνατὸν ἂν γένοιτό ποτε. ὅπερ γάρ ἐστι τῷ πυρὶ τὸ ὕδωρ, τοῦτο τῷ θυμῷ ἐπιείκεια καὶ πραΰτης. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς μαθηταῖς, ἐὰν τοὺς ἀγαπῶντας ὑμᾶς ἀγαπᾶτε, τίνα μισθὸν ἔχετε; εἶτα ἐντρέψαι βουλόμενος τῇ ἐπαγωγῇ, καὶ καθικέσθαι τῶν ῥᾳθυμεῖν βουλομένων, φησίν, οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; ὃν τινα γὰρ ἂν λάβῃς τῶν ῥαθύμων, οὐχὶ τοῦτο διαπράττεται; καὶ αὐτοὶ οἱ τελῶναι οὐχὶ τοῦτο διὰ σπουδῆς ἔχουσι; τί γὰρ τελώ-
D νου χεῖρον; ἀλλ᾽ ὅμως τοῦτο παντὶ τρόπῳ εὑρήσεις παρ᾽ αὐτοῖς πληρούμενον, καὶ οὐκ οἷόν τε τὸν ἀγαπώμενον μὴ καὶ ἀγαπᾶν. ἐγὼ δὲ, ἐπειδὴ ὑψηλοτέρους ὑμᾶς εἶναι βούλομαι, καὶ ἔχειν τι τούτων πλέον, οὐ τοῦτο παραινῶ, ἀλλὰ καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν. ὅπερ ὁ μακάριος οὗτος πρὸ τοῦ νόμου, πρὸ τῆς διδασκαλίας τῆς παρ᾽ ἑτέρων, οἴκοθεν κινούμενος, διὰ τῆς ὑπερβαλλούσης ἐπιεικείας πρότερον μὲν τοῦ Λάβαν περιεγένετο, νυνὶ δὲ καὶ τοῦ ἀδελφοῦ. εἰ γὰρ καὶ τῆς ἄνωθεν συμμαχίας ἀπήλαυσεν, ἀλλ᾽ ὅμως καὶ τὰ παρ᾽ ἑαυτοῦ προεπεδείκνυτο.

afflictas eorum curemus animas. Vide enim ſapientiam huius iuſti, quomodo magna verborum efficacia ita Eſau demulſit, vt & ad eum colendū feſtinaret, & facere vellet omnia quæ ad eius pertinebant honorem. Hoc verè ſummæ virtutis eſt, vt non ſolùm eos qui bene in nos afficiuntur, magno ſtudio diligamus, & eis omnibus modis ſeruiamus: ſed vt etiam eos qui nobis infeſti eſſe volunt, aſſiduitate officiorum nobis conciliemus amicos. Nihil enim manſuetudine violentius. Nam ſicut rogum cùm valde accenditur, aqua iniecta reſtinguit: ita & animum camino magis exardeſcentem, verbum cum manſuetudine prolatum extinguit: & duplex inde nobis lucrum accreſcit, tum quòd nos manſuetudinem declaramus, tum quòd fratris indignationem ceſſare facimus, & mentem eius à turbatione liberamus. Quid enim, dic mihi: Num reprehendis fratrem tuum, & accuſas indignationem, & quòd hoſtiliter ſe gerit erga te? Cur igitur non diuerſa via ſtudes incedere, ſed ipſe magis iraſci vis? Num enim poteſt igni ignis extingui? Repugnat hoc naturæ. Sic neque furor furore alio demulceri poterit vnquam. Verum quod igni eſt aqua, hoc eſt iræ manſuetudo & mititas. Propterea & Chriſtus dicebat diſcipulis: Si diligentes vos diligitis, quam mercedem habetis? Deinde magis ad hoc cohortari & reprehendere negligentes volens, dicit: Nónne & publicani idem faciunt? Quemcunque enim negligentem ſumpſeris, nónne hoc facit? Nónne & publicani magno ſtudio hæc faciunt? Quid autem publicano deterius? attamen inuenies eum hoc omnibus modis obſeruare, & non eſt poſſibile, vt non redamet qui amatur. Ego autem quia & excelſiores vos eſſe volo, & aliquid amplius habere, non hoc admoneo, ſed vt inimicos diligatis. Id quod beatus ille ante legem, ante doctrinam aliorum, ſponte ſua fecit: & propter excellentem manſuetudinem prius ſuperauit Laban, nunc autem & fratrem. Nam licet ſuperno præſidio fretus fuerit, attamen quod & ſuum eſt priùs declarauit.

Inimicos ſibi conciliare magna virtus.

Matth. 5.46.

Ita ſanè & nos perſuadeamus nobis, quòd licet millies enitamur, nihil tamen prorſus rectè agere poſſumus, niſi ſuperno auxilio adiuti. Sicut enim niſi illo ſubſidio fruamur, nihil vnquam poſſumus rectè agere: ita niſi quod noſtrum eſt attulerimus, non poterimus ſupernum auxilium obtinere. Demus igitur operam vt & noſtra afferamus, & ſupernum fauorem alliciamus, vt & ex noſtro ſtudio, & ex Dei benignitate virtutes noſtræ quotidie creſcant, multáque ſuperna fruamur gratia. Quod nobis omnibus concedatur gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum patre & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſeculorum. Amen.

Nota locum hunc contra eos qui Chryſoſt. Pelagio fauere dicunt.

HOMILIA LIX.

Gen. 33. 18.

Et venit Iacob in ciuitatem Secimorum, & emit partem agri ab Emor patre Sychem centum agnis: & erexit ibi altare, & inuocauit Deum Iſraël.

VIDISTIS heri & noſtri omnium domini eximiam clementiã, & diſcipulorũ philoſophiam, & Iudæorum ingratitudinem? Vidiſtis quanta cum patientia eorum impudentem audaciam obmuteſcere fecit, cùm ſuos excuſaret diſcipulos, monſtrans quòd ipſi qui legem vindicare volebant, legis voluntatem ignorarint, & quòd irradiante veritate, adhuc vmbrę aſſidere voluerint? Vidiſtis quomodo iam inde ab initio obſeruationes legales auferre ſtudebat, docens eos quòd exorto ſole iuſtitiæ, lucernæ lumen nihil iam efficere poſſit? Iubar enim ſolaris luminis quod accedit, hoc tegit, & videri non ſinit. Didiciſtis quomodo poſſibile ſit, vt feriæ perpetuæ agantur, & à temporum obſeruatione liberemur. Nam propter hoc venit dominus noſter, vt nos liberaret à temporum neceſſitate: & efficeret, vt altius euolaremus,

A οὕτω δὴ καὶ ἡμεῖς πείσωμεν ἑαυτοὺς, ὅτι κἂν μυριάκις σπουδάζωμεν, οὐδὲν οὐδέποτε κατορθῶσαι δυνησόμεθα, εἰ μὴ καὶ τῆς ἄνωθεν ῥοπῆς ἀπολαύσαιμεν. ὥσπερ γὰρ, εἰ μὴ τῆς ἐκεῖθεν συμμαχίας ἀπολαύσωμεν, οὐδὲν ἰσχύομεν ποτε τῶν δεόντων κατορθῶσαι· οὕτω πάλιν, εἰ μὴ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, οὐ δυνησόμεθα τῆς ἄνωθεν ἀξιωθῆναι ῥοπῆς. διὸ σπουδάζωμεν καὶ τὰ παρ' ἑαυτῶν εἰσφέρειν, καὶ τὴν ἄνωθεν κηδεμονίαν ἐφέλκεσθαι, ἵνα καὶ ἐκ τῆς ἡμετέρας σπουδῆς, καὶ ἐκ τῆς τοῦ θεοῦ φιλανθρωπίας τὰ τῆς ἀρετῆς ἡμῖν καθ' ἑκάστην ἡμέραν ἐπιτείνηται, καὶ πολλῆς ἀπολαύ-
B σωμεν τῆς ἄνωθεν χάριτος, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία νθ.

Καὶ ἦλθεν Ἰακὼβ εἰς Σαλὴμ πόλιν Σηκίμων, καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ παρὰ Ἐμμὼρ τοῦ πατρὸς Συχὲμ ἑκατὸν ἀμνάδων, καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν θεὸν τοῦ Ἰσραήλ.

C Εἴδετε χθὲς καὶ τοῦ κοινοῦ τῶν ἁπάντων δεσπότου τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, καὶ τῶν μαθητῶν τὴν φιλοσοφίαν, καὶ τῶν Ἰουδαίων τὴν ἀγνωμοσύνην; εἴδετε μεθ' ὅσης ἀνεξικακίας ἐπεστόμισεν αὐτῶν τὴν ἀναίσχυντον τόλμαν, τὴν ὑπὲρ τῶν μαθητῶν ἀπολογίαν ποιούμενος, καὶ δεικνὺς ὅτι αὐτοὶ οἱ τὸν νόμον ἐκδικεῖν ἐθέλοντες, ἀγνοοῦσι τοῦ νό-
D μου τὸ βούλημα, καὶ ὅτι τῆς ἀληθείας φανείσης ἔτι τῇ σκιᾷ παρακαθῆσθαι ἤθελον; εἴδετε πῶς ἄνωθεν καὶ ἐξ ἀρχῆς τὰς παρατηρήσεις τὰς νομικὰς ἀνελεῖν ἐσπούδαζε, διδάσκων αὐτοὺς ὅτι τοῦ ἡλίου τῆς δικαιοσύνης φανέντος οὐκ ἔτι δυνατὸν τὸ λυχναῖον ἐνεργεῖν φῶς; ἡ γὰρ αὐγὴ τοῦ φωτὸς τοῦ ἡλιακοῦ προσβάλλουσα ἀποκρύπτει τούτου τὴν χρείαν. ἐμάθετε πῶς δυνατὸν ἀεὶ ἑορτάζειν, καὶ ἀπηλλάχθαι τῆς τῶν καιρῶν παρατηρήσεως. διὰ γὰρ τοῦτο παρεγένετο ὁ δεσπότης ὁ ἡμέτερος, ἵνα ἡμᾶς ἐλευθερώσῃ τῆς τῶν καιρῶν ἀνάγκης, καὶ παρασκευάσῃ ὑψηλότερα πέτεσθαι,

καὶ ἐν οὐρανῷ λοιπὸν ἔχειν τὸ πολίτευμα, καὶ ἀν- A θρώπους ὄντας τὴν τῶν ἀγγέλων μιμεῖσθαι πολιτείαν, καὶ καταγελᾶν πάντων τῶν ἀνθρωπίνων πραγμάτων. Φέρε δὴ σήμερον, εἰ δοκεῖ, ἐπὶ τὴν ἀκολουθίαν τῶν πρώην ἡμῖν εἰρημένων ἐκ τῶν τοῦ μακαρίου Μωυσέως ῥημάτων ἐπανελθόντες, ἐκεῖθεν ὑμῖν παραθῶμεν τὴν ἑστίασιν. ἴστε γὰρ ὅτι ἐπανελθόντος ἐκ Μεσοποταμίας τοῦ Ἰακὼβ, καὶ τὴν πρὸς τὸν ἀδελφὸν συντυχίαν ποιησαμένου, καὶ μετὰ τοῦτο διαχωρισθέντος, καὶ ἐκείνου μὲν εἰς τὴν Σηεὶρ ὁρμήσαντος, τοῦ δὲ Ἰακὼβ τὰς σκηνὰς πηξαμένου, καὶ τὸν τόπον ἀπὸ τοῦ συμβάντος ὀνομάσαντος Σκηνὰς, ἐνταῦθα τὸν λόγον κατελύσαμεν. διὸ χρὴ τὰ ἑξῆς B ἐπελθόντας κατὰ δύναμιν τὴν ἡμετέραν τὴν διδασκαλίαν ὑμῖν παραθεῖναι τὴν πνευματικήν. ἐν ἀδείᾳ γὰρ λοιπὸν γεγονὼς ὁ δίκαιος, καὶ ἐλευθερωθεὶς πάσης ἀγωνίας, ἦλθε, φησιν, εἰς πόλιν Σικίμων, καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ παρὰ Ἐμμὼρ τοῦ πατρὸς Συχὲμ ἑκατὸν ἀμνῶν. καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν θεὸν τοῦ Ἰσραήλ. μὴ ἁπλῶς παρατρέχωμεν τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα. εἰ γὰρ οἱ τὰ ψήγματα τοῦ χρυσίου ἐκ τῆς γῆς ἀνορύττοντες, πάντα πόνον ὑπομένουσι, καὶ πάντων ἀνέχονται τῶν δυσχερῶν, ὥστε δυ- C νηθῆναι τῆς γῆς χωρίσαι τὸ χρυσίον· πολλῷ μᾶλλον ἡμᾶς δίκαιον ἂν εἴη τὰ λόγια τοῦ πνεύματος διερευνᾶσθαι, καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν καρπωσαμένους οὕτως ἐντεῦθεν ἐξιέναι. ἐννόει μοι τοίνυν τοῦ θαυμαστοῦ τούτου ἀνδρὸς τὴν φιλοσοφίαν, ὅπως τοσαύτης ἀπολαύων τῆς ἄνωθεν ῥοπῆς, καὶ ὁρῶν ἑαυτοῦ τὴν περιουσίαν αὐξομένην, τὴν τῶν θρεμμάτων λέγω, καὶ τοσούτων παίδων χορὸν αὐτῷ περιεστῶτα, οὐ περὶ οἰκοδομὰς λαμπρὰς ἑαυτὸν ἐξέδωκεν, οὐδὲ ἀγροὺς καὶ κώμας ὠνήσασθαι ἐσπούδασε δυναμένους ἀρκέσαι πρὸς τὴν διανομὴν τῶν παίδων. ταῦτα γὰρ D καὶ τὰ τοιαῦτα οἱ νῦν ἡμῖν περιβάλλονται, καὶ ἕνα πολλάκις τις ἔχων υἱὸν μυρία τάλαντα χρυσίου συλλέγειν σπουδάζει, καὶ ἀγροὺς ὠνήσασθαι, καὶ οἰκοδομὰς περιφανεῖς κατασκευάζειν. καὶ εἴθε ἐκ δικαίων πόνων, καὶ ἄνευ ἀδικίας τούτων τὴν περιουσίαν συνέλεγον. ἀλλὰ τὸ βαρὺ καὶ πάντων δεινότερον, ὅτι ἑτέρους ἁρπάζων καὶ πλεονεκτῶν καὶ πράγματα συρράπτων, οὕτω τὰς ἑτέρων οὐσίας εἰς ἑαυτὸν μεθίστησι. καὶ ἐάν τις ἔρηται, τίνος ἕνεκεν ἡ τοσαύτη τῶν χρημάτων μανία, εὐθέως τὸν παῖδα προβάλλεται, καὶ διὰ τὴν περὶ ἐκεῖνον εὔνοιαν ταῦτά φησι διαπράττεσθαι.

& iam in cœlo haberemus municipatum: & cùm adhuc homines ſumus, angelorum imitaremur vitam, ac res humanas omnes irrideremus. Age hodie, ſi videtur, ſeriem verborum beati Moſis ſequentes, ea quæ ſuperioribus diebus dicta ſequuntur, tractemus, & inde vobis apponamus conuiuium. Scitis enim quòd cùm rediiſſet ex Meſopotamia Iacob, & occurreret fratri, & iterum ab eo ſepararetur: & illo quidem in Seir montem contendente, Iacob autem tabernacula figente, & locum ab euentu Tabernacula vocante, ſermonem hic miſſum fecimus; ideò opus eſt vt ſequentia pro viribus noſtris tractantes, doctrinam vobis relinquamus ſpiritualem. Securus enim tandem factus iuſtus, & ab omni mentis angore liberatus, [18] *Venit*, inquit, *in ciuitatem Secimorum*, [19] *& emit partem agri ab Emor patre Sychem centum agnis:* [24] *& erexit ibi altare, & inuocauit Deum Iſraël.* Ne prætereamus obiter ea quæ in diuinis ſcripturis ſunt contenta. Nam ſi qui auri rameuta è terra effodiunt, nulli labori parcunt, & omnia grauia ferunt vt poſſint aurum à terra ſeparare: multò magis iuſtum fuerit vt ſcrutemur eloquia Chriſti, & vtilitatem quæ inde eſt percipiamus, & ſic hinc exeamus. Cogita, obſecro, eximij iſtius viri philoſophiam, quomodo tanto auxilio ſupernè fruitur: & videns augeri ſuas facultates, pecora dico, & tantum numerum filiorum circumſtantem, non in extruendis ædificiis amplis & præclaris fuit occupatus, neque agros & villas emere curauit, qui ſufficere poterant vt diſtribuerentur filiis. Hæc enim & ſimilia agere ſolēt qui alios opibus antecellūt: & ſæpe qui vnū tantum habet filium, decem millia talentorum auri colligere quærit, vt agros emat, & domus claras extruat: & vtinam ex iuſtis laboribus tantam affluentiam colligeret: ſed graue, & quod omnibus grauius eſt facit, ab aliis rapit, alios circumuenit dolis, aliis negocium facit, & ita alienas ſubſtantias ſuas facit. Et ſiquis dixerit: Ad quid tanta ad colligendas opes inſania? ſtatim puerū prætexit, & dicit ſe talia operari ob ſuū in illū amorem.

Modicis poſſeſſionibus cōtentus Iacob.

Et ille quidem tametſi puerum prætexat, hæc vtcunque expiat, fruſtra tamen & in vanum. Sunt autem qui neque pueros habent, & inſaniunt vt pecunias colligant: & mallent grauiſſima ferre, quàm vnum obolum indigentibus expendere. Sed iuſtus ille nihil talium conſultauit, neque cogitauit: ſed cùm opus opus haberet empto agro, centum agnis datis, partem agri emit ab Emor, patre Sychem. Et vide pietatem, religionémque viri, qua de cauſa agrum emere ſtuduerit. Et erexit ibi, inquit, altare: & inuocauit Deum Iſraël. Vidiſti quare & agri partem emat? vt gratias ageret communi noſtri omnium domino. Oportebat imitari omnes qui ſub gratia ſunt, hunc qui ante legem, & non ſic inſanire in pecuniarum collectionem. quare enim, dic mihi, & tibiipſi hæc onera ſpinarum congregas, & filiis tuis materiam & occaſionem malitiæ te relinquere non ſentis? Neſcis quòd dominus maiorem curam pueri tui gerit, tu autem tanquam illius maiorem curam gerens, occaſiones illi relinquere ſtudes, quæ ſubmergi animam eius faciant? An neſcis quòd iuuentus per ſeipſam ad ruinam procliuis eſt, & ad malitiam leui momento inclinatur? quando autem & opum affluentiam acceperit, multò magis ad malum proruit. Sicut enim ignis cùm fomitem inuenit, validioribus flammis exurgit: ita & quando in iuuenem materia pecuniarum inciderit, tātam accendit fornacem, vt animam iuuenis totam flagrare faciat. Nam quādo poterit talis continentiæ curam habere, & intemperantiam fugere, & laborem pro virtute, vel aliud ſpirituale quiddam ſuſcipere? An nō audis Chriſtum dicentem: Curę huius ſeculi & deceptio diuitiarum ſuffocant mētem & ſterilis fit: quas & ſpinas nominauit? Nam cùm dixiſſet in parabola ſeminis, ꝙ aliud ex ſeminibus in ſpinas incidit, deinde diſcipulis interpretans, quænam ſint ſpinę, inquit: Sollicitudo huius ſeculi & deceptio diuitiarū, quę ſuffocant mentem & ſterilis fit. Et bene ſpinis comparauit ſollicitudinem huius ſeculi.

Iuuētus ad malū procliuis.

Matt.13. 22. & Luc.8.

A καὶ οὗτος μὲν κἂν παῖδα προβαλλόμενος ταῦτα ἀφοσιοῦται, εἰκῆ καὶ μάτην. εἰσὶ δὲ, οἳ μηδὲ παῖδας ἔχοντες μεμήνασι περὶ τὴν τῶν χρημάτων συλλογὴν, καὶ μυριάκις ἂν ἕλοιντο τὰ ἀνήκεστα ὑπομεῖναι, ἢ ἕνα ὀβολὸν προέσθαι τινὶ τῶν δεομένων. ἀλλ' ὁ δίκαιος οὗτος οὐδὲν τοιοῦτον ἐβουλεύσατο, οὐδὲ ἐνενόησεν, ἀλλὰ καὶ ἡνίκα ἔδει βραχὺ ἀγρὸν ὠνήσασθαι, ἑκατὸν ἀμνοὺς δοὺς, οὕτω τοῦ ἀγροῦ τὴν μερίδα ὠνήσατο παρὰ Ἐμμὼρ τοῦ πατρὸς Συχέμ. καὶ ὅρα τοῦ ἀνδρὸς τὸ φιλόθεον, καὶ τίνος ἕνεκεν ἀγρὸν λαβεῖν ἐσπούδασε. καὶ ἔστησεν ἐκεῖ, φησὶ, θυσιαστήριον, καὶ ἐπεκαλέσατο τὸν B θεὸν τοῦ Ἰσραήλ· καὶ τοῦ ἀγροῦ τὴν μερίδα δι' οὐδὲν ἕτερον ὠνήσατο, ἢ ἵνα τὰς εὐχαριστίας ἀνενέγκῃ τῷ κοινῷ πάντων δεσπότῃ. τοῦτον ἅπαντας ἐχρῆν ζηλοῦν τοὺς ἐν τῇ χάριτι τὸν πρὸ τοῦ νόμου, καὶ μὴ οὕτω μαίνεσθαι περὶ τὴν τῶν χρημάτων συλλογήν. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, καὶ ἑαυτῷ τοσαῦτα φορτία ἀκανθῶν συνάγεις, καὶ τοῖς παιδίοις τοῖς σοῖς ὕλην κακίας καὶ ὑπόθεσιν καταλιμπάνων οὐκ αἰσθάνῃ; οὐκ οἶδας ὅτι σοῦ μᾶλλον κήδεται τοῦ σοῦ παιδὸς, σὺ δὲ ὡς πλείονα τὴν περὶ αὐτὸν ἐπιδεικνύμενος πρόνοιαν, ἀφορμὰς C αὐτῷ καταλιπεῖν σπουδάζεις τὰς δυναμένας ὑποβρύχιον αὐτοῦ τὴν ψυχὴν ἐργάσασθαι; ἢ οὐκ οἶδας, ὅτι ἡ νεότης καὶ καθ' ἑαυτὴν μὲν εὐόλισθόν ἐστι πρᾶγμα καὶ ὀξύῤῥοπον πρὸς κακίαν, ὅταν δὲ καὶ χρημάτων περιουσίαν προσλάβῃ, πολλῷ μᾶλλον ἐπιῤῥεπέστερον τὸ κακὸν γίνεται. καθάπερ γὰρ πῦρ ὕλην προσλαβὸν, σφοδροτέραν ἀνάπτει τὴν φλόγα· οὕτω καὶ ἡ νεότης καθάπερ πυρὰν τὴν ὕλην τῶν χρημάτων δεξαμένη, τοσαύτην ἀνάπτει τὴν κάμινον, ὡς ὁλόκληρον ἐμπρῆσαι τοῦ νέου τὴν ψυχήν. πότε γὰρ ὁ τοιοῦτος D δυνήσεται σωφροσύνης ἐπιμεληθῆναι, καὶ ἀκολασίαν φυγεῖν, καὶ τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους ἀναδέξασθαι, ἢ τι ἕτερον πνευματικόν; ἢ οὐκ ἀκούεις τοῦ Χριστοῦ, ὅτι ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λογισμὸν, καὶ ἄκαρπος γίνεται, ἃς καὶ ἀκάνθας ὠνόμασεν; εἰπὼν γὰρ τὸ μὲν τοῦ σπόρου εἰς τὰς ἀκάνθας ἐμπεπτωκέναι, εἶτα ἑρμηνεύων τοῖς μαθηταῖς τίνες εἰσὶν αἱ ἄκανθαι, φησὶν, ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται. καὶ καλῶς ἀκάνθαις παρείκασε τὴν μέριμναν τοῦ αἰῶνος τούτου.

καθάπερ γὰρ αἱ ἄκανθαι οὐκ ἐῶσι προκύψαι τὸν σπόρον, ἀλλὰ τῇ πυκνότητι συμπνίγουσι τὸ καταβληθέν· οὕτω καὶ αἱ μέριμναι αἱ βιωτικαὶ τὸν σπόρον τὸν πνευματικὸν, ἐπειδὰν εἰς τὴν ψυχὴν καταβληθῇ, οὐκ ἀφιᾶσι καρπὸν ἐνεγκεῖν, ἀλλὰ συγκαίουσαι καὶ συμπνίγουσαι, καθάπερ αἱ ἄκανθαι, οὐκ ἐῶσι προκύψαι τὸν σπόρον τὸν πνευματικόν. καὶ ἡ ἀπάτη, φησὶ, τοῦ πλούτου. καλῶς εἶπεν ἀπάτην τοῦ πλούτου. καὶ γὰρ ὄντως ἀπάτη ἐστί. τί γὰρ ὄφελος τῶν τοσούτων ταλάντων, καὶ τῆς τοσαύτης τῶν χρημάτων περιβολῆς; ναί φησι, πολλὴν τὴν εὐφροσύνην παρέχει τὸ κεκτῆσθαι. ποίαν εὐφροσύνην; καὶ τί λέγω εὐφροσύνην; οὐχὶ τοῦτο μάλιστα τὰς ἀκαίρους ἀθυμίας, τὰς πολλὰς ἀηδίας τίκτεσθαι παρασκευάζει; καὶ οὔπω λέγω τὴν διὰ ταῦτα κόλασιν ἐπηρτημένην, ἀλλ' ἁπλῶς τὰ ἐν τῷ παρόντι βίῳ, ὅτι οὐδὲ ἡδονὴν τὸ πρᾶγμα ἔχειν δύναται, ἀλλὰ καθημερινὰς ταραχὰς, καὶ ἀηδίας. καὶ οὐχ οὕτω τὴν θάλατταν ἔστιν ἰδεῖν πρὸς τὰ κύματα κορυφουμένην, ὡς τὴν τοιαύτην ψυχὴν ὑπὸ τῶν λογισμῶν καὶ τῶν παθῶν πολιορκουμένην, καὶ πρὸς ἅπαντας καὶ οἰκείους καὶ ἀλλοτρίους ἀηδῶς διακειμένην. καὶ ἐάν ποτε κἂν μέρος τι τούτων ὑφέληταί τις (πολλὰ γὰρ τὰ συμπίπτοντα, καὶ πολλοὶ οἱ ἐφεδρεύοντες, καὶ οἰκετῶν κακουργίαι, καὶ δυναστευόντων ἐπήρειαι) τότε δὴ, τότε εὑρήσεις τοὺς τοιούτους ἀβίωτον τὸν βίον ἡγουμένους. ποίων οὖν οὐκ ἂν εἶεν θρήνων οἱ τοιοῦτοι ἄξιοι, οἱ καθ' ἑαυτῶν ἅπαντα πράττειν σπουδάζοντες, καὶ ἐπὶ λύμῃ τῆς ἑαυτῶν ψυχῆς ταῦτα συλλέγειν βουλόμενοι; ἀλλ', εἰ δοκεῖ, τούτοις καταλιπόντες, ἐπὶ τὴν κατὰ τὸν δίκαιον ἱστορίαν ἐπανέλθωμεν, καὶ ἴδωμεν τὴν ἐξῆς ἀκολουθίαν. ἔστησε, φησι, θυσιαστήριον ἐν τῇ μερίδι τοῦ ἀγροῦ, καὶ ἐπεκαλέσατο τὸν θεὸν Ἰσραὴλ, καὶ λοιπὸν ἐν Σικίμοις τὴν οἴκησιν ἐβουλεύσατο ποιήσασθαι. ἀλλ' ὅρα πάλιν, ὅπως ὁ δίκαιος καὶ ἐνταῦθα τὴν οἰκείαν ἐπιείκειαν ἐπιδείκνυται. τί γάρ; ἐξῆλθε, φησι, Δίνα ἡ θυγάτηρ Λείας ἰδεῖν τὰς θυγατέρας τῶν ἐγχωρίων. καὶ ἰδὼν αὐτὴν Συχὲμ ὁ υἱὸς Ἐμὼρ ἐκοιμήθη μετ' αὐτῆς, καὶ ἠγάπησε, φησι, τὴν παρθένον, καὶ ἐλάλησεν αὐτῇ κατὰ τὴν διάνοιαν τῆς παρθένου. εἶδες ὅσον ἐστὶν ἡ νεότης κακὸν, ἐπειδὰν μὴ ἔχῃ χαλινὸν, τὸν εὐσεβῆ λογισμόν; εἶδε γάρ, φησι, τὴν κόρην, καὶ ὅλος ὑπὸ τῆς ὄψεως ἔρωτος γεγονὼς, τὴν ἐπιθυμίαν εἰς ἔργον ἐξήγαγε, καὶ ἐλάλησεν αὐτῇ κατὰ τὴν διάνοιαν τῆς παρθένου.

A Sicut enim ſpinæ non ſinunt ſemen emicare, ſed denſitate ſua ſeminatum ſupprimunt: ita & curæ temporales, ſpirituale ſemen, quod in anima ſeminatur, non ſinunt fructum afferre: ſed adurunt & ſuffocant ſicut ſpinæ, profectum eius ſpiritualem retardantes. Et deceptio diuitiarum. Etenim verè deceptio eſt. Quæ enim vtilitas tot talentorum, & tantæ affluentiæ diuitiarum? Profectò, inquit, magnam præbet voluptatem & lætitiam poſſeſſio. Qualem lætitiam? Et quid dico lætitiam? Nónne maximè intempeſtiuas triſtitias & mœrores naſci facit? & nondum dico magnam illam & in futuro repoſitam propter ipſas pœnam: ſed de his loquor quæ in præſenti vita contingunt, quod ne voluptatem quidem vllam hæc res habere poteſt, ſed potius quotidianas turbationes & amaritudines. Et mare fluctibus non ita intumeſcit, vt talem animam à cogitationibus & affectionibus infeſtari, & in omnes tam ſuos quàm alienos malè affici videmus. Et ſi quando partem illorum auferat aliquis: (multa enim accidunt, & multi inſidiantur, vtpote famulorum malignitas, & potentium violentia:) tunc vtique inuenies tales vitam ſibi acerbam ducere. Qualibus igitur lamentis tales non fuerint digni, qui omnia facere ſtudent quæ conrra ſe ſunt, & in perniciem animæ ſuæ talia colligere volunt? Verum ſi videtur, talibus relictis, ad hiſtoriam iuſti huius redeamus, & videamus ſequẽtium ſeriem. Erexit, inquit, altare in parte agri, & inuocauit Deũ Iſraël, & poſtea in Secimis domicilium habere voluit. Sed vide iterum, quomodo iuſtus & hic ſuam manſuetudinem declarat. Et quid dicit? *Egreſſa eſt autem*, inquit, *Dina filia Liæ, vt videret filias indigenarum.* [2] *Et vt vidit eam Sychem filius Emor, dormiuit cum ea*[3] *& dilexit virginem, & locutus eſt ei iuxta mentem virginis.* Vidiſti quantum ſit iuuentus malum, quando rectæ rationis fræno caret? Vidit enim virginem, & totus propter aſpectum captiuus factus eſt, & concupiſcentiam opere compleuit, & locutus ei iuxta mentem virginis.

Diuitiarum vanitas.

B C D

CAPVT XXXIIII.

[...]uid eſt, iuxta mentem virginis? [...]uoniam iuuenis erat puella, eiuſ[...]di verba, inquit, cum ea locu[...]eſt, quæ ſufficiebant ad conci[...]dam ſibi eam. Et inquit ad pa[...]m: 4 *Accipe mihi puellam hanc in vxorem.* Audiuit autem Iacob factum, & tunc leuiter tulit, expectans fratrum eius aduentum. Erant in paſcuis. 5 *Et ſiluit*, inquit, *Iacob, donec venirent illi.* 7 *Cùm autem veniſſet Emor ad Iacob, venerunt & fratres Dinæ, & cùm audiuiſſent quæ facta erant ſorori ſuæ, compuncti ſunt.* Quid eſt, compuncti ſunt? contriſtati ſunt, & rem intolerabilem eſſe putauerunt & grauiſſimam, eratque eis mœrendi magna occaſio. *Magna enim*, inquit, *eos triſtitia afficiebat, quòd rem turpem fecerat in Iſraël Sychem, qui dormiuerat cum filia Iacob.* Vides filiorum continentiam, quomodo turpitudinem maximam hoc factum reputabant? Vidiſti quomodo iuſtus pueros ſuos erudiit ad virtutem? Quomodo autem filius Emor ſuam concupiſcentiam opeopere complens, fit patri & toti ciuitati perditionis author? Sed prius audiamus, quæ Emor ad eos dixerit, & poſtea ſocietis fratrum Dinæ malitiam, & quomodo vindicare ſtudebant quod in ſororem erat commiſſum. 8 *Et locutus eſt eis Emmor dicens: Sychem filius meus prælegit animæ filiam veſtram.* Vide quomodo iam præſignat, quòd pernicies eum comprehenſura ſit. Præelegit enim, inquit, animæ: hoc eſt, animam ſuam expoſuit pro filia veſtra. Ille quidem dicebat concupiſcētiam eius, quam erga puellā habebat: paulò poſt autem didicit, quòd ſuę & omnium qui ibi erant, perditionis fuerit occaſio. Quia igitur ille virginem ſic deperibat, *Date*, inquit, *iſtam illi vxorem, & affinitatem contrahite nobiſcum: filias veſtras date filiis noſtris, & filias noſtras accipite filiis veſtris,* 10 *& inter nos habitate. Et ecce terra lata eſt coram vobis, habitate & negociamini in ea, & in ea poſſeſſiones habete.* Vide patrē quomodo propter filij amorē quantā habet erga peregrinos benignitatē, & quomodo eos conciliare ſibi vult, data eis in omni regione ſua poteſtate. Et hæc quidē egit pater: filius autē quia vidit pa-

Temperantia filiorum Iacob.

A τί ἐστι, κατὰ τὴν διάνοιαν τῆς παρθένου; ἐπειδὴ νέα ἦν ἡ κόρη, ἐκεῖνα, φησιν, αὐτῇ διελέχθη, ἃ ἦν ἱκανὰ ἐπισπάσασθαι καὶ ἑλκύσαι αὐτήν. καί φησι πρὸς τὸν πατέρα, λάβε μοι τὴν παιδίσκην ταύτην εἰς γυναῖκα. ἤκουσε δὲ Ἰακὼβ τὸ γεγονός, καὶ τέως πράως ἔφερεν, ἀναμένων τῶν ἀδελφῶν αὐτῆς τὴν παρουσίαν. ἦσαν γὰρ ἐν τοῖς ποιμνίοις. καὶ παρεσιώπησε, φησιν, Ἰακὼβ ἕως οὗ ἐλθεῖν αὐτούς. παραγενομένου δὲ τοῦ Ἐμμὼρ πρὸς τὸν Ἰακὼβ, ἦλθον καὶ οἱ ἀδελφοὶ τῆς Δείνας. καὶ ἀκούσαντες τὰ γεγενημένα εἰς τὴν ἀδελφὴν αὐτῶν κατενύγησαν. τί ἐστι, κατενύγησαν; ἐλυπήθησαν, οὐκ ἀ-
B νεκτὸν αὐτοῖς ὤφθη, ἀλλὰ καὶ πάνυ χαλεπὸν, καὶ λύπης αὐτοῖς ὑπόθεσις γέγονε. λυπηρὸν γάρ, φησιν, ἦν αὐτοῖς σφόδρα, ὅτι ἄσχημον ἐποίησεν ἐν Ἰσραὴλ Συχὲμ, κοιμηθεὶς μετὰ τῆς θυγατρὸς Ἰακώβ. ὁρᾷς τῶν παίδων τὴν σωφροσύνην; μεγίστην ὕβριν τὸ πρᾶγμα ἐλογίσαντο. εἶδες πῶς μὲν ὁ δίκαιος τοὺς ἑαυτοῦ παῖδας ἐπαίδευσεν εἰς τὴν ἀρετήν; πῶς δὲ ὁ τοῦ Ἐμμὼρ υἱὸς εἰς ἔργον ἀγαγὼν αὐτοῦ τὴν ἐπιθυμίαν, τῷ πατρὶ καὶ πάσῃ τῇ πόλει ὀλέθρου ὑπόθεσις γίνεται; ἀλλὰ πρότερον ἀκούσωμεν τὰ παρὰ τοῦ Ἐμμὼρ πρὸς αὐτοὺς λεγό-
C μενα, καὶ μετὰ ταῦτα εἴσεσθε τῶν ἀδελφῶν τῆς Δείνας τὴν πονηρίαν, καὶ ὅπως ἐκδικῆσαι τὰ εἰς τὴν ἀδελφὴν γεγενημένα σπουδὴν ἐποιήσαντο. καὶ ἐλάλησε, φησιν, αὐτοῖς Ἐμμὼρ λέγων· Συχὲμ ὁ υἱός μου προείλετο τῇ ψυχῇ τὴν θυγατέρα ὑμῶν. ὅρα πῶς ἤδη τὸν μέλλοντα καταλήψεσθαι αὐτὸν ὄλεθρον μηνύει. προείλετο, φησι, τῇ ψυχῇ, ἀντὶ τοῦ, τὴν ψυχὴν αὐτοῦ ἐξέδωκεν ὑπὲρ τῆς θυγατρὸς ὑμῶν. ἐκεῖνος μὲν ἔλεγε, τὴν ἐπιθυμίαν αὐτοῦ τὴν ἐπὶ τὴν κόρην δηλῶν· μετὰ βραχὺ δὲ ἐμάνθανεν, ὅτι τῆς ἀπωλείας καὶ ἑαυτοῦ καὶ πάντων τῶν αὐτόθι
D τοῦτο ἔσται ὑπόθεσις. ἐπεὶ οὖν, φησιν, οὕτως ἐκκαίεται τῆς κόρης, δότε αὐτὴν αὐτῷ γυναῖκα, καὶ ἐπιγαμβρεύσατε ἡμῖν. τὰς θυγατέρας ὑμῶν δότε ἡμῖν· καὶ τὰς θυγατέρας ἡμῶν λάβετε τοῖς υἱοῖς ὑμῶν, καὶ ἐν ἡμῖν κατοικεῖτε. καὶ ἰδοὺ ἡ γῆ πλατεῖα ἐναντίον ὑμῶν. κατοικεῖτε, καὶ ἐμπορεύεσθε ἐπ' αὐτῆς καὶ κτήσασθε ἐν αὐτῇ. ὅρα τὸν πατέρα διὰ τὴν περὶ τὸν παῖδα φιλοστοργίαν ὅσην ποιεῖται πρὸς τοὺς ξένους τὴν φιλοφροσύνην, καὶ ὅπως αὐτοὺς ἐφελκύσασθαι βούλεται, πάσης αὐτοῖς τῆς χώρας τὴν ἐξουσίαν διδούς. καὶ ταῦτα μὲν ὁ πατήρ· ὁ δὲ παῖς θεασάμενος τὸ πάθος τὴν περὶ αὐτὸν κηδεμονίαν,

καὶ ὅπως πάντα ποιεῖν ἕτοιμος ἦν, ὥστε αὐτοῦ εἰς A ἔργον ἀγαγεῖν τὸ σπουδασθὲν, προστίθησι καὶ παρ' ἑαυτοῦ, καὶ φησι τῷ Ἰακὼβ, καὶ πρὸς τοὺς ἀδελφοὺς τῆς κόρης, εὕροιμι χάριν ἐναντίον ὑμῶν, καὶ ὃ ἐὰν εἴπητε, δώσομεν. πληθύνατε τὴν φερνὴν, καὶ δώσω καθ' ὅ,τι ἂν εἴπητέ μοι. καὶ δώσετέ μοι τὴν παῖδα ταύτην εἰς γυναῖκα. εἶδες δὲ τὸν πατέρα διὰ τὴν περὶ τὸν παῖδα κηδεμονίαν πολλὴν τὴν παράκλησιν ποιούμενον, καὶ τὸν νέον ἑτοίμως ἅπαντα προϊέμενον ὑπὲρ τοῦ τῆς κόρης ἐπιτυχεῖν; τοῦτο γὰρ, τοῦτο τὸ ὀλέθριον πάθος πάντα πείθει τὸν ἁλόντα καταδέξασθαι, μέχρις ἂν αὐτὸν εἰς αὐτὸν ἀγάγῃ τοῦ ᾅδου τὸν πυθμένα. καὶ θέα μοι ὁ μὲν πρεσβύ- B της Ἰακὼβ ταῦτα ἀκούων σιγᾷ, καὶ τὴν οἰκείαν ἐπιείκειαν μιμούμενος οὐδὲν φθέγγεται, ἀλλὰ πράως φέρει τὴν εἰς τὴν θυγατέρα γεγενημένην ἐπήρειαν. οἱ δὲ υἱοὶ Ἰακὼβ εἶπον, φησὶ, τῷ Συχὲμ, καὶ Ἐμὼρ τῷ πατρὶ αὐτοῦ μετὰ δόλου, καὶ ἐλάλησαν αὐτοῖς, ὅτι ἐμόλυναν τὴν ἀδελφὴν αὐτῶν. σκόπει μοι διὰ τὴν τοῦ ἑνὸς λαγνείαν πῶς ἅπαντες οἱ τὴν πόλιν οἰκοῦντες συναπολαύουσι τῶν κακῶν. καθάπερ γὰρ πυρᾶς ἀναφθείσης καὶ οἱ πλησίον οἰκοῦντες τῶν κινδύνων μετέχουσι, τοῦ πυρὸς ἅπαντα ἐπινεμομένου, τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν ἡ τοῦ νέου ἀκολα- C σία οὐ μόνον τὸν πατέρα, ἀλλὰ καὶ πάντας τοὺς τῆς πόλεως ἄρδην ἠφάνισε. τί οὖν οἱ παῖδες τοῦ Ἰακώβ; μετὰ δόλου πρὸς αὐτοὺς ἀποκρίνονται. ἄξιον ἀκοῦσαι, ἵνα μάθητε ὅπως ὑπερήλγησαν τῆς ἀδελφῆς. εἶπον γὰρ, φησὶ, Συμεὼν καὶ Λευὶ ἀδελφοὶ Δείνας, υἱοὶ δὲ Λείας. οὐ δυνησόμεθα ποιῆσαι τὸ ῥῆμα τοῦτο, δοῦναι τὴν ἀδελφὴν ἡμῶν ἀνθρώπῳ, ὃς ἔχει ἀκροβυστίαν. ἐὰν οὖν περιτέμνησθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν, δώσομεν τὰς θυγατέρας ἡμῶν ὑμῖν, καὶ ἀπὸ τῶν θυγατέρων ὑμῶν ληψόμεθα, καὶ ἐσόμεθα ὡς γένος ἕν. τὰ μὲν τῆς προτάσεως εὔλο- D γα καὶ ἀκόλουθα· ἀλλὰ μετὰ δόλου, φησὶ, διελέχθησαν. καὶ ἐὰν μὴ βούλησθε, φησὶ, τοῦτο ποιῆσαι, λαβόντες τὴν θυγατέρα ἡμῶν ἀπελευσόμεθα. ταῦτα μὲν οἱ περὶ τὸν Συμεὼνα καὶ τὸν Λευὶ τὸν κατὰ πάντων φόνον μελετῶντες προέτειναν. ἐκεῖνοι δὲ πρὸς τὸ σπουδαζόμενον ὁρῶντες, καὶ τὴν κόρην λαβεῖν ἐπιθυμοῦντες κατεδέξαντο τὰ εἰρημένα, καὶ ἠρέσθησαν τοῖς προταχθεῖσιν. ἤρεσε γὰρ, φησὶν, ὁ λόγος ἐναντίον αὐτῶν, καὶ οὐκ ἠμέλλησε τοῦ πληρῶσαι τὰ ῥηθέντα ὁ νεανίσκος. ἐνέκειτο γὰρ τῇ θυγατρὶ Ἰακώβ. ὅλος, φησὶν, ἦν τῇ ἐπιθυμίᾳ τῆς κόρης ἐκδεδο-

tris erga ſe ſtudium, & quomodo omnia facere paratus fuerit, vt impleretur quod cupiebat, adiicit quod ſuum eſt, & dicit ad Iacob & ad fratres puellæ: [11] *Inueniam gratiam coram vobis, & quicquid dixeritis, dabimus:* [12] *multiplicate dotem, & dabo ſecundum quod dixeritis mihi, & dabitis mihi puellã hanc in vxorem.* Vidiſti & patrẽ propter ſtudium & curam in filium valde adhortari, & iuuenem promptè omnia promittere, vt puella potiretur? Hæc enim, hęc pernicioſa affectio omnia ſuſcipienda libidine diffluenti perſuadet, donec in inferni profundum deducat. Et vide, obſecro, ſenior quidem Iacob hæc audiens ſilet, & pro ſua manſuetudine nihil loquitur: ſed vim filię factam patienter fert. [13] *Filij autẽ Iacob dixerunt Sychem & Emor patri eius doloſè, & locuti ſunt illis, quòd coinquinarint Dinam ſororem ſuam.* Conſidera hîc quomodo propter vnius intemperantiã, vniuerſi ciuitatem habitantes, pœnarum ſocij fiunt. Sicut enim accenſa pyra, & qui prope habitant periculi ſunt participes: igne omnia depaſcente: eodem modo & nunc adoleſcentis intemperantia nõ ſolum patrem, ſed & omnes eius ciues ſimul perdidit. Quid igitur filij Iacob? doloſè eis reſpõderunt. Dignum eſt auditu, vt diſcatis, quomodo propter ſororem doluerunt. *Dixerunt enim*, inquit, *Symeon & Leui fratres Dinæ, filij autem Liæ.* [14] *Non poterimus facere verbum hoc, vt demus ſororem noſtram homini qui habet præputium.* [15] *Si igitur circũcidamini carne præputij veſtri,* [16] *dabimus filias noſtras vobis, & de filiabus veſtris accipiemus, & erimus quaſi genus vnum.* Hæc quidem propoſitio honeſta erat, & rationi conſentanea, ſed cum dolo, inquit, dicta eſt. [17] *Et ſi nolueritis*, inquit, *hoc facere, accepta filia noſtra abibimus.* Hæc quidem Symeon & Leui, cædem omnium ſecum meditantes propoſuerunt. Illi autem ſpectãtes ad hoc quod expectebant, & puellam habere cupientes conſenſerunt in dicta, & placuerunt eis propoſita, dicit enim: [18] *Placuit coram eis ſermo,* [19] *& non tardauit adimplere dicta adoleſcens. Deperibat enim filiam Iacob.* Hoc eſt, totum ſe in puellæ amorem effuderat.

Omnes ciues propter vnũ puniũtur.

[20] *Et venerunt ipſe*, inquit, *& pater eius ad portam, & locuti ſunt omnibus qui in ciuitate habitabant*, Et cōſuluerunt vt circumciſionem ſuſciperent iuxta illorum propoſitionem, & vt illos ad cohabitationem acciperent. Emplebant illi ſtatim, quæ ab Emor & Sychem dicta ſunt, & omnes ſimul circumciſionis ſignum in corpore accipiebant. Hoc vbi reſciuerūt Symeō ac Leui, quæ iam dudum ſecum meditabantur, opere cōpleuerunt. [25] *Et acceptis gladiis ſuis, ingreſſi ſunt ciuitatem ſecurè.* Quid eſt, in ciuitatem ſecurè? quia cum ſolū duo eſſent, tantę multitudini ſe oppoſuerūt. Sed magnam eis ſecuritatem præſtitit, ꝙ omnes illi ſaucij iacerent. Quod vt nobis manifeſtaret ſcriptura, *Factū eſt*, inquit, *in die tertio, quando erant in dolore.* Hoc illos ſecuros reddidit, & duos fortiores multis fecit. Occiderunt, inquit, omne maſculinū, hoc eſt, omnes viros, qui propter circumciſionem iacebant: & parati erant, vt ita dicā, vt occiderentur: & cum alijs etiam in iuuenem irruerunt, qui puellam vitiauerat. Et non contenti hac vindicta: etiam oues, inquit, eorum, & omnia pecora, & omnia corpora in captiuitatem duxerunt, & ciuitate viris deſtituta & direpta redierunt. Vidiſti dilecte quantum malum operata ſit vnius iuuenis temeritas? Vidiſti quantam attulit perniciem omnibus ciuitatem habitantibus? Hæc ſcientes refrænemus filiorum noſtrorum impetus, magnúmque furorem abſterrendo & admonendo compeſcamus: & curemus eorum caſtitatem, & omnia faciamus & tractemus, vt abſurdas concupiſcentias iuuenilis ætas effugere poſſit. Nam propter hoc & communis dominus noſter, ſciens humanæ naturæ infirmitatem, nuptias dedit & ſanciuit, vt ab illicito concubitu abſtineretur. Ne igitur negligamus iuuenes ſed ſcientes fornacis incendium, priuſquam in luxuria implicentur, ſtudeamus eos iuxta legem Dei nuptiis copulare, vt & continentiam ſuam cuſtodiant & nullum damnum laſciuiæ ſuæ habeant, remedio illinc ſumpto: vt poſſint carnis indomitos mo-

Iuuenes vxorib⁹ iungẽdi.

A μένος. καὶ ἐλθόντες αὐτός τε καὶ ὁ πατὴρ πρὸς τὴν πύλην, φησὶ, διελέχθησαν πᾶσι τοῖς τὴν πόλιν οἰκοῦσι, καὶ συνεβουλεύσαντο τὴν περιτομὴν καταδέξασθαι κατὰ τὴν ἐκείνων πρότασιν, καὶ δέξασθαι αὐτοὺς πρὸς τὴν συνοίκησιν. καὶ ἐπλήρουν ἐκεῖνοι παραχρῆμα τὰ παρὰ τοῦ Εμὼρ καὶ τοῦ Συχὲμ λεχθέντα. καὶ πάντες ἀθρόον τὸ σημεῖον τῆς περιτομῆς ἐπὶ τὸ σῶμα ἐδέχοντο. ἀλλὰ τοῦτο μαθόντες οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευὶ εἰς ἔργον ἀγαγεῖν ἐπείγονται τὰ ἤδη βουλευθέντα αὐτοῖς, καὶ λαβόντες ἕκαστος τὴν μάχαιραν αὐτοῦ εἰσῆλθον εἰς τὴν πόλιν ἀσφαλῶς. τί ἐστιν, εἰς τὴν πόλιν B ἀσφαλῶς; καίτοι δύο μόνοι ὄντες, πρὸς τοσοῦτον πλῆθος παρετάττοντο· ἀλλὰ πολλὴν αὐτοῖς τὴν ἀσφάλειαν παρεξένει τὸ πάντας ἐκείνους καθάπερ τραυματίας κεῖσθαι. ἵνα γὰρ τοῦτο ἡμῖν δῆλον ποιήσῃ ἡ θεία γραφή, φησιν, ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὅτε ἦσαν ἐν τῷ πόνῳ. τοῦτο ἐκείνοις τὴν ἀσφάλειαν κατεσκεύαζε, καὶ τοὺς δύο ἰσχυροτέρους τῶν πολλῶν εἰργάζετο. καὶ ἀπέκτειναν, φησι, πᾶν ἀρσενικὸν, ἀντὶ τοῦ, πάντας τοὺς ἄνδρας τοὺς διὰ τὸ περιτετμῆσθαι κειμένους, ὡς εἰπεῖν, πρὸς τὴν σφαγὴν ἑτοίμους ὄντας. καὶ μετὰ τῶν C ἄλλων καὶ τὸν νέον, τὸν εἰς τὴν ἀδελφὴν αὐτῶν ὑβρίσαντα, ἐπεξῆλθον, καὶ οὐκ ἀρκεσθέντες τῇ τοσαύτῃ τιμωρίᾳ, καὶ τὰ πρόβατα, φησιν, αὐτῶν, καὶ πάντα τὰ κτήνη, καὶ πάντα τὰ σώματα αἰχμαλωτίσαντες οὕτως ἐπανῆλθον, καὶ αὔτανδρον ἀνεῖλον τὴν πόλιν. εἶδες, ἀγαπητέ, ὅσον εἰργάσατο κακὸν ἑνὸς νέου προπέτεια, εἶδες ὅσον ἔτεκεν ὄλεθρον πᾶσι τοῖς τὴν πόλιν οἰκοῦσι; ταῦτα δὴ μανθάνοντες ἀναχαιτίζωμεν τῶν ἡμετέρων παίδων τὰς ὁρμὰς, καὶ πολὺν τῇ νεότητι τὸν χαλινὸν κατασκευάζωμεν, τὸν ἀπὸ τοῦ φόβου, τὸν ἀπὸ τῆς νουθεσίας· καὶ ἐπιμελώμεθα τῆς αὐτῶν σωφροσύνης, καὶ D πάντα ποιῶμεν καὶ πραγματευώμεθα, ὥστε τὴν ἡλικίαν τῆς νεότητος δυνηθῆναι διαφυγεῖν τὰς ἀτόπους ἐπιθυμίας. διὰ γὰρ τοῦτο καὶ ὁ κοινὸς ἡμῶν δεσπότης ἰδὼν τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, τὸν γάμον ἐνομοθέτησεν, ὥστε τῆς παρανόμου ἡμᾶς μίξεως ἀπαγαγεῖν. μὴ τοίνυν ἀμελῶμεν τῶν νέων, ἀλλ᾽ ἰδόντες τῆς καμίνου τὴν πυρὰν, πρὶν ἢ εἰς ἀσέλγειαν ἐγκυλισθῆναι, σπουδάζωμεν κατὰ τὸν τοῦ θεοῦ νόμον αὐτοὺς συνάπτειν πρὸς γάμον· ἵνα καὶ τὰ τῆς σωφροσύνης αὐτοῖς διατηρῆται, καὶ μηδεμίαν λύμην δέξωνται ἐξ ἀκολασίας, ἔχοντες ἀρκοῦσαν παραμυθίαν, καὶ δυναμένην τῆς σαρκὸς τὰ σκιρτήματα

καταστέλλειν, καὶ κολάσεως ἐκτὸς εἶναι. ἀλλ' ἴδωμεν ὅπως τὰ παρὰ τῶν παίδων γεγενημένα διέθηκε τὸν πρεσβύτην. εἶπε γάρ, φησιν, Ἰακώβ· Συμεὼν καὶ Λευΐ, μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι τοῖς κατοικοῦσι τὴν γῆν. τίνος ἕνεκεν, φησι, τοσαύτην ἐπεδείξασθε τὴν ἄμυναν; τὰ γὰρ παρ' ὑμῶν γεγενημένα μῖσος ἐμοὶ μέγιστον προξενήσει παρὰ πάντων τῶν κατοικούντων τὴν γῆν. εἶτα δεικνὺς τὴν δειλίαν, ἐν ᾗ κατέστη, φησίν, ἐγὼ δέ εἰμι ὀλιγοστός, καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι. μονονουχὶ λέγων, οὐκ ἴστε ὅτι ὀλίγοι ὄντες εὐκόλως τὰ αὐτὰ καὶ ἡμεῖς πεισόμεθα, ἅπερ ὑμεῖς τούτους διαθεῖναι ἠβουλήθητε. καὶ καθάπερ ὁ Συχὲμ τῷ πατρὶ καὶ πᾶσι τοῖς τὴν πόλιν οἰκοῦσι τούτου τοῦ ὀλέθρου γέγονεν αἴτιος, οὕτω καὶ ὑμεῖς ἐμοί. διὰ γὰρ ὑμᾶς καὶ αὐτὸς μισητὸς ἔσομαι, καὶ οὐδὲν τὸ κωλῦον ἐκτριβῆναί με διὰ τὴν ὑμετέραν τόλμαν. οἱ δέ, φησιν, εἶπον, ἀλλ' ὡσεὶ πόρνῃ χρήσονται τῇ ἀδελφῇ ἡμῶν; ὅρα τοὺς παῖδας σωφροσύνης ἕνεκεν τὴν ἄμυναν ἐπιδειξαμένους. ἀπολογοῦνται γὰρ τῷ πατρί, καί φασι, κατῄσχυναν ἡμᾶς, ὡς εἰπεῖν, ὡσεὶ πόρνῃ ἐχρήσαντο τῇ ἀδελφῇ ἡμῶν. καὶ διὰ τοῦτο, τοῦτο ποιῆσαι κατηναγκάσθημεν, ἵνα καὶ τοῖς εἰς τὸ ἑξῆς διδασκαλία γένηται, μὴ τοιαῦτα τολμᾷν. ἀλλ' ὅρα μοι λοιπὸν ἐνταῦθα τὴν ἄφατον τοῦ θεοῦ κηδεμονίαν τὴν περὶ τὸν δίκαιον. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν δεδοικότα διὰ τὰ ὑπὸ τῶν παίδων γεγενημένα τὴν αὐτόθι οἴκησιν, εἶπέ, φησιν, ὁ θεός· ἀναστὰς ἀνάβηθι εἰς τὸν τόπον Βαιθήλ, καὶ οἴκει ἐκεῖ. ἐπειδὴ δέδοικας τοὺς ἐνταῦθα, ἀναχώρει, φησίν, ἐντεῦθεν, καὶ οἴκει εἰς τὴν Βαιθήλ, καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ τῷ ὀφθέντι σοι ἐν τῷ σε ἀποδιδράσκειν ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ σου. καὶ εἶπεν Ἰακὼβ τῷ οἴκῳ αὐτοῦ καὶ πᾶσι τοῖς μετ' αὐτοῦ· ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν, καὶ καθαρίσθητε, καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν. καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθήλ, καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ τῷ ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ' ἐμοῦ, καὶ διέσωσέ με ἐν τῇ ὁδῷ, ᾗ ἐπορευόμην. σκόπει τοῦ δικαίου πάλιν τὴν ὑπακοὴν καὶ τὸ φιλόθεον. ἐπειδὴ ἤκουσεν, ὅτι ἀνάβηθι εἰς Βαιθὴλ καὶ ποίησον θυσιαστήριον, καλέσας πάντας τοὺς αὐτοῦ εἶπεν· ἄρατε τοὺς θεούς. ποίους ἄν τις εἴποι θεούς; οὐδαμοῦ γάρ ἐστιν ἰδεῖν θεοὺς αὐτὸν ἐσχηκότα. ἄνωθεν γὰρ καὶ ἐξ ἀρχῆς φιλόθεος ἦν ὁ δίκαιος· ἀλλ' αἰνιττόμενος ἴσως τοὺς θεοὺς τοὺς τοῦ Λάβαν,

A tus reprimere, & pœnam effugere. Sed videamus quomodo ea quę à pueris facta ſunt, ſenem affecerint. *Dixit enim*, inquit, *Iacob ad Symeon & Leui: Exoſum me feciſtis, vt moleſtus ego ſim habitatoribus terræ.* Quare, inquit, tantam feciſtis vindictam? Nam quę à vobis facta ſunt, odium mihi maximum parient apud omnes habitatores terræ huius. Deinde monſtrans timorem, in quo erat conſtitutus, *Mihi autem*, inquit, *paruus numerus eſt, & congregati contra me, percutient me, & exterar:* Quaſi diceret: Neſcitis quòd pauci ſu-
B mus, facilè eadem & nos patiemur, quibus vobis illos afficere placuit. Et ſicut Sychem patri & omnibus ciuitatem habitantibus huius interitus fuit author, ita & vos mihi. Nam propter vos & ego exoſus ero, & nihil prohibet quin delear propter veſtram audaciam. 30 *Illi autem dixerunt*, inquit, *Nunquid vt ſcorto abutentur ſorore noſtra?* Vide pueros continentiæ gratia vltionem ſumpſiſſe. Excuſant enim ſe patri, & dicunt: Confuderũt nos, veluti ſcorto abuſi
C ſunt ſorore noſtra: & propterea hoc facere coacti ſumus, vt & cæteri diſcerent ſimilia non audere. Sed vide, obſecro, hîc ineffabilem Dei curã erga iuſtum. Nam quia vidit eum formidantem propter filiorum facinora ibi habitantes, dixit ei Deus: *Surge, & aſcende in locum Bæthel, & ibi habita.* Quia, inquit, eos qui hîc habitant times, recede hinc: & habita in Bæthel, *& fac illic altare Deo, qui apparuit tibi cùm fugeres à facie Eſau fratris tui.* 2 *Et dixit, Iacob domui ſuæ, & omnibus ſuis:* CAPVT. XXXV.
D *Tollite deos alienos è medio veſtri, & purificamini, & mutate ſtollas veſtras,* 3 *& ſurgite, & aſcendamus in Bæthel, & faciamus illic altare Deo, qui exaudiuit me in die affictionis: qui fuit mecum, & ſaluauit me in via qua ambulaui.* Animaduerte hîc iuſti obedientiam & pietatem in Deum: quia audiuit: aſcende in Bæthel, & fac altare: vocatis, inquit, omnibus ſuis, dixit: Tollite deos. quales, dixerit quis, deos? Nuſquam enim videmus ꝙ ipſe habuerit deos. Ab initio enim Dei cultor fuit iuſtus. Significans forte deos Laban,

quos Rachel ſubſtraxerat, hoc dixit: Quoniam gratias acturi ſumus vero Deo, qui ſemper tantam mei curam geſſit, auferte ſi qua ſunt in vobis idola, & purificamini, & mutate ſtolas veſtras, & ſic ad ciuitatem pergamus, & intus & foris mundati ſimul ibitis. Non ſolùm veſtium nitore puritatem declarate, ſed cum abiectione idolorum purificatis cogitationibus mentis aſcendamus ad Bæthel. [4] *Et dederunt*, inquit, *Iacob deos alienos (non enim erant ipſorum) & inaures quæ in auribus eorum.* Fortè enim & hæc ſigna quædam erant iſtorum idolorum, ideo & hæc cum diis afferunt Iacob. *Et abſcondit ea ſubter terebinthum in Secimis, & perdidit ea vſque in præſemtem diem.* Abſcondit, inquit, ea, & perdidit: vt ipſi erroris damnum effugerent, & nullus etiam alius ex his damnum acciperet poſt hac. [5] *Et cùm hæc omnia feciſſet iuſtus, abijt,* inquit, *à Secimis, & contendit ad Bæthel.* Iterum hîc attende quantam eius curam habuerit Deus, & quàm diligenter ſcriptura nos omnia doceat. *Cum egreſſus enim eſſet iuſtus ex Secimis, factus eſt timor Dei ſuper omnes ciuitates in circuitu eorum, & non perſecuti ſunt filios Iſraël.* Vides quanta prouidentia, & quàm euidens eius ſubſidium? *Irruit enim,* inquit, *ſuper eos metus, & non ſecuti ſunt illos.* Nam quia timebat hoc iuſtus, & dicebat: Mihi paruus numerus eſt, & delebor, dicit, quòd timore eos inuadente, ipſos perſecuti non ſunt. Nam quando Deus ſuum auxilium afferre voluerit, inualidos fortiores potentibus, & paucos potentiores pluribus facit, nihilque beatius eſt eo qui ſupernum auxilium aſſecutus eſt. [6] *Et abijt*, inquit, *Iacob in Luzam, quæ eſt in terra Chanaan, quæ eſt Bæthel, & omnis populus qui erat cum eo: & ædificauit ibi altare, & vocauit nomen loci illius Bæthel: ibi enim apparuit ei Deus, cum fugeret à facie Eſau fratris ſui.* Poſtquam venit, inquit, in Bæthel, fecit ſicut ei præceptum erat. Et ædificato altari, vocauit nomen loci Bæthel. *Mortua eſt autem,* inquit, *Deborra nutrix*

A οὓς ἡ Ῥαχὴλ ἦν ὑφελομένη, διὰ τοῦτό φησιν· ἐπειδὴ μέλλομεν τῷ ἀληθινῷ θεῷ, τῷ ἀεί μοι τὴν περὶ αὐτοῦ προστασίαν νείμαντι, τὰς εὐχαριστίας ἀναφέρειν, ἐξάρατε, εἴ τινά ἐστιν ὑμῖν εἴδωλα, καὶ καθαρίσασθε, καὶ ἀλλάξασθε τὰς στολὰς ὑμῶν, καὶ οὕτως ἐπὶ τὴν πόλιν ὁρμήσωμεν, καὶ ἔξωθεν καὶ ἔσωθεν ἑαυτοὺς καθάραντες οὕτω συνέλθετε. μὴ μόνον τῇ τῶν ἱματίων φαιδρότητι τὴν καθαρότητα δεικνύτες, ἀλλὰ καὶ τῇ τῶν εἰδώλων ἀφαιρέσει τοὺς λογισμοὺς τῆς διανοίας ἐκκαθάραντες, οὕτως ἀνέλθωμεν ἐπὶ τὴν Βαιθήλ. καὶ ἔδωκαν, φησὶ, τῷ Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους (οὐ γὰρ ἦσαν αὐτῶν) καὶ
B τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν. ἴσως γὰρ καὶ ταῦτα σύμβολά τινα ἦν τῶν εἰδώλων ἐκείνων. διὸ καὶ αὐτὰ μετὰ τῶν θεῶν προσφέρουσι τῷ Ἰακώβ. καὶ ἔκρυψεν αὐτά, φησιν, ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σικίμοις καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμερον ἡμέρας. ἔκρυψε, φησιν, αὐτὰ, καὶ ἀπώλεσεν, ὥστε καὶ αὐτοὺς τοὺς τῆς πλάνης δούλους τὴν πλάνην διαφυγεῖν, καὶ μηδένα ἕτερον τὴν ἐξ αὐτῶν λύμην δέξασθαι. καὶ ταῦτα ἅπαντα διαπραξάμενος ὁ δίκαιος, ἐξῆρε, φησιν, ἐκ Σικίμων, καὶ ἐποιεῖτο τὴν ὁρμὴν εἰς τὴν Βαιθήλ. ἀλλ' ὅρα μοι πάλιν τοῦ θεοῦ τὴν περὶ αὐτὸν
C κηδεμονίαν, καὶ πῶς ἡμᾶς διδάσκει ἡ γραφὴ ἅπαντα σαφῶς. ἐξελθόντος γάρ, φησι, τοῦ δικαίου ἐκ Σικίμων, ἐγένετο φόβος θεοῦ ἐπὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῶν, καὶ οὐ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ. εἶδες πόση ἡ πρόνοια, καὶ πῶς ἐναργὴς ἡ παρ' αὐτοῦ ἀντίληψις ἐγένετο; ἐπέπεσε γὰρ ἐπ' αὐτοὺς φόβος, καὶ οὐ κατεδίωξαν ὀπίσω αὐτῶν. ἐπειδὴ γὰρ τοῦτο ἐδεδοίκει ὁ δίκαιος, καὶ ἔλεγεν, ὀλιγοστός εἰμι, καὶ ἐκτριβήσομαι, διὰ τοῦτό φησιν, φόβου αὐτοῖς ἐπιπεσόντος οὐ κατεδίωξαν ὀπίσω αὐτῶν. ὅταν γὰρ αὐτὸς βούληται τὴν ῥοπὴν τὴν παρ' ἑαυτοῦ εἰσενεγκεῖν, καὶ
D τοὺς ἀσθενεῖς ἰσχυροτέρους τῶν δυνατῶν ἀπεργάζεται, τοὺς ὀλίγους τῶν πλειόνων δυνατωτέρους, καὶ οὐδὲν ἂν γένοιτο μακαριώτερον τοῦ τὴν ἄνωθεν ἐπισπασαμένου ῥοπήν. καὶ ἀπῆλθε, φησιν, Ἰακὼβ εἰς Λοῦζαν, ἥ ἐστιν ἐν γῇ Χαναάν, ἥ ἐστι Βαιθήλ, καὶ πᾶς ὁ μετ' αὐτοῦ. καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ. ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ. παραγενόμενος, φησιν, εἰς τὴν Βαιθὴλ, ἐποίησε τὸ προσταχθέν, καὶ τὸ θυσιαστήριον οἰκοδομήσας ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ. ἀπέθανε δέ, φησι, Δεβόῤῥα ἡ

τροφὸς Ῥεβέκκας, καὶ ἐτάφη κατώτερον Βαιθὴλ ὑπὸ τὴν βάλανον. καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα αὐτῆς, Βάλανος πένθους. ὁρᾷς πῶς ἀεὶ ἀπὸ τῶν συμβαινόντων τοὺς τόπους ὠνόμαζεν, ὥστε διηνεκῆ διασώζεσθαι τὴν μνήμην; καὶ πῶς, ἄν τις εἴποι, ἡ τροφὸς τῆς Ῥεβέκκας συνῆν τῷ Ἰακὼβ πρόσφατον ἀπὸ τῆς Μεσοποταμίας παραγινομένῳ, καὶ μηδέπω τὴν πρὸς τὸν πατέρα συντυχίαν ποιησαμένῳ; ἢ τάχα τοῦτο ἂν εἴποιμεν, ὅτι, ἡνίκα ἀπὸ τοῦ Λάβαν ἐπανῄει, συνανελθεῖν τῷ Ἰακὼβ ἐπεθύμησεν, ὥστε διὰ μακροῦ τοῦ χρόνου τὴν Ῥεβέκκαν θεάσασθαι· καὶ πρὶν ἢ τὰ τῆς συντυχίας γενέσθαι, ἐκεῖ τὸν βίον κατέλυσεν. ἀλλ᾽ εἰ βούλεσθε, καὶ ἡμεῖς ἐνταῦθα στήσωμεν τὸν λόγον ἀρκεσθέντες τοῖς εἰρημένοις, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, ὥστε καὶ αὐτοὺς πολλὴν τῆς ἀρετῆς ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ τῆς τῶν νέων σωφροσύνης ἐπιμελεῖσθαι. ἐντεῦθεν γάρ, ὡς εἰπεῖν, ἅπαντα τίκτεται τὰ κακά. ἡ γὰρ συνήθεια τῆς πονηρίας τῷ χρόνῳ προϊοῦσα τοσαύτην ἐργάζεται τὴν λύμην, ὡς μηδεμίαν λοιπὸν παραίνεσιν δύνασθαι περιγενέσθαι τῶν ἅπαξ ὑπὸ τῆς πονηρίας προδεδομένων, καὶ καθάπερ αἰχμαλώτων ἀγομένων, ἧπερ ἂν ὁ διάβολος κελεύει. ἐκεῖνος γάρ ἐστι λοιπὸν ὁ ἐπιτάττων, καὶ τὰ ὀλέθρια ἐκεῖνα κελεύων ἐπιτάγματα, ἅπερ μεθ᾽ ἡδονῆς πληροῦσιν οἱ νέοι, τὸ παρὸν μόνον ἡδὺ ὁρῶντες, καὶ τὴν μετὰ ταῦτα ὀδύνην οὐ λογιζόμενοι. διὸ παρακαλῶ χεῖρα ὀρέγειν τοῖς παισὶ τοῖς ἡμετέροις, ἵνα μὴ καὶ τῶν ὑπ᾽ ἐκείνων πραττομένων αὐτοὶ τὰς εὐθύνας ὑπόσχωμεν. ἢ οὐκ ἴστε, τί ὁ πρεσβύτης Ἠλεὶ πέπονθεν, οὐ προσηκόντως διορθούμενος τῶν παίδων τὰ ἐλαττώματα; ὅταν γὰρ ᾖ πάθος τομῆς δεόμενον, εἰ μέλλοι ὁ ἰατρὸς τοῦτο καταιονήσει θεραπεύειν, ταχέως ἀνίατον ἐργάζεται τὸ πάθος, οὐ τὴν ἁρμόττουσαν ἐπάγων ἰατρείαν· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ πρεσβύτης ἐκεῖνος ὀφείλων ἄξια τῶν πλημμελημάτων εἰσπράξασθαι τοὺς ἑαυτοῦ παῖδας, πολλῇ τῇ ἐπιεικείᾳ χρησάμενος τῆς τιμωρίαν αὐτοῖς καὶ αὐτὸς ἐκοινώνησε. φοβηθέντες οὖν, παρακαλῶ, τὸ ὑπόδειγμα, καὶ οἱ παῖδας ἔχοντες προνοῶμεν τῆς τούτων ἀνατροφῆς, καὶ ἁπλῶς ἕκαστος τῶν συνοικούντων τὴν ἐπιμέλειαν ποιείσθω, καὶ κέρδος μέγιστον κρινέτω τὴν τοῦ πλησίον ὠφέλειαν· ἵνα τὰ πρὸς ἀρετὴν ἕκαστος πεπαιδευμένος καὶ τῆς κακίας τὴν πεῖραν διαφυγεῖν δυνηθῇ, καὶ τὴν

A *Rebeccæ, & ſepulta eſt ad radices Bæthel, ſubter quercum: & vocauit Iacob nomen eius, Quercus luctus.* Vides quomodo ſemper ab euentibus nominat loca, vt perpetua ſeruetur memoria? Et quomodo, dixerit quiſpiam, nutrix Rebeccæ fuit cum Iacob iam primum veniente à Meſopotamia, priuſquam occurreret patri ſuo? Fortè hoc dicendum, quòd quando à Laban rediit, hęc ſimul cum Iacob venire cupiuerit, & adducere eum, vt poſt longum tempus Rebeccam inuiſeret: ſed priuſquam illi occurreret, defuncta eſt. At nos etiam, ſi

Moralis epilog⁹. de liberorũ caſtigatione.

B placet, hîc finiamus ſermonem, contenti his quę dicta ſunt Illud autem veſtram charitatem rogauerimus, vt & vos virtutis curam geratis, & continentiam filios veſtros doceatis. Hinc enim, vt ita dicam, omnia mala naſcuntur. Conſuetudo enim malitiæ, proceſſu temporis inualeſcens, tantum facit malum, vt poſtea non poſſit aliqua vinci admonitione, & cùm ſemel à malitia fuerint occupati, quaſi in captiuitatem eſſẽt abducti, quoquò diabolus iuſſerit,

C eunt. Ille enim eis imperat, & pernicioſa illa dat mandata, quæ iuuenes libenter perficiunt, præſentem tantum voluptatem ſpectantes, & futurum dolorem non cogitãtes. Ideo oro, vt præbeamus manũ filiis noſtris, vt ne etiã pro his quæ illi peccarunt, pœnas ſuſtineamus. An neſcitis quid ſeni Eli acciderit, cùm non debitè emendaret filiorum delicta? Quemadmodum enim medicus, ſi morbũ ſectione indigentem, vnctione aut emplaſtro curare voluerit, cito morbum incurabilem efficiet, cùm con-

1. Reg. 4 18.

D gruam non adhibeat medicinã: Ita & ſenex ille, cùm deberet filios ſuos pro peccatorum qualitate emendare, nimia vſus lenitate illos arguit. Proinde oro, exemplo hoc timeamus, & habentes filios prouideamus eis de honeſta educatione, & in ſumma vnuſquiſque curam eorum agat, qui apud ſe habitant: & lucrũ maximum ducat vtilitatem proximi, vt vnuſquiſque diſcẽs ea quæ ad virtutem pertinent, & peccati periculum effugere, & virtutẽ amplexat⁹ ſupernum auxilium ſibi conciliare valeat. Quod nobis omnibus concedatur,

1. Reg. 4 18.

gratia & clementia domini noſtri Ieſu Chriſti, cui cum patre & ſancto Spiritu ſit gloria, & imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Homilia LX.

Gen. 35. 9.

Et ædificato altari, vocauit nomen loci Bæthel. Illic enim apparuit ei Deus, cùm fugeret à facie Eſau fratris ſui.

AGE & hodie, ſi libet, repetitis his quę proximè diximus, ad ſequentia tractáda accedamus. Nam etiam hodie hiſtoria Iacob habet, quod nos erudiat multiplicem Dei in illum prouidentiam: & quomodo illum ſuis promiſſionibus iterum firmauerit remunerans eius gratitudinem. Poſtquam enim ſuperius narrauit nobis, quomodo iuxta præceptum Dei, relictis Secimis propter facinora filiorum ſuorum, ad Luzã contendit: *Et ædificato altari,* inquit, *vocauit nomen loci Bæthel. Illic enim apparuit ei Deus, cùm fugeret à facie Eſau fratris ſui.* Quo imperio Deus iuſtum liberauit à timore quem habebat propter occiſos Secimitas, immiſit, inquit, in habitatores illarum ciuitatum metum, ita vt illum non perſequerentur. Vide prouidentiam Dei, & quantam habeat ſollicitudinem pro Iacob. Concuſſit, inquit, timore animas eorum, qui vicinas ciuitates inhabitabant, vt ne perſequerentur illum: nam fortaſſis vlciſci volebant Secimitas. Sed quoniam illa præter iuſti ſententiam facta fuerant: & Symeon ac Leui ſororis violatam continentiam vlciſcentes hæc fecerant: non ſolùm eum & filios eius à timore mortis liberauit, ſed alios etiam qui vlturi erant timore concutiens, à conatu perſequendi retraxit. Vidiſtis quantum ſit niti diuino præſidio? Nam quando Deus nobis bene voluerit, è medio tollũtur terribilia omnia. Sicut enim iuſto fiduciam dedit, ita illis dedit metum. Enimuerò dominus exiſtens, omnia prout voluerit vertit, &

Diuino præſidio niti quantũ ſit.

ἀρετῇ ἑλόμενος πολλὴν ἐπισπάσηται τὴν ἄνωθεν ῥοπήν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία ξ

Καὶ οἰκοδομήσας θυσιαστήριον ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ. ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ.

Φέρε καὶ σήμερον, εἰ βούλεσθε, τὴν ἀκολουθίαν τῶν πρώην ἡμῖν εἰρημένων ἀναλαβόντες, οὕτω πάλιν ἐκ τῶν ἑξῆς τὴν διδασκαλίαν πρὸς ὑμᾶς ποιησώμεθα. ἔτι γὰρ ἡμᾶς ἡ κατὰ τὸν Ἰακὼβ ἱστορία καὶ σήμερον ἱκανὴ παιδεῦσαι τὴν πολλὴν περὶ αὐτὸν τοῦ θεοῦ πρόνοιαν, καὶ ὅπως ταῖς οἰκείαις αὐτὸν ὑποσχέσεσι πάλιν ἐπέῤῥωσεν ἀμειβόμενος αὐτοῦ τὴν εὐγνωμοσύνην. ἐπειδὴ γὰρ ἐν τοῖς προλαβοῦσι διηγήσατο ἡμῖν, ὅπως κατὰ τὸ τοῦ θεοῦ πρόσταγμα καταλιπὼν τὴν Σήκιμα διὰ τὰ ὑπὸ τῶν παίδων αὐτοῦ γεγενημένα, εἰς τὴν Λοῦζαν ἠπείγετο, καὶ οἰκοδομήσας φησὶ θυσιαστήριον ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, Βαιθήλ. ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ τοῦτο προστάξας τῷ δικαίῳ, καὶ ἀπαλλάξας αὐτὸν τοῦ φόβου, οὗ κατείχετο διὰ τὴν τῶν Σηκιμιτῶν ἀναίρεσιν, τοῖς τὰς πόλεις ἐκείνας οἰκοῦσιν, ἐπέβαλε, φησι, φόβον, ὥστε μὴ καταδιῶξαι ὀπίσω αὐτοῦ. ὅρα τοῦ θεοῦ τὴν πρόνοιαν, καὶ ὅσῃ κέχρηται κηδεμονίᾳ περὶ τὸν Ἰακώβ. κατέσεισε, φησι, τῷ φόβῳ τὰς ψυχὰς τῶν τὰς πόλεις ἐκείνας οἰκούντων, ὥστε μὴ καταδιῶξαι ὀπίσω αὐτῶν. ἐβούλοντο γὰρ ἴσως ἐπαμῦναι τοῖς Σηκιμίταις. ἀλλ' ἐπειδὴ καὶ παρὰ γνώμην τοῦ δικαίου γέγονε τὰ γεγενημένα, καὶ οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευὶ τῆς ἀδελφῆς τὴν σωφροσύνην ἐκδικοῦντες ἐκεῖνα εἰργάσαντο, οὐ μόνον αὐτὸν καὶ τοὺς αὐτοῦ παῖδας τῆς ἀγωνίας τοῦ φόβου ἀπαλλάττει, ἀλλὰ κἀκείνοις δειλίαν ἐνθεὶς ἀπέστησε τῆς κατ' αὐτῶν ὁρμῆς. ἴδετε πόσον ἐστὶν ἀπολαύειν τῆς ἄνωθεν ῥοπῆς. ὅταν γὰρ αὐτὸς ᾖ εὐνοϊκῶς περὶ ἡμᾶς διακείμενος, πάντα ἐκποδὼν γίνεται τὰ λυπηρά. ὅταν γὰρ τῷ δικαίῳ θάρσος ἐνέθηκεν, οὕτως ἐκείνοις φόβον ἐπέστησε. δεσπότης γὰρ ὢν πάντα πρὸς ὃ βούλεται μετα-

σκευάζει, καὶ τὴν εὐμήχανον αὐτοῦ σοφίαν διὰ πάντων ἐπιδείκνυται. καὶ οὐδὲν ἰσχυρότερον ἂν γένοιτό ποτε τοῦ τὴν ἄνωθεν συμμαχίαν ἐπισπωμένου, ὥσπερ οὖν οὐδὲ ἀσθενέστερον τοῦ ταύτης ἠρημωμένου. ἰδοὺ γοῦν ἐστὶν ὁ δίκαιος εὐαρίθμητος ὢν καὶ σφόδρα ὀλιγοστὸς, ἐπειδὴ ὑπὸ τῆς τοῦ θεοῦ δεξιᾶς ἐφρουρεῖτο, καὶ θάρσος ἐλάμβανε, καὶ τὴν ἐπιβουλὴν διέφυγεν. ἐκεῖνοι δὲ καὶ εἰς πλῆθος πολὺ συντείνοντες, καὶ κατ' αὐτὸν τὴν συμφωνίαν ἐπιδεικνύμενοι, οὐδὲ οὕτως ἴσχυόν τι τῶν βουλευθέντων εἰς ἔργον ἀγαγεῖν. ἐγένετο γάρ, φησι, φόβος θεοῦ ἐπὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῶν. ἐπεὶ τοίνυν ἀπηλλάγη τοῦ φόβου καὶ τῶν ἐγχωρίων ὁ δίκαιος, ὅρα πάλιν τοῦ θεοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, ἣν περὶ αὐτὸν ἐπιδείκνυται. ὤφθη γὰρ αὐτῷ, φησιν, ὁ θεὸς ἔτι ὄντι ἐν Λούζᾳ. τίνος ἕνεκεν προσέθηκε τὸ ἔτι; οὐχ ἁπλῶς, ἀλλ' ἵνα μάθῃς ὅτι καὶ ἤδη ἐν τῷ τόπῳ τούτῳ ὤφθη αὐτῷ πρότερον, ἡνίκα φεύγων τὸν ἀδελφὸν ἐπὶ τὴν Μεσοποταμίαν ἐποιεῖτο τὴν ὁρμὴν. καὶ νῦν οὖν, φησι, καθάπερ τότε ὤφθη αὐτῷ ἀπιόντι, οὕτω καὶ νῦν ἐπανερχομένῳ ἐν τῷ αὐτῷ τόπῳ ἐπιφαίνεται, καὶ βεβαιοῖ τὰς ὑποσχέσεις, ἃς ἡνίκα ἀπῄει πρὸς αὐτὸν ἐποιήσατο, παρασκευάζων τὸν δίκαιον θαρρῆσαι τοῖς ἐπηγγελμένοις, καὶ μὴ διὰ τὸν ἐν μέσῳ χρόνον ἐνδοιάσαι. καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· τὸ ὄνομά σου οὐ κληθήσεται ἔτι Ιακὼβ, ἀλλ' Ισραὴλ ἔσται τὸ ὄνομά σου. καί τοι καὶ ἤδη τὴν προσηγορίαν αὐτῷ ἐπέθηκεν, ἡνίκα τὴν διάβασιν ἐποιήσατο τοῦ Ιαβὼχ, ἀλλὰ πλείονα πληροφορίαν ἐνθεῖναι τῷ δικαίῳ βουλόμενος, καὶ νῦν τὴν αὐτὴν ποιεῖται πρὸς αὐτὸν εὐλογίαν, καί φησιν, Ισραὴλ κληθήσεται τὸ ὄνομά σου, καὶ αὐξάνου καὶ πληθύνου, καὶ ἔθνη καὶ συναγωγαὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται. ὅρα μέγεθος εὐλογίας. οὐ μόνον εἰς πλῆθος αὐτὸν ἐκταθήσεσθαί φησιν, ἀλλὰ καὶ ἐπίδοξον γενήσεσθαι τὸ ἐξ αὐτοῦ σπέρμα· βασιλεῖς γὰρ ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται, προμηνύων αὐτῷ ἐντεῦθεν ἤδη τὴν ἐξ αὐτοῦ τικτομένων περιφάνειαν. καὶ τὴν γῆν, φησιν, ἣν τῷ Ἀβραὰμ καὶ Ισαὰκ δέδωκα, σοὶ δέδωκα αὐτὴν, καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν ταύτην. ἐπειδὴ διὰ τὰ γεγενημένα ἐν Σηκίμοις ὑπὸ τοῦ Συμεὼν καὶ Λευὶ ἔλεγεν, ὀλιγοστός εἰμι ἐν ἀριθμῷ, καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγώ τε καὶ ὁ οἶκός μου, καὶ διὰ πάντων ἐδείκνυ καὶ τὴν ὀλιγοψυχίαν, καὶ τὴν πολλὴν δειλίαν, ἐν ᾗ κατείχετο·

A omnipotentem ſuam ſapientiam in omnibus declarat. Et nihil fortius eſt eo, qui ſuperna munitur opitulatione: ſicut etiam nihil infirmius eo qui illa priuatus eſt. Ecce enim iuſtus ille, cum paucis exiſtens, quia cuſtoditus eſt à Deo, & fiduciam accepit, & inſidias effugit: illi autem, cùm multi eſſent, & conglobati conſpiraſſent, nihil eorum quæ volebant operibus complere potuerunt. *Factus eſt enim*, inquit, *timor Dei ſuper ciuitates in circuitu eorum.* Poſtquam igitur iuſtus à timore iſtorum liberatus eſt, vide iterum eximiam

B Dei miſericordiam, quam erga eum declarauit.
9 *Viſus eſt enim ei Deus iterum in Luza.* Quare adiicit hoc verbum iterum? Non abſque cauſa: ſed vt diſcas, quòd prius etiam in hoc loco apparuit ei Deus, quando fugiens fratrem, in Meſopotamiam contendebat. Itaque & nunc ait: Sicut tunc viſus eſt ei abeunti, ita & nunc redeunti apparet in hoc loco, & confirmat promiſſiones, quas quando abiit, cum eo fecit: hoc præſtans vt iuſtus firmius

C in ſuis promiſſionibus confidat, & ne propter tempus medium fluctuet. *Et benedixit eum, & dixit ei:* Sap.31.
10 *Nomen tuum Iacob non vocabitur vltra Iacob, ſed Iſraël erit nomen tuum.* Quanquã iampridem hoc nomen ei dederat, cùm tranſiret in Iaboch, verum maioribus indiciis certiorem volebat iuſtũ reddere, & nunc eandem benedictionem ei dat, & dicit:
11 *Iſraël vocabitur nomen tuum, & creſce, & multiplicare: & gentes & congregationes gentium erunt ex te, & reges ex lumbo tuo prodibunt.* Vide magnitudi-

D nem benedictionis: non ſolùm facit vt in tantam multitudinem propagetur, ſed & glorioſum ſit eius ſemẽ. Reges enim, inquit, ex lumbis tuis egredientur, prædicens ei gloriam eorum qui ex ipſo propagãdi erant.
12 *Et terram*, inquit, *quam Abrahæ & Iſaac dedi, tibi dedi eã, & ſemini tuo poſt te dabo terram hanc.* Quoniam propter facta in Secimis à Symeone & Leui, dicebat: in paruo numero ſum ego, & congregati ſuper me percutiẽt me, & delebor ego & dom⁹ mea: & per omnia monſtrabat puſillanimitatem & metum quo tenebatur:

propterea benignus dominus nunc dicit ad eum: Quoniam dixiſti, in paruo numero ſum: diſce quòd creſcas. Et multiplicabitur ſemen tuum, & ita erit glorioſum, vt congregationes gentium, & reges ex eo prodeant. Et non ſolùm non deleberis, ſed & ſemen tuum omnem terram hanc in hæreditatem accipiet. Et factis ei promiſſionibus iſtis, aſcendit Deus ab eo, à loco, vbi Deus eſt locutus cum illo. Vide quantum attemperant ſe noſtræ infirmitati diuinæ ſcripturæ verba. [13] *Aſcendit enim,* inquit, *Deus ab eo.* Non vt loco concludi exiſtimemus Deũ, ſed vt per hoc etiam eius ineffabilem diſcamus clementiam. Spiritus enim gratia ſe ad infirmitatem noſtram ſubmittens omnia narrare ſolet. Deſcendere enim, & aſcendere, indignum Deo eſt, ſed maximum eſt ineffabilis eius clementiæ indicium, quòd propter noſtram eruditionem talibꝰ vti verbis dignatur: & propterea humanis dictionibus vtitur, quia alioquin impoſſibile erat humanas aures ferre dictorum ſublimitatem, ſi iuxta dignitatem Domini dicta eſſent. Quod cogitantes, nunquam in humilitate verborum hæreamus, ſed & propter hoc admiremur ineffabilem eius bonitatem, quòd neque ab hac humilitate abhorreat, propter imbecillitatem naturæ noſtræ. Vide igitur iuſtum illum iterũ ſuam gratitudinem declarare. [14] *Erexit enim,* inquit, *Iacob columnam lapideam in loco in quo locutus eſt cum eo, & libauit ei libationem, & ſuperfudit oleum, & vocauit nomen loci in quo locutus eſt cum eo, Bethel.* Conſidera, oro, quomodò in nominibus locorum memoriam immortalem beneficiorum reponat, vt & poſteris manifeſta fiat viſio, quæ facta eſt ibidem iuſto. [16] *Et profectus,* inquit, *Iacob, fixit tabernaculum ſuũ vltra turrem Gader.* Vlterius iterum procedit iuſtus anhelans paulatim venire adlocũ vbi habitabat Iſaac. *Deinde,* inquit: *Quãdo appropinquauit vt intraret in Ephratha, Rachel laborabat in partu,* [17] *& factum eſt cum difficulter pareret, dixit ei obſtetrix, Cõfide: etenim hic tibi eſt filiꝰ.* Ne ſis anxia, inquit, paries enim filium. Nam licet te crucient dolores, verumtamẽ habebis filium.

Deſcendere & aſcédere indignum Deo.

A διὰ τοῦτο ὁ φιλάνθρωπος δεσπότης νῦν φησι πρὸς αὐτόν· ἐπειδὴ εἶπες, ὀλιγοστός εἰμι, μάνθανε ὅτι καὶ αὐξηθήσῃ καὶ πληθυνθήσεταί σου τὸ σπέρμα σου, καὶ οὕτως ἔσται ἐπίδοξον, ὡς συναγωγὰς ἐθνῶν καὶ βασιλεῖς ἐξ αὐτῶν γενέσθαι. καὶ οὐ μόνον οὐκ ἐκτριβήσῃ, ἀλλὰ σὺ καὶ τὸ σπέρμα τὸ σὸν πᾶσαν τὴν γῆν ταύτην κληρονομήσει. καὶ ταύτας πρὸς αὐτὸν τὰς ὑποσχέσεις ποιησάμενος ἀνέβη ὁ θεὸς ἀπ᾽ αὐτοῦ, φησιν, ἐκ τοῦ τόπου, οὗ ἐλάλησε μετ᾽ αὐτοῦ. ὅρα πόση ἡ συγκατάβασις τῶν λέξεων τῆς θείας γραφῆς. ἀνέβη, φησὶν, ὁ θεὸς ἀπ᾽ αὐτοῦ, οὐχ ἵνα ἐν τόπῳ νομίσωμεν περικεκλεῖσθαι τὸ θεῖον, B ἀλλ᾽ ἵνα καὶ διὰ τούτου μάθωμεν αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν, ὅτι τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ συγκαταβαίνουσα ἡ τοῦ πνεύματος χάρις, οὕτως ἅπαντα διηγεῖται. τὸ γὰρ ἀνέβη καὶ κατέβη, ἀνάξιον θεοῦ· ἀλλ᾽ ἐπειδὴ τοῦτο μάλιστα τεκμήριον τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας, τὸ διὰ τὴν ἡμετέραν διδασκαλίαν καὶ τῆς παχύτητος τῶν τοιούτων ῥημάτων ἀνέχεσθαι, διὰ τοῦτο ἀνθρωπίναις λέξεσι κέχρηται, ἐπειδὴ οὐδὲ δυνατὸν ἦν ἑτέρως τὴν ἀκοὴν τὴν ἀνθρωπίνην ἐνεγκεῖν τῶν λεγομένων τὸ ὕψος, εἰ πρὸς τὴν ἀξίαν τοῦ δεσπό- C του ἡμῖν διελέγετο. ὅπερ ἐννοοῦντες μηδέποτε τῇ ταπεινότητι τῶν λέξεων ἐναπομένωμεν, ἀλλὰ καὶ διὰ τοῦτο θαυμάζωμεν αὐτοῦ τὴν ἄφατον ἀγαθότητα, ὅτι τοσαύτῃ συγκαταβάσει κεχρῆσθαι οὐ παραιτεῖται διὰ τὸ ἀσθενὲς τῆς φύσεως τῆς ἡμετέρας. ἀλλ᾽ ὅρα πάλιν τὸν δίκαιον τοῦτον τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδεικνύμενον. ἔστησε γὰρ, φησιν, Ιακὼβ στήλην λιθίνην ἐν τῷ τόπῳ, ᾧ ἐλάλησε μετ᾽ αὐτοῦ ὁ θεὸς, καὶ ἔσπεισεν ἐπ᾽ αὐτὴν σπονδὴν, καὶ ἐπέχεεν ἔλαιον, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, ἐν ᾧ ἐλάλησε μετ᾽ αὐτοῦ, Βαιθήλ. σκόπει πῶς ἀεὶ ταῖς D προσηγορίαις τῶν τόπων ἄληστον ὁ δίκαιος τοῦ εὐεργέτου τὴν μνήμην ἐναποτίθεται, ὥστε καὶ ταῖς μετὰ ταῦτα γενεαῖς κατάδηλον γίνεσθαι τὴν αὐτόθι γεγενημένην ὀπτασίαν τῷ δικαίῳ. καὶ ἀπάρας, φησὶν, Ιακὼβ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐπέκεινα τοῦ πύργου Γαδήρ. προσωτέρω πάλιν ἀναχωρεῖ ὁ δίκαιος, ἐπειγόμενος κατὰ μικρὸν φθάσαι τὸν τόπον, ἔνθα κατῴκει ὁ Ισαάκ. εἶτα, φησιν, ὅτε ἤγγισε τοῦ εἰσελθεῖν εἰς Εφραθᾶ, ἡ Ραχὴλ ἐδυστόκησεν ἐν τῷ τόκῳ. καὶ ἐγένετο ἐν τῷ σκληρῶς αὐτὴν τίκτειν, εἶπεν αὐτῇ ἡ μαῖα, θάρσει. καὶ γὰρ οὗτός σοί ἐστιν υἱός. μὴ ἀγωνία, φησί. τέξῃ γὰρ υἱόν. εἰ γὰρ καὶ διακόπτουσί σε αἱ ὠδῖνες, ἀλλ᾽ ὅμως ἕξεις υἱόν.

A ἐγένετο δὲ ἐν τῷ ἀφιέναι αὐτὴν τὴν ψυχὴν, ἀπέθνησκε γὰρ, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, υἱὸς ὀδύνης μου. ὁ δὲ πατὴρ αὐτοῦ ἐκάλεσεν αὐτὸν Βενιαμίν. ἐκείνη μὲν ἐκ τοῦ συμβεβηκότος αὐτῇ τὴν προσηγορίαν ἐπιτίθησι τῷ παιδὶ, ὁ δὲ πατὴρ Βενιαμὶν αὐτὸν ἐκάλεσε. καὶ μετὰ τὸ τεκεῖν, φησὶν, ἀπέθανε, καὶ ἐτάφη ἐν τῇ ὁδῷ Ἐφραθᾶ· αὕτη ἐστὶ Βηθλεέμ. καὶ ἔστησεν Ἰακὼβ στήλην ἐπὶ τοῦ μνημείου. τὴν ἀθυμίαν τὴν ἐπὶ τῇ τελευτῇ τῆς Ῥαχὴλ παρεμυθεῖτο ὁ τεχθεὶς, καὶ παρεσκεύαζε πράως φέρειν τὸν δίκαιον τὴν ἀποβολὴν τῆς Ῥαχήλ. ἐντεῦθεν λοιπὸν διαδέχεται τοῦ Ῥουβὴν ἡ περιπέτεια. B πορευθεὶς γὰρ, φησιν, ἐκοιμήθη μετὰ Βάλλας τῆς παλλακῆς τοῦ πατρὸς αὐτοῦ. καὶ ἤκουσεν Ἰσραὴλ, καὶ πονηρὸν ἐφάνη ἐναντίον αὐτοῦ. καὶ γὰρ ἦν παράνομον σφόδρα τὸ γεγονός. διὰ τοῦτο καὶ μετὰ ταῦτα νομοθετῶν Μωυσῆς ἀπηγόρευεν υἱὸν καὶ πατέρα τῇ αὐτῇ ἐπιμίγνυσθαι. ἵνα γὰρ μὴ ὁδῷ προβαίνοντες συνήθειαν τὸ πρᾶγμα ἐργάσωνται, ὁ νομοθέτης προαναστέλλει, τιμωρίᾳ ὑπευθύνους εἶναι τοὺς τοιούτους διαγορεύων. ἀλλ' ὅμως καὶ οὕτω νῦν μὲν πράως ἔφερεν ὁ Ἰακὼβ τῇ φυσικῇ φιλοστοργίᾳ νικώμενος. μετὰ δὲ ταῦτα μέλλων C ἐξιέναι τοῦ βίου, στηλιτεύει τὸν παῖδα, ἀνάγραπτον αὐτοῦ τὴν παρανομίαν ποιούμενος, καὶ ἀρώμενος αὐτῷ, ἵνα διὰ τῶν εἰς ἐκεῖνον γεγενημένων, καὶ οἱ εἰς τὸ ἑξῆς σωφρονίζωνται. ἐντεῦθεν ἡμῖν λοιπὸν ἀπαριθμεῖται τοὺς παῖδας τοῦ Ἰακὼβ ὁ μακάριος Μωυσῆς, καὶ διδάσκει ἡμᾶς, ἐξ ὧν διηγεῖται, τοῦ δικαίου τὴν ἀρετήν. ἵνα γὰρ μὴ νομίσῃς ἁπλῶς καὶ ὡς ἔτυχεν αὐτὸν τὴν συνουσίαν ποιήσασθαι τὴν πρὸς τὴν Ῥαχὴλ καὶ τὴν Λείαν καὶ τὰς δύο παιδίσκας, δείκνυσιν ὅτι οἰκονομίᾳ τινὶ ὑπηρετούμενος τῆς πρὸς αὐτὰς ὁμιλίας ἠνέχετο, καὶ ὥστε τὰς δώδεκα φυλὰς ἐξ αὐτοῦ τεχθῆναι. D διά τοι τοῦτο οὐκ ἔτι μνημονεύει ἡ γραφὴ ὡς ἑτέρου γενομένου αὐτῷ παιδὸς, ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο γεγένηται. ἦσαν δέ, φησιν, υἱοὶ τοῦ Ἰακὼβ δώδεκα. καὶ διαιρεῖ λοιπὸν τοὺς τῆς Λείας καὶ τῆς Ῥαχὴλ, καὶ τότε καὶ τοὺς τῶν παιδισκῶν ἀπαριθμεῖται, καί φησιν, οὗτοι υἱοὶ Ἰακὼβ, οἱ ἐγένοντο αὐτῷ ἐν τῇ Μεσοποταμίᾳ. καὶ μὴν ὁ Βενιαμὶν νῦν ἐτέχθη, ἡνίκα περὶ τὴν Βηθλεὲμ ἔφθασε. τίνος οὖν ἕνεκεν οὕτως εἶπεν ἡ γραφή, οἱ ἐγένοντο αὐτῷ ἐν τῇ Μεσοποταμίᾳ; ἴσως ἐπειδὴ πρὸ τῆς ἐκεῖθεν ἐξόδου ἡ Ῥαχὴλ αὐτὸν συλλαβοῦσα ἐτύγχανε

A [18] *Factum eſt autem*, inquit, *cùm exhalaret animam ſuam, moriebatur enim, vocauit nomen pueri, Filius doloris mei: pater autem eius vocauit eum Beniamin.* Illa quidem nomen ei dedit ex his quæ ſibi acciderant, pater autem Beniamin ipſum vocauit. *Et poſtquam peperit*, inquit, [19] *mortua eſt, & ſepulta in via Ephratha: hæc eſt Bethlehem.* [20] *Et erexit Iacob titulum ſuper ſepulchrum.* Mœrorem quem ex morte Rachelis conceperat, mitigauit natus puer, & effecit vt iuſtus Rachelis mortem æquo ferret animo: ſed hinc ſuccedit Ruben B temeritas. *Abyt enim*, inquit, *& dormiuit cum Balla concubina patris ſui: & audiuit Iſraël, & malum viſum eſt coram eo.* Erat enim valde nefarium facinus. Propterea & poſtea legiſlator Moſes prohibuit, ne pater & filius cum eadem rem habeant. Nam vt ne ſenſim progrediendo res illis in conſuetudinem verteret, iam antea legiſlator reprimit eos, pœnæ obnoxios denuncians. Attamen etiam nunc manſuetus eſt iuſtus naturali amore victus. Poſtea autem C cùm emigraturus eſſet ex hac vita, filium ſugillat, & flagitium eius inuulgat, maledicens ei, vt & cæteri illius pœna emendarentur. Hîc nobis poſtea enumerat filios Iacob, beatus Moſes: & per ea quæ narrat, iuſti virtutem nos docet: enimuerò ne putes fortuitò ſimpliciterque, vt contingere ſolet, ipſum concubuiſſe cum Rachel & Lia, & duabus ancillis, monſtrat quòd per diſpenſationem miniſtrarit illarum conſuetudini, vt duodecim tribus ex eo naſcerentur: & propterea non D vltra meminit ſcriptura, quòd ei alius naſcatur filius: vt diſcas quòd non ſimpliciter, neque abſque cauſa factum ſit hoc. *Erant autem*, inquit, *filij Iacob duodecim.* Et ſeparat poſtea, & primùm eos qui Liæ erant dein eos qui Rachelis, denique & eos qui ancillarum erant numerat, & dicit: [26] *Hi ſunt filij Iacob, qui nati ſunt ei in Meſopotamia.* Et ſanè tunc natus eſt Beniamin quando venit Bethlehem. Quare igitur dicit ſcriptura, qui nati ſunt ei in Meſopotamia? fortaſſe quia Rachel ante egreſſum ex Meſopotamia conceperat.

Leuit. 18

[27] *Et venit*, inquit, *Iacob ad Iſaac patrem ſuum.* Conſidera (obſecro) hîc, quomodo in omnibus certis indiciis miſericors Deus iuſtos confirmare volebat. Quia enim venit poſt tot annos ad patrem ſuum Iacob, maxima vtrinque facta eſt conſolatio, & filio ex patris conſpectu, & patri videnti tantam filij ſubſtantiam, & chorum filiorum ex eo natorum. [29] *Tunc*, inquit, *mortuus eſt Iſaac ſenex, & plenus dierum.* Nam cùm Iacob benedictionem ſuffuraretur, hebetes erant oculi eius, vnde & deceptus eſt:

Capvt. xxxvi.

cogita poſt tot annos, quantum ſenuerit. *Et ſepelierunt eum*, inquit, *Eſau & Iacob.* Sed iam ſepultura patris facta, Eſau acceptis vxoribus, & filiis, & omnibus ſuis, & omnibus quæ poſſidebat in terra Chananæorum, profectus eſt. [7] *Non poterat enim eos ferre terra peregrinationis præ multitudine facultatum:* [8] *& habitauit poſtea in monte Seir.* Et vbi narrauit nobis diuina ſcriptura eos qui ex Eſau nati ſunt, & gentes quæ ex eo genitæ, dicit: *Peregrinus autem fuit Iacob in terra, qua peregrinatus fuit pater eius in terra Chanaan.* Sed hinc

Moralis epilog⁹.

excipit nos alius tractatus, qui de admirabili Ioſeph agit. Et ſi libet hîc finiemus ſermonem, hiſtoriam filij Iacob in alium ſermonem reponentes. Illud tamen rogauerim veſtram charitatem, vt ea quæ dicuntur, diligenter auſcultetis, & ex ſingulis ſcripturæ dictis maxima vobis accreſcat vtilitas, nullúmque eorum temerè prætermittatur. Theſaurus enim ſpiritualis ſunt diuina eloquia, & ſicut aliquis de ſenſibili theſauro ſæpe vnam gemmam recipiens, magnas ſibi parat diuitias: ita & hîc iuſtorum virtutes, modo attendere voluerimus, tantam nobis vtilitatem afferre poſſunt, vt ad imitandum eos incitemur. Sic enim poterimus & nos eundem, quem illi, fauorem Dei conſequi. Neque enim perſona-

Act. 18. 35.

rum acceptor eſt Deus, ſed in omni gente qui timet Deũ, & operatur iuſtitiã, acceptus ei eſt: ita vt ſi voluerimus, nihil ſit ꝙ prohibeat, quin tanto vel etiã maiori potiamur auxilio.

A Καὶ ἦλθε, φησὶν, Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ. σκόπει μοι πάλιν ἐνταῦθα, πῶς ἐν ἅπασι πληροφορεῖν ἐβούλετο τοὺς δικαίους ὁ φιλάνθρωπος θεός. ἐπειδὴ γὰρ παρεγίνετο μετὰ τοσούτων ἐτῶν ἀριθμὸν ὁ Ἰακὼβ πρὸς τὸν πατέρα, καὶ μεγίστη γέγονεν ἑκατέροις ἡ παράκλησις, καὶ τῷ παιδὶ ἐκ τῆς τοῦ πατρὸς θέας, καὶ τῷ πατρὶ θεασαμένῳ τοῦ παιδὸς τὴν περιουσίαν, καὶ τὸν χορὸν τῶν ἀπ' αὐτοῦ τεχθέντων· τότε, φησὶν, ἐτελεύτησεν ὁ Ἰσαὰκ πρεσβύτης καὶ πλήρης ἡμερῶν. Εἰ γὰρ ἡνίκα τῆς εὐλογίας τὴν κλοπὴν ἐποιεῖτο ὁ Ἰακὼβ, ἠμβλυώπησαν οἱ ὀφθαλμοὶ αὐτοῦ, φησιν, ὅθεν καὶ τὰ B τῆς ἀπάτης αὐτῷ παρεχώρησεν, ἐννόησον μετὰ τοσούτων ἐτῶν ἀριθμὸν ὅπως ἦν γεγηρακώς. Καὶ ἔθαψαν αὐτὸν, φησιν, Ἠσαῦ καὶ Ἰακώβ. ἀλλὰ λοιπὸν τῆς τελευτῆς τοῦ πατρὸς γενομένης, λαβὼν, φησι, τὰς γυναῖκας αὐτοῦ Ἠσαῦ, καὶ τοὺς υἱοὺς, καὶ πάντας τοὺς αὐτοῦ, καὶ πάντα ὅσα ἐκτήσατο, ἐπορεύθη ἐν γῇ Χαναάν. οὐκ ἠδύνατο γὰρ, φησιν, ἡ γῆ τῆς παροικήσεως φέρειν αὐτοὺς ἀπὸ τοῦ πλήθους τῶν ὑπαρχόντων. καὶ ᾤκησε λοιπὸν ἐν τῷ ὄρει Σηείρ. καὶ διηγησαμένη ἡμῖν ἡ θεία γραφὴ τοὺς ἐκ τοῦ Ἠσαῦ τεχθέντας καὶ τὰ ἔθνη τὰ C ἀπ' αὐτοῦ γεγεννημένα, φησὶ, παρῴκησε δὲ Ἰακὼβ ἐν τῇ γῇ, οὗ παρῴκησεν ὁ πατὴρ αὐτοῦ, ἐν γῇ Χαναάν. ἀλλ' ἐντεῦθεν λοιπὸν πάλιν διαδέχεται ἡμᾶς ἑτέρα πραγματεία ἡ κατὰ τὸν θαυμάσιον Ἰωσήφ. ἀλλ' εἰ βούλεσθε, ἐνταῦθα στήσαντες τὸν λόγον εἰς ἑτέραν ἀρχὴν ταμιευσόμεθα τὴν κατὰ τὸν παῖδα τοῦ Ἰακὼβ ἱστορίαν, ἐκεῖνο παραινέσαντες ὑμῶν τῇ ἀγάπῃ μετὰ ἀκριβείας προσέχειν τοῖς λεγομένοις, καὶ ἐξ ἑκάστου τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων μεγίστην καρποῦσθαι τὴν ὠφέλειαν, καὶ μηδὲν ἁπλῶς παρατρέχειν. θησαυρὸς γάρ ἐστι D πνευματικὸς, τὰ θεῖα λόγια, καὶ καθάπερ ἀπὸ τοῦ αἰσθητοῦ θησαυροῦ καὶ λίθον ἕνα πολλάκις ὑφελόμενός τις πολὺν ἑαυτῷ ἐργάζεται τὸν πλοῦτον, οὕτω καὶ ἐνταῦθα αἱ τῶν δικαίων ἀρεταὶ, εἰ προσέχειν βουλοίμεθα, τοσαύτην ἡμῖν τὴν ὠφέλειαν παρέχειν δυνήσονται, ὡς καὶ πρὸς τὸν ὅμοιον αὐτῶν διεγερθῆναι ζῆλον. οὕτω γὰρ δυνησόμεθα καὶ ἡμεῖς τῆς αὐτῆς τοῖς δικαίοις ἀπολαῦσαι παρὰ τοῦ θεοῦ εὐνοίας. οὐ γὰρ προσωπολήπτης ἐστὶν ὁ θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν. ὥστε, εἰ βουλοίμεθα, οὐδὲν τὸ κωλῦον τοσαύτης, ἢ καὶ πλείονος ἡμᾶς ἀπολαῦσαι τῆς ἄνωθεν ῥοπῆς.

A ἐὰν γὰρ μόνον ἡμᾶς ἴδῃ τὰ παρ' ἑαυτῶν εἰσφέροντας καὶ τὰ αὐτῷ δοκοῦντα προτιμῶντας τῶν ἀνθρωπίνων, τοσαύτην καὶ αὐτὸς ἐπιδείξεται τὴν κηδεμονίαν, ὡς ἐν ἅπασιν ἀχειρώτους ἡμᾶς ἐργάσασθαι. καὶ γὰρ πολέμιον ἔχομεν διηνεκῆ καὶ ἄσπονδον τὴν πρὸς ἡμᾶς ἔχθραν κεκτημένον. διὸ πολλῆς ἡμῖν δεῖ τῆς ἀγρυπνίας, ὥστε περιγενέσθαι αὐτοῦ δυνηθῆναι τῆς μηχανῆς, καὶ ἀνωτέρους καταστῆναι τῶν τούτου βελῶν· οὐχ ἑτέρως δὲ περιεσόμεθα, ἢ διὰ τῆς ἀρίστης πολιτείας ἐπισπάσασθαι δυνηθέντες τὴν ἄνωθεν συμμαχίαν. ἀρίστη δέ ἐστι πολιτεία, βίος καθαρός. τοῦτο γὰρ ὁ θεμέλιος καὶ ἡ κρηπὶς τῆς ἀρετῆς. B ὁ γὰρ τοῦτον ἀσφαλῶς καταβαλλόμενος εὐκολώτερον τῶν ἄλλων ἁπάντων περιέσεται. οὔτε γὰρ χρημάτων ἐπιθυμία τοῦ τοιούτου περιγενήσεται, οὔτε δόξης ἔρως, οὔτε βασκανία, οὔτε ἕτερόν τι τῶν παθῶν. καὶ πῶς, ἐγὼ λέγω. ὅταν γάρ τις καθαρὸν ἔχῃ τὸ συνειδός, καὶ παντὸς ῥύπου ἀπηλλαγμένον, δυνήσεται καὶ τὸν ἁπάντων δεσπότην ἔνοικον ἔχειν. μακάριοι γὰρ οἱ καθαροί, φησι, τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. ὅταν δὲ ἐκεῖνον ἔνοικον ἔχειν καταξιωθῇ, ὡς ἁπλῶς καὶ εἰκῇ τὸ σῶμα περικείμενος, C οὕτω λοιπὸν διακείσεται, καὶ πάντων τῶν ἀνθρωπίνων πολλὴν ἐπιδείξεται τὴν ὑπεροψίαν. ἅπαντα γὰρ τὰ ὁρώμενα σκιὰ καὶ ὄναρ τῷ τοιούτῳ φανεῖται, καὶ καθάπερ ἐν τῷ οὐρανῷ τὸ πολίτευμα ἔχων, οὕτως οὐδενὸς τῶν παρόντων ἐπιθυμήσει. τοιοῦτος ἦν Παῦλος ὁ τῆς οἰκουμένης διδάσκαλος. διὸ καὶ ἐβόα λέγων, ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; καὶ πάλιν· ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. καὶ πάλιν, ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ. εἶδες ἄνδρα σῶμα περικείμενον, καὶ D ὡς ἐν ἀσωμάτῳ λήξει αὐτὸν τυγχάνοντα, οὕτω πάντα φθεγγόμενον; τοῦτον ἅπαντες ζηλώσωμεν, καὶ νεκρώσωμεν ἡμῶν τὰ μέλη τῆς σαρκός, καὶ πρὸς τὴν ἁμαρτίαν ἀνενέργητα αὐτὰ ἐργασώμεθα. οὕτω γὰρ μάλιστα αὐτὰ δυνησόμεθα παραστῆσαι τῷ θεῷ θυσίαν εὐάρεστον. εἶδες τὸ καινὸν καὶ παράδοξον τῆς θυσίας ταύτης; ὅταν νεκρὰ γένηται τὰ μέλη, τότε μάλιστα εὐπρόσδεκτα τῇ θυσίᾳ γίνεται. τίνος ἕνεκεν καὶ διὰ τί; ἐπειδὴ πνευματική ἐστιν ἡ θυσία, καὶ οὐδὲν αἰσθητὸν ἔχει. ἐπὶ μὲν γὰρ τῆς θυσίας τῆς αἰσθητῆς οὐ μόνον τὸ νεκρόν ἐστιν ἀπόβλητον,

A Nam ſi nos duntaxat viderit afferre quæ ex nobis ſunt, & præferre humanis ea quæ ſibi placent, tantam & ipſe noſtri curam declarabit, vt omnibus inuictos reddat. Scitis enim hoſtem nos habere perpetuum, & implacabili in nos odio flagrantem. Vnde nobis magna vigilantia opus eſt, ita vt eius fraudes vincere, & ſuperiores eius telis conſtitui poſſimus. Non aliter autem vincemus, quam ſi per optimam conuerſationem ſupernum nobis auxilium conciliemus. Optima vero conuerſatio eſt, vita pura. Hoc enim fun-
B damentum eſt virtutis, quòd qui rectè iecerit, facilè alia omnia deuincet, neque illum ſuperabit vel pecuniarum cupiditas, vel gloriæ amor, vel inuidia, vel aliqua affectio mala. Et quomodo? ego dicam. Quando enim quis munda fuerit conſcientia, & ab omni libera macula, poterit dominum vniuerſi habere inhabitantem. Beati enim,
inquit, mundo corde, quoniam ipſi Matt.5. 8.
Deum videbunt. Quòd ſi quis illum inhabitatorem habere mere-
C tur, quaſi fruſtra & ſine impedimento corpore veſtitus eſſet, ita poſtea afficietur, & humanarum rerum vmbram facilè contemnet. Humana enim omnia, vmbra illi & ſomniũ apparebũt, & ſicut cœleſtis ciuis pręſentia non optabit. Talis erat beatus
Paulus doctor orbis, & propterea cla- 2.Cor.13 3.
mabat, dicẽs: Num experimẽtũ quęritis eius, qui in me loquitur Chriſti? Galat.2. 20.
Et iterum: Viuo autem, nõ iam ego, Ibidem.
viuit autem in me Chriſtus. Et iterũ: Quod autem nunc viuo in carne, in fide viuo. Vidiſti virum corpore cir-
D cumdatum, quaſi incorporea quiete fruentem loqui omnia? Hunc omnes imitemur, & mortificemus membra carnis, & ad malè operandum inefficacia reddamus: ſic enim potiſſimum valebimus ipſa Deo offerre ſacrificiũ bene placitum. Vidiſti quàm nouum & admirabile hoc ſacrificiũ? quando mortua fuerint membra, tunc magis gratum erit Deo ſacrificium, Quare & quomodo hoc? Quoniam ſpirituale ſacrificium eſt, & nihil habet ſenſibile. Nam in ſenſibili quidem ſacrificio, non ſolùm id, quod mortuum eſt, abiicitur:

Leuit. 22. 23.

ſed neque viuum, quod vitiatum fuerit, ſacrificiis idoneum eſſe, ab initio lege cautum fuit: vt per irrationabilium obſeruationem paulatim inducamur ad ſpiritualem hanc & rationalem hoſtiam offerendam. Quod enim illic eſt vitioſum, vtpote priuatum auribus, vel mutilatum cauda, hoc hîc eſt mala concupiſcentia, luxuria, opum amor, & omnis malitia: & id quod eſt illic ſanum & ab omni macula alienum, hoc eſt hîc mortuum mundo, ita ad ſpirituale ſacrificium ſemetipſum idoneum exhibere. Hæc non ſimpliciter prętereamus, ſed bene figentes ea in memoria noſtra ſtudeamus, ne ſimus deteriores Iudæis qui in vmbra tantam declarant obſeruationem. Sicut enim illi adhuc lucernæ aſſidentes, tantopere illa obſeruarunt: ita nos poſtquam ſol iuſtitiæ nos illuſtrare dignatus eſt, & relicta vmbra ad veritatem adducti ſumus, ſimilem obſeruationem circa hoc ſpirituale hoc ſacrificium declaremus. Et neque peccata quę nobis videntur parua, contemptim prætereamus, ſed quotidie à nobis rationes repetamus & verborum, & ſpectationum: & pœnas de nobiſipſis ſumamus, vt nos à futuro ſupplicio liberemus. Nam propter hoc & Paulus inquit: Nam ſi nos ipſos iudicauerimus, non vtique iudicabimur. Ita ſi nos ipſos hîc condemnauerimus propter quotidiana peccata, imminuemus ſeueritatem iudicij, quod illic futurũ eſt. Quòd ſi ignaui fuerimus, qui iudicamur, inquit, à domino erudimur. Prius igitur noſmetipſos condemnemus magna cum ſynceritate, & nullo ſciente in tribunali conſciētiæ ſedeamus: & ſic examinemus noſtras ipſorum cogitationes, & rectam ſententiam proferamus, vt mens timens magnum illum terrorem, non patiatur amplius decipi, ſed impetum refrænet: & antè videns illũ inſomnem oculũ, pręcludat diabolo ingreſſum. Propter ignauiam enim ferimus omnia, vt ipſa rerum experiētia clamat. Nam quemadmodum ſi vel parum excitari voluerimus, omnes illius inſidias quaſi puluerem repellemus:

Iudęi in vmbra degebant.

1. Cor. 11. 31.

Conſcientia examinanda eſt.

A ἀλλὰ καὶ τὸ ζῶν, εἰ λώβην τινὰ ἔχοι, οὐδὲ τοῦτο εἰς θυσίαν δεκτὸν ἂν γένοιτό ποτε. καὶ τοῦτο ἐξ ἀρχῆς ἐνομοθετεῖτο οὐχ ἁπλῶς, ἀλλ' ἵνα διὰ τῆς τῶν ἀλόγων παρατηρήσεως κατὰ μικρὸν ἐναχθῶμεν μετὰ τῆς τοσαύτης φυλακῆς τὴν πνευματικὴν ταύτην καὶ λογικὴν θυσίαν προσάγειν. ὃ γάρ ἐστιν ἐκεῖ λώβη, καὶ τὸ ὠτότμητον, καὶ κολοβόκερκον, τοῦτο ἐνταῦθα πονηρία, ἐπιθυμία, ἀσέλγεια, χρημάτων ἔρως, καὶ πᾶσα ἁμαρτία· καὶ ὅπερ ἐστὶν ἐκεῖ τὸ ὑγιὲς καὶ τὸ παντὸς μώμου ἀπηλλαγμένον, τοῦτο ἐνταῦθα τὸ νεκρὸν τῷ κόσμῳ παντὶ γεγονότα οὕτω πρὸς τὴν θυσίαν τὴν πνευματικὴν ἐπιτήδειον ἑαυτὸν καταστῆσαι. B ταῦτα μὴ ἁπλῶς παρατρέχωμεν, ἀλλ' ἐμπηγνύντες αὐτὰ τῇ ἑαυτῶν διανοίᾳ, σπουδάσωμεν μὴ ἐλάττους ὀφθῆναι τῶν Ἰουδαίων τῶν ἐν τῇ σκιᾷ τοσαύτην ἐπιδεικνυμένων παρατήρησιν. ὥσπερ γὰρ ἐκεῖνοι ἔτι τῷ λύχνῳ παρακαθήμενοι τοσαύτην ἐποιοῦντο τὴν φυλακήν, οὕτως ἡμεῖς, ἐπειδὴ ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης καταυγασθῆναι κατηξιώθημεν, καὶ τὴν σκιὰν καταλιπόντες πρὸς τὴν ἀλήθειαν ἐχειραγωγήθημεν, τὴν ὁμοίαν φυλακὴν ἐπιδειξώμεθα περὶ τὴν πνευματικὴν ταύτην θυσίαν. καὶ μηδὲ τὰ μικρὰ ἁμαρτήματα C νομιζόμενα ἁπλῶς παρατρέχωμεν, ἀλλὰ καθ' ἑκάστην ἡμέραν ἑαυτοὺς εὐθύνας ἀπαιτῶμεν καὶ ῥημάτων καὶ βλεμμάτων, καὶ δίκας ἑαυτοὺς εἰσπραττώμεθα, ἵνα τῆς ἐκεῖθεν κολάσεως ἑαυτοὺς ἐλευθερώσωμεν. διὰ γὰρ τοῦτο καὶ Παῦλός φησιν, Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. ὥστε ἐὰν ἑαυτοὺς ἐνταῦθα κατακρίνωμεν ἐπὶ τοῖς καθ' ἑκάστην ἡμέραν ὑφ' ἡμῶν ἁμαρτανομένοις, ὑποτεμνόμεθα τῆς ἐκεῖ κρίσεως τὴν σφοδρότητα. Εἰ δὲ ῥαθυμήσαιμεν, κρινόμενοι, φησίν, ὑπὸ κυρίου παιδευόμεθα. προλαβόντες τοίνυν ἑαυτοὺς καταδικάσωμεν μετὰ D πολλῆς τῆς εὐγνωμοσύνης, καὶ μηδενὸς εἰδότος τὸ δικαστήριον τοῦ συνειδότος καθίσαντες, οὕτω βασανίσωμεν ἑαυτῶν τοὺς λογισμούς, καὶ ὀρθὴν τὴν κρίσιν ἐκφέρωμεν, ἵνα τὸν ἐπηρτημένον φόβον δεδοικὼς ὁ λογισμὸς μηκέτι ἀνέχηται ὑποσύρεσθαι, ἀλλὰ τὴν ὁρμὴν ἀναχαιτίζῃ, καὶ τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν προορώμενος ἀποτειχίζῃ τῷ διαβόλῳ τὴν εἴσοδον. ὅτι γὰρ ἀπὸ ῥαθυμίας ἅπαντα ὑπομένομεν, αὐτὴ βοᾷ τῶν πραγμάτων ἡ πεῖρα. ὥσπερ γὰρ ἐὰν μικρὸν διεγερθῆναι βουληθῶμεν, καθάπερ κονιορτόν, οὕτω τοῦ ἐκείνου τὰς ἐπιβουλὰς ἀποτιναξόμεθα·

οὕτως ἐπειδὰν ποτε ὑποσκελισθῶμεν, οὐ παρὰ τὴν ἐκείνου τυραννίδα τοῦτο ὑπομένομεν, ἀλλὰ παρὰ τὴν ῥαθυμίαν τὴν ἡμετέραν. οὐδὲ γὰρ βίᾳ ἡμῶν περιγίνεται καὶ ἀνάγκῃ, ἀλλ᾽ ἀπάτῃ μόνον. τοῦ δὲ μὴ ἀπατηθῆναι, εἰ θελήσομεν μικρὸν διεγερθῆναι καὶ νῆψαι, ἡμεῖς κύριοι· οὐκ ἐπειδὴ καθ᾽ ἑαυτοὺς τοσαύτην ἔχομεν τὴν ἰσχύν, ἀλλ᾽ ἐπειδὴ τότε καὶ τῆς ἄνωθεν ἀξιούμεθα ῥοπῆς. ὅταν γὰρ τὰ παρ᾽ ἑαυτῶν ἐπιδειξώμεθα, καὶ τὰ παρὰ τοῦ δεσπότου πάντως ἕπεται. νήψωμεν οὖν, παρακαλῶ, καὶ εἰδότες τοῦ πονηροῦ τὰς μηχανὰς διηνεκῶς γρηγορῶμεν, καὶ τὸν θεὸν παρακαλῶμεν συνεφάψασθαι ἡμῖν τῆς πρὸς αὐτὸν πάλης. οὕτω γὰρ καὶ ἡμεῖς ἀχείρωτοι γενησόμεθα, καὶ τὰς ἐκείνου διαφευξόμεθα μηχανάς, καὶ τῆς παρὰ τοῦ θεοῦ ῥοπῆς ἀπολαύσομεν, καὶ τῶν αἰωνίων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A ſic quando ſupplantamur, non propter illius tyrannidem hoc ſuſtinemus, ſed propter ignauiam noſtram. Neque enim vi ſua & neceſſitate nos vincit, ſed deceptione ſola. Non autem decipiemur, ſi parum eſſe vigiles voluerimus, & noſmetipſos attenderimus: non quòd ex nobis ſolis tanta ſit poteſtas, ſed quia tunc ſupeumrn auxilum nobis affulget. Nam ſi quæ à nobis ſunt fecerimus, ſequentur etiam omnino quæ domini ſunt. Sobrij igitur ſimus, obſecro, & ſcientes artes maligni, perpetuo vigilemus & B oremus, vt nos adiuuet ad certandum noſtrum cum diabolo certamen. Sic enim & nos inuicti erimus, & machinationes illius effugiemus, & diuinam conſequemur gratiam, bonáque æterna adipiſcemur. Quæ nobis omnibus contingrant, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo patri & Spiritui ſancto ſit gloria, imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Ὁμιλία ξα.

C Homilia LXI.

Αὗται δὲ αἱ γενέσεις Ἰακώβ. Ἰωσὴφ δεκαεπτὰ ἐτῶν ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν αὐτοῦ τὰ πρόβατα.

Hæ autem ſunt generationes Iacob: Ioſeph ſeptemdecim annorum erat, paſcens cum fratribus ſuis pecora.

Πάλιν ἐπὶ τὴν συνήθη τράπεζαν ὑμᾶς ἀγαγεῖν βούλομαι, καὶ τῆς ἀκολουθίας τῶν πρώην ἡμῖν εἰρημένων λαβόμενος, ἐκ τῶν πρόσφατον ἀναγνωσθέντων τὴν ἑστίασιν ὑμῖν παραθεῖναι ταύτην τὴν πνευματικήν. ἱκανὰ γὰρ τὰ σήμερον ἀναγνωσθέντα διδάξαι πάντας ἡμᾶς, ὅση τῆς βασκανίας ἐστὶν ἡ λύμη, καὶ ὅπως τὸ ὀλέθριον τοῦτο πάθος τὸ τοῦ φθόνου καὶ μέχρι τῆς συγγενείας αὐτῆς ἐκταθὲν τὴν οἰκείαν ἰσχὺν ἐπεδείξατο. δεῖ ἵνα δόξῃ κατὰ ἀκολουθίαν ὁ λόγος προϊέναι, ἀναγκαῖον αὐτῆς ἅψασθαι τῆς ἀρχῆς τοῦ ἀναγνώσματος. αὗται δέ, φησιν, αἱ γενέσεις Ἰακώβ. ὅρα τὸν θαυμαστὸν τοῦτον προφήτην, ὅπως ἐπαγγειλάμενος ἡμῖν διηγεῖσθαι τοῦ Ἰακὼβ τὴν γενεαλογίαν, εὐθέως ἐπὶ τὴν ἱστορίαν τοῦ παιδὸς ἀνέδραμε· καὶ εἰπών, αὗται αἱ γενέσεις Ἰακώβ, καὶ καταλιπὼν διηγεῖσθαι ἡμῖν ἀκολούθως τούς τε ἐξ αὐτοῦ τε-

Vterum pro cōſuetudine mea menſam proferre volo: proſequens igitur ea quæ pridem vobis dicta ſunt, conuiuium ex his quæ nunc lecta ſunt, D uium vobis hoc proponam ſpirituale. Sufficiunt enim & quæ hodie lecta ſunt, ad docendum nos omnes, quantum inuidiæ damnum ſit, & quomodo inuidiæ pernicies etiam vſque ad cognatos ſe extendat. Verùm vt videatur iuxta conſequentiam ſermo progredi, operæprecium fuerit initium lectionis tangere. *Hæ autē ſunt*, inquit, *generationes Iacob*. Et vide admirabilē hūc prophetā, quomodo cū promittat nobis genealogiā Iacob, ſtatim ad hiſtoriā pueri recurrat, & poſtquā dixiſſet: Hæ ſunt generationes Iacob, derelicta conſe-

quenter narratione quinam ex illo nati, & iterum qui ex natis ab eo nati (ſicut ſuprà, cùm de Eſau ſermo eſſet, fecit) ad Ioſeph illum ſtatim feſtinauerit, adoleſcentem omnium fratrum fere poſtremum, & dicit: [1] *Ioſeph decem & ſeptem erat annorum, paſcens cum fratribus ſuis oues.* Et quam ob cauſam nobis annorum deſignat numerum? vt ſcias, quòd adoleſcentia non eſt virtutis præpedimentum: & vt plenius ſcias adoleſcentis erga patrem obedientiam, & in fratres beneuolentiam illorum autem inhumanitatem: & quòd ne id quidem cohibere eos potuit, quòd ita in eos affectus erat, & quòd in tam tenera ætate, quæ debebat eos ad commiſerationem prouocare: ſed mox ab initio, videntes & pueri bonam indolem, & patris erga illum beneuolentiam, in inuidiam contra eum excitati ſunt. *Detulerunt enim*, inquit, *Ioſeph de peſſimo crimine apud Iſraël patrem ſuum.* Vide malitiæ eminentiam: patris charitatem perturbare attentabant, & quæ non erant fingunt contra fratrem: id ſolùm efficientes, vt ipſorum inuidia manifeſta redderetur. Et vt diſcas, quòd nihil inde lucri fecerint, quàm quòd manifeſtam fecerint ſuam ipſorum prauam mentem, vide patrem etiam poſt eorum accuſationem magis effundi in filij amorem, & iam præferre eum omnibus. [2] *Iacob autem*, inquit, *dilexit Ioſeph ſupra omnes filios ſuos, quoniam filius ſenectutis erat ei. Fecit autem ei tunicam variam.* Quid eſt, Dilexit Ioſeph ſuper omnes filios ſuos, quoniam filius ſenectutis erat ei? quia poſtremus, & in ipſa ſenectute natus eſt ei, propter hoc magis dilexit. Nam magis amabiles ſunt filij, qui in ſenectute ipſa generantur, maiorémque patrum beneuolentiam aſſequuntur. Sed vt ſciamus, quòd non hoc ſolùm erat, quod patrem illi conciliabat, & præferri eum alijs faciębat: docet nos ſcriptura, quòd poſt illum & alius natus ſit: & ſi iuxta naturalem amorem dilectio fuiſſet, poſtremus fuiſſet magis dilectus, vtpote verè ſenectutis filius exiſtens, & tunc natus, quando ad poſtremam ſenectutem peruenit iuſtus. Quid

CAPVT. XXXVII. Detulerunt in plurali, de fratribus Ioſeph. Alij tamen cũ Hebręis in ſingulari legunt, vt dicatur Ioſeph accuſaſſe fratres ſuos.

A διελθόντας, τούς τε ἐξ ἐκείνων πάλιν γεννωμένους (κα-
θάπερ καὶ ἐπὶ τοῦ Ἠσαῦ τοῦτο πεποίηκεν) ἐπὶ τὸν
Ἰωσὴφ εὐθέως ἔσπευσε, τὸν νέον, τὸν πάντων τῶν
ἀδελφῶν, ὡς εἰπεῖν, ἔσχατον· καί φησιν, Ἰωσὴφ
δεκαεπτὰ ἐτῶν ἦν ποιμαίνων μετὰ τῶν ἀδελφῶν
αὐτοῦ τὰ πρόβατα. τίνος ἕνεκεν καὶ τῶν ἐτῶν τὸν
ἀριθμὸν ἡμῖν σημαίνει; ἵνα μάθῃς ὡς οὐδὲν ἡ νεό-
της κώλυμα γίνεται πρὸς ἀρετήν, καὶ ἵνα ἐκ
περιουσίας γνῷς καὶ τοῦ νέου τὴν πρὸς τὸν πατέρα
ὑπακοήν, καὶ τὴν πρὸς τοὺς ἀδελφοὺς ὁμόνοιαν,
κἀκείνων τὸ ἀνήμερον· καὶ πῶς οὐδὲ πρὸς τὸν οὕτω
περὶ αὐτοὺς διακείμενον, καὶ ἀπὸ τῆς ἡλικίας αὐ-
B τῆς εἰς συμπάθειαν αὐτοὺς ἐφελκύσασθαι δυνά-
μενον παραφυλάξασθαι τὴν ἀγάπην ἠβουλήθη-
σαν· ἀλλ᾽ ἐξ αὐτῶν τῶν προοιμίων ὁρῶντες καὶ τοῦ
παιδὸς τὸ πρὸς τὴν ἀρετὴν ἐπιρρεπές, καὶ τοῦ
πατρὸς τὴν περὶ αὐτὸν εὔνοιαν, εἰς τὴν κατ᾽ αὐ-
τοῦ βασκανίαν διηγείροντο. κατήνεγκαν γὰρ Ἰωσὴφ
ψόγον πονηρὸν πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτῶν·
ὅρα κακίας ὑπερβολήν. καὶ τὴν τοῦ πατρὸς ἀγά-
πην διασαλεῦσαι ἐπιχειροῦσι καὶ τὰ μὴ ὄντα
πλάττονται κατὰ τοῦ ἀδελφοῦ, τοσοῦτον μόνον ἀνύον-
τες, ὅσον τὸν οἰκεῖον φθόνον κατάδηλον ποιῆσαι. καὶ
C ἵνα μάθῃς, ὅτι τοῦτο μόνον ἐκέρδαινον, τὸ φανε-
ρὰν ἑαυτῶν ποιῆσαι τὴν λανθάνουσαν γνώμην,
ὅρα τὸν πατέρα καὶ μετὰ τὴν παρ᾽ αὐτῶν διαβολὴν
ἐξεχόμενον τοῦ παιδός, καὶ πάντων αὐτὸν προκρί-
νοντα. Ἰακὼβ δέ, φησιν, ἠγάπα τὸν Ἰωσὴφ
παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ, ὅτι υἱὸς γήρως ἦν
αὐτῷ. ἐποίησε δὲ αὐτῷ χιτῶνα ποικίλον. τί ἐστιν,
ἠγάπα τὸν Ἰωσὴφ παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ;
ὅτι υἱὸς γήρως ἦν αὐτῷ; ἐπειδὴ πρὸς τῷ τέλει, φη-
σί, καὶ ἐν αὐτῷ τῷ γήρᾳ ἦν τεχθείς, διὰ τοῦτο μᾶλ-
λον ἁπάντων αὐτὸν ἠγάπα. καὶ γὰρ πολλά πως εἰ
D δοκεῖ τὰ παιδία τὰ πρὸς αὐτῷ τῷ γήρᾳ τικτό-
μενα, καὶ μᾶλλον ἐπισπάσασθαι δύνανται τὴν
πατρικὴν εὔνοιαν. ἀλλ᾽ ἵνα μάθωμεν ὅτι οὐ τοῦτο
μόνον ἦν τὸ τὸν πατέρα ἐπισπώμενον, προτιμᾶν
τε αὐτὸν τῶν λοιπῶν ἀδελφῶν παρασκευάζον, δι-
δάσκει ἡμᾶς ἡ θεία γραφή, ὅτι καὶ μετὰ τοῦτον ἕτερος
ἐτέχθη· καὶ εἰ κατὰ τὴν φυσικὴν ἀκολουθίαν τὰ τῆς
ἀγάπης ἐγίνετο, ἐκεῖνος ἂν μᾶλλον ἠγαπήθη, ἅτε
δὴ ἀληθῶς υἱὸς γήρως ὤν, καὶ τότε τεχθείς, ἡνίκα
πρὸς ἔσχατον γῆρας ἤλασεν ὁ δίκαιος. τί οὖν

ἔστιν εἰπεῖν; ὅτι χάρις τις ἦν ἄνωθεν ἡ τὸν νέον ἐπέραστον ποιοῦσα, καὶ διὰ τὴν τῆς ψυχῆς ἀρετὴν πάντων αὐτὸν προτιμότερον ἐργαζομένη. ταύτην δὲ προσκεῖσθαι τὴν αἰτίαν ἐν τῇ γραφῇ, ὅτι ἐπειδὴ υἱὸς γήρως ἦν αὐτοῦ, διὰ τοῦτο αὐτὸν ἠγάπα πλέον, ἵνα μὴ φανερῶς αὐξήσῃ τῶν ἀδελφῶν τὸν φθόνον. δεινὸν γὰρ τοῦτο τὸ πάθος· καὶ ἐπειδὰν ἐπιλάβηται ψυχῆς, οὐ πρότερον αὐτὴν ἀνίησι, μέχρις ἂν εἰς ἐσχάτην αὐτὴν ἀτοπίαν ἀγάγῃ, καὶ λυμηνάμενον τὴν τεκοῦσαν αὐτὸν ψυχὴν τὸ ἐναντίον ἢ βούλεται τὸν φθονούμενον διατίθησι, λαμπρότερον, ἐνδοξότερον, περιφανέστερον, ὅθεν πάλιν ἑτέρα πληγὴ βαρυτέρα τῷ βασκάνῳ γίνεται. σκόπει γοῦν ἐνταῦθα, πῶς ὁ μὲν θαυμάσιος οὗτος οὐδὲν τῶν γινομένων εἰδὼς, ἅτε δὴ καθάπερ ἀδελφοῖς καὶ τὰς αὐτὰς ὠδῖνας αὐτοῦ λύσασιν οὕτω προσεφέρετο, θαῤῥῶν ἅπαντα καὶ διαλεγόμενος μετὰ πολλῆς τῆς ἁπλότητος· ἐκεῖνοι δὲ ὑπὸ τοῦ τῆς βασκανίας πάθους ἁλόντες, μισεῖν αὐτὸν παρεσκευάζοντο. ἰδόντες γὰρ, φησιν, οἱ ἀδελφοὶ, ὅτι αὐτὸν ὁ πατὴρ φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ, ἐμίσησαν αὐτὸν, καὶ οὐκ ἠδύναντο λαλεῖν αὐτῷ οὐδὲν εἰρηνικόν. ὅρα πῶς τὸν οὐδὲν ἠδικηκότα μισεῖν ἐπεχείρουν. καὶ οὐδὲν, φησιν, ἠδύναντο λαλεῖν αὐτῷ εἰρηνικόν. τί ἐστιν, οὐδὲν ἠδύναντο λαλεῖν αὐτῷ εἰρηνικόν; ἐπειδὴ γὰρ ἐκυρίευσεν αὐτῶν τὸ πάθος, καὶ τὸ μῖσος ηὔξετο καθ' ἑκάστην ἡμέραν, καθάπερ αἰχμάλωτοι γενόμενοι καὶ τυραννούμενοι ὑπὸ τοῦ πάθους, μετὰ δόλου προσεφέροντο, οὐδὲν εἰρηνικὸν αὐτῷ λαλεῖν δυνάμενοι. καὶ σκόπει πῶς τὴν αἰτίαν ταύτην ἐσήμανε τοῦ μίσους, ὅτι ἀπὸ τοῦ φθόνου τὴν ἀρχὴν ἐλάμβανεν. ἰδόντες γὰρ οἱ ἀδελφοὶ αὐτοῦ, φησιν, ὅτι ὁ πατὴρ αὐτὸν φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ. τὸ φίλτρον τοῦ πατρὸς τὸν φθόνον αὐτῷ ἔτεκεν· ἀλλὰ τὴν τοῦ πατρὸς εὔνοιαν ἡ ἀρετὴ τοῦ παιδὸς ἐπεσπάσατο. δέον τοίνυν ἐκείνους μιμήσασθαι τὸν ἀδελφὸν καὶ ζηλῶσαι τὸν τρόπον, ἵν' οὕτω καὶ αὐτοὶ τὸν πατέρα ἐπισπάσωνται, τοῦτο μὲν οὐδὲ εἰς ἔννοιαν λαμβάνουσιν, ἀλλὰ κοινὸν μῖσος περὶ τὸν ὑπὸ τοῦ πατρὸς ἀγαπώμενον ἐπεδείκνυντο. καὶ ἐκεῖνοι μὲν, καθάπερ ἐκπολεμούμενοι, οὕτω λανθάνουσαν ἔσωθεν τὴν πονηρίαν τίκτοντες, οὐδὲν εἰρηνικὸν αὐτῷ διελέγοντο, ἀλλὰ μετὰ δόλου προσεφέροντο. ὁ δὲ θαυμάσιος οὗτος τὴν ἀδελφικὴν εὔνοιαν πρὸς αὐτοὺς ἀποσώζων, καὶ οὐδὲν ὑπιδόμενος, ἅτε δὴ ὡς ἀδελφοῖς ἐθάῤῥει,

A Quid igitur eſt dicendum? ſuperna quædam gratia fuit, quæ iuuenem amabilem reddebat, & propter animæ virtutem cunctis præferri faciebat. Hæc autem in ſcriptura adiecta eſt cauſa, quòd filius ſenectutis fuerit, & ideo magis eum dilexerit, vt non manifeſtè augeret odium fratrum. Grauis enim hæc affectio eſt, & quando animam inuaſerit, non prius eam relinquit, donec in extremam abſurditatem eam inducat, & lædens animam à qua nata eſt, omnino aliter eum cui inuidet, affi- B cit, quàm vult: nempe clariorem, nobiliorem, illuſtriorem reddit: vnde iterum alia grauior inuido plaga naſcitur. Proinde conſidera hîc quòd admirandus ille neſciebat quidem quod fiebat, & loquebatur cum illis vt cum fratribus, & quaſi eodem vtero natis, omni cum fiducia & ſimplicitate: illi autem inuidiæ malo capti, odio eum preſequuntur. [3] *Videntes enim*, inquit, *fratres, quòd pater præ omnibus filijs diligebat eum, oderant eum,* C *& non poterant ei loqui quicquam pacificè.* Vide quomodo odio proſequi nituntur eum, qui in nullo offenderat. Et nihil, inquit, poterant ei loqui pacificè. Quid eſt, nihil poterant loqui ei pacificè? Quia affectio dominabatur eis, & tyrannidem huius mali ferentes, in dolo loquebantur, & nihil pacificè loqui poterant. Et attende quomodo cauſam odij ſignificauit, quod ab inuidia exordium habuit. Vt viderunt enim, inquit, fratres, quòd pater eum præ omnibus filiis ſuis diligeret. Amor patris inuidiam ei peperit, ſed patris beneuolentiam vir- D tus pueri conciliauit. Cum igitur oporteret illos imitari fratrem, & æmulari mores, vt ſic & ipſi patrem ſibi conciliarent: illis venit, hoc ne in mentem quidem, ſed communi odio filium à patre dilectum proſequebantur. Et illi quidem, quaſi hoſtes facti, intus naſcentem malitiam pariebant, nihil pacificè ei loquendo, ſed cum dolo loquebantur: ille autem admirabilis, fraternam beneuolentiam cum eis ſeruans, nihilque ſuſpicans, vt fratribus bene fidens,

Inuidia quãtum malum.

omnia quæ in ſe erant faciebat. A Hic morbus ab initio & Cain, vt fratrem occideret, armauit. Et ſicut iſti propter beneuolentiam patris, quam erga puerum declarabat, & odio illum proſequebantur, & impugnare moliebantur, & quotidie ipſius cædem parturiebant: eodem ſane modo & ille vt vidit quòd fratris dona Deo magis accepta fuerunt, ad eum occidendum prouocatus eſt, & inquit: egrediamur in campum. Vides quod & hic nihil ſuſpicatur, ſed confidit fratri, & exit, & præter animi ſententiam in nefariam illam dextram incidit? Sic B ſanè & admirabilis Ioſeph, neſciens malam fratrum ſuorum mentem, tanquam cum fratribus, cum eis loquebatur, & inſomnia ipſa quæ ſibi Deus reuelauerat, præſignando gloriam ſibi obuenturam, & fratrum, ſubiectionem, in medium proponebat. 4 *Cum enim in ſomnium habuiſſet, ſomnium*, inquit, *annunciauit fratribus ſuis*, 5 *& dixit eis. Audite inſomnium hoc.* 6 *Putabam nos manipulos ligare in medio agro, & ſurrexit manipulus meus, & erectus eſt:* C *circumſtantes autem manipuli veſtri, adorauerunt manipulum meum.* 7 *Dixerunt autem ei fratres: Num regnans regnabis ſuper nos, aut dominans dominaberis noſtri? Et appoſuerunt adhuc eum odio proſequi propter inſomnia & verba ſua.* Propterea prius quoque docuit, quòd odium erga eum declarauerunt, vt ne putemus eos hinc ſumpſiſſe odij ſui contra eum exordium. Appoſuerunt enim adhuc eum odio proſequi: hoc eſt, multò magis augebant odium & inimicitias contra eum. Et vide miram D illorum cæcitatem: ipſi enim ſomnium exponunt. Non enim eſt dicendum, quòd propter ignorantiam eorum quæ futura erant, inuidiam gerebant contra eum, ſed vt didicerunt ex inſomniis futura, auctum eſt odium eorum. O excellentem amentiam! Oportebat hoc ſcientes maiorem erga illum beneuolentiam declarare, & è medio tollere odij cauſam, & effugare inuidentiæ affectum. Obtenebrati mente, & non videntes quòd contra ſemetipſos omnia faciant, multò maiore odio in eum exarſerunt. Quare ô mi-

Cain primus ex inuido homicida.

Gen. 4. 8

καὶ τὰ καθ' ἑαυτὸν ἅπαντα αἰετίθετο. τοῦτο τὸ πάθος καὶ ἐξ ἀρχῆς τὸν Κάϊν εἰς τὸν κατὰ τοῦ ἀδελφοῦ φόνον ὁρμῆσαι παρεσκεύασε. καὶ καθάπερ οὗτοι διὰ τὴν εὔνοιαν τοῦ πατρὸς, ἣν περὶ τὸν παῖδα ἐπεδείκνυτο, μισεῖν αὐτὸν παρεσκευάζοντο, καὶ πολεμεῖν ἐπεχείρουν, καὶ καθ' ἑκάστην ἡμέραν ὤδινον τὴν κατ' αὐτοῦ σφαγήν· τὸν αὐτὸν δὴ τρόπον κἀκεῖνος θεασάμενος ὅτι τὰ παρὰ τοῦ ἀδελφοῦ δῶρα μᾶλλον δεκτὰ γέγονεν, εἰς τὸν κατὰ τοῦ ἀδελφοῦ φόνον ἐκινήθη, καί φησιν, ἐξέλθωμεν εἰς τὸ πεδίον. ὁρᾷς καὶ τοῦτον μηδὲν ὑφορώμενον, ἀλλ' οἷα δὴ ἀδελφῷ πειθόμενον, κατεξιόντα καὶ πάρεργον γινόμενον τῆς μιαρᾶς ἐκείνης δεξιᾶς. οὕτω δὴ καὶ ὁ θαυμάσιος Ἰωσὴφ, οὐκ εἰδὼς τὴν κακὴν τῶν ἀδελφῶν ὁμόνοιαν, ὡς ἀδελφοῖς προσεφέρετο, καὶ τὰ ἐνύπνια, ἅπερ αὐτῷ ὁ θεὸς ἀπεκάλυπτε προμηνύων αὐτῷ τὴν περιφάνειαν, ἐν ᾗ γίνεσθαι ἔμελλε, καὶ τὴν ἀδελφοῦ τὴν ὑποταγὴν, εἰς μέσον προετίθει. ἐνυπνιασθεὶς γάρ, φησιν, ἐνύπνιον ἀπήγγειλε τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εἶπεν αὐτοῖς· ἀκούσατέ μου τοῦ ἐνυπνίου τούτου. ᾤμην ἡμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ, καὶ ἀνέστη τὸ ἐμὸν δράγμα καὶ ἀνωρθώθη. περιστραφέντα δὲ τὰ ὑμέτερα δράγματα προσεκύνησαν τὸ ἐμὸν δράγμα. εἶπον δὲ αὐτῷ οἱ ἀδελφοί, μὴ βασιλεύων βασιλεύσεις ἐφ' ἡμᾶς, ἢ κυριεύων κυριεύσεις ἡμῶν; καὶ προσέθεντο ἔτι μισεῖν αὐτὸν ἕνεκεν τῶν ἐνυπνίων αὐτοῦ καὶ τῶν ῥημάτων αὐτοῦ. διὰ τοῦτο καὶ προέλαβε καὶ ἐδίδασκεν ἡμᾶς, ὅτι ἄνωθεν τὸ μῖσος τὸ πρὸς αὐτὸν ἐπεδείκνυντο, ἵνα μὴ νομίσωμεν ἐντεῦθεν ἀρχὴν αὐτοὺς εἰληφέναι τοῦ κατ' αὐτὸν πολέμου. προσέθεντο γὰρ ἔτι μισεῖν αὐτὸν, ἀντὶ τοῦ, πολλῷ πλέον ηὔξανον τὸ μῖσος καὶ τὴν ἔχθραν τὴν κατ' αὐτοῦ. καὶ ὅρα τῆς πηρώσεως τὴν ὑπερβολήν. αὐτοὶ τὸ ὄναρ διακρίνουσιν. οὐδὲ γάρ ἐστιν εἰπεῖν, ὅτι δι' ἄγνοιαν τῶν μελλόντων ἔσεσθαι ἐφθόνουν κατ' αὐτοῦ· ἀλλὰ μαθόντες ἐκ τῶν ὀνειράτων τὰ ἐσόμενα, προσθήκην τοῦ μίσους εἰργάζοντο. ὢ ἀνοίας ὑπερβολή. δέον τοῦτο γνόντας μᾶλλον εὔνοιαν περὶ αὐτὸν ἐπιδείξασθαι, καὶ ἐκποδὼν ποιῆσαι τοῦ μίσους τὴν αἰτίαν, καὶ τῆς βασκανίας τὸ πάθος ἐξορίσαι, σκοτωθέντες τὸν λογισμὸν καὶ οὐ συνορῶντες ὅτι καθ' ἑαυτῶν ἅπαντα διαπράττονται, ἔτι πλέον ηὔξανον τὸ κατ' αὐτοῦ μῖσος. τίνος

ἕνεκεν, ὦ ἄθλιοι καὶ ταλαίπωροι, τοσαύτην ἐπιδείκνυσθε τὴν βασκανίαν, οὐκ ἀγνοοῦντες οὔτε τὴν ἀδελφικὴν σχέσιν, οὔτε ὅτι ἡ τῶν ἐνυπνίων ἀποκάλυψις φανερὰν δείκνυσι τοῦ θεοῦ τὴν περὶ αὐτὸν εὔνοιαν; μὴ γὰρ δὴ νομίσητε λοιπὸν τὰ παρὰ τοῦ θεοῦ μηνυθέντα αὐτῷ δυνατὸν εἶναι ἀνατραπῆναι. καθάπερ γὰρ τοῦ ὀνείρου τὴν διάκρισιν ἐποιήσασθε, οὕτως ἔσται μετ᾽ οὐ πολύ, κἂν μυρία ἐπινοῆσαι βουληθῆτε. εὐμήχανος γὰρ ὢν καὶ σοφὸς ὁ τῶν ἁπάντων δεσπότης, καὶ τῆς οἰκείας δυνάμεως δεικνὺς τὴν περιουσίαν, πολλάκις ἀφίησιν ἐν τῷ μεταξὺ κωλύματα γίνεσθαι, ἵν᾽ οὕτω τὰ πάλαι αὐτῷ δόξαντα εἰς ἔργον ἀγαγὼν, μεγίστην ἀποφήνῃ τῆς δυνάμεως αὐτοῦ τὴν περιβολήν. ἀλλὰ τοιοῦτον ἡ βασκανία. οὐδὲν τούτων λογίζεσθαι δύναται, ἀλλ᾽ ὅλως, ὡς εἰπεῖν, αἰχμάλωτος γεγονὼς κατὰ τῆς οἰκείας σωτηρίας ἅπαντα διαπράττεται. καὶ οὗτοι μὲν προσθήκην μίσους εἰργάζοντο διὰ τὴν τοῦ ἐνυπνίου διήγησιν· ὁ δὲ θαυμάσιος Ἰωσὴφ καὶ ἕτερον ἐνύπνιον θεασάμενος οὐκ αὐτοῖς μόνον, ἀλλὰ καὶ τῷ πατρὶ διηγεῖται, καί φησιν, ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με. καὶ ἐπετίμησεν αὐτῷ ὁ πατὴρ αὐτοῦ, καὶ εἶπεν αὐτῷ, τί τὸ ἐνύπνιον τοῦτο ὃ ἐνυπνιάσθης; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν; ἐζήλωσαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ, ὁ δὲ πατὴρ διετήρησε τὸ ῥῆμα. εἰδὼς τὸν τικτόμενον αὐτῷ φθόνον παρὰ τῶν ἀδελφῶν ὁ πατὴρ, διὰ τοῦτο ἐπετίμησε τῷ παιδὶ, καὶ διακρίνει καὶ αὐτὸς τὸ ὄναρ, καὶ στοχαζόμενος παρὰ τοῦ θεοῦ τὴν ἀποκάλυψιν αὐτῷ γεγενῆσθαι, διετήρει τὸ ῥῆμα. ἀλλ᾽ οὐχ οἱ ἀδελφοὶ οὕτως. ἀλλὰ τί; πάλιν πολλῷ πλέον ἐζήλωσαν. τί μεμήνατε; τί ἐξεστηκότων πράγματα διαπράττεσθε; οὐχ ὁρᾶτε ὅτι ἡ τῶν ἐνυπνίων δευτέρωσις οὐχ ἁπλῶς οὐδὲ εἰκῆ γέγονεν, ἀλλ᾽ ἵνα μαθόντες ὅτι πάντως ἔσται τὰ προμηνυθέντα, παύσησθε τῆς φονικῆς ὁρμῆς, ἐννοήσαντες ὅτι ἀδυνάτοις ἐπιχειρεῖτε; ἐχρῆν μὲν οὖν τὴν ἀδελφικὴν σχέσιν καὶ διάνοιαν ἀναλαβόντας, καὶ οἰκείαν κρίνειν εὐδοκίμησιν τὴν τοῦ ἀδελφοῦ μέλλουσαν ἔσεσθαι περιφάνειαν. ἐπειδὴ δὲ ταύτης ὑμῖν οὐδεὶς λόγος, κἂν ἐκεῖνο λογίσασθαι ἦν ἀκόλουθον, ὅτι οὐ πρὸς αὐτὸν ὑμῖν ὁ πόλεμος, ἀλλὰ πρὸς τὸν ἁπάντων δεσπότην τὸν ταῦτα αὐτῷ ἤδη ἐκκαλύψαντα. ἀλλ᾽ οὗτοι μὲν, καθάπερ ἔφθην εἰπὼν,

A feri & calamitoſi, tantam declaraſtis inuidiam, non cogitantes neque fraternum vinculum, neque quòd inſomniorũ reuelatio manifeſtam Dei erga illum declarat beneuolentiam? Nolite enim exiſtimare, quòd quæ à Deo præſignata ſunt, poſſint ſubuerti. Nam ſicut ſomnium diiudicaſtis, ita erit non poſt multum temporis, etiamſi innumera excogitare volueritis. Solers enim & ſapiẽs cum ſit omnium dominus, vt ſuæ virtutis declaret affluentiam, ſæpe multa permittit interponi impedimenta, vt iis quæ ſibi pridem viſa erant perfectis, B ſummam virtutis ſuæ declaret eminentiam. Verùm vt ſe habet inuidia, nihil eorum cogitare poteſt: ſed omnino (vt ita dicam) vbi inuidus captus ab hoc morbo fuerit, contra ſuam ipſius ſalutem facit omnia. Et illi quidem narratione ſomnij odium auxerunt, admirabilis autem Ioſeph vbi & aliud inſomnium vidit, non ipſis ſolùm, ſed & patri narrat.

8 *Quaſi ſol & luna, & vndecim ſtellæ adorabant me.* 9 *Et increpauit eum pater ſuus, & dixit ei: Quod eſt inſomnium* C *hoc, quod ſomniaſti? Nunquid euntes ibimus ego & mater tua, & fratres tui, vt adoremus te ſuper terram?* 10 *AEmulati autem ſunt eum fratres ſui, pater verò obſeruauit verbum.* Sciens pater quòd fratres inuidebant ei, propter hoc increpauit puerum, & expoſuit etiam ipſe ſomnium, & coniectans à Deo reuelationẽ ei factam, obſeruabat verbum. Verùm non ita faciebãt & fratres. Sed quid? Iterum multò magis æmulabantur. Cur inſani fuiſtis? cur ſtupidorum opera feciſtis? Non cogitaſtis, quòd ſecundum in- D ſomnium non temerè, neq; fortuitò factum ſit: ſed vt cũ didiceritis quòd omnino futura ſunt quæ prædicta, ceſſetis meditari fratricidium, vtpote rem molientes impoſſibilem? Igitur oportebat quidem vos, cum cogitaretis, & in mentem acciperetis fraternam veſtram coniunctionem, futuram fratris gloriam pro veſtra ducere. Quoniam autem ad hoc nõ reſpiciebatis, conſequens fuit illud cogitare, quòd non contra eum, ſed contra omnium dominum, qui hoc ei iam reuelauit, pugnetis. Verùm illi quidem, ſicut dixi,

Cur inſomnia hæc euenerint.

neque naturæ vinculum reueriti, neque in mētem accipientes, quanta ille ſuperna gratia muniretur, odium quotidie auxerunt: & occultè intra ſemetipſos rogum accenderunt, neque patre, neque filio tale quippiam ſuſpicantibus, neque cogitantes quòd in tantam inſaniam eſſent properaturi. Ideo vbi profecti ſunt fratres in paſcua: [11] *Dixit, inquit, pater ad Ioſeph: Nónne fratres tui paſcunt oues in Sychem? Veni mittam te ad eos. Dixítque ei: Ecce ego.* Vidiſti patris erga filios dilectionem, vidiſti filij obedientiam? Dixit autem ei: [13] *Vade, & vide, num ſani ſint fratres tui, & oues, & annuncia mihi.* Hæc autem omnia facta ſunt, vt & Ioſephi erga fratres monſtraretur beneuolentia, & illorum ſanguinaria mens fieret manifeſta. Factum eſt autem & in figuram futurorum, vt in vmbra multò antea veritatis res deſcriberentur.

Ioſeph figura Chriſti.

Et ſicut Ioſeph ad fratres abiit inuiſens eos, & illi neque fraternitatem, neque aduentus cauſam ſunt reueriti, ſed primum quidem occidere voluerunt, poſtea autem vendiderunt barbaris: Ita & dominus noſter ſuam ſeruans miſericordiam, aduenit inuiſens humanum genus, & ſuſcepta noſtrę formæ carne, dignatus fieri frater noſter, ſic aduenit.

Heb. 2. 16.

Et clamat Paulus, dicens: non enim angelos aſſumpſit, ſed ſemen Abrahæ: vnde debuit per omnia fratribus ſimilis fieri. Sed ingrati Iudæi, animarum corporúmque medicum, innumera miracula quotidie facientem, occidere conati ſunt, & opere complerunt animo ſuo decretam cædem: & crucifixerunt eum, qui propter noſtram ſalutem ſerui formam ſuſcipere dignatus eſt. Et iſti quidem apprehenſum, & cruci traditum occiderunt: illi autem conſultabant quidem, ſed opere quod conſulebant, non impleuerunt. Oportebat autem figuram minus habere, quàm veritatem: quia alioqui non fuiſſet figura eorum quæ poſthac futura. Propterea illic quidem quaſi in vmbra præſignata ſunt. Et conſidera negotium. Non occiderunt, ſed vendiderunt, & veſtem hædi

A οὐδὲ τὴν φύσιν αὐτὴν αἰδούμενοι, οὔτε τὴν ἄνωθεν γινομένην περὶ αὐτὸν εὔνοιαν ἐν νῷ λαβόντες, τὸ μῖσος καθ' ἑκάστην ἡμέραν ἐπέτεινον, καὶ λανθανόντως τὴν πυρὰν παρ' ἑαυτοῖς ἀνῆπτον, οὐδὲν οὔτε τοῦ πατρὸς, οὔτε τοῦ νέου τοιοῦτόν τι ὑποπτευόντος, οὐδ' ὅτι πρὸς τοσαύτην μανίαν ἐλαύνειν ἔμελλον. διὸ καὶ προελθόντων τῶν ἀδελφῶν εἰς τὰ ποίμνια, εἶπεν ὁ πατὴρ τῷ Ἰωσὴφ, οὐκ οἱ ἀδελφοί σου ποιμαίνουσιν εἰς Συχέμ; δεῦρο ἀποστείλω σε πρὸς αὐτούς. εἶπε δὲ αὐτῷ, ἰδοὺ ἐγώ. εἶδες πατρὸς πρὸς παῖδας φιλοστοργίαν· εἶδες παιδὸς ὑπακοήν. εἶπε δὲ αὐτῷ, πορευθεὶς ἴδε εἰ B ὑγιαίνουσιν οἱ ἀδελφοί σου, καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι. ταῦτα δὲ πάντα ἐγίνετο, ἵνα καὶ τοῦ Ἰωσὴφ δειχθῇ ἡ περὶ τοὺς ἀδελφοὺς εὔνοια, κἀκείνων κατάδηλος γένηται ἡ φονικὴ γνώμη. ἐγίνετο δὲ καὶ τύπος τῶν ἔσεσθαι μελλόντων, καὶ ἐν τῇ σκιᾷ προδιεγράφετο τὰ τῆς ἀληθείας πράγματα. καὶ ὥσπερ ὁ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς ἀπῄει ἐπισκεψόμενος αὐτοὺς, κἀκεῖνοι οὐκ αἰδεσθέντες οὔτε τὴν ἀδελφότητα, οὔτε τὴν αἰτίαν τῆς παρουσίας, πρότερον μὲν ἀνελεῖν ἐβούλοντο, ἔπειτα δὲ καὶ ἐπίπρασκον τοῖς C βαρβάροις· οὕτω καὶ ὁ δεσπότης ὁ ἡμέτερος τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, παραγέγονεν ἐπισκεψόμενος τὸ τῶν ἀνθρώπων γένος, καὶ τὴν ὁμογενῆ ἡμῖν σάρκα ἀναλαβὼν, καὶ ἀδελφὸς ἡμῶν γενέσθαι καταξιώσας οὕτω παραγέγονε. καὶ βοᾷ Παῦλος λέγων, οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραάμ, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. ἀλλ' οἱ ἀγνώμονες Ἰουδαῖοι τὸν τῶν σωμάτων καὶ τὸν τῶν ψυχῶν ἰατρὸν, τὸν μυρία θαύματα καθ' ἑκάστην ἡμέραν ἐργα- D ζόμενον ἀνελεῖν ἐπεχείρουν, καὶ εἰς ἔργον ἤγαγον τὴν φονικὴν αὐτῶν γνώμην, καὶ ἐσταύρωσαν τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν καταδεξάμενον. ἀλλ' οὗτοι μὲν καὶ ἐπεχείρησαν, καὶ σταυρῷ παραδόντες ἀνεῖλον· ἐκεῖνοι δὲ ἐβουλεύσαντο μὲν, οὐκ ἤγαγον δὲ εἰς ἔργον τὰ βουλευθέντα. ἔδει δὲ τὸν τύπον ἔλαττον ἔχειν τῆς ἀληθείας, ἐπεὶ οὐκ ἂν εἴη ἐκεῖνα τύπος τῶν μετὰ ταῦτα ἐσομένων. διὰ τοῦτο ἐκεῖ μὲν ὥσπερ ἐν σκιᾷ προεγράφη. καὶ ἐννόησον τὸ θαῦμα. οὐκ ἀνεῖλον, ἀλλὰ πεπράκασι, καὶ τὸν χιτῶνα τῷ αἵματι

τῷ αἵματι τοῦ ἐρίφου μολύναντες ἤγαγον τῷ πατρὶ, πεῖσαι βουλόμενοι ὅτι ἀνῃρέθη ὁ παῖς. ὁρᾷς ὅτι ἅπαντα ταῦτα ἐγίνετο, ἵνα καθάπερ ἐν σκιᾷ οὕτως ἡ εἰκὼν μόνη τῶν πραγμάτων γένηται, καὶ ἡ ἀλήθεια φυλάττηται; ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου τὸ λοιπὸν ἐπανέλθωμεν. ἀπέστειλεν αὐτὸν, φησιν, ὁ πατὴρ αὐτοῦ, καὶ ἦλθεν εἰς Συχὲμ, καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ. ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος, λέγων, τί ζητεῖς; ὁ δὲ εἶπε, τοὺς ἀδελφούς μου ζητῶ, ἀνάγγειλόν μοι, ποῦ βόσκουσι. σκόπει πῶς οὗτος μὲν μετὰ σπουδῆς ποιεῖται τῶν ἀδελφῶν τὴν ἐπιζήτησιν, καὶ περιεργάζεται καὶ πολυπραγμονεῖ, καὶ πάντα ποιεῖ, ὥστε αὐτοὺς ἰδεῖν. εἶπε δὲ αὐτῷ, φησιν, ἤκουσα αὐτῶν λεγόντων, πορευθῶμεν εἰς Δωθαεὶμ. καὶ ἐπορεύθη Ἰωσὴφ, καὶ εὗρεν αὐτούς. προεῖδον δὲ αὐτὸν μακρόθεν πρὸ τοῦ ἐγγίσαι αὐτὸν, καὶ ἐπονηρεύοντο τοῦ ἀποκτεῖναι αὐτόν. ἐννόει μοι ἐνταῦθα τοῦ θεοῦ τὴν εὐμήχανον σοφίαν, ὅπως οὗτοι μὲν εἰς τὸν κατ' αὐτοῦ φόνον εἶχον τὴν ὁρμήν. ὁ δὲ τὰ πάντα ποιῶν καὶ μετασκευάζων συγχωρεῖ τὰ ἐν μέσῳ πάντα κωλύματα γίνεσθαι, ἵνα τὸν οἰκεῖον ἀθλητὴν λαμπρότερον ἀποδείξας ὕστερον ἐπαγάγῃ τῶν ὀνειράτων τὴν ἔκβασιν. προεῖδον, φησιν, αὐτὸν, καὶ ἐπονηρεύοντο τοῦ ἀποκτεῖναι αὐτόν. εἶπε δὲ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ, ἰδοὺ, ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται. νῦν οὖν δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων, καὶ ἐροῦμεν, θηρίον πονηρὸν κατέφαγεν αὐτὸν, καὶ ὀψόμεθα τί ἔσται τὰ ἐνύπνια αὐτοῦ. εἶδες ὅτι τῶν ἐνυπνίων τὴν ἔκβασιν προσδοκῶντες, ἀνελεῖν αὐτὸν ἐπιχειροῦσιν; ἀλλ' ἵνα μάθωσιν, ὅτι οὐχ οἷόν τε τὰ παρὰ τοῦ θεοῦ προαγορευθέντα μὴ εἰς ἔργον ἐλθεῖν, καὶ βουλεύονται καὶ ἐπιχειροῦσι, καὶ τὰ τῆς οἰκείας πονηρίας ἐπιδείκνυνται, καὶ ὁ σοφὸς καὶ εὐμήχανος θεὸς αὐτοὺς τοὺς ἐπιβουλεύοντας ὑπηρετῆσαι ποιεῖ καὶ ἄκοντας παρασκευάζει πρὸς τὴν οἰκονομίαν τῶν μελλόντων ἔσεσθαι. ἐπειδὴ γὰρ συνεφώνησαν πρὸς τὸν κατ' αὐτοῦ φόνον, καὶ τῇ γνώμῃ τὴν σφαγὴν ἤδη ἐπεδείξαντο, ἀκούσας, φησὶ, Ῥουβὴν ἐξείλετο αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ εἶπεν, οὐ πατάξωμεν αὐτὸν εἰς ψυχὴν, μὴ ἐκχέητε αἷμα. ἐμβάλλετε αὐτὸν εἰς τὸν λάκκον τοῦτον τὸν ἐν τῇ ἐρήμῳ, χεῖρα δὲ μὴ ἐπενέγκητε αὐτῷ, ὅπως ἐξέληται αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἀποδῷ αὐτὸν τῷ πατρὶ αὐτοῦ. ὅρα καὶ τοῦτον πῶς οὐ τολμᾷ φανερῶς ἐξελέσθαι τὸν ἀδελφόν,

A ſanguine inquinantes, dederunt patri, perſuadere volentes, quòd occiſus ſit filius. Vides quòd omnia hæc facta ſunt, vt quaſi in vmbra imago illa rerum fieret, & veritas cuſtodiretur? Sed ad ſeriem ſermonis redeamus. *Et miſit eum*, inquit, *pater, & venit in Sychem, & inuenit eum homo errantem in agro. Rogauit autem eum homo dicens: Quid quæris?* [15] *Ille autem dixit: Fratres meos quæro. Annuncia mihi, vbi paſcant oues.* Conſidera quomodo hic magno ſtudio de fratribus ſuis inquirit, & curioſè perluſtrat, & omnia facit vt eos videre poſſit.

B [16] *Dixit autem ei*, inquit, *homo: Audiui eos dicentes, eamus in Dothaim. Et iuit Iuſeph, & inuenit eos.* [17] *Prius autem viderunt eum à longè antequam appropinquaret ad ſe, & malignè cogitaban, vt occiderent eum.* Conſidera hic quæſo Dei prouidam ſapientiam, quo modo illi quidem concitati erant in cædem eius: ipſe autem omnia faciens & præparans permittit interim omnia impedimenta fieri, vt facto athleta ſuo clariori, poſtremum ſomniornm adducat euentum.

C Prius autem viderunt eum, inquit, & malignè cogitabant, vt occiderent eum. [18] *Dicebat autem vnuſquiſque ad fratrem ſuum: Ecce ſomniator ille venit:* [19] *nunc igitur venite occidamus eum, & proijciamus eum in lacum vnum ex his, & dicemus, Mala beſtia deuorauit eum, & videbimus quid erunt ſomnia eius.* Vidiſti, quòd ſomniorum euentum expectantes occidere eum conati ſunt? Sed vt diſcant, quòd non ſit poſſibile ea quæ à Deo ſunt prædicta, non opere compleri, conſultant & attentant, & ſuam declarant mali- *A Deo prædicta nequeunt impediri.*

D tiam: at ſapiens & omnipotens Deus inſidiatores miniſtrare etiam inuitos facit diſpenſationi futurorum. Quoniam enim cōſpirauerant in mortem eius, & propoſito iam occiderant: [20] *Vt audiuit*, inquit, *Ruben, eripuit eum ex manibus eorum, & dixit:* [21] *Non percutiamus eum in animam: non effundite ſanguinem, abijcite eum in lacum illum in ſolitudine, manum autem non inijcite in eum. vt eum eriperet ex manibus eorum, & redderet eum patri ſuo.* Vide & iſtum, quomodo non audet manifeſtè eripere fratrem,

ſed iam occidendi conatum & impetum refrænare volens, dicit: Non effundite ſanguinem, ſed abiicite eum in lacum. Docere enim nos volens diuina ſcriptura ſcopum & mentem Ruben, dicit: Hæc autem faciebat, vt eriperet eum, & redderet patri ſuo. Et cùm illi hęc conſultarent, nondum Ioſeph aduenerat, ſed poſtquam colloquium hoc abſoluerunt, [22] *Venit*, inquit, *Ioſeph ad fratres ſuos.* Cum igitur oportuiſſet illos occurrere fratri, & amplexari, & quomodo ſe pater haberet, inquirere: illi vero quaſi beſtiæ quædam, vbi agnum conſpicatæ fuerint, aſſiliunt. *Et exuerunt*, inquit, *Ioſeph veſte varia*, [23] *& acceptum eum proiecerunt in lacum. Lacus autem erat vacuus, aquam non habens, & quemadmodum conſuluerat Ruben, fecerunt. Et iniecto illo, ſederunt ad comedendum panem.* O crudelitatem, ô inhumanitatem.. Ille quidem tantum itineris confecerat, & tanto ſtudio de eis inquiſierat, vt videret & annunciaret patri quomodo ſe haberent res illorum: iterùm illi quaſi alieni, & barbari, & inhumani, quia conſuluerat eis Ruben, ne effunderent ſanguinem, fame occidere volebant. Sed benignus Deus ſtatim eum liberauit ab inſania fratrum. *Cũ enim conſediſſent ad comedendum panem, viderũt Iſmaëlitas viatores venientes, & AEgyptũ verſus euntes.* [21] *Et dixit Iudas: quid prodeſt ſi occiderimus fratrem noſtrum, & occultauerimus ſanguinẽ eius?* [26] *Venite, tradamus eũ Iſmaë-litis iſtis. Manus autẽ noſtræ non ſint ſuper eum, quia frater noſter & caro noſtra eſt.* Vide quomodo & prius Rubẽ minore malo maius prohibuit: & nunc quoq; Iudas conſulit, vt vendatur frater, quò eum ab interitu eripere queat. Hoc autẽ totum factum eſt, vt etiam inuitis illis, quæ à Deo prædicta fuerant, euenirent, & diſpenſationi diuinæ ſeruirent, *& probato*, inquit, *conſilio Iudæ*, [27] *eduxerũt eũ de ciſterna, & vendiderũt Iſmaëlitis viginti aureis.* O iniquam imitationẽ, ô damnoſum lucrũ, ô iniuſtiſſimã venditionẽ! Eum qui vobis ſangine cõiunctiſſimus erat, quẽ pater maximè amabat, qui ad viſendum vos venerat, qui nunquam vos vel in paruo,

A ἀλλὰ τέως τὴν φονικὴν αὐτῶν ὁρμὴν ἀναχαιτίσαι βουλόμενος, φησί, μὴ ἐκχέητε αἷμα, ἀλλ' ἐμβάλλετε αὐτὸν εἰς τὸν λάκκον. καὶ διδάξαι ἡμᾶς βουλομένη ἡ θεία γραφὴ τὸν σκοπὸν τοῦ Ῥουβὴν, φησί, ταῦτα δὲ ἐποίει ὅπως ἐξέληται αὐτὸν, καὶ ἀποδῷ τῷ πατρὶ αὐτοῦ. καὶ τούτων ταῦτα βουλευομένων οὐδέπω ὁ Ἰωσὴφ ἦν παραγεγονώς, ἀλλὰ μετὰ τὸ πληρωθῆναι ταύτην τὴν διάλεξιν, ἦλθε, φησίν, Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ. δέον τοίνυν ἐκείνους προσδραμεῖν τῷ ἀδελφῷ καὶ περιπτύξασθαι καὶ μαθεῖν τὰ παρὰ τοῦ πατρὸς αὐτοῖς δηλωθέντα, οἱ δὲ καθάπερ τινὲς ἄγριοι θῆρες ἀρνίον θεα-
B σάμενοι ἐπιπηδῶσι, καὶ ἐξέδυσαν, φησί, τὸν Ἰωσὴφ τὸν χιτῶνα τὸν ποικίλον, καὶ λαβόντες αὐτὸν ἔρριψαν εἰς τὸν λάκκον. ὁ δὲ λάκκος ἦν κενὸς, ὕδωρ οὐκ ἔχων. καθάπερ συνεβούλευσεν ὁ Ῥουβὴν, οὕτως ἐποίησαν. καὶ ῥίψαντες αὐτὸν, ἐκάθισαν τοῦ φαγεῖν ἄρτον. ὢ τῆς ὠμότητος, ὢ τῆς ἀπανθρωπίας. ἐκεῖνος μὲν τοσαύτην ὁδὸν διήνυσε, καὶ μετὰ τοσαύτης σπουδῆς τὴν ἐπιζήτησιν αὐτῶν ἐποιήσατο, ὥστε καὶ ἰδεῖν καὶ ἀπαγγεῖλαι τῷ πατρὶ τὰ κατ' αὐτούς· ἐκεῖνοι δὲ καθάπερ βάρβαροί τινες καὶ ἀνήμεροι, ἐπειδὴ συνεβουλεύθησαν ὑπὸ τοῦ Ῥου-
C βὴν μὴ ἐκχέαι τοῦ ἀδελφοῦ τὸ αἷμα, τὸν διὰ τοῦ λιμοῦ θάνατον αὐτῷ κατεσκεύαζον. ἀλλ' ὁ φιλάνθρωπος θεὸς ταχέως αὐτὸν ἐρρύσατο τῆς τῶν ἀδελφῶν μανίας. καθίσαντες γάρ, φησι, φαγεῖν ἄρτον εἶδον ὁδοιπόρους Ἰσμαηλίτας ἐρχομένους, καὶ ἐπὶ τὴν Αἴγυπτον τὴν ὁρμὴν ἔχοντας. καὶ εἶπεν Ἰούδας, τί χρήσιμον, ἐὰν ἀποκτείνωμεν τὸν ἀδελφὸν ἡμῶν, καὶ κρύψωμεν τὸ αἷμα αὐτοῦ; δεῦτε ἀποδώμεθα αὐτὸν τοῖς Ἰσμαηλίταις τούτοις· αἱ δὲ χεῖρες ἡμῶν μὴ ἔστωσαν ἐπ' αὐτὸν, ὅτι ὁ ἀδελφὸς ἡμῶν, καὶ σὰρξ ἡμῶν ἐστιν. ὅρα πῶς καὶ πρότερον ὁ Ῥουβὴν
D ἐλάττονι κακῷ τὸ μεῖζον ἐκώλυσε· καὶ νῦν πάλιν ὁ Ἰούδας πραθῆναι συμβουλεύει τὸν ἀδελφὸν, ὥστε τῆς σφαγῆς αὐτὸν ἐξαρπάσαι. τοῦτο δὲ ὅλον ἐγένετο, ἵνα πληρωθῇ καὶ ἀκόντων αὐτῶν τὰ παρὰ τοῦ θεοῦ προρρηθέντα, καὶ ὑπηρετῶνται τῇ οἰκονομίᾳ. καὶ δεξάμενοι, φησί, τὴν συμβουλὴν τοῦ Ἰούδα, ἀναβιβάσαντες αὐτὸν ἀπὸ τοῦ λάκκου, ἀπέδοντο αὐτὸν τοῖς Ἰσμαηλίταις εἴκοσι χρυσῶν. ὢ συναλλάγματος παρανόμου, ὢ κέρδους ὀλεθρίου, ὢ πράσεως ἀδικωτάτης. τὸν τὰς αὐτὰς ὑμῖν ὠδῖνας λύσαντα, τὸν οὕτω τῷ πατρὶ περιπόθητον, τὸν εἰς ἐπίσκεψιν ὑμετέραν παραγενόμενον, τὸν οὐ μικρόν,

οὐ μέγα ποτὲ ὑμᾶς ἀδικήσαντα πιπράσκειν A ἐπιχειρεῖτε, καὶ πιπράσκειν βαρβάροις ἀνθρώποις καὶ εἰς τὴν Αἴγυπτον κατιοῦσι; τίς ἡ τοσαύτη μανία; τίς ὁ φθόνος; τίς ἡ βασκανία; εἰ μὲν γὰρ τὰ ὀνείρατα δεδοικότες τοῦτο ποιεῖτε, ὡς πεπεισμένοι ὅτι δὴ πάντως ἔσται, τίνος ἕνεκεν ἀδυνάτοις ἐπιχειρεῖτε, καὶ διὰ τῶν παρ' ὑμῶν γινομένων τὸν πρὸς τὸν θεὸν πόλεμον ἐπιδείκνυσθε τὸν ταῦτα αὐτῷ προαγορεύσαντα; εἰ δὲ οὐδὲν ἡγεῖσθε τὰ ὀνείρατα, ἀλλὰ λῆρον αὐτὰ εἶναι νομίζετε, διὰ τί ταῦτα διαπράττεσθε, ἃ διηνεκῆ ὑμῖν τὴν κηλῖδα προξενήσει, καὶ πένθος ἀδιάλειπτον ἀπεργάσεται B τῷ πατρί; ἀλλ' ὢ τῆς ὑπερβολῆς τοῦ πάθους, μᾶλλον δὲ τῆς μιαιφόνου γνώμης. ὅταν γὰρ τις ἐκδῷ ἑαυτὸν κατά τινα ἄτοπον πρᾶξιν, καὶ ὑποβρύχιος γένηται ὑπὸ τῆς τῶν λογισμῶν ἀτοπίας, οὐ τὸν ἀκοίμητον λαμβάνει πρὸ ὀφθαλμῶν ὀφθαλμὸν, οὐ τὴν φύσιν αὐτὴν αἰδεῖται, οὐχ ἕτερόν τι τῶν δυναμένων αὐτὸν εἰς συμπάθειαν ἀγαγεῖν, ὅπερ καὶ οὗτοι πεπόνθασιν· οὐχ ὅτι ἀδελφὸς ἦν, οὐχ ὅτι νέος, οὐχ ὅτι περιπόθητος τῷ πατρὶ, οὐχ ὅτι ἄπειρος ὢν τῆς ἐν ξένῃ διαγωγῆς, καὶ τῆς ἐν ἀλλοτρίᾳ διατριβῆς, C τοσαύτην μέλλει χώραν διαβαίνειν, καὶ βαρβάροις συνοικεῖν· ἀλλὰ πάντα σώφρονα λογισμὸν ἀπωσάμενοι, ἑνὸς μόνου ἐγίνοντο, τοῦ τὸν οἰκεῖον φθόνον, ὡς ἐνόμιζον, τέως εἰς ἔργον ἀγαγεῖν. καὶ ἐκεῖνοι μὲν τῇ γνώμῃ ἀδελφοκτόνοι γεγόνασιν· ὁ δὲ ταῦτα παθὼν ὑπ' αὐτῶν ἅπαντα γενναίως ὑπέμενεν. ἡ γὰρ ἄνωθεν χεὶρ ἦν αὐτὸν ἡ φρουροῦσα, καὶ πάντα τὰ δυσχερῆ, ῥᾴδια καὶ εὔκολα ἐργαζομένη. ὅταν γὰρ τῆς ἄνωθεν εὐνοίας ἀπολαύωμεν, κἂν ἐν μέσῳ βαρβάρων ὦμεν, κἂν ἐπ' ἀλλοτρίας, τῶν D οἴκοι διατριβόντων καὶ πάσης ἀπολαυόντων θεραπείας ἄμεινον διάγειν δυνάμεθα· ὥσπερ κἂν ἐπὶ τῆς οἰκίας διατρίβωμεν, κἂν πάσης ἀνέσεως ἀπολαύειν δοκῶμεν, ἔρημοι δὲ ὦμεν τῆς ἄνωθεν βοηθείας, πάντων ἐσμὲν ἐλεεινότεροι. πολλὴ γὰρ καὶ τῆς ἀρετῆς ἡ ἰσχὺς, καὶ τῆς κακίας ἡ ἀσθένεια. καὶ τοῦτο μάλιστα δείκνυσιν ἡμῖν αὐτὴ ἡ ἐν χερσὶν ἱστορία. τίνας γὰρ, εἰπέ μοι, ἐλεεινοὺς καὶ μυρίων δακρύων ἀξίους κρίνεις, τοὺς τοσαῦτα κακὰ ἐργασαμένους τὸν ἀδελφὸν, ἢ τὸν ὑπὸ τῇ δουλείᾳ τῶν βαρβάρων γενόμενον;

vel in magno offenderat, vendere attentatis? & vendere hominibus barbaris, & in Ægyptum deſcendentibus? quæ tanta inſania? quæ inuidia? quis liuor? Nam ſi hoc metu ſomniorum facitis, vt perſuaſi quòd omnino euentura ſint: quare impoſſibilia attentatis, & factis veſtris contra Deum bellum aſſumitis, qui hæc ei prædixerat? Quòd ſi nihili facitis ſomnia, ſed exiſtimatis eſſe delirium, quare hęc agitis, quæ perpetuam vobis maculam inurant, & luctum indefinentem patri veſtro afferant? Sed ô grauem morbum, imò mentem ſanguinariam. Nam qui peccato exponit ſe, & nefarium opus aggreditur, is obruitur à cogitationibus abſurdis, neque proponit ante oculos oculum illum qui non quieſcit: neque reueretur naturam ſuam, neque attendit aliquid quod ad commiſerationem ſe poſſit inducere, id quod & illis euenit. Non enim cogitabant quòd frater eſſet, neque quòd adoleſcens, neque quod tam amabilis patri, neque quòd nunquam in terra aliena vixiſſet, & apud externos nunquam antè conuerſatus, nunc in terra tam ſemota inter barbaros habitaturus eſſet: ſed omni honeſta cogitatione abiecta, vnum duntaxat curabant, quò inuidiam ſuam, vt putabant, opere explerent. Et illi quidem mente fratricidæ erant: qui autem ab eis paſſus eſt, omnia fortiter tulit. Cuſtodiebat enim eum manus Domini, & omnia difficilia faciebat ei facilia & leuia. Quando enim ſupernam beneuolentiam habemus, etiam inter medios barbaros, & in aliena regione melius & commodius verſari poſſumus, quàm domi habitantes, & hi quibus ſumma cura miniſtratur. Sicut etſi in domo verſemur, & omnibus delicijs frui videamur, deſtituti autem ſimus ſuperno pręſidio, omnibus ſumus miſeriores. Magnũ enim eſt virtutis robur, & malitiæ infirmitas, & hoc maximè oſtendit nobis hiſtoria, quam in manibus habemus. Dic enim quos miſeros & innumeris lachrymis dignos eſſe putamus, illóſne qui tãta mala fecerunt, an fratrẽ, qui in poteſtatẽ barbarorũ venerat?

Manus Domini cuſtodit Ioſeph.

Manifeſtum, quòd illos. Cogita enim, obſecro, hîc admirabilem illum, qui tanta miniſtrorum cura educatus, & in vlnis paternis ſemper habitus fuit, quomodo repentè coactus eſt ferre grauem ſeruitutem apud viros barbaros, non meliores ipſis beſtiis. Sed omnium dominus erat, qui & illos humanos reddebat, & iſti in omnibus dabat patientiam. Et cùm vendidiſſent fratrem, quaſi perfeciſſent propoſitum ſuum affecti fuere, ablato videlicet è medio, cui inuidebant. 28 *Reuerſus eſt autem*, inquit, *Ruben ad ciſternam, & non vidit Ioſeph, & diſrupit veſtimenta ſua, & rediit ad fratres ſuos, & dixit:* 23 *Puer nō eſt, ego verò quò ibo vltra?* Quoniam enim ſuprà docuit diuina ſcriptura, quòd propterea conſuluerat eum in ciſternam coniiciendum, vt ex ſanguinariis manibus illum eriperet, & redderet patri: nunc, inquit, vbi vidit ſe voti compotem non eſſe, diſrupit veſtimenta ſua, & dixit: Puer non eſt, ego autem, quò vadam? Qualē habebimus defenſionem, & maximè ego qui vobis præeſſe videor? Putabat enim quòd eum occidiſſent. At poſtquam factum eſt quod quærebant, & miſerunt in Ægyptum quem odio habebant, & inuidiam ſuam aliquo modo mitigarūt: poſtea magna induſtria cogitarunt, vt deluderent patrem, ne mala ſua conſpiratio illi manifeſta fieret. 30 *Et occiſo hœdo caprarum, inquinauerunt veſtē ſanguine, & attulerunt veſtem patri ſuo, & dixerunt:* 31 *Cognoſce, num veſtis filij tui ſit, an non?* Quid decipitis voſmetipſos ô inſenſati? nam licet patrē illum decipere poſſitis, nō tamen falletis iudicē illum qui decipi nequit: nō ignorabit oculus ille qui nunquam dormitat, quem maximè omniū formidare oportebat. Sed ita ſe habet humana natura, imò ita ſe habet multorū deſidia, vt humanū timorem & præſentis vitę confuſionem maximi faciāt: in mente autem non verſent terribile illud tribunal, & intolerabilē pœnam: ſed hoc vnum curāt, quomodo effugere poſſint humanā reprehenſionem: id quod & illi egerunt, dum patrem ſuum decipere moliuntur.

Humanus timor qualis.

A δηλονότι τούτοις. ἐννόει γάρ μοι λοιπὸν τὸν θαυμάσιον ἐκεῖνον, τὸν μετὰ τοσαύτης δορυφορίας ἀνατραφέντα, καὶ ὑπὸ ταῖς ἀγκάλαις ταῖς πατρικαῖς διηνεκῶς γεγενημένον, ἀθρόον ἀναγκαζόμενον δουλείαν χαλεπὴν ὑφίστασθαι, καὶ δουλείαν παρὰ βαρβάροις ἀνδράσι, καὶ θηρίων οὐδὲν ἄμεινον διακειμένοις. ἀλλ' ὁ τῶν ἁπάντων δεσπότης ἦν ὁ καὶ ἐκείνους ἡμέρους ἐργαζόμενος, κἀκείνῳ πολλὴν διδοὺς τὴν ὑπομονήν. ἐν ἀποδόμενοι τὸν ἀδελφόν, ὡς εἰς τέλος ἀγαγόντες τὸν οἰκεῖον σκοπόν, οὕτω λοιπὸν διέκειντο ἐκποδὼν ποιησάμενοι τὸν παρ' αὐτῶν φθονούμενον. ἀνέστρεψε δέ, φησι, B Ῥουβὴν ἐπὶ τὸν λάκκον, καὶ οὐχ ὁρᾷ τὸν Ἰωσήφ· καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἀνέστρεψε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ εἶπε, τὸ παιδάριον οὐκ ἔστι. ἐγὼ δὲ ποῦ πορεύσομαι ἔτι; ἐπειδὴ γὰρ ἐδίδαξεν ἀνωτέρω ἡ θεία γραφή, ὅτι διὰ τοῦτο συνεβούλευσε Ῥουβὴν εἰς τὸν λάκκον τὸν αὐτοῦ ἀδελφὸν ἐμβληθῆναι, ὥστε καὶ τῶν χειρῶν αὐτὸν ἐξελέσθαι τῶν φονικῶν, καὶ ἀποδοῦναι τῷ πατρί· νῦν, φησιν, ἰδὼν ὅτι διήμαρτε τοῦ σκοποῦ, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ εἶπε, τὸ παιδάριον οὐκ ἔστιν· ἐγὼ δὲ ποῦ πορεύσομαι ἔτι; ποίαν, φησίν, ἕξομεν ἀπολογίαν, C καὶ μάλιστα ὁ δοκῶν ὑμῶν πρεσβεύειν ἐγώ; ἐνόμιζε γὰρ αὐτὸν ἀνῃρῆσθαι. ἀλλ' ἐπειδὴ τὸ σπουδαζόμενον αὐτοῖς ἐγεγόνει, καὶ τὸν μισούμενον εἰς τὴν ἀλλοτρίαν ἐξέπεμψαν γῆν, καὶ τὸν φθόνον τὸν οἰκεῖον οὕτως ἠδυνήθησαν παραμυθήσασθαι, λοιπὸν πᾶσαν μηχανὴν ἐπιδείκνυνται, ὥστε παρακρούσασθαι τὸν πατέρα, καὶ μὴ κατάδηλον αὐτῷ γενέσθαι τὴν κακὴν συμφωνίαν. καὶ σφάξαντες, φησιν, ἔριφον αἰγῶν, καὶ μολύναντες τὸν χιτῶνα τῷ αἵματι, εἰσήνεγκαν τῷ πατρὶ αὐτῶν, καὶ εἶπον, ἐπίγνωθι εἰ χιτὼν τοῦ υἱοῦ σού ἐστιν, ἢ οὔ. τί ἀπατᾶτε D ἑαυτούς, ὦ ἀνόητοι; κἂν γὰρ τὸν πατέρα δυνηθῆτε παρακρούσασθαι, ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν οὐ λήσεσθε, ὃν μάλιστα πάντων δεδοικέναι ἐχρῆν. ἀλλὰ τοιοῦτον ἡ ἀνθρωπίνη φύσις, μᾶλλον δὲ τοιοῦτον ἡ ῥᾳθυμία τῶν πολλῶν· τὸν παρὰ τῶν ἀνθρώπων φόβον, καὶ τὴν τούτων αἰσχύνην τὴν πρὸς τὸ παρὸν μόνον περὶ πολλοῦ ποιούμενοι, οὐ λαμβάνουσιν ἔννοιαν τοῦ δικαστηρίου ἐκείνου τοῦ φοβεροῦ, καὶ τῆς κολάσεως τῆς ἀφορήτου· ἀλλ' ἑνὸς μόνου γίνονται, πῶς τὴν παρὰ τῶν ἀνθρώπων μέμψιν διαφυγεῖν δυνηθῶσιν· ὃ δὴ καὶ οὗτοι πεπόνθασι, καὶ τὸν πατέρα ἀπατᾶν ἐπιχειροῦσιν.

ἐπέγνω γάρ, φησι, τὸν χιτῶνα ὁ πατὴρ, καὶ εἶπε· χιτὼν τοῦ υἱοῦ μου ἐστί. θηρίον πονηρὸν κατέφαγεν αὐτόν. θηρίον ἥρπασε τὸν Ἰωσήφ. καὶ γὰρ ἀληθῶς, καθάπερ θηρίοις πονηροῖς περιπεσὼν, οὕτως ἀνηλεῶς ἅπαντα ὑπέμεινε. διέῤῥηξε δὲ τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπέθετο σάκκον ἐπὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς. πόσων ἂν εἶεν οὗτοι δακρύων ἄξιοι, οὐχ ὅτι τὸν ἀδελφὸν τοῖς βαρβάροις πεπράκασι μόνον, ἀλλ' ὅτι καὶ τὸν πατέρα ἐν ἐσχάτῳ γήρᾳ λοιπὸν ὄντα τοσούτῳ πένθει περιέβαλον; συνήχθησαν δέ, φησιν, υἱοὶ αὐτοῦ καὶ αἱ θυγατέρες παρακαλέσαι αὐτόν, καὶ οὐκ ἤθελε, λέγων, ὅτι καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου. οἶμαι καὶ τοῦτο πληγὴν ἑτέραν ἐκείνοις γεγενῆσθαι. ἑώρων γὰρ ὅτι τὸν πρὸς τὸν μὴ παρόντα, μᾶλλον δὲ καὶ νομιζόμενον ὑπὸ θηρίων ἀνῃρῆσθαι, οὕτως ἀκμάζοντα τὸν πόθον ἐπιδείκνυται, καὶ πλέον ὑπὸ τοῦ φθόνου κατετήκοντο. ἀλλ' οὗτοι μὲν καὶ πρὸς τὸν ἀδελφὸν καὶ πρὸς τὸν πατέρα ὠμοὶ γεγονότες οὐδεμιᾶς ἂν εἶεν συγγνώμης ἄξιοι· οἱ δὲ Μαδιναῖοι καὶ αὐτοὶ πάλιν ὑπηρετοῦσι τῇ τοῦ θεοῦ οἰκονομίᾳ, καὶ πάλιν ἀποδίδονται τὸν Ἰωσὴφ Πετεφρῇ τῷ ἀρχιμαγείρῳ τοῦ Φαραώ. εἶδες πῶς ὁδῷ κατὰ μικρὸν πρόεισι, καὶ διὰ πάντων τὴν οἰκείαν ἀρετὴν καὶ τὴν ὑπομονὴν ἐπιδείκνυται, ἵν' οὕτω καθάπερ ἀθλητὴς γενναίως ἀγωνισάμενος ἀναδήσηται τὸν βασιλείας τὸν στέφανον, καὶ τῶν ὀνειράτων ἡ ἔκβασις εἰς ἔργον ἐξελθοῦσα, δι' αὐτῆς τῆς πείρας διδάξῃ τοὺς πεπρακότας, ὡς οὐδὲν αὐτοῖς ὄφελος γέγονε τῆς τοσαύτης μηχανῆς. τοσαύτην γὰρ ἡ ἀρετὴ ἔχει τὴν ἰσχὺν, ὡς καὶ πολεμουμένην αὐτὴν συμβαίνειν ἐπὶ πλέον περιφανεστέραν γίνεσθαι. οὐδὲν γὰρ ταύτης ἰσχυρότερον, οὐδὲν αὐτῆς δυνατώτερον· οὐκ ἐπειδὴ αὐτὴ καθ' ἑαυτὴν τοσαύτην ἔχει τὴν ἰσχὺν, ἀλλ' ἐπειδὴ ὁ ταύτην κεκτημένος καὶ τῆς ἄνωθεν ἀπολαύει ῥοπῆς· ὁ δὲ ἄνωθεν ἀπολαύων ῥοπῆς, καὶ τῆς ἐκεῖθεν ἀξιούμενος συμμαχίας, πάντων ἂν εἴη δυνατώτερος, καὶ ἀχείρωτος, καὶ ἀνάλωτος οὐκ ἀνθρώπων μόνον ἐπιβουλαῖς, ἀλλὰ καὶ ταῖς τῶν δαιμόνων μηχαναῖς. ὅπερ εἰδότες μὴ φεύγωμεν τὸ κακῶς πάσχειν, ἀλλὰ τὸ κακῶς ποιεῖν. τοῦτο γάρ ἐστι τὸ κακῶς πάσχειν. ὁ γὰρ τὸν πλησίον κακῶς διαθεῖναι ἐπιχειρῶν, ἐκεῖνον μὲν οὐδὲ ὅλως κατέβλαψεν. εἰ γὰρ καὶ πρὸς ὀλίγον κατέβλαψεν, ἐν τῷ παρόντι αἰῶνι τοῦτο πεποίηκεν· ἑαυτῷ δὲ τὰς ἀθανάτους κολάσεις ταμιεύεται, καὶ τὰς τιμωρίας τὰς ἀφορήτους, ἃς οὐκ ἂν ἑτέρως διαφυγεῖν δυνηθείημεν, εἰ μὴ παρασκευάσαιμεν ἑαυτοὺς ἑτοίμους πρὸς τὸ πάσχειν κακῶς, καὶ κατὰ τὴν διδασκαλίαν τοῦ δεσπότου εὐχόμεθα ὑπὲρ τῶν ταῦτα ἡμῖν διατιθέντων.

A 32 *Agnouit enim*, inquit, *veſtem pater, & dixit: Veſtis filij mei eſt, fera mala deuorauit eum, fera rapuit Ioſeph.* Etenim verè quaſi in malas beſtias incidiſſet, omnia crudeliter paſſus eſt. 33 *Diſrupit autem veſtimēta ſua, & poſuit ſaccum ſuper lumbos ſuos, & luxit filiū ſuum diebus multis.* Quantis fuerint illi digni lacrymis, qui non ſolum fratrē barbaris vendiderunt, ſed & patrem in extrema ſenectute in tantū luctū inieceru̇nt? 34 *Congregati autem ſunt filij eius, vt conſolarentur eum, & noluit, dicens: Deſcendam ad filium meum lugens in infernum.* Opinor & hoc illis aliam B fuiſſe plagam. Videbant enim quòd pater tantum, támque feruentem amorem declarabat erga eum qui non aderat, imò & putabatur à beſtiis diſcerptus & maiori tabeſcebant inuidia. Sed illi quidē erga fratrem, & erga patrem crudeles nulla fuere venia digni: Madianitæ autem & ipſi diuinæ ſeruiunt diſpenſationi, & denuò Ioſephum vendunt Petephri archimagiro Pharaonis. Vidiſti quomodo paulatim procedit, & per omnia ſuam virtutem C & patientiam declarat, vt ſic quaſi athleta fortiter certans, redimiatur corona regni, & euentus ſomniorum impleantur: quò doceantur ij qui eum vendiderant, quòd nihil commodi ex ſua malitia reportent? Tantum enim robur habet virtus, vt clarior fiat cùm infeſtatur. Nihil enim ea robuſtius, nihil validius: non quòd ipſa ſola tantum habeat robur, ſed is qui eam poſſidet, & ſupernum auxilium habet, & inde præſidium aſſequitur, omnibus eſt potentior D & inuictus, & capi nequit, non ſolùm hominum inſidiis, ſed & dæmonum machinationibus. Id ſcientes, ne fugiamus malè affligi, ſed malè agere: hoc enim eſt verè malis affici. Nam qui proximum affligere tentat, illi quidem omnino nihil nocet. Nam licet ad paruū tempus noceat, in hoc tantum ſeculo id facit, ſibi autē immortalia tormēta theſaurizat, & pœnas ineffabiles: quas non aliter effugere poſſumus, niſi parauerimus nos ad ferendas afflictiones, & iuxta doctrinam Domini, precemur pro his qui nobis iniurias inferunt.

Virtus infeſtata fit clarior.

A Hoc enim nobis magnam parabit mercedem, & concedet dignos effici regno cœlorum. Quod nobis vtinam concedatur, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit gloria, imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

τοῦτο γὰρ ἡμῖν πολὺν προξενήσει τὸν μισθὸν, καὶ παρασκευάσει τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῆναι, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

HOMILIA LXII.

Ὁμιλία ξβ.

Gen. 38. 2. *Et vidit Iudas hominis Chananæi filiam, quæ vocabatur Saua, & duxit eam, & ingreſſus eſt ad eam: & concipiens peperit filium, & vocauit nomen eius Er.*

Καὶ εἶδεν Ἰούδας θυγατέρα ἀνθρώπου Χαναναίου, ᾗ ὄνομα Σαυά, καὶ ἔλαβεν αὐτὴν, καὶ εἰσῆλθε πρὸς αὐτὴν, B καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἤρ.

SATIS pridem ex hiſtoria Ioſeph didicimus, quãtum dãni naſcatur ex inuidia, & quomodo pernicioſus ille morbus animam primùm corrumpat, à qua naſcitur. Vidiſtis quomodo propter hanc affectionem fratres Ioſeph & cognationis obliti ſunt, & beſtiarum crudelitatem erga eum, qui in nullo offenderat, exercuerunt, malitiam quidem ſuam potius manifeſtam reddentes, quàm fratri nocentes. Malitia enim ſua fratri ſuo non tãtum nocuerunt, quantum ſeipſos ignominioſos fecerunt. Nam licet barbaris eum vendiderint, & illi reuendiderint archimagiro Pharaonis: nihilominus quia habuit supernũ auxiliũ, à quo iuuabatur, omnia leuia & facilia viſa ſunt. Et volebam etiam hodie eandem hiſtoriã tractare, indèq; contexere doctrinę ſermonẽ: verùm in medio alia quędam narratio interiacet, quam non ęquũ eſt nos pręterire, ſed opus eſt, vt quantum poſſibile eſt perſcrutemur, & ſic iterum ad argumentum Ioſeph redeamus. Quænã igitur illa quæ interſeritur narratio? Illa de Iuda. Hic enim accepta in vxorem filia Chananæi, Saua nomine, ſuſceptíſque ex illa tribus filijs, duxit, inquit, primogenito ſuo Er vxorem Thamar. Quia autem ille malus erat coram Domino, occidit eum Deus.

Hiſtoria de Iuda excutitur.

ΙΚανῶς ἡμᾶς πρῴην ἡ κατὰ τὸν Ἰωσὴφ ἱστορία ἐδίδαξε τοῦ φθόνου τὴν λύμην, καὶ ὅπως τὸ ὀλέθριον τοῦτο πάθος τὴν τίκτουσαν αὐτὸ ψυχὴν πρότερον διαφθείρει. καὶ εἴδετε ὅπως ὑπὸ τούτου τοῦ πάθους συνεχεθέντες οἱ ἀδελφοὶ τοῦ Ἰωσὴφ, καὶ τῆς συγγενείας ἐπελάθοντο, καὶ θηρίων ἀγρίων ὠμότητα C πρὸς τὸν οὐδὲν ἠδικηκότα ἐπεδείξαντο, τὴν μὲν ἑαυτῶν κακίαν ἔκδηλον πεποιηκότες, τὸν δὲ ἀδελφὸν οὐδὲν τοσοῦτον καταβλάψαντες, ὅσον ἑαυτοῖς αἰσχύνην περιέβαλλον. εἰ γὰρ καὶ βαρβάροις αὐτὸν πεπράκασι, κἀκεῖνοι πάλιν ἀπέδοντο τῷ τοῦ Φαραὼ ἀρχιμαγείρῳ· ἀλλ' ὅμως ἐπειδὴ εἶχε τὴν ἄνωθεν αὐτῷ ῥοπὴν ἐν ἅπασιν ἐπικουροῦσαν, πάντα κοῦφα καὶ ῥᾴδια αὐτῷ ἐφαίνετο. καὶ ἐβουλόμην μὲν καὶ σήμερον τῆς αὐτῆς ἱστορίας ἅψασθαι, καὶ ἐντεῦθεν ὑμῖν ὑφᾶναι τὴν διδασκαλίαν· ἀλλ' ἐν μέσῳ ἑτέρα τις διήγησις παρέγκειται, ἣν οὐκ D ἄξιον παραδραμεῖν, ἀλλὰ καὶ αὐτὴν, ὡς οἷόν τε, διερευνησαμένους, τότε πάλιν ἐπὶ τὴν κατὰ τὸν Ἰωσὴφ ὑπόθεσιν ἐλθεῖν. τίς οὖν ἐστιν ἡ ἐν μέσῳ κειμένη διήγησις; ἡ κατὰ τὸν Ἰούδαν. οὗτος γὰρ θυγατέρα Χαναναίου λαβὼν γυναῖκα τὴν Σαυὰν, καὶ ἐσχηκὼς ἐξ αὐτῆς τρεῖς παῖδας, ἔλαβε, φησι, τῷ πρωτοτόκῳ Ἢρ τὴν Θάμαρ γυναῖκα. ἐπειδὴ δὲ πονηρὸς ἐφάνη ἐναντίον κυρίου, ἀπέκτεινεν αὐτὸν ὁ θεός,

καὶ ἐπέτρεψε τῷ Αὐνὰν λαβόντι τὴν τοῦ ἀδελφοῦ A γυναῖκα ἀναστῆσαι σπέρμα τῷ ἀδελφῷ. τοῦτο γὰρ ὁ νόμος ἐκέλευεν, ἀτέκνου ἀποθανόντος ἀδελφοῦ τὸν ἀδελφὸν λαβόντα τὴν γυναῖκα, ἀνιστᾷν τῷ ἀδελφῷ σπέρμα. ἀλλὰ καὶ τοῦτον πονηρὸν φανέντα ἐθανάτωσεν ὁ θεός. τοῦτο τὸν Ἰούδαν εἰς φόβον κατέστησε, τῶν δύο παίδων τὴν ἀναίρεσιν οὕτω ταχεῖαν θεασάμενον. καὶ βουλόμενος τὴν Θάμαρ παραμυθήσασθαι, ὑπέσχετο καὶ τὸν ἕτερον υἱὸν δώσειν αὐτῇ, καὶ οὐκ ἐπλήρου τὰ ἐπαγγελθέντα, δεδιὼς μὴ καὶ αὐτὸς ὁμοίως τοῖς ἀδελφοῖς τὴν τιμωρίαν δέξηται. ταύταις οὖν ταῖς ὑποσχέσεσι τρεφομένη ἡ Θάμαρ ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς, φησιν, ἐκαθέζετο, B ἀναμένουσα εἰς ἔργον ἐλθεῖν τοῦ πενθεροῦ τὴν ὑπόσχεσιν· καὶ ὁρῶσα τὸν Ἰούδαν οὐ βουλόμενον τὰ ἐπαγγελθέντα πληρῶσαι, τέως πράως ἔφερεν οὐκ ἀνεχομένη τὴν πρὸς ἕτερον συνουσίαν, ἀλλὰ στέργουσα τὴν χηρείαν, καὶ καιρὸν ἐπιτήδειον ἀναμένουσα. ἔσπευδε γὰρ ἐκ τοῦ πενθεροῦ τεκνοποιήσασθαι. καὶ ἐπειδὴ εἶδε τὴν πενθερὰν τελευτήσασαν, καὶ τὸν Ἰούδαν εἰς Θάμνα παραγινόμενον, ὥστε κεῖραι τὰ ποίμνια, κλέψαι βουλομένη τὴν συνουσίαν τοῦ πενθεροῦ, καὶ ἐξ ἐκείνου ἐπιθυμοῦσα τεκνοποιῆσαι, οὐ δι' ἀσέλγειαν (μὴ γένοιτο) ἀλλὰ διὰ τὸ μὴ δόξαι C ἀνώνυμός τις εἶναι· ἄλλως δὲ καὶ οἰκονομία ἦν τὸ γινόμενον, ὅθεν καὶ εἰς ἔργον ἐξελθεῖν τὰ βουληθέντα αὐτῇ ἐγένετο. περιελομένη γάρ, φησι, τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς, καὶ περιβαλλομένη θέριστρον καὶ καλλωπισαμένη ἐκάθισε πρὸς ταῖς πύλαις. εἶτα ὥσπερ ἀπολογουμένη ὑπὲρ αὐτῆς ἡ θεία γραφή, φησιν, εἶδε γὰρ ὅτι μέγας γέγονε Σηλώμ· αὐτὸς δὲ οὐκ ἔδωκεν αὐτὴν αὐτῷ γυναῖκα· καὶ διὰ τοῦτο ἐπὶ ταύτην ὥρμησε τὴν ἀπάτην. ὁ μέντοι Ἰούδας νομίσας αὐτὴν πόρνην εἶναι (κατεκαλύψατο γὰρ ἐκείνη τὸ πρόσωπον, ὥστε μὴ κα- D τάδηλος γενέσθαι.) ἐξέκλινε πρὸς αὐτήν. ἡ δὲ εἶπε, τί μοι δώσεις; ὁ δὲ ὑπέσχετο ἔριφον αἰγῶν ἀποστελεῖν. ἡ δὲ εἶπεν, ἐὰν δῷς ἀρραβῶνα, ἕως τοῦ ἀποστεῖλαί σε. καὶ ἔδωκε τὸν δακτύλιον, καὶ τὸν ὁρμίσκον, καὶ τὴν ῥάβδον, καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ ἐν γαστρὶ ἔλαβεν ἐξ αὐτοῦ. ἀλλὰ μηδεὶς ταῦτα ἀκούων καταγινωσκέτω τῆς Θάμαρ. ὡς γὰρ ἔφθην εἰπών, οἰκονομίᾳ ὑπηρετεῖτο, καὶ διὰ τοῦτο οὔτε αὐτὴ μέμψιν τινὰ ὑπέμεινεν, οὔτε ὁ Ἰούδας ἐγκλήμασιν ὑπεύθυνος γέγονε. καὶ γὰρ ἐντεῦθεν ἰδοὺ προβαινόντων εὑρήσεις ἐκ τῶν παίδων τῶν τούτῳ τεχθέντων

Et præcepit Aunan, vt ducta vxore fratris ſui, excitaret ſemen fratri ſuo. Id enim lex iuſſit, quæ dicit, quòd mortuo fratre ſine liberis, frater ducta vxore excitet ſemen fratri. Verùm & hunc, quia malus erat, occidit Dominus. Hoc Iudam terrore perculit, videntem duos filios tam ſtatim interiiſſe: & volens Thamar conſolari, promiſit ſe alium filium ei daturum: ſed non implebat promiſſa, veritus ne & ipſe eandem pœnam ferret, quam fratres. Talibus promiſſionibus paſcebatur Thamar, ínque domo patris ſui ſedebat, expectans quando ſoceri promiſſio impleretur: & videns Iudam non velle implere promiſſa, tunc manſuetè tulit, non ſuſtinens aliorum coniugia, ſed amplexa viduitatem, & tempus congruum expectans: feſtinabat enim vt filios procrearet ex ſocero. Et quia vidit ſocrum mortuam, & Iudam venire in Thamna ad tondendas oues, furari voluit ſoceri concubitum, & ex illo filios procreare, non libidinem explere concupiſcens, (abſit hoc) ſed ne videretur eſſe ſine nomine. Alioquin & diſpenſatio erat quod fiebat, vnde & opere completa ſunt ea quæ illa deliberauit. [14] *Depoſitis enim*, inquit, *veſtibus viduitatis ſuæ, & induta theriſtro, & ornata ſedit apud portas.* Deinde quaſi excuſans eam ſcriptura, dixit: *Vidit enim quòd creuerat Selom, ipſe autem non daret ipſam ei vxorem*, & propterea ad deceptionem illam properauit. Iudas enim cùm putaret eam eſſe ſcortum (velauerat enim illa faciem, ne agnoſceretur) diuertit ad eam. Illa autem dixit? Quid mihi dabis? Ille autem pollicitus eſt hædum ex gregibus ſe ſe miſſurum. [17] *At hæc dixit: Si dederis arrhabonem, donec mittas.* [18] *Et dedit annulum & armillam, & baculum, & intrauit ad eam, & grauida facta eſt ex eo.* Nullus hæc audiens condemnet Thamar: nam vt dixi, diſpenſationi miniſtrauit, & propterea neque vllam inde reprehenſionem meretur, neque Iudas criminibus fuit obnoxius. Etenim hac via procedẽs, inuenies ex pueris inde

Chriſtus ex ſemine Iuda.

natis Chriſtum ſecundum carnem ducere genus. Præterea duo iſti filij per eum nati, duorum populorum figura fuerunt, & prædictio quædam vitæ Iudaïcæ & ſpiritualis. Sed nunc videamus poſt receſſum Iudæ, quomodo paruo tempore exacto, & opere in apertum producto, Iudas ſemetipſum condemnat, illam à criminibus liberans. Nam poſtquam impleuit Thamar quod voluit, iterum mutato habitu inde quidem receſſit, & venit in domum ſuam. Iudas autem nihil eorum ſciens, promiſſionem impleuit, & hœdum miſit vt arrhabonem ſuum ſuum illi datum reciperet: ſed nuſquam inuenta muliere, rediit puer, ſignificans Iudæ quod nuſquam inuenire mulierem potuerit. Quibus compertis, Iudas dixit, inquit, ne fortè rideamur, vt habiti ingrati. Neque enim ſciebat factum. Verùm præteritis menſibus tribus, & ſarcina ventris partum prædicente, & nullo alio furtiuum ſciente concubitum: *annunciatum, inquit, eſt Iudæ, quòd vterum gereret ex adulterio.* [24] *Et vt didicit, educite eam, inquit, & comburatur.* Magna indignatio, grauis pœna, quia & peccatum grande eſſe videbatur. Quid igitur Thamar? productis his quæ in arrhabonem Iudas reliquerat, inquit: Si quis eſt cuius hæc ſunt, ab illo ventris ſarcinam accepi. Attende quomodo ſilens fide dignos teſtes affert qui loquantur, & ſatis eam criminis innoxiam demonſtrent. Quia enim tribus teſtibus egebat, quæ in tali cauſa arguebatur: idcirco & hæc quaſi claro teſtimonio dato, tres arrhabonum ſpecies mittit, annulum, armillam, & baculum: & domi ſedens, & tacens, in cauſa vicit. Iudas enim, cùm agnouiſſet, dixit: [26] *Iuſtificata eſt magis quàm ego, propterea quod non dedi eam filio meo Selom.* Quid eſt, Iuſtificata eſt ipſa magis, quàm ego? Illa quidem, inquit, innoxia eſt, ego autem meipſum condemno, & nullo arguente meipſum prodo: imò ſufficiunt, quæ arguant, quæ data ſunt illi in arrhabonem. Et deinde iterum Thamarem excuſans, dicit: Quare non dedi eam Selom filio meo? Fortè autem hoc factum eſt

A τὸν Χριστὸν κατάγοντα τὸ γένος. ἄλλως δὲ καὶ τὰ δύο παιδία κατ' αὐτὸν τικτόμενα τῶν δύο λαῶν ἦν τύπος, καὶ προαναφώνησις τῆς πολιτείας τῆς Ἰουδαϊκῆς καὶ τῆς πνευματικῆς. ἀλλὰ τέως ἴδωμεν μετὰ τὴν ἀναχώρησιν τοῦ Ἰούδα, ὅπως χρόνου μικροῦ παραδραμόντος, καὶ τοῦ πράγματος εἰς φανερὸν ἐλθόντος, ὁ Ἰούδας ἑαυτὸν δικάζει, ἐκείνην ἀπαλλάττων ἐγκλημάτων. ἐπειδὴ γὰρ τοίνυν ἐπλήρωσεν, ὅπερ ἐβούλετο ἡ Θάμαρ, πάλιν ἀμείψασα τὸ σχῆμα, φησιν, ἐκεῖθεν μὲν ἀνεχώρησεν, ἀπῆλθε δὲ εἰς τὸν οἶκον αὐτῆς. ὁ μέντοι Ἰούδας τούτων οὐδὲν ἐπιστάμενος τὴν ὑπόσχεσιν ἐπλήρου, καὶ B τὸν ἔριφον ἀπέστειλεν, ἵνα τὸν ἀρραβῶνα τὸν παρ' αὐτοῦ δοθέντα ἀναλάβῃ· ἀλλ' οὐδαμοῦ τῆς γυναικὸς εὑρεθείσης ἐπανῆλθεν ὁ παῖς μηνύων τῷ Ἰούδᾳ, ὡς οὐδαμοῦ ἐπιστῆναι τῇ γυναικὶ δεδύνηται. ταῦτα μαθὼν ὁ Ἰούδας εἶπε, φησι, μή ποτε καταγελασθῶμεν, ὡς ἀγνώμονες νομισθέντες, οὐδὲ γὰρ ᾔδει τὸ γεγενημένον. ἀλλὰ τριῶν μηνῶν διελθόντων, καὶ τοῦ ὄγκου τῆς γαστρὸς μηνύοντος τὸν τόκον, καὶ οὐδενὸς ἑτέρου ἐπισταμένου τὴν κλοπὴν τῆς συνουσίας, ἀπηγγέλη, φησὶ, τῷ Ἰούδᾳ, ὅτι ἐν γαστρὶ ἔχει ἐκ πορνείας C καὶ μαθὼν εἶπεν, ἐξαγάγετε αὐτὴν, καὶ κατακαυθήτω. μεγάλη ἡ ἀγανάκτησις, ἀφόρητος ἡ τιμωρία, ἐπειδὴ καὶ τὸ ἁμάρτημα μέγα εἶναι ἐδόκει. τί οὖν ἡ Θάμαρ; ἐξαποστείλασα ἀπὸ ἀρραβῶνος ἕνεκεν εἰλήφει, φησὶν οὗτινος ταῦτά ἐστι, παρ' ἐκείνου τῆς γαστρὸς τὸν ὄγκον ἐδεξάμην. σκόπει πῶς σιγῶσα ἀξιοπίστους μάρτυρας ἐπάγεται φωνὴν ἀφιέντας, καὶ ἱκανοὺς ἀθῷον ταύτην ἀποδεῖξαι τοῦ ἐγκλήματος. ἐπειδὴ γὰρ τριῶν ἔδει μαρτύρων περὶ τῆς τοιαύτης ὑποθέσεως ἐγκαλουμένῃ, διὰ τοῦτο καὶ αὕτη ὥσπερ εἰ D λαμπρὰν φωνὴν ἀφιέντα οὕτω διαπέμπεται τὰ τρία εἴδη τοῦ ἀρραβῶνος, τὸν δακτύλιον, τὸν ὁρμίσκον, τὴν ῥάβδον, καὶ οἴκοι καθημένη καὶ σιγῶσα τὴν νίκην ἤρατο. ἐπιγνοὺς γὰρ ὁ Ἰούδας εἶπε, δεδικαίωται αὕτη, ἢ ἐγὼ, οὗ εἵνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου. τοῦτ' ἔστιν, ἐκείνη μὲν ἀναίτιος, ἐγὼ δὲ ἐμαυτὸν καταδικάζω, καὶ μηδενὸς ἐλέγχοντος ἐμαυτὸν ἐκκαλύπτω· μᾶλλον δὲ ἀρκοῦντα ἔλεγχον ἔχω, τὸν ἀρραβῶνα τὸν παρ' ἐμοῦ δοθέντα. εἶτα ἀπολογίαν πάλιν ὑπὲρ τῆς αὐτῆς Θάμαρ συντιθείς, φησιν, οὗ εἵνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου. τάχα δὲ τοῦτο γέγονε καὶ

δι᾽ ἣν μέλλω ἐρεῖν αἰτίαν. ἐπειδὴ γὰρ ἐνόμιζεν ὁ Ἰούδας παρὰ τὴν ἐκείνης αἰτίαν τὸν θάνατον ἐπενηνέχθαι τοῦ Ἢρ καὶ τοῦ Αὐνὰν, καὶ τοῦτο δεδοικὼς τὸν Σηλὼμ αὐτῇ οὐ δέδωκε, καὶ ταῦτα ὑποσχόμενος· ἵνα γνῷ δι᾽ αὐτῶν τῶν πραγμάτων ὡς οὐκ ἐκείνη αἰτία τοῦ θανάτου ἐκείνοις γεγένηται, ἀλλὰ διὰ τὴν οἰκείαν πονηρίαν τὰς τιμωρίας ἐδέχοντο (ἀπέκτεινε γὰρ αὐτὸν, φησὶν, ὁ θεὸς, καὶ πάλιν, ἐθανάτωσεν αὐτὸν, περὶ τοῦ δευτέρου) διὰ τοῦτο αὐτὸς μίγνυται ἀγνοῶν τῇ οἰκείᾳ νύμφῃ, καὶ μανθάνει διὰ τῶν ἔργων ὅτι οὐχ ἡ ταύτης αἰτία, ἀλλ᾽ ἡ ἐκείνων κακία ὑπευθύνους αὐτοὺς τῇ τιμωρίᾳ γενέσθαι πεποίηκε. καὶ ἐξομολογησάμενος τὸ οἰκεῖον ἁμάρτημα, κἀκείνην τῆς τιμωρίας ἀπαλλάξας, οὐ προσετίθετο, φησιν, ἔτι τοῦ γνῶναι αὐτήν· δηλῶν ὅτι οὐδ᾽ ἂν τὸ πρότερον αὐτῇ συνεγένετο, εἰ μὴ ἄγνοια τὴν μίξιν εἰργάσατο. εἶτα ἐπειδὴ διηγήσατο ἡμῖν ἡ θεία γραφὴ μετ᾽ ἀκριβείας τὴν γεγενημένην ἀπάτην ὑπὸ τῆς Θάμαρ, λοιπὸν διδάσκει ἡμᾶς, καὶ τίνα ἐστὶ τὰ παρ᾽ αὐτῆς τικτόμενα παιδία. ἐγένετο γάρ, φησιν, ἡνίκα ἔτικτε, καὶ τῇδε ἦν δίδυμα ἐν τῇ γαστρὶ αὐτῆς. ἐγένετο δὲ ἐν τῷ τίκτειν αὐτὴν, ὁ εἷς προεξήνεγκε τὴν χεῖρα. λαβοῦσα δὲ ἡ μαῖα ἔδησεν ἐπὶ τὴν χεῖρα αὐτοῦ κόκκινον, λέγουσα, αὐτὸς ἐξελεύσεται πρῶτος. ὅρα μοι ἐνταῦθα μυστήριον καὶ προαναφώνησιν τῶν μελλόντων ἔσεσθαι. μετὰ γὰρ τὸ δῆσαι τὴν μαῖαν εἰς τὴν χεῖρα τὸ κόκκινον, ὥστε κατάδηλον αὐτὸν γενέσθαι, τότε ἐπισυνήγαγε τὴν χεῖρα, καὶ ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ. παρεχώρησε, φησι, τῷ ἀδελφῷ τὴν πρόοδον, καὶ ὁ τελευταῖος νομιζόμενος πρῶτος ἐξῆλθε, καὶ ὁ πρῶτος νομιζόμενος μετ᾽ ἐκεῖνον προῆλθε. καὶ εἶπεν ἡ μαῖα, τί διεκόπη διὰ σὲ φραγμός; καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Φαρές. διακοπὴ γὰρ ἑρμηνεύεται τὸ ὄνομα καὶ μερισμός, ὡς ἂν εἴποι τις. καὶ μετὰ τοῦτον ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ ὁ τὸ σημεῖον ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς δεξάμενος, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαρᾶ, ὃ ἑρμηνεύεται ἀνατολή. καὶ ὅτι οὐχ ἁπλῶς ταῦτα γεγένηται, ἀλλὰ τύπος ἦν τῶν μελλόντων ἔσεσθαι, αὐτὰ δηλοῖ τὰ πράγματα. οὐδὲ γὰρ κατὰ φύσεως ἀκολουθίαν ἦν τὸ γεγονός. πῶς γὰρ ἦν δυνατὸν, μετὰ τὸ δεθῆναι τὴν χεῖρα τῷ κοκκίνῳ, πάλιν συσταλῆναι, καὶ δοῦναι πρόοδον τῷ μετὰ ταῦτα, εἰ μὴ θεία τις ἦν δύναμις ἡ ταῦτα προοικονομοῦσα, καὶ καθάπερ ἐν σκιᾷ τινι προδιετυποῦτο,

A ob hanc quam dicturus ſum cauſam. Nam quia Iudas putabat illius cauſa mortuos Er & Aunan, idque metuens, eam non dedit Selom, quamuis ei promiſiſſet, vt manifeſtè ac euidenter ſciret, quod non illa iſtis cauſa fuerit mortis, ſed propter ſuam malitiam pœnas dederint: Occidit eum, inquit, Deus: & iterũ, Occidit eum, inquit etiam de ſecundo. Propterea ignarus ipſe cum nuru ſua rem habet, & clarè didicit quòd non ipſa fuerit cauſa, ſed illorum malitia reos pœnæ fecerit, & confeſſus peccatum ſuum, etiam illam B à peccato liberauit. *Non adiecit*, inquit, *vt cognoſceret eam.* quod declarat neque primùm cum ea rem habiturum fuiſſe, ſi agnouiſſet eam. Deinde poſtquam diligenter narrauit nobis diuina ſcriptura deceptionem quam fecerat Thamar, conſequenter docet nos qui filij ei ſint nati. [27] *Factum eſt autem*, inquit, *cùm pareret, erant gemelli in ventre eius.* [28] *Et cùm pareret, vnus protendit manum: apprehenſam autem obſtetrix coccino ligauit, dicens: Hic* C *egredietur primus.* Vide hîc, obſecro, ſacramentum & prædictionem futurorum. Nam poſtquam ligauit obſtetrix manum coccino, ita vt cognoſci poſſet exiturus ſunt, [29] *Retraxit manum, & exiit frater eius.* Ceſſit, inquit, fratri, vt prior egrederetur: & qui poſterior putabatur, prior exijt. Et dixit obſtetrix, inquit, *Quare diuiſa eſt propter te ſepes? & vocauit nomen eius Phares.* Diſſectionem enim, & quaſi partitionem hoc nomen ſignat. [30] *Et poſt hunc e-* D *greſſus eſt frater eius, qui ſignum in manu dextera acceperat, & vocauit nomen eius Zara, quod interpretatur Oriens.* Et quòd non temerè & abſque cauſa hæc facta ſint, ſed figura futurorum fuerint, res ipſæ declarant. Neque enim iuxta naturæ ordinem hoc factum eſt. Quomodo enim erat poſſibile, quòd poſtquam manus ligata fuit coccino, iterum contraheretur, & daret poſteriori tranſitum, niſi diuina quædam virtus hæc prius diſpenſaſſet, & ſicut in vmbra quadam præfiguraſſet, quòd ſta-

Zara figura eccleſiæ.

tim ab initio Zara, quod eſt, Oriens, (hic enim figura erat eccleſiæ) proſpectare cœpit: quo pauliſper procedente, ac mox retrocedente, legalis obſeruatio (per Phares ſignificata) ſubintrauit, quæ poſtquã diu regnũ tenuiſſet, eo qui prius ceſſerat, Zara videlicet, rurſus procedente, ceſſit eccleſię omnis Iudaïca conſuetudo? Sed fortè nunc fuerit neceſſarium idem breuius dicere. Fuerunt, ſicut Zara qui manum protulit, Noë & Abraham, imò ante illos Abel & Enoch, quibus magnum ſtudium fuit vt placerent Deo. Deinde poſtquam in multos propagati, multa peccatorum onera collegerunt: opus autem erat vt vel paruam aliquam conſolationem haberent: data eſt lex vt vmbra aliqua, non peccata tollens, ſed ea demonſtrans, & manifeſta eis faciens, vt tanquam imperfecti filij qui lacte paſcuntur, adoleſcere poſſent. Verùm quia neque hoc his profuit, ſed lege peccatorum magnitudinem monſtrante, ipſi iterum iiſdem impliciti ſunt, adueniens communis Dominus noſter, ſpiritualem hanc, & virtutibus claram vitam humano generi largitus eſt, cuius figuram Zara implebat. Et idcirco Euangeliſta etiem meminit Thamar, & eorum qui ex illa nati ſunt, & dicit: Iudas autem genuit Phares & Zaram de Thamar. Ne igitur temere prætereamus ea quæ in diuinis ſcripturis ſunt prodita, neque ea quæ dicuntur à ſuperficie ſalutemus: ſed ingreſſi ad ipſum profundum, cùm diuitias quæ ibi latent didicerimus, glorificemus dominum noſtrum, qui cum tanta ſapientia diſpenſat omnia. Nam ſi noluerimus mentem & cauſam omnium quæ facta ſunt exquirere, non ſolùm hanc condemnabimus, quòd cum ſocero ſuo dormiuerit, ſed & Abraham reprehendemus, vt puericidam animo factum, & Phinees vt gemini homicidij reum Sin autem vniuſcuiuſque cauſam diligenter didicerimus, & illos à crimine liberabimus, & nos multam inde vtilitatem percipiemus. Cæterùm nos quæ ad hiſtoriam hanc attinent, pro viri-

Lex peccata demonſtrat.

Matt. 1. 3

A ὅτι ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ὁ Ζαρᾶ, ὅπερ ἐστὶν ἀνατολὴ (οὗτος γὰρ ὁ τύπος τῆς ἐκκλησίας) ἤρξατο προκύπτειν· καὶ μικρὸν προελθόντος αὐτοῦ καὶ ὑποχωρήσαντος, ὁ νομικὴ παρατήρησις ἡ διὰ τοῦ Φαρὲς μηνυομένη ἐπεισῆλθε, καὶ χρόνῳ πολλῷ κρατοῦσα, πάλιν τοῦ πρότερον ὑποχωρήσαντος, τοῦ Ζαρᾶ λέγω, προελθόντος, παρεχώρησε πάλιν τῇ ἐκκλησίᾳ πᾶσα ἡ Ἰουδαϊκὴ πολιτεία; ἀλλὰ τάχα νῦν ἀναγκαῖον συντομώτερον πάλιν αὐτὸ καὶ σαφέστερον εἰπεῖν. ἤρξαντο, καθάπερ ὁ Ζαρᾶ τὴν χεῖρα προεξέτεινεν, ὁ Νῶε καὶ ὁ Ἀβραάμ, μᾶλλον δὲ πρὸ τοῦ Νῶε ὁ Ἄβελ καὶ ὁ

B Ἐνὼχ τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως πολλὴν ποιεῖσθαι λόγον. εἶτα ἐπειδὴ εἰς πλῆθος ἐκταθέντες πολλὰ φορτία ἁμαρτημάτων συνελέξαντο, ἔδει δὲ μικρᾶς τινος αὐτοὺς παραμυθίας ἀπολαύειν, ὡς σκιά τις ὁ νόμος ἐδόθη, οὐχ ὅτι ἁμαρτήματα ἀναιρῶν, ἀλλὰ ταῦτα ἀποδεικνὺς καὶ φανερὰ αὐτοῖς ἐργαζόμενος· ἵνα καθάπερ τὰ ἀτελῆ παιδία γάλακτι τρεφόμενα εἰς ἀκμὴν ἡλικίας ἐλθεῖν δυνηθῶσιν. ἀλλ' ἐπειδὴ οὐδὲ οὕτως ἀπώναντό τι, ἀλλὰ καί τοι ὑποδεικνύοντος τοῦ νόμου τῶν ἁμαρτημάτων τὸ μέγεθος οὗτοι πάλιν τούτοις ἀνεφύροντο, παραγενόμενος

C ὁ κοινὸς δεσπότης τὴν πνευματικὴν ταύτην καὶ ἐνάρετον πολιτείαν τῷ τῶν ἀνθρώπων ἐχαρίσατο γένει, ἧς τύπον ὁ Ζαρᾶ ἐπλήρου. διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς μέμνηται καὶ τῆς Θάμαρ καὶ τῶν ἐξ αὐτῆς τεχθέντων, καί φησιν, Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρᾶ ἐκ τῆς Θάμαρ. μὴ τοίνυν ἁπλῶς παρατρέχωμεν τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα, μηδὲ ἐξ ἐπιπολῆς τοῖς λεγομένοις προσέχωμεν, ἀλλ' εἰς τὸ βάθος ἑαυτοὺς καθέντες, καὶ τὸν ἐναποκείμενον πλοῦτον καταμαθόντες, δοξάζωμεν τὸν ἡμέτερον δεσπότην τὸν μετὰ τοσαύτης σοφίας

D ἅπαντα οἰκονομοῦντα. εἰ γὰρ μὴ τὸν σκοπὸν καὶ τὴν αἰτίαν ἑκάστου τῶν γινομένων ἐξετάζειν βουλοίμεθα, οὐ μόνον ταύτης κατηγορήσομεν ὡς τῷ πενθερῷ αὐτῆς μιγείσης, ἀλλὰ καὶ τὸν Ἀβραὰμ αἰτιασόμεθα, ὡς παιδοκτόνον τῇ γνώμῃ γεγενημένον, καὶ τὸν Φινεές, ὡς κατ' αὐτὸν δύο φόνους ἐργασάμενον. ἐὰν δὲ ἑκάστου τὴν αἰτίαν ἀκριβῶς καταμάθωμεν, κἀκείνους μέμψεως ἀπαλλάξομεν, καὶ αὐτοὶ πολλὴν ἐκεῖθεν τὴν ὠφέλειαν καρπωσόμεθα. ἀλλὰ τὰ μὲν κατὰ τὴν ἱστορίαν ταύτην, ὡς ἡμῖν οἷόν τε ἦν,

διεξεληλύθαμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης. Εἰ δὲ μὴ ἀπεκάμετε, καὶ βούλεσθε, καὶ τῶν ἑξῆς ἐφαψόμεθα, καὶ πάλιν ἐπὶ τὴν κατὰ τὸν θαυμαστὸν Ἰωσὴφ διήγησιν ἥξομεν, ἵνα μάθητε καὶ ἐκ τῶν σήμερον λεγομένων, ὅσα ὁ γενναῖος οὗτος ἀθλητὴς μετὰ τὰ ὀνείρατα ἐκεῖνα, τὰ τὴν βασιλείαν αὐτῷ μηνύοντα καὶ τὴν κατὰ τῶν ἀδελφῶν ἀρχὴν ὑπέμεινε, καὶ ὅπως ἀπὸ ἀγώνων ἀγῶνες αὐτὸν διεδέχοντο, καὶ πειρασμοῖς πειρασμοὶ συνήπτοντο, καὶ ἐπάλληλα ἦν τὰ ναυάγια, καὶ ὁ κυβερνήτης οὐ κατεποντίζετο, καὶ σφοδροτέρου τοῦ χειμῶνος ἐπανισταμένου, καθάπερ ἐπὶ τῶν οἰάκων καθήμενος, οὕτω τὴν ναῦν ἴθυνεν. ἄξιον δὲ ἀκοῦσαι καὶ αὐτῶν τῶν ῥημάτων, ἵνα πάντα μετὰ ἀκριβείας μαθεῖν δυνηθῶμεν. Ἰωσὴφ δέ, φησι, κατήχθη εἰς Αἴγυπτον, καὶ ἐκτήσατο αὐτὸν ὁ ἀρχιμάγειρος Φαραὼ ἐκ χειρὸς Ἰσμαηλιτῶν. εἶτα ἐπειδὴ καὶ οἱ παρὰ τῶν ἀδελφῶν αὐτὸν ὠνησάμενοι, βάρβαροί τινες καὶ ἀλλόκοτοι ἦσαν τὸ ἦθος, καὶ πάλιν αὐτοὶ τῷ Αἰγυπτίῳ τῷ ἀρχιμαγείρῳ τοῦ Φαραὼ αὐτὸν ἀπέδοντο, καὶ διαφόρους ἤμειβε δεσπότας ὁ ἐν ταῖς ἀγκάλαις τοῦ πατρὸς ἀνατραφείς· ἵνα μὴ ξενιζώμεθα πῶς ἤνεγκε τὴν μεγάλην ἐκείνην δουλείαν νέος ὤν, καὶ πάσης τοιαύτης σκληραγωγίας ἄπειρος, καὶ ἐν οἰκίᾳ μετὰ πολλῆς τῆς πατρικῆς φιλοστοργίας ἀνατραφείς, ἐπήγαγεν ἡ γραφὴ λέγουσα, καὶ ἦν κύριος μετὰ Ἰωσήφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων. τί ἐστι, καὶ ἦν κύριος μετὰ Ἰωσήφ; συμπαρῆν αὐτῷ, φησιν, ἡ ἄνωθεν χάρις, καὶ αὕτη αὐτῷ πάντα τὰ δυσχερῆ ἐξευμάριζεν. αὕτη πάντα τὰ κατ' αὐτὸν ᾠκονόμει· αὕτη καὶ τοὺς ἐμπόρους ἐκείνους ἡμερωτέρους αὐτῷ κατέστησε, καὶ ἀποδόσθαι τῷ ἀρχιμαγείρῳ κατηνάγκασεν, ἵνα ὁδῷ προβαίνων οὕτω κατὰ μικρόν, καὶ διὰ τῶν πειρασμῶν τούτων ὁδεύων ἐπὶ τὸν τῆς βασιλείας θρόνον ἀνελθεῖν δυνηθῇ. ἀλλὰ σύ, ἀγαπητέ, ἀκούων, ὅτι ὑπέμεινε τὴν δουλείαν τὴν παρὰ τοῖς ἐμπόροις, εἶτα διεδέξατο ἡ δουλεία τοῦ ἀρχιμαγείρου, λογίζου πῶς οὐκ ἐταράττετο, οὐδὲ διελογίζετο καθ' ἑαυτόν, καὶ ἠπόρει, καὶ ἔλεγε, τίς ἡ τῶν ὀνειράτων ἐκείνων ἀπάτη ἡ τοσαύτην τὴν περιφάνειάν μοι μηνύουσα; ἰδοὺ γὰρ μετὰ τὰ ὀνείρατα ἐκεῖνα δουλεία, καὶ δουλεία χαλεπή, καὶ δεσπότας ἀμείβω, ἀπὸ τούτου πρὸς ἐκεῖνον, καὶ ἀπ' ἐκείνου πρὸς τοῦτον, καὶ ἀναγκάζομαι ἔθεσιν ἀλλοκότοις συναναμίγνυσθαι. ἆρα μὴ ἐγκατελείφθημεν; ἆρα μὴ περιώφθημεν παρὰ τῆς ἄνωθεν

A li noſtra pertractauimus charitati veſtræ. Quòd ſi non fatigamini, & volueritis, etiam ſequentia attingemus, & iterum ad narrationem admirabilis Ioſephi veniemus, vt diſcatis etiam ex his quæ hodie dicta ſunt, quæcunque generoſus ille athleta, poſt ſomnia illa regnum ſibi promittentia, & principatum fratrum, ſuſtinuerit, & quomodo poſt illa certamina & tentationes aliæ exceperint, & increbreſcebant naufragia, nec ſubmergebatur gubernator: & cùm validior inſurgeret tempeſtas, quaſi ad gu-

B bernacula ſedens, nauim regebat. Dignum autem fuerit & verba ipſa audire, ut diligenter omnia diſcere poſſimus. [1] *Ioſeph autem deductus eſt in Ægyptum, & emit eum archimagirus Pharaonis de manu Iſmaëlitarum.* Deinde poſtquam barbari illi, qui à fratribus cum emerant, Ægyptio archimagiro Pharaonis vendiderunt, varios dominos ſortitus eſt ille, qui inter vlnas patris educatus fuerat: vt ne admiremur, quomodo tulerit

Capvt. xxxix.

C grauem illam ſeruitutem adoleſcens, & omnis duræ vitæ inexpertus, domíque magna patris beneuolentia enutritus: ſubdidit ſcriptura dicens: [2] *Et erat Dominus cum Ioſeph, & erat vir aſſequens.* Quid eſt, erat Dominus cum eo? Comitabatur eum, inquit, diuina gratia, & reddebat ei facilia omnia quę grauia erant. Hæc diſpenſabat omnes eius res, hæc manſuetiores ei reddidit negotiatores, & vendere archimagiro coëgit, vt paulatim hac vita procedens, & per tentationes

Diuina gratia comitatur Ioſephũ.

D illas vadens, ad regiũ thronũ aſcendere valeret. Verũ tu dilecte audiens quòd ſuſtinuit ſeruitutem apud negotiatores, deinde quòd ſeruiuit apud archimagirum, cogita quomodo non turbatus eſt, neque cogitauit, neque hæſitauit ſecum, dicens: Quæ ſomniorum illorum deceptio, quæ tantam gloriam pollicebatur? Ecce enim poſt ſomnia illa, ſeruitus, & ſeruitus grauis, & domini varij. Ab hoc tranſeo ad illum, ab illo ad alium: & cogor barbarorũ aſſueſcere moribus. Nunquid derelicti ſumus? nunquid contempti ſumus à ſuper-

no præſidio? Nihil tale vel dixit, vel cogitauit, ſed tulit omnia fortiter & manſuetè. Erat enim Dominus cum Ioſeph, & erat vir aſſequẽs. Quid eſt vir aſſequens? Omnia ei proſperè ſuccedebant, vbique præcedebat eum ſuperna prouidentia, & ita manifeſta erat gratia, quæ florebat ſuper eum, vt etiam domino eius archimagiro manifeſtum hoc fieret. [3] *Sciebat enim*, inquit, *dominus eius, quòd Dominus eſſet cum eo, & omnia quæcunque faciebat, Dominus proſpera reddebat in manibus eius.* [4] *Inuenit autem Ioſeph gratiam coram domino ſuo, & conſtituit eum ſuper domum ſuam, & omnia quæcunque habebat, dedit in manus Ioſeph.* Vidiſti quantum ſit ſuperna manu adiuuari? Ecce enim & iuueni, & peregrino, & captiuo, & ſeruo, à domino tota domus creditur. Dicit enim: Et omnia quæ habebat dedit in manus Ioſeph. Quare? quia cum ſuperno auxilio & ſuos attulit mores, gratus enim ei erat: hoc eſt, cum magna gratia faciebat omnia. Deinde volens eum benignus Deus in maiori ſecuritate conſtituere, non liberauit à ſeruitute, neque libertatem ei dedit. Hic enim mos eſt Deo, vt non liberet à periculis viros virtute claros, neque è tentationibus eximat: ſed in ipſis tentationibus tantum ſuum oſtendat auxilium, vt tentationes ipſæ eis fiant occaſio lætitiæ magnæ. Propter hoc & beatus Dauid: In tribulatione dilataſti me. Non tribulationem, inquit, abſtuliſti, neque ab ea liberatum in relaxatione eſſe voluiſti: ſed id quod eſt miraculum, & perquam rarum, in medio tribulationis conſtitutum, abſque pauore eſſe me feciſti: illud ſanè & hîc fecit benignus Dominus. [5] *Benedixit enim domum AEgyptij propter Ioſeph* Et didicit poſtea barbarus, quòd is qui vt ſeruus habebatur, Deo peculiariter gratus eſſet, *& permiſit omnia quæ habebat in manibus Ioſeph,* [6] *& non ſciebat quicquam, præter panem quem comedebat.* Quaſi dominum totius domus conſtituit. En ſeruus & captiuus ſub manu ſua habet omnia quæ erant domini: tanta res eſt virtus. Nam vbicunque illa apparuerit, omnibus dominatur & præua-

Mos Dei in tẽtationib. iuſtorum.

Pſal. 4.

A ῥοπῆς; οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ἔφερε πάντα πράως καὶ γενναίως. ἦν γὰρ κύριος μετὰ Ἰωσήφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων. τί ἐστιν, ἐπιτυγχάνων; πάντα αὐτῷ κατευώδου, πανταχοῦ προωδοποίει αὐτῷ ἡ ἄνωθεν χάρις, καὶ οὕτω φανερὰ ἦν ἡ ἐπανθοῦσα αὐτῷ χάρις, ὡς καὶ τῷ δεσπότῃ αὐτοῦ τῷ ἀρχιμαγείρῳ κατάδηλον τοῦτο γενέσθαι. ᾔδει γάρ, φησιν, ὁ κύριος αὐτοῦ, ὅτι κύριος ἦν μετ' αὐτοῦ, καὶ πάντα ὅσα ἂν ποιῇ, κύριος εὐοδοῖ ἐν ταῖς χερσὶν αὐτοῦ. εὗρε δὲ Ἰωσὴφ χάριν ἐναντίον τοῦ κυρίου αὐτοῦ, καὶ κατέστησεν αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ, καὶ πάντα ὅσα B ἦν αὐτῷ, ἔδωκε διὰ χειρὸς Ἰωσήφ. εἶδες ὅσον ἐστὶν ἀπὸ τῆς ἄνωθεν βοηθεῖσθαι δεξιᾶς; ἰδοὺ γὰρ καὶ νέος, καὶ ξένος, καὶ αἰχμάλωτος, καὶ δοῦλος, καὶ πᾶσαν ἐγχειρίζεται παρὰ τοῦ δεσπότου τὴν οἰκίαν, καὶ πάντα διὰ χειρὸς αὐτοῦ δέδωκε, φησι. διὰ τί; ἐπειδὴ μετὰ τῆς ἄνωθεν συνεργείας καὶ τὸν οἰκεῖον τρόπον εἰσήνεγκεν. εὐηρέστει γὰρ αὐτῷ, φησιν, ἀντὶ τοῦ, μετὰ πολλῆς εὐνοίας ἅπαντα διεπράττετο. εἶτα βουλόμενος αὐτὸν ὁ φιλάνθρωπος θεὸς ἐν πλείονι καταστῆσαι ἀδείᾳ, οὐκ ἀπήλλαξε τῆς δουλείας, οὐδὲ ἐν ἐλευθερίᾳ παρεσκεύασεν εἶναι. C τοῦτο γὰρ αὐτῷ ἔθος ἀεὶ τοὺς ἐναρέτους ἄνδρας οὐκ ἀπαλλάττειν τῶν κινδύνων, οὐδὲ ἐλευθεροῦν τῶν πειρασμῶν, ἀλλ' ἐν αὐτοῖς τοῖς πειρασμοῖς τοσαύτην ἐπιδείκνυσθαι τὴν οἰκείαν ῥοπήν, ὡς αὐτοὺς τοὺς πειρασμοὺς ὑπόθεσιν αὐτοῖς ἑορτῆς γίνεσθαι. διὰ τοῦτο καὶ ὁ μακάριος Δαβὶδ ἔλεγεν, ἐν θλίψει ἐπλάτυνάς με. οὐχὶ τὴν θλῖψιν ἀπήλασας, φησιν, οὐδὲ ταύτης ἀπαλλάξας ἐν ἀνέσει με εἶναι πεποίηκας, ἀλλ' ὅπερ ἐστὶ θαυμαστὸν καὶ παράδοξον, ἐν μέσῳ τῶν θλίψεων τυγχάνοντα ἐν ἀδείᾳ εἶναι παρεσκεύασας. τοῦτο δὴ D καὶ ἐνταῦθα ποιεῖ ὁ φιλάνθρωπος δεσπότης. εὐλόγησε γὰρ τὸν οἶκον τοῦ Αἰγυπτίου διὰ τὸν Ἰωσήφ. καὶ ἐμάνθανε λοιπὸν καὶ ὁ βάρβαρος, ὅτι τῶν ᾠκειωμένων ἐστὶ τῷ θεῷ ὁ νομιζόμενος οἰκέτης. καὶ ἐπέτρεψε, φησιν, ἅπαντα, ὅσα ἦν αὐτῷ, διὰ χειρὸς Ἰωσήφ. καὶ οὐκ ᾔδει οὐδέν, πλὴν τοῦ ἄρτου, οὗ ἤσθιε. μονονουχὶ δεσπότην αὐτὸν κατέστησε πάσης τῆς ἑαυτοῦ οἰκίας. καὶ ἦν ὁ δοῦλος, ὁ αἰχμάλωτος, ὑπὸ τὴν ἑαυτοῦ χεῖρα ἔχων πάντα τὰ τοῦ δεσπότου. τοσοῦτον ἐστὶν ἀρετή. ὅπου γὰρ ἂν αὐτὴ φανῇ, πάντων περι-

γίνεται

γίνεται καὶ κρατεῖ. ὥσπερ γὰρ τοῦ φωτὸς ἀνατείλαντος ἀπελαύνεται τὸ σκότος, οὕτω καὶ νῦν τῆς ἀρετῆς φανείσης, ἐκποδὼν πᾶσα κακία γίνεται. ἀλλὰ τὸ πονηρὸν θηρίον, ὁ διάβολος θεασάμενος τοῦ δικαίου τὴν εὐδοκίμησιν, καὶ ὅτι δι᾽ αὐτῶν τῶν νομιζομένων λυπηρῶν περιφανέστερος ἐγίνετο, τρίζων τοὺς ὀδόντας καὶ μεμηνώς, καὶ οὐδὲ φέρων ὁρᾶν τὸν δίκαιον οὕτω καθ᾽ ἑκάστην ἡμέραν λαμπρότερον γινόμενον, βόθρον αὐτῷ ἀνορύττει βαθὺν, καὶ κρημνὸν, ὡς ἐνόμιζε, μέγιστον αὐτῷ τίκτοντα τὸν ὄλεθρον, καὶ χειμῶνα κατασκευάζει σφοδρὸν αὐτῷ τὸ ναυάγιον ἐργάσασθαι δυνάμενον. ἀλλ᾽ ἐμάνθανεν οὐκ εἰς μακρὰν, ὅτι πρὸς κέντρα λακτίζει, καὶ κατὰ τῆς οἰκείας κεφαλῆς ἅπαντα διαπράττεται. Καὶ ἦν Ἰωσήφ, φησι, καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει. τίνος ἕνεκεν ἡμῖν τὴν εὐμορφίαν τοῦ σώματος διηγεῖται; ἵνα μάθωμεν ὅτι οὐ μόνον τῇ κατὰ ψυχὴν εὐμορφίᾳ ἦν καλὸς, ἀλλὰ καὶ τῷ σώματι. ἐν αὐτῷ γὰρ τῷ ἄνθει τῆς ἡλικίας νέος ἦν, καὶ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει. ταῦτα δὲ προλαβοῦσα διηγεῖται περὶ αὐτοῦ ἡ θεία γραφή, ἵνα διδάξῃ ἡμᾶς, ὡς ἁλοῦσα τῷ κάλλει τοῦ νεανίσκου ἡ Αἰγυπτία πρὸς τὴν παράνομον ἐκείνην μίξιν αὐτὸν ἐκάλει. Καὶ ἐγένετο, φησι, μετὰ ταῦτα. τί ἐστι, μετὰ ταῦτα; μετὰ τὸ πάσης τῆς οἰκίας τὴν ἐξουσίαν αὐτὸν ἐμπιστευθῆναι, καὶ μετὰ τὸ ἐν τοσαύτῃ εἶναι τιμῇ ἀξιωθῆναι παρὰ τοῦ δεσπότου, ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ τὸν Ἰωσήφ. ὅρα τὴν ἀναίδειαν τῆς ἀκολάστου γυναικός. οὐχ ὅτι δέσποινα εἶναι ἐνομίζετο ἐν διανοίᾳ ἔλαβεν, οὐχ ὅτι οἰκέτης ἦν ἐκεῖνος, ἀλλ᾽ ὑπὸ τῆς εὐμορφίας ἁλοῦσα, καὶ τὸν ἐμπρησμὸν τὸν σατανικὸν δεξαμένη, ἐπιπηδᾷν ἐπεχείρει λοιπὸν τῷ νεανίσκῳ, καὶ τὸν πονηρὸν τοῦτον λογισμὸν ἐν τῇ διανοίᾳ συνέχουσα, καιρὸν ἐπεζήτει καὶ ἐρημίαν τὴν δυναμένην αὐτῇ συμπρᾶξαι πρὸς τὴν παράνομον ταύτην ἐπιχείρησιν. ὁ δέ, φησιν, οὐκ ἤθελεν, οὐκ ἐπείθετο, οὐδὲ κατεδέχετο τὰ παρ᾽ ἐκείνης ῥήματα. ᾔδει γὰρ πολὺν αὐτῷ φέροντα τὸν ὄλεθρον. καὶ οὐ μόνον τὰ καθ᾽ ἑαυτὸν ἐσκόπει, ἀλλὰ σπουδὴν ἐποιεῖτο κἀκείνην, καθ᾽ ὅσον οἷόν τε, ἀπαλλάξαι τῆς μανίας καὶ τῆς ἀτόπου ταύτης ἐπιθυμίας. καὶ συμβουλὴν αὐτῇ εἰσάγει ἱκανὴν αὐτὴν καταιδέσαι, καὶ ποιῆσαι τὸ συμφέρον ἐπιγνῶναι. Εἶπε γάρ, φησι, τῇ γυναικὶ τοῦ κυρίου αὐτοῦ. ἡ δέσποινα παρὰ τοῦ δούλου συμβουλὴν δέχεται. εἰ ὁ κύριός μου οὐ γινώσκει δι᾽ ἐμὲ οὐδὲν τῶν ἐν τῷ οἴκῳ αὐτοῦ, ἀλλὰ πάντα ὅσα ἐστὶν αὐτῷ, δέδωκεν εἰς τὰς χεῖράς μου. ὢ εὐγνωμοσύνης ἀνδρός.

A let. Etenim ſicut oriēte ſole tenebræ diſcutiuntur, ita & nunc apparente virtute, è medio tollitur omnis malitia. Sed mala beſtia diabolus, vt primùm viderit iuſtum gratum eſſe, & per ea quæ putantur eſſe aduerſa, clariorem fieri, fremit dentibus, & inſanit: neque videre poteſt iuſtum quotidie magis & magis clareſcere, ſed profundum barathrum effodit, & precipitium parat, quò illum maximo, vt arbitratur, damno afficiat: & tempeſtatem excitet, & violentum naufragium faciat: ſed diſcit nō poſt longum tempus quòd cōtra ſti- B mulum calcitret, & contra ſuum caput operetur omnia. *Et erat Ioſeph*, inquit, *pulcher ſpecie, & formoſus aſpectu.* Quare nobis corporis pulchritudinē narrat? vt diſcamus quòd non ſolùm anima pulcher erat, ſed & corpore. In ipſo enim flore ætatis erat: iuuenis erat, & pulcher ſpecie, & formoſus facie. Hæc autem prius narrauit de eo ſcriptura, vt doceat nos quòd Ægyptia adoleſcentis pulchritudine capta, ad illicitum eum concubitum irritarit. [7] *Et factum eſt poſt* C *hæc.* Quid eſt, poſt hæc? Poſtquam ei concredita poteſtas totius domus; poſtquam tantum honorem à domino ſuo conſecutus eſt. *Iniecit vxor Domini oculos ſuos in Ioſeph.* Vide intemperantiam laſciuæ mulieris, non accepit in mentem quòd haberetur domina, non quòd ille erat ſeruus; ſed à formoſitate capta, & diabolico incendio ſuſcepto, in iuuenem poſtea inſilire tentat: & malam illam cogitationem in mente ſeruans, tempus inquirit, & ſolitudinem, quæ poſſent ei cooperari ad illicitū ſuum D conatum. Verum ille noluit, neque paruit, neque verba illius ſuſcepit. Sciebat enim hinc ſibi magnam perniciem enaſci, & non ſolùm res ſuas ſpectabat, ſed operam dabat vt & illam, quantum poſſibile erat, ab inſania hac liberaret, & ab illicita iſta concupiſcentia: & conſilium ei afferret, quod ſufficiebat ei vt pudefieret, & quid ſibi prodeſſet, cognoſceret. [8] *Dixit enim*, inquit, *vxori domini ſui*: Domina à ſeruo cōſiliū accipit. *Si dominus meus propter me nihil ſcit in domo ſua, & omnia quæcunq; habet, dedit in manus meas.* O gratitudinem viri.

Diaboli malitia & inſania in Ioſeph.

Vide quomodo enumerat beneficia domini, vt doceat quantam illa ingratitudinem erga coniugem oſtendat. Si enim ego, inquit, qui famulus ſum, qui peregrinus, qui captiuus, tanta fruor eius ſecuritate, vt omnia ſua ſub manum meam tradiderit: & nihil eſt quod excepit de manu mea, præter te: & omnibus alijs ego præſum, ſoli autem tibi ſubijcior, & es extra meam poteſtatem. Deinde vt lethalem ei plagã daret, & recordari faceret viri beneuolentiæ, & perſuaderet ei ne tam ingrata eſſet erga coniugem ſuum, inquit:[9] *Et tu propterea extra poteſtatem meã es, eò quod tu vxor eius ſis. Cùm igitur vxor eius ſis, quomodo faciam hoc malum verbum, & peccabo coram Deo?* Quoniam enim illa ſolitudinem obſeruabat, & tempus expectabat quo latere poterat virum, & omnes qui in domo erant, dicit: Quomodo potero facere malum hoc, & peccabo coram Deo? Quid enim putas? etiamſi fecerimus vt res clam ſit omnibus, oculum tamen illum qui dormitare nequit, latere non poterimus: illum ſolum timere oportet, & tremere ac pauere, vt ne in conſpectu eius malè quippiam faciamus. Et vt diſcamus iuſti excellentem virtutem, & quòd non ſemel, neque bis, ſed & ſæpius certamen hoc ſuſtinuerit, & colloquium hoc tulerit, conſuleréque non ceſſauerit, ſubdit ſcriptura:[10] *Cùm autem loqueretur de die in diem, & non obediret ei:* vbi obſeruauit in domo facientem aliquid, aſſiliit in iuuenem, ſicut beſtia dentibus frendens, & apprehenſis veſtimentis tenuit eum. Non ſimpliciter hoc prætereamus, ſed cogitemus, quantum certamen ſuſtinuerit iuſtus ille. Non enim erat tam admirabile, vt mihi videtur, in fornace Babylonis verſari tres pueros, & illæſos permanere, & nihil ab igne pati: vt admirabile hoc, & rarum, quòd admirabilis ille iuuenis retinetur veſtimẽtis à ſceleſta illa & laſciua, nec tamen illi cedit: ſed & veſtibus relictis in manibus illius reſilit. Siceut autẽ tres pueri illi propter ſuam virtutem ſuperna freti auxilio, igne preſtantiores viſi ſunt:

Deus ſolus timendus vltor.

Dan. 3.

A ὅρα πῶς ἀπαριθμεῖται τοῦ δεσπότου τὰς εὐεργεσίας, ἵνα δείξῃ ὅσῃ τῇ ἀγνωμοσύνῃ ἐκείνη κέχρηται πρὸς τὸν ὁμόζυγον. εἰ γὰρ ἐγώ, φησιν, ὁ οἰκέτης, ὁ ξένος, ὁ αἰχμάλωτος, τοσαύτης ἀπήλαυσα παρ᾽ αὐτοῦ ἀδείας, ὡς ἅπαντα ὑπὸ τὴν χεῖρα εἶναι τὴν ἐμήν, καὶ οὐδέν ἐστιν, ὃ ὑπεξαιρεῖται τῆς χειρός μου, πλὴν σοῦ, ἀλλὰ πᾶσι μὲν αὐτὸς ἐπίκειμαι, μόνῃ δέ σοι ὑποτέταγμαι, καὶ ἔξω τυγχάνεις τῆς ἐμῆς ἐξουσίας. εἶτα ἵνα καιρίαν δῷ τὴν πληγήν, καὶ ὑπομνήσῃ τῆς εὐνοίας τοῦ ἀνδρός, καὶ πείσῃ αὐτὴν μὴ ἀγνώμονα περὶ τὸν σύνοικον γενέσθαι, φησί, καὶ σὺ διὰ τοῦτο ἔξω B τῆς ἐξουσίας τῆς ἐμῆς τυγχάνεις, διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι. εἰ τοίνυν γυνὴ αὐτοῦ τυγχάνεις, πῶς οὖν ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ θεοῦ; ἐπειδὴ γὰρ ἐκείνη τὴν ἐρημίαν ἐζήτει, καὶ καιρὸν ἀνέμενε, λαθεῖν σπουδάζουσα τὸν ἄνδρα, τοὺς οἰκέτας τοὺς ἐπὶ τῆς οἰκίας ἅπαντας, φησὶν οὗτος, πῶς δυνήσομαι ποιῆσαι τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ θεοῦ; τί γὰρ νομίζεις; κἂν πάντας λαθεῖν δυνηθῶμεν, τὸν ἀκοίμητον ὀφθαλμὸν οὐ δυνάμεθα λαθεῖν. ἐκεῖνον μόνον δεδοικέναι δεῖ, καὶ ἀγωνιᾶν, καὶ C τρέμειν, ὥστε μὴ ὑπὸ τοῖς ἐκείνου ὀφθαλμοῖς παράνομόν τι διαπράξασθαι. καὶ ἵνα μάθωμεν τὴν ὑπερβάλλουσαν τοῦ δικαίου ἀρετήν, καὶ ὅτι οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις τὸν ἀγῶνα τοῦτον ὑπέμεινε, καὶ τῆς λέξεως ταύτης ἠνέσχετο, καὶ συμβουλεύων οὐκ ἐπαύσατο, φησὶν ἡ γραφή· ἡνίκα δὲ ἐλάλει ἡμέραν ἐξ ἡμέρας, καὶ οὐχ ὑπήκουσεν αὐτῆς, ἐπιτηρήσασα τὰ ἐπὶ τῆς οἰκίας διαπραττόμενα ἐπιπηδᾷ τῷ νεανίσκῳ, καθάπερ θηρίον θῆγον τοὺς ὀδόντας, καὶ ἐπισπασαμένη τῶν ἱματίων κατεῖχε. μὴ ἁπλῶς τοῦτο D παραδράμωμεν, ἀλλ᾽ ἐννοήσωμεν ὅσον ὑπέμεινε τὸν ἀγῶνα ὁ δίκαιος ἐκεῖνος. οὐ γὰρ οὕτω θαυμαστὸν ἦν, ὥς ἐμοί γε δοκεῖ, ἐν μέσῃ τῇ Βαβυλωνίᾳ καμίνῳ τοὺς τρεῖς παῖδας ὄντας ἀβλαβεῖς διαμεῖναι, καὶ μηδὲν ὑπὸ τοῦ πυρὸς παθεῖν, ὡς θαυμαστὸν ἐγένετο καὶ παράδοξον τὸν θαυμαστὸν τοῦτον νεανίσκον κατασχεθέντα τῶν ἱματίων ὑπὸ τῆς μιαρᾶς ταύτης καὶ ἀκολάστου μὴ ἐνδοῦναι, ἀλλὰ καὶ τὰ ἱμάτια ἀφέντα ἐν ταῖς ἐκείνης χερσὶν οὕτως ἀποπηδῆσαι. ὥσπερ γὰρ οἱ τρεῖς παῖδες ἐκεῖνοι διὰ τὴν οἰκείαν ἀρετὴν τῆς ἄνωθεν ἀπολαύσαντες ῥοπῆς, τοῦ πυρὸς κρείττους ὤφθησαν·

οὕτω καὶ οὗτος, ἐπειδὴ τὰ παρ' ἑαυτοῦ εἰσέφερε, καὶ τῆς σωφροσύνης τοὺς ἀγῶνας μετὰ πολλοῦ τοῦ τόνου ἐπεδείκνυτο, πολλῆς καὶ τῆς ἄνωθεν συμμαχίας ἀπήλαυσε, τῆς τοῦ θεοῦ δεξιᾶς συμπαραστάσης αὐτῷ τοσοῦτον ἆθλον νικῆσαι, καὶ ἔξω τῶν δικτύων τῆς ἀσελγοῦς ἐκείνης καταστῆναι. καὶ ἦν ἰδεῖν λοιπὸν τότε τὸν θαυμάσιον τοῦτον γυμνὸν μὲν ἐξιόντα ἱματίων, ἐνδεδυμένον δὲ τῆς σωφροσύνης τὸ ἔνδυμα, καὶ καθάπερ ἀπό τινος πυρᾶς καὶ καμίνου ἀβλαβῆ διαφυγεῖν, καὶ οὐ μόνον οὐ κατακαυθέντα, ἀλλὰ καὶ λαμπρότερον καὶ φαιδρότερον γεγενημένον. ἀλλ' ὅρα μετὰ τοσαύτην νίκην, μετὰ τοσαύτην ἀνδρείαν ὑπὲρ ὧν ἐχρῆν αὐτὸν στεφανωθῆναι, ὑπὲρ ὧν ἐχρῆν αὐτὸν ἀνακηρυχθῆναι, πάλιν ὡσανεὶ ὑπεύθυνον τὰ μυρία ὑπομένοντα δεινά. ἡ γὰρ Αἰγυπτία ἐκείνη οὐ φέρουσα λοιπὸν τὴν αἰσχύνην καὶ τὸ ὄνειδος, ἣ περιέβαλλεν ἑαυτὴν ἀδυνάτοις ἐπιχειρήσασα, πρότερον μὲν τοὺς ἐπὶ τῆς οἰκίας συγκαλεσαμένη κατηγορεῖ τοῦ νεανίσκου, καὶ τὰ παρ' αὐτῆς μανικῶς προταθέντα, ὡς παρ' ἐκείνου εἰρημένα φήσασα, οὕτως ἀπατᾶν ἅπαντας ἐπεχείρει. τοιοῦτον γὰρ ἔθος τῇ κακίᾳ, ἀεὶ πρὸς τὴν ἀρετὴν ἀγωνιζομένην τὰ ἑαυτῆς ἐλαττώματα ἐκείνῃ ἐπιχειρεῖν περιτρίβεσθαι· ὃ δὴ καὶ αὕτη τότε ἐποίει, τὸν νεανίσκον ὡς ἀκόλαστον διαβάλλουσα, καὶ ἑαυτῇ προσωπεῖον σωφροσύνης περιτιθεῖσα, καὶ λέγουσα διὰ τοῦτο κἀκεῖνον τὰ ἱμάτια καταλελοιπέναι, καὶ ταύτην ταῦτα κατεσχηκέναι. καὶ ὁ φιλάνθρωπος θεὸς ἐμακροθύμει καὶ ἠνείχετο, ἵνα διὰ πάντων τὸν ἑαυτοῦ οἰκέτην λαμπρότερον ἀποφήνῃ. ταῦτα γὰρ ἅπαντα ἐλθόντι τῷ ἀνδρὶ μετὰ πολλῆς τῆς κακουργίας εἰποῦσα καὶ κατηγορήσασα τοῦ νεανίσκου ἔλεγεν, εἰσῆλθε πρός με ὁ παῖς ὁ Ἑβραῖος, ὃν εἰσήγαγες πρὸς ἡμᾶς, ἐμπαῖξαί μοι. ἀθλία καὶ ταλαίπωρε, οὐκ αὐτὸς εἰσήγαγεν, ὥστε ἐμπαῖξαί σε, ἀλλ' ὁ διάβολός σε εἰσήγαγεν, ὥστε μὴ μόνον μοιχαλίδα γενέσθαι, ἀλλὰ τὸ ἧκον εἰς σέ, καὶ φόνον ἐργάσασθαι. καὶ ἐδείκνυ λοιπὸν εἰς ἀπόδειξιν τῶν παρ' αὐτῆς λεγομένων τὰ ἱμάτια τοῦ νεανίσκου. ἐννόει μοι ἐνταῦθα τοῦ κοινοῦ πάντων ἀνθρώπων δεσπότου τὴν φιλανθρωπίαν. ὥσπερ γὰρ τῶν ἀδελφῶν αὐτὸν ἐξείλετο βουλομένων αὐτὸν ἀνελεῖν, καὶ παρεσκεύασε πρότερον μὲν κατὰ τὴν συμβουλὴν τοῦ Ῥουβὴν εἰς τὸν λάκκον ἐμβληθῆναι, καὶ μετὰ ταῦτα πάλιν κατὰ τὴν συμβουλὴν τοῦ Ἰούδα τοῖς ἐμπόροις διαπραθῆναι,

A ita & ille, quia quod in ſe erat afferebat, & continentiæ certamina cum magna exhibebat conſtãtia, magno ſupernòq; preſidio muniebatur. Neque enim potuiſſet, dextera Dei non cooperante ei, tantum certamẽ certare, & à retibus illius libidinoſę mulieris aufugere. Et licebat poſtea videre admirabilem illũ, nudum quidem veſtibus exire, indutum autem continentiæ veſtimentis, & quaſi ab incendio & fornace illæſum effugere: & non ſolùm non aduſtum, ſed & multò fulgidiorem & clariorem factũ. Sed vide poſt tantam victoriam, B póſtque tantam fortitudinem, propter quæ illum oportebat coronari, & propter quæ oportebat illum prędicari, iterũ quaſi reum & obnoxiũ innumera ſuſtinentem mala. Nam Ægyptia illa non ferens cõfuſionem & opprobrium, in quæ ſeipſam iniecerat, impoſſibilia attẽtans, primum quidem cõuocauit eos, qui in domo erant, accuſans adoleſcẽtem: & dicit quòd ille dixerit quæ ab ipſa magno furore propoſita erant, atque ita omnes decipere tentat. Hîc enim mos C eſt malitiæ, ſemper contra virtutem pugnat, & ei ſua peccata affricare & impingere vult: id quod & hæc faciebat, adoleſcentem quaſi intemperantem criminans, & ſe continentiæ larua induit, & dicit, propter hoc & illum veſtes reliquiſſe, & ſe retinuiſſe illas. Et benignus Deus fieri hæc permittit, vt per omnia famulum ſuum clariorem efficiat. Nam hæc omnia venienti viro cum magna malitia dixit, & adoleſcentem accuſauit, dicens: [17] *Intrauit ad me puer Hebræus, quem duxiſti ad nos, vt il-* D *luderet mihi.* O miſera & calamitoſa, non ipſe introduxit vt illuderet tibi: ſed diabolus te induxit, vt non ſolum adultera fieres, ſed & vt quantum in te fuit, homicidium procurares. Et oſtendit poſtea ad comprobationem eorum quæ dicta erant, adoleſcentis veſtes. Conſidera, obſecro, hîc communis omnium domini clementiam: quia ſicut à fratribus eripuit, volentibus eum interficere: & effecit primùm quidem vt iuxta conſiliũ Ruben in ciſternã immitteretur, & poſtea iterũ iuxta conſilium Iudæ negotiatoribus venderetur,

Imptoborum mos ſua ſcelera impingentiũ.

vt ſomniorum euentus complerentur:& fidem facerent iuſto, quòd nõ fruſtra, neque temerè hæc præſignata eſſent: ita & nunc ſuperna manus erat quæ barbarum detinuit, & non permiſit ad cædem iuſti feſtinare. Quid enim prohibuiſſet eũ hoc facere, cùm intelligeret illum attentaſſe violare ſuum lectum? Verùm prouidus Deus tantum fecit illi exhiberi clementiam, vt iniectus in carcerem, etiam illic ſuam declararet virtutem, & ſic ad principatum regni perueniret. [19] *Succenſuit enim,* inquit, *dominus eius,* [20] *& miſit eum in cuſtodiam, vbi vincti regis detinebantur.* Nam ſi quidem non credebat, non oportebat eum in carcerem coniicere: ſin credebat verum eſſe quod Ægyptia dixerat, tunc neque carcere dignus erat, ſed plecti capite, & extremam pœnam pati debebat. Verùm quando ſuum auxiliũ dextra ſuperna oſtendit, omnia leuia & facilia fiunt, & feroces manſueſcunt. Tunc autẽ ſupernũ pręſidiũ vbertim nobis aſſiſtit, quando multam & nos oſtenderimus virtutem. Nã hic, quoniam multum certauit, propterea etiã magnas retributiones conſequitur. Et poſt tantã fortitudinẽ abducitur in carcerem, & ſilenter fert omnia. Scitis enim enim ij qui non ſunt ſibi cõſcij malitię, quando ſicut rei cõdemnantur, quanta vtantur ſæpe fiducia, & dicendi libertate ſuperbientes, & inflati, & inſurgentes contra eos qui inſontibus crimen intẽtant. Verùm ille non ſic: ſed ſilet, & omnia mãſuetẽ fert, & magna cum patientia, Dei expectat ſubſidiũ. Vide enim quomodo & in carcere principatũ omnẽ accipiat à cuſtode carceris, idq; merito. [21] *Erat enim Dominus cũ Ioſeph,* inquit, *& defundebat ei ſuã miſericordiam.* Quid eſt, defundebat ei ſuã miſericordiã? Ad miſerationem inflectebat præfectũ carceris, & mirè erga illum beneuolentiam ſuam declarari curabat. *Dedit enim ei gratiam corã illo.* Verè nihil beatius eo, qui Dei beneuolentiã habet. *Dedit enim,* inquit, *præfectus carceris carcerem in manus Ioſeph.* Vide, quomodo cuſtos carceris aliquid honoris ei defert, & authoritatẽ ei permittit, & omnes qui in carcere erãt, eſſe iubet ſub poteſtate eiꝰ.

Dei prouidentia erga Ioſephũ.

A ἵνα τῶν ὀνειράτων ἡ ἔκβασις εἰς ἔργον ἐλθοῦσα πείσῃ τὸν δίκαιον, ὡς οὐ μάτην οὐδὲ εἰκῆ ἐκεῖνα αὐτῷ προεμηνύετο· οὕτω καὶ νῦν ἡ ἄνωθεν χεὶρ ἦν ἡ τὸν βάρβαρον ἐκεῖνον κατέχουσα, καὶ μὴ συγχωρήσασα εὐθέως ἐπὶ τὴν σφαγὴν ὁρμῆσαι τοῦ νεανίσκου. τί γὰρ ἦν τὸ κωλῦον μαθόντα ὡς εἰς αὐτὴν τὴν εὐνὴν ἀδικῆσαι αὐτὸν ἐπεχείρησε, μὴ τοῦτο ποιῆσαι; ἀλλ' ὁ εὐμήχανος θεὸς τοσαύτην παρεσκεύασεν αὐτὸν ἐπιδείξασθαι τὴν πραότητα, ἵνα ἐμβληθεὶς τῷ δεσμωτηρίῳ, καὶ πάλιν ἐκεῖ τὴν οἰκείαν ἐπιδειξάμενος ἀρετήν, οὕτως ἐπὶ τὴν ἀρχὴν τῆς βασιλείας παραγένηται. ἐθυμώθη γάρ, φησιν, ὁ
B κύριος αὐτοῦ, καὶ ἐνέβαλεν αὐτὸν εἰς τὸ ὀχύρωμα, ὅπου οἱ δεσμῶται τοῦ βασιλέως κατέχονται. εἰ μὲν γὰρ μὴ ἐπίστευσεν, οὐκ ἐχρῆν αὐτὸν ἐμβαλεῖν ἐν τῷ δεσμωτηρίῳ. εἰ δὲ ἐπίστευσε πάλιν ἀληθὲς εἶναι τὸ παρὰ τῆς Αἰγυπτίας λεγόμενον, οὐδὲ οὕτως δεσμωτηρίου ἄξιος ἦν, ἀλλὰ ἀποτμηθῆναι, καὶ δίκην δοῦναι τὴν ἐσχάτην. ἀλλ' ὅταν ἡ ἄνωθεν δεξιὰ τὴν ἑαυτῆς πρόνοιαν ἐπιδείκνυται, πάντα εὔκολα καὶ ῥᾴδια γίνεται, καὶ οἱ ἄγριοι ἡμερώτεροι καθίστανται. τότε δὲ καὶ ἡ ἄνωθεν ῥοπὴ μετὰ δαψιλείας ἡμῖν παραγίνεται, ὅταν πολλὴν καὶ ἡμεῖς
C τὴν ἀρετὴν ἐπιδειξώμεθα. ἐπειδὴ γὰρ μεγάλως οὗτος ἠγωνίσατο, διὰ τοῦτο καὶ μεγάλων ἀπολαύει τῶν ἀμοιβῶν. καὶ μετὰ τὴν τοσαύτην ἀνδρείαν ἀπήγετο εἰς τὸ δεσμωτήριον, καὶ σιγῇ πάντα ὑπέμενεν. ἴστε γὰρ ὅπως οἱ μηδὲν ἑαυτοῖς συνειδότες πονηρόν, ἐπειδὰν ὡς ὑπεύθυνοι καταδικάζωνται, πόσῃ κέχρηνται πολλάκις τῇ παρρησίᾳ καὶ τῇ ἐλευθεροστομίᾳ, κατεξανιστάμενοι καὶ μεγαλοφρονοῦντες κατὰ τῶν τὴν δίκην αὐτοῖς ἀνευθύνοις οὖσιν ἐπαγόντων. ἀλλ' οὗτος οὐχ οὕτως· ἀλλὰ καὶ σιγᾷ, καὶ πάντα πρᾴως δέχεται, καὶ ἀνέμενε μετὰ πολλῆς τῆς ὑπομονῆς τὴν τοῦ θεοῦ ῥοπήν. ὅρα γὰρ
D πῶς καὶ ἐν τῷ δεσμωτηρίῳ ὢν πάλιν τὴν ἀρχὴν ἅπασαν αὐτὸς ἐδέχετο παρὰ τοῦ δεσμοφύλακος. εἰκότως. ἦν γάρ, φησι, κύριος μετὰ Ἰωσήφ, καὶ κατέχεεν αὐτοῦ ἔλεος. τί ἐστι τὸ κατέχεεν αὐτοῦ ἔλεος; πρὸς οἶκτον ἐπέκαμψε τὸν ἀρχιδεσμοφύλακα, καὶ πολλὴν περὶ αὐτὸν τὴν εὔνοιαν ἐπιδείξασθαι παρεσκεύασεν. ἔδωκε γὰρ αὐτῷ χάριν ἐναντίον αὐτοῦ. ἀληθῶς οὐδὲν μακαριστότερον τοῦ τῆς ἄνωθεν εὐνοίας ἀπολαύοντος. ἔδωκε γάρ, φησιν, ὁ ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς τῷ Ἰωσήφ. ὅρα πῶς ὑπεξίσταται ὁ δεσμοφύλαξ καὶ παραχωρεῖ, καὶ αὐτῷ τὴν αὐθεντίαν ἐπιτρέπει, καὶ πάντας τοὺς ἐν τῷ δεσμωτηρίῳ ὑπὸ τὴν ἐκείνου ἐξουσίαν εἶναι ἐκέλευσε

καὶ οὐκ ἦν ὁ ἀρχιδεσμοφύλαξ γινώσκων οὐδέν. πάντα γὰρ ἦν διὰ χειρὸς Ἰωσήφ, διὰ τὸ τὸν κύριον μετ' αὐτοῦ εἶναι, καὶ ὅσα αὐτὸς ἐποίει, κύριος εὐωδοῦ ἐν ταῖς χερσὶν αὐτοῦ. σκόπει πῶς συμπαρῆν αὐτῷ διηνεκῶς ἡ χάρις ἡ ἄνωθεν, καὶ πάντα ἅπερ ἔπραττε χάριτος ἦν πεπληρωμένα. τοῦτο τοίνυν καὶ ἡμεῖς σπουδάσωμεν, ἵνα μεθ' ἑαυτῶν ἔχωμεν ἀεὶ τὸν κύριον, καὶ ἵνα τὰ παρ' ἡμῶν γινόμενα ὑπ' ἐκείνου κατευοδῶται. ὁ γὰρ ταύτης ἀξιωθεὶς τῆς ῥοπῆς, κἂν ἐν μέσοις τοῖς δεινοῖς ὢν τυγχάνῃ, καταγελάσεται πάντων, καὶ οὐδὲν αὐτὰ ἡγήσεται, τοῦ δεσπότου τῶν ὅλων, τοῦ πάντα ποιοῦντος καὶ μετασκευάζοντος, κατευοδοῦντος αὐτῷ ἅπαντα, καὶ τὰ δυσχερῆ ῥᾳδίως ἀπεργαζομένου. πῶς δὲ δυνησόμεθα μεθ' ἑαυτῶν ἔχειν τὸν κύριον, καὶ ὑπ' αὐτοῦ κατευοδοῦσθαι ἐν ἅπασιν; ἐὰν νήφοντες ὦμεν καὶ ἐγρηγορότες, καὶ μιμησώμεθα τοῦ νέου τούτου τὴν σωφροσύνην, καὶ τὴν ἄλλην ἀρετήν, καὶ τὸ φρόνημα τὸ γενναῖον, καὶ ἴδωμεν ὅτι οὕτω χρὴ μετ' ἀκριβείας ἅπαντα διαπράττεσθαι, ὡς μηδέποτε ὑπὸ τοῦ δεσπότου καταγνωσθῆναι, ἀλλ', ὅτι οὐχ οἷόν τέ τινα λαθεῖν ἐκεῖνον τὸν ἀκοίμητον ὀφθαλμόν, εἰδέναι, ἀλλ' ἀνάγκη πάντως τὸν ἁμαρτάνοντα ταῖς τιμωρίαις ὑπεύθυνον γενέσθαι. καὶ μὴ περιτιμώτερον ἡγώμεθα τὸν τῶν ἀνθρώπων φόβον τῆς τοῦ θεοῦ ἀγανακτήσεως, ἀλλὰ μνημονεύωμεν διὰ παντὸς τῶν ῥημάτων τοῦ Ἰωσὴφ λέγοντος, πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ θεοῦ; ὅταν τις οὖν λογισμὸς ἡμᾶς διαταράττῃ, τοῦτο ἐν τῇ διανοίᾳ στρέφωμεν τὸ ῥῆμα, καὶ παραχρῆμα φυγαδεύεται πᾶσα ἄτοπος ἐπιθυμία. εἴτε οὖν σωμάτων ἐπιθυμίᾳ τις ἁλῷ, εἴτε χρημάτων ἔρωτι, εἴτε ἄλλῃ τινὶ ἀτόπῳ ἡδονῇ, εὐθέως τοῦτο λογιζέσθω, ὅτι ἐκεῖνος ἡμῖν ἐστιν ὁ δικάζων, ὃν οὐχ οἷόν τε λαθεῖν οὐδὲ τὰ ἐν τῇ διανοίᾳ βουλευόμενα, καὶ πάντως διαφευξόμεθα καὶ τὰς τοῦ διαβόλου μηχανάς, καὶ ἀπολαύσομεν πολλῆς τῆς ἄνωθεν συμμαχίας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A 13 *Et neſciebat præfectus carceris aliquid. Omnia enim erant in manu Ioſeph, eò quòd Dominus erat cum eo, & omnia quæ ipſe faciebat, Dominus proſperabat in manibus eius.* Vide quomodo comitabatur eum perpetuò ſuperna gratia, & omnia quę faciebat, erant plena gratia. Hoc igitur & nos ſtudeamus, & nobiſcum ſemper habeamus Dominum: vt quæ à nobis fiunt, ab illo proſperentur. Nam qui illius auxilium aſſequitur, & in mediis malis exiſtens ridebit, ac nihili putabit omnia, Domino omnium faciente & diſponente cuncta, vt proſperè B ſuccedant omnia. Quomodo autem poterimus nobiſcum habere Dominum, ita vt ab ipſo ſecundentur omnia? ſi ſobrij noſmetipſos attenderimus, & vigilantes fuerimus, & imitati fuerimus iuuenis illius continentiam, aliáſque virtutes, ac fortem ſpiritum: ac viderimus ſic omnia fieri diligenter oportere, ne fortè à Domino condemnemur. Neque enim poſſibile eſt, vt occultetur aliquid ab oculo illo, qui dormitare nequit. Verum neceſſe omnino eſt, C vt is qui peccat, ſuppliciis obnoxius fiat. Itaque ne maioris faciamus timorem hominum, quàm indignationem Dei, ſed memores ſimus ſemper verborum Ioſeph, dicentis: *Quomodo faciam verbum hoc malum, & peccabo coram Deo?* Igitur quando nos aliqua cogitatio perturbat, hoc in mẽte verſemus verbũ, & ſtatim effugiet omnis illicita concupiſcentia. Itaque ſiue quis corporum concupiſcentia capiatur, ſiue pecuniarum amore, ſiue alia quadam abſurda voluptate, ſtatim hoc verbum cogitet: quòd ille eſt qui nos condem- D net, à quo non eſt poſſibile nos occultare etiam quæ in mente noſtra verſentur: & omnino effugiemus etiam diabolicas machinationes, magnóque adiutorio ſuperno iuuabimur, quo nobis frui contingat gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit gloria, imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Moralis epilog⁹. Dei gratia efficit vt omnia bene ſuccedant.

A

HOMILIA LXIII.

Gen. 39. 23. *Et neſciebat aliquid præfectus carceris propter Ioſeph.*

RELIQVIAS eorũ quæ à nobis heri dicta ſunt, volumus hodie reddere charitati veſtræ, & iterum attingere hiſtoriam Ioſephi. Scitis enim quòd heſternus ſermo noſter prolixior fuerit, & non potuerimus vlterius progredi: ſed ſermoni finem impoſuerimus, quando propter Ægyptiæ calumniam ab archimagiro in carcerem eſt coniectus. Ideo hodie operæprecium fuerit docere veſtram charitatem, quæ in carcere ei acciderint. Nam poſtquam in carcerem eſt coniectus, & traditus præfecto carceris, etiam illic tantum Dei ſubſidium aſſecutus eſt, vt totius carceris principatus à præfecto carceris ipſi concederetur. *Et neſciebat aliquid præfectus carceris propter Ioſeph.* Viſtiſtis, quomodo in ipſis afflictionibus exiſtens, aduerſitatem ne ſenſerit quidem: ſed prouida ſapientia Dei, omnia aſpera vertebat in iucunda. Et ſicut, licèt quis margaritam luto obruat, nihilominus natiuam retinet pulchritudinem: ſic & virtus, quocunque eam proieceris, ſuam vim exerit, etiam in ſeruitute, etiam in carcere, etiam in afflictione, etiam in proſperitate. Quando igitur & in carcere illi conciliauit præfectum carceris, & ſuper omnes qui ibi erant poteſtatem conceſſit: videamus & hîc quomodo vim gratiæ ſibi
CAPVT. XL.
conceſſæ manifeſtarit. *Factum eſt enim*, inquit, *poſt verba hæc.* Qualia? quæ narrauit poſt factam calumniam, poſtquam condemnatus eſt in carcerem: & non hoc ſolùm, ſed & poſtquam ſignificatum eſt nobis quòd Dominus cum eo fuerit, & quòd præfectus carceris omnia quæ ibi erant commiſerit, vt per illum adminiſtrarentur. ' *Factum eſt*, inquit, *poſt verba hæc, poſtquam iniectus eſt in carcerem, cùm peccaſſent præfectus pincernarum & præfectus piſto-*

Ὁμιλία ξγ.

Καὶ οὐκ ἦν γινώσκων οὐδὲν ὁ ἀρχιδεσμοφύλαξ διὰ Ἰωσήφ.

Τὰ λείψανα τῶν χθὲς ἡμῖν εἰρημένων βουλόμεθα σήμερον ἀποδοῦναι τῇ ὑμετέρᾳ ἀγάπῃ, καὶ τῆς κατὰ τὸν Ἰωσὴφ πάλιν ἱστορίας ἅψασθαι. ἴστε γὰρ ὅτι χθὲς εἰς μῆκος ἡμῖν ἐκταθέντος τοῦ λόγου οὐκ ἰσχύσαμεν περαιτέρω προελθεῖν, ἀλλὰ μέχρις
B ἐκείνου τὸν λόγον ἐστήσαμεν, ἡνίκα διὰ τὴν τῆς Αἰγυπτίας συκοφαντίας ὑπὸ τοῦ ἀρχιμαγείρου εἰς τὸ δεσμωτήριον ἐνεβλήθη. διὸ σήμερον ἀναγκαῖοι διδάξαι τὴν ὑμετέραν ἀγάπην τὰ κατὰ τὸ δεσμωτήριον αὐτῷ συμβεβηκότα. ἐπειδὴ γὰρ ἐνεβλήθη εἰς τὸ ὀχύρωμα, καὶ παρεδόθη τῷ ἀρχιδεσμοφύλακι, κἀκεῖ τοσαύτη γέγονεν εἰς αὐτὸν ἡ παρὰ τοῦ θεοῦ ῥοπὴ, ὡς πᾶσαν τὴν ἀρχὴν τοῦ δεσμωτηρίου αὐτὸν ἐμπιστευθῆναι παρὰ τοῦ ἀρχιδεσμοφύλακος. καὶ οὐκ ἦν γινώσκων, φησὶν, οὐδὲν ὁ ἀρχιδεσμοφύλαξ διὰ Ἰωσήφ.
C εἶδες πῶς ἐν αὐταῖς ταῖς θλίψεσι γινόμενος οὐδεμίαν αἴσθησιν ἐλάμβανε τῶν λυπηρῶν, ἀλλ᾽ ἡ εὐμήχανος τοῦ θεοῦ σοφία πάντα μετέβαλλε τὰ λυπηρά. καὶ καθάπερ τὸν μαργαρίτην κἂν ἐν βορβόρῳ τις καταχώσῃ, τὸ οἰκεῖον κάλλος ἐπιδείκνυται, καὶ οὕτω καὶ ἡ ἀρετὴ, ὅπου δ᾽ ἂν αὐτὴν ἐμβάλῃς, τὴν οἰκείαν δύναμιν ἐπιδείκνυται, κἂν ἐν δουλείᾳ, κἂν ἐν δεσμωτηρίῳ, κἂν ἐν θλίψει, κἂν ἐν ἀνέσει. ἐπεὶ οὖν καὶ ἐν τῷ δεσμωτηρίῳ ἐμβληθεὶς εἷλε τὸν ἀρχιδεσμοφύλακα, καὶ πάντων τῶν αὐτόθι τὴν ἐξουσίαν ἐδέ-
D ξατο παρ᾽ αὐτοῦ, ἴδωμεν καὶ ἐνταῦθα ὅπως τῆς προσούσης αὐτῷ χάριτος ἐκκαλύπτει τὴν ἰσχύν. ἐγένετο γάρ, φησι, μετὰ τὰ ῥήματα ταῦτα. ποῖα; ἅπερ διηγήσατο, μετὰ τὸ συκοφαντηθῆναι, μετὰ τὸ καταδικασθῆναι τὸ δεσμωτήριον οἰκεῖν, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μετὰ τὸ γνωρίσαι ἡμῖν, ὅτι κύριος ἦν μετ᾽ αὐτοῦ, καὶ ὅτι ὁ ἀρχιδεσμοφύλαξ διὰ χειρὸς αὐτοῦ πάντα τὰ αὐτόθι ἐπέτρεψεν οἰκονομεῖσθαι. ἐγένετο οὖν μετὰ τὰ ῥήματα ταῦτα, μετὰ τὸ βληθῆναι αὐτὸν ἐν τῷ δεσμωτηρίῳ, ἁμαρτόντα τὸν ἀρχιοινοχόον, καὶ τὸν ἀρχισιτοποιὸν κατα-

δικασθῆναι ὑπὸ τοῦ βασιλέως τὸ δεσμωτήριον A οἰκεῖν. καὶ δεξάμενος αὐτοὺς ὁ ἀρχιδεσμοφύλαξ συνέστησεν αὐτοὺς τῷ Ἰωσήφ. οὐδὲ γὰρ ὡς δεσμώτῃ λοιπὸν αὐτῷ ἐκέχρητο, ἀλλ' ὡς κοινωνῷ τῆς φροντίδος, μᾶλλον δὲ καὶ ὡς ἱκανῷ ἐπικουφίζειν τὰς συμφορὰς τοῖς αὐτόθι καθειργμένοις. καὶ παρέστη αὐτοῖς, φησί. τί ἐστι τὸ παρέστη αὐτοῖς; ἀντὶ τοῦ, παρεμυθεῖτο, ἀνώρθου αὐτῶν τὸν λογισμὸν, διήγειρεν αὐτῶν τὴν διάνοιαν, οὐ συνεχώρει καταποθῆναι ὑπὸ τῆς ἀθυμίας. ἦσαν δὲ ἡμέρας πολλὰς ἐν τῇ φυλακῇ, καὶ εἶδον ἀμφότεροι ἐνύπνιον ἐν μιᾷ νυκτὶ ὅ τε ἀρχιοινοχόος, καὶ ὁ ἀρχισιτοποιός. ἀλλ' ὁ θαυμάσιος οὗτος ἔργον ποιούμενος τὴν B τούτων παράκλησιν, ἰδὼν αὐτοὺς ὑπὸ τῆς ὄψεως τῶν ὀνειράτων τεταραγμένους καὶ συγκεχυμένους τὴν διάνοιαν, φησι, τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον; ἐδείκνυ γὰρ ἡ τοῦ προσώπου κατάστασις τὴν ἔνδον ταραχήν. διὰ τοῦτο καὶ σοφός τις ἔλεγε, καρδίας εὐφραινομένης θάλλει πρόσωπον· ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει. ἐπεὶ οὖν εἶδεν αὐτοὺς ἐν κατηφείᾳ τυγχάνοντας διὰ τὴν τῶν ὀνειράτων ὄψιν, ἐπυνθάνετο τὴν αἰτίαν μαθεῖν βουλόμενος. ὅρα πῶς καὶ ἐν δεσμωτηρίῳ τυγχάνων τὴν οἰκείαν ἀρετὴν ἐπεδείκνυ- C το, καὶ τὰς ἀθυμίας ἑτέροις ἐπικουφίζειν ἐσπούδαζε. τί οὖν ἐκεῖνοι; ἐνύπνιον, εἴδομεν, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό. ἠγνόουν τοῦ πρὸς αὐτοὺς διαλεγομένου τὴν σοφίαν. ὡς ἑνὶ τῶν πολλῶν αὐτῷ προσεῖχον. διὰ τοῦτο οὐδὲ τὸ ἐνύπνιον λέγουσιν, ἀλλ' ὅτι μόνον εἶδον. καὶ φασιν, οὐδείς ἐστιν ὁ συγκρίνων αὐτό. ἀλλ' ὁ θαυμάσιος ἀνὴρ φησι πρὸς αὐτούς· οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις αὐτῶν ἐστι; διηγήσασθε οὖν μοι. μὴ γὰρ οἴκοθεν ἐπαγγέλλομαί τι ὑμῖν ἐρεῖν; θεός ἐστιν ὁ ἀποκαλύπτων. διηγήσασθε οὖν μοι. ὅρα σύνε- D σιν καὶ ταπεινοφροσύνης ὑπερβολήν. οὐκ εἶπεν, ὅτι ἐγὼ ὑμῖν διακρίνω, ἐγὼ ὑμῖν λέγω τῶν ὀνειράτων τὴν ἔκβασιν, ἀλλὰ τί; διηγήσασθε οὖν μοι. θεὸς γάρ ἐστι μόνος ὁ τὰ τοιαῦτα ἀποκαλύπτων. καὶ διηγήσατο ὁ ἀρχιοινοχόος. καὶ ἀκούσας ὁ Ἰωσὴφ φησι, τοῦτο ἡ σύγκρισις αὐτοῦ. οἱ τρεῖς πυθμένες, τρεῖς ἡμέραι εἰσίν· ἔτι τρεῖς ἡμέραι, καὶ μνησθήσεται Φαραὼ τῆς ἀρχιοινοχοΐας σου, καὶ ἀποκαταστήσει σε, καὶ δώσεις τὸ ποτήριον Φαραὼ εἰς τὴν χεῖρα αὐτοῦ κατὰ τὴν ἀρχήν σου τὴν προτέραν, ὡς ἦσθα

rum, condemnati ſunt à rege, vt in carcerem mitterentur, quos præfectus carceris Ioſepho commendauit. Neque enim vt vincto vſus eſt illo, ſed vt curarum participe, imò vt eo, qui ibi detentorum miſerias ſolari poſſet. *Et aſtitit eis*, inquit. Quid eſt, aſtitit eis? hoc eſt, conſolatus eſt eorum mentes, erexit eorum animos, & non permiſit abſorberi præ triſtitiá. Erant autem diebus multis in carcere, & viderunt vterque inſomnium in nocte vna, præfectus pincernarum, & præfectus piſtorum. Sed beatus ille, cui curæ erat quomodo conſolarentur illi, vt vidit eos ob viſionem inſomniorum turbari, & mente confundi, dicit: [7] *Cur facies veſtræ hodie tam obnubilæ & mœſtæ?* Oſtendebant enim facies eorum intus latentem perturbationem. Propterea & ſapiens quidam dicebat: Corde lætante exhilaratur facies: in triſtitia autem exiſtente, mœret. Igitur quia vidit eos triſtitia affectos propter inſomniorum viſionem, cauſam diſcere volens, rogauit. Vide quomodo & in carcere exiſtens ſuam oſtendit virtutem, & aliorum mœrores alleuiare ſtuduit? Quid igitur illi? [8] *Inſomnium vidimus, & non eſt qui coniectet illud.* Ignorabant ſapientiam eius cum quo loquebantur, ſed quaſi vulgarem aliquem exiſtimabant, & propterea ſomnium ei non dicunt, ſed tantum quòd viderint, & dicunt: Nullus eſt qui coniectet illud. Verùm admirabilis ille vir dicit eis: *Nónne à Deo manifeſtatio eius eſt? Narrate igitur mihi.* Num enim à me promitto vobis aliquid me dicturum? Deus eſt qui reuelat. Narrate igitur mihi. Vide intelligentiam & humilitatis excellētiam: non dixit, Ego vobis diiudico, ego vobis dico ſomniorum euentum. Sed quid? Narrate igitur mihi. Deus enim eſt ſolus, qui talia reuelat. [9] *Et narrauit præfectus pincernarum. Vt autem audiuit Ioſeph, inquit, Hæc eſt interpretatio eius. Tres propagines, tres ſunt dies, & recordabitur Pharao tuæ pincernarum præfecturæ: & hinc reſtituet te, & dabis poculum Pharaoni in manum eius, iuxta priſtinum officium tuum, vt ſolebas vinum, infundens.* [14] *Sed*

Ioſeph curarū particeps præfecti carceris.

Prou. 15. 13.

qui diiudicet diſcernat interpretetur coniectet.

recordare mei per temetipſum, quando tibi bene erit, & facies mihi miſericordiam, & memor eris mei apud Pharaonem, & educes me ex carcere hoc: [15] *quia furtiuè abductus ſum ex terra Hebræorum, & hîc feci nihil, & immiſerunt me in hunc lacum.* Quia prędixerat ei bona euentura, & reconciliandum regem, dicit: Memor eſto mei per temetipſum, quando fœlicitatem tuam obtinueris, mentionem faciendo eius qui hæc tibi prædixit, & facies mihi miſericordiam. Hoc audiens, dilecte, ne condemnes puſillanimitatem iuſti: ſed hac ratione potiſſimum obſtupeſce, quòd cum tam multa eſſent moleſta, tam fortiter & æquo animo tulit illam inhabitationem. Nam licèt magnam à cuſtode carceris poteſtatem accepiſſet, attamen grauabatur in tanto pædore cum ſordidis & ſqualidis agendo. Nam vide quàm bene morata mente fuerit præditus, & quomodo fortiter tulerit omnia, in omnibus magnam declarans animam humilitatem. Et facies, inquit, in me miſericordiam, & recordaberis mei apud Pharaonem, & educes me ex carcere hoc. Attende obſecro hîc quomodo nihil dicat contra ſceleſtam illam adulteram, neque arguat dominum, neque narret fratrum in ſe inhumanitatem, ſed tectis omnibus, dicit: Recordare mei, & fac educi me ex carcere hoc: quia furtim abductus ſum de terra Hebræorum, & hîc nihil feci, & immiſerunt me in lacum hunc. Ne perfunctoriè hoc prætereamus, ſed conſideremus quàm bonis moribus anima eius fuerit prędita, quomodo inuenta oportunitate temporis, & ſciens quòd pręfectus pincernarum in fœlicem ſtatum reſtitutus, poſſet omne negocium ſuum regi ſignificare, non Ægyptiam reprehendit: (iterum enim eadem dicam:) non dominum affert in medium, non fratres, non dicit cauſam propter quam condemnatus ſit in carcerem, neque ſcelus in ſe commiſſum narrat: ſed hôc vnum curat, non vt illos condemnet, ſed vt pro ſe ſolo dicat. Et fratrum quidem cauſam occultauit, dicens: Furto abductus ſum ex terra Hebræorum: quæ au-

Ioſeph obliuiſcitur iniurias.

A οἰνοχόων. ἀλλὰ ἀναμνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ σοι γένηται, καὶ ποιήσεις ἐπ' ἐμὲ ἔλεος, καὶ μνήσθητι περὶ ἐμοῦ πρὸς Φαραώ, καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου, ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, καὶ ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον. ἐπειδὴ προεμήνυσεν αὐτῷ τὰ μέλλοντα αὐτῷ χρηστὰ συμβήσεσθαι, καὶ τὴν καταλλαγὴν τοῦ βασιλέως, φησί, μνήσθητί μου διὰ σεαυτοῦ, ὅταν ἀπολάβῃς σὺ τὴν εὐημερίαν. μνήμην ποίησαι τοῦ σοι ταῦτα προμηνύσαντος, καὶ ποιήσεις ἐπ' ἐμὲ ἔλεος. τοῦτο ἀκούων, ἀγαπητέ, μὴ μικροψυχίαν καταγνῷς τοῦ δικαίου, B ἀλλὰ ταύτῃ μάλιστα ἐκπλάγηθι, ὅτι τοσούτων δυσχερῶν ὄντων τὴν αὐτόθι οἴκησιν γενναίως καὶ εὐχαρίστως ἔφερεν. εἰ γὰρ καὶ πολλάκις τὴν παρὰ τοῦ ἀρχιδεσμοφύλακος ἐξουσίαν εἰλήφει, ἀλλ' ὅμως ἐβαρύνετο τὸ κατακεκλεῖσθαι, καὶ μετὰ τῶν αὐχμώντων καὶ ῥυπώντων εἶναι. ὅρα γὰρ αὐτοῦ καὶ ἐκ τούτου τὴν φιλόσοφον γνώμην· ὅπως μετὰ ἀνδρείας ἔφερεν ἅπαντα, διὰ πάντων πολλὴν τὴν ταπεινοφροσύνην ἐπιδεικνύμενος. καὶ ποιήσεις ἐπ' ἐμὲ ἔλεος, καὶ μνησθήσῃ περὶ ἐμοῦ πρὸς Φαραώ, καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος C τούτου. ἐννόει μοι ἐνταῦθα, πῶς οὐδὲν λέγει κατὰ τῆς μιαρᾶς ἐκείνης μοιχαλίδος, οὐδὲ αἰτιᾶται τὸν δεσπότην, οὐδὲ τὴν τῶν ἀδελφῶν περὶ αὐτὸν ἀπανθρωπίαν διηγεῖται, ἀλλὰ συγκαλύψας πάντα, φησί, μνήσθητί μου, καὶ ποίησον ἐξενεχθῆναί με ἐκ τοῦ ὀχυρώματος τούτου· ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ' ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον. μὴ ἁπλῶς τοῦτο παραδράμωμεν, ἀλλ' ἐννοήσωμεν τῆς ψυχῆς αὐτοῦ τὴν φιλοσοφίαν, καὶ ὅπως καιρὸν εὑρηκὼς τοιοῦτον, καὶ εἰδὼς ὅτι δυνήσεται ἅπαντα ὁ ἀρχιοινοχόος D ἐν εὐημερίᾳ γεγονὼς γνωρίσαι τῷ βασιλεῖ τὰ κατ' αὐτόν, οὐ τὴν Αἰγυπτίαν διαβάλλει (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ) οὐ τὸν δεσπότην ἄγει εἰς μέσον, οὐδὲ τοὺς ἀδελφούς. οὐ λέγει τὴν αἰτίαν, δι' ἣν τὸ δεσμωτήριον οἰκεῖν κατεδικάσθη, οὐδὲ σπουδάζει δεῖξαι τὴν παρανομίαν τὴν εἰς αὐτὸν γεγενημένην· ἀλλ' ἑνὸς μόνου γίνεται, οὐ τοῦ ἐκείνων δηλαδὴ κατηγορῆσαι, ἀλλὰ τοῦ ὑπὲρ ἑαυτοῦ μόνον εἰπεῖν. καὶ τὰ μὲν περὶ τῶν ἀδελφῶν συνεσκίασεν εἰπών, ἐκλάπην ἐκ γῆς Ἑβραίων· τὰ δὲ περὶ τῆς

A Αἰγυπτίας ἐκείνης τῆς ἀκολάστου οὐδὲ εἰς μέσον ἄγει, οὐδὲ τὴν παρὰ τοῦ δεσπότου ἄδικον κατ' αὐτοῦ ἀγανάκτησιν. ἀλλὰ τί φησιν; ὧδε οὐκ ἐποίησα οὐδὲν, ἀλλ' ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον. Ταῦτα ἀκούοντες παιδευώμεθα, ἐπειδὰν ποτὲ τοιούτοις περιπέσωμεν, μὴ ἐκείνους σπουδάζειν περιβάλλειν λοιδορίαις, καὶ τὴν γλῶτταν ἀκονᾷν κατὰ τῆς ἐκείνων κατηγορίας, ἀλλὰ μόνον πράως καὶ ἡμέρως ἑαυτοὺς ἀνευθύνους δεικνύναι, καὶ μιμεῖσθαι τὸν θαυμάσιον τοῦτον, ὅτι οὐδὲ ἐν συμφορᾷ ὢν κατεδέξατο κἂν μέχρι ῥημάτων ἐκπομπεῦσαι τῆς Αἰγυπτίας τὴν ἀσέλγειαν. ἴστε γὰρ ὅτι πολλοὶ πολλάκις καὶ ὑπεύθυνοι ὄντες ἐγκλήμασι, B πολλῇ τῇ ἀναισχυντίᾳ κεχρημένοι τὰ ἑαυτῶν πλημμελήματα ἑτέροις περιάπτειν ἐπιχειροῦσιν. οὗτος δὲ τοῦ ἡλίου φανώτερος τυγχάνων, καὶ δυνάμενος ἅπαντα μετ' ἀληθείας εἰπεῖν, κἀκείνης τὴν μανίαν κατάδηλον ποιῆσαι, καὶ ἑαυτὸν περιφανέστερον ἀποδεῖξαι, οὐδὲν ἐκείνων εἰς μέσον ἄγει. οὐδὲ γὰρ τὴν παρὰ τῶν ἀνθρώπων ἐθηρᾶτο δόξαν, ἀλλ' ἤρκειτο τῇ ἄνωθεν εὐνοίᾳ, καὶ τὸν ἀκοίμητον ἐκεῖνον μόνον ὀφθαλμὸν ἐβούλετο ἐπαινέτην ἔχειν τῶν γινομένων. διὸ καὶ σιγῶντος αὐτοῦ καὶ πάντα κρύπτειν ἐπιχειροῦντος, C ὁ φιλάνθρωπος δεσπότης εἰς τοσαύτην αὐτὸν περιφάνειαν ἤγαγεν, ὅτε καλῶς εἶδε τὸν ἀθλητὴν ἀγωνισάμενον. πῶς δὲ μάθωμεν καὶ ἐκ τῶν μετὰ ταῦτα γινομένων τὴν ὑπομονὴν τοῦ ἀνδρὸς, καὶ ὅπως πρὸς τὴν μέλλησιν οὐκ ἐδυσχέραινεν, οὐδὲ ἀπεδυσπέτησεν· ἀλλὰ μετὰ πολλῆς τῆς προθυμίας ἅπαντα φέρων, ηὐχαρίστει τῷ ταῦτα συγχωροῦντι γίνεσθαι δεσπότῃ. Ταῦτα ἀκούσας ὁ ἀρχισιτοποιὸς, καὶ νομίσας καὶ τὸ αὐτοῦ ὄναρ χρηστόν τι αὐτῷ προμηνύειν, διηγεῖται αὐτῷ τὴν τοῦ ὀνείρου ὄψιν. ἀλλ' ἀκούσας ὁ Ἰωσὴφ, καὶ ἐκ τῆς ἄνωθεν ἀποκαλύψεως καὶ τὴν τούτου D σύγκρισιν δεξάμενος, προμηνύει αὐτῷ τὸν μέλλοντα αὐτὸν καταλήψεσθαι ὄλεθρον, καί φησιν, ἔτι τρεῖς ἡμέραι, καὶ ἀφελεῖ Φαραὼ τὴν κεφαλήν σου ἀπὸ σοῦ, καὶ κρεμάσει σε ἐπὶ ξύλου, καὶ φάγεται τὰ ὄρνεα τοῦ οὐρανοῦ τὰς σάρκας σου ἀπὸ σοῦ. διὰ τοῦτο προλαβὼν εἶπον, φησὶν, ὅτι οὐκ ἀπ' ἐμαυτοῦ ταῦτα ὑμῖν προμηνύω, ἀλλ' ἅπερ ἂν ὁ θεὸς ἀποκαλύψῃ· ἵνα κἂν χρηστόν τι ὑποφαίνῃ τῶν ὀνειράτων ἡ ὄψις, κἂν τὸ ἐναντίον, μὴ ἐμοὶ λογίσησθε. οὐ γὰρ οἴκοθεν ταῦτα φθέγγομαι, ἀλλ' ἐκεῖνα ὑμῖν διασαφῶ, ἅπερ ἂν ἡ ἄνωθεν χάρις κατάδηλα

tem Ægyptia illa fecerat, non profert in medium, neque iniuſtam domini ſui erga ſe indignationem Sed quid dicit? hîc feci nihil, & immiſerunt me in carcerem hunc. Hæc audientes, diſcamus, ſi in talia inciderimus, vt caueamus conuiciis illos, qui nos iniecerunt, inceſſere, & ad accuſationem illorum linguam acuere: ſed ſolùm demonſtremus in manſuetudine & lenitate nos innoxios: & imitemur illum admirabilem, quia neque in calamitate exiſtens voluit vel verbis petulantiam & libidinem Ægyptiæ inuulgare. Scitis enim, quòd multi criminibus etiam obnoxij, magna impudentia in alios ſua delicta transferre nituntur: hic autem ſole clarior exiſtens, & qui poterat omnia cum veritate dicere, & illius inſaniam manifeſtam facere, & ſemetipſum clariorem demonſtrare, nihil illorum in medium affert. Neque enim humanam venabatur gloriam, ſed ſufficiebat ei beneuolentia ſuperna, & oculum illum, qui non dormit, habere volebat laudatorem factorum ſuorum. Ideo ſilente eo, & omnia obtegere moliente, clemens dominus in tantam eum gloriam perduxit, quando vidit athletam ſuum rectè certaſſe Iam autem diſcamus & ex his quæ poſtea ſequuntur viri ſuſtinentiam, & quomodo non grauatim fert dilationem: neque à ſua alacritate excidit, ſed æquo animo omnia fert, & promptè gratias agit domino ſuo, qui hæc fieri permittebat. His auditis, princeps piſtorum ratus & ſuum ſibi ſomnium boni aliquid pręſignare, narrat ei ſomnij viſionem. Quod vt audiit Ioſeph, accepta etiã ex ſuperna reuelatione eius interpretatione, prędicit illi interitũ imminentem, & dicit:[19] *Aduc tres dies, & auferet Pharao caput tuum à te, & ſuſpendet te in ligno, & comedent volucres cæli carnes tuas à te.* Propter hoc prius dicebã, inquit, quòd non à meipſo vobis prędico, ſed quęcunq; Deus reuelauerit: vt ſiue bonum aliquid, ſiue malum pręſignet ſomniorum viſio, non mihi aſcribatis. Non enim à me hæc loquor, ſed illa vobis declaro, quæcunque ſuperna gratia mihi

Deo gratias agit Ioſeph afflictus.

manifeſtarit. Cæterum cùm adeſſent ſtatuti dies, opere impleta ſunt quæ Ioſeph dixerat: & ſicut ipſe interpretatus erat, ita contigit vtriq; & ille quidem ad priſtinam rediit fœlicitatem, hic autem pœnam luit. Porro pręfectus pincernarũ, qui tantam conſolationẽ acceperat, [23] *non eſt recordatus Ioſeph, ſed oblitus eſt eius.* Vide iterum iuſtum in palæſtra aliqua certamen, & ſuæ virtutis exibentem ſpecimina, non perturbari, neque commoueri, neque ægrè ferre. Nam ſi quis ex vulgaribus fuiſſet, dixiſſet fortaſſis ita intra ſe: Quid hoc rei? præfectus pincernarum mox vt interpretatus ſum ei ſomniorum viſionem, priſtinam fœlicitatem accepit: & non eſt memor eius qui ſibi prædixit. Ille quidem ſolita fœlicitate fruitur, ego autem, qui nihil mali operatus ſum, hîc concludor cum homicidis, cum furibus, cum latronibus, cum his qui innumera mala commiſerunt. Nihil horum vel dixit, vel cogitauit: ſciebat enim quod amplius ſibi ſtadiũ pararetur, in quo decertandũ eſſet, vt legitimè certando clariori redimiretur corona. Conſidera enim, quomodo poſt reſtitutionem illius duo anni præterierint. Oportebat enim expectari tempus opportunum, vt maiori cum gloria inde educeretur. Si enim præfectus pincernarum ante ſomnia Pharaonis recordatus eum ſubſidio ſuo liberaſſet, fortaſſis non tam perſpicua fuiſſet aliis eius virtus. Nunc autem ſolers & ſapiens Deus ſciens, ſicut optimus artifex, quanto tempore in igne debeat aurum teneri, & iterum inde reduci, permittit ad tempus duorum annorum præfectum pincernarum illius obliuiſci, vt & tempus ſomniorum Pharaonis veniat, & compellente neceſſitate ipſa, iuſtus ille in toto regno Pharaonis notus fiat.

CAPVT. XLI.

[1] *Nam poſt duos annos,* [8] *vidit,* inquit, *ſomnia Pharao: & factum eſt mane, & turbata eſt anima eius. Et miſit, & vocauit omnes coniectores Aegypti, & omnes ſapientes ſuos, & narrauit eis Pharao ſomnium, & non erat annuncians illud Pharaoni.* Vide multiplicem Dei diſpenſationem; prius permittit omnes qui ibi habebantur ſapientes, tentari,

A ποιήσῃ. ἀλλὰ τῆς προθεσμίας ἐπιστάσης εἰς ἔργον ἐξῆλθε τὰ παρὰ τοῦ Ἰωσὴφ εἰρημένα, καὶ καθὰ αὐτοὺς συνέκρινεν, οὕτω γέγονεν ἀμφοτέροις, καὶ ὃς μὲν εἰς τὴν προτέραν ἐπανῆλθεν δυναστείαν, ὃς δὲ τὴν τιμωρίαν ἐδέξατο. ἀλλ' ὁ ἀρχιοινοχόος, ὁ τοσαῦτα παρακληθεὶς, οὐκ ἐμνήσθη, φησὶ, τοῦ Ἰωσὴφ, ἀλλ' ἐπελάθετο αὐτοῦ. ὅρα πάλιν τὸν δίκαιον, καθάπερ ἐν γυμνασίῳ τινὶ καὶ παλαίστρᾳ ἀγωνιζόμενον, καὶ τῆς οἰκείας ἀρετῆς ἀπόδειξιν παρεχόμενον, καὶ οὐδεμίαν ταραχὴν ὑπομένοντα, οὐδὲ θορυβούμενον οὐδὲ δυσχεραίνοντα. εἶπε γὰρ ἂν ἄλλος πρὸς ἑαυτὸν ἴσως, εἰ τῶν πολλῶν τις εἰς ἦν· τί τοῦ-

B το; ὁ μὲν ἀρχιοινοχόος, καθὰ συνέκρινα αὐτῷ τοῦ ὀνείρου τὴν ὄψιν, ἀπέλαβε μετὰ τοσαύτης ταχύτητος τὴν προτέραν δυναστείαν, καὶ οὐδὲ μνήμην ἐποιήσατο ἐμοῦ τοῦ προμηνύσαντος. ἀλλ' ἐκεῖνος μὲν ἐστιν ἐν ἀνέσει τοσαύτῃ· ἐγὼ δὲ ὁ μηδὲν χαλεπὸν ἐργασάμενος ἐνταῦθα κατακέκλεισμαι μετὰ ἀνδροφόνων, μετὰ τυμβωρύχων, μετὰ λῃστῶν, μετὰ τῶν μυρία ἐργασαμένων κακά. οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν. ᾔδει γὰρ, ὅτι καὶ τὰ σκάμματα αὐτῷ μακρότερα ἐγίνετο, ἵνα νομίμως ἀγωνισάμενος λαμπρὸν ἀναδήσηται τὸν στέφανον. σκό-

C πει γάρ μοι, μετὰ τὴν ἀποκατάστασιν ἐκείνου, φησὶ, δύο ἔτη πλῆθος ἡμερῶν. ἔδει γὰρ ἀναμεῖναι τὸν καιρὸν τὸν ἐπιτήδειον, ὥστε μετὰ περιφανείας αὐτῷ γενέσθαι τὴν ἐκεῖθεν ἔξοδον. εἰ μὲν γὰρ πρὸ τῶν ὀνειράτων τοῦ Φαραὼ ὑπομνησθεὶς ὁ ἀρχιοινοχόος διὰ τῆς οἰκείας πρεσβείας αὐτὸν ἠλευθέρωσε τοῦ δεσμωτηρίου, ἴσως οὐδὲ κατάδηλος ἔμελλεν αὐτοῦ γίνεσθαι τοῖς πολλοῖς ἡ ἀρετή. νυνὶ δὲ εἰδὼς ὁ δημιουργὸς ὁ σοφὸς δεσπότης, καθάπερ τεχνίτης ἄριστος, ὅσον προσῆκει χρόνον τὸ χρυσίον ὁμιλῆσαι τῷ πυρὶ, καὶ πότε αὐτὸ χρὴ ἐκεῖθεν ἀνελέσθαι, συγ-

D χωρεῖ τὸν χρόνον τῶν δύο ἐτῶν λήθην ἐγγενέσθαι τῷ ἀρχιοινοχόῳ, ἵνα καὶ ὁ καιρὸς τῶν ὀνειράτων τοῦ Φαραὼ φθάσῃ, καὶ τῆς ἀνάγκης αὐτῆς συνελαυνούσης πάσῃ τῇ βασιλείᾳ τοῦ Φαραὼ γνώριμος γένηται ὁ δίκαιος. μετὰ γὰρ τὰ δύο ἔτη εἶδε, φησὶ, τὰ ὀνείρατα ὁ Φαραώ. καὶ ἐγένετο πρωῒ, καὶ ἐταράχθη ἡ ψυχὴ αὐτοῦ. καὶ ἀποστείλας ἐκάλεσε πάντας τοὺς ἐξηγητὰς τῆς Αἰγύπτου, καὶ πάντας τοὺς σοφοὺς αὐτῆς, καὶ διηγήσατο αὐτοῖς Φαραὼ τὸ ἐνύπνιον, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων αὐτὸ τῷ Φαραώ. ὅρα τὴν πολλὴν τοῦ θεοῦ οἰκονομίαν. πρότερον συγχωρεῖ πάντων τῶν αὐτόθι νομιζομένων σοφῶν πεῖραν αὐτὸν λαβεῖν,

ἵνα ὅταν δειχθῇ ἡ ἐκείνων ἄγνοια, τότε ὁ δεσμώτης, ὁ αἰχμάλωτος, ὁ δοῦλος, ὁ Ἑβραῖος, εἰς μέσον ἀχθεὶς, καὶ τὰ τοῖς πολλοῖς λανθάνοντα γνώριμα καταστήσας, πρόδηλον ἅπασι κατασκευάσῃ γενέσθαι τὴν ἄνωθεν αὐτοῦ ἐπανθοῦσαν χάριν. ὅτε οὖν ἅπαντες οἱ σοφοὶ παραγενόμενοι οὐδὲν εἰπεῖν ἠδυνήθησαν, οὐδὲ διᾶραι τὸ στόμα ἴσχυσαν, τότε ὁ ἀρχιοινοχόος εἰς μνήμην ἐλθὼν ὑπομιμνήσκει τὸν Φαραὼ τῶν εἰς ἑαυτὸν συμβεβηκότων, καὶ φησι, τὴν ἁμαρτίαν μου ἀναμιμνήσκω σήμερον. καὶ διηγεῖται αὐτίκα, ὅπως ἡνίκα εἰς τὸ δεσμωτήριον ἐνεβλήθη αὐτὸς, καὶ ὁ ἀρχισιτοποιὸς, καὶ ἐθεάσαντο τὰ ὀνείρατα, καὶ τὴν σύγκρισιν ἐδέξαντο παρὰ τοῦ Ἰωσήφ· ὅτι κατὰ τὴν ἐκείνου πρόρρησιν ἅπαντα αὐτοῖς εἰς ἔργον ἐξῆλθε. ταῦτα ἀκούσας ὁ βασιλεὺς μετεπέμψατο τὸν Ἰωσὴφ, καὶ ἐξήγαγεν αὐτὸν ἐκ τοῦ ὀχυρώματος, καὶ ἐξύρησαν αὐτὸν, καὶ ἤλλαξαν τὴν στολὴν αὐτοῦ, καὶ εἰσῆλθε πρὸς Φαραώ. ὅρα εὐθέως καὶ ἐκ προοιμίων λοιπὸν πόση ἡ τιμὴ, ἐπειδὴ ἐκαθαρίσθη καλῶς διὰ τῆς ὑπομονῆς, καὶ καθάπερ χρυσίον φαιδρυνόμενον ἐξῆλθεν ἐκ τοῦ δεσμωτηρίου, καὶ ἤγετο πρὸς Φαραώ. εἶδες πόσον ἐστὶ τὸ ὑπὸ τῆς ἄνωθεν βοηθεῖσθαι ῥοπῆς. ὅρα πόσα ᾠκονομήθη, ἵνα τὰ κατὰ τὸν Ἰωσὴφ εἰς ἔργον ἐξέλθῃ. ἐπειδὴ γὰρ τὸν μέγιστον ἐκεῖνον ἆθλον ἠγωνίσατο τῆς μιαρᾶς ἐκείνης Αἰγυπτίας τὰ δίκτυα διαφυγὼν, καὶ εἰς τὸ δεσμωτήριον ἐνεβλήθη, συνεχωρήθη τὸν ἀρχιοινοχόον καὶ τὸν ἀρχισιτοποιὸν τοῦ Φαραὼ κατ' ἐκεῖνον τὸν καιρὸν ἐκεῖσε ἐμβληθῆναι, καὶ διὰ τῆς συγκρίσεως τῶν ὀνειράτων μαθεῖν τοῦ ἀνδρὸς τὴν σοφίαν, ἵνα νῦν ἐν καιρῷ μνήμην αὐτοῦ ποιησάμενος εἰς μέσον αὐτὸν ἀγάγῃ. εἶπε δὲ, φησι, Φαραὼ πρὸς τὸν Ἰωσήφ· ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό. ἐγὼ δὲ ἀκήκοα περὶ σοῦ λεγόντων, ἀκούσαντά σε ἐνύπνια, συγκρῖναι αὐτά. ὅρα πῶς αἰσχυνόμενος ὁ Φαραὼ οὐ λέγει φανερῶς, ὅτι οὐδεὶς τῶν παρ' ἐμοὶ σοφῶν ἴσχυσε διακρῖναι τὰ ὀνείρατα. ἀλλὰ τί; ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό. ἀκήκοα δὲ περὶ σοῦ λεγόντων, ἀκούσαντά σε ἐνύπνια, συγκρῖναι αὐτά. σκόπει μοι καὶ ἐνταῦθα τοῦ Ἰωσὴφ τὴν σύνεσιν καὶ τὴν πολλὴν εὐλάβειαν, ὅπως ἀποκρίνεται τῷ Φαραώ. μὴ ὑποπτεύσῃς, φησὶν, ἐμέ τι οἴκοθεν φθέγγεσθαι, ἢ ἀπὸ ἀνθρωπίνης σοφίας ταῦτα διακρίνειν. οὐδὲ γὰρ οἷόν τε ἄνευ τῆς ἄνωθεν ἀποκαλύψεως τὴν γνῶσιν τούτων καταλαβεῖν. ἴσθι τοίνυν ὅτι ἄνευ τοῦ θεοῦ

A vt monſtraretur eorum ignorantia: & tandem hic vinctus, captiuus, ſeruus, Hebræus in medium adductus eſt, & nota facit multis ignota, quò omnibus manifeſtetur ſuperna gratia in illo refulgens. Cùm igitur omnes ſapientes veniſſent, & neque dicere aliquid, neque os aperire poſſent: tunc princeps pincernarum recordatus recenſuit Pharaoni ea quæ ſibi in carcere contigerant, & inquit: [9] *Peccatum meum reminiſcor hodie.* Et narrat ſtatim quomodo in carcerem coniectus ſit ipſe, & præfectus piſtorum: & viderint ſomnia, &
B interpretationē eorum à Ioſeph acceperint, & quòd iuxta illius prædictionem ipſis euenerint omnia. [14] *Hæc cùm audiſſet rex, miſit ad Ioſeph, & eduxit eum ex carcere, & totonderunt eum, & mutauerunt veſtimentum eius, & intrauit ad Pharonem.* Vide ſtatim ab initio quantus nunc honor. Poſtquam enim purgatus eſt per patientiam, ſicut aurum rutilans exiit de carcere, & ductus eſt ad Pharaonem. Vidiſti quantum ſit à ſuperna gratia adiuuari? Vide nunc quanta diſpen-
C ſata ſint, vt res Ioſephi complerentur. Nam poſtquam ſummum illud certamen certaſſet, & ſceleſtæ illius Ægyptię pedicas effugiſſet, & in carcerem cõiectus eſſet, permiſit vt prędfectus pincernarũ & præfectus piſtorũ Pharaonis per illud tẽpus in carcerẽ illũ iniicerẽtur, & per interpretationẽ ſomniorũ diſcerẽt viri ſapiẽtiam, vt eorum alter nũc tempeſtiuè illius mentionẽ faciens, eum in medium proferret. [15] *Dixit autem,* inquit, *Pharao ad Ioſeph: Somnium vidi, & non eſt qui interpretetur illud: ego autẽ audiui de te dicẽtes, quod cũ audieris ſomnia, ipſa interpreteris.*
D Vide quomodo confuſus Pharao, nõ dicit manifeſtè, quòd nullus ſuorũ ſapientium potuerit diiudicare ſomnia. Sed quid? Somniũ vidi, & nõ eſt qui interpretetur illud. Audiui autẽ de te dicẽtes, ꝙ ſi audieris ſomnia, ipſa interpreteris. Cõſidera, obſecro, hic magnã prudentiã & pietatẽ Ioſeph, quomodo Pharaoni reſpõdeat. Ne ſuſpiceris, inquit, me aliquid à me dicturũ, vel iuxta humanã ſapiẽtiã diiudicaturũ. Neq. enim poſſibile eſt ſine reuelatione, quæ ſupnè venit, taliũ notitiã habere. Scias

igitur, quòd abſque Deo non reſpondebitur, quod ſalutare Pharaoni. Cognoſce igitur quòd omnium dominus eſt qui reuelat, & noli ab omnibus quærere, quæ ſolius Dei eſt manifeſtare. Vide quomodo reſponſo ſuo docet Pharaonem, quàm ſint infirmi & inutiles ſapientes eius, & quanta ſit potentia Dei. Igitur quoniam cognouiſti ex me, quòd neque ex humana ſapientia, neque ex propriis rationibus hæc loquor, dic quæ à Deo tibi manifeſtata. Pharao vbi hæc audiit, narrat ſomnia & primum, & ſecundum, & inquit: [24] *Dixi coniectoribus, & non erat qui annunciaret mihi.* Non audiſtis, inquit, à me, quòd non eſt humanæ ſapientiæ talia ſignificare? Ne igitur illis ſuccenſeas: nunquam enim poterunt talia comprehendere, quæ ſunt ſolius reuelationis, quæ ſupernè datur. [25] *Et dixit Ioſeph,* inquit, *Inſomnium Pharaonis vnum eſt:* [32] *vt autem credas, quod verum erit, quod à Deo tibi præſignatum eſt, & quod accelerabit Deus iſtud facere, repetitum eſt ſecundò.* Repetitio enim, inquit, confirmatio eſt viſorum, & copioſior probatio, quòd omnino hæc futura ſint. Et poſtquam diiudicauit numerum ſeptem boum, & ſeptem ſpicarum, & dixit magnam futuram abundantiam, & quòd hanc grauis ſecutura ſit fames, conſequenter & optimum cõſilium affert, & dicit: Conſtitue virum ſuper Ægyptum, qui poſſit colligere fertilitatem ſeptem annorum, ac ſic diſpenſare, vt poſſimus in tempore famis ſolatium inuenire, & non fiat omnimoda conſumptio. [37] *Placuerunt hæc Pharaoni, & omnibus ſeruis eius.* Et nunc ſeruit Pharao impletioni ſomniorum Ioſeph, quæ viderat quando apud patrem agebat. Et ipſe quidem ſomnia Pharaonis diiudicabat. Pharao autem ad finem ſomniorum euentum ducebat, ignorans. Nam vt hæc audiuit, dixit ſeruis ſuis: [38] *Num inueniemus hominem talem, qui habet ſpiritum Dei in ſemetipſo?* Vidiſti quomodo cognouit & ipſe, quòd ex ſuperna relatione hæc ei manifeſtata fuerint? Quomodo enim, inquit, inuenire poterimus, qui tantum conſecutus ſit gratiam, vt ſpiritum Dei in ſe ha-

Quanta Dei ſit potẽtia.

A οὐκ οἷόν τέ με ἀποκριθῆναί σοι. ἀλλὰ γὰρ, φησὶ, τοῦ θεοῦ οὐκ ἀποκριθήσεται τὸ σωτήριον τοῦ Φαραώ. μαθὼν τοίνυν, ὡς ὁ τῶν ἁπάντων δεσπότης ἐστὶν ὁ ταῦτα ἀποκαλύπτων, μὴ παρὰ ἀνθρώπων ζήτει ταῦτα, ἃ μόνου, φησὶ, τοῦ θεοῦ ἐστιν εἰς φανερὸν ἄγειν. ὅρα πῶς διὰ τῆς ἀποκρίσεως παιδεύει τὸν Φαραὼ εἰδέναι καὶ τῶν παρ' αὐτοῦ σοφῶν τὴν ἀσθένειαν, καὶ τοῦ δεσπότου τὴν δύναμιν. ἐπεὶ οὖν ἔγνως παρ' ἐμοῦ, ὅτι οὐκ ἀπὸ σοφίας ἀνθρωπίνης ταῦτα φθέγγομαι, οὐδὲ ἐξ οἰκείων λογισμῶν· λέγε τὰ παρὰ τοῦ θεοῦ σοι μηνυθέντα. ταῦτα ἀκούσας ὁ Φαραὼ διηγεῖται B τὰ ἐνύπνια, καὶ τὸ πρῶτον, καὶ τὸ δεύτερον. καί φησιν, εἶπα τοῖς ἐξηγηταῖς, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων μοι. οὐκ ἤκουσας, φησὶ, καὶ παρ' ἐμοῦ, ὅτι οὐκ ἔστι τὸ ταῦτα γνωρίζειν τῆς ἀνθρωπίνης σοφίας; μὴ τοίνυν ἐκείνοις καταμέμφου· οὐδὲ γὰρ ἂν ἴσχυσάν ποτε ταῦτα καταλαβεῖν, ἃ τῆς ἄνωθεν δεῖται ἀποκαλύψεως. καὶ εἶπε, φησὶν, Ἰωσήφ· τὸ ἐνύπνιον Φαραὼ ἕν ἐστι. ἵνα δὲ πιστεύσῃς, ὅτι ἀληθὲς ἔσται τὸ παρὰ τοῦ θεοῦ σοι μηνυθὲν, δεύτερον ἀνηνέχθη τὸ αὐτό σε θεάσασθαι, καὶ ὅτι ταχυνεῖ ὁ θεὸς τοῦ ποιῆσαι αὐτό. ἡ δευτέρωσις, φησὶ, βε- C βαίωσίς ἐστι τῶν φανέντων, καὶ πληροφορία, ὅτι πάντως ταῦτα γενήσεται. καὶ ἐπειδὴ διέκρινε τὸν ἀριθμὸν τῶν ἑπτὰ βοῶν καὶ τῶν ἑπτὰ σταχύων, εἰπὼν εὐθηνίαν μεγάλην ἔσεσθαι, καὶ ταύτην λιμὸν διαδέξεσθαι χαλεπὸν, λοιπὸν καὶ συμβουλὴν εἰσάγει ἀρίστην, καί φησι· κατάστησον ἄνδρα ἐπὶ τῆς Αἰγύπτου, ὃς δυνήσεται τῶν ἑπτὰ ἐτῶν τῆς εὐθηνίας τὰ γεννήματα συναγαγὼν οὕτως οἰκονομῆσαι, ὡς δυνηθῆναι ἐν τῷ καιρῷ τοῦ λιμοῦ παραμυθίαν εὑρέσθαι, καὶ μὴ παντελῆ γενέσθαι τὸν ἀφανισμόν. ἤρεσε ταῦτα τῷ Φαραὼ, D καὶ πᾶσι τοῖς παισὶν αὐτοῦ. καὶ λοιπὸν ὑπηρετεῖ ὁ Φαραὼ τῇ ἐκβάσει τῶν ὀνειράτων τοῦ Ἰωσὴφ, ὧν ἐθεάσατο ἡνίκα παρὰ τῷ πατρὶ διῆγε. καὶ αὐτὸς μὲν τὰ ὀνείρατα τοῦ Φαραὼ διέκρινεν· ὁ δὲ Φαραὼ εἰς τέλος ἦγε τῶν ὀνειράτων τὴν ἔκβασιν ἀγνοῶν. ἀκούσας γὰρ ταῦτά φησιν, εἶπε τοῖς παισὶν αὐτοῦ, μὴ εὑρήσομεν ἄνθρωπον τοιοῦτον, ὃς ἔχει πνεῦμα θεοῦ ἐν ἑαυτῷ; εἶδες πῶς ἔγνω καὶ αὐτὸς ὅτι ἐκ τῆς ἄνωθεν ἀποκαλύψεως αὐτῷ ταῦτα κατάδηλα γέγονε; τίνα γὰρ, φησὶν, εὑρήσομεν, ὃς τοιαύτης ἠξίωται χάριτος ὡς πνεῦμα θεοῦ ἔχειν ἐν ἑαυτῷ;

καὶ εἶπε τῷ Ἰωσήφ· ἐπειδὴ ἔδειξέ σοι ὁ θεὸς πάντα ταῦτα, οὐκ ἔστιν ἄνθρωπος φρονιμώτερός σου. σκόπει ἐνταῦθα πῶς, ὅταν βούληται ὁ εὐμήχανος θεὸς εἰς ἔργον ἀγαγεῖν τὰ αὐτῷ δόξαντα, οὐδὲν τῶν ἐν τῷ μέσῳ συμβαινόντων κώλυμα γενέσθαι δύναται. ἰδοὺ γάρ· καὶ σφαγὴ σχεδὸν, ὡς εἰπεῖν, ὑπὸ τῶν ἀδελφῶν γέγονε, καὶ πρᾶσις, καὶ κατηγορία περὶ αὐτὸν ἔσχατον ἐπάγουσα κίνδυνον, καὶ δεσμωτήριον ἐπὶ τοσοῦτον χρόνον, καὶ μετὰ ταῦτα ἅπαντα εἰς αὐτὸν ἀνηνέχθη, σχεδὸν εἰπεῖν, τὸν θρόνον τὸν βασιλικόν. ἐπειδὴ ἔδειξέ σοι ὁ θεὸς πάντα ταῦτα, οὐκ ἔστιν ἄνθρωπος φρονιμώτερός σου καὶ συνετώτερος. σὺ οὖν ἔσῃ ἐπὶ τῷ οἴκῳ μου, καὶ ἐπὶ τῷ στόματί σου ἐπακούσεται πᾶς ὁ λαός, πλὴν τὸν θρόνον ὑπερέξω σου ἐγώ. ὅρα πῶς ἀθρόον ὁ δεσμώτης βασιλεὺς καθίσταται πάσης τῆς Αἰγύπτου, καὶ ὁ ὑπὸ τοῦ ἀρχιμαγείρου εἰς τὸ δεσμωτήριον εἰσαχθεὶς, ὑπὸ τοῦ βασιλέως εἰς αὐτὴν ἀνάγεται τὴν ἀνωτάτω τιμήν· καὶ ὁ γενόμενος αὐτοῦ δεσπότης ἐξαίφνης ἑώρα, ὃν ὡς μοιχὸν εἰς τὸ δεσμωτήριον ἐμβεβλήκει, τὴν ἀρχὴν πάσης Αἰγύπτου δεξάμενον; εἶδες πόσον ἐστὶ τὸ φέρειν εὐχαρίστως τοὺς πειρασμούς; διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. ὅρα οὖν, τὰς θλίψεις μεθ' ὑπομονῆς ἤνεγκεν· ἡ ὑπομονὴ δόκιμον αὐτὸν ἀπειργάσατο· δόκιμος γινόμενος ἐλπίζων διετέλει· ἡ ἐλπὶς οὐ κατῄσχυνεν. Εἶπε δὲ πρὸς αὐτόν· ἰδοὺ καθίστημί σε σήμερον ἐπὶ πάσης γῆς Αἰγύπτου. καὶ περιελόμενος Φαραὼ τὸν δακτύλιον ἀπὸ τῆς χειρὸς αὐτοῦ, περιέθηκεν αὐτὸν ἐπὶ τὴν χεῖρα Ἰωσήφ, καὶ ἐνέδυσεν αὐτὸν στολὴν βυσσίνην, καὶ περιέθηκε κλοιὸν χρυσοῦν περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸ ἅρμα τὸ δεύτερον αὐτοῦ, καὶ ἐκήρυξεν ἔμπροσθεν αὐτοῦ κῆρυξ, καὶ κατέστησεν αὐτὸν ἐφ' ὅλης τῆς Αἰγύπτου. ἐπειδὴ γὰρ τὸν θεὸν εἶχε μεθ' ἑαυτοῦ, οὗτος αὐτῷ ταῦτα πάντα προηυτρέπισε καὶ εἰς τὴν περιφάνειαν αὐτὸν ταύτην ἀνήγαγεν. Εἶπε δὲ Φαραὼ, ἄνευ σοῦ οὐδεὶς ἐξαρεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ πάσῃ γῇ Αἰγύπτου. καὶ ἐκάλεσε Φαραὼ τὸ ὄνομα Ἰωσήφ, Ψομθομφανήχ, διὰ τῆς προσηγορίας τοῦ ὀνόματος διηνεκῆ τὴν μνήμην βουλόμενος ἐναποθέσθαι τῆς ἐνυπαρχούσης αὐτῷ σοφίας. τοῦτο γὰρ ἑρμηνεύει, τῶν κρυπτῶν γνώστης. ἐπειδὴ γὰρ τὰ πᾶσιν ἄγνωστα εἰς φανερὸν ἤγαγε, σημαίνων τοῦτο αὐτὸ ὁ Φαραὼ τὴν προσηγορίαν αὐτῷ ἐπιτίθησι, καὶ ἐπιδαψιλευόμενος τῇ τιμῇ.

A beat? 39 *Et dixit*, inquit, *ad Ioſeph: Quia monſtrauit tibi Deus omnia hæc, non eſt homo prudentior quàm tu.* Attende hîc, quomodo, quandocunque voluerit prouidus Deus opere complere quæ ſibi viſa fuerint, nihil eorum quæ in medio obſtare videntur, impedire poteſt. Ecce enim à fratribus factus erat, vt ita dicam, propè hoſtia, & ſemel atque iterum venalis, & acceſſerat calumnia in extremũ periculum adducens, & in carcerem tanto tẽpore, & poſt hæc omnia ad ipſum propè dixerim regis thronum euectus eſt. *Quoniam oſtendit tibi Deus hæc omnia,*
B *non eſt homo prudentior & intelligentior te,* 40 *Tu igitur eris ſuper domum meam, & in ore tuo obediet omnis populus: verumtamen throno ego te antecellam.* Vide quomodo captiuus repente conſtituitur rex totius Ægypti, & qui ab archimagiro in carcerem cõiectus eſt, à rege in ſummum locum exaltatus eſt, & qui fuerat eius dominus, repentè vidit quem vt adulterum in carcerem miſerat, totius Ægypti ſuſcepiſſe imperium. Vidiſti quantum ſit, ferre cum gratia-
C rum actione tentationes? Propterea & Paulus dicebat, Afflictio patientiam operatur, patientia probationem, probatio ſpem, ſpes non pudefacit. Vide igitur, afflictiones patienter tulit, patientia probatum eum fecit, probatus factus in magna ſpe agebat, ſpes non pudefecit. 41 *Dixit autem ad eum: Ecce conſtituo te hodie ſuper omnem terram AEgypti.* 42 *Et Pharao, ablato annulo de manu ſua, poſuit eum in manu Ioſeph, induítque cum veſte byſſina, & circumdedit collũ eius torque aureo,* 43 *& fecit eum aſcendere ſuper currum*
D *ſuum ſecundum. Et promulgauit coram eo præco, & conſtituit eum ſuper totam AEgyptum.* Nam Deus quem habebat ſecum, ei omnia bene diſpoſuit, & eum in tantam claritudinem euexit. 44 *Dixit autem Pharao: Abſque te nullus leuauit manum ſuam in omni terra AEgypti. Et vocauit Pharao nomen Ioſeph Pſomthomphanech.* Appellatione nominis volens ſapientiam eius perpetua memoria teſtatam: hoc enim ſignificat occultorum cognitor: eò quòd omnibus occulta manifeſtauit, propterea ex his quæ facta ſunt, appellationem ei imponit.

Nihil impedit decretũ Dei.

Quantũ ſit ferre cũ gratiarum actione tẽtationes.

Rom. 5. 4.

Et vt accumulet honorem, dat ei filiam Petephræ in vxorem. Deinde quia iſte eiuſdem nominis erat cum eo, qui dominus eius fuerat, dicit ſacerdotis Heliopoleos. Et vt dïſcamus, in qua ætate fuerit admirabilis ille, qui tantum aſſecutus eſt mercedem, & tanta certamina oſtendit, inquit: 48 *Ioſeph autem erat triginta annorum, quando ſtetit coram Pharaone.* Ne temerè putemus aſſignatum eſſe numerum annorum, ſed diſcamus quòd negligenti virtutem nulla ſit excuſatio: neque enim licet, alicui obiicere iuuentutem, vbi virtus exercenda eſt. Ecce ille non ſolùm iuuenis erat, ſed etiam pulcher ſpecie, & formoſus facie. Contingit enim iuuenem eſſe, & nulla corporis pulchritudine præditum. Hîc autem cum iuuentute & pulcher erat facie, & quaſi in ipſo iuuentutis flore ſeruus & captiuus factus eſt. Decem enim & ſeptem habebat annos, quando deductus eſt in Ægyptum. Deinde in eum in ipſa fornace iuuentutis poſitum impetum fecit petulans Ægyptia domina eius, & neque ſic ſuperatur fortitudo iuſti: denique in carcere tanto tempore ærumnoſus fuit, & manſit quaſi adamas, non ſolum non factus infirmior, ſed & plus roboris aſſumens. Habuit enim ſolidantem ſe ſupernam gratiã. Quoniam prius ꝙ ſuum erat totũ attulerat, propterea è carcere ad principatum totius Ægypti accerſitus eſt. Hęc audiẽtes, in afflictionibus animum nunquam deſpondeamus, neq; proprias rationes ſequentes, moroſi ſimus & difficiles: ſed magna patientia clari, ſpe bona foueamur, ſcientes omnipotentiam domini noſtri: & quòd ſinens nos experiri aſpera, non relinquit, ſed vult vt certantes clariori corona cingamur. Ita omnes ſancti probati ſunt. Propterea & Apoſtoli dicebant: Per multas afflictiones oportet nos in regnũ Dei intrare. Et ipſe Chriſtus dicebat diſcipulis ſuis: In mundo afflictionẽ habebitis. Ne igitur mœreamꝰ in afflictionibus ſed audiamus Paulũ dicentẽ, quòd volentes piè viuere in Chriſto Ieſu, perſecutionẽ patiẽtur. Et ne admiremur, neq; ægrè feramꝰ.

Ætas virtuti non nocet.

Moralis exhortatio ad ferẽdas fortiter afflictiones.

Ioan. 3. & 16.32.

2.Tim.3 12.

A δίδωσιν αὐτῷ καὶ τὴν θυγατέρα Πετεφρῆ εἰς γυναῖκα. εἶτα ἐπειδὴ ὁμώνυμος ἦν οὗτος τῷ γενομένῳ αὐτοῦ δεσπότῃ, φησὶ τοῦ ἱερέως Ἡλιουπόλεως. καὶ ἵνα μάθωμεν λοιπὸν οἵαν ἄγων τὴν ἡλικίαν ὁ θαυμάσιος οὗτος τοσαύτης ἠξιοῦτο τῆς ἀμοιβῆς, καὶ τοσούτους ἐπεδείξατο τοὺς ἄθλους, φησὶν, Ἰωσὴφ δὲ ἦν τριάκοντα ἐτῶν, ὅτε ἔστη ἐναντίον Φαραώ. μὴ ἁπλῶς νομίσωμεν τῶν ἐτῶν τὸν χρόνον ἐγκεῖσθαι, ἀλλ' ἵνα μάθωμεν, ὅτι οὐκ ἔστιν οὐδενὶ ἀμελοῦντι τῆς ἀρετῆς ἀπολογία, οὐδὲ ἔξεστί τινι προβαλέσθαι νεότητα, ἔνθα ἀρετὴν ἐπιδείξασθαι δεῖ. ἰδοὺ γὰρ οὗτος οὐ μόνον νέος ἦν, ἀλλὰ καὶ καλὸς τῷ B εἴδει, καὶ ὡραῖος τῇ ὄψει. ἔστι γὰρ καὶ νέον ὄντα μὴ κεκτῆσθαι τὴν τοῦ σώματος εὐμορφίαν. οὗτος δὲ μετὰ τῆς νεότητος καὶ καλὸς ἦν τῷ εἴδει καὶ ὡραῖος τῇ ὄψει, καὶ σχεδὸν ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει τυγχάνων, δοῦλος καὶ αἰχμάλωτος ἐγένετο. δεκαεπτὰ ἐτῶν γὰρ ἦν, φησιν, ἡνίκα κατήχθη εἰς Αἴγυπτον. εἶτα ἐν αὐτῇ τῇ καμίνῳ τῆς νεότητος γεγενημένῳ ἐπιτίθεται ἡ ἀκόλαστος Αἰγυπτία, ἡ δέσποινα αὐτοῦ γεγενημένη· καὶ οὐδὲ οὕτω περιεγένετο τῆς ἀνδρείας τοῦ δικαίου. εἶτα τὸ δεσμωτήριον, καὶ ἡ ἐπὶ τοσοῦτον χρόνον ἐκεῖ ταλαι- C πωρία. καὶ ἔμενε καθάπερ ἀδάμας, οὐ μόνον οὐ γενόμενος ἀσθενέστερος, ἀλλὰ καὶ πλείονα ἰσχὺν προσλαμβάνων. εἶχε γὰρ νευροῦσαν αὐτὸν τὴν ἄνωθεν χάριν. καὶ ἐπειδὴ προλαβὼν τὰ παρ' ἑαυτοῦ πάντα ἐπεδείξατο, διὰ τοῦτο ἀπὸ τοῦ δεσμωτηρίου ἐπὶ τὴν ἀρχὴν πάσης ἐκαλεῖτο τῆς Αἰγύπτου. ταῦτα ἀκούοντες μηδέποτε ἐν ταῖς θλίψεσιν ἀπαγορεύωμεν, μηδὲ τοῖς οἰκείοις λογισμοῖς κατακολουθοῦντες δυσανασχετῶμεν· ἀλλὰ πολλὴν τὴν ὑπομονὴν ἐπιδεικνύμενοι τῇ ἐλπίδι τρεφώμεθα, εἰδότες τοῦ δεσπότου ἡμῶν τὸ εὐμήχανον, καὶ ὅτι οὐ περιορῶν ἡμᾶς D καταλιμπάνει πεῖραν λαβεῖν τῶν λυπηρῶν, ἀλλὰ βουλόμενος ἡμᾶς ἀγωνισαμένους λαμπρὸν ἀναδήσασθαι τὸν στέφανον. οὕτω πάντες οἱ ἅγιοι εὐδοκίμησαν. διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ἔλεγον, διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. καὶ αὐτὸς ὁ Χριστὸς ἔλεγε τοῖς μαθηταῖς, ἐν τῷ κόσμῳ θλίψιν ἕξετε. μὴ τοίνυν ἀσχάλλωμεν πρὸς τὰς θλίψεις, ἀλλ' ἀκούωμεν Παύλου λέγοντος, ὅτι οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται. καὶ μὴ ξενιζώμεθα, μηδὲ δυσχεραίνωμεν,

ἀλλὰ μετὰ πάσης ἀνδρείας καὶ ὑπομονῆς τὰ ἐπαγόμενα φέρωμεν, μὴ πρὸς τὰς θλίψεις ἀφορῶντες, ἀλλὰ πρὸς τὸ κέρδος τὸ ἡμῖν ἐντεῦθεν συλλεγόμενον. ἐμπορεία γάρ ἐστιν αὕτη πνευματική. καὶ καθάπερ οἱ τὰ χρήματα συλλέγειν βουλόμενοι, καὶ τὴν ἐμπορείαν ταύτην τὴν βιωτικὴν μετιόντες, οὐκ ἂν ἑτέρως δυνηθεῖεν αὐξῆσαι τὴν οἰκείαν περιουσίαν, εἰ μὴ πολλοὺς κινδύνους ὑπομένοιεν κατὰ γῆν καὶ κατὰ θάλατταν (καὶ γὰρ λῃστῶν ἐφόδους, καὶ πειρατῶν ἐπιβουλὰς ἀνάγκη ὑποστῆναι) καὶ ὅμως πάντα μετὰ πολλῆς τῆς προθυμίας καταδέχεσθαι ἑτοιμάζονται, τῇ προσδοκίᾳ τοῦ κέρδους οὐδεμίαν τῶν λυπηρῶν αἴσθησιν λαμβάνοντες· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς ἐννοοῦντας τὸν ἐντεῦθεν ἡμῖν συλλεγόμενον πλοῦτον καὶ τὴν πνευματικὴν ἐμπορείαν, προσήκει χαίρειν καὶ ἀγάλλεσθαι, καὶ μὴ σκοπεῖν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα, καθάπερ ὁ Παῦλος παραινεῖ λέγων, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα. τοῦτο γὰρ πίστις, ὅταν μὴ τοῖς σωματικοῖς ὀφθαλμοῖς ἀρκώμεθα μόνον, ἀλλὰ τοῖς τῆς διανοίας ὄμμασι φανταζώμεθα τὰ μὴ ὁρώμενα. ἐκεῖνα γὰρ μάλιστα τῶν διὰ τῶν σωματικῶν ὀφθαλμῶν ὁρωμένων ἀξιοπιστότερα ἡμᾶς ἡγεῖσθαι δεῖ. οὕτως ὁ πατριάρχης εὐδοκίμησε, πιστεύσας τῇ τοῦ θεοῦ ὑποσχέσει, καὶ ἀνώτερος τῆς φύσεως γενόμενος καὶ τῶν ἀνθρωπίνων λογισμῶν. διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ἐννόησον ὅτι δικαιοσύνη ἐστὶ τὸ πιστεύειν τοῖς παρὰ τοῦ θεοῦ λεγομένοις. ὅταν γὰρ ἐκεῖνος ὑπόσχηταί τι, μή μοι κατὰ ἀνθρωπίνην ἀκολουθίαν ἀπαίτει τὰ πράγματα, ἀλλ' ἀνώτερος τῶν τοιούτων γενόμενος λογισμῶν, θάρρει τῇ τοῦ ὑποσχομένου δυνάμει. οὕτως ἕκαστος τῶν δικαίων εὐδοκίμησεν, οὕτω καὶ ὁ θαυμάσιος οὗτος Ἰωσήφ, τοσούτων μετὰ τὰ ὀνείρατα ἐν μέσῳ κωλυμάτων γινομένων, οὐκ ἐταράχθη τὸν λογισμὸν, οὐκ ἐθορυβήθη, ἀλλ' ἐρρωμένῳ τῷ φρονήματι πάντα γενναίως ἔφερεν, εἰδὼς ὡς οὐχ οἷόν τε διαπεσεῖν τὰ τῷ θεῷ δόξαντα. διὸ καὶ μετὰ δουλείαν καὶ μετὰ δεσμωτήριον καὶ συκοφαντίαν τοσαύτην, τὴν ἀρχὴν ἐδέχετο πάσης τῆς Αἰγύπτου. ταῦτα δὴ πάντα λογιζόμενοι ἀντεχώμεθα γενναίως πρὸς τὰ ἐπαγόμενα, εὐχαριστοῦντες ὑπὲρ πάντων τῷ φιλανθρώπῳ θεῷ, καὶ τὴν παρ' αὐτοῦ ἀναμένοντες ἀντίληψιν· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A ſed omnia cum fortitudine & patiẽtia toleremus: non ad afflictiones reſpiciẽtes, ſed ad lucrũ quod inde cõgregamus. Spiritualis enim quædam negotiatio eſt. Et ſicut qui pecunias colligere volũt, & huius ſeculi negotiationẽ exercent, non aliter poſſunt augere ſuas opes, niſi multa pericula terra mariq; ſuſtinuerint (neceſſe enim vt ferant latronum & piratarum inſidias) attamen omnia magna alacritate ſuſcipiunt, & ob expectationẽ lucri vix ſentiunt amara quę ferunt: eodem modo & nos cogitantes diuitias & ſpirituales merces, quas nobis B hîc colligere licet, oportet gaudere & exultare, & non contemplari quæ videntur, ſed quę non videntur, ſicut & Paulus admonet, dicens: Nõ conſiderantibus nobis ea quæ videntur. (2.Co 18.) Fidei enim eſt, non corporalibus oculis contentos eſſe, ſed oculis mentis imaginari ea, quæ non videntur. Nam illa fide digniora credẽda ſunt, quàm ea, quę corporalibus oculis videntur. Sic patriarcha gratus fuit Deo, quia credidit promiſſioni eius, & ſuperior natura factus, & humanis C rationibus, ideo & reputatum eſt ei in iuſtitiam. (Rom.4. 3.) Conſidera, quòd iuſtitia eſt credere his quæ à Deo dicuntur. Quando enim ille aliquid promiſerit, nõ mihi iuxta humanã conſequentiam res expẽde, ſed ſuperior rationibus illis fias, & cõfide eius qui promiſit, virtuti. Ita vnuſquiſque iuſtorum probatus fuit: ita & admirabilis ile Ioſeph, cùm tãta poſt illa inſomnia fuerint interiecta impedimenta, non turbatus eſt animo, non commotus eſt, ſed robuſta mente fortiter tulit omnia, ſciẽs quòd non D ſit poſſibile ea quæ Deo viſa ſunt nõ euenire. Ideo & poſt ſeruiturem, & poſt carcerem, & tantã calumniam principatum ſuſcepit totius Ægypti. Hæc igitur omnia cogitantes, fortiter ſuſcipiamus ea, quæ inferuntur, gratiáſque agamus pro omnibus clementi Deo, & eius expectemus opitulationem. Quæ nobis omnibus concedatur, gratia & clementia domini noſtri Ieſu Chriſti, cui cum patre, & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Fides oculis mentis vtitur.

A

HOMILIA LXIIII.

Gen.41. 47. *Exiuit autem Ioſeph à facie Pharaonis, & peragrauit omnem terram AEgypti, & fecit terra annis ſeptem fertilitatis manipulos, & congregauit frumentum ſicut arenam maris.*

VULTIS vt & hodie hiſtoriã Ioſeph tractemus, & videamus quomodo vir ille, ſuſcepto totius Ægypti principatu, conceſſa ſibi intelligentia omnes conſolatus fuerit? 47 *Exiuit enim*, inquit, *à facie Pharaonis, & tranſiuit per omnem terram AEgypti, & fecit terra annis ſeptem fertilitatis manipulos*, 49 *& congregauit frumentum ſicut arenam maris.* Suſcepta prius à rege poteſtate omni, collegit, inquit, prouētus, & in ciuitatibus repoſuit, prouidens iam multò antea, quo futuræ penuriæ ſuccurri poſſit. Vidiſti quales retributiones fortitudinis & patientiæ, & aliarũ virtutũ etiã hic acceperit iuſtus, à vinculis ad regia palatia tranſiens? 50 *Nati ſunt autẽ illi*, inquit, *duo filij, priuſquam aduenirent anni penuriæ:* 51 *& vocauit nomen prioris Manaſſe: quoniã obliuiſci me fecit De⁹ omniũ laborũ meorũ, & eorũ, quæ ſunt patris mei.*

Nomine filij Ioſeph quid ſignificet. Attẽde hîc viri religionẽ & pietatẽ, quoniã vocabulo filij memoriã omnium indidit, vt perpetuò gratias ageret, & qui ex ſe natus erat, propter ſuam appellationem ſcire poſſit certamina & patientiã, quę iuſtus perferens in tantã peruenerit gloriã: quia obliuiſci me fecit Deus omniũ laborum meorum, & omninm quę ſunt patris mei. Quid eſt, omnium laborum meorum? Hîc ſubindicare mihi videtur primã & ſecundam ſeruitutem, & miſeriã quã in carcere tulit. Et omniũ quę ſunt patris mei: ſegregationem ſignificat, quã ſuſtinuit abreptus ab vlnis paternis, quando in immatura ætate tã liberaliter educatus, libertatẽ ſeruitute cõmutauit. 52 *Et nomẽ ſecũdi vocauit Ephraim, quia creſcere fecit me De⁹ in terra humilitatis meæ.*

Ὁμιλία ξδ.

Ἐξῆλθε δὲ Ἰωσὴφ ἀπὸ προσώπου Φαραὼ, καὶ διῆλθε πᾶσαν τὴν Αἰγύπτου. καὶ ἐποίησεν ἡ γῆ ἐν τοῖς ἑπτὰ ἔτεσι τῆς εὐθηνίας δράγματα, καὶ συνήγαγε σῖτον ὡς τὴν ἄμμον τῆς θαλάσσης.

Βούλεσθε καὶ σήμερον τὴν κατὰ τὸν Ἰωσὴφ ἱστορίαν ἐπεξέλθωμεν, καὶ ἴδωμεν πῶς τὴν ἀρχὴν τῆς Αἰγύπτου πάσης B δεξάμενος ὁ θαυμάσιος οὗτος, διὰ τῆς προσούσης αὐτῷ συνέσεως ἅπαντας παρεμυθήσατο. ἐξῆλθε γὰρ, φησιν, ἀπὸ προσώπου Φαραὼ, καὶ διῆλθε πᾶσαν τὴν Αἰγύπτου. καὶ ἐποίησεν ἡ γῆ ἐν τοῖς ἑπτὰ ἔτεσι τῆς εὐθηνίας δράγματα· καὶ συνήγαγε σῖτον ὡς τὴν ἄμμον τῆς θαλάσσης. παραλαβὼν παρὰ τοῦ βασιλέως τὴν ἐξουσίαν ἅπασαν, συνήγαγέ, φησι, τὰ γεννήματα, καὶ ἐν ταῖς πόλεσιν ἀπετίθετο, προπαρασκευάζων ἱκανὴν παραμυθίαν τῇ μελλούσῃ γίνεσθαι ἐνδείᾳ. C εἶδες οἵας ἀμοιβὰς τῆς καρτερίας καὶ τῆς ὑπομονῆς καὶ τῆς ἄλλης ἀρετῆς καὶ ἐνταῦθα ἐδέξατο ὁ δίκαιος, ἀπὸ δεσμωτηρίου εἰς τὰ βασίλεια ἀνελθών. ἐγένοντο δὲ αὐτῷ, φησι, δύο υἱοὶ, πρὶν ἢ παραγενέσθαι τὰ ἔτη τῆς ἐνδείας, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ πρωτοτόκου Μανασσῆ, ὅτι ἐπιλαθέσθαι μέ, φησιν, ἐποίησεν ὁ θεὸς πάντων τῶν πόνων μου, καὶ τῶν τοῦ πατρός μου. σκόπει τοῦ ἀνδρὸς τὸ φιλόθεον, ὅπως τῇ προσηγορίᾳ τοῦ παιδὸς ἐναποτίθεται τὴν μνήμην ἁπάντων, ὥστε διηνεκῆ αὐτὸν ποιεῖσθαι τὴν εὐχαριστίαν· ἵνα καὶ ὁ ἐξ αὐτοῦ γεννηθεὶς διὰ τῆς οἰκείας προσηγορίας εἰδέναι ἔχῃ D τοὺς πειρασμοὺς καὶ τὴν ὑπομονὴν, ἣν ἐπιδεξάμενος ὁ δίκαιος εἰς τοσαύτην ἀνῆλθε περιφάνειαν. ὅτι ἐπιλαθέσθαι με ἐποίησε πάντων τῶν πόνων μου, καὶ τῶν τοῦ πατρός μου. τί ἐστι, πάντων τῶν πόνων μου; ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ τήν τε προτέραν δουλείαν καὶ τὴν δευτέραν, καὶ τὴν ἐν τῷ δεσμωτηρίῳ ταλαιπωρίαν· καὶ πάντων τῶν τοῦ πατρός μου· τὸν χωρισμὸν, ὃν ὑπέμεινεν ἔξω τῶν ἀγκαλῶν γενόμενος τῶν πατρικῶν, ὅτι ἐν ἀώρῳ ἡλικίᾳ μετὰ τοσαύτης ἀνατραφεὶς ἐπιμελείας δουλείαν ἀντὶ τῆς ἐλευθερίας ἠλλάξατο. καὶ τὸ ὄνομα τοῦ δευτέρου ἐκάλεσεν Ἐφραΐμ, ὅτι ηὔξησέ μέ, φησιν, ὁ θεὸς ἐν γῇ ταπεινώσεώς μου.

A ὅρα καὶ τὴν τούτου προσηγορίαν εὐχαριστίας πεπληρωμένην. οὐ μόνον γάρ, φησι, τῶν λυπηρῶν λήθην ἐποιησάμην, ἀλλὰ καὶ ηὐξήθην ἐν τῇ γῇ, ἐν ᾗ τοσαύτην ὑπέμεινα τὴν ταπείνωσιν, ὡς ἐν τοῖς ἐσχάτοις γενέσθαι, καὶ τὸν περὶ τοῦ ζῆν ἐπικρεμασθῆναί μοι κίνδυνον. ἀλλὰ λοιπὸν ἄξιον ἀκοῦσαι τῶν ἑπομένων. μετὰ γὰρ τὴν εὐθηνίαν τῶν ἑπτὰ ἐτῶν ἔφθασε καὶ τὰ ἔτη τοῦ λιμοῦ κατὰ τὴν προαγόρευσιν τοῦ Ἰωσήφ. ἡ γὰρ τῶν πραγμάτων ἔκβασις λοιπὸν ἅπαντας ἐπαίδευσε τὴν προσοῦσαν τῷ ἀνδρὶ σοφίαν, καὶ πάντας ὑποκύπτειν αὐτῷ παρεσκεύαζε. καὶ λιμοῦ σφοδροῦ γενομένου τέως ἐν προοιμίοις οὐδεμίαν αὐτοὺς αἴσθησιν λαβεῖν τῆς ἐνδείας παρεχώρησεν. B ἐν πάσῃ γάρ, φησι, τῇ Αἰγύπτῳ ἦσαν ἄρτοι. ἀλλὰ τῆς στενοχωρίας ἐπιταθείσης ἔκραξεν ὁ λαὸς πρὸς Φαραὼ οὐ φέροντες τὴν ἔνδειαν τὴν πολλήν. ὑπὸ τοῦ λιμοῦ καταναγκαζόμενοι ἐπὶ τὸν βασιλέα ἔτρεχον. ἀλλ' ὅρα τούτου τὴν εὐγνωμοσύνην. εἶπε δὲ Φαραὼ τοῖς Αἰγυπτίοις, πορεύεσθε πρὸς τὸν Ἰωσήφ· καὶ ὃ ἐὰν εἴπῃ ὑμῖν, ποιήσατε· μονονουχὶ λέγων, τί πρὸς ἐμὲ κεχήνατε; οὐχ ὁρᾶτε ὅτι ἐγὼ μὲν ἁπλῶς τὸ σχῆμα περίκειμαι, ἐκεῖνος δέ ἐστιν ὁ τῆς σωτηρίας ἅπασιν ἡμῖν αἴτιος γενόμενος; C μὴ τοίνυν ἐκεῖνον καταλιμπάνοντες ἐπ' ἐμὲ τρέχετε, ἀλλ' ἄπιτε πρὸς ἐκεῖνον· καὶ ὃ ἐὰν εἴπῃ ὑμῖν, ποιεῖτε. ἀνέῳξε δὲ Ἰωσὴφ τοὺς σιτοβολῶνας, καὶ ἐπώλει τοῖς Αἰγυπτίοις. καὶ ἐπειδὴ πάντας ἐπενέμετο τοῦ λιμοῦ ἡ ἀνάγκη, πᾶσαι, φησιν, αἱ χῶραι ἦλθον εἰς Αἴγυπτον ἀγοράζειν σῖτον. ἐπεκράτει γὰρ ὁ λιμὸς ἐν πάσῃ τῇ γῇ. ὅρα μοι κατὰ μικρὸν ἀρχὴν λαμβανούσαν τῶν ὀνειράτων τοῦ Ἰωσὴφ τὴν ἔκβασιν. ἐπικρατήσαντος γὰρ τοῦ λιμοῦ, καὶ καταλαβόντος καὶ τὴν Χαναάν, ἔνθα κατῴκει ὁ Ἰακὼβ ὁ τούτου πατήρ, μαθὼν ὅτι ἐστὶ πρᾶσις σίτου ἐν D Αἰγύπτῳ, εἶπε, φησι, τοῖς παισὶν αὐτοῦ· ἵνα τί ῥαθυμεῖτε; ἰδοὺ ἀκήκοα, ὅτι ἐστὶ σῖτος ἐν Αἰγύπτῳ. κατάβητε πρίασθαι ἡμῖν μικρὰ βρώματα, ἵνα ζῶμεν, καὶ μὴ ἀποθάνωμεν. τί, φησιν, ἐνταῦθα κάθησθε; ἄπιτε εἰς τὴν Αἴγυπτον, καὶ τὰ πρὸς διατροφὴν ἡμῖν κομίζετε. ταῦτα δὲ ἅπαντα ἐγίνετο, ἵνα τῇ ὄψει παραβάλλωσιν ἅπαντα οἱ τοῦ Ἰωσὴφ ἀδελφοί, καὶ τὴν σύγκρισιν τῶν ἐνυπνίων, ἣν αὐτοὶ συνέκριναν, ἡνίκα ἤκουσαν τοῦ Ἰωσὴφ τὸ ὅραμα διηγουμένου, εἰς ἔργον ἀγάγωσι. κατέβησαν γάρ, φησιν, οἱ δέκα ἀδελφοί,

Vide & huius nomen gratiarum actione plenum. Non ſolùm enim, inquit, aduerſitatis oblitus ſum, ſed & magnificatus ſum in terra, in qua tantam ſuſtinui humilitatem, vtpote in extremis periculis etiam de vita anxius. Verùm nunc dignum eſt audire quæ ſequuntur. Nam poſt fertilitatem ſeptem annorum, venerunt & ſeptem anni penuriæ & famis, iuxta prædictionem Ioſeph. Rerum enim euentus omnibus conceſſam viro ſapientiam detegebat, faciebátque vt omnes ei ſeſe ſubmitterent. Et cùm fames valida facta eſſet, primùm eos penuriam ſentire non permiſit In omni enim terra Ægyptiorum erant panes. Sed cùm moleſtia famis incrudeſceret, clamauit populus ad Pharaonem, magna preſſus indigentia: à fame enim coacti, ad regem cucurrerunt. Porrò vide huius beneuolentiam. 56 *Dixit autem Ægyptius: Ite ad Ioſeph, & quicquid dixerit vobis, facite.* Quaſi diceret: Quid me ſuſpicitis? non videtis quòd ego tantum regis habitum geſto, ille nobis omnibus ſalutis author factus ſit? ne igitur illo relicto ad me curratis, ſed abite ad illum, & quæcunque dixerit vobis, facite. Aperuit autem Ioſeph horrea, & vendidit Ægyptiis. Et quoniam omnes depaſcebatur famis neceſſitas: 58 *Omnes*, inquit, *prouinciæ veniebant in Ægyptum, vt emerent frumentum: inualuerat enim*, inquit, *fames ſuper omnem terram.* Vide obſecro, quomodo paulatim euentum accipere incipiant ſomnia Ioſeph. Nam vbi fames inualuit, venit etiam in terram Chanaan, in qua habitabat Iacob huius pater, qui poſtquam intellexit in Ægypto frumentum venundari, dixit, inquit, filijs ſuis: *Quare ſegnes eſtis? Ecce audiui quòd frumentum ſit in Ægypto. Deſcendite, vt comparetis nobis pauca cibaria, vt viuamus, & non moriamur.* Quid inquit, hîc ſedetis? abite in Ægyptũ, & alimenta nobis afferte. Hæc autem omnia facta ſunt, vt viſioni ſeruirent fratres Ioſeph: & interpretationem ſomnij quam ipſi coniectauerant, cum audirent Ioſeph ſomnium narrantem, implerent. 33 *Deſcenderunt enim*, inquit, *decẽ fratres*,

Ephraim quidin. dicet.

CAPVT. XLII.

& Beniamin non acceperunt, qui erat frater Ioſeph ex eadem matre. *Dicebat enim pater eius, ne fortè accidat ei languor*: parcẽs puero, eò quòd ætate immatura erat. [7] *Venerunt autem, & Ioſeph ſicut principem AEgypti adorauerunt ſuper faciem tuam in terra.* Et nunc ignorantes quidem, omnia faciunt. Nam quia multum temporis interceſſerat, faciem fratris non agnouerunt. Veriſimile enim eſt, iuuenem olim, nunc immutatum faciei ſuæ effigie. Idque totum opinor diuinæ diſpenſationis fuiſſe, ita vt non potuerint vel ex ſermone, vel ex aſpectu fratrem agnoſcere. Vnde enim vnquam in hanc opinionem veniſſent? Etenim putabant eum apud Iſmaëlitas factum ſeruum, ſeruiréque apud barbaros, vnde non agnouerunt Ioſeph. Ipſe verò ſtatim vt vidit, agnouit eos: & vt ignoraretur ſtuduit, & cum eis quaſi cum alienis agere voluit. *Abalienabat enim ſe ab eis, & locutus eſt eis dura, & dixit: Vnde veniſtis?* Simulat omnimodam ignorantiam, vt omnia diligenter ab eis diſcere queat. Deſiderabat enim ſcire de rebus patris & fratris. Et primùm quærit ex qua regione ſint, & dicunt ex Chanaan, ſe veniſſe vt emerent frumenta. Famis, inquit, neceſſitas in cauſa eſt, quare id itineris confecimus, & propterea relictis propriis huc venimus. [9] *Et recordatus eſt*, inquit, *Ioſeph ſomniorum quæ ipſe viderat.* In mentem venerunt ei ſomnia, & videbat euenire ea, ideoque volebat diligenter omnia diſcere, & magna cum auſteritate eis reſpondet, ac dicit: *Exploratores eſtis, & ad conſideranda veſtigia terræ veniſtis.* Non recta, inquit, mente aduenistis. Videmini arte & malignitate quadam huc profecti. Illi autem anxij dixerunt: *Non domine.* Et id quod diſcere ſtudebat Ioſeph, hoc à ſemetipſis docent, & dicunt: *Serui tui venimus, vt emamus eſcas.* [11] *Omnes filij ſumus vnius viri, pacifici ſumus, non ſunt ſerui tui exploratores.* Adhuc pro ſeipſis tantũ ſatisfaciebant, & timore attoniti mente, nondum quę ad Ioſeph pertinebant, dixerant, ideo perſeuerans dicebat: [12] *Non, ſed veniſtis vt veſtigia terræ exploretis.*

Ioſeph fratribus ignotus.

A καὶ τὸν Βενιαμὶν οὐκ ἔλαβον, ὃς ἦν ἀδελφὸς τοῦ Ἰωσὴφ ὁμομήτριος. εἶπε γὰρ ὁ πατὴρ αὐτοῦ, μήποτε συμβῇ αὐτῷ μαλακία. διὰ δὲ ἄωρον τῆς ἡλικίας ἐφείσατο τοῦ παιδός. ἐλθόντες δέ, καθάπερ ἄρχοντα τῆς Αἰγύπτου, προσεκύνησαν τὸν Ἰωσὴφ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. καὶ νῦν μὲν τέως ἀγνοοῦντες ἅπαντα ταῦτα ποιοῦσιν. ἐπειδὴ γὰρ οὐκ ὀλίγος γεγένηκεν ὁ μεταξὺ χρόνος, οὐκέτι τὸν χαρακτῆρα τοῦ ἀδελφοῦ ἐπεγίνωσκον. εἰκὸς γὰρ ἐν ἡλικίᾳ αὐτὸν γενόμενον ἐναλλαγήν τινα τοῦ χαρακτῆρος ἐργάσασθαι. τὸ δὲ ὅλον οἶμαι καὶ οἰκονομίας εἶναι τοῦ τῶν ἁπάντων θεοῦ, ὥστε μὴ δυνηθῆναι αὐτοὺς μήτε ἐκ τῆς
B διαλέξεως, μήτε ἐκ τῆς θέας ἐπιγνῶναι τὸν ἀδελφόν. πόθεν γὰρ ἄν ποτε καὶ εἰς νοῦν τοῦτο ἐβάλλοντο; καὶ γὰρ ἐνόμιζον αὐτὸν παρὰ τοῖς Ἰσμαηλίταις οἰκέτην γενόμενον λοιπὸν τὴν παρὰ τοῖς βαρβάροις δουλείαν ὑπομένειν. καὶ αὐτοὶ μὲν οὐδὲν τοιοῦτον οὐδὲ εἰς διάνοιαν λαβεῖν δυνηθέντες οὐκ ἐπεγίνωσκον τὸν Ἰωσήφ. αὐτὸς δὲ παραχρῆμα θεασάμενος αὐτούς ἐπέγνω, καὶ λανθάνειν ἐσπούδαζε, καὶ ὡς ἀλλοτρίοις αὐτοῖς προσφέρεσθαι ἐβούλετο. ἠλλοτριοῦτο γάρ, φησιν, ἀπ᾽ αὐτῶν, καὶ ἐλάλησεν αὐτοῖς σκληρά. καὶ εἶπε, πόθεν ἥκατε; προσποιεῖται παντελῆ ἄγνοιαν
C ἵνα πάντα μετ᾽ ἀκριβείας παρ᾽ αὐτῶν μαθεῖν δυνηθῇ. ἐπεθύμει γὰρ γνῶναι τὰ κατὰ τὸν πατέρα καὶ τὰ κατὰ τὸν ἀδελφόν. καὶ τέως μὲν πυνθάνεται ἐκ ποίας χώρας τυγχάνουσι. καί φασιν ἐκ τῆς Χαναὰν ἐλθεῖν ἀγοράσαι βρώματα. ἡ τοῦ λιμοῦ, φασιν, ἀνάγκη τῆς ὁδοιπορίας ἡμᾶς ταύτης ἀνάγεσθαι πεποίηκε, καὶ διὰ τοῦτο καταλιπόντες τὰ οἰκεῖα ἐνταῦθα παραγεγόναμεν. καὶ ἐμνήσθη, φησίν, Ἰωσὴφ τῶν ἐνυπνίων, ὧν εἶδεν αὐτός. εἰς ἔννοιαν ἐλθὼν τῶν ὀνειράτων καὶ ὁρῶν τὴν ἔκβασιν εἰς ἔργον ἐληλυθυῖαν ἐβούλετο μετ᾽ ἀκριβείας ἅπαντα μαθεῖν. διὸ καὶ μετὰ πολλῆς αὐτοῖς τῆς
D σφοδρότητος εὐθέως ἀποκρίνεται, καί φησι, κατάσκοποί ἐστε, καὶ κατανοῆσαι τὰ ἴχνη τῆς γῆς ἥκατε. οὐχ ὑγιεῖ φησι, γνώμῃ παραγεγόνατε. ἐοίκατε τέχνῃ τινὶ καὶ κακουργίᾳ τὴν ἐνταῦθα ἄφιξιν πεποιηκέναι. οἱ δὲ ἐναγώνιοι γενόμενοι φασιν, οὐχί κύριε. καὶ ὅπερ μαθεῖν ἐσπούδαζεν ὁ Ἰωσήφ, τοῦτο οἴκοθεν αὐτὸν διδάσκουσι. καί φασιν, οἱ παῖδές σου ἤλθομεν πρίασθαι βρώματα. πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου. εἰρηνικοί ἐσμεν. οὐκ εἰσὶν οἱ παῖδές σου κατάσκοποι. ἔτι περὶ ἑαυτῶν μόνον ἀπολογούμενοι, καὶ ὑπὸ τοῦ φόβου καταπλαγέντες τὴν διάνοιαν, οὐδέπω τὰ περὶ Ἰωσὴφ σπουδαζόμενα εἰρήκασι. διὸ ἐπέμενε λέγων· οὐχί, ἀλλὰ τὰ ἴχνη τῆς γῆς ἤλθετε ἰδεῖν.

A περιττῶς, φησι, ταῦτά μοι λέγετε. καὶ γὰρ αὐτὸ τὸ σχῆμα τῆς παρουσίας ὑμῶν δείκνυσιν, ὅτι κακουργίᾳ τινὶ χρώμενοι ἐνταῦθα παραγεγόνατε. οἱ δὲ ὑπὸ τῆς ἀνάγκης αὐτῆς συνελαυνόμενοι, καὶ βουλόμενοι εἰς οἶκτον αὐτὸν ἐπικάμψαι, φασί· δώδεκά ἐσμεν οἱ παῖδές σου ἀδελφοί. ὢ τῆς τῶν ῥημάτων ἀπάτης· καὶ τὸν τοῖς ἐμπόροις παρ' αὐτῶν διαπραθέντα τῷ ἀριθμῷ συνῆψαν· καὶ οὐ λέγουσι, δώδεκα ἦμεν, ἀλλὰ δώδεκά ἐσμεν ἀδελφοί. καὶ ἰδοὺ ὁ νεώτερος μετὰ τοῦ πατρὸς ἡμῶν. τοῦτο γὰρ ἦν αὐτῷ τὸ σπουδαζόμενον γνῶναι, εἰ μὴ καὶ τὸν ἀδελφὸν τὰ αὐτὰ διατεθείκασιν. ἰδοὺ ὁ νεώτερος μετὰ τοῦ πατρὸς ἡμῶν. ὁ δὲ ἕτερος οὐχ ὑπάρχει. B καὶ οὐ λέγουσι τὴν αἰτίαν σαφῶς, ἀλλ' ἁπλῶς, οὐχ ὑπάρχει. ἐκ τούτου εἰς ὑποψίαν ἐλθών, μήποτε καὶ εἰς τὸν Βενιαμὶν τὰ ὅμοια εἰργάσαντο, φησι· τοῦτό ἐστιν, ὃ εἴρηκα ὑμῖν, ὅτι κατάσκοποί ἐστε. οὐ γὰρ μὴ ἐξέλθητε ἐντεῦθεν, ἕως οὗ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος ἔλθῃ ὧδε. ἐκεῖνον ἰδεῖν βούλομαι· ἐπιθυμῶ θεάσασθαι τὸν τὰς αὐτάς μοι λύσαντα ὠδῖνας. ὑφορῶμαι γὰρ ὑμῶν ἐκ τῶν κατ' ἐμὲ γενομένων τὴν μισάδελφον γνώμην. εἰ τοίνυν βούλεσθε, ἀποστείλατε ἕνα ἐξ ὑμῶν, καὶ ἀγάγετε αὐτόν· ὑμεῖς δὲ οἰκεῖτε τὸ δεσμωτήριον, C ἕως ἂν ἐκεῖνος παραγένηται. ἐκεῖνος γὰρ παραγενόμενος διδάξει, εἰ ἀληθῆ τὰ παρ' ὑμῶν λεγόμενα, καὶ ἐλευθερώσει ὑμᾶς πάσης ὑποψίας. εἰ γὰρ μὴ τοῦτο γένηται, δῆλόν ἐστιν ὅτι κατάσκοποί ἐστε, καὶ διὰ τοῦτο ἐνταῦθα παραγεγόνατε. καὶ ταῦτα εἰρηκώς, ἔθετο αὐτοὺς ἐν τῇ φυλακῇ. ὅρα πῶς αὐτῶν βασανίζει τὰς γνώμας, καὶ δι' ὧν εἰς τούτους ἐπιδείκνυται, τὴν φιλοστοργίαν δείκνυσι τὴν πρὸς τὸν ἀδελφόν. μετὰ δὲ τρεῖς ἡμέρας καλέσας αὐτοὺς εἶπε· τοῦτο ποιήσατε, καὶ ζήσεσθε. τὸν γὰρ θεὸν ἐγὼ φοβοῦμαι. εἰ εἰρηνικοί ἐστε, ἀδελφὸς ὑμῶν εἷς κατασχεθήτω ἐν τῇ D φυλακῇ· αὐτοὶ δὲ βαδίσατε καὶ ἀπαγάγετε τὸν ἀγορασμὸν τῆς σιτοδοσίας ὑμῶν, καὶ τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον ἀγάγετε πρός με, καὶ πιστευθήσεται τὰ ῥήματα ὑμῶν. εἰ δὲ μή, ἀποθανεῖσθε. σκόπει σύνεσιν. βουλόμενος καὶ τὴν περὶ τούτους εὔνοιαν ἐπιδείξασθαι, καὶ τοῦ πατρὸς τὴν ἔνδειαν παραμυθήσασθαι, καὶ περὶ τοῦ ἀδελφοῦ μαθεῖν τὸ ἀληθές, ἕνα κατασχεθῆναι προστάξας, τοὺς ἄλλους ἀπελθεῖν ἐκέλευσεν. ἀλλ' ὅρα μοι λοιπὸν ἐνταῦθα τὸν ἀδέκαστον δικαστήν, τὸ συνειδὸς αὐτῶν κατεξανιστάμενον,

Superuacuè, inquit, hæc mihi dicitis: etenim hoc habitus aduentus veſtri declarat, quòd malitia quadam exciti huc veniſtis. Illi autem neceſſitate coacti, & volentes eum ad miſericordiam flectere dicunt: [13] *Duodecim ſumus fratres ſerui tui.* O verborum deceptionem, etiam eum quem negotiatoribus vendiderant, in numero ſuo recenſent. Et non dicunt; duodecim fuimus, ſed duodecim ſumus fratres, *Et ecce iunior cum patre noſtro.* Hoc enim erat quod ſcire cupiebat, num & fratrem ſimiliter afflixiſſent. *Et ecce iunior cum patre noſtro, alius autem non ſupereſt.* Nec dicunt rem manifeſtè, ſed tantum, non ſupereſt. Ex hoc cum ſuſpicaretur, ne fortè & Beniamin ſimili modo affeciſſent, [14] *Hec eſt*, inquit, *quod dixi vobis, quòd exploratores ſitis. Nequaquã hinc enim exhibitis, quouſque frater veſter iunior venerit huc.* Illum videre volo, cupio videre eum, qui ex eodem vtero natus eſt: ſuſpicor enim ex his quæ aduerſus me egiſtis, mentem veſtram fraterno odio laborare. *Si igitur vultis*, [16] *Mittite vnum ex vobis, & adducet eum*, vos autem manete in carcere, donec ille venerit. Ille enim cùm aduenerit, docebit num vera ſint quæ dicitis, & liberabit vos ab omni ſuſpicione. Nam ſi hoc non fuerit, manifeſtum eſt quòd exploratores ſitis, & propterea huc veneritis. Et hoc cum dixiſſet, [17] *Poſuit eos in carcere.* Vide quomodo ipſorum probat animum, & per ea quæ illis facit, ſuam erga fratrem declarat beneuolentiam. *Poſt tres autem dies vocatis illis, dixit:* [18] *Hoc facite, & viuetis, Deũ enim ego timeo.* [19] *Si pacifici eſtis, vnus fratrum veſtrorum detineatur hîc in carcere, vos autem proficiſcimini, & auehite emptionem frumentationis veſtræ*, [20] *& fratrem veſtrum iuniorem ducite ad me, & credibilia erunt verba veſtra: quòd ſi minus, moriemini.* Conſidera ſagacitatem. Volens ſuam erga illos beneuolentiam declarare, & patris penuriam conſolari, déque fratre veritatem diſcere, vno retento, alios abire iuſſit. Sed vide nunc quomodo conſcientia eorum, incorruptus ille iudex, aduerſus eos inſurgat,

Conſcientia damnat fratres Ioſeph.

A & nullo arguente, vel in medium quippiam afferente, ipſi ſui ipſorum accuſatores fiant. *Dixit enim*, inquit, *vnuſquiſq; ad fratrem ſuum*, [21] *Meritò, in peccatis enim ſumus propter fratrem noſtrum: quia deſpeximus afflictionem animæ eius, quando deprecabatur nos, & non exaudiuimus eum, propter hoc venit ſuper nos omnis afflictio hæc.* Ita enim ſe habet peccatum, quando conſummatum eſt, & opere perfectum, tunc ſuæ abſurditatis oſtendit exceſſum. Et ſicut ebrius, quando multum vini ingurgitat, nullum ſentit à vino damnum, poſtea autem ſentit experimento quantum ſit damnum: ita B & peccatum, donec conſummetur, obtenebrat mentem, & quaſi denſa nnbes, ita mentem corrumpit: deinde conſcientia inſurgit, & quouis accuſatore mentem grauius arrodit, monſtrans abſurditatem facti. Enimuerò & hîc videre licet, quòd illa nunc iſtis in mentem veniunt, quæ fecerunt, & cùm de ſumma ſalutis periculum immineret, tunc tandem confitentur quę fecerant, & dicunt, Meritò, in peccatis enim ſumus propter fratrē noſtrū, quoniam C deſpeximus afflictionem animæ eius. Non fortuitò, neque ſine cauſa hæc ſuſtinemus, ſed iuſtè & valde iuſtè pœnas luimns inhumanitatis & crudelitatis, quam erga fratrem noſtrum declarauimus, quoniam deſpeximus afflictionem animæ eius. Quoniam, inquit, abſque compaſſione fuimus, & multam declarauimus crudelitatem: quando nos deprecabatur, & non exaudiuimus eum: propterea nunc nobis eadem eueniunt, & propter hoc venit afflictio hæc ſuper nos. Et hæc quidem D illi inter ſe diſſerebant, putantes nihil horum audire Ioſeph. Nam quaſi ignorans, & neſciens eorum linguam, per interpretem loquebatur eis, qui ea quæ illi loquebantur, & ea quæ ille eis. Audiens autem hæc Ruben, dixit eis: [22] *Nónne locutus ſum vobis, dicens: Ne iniuria afficiatis puerum, & non exaudiſtis me? & ecce ſanguis eius exquiritur.* Nónne tunc, inqnit, conſulebam? nónne obſecrabam, ne quod peccatum in eum admitteretis? propterea nunc ſanguis eius exquiritur:

Peccatū cōmiſſum oſtendit ſuā abſurditatem.

καὶ οὐδενὸς ἐλέγχοντος, οὐδὲ εἰς μέσον ἄγοντος αὐτοὶ ἑαυτῶν κατήγοροι γίνονται. εἶπε γάρ, φησιν, ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ· ναὶ ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ, ὅτε κατεδέετο ἡμῶν, καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ. ἕνεκεν τούτου ἐπῆλθεν ἡμῖν πᾶσα ἡ θλῖψις αὕτη. τοιοῦτον γὰρ ἡ ἁμαρτία· ἐπειδὰν τελεσθῇ καὶ εἰς ἔργον ἔλθῃ, τότε τῆς οἰκείας ἀτοπίας δείκνυσι τὴν ὑπερβολήν. καὶ καθάπερ ὁ μεθύων, ὅταν μὲν πολὺν τὸν ἄκρατον ἕλκῃ, οὐδεμίαν αἴσθησιν λαμβάνει τῆς ἐκ τοῦ οἴνου γινομένης λύμης, μετὰ δὲ ταῦτα διὰ τῆς πείρας αὐτῆς μανθάνει τῆς βλάβης τὸ μέγεθος· οὕτω καὶ ἡ ἁμαρτία· μέχρι μὲν ἂν τελεσθῇ, σκοτοῖ τὸν λογισμόν, καὶ καθάπερ νεφέλη πυκνή, οὕτω πηροῖ τὴν διάνοιαν· ὕστερον δὲ τὸ συνειδὸς κατεξανιστάμενον παντὸς κατηγόρου σφοδρότερον καταξαίνει τὴν διάνοιαν, καὶ δείκνυσι τῶν γεγενημένων τὴν ἀτοπίαν. ὅρα γὰρ καὶ τούτοις νῦν εἰς αἴσθησιν ἐρχομένοις, καὶ ὅτε περὶ τοῦ παντὸς εἶδον ἑαυτοῖς ἐπικρεμάμενον τὸν κίνδυνον, τότε ἐξομολογουμένους τὰ παρ' αὐτῶν γεγενημένα, καὶ λέγοντας· ναὶ ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ. οὐχ ἁπλῶς οὐδὲ μάτην, φησί, ταῦτα ὑπομένομεν, ἀλλὰ δικαίως, καὶ σφόδρα δικαίως. δίκας γὰρ δίδομεν τῆς ἀπανθρωπίας καὶ τῆς ὠμότητος, ἧς περὶ τὸν ἀδελφὸν ἐπεδειξάμεθα· ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ, ὅτε κατεδέετο ἡμῶν, καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ. ἐπειδή, φησιν, ἀσυμπαθεῖς γεγόναμεν, καὶ πολλὴν ἐπεδειξάμεθα τὴν ὠμότητα, διὰ τοῦτο καὶ ἡμεῖς νῦν τῶν αὐτῶν πειρώμεθα. ἕνεκεν γὰρ τούτου ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ θλῖψις αὕτη. καὶ ταῦτα μὲν πρὸς ἀλλήλους διελέγοντο, νομίζοντες μηδενὸς τούτων ἐπακούειν τὸν Ἰωσήφ· ὡς γὰρ ἀγνοῶν καὶ οὐκ εἰδὼς αὐτῶν τὴν γλῶτταν, παρεσκεύασεν ἑρμηνέα μεταξὺ ἀμφοτέρων ἑστάναι, καὶ τὰ παρ' αὐτοῦ διασαφεῖν ἐκείνοις, καὶ τὰ παρ' ἐκείνων αὐτῷ ἑρμηνεύειν. ταῦτα δὲ ἀκούων ὁ Ῥουβὴν εἶπε πρὸς αὐτούς, οὐκ ἐλάλησα ὑμῖν, λέγων, μὴ ἀδικήσητε τὸ παιδάριον, καὶ οὐκ εἰσηκούσατέ μου, καὶ ἰδοὺ τὸ αἷμα αὐτοῦ ἐκζητεῖται. οὐ συνεβούλευσα, φησι, τότε; οὐ παρεκάλεσα, ὥστε μηδεμίαν ἀδικίαν περὶ αὐτὸν ἐπιδείξασθαι; διὰ τοῦτο νῦν τὸ αἷμα αὐτοῦ ἐκζητεῖται

τῇ γὰρ γνώμῃ αὐτὸν ἀνείλετε. εἰ γὰρ καὶ μὴ διὰ τοῦ λαιμοῦ τὸ ξίφος ὠσατε, ἀλλὰ βαρβάροις ἀνδράσιν αὐτὸν πεπράκατε, καὶ χαλεπωτέραν θανάτου δουλείαν αὐτῷ ἐπενοήσατε. διὰ τοῦτο τὸ αἷμα αὐτοῦ ἐκζητεῖται νῦν. ἐννόησον ὅσον ἐστὶν ὑπὸ τοῦ συνειδότος κατηγορεῖσθαι, καὶ τοῦτον τὸν κατήγορον διηνεκῶς ἔχειν ἐπικείμενον, καταβοῶντα καὶ τὴν παρανομίαν ὑπομιμνήσκοντα. καὶ ταῦτα ἤκουε μὲν Ἰωσήφ. αὐτοὶ δὲ οὐκ ᾔδεισαν, διὰ τὸ τὸν ἑρμηνέα μεταξὺ ἑστάναι. ἀλλ' οὐκ ἔτι λοιπὸν φέρειν ἠδύνατο, τῆς φύσεως τῆς ἀδελφικῆς καὶ τῆς συμπαθείας αὐτὸν ἐλεγχούσης. καὶ ἀποστραφείς, φησιν, ἀπ' αὐτῶν ἔκλαυσεν, ὥστε μὴ κατάδηλος αὐτοῖς γενέσθαι. καὶ πάλιν προσῆλθε πρὸς αὐτοὺς, καὶ εἶπεν αὐτοῖς· καὶ ἔλαβε τὸν Συμεῶνα, καὶ ἔδησεν αὐτὸν ἐναντίον αὐτῶν. ὅρα πῶς πάντα ποιεῖ, ὥστε εἰς φόβον αὐτοὺς ἐμβαλεῖν, ἵνα ὁρῶντες τὰ δεσμὰ τοῦ Συμεὼν, δήλους ἑαυτοὺς ποιήσωσιν, εἴ τινα περὶ τὸν ἀδελφὸν συμπάθειαν ἐπιδείκνυνται. πάντα γὰρ ταῦτα ποιεῖ βασανίζων αὐτῶν τὴν γνώμην, καὶ γνῶναι βουλόμενος, εἰ μὴ καὶ πρὸς τὸν Βενιαμὶν τοιοῦτοι γεγόνασι. διὰ τοῦτο καὶ τὸν Συμεῶνα ἐναντίον αὐτῶν δεσμεῖσθαι κελεύει, ἵνα βασανίσῃ αὐτοὺς μετὰ ἀκριβείας, καὶ ἴδῃ εἴ τινα φιλοστοργίαν περὶ αὐτὸν ἐνδείκνυνται. ἡ γὰρ περὶ τοῦτον φειδὼ παρεσκεύαζεν ἐπιταχῦναι τὴν τοῦ Βενιαμὶν παρουσίαν, ὅπερ ἐβούλετο γενέσθαι, ὥστε πληροφορίαν λαβεῖν ἐκ τῆς τοῦ ἀδελφοῦ παρουσίας. καὶ ἐνετείλατο, φησιν, ἐμπλῆσαι τὰ ἀγγεῖα αὐτῶν σίτου, καὶ ἀποδοῦναι τὸ ἀργύριον ἑκάστῳ εἰς τὸν σάκκον αὐτοῦ, καὶ δοῦναι αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν. καὶ ἐπιθέντες τοῖς ὄνοις αὐτῶν ἀπῆλθον. ὅρα πόσην φιλοτιμίαν ἐπιδείκνυται· καὶ ἄκοντας αὐτοὺς εὐεργετεῖ, οὐ τὸν σῖτον μόνον δεδωκὼς, ἀλλὰ καὶ τὰ ἀργύρια. λύσας δὲ εἷς ἐξ αὐτῶν τὸν μάρσιππον αὐτοῦ, ὥστε δοῦναι χορτάσματα τοῖς ὄνοις, ὁρᾷ τὸ ἀργύριον, καὶ εἶπε τοῖς ἀδελφοῖς αὐτοῦ. ἐπὶ τούτῳ ἐξέστη ἡ καρδία αὐτῶν, καὶ ἐταράχθησαν εἰς ἀλλήλους λέγοντες, τί τοῦτο ἐποίησεν ἡμῖν ὁ θεός; ἐναγώνιοι πάλιν γεγόνασιν, ὑφορώμενοι μὴ καὶ τοῦτο προσθήκη ἐγκλήματος αὐτοῖς γένηται, καὶ τὴν ἀπὸ τοῦ συνειδότος ἔχοντες κατηγορίαν, πάντα ἐπέγραφον τῇ ἁμαρτίᾳ τῇ εἰς τὸν Ἰωσὴφ ὑπ' αὐτῶν γεγενημένῃ. παραγενόμενοι δὲ πρὸς τὸν πατέρα, καὶ ἅπαντα μετὰ ἀκριβείας αὐτῷ ἀπαγγείλαντες, διηγήσαντο τὴν ἀγανάκτησιν τὴν κατ' αὐτῶν γεγενημένην παρὰ τοῦ ἄρχοντος τῆς Αἰγύπτου, καὶ ὅτι ἔθετο αὐτοὺς ἐν φυλακῇ, ὡς κατασκόπους. εἴπαμεν δὲ αὐτῷ, φασιν, ὅτι εἰρηνι-

A nam quantum ad propoſitum veſtrum, occidiſtis: licet enim non per gulam gladium non tranſmiſeritis; barbaris tamen viris eum vendidiſtis, & difficiliorem ei ſeruitutem excogitaſtis: ideo nunc ſanguis eius exquiritur. Cogita quãtũ ſit à conſciẽtia ſua accuſari, haberéque perpetuò vrgentem & clamantẽ accuſatorem, & ſcelus cõmemorantem. [23] *Et hæc audijt quidem Ioſeph, ipſi autem neſciuerunt eò quòd interprete vtebatur:* ſed non vltra ferre potuit, natura fraterna & compaſſione eum arguente. [24] *Et auerſus,* inquit, *ab eis, fleuit,* vt non fieret B eis manifeſtus. *Et iterum acceſſit ad eos, & locutus eſt eis.* [25] *Et accepit Symeonem & vinxit eum coram eis.* Vide quomodo omnia faciat, vt incutiat eis terrorem, videntibus vincula Symeonis, vt certior redderetur, an cum fratre aliquam compaſſionem haberent. Omnia enim hæc facit probans eorum mentem, & ſcire volens, num & contra Beniamin tales fuerint, propterea & Symeonem coram eis vinciri iubet, vt diligenter eos probet, & ſciret num quam dile- C ctionem erga illum haberent. Nam miſericordia in illum faciebat, vt citius Beniamin adducerent: q̃ fieri volebat, vt de aduẽtu fratris ſecur⁹ redderetur. *Et mãdauit,* inquit, *vt ſacci eorũ implerẽtur frumẽto, & reponeretur pecunia vniuſcuiuſque in ſaccum ſuum, & daretur eis viaticum in itinere: & cùm impoſuiſſent aſinis ſuis abierũt.* Vide quanta liberalitate vtatur, dum etiam inuitis eis benefacit: non frumentum ſolum dedit, ſed etiam pecuniam. [27] *Cùm autem vnus ex eis aperuiſſet ſaccum, vt daret pabulum aſinis,* [28] *vidit pecu-* D *niam, & dixit fratribus ſuis. Propter hoc attonitum eſt cor eorum, & turbati ſunt mutuò; dicentes: Cur hoc fecit nobis Deus?* Iterum magis anxij facti ſunt, ſuſpicantes ne & hoc augmentum eis eſſet criminum, & à conſcientia accuſati, omnia tribuebant peccato, quod in Ioſeph admiſerant. Cùm veniſſent autem ad patrem, & omnia ei manifeſtè declaraſſent, narrauerunt indignationem principis Ægypti, quam experti ſunt: & quòd poſuiſſet eos in cuſtodia, quaſi ſpeculatores. *Diximus autem ei,* inquiunt, *quòd pacifici ſimus,*

& quòd duodecim ſimus fratres, & quòd vnus non ſuperſit, minimus autem ſit cum patre noſtro: [33] *Dixit autem nobis: In hoc declarabitis quòd pacifici ſitis, ſi fratre vno hîc relicto,* [34] *adducetis fratrem veſtrum minorem: vt ſciam quòd non ſitis exploratores.* Hæc iterum exaſperauerunt iuſti mœſtitiam. Poſt narrationem autem hanc triſtem, cùm euacuaſſent omnes ſaccos ſuos, inuenit vnuſquiſq; pecuniam ſuam, & timuerunt ipſi & pater eorum. Et vide, oro, iterum hîc ſenem plorantem. Et quídnam dicit eis? [36] *Me abſque liberis eſſe feciſtis, Ioſeph non eſt, Symeon non eſt, & hunc Beniamin accipietis? Super me facta ſunt hæc omnia.* Non ſufficiebat mihi, inquit, luctus Ioſeph, ſed adieciſtis ei & Symeonem: & neque hic dolorum meorum finis eſt, ſed & Beniamin accipere vultis. Super me facta ſunt hæc omnia. Sufficiunt hæc verba, vt videatur quàm diſrupta fuerint patris viſcera. Quẽadmodum enim ipſi omnis ſpes de Ioſeph adempta erat, (putabat enim eum à beſtiis deuoratum) ita & neque de Symeone ſpem ſibi pollicebatur, nunc quoque idem de Beniamin formidat. Verumtamen reluctabatur adhuc, & non dabat puerum. [38] *Dixit autem ei Ruben primogenitus eius: Duos filios meos occide, ſi non reducam eum ad te. Da eum in manum meam, & ego reducam eum ad te.* Mihi, inquit, eum crede, mihi trade, & ego tibi eum reducam. Hoc autem faciebat Ruben, cogitans quòd non eſſet poſſibile, niſi puer ſimul deſcenderet, eos ad Ægyptum redire, & quæ ad alimenta pertinebant emere. Et nõ cedit pater, ſed dicit: [38] *Nequaquã deſcendet filius meus vobiſcum.* Deinde & cauſam dicit, quaſi rationem reddens pueris, *Quia frater eius mortuus eſt, & ipſe ſolus erat relictus. Et continget, eũ vtpote valde iuuenẽ in itinere lãguere, & deducetis ſenectutem meã cum triſtitia ad inferos.* Timeo, inquit, ætati adoleſcentis: & ſuſpicor ne etiam hac conſolatione priuatus, cum dolore vitam finiam. Quandiu enim ille mecum eſt, videor mihi habere aliquam conſolationem, & huius conſuetudo minuit mihi dolorẽ, quem ex fratre eius concepi. Et amor quidem erga Beniamin, non ſinebat pa-

A κοί ἐσμεν, καὶ ὅτι δώδεκά ἐσμεν ἀδελφοί· καὶ ὁ μὲν εἷς οὐχ ὑπάρχει, ὁ δὲ μικρότερος μετὰ τοῦ πατρὸς ἡμῶν. Εἶπε δὲ ἡμῖν, ἐν τούτῳ φανήσεσθε, ὅτι εἰρηνικοί ἐστε. ἀδελφὸν ἕνα ἄφετε ὧδε, καὶ ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον, καὶ γνώσομαι ὅτι οὐκ ἐστὲ κατάσκοποι. Ταῦτα πάλιν ἀνέξαινε τοῦ δικαίου τὰς ἀθυμίας. μετὰ γὰρ τῆς διηγήσεως ταύτης τῆς λυπηρᾶς καὶ τοὺς ἑαυτῶν μαρσίππους κενώσαντες, εὕρισκεν ἕκαστος τὸ ἀργύριον, καὶ ἐφοβήθησαν αὐτοί τε καὶ ὁ πατὴρ αὐτῶν. ἀλλ' ὅρα μοι πάλιν ἐνταῦθα τὸν πρεσβύτην ἀποδυρόμενον. τί γάρ φησι πρὸς αὐτούς; ἐμὲ ἠτεκνώσατε· Ἰωσὴφ οὐκ ἔστι. B Συμεὼν οὐκ ἔστι· καὶ τὸν Βενιαμὶν λήψεσθε; ἐπ' ἐμὲ ἐγένοντο ταῦτα πάντα. οὐκ ἤρκει μοί, φησι, τὸ πένθος τοῦ Ἰωσήφ, ἀλλὰ προσεθήκατε τούτῳ καὶ τὸν Συμεών; καὶ οὐδὲ μέχρι τούτου ἵσταταί μοι τὰ δεινά, ἀλλὰ καὶ τὸν Βενιαμὶν λαβεῖν βούλεσθε. ἐπ' ἐμὲ ἐγένοντο ταῦτα πάντα. ἱκανὰ τὰ ῥήματα δεῖξαι τοῦ πατρὸς διακοπτόμενα τὰ σπλάγχνα. καὶ γὰρ ὥσπερ τὰ κατὰ τὸν Ἰωσὴφ αὐτῷ ἀπηγόρευτο (ἐνόμιζε γὰρ θηρίων κατάβρωμα γεγενῆσθαι) οὕτω καὶ τὰ κατὰ τὸν Συμεῶνα ἀπηγόρευσε. λοιπὸν δὲ καὶ περὶ τοῦ Βενιαμὶν ἐδεδοίκει. ἀλλ' ὅμως ἀντεῖχεν ἔτι, C καὶ οὐκ ἐδίδου τὸν παῖδα. εἶπε δὲ αὐτῷ Ῥουβὴν ὁ πρωτότοκος αὐτοῦ· τοὺς δύο υἱούς μου ἀπόκτεινον, ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σέ. δὸς αὐτὸν εἰς τὰς χεῖράς μου, κἀγὼ ἄξω αὐτὸν πρὸς σέ. ἐμοὶ αὐτόν, φησι, πίστευσον, ἐμοὶ παράδος· ἐγώ σοι αὐτὸν ἐπανάξω. τοῦτο δὲ ἐποίει Ῥουβὴν, ἐννοῶν ὡς οὐχ οἷόν τε, μὴ τοῦ παιδὸς συγκατιόντος αὐτοῖς, πάλιν εἰς τὴν Αἴγυπτον ἀπελθεῖν, καὶ τὰ πρὸς διατροφὴν ὠνήσασθαι. ἀλλ' οὐκ ἐνδίδωσιν ὁ πατήρ· ἀλλά φησιν, οὐ καταβήσεται ὁ υἱός μου μεθ' ὑμῶν. εἶτα καὶ τὴν αἰ- D τίαν λέγει, ὥσπερ ἀπολογούμενος τοῖς παισίν· ὅτι ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανε, καὶ αὐτὸς μόνος καταλέλειπται. καὶ συμβήσεται ὡς νέον κομιδῇ μαλακισθῆναι ἐν τῇ ὁδῷ, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου. δέδοικα, φησι, τὸ νέον αὐτοῦ τῆς ἡλικίας, καὶ ὑφορῶμαι μὴ καὶ τῆς ταύτης παραμυθίας ἀποστερηθεὶς μετ' ὀδύνης τὸν βίον καταλύσω. μέχρι γὰρ ὅτε οὗτος σύνεστί μοι, δοκῶ μικράν τινα ἔχειν παραμυθίαν· καὶ ἡ τούτου συνουσία ὑποτέμνεταί τὴν ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ ἀθυμίαν. ἀλλ' ὁ μὲν πόθος ὁ περὶ τὸν Βενιαμὶν οὐ συνεχώρει τῷ πατρὶ

τοῦτον προσέσθαι. ὁ δὲ λιμὸς σφοδρότερος ἐγίνετο. καὶ ἐπέλιπεν αὖθις τὰ βρώματα, καί φησιν ὁ πατήρ, ἀπελθόντες πάλιν κομίσατε ἡμῖν μικρὰ βρώματα. εἶπε δὲ αὐτῷ Ἰούδας· διαμαρτυρίᾳ διεμαρτύρατο ἡμᾶς ὁ ἄνθρωπος, λέγων· οὐκ ὄψεσθε τὸ πρόσωπόν μου, ἐὰν μὴ ὁ νεώτερος ὑμῶν ἀδελφὸς μεθ' ὑμῶν ᾖ. εἰ μὲν οὖν ἀποστέλλεις τὸν ἀδελφὸν ἡμῶν, καταβησόμεθα, καὶ ἀγοράσομέν σοι βρώματα· εἰ δὲ μὴ ἀποστέλλεις, οὐ πορευσόμεθα. ὁ γὰρ ἄνθρωπος εἶπεν ἡμῖν, ὅτι οὐκ ὄψεσθέ μου τὸ πρόσωπον, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος ᾖ μεθ' ὑμῶν. μὴ νομίσῃς, φησίν, ἡμᾶς δύνασθαι ἄνευ τοῦ ἀδελφοῦ ἐκεῖ καταβῆναι. εἰ γὰρ βούλει τὸ ἄπρακτον ἡμῶν γενέσθαι τὴν κάθοδον, καὶ πάντας ἡμᾶς κινδύνῳ περιβληθῆναι, ἀπίωμεν. ἴσθι δὲ ὅτι διεμαρτύρατο ἡμᾶς, ὡς οὐκ ὀψόμεθα αὐτοῦ τὸ πρόσωπον, εἰ μὴ ὁ ἀδελφὸς ἡμῶν μεθ' ἡμῶν παραγένηται. στενὰ πάντοθεν τῷ Ἰακώβ. διὸ καὶ ἀποδυρόμενός φησι πρὸς αὐτούς. τί ἐκακοποιήσατέ με, ἀπαγγείλαντες τῷ ἀνθρώπῳ, ὅτι ἐστὶν ὑμῖν ἀδελφός; τί ἐκακοποιήσατέ με; διὰ τί, φησιν, ἐμοὶ τούτων τῶν κακῶν αἴτιοι γεγόνατε; εἰ γὰρ μὴ τοῦτον ἐγνωρίσατε, οὐκ ἂν τοῦ Συμεὼν ἀπεστερήθην, οὐκ ἂν τοῦτον ἐπεζήτησεν. οἱ δὲ εἶπον, ἐπηρώτησεν ἡμᾶς ὁ ἄνθρωπος, εἰ ἔτι ὁ πατὴρ ὑμῶν ζῇ, καὶ εἰ ἐστὶν ὑμῖν ἀδελφός. καὶ ἀπηγγείλαμεν αὐτῷ. μὴ ᾔδειμεν, ὅτι ἐρεῖ ἡμῖν, ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν; μὴ νομίσῃς, φησίν, ἡμᾶς ἑκόντας ὡμολογηκέναι τῷ ἀνδρὶ τὰ καθ' ἡμᾶς. ἐπειδὴ γὰρ, ὡς κατασκόποις ἡμᾶς ὑποπτεύσας κατεῖχεν, ἐπηρώτα δὲ μετ' ἀκριβείας τὰ καθ' ἡμᾶς, διὰ τοῦτο βουλόμενοι μετ' ἀληθείας πάντα αὐτὸν διδάξαι, ταῦτα εἰρήκαμεν. εἶπε δὲ πάλιν Ἰούδας πρὸς τὸν πατέρα αὐτοῦ· ἀπόστειλον τὸ παιδάριον μετ' ἐμοῦ, καὶ ἀναστάντες πορευσόμεθα, ἵνα ζῶμεν καὶ μὴ ἀποθάνωμεν. ἐμοί, φησιν, αὐτὸν ἐμπίστευσον, ἵνα ἤδη ἁψώμεθα τῆς ὁδοῦ. οὐδὲ γὰρ ἔτι ἔσται ἡμῖν σωτηρίας ἐλπὶς τῶν βρωμάτων ἀναλωθέντων, καὶ οὐδαμόθεν ἑτέρωθεν εὑρισκόντων παραμυθίαν. ἐγὼ δὲ δέχομαι αὐτὸν παρὰ σοῦ. ἐὰν μὴ ἀγάγω αὐτόν, καὶ στήσω ἐναντίον σου, ἡμαρτηκὼς ἔσομαι εἰς σὲ πάσας τὰς ἡμέρας. εἰ μὴ γὰρ ἐβραδύναμεν, ἤδη ἂν ὑπεστρέψαμεν δίς. ἡ περὶ τὸν παῖδα, φησι, συμπάθεια πᾶσιν ἡμῖν τὸν ὄλεθρον μέλλει προξενεῖν. φθάνομεν γὰρ ὑπὸ τοῦ λιμοῦ καταναλωθῆναι, εἰ μὴ βουληθῇς ἀπολύσας αὐτὸν ἐκπέμψαι ἡμᾶς.

A trem vt illum à ſe amādaret. [1] *Violentior autem fiebat fames, & deficiebant eis cibi.* [2] *Et dicit eis pater, Abite iterum, afferte nobis pauca edulia.* [3] *Dixit autem ei Iudas: Teſtando atteſtatus eſt nobis homo, dicens: Non videbitis faciem meam, niſi frater veſter iuior vobiſcum fuerit.* [4] *Itaque ſi mittis nobiſcum fratrem noſtrum iuniorem, deſcendemus, & ememus tibi frumenta:* [5] *ſin minus, non ibimus. Nam homo dixit nobis: Non videbitis faciem meam, niſi frater veſter iunior fuerit vobiſcum.* Ne putes, inquit, ſine fratre nos poſſe deſcendere illuc. Si enim vis no- B ſtrum deſcenſum irritum, & nos omninò periculis inuolui, viam noſtram abimus: ſcias autem quòd proteſtatus eſt ille, quòd non viſuri ſimus faciem eius, niſi frarer iunior nobiſcum aduenerit. Anguſtiæ vndique erant Iacob, ideo plorans dicit ad eos: [6] *Quare afflixiſtis me, quòd annunciaſtis viro quòd ſit vobis frater?* Cur me afflixiſtis? quare mihi horum malorum auctores factis eſtis? Nam ſi hoc ipſi non ſignificaſſetis, nequa- C quam Symeone priuatus eſſem, nec illum à vobis requiſiuiſſet. [7] *Illi autem dixerunt: interrogauit nos homo, num adhuc pater noſter viuat, & num ſit nobis frater, & annunciauimus ei. Neſciebamus quòd dicturus eſſet nobis,* [8] *adducite fratrem veſtrum.* Ne putes, inquit, ſpontè nos confeſſos eſſe viro, vt ſe habeant res noſtræ. Quoniam enim quaſi exploratores in ſuſpicionem venimus, nos vinxit: interrogauit autem diligenter de rebus noſtris, & vt verè omnia teſtaremur, talia diximus. D *Dixit autem rurſus Iudas ad patrem ſuum: Mitte puerum mecum, & ſurgentes ibimus, vt viuamus, & non moriamur.* Meæ, inquit, fidei illum credito, vt accingamus nos itineri. Conſumptis enim cibis, nulla nobis ſalutis ſpes erit, neque aliunde conſuli nobis poterit. [9] *Ego accipio eum à te, niſi reduxero eum, & ſtatuero coram te, ero ille qui peccaui tibi omnibus diebus.* [10] *Niſi enim tamdiu morati fuiſſemus, iam ſecūdò reuertiſſemus.* Cōpaſſio quā exhibemus puero, inquit, nobis omnibus erit cauſa interitus. Fame enim peribimus, niſi eum no-

Capvt. XLIII.

Iudas ſuſcipit Beniamin.

biſcum velis dimittere. Vide nunc hîc dilecte, quomodo famis neceſſitas patris amorem vicerit. Videns autem quòd non aliunde famis conſolationem habere poſſet, & fames indies magis & magis increſceret: Si ita eſt, inquit, & oportet hoc omnino fieri, & non poteſtis deſcendere, niſi hunc acceperitis: debetis & dona afferre viro, & referre pecuniam, quam in ſaccis veſtris inueniſtis. Accipite autem & pecuniam aliam, vt emere poſſitis frumenta, & fratrem veſtrum accipite. *Surgite igitur, & deſcendite ad hominem,* [14] *Deus autem meus det vobi gratiam coram homine, & mittat fratrem veſtrum vnum, & Beniamin. Ego autem quemadmodum liberis orbatus fui, liberis orbatus ſum.* Vide quomodo eximiam ſuam dilectionem declarat, quam erga Ioſeph habuit: Ne quis enim exiſtimet de Symeone, vel de Beniamin hoc eſſe dictum: Ego enim, inquit, ſicut filii orbatus fui, filiis orbatus ſum. Deus autem meus det vobis gratiam, & mittat fratrem veſtrum illum vnum, & Beniamin. Nam licet illi, inquit, ſalui fuerint, ego quaſi liberis caream, orbus ſum. Cogita hîc, quomodo totius amori Ioſeph deditus ſit. Videns enim tãtum chorum liberorum ſe circumſtãtem, abſque filiis ſe eſſe putauit, quia illo priuatus erat. [15] *Acceperunt autem* inquit, *viri dona, & pecuniam duplicem, & Beniamin, & deſcenderunt in AEgyptum, & ſteterunt coram Ioſeph.* [16] *Vidit autem eos Ioſeph, & Beniamin fratrem ſuum.* Quod deſiderabat, vidit tam optatum ſibi. Vidit ſatisfactũ ſuo deſiderio. *Et dixit*, inquit, *præfecto domui ſuæ: Introduc homines in domum, & occide victimas: mecum enim comedent viri.* [18] *vt viderunt autem quòd introducti ſunt in domum Ioſeph, dixerunt: Propter pecuniam, quæ rediit in ſaccos noſtros in principio, inducimur, vt calumniã nobis intentet, & imponat nobis, & accipiat nos in ſeruos, & aſinos noſtros.* Ioſeph quidem ſuam erga illos benignitatem declarans, omnia diſponebat: illi autem anxij fuerunt, ſuſpicantes ne pecuniarum gratia pœnas luant, tanquã etiã in hoc malè feciſſent. Et propterea cùm acceſſiſſent, cauſam triſtitiæ proferunt præfecto

A βλέπε λοιπὸν ἐνταῦθα, ἀγαπητὲ, πῶς ἡ τοῦ λιμοῦ ἀνάγκη ἐνίκησε τὴν φιλοστοργίαν τοῦ πατρός. ὁρῶν γὰρ οὐδεμίαν αὐτοὺς εὑρίσκοντας παραμυθίαν ἑτέραν, καὶ τὸν λιμὸν ἐπιτεινόμενον, φησίν· Εἰ οὕτως ἐστὶ, καὶ τοῦτο δεῖ πάντως γενέσθαι, καὶ οὐχ οἷόν τε ὑμᾶς κατελθεῖν, εἰ μὴ καὶ τοῦτον λάβοιτε, ὀφείλετε καὶ δῶρα ἀποκομίσαι τῷ ἀνδρί. καὶ τὸ ἀργύριον δὲ, ὅπερ ἐν τοῖς μαρσίπποις ὑμῶν εὑρήκατε, ἀπαγάγετε, καὶ ἕτερον ἀργύριον, ὥστε πρίασθαι. καὶ τὸν ἀδελφὸν ὑμῶν λάβετε, καὶ ἀναστάντες κατάβητε πρὸς τὸν ἄνθρωπον. ὁ δὲ θεός μου δῴη ὑμῖν χάριν ἐναντίον τοῦ ἀνθρώπου, καὶ ἀποστεῖλαι τὸν
B ἀδελφὸν ὑμῶν τὸν ἕνα, καὶ τὸν Βενιαμίν. ἐγὼ γὰρ καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι. ὅρα πῶς τὴν ἄφατον αὐτοῦ φιλοστοργίαν ἐπιδείκνυται, ἣν περὶ τὸν Ἰωσὴφ ἐκέκτητο. ἵνα γὰρ μή τις νομίσῃ περὶ τοῦ Βενιαμὶν, ἢ περὶ τοῦ Συμεὼν εἰρῆσθαι, τὸ ἐγὼ γὰρ καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι, διὰ τοῦτο προλαβών φησιν, ὁ δὲ θεός μου δῴη ὑμῖν χάριν, καὶ ἀποστείλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα, καὶ τὸν Βενιαμίν. εἰ καὶ ὅτι, φησὶ, κἂν οὗτοι διασωθῶσιν, ἀλλ' ἐγὼ καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι. ἐν-
C νόει πῶς ὅλως τῇ εὐνοίᾳ τῇ Ἰωσὴφ ἦν προσκείμενος. ὁρῶν γὰρ τοσούτων χορὸν παίδων αὐτοῦ περιεστῶτα, ἄτεκνον ἑαυτὸν εἶναι ἐνόμιζεν, ἐπειδὴ ἐκείνου ἀπεστέρητο. λαβόντες δέ, φησιν, οἱ ἄνδρες τὰ δῶρα, καὶ τὸ ἀργύριον διπλοῦν, καὶ τὸν Βενιαμὶν, κατέβησαν εἰς Αἴγυπτον, καὶ ἔστησαν ἐναντίον Ἰωσήφ. εἶδε δὲ αὐτοὺς ὁ Ἰωσὴφ, καὶ τὸν Βενιαμὶν τὸν ἀδελφὸν αὐτοῦ. ὅπερ ἐπεθύμει, ἐθεάσατο τὸν αὐτῷ περιπόθητον. εἶδεν εἰς ἔργον ἐξελθοῦσαν αὐτῷ τὴν σπουδὴν, καὶ εἶπε, φησι, τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ· εἰσάγαγε τοὺς ἀνθρώπους εἰς τὴν οἰκίαν, καὶ σφάξον θύματα. μετ' ἐμοῦ γὰρ φάγονται
D οἱ ἄνθρωποι. ἰδόντες δὲ ὅτι εἰσήχθησαν εἰς τὸν οἶκον τοῦ Ἰωσὴφ, εἶπον, διὰ τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς μαρσίπποις ἡμῶν τὴν ἀρχὴν, ἡμεῖς εἰσαγόμεθα, τοῦ συκοφαντῆσαι ἡμᾶς καὶ ἐπιθέσθαι ἡμῖν, τοῦ λαβεῖν ἡμᾶς εἰς παῖδας, ἡμᾶς τε καὶ τοὺς ὄνους ἡμῶν. ὁ μὲν Ἰωσὴφ τὴν περὶ αὐτοὺς φιλοφροσύνην ἐπιδεικνύμενος ἅπαντα διετάττετο· ἐκεῖνοι δὲ καὶ οὕτως ἐναγώνιοι γίνονται, ὑφορώμενοι μὴ τῶν ἀργυρίων ἕνεκα δίκας εἰσπραχθῶσιν, ὡς καὶ ἐν τούτῳ κακουργήσαντες. καὶ διὰ τοῦτο προσελθόντες τὴν αἰτίαν τοῦ ἀγῶνος κατάδηλον ποιοῦσι τῷ ἐπὶ τῆς οἰκίας,

A καὶ διηγοῦνται, ὅπως τὰ ἀργύρια ἐν τοῖς μαρσίπποις εὗρον, καὶ φασιν, ὅτι διὰ τοῦτο διπλοῦν νῦν ἐκομισάμεθα μεθ' ἑαυτῶν τὸ ἀργύριον, ὡς καὶ τὰ πρότερα ἀποδοῦναι, καὶ ἀγοράσαι βρώματα. ὅρα πῶς αἱ συμφοραὶ κατελέαναν αὐτῶν τὸν λογισμὸν, καὶ ἐποίησαν αὐτοὺς ἐπιεικεστέρους. εἶπε δὲ αὐτοῖς· ἵλεως ὑμῖν, μὴ φοβεῖσθε, ὁ θεὸς ὑμῶν, καὶ ὁ θεὸς τοῦ πατρὸς ὑμῶν ἔδωκεν ὑμῖν θησαυροὺς ἐν τοῖς μαρσίπποις ὑμῶν. τὸ γὰρ ἀργύριον ὑμῶν εὐδοκιμοῦν ἀπέχω. μὴ δεδιᾶτε, φησι, μηδὲ τούτου ἕνεκεν ἀγωνιᾶτε. οὐδεὶς ὑμῖν ταύτης ἕνεκεν τῆς αἰτίας ἔγκλημα προσάψει. καὶ γὰρ τὸ ἀργύριον πεπληρώμεθα· B τοῦ δὲ θεοῦ ἡγεῖσθε, καὶ τοῦτο γεγενῆσθαι, καὶ θησαυροὺς ὑμῖν δεῖξαι ἐν τοῖς μαρσίπποις ὑμῶν. καὶ ταῦτα εἰρηκὼς ἐξήγαγε τὸν Συμεὼνα καὶ ἤνεγκεν ὕδωρ νίψαι τοὺς πόδας αὐτῶν, καὶ χορτάσματα ἔδωκε τοῖς ὄνοις αὐτῶν. ὅρα πῶς ἡ εὐχὴ τοῦ πατρὸς πάντα αὐτοῖς κατευόδου, καὶ καθάπερ ἐκεῖνος αὐτοῖς ἐπηύξατο εἰπὼν, ὁ θεὸς τοῦ πατρός μου χάριν ὑμῖν δῴη, οὕτως ἅπαντα ἐγίνετο· καὶ πᾶσαν φιλοφροσύνην πρὸς αὐτοὺς ἐπεδείκνυτο καὶ πρὸ τῆς παρουσίας τοῦ Ἰωσὴφ ὁ τὴν οἰκίαν πεπιστευμένος. ἡτοίμασαν δὲ τὰ δῶρα τῷ Ἰωσὴφ, καὶ εἰσελθόντι αὐτῷ C προσήνεγκαν, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ τὴν γῆν. καὶ πάλιν πυνθάνεται αὐτῶν, εἰ ὑγιαίνει ὁ πατὴρ ὑμῶν, ὁ πρεσβύτης, ὃν εἴπατε, ἔτι ζῇ; οἱ δὲ εἶπον, ὑγιαίνει ὁ παῖς σου ὁ πατὴρ ἡμῶν. καὶ εἶπεν, εὐλογητὸς ὁ ἄνθρωπος ἐκεῖνος τῷ θεῷ. καὶ κύψαντες προσεκύνησαν. εἶδε δὲ τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον, καὶ εἶπεν· οὗτος ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος, ὃν εἴπατε πρὸς με ἀγαγεῖν; καὶ εἶπεν, ὁ θεὸς ἐλεήσαι σε τέκνον. σκόπει πόσην καρτερίαν ἐπιδείκνυται· καὶ ἔτι ἄγνοιαν προσποιεῖται, ἵνα διὰ τῶν ἑξῆς γινομένων δοκιμὴν αὐτῶν τῆς γνώμης λαβεῖν δυνηθῇ, ὅπως πρὸς τὸν Βενιαμὶν διάκειται. D καὶ ἐπειδὴ ὑπὸ τῆς φύσεως αὐτῆς ἐνικᾶτο, συνεστρέφετο αὐτοῦ, φησι, τὰ σπλάγχνα, καὶ ἐζήτει κλαῦσαι. εἰσελθὼν δὲ εἰς τὸ ταμιεῖον ἔκλαυσεν ἐκεῖ. καὶ νιψάμενος τὸ πρόσωπον ἐξῆλθε, καὶ λοιπὸν τὴν παρ' ἑαυτοῦ ἐπιδείκνυται φιλοφροσύνην, καί φησι, παράθετε ἄρτους. καὶ παρέθηκαν αὐτῷ μόνῳ (ἅτε δὴ ὡς βασιλεῖ καὶ ἄρχοντι πάσης Αἰγύπτου) κἀκείνοις καθ' ἑαυτοὺς, καὶ τοῖς Αἰγυπτίοις τοῖς συνδειπνοῦσι μετ' αὐτοῦ καθ' ἑαυτούς. οὐδὲ γὰρ ἐδύναντο οἱ Αἰγύπτιοι συνεσθίειν μετὰ τῶν Ἑβραίων. βδέλυγμα γάρ ἐστι τοῖς Αἰγυπτίοις.

domus, & narrant quomodo pecuniam in ſaccis inuenerint, & dicunt: *Propterea duplicem nunc attulimus pecuniam nobiſcū, vt & priorem reſtituamus, & nunc denuo emamus frumenta.* Vide quomodo calamitates eorum mitigarint, eoſq; reddiderint manſuetiores. *Dixit autem eis: Propitius vobis: Non timete, Deus veſter, & Deus patrum veſtrorum dedit vobis theſauros in ſaccis veſtris, pecuniam veſtram bene probatam habeo.* Ne timeatis, inquit, neque huius gratia anxij ſitis. Nullum vobis inde crimen imponetur, pecuniam plenè accepimus. A Deo putate hoc eſſe factum, & theſauros vobis in marſupiis veſtris eſſe monſtratos. [24] *Et cum hæc dixiſſet, eduxit Simeonem, & attulit aquam, vt lauarentur pedes eorum, & pabula dedit aſinis eorum.* Vide quomodo preces patris omnia eis proſpera faciebant: & ſicut ille eis apprecatus eſt, cùm dixit, Deus patris mei gratiam vobis det: ita omnia facta ſunt: & præfectus domus etiam ante aduentum Ioſeph omnem eis benignitatem exhibuit. [25] *Parauerunt autem dona Ioſeph,* [26] *& obtulerunt ei cùm egreſſus eſſet, & adorauerunt eum ſuper terram.* [27] *Et iterum interrogauit eos, Num bene habet pater veſter ſenior, quem dixiſtis viuere?* [28] *At illi dixerunt: Sanus eſt ſeruus tuus pater noſter. Et dixit: Benedictus homo ille Deo, & curuati adorauerunt.* [29] *Vidit autem fratrem ſuum vterinum, & dixit: Hic eſt frater veſter iunior, de quo dixeratis mihi, vt duceretis ad me? & dixit: Deus miſereatur tui fili.* Conſidera quantā fortitudinē præ ſe ferat, & adhuc ignorantiam ſimulet, vt per ſequentia experimentum animi ipſorum accipere poſſit quomodo ſint affecti erga Beiamin. Et quia vincebatur à natura ſua, [30] *conturbabātur,* inquit, *viſcera eius, & quærebat vt fleret. Ingreſſus autē in cubiculum, fleuit illis:* [31] *& abluta facie exiuit, & poſtea ſuam demonſtrat benignitatem, & dicit: Apponite panes.* [32] *Et appoſuerūt ei ſoli,* (vtpote tāquā regi & principi toti⁹ Ægypti) *& illis ſeorſum, & AEgyptiis qui ſimul coenabāt cū eo ſeorſum. Non enim poſſunt AEgyptij comedere cum Hebræis: abominatio enim eſt AEgyptiis.*

33 *Sederunt autem coram eo, qui primus, ſecundùm antiquitatem ſuam, & iunior ſecundùm iuuentutem ſuam.* Hoc illos ſtuporem adduxit, & valde dubio animo fuerunt, vndénam ei cognitio tam variæ illorum ætatis. Et cùm daret omnibus partes, Beniamin quintuplices dat. Et neque ſic ſentiunt quæ fiebant, ſed putabant fortuito quodam euentu ab eo fieri, & quòd adoleſcentior eſſet. Cumq; finitum eſſet conuiuium. *Vocauit,* inquit, *Ioſeph eum qui domui ſuæ præerat, & mandauit ei, dicens: Imple ſaccos hominum frumentis, quanta ferre poterunt, & pecuniam ſimiliter in ſaccos ſingulorum,* 2

CAPVT. XLIV.

2 *& ſcyphum argenteum mitte in ſaccum iunioris.* Vide iterum qualem artem excogitet, vt diligentiſſimè mentem fratrum exploret, quam erga fratrem ſuum Beniamin habeant. *Et his factis, dimiſit eos. Et cùm iam arripuiſſent iter, dixit præfecto domus ſuæ: Surge, perſequere eos, & dices:* 5 *Quare retribuiſtis mala pro bonis? Quare furati eſtis ſcyphum meum argenteum? Nónne hic eſt è quo bibit dominus meus? Ipſe autem auguratur in eo mala: conſummaſtis, quæ feciſtis.* Poſtquam autem inuenit eos, inquit, dicit eis: Quare benefactori mala rependiſtis? quare malitiam veſtram eouſque extendiſtis, vt ad eum quoque pertingeret qui erga vos tantam oſtendit benignitatem? Quare non reueriti eſtis viri erga vos magnanimitatem? Quæ tanta malitia? quæ inſania qua inſanitis? Neſcitis quòd hoc ſit vas, in quo dominus meus auguratur? Malum eſt hoc opus veſtrum, pernicioſum propoſitũ, venia indignus conatus, magna audacia, & omnem tranſcendens malitiam. 7 *Illi autem dixerunt: Quare loquitur Dominus iuxta verba hæc?* Quare, inquit, obiicis nobis hoc crimen, à quo omnino ſumus immunes? Abſit vt ſerui tui iuxta verbum hoc faciant, abſit à nobis vt tale quid vnquam attentamus. 8 *Nam qui pecuniam duplicem attulimus, quo pacto furaremur argentum vel aurum? Quòd ſi hoc putas,* 9 *apud quem inuentum fuerit vas, quòd inquiris, ille quidem moriatur, vt qui tale fecerit opus, nos autem ſerui erimus.* Conſcientiæ bonæ fiducia faciebat eos tam fidenter loqui.

A ἐκάθισε δὲ ἐναντίον αὐτοῦ ὁ πρῶτος κατὰ τὰ πρεσβεῖα αὐτοῦ, καὶ ὁ νεώτερος κατὰ τὴν νεότητα αὐτοῦ. τοῦτο ἐκείνους εἰς ἔκπληξιν ἦγε, καὶ ἐν ἀπορίᾳ καθίσαντο, πόθεν αὐτῷ ἡ γνῶσις ἐγένετο τῆς διαφορᾶς τῶν ἡλικιῶν. καὶ πᾶσι δοὺς μερίδας, τῷ Βενιαμὶν πενταπλάσιον δίδωσι. καὶ οὐδὲ οὕτως αἰσθάνονται τῶν γινομένων, ἀλλ' ἐνόμιζον ἁπλῶς συντυχίᾳ τινὶ γίνεσθαι ταῦτα παρ' αὐτοῦ, ὡς ἅτε δὴ πρὸς νέον. καὶ τέλος λαβούσης τῆς ἑστιάσεως, καλέσας, φησὶν, ὁ Ἰωσὴφ τὸν ἐπὶ τῆς οἰκίας αὐτοῦ ἐνετείλατο αὐτῷ, λέγων· πλῆσον τοὺς μαρσίππους τῶν ἀνθρώπων βρωμάτων, ὅσα ἂν δύνωνται

B ἆραι, καὶ τὸ ἀργύριον ὡσαύτως ἑκάστου εἰς τὸν μάρσιππον αὐτοῦ, καὶ τὸ κόνδυ τὸ ἀργυροῦν ἔμβαλε εἰς τὸν μάρσιππον τοῦ νεωτέρου. ὅρα πάλιν οἵαν μηχανὴν ἐξευρίσκει, ὥστε δοκιμὴν ἀκριβεστάτην λαβεῖν τῆς τῶν ἀδελφῶν γνώμης, ἣν περὶ τὸν Βενιαμὶν ἐπεδείκνυντο. καὶ τούτων γενομένων ἀπέλυσεν αὐτούς. καὶ ἐπειδὴ ἥψαντο τῆς ὁδοῦ, εἶπέ, φησι, τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ· ἀναστὰς ἐπιδίωξον ὀπίσω αὐτῶν, καὶ ἐρεῖς, τί ὅτι ἀνταπεδώσατε πονηρὰ ἀντὶ καλῶν; ἵνα τί ἐκλέψατέ μου τὸ κόνδυ τὸ ἀργυροῦν; οὐ τοῦτό ἐστιν, ἐν ᾧ πίνει ὁ κύριός μου; αὐτὸς δὲ οἰωνί-

C ζεται ἐν αὐτῷ. πονηρὰ συντετέλεσαι, ἃ πεποιήκατε. εὑρὼν δὲ αὐτούς, φησιν, εἶπεν αὐτοῖς· τί τοῖς ἐναντίοις τὸν εὐεργέτην ἠμείψασθε; διατί τὴν οἰκείαν πονηρίαν καὶ μέχρι τοῦ τοσαύτην περὶ ὑμᾶς τὴν φιλοφροσύνην ἐπιδειξαμένου ἐξετείνατε; διατί οὐκ ᾐδέσθητε τοῦ ἀνδρὸς τὴν περὶ ὑμᾶς μεγαλοψυχίαν; τίς ἡ τοσαύτη κακουργία; τίς ἡ μανία, ἣν ἐμάνητε; οὐκ ἴστε ὅτι τοῦτο ἐστὶ τὸ σκεῦος, ἐν ᾧ ὁ κύριός μου οἰωνίζεται; πονηρὰ ὑμῶν ἡ πρᾶξις, ὀλεθρία ἡ γνώμη, ἀσύγγνωστος ἡ ἐπιχείρησις· μεγάλη ἡ τόλμα, πᾶσαν πονηρίαν

D ὑπερακοντίζουσα. οἱ δὲ εἶπον αὐτῷ· ἵνα τί λαλεῖ ὁ κύριος κατὰ τὰ ῥήματα ταῦτα; τίνος ἕνεκεν φησὶν ἐπιφέρεις ἡμῖν ἔγκλημα, οὗ πάντη ἐσμὲν ἀνεύθυνοι; μὴ γένοιτο τοῖς παισί σου ποιῆσαι κατὰ τὸ ῥῆμα τοῦτο. μὴ ἡμῖν ποτε τοῦτο γένοιτο διαπράξασθαι. οἱ γὰρ τὸ ἀργύριον διπλοῦν ἀπενεγκάμενοι, πῶς ἂν ὑφελοίμεθα ἀργύριον, ἢ χρυσίον; εἰ δὲ τοῦτο νομίζεις, παρ' ᾧ ἂν εὑρεθῇ τὸ σκεῦος, ὅπερ ἐπιζητεῖς, αὐτὸς μὲν ἀποθνησκέτω, ὡς τοσοῦτον δράσας τόλμημα· ἡμεῖς δὲ δοῦλοι ἐσόμεθα. ἡ γὰρ ἀπὸ τοῦ συνειδότος παρρησία παρεσκεύαζεν αὐτοὺς μετὰ τοῦ θαρρεῖν ταῦτα διαλέγεσθαι.

ὁ δὲ, φησιν, εἶπε, καὶ νῦν, ὡς λέγετε, οὕτως ἔςαι. A
παρ᾽ ᾧ ἂν εὑρεθῇ τὸ κόνδυ, οὗτος ἔςαι μου παῖς μόνος· ὑμεῖς δὲ ἀπολυθήσεσθε. καὶ ταῦτα εἰπόντες ἐπέτρεπον αὐτῷ τὴν ἔρευναν ποιήσασθαι. καὶ ἠρεύνα ἀπὸ τοῦ πρεσβυτέρου ἀρξάμενος, ἕως ἦλθεν ἐπὶ τὸν Βενιαμίν. καὶ τὸν ἐκείνου μάρσιππον ἀνοίξας εὑρίσκει τὸ κόνδυ. τοῦτο ἐσκότωσεν αὐτῶν τὸν λογισμόν. καὶ διέρρηξαν, φησι, τὰ ἱμάτια αὐτῶν, καὶ ἐπέθηκαν πάλιν τοὺς μαρσίππους αὐτῶν, καὶ ἐπέστρεψαν εἰς τὴν πόλιν. καὶ εἰσελθὼν ὁ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πρὸς τὸν Ἰωσὴφ ἔπεσον ἐναντίον αὐτοῦ ἐπὶ τὴν γῆν. ὅρα ποσάκις τὴν προσκύνησιν ποιοῦνται. εἶπε δὲ αὐτοῖς Ἰωσήφ. τί τοῦτο πεποιήκατε; οὐκ B
οἴδατε ὅτι οἰωνισμῷ οἰωνίζομαι ἐν αὐτῷ; εἶπε δέ, φησιν, Ἰούδας, τί ἀντεροῦμεν, ἢ τί λαλήσομεν τῷ κυρίῳ, ἢ τί δικαιωθῶμεν; ὁ δὲ θεὸς εὗρε τὴν ἀδικίαν τῶν παίδων σου. πάλιν ἑαυτοὺς ἀναμιμνήσκουσι τῶν ἤδη εἰς αὐτὸν παρ᾽ αὐτῶν γεγενημένων. ἰδού ἐσμεν οἰκέται τῷ κυρίῳ ἡμῶν καὶ ἡμεῖς, καὶ παρ᾽ ᾧ εὑρέθη τὸ κόνδυ. τέως πολλὴν ἐπιδείκνυνται τὴν εὐγνωμοσύνην, καὶ ἑαυτοὺς ἅμα τῷ ἀδελφῷ τῇ δουλείᾳ ὑποτάττουσιν. εἶπε δέ, φησιν, Ἰωσήφ· μή μοι γένοιτο ποιῆσαι τοῦτο. ὁ ἄνθρωπος, παρ᾽ ᾧ εὑρέθη τὸ κόνδυ, αὐτὸς ἔςαι μου παῖς· ὑμεῖς C
δὲ ἀνάβητε μετὰ σωτηρίας πρὸς τὸν πατέρα ὑμῶν. ὅρα πῶς, ὅπερ ἐδεδοίκει ὁ πατήρ, τοῦτο αὐτοῖς συμβέβηκε. καὶ θόρυβον ὑπομένουσι καὶ ταραχήν, οὐκ εἰδότες ὅ,τι καὶ πράξωσιν. ἐγγίσας δέ, φησιν, Ἰούδας εἶπεν. ἐπειδὴ γὰρ καὶ αὐτὸς ἦν ὁ παρὰ τοῦ πατρὸς αὐτὸν δεξάμενος καὶ εἰπών, ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σέ, ἔσομαι ἡμαρτηκὼς ἐναντίον σου πάσας τὰς ἡμέρας, διὰ τοῦτο πλησίον γενόμενος διηγεῖται ἅπαντα μετὰ ἀκριβείας αὐτῷ, ἵνα εἰς συμπάθειαν αὐτὸν ἐφελκυσάμενος παρασκευάσῃ ἀφεῖναι τὸν παῖδα. ἐγγίσας γὰρ αὐτῷ Ἰούδας εἶπε· δέομαι κύριε, D
λαλησάτω ὁ παῖς σου. σκόπει πῶς δι᾽ ὅλου ὡς δεσπότῃ δοῦλος διαλέγεται· καὶ μνημόνευέ μοι τῶν ὀνειράτων, τῶν δραγμάτων, ἐξ ὧν καὶ μείζονα τὸν κατ᾽ αὐτοῦ φθόνον ἠκόνησαν, καὶ ἐκπλήττου τὴν εὐμήχανον τοῦ θεοῦ σοφίαν, ὅπως τοσούτων κωλυμάτων ἐν μέσῳ γενομένων εἰς ἔργον ἅπαντα ἐξήχθη. λαλησάτω, φησιν, ὁ παῖς σου ἐναντίον σου, καὶ μὴ θυμωθῇς τῷ παιδί σου, κύριε. σὺ ἠρώτησας τοὺς παῖδάς σου, λέγων· εἰ ἔχετε πατέρα, ἢ ἀδελφόν; καὶ εἴπαμεν τῷ κυρίῳ, ἔςιν ἡμῖν πατὴρ πρεσβύτερος καὶ παιδίον γήρως νεώτερον αὐτῷ, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν.

Ille autem, inquit, *dixit: Et nunc ſicut dixiſtis, erit. Apud quem inuentum fuerit populum, hic ſolus meus ſeruus erit, vos autem dimittemini.* Et cùm hæc dixiſſent, permiſerunt ei vt ſcrutinium faceret: [12] *& ſcrutatus eſt initio à ſeniore facto, donec veniret ad Beniamin, & illius aperto ſacco, inuenit poculum.* Hoc confudit eorum mentem. [13] *Et diſruperunt,* inquit, *veſtimenta ſua: & impoſuerunt iumentis iterum ſaccos, & reuerſi ſunt in ciuitatem.* [14] *Et ingreſſus Iudas, & fratres ſui ad Ioſeph, ceciderunt coram eo ſuper terram.* Vide quoties adorationem faciunt. [15] *Dixit autem eis Ioſeph: Quare hoc feciſtis? neſciebatis quòd augurando in hoc auguror?* [16] *Dixit autem,* inquit, *Iudas: Quid contradicemus, vel quid loquemur Domino, vel quo iuſtificabimur? Deus autem inuenit iniuſtitiam ſeruorum tuorum.* Iterum reuocant ſibi in memoriã ea, quę olim contra eum illum fecerũt. *Ecce ſumus ſerui Domino noſtro & nos, & ille apud quem inuentum eſt poculum.* Iam magnã declarant beneuolentiam, & ſeipſos cum fratre in ſeruitutem ſubiiciũt. *Dixit autem Ioſeph: Abſit vt hoc faciam, homo apud quem inuentum fuerit poculum, ille erit meus ſeruus: vos autem aſcendite cum ſalute ad patrem veſtrũ.* Vide, quod timebat pater, hoc eis contigit: & in tam magnã deuenerũt turbationem, vt quid facerent neſcirent. *Appropinquauit autẽ Iudas,* inquit, *& dixit:* Quia ipſe erat ille qui & à patre eum acceperat, & dixerat: Niſi reduxero eum ad te, ero tibi obnoxius omnibus diebus, idcirco & propior factus diligẽter narrat ei omnia, vt in commiſerationem eo adducto, liberari faceret puerũ. *Appropinquauit enim,* inquit, *ei Iudas, & dixit: Oro Domine, loquatur ſeruus tuus.* Attẽde, quomodo per omnia vt domino ſeruus loquitur, & in memoria habe ſomnia manipulorum, propter quę maiorẽ erga eũ inuidiã acuerãt, & obſtupeſce ſolertẽ Dei ſapiẽtiam, quomodo tantis obſtaculis in medio poſitis, omnia opere ſunt impleta. *Loquatur,* inquit, *ſeruus tu⁹ corã te, & ne iraſcaris ſeruo tuo domine. Tu interrogaſti ſeruos tuos, dicens: Habetiſne fratem vel patrem: & kiximus domino. Eſt nobis pater ſenex, & puerum ſenectutis iuuenem habet, & frater eius mortuus eſt.*

Ioſeph mortu' putatur à fratribus.

Cogita hîc, quomodo ſe habuerit Ioſeph hæc audiens. *Ille ſolus relictus eſt patri ſuo, pater autem eum diligit.* Quare autem & hic mentitur, ſic dicens: Frater eius mortuus eſt? Atqui eum negotiatoribus vendiderant. Verùm quia ſic patri perſuaſerunt, quaſi occiſus eſſet, & à beſtiis deuoratus: aliter etiam: quia non putauerunt eum potuiſſe ferre barbarorum ſeruitutem, & iam eſſe mortuum, & idcirco dicit: Frater eius mortuus eſt. 21 *Dixiſti autem ſeruis tuis. Deducite eum ad me, & curam habebo ipſius.* 23 *Et dixiſti: Niſi deſcendat frater veſter vobiſcum, non apponetis vt videatis faciem meam.* 24 *Factum eſt autem, quando aſcendimus ad ſeruum tuum patrem noſtrum, annunciauimus ei verba Domini.* 25 *Dixit autem pater noſter nobis: Ite iterum, emite nobis pauca cibaria.* 26 *Nos autem diximus ei: Non potuerimus deſcendere, niſi frater noſter deſcendat nobiſcum.* 27 *Dixit autem ſeruus tuus pater noſter: Vos ſcitis, quòd duos peperit mihi vxor,* 28 *& egreſſus eſt vnus à me: & dixiſtis, quòd à beſtia ſit deuoratus.* Conſidera, quomodo per excuſationem Iudæ, Ioſeph omnia diligenter didicerit, quæ poſt ſuam venditionem egerint domi, & qualia patri de ſe narrauerint. 29 *Nunc igitur*, inquit, *ſi & hunc tuleritis, & acciderit ei languor in via, deducetis ſenectutem meam cum moerore ad inferos.* Ita ergo patre noſtro erga puerum affecto, quomodo poterimus faciem eius videre, puero non exiſtente nobiſcum? 30 *Pendet enim anima eius ex huius anima,* 31 *& deducent ſerui tui ſenectutem patris noſtri ſerui tui cum moerore ad infernum. Seruus enim tuus accepit puerum à patre ſuo, dicens: Nihil ſi ipſum ad te reduxero, obnoxius ero tibi omnibus diebus.* Has promiſſiones feci patri, vt puerum poſſim adducere, & implere quæ tibi videbantur, monſtraréque quàm verè dixerimus, & nullum mendacium à nobis ſit prolatum. 33 *Nunc igitur manebo ſeruus pro puero, famulus domini, puer autem aſcendat cum fratribus.* 34 *Quomodo enim aſccendemus ad patrem, cùm non ſit nobiſcum puer? & ne videam mala, quæ inuenient patrem meum*

A ἐννόει μοι ἐνταῦθα, τίς ἦν ταῦτα ἀκούων ὁ Ἰωσήφ. αὐτὸς δὲ μόνος ὑπολελείπεται τῇ μητρὶ αὐτοῦ· ὁ δὲ πατὴρ αὐτὸν ἠγάπησε. τίνος ἕνεκεν καὶ ἐνταῦθα ψεύδεται οὕτω λέγων, ὅτι ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανε, καί τοι τοῖς ἐμπόροις αὐτὸν ἀπέδοντο; ἀλλ' ἐπειδὴ οὕτω τὸν πατέρα διέθηκαν, ὡς ἀναιρεθέντος αὐτοῦ καὶ ὑπὸ θηρίων βρωθέντος, ἄλλως δὲ καὶ ἐνόμισαν οὐ φέροντα τὴν δουλείαν τὴν παρὰ τοῖς βαρβάροις ἤδη τεθνηκέναι, διὰ τοῦτό φησι, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν. εἶπας δὲ τοῖς παισί σου, καταγάγετε αὐτὸν πρὸς μέ, καὶ ἐπιμελοῦμαι αὐτοῦ. καὶ εἶπας, ἐὰν μὴ καταβῇ ὁ ἀδελφὸς ὑμῶν μεθ' ὑμῶν, οὐ προσθήσεσθε B ἰδεῖν τὸ πρόσωπόν μου. ἐγένετο δὲ ἡνίκα ἀνέβημεν πρὸς τὸν παῖδά σου, πατέρα δὲ ἡμῶν, ἀπηγγείλαμεν αὐτῷ τὰ ῥήματα τοῦ κυρίου. Εἶπε δὲ ὁ πατὴρ ἡμῶν ἡμῖν· βαδίσατε πάλιν, ἀγοράσατε ἡμῖν μικρὰ βρώματα. ἡμεῖς δὲ εἴπαμεν αὐτῷ, οὐ δυνησόμεθα καταβῆναι, ἐὰν μὴ ὁ ἀδελφὸς ἡμῶν καταβῇ μεθ' ἡμῶν. Εἶπε δὲ ὁ παῖς σου ὁ πατὴρ ἡμῶν· ὑμεῖς γινώσκετε ὅτι δύο ἔτεκέ μοι ἡ γυνή, καὶ ἐξῆλθεν ὁ εἷς ἀπ' ἐμοῦ, καὶ εἴπατε ὅτι θηριόβρωτος γέγονε. σκόπει πῶς διὰ τῆς ἀπολογίας τοῦ Ἰούδα πάντα μετ' ἀκριβείας μανθάνει ὁ Ἰωσὴφ C τὰ μετὰ τὴν αὐτοῦ πρᾶσιν ἐν τῇ οἰκίᾳ γεγονότα, καὶ ὅπως τὸν πατέρα διέθηκαν, καὶ τίνα περὶ αὐτοῦ εἰρήκασι. νῦν οὖν ἐὰν καὶ τοῦτον λάβητε, καὶ συμβῇ αὐτῷ μαλακία ἐν τῇ ὁδῷ, κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου. οὕτω τοίνυν τοῦ πατρὸς ἡμῶν διακειμένου πρὸς τὸ παιδάριον, πῶς δυνησόμεθα ἰδεῖν αὐτοῦ τὸ πρόσωπον, τοῦ παιδαρίου μὴ ὄντος μεθ' ἡμῶν; ἐκκρέμαται γὰρ αὐτοῦ ἡ ψυχὴ ἐκ τῆς τούτου ψυχῆς. καὶ κατάξουσιν οἱ παῖδές σου τὸ γῆρας τοῦ παιδός σου πατρὸς ἡμῶν μετὰ λύπης εἰς ᾅδου. ὁ γὰρ παῖς σου ἐκδέδεκται τὸ παιδάριον παρὰ D τοῦ πατρὸς, λέγων· ἐὰν μὴ ἀγάγω αὐτὸ πρὸς σέ, ἡμαρτηκὼς ἔσομαι ἐναντίον σου πάσας τὰς ἡμέρας. ταύτας τὰς ὑποσχέσεις ἐποιησάμην πρὸς τὸν πατέρα ὑπὲρ τοῦ καὶ τὸν παῖδα δυνηθῆναι ἀγαγεῖν, καὶ πληρῶσαι τά σοι δόξαντα, καὶ δεῖξαι ὡς ἀληθῶς εἰρήκαμεν, καὶ οὐδὲν ψεῦδος τῶν παρ' ἡμῶν λεχθέντων. νῦν οὖν παραμενῶ παῖς ἀντὶ τοῦ παιδὸς οἰκέτης τοῦ κυρίου. τὸ δὲ παιδάριον ἀναβήτω μετὰ τῶν ἀδελφῶν. πῶς γὰρ ἀναβήσομεν πρὸς τὸν πατέρα, τοῦ παιδαρίου μὴ ὄντος μεθ' ἡμῶν; ἵνα μὴ ἴδω τὰ κακὰ, ἃ εὑρήσει τὸν πατέρα μου.

A συνέχεε ταῦτα τὸν Ἰωσὴφ, καὶ ἱκανὴν αὐτῷ παρέχειν ἀπόδειξιν καὶ τῆς εἰς τὸν πατέρα τιμῆς, καὶ τῆς περὶ τὸν ἀδελφὸν φιλοστοργίας. καὶ οὐκέτι ἠδύνατο φέρειν, οὐδὲ ἀνέχεσθαι τῶν παρεστηκότων αὐτῷ· ἀλλὰ πάντας ἀπωσάμενος, καὶ μόνος μεταξὺ αὐτῶν ἀπολειφθεὶς, ἀφεὶς φωνὴν μετὰ κλαυθμοῦ ἀναγνωρίζεται τοῖς ἀδελφοῖς. καὶ τοῦτο γνωστὸν ἐγένετο ἐν πάσῃ τῇ βασιλείᾳ, καὶ εἰς τὸν οἶκον Φαραώ. καὶ φησὶ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἐγώ εἰμι Ἰωσήφ. ἔτι ὁ πατήρ μου ζῇ; θαυμάσαι μοι ἔπεισιν ἐνταῦθα καὶ τοῦ μακαρίου τούτου τὴν τοσαύτην εὐτονίαν, καὶ ὅτι ἴσχυσε μέχρι τούτου σχηματίσασθαι, καὶ μὴ γνωρίσαι τὰ καθ' ἑαυτὸν, κἀκείνους μάλιστα ἐκπλαγῆναι, ὅπως ἠδυνήθησαν στῆναι καὶ διᾶραι λοιπὸν τὸ στόμα, πῶς οὐκ ἀπέπτη ἀπ' αὐτῶν ἡ ψυχὴ, πῶς οὐκ ἐξέστη αὐτῶν ἡ διάνοια, πῶς οὐ κατέδυσαν εἰς τὴν γῆν. οὐκ ἠδύναντο, φησιν, οἱ ἀδελφοὶ αὐτοῦ ἀποκριθῆναι αὐτῷ. ἐταράχθησαν γάρ. εἰκότως. ἐννοοῦντες τίνα μὲν αὐτὸν αὐτοὶ διέθηκαν, οἷος δὲ αὐτὸς περὶ αὐτοὺς γέγονε, καὶ λογιζόμενοι τὴν περιφάνειαν ἐν ᾗ καθειστήκει, περὶ αὐτῆς, ὡς εἰπεῖν, τῆς σωτηρίας ἠγωνίων. διὰ τοῦτο βουλόμενος αὐτοὺς παραθαρρῦναι, φησιν· ἐγγίσατε πρός με. μὴ μακρύνητε ἑαυτούς· μὴ νομίζετε, φησιν, οἰκείᾳ γνώμῃ τὰ κατ' ἐμὲ ὑμᾶς πεπραχέναι. οὐ τοσοῦτον τῆς ὑμετέρας ἐγένετο περὶ ἐμὲ πονηρίας, ὅσον τῆς τοῦ θεοῦ σοφίας, καὶ τῆς ἀφάτου φιλανθρωπίας, ἵνα ἐνταῦθα παραγενόμενος, νῦν ἐν καιρῷ καὶ ὑμῖν τὰ πρὸς διατροφὴν χορηγῆσαι δυνηθῶ, καὶ πάσῃ τῇ χώρᾳ. καὶ εἶπε, φησιν, ἐγώ εἰμι Ἰωσὴφ ὁ ἀδελφὸς ὑμῶν, ὃν ἀπέδοσθε εἰς Αἴγυπτον. νῦν οὖν μὴ λυπεῖσθε. μὴ ὑμᾶς, φησι, τοῦτο ταραττέτω, μηδὲ σκληρὸν ὑμῖν λογισθῇ τὸ γεγενημένον. θεοῦ γὰρ οἰκονομία τὰ γινόμενα. εἰς γὰρ ζωὴν ἀπέστειλέ με ὁ θεὸς ἔμπροσθεν ὑμῶν. τοῦτο γὰρ δεύτερον ἔτος λιμὸς ἐπὶ τῆς γῆς, καὶ ἔτι λοιπὸν πέντε ἔτη, ἐν οἷς οὐκ ἔσται ἀροτρίασις, οὐδὲ ἀμητός. ἀπέστειλε γάρ με ὁ θεὸς ἔμπροσθεν ὑμῶν, ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς. νῦν οὖν οὐχ ὑμεῖς με ἀπεστάλκατε ὧδε, ἀλλ' ὁ θεός. ὅρα πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον παραμυθεῖται αὐτοὺς, λέγων μὴ αὐτοῖς αὐτὸν ἐπιγράφειν τὴν αἰτίαν, καὶ τὴν εἰς Αἴγυπτον αὐτοῦ κάθοδον, ἀλλὰ τὸν θεὸν τοῦτο πεποιηκέναι, ὥστε εἰς ταύτην αὐτὸν ἐλθεῖν τὴν περιφάνειαν. ὁ θεὸς, φησιν, ἀπέστειλέ με, καὶ ἐποίησέ με ὡς πατέρα Φαραώ,

A Confuderunt hæc Ioſephum, & ſatis ei demonſtrarũt quòd & patrem dignè colerent, & fratrem multum amarent. *Et non vltra potuit ferre, neque tolerare aſtantes ſibi, ſed repulſis omnibus ſolus inter eos relictus, emiſſa voce cum fletu, notum ſe fecit fratribus. Et hoc innotuit in toto regno, & in domo Pharaonis,* [3] *& dicit fratribus ſuis: Ego ſum Ioſeph. Viuit ne adhuc pater meus?* Admirari hîc ſubit & beati huius conſtantiam tantam, & quòd ſuſtinuerit hucuſque ſimulationem, & quòd conditionem ſuam non declarauerit: atque vehementer obſtupe- B ſco & potiſſimum admiror, quomodo illi potuerint ſtare, vel os aperire poſtea, quomodo non auolarit ab eis anima, quomodo non obſtupuerit tota eorum mens, quomodo non ceciderint in terram. *Et non potuerunt*, inquit, *fratres eius reſpondere ei: turbati enim erant.* Meritò, cogitantes quomodo eum tractauerant, & qualis ipſe erga illos fuerat. Et cogitantes gloriam in qua conſtitutus erat, de ſua ſalute propemodum anxij erant: propterea volens eos a- C nimare, [4] *Appropinquate*, inquit, *ad me*: Ne elongetis vos: Ne cogitetis quòd proprio conſilio hæc contra me egeritis. Iſta non tam veſtræ erga me aſcribenda ſunt iniquitati, quàm diuinæ ſapientiæ, & ineffabili miſericordiæ: vt huc adueniens, nunc tempeſtiuè & vobis & toti huic regioni poſſim ſuppeditare alimenta. *Et dixit: Ego ſum Ioſeph frater veſter, quem vendidiſtis in Ægyptum.* [5] *Nunc igitur ne ſitis triſtes.* Ne vos, inquit, hoc conturbet? ne aſperum vobis videatur quòd factum eſt. Dei enim D diſpenſatione contigerunt hæc. *Deus enim me miſit in vitam ante vos.* [6] *Nam hic ſecundus annus famis ſuper terram; & adhuc reſtant quinque anni, in quibus non erit aratio, neque meſſis.* [7] *Miſit enim me Deus ante vos, vt relinquerentur vobis reliquiæ ſuper terram. Nunc igitur non vos me miſiſtis huc, ſed Deus.* Vide quomodo ipſemet, & iterum, & tertiò conſolatur illos, dicens ſe non ipſis aſcribere cauſam ſui ingreſſus in Ægyptum, ſed Deum hoc feciſſe, vt ipſe in hanc veniret gloriam. [8] *Deus*, inquit, *miſit me, & fecit me quaſi patrem Pharaonis,*

CAPVT. XLV.

Admirabilis conſtãtia Ioſeph.

& dominum totius domus illius , & principem totius AEgypti. Illa , inquit, ſeruitus hunc principatum mihi conciliauit , illa venditio in hanc me gloriam euexit, illa afflictio huius mihi honoris occaſio fuit , illa inuidia hanc mihi claritudinem peperit. Hæc nos non ſolum audiamus, ſed & imitemur : & ita ſolemur eos qui nos afflixere , non imputantes eis quæ in nos admiſerunt, & omnia magna ferentes beneuolentia : ſicut ille admirandus. Igitur , inquit , cum me audieritis, quòd non vobis aſcribam quæ contra me à vobis facta, ſed quòd liberem vos criminibus : Deo autem totuum tribuam , qui illa ita diſpenſauit, vt præſentem gloriam ſic acquirerem :[9] *Ideo feſtinãtes aſcendite ad patrem meum , & dicite ei : Hæc dicit filius tuus Ioſeph : Fecit me Deus dominum totius terræ AEgypti , deſcende ad me , & ne differas ,*[10] *& habitabis in terra Geſem , & eris apud me tu , & filij tui , & filij filiorum tuorum , & oues , & boues, & quæcunque habes ,*[11] *& alam te. Adhuc enim quinque annis fames , vt non dele aris tu , & filij tui , & omnis ſubſtantia tua.* [12] *Ecce oculi veſtri vident , & oculi Beniamin fratris veſtri, quòd ore meo vobis loquor : Annunciate patri meo omnem gloriam meam quæ eſt in AEgypto , & quæcunque vidiſtis , & feſtinantes deducite eum.* Poſtquam hæc omnia dixit , & ſatis eos conſolatus eſt, & mandatum dedit , vt de rebus & ſtatu ſuo patrem certiorem redderent, ſtatímque adducerent, recidit in collum Beniamin fratris ſui , & fleuit : & ille viciſſim fleuit ſuper eo, & oſculatus eſt omnes fratres ſuos , & fleuit ſuper eos. Denique poſt tantum colloquium & lachrymas , & conſolationem , & conſilium quod eis dedit , vix potuerunt cum eo loqui.[15] *Poſt hæc enim,* inquit,*loquebantur ei.*[16] *Hæc autẽ omnia inuulgata ſunt, & celebrata in domo Pharaonis, & grauiſus eſt, & omnes qui in domo eius.* Exhilarauit, inquit, omnes agnitio fratrũ Ioſeph.[17] *Et dixit,* inquit, *Rex Ioſeph : Dic fratribus tuis, hoc facite : Implete vehicula veſtra frumẽto, & abite, & aſſumpto patre veſtro redite ad me , & dabo vobis de omnibus bonis AEgypti : tu autem manda, vt accipiant plauſtra pueris*

A καὶ κύριον παντὸς τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς Αἰγύπτου. ἐκείνη, φησὶν, ἡ δουλεία ταύτην μοι τὴν ἀρχὴν προεξένησεν, ἐκείνη ἡ πρᾶσις εἰς ταύτην με τὴν περιφάνειαν ἤγαγεν, ἐκείνη ἡ θλίψις ταύτης μοι τῆς εὐδοκιμήσεως ὑπόθεσις γέγονεν, ἐκεῖνος ὁ φθόνος ταύτην μοι τὴν δόξαν ἔτεκε. ταῦτα μὴ μόνον ἀκούωμεν, ἀλλὰ καὶ μιμώμεθα, καὶ οὕτω τοὺς κακῶς ἡμᾶς διατιθέντας παραμυθώμεθα, ἀπαλλοτριοῦντες ἀπ' αὐτῶν τὰ καθ' ἡμῶν γινόμενα, καὶ μετὰ πολλῆς εὐγνωμοσύνης ἅπαντα φέροντες, καθάπερ ὁ θαυμάσιος οὗτος. ἐπεὶ οὖν, φησιν, ἐπείσθητε παρ' ἐμοῦ, ὅτι οὐχ ὑμῖν ἐπιγράφω τὰ εἰς ἐμὲ B παρ' ὑμῶν γεγενημένα, ἀλλ' ὑμᾶς μὲν ἀπαλλάττω τῶν ἐγκλημάτων, τῷ δὲ θεῷ τὸ πᾶν λογίζομαι τῷ ἐκεῖνα πάντα οἰκονομήσαντι, ἵνα μοι τὸ τῆς παρούσης δόξης περιγένηται· σπεύσαντες οὖν, ἀνάβητε πρὸς τὸν πατέρα μου, καὶ εἴπατε αὐτῷ. τάδε λέγει ὁ υἱός σου Ἰωσήφ· ἐποίησέ με ὁ θεὸς κύριον πάσης γῆς Αἰγύπτου. κατάβηθι οὖν πρὸς μὲ, καὶ μὴ ἀναμείνῃς, καὶ κατοικήσεις ἐν γῇ Γεσὲμ, καὶ ἔσῃ ἐγγύς μου σὺ καὶ οἱ υἱοὶ τῶν υἱῶν σου, καὶ τὰ πρόβατα, καὶ οἱ βόες, καὶ ὅσα σοί ἐστι, καὶ ἐκθρέψω σε (ἔτι γὰρ πέντε ἔτη λιμὸς) ἵνα μὴ ἐκτριβῇς σὺ, καὶ οἱ υἱοί σου, καὶ πάντα τὰ ὑπάρχοντά C σου. ἰδοὺ οἱ ὀφθαλμοὶ ὑμῶν βλέπουσι, καὶ οἱ ὀφθαλμοὶ Βενιαμὶν τοῦ ἀδελφοῦ μου, ὅτι τὸ στόμα μου τὸ λαλοῦν πρὸς ὑμᾶς. ἀπαγγείλατε τῷ πατρί μου πᾶσαν τὴν δόξαν μου τὴν ἐν Αἰγύπτῳ, καὶ ὅσα ἴδετε, καὶ ταχύναντες καταγάγετε αὐτόν. ταῦτα ἅπαντα διαλεχθεὶς, καὶ ἀρκούντως αὐτοὺς παραμυθησάμενος, καὶ ἐντειλάμενος εἰπεῖν τὰ περὶ αὐτοῦ τῷ πατρὶ, καὶ ταχέως αὐτὸν ἐπαναγαγεῖν, ἐπιπεσὼν ἐπὶ τὸν τράχηλον τοῦ Βενιαμὶν ἔκλαυσεν (ἐκεῖνος γὰρ ἦν αὐτῷ ὁμομήτριος) κἀκεῖνος πάλιν ἔκλαυσεν ἐπ' αὐτῷ. καὶ κατεφίλησε πάντας τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ D ἔκλαυσεν ἐπ' αὐτοῖς. καὶ τότε μετὰ τὴν τοσαύτην διάλεξιν καὶ τὰ δάκρυα καὶ τὴν συμβουλὴν, ἣν πρὸς αὐτοὺς ἐποιήσατο, μόλις ἠδυνήθησαν λαλῆσαι πρὸς αὐτόν. μετὰ ταῦτα γάρ, φησιν, ἐλάλησαν πρὸς αὐτόν. ταῦτα δὲ διεβοήθη εἰς τὸν οἶκον Φαραὼ, καὶ ἐχάρη, καὶ πάντες οἱ ἐν τῷ οἴκῳ. ἐχαροποίησε, φησι, πάντας ὁ ἀναγνωρισμὸς τῶν ἀδελφῶν τοῦ Ἰωσήφ. καὶ εἶπε, φησιν, ὁ βασιλεὺς τῷ Ἰωσήφ· εἰπὸν τοῖς ἀδελφοῖς αὐτοῦ, τοῦτο ποιήσατε· γεμίσατε τὰ φορεῖα ὑμῶν σίτου, καὶ ἀπέλθετε. καὶ ἀναλαβόντες τὸν πατέρα ὑμῶν ἥκετε πρὸς μὲ, καὶ δώσω ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου. σὺ δὲ ἔντειλαι ταῦτα, λαβεῖν αὐτοὺς ἁμάξας τοῖς παιδίοις καὶ ταῖς γυναιξίν.

ὅρα καὶ τὸν βασιλέα, πῶς ἤδη φροντίζει περὶ τῆς A τοῦ Ἰακὼβ ἐπανόδου. καὶ ἀναλαβόντες, φησὶ, τὸν πατέρα ὑμῶν παραγίνεσθε, καὶ μὴ φείσησθε τοῖς ὀφθαλμοῖς τῶν σκευῶν ὑμῶν. πάντα γὰρ τὰ ἀγαθὰ Αἰγύπτου ὑμῖν ἔσται. ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ἰσραήλ. ἔδωκε δὲ Ἰωσὴφ αὐτοῖς ἁμάξας κατὰ τὰς ἐντολὰς τοῦ βασιλέως. καὶ πᾶσι μὲν ἔδωκε δισσὰς στολάς, τῷ δὲ Βενιαμὶν ἔδωκε τριακοσίους χρυσοῦς, καὶ πέντε ἐξαλλασσούσας στολάς, καὶ τῷ πατρὶ αὐτοῦ ἀπέστειλεν ὁμοίως· καὶ δέκα ὄνους αἴροντας ἀπὸ τῶν ἀγαθῶν Αἰγύπτου, καὶ δέκα ἡμιόνους αἴροντας ἄρτους τῷ πατρὶ αὐτοῦ εἰς τὴν ὁδόν. καὶ ταῦτα ἅπαντα δοὺς ἐξαπέστειλε τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἐπορεύθησαν· B καὶ εἶπεν αὐτοῖς, μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ. ὅρα γνώμην φιλόσοφον· οὐ μόνον αὐτὸς πᾶσαν αὐτοῖς ἀφῆκε τὴν ὀργήν, καὶ τῶν ἐγκλημάτων αὐτοὺς ἀπήλλαξεν, ἀλλὰ καὶ αὐτοῖς παραινεῖ μὴ ὀργίζεσθαι κατὰ τὴν ὁδόν, μηδὲ ὑπὲρ τῶν γεγενημένων ἀλλήλοις ἐγκαλεῖν. εἰ γὰρ ἡνίκα εἱστήκεισαν πρώην ἐπὶ τοῦ Ἰωσήφ, ἔλεγον πρὸς ἑαυτούς· ναί, ἐν ἁμαρτίαις ἐσμὲν περὶ τοῦ Ἰωσήφ, τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν αὐτοῦ τὴν θλῖψιν· καὶ ἐπιστὰς ὁ Ῥουβὴν ἔλεγεν, οὐκ εἶπον ὑμῖν, μὴ ἀδικήσητε τὸ παιδάριον, καὶ οὐκ εἰσηκούσατέ μου· πολλῷ μᾶλλον εἰκὸς ἦν C αὐτοὺς κατεξανίστασθαι αὐτῶν. καὶ διὰ τοῦτο καταστέλλων αὐτῶν τὸν θυμόν, καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, φησί, μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ, ἀλλ' ἐννοήσαντες ὅτι οὐδεμίαν ὑμῖν αἰτίαν ἐπήγαγον ὑπὲρ τῶν εἰς ἐμὲ γεγενημένων, καὶ αὐτοὶ πρὸς ἀλλήλους εὐνοϊκῶς διατέθητε. τίς ἂν κατ' ἀξίαν τὴν ἀρετὴν τοῦ δικαίου τούτου θαυμάσειεν, ὃς τὴν ἐν τῇ καινῇ φιλοσοφίαν μετὰ πολλῆς τῆς δαψιλείας ἀπεπλήρωσε, καὶ ὅπερ ὁ Χριστὸς παραινεῖ λέγων τοῖς ἀποστόλοις, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, τοῦτο οὗτος D καὶ πολλῷ πλέον ἐποίησεν. οὐδὲ γὰρ μόνον τοσαύτην ἀγάπην ἐπεδείξατο περὶ τοὺς ἀνελόντας αὐτόν, τό γε εἰς αὐτοὺς ἧκον, ἀλλὰ πάντα ποιεῖ, ὥστε διδάξαι αὐτούς, ὅτι οὐδὲ ἥμαρτόν τι εἰς αὐτόν. ὢ φιλοσοφίας ὑπερβολή, ὢ εὐγνωμοσύνης ἐπίτασις, καὶ τῆς πρὸς θεὸν ἀγάπης δαψίλεια. μὴ γὰρ ὑμεῖς, φησιν, εἰς ἐμὲ ταῦτα διεπράξασθε; ἡ τοῦ θεοῦ περὶ ἐμὲ κηδεμονία ταῦτα γενέσθαι συνεχώρησεν, ἵνα καὶ ἐμοὶ τῶν ὀνειράτων τὴν ἔκβασιν παράσχηται, καὶ ὑμῖν ἀρκοῦσα σωτηρίας ὑπόθεσις γένωμαι. τὸ ἐν θλίψεσιν εἶναι, ἢ πειρασμοῖς περιπείρε-

& uxoribus. Vide & regem, quomodo iam curam agit de reditu Iacob. *Et aſſumpto*, inquit, *patre veſtro venite*, [20] *& ne parcatis oculis de vaſis veſtris. Omnia enim bona AEgypti veſtra erunt.* [21] *Fecerunt autē ſic filij Iſraël. Dedit autem Ioſeph eis currus, iuxta mandatum regis*, [22] *& omnibus quidem dedit binas ſtolas, Beniamin autem dedit trecentos aureos, & quinque ſtolas mutatorias* [23] *& patri ſuo miſit ſimiliter, & decem aſinos ferentes de bonis AEgypti, & decem mulas ferentes panes patri ſuo in viam.* [24] *Quibus omnibus datis, miſit fratres ſuos, & profecti ſunt: dixítque eis: Ne iraſcamini in via.* Vide mentem moribus optimis præditam: non ſolum ipſe dimiſit iram, & à criminibus liberauit, ſed & ipſos admonet, ne iraſcantur in via, neque inter ſe de factis contendant. Nam cùm ſteterunt mane apud Ioſeph, dicebant inter ſe, Merito: in peccatis enim ſumus propter fratrem noſtrum, quia deſpeximus eius afflictionem, & exurgens Ruben, dicebat: Non dixi vobis, ne iniuria afficiatis puerum, & non exaudiſtis me? Multò igitur magis veriſimile erat, quò in via inter ſe rixaturi eſſent: propterea comprimens eorum iram & contentionem mutuam, dicit: Ne iraſcamini in via, ſed cogitantes quòd ego non habuerim pro crimine quæ in me admiſiſtis, ipſi etiam vos beneuolentia viciſſim proſequamini. Quis pro dignitate admiraretur viri huius virtutem, qui nouæ legis philoſophiam magna adimpleuit diligentia? Et id quod Chriſtus admonet diſcipulos: Diligite inimicos veſtros, orate pro perſequentibus vos: hoc ille & multò magis fecit. Neque enim ſolùm tantam declarauit charitatem erga eos qui ſe occiderant, quãtum in eis erat: ſed omnia facit, vt demonſtret eis, quòd nihil in ſe peccarint. O ſapientiæ excellentiam, ô beneuolentiæ coaceruationem, & dilectionis Dei largitatem! Non vos, inquit, hæc mihi feciſtis, ſed Dei erga me prouidentia hæc fieri permiſit, vt mihi ſomniorum euentus concedatur. Ita vt in afflictionibus & in tentationibus eſſe, ſi ſobrij ſimus, diui-

Luc. 6.

Erga Deū vel Dei paſ ſiue.

næ ſit erga nos prouidentiæ & beneuolentiæ. Ne igitur in omnibus proſperitatem & affluentiam inquiramus, ſed & ſiue in proſperitate ſimus, ſiue aduerſitate, ſimiliter gratias offeramus Domino, vt viſa gratitudine noſtra, largiorem ſuam erga nos declaret prouidētiam. Quod nobis omnibus concedatur, gratia & miſericordia domini noſtri Ieſu Chriſti, cui cum patre & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Homilia LXV.

Gen. 45. 25. *Et aſcenderunt*, inquit, *ex AEgypto, & venerunt in terram Chanaan ad Iacob patrem ſuum: & nunciauerunt ei, dicentes: Filius tuus Ioſeph viuit, & dominatur toti terræ AEgypti. Et obſtupuit Iacob, non enim credidit eis.*

VIDISTIS ex his, quæ heri dicta ſunt, dilectionem Ioſeph, & inenarrabilē clementiā, quam erga fratres ſuos declarauit: non ſolùm non faciendo memoriam eorum quæ in ſe admiſerant, ſed & redituros ad parentem admonuit, conſulendo ne inter ſe iurgentur ſuper his, quæ in ipſum admiſerant, ſed dimiſſa omni ira, pacificè ambulent. Operæprecium eſt autem & quæ ſequuntur recenſere, vt videamus & horum ad patrem reditum, & deſcenſum Iacob in Ægyptum: & quomodo eum reflorere fecerint ea quæ de Ioſeph cognouit, & quaſi (vt ſic dicam) de ſene iuuenem reddiderint. Quis enim ſermone complecti poſſet voluptatem, in qua tunc fuerit, cùm diſceret Ioſeph viuere, & in tanta dignitate conſtitutum? Inexpectata enim bona maiorem voluptatem afferre ſolēt. Quem enim putabat ante tot annos fuiſſe à beſtiis deuoratum, vt intellexit tenere imperium totius Ægypti, quomodo non præ magnitudine

Inexpectata bona iucūdiora.

A ϑαι, πολλῆς τῆς περὶ ἡμᾶς τοῦ φιλανθρώπου θεοῦ κηδεμονίας καὶ προνοίας ἐστὶ τεκμήριον. μὴ τοίνυν ἐκ παντὸς τρόπου τὴν ἄνεσιν καὶ τὴν ἄδειαν ἐπιζητῶμεν, ἀλλὰ καὶ ἐν ἀνέσει τυγχάνοντες, καὶ ἐν θλίψεσι γινόμενοι, ὁμοίως τὴν εὐχαριστίαν ἀναπέμπωμεν τῷ δεσπότῃ· ἵνα τὴν εὐγνωμοσύνην θεασάμενος, δαψιλεστέραν τὴν περὶ ἡμᾶς ἐπιδείξηται κηδεμονίαν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

B

Ὁμιλία ξε.

Καὶ ἀνέβησαν, φησὶν, ἐξ Αἰγύπτου, καὶ ἦλθον εἰς τὴν Χαναναίαν πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν, καὶ ἀνήγγειλαν αὐτῷ, λέγοντες· ὅτι ὁ υἱός σου Ἰωσὴφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης γῆς Αἰγύπτου. καὶ ἐξέστη Ἰακὼβ τῇ διανοίᾳ. οὐ γὰρ ἐπίστευσεν αὐτοῖς.

C Εἴδετε ἐκ τῶν χθὲς ἡμῖν εἰρημένων τοῦ Ἰωσὴφ τὴν φιλοσοφίαν καὶ τὴν ἄφατον ἀνεξικακίαν, ἣν περὶ τοὺς ἑαυτοῦ ἀδελφοὺς ἐπεδείξατο, οὐ μόνον οὐδεμίαν μνήμην τῶν εἰς αὐτὸν γεγενημένων ποιησάμενος, ἀλλὰ καὶ αὐτοῖς μέλλουσιν ἐπανιέναι πρὸς τὸν πατέρα τοῦτο αὐτὸ παραινέσας καὶ συμβουλὴν εἰσαγαγὼν, ὥστε μὴ ἀλλήλοις αἰτιᾶσθαι ὑπὲρ τῶν εἰς αὐτὸν αὐτοῖς εἰργασμένων, ἀλλὰ πᾶσαν ὀργὴν ἀπελάσαντας μετ᾽ ὁμονοίας τὴν ὁδοιπορίαν ποιήσασθαι. ἀναγκαῖον δὲ λοιπὸν σήμερον τὰ ἑξῆς ἀποπληρῶσαι, ἵνα ἴδωμεν καὶ τὴν τούτων ἐπάνοδον τὴν πρὸς τὸν πατέρα, καὶ τὴν Ἰακὼβ τὴν εἰς Αἴγυπτον κάθοδον· καὶ ὅπως D αὐτὸν ἀναθάλλειν πεποίηκε τὰ κατὰ τὸν Ἰωσὴφ γνωρισθέντα αὐτῷ, καὶ σχεδὸν εἰπεῖν, νέον ἐκ γέροντος αὐτὸν εἰργάσατο. τίς γὰρ ἂν δυνηθείη τῷ λόγῳ παραστῆσαι τὴν ἡδονὴν, ἐν ᾗ τότε γέγονε, πυθόμενος ζῆν τὸν Ἰωσὴφ, καὶ ἐν τοσαύτῃ περιφανείᾳ τυγχάνειν; ἴστε γὰρ μάλιστα, ὅτι τὰ ἀπροσδόκητα τῶν ἀγαθῶν πολλὴν ἐπίτασιν τῆς ἡδονῆς ἐνεργάζεσθαι πέφυκεν. ὃν γὰρ ἐνόμιζε πρὸ τοσούτων ἐτῶν κατάβρωμα τῶν θηρίων γεγενῆσθαι, καὶ μαθὼν πάλιν τὴν ἀρχὴν τῆς Αἰγύπτου πάσης κατέχειν αὐτὸν, πῶς οὐκ ἂν ὑπὸ

τῷ μεγέθει τῆς ἡδονῆς ἐξέστη τῇ διανοίᾳ; ὅπερ γὰρ ὑπερβάλλουσα ἀθυμία ἐργάζεται, τοῦτο πολλάκις καὶ ἐπιτεταμένη χαρά. καὶ ἔστιν ἰδεῖν πολλοὺς καὶ δάκρυα περιχέοντας ἀπὸ χαρᾶς ὑπερβαλλούσης, ἑτέρους δὲ πολλάκις καὶ ἀποπλήκτους γινομένους, ὅταν ἃ μηδὲ προσεδόκησαν, ἴδωσι γεγενημένα, καὶ οὓς τεθνηκέναι νενομίκασιν, ἐξαίφνης ζῶντας θεάσωνται. ἀλλ' ἵνα σαφέστερος ἡμῖν ὁ λόγος γένηται, αὐτῶν ἐπακούσωμεν τῶν ἀναγνωσθέντων. καὶ ἀνέβησαν, φησὶν ἐξ Αἰγύπτου, καὶ ἦλθον εἰς γῆν Χαναὰν πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν, καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες· ὅτι υἱός σου ὁ Ἰωσὴφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης τῆς Αἰγύπτου, καὶ ἐξέστη τῇ διανοίᾳ Ἰακώβ. οὐ γὰρ ἐπίστευσεν αὐτοῖς. ὁρᾷς, ὅπερ ἔλεγον, ὅτι ἄπιστον αὐτῷ ἔδοξεν εἶναι τὸ περὶ τοῦ Ἰωσήφ, ὡς καὶ τὴν διάνοιαν αὐτοῦ περισαλευθῆναι, καὶ ἐνόμιζεν ἀπάτην εἶναι τὰ παρὰ τῶν ἀδελφῶν λεγόμενα; οἱ γὰρ τότε τὸν χιτῶνα εἰσαγαγόντες τῷ αἵματι τοῦ ἐρίφου μολυνθέντα, καὶ εἰς πίστιν ἀγαγόντες τὸν πατέρα, ὅτι κατάβρωμα θηρίων γέγονε, νῦν φασιν ὅτι ζῇ, καὶ ἄρχει πάσης τῆς Αἰγύπτου. καὶ ταραττόμενος τὴν διάνοιαν ἐλογίζετο πρὸς ἑαυτὸν, πῶς ἂν ἔχοι τοῦτο λόγον; εἰ γὰρ τὸ πρότερον ἀληθὲς, τοῦτο οὐχ οἷόν τε εἶναι πιστόν. εἰ δὲ τοῦτο πιστὸν καὶ ἀληθὲς, ἐκεῖνο ψεῦδος ἂν εἴη. ἐτάραττε δὲ αὐτὸν μάλιστα τὸ παρὰ τῶν υἱῶν τὰ πρότερα ἀκηκοέναι, καὶ ἕτερα νῦν παρὰ τῶν αὐτῶν μανθάνειν. ὁρῶντες τοίνυν τοῦ πατρὸς τὴν ταραχὴν, καὶ βουλόμενοι αὐτὸν εἰς πίστιν ἀγαγεῖν καὶ πληροφορίαν, ὅτι ἀληθῆ τὰ παρ' αὐτῶν λεγόμενα τυγχάνει, ἐλάλησαν αὐτῷ πάντα τὰ ῥηθέντα παρὰ τοῦ Ἰωσήφ, καὶ ὅσα εἶπεν αὐτοῖς. καὶ μετὰ τῶν ῥημάτων καὶ τὰ ἀποσταλέντα προσενέγκαντες, τὰς ἁμάξας καὶ τὰ δῶρα τὰ παρὰ τοῦ Ἰωσὴφ πεμφθέντα, μόλις ἔδοξαν πεῖσαι τὸν πατέρα, ὅτι οὐκ ἔστι ψεῦδος τὰ παρ' αὐτῶν λεγόμενα. ὁρῶν γὰρ τὰς ἁμάξας τὰς ἀποσταλείσας, ὥστε καταβῆναι αὐτὸν εἰς Αἴγυπτον, ἀνεζωπύρησε, φησίν. ὁ γέρων, ὁ πρεσβύτης, ὁ συγκεκυφὼς, ἀθρόον ἐνεάζε τῇ προθυμίᾳ. ἀνεζωπύρησε γάρ, φησι. τί ἐστιν, ἀνεζωπύρησε; καθάπερ τὸ λυχνιαῖον πῦρ, ἐπειδὰν ἐπιλίπῃ ἡ τοῦ ἐλαίου τροφὴ, καὶ μέλλῃ σβέννυσθαι, εἰ μικρόν τις ἐπιστάξειεν αὐτῷ ἔλαιον, ἀθρόον τὸ σβέννυσθαι μέλλον λαμπρότερον δείκνυσι τὸ φῶς· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ πρεσβύτης οὗτος, μονονουχὶ σβέννυσθαι μέλλων ὑπὸ τῆς ἀθυμίας. οὐκ ἠθέλησε γάρ, φησι, παρακληθῆναι, λέ-

A gaudiorum mente exceſſit? Idem enim facere ſolet immodicum gaudium, quod excellens triſtitia. Et videre licet multos effundere lachrymas præ gaudio immenſo, alios etiam ſępe obſtupeſcere, quando fieri vidēt, quę nō expectauerāt: & quos mortuos eſſe putabāt, repentè viuos vident. Sed vt manifeſtior fiat ſermo noſter, audiamus quæ lecta ſunt. *Et aſcenderunt*, inquit, *ex Ægypto, & venerunt in terram Chanaan ad Iacob patrem ſuum*, 26 *& annunciauerunt ei, dicentes: Filius tuus Ioſeph viuit, & ipſe dominatur toti terræ Ægypti. Et exceſ-*
B *ſit mente Iacob: non enim credidit eis.* Vides, idquod dicebam, incredibile ei viſum eſſe quod de Ioſeph annunciabatur, ita vt mente concuteretur, & quæ à fratribus fiebant, deceptionem eſſe putaret? Qui enim tunc attulerant veſtem ſanguine hædi inquinatam, & patri perſuaſerant quòd à beſtiis eſſet deuoratus: nunc dicunt quòd viuat, & dominetur in tota Ægypto. Et turbata mente cogitabat apud ſe, quomodo rationi eſſet hoc cōſentaneum.
C Nam ſi verum illud quod prius dictum, quomodo hoc poterat credi? Si autem hoc credendum & verum, illud neceſſariò fuerit mendacium. Turbauit autem eum maximè, quòd aliud à filiis antea audierat, & alia nunc ab eiſdem diſceret. Videntes igitur patris turbationem, & volentes ei pluribus argumentis perſuadere quòd verum dicerent, locuti ſunt ei omnia quæ à Ioſeph dicta erant, & quæcunque dixerat eis, & poſtea protulerunt plauſtra, & dona quæ à Ioſeph miſſa erant,
D & vix tandem fecerunt fidem patri, nō eſſe ementita, quæ illi dicebant. Nā vidēs plauſtra quę miſſa erāt, vt deſcenderent in Ægyptū, *Redaccenſus eſt*, inquit: ſenex decrepitus terrā ſpectans alacritate animi cōfeſtim iuueneſcebat. Quid eſt, redaccēſus eſt? Sicut ignis in lucerna, quādo deficit olei alimonia, & iā extinguitur, ſi parum quis olei infuderit, repentè qui extingui putabatur, clariorem emittit lucem: ita & ſenex ille præ triſtitia iam extingui videbatur. Noluit enim, inquit, conſolationem accipere, di-

cens: Deſcendam lugens in infernum. Vbi autem cognouit quòd viueret filius, & quòd dominaretur in tota Ægypto, & vidit plauſtra, redaccenſus eſt, & iuuenis ex ſene factus. Depoſuit mœroris nebulam, diſpulit cogitationum tempeſtatem, tranquillus poſtea fuit. Hæc autem omnia Deus diſpenſabat, vt iuſtus tam multorum laborum conſolationem inueniret, & particeps fieret fœlicitatis pueri: & præterea vt ſomnium impleretur id quod ipſe interpretatus erat, dicens: Nunquid veniemus ego & mater tua, & fratres tui, vt adoremus te? Et credidit dictis atque factis, & dixit, inquit: [28] *Magna mihi ſunt, ſi adhuc viuit Ioſeph: ibo igitur, & videbo eum priuſquam moriar.* Magna ſunt mihi, inquit, & excedunt omnem cogitationem, & obſcurant omnem humanam lætitiam, ſi adhuc filius meus Ioſeph viuit. ibo igitur & videbo eum. Feſtinemus igitur, vt eius colloquio potiar priuſquam moriar. Nunc, inquit, iuuenis ille erexit mentem meam, & fugauit ſenectutis infirmitatem, & roborauit rationem. Quòd ſi & colloqui contingat, perfectam lætitiam aſſecutus moriar. Et nihil moratus ſenex itineri ſe accinxit, feſtinans & vrgens vt videret tam deſideratum filium, vtque ante tot annos mortuum, & (vt putabat) factum cibum beſtiarum, videret nunc regem Ægypti factum.

CAPVT. XLVI.

Et cum veniſſet ad puteum iuramenti, preces, quibus gratias agebat, obtulit Domino, *& ſacrificauit ſacrificium Deo patris ſui Iſaac.* Hæc audientes, diſcamus quando quid facturi, vel negotium aliquod cœpturi, vel peregrinationem ſuſcepturi ſumus, vt offeramus Domino ſacrificium precum, & eius adiutorium inuocemus, & ſic inſtitutum aggrediamur, imitantes illorum iuſtorum pietatem, ſacrificauit ſacrificium Deo patris ſui Iſaac. Hîc diſcamus, quòd veſtigia pátris ſui ſecutus ſit, & hoc in cultu diuino declarauerit, ſicut Iſaac. Et quia ſuam gratitudinem prius per gratiarum actionem oſtēdit, ſtatim ſubſecuta ſunt etiam ea quæ ſuperni auxilij fuerunt

A γων, ὅτι καταβήσομαι πενθῶν εἰς ᾅδου· μαθὼν πάλιν, ὅτι ζῇ καὶ ὅτι ἄρχει τῆς Αἰγύπτου, καὶ ἰδὼν τὰς ἁμάξας, ἀνεζωπυρήσε, φησι, νέος ἐκ γέροντος γέγονεν, ἀπέθετο τῆς ἀθυμίας τὸ νέφος, τὴν ζάλην τῶν λογισμῶν ἀποκρουσάμενος, ἐν γαλήνῃ λοιπὸν ἐτύγχανε, τοῦ θεοῦ ταῦτα ἅπαντα οἰκονομοῦντος, ὥστε τῶν τοσούτων πόνων τὴν παραμυθίαν εὑρέσθαι τὸν δίκαιον, καὶ κοινωνῆσαι τῷ παιδὶ τῆς εὐημερίας· ἄλλως δὲ, ἵνα καὶ τὸ ὄναρ πληρωθῇ, ὅπερ αὐτὸς διέκρινεν, εἰπών· ἆρα γε ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοὶ προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν; καὶ
B πιστεύσας τοῖς εἰρημένοις καὶ τοῖς ὁρωμένοις, εἶπε, φησι, μεγάλα μοί ἐστιν, εἰ ἔτι Ἰωσὴφ ὁ υἱός μου ζῇ. πορευθεὶς ὄψομαι αὐτὸν πρὸ τοῦ ἀποθανεῖν με. μεγάλα μοί ἐστι, καὶ ὑπερβαίνει πάντα λογισμὸν, καὶ ἀποκρύπτει πᾶσαν τὴν ἐν ἀνθρώποις εὐφροσύνην, εἰ ἔτι ὁ υἱός μου ζῇ. πορευθεὶς οὖν ὄψομαι αὐτόν. ἐπειγώμεθα τοίνυν λοιπόν, ὥστε καὶ τὰ τῆς συντυχίας μοι ὑπάρξαι, πρὶν ἢ ἀποθανεῖν με. νῦν μὲν γὰρ ἡ ἀκοὴ διανέστησέ μου τὴν διάνοιαν, καὶ τὴν τοῦ γήρως ἀσθένειαν ἐφυγάδευσε, καὶ ἀνέῤῥωσέ μου τὸν λογισμόν. εἰ δὲ
C καὶ συντυχία μοι γένοιτο, τελείας ἀπολαύσας τῆς εὐφροσύνης, οὕτω καταλύσω τὸν βίον. καὶ μηδὲν μελλήσας ὁ δίκαιος ἥπτετο τῆς ὁδοιπορείας, σπεύδων καὶ ἐπειγόμενος τὸν αὐτοῦ περιπόθητον ἰδεῖν, καὶ τὸν πρὸ τοσούτων ἐτῶν τεθνηκότα καὶ θηρίων κατάβρωμα γενόμενον, ὡς ἐνόμιζε, θεάσασθαι νῦν βασιλέα τῆς Αἰγύπτου γεγενημένον. καὶ γενόμενος ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, εὐχαριστηρίους εὐχὰς ἀναπέμψας τῷ δεσπότῃ, ἔθυσε, φησι, θυσίαν τῷ θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ. ταῦτα ἀκούοντες παιδευώμεθα, ὅταν μέλλοιμεν διαπράτ-
D τεσθαι, κἂν πράγματί τινι ἐγχειρήσωμεν, κἂν ἀποδημίας ἁπτώμεθα, πρότερον τὴν διὰ τῆς εὐχῆς θυσίαν ἀναφέρειν τῷ δεσπότῃ, καὶ τὴν ἐκείνου συμμαχίαν καλοῦντας, οὕτως ἅπτεσθαι τῶν προκειμένων, καὶ μιμεῖσθαι τῶν δικαίων τούτων τὸ φιλόθεον. ἔθυσε, φησι, θυσίαν τῷ θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ· ἵνα μάθῃς ὅτι κατ' ἴχνος τοῦ πατρὸς ἐπορεύετο, καὶ οὕτω τὴν περὶ τὸ θεῖον θεραπείαν ἐπεδείκνυτο, καθάπερ ὁ Ἰσαάκ. καὶ ἐπειδὴ τὴν οἰκείαν εὐγνωμοσύνην προέλαβεν διὰ τῆς εὐχαριστίας ἐπεδείξατο, εὐθέως ἐπηκολούθησε καὶ τὰ παρὰ τῆς ἄνωθεν ῥοπῆς.

ἐπειδὴ γὰρ καὶ τὸ διάστημα τῆς ὁδοῦ περιεώρα, καὶ πρὸς A τὸ γῆρας ἀποβλέπων ἐδεδοίκει, μὴ πρὸ τῆς συντυχίας ἐπιστὰς ὁ θάνατος ἀποστερήσῃ τῆς τοῦ παιδὸς ὄψεως, εὐχὰς ποιεῖται πρὸς τὸν δεσπότην ἐπιμετρῆσαι αὐτῷ ζωὴν, ὥστε τελείας ἀπολαῦσαι τῆς ἡδονῆς. ἀλλ' ὅρα πῶς ὁ ἀγαθὸς θεὸς πληροφορεῖ τὸν δίκαιον. εἶπε γάρ, φησιν, ὁ θεὸς τῷ Ἰσραὴλ ἐν ὁράματι τῆς νυκτός· Ἰακὼβ, Ἰακώβ· ἐγώ εἰμι ὁ θεὸς τῶν πατέρων σου· μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον. εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ. ἐγὼ καταβήσομαι μετὰ σοῦ, κἀγὼ ἀναβιβάσω σε εἰς τέλος, καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμούς σου. ὅρα πῶς ἅπερ ὁ δίκαιος ἐπεθύμει, ταῦτα αὐτῷ ὁ B δεσπότης ὑπισχνεῖται, μᾶλλον δὲ καὶ πολλῷ πλείονα. φιλότιμος γὰρ ὢν ὑπερβαίνει τὰς ἡμετέρας αἰτήσεις, τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος. μὴ φοβοῦ, φησι, καταβῆναι εἰς Αἴγυπτον. ἐπειδὴ ἠγωνία πρὸς τὸ μῆκος τῆς ὁδοῦ, διὰ τοῦτό φησι, μὴ πρὸς τὴν τοῦ γήρως ἀσθένειαν ἀπίδῃς. εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ, καὶ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον. ἐγώ σοι συνέσομαι, καὶ πάντα σοι εὐμαρῆ καταστήσω. σκόπει συγκατάβασιν ῥημάτων, καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον. τί τούτου μακαριώτερον γένοιτ' ἄν, τοῦ τὸν θεὸν ἔχειν συνοδοιπόρον; C εἶτα ἡ παραμυθία, ἧς μάλιστα ἐδεῖτο ὁ πρεσβύτης· καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς σου. ἐκεῖνος ὁ περιπόθητος, αὐτός σε περιστελεῖ, καὶ τὰς χεῖρας ἐπιβαλεῖ τοῖς ὀφθαλμοῖς σου. χαίρων οὖν καὶ πάσης ἀγωνίας ἐκτὸς γενόμενος, οὕτως ἔχου τῆς ὁδοῦ. ἐννόει μοι λοιπὸν τὸν δίκαιον μεθ' ὅσης εὐθυμίας ποιεῖται τὴν ὁδοιπορίαν, τοσαύτην ἐκ τῆς τοῦ θεοῦ ὑποσχέσεως λαβὼν τὴν πληροφορίαν. ἀνέστη γάρ, φησιν, Ἰακὼβ, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ ἔλαβον πᾶσαν τὴν κτῆσιν αὐτῶν, καὶ ἦλθον εἰς Αἴγυπτον. ἐν ἑξήκοντα ἓξ ψυχαῖς κατέβη Ἰακὼβ εἰς Αἴγυπτον. καὶ Ἰωσὴφ μετὰ τῶν υἱῶν αὐτοῦ τῶν γενομένων αὐτῷ ἔννατος ἐτύγχανεν ὤν· ὡς εἶναι μετὰ τοῦ Ἰωσὴφ τὰς πάσας ψυχὰς, ἑβδομήκοντα πέντε. τίνος ἕνεκεν τὸν ἀριθμὸν ἡμῖν μετ' ἀκριβείας ἐπεσημήνατο ἡ θεία γραφή; ἵνα εἰδέναι ἔχωμεν, ὅπως εἰς ἔργον ἐξέβη ἡ τοῦ θεοῦ πρόρρησις ἡ λέγουσα, ὅτι εἰς ἔθνος μέγα ποιήσω σε ἐκεῖ. ἀπὸ γὰρ τούτων τῶν ἑβδομήκοντα πέντε ψυχῶν εἰς ἑξακοσίας χιλιάδας ἐξετάθη τὸ γένος τοῦ Ἰσραήλ. εἶδες πῶς οὐ μάτην οὐδὲ εἰκῆ τὸν ἀριθμὸν τῶν κατελθόντων εἰς τὴν Αἴγυπτον ἐδίδαξεν

A Nam quia videbat tantum itineris ſpacium, & cogitabat ſuam decrepitam ætatem, virtutis ne morte præoccupatus à colloquio & aſpectu filij deſtitueretur, precatur Dominum vt tantam ſibi vitæ menſuram concedat, vt perfecta voluptate fruatur. Sed vide, quomodo bonus Dominus multis argumentis iuſtum ſecurum reddat. Dixit enim Deus Iſraël in viſione noctis, [2] *Iacob, Iacob, ego ſum Deus patrum tuorum, ne timeas deſcẽdere in AEgyptum. In magnam enim gentẽ faciã te illic: ego deſcendã tecum, & reducã te in finem, & Io-* B *ſeph imponet manus ſuper oculos tuos.* Vide quomodo ea quæ iuſtus ille deſiderabat, ea illi Deus pollicetur: imò & multò maiora. Liberalitate enim ſua noſtras petitiones tranſcendit, ſeruãs ſolitam ſuam miſericordiam. Ne timeas, inquit, deſcendere in Ægyptũ. Quoniam anxius erat ob viæ prolixitatẽ, ideò dicit: Ne reſpicias ad infirmitatẽ ſenectutis, in gentẽ enim magnam faciã te illic: & deſcendam tecũ in Ægyptũ, ego te comitabor, & omnia tua proſpera reddam. C Aduerte quomodo verba humilitati noſtræ attẽperet: Deſcendam, inquit, tecũ in Ægyptũ. Quid hoc beatius fuerit, quã Deum ipſum habere comitẽ itineris? Sequitur poſtea conſolatio, qua plurimum indigebat ſenex. Et Ioſeph, inquit, imponet manꝰ ſuper oculos tuos. Ille dilectꝰ tuus, ipſe te fouebit, & manus imponet ſuper oculos tuos. Gaudens itaq;, & totus ſecurus iter arripe. Cogita hîc obſecro iuſtũ, quã iucundũ fecerit iter, acceptis tã certis Dei promiſſionibꝰ. [5] *Surrexit enim, inquit, Iacob & filij eius, & acceperunt omnẽ poſſeſſionẽ ſuã, & venerũt in AEgyptũ.* [6] *In ſexaginta ſex anima-* D *bus deſcendit Iacob in AEgyptũ: & Ioſeph cũ filijs ſuis, qui nati ſunt ei in AEgypto, nouẽ erant, & ita cũ Ioſeph erant omnes animæ ſeptuagintaquinq;.* Quare ſcriptura numerũ tanta diligentia annotauit? Vt ſcire poſſimꝰ, quomodo Dei prædictio impleta ſit, dicens: In gentem magnã faciam te illic. Nam ex his ſeptuagintaquinque animabus in ſexcenta millia genus Iſraël propagatum eſt. Vidiſti quomodo non fruſtra, neq; temerè numerum eorum, qui in Ægyptum deſcenderunt, nos

docuerunt: ſed vt ſcire poſſimus quàm multi ex tam paucis facti ſint, & diuinis promiſſionibus ne minus credamus. Nam quando cogitas, quòd poſt mortem Iacob & Ioſeph tanta machinatione vſus eſt Ægyptiorum rex, vt numerum eorum minueret, & paruum faceret, ne in tãtam propagaretur multitudinem, nihil potuerit, ſed magis & magis creuerit populus: admirare & ſtupeſcere miſericordiam Dei, & quòd non ſit poſſibile irrita eſſe quæ ipſe decreuerit, etiamſi infinita machinentur alij. Ceterùm videamus contextum totum, vt ſcias quomodo occurrerit ipſi Iacob.[29] *Quãdo autem appropinquauit in terram Ægypti, miſit Iudam ante ſe ad Ioſeph, vt ſignificaret illi patris aduentũ.*[30] *Igitur Ioſeph vt didicit, iunxit currus, & aſcendit in occurſum patri. Et mox vt vidit eum, recidit in collum eius, & fleuit fletu multo.* Hoc erat id quod initio dicebam, quòd ſæpe ingens voluptas profundere lachrymas facit. Recidit, inquit in collum eius, & fleuit. non dixit hoc ſimpliciter, ſed fletu magno. Statim enim in mentem ipſi venerunt quæ interim patri propter ſe acciderant, & cogitans tam prolixum interceſſiſſe tempus, & quòd præter omnem expectationẽ & ipſe patrem, & pater filium videret, fontes emiſit lachrymarum, ſimul & magnam declarans lætitiam, & gratias domino agens pro benefactis.[31] *Et dixit*, inquit, *Iacob ad Ioſeph: Moriar ex nunc, quia vidi faciem tuam. Adhuc enim tu viuis?* Votorum, inquit, compos factus ſum aſſecutus ſum quod nunquam expectaui: euenerunt mihi quæ nunquam ſperaueram. Deinceps contentus ſum vita. Vidi enim quem deſideraui, & ſufficit mihi ad lætitiam omnem, vidiſſe quòd tu adhuc viuis, qui pridem mortuus, & à beſtiis deuoratus es habitus. Paterna vox & plena dilectione, ſatiſque affectionem animę eius declarans. Dixit autem Ioſeph fratribus ſuis: *Deſcendam, & annunciabo Pharaoni quòd fratres mei venerint, & ſint paſtores:*[32] *Viri enim ſunt armentarij, & ſuum adduxerunt pecora & boues.*[33] *Si igitur vocauerit vos Pharao, & dixerit: Quod eſt opus veſtrum? dicite:*

Lachrymæ ex gaudio.

A ἡμᾶς, ἀλλ' ἵνα ἰδεῖν ἔχωμεν ἐξ ὅσων πόσοι γεγόνασι, καὶ μὴ διαπιστῶμεν ταῖς τοῦ θεοῦ ἐπαγγελίαις. ὅταν γὰρ ἐννοήσῃς, ὅτι μετὰ τὴν τοῦ Ἰακὼβ τελευτὴν καὶ τοῦ Ἰωσὴφ, τοσαύτῃ μηχανῇ χρησάμενος ὁ τῶν Αἰγυπτίων βασιλεὺς, ὥστε εἰς εὐαριθμήτους αὐτοὺς περιστῆσαι καὶ μὴ ἐκταθῆναι αὐτῶν τὸ πλῆθος, οὐδὲ οὕτως ἴσχυσεν, ἀλλὰ ταύτῃ μᾶλλον ἐπεδίδου καὶ ηὔξετο, θαύμαζε καὶ ἐκπλήττου τοῦ θεοῦ τὴν πρόνοιαν, καὶ ὅτι οὐκ ἔστι ποτὲ διαπεσεῖν τὰ αὐτῷ δόξαντα, κἂν μυρία ἕτεροι μηχανήσωνται. ἀλλ' ἴδωμεν τὴν ἀκολουθίαν ἅπασαν, ἵνα μάθωμεν ὅπως τὰ τῆς συντυχίας

B γέγονε τῷ Ἰακώβ. ἡνίκα, φησὶν, ἤγγιξε τῇ Αἰγύπτῳ, ἀπέστειλε τὸν Ἰούδαν ἔμπροσθεν αὐτοῦ πρὸς τὸν Ἰωσὴφ, ὥστε μηνῦσαι αὐτῷ τοῦ πατρὸς τὴν παρουσίαν. μαθὼν τοίνυν ὁ Ἰωσὴφ, καὶ ζεύξας τὰ ἅρματα ἀνέβη εἰς συνάντησιν τῷ πατρὶ αὐτοῦ, καὶ ὀφθεὶς αὐτῷ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσε κλαυθμῷ πλείονι. τοῦτο ἦν ὅπερ ἐν προοιμίοις ἔλεγον, ὅτι πολλάκις καὶ ἡδονὴ ὑπερβάλλουσα δάκρυα προχεῖν παρασκευάζει. ἐπιπεσὼν, φησὶ, ἐπὶ τὸν τράχηλον αὐτοῦ ἔκλαυσεν, οὐχ ἁπλῶς, ἀλλὰ κλαυθμῷ

C πλείονι. εὐθέως γὰρ εἰς ἔννοιαν ἐλθὼν, ὧν πέπονθεν αὐτὸς, ὧν ὑπέμεινεν ὁ πατὴρ δι' αὐτὸν, καὶ τοῦ χρόνου τὸ μῆκος λογισάμενος τοῦ μεταξὺ γενομένου, καὶ ὅτι παρὰ πᾶσαν προσδοκίαν καὶ αὐτὸς τὸν πατέρα ἑώρα, καὶ ὁ πατὴρ τὸν παῖδα ἐθεάσατο, πηγὰς ἀφίει δακρύων, ὁμοῦ καὶ τὴν ὑπερβάλλουσαν ἡδονὴν δεικνύμενος, καὶ εὐχαριστῶν τῷ δεσπότῃ ὑπὲρ τῶν γεγενημένων. καὶ εἶπε, φησὶ, πρὸς Ἰωσήφ· ἀποθανοῦμαι ἀπὸ τοῦ νῦν, ἐπεὶ ἑώρακα τὸ πρόσωπόν σου. ἔτι γὰρ σὺ ζῇς. ἀπήλαυσα, φησὶν, ὧν ἐπεθύμουν· ἐπέτυχον, οὗ οὐδέποτε προσεδόκησα· ὑπῆρξέ μοι τὰ μηδέποτε ἐλπισθέντα· τὸ

D λοιπὸν ἀρκοῦμαι τῇ ζωῇ. εἶδον γὰρ ὃν ἐπεπόθουν, καὶ ἀρκεῖ μοι πρὸς πᾶσαν εὐφροσύνην τὸ θεάσασθαι, ὅτι ἔτι σὺ ζῇς, ὁ πάλαι νομισθεὶς τεθνηκέναι, καὶ θηρίων κατάβρωμα γεγενῆσθαι. πατρικὴ ἡ φωνὴ, καὶ φιλοστοργίας γέμουσα, καὶ ἱκανὴ τὴν διάθεσιν τὴν ἐναποκειμένην τῇ ψυχῇ κατάδηλον ποιῆσαι. εἶπε δὲ, φησὶν, Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· ἀναβὰς ἀπαγγελῶ τῷ Φαραὼ, καὶ ἐρῶ αὐτῷ· οἱ ἀδελφοί μου ἥκασιν. οἱ δὲ ἄνδρες εἰσὶ ποιμένες· ἄνδρες κτηνοτρόφοι εἰσὶ, καὶ τὰ κτήνη καὶ τοὺς βόας αὐτῶν ἀγηόχασιν.

ἐὰν

A ἐὰν οὖν καλέσῃ ὑμᾶς Φαραὼ, καὶ εἴπῃ, τί τὸ ἔργον ὑμῶν, εἴπατε, ὅτι κτηνοτρόφοι ἐσμέν. βδέλυγμα γάρ ἐστι τοῖς Αἰγυπτίοις πᾶς ποιμὴν προβάτων. ὅρα σύνεσιν, οἵαν συμβουλὴν πρὸς αὐτοὺς ποιεῖται, οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε ταῦτα εἰσηγούμενος, ἀλλ' ὁμοῦ βουλόμενος καὶ ἐν πλείονι ἀδείᾳ αὐτοὺς καταστῆσαι, καὶ μὴ συγχωρεῖν συναναμίγνυσθαι τοῖς Αἰγυπτίοις. ἐπειδὴ γὰρ ἐκεῖνοι ἐβδελύττοντο καὶ ἐξευτέλιζον τοὺς τὴν ποιμαντικὴν ἠσκηκότας, ἅτε δὴ αὐτοὶ περὶ τὴν σοφίαν τὴν Αἰγυπτιακὴν ἐσχολακότες, διὰ τοῦτο παραινεῖ τὸ ἐπιτήδευμα αὐτῶν προβαλέσθαι, ἵνα μετὰ προφάσεως εὐλόγου τὴν καλλιστεύουσαν αὐ- B τοῖς γῆν ἀφορίσας παρασκευάσῃ μετὰ πολλῆς διάγειν τῆς ἀδείας. καὶ παραλαβὼν πέντε τῶν ἀδελφῶν αὐτοῦ εἰσήγαγεν αὐτοὺς πρὸς Φαραὼ, καὶ ἐπηρώτησεν αὐτοὺς, τί τὸ ἔργον ὑμῶν; καὶ εἶπον, κτηνοτρόφοι ἐσμέν. νῦν οὖν κατοικήσωμεν ἐν γῇ Γεσέμ. εἶπε δὲ Φαραὼ, κατοικείτωσαν. εἰ δὲ ἐπίστῃ, ὅτι εἰσὶν ἐν αὐτοῖς ἄνδρες δυνατοὶ, κατάστησον αὐτοὺς ἄρχοντας τῶν ἐμῶν κτηνῶν. καθάπερ συνεβούλευσεν ὁ Ἰωσὴφ, τὴν ἀπόκρισιν ποιησάμενοι οἱ ἀδελφοὶ τῷ Φαραὼ, ἐπετράπησαν κατοι- C κεῖν τὴν Γεσέμ. ἀλλὰ τὴν περὶ τὸν Ἰωσὴφ δεικνὺς ὁ Φαραὼ εὔνοιαν, φησιν, εἰ οἶδάς τινας ἐν αὐτοῖς δυνατοὺς, καὶ τῶν ἐμῶν κτηνῶν ἄρχοντας κατάστησον. εἰσήγαγε δὲ καὶ τὸν πατέρα πρὸς τὸν Φαραὼ, καὶ εἶπε Φαραὼ τῷ Ἰακώβ· πόσα ἔτη τῶν ἡμερῶν τῆς ζωῆς σου; ἐπειδὴ εἶδε τὸν πρεσβύτην ἐν βαθυτάτῃ πολιᾷ τυγχάνοντα, πυνθάνεται τῶν ἐτῶν τὸν ἀριθμόν. καί φησιν ὁ Ἰακὼβ, αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ. ὅρα πῶς ἕκαστος τῶν δικαίων, ὡς ἐν ξένῃ διάγων ἐν τῷ βίῳ τούτῳ, οὕτω διέκειτο. ἀκούσῃ γὰρ καὶ τοῦ Δαβὶδ μετὰ ταῦτα λέγον- D τος, ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος. καὶ οὗτός φησιν, αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε περὶ τῶν δικαίων τούτων· ὅτι ὡμολόγουν, ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. αἱ ἡμέραι, φησίν, τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ, ἑκατὸν τριάκοντα ἔτη. μικραὶ καὶ πονηραὶ γεγόνασι, καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν ἐτῶν τῆς ζωῆς τῶν πατέρων μου. ἃς ἡμέρας παρῴκησα, φησι, μικραὶ καὶ πονηραὶ γεγόνασιν. αἰνίττεται ἐνταῦθα τὰ ἔτη τῆς δουλείας, ἧς ὑπέμεινε παρὰ τῷ Λάβαν,

[34] *Pecorum paſtores ſumus. Abomoninatio enim Ægyptiorum eſt omnis paſtor ouium.* Vide prudentiam, & quale conſilium eis det, non ſimpliciter neque fortuitò hæc conſulens, ſed volens eos ſimul in maiori ſecuritate & abundantia agere, neque commercium habere cum Ægyptiis. Nam quia illi abominabantur & contemnebant paſtoritiam agentes vitam, vtpote ipſi diſciplinis Ægyptiorum vacantes, propterea admonet ſtudium ſuum prætexere, vt ſic rationabili & honeſta occaſione optima terræ portio eis ſegregetur, quò in ſumma tranquillitate & abundantia viuere poſſint. *Et acceptis quinque fratribus ſuis, introduxit eos ad Pharaonem. Et interrogauit eos:* [3] *Quod eſt opus veſtrum? & dixerunt. Armentarij ſumus, nunc igitur habitabimus in terra Geſem.* [5] *Dixit autem Pharao: habitent. Si autem ſcis aliquos ex eis, qui ſint viri induſtrij, conſtitue eos magiſtros meorum pecorum.* Sicut conſuluerat Ioſeph, ita reſponſum dederunt fratres Pharaoni: & conceſſum eſt eis habitare in terra Geſem. Cæterum Pharao declarans ſuam erga Ioſeph beneuolentiam, dicit: Si noſti in eis aliquos induſtrios, etiam meorum pecorum magiſtros conſtitue. [8] *Introduxit autem & patrem ad Pharaonem. Et dixit Pharao ad Iacob: Quot ſunt anni dierum vitæ tuæ?* Quoniam vidit ſenem profundiſſimæ ſenectutis, quærit annorum numerum. [9] *Et dicit Iacob: Dies annorum vitæ meæ, quibus peregrinus ſum.* Vide quomodo omnes iuſti in hac vita haud ſecus atque ſi in peregrinatione verſarentur, ita affecti ſunt. Audies enim & Dauid poſt hæc dicentem: Quia peregrinus ego ſum, & aduena: ſicut & hîc dicit, dies annorum vitæ meę, quibus peregrinus ſum. Propterea & Paulus dicebat de iuſtis illis, quòd confitebantur quaſi peregrini, & aduenæ ſint ſuper terram. *Dies,* inquit, *annorum vitæ meæ, quibus peregrinus ſum, centum triginta anni, pauci & mali fuerunt, & non peruenerunt ad dies annorum vitæ patrum meorum.* Quibus diebus, inquit, peregrinus fui, pauci & mali fuerunt. Significat hîc annos ſeruitutis, quã ſuſtinuit apud Laban

Caput. XLVII.

Pſ. 37. 13.

Heb. 11. 13.

A propter fugam, quam propter fratrem fecit: deide poſt redditum ab eo loco, luctum quem tanto tempore habuit, & propter mortẽ Ioſeph, & alias interiectas miſerias. Quantũ enim timorem eum habuiſſe putas, quando propter ſororem Symeõ, & Leui omnes ciuitates viros occiderunt, & omnes qui in Secimis erant, captiuos duxerunt? Dicebat enim & tunc, indicãs animi angorem in quo erat: Inuidioſum me feciſtis, ita vt malus habear inter habitantes terrã. Ego autem in paruo numero ſum, & congregati ſuper me, perdent me: & delebor & ego, & domus mea. B Propterea dicit: Pauci & mali dies annorum vitæ meæ. [11] *Et Ioſeph habitare fecit patrem ſuum & fratres ſuos, & dedit eis poſſeſſionẽ in terra Aegypti in meliori terra, in terra Rameſſe, ſicut præceperat Pharao:* [12] *& frumentum metiebatur Ioſeph patri & fratribus ſuis, & omni domui patris ſui frumentum ſecundum corpus.* Hoc erat quod dicebat fratribus, quòd miſit me Deus ante vos, vt relinqueretur vobis portio ſuper terram, & quòd in vitam miſit me Deus ante vos. C Frumenta metiebatur, inquit, eis ſecundùm corpus. Quid eſt ſecundum corpus? quantum ſufficiebat vnicuique. Mos enim eſt ſcripturæ aliquando ab anima totum hominem nominare, aliquãdo à corpore. Et ſicut ſuperius dicebat, in ſeptuagintaquinque animabus deſcẽdit Iacob in Ægyptum: vt diceret ſeptuagintaquinque viros & mulieres: ſic & hîc ſecundum corpus, id eſt, pro ſingulis hominibus. Et tota quidem Ægyptus & Chananæorum regio fame laborabant, ipſi autem proſperè agebant, D habentes quaſi ex fontibus profluentia frumenta. Frumentum enim, inquit, non erat in omni terra. Inualuit enim fames ſupra modum. [13] *Defecit autem terra Aegypti & terra Chanaan præ fame.* Vide ineffabilem Dei ſollicitudinem & prouidentiam: quomodo anteaquam incrudeſceret fames, iuſtum in Ægyptum deduxerit, ne quam ſentiret anguſtiam, quæ ventura erat in Chanaan. Et omnibus illuc decurrentibus, [14] *Congregauit*, inquit, *Ioſeph omnem pecuniam, tam eorum qui erant in Aegypto, quàm eorum qui erant in Chanaan,*

Anima vel corpus totus homo.

διὰ τὴν φυγὴν, ἣν διὰ τὸν ἀδελφὸν ἐποιήσατο· εἶτα μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον τὸ πένθος τὸ ἐν τοσούτῳ χρόνῳ, ὃ εἶχε διά τε τὸν τοῦ Ἰωσὴφ θάνατον, καὶ τὰς ἄλλας τὰς ἐν τῷ μέσῳ ταλαιπωρίας. πόσον γὰρ οἴει τὸν φόβον αὐτὸν ἐσχηκέναι, ἡνίκα διὰ τὴν ἀδελφὴν οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευὶ αὐτάνδρον πόλιν ἀνῄρουν, καὶ πάντας τοὺς ἐν Σικίμοις αἰχμαλώτους ἔλαβον; ἔλεγε γὰρ καὶ τότε, δεικνὺς τὴν ἀγωνίαν ἐν ᾗ κατέστη· μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι ἐν τοῖς κατοικοῦσι τὴν γῆν. ἐγὼ δὲ ὀλιγοστός εἰμι ἐν ἀριθμῷ· καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγώ τε καὶ ὁ οἶκός μου. διὰ τοῦτό φησι, μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου. καὶ κατῴκισεν Ἰωσὴφ τὸν πατέρα αὐτοῦ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔδωκεν αὐτοῖς κατάσχεσιν ἐν γῇ Αἰγύπτου, ἐν τῇ βελτίστῃ γῇ, ἐν γῇ Ῥαμεσσῆ, καθὰ προσέταξε Φαραώ. καὶ ἐσιτομέτρει Ἰωσὴφ τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ σῖτον κατὰ σῶμα. τοῦτο ἦν ὅπερ ἔλεγε τοῖς ἀδελφοῖς, ὅτι ἀπέστειλέ με ὁ θεὸς ἔμπροσθεν ὑμῶν, ὥστε ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς· καὶ ὅτι εἰς ζωὴν ἐξαπέστειλέ με ὁ θεὸς ἔμπροσθεν ὑμῶν. ἐσιτομέτρει, φησὶν, αὐτοῖς κατὰ σῶμα. τί ἐστι κατὰ σῶμα; τὸ ἀρκοῦν ἑκάστῳ. ἔθος γὰρ τῇ γραφῇ ποτὲ μὲν ἀπὸ τῆς ψυχῆς τὸν πάντα ἄνθρωπον καλεῖν, ποτὲ δὲ ἀπὸ τοῦ σώματος. καὶ καθάπερ ἀνωτέρω ἔλεγεν, ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβη Ἰακὼβ εἰς Αἴγυπτον, ἵνα εἴπῃ ἑβδομήκοντα πέντε ἄνδρας καὶ γυναῖκας· οὕτω καὶ ἐνταῦθα, κατὰ σῶμα, ἀντὶ τοῦ, καθ' ἕκαστον ἄνθρωπον. καὶ πάσης τῆς Αἰγύπτου καὶ Χαναὰν λιμῷ διαφθειρομένης, οὗτοι ἐν εὐετηρίᾳ ἐτύγχανον, καθάπερ ἐκ πηγῶν ἔχοντες ἐπιρρέοντα τὸν σῖτον. σῖτος γὰρ, φησὶν, οὐκ ἦν ἐν πάσῃ τῇ γῇ. ἐνίσχυσε γὰρ ὁ λιμὸς σφόδρα. ἐξέλιπε δὲ ἡ γῆ Αἰγύπτου, καὶ ἡ γῆ Χαναὰν ἀπὸ τοῦ λιμοῦ. ὅρα τοῦ θεοῦ τὴν ἄφατον κηδεμονίαν, ὅπως πρὸ τῆς ἐπιτάσεως τοῦ λιμοῦ τὸν δίκαιον εἰς τὴν Αἴγυπτον κατήγαγεν, ἵνα μηδεμίαν αἴσθησιν λάβῃ τῆς στενοχωρίας τῆς μελλούσης καταλαμβάνειν τὴν Χαναάν. καὶ πάντων ἐκεῖ κατατρεχόντων, συνήγαγε, φησιν, Ἰωσὴφ ἅπαν τὸ ἀργύριον τό τε ἐν Αἰγύπτῳ καὶ τὸ ἐν τῇ Χαναάν,

καὶ οὕτω τὸν σῖτον αὐτοῖς ἐχορήγει. καὶ ἐξέλιπε λοιπὸν τὸ ἀργύριον. εἰσήγαγε γὰρ ἅπαν εἰς τὸν οἶκον Φαραώ. ἐλθόντες δὲ πάντες οἱ Αἰγύπτιοι ἔλεγον, δὸς ἡμῖν ἄρτους. καὶ ἵνα τί ἀποθνήσκομεν ἐναντίον σου; ἐξέλιπε γὰρ τὸ ἀργύριον. οὐκ ἔτι, φησὶν, ἔχομεν ἀργύρια, ὥστε ὠνήσασθαι, καὶ διὰ τοῦτο ὑπὸ τοῦ λιμοῦ ἀπολλύμεθα. μὴ τοίνυν περιίδῃς ἡμᾶς ὑπὸ τοῦ θανάτου πολιορκουμένους, ἀλλὰ παράσχου ἡμῖν ἄρτους, ἵνα ζῶμεν καὶ μὴ ἀποθάνωμεν. εἶπε δὲ αὐτοῖς Ἰωσήφ· φέρετε τὰ κτήνη ὑμῶν, καὶ δώσω ὑμῖν ἄρτους. εἰ γὰρ μὴ εὐπορεῖτε, φησιν, ἀργυρίου, δέχομαι τὰ κτήνη. εἰ ἐξέλιπε τὸ ἀργύριον, τὰ θρέμματα ὑμῶν κομίσατε, καὶ λήψεσθε ἄρτους. ἤγαγον δὲ τὰ κτήνη. καὶ ἔδωκεν αὐτοῖς ἀντὶ τῶν ἵππων καὶ ἀντὶ τῶν προβάτων καὶ ἀντὶ τῶν βοῶν καὶ τῶν ὄνων, καὶ ἐξέθρεψεν αὐτοὺς ἀντὶ τῶν κτηνῶν αὐτῶν. ἦλθον δὲ πρὸς αὐτὸν καὶ τῷ ἔτει τῷ δευτέρῳ, καὶ εἶπον αὐτῷ· μήποτε ἐκτριβῶμεν, μήτε ἀργυρίου εὐποροῦντες, μήτε κτηνῶν; πάντα γὰρ πρὸς σὲ τὸν κύριον ἡμῶν ἐστιν. οὐδὲν οὖν ἡμῖν ἕτερον ὑπολέλειπται, ἢ τὸ ἴδιον σῶμα, καὶ ἡ γῆ ἡμῶν. ἵνα οὖν μὴ ἀποθάνωμεν, κτῆσαι ἡμᾶς καὶ τὴν γῆν ἡμῶν ἀντὶ τῶν ἄρτων, καὶ ἐσόμεθα καὶ ἡμεῖς καὶ ἡ γῆ ἡμῶν παῖδες τῷ Φαραώ. δὸς σπέρμα ἵνα σπείρωμεν καὶ ζῶμεν καὶ μὴ ἀποθάνωμεν, καὶ ἡ γῆ οὐκ ἐρημωθήσεται. ἑαυτοὺς κατεδουλώσαντο, καὶ τὴν γῆν ἀπέδοντο, ὥστε δυνηθῆναι διατραφῆναι· τοσαύτη τοῦ λιμοῦ γέγονεν ἡ ἀνάγκη. καὶ ἐκτήσατο Ἰωσὴφ τὴν γῆν τῶν Αἰγυπτίων τῷ Φαραώ. ἀπέδοντο γὰρ αὐτὴν διὰ τὴν ἀνάγκην τοῦ λιμοῦ. καὶ ἐγένετο ἡ γῆ τῷ Φαραὼ, καὶ τὸν λαὸν κατεδουλώσατο αὐτῷ εἰς παῖδας ἀπ᾽ ἄκρων ὁρίων Αἰγύπτου ἕως ἄκρων, χωρὶς τῆς γῆς τῶν ἱερέων. ἐκείνοις γὰρ ἔδωκε Φαραὼ βρώματα, καὶ ἤσθιον. διὰ τοῦτο οὐκ ἀπέδοντο τὴν γῆν αὐτῶν. ὅρα πόση ἡ σύνεσις καὶ σοφία τοῦ Ἰωσὴφ γέγονεν. οὔτε τοῦ λιμοῦ συνεχώρησεν αἴσθησιν αὐτοῖς γενέσθαι, καὶ πᾶσαν τὴν γῆν τῷ Φαραὼ προσεκτήσατο μετὰ τοῦ καὶ τοὺς Αἰγυπτίους ἅπαντας καταδουλώσασθαι. ἀλλὰ σκόπει μοι ἐνταῦθα πάλιν τὴν ὑπερβάλλουσαν αὐτοῦ κηδεμονίαν, ἣν περὶ αὐτοὺς ἐπιδείκνυται. εἶπε γὰρ τοῖς Αἰγυπτίοις· ἰδοὺ κέκτημαι ὑμᾶς καὶ τὴν γῆν ὑμῶν σήμερον τῷ Φαραώ. λάβετε οὖν ἑαυτοῖς σπέρματα, καὶ σπείρατε τὴν γῆν. καὶ ἐὰν ἔσται τὰ γεννήματα, ἀποδώσετε τὸ πέμπτον μέρος τῷ Φαραὼ, τὰ δὲ τέσσαρα μέρη ἔσται ὑμῖν αὐτοῖς εἰς σπέρμα τῇ γῇ, καὶ εἰς βρῶσιν ὑμῖν καὶ πᾶσι τοῖς ἐν τοῖς οἴκοις ὑμῶν.

A *& ſic frumenta eis diſpenſauit.* [15] *Et defecit poſtea pecunia. Importauit enim omnẽ in domum Pharaonis. Venerunt autem AEgyptij omnes, & dicebant: Da nobis panes: & cur morimur ante te? Defecit enim pecunia.* Non ſunt nobis, inquiunt, plures pecuniæ, vt emamus, & ideo fame perimus. Ne igitur deſpicias nos, qui à morte ita obſidemur, ſed præbe nobis panes vt viuamus, & ne moriamur. [16] *Dixit autẽ eis Ioſeph: Afferte pecora veſtra, & dabo vobis panes.* Si enim non ſuppetit vobis pecunia, inquit, accipio & pecora. Si defecit pecunia, adducite pecora ve-
B ſtra, & accipietis panes. [17] *Adduxerunt autem pecora, & dedit eis pro equis, & ouibus, & bobus, & aſinis, & aluit eos pro pecoribus ſuis.* [18] *Venerunt autem ad eum & anno ſequenti, & dixerunt ei: Ne fortè pereamus, neque pecunia nobis ſuppetit, neque pecora: omnia enim apud te dominum noſtrum ſunt, nihil enim nobis aliud relictum eſt, quàm proprium corpus & terra noſtra.* [19] *Vt igitur non pereamus, poſſide nos & terram noſtram pro panibus, & erimus etiam nos & terra noſtra ſerui Pharaonis & da ſe-*
C *men, vt ſeminamus & viuamus, & terra non redigetur in ſolitudinem.* Seipſos in ſeruitutem ſubiecerunt, & terram vendiderunt, ita vt ali poſſent: tanta famis neceſſitas facta eſt. [20] *Et acquiſiuit Ioſeph terram AEgyptiorum Pharaoni.* Vendiderunt enim eam fame coacti. [21] *Et facta eſt terra Pharaonis, & populum ſibi in ſeruos ſubiecit ab extremis finibus AEgypti, vſque ad extremos:* [22] *excepta terra ſacerdotum. Illis enim dedit Pharao cibos, & comederunt, & propterea non vendiderunt terram ſuam.* Vide quantus intelle-
D ctus, & quanta ſapientia Ioſeph fuerit. Illos neque famem experiri permiſit, & omnem terram acquiſiuit Pharaoni, ſimulque fuerunt Ægyptij omnes in ſeruitutem redacti. Vide (obſecro) hîc iterum eximiam diligentiam, & prouidentiam, quã erga illos habet. [23] *Dixit enim AEgyptiis: Ecce acquiſiui vos & terram veſtram hodie Pharaoni. Accipite igitur vobis ſemina, & ſeminate terram & ſi fuerint prouentus,* [24] *dabitis quintam partem Pharaoni. Quatuor autem partes erunt veſtræ in ſemen terræ, & in cibum vobis, & toti domui veſtræ.*

Magna liberalitas, ingens prouidentia, ineffabilis ſollicitudo. Ideo & illi agnoſcentes beneficia, dicunt:[25] *Saluaſti nos, inuenimus enim gratiam coram domino noſtro, & erimus ſerui Pharaonis.* Vidiſti liberalitatem? Nam quia vidit eos contriſtatos nimia penuria, cogitans quantũ laborem & ęrũnam ſuſtinere cogantur colendo terram, dicit: Semen vobis ego ſuppeditabo, vos autem omnem aliam curam exhibete. Et ſi fuerint vobis prouētus, dabitis partem vnã, quatuor autem veſtrę erunt, & merces laborum, & alimonię ſumptus. Hoc autem mandatum poſuit eis Ioſeph, vt quintam partem darent Pharaoni, excepta ſola ſacerdotum terra. Audiant qui nunc viuunt, quantam olim ſacerdotum idolorum curam habuerint, & diſcant vt vel ſaltem parem habeant honorem his quibus omnium Dei miniſterium creditum, & ſacerdotio inſigniti ſunt. Si enim errantes illi, & tantam idolorum curam habentes, quia ex hoc putabant idola magis coli, ſi ita eorum miniſtros colerent: quanta non condemnatione digni, qui nunc imminuunt quod ad illorũ ſpectat cultum? An neſcitis quòd honor ad Deum ipſum tranſit? ne igitur reſpicias eum cui honos confertur. Non enim propter illum debes quod tuum eſt facere, ſed propter illũ cuius ſacerdos eſt, vt & ab illo retributiones vbertim accipias. Propter quod & dicebat: Qui fecerit vni horum, mihi fecerit: & quia accepit Prophetã in nomini Prophetæ, mercedẽ Prophetæ accipiet. Num enim à dignitate vel vilitate miniſtrorũ tibi retribuet Dominus? Ob alacritatatem tuã vel coronat, vel condẽnat. Et ſicut honor qui propter ipſum impẽditur, multũ parit fiduciæ (propria enim ſibi facit Deus, quę in ſeruos ſuos collocantur) ita & illorum contemptus multam è ſupernis pœnam nobis deferet. Igitur ſicut ſuum eſſe honorem, ita & contẽptum ducit: id quod ſcientes, nunquam negligamus cultum qui ſacerdotibus Dei debetur. Et hęc dico, non tantam illorum rationem habens, quantam veſtræ charitatis, cupiens vos in omnibus lucrifacere. Quid enim tantũ das, quantum accipis à Domino?

Sacerdotes colendi.

Mat. 25. 41.

Mat. 10. 41.

A πολλὴ ἡ φιλοτιμία, πολλὴ ἡ πρόνοια, ἄφατος ἡ κηδεμονία. διὸ κἀκεῖνοι αἴσθησιν λαβόντες τῆς εὐεργεσίας, φασί· σέσωκας ἡμᾶς, εὕρομεν χάριν ἐναντίον τοῦ κυρίου ἡμῶν· καὶ ἐσόμεθα παῖδες τῷ Φαραώ. εἶδες φιλοτιμίαν; ἐπειδὴ ἑώρα αὐτοὺς κατειργασμένους ὑπὸ τῆς ἐνδείας, λογιζόμενος ὅσον μέλλουσιν ὑπομένειν κάματον γεωργοῦντες καὶ ταλαιπωρούμενοι, φησι, τὸ μὲν σπέρμα ὑμῖν ἐγὼ χορηγήσω· ὑμεῖς δὲ τὴν ἐπιμέλειαν τὴν ἄλλην ἅπασαν ἐπιδείκνυσθε. καὶ ἐὰν γένηται τὰ γεννήματα, δώσετε μέρος ἕν· τὰ δὲ τέσσαρα ὑμῖν ἔσται καὶ μισθὸς τῶν πόνων, καὶ πρὸς διατροφὴν B αὐτάρκεια. καὶ τοῦτο δὲ ἔθετο αὐτοῖς τὸ πρόσταγμα Ἰωσήφ, ὥστε ἀποπεμπέσθαι τῷ Φαραώ, χωρὶς τῆς γῆς τῶν ἱερέων μόνης. ἀκουέτωσαν οἱ νῦν, ὅσην τοῖς ἱερεῦσι τῶν εἰδώλων προνομίαν παρεῖχον τὸ παλαιόν· καὶ παιδευέσθωσαν κἂν γοῦν τὴν ἴσην παρέχειν τιμὴν τοῖς τοῦ τῶν ὅλων θεοῦ τὴν λειτουργίαν ἐγκεχειρισμένοις. εἰ γὰρ ἐκεῖνοι πλανώμενοι, καὶ τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐπιδεικνύμενοι, ὅτι ἐνόμιζον διὰ τούτου μάλιστα πλείονα τὴν ἀμοιβὴν ἀπονέμειν τοῖς εἰδώλοις, τοσαύτης ἠξίουν τιμῆς τοὺς τούτων θεραπευτάς, C πόσης οὐκ ἂν εἶεν καταγνώσεως ἄξιοι, οἱ νῦν τὴν εἰς τούτους θεραπείαν παρατεμνόμενοι; ἢ οὐκ ἴστε, ὅτι εἰς τὸν τῶν ὅλων δεσπότην ἡ τιμὴ διαβαίνει; μὴ τοίνυν πρὸς τὸν τὴν τιμὴν δεχόμενον ἀφόρα. οὐ γὰρ διὰ τοῦτον ὀφείλεις ποιεῖν τὰ παρὰ σαυτοῦ, ἀλλὰ δι' ἐκεῖνον ᾧ ἱερᾶται· ἵνα καὶ παρ' ἐκείνου τὰς ἀμοιβὰς μετὰ δαψιλείας κομίσῃ. διὰ τοῦτο καὶ ἔλεγεν, ὁ ποιήσας ἑνὶ τούτων, ἐμοὶ ἐποίησε· καὶ ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. μὴ γὰρ ἀπὸ τῆς ἀξίας, ἢ ἀπὸ τῆς εὐτελείας D τῶν θεραπευομένων τὰς ἀμοιβάς σοι παρέχει ὁ δεσπότης; ἀπὸ τῆς προθυμίας τῆς σῆς ἢ στεφανοῖ, ἢ κατακρίνει. καὶ ὥσπερ ἡ τιμὴ ἡ δι' αὐτὸν γινομένη πολλὴν προξενεῖ τὴν παρρησίαν (οἰκειοῦται γὰρ τὰ εἰς τοὺς αὐτοῦ θεράποντας γινόμενα) οὕτω καὶ ὑπεροψία ἡ εἰς τούτους πολλὴν οἴσει τὴν ἄνωθεν δίκην. ὥσπερ γὰρ τὰ τῆς τιμῆς οἰκειοῦται, οὕτω καὶ τὰ τῆς καταφρονήσεως. ὅπερ εἰδότες μηδέποτε ἀμελῶμεν τῆς θεραπείας τῶν τοῦ θεοῦ ἱερέων. καὶ ταῦτα λέγω, οὐχ ἐκείνων τοσοῦτον ἀντεχόμενος, ὅσον τῆς ὑμετέρας ἀγάπης, καὶ βουλόμενος ὑμᾶς διὰ πάντων κερδαίνειν.

τί γὰρ τοσοῦτον δίδως, ὅσον λαμβάνεις παρὰ τοῦ δεσπότου; πόσην θεραπείαν εἰσάγεις; ἀλλ' ὅμως καὶ παρ' ἐκείνης τῆς εὐτελοῦς καὶ ἐν τῷ παρόντι βίῳ συγκαταλυομένης ἀθανάτους κομίσῃ ἀμοιβὰς, καὶ τὰ ἀπόρρητα ἀγαθά. ἅπερ λογιζόμενοι ἐπιτρέχωμεν ταῖς τοιαύταις διακονίαις, μὴ τὴν δαπάνην λογιζόμενοι, ἀλλὰ τὸ κέρδος καὶ τὴν πρόσοδον τὴν ἐντεῦθεν τικτομένην. εἰ γὰρ ἀνθρώπῳ τινὶ τῶν παρεχόντων ἐν ἀξιώμασι βιωτικοῖς οἰκειούμενόν τινα θεασώμεθα, πᾶσαν θεραπείαν εἰς αὐτὸν ἐπιδείκνυσθαι σπουδάζομεν, ἐννοοῦντες ὅτι τὰ εἰς ἐκεῖνον γινόμενα εἰς τὸν δεσπότην διαβήσεται τὸν αὐτοῦ, καὶ ὅτι ἐκεῖνος γνωρίσας ἐκείνῳ, ὃν δεσπότην ἐπιγράφεται, πλείονος ἡμῖν ἀπολαῦσαι παρασκευάσει τῆς παρ' αὐτοῦ εὐνοίας· πολλῷ μᾶλλον ἐπὶ τοῦ δεσπότου τῶν ὅλων τοῦτο ἔσται. εἰ γὰρ καὶ ἐπὶ τῶν τυχόντων καὶ ἐπὶ τῆς ἀγορᾶς ἐρριμμένων εἰ ἐπεδείξατό τις τινα φιλοφροσύνην καὶ συμπάθειαν, οἰκειούμενος τὰ γινόμενα ὁ δεσπότης, ἐπαγγέλλεται εἰς τὴν βασιλείαν εἰσάγειν τοὺς ἀγαθόν τι εἰς ἐκείνους εἰργασμένους, καὶ ἐρεῖν· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· πολλῷ μᾶλλον τοὺς διὰ τὸν θεὸν θλιβομένους, καὶ ἱερωσύνῃ τετιμημένους εἰ θεραπεύσειέ τις, οὐ τῆς τοσαύτης ἀπολαύσεται τῆς ἀμοιβῆς, ἀλλὰ πολυπλασίονος, τῆς φιλανθρωπίας τοῦ θεοῦ ἐκ πολλοῦ τοῦ περιόντος νικώσης ἀεὶ τὰ παρ' ἡμῶν γινόμενα. μὴ τοίνυν γινώμεθα χείρους τῶν ἀπίστων, τῶν διὰ τὴν περὶ τὰ εἴδωλα πλάνην ἔτι καὶ τοσαύτην θεραπείαν ἐπιδεικνυμένων περὶ τοὺς τούτων θεραπευτάς· ἀλλ' ὅση ἡ διαφορὰ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν, καὶ τῶν ἐκείνων ἱερέων πρὸς τοὺς τοῦ θεοῦ ἱερέας, τοσαύτην διαφορὰν καὶ περὶ τὴν τιμὴν ἐπιδειξώμεθα, ἵνα πολυπλασίους τὰς ἄνωθεν ἀμοιβὰς κομίσασθαι δυνηθῶμεν. κατῴκησε δέ, φησιν, Ἰακὼβ ἐν Αἰγύπτῳ, καὶ ηὐξήθησαν καὶ ἐπληθύνθησαν σφόδρα. αὕτη γὰρ ἦν καὶ τοῦ θεοῦ ἡ ὑπόσχεσις πρὸς αὐτὸν γεγενημένη, ὅτι ποιήσω σε εἰς ἔθνος μέγα. καὶ ἐπέζησεν Ἰακὼβ δεκαεπτὰ ἔτη. καὶ ἐγένοντο αἱ ἡμέραι Ἰακὼβ, ἑκατὸν τεσσαράκοντα ἑπτὰ ἔτη. διὰ τοῦτο τὸν τῆς ζωῆς αὐτοῦ τὸν χρόνον τοῦτον ἐπεμέτρησεν ὁ θεός, ἵνα τῆς ταλαιπωρίας, ἧς ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς ὑπέμεινεν, ἀρκοῦσαν παραμυθίαν κομισάμενος, οὕτω τὸν βίον καταλύσῃ. ἀλλ' εἰ βούλεσθε, ἵνα μὴ τῷ πλήθει τῶν εἰρημένων καταχώσωμεν ὑμῶν τὴν μνήμην, τὰ λειπόμενα εἰς τὴν ἑξῆς ταμιευσάμενοι, ἐνταῦθα καταπαύσομεν τὸν λόγον,

A Quantum autem cultum affers? Attamen & pro illo vili, & qui in præſenti vita ſimul diſſoluitur, immortales accipies mercedes, & ineffabilia bona. Hæc mente verſemus, & properemus ad eorũ obſequia, non attendentes ſumptum, ſed lucrum & acceſſionem, quæ inde naſcuntur. Nam ſi vidẽtes viri alicuius ſeculari dignitate inſignis familiarem, operã damus vt quantum poſſibile eſt illi præſtemus obſequium, cogitantes quòd quæ illi fiunt, eius domino accedant: & quòd ille familiaris vbi ſignificarit patrono ſuo, maiorem no-
B bis apud eum fauorẽ conciliet: multò magis hoc erit apud vniuerſorum dominum. Nam ſi quando quis in vulgarem aliquem & abiectum, benignitatem & compaſſionẽ aliquam declararit: Dominus quæ fiunt, ſibi propria faciens, promittit ſe in regnum introducturum eos qui aliquid boni illi fecerint, & dicturum: Venite benedicti patris mei, quia eſuriui, & dediſtis mihi quod comederem: multò magis eos, qui propter Deum affliguntur, & ſacerdotio in- (Mat. 25. 34.)
C ſigniti ſunt, ſi quis obſeruauerit, non ſolùm parem aſſequetur retributionem, ſed multipliciter maiorem, clemente Deo ex abundantia miſericordiæ ſemper ea quæ ab eo nobis fiunt, vincente. Ne igitur ſimus deteriores infidelibus, qui propter idolorum errorem adhuc tantum cultum exhibent illorum famulis: ſed quantum diſtat error & veritas, tantum diſtant & illorum & Dei ſacerdotes. Tam excellentẽ igitur obſeruantiam & honorem impendere debemus, vt multò plures è ſupernis (Gẽtiles non oportet pl⁹ quã nos ſapere.)
D nobis retributiones accreſcant.[27] *Habitauit autem Iacob in AEgypto, & aucti ſunt, & multiplicati ſunt valde.* Erat enim & hęc promiſſio Dei ei facta, Faciam te illic in gentẽ magnã.[20] *Et ſuperuixit Iacob decẽ & ſeptẽ annis. Et facti ſunt dies Iacob anni centum quadraginta ſeptem.* Propterea Deus dimenſus eſt ei hoc tẽpus vitę, vt miſeriæ, quam toto vitę tempore ſuſtinuit, conſolatione magna acceptą hinc migraret. Verùm ſi vultis vt non multitudine dictorum memoriã veſtram obruamus, quæ reliqua ſunt reſeruabimus, & finem ſermonis faciemus. (Moralis concluſio.)

A Veſtram autem charitatem hoc rogauerimus, vt diligenter his quæ dicuntur intendatis, & ipſa perpetuæ memoriæ commendetis, continuò in mente veſtra verſantes, & cogitantes quantam patientiam iuſti ſuſtinuerint, quámque longanimitatem & fidem in promiſſionibus Dei habuerint, non animo fluctuantes propter ea quæ poſt promiſſiones eueniebant: ſed fidentes eius qui promiſerat virtuti, omnia æquo animo ferebant, & propterea celebres & clari fuerint. Ecce enim & iuſtus ille Ioſephum, poſtquam tot annis luxit quaſi mortuum, vidit regnum Ægypti tenere: & admirabilis Ioſeph, B poſt ſeruitutem, poſt carcerem, poſt alia omnia quæ ſuſtinuit, principatum totius regionis ſuſcepit. Et ſi accedere volumus ad eas, quæ in ſacra ſcriptura continentur, hiſtorias, inueniemus omnes virtute præditos per tentationes ingreſſos, & ſic magnum à Deo aſſecutos auxilium. Si ergo diuinam nobis beneuolentiam conciliare volumus, ne ſimus triſtes in tentationibus, nec grauatim feramus quæ nobis obueniunt: ſed ma- C gis gaudeamus & lætemur fide corroborati, ſcientes quòd hac ratione potiſſimum diuina prouidētia fruemur, ſi cum gratiarum actione omnia ferre meditemur. Vt autem omnes nos & præſentem vitam in virtutibus tranſigamus, & futura conſequamur bona, concedat nobis per clementiam & gratiam ſuam dominus noſter Ieſus Chriſtus, cui cum patre & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, ὥστε μετ᾽ ἀκριβείας προσέχειν τοῖς λεγομένοις, καὶ τὴν μνήμην διηνεκῆ τούτων κεκτῆσθαι, καὶ ταῦτα διηνεκῶς στρέφειν ἐπὶ τῆς διανοίας, καὶ λογίζεσθαι τὴν ὑπομονὴν, ἣν οἱ δίκαιοι οὗτοι ὑπέμενον, τὴν μακροθυμίαν, τὴν πίστιν, ἣν ἐπεδείκνυντο περὶ τὰς τοῦ θεοῦ ὑποσχέσεις, οὐ παρασαλευόμενοι τὸν λογισμὸν διὰ τὰ μετὰ τὴν ὑπόσχεσιν συμπίπτοντα, ἀλλὰ θαῤῥοῦντες τῇ τοῦ ἐπαγγειλαμένου δυνάμει, οὕτως ἅπαντα πράως ἔφερον, καὶ διὰ τοῦτο ἦσαν εὐδόκιμοι. ἰδοὺ γὰρ καὶ ὁ δίκαιος οὗτος μετὰ τὸ ἐν ἔτεσι τοσούτοις πενθῆσαι τὸν Ἰωσὴφ ὡς ἀποτεθνηκότα, εἶδεν αὐτὸν τὴν βασιλείαν τῆς Αἰγύπτου κατέχοντα, καὶ ὁ θαυμάσιος Ἰωσὴφ μετὰ τὴν δουλείαν, μετὰ τὸ δεσμωτήριον, μετὰ τὰ ἄλλα πάντα, ἅπερ ὑπέμεινε, τὴν ἀρχὴν ἅπασαν ἐδέχετο τῆς χώρας. καὶ εἰ βουλοίμεθα ἐπιέναι πάσας τὰς ἐν τῇ γραφῇ κειμένας ἱστορίας, εὑρήσομεν τοὺς ἐπ᾽ ἀρετῇ ἅπαντας διὰ πειρασμῶν ὁδεύοντας, καὶ οὕτω δυνηθέντας πολλὴν τὴν ἄνωθεν ἐπισπάσασθαι ῥοπήν. εἰ τοίνυν βουλόμεθα καὶ ἡμεῖς τῆς εὐνοίας ἀξιωθῆναι τῆς παρὰ τοῦ θεοῦ, μὴ ἀσχαλλῶμεν ἐν τοῖς πειρασμοῖς, μηδὲ δυσχεραίνωμεν πρὸς τὰ ἐπιόντα· ἀλλὰ μᾶλλον χαίρωμεν καὶ εὐφραινώμεθα τῇ πίστει νευρούμενοι, εἰδότες ὅτι ταύτῃ μάλιστα πολλῆς ἀπολαυσόμεθα τῆς προνοίας, εἰ μετ᾽ εὐχαριστίας ἅπαντα φέρειν μελετήσωμεν. γένοιτο δὲ πάντας ἡμᾶς καὶ τὸν παρόντα βίον ἐν ἀρετῇ διαγαγόντας καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

D

Homilia LXVI.

Appropinquauerunt autem, inquit, *dies Iſraël vt moreretur, & vocauit filium ſuum Ioſeph, & dixit ei: Si inueni gratiam apud te, ſuppone manum tuam ſubter femur meum, & facies mecum miſericordiam & veritatem, vt non ſepeliar ego in AEgypto,* 30 *ſed dormiam cum patribus meis: & auferas me ex AEgypto, & ſepelias me in ſepulchro eorum. Ille autem di-*

Ὁμιλία ξϛ.

Ἤγγισαν δὲ, φησιν, αἱ ἡμέραι Ἰσραὴλ τοῦ ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ τὸν Ἰωσὴφ, καὶ εἶπεν αὐτῷ· εἰ εὕρηκα χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ποιήσεις ἐπ᾽ ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν, τοῦ μή με θάψαι ἐν Αἰγύπτῳ, ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου, καὶ ἀρεῖς με ἐξ Αἰγύπτου, καὶ θάψεις με ἐν τῷ τάφῳ αὐτῶν. ὁ δὲ εἶπεν, ἐγὼ

ποιήσω κατὰ τὸ ῥῆμά σου. εἶπε δὲ, ὄμοσόν μοι. καὶ ὤμοσεν αὐτῷ. καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

A xit: *Faciam ſecundùm verbum tuum. Dixit autem: Iura mihi. & iurauit ei, & adorauit Iſraël ad faſtigium virgæ eius.*

Φέρε καὶ σήμερον τὸ τέλος ἐπιθῶμεν τῇ κατὰ τὸν Ἰακὼβ διηγήσει, καὶ ἴδωμεν τίνα ἐστὶν, ἃ μέλλων καταλύειν τὸν βίον, διατάττεται. ἀλλὰ μηδεὶς πρὸς τὴν νῦν τῶν πραγμάτων κατάστασιν ἀφορῶν ταῦτα ἀπαιτείτω παρὰ τῶν τότε δικαίων, ἃ τοῖς νῦν πιστοῖς φιλοσοφεῖν προσήκει· ἀλλὰ πρὸς τοὺς καιροὺς καὶ τὰ πράγματα κρινέτω. ταῦτα δὲ ἐπίτηδες ἐπροοιμιασάμην διὰ τὰ μέλλοντα ὑπὸ τοῦ πατριάρχου τῷ Ἰωσὴφ λέγεσθαι. τίνα δέ ἐστιν, ἀκούσωμεν. ἤγγισαν δὲ, φησιν, αἱ ἡμέραι Ἰσραὴλ τοῦ ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ τὸν Ἰωσὴφ, καὶ εἶπεν αὐτῷ· εἰ εὕρηκα χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ποιήσεις ἐπ' ἐμὲ ἐλεημοσύνην, καὶ ἀλήθειαν, τοῦ μή με θάψαι ἐν Αἰγύπτῳ, ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου, καὶ ἀρεῖς με ἐξ Αἰγύπτου, καὶ θάψεις με ἐν τῷ τάφῳ αὐτῶν, ὁ δὲ εἶπε, ποιήσω κατὰ τὸ ῥῆμά σου. εἶπε δὲ, ὄμοσόν μοι. καὶ ὤμοσεν αὐτῷ. καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. πολλοὶ τῶν μικροψύχων, ἐπειδὰν παραινῶμεν αὐτοῖς μὴ πολλὴν ποιεῖσθαι λόγον περὶ ταφῆς, μηδὲ περισπούδαστον πρᾶγμα ἡγεῖσθαι, τὸ ἀπὸ τῆς ἀλλοτρίας ἐπὶ τὴν οἰκείαν πατρίδα τῶν τετελευτηκότων τὰ λείψανα ἐπανάγειν, ταύτην ἡμῖν προβάλλονται τὴν ἱστορίαν, φάσκοντες καὶ τὸν πατριάρχην τοσαύτην ὑπὲρ τούτου πεποιῆσθαι τὴν φροντίδα. ἀλλὰ πρῶτον μὲν, ὅπερ ἔφθην εἰπὼν, τοῦτο δεῖ λογίζεσθαι, ὅτι οὐ τοσαύτην τότε τὴν φιλοσοφίαν ἀπῃτοῦντο, ὅσην οἱ νῦν. ἔπειτα ὅτι καὶ τοῦτο αὐτὸ οὐχ ἁπλῶς ὁ δίκαιος ἐβουλήθη γενέσθαι, ἀλλ' ἐλπίδας αὐτοῖς χρηστὰς ὑποφαίνων, ὡς καὶ αὐτοὶ ὀψέ ποτε ἐπανήξουσιν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. καὶ ὅτι ταύτης ἕνεκεν τῆς αἰτίας τοῦτο διετάξατο, φανερώτερον ἡμᾶς διδάσκει ὁ τούτου παῖς φάσκων· ἐπισκοπῇ ἐπισκέψεται ὁ θεὸς ὑμᾶς, καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν. ὅτι γὰρ τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὰ μέλλοντα ἐφαντάζοντο, ἄκουε αὐτοῦ ἤδη κοίμησιν τὸν θάνατον λέγοντος. φησὶ γὰρ, κοιμηθήσομαι μετὰ τῶν πατέ-

AGE hodie finem imponamus narrationi & hiſtoriæ Iacob, & videamus quænam ſint illa quæ iam moriturus diſponat & ordinet. Verùm nullus ad præſentium rerum ſtatum ſpectet, ac talia exigat ab his qui tunc fuerunt iuſti, qualia nunc in vita ſapienter inſtituta fideles præſtare conuenit, ſed ſecundùm tempo-
B ra & res iudicet. Hæc autem dedita opera prius dixerim, propter ea quæ à patriarcha ipſi Ioſeph dicentur. Qualia autem ſint audiamus.
29 *Appropinquauerunt autem*, inquit, *dies Iſraël, vt moreretur, & vocauit filium ſuum Ioſeph, & dixit ei: Si inueni gratiam apud te, ſuppone manum tuam ſubter femur meum, & facies mecum miſericordiam & veritatem, vt non ſepeliar ego in AEgypto,* 30 *ſed dormiam cum patribus meis: & auferas me ex AEgypto,*
C *& ſepelias me in ſepulchro eorum. Ille autem dixit: Faciam ſecundùm verbum tuum. Dixit autem: Iura mihi. & iurauit ei, & adorauit Iſraël ad faſtigium virgæ eius.* Multi abiectioris animi, quando à nobis admonentur, ne magnam curam ſepulturæ habeant, neque rem multo ſtudio dignam arbitrentur, ab aliena terra in ſuam patriam mortuorum reliquias reduci: hanc nobis prætexunt hiſtoriam, dicentes, etiam patriarcham huius rei tantam feciſſe curam. Verùm primùm quidem, ſicut dixi, cogitare
D oportet, quòd non tanta tunc exigebatur philoſophia, quanta ab his qui nunc viuunt: deinde quòd & patriarcha hoc non ſimpliciter voluerit fieri, ſed ſpem bonam illis pollicens, quòd & ſui vel ſerò aliquando redituri eſſent in terram promiſſionis. Et quòd ob hanc cauſam hoc præceperit, manifeſtius nos docet illius filius, dicens: Viſitando viſitabit vos Deus, & ſimul feretis oſſa mea hinc. Quod enim oculis fidei futura præuiderent, audi illum iam vocare mortem ſuam dormitionem: dicit enim, Dormiam cum

Cur voluerit in patria ſepeliri Iacob.

Gen. 50. 24.

Heb. 11. 13. patribus meis. Propterea & Paulus dicebat: Iuxta fidem mortui ſunt hi omnes, non accepta promiſſione: ſed procul eam viderunt & ſalutarunt: quomodo? oculis fidei futura videbant. Nullus igitur putet puſillanimitatis eſſe hoc mandatum, ſed & à tempore, & à præuidendo futurum reditum, omni culpa excuſet iuſtum. Nunc enim quoniam ea quæ ad ſapientiorem vitam attinent, poſt aduentum Chriſti aucta ſunt, meritò quis reprehenderit eum, cui talia ſunt curæ. Neque dicat quis miſerum in alieno ſolo vitam finientem, neque eum qui in ſolitudine ex hac vita decedit. Neque enim ille dignus vt miſer dicatur: ſed qui in peccatis mortuus eſt, etiam ſi ſuper lectum, etiãſi præſentibus amicis omnibus ſpiritum exhalet. Et ne mihi frigida illa verba, ridiculáque & inſipientiæ plena dicat aliquis, quòd ille cane vilius eſt mortuus, nullo familiarium præſente, neque ſepultura & funus ei contigerunt: ſed collectitia ſtipe iuſta facta ſunt. Non eſt hoc, ô homo, cane ignominioſius mortuum eſſe. Quid enim ille damni ſenſit? dummodo virtutis amictum eum tegentem, habuerit. Nam quòd hoc non offendat iuſtum virtute præditum, diſce: quia plerique iuſtorum, prophetas dico & apoſtolos, vbi ſiti ſint, paucis exceptis, ignoramus. Etenim alij quidem capite truncati, alij lapidati, mortui ſunt: & alij innumeris & variis pœnis ſeipſos expoſuerunt propter pietatem, omnes propter Chriſtum martyres facti ſunt: & nullus de illis dicere auſus fuerit, quòd ignominioſa ſit eorum mors: ſed ſequetur diuinã ſcripturam, dicentem: Pretioſa in conſpectu Domini mors ſanctorum eius. Et ſicut mortem ſanctorum pretioſam vocauit, audi quomodo & mortem peccatorum malam vocet. Mors enim, inquit, peccatorũ mala. Itaque etiãſi domi ſuæ moriantur, & vxore & filijs præſentibus, & familiaribus & notis aſtantibus, virtute autem careant, mala horum mors eſt. Sic etſi in aliena terra, etſi ſuper pauimentũ quis iacens: & quid dico, ſi in aliena? etiamſi in latrones incidat, etiamſi à

Non eſt miſerũ peregre mori.

Pſ. 115. 5.

Pſ. 53. 22.

A ρων μου. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγε, κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι. πῶς; τοῖς τῆς πίστεως ὀφθαλμοῖς. μηδεὶς τοίνυν νομιζέτω μικροψυχίας εἶναι τὴν διάταξιν, ἀλλὰ καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τοῦ προορᾶν τὴν μέλλουσαν αὐτῶν ἔσεσθαι ἐπάνοδον πάσης αἰτίας ἀπολυέτω τὸν δίκαιον. νῦν μὲν γε, ὅτε τὰ τῆς φιλοσοφίας ἐπετάθη μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, εἰκότως ἄν τις μέμψοιτο τῷ τὰ τοιαῦτα ἐπισκήπτοντι· καὶ μὴ ταλανιζέτω τὸν ἐπ' ἀλλοτρίας τὸν βίον καταλύσαντα, μηδὲ τὸν ἐπ' ἐρη-

B μίας τῆς παρούσης ζωῆς μεθιστάμενον. οὐδὲ γὰρ ὁ τοιοῦτος ταλανισμοῦ ἄξιος, ἀλλ' ὁ ἐν ἁμαρτίαις τεθνηκὼς, κἂν ἐπὶ τῆς κλίνης, κἂν ἐπὶ τῆς οἰκίας, κἂν τῶν ἐπιτηδείων παρόντων τὸν βίον καταλύσῃ. καὶ μή μοι τὰ ψυχρὰ ἐκεῖνα ῥήματα καὶ γέλωτος γέμοντα καὶ ἀνοίας μεστὰ λεγέτω τις· ὅτι ὁ δεῖνα κυνὸς ἀτιμότερον τετελεύτηκεν, οὐδενὸς τῶν γνωρίμων αὐτῷ παρόντος, οὐδὲ τὰ τῆς ταφῆς αὐτῷ παραγενομένων δυνηθέντος, ἀλλ' ἐξ ἐράνου καὶ πολλῶν τινων συνεισενεγκόντων, οὕτω τὰ πρὸς τὴν κηδείαν αὐτῷ παρεσχέθη. οὐ τοῦτό ἐστιν, ἄνθρωπε,

C κυνὸς ἀτιμότερον τετελευτηκέναι. τί γὰρ ὁ τοιοῦτος παρεβλάβη, μόνον εἰ τὸ τῆς ἀρετῆς ἔνδυμα μὴ εἶχε περιστέλλον αὐτόν; ὅτι γὰρ οὐδὲν τοῦτο λυμαίνεται τὸν ἐνάρετον, μάνθανε ὅτι οἱ πλείους τῶν δικαίων, τῶν προφητῶν λέγω καὶ τῶν ἀποστόλων, πλὴν ὀλίγων, οὐδὲ ἴσμεν ὅπου κατετέθησαν. οἱ μὲν γὰρ τὴν κεφαλὴν ἀπετμήθησαν, οἱ δὲ καταλευσθέντες οὕτω τοῦ βίου μετέστησαν, καὶ ἕτεροι μυρίοις καὶ διαφόροις τιμωρίαις ἑαυτοὺς ἐκδόντες διὰ τὴν εὐσέβειαν, πάντες ὑπὲρ Χριστοῦ ἐμαρτύρησαν· καὶ οὐδεὶς ἂν τολμήσειε περὶ τῶν τοιούτων

D των εἰπεῖν, ὅτι ἄτιμος αὐτῶν γέγονεν ὁ θάνατος, ἀλλὰ ἀκολουθήσει τῇ θείᾳ γραφῇ λεγούσῃ, τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. καὶ ὥσπερ τὸν τῶν ὁσίων θάνατον τίμιον ἐκάλεσεν, οὕτως ἄκουε καὶ τὸν τῶν ἁμαρτωλῶν πονηρὸν καλοῦντος τὸν θάνατον. θάνατος γὰρ, φησιν, ἁμαρτωλῶν πονηρός. ὥστε κἂν ἐπὶ τῆς οἰκίας τις καταλύσῃ τὸν βίον, καὶ γυναικὸς καὶ παιδίων παρόντων, καὶ ἐπιτηδείων καὶ γνωρίμων παρεστώτων, ἀρετῆς δὲ ἔρημος τυγχάνῃ, πονηρὸς ἂν εἴη ὁ τούτου θάνατος. οὕτω, κἂν ἐπ' ἀλλοτρίας, κἂν ἐπὶ τοῦ ἐδάφους κείμενος (καὶ τί λέγω ἐπ' ἀλλοτρίας, καὶ τοῦ ἐδάφους;) κἂν λῃσταῖς περι-

πέσῃ, κἂν θηρίων κατάβρωμα γένηται ὁ τὴν ἀρετὴν κεκτημένος, τίμιος ἂν εἴη ὁ θάνατος τούτου. εἰπὲ γάρ μοι ὁ τοῦ Ζαχαρίου παῖς οὐ τὴν κεφαλὴν ἀπετμήθη; Στέφανος δὲ ὁ πρῶτος τοῦ μαρτυρίου τὸν στέφανον ἀναδησάμενος, οὐχὶ καταλευσθεὶς οὕτω τὸν βίον κατέλυσε; Παῦλος δὲ καὶ Πέτρος οὐχὶ ὃς μὲν ἀποτμηθεὶς, ὃς δὲ ἀπ' ἐναντίας τῷ δεσπότῃ τοῦ σταυροῦ τὴν τιμωρίαν δεξάμενος, οὕτω μετέστη τῆς παρούσης ζωῆς; οὐχὶ διὰ τοῦτο μάλιστα πανταχοῦ τῆς οἰκουμένης ᾄδονται καὶ ἀνακηρύττονται; ταῦτα δὲ ἅπαντα ἀναλογιζόμενοι μήτε τοὺς ἐπὶ τῆς ξένης τελευτῶντας ταλανίζωμεν, μήτε τοὺς ἐπὶ τῆς οἰκίας καταλύοντας τὸν βίον μακαρίζωμεν· ἀλλὰ τῷ τῆς θείας γραφῆς κανόνι κατακολουθοῦντες, καὶ τοὺς ἐν ἀρετῇ βεβιωκότας, καὶ οὕτω μεθισταμένους, μακαρίζωμεν, καὶ τοὺς ἐν ἁμαρτίαις τελευτῶντας ταλανίζωμεν. ὥσπερ γὰρ ὁ ἐνάρετος εἰς βελτίονα ζωὴν μεθίσταται τῶν πόνων τὰς ἀμοιβὰς κομιζόμενος, οὕτως ὁ ταύτης ἔρημος ὢν, ἀρχὰς καὶ προοίμια τῶν τιμωριῶν ἤδη δεχόμενος, καὶ τὰς εὐθύνας τῶν πεπραγμένων ἀπαιτούμενος, ἀνηκέστοις περιβάλλεται κακοῖς. διὸ χρὴ ταῦτα ἐννοοῦντας ἀρετῆς ἐπιμελεῖσθαι, καὶ καθάπερ ἐν παλαίστρᾳ ἐπὶ τοῦ παρόντος βίου ἀγωνίζεσθαι, ἵνα μετὰ τὸ λυθῆναι τὸ θέατρον, λαμπρὸν ἀναδήσασθαι δυνηθῶμεν τὸν στέφανον, καὶ μὴ ἀνόνητα μεταμελώμεθα. ἕως γὰρ ὅτου ἐνέστηκεν ὁ ἀγὼν, δυνατόν ἐστιν, εἰ βουληθείημεν, καὶ τὴν ῥᾳθυμίαν ἀποτινάξασθαι, καὶ τῆς ἀρετῆς ἀντέχεσθαι, ἵνα καὶ τῶν ἀποκειμένων στεφάνων ἐπιτυχεῖν δυνηθῶμεν. ἀλλ' εἰ δοκεῖ λοιπὸν, ἐπανέλθωμεν ἐπὶ τὴν ἀκολουθίαν τοῦ λόγου. ἐπειδὴ γὰρ ἐπέσκηψε τῷ παιδὶ περὶ τῆς ταφῆς, καὶ εἶπεν Ἰωσήφ· ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά σου, φησὶν, ὄμοσόν μοι. καὶ ὤμοσεν αὐτῷ. καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. ὅρα τὸν γέροντα, τὸν πρεσβύτην, τὸν πατριάρχην διὰ τῆς προσκυνήσεως τὴν εἰς τὸν Ἰωσὴφ τιμὴν ἐπιδεικνύμενον, καὶ διὰ τῶν ἔργων αὐτῶν πληροῦντα νῦν τοῦ ὁράματος τὴν ἔκβασιν. ἡνίκα γὰρ διηγήσατο αὐτῷ ὁ Ἰωσὴφ τὸ ὅραμα, εἰπὲ, φησὶν, ἆρα γε ἐλθόντες ἐγώ τε καὶ ἡ μήτηρ σου προσκυνήσομέν σοι ἐπὶ τὴν γῆν; ἀλλ' ἴσως εἴποι τις ἂν, καὶ πῶς ἐξῆλθε τὸ ὄναρ τῆς μητρὸς προαπελθούσης, καὶ μὴ προσκυνησάσης τὸν παῖδα; ἔθος ἀεὶ τῇ γραφῇ ἀπὸ τοῦ κυριωτέρου τὸ πᾶν δηλοῦν. ἐπεὶ οὖν κεφαλὴ τῆς γυναικὸς ὁ ἀνὴρ, καὶ ἔσονται, φησὶν,

A beſtiis deuoretur, virtute autẽ præditus ſit, pretioſa eius mors erit. Dic enim, obſecro, Zachariæ filius nónne decollatus eſt? Stephanus autem primus martyrij corona redimitus, nónne lapidatus vitam finiit? Paulus autem & Petrus, nónne ille quidem capite truncatus, hic autem modo contrario quàm Dominus crucifixꝰ, ita hac vita exceſſit? Nónne propter hoc magis in toto mundo celebrantur & prædicantur? Hæc autem omnia cogitantes, neque eos qui in aliena terra moriuntur, miſeros dicamus: neque domi ſuæ morientes B beatos prædicemus: ſed diuinæ ſcripturæ canonem ſequentes, & claros virtutibus hinc migrantes beatos dicamus: & eos qui in peccatis moriũtur, miſeros prædicemus. Sicut enim qui virtute præditus eſt in meliorem vitam tranſit, accipiens laborum ſuorum præmia: ita & qui ea caret, initia & præambula ſuppliciorum iam accipit, & ab ipſo factorum pœnæ exiguntur malis grauiſſimis prorſus obnoxio. Ideo oportet hæc cogitantes virtutum habere curam, & in C præſenti vita quaſi in palæſtra certare, vt cùm ſolutum fuerit theatrum, ſplendida redimiri corona queamus, ne fruſtra pœnitentes inueniamur. Quamdiu enim durat certamen, poſſibile eſt (ſi voluerimus) & deſidiam excurere, & virtutem exercere vt metã, & propoſitam aſſequamur coronam. Cæterum, ſi videtur, redeamus ad ſermonis ſeriem. Nam poſtquam commiſit filio de ſepultura, & dixit Ioſeph: *Ego faciam iuxta verbum tuum*, addit, *Iura mihi: & iurauit ei. Et adorauit*, inquit, *Iſraël ad* D *faſtigium virgæ illius*. Vide ſenem, decrepitum, patriarcham, adoratione honorem in Ioſeph declarare, & reipſa implere viſionis euentum. Quando enim narrauit Ioſeph viſionem, dixit, inquit, Nunquid ergo & mater tua veniemus, & adorabimus te ſuper terram? Sed forte dixerit aliquis: Et quomodo impletum eſt ſomnium in matre, quæ iam ante defuncta erat, & filium non adorauit? Perpetuus ſcripturæ mos eſt, à magis principali totum ſignificare. Quoniam igitur caput mulieris vir (erunt enim, inquit,

Mat. 24. & Marc. 6.

Act. 7.

Vita præſens palæſtra.

Quomodo mater adorarit Ioſephum.

Gen.2. duo in carnem vnam) cùm adorauit A
42. caput, manifeſtum quòd corpus to-
tum caput ſequebatur. Si enim pa-
ter hoc fecit; multò magis illa, niſi
ex hac vita præerepta fuiſſet, hoc fe-
ciſſet. Et adorauit, inquit, ad faſti-
gium virgæ eius. Propterea & Pau-
lus dicebat: Fide Iacob moriens ſin-
Heb. 11. gulos filios Ioſeph benedixit, & ado-
21. rauit ad faſtigium virgæ illius. Vides
quòd iſtucipſum fides faciebat, præ-
uidens futurum quòd regij generis
futurus eſſet is qui ex ſemine illius
natus? Itaque cùm imperaſſet quæ-
cunque volebat puero, non multò
poſt vt didicit Ioſeph, quòd ægro- B
Caput. taret pater ſuus, & iam in foribus
XLVIII. eſſet mors: quia appropinquauerant
dies mortis illius, *acceptis duobus filijs
ſuis, venit ad Iacob. Annunciatum eſt
autem hoc Iacob, & corroboratus Iſraël
ſedit ſuper lectum.* Vide quomodo a-
mor erga filium ſenem firmabat, &
alacritas vincebat infirmitatem. Au-
dita enim illius præſentia, inquit, ſe-
dit ſuper lectum. Et vt vidit illum,
paternam dilectionem ei exhibet, &
quia moriturus erat, benedictione
ſua firmat pueros, maximas has fa- C
cultates relinquens, & diuitias, quæ
abſumi nõ poterant. Et vide quomo-
do incipit. Primũ narrat beneuolen-
tiam quæ ſibi à Deo facta erat, &
tunc benedictiones in filios facit, &
dicit: [3] *Deus meus apparuit mihi in Lu-
za, in terra Chanaan, & benedixit mihi,
& dixit mihi:* [4] *ego te creſcere faciam, &
multiplicabo te, & faciam te in congrega-
tiones gentium, & dabo tibi terram hanc,
& ſemini tuo poſt te in poſſeſſionem æter-
nam.* Promiſit mihi, inquit, Deus
quando in Luza à me viſus eſt, tan-
tum ſe multiplicaturũ ſemen meum, D
vt congregationes gentium fiant ex
eo. Et terram mihi, & ſemini meo
Ephraĩ ſe daturum pormiſit. [5] *Nunc igitur*
& Ma- *duo illi filij, qui nati ſunt tibi in AEgy-*
naſſe a- *pto, mei ſunt: Ephraim & Manaſſes, ſi-*
doptati. *cut Ruben & Symeon erunt mei.* Hos,
inquit, quos habuiſti ante aduen-
tum meum, ego in meorum filio-
rum numerum adopto, & his qui
ex me nati ſunt ſimilem à me bene-
dictionem accipient. [6] *Quoſcunque
autem poſtea genueris, ij tui erunt: in
nomine fratrum ſuorũ vocabuntur in illo-
rum ſortibus:* [7] *Scias autem, quod &*

A οἱ δύο εἰς σάρκα μίαν, τῆς κεφαλῆς προσκυνη-
σάσης δηλονότι καὶ τὸ σῶμα ἅπαν ταύτῃ εἵπετο. εἰ
γὰρ ὁ πατὴρ τοῦτο πεποίηκε, πολλῷ μᾶλλον κἀκεί-
νη, εἰ μὴ τῆς ζωῆς προεξηρπάσθη, τοῦτο πεποίηκεν
ἄν. καὶ προσεκύνησε, φησιν, ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου
αὐτοῦ. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε, πίστει Ἰακὼβ
ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε, καὶ
προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.
ὁρᾷς ὅτι καὶ τοῦτο αὐτὸ πίστει ἐποίει, προορῶν ὅτι
βασιλικοῦ γένους γενήσεται ὁ ἐκ τοῦ σπέρματος
αὐτοῦ τεχθείς; ἐπεὶ οὖν ἐπέταξεν, ἅπερ ἐβούλετο,
τῷ παιδὶ, μετ᾽ οὐ πολὺ, φησι, μαθὼν Ἰωσὴφ, ὅτι
B ἐνοχλεῖται ὁ πατὴρ αὐτοῦ, ὅτι ἐπὶ θύραις ἐστὶ τοῦ
θανάτου, ὅτι ἤγγισαν τῆς τελευτῆς αἱ ἡμέραι, λα-
βὼν τοὺς δύο υἱοὺς αὐτοῦ ἦλθε πρὸς Ἰακώβ. ἀπηγ-
γέλη δὲ τοῦτο τῷ Ἰακὼβ, καὶ ἐνισχύσας Ἰσραὴλ
ἐκάθισεν ἐπὶ τὴν κλίνην. ὅρα πῶς ἡ περὶ τὸν
παῖδα φιλοστοργία τὸν πρεσβύτην ἐνεύρου, καὶ ἡ
προθυμία ἐνίκα τὴν ἀσθένειαν. ἀκούσας γὰρ αὐ-
τοῦ τὴν παρουσίαν, φησὶν, ἐκάθισεν ἐπὶ τὴν κλί-
νην, καὶ ἰδὼν αὐτὸν τὴν πατρικὴν φιλοστοργίαν
περὶ αὐτὸν ἐπιδείκνυται. καὶ ἐπειδὴ ἔμελλε τελευ-
τᾷν, τῇ εὐλογίᾳ τῇ παρ᾽ αὐτοῦ τειχίζει τοὺς παῖ-
C δας, μεγίστην αὐτοῖς ταύτην περιουσίαν κατα-
λιμπάνων, καὶ πλοῦτον μηδέποτε δαπανηθῆναι
δυνάμενον. καὶ ὅρα πῶς ἄρχεται. πρότερον διηγεῖ-
ται τὴν παρὰ τοῦ θεοῦ γεγενημένην εἰς αὐτὸν εὔ-
νοιαν, καὶ τότε τὰς εἰς τοὺς παῖδας εὐλογίας ποιεῖται.
καί φησιν, ὁ θεός μου ὤφθη μοι ἐν Λουζᾷ ἐν γῇ Χα-
ναὰν, καὶ εὐλόγησέ με, καὶ εἶπέ μοι· ἐγὼ αὐξανῶ σε
καὶ πληθυνῶ σε καὶ ποιήσω σε εἰς συναγωγὰς ἐθνῶν
καὶ δώσω σοι τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου
μετὰ σὲ εἰς κατάσχεσιν αἰώνιον. ἐπηγγείλατό μοι, φη-
σιν, ὁ θεὸς, ἡνίκα ἐν Λουζᾷ ὤφθη μοι, τοσοῦτον πλη-
D θυνεῖν μοι τὸ σπέρμα, ὡς συναγωγὰς ἐθνῶν γενέ-
σθαι ἐξ αὐτοῦ, καὶ τὴν γῆν δὲ ταύτην ἐμοὶ καὶ τῷ
σπέρματί μου δώσειν ὑπέσχετο. νῦν οὖν οὗτοι οἱ
δύο υἱοί σου οἱ γενόμενοί σοι ἐν Αἰγύπτῳ ἐμοί εἰσιν.
Ἐφραὶμ καὶ Μανασσῆς, ὡς Ῥουβὴν καὶ Συμεὼν,
ἔσονταί μοι. τούτους, φησὶν, οὓς ἔσχες πρὸ τῆς πα-
ρουσίας τῆς ἐμῆς, ἐγὼ εἰς τὸν τῶν ἐμῶν τέκνων
ἀριθμὸν εἰσποιοῦμαι, καὶ ὁμοίως τοῖς ἐξ ἐμοῦ τε-
χθεῖσι τῆς παρ᾽ ἐμοῦ εὐλογίας ἀπολαύσουσι. τὰ δὲ
εἰς τὸ ἑξῆς ἔκγονα, ὅσα ἂν γεννήσῃς μετὰ ταῦτα, σοὶ
ἔσονται. ἐπὶ τῷ ὀνόματι τῶν ἀδελφῶν αὐτῶν κλη-
θήσονται ἐν τοῖς ἐκείνων κλήροις. ἴσθι δὲ ὅτι καὶ ἡ

μήτηρ σου Ῥαχὴλ, ἡνίκα ἤγγισα εἰς τὴν Βεθλεέμ, ἀπέθανε, καὶ κατώρυξα αὐτὴν ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου. καὶ ἰδὼν τοὺς υἱοὺς Ἰωσὴφ εἶπε· τίνες σοι οὗτοι; καὶ εἶπεν, υἱοί μου, οὓς ἔδωκέ μοι ὁ θεός. καὶ εἶπεν Ἰακὼβ, προσάγαγέ μοι αὐτοὺς, ἵνα εὐλογήσω αὐτούς. καὶ ἤγγισεν αὐτοὺς πρὸς αὐτόν· καὶ ἐφίλησεν αὐτοὺς, καὶ περιέλαβεν αὐτούς. ὅρα μοι τὸν πρεσβύτην, ὅπως σπεύδει καὶ ἐπείγεται εὐλογῆσαι τοὺς παῖδας τοῦ Ἰωσήφ. καὶ ἤγγισεν αὐτούς, φησι, πρὸς αὐτὸν, καὶ ἐφίλησεν αὐτοὺς, καὶ περιέλαβεν αὐτούς. καὶ εἶπε πρὸς Ἰωσήφ; ἰδοὺ τοῦ προσώπου σου οὐκ ἐστερήθην, καὶ ἰδοὺ ἔδειξέ μοι ὁ θεὸς καὶ τὸ σπέρμα σου. μεγάλα μοί, φησι, παρέσχεν ἡ τοῦ θεοῦ φιλανθρωπία, καὶ πλέον, ἢ προσεδόκησα· μᾶλλον δὲ ἅπερ οὐδέποτε προσεδόκησα. οὐ γὰρ μόνον τοῦ προσώπου σου οὐκ ἐστερήθην, ἀλλ' ἰδοὺ καὶ τοὺς ἐκ σοῦ τεχθέντας ἐθεασάμην. καὶ ἐξήγαγεν αὐτοὺς, φησιν, Ἰωσὴφ ἀπὸ τῶν γονάτων αὐτοῦ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τῆς γῆς. ὅρα καὶ τοὺς παῖδας πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐπαίδευσε τὴν ὀφειλομένην τιμὴν ἀπονέμειν τῷ πρεσβύτῃ. καὶ λαβών, φησιν, Ἰωσὴφ κατὰ τὴν τῶν πρωτοτόκων προεδρίαν προσήγαγε τὸν Μανασσῆ, καὶ τότε τὸν Ἐφραΐμ. ἐνταῦθά μοι ὅρα τὸν δίκαιον τοὺς μὲν τοῦ σώματος ὀφθαλμοὺς ἤδη ὑπὸ τοῦ γήρως λοιπὸν ἀσθενεῖς κεκτημένον (ἐβαρυώπησαν γὰρ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ τοῦ γήρως, καὶ οὐκ ἠδύνατο βλέπειν) τοὺς δὲ τῆς διανοίας ὀφθαλμοὺς ἐρρωμένους ἔχοντα, καὶ τῇ πίστει τὰ μέλλοντα ἤδη προορῶντα. οὐδὲ γὰρ ἀνασχόμενος τοῦ Ἰωσήφ, ἀλλὰ ἐναλλάξας τὰς χεῖρας, εὐλογῶν τὴν προεδρίαν εἰς τὸν νέον ἐποιήσατο, προτάξας τὸν Ἐφραῒμ τοῦ Μανασσῆ. καί φησιν, ὁ θεὸς ᾧ εὐηρέστησαν οἱ πατέρες μου. σκόπει ταπεινοφροσύνην τοῦ πατριάρχου, ὅρα ψυχὴν φιλόθεον. οὐκ ἐτόλμησεν εἰπεῖν, ὁ θεὸς ᾧ εὐηρέστησα, ἀλλὰ τί, ᾧ εὐηρέστησαν οἱ πατέρες μου. εἶδες εὐγνώμονα ψυχήν; καίτοι πρὸ μικροῦ διηγούμενος ἔλεγεν, ὅτι ἐν Λουζᾷ ὤφθη μοι, καὶ ὑπέσχετο δώσειν ἐμοὶ καὶ τῷ σπέρματί μου πᾶσαν τὴν γῆν, καὶ εἰς συναγωγὰς ἐθνῶν ποιήσειν τὸ σπέρμα μου. καὶ οὕτως ἐναργῆ ἔχων τὰ δείγματα τῆς περὶ αὐτὸν τοῦ θεοῦ εὐνοίας, ἔτι κατεσταλμένην εἶχε τὴν διάνοιαν, καί φησιν· ὁ θεὸς, ᾧ εὐηρέστησαν οἱ πατέρες μου ἐνώπιον αὐτοῦ, Ἀβραὰμ καὶ Ἰσαάκ. εἶτα πάλιν, ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητός μου. σκόπει καὶ διὰ τούτου πάλιν τῆς εὐγνωμοσύνης αὐτοῦ τὴν ὑπερβολήν. οὐ λέγει τὴν οἰκείαν

A *mater tua Rachel, quando appropinquaueram Bethlehem, mortua eſt, & defodi eam in via Hippodromi.* [8] *& videns duos filios Ioſeph, dixit: Qui ſunt hi? Ille autem: Filij mei, quos dedit mihi Deus. Et dixit Iacob: Adduc mihi eos, vt benedicam eos.* [10] *Et appropinquare eos illi fecit. Et oſculatus eſt eos, & amplexatus eſt eos.* Vide, obſecro, ſenem quomodo feſtinat & vrget vt benedicat filios Ioſeph. Et appropinquare eos fecit illi, inquit, & dixit ad Ioſeph: [11] *Ecce facie tua non ſum priuatus, & ecce monſtrauit mihi Deus ſemen tuum.* Magna mihi, inquit, præſtitit B Dei clementia, & plura quàm expectaui. Non enim ſolùm non ſum priuatus facie tua, ſed ecce etiam vidi eos qui ex te nati ſunt. [12] *Et eduxit eos Ioſeph à genibus, & adorauerunt eum ſuper faciem, ſuper terram.* Vide quomodo & pueros ſtatim ab initio debitum ſeni honorem reddere docuit. & Ioſeph, inquit, ſecundum dignitatem primogenituræ adduxit Manaſſen, & tunc Ephraim. Vide, obſecro, hîc iuſtum corporis oculos præ ſenectute nunc infirmos habe- C re. Grauati enim erant oculi eius præ ſenio, & non poterant videre: valebat autem oculis mentis, & fide præuidebat futura. Neque enim tulit Ioſephum, ſed mutatis manibus benedicens, dignitatem iuniori contulit, præferens Manaſſi Ephraim, & dixit: [15] *Deus cui bene placuerunt patres mei.* Attende modeſtiam Iacob, vide animam & religioſam: non audebat dicere: Deus cui bene placui: ſed quid? Cui bene placuerunt patres mei. Vidîſti animam gratam? Tametſi paulò antea narrans dice- D bat: In Luza apparuit mihi, & promiſit daturum ſe mihi, & ſemini meo omnem terram, & in congregationes gẽtium ſe facturum ſemen meum: & tam euidentia habens indicia diuinæ erga ſe beneuolentiæ, adhuc tamen humiliatam habuit mentem. Et dicit, Deus cui bene placuerunt patres mei coram ipſo, Abraham & Iſaac. Deinde iterum: *Qui paſcit me à iuuentute mea.* Accipe & ex hoc excellentem eius gratitudinem. non dicit propriam

Iacob oculis mentis videbat.

virtutem, ſed ea quæ ſibi à Deo fuerunt facta. Qui paſcit me à iuuentute mea vſque in diem hanc. Ipſe enim, inquit, eſt qui ab initio vſque ad præſens res meas diſpenſauit, &

Sup.32. moderatus eſt. Ita & prius dicebat: in virga enim mea hac tranſiui Iordanem: & ecce nunc factus ſum in duo caſtra. Et nunc iterum alijs verbis dicit: *Qui paſcit me à iuuentute mea vſque in diem hunc,* [16] *angelus qui liberauit me de omnibus malis.* Gratæ animæ, ac piæ, & bene memoris beneficiorum Dei verba: Ille, inquit, cui patres mei bene placuerunt, qui me à iuuentute mea vſque in præſentem diem educauit, qui me ab initio ab omnibus malis liberauit, qui tantam erga me declarauit prouidentiam, *Ipſe benedicet hos pueros: & inuocabitur in eis nomẽ meum, & nomen patrum meorum, Abraham & Iſaac, & multiplicentur in multitudinem magnam ſuper terram.* Vidiſti ſimul & intelligentiam, & modeſtiam? Intelligentiam quidem, quia fidei oculis præuidens Ephraim prætulit Manaſſi: Modeſtiam verò, quia nuſquã ſuæ virtutis mentionem fecit: ſed ex probata patrum vita, & ex beneficiis in ſe collatis ipſe preces fudit, & benedictionem filiis precatus eſt. Verùm Iacob quidem prȩuidens futura, ita illos benedixit. [17] *Ioſeph verò videns iuniorem prælatum ſeniori, graue & indignum eſſe putans, dicit:* [18] *Hic eſt primogenitus, pone dexteram tuam ſuper caput eius:* [19] *& noluit, ſed dixit: Scio fili, ſcio: & hic erit in populum, & hic exaltabitur: ſed frater eius iunior maior eo erit, & ſemen eius erit in multitudinem gentium.* Ne putes me, inquit, caſu ac fortuitò hoc feciſſe, vel per ignorantiam. Scio enim, & præuidens futura ita ei benedictionem feci. Nam licet natura primatum habeat Manaſſes, ſed iuuenis ille maior eo erit, & ſemen eius in multitudinem gentium. Hoc autem totum factum eſt, quia hinc regnum demonſtrabatur exoriturum, propterea prædicens futura, ſic eum benedicit. [20] *Et benedixit eos, dicens, In vobis benedicetur Iſraël per dicentes: Faciat te Deus ſicut Ephraim & Manaſſe. Et poſuit Ephraim ante Manaſ-*

Fidei oculis futura prȩuidet.

dicẽtes, vel dicendo.

A ἀρετὴν, ἀλλὰ τὰ παρὰ τοῦ θεοῦ εἰς αὐτὸν γεγενημένα διηγεῖται, καὶ φησιν· ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης. αὐτὸς γάρ ἐστιν ὁ ἐξ ἀρχῆς μέχρι τοῦ παρόντος τὰ κατ᾽ ἐμὲ οἰκονομήσας. οὕτω καὶ πρώην ἔλεγεν· ἐν γὰρ τῇ ῥάβδῳ μου ταύτῃ διέβην τὸν Ἰορδάνην, καὶ ἰδοὺ, νῦν γέγονα εἰς δύο παρεμβολάς. καὶ νῦν δὲ αὐτὸ πάλιν ἑτέροις ῥήμασί φησιν, ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν. εὐχαρίστου γνώμης τὰ ῥήματα, φιλοθέου ψυχῆς καὶ ἐχούσης ἐναύλους τὰς τοῦ θεοῦ εὐεργεσίας τῇ μνήμῃ; ἐκεῖνος, φησιν, ᾧ οἱ πα-

B τέρες μου εὐηρέστησαν, ὁ ἐμὲ διαθρέψας ἐκ νεότητος ἕως τοῦ παρόντος, ὁ ἐξ ἀρχῆς πάντων με τῶν κακῶν ῥυσάμενος, ὁ τοσαύτην περὶ ἐμὲ κηδεμονίαν ἐπιδειξάμενος, αὐτὸς εὐλογήσει τὰ παιδία ταῦτα, καὶ ἐπικληθήσεται ἐν αὐτοῖς τὸ ὄνομά μου, καὶ τὸ ὄνομα τῶν πατέρων μου Ἀβραὰμ καὶ Ἰσαὰκ, καὶ πληθυνθείησαν εἰς πλῆθος πολὺ ἐπὶ τῆς γῆς. εἶδες ὁμοῦ καὶ σύνεσιν καὶ ταπεινοφροσύνην; σύνεσιν μὲν, ὅτι τοῖς τῆς πίστεως ὀφθαλμοῖς προορῶν τὸν Ἐφραὶμ προέταξε τοῦ Μανασσῆ· ταπεινοφροσύνην δὲ, ὅτι οὐδαμοῦ τῆς οἰκείας ἀρετῆς

C μνήμην ἐποιήσατο, ἀλλ᾽ ἀπὸ τῆς τῶν πατέρων εὐαρεστήσεως, καὶ ἀπὸ τῶν εἰς αὐτὸν γεγενημένων εὐεργεσιῶν τὴν εὐχὴν καὶ τὴν εὐλογίαν αὐτοῖς ἐπηύξατο. ἀλλ᾽ ὁ μὲν Ἰακὼβ προορῶν τὰ μέλλοντα οὕτω τὴν εἰς αὐτοὺς εὐλογίαν πεποίηται, ὁ δὲ Ἰωσὴφ ὁρῶν τὸν νεώτερον προκριθέντα τοῦ πρωτοτόκου, καὶ βαρὺ αὐτὸ λογισάμενος, εἶπε, φησιν· οὗτος ὁ πρωτότοκος. ἐπίθες τὴν δεξιάν σου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ οὐκ ἠθέλησεν, ἀλλ᾽ εἶπεν· οἶδα τέκνον, οἶδα. καὶ οὗτος ἔσται εἰς λαὸν, καὶ οὗτος ὑψωθήσεται· ἀλλ᾽ ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ ἔσται εἰς

D πλῆθος ἐθνῶν. μὴ νομίσῃς με, φησιν, ἁπλῶς συντυχίᾳ τινὶ τοῦτο πεποιηκέναι, μηδὲ δι᾽ ἄγνοιαν. οἶδα γὰρ, καὶ προορῶν τὰ ὕστερον ἐσόμενα, οὕτω τὴν εἰς αὐτὸν εὐλογίαν ἐποιησάμην. εἰ γὰρ καὶ ἀπὸ τῆς φύσεως ἔχει τὴν προεδρίαν ὁ Μανασσῆς, ἀλλ᾽ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται καὶ τὸ σπέρμα αὐτοῦ εἰς πλῆθος ἐθνῶν. τοῦτο δὲ ὅλον ἐγίνετο, ἐπειδὴ ἐντεῦθεν ἔμελλεν ἡ βασιλεία ἀναδείκνυσθαι. διὰ τοῦτο ἤδη προαναφωνῶν τὰ μέλλοντα, οὕτω τὴν εἰς αὐτὸν εὐλογίαν ἐποιήσατο. καὶ εὐλόγησεν αὐτοὺς λέγων· ἐν ὑμῖν εὐλογηθήσεται Ἰσραὴλ λέγοντες, ποιήσαι σε ὁ θεὸς, ὡς Ἐφραὶμ, καὶ Μανασσῆ. καὶ ἔθηκε τὸν Ἐφραὶμ ἔμπροσθεν

προσθεν τοῦ Μανασσῆ. οὕτως ἔσονται, φησὶ, περιφανεῖς ἀμφότεροι, ὡς πάντας εὐχῆς ἔργον ποιεῖσθαι εἰς τὴν τούτων ἐλθεῖν περιφάνειαν· ὅμως ὁ Ἐφραὶμ πρότερος ἔσται τοῦ Μανασσῆ. ὁρᾷς πῶς ἡ τοῦ θεοῦ χάρις προεμήνυεν αὐτῷ, καὶ προφητικῷ κινούμενος πνεύματι, οὕτω τοὺς παῖδας τοῦ Ἰωσὴφ εὐλογεῖ, τὰ μετὰ τοσοῦτον ἐσόμενα χρόνον, ὡς ἤδη παρόντα, καὶ ὑπὸ τοῖς ὀφθαλμοῖς ὁρώμενα, οὕτω προβλέπων; τοιοῦτον γὰρ ἡ προφητεία. καὶ καθάπερ οἱ τοῦ σώματος ὀφθαλμοὶ οὐδὲν πλέον τῶν ὁρωμένων φαντασθῆναι δύνανται, οὕτω καὶ οἱ τῆς πίστεως οὐ τὰ ὁρώμενα βλέπουσιν, ἀλλ' ἐκεῖνα φαντάζονται, ἃ μετὰ πολλὰς ὕστερον γενεὰς ἔσεσθαι B μέλλει. καὶ τοῦτο ἀκριβέστερον εἴσεσθε ἐκ τῶν εὐλογιῶν, ὧν εἰς τοὺς οἰκείους ποιεῖται παῖδας. ἀλλ' ἵνα μὴ μακρὸν ποιῶμεν τὸν λόγον, καὶ πολὺν ὑμῖν τὸν κόπον παρέχωμεν, ἀρκεσθέντες τοῖς εἰρημένοις εἰς τὴν ἑξῆς τὴν πρὸς τοὺς παῖδας εὐλογίαν ταμιευσώμεθα, ἐκεῖνο παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, ζηλοῦν τὸν δίκαιον τοῦτον, καὶ τοιαύτας κληρονομίας τοῖς παισὶ καταλιμπάνειν τοῖς ἑαυτῶν, αἳ μηδέποτε παρά τινος βλάβην δέξασθαι δύνανται. αἱ γὰρ τῶν χρημάτων πολλάκις καὶ ὄλεθρον C ἔτεκον τοῖς διαδεξαμένοις, καὶ ἐπιβουλὰς, καὶ πολὺν τὸν κίνδυνον. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν ὑποπτεῦσαί ποτε. θησαυρὸς γάρ ἐστι δαπανηθῆναι μὴ δυνάμενος, θησαυρός ἐστιν ἀνάλωτος, θησαυρός ἐστιν οὐκ ἀνθρώπων ἐπιβουλαῖς, οὐ ληστῶν ἐφόδῳ, οὐκ οἰκετῶν κακουργίᾳ, οὐκ ἄλλῳ τοιούτῳ τινὶ ἐλαττωθῆναι δυνάμενος· ἀλλὰ διηνεκῶς μένει. πνευματικὸς γάρ ἐστι, καὶ οὐκ εἴκων ταῖς ἀνθρωπίναις ἐπιβουλαῖς. ἀλλ' ἐὰν οἱ δεξάμενοι νήφειν βούλωνται, καὶ εἰς τὴν μέλλουσαν συναποδημεῖ ζωὴν, καὶ τὰς αἰωνίους προευτρεπίζει σκηνάς. μὴ τοίνυν χρήματα συλλέγειν σπουδάζωμεν, καὶ ταῦτα τοῖς D παισὶ καταλιμπάνειν. ἀλλ' ἀρετὴν αὐτοὺς παιδεύωμεν, καὶ τὴν παρὰ τοῦ θεοῦ εὐλογίαν αὐτοῖς ἐπευχώμεθα. αὕτη γὰρ, αὕτη ἡ μεγίστη περιουσία, οὗτος ὁ ἄφατος πλοῦτος, ὁ ἀδαπάνητος, ὁ καθ' ἑκάστην ἡμέραν τὴν περιουσίαν πλείονα ἐργαζόμενος. οὐδὲν γὰρ ἀρετῆς ἴσον, οὐδὲν ταύτης ἰσχυρότερον. κἂν αὐτήν μοι τὴν βασιλείαν εἴπῃς, καὶ τὸ διάδημα περικείμενον, εἰ μὴ ταύτην ἔχοι, παντὸς πένητος ῥάκια περιβεβλημένου ἀθλιώτερος ἔσται. τί γὰρ αὐτὸν τὸ διάδημα δυνήσεται ὠφελῆσαι, ἢ ἡ πορφυρὶς, ἐκ τῆς οἰκείας ῥᾳθυμίας προδεδομένον; μὴ γὰρ ἀξιωμάτων τῶν ἔξωθεν οἶδε διαφορὰν ὁ δεσπότης;

A *ſen.* Ita, inquit, ambo erunt glorioſi, vt omnes in optatis habeant ad eandem cum illas gloriam peruenire: attamen prior erit Ephraim Manaſſe. Vides quomodo gratia Dei præmōſtrabat ei futura, & prophetico afflatus ſpiritu, filijs Ioſeph benedixerit: & quod tantis tēporibus aberat, tanquam præſens & ante oculos ſitum videri? Hoc enim modo ſe habet prophetia. Nam ſicut oculi corporales nihil amplius pręterquā viſibilia ſpectare poſſunt: ita & oculi fidei non quæ videntur ſpectant, ſed illa vidēt, quæ multò pòſt futura ſunt. Et hoc manifeſtius ſcietis ex benedictionibus, quas ſuis filiis dat. Cæterum ne longum ſermonem faciamus, multóque vos oneremus labore, contenti dictis, in ſequentem ſermonem reſeruabimus filiorum eius benedictionem. Illud tamen obſecrauerim veſtram charitatem, vt imitemini iuſtum hunc, & tales hæreditates filiis veſtris relinquatis, quæ à nullo vnquam damnum accipere poſſint. Diuitiæ enim ſæpe etiam accipientibus perniciem pepererunt, & inſidias, & multa pericula: hîc autem nihil tale ſupicari poteris vnquam. Theſaurus enim eſt qui nunquā exhauriri, nunquam valet conſumi. Theſaurus non hominū dolis, nec latronum inſidiis, non famulorum malitia, non alio quopiā imminui valens, ſed perpetuo manet: ſpiritualis enim eſt, humanis non cedens inſidiis, ſed cum his qui illum accipiunt, & ſobrij eſſe volunt ac prudentes, in futuram vitam migrabit, & eis æterna præparabit tabernacula. Ne igitur operam noſtram in colligendas opes collocedemus, quas relinquamus filijs: ſed doceamus eos virtutem, & benedictionē Dei illis imprecemur. Iſtæ enim, iſtę maximę ſunt facultates. Iſtę ſunt ineffabiles diuitiæ, quæ non abſumuntur, quæ quotidie ſubſtantiam noſtram augent. Nihil enim virtuti par, nihil virtute potentius: etiāſi mihi dicas eum qui regnū habet, ac diadema gerit, niſi hanc habeat, quouis panniculoſo paupere miſerior erit. Quid enim illi prodeſſe poterit diadema aut purpura, qui virtutem ſua deſidia perdit? Nūquid Dominus externarū dignitatū varietatē ſpectat?

Oculi fidei perſpicaciores corporeis.

Moralis epilogꝰ.

A nunquid perſonarum gloria permouetur? Vnum eſt illic quod quæritur, vt per operationem virtutum apertas inuenire poſſimus ianuas fiduciæ in Chriſtum: nam qui nihil fiduciæ hinc defert, inter ignominioſos & deſperantes locum habebit. Hoc igitur omnes conſideremus, & noſtros filios doceamus, vt virtutem rebus omnibus præferant, nihilique faciant pecuniarum abundantiam. Hæc enim, hæc eſt quæ virtuti plurimum obſtat: quandoquidem neſciunt pecuniis vti iuuenes vt oportet. Et ſicut parui pueri ſæpe quando

B (Pecuniæ virtuti obſtant.) cultellos & gladios arripiũt, eò quod neſciunt bene illis vti, periclitantur (vnde matres non permittũt illis eos impune attingere) ita profectò & iuuenes, qui pecuniarum abundãtiam ſuſceperint, cùm nolunt eis bene vti, in periculum certum ſe præcipitant, ſarcinam peccatorum ſibi inde colligentes. Naſcuntur enim inde luxus, deliciæ, & abſurdæ voluptates & infinita mala. Non ſimpliciter à pecuniis dico, ſed ideo quia qui illa receperunt, eis neſciunt rectè vti.

C Propterea & ſapiens quidam dicebat: bonæ diuitiæ, quibus nõ eſt coniunctum peccatum. Quia & Abraham diues erat, & Iob diues erat, & non ſolùm nihil damni eis accidit à diuitiis, ſed & clariores fuerunt. Quare? quia non in vſum ſuum tantum has poſſidebant, ſed vt eis iuuarent etiam alios, quorum ſuccurrerẽt inopiæ, & eſſet domus eorum aperta peregrinis omnibus. Audi enim vnum eorum dicentem: Si autem egreſſus eſt quis de domo

D (Iob. 31. 16.) mea ſinu vacuo: Cæterùm & impotentes viribus, ſi quando indigebant ſubſidio, non priuabantur. Et non ſolùm per pecunias ſubſidium indigentibus ferebat, ſed & ſollicitudinem eorum gerebat. Et eram, inquit, pes claudis, oculus cæcis, & è medio dentium eripui prædam. Vides illum & curam agere eorum qui iniuria afficiuntur, & debilibus membrorum vicem per omnia repræſentare? Hunc omnes oportet imitari: hunc, inquam, qui ante legem fuit, & ante gratiam tam bene moratam vitam geſſit: idque cum nec præceptorem habuerit,

A μὴ γὰρ προσώπων δυσωπεῖται περιφάνεια; ἓν ἐστιν ἐκεῖ τὸ ζητούμενον. ἀπὸ τῆς ἐργασίας τῆς ἀρετῆς τὰς θύρας ἐστὶν εὑρεῖν ἀνεωγμένας τῆς πρὸς αὐτὸν παῤῥησίας. ὡς ὁ μὴ ἐντεῦθεν τὴν παῤῥησίαν κτησάμενος, ἐν τοῖς ἠτιμωμένοις καὶ ἀπαῤῥησιάστοις γενήσεται. τοῦτο οὖν ἅπαντες σκοπῶμεν, καὶ τοὺς ἡμετέρους παῖδας διδάσκωμεν ταύτην πάντων προτιμᾶν, καὶ μηδὲν ἡγεῖσθαι τὴν τῶν χρημάτων περιουσίαν. αὕτη γὰρ, αὕτη πολλάκις καὶ κώλυμα πρὸς τὴν ἀρετὴν γίνεται, ὅταν μὴ εἰδῇ τοῖς χρήμασιν ὁ νέος εἰς δέον χρήσασθαι. καὶ καθάπερ τὰ παιδία τὰ μικρὰ, ἐπειδὰν μαχαίρας

B ἐπιλάβηται, ἢ ξίφους, διὰ τὸ μὴ εἰδέναι δεόντως χρήσασθαι, πολλάκις εἰς προὖπτον ἑαυτὰ κίνδυνον ἐμβάλλει (ὅθεν οὐδὲ ἀφιᾶσιν αἱ μητέρες ἀδεῶς τῶν τοιούτων ἐφάπτεσθαι) οὕτω δὴ καὶ οἱ νέοι, ἐπειδὰν χρημάτων περιουσίαν διαδέξωνται, διὰ τὸ μὴ θέλειν αὐτοῖς δεόντως χρήσασθαι, εἰς προφανῆ κίνδυνον ἑαυτοὺς περιπείρουσι, τὸν φόρτον τῶν ἁμαρτημάτων ἐντεῦθεν ἑαυτοῖς συλλέγοντες. αἱ γὰρ τρυφαὶ, καὶ αἱ ἄτοποι ἡδοναὶ, καὶ τὰ μυρία κακὰ ἐντεῦθεν τίκτεται· οὐχ ἁπλῶς ἀπὸ χρημάτων λέγω, ἀλλ' ἀπὸ

C τοῦ μὴ εἰδέναι προσηκόντως αὐτοῖς χρήσασθαι τοὺς ταῦτα διαδεξαμένους. διὰ τοῦτο καὶ σοφός τις ἔλεγεν, ἀγαθὸς ὁ πλοῦτος, ᾧ μή ἐστιν ἁμαρτία. ἐπεὶ καὶ ὁ Ἀβραὰμ πλούσιος ἦν, καὶ ὁ Ἰὼβ πλούσιος ἦν. καὶ οὐ μόνον οὐδὲν ἀπὸ τοῦ πλούτου παρεβλάβησαν, ἀλλὰ καὶ μειζόνως εὐδοκίμησαν. τίνος ἕνεκεν καὶ διὰ τί; ὅτι οὐκ εἰς οἰκείαν ἀπόλαυσιν μόνον τοῦτον ἐκέκτηντο, ἀλλὰ πρὸς τὴν τῶν ἄλλων παραμυθίαν, καὶ τὰς τῶν δεομένων διορθούμενοι πενίας, καὶ ἡ οἰκία αὐτῶν παντὶ ξένῳ ἦν ἀνεῳγμένη. ἄκουε γὰρ ἑνὸς αὐτῶν

D λέγοντος· εἰ δὲ καὶ ἐξῆλθέ τις ἐκ τοῦ οἴκου μου κόλπῳ κενῷ, καὶ ἀδύνατοι δὲ, εἴ ποτε εἶχον χρείαν, οὐκ ἀπέτυχον. καὶ οὐ μόνον τὴν διὰ χρημάτων ἐπικουρείαν εἰς τοὺς δεομένους ἐπεδείκνυτο, ἀλλὰ καὶ τὴν διὰ τῆς προστασίας πρόνοιαν. ἐγὼ γὰρ ἤμην, φησὶ, ποὺς χωλῶν, ὀφθαλμὸς δὲ τυφλῶν, καὶ ἐκ μέσου ὀδόντων ἐξέσπασα ἅρπαγμα. ὁρᾷς αὐτὸν καὶ προνοοῦντα τῶν ἀδικουμένων, καὶ ἀντὶ τῶν πεπηρωμένων μελῶν ἅπασι γινόμενον; τοῦτον ἅπαντας ἐχρῆν ζηλοῦν, τὸν πρὸ τοῦ νόμου, τὸν πρὸ τῆς χάριτος τοσαύτην φιλοσοφίαν ἐπιδειξάμενον· καὶ ταῦτα οὐδὲ διδάσκαλον ἐσχηκότα,

οὔτε προγόνους ἐναρέτους, ἀλλὰ οἴκοθεν καὶ ἀπὸ A γνώμης ὀρθῆς ἐπὶ τὴν ἀρίστην ταύτην πολιτείαν ἐλθόντα. καὶ γὰρ ἕκαστος ἡμῶν ἐν αὐτῇ τῇ φύσει ἐναποκειμένην ἔχει τὴν γνῶσιν τῆς ἀρετῆς. καὶ εἰ μή τις βουληθῇ ἀπὸ ῥαθυμίας τὴν οἰκείαν προδοῦναι εὐγένειαν, οὐκ ἄν ποτε ταύτης ἀμοιρήσῃ. γένοιτο δὲ πάντας ἡμᾶς ταύτην ἑλομένους, καὶ μετὰ ἀκριβείας ταύτην κατορθώσαντας καὶ τῶν ἐν ἐπαγγελίαις κειμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. B

neque progenitores virtute præditos, ſed à ſemetipſo & à ſententia recta in bonam hanc vitam prodierit. Nam vniuſquiſque noſtrum in natura ſua habet inſitam ſcientiam virtutis: & niſi quis eam voluerit per ignauiam ſuam perdere generoſitatem, nunquam ea priuabitur. Vtinam autem eam omnes nos eligamus, & cum diligentia exerceamus, ita vt bona quæ diligentibus Deum promiſſa ſunt conſequamur, gratia & clementia domini noſtri Ieſu Chriſti, cui cum patre & ſancto Spiritu ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Ὁμιλία ξζ.

HOMILIA LXVII.

Εἶπε δὲ, φησιν, Ἰσραὴλ τῷ Ἰωσήφ· ἰδοὺ ἐγὼ ἀποθνήσκω, καὶ ἔσται ὁ θεὸς μεθ' ὑμῶν, καὶ ἀποστρέψει ὑμᾶς ὁ θεὸς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν τῶν πατέρων ὑμῶν. ἐγὼ δὲ δίδωμί σοι Σίκιμα ἐξαίρετον παρὰ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ.

Dixit autem Iſrael ad Ioſeph. Ecce ego morior, & erit Deus vobiſcum, & reducet vos Deus ex terra hac in terram patrum veſtrorum. Ego autem do tibi Secima electa præ fratribus tuis, quæ cepi in gladio meo & arcu. Gen. 48. 21.

Πρώην ἐπαγγειλάμενοι τέλος ἐπιθεῖναι τῇ κατὰ τὸν Ἰακὼβ ὑποθέσει, C εἰς μῆκος ἡμῖν ἐκταθέντος τοῦ λόγου, τὴν ὑπόσχεσιν πᾶσαν εἰς πέρας ἀγαγεῖν οὐκ ἰσχύσαμεν. διὸ βούλομαι σήμερον τὰ πρώην ἡμῖν ἐκεῖθεν ἀπολειφθέντα εἰς μέσον παραθεῖναι, ἵνα οὕτω καὶ νῦν τοῦ θεοῦ διδόντος τὸ τέλος ἐπιθῶμεν. ἀναγκαῖον δὲ πρότερον ὑπομνῆσαι τὴν ὑμετέραν ἀγάπην, καὶ δεῖξαι μέχρι τίνος τότε τὸν λόγον στήσαντες, οὕτω τὴν διδασκαλίαν κατελύσαμεν. ἴστε δήπου καὶ μέμνησθε, ὅτι (ἡνίκα τοὺς τοῦ Ἰωσὴφ παῖδας μέλλων ὁ δίκαιος εὐλογεῖν, τὸν Ἐφραῒμ D τοῦ Μανασσῆ προέθηκε, καὶ ταῦτα τοῦ πατρὸς δυσχεράναντος, πρὸς ὃν καὶ εἶπεν, οἶδα τέκνον· καὶ οὗτος ἔσται εἰς λαὸν, καὶ οὗτος ὑψωθήσεται· ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ ἔσται εἰς πλῆθος ἐθνῶν, καὶ εὐλόγησεν αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· ἐν ὑμῖν εὐλογηθήσεται Ἰσραὴλ λέγοντες, ποιήσαι σε ὁ θεὸς, ὡς Ἐφραῒμ καὶ Μανασσῆ, καὶ ἔθηκε τὸν Ἐφραῒμ ἔμπροσθεν τοῦ Μανασσῆ) μέχρι τούτου γενόμενοι, ὥστε μὴ τῷ πλήθει καταχῶσαι ὑμῶν τὴν μνήμην, ἐπαυσάμεθα τῆς διδασκαλίας.

POLLICEBAMVR nuper finē nos impoſituros hiſtoriæ Iacob, ſermonéq; prolixius ſe extendente, ad finem quod promittebamus perducere non valuimus. Ideo volo quæ pridem relicta fuerunt in medium proponere, vt nunc ſaltem, ſi Deus dederit, finem imponamus. Operæprecium autem fuerit, primùm veſtram commonefacere charitatem, & oſtendere vbi ſermonem nuper miſſum fecerimus. Scitis vtique, & memores eſtis, quòd cum Iacob benedicturus eſſet filios Ioſeph, Ephraim Manaſſi præpoſuerit, idq; etiā patre eius nō probāte: cui & dixit: Scio fili, verūtamen & hic erit in populū, & hic exaltabitur: ſed frater eius iunior maior eo erit, & ſemen eius erit in multitudinē gētiū: & benedixit eos in die illa, dicens: In vobis benedicetur Iſraël per dicentes: Faciat te Deus ſicut Ephraim & Manaſſen. & poſuit Ephraim ante Manaſſē. Et hucuſq; proceſſimus, & ne ſermonum nimietate veſtram obrueremus memoriam, ceſſauimus à doctrina:

ſed ſi videtur, hodie ſequentia videamus. *Dixit autem Iſrael ad Ioſeph.*
21 *Ecce ego morior, & erit Deus vobiſcum, & reducet vos Deus ex terra hac in terram patrum veſtrorum. Ego autem do tibi Secima electa præ fratribus tuis, quæ cepi in gladio meo & arcu.* Poſtquã filios benedixit, & futura pręuidens, iuniorẽ prępoſuit ſeniori: volens perſuadere Ioſepho, quòd non ſimpliciter, neq; temere hoc feciſſet, ſed prędicens futura: prędicit ei & ſuã mortem, & quod redituri ſint ex aliena terra in Chanaan, in terram patrum ſuorum: & bonam eis ſpem auget, ita vt expectatione alleuientur. Nã ſpes bonorum, huius vitę labores ſemper imminuit. Et monſtrans etiam tempore mortis, quam dilectionem erga Ioſeph habebat, dicit ei: Ego autem do tibi Secima electa prę fratribus tuis: quaſi per hoc declarans, Hoc omnino erit, & iuxta meam prædictionem redibitis, & in hæreditatem poſſidebitis terram patrum veſtrorum. Quia & Secimorum ciuitatem tibi do hæreditatem electam prę fratribus tuis, quam cepi de manu Amorrhæorum in gladio meo & arcu. Quidnam hoc eſt? Quę à Symeone & Leui facta ſunt contra Secimitas, in perſonam propriam transfert: & propter hoc dicit, Quę cepi in gladio meo & arcu. Sed hîc opportunè quæſiuerit quiſpiam: Et quare hoc facinus ſuum facit, cùm poſtea teſtaturus accuſatione clarè ſcripta eos arguat? nõ ſecum pugnat iuſtus, ſed declarat manſuetudinem mentis ſuæ, & quod pręter ſuæ mẽtis ſententiam hoc factum ſit. Non ſolùm enim non probauit factum, ſed & arguit, poſtquam id factum fuerat. Propterea volens monſtrare ſuam erga Ioſeph dilectionẽ, ei concedit Secima, & dicit: Quæ cepi in gladio meo & arcu. Nam licet illorum fuerit opus, in mea tamen poteſtate poſitum erat. Si enim filiorum dominus pater, multò magis eorum quæ à filiis poſſidentur: ſi autem dominus, & cui volebat dare poterat. Itaque declarare volens ſuam erga Ioſeph beneuolentiam, non ſolùm Ephraim & Manaſſen benedicit, ſed & Secima electam hæreditatem relinquit filio.

Spes bonorũ labores minuit.

Cur Iacob hoc ſuũ faciat opus.

A ἀλλ' εἰ δοκεῖ, σήμερον ἴδωμεν τὰ ἑξῆς. εἶπε γάρ, φησιν, Ἰσραὴλ τῷ Ἰωσήφ· ἰδοὺ ἐγὼ ἀποθνήσκω, καὶ ἔσται ὁ θεὸς μεθ' ὑμῶν, καὶ ἀποστρέψει ὑμᾶς ὁ θεὸς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν τῶν πατέρων μου. ἐγὼ δὲ δίδωμί σοι Σίκιμα ἐξαίρετον παρὰ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ. ἐπειδὴ τοὺς υἱοὺς εὐλόγησε, καὶ τὰ μέλλοντα προορῶν προέθηκε τὸν νεώτερον τοῦ πρεσβυτέρου, βουλόμενος πεῖσαι τὸν Ἰωσήφ, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῆ τοῦτο πεποίηκεν, ἀλλὰ προφητεύων τὰ μέλλοντα ἔσεσθαι, προλέγει αὐτῷ καὶ τὴν οἰκείαν τελευτήν, καὶ ὅτι ἐπανήξουσιν ἐκ τῆς ἀλλοτρίας εἰς τὴν Χαναὰν εἰς τὴν B γῆν τῶν πατέρων αὐτῶν, καὶ χρηστὰς αὐτοῖς ἐλπίδας ὑποτείνει, ὥστε τῇ προσδοκίᾳ κουφίζεσθαι. ἡ γὰρ τῶν χρηστῶν ἐλπὶς ὑποτέμνεται ἀεὶ τοὺς ἐν τῷ παρόντι βίῳ πόνους. καὶ δεικνὺς λοιπὸν καὶ ἐν τῷ τῆς τελευτῆς καιρῷ τὴν φιλοστοργίαν, ἣν περὶ τὸν Ἰωσὴφ ἐκέκτητο, φησὶ πρὸς αὐτόν· ἐγὼ δὲ δίδωμί σοι Σίκιμα ἐξαίρετον παρὰ τοὺς ἀδελφούς σου· μονονουχὶ διὰ τούτου δηλῶν, ὅτι οὕτω πάντως ἔσται τοῦτο, καὶ κατὰ τὴν ἐμὴν πρόρρησιν ἐπανελεύσεσθε, καὶ κληρονομήσετε τὴν γῆν τῶν πατέρων ὑμῶν, ὅτι καὶ τῶν Σικίμων πόλιν σοι δίδωμι κληρονομίαν ἐξαίρετον παρὰ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐκ C χειρὸς Ἀμορραίων ἐν μαχαίρᾳ μου καὶ τόξῳ. τί δή ποτέ ἐστι; τὰ παρὰ τοῦ Συμεὼν καὶ Λευὶ γεγενημένα εἰς τοὺς ἐν Σικίμοις οἰκειοῦται, καὶ διὰ τοῦτο λέγει· ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ. ἀλλ' ἐνταῦθα εὐκαίρως ζητήσειεν ἄν τις, τίνος ἕνεκεν οἰκειωσάμενος τὸ γεγενημένον, ὁ μετὰ ταῦτα μέλλων διατάττεσθαι, ἀναγκαιότατον τὴν κατ' αὐτῶν ποιῆσαι κατηγορίαν; οὐχ ἑαυτῷ ἐναντιούμενος ὁ δίκαιος, ἀλλὰ δεικνὺς τὸ ἥμερον αὐτοῦ τῆς γνώμης, καὶ ὅτι παρὰ τὴν αὐτοῦ γνώμην τοῦτο διεπέπρακτο. οὐ γὰρ μόνον οὐκ ἠρέσθη τοῖς γινομένοις, ἀλλὰ καὶ ἐμέμψατο, D ἐπειδὴ γέγονε. διὰ τοῦτο θέλων δεῖξαι τὴν περὶ τὸν Ἰωσὴφ φιλοστοργίαν, αὐτῷ παραχωρεῖ τὰ Σίκιμα, καί φησιν· ἣν ἔλαβον ἐν μαχαίρᾳ μου καὶ τόξῳ. εἰ γὰρ καὶ ἐκείνων τὸ ἔργον γέγονεν, ἀλλ' ἐν τῇ ἐμῇ κεῖται ἐξουσίᾳ. εἰ γὰρ τῶν παίδων δεσπότης ὁ πατήρ, πολλῷ μᾶλλον τῶν ὑπ' αὐτῶν κτηθέντων κύριος ἂν εἴη. εἰ δὲ κύριος, καὶ ὃ βούλεται, διανέμειν ἂν δύναιτο. ἐπεὶ οὖν ἐβούλετο δεῖξαι τὴν περὶ τὸν Ἰωσὴφ εὔνοιαν, οὐ μόνον διὰ τῆς τοῦ Ἐφραῒμ καὶ τοῦ Μανασσῆ εὐλογίας τοῦτο πεποίηκεν, ἀλλὰ καὶ διὰ τοῦ τὴν Σίκιμα ἐξαίρετον κληρονομίαν καταλιπεῖν τῷ παιδί.

καὶ ἐκάλεσε, φησι, τοὺς υἱοὺς αὐτοῦ Ἰακὼβ, καὶ εἶπε. A συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν. ἀθροίσθητε, καὶ ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν. ὅρα τοῦ δικαίου τὴν σύνεσιν. ἐπειδὴ προῄδει τῆς τελευτῆς τὸν καιρὸν, καλεῖ τοὺς παῖδας πρὸς ἑαυτὸν, καί φησι συνάχθητε, ἵνα ὑμῖν ἤδη προαναφωνήσω τί ὑμῖν ἀπαντήσεται ἐπ' ἐσχάτων τῶν ἡμερῶν. ἀθροίσθητε καὶ ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν. δεῦτε, φησι, καὶ μάθετε παρ' ἐμοῦ, οὐ τὰ παρόντα, οὐ τὰ μετὰ βραχὺ ἐσόμενα χρόνον, ἀλλὰ τὰ ἐν ἐσχάταις ἡμέραις γενησόμενα. καὶ ταῦτα ὑμῖν οὐκ ἀπ' ἐμαυτοῦ μηνύω, ἀλλ' ὑπὸ τοῦ πνεύματος ἐνηχούμενος. διὰ τοῦτο καὶ B τὰ μετὰ πολλὰς ὕστερον ἐσόμενα γενεὰς ἤδη προαναφωνῶ. καὶ γὰρ μέλλων τὴν ζωὴν ταύτην καταλύειν, βούλομαι ἑκάστῳ ὑμῶν, ὥσπερ ἐν στήλῃ χαλκῇ, ἐναποθέσθαι τὴν μνήμην. σκόπει δὲ τοῦ δικαίου, πῶς συναχθέντων τῶν παίδων τῇ τάξει χρησάμενος τῆς ἔξω γενέσεως, οὕτω τὴν ἁρμόττουσαν πρὸς ἕκαστον ποιεῖται ἢ κατάραν, ἢ εὐλογίαν, κἀν τούτῳ δεικνὺς τῆς οἰκείας ἀρετῆς τὴν ὑπερβολήν. καὶ ἄρχεται ἀπὸ τοῦ πρώτου. Ῥουβὴν, φησιν, ὁ πρωτότοκος, ἰσχύς μου, καὶ ἀρχὴ τέκνων μου, σκληρὸς φέρεσθαι, καὶ σκληρὸς αὐθάδης. ὅρα πόση ἡ σοφία τοῦ δικαίου, μείζονα γὰρ C τὴν κατ' αὐτοῦ κατηγορίαν αὔξησαι βουλόμενος, πρότερον εἶπε τὰ ἀπὸ τῆς φύσεως αὐτῷ ἐνυπάρχοντα προτερήματα, καὶ τὴν προεδρίαν, ἧς ἀπήλαυσεν αὐτὸς, ἀρχὴ τέκνων γενόμενος, καὶ τῆς ἀξίας τῆς τοῦ πρωτοτόκου ἀπολαύων· καὶ τότε τὰ ἀπὸ τῆς προαιρέσεως ἁμαρτήματα, ὥσπερ ἐν στήλῃ χαλκῇ ἐναποτίθεται, δεικνὺς ὅτι οὐδὲν ὄφελος τῶν φυσικῶς ἡμῖν ἐνυπαρχόντων, μὴ τῶν ἀπὸ τῆς προαιρέσεως κατορθωμάτων ἑπομένων. ταῦτα γάρ ἐστι τὰ καὶ ἔπαινον φέροντα καὶ ψόγον προστριβόμενα. σκληρὸς, φησι, φέρεσθαι, καὶ σκληρὸς αὐθάδης. τὴν ἀπὸ D τῆς φύσεως ἀξίαν σοὶ, φησι, δεδομένην προδέδωκας διὰ τῆς οἰκείας προπετείας. εἶτα καὶ αὐτὸ τὸ εἶδος τοῦ ἁμαρτήματος ἀναγκαίως καταλιμπάνει, ὥστε καὶ τοῖς ἑξῆς διδασκαλίαν εἶναι μεγίστην πρὸς τὸ μὴ τοῖς αὐτοῖς ἐπιχειρεῖν τὴν κατ' αὐτοῦ κατηγορεῖτο [illegible] μνήμην. ἐξύβρισας, ὡς ὕδωρ, μὴ ἐκζέσῃς. ἀνέβης γὰρ, φησιν, ἐπὶ τὴν κοίτην τοῦ πατρός σου. τότε ἐμίανας τὴν στρωμνὴν, οὗ ἀνέβης. τὴν μετὰ τῆς Βάλλας γεγενημένην αὐτῷ συνουσίαν αἰνίττεται. ὅρα πῶς διὰ τῆς συνέσεως τῆς ὑπὸ τοῦ πνεύματος αὐτῷ χαρισθείσης προλαβὼν,

Et vocauit, inquit, *Iacob filios ſuos, & dixit: Congregamini; vt annunciem vobis quid euenturum ſit vobis in nouiſſimis diebus.* [2] *Congregamini, & audite Iſrael patrem veſtrum.* Vide iuſti intelligentiam, quia præſciebat mortis tempus, vocauit filios ſuos ad ſe, & dicit Congregamini; vt vobis iam prædicam quid vobis euenturum ſit in vltimis diebus. Congregamini, & audite Iſraël patrem veſtrum: venite, inquit, & diſcite à me, non præſentia, non quæ poſt paruum tempus euentura, ſed quod accidet in vltimis diebus. Et hæc vobis non à memetipſo annuncio, ſed afflatus à ſpiritu: & idcirco quæ multis poſtea generationibus contingent, prædico. Etenim è vita hac migraturus, volo vnicuique veſtrum quaſi in titulo & columna ærea memoriam inſculpere. Conſidera autem iuſtum, quomodo congregatis liberis, natiuitatis ſeruato ordine vnicuique congruam det vel maledictionem, vel benedictionem: & in hoc monſtrans ſuæ virtutis eminentiam, accipiat à primo. [3] *Ruben, inquit, primogenitus, fortitudo mea, & principium filiorum meorum: Durus ad ferendum, durus & peruicax.* Benedictiones Iacob in filios Vide quanta ſapientia iuſti. Volens enim accuſationem magis intendi, prius dixit priuilegia ei à natura conceſſa, & dignitatem quam tenebat, quod principium filiorum, & primogenituræ honore clarus ſit: & poſtea voluntatis peccata illius quaſi in ærea columna inſcribit: monſtrans quòd nihil proderunt nobis ea quæ à natura inſunt, niſi & voluntatis bona opera ſequantur: hæc enim ſunt quæ & laudem habent, & vitium. Durus, inquit, ad ferendum: durus & peruicax. Naturæ, inquit, dignitatē tibi datam amiſiſti propria tua temeritate Deinde & ſpeciem peccati bene ſcriptam relinquit; ita vt illum ita eſſe redargutum, & poſteris magna ſit eruditio, ne ſimilia attentent. [4] *Contumelia affeciſti, ſicut aqua non efferueſcas. Aſcendiſti enim, inquit, ſuper lectum patris tui: tunc polluiſti ſtratum quod aſcendiſti.* Significat concubitum eius cum Balla. Vide quomodo per ſapientiam à Spiritu ſancto ſibi datam,

prius dixit id quod poſtea Moſes inter leges recenſiturus erat, non licere cum eadem muliere patrem & filium rem habere. Et nunc iſtud ipſe, filium ſuum increpando ſic prohibet. Polluiſti, inquit, ſtratum, & aſcendiſti ſuper lectum patris tui. Rem peruerſam feciſti. Propter hoc quòd ita contumelia me affeciſti: ſicut aqua non efferueſcas. Inutilis erit, inquit, ille conatus tuus: quòd neque patrem reueritus, polluere eius lectum auſus fuiſti. Vt igitur nunc in ſequentibus generationibus talia nemo imitetur, propterea Spiritus ſanctus ordinauit, vt literis commendetur hæc accuſatio: & omnes qui audiant erudiantur, ſciántque manifeſtè quòd nihil proſit dignitas naturæ conceſſa: niſi & voluntatis accedant ornamenta. Deinde quia ſatis traduxerat nefarium hoc opus, venit ad Symeonem & Leui. *Symeon & Leui compleuerunt, iniuſtitiam & voluntate ſua.* Contentio eorum, quam propter ſororem ſuam declararunt, eos in iniuſtitiam illam impulit. Deinde declarans quòd ſe ignaro rem fecerint, dicit: [6] *In conſilium eorum non veniat anima mea, & in coetu eorũ non firmẽtur iecora mea.* Abſit, inquit, vt communicem eorum ſententiæ, & obſequar eis in his quæ iniuſtè egerunt. *Quia in furore ſuo occiderunt homines.* Irrationabilis, inquit, fuit eorũ indignatio. Nam licet peccaſſet Sychem, attamen non oportebat tantam ſtragẽ facere & omnes perdere. *Et in concupiſcentia ſua ſubneruauerunt taurũ.* Filium Emmor hîc ſignificat. Nam quia in florenti ætate erat, taurum eum nominauit. Deinde vt dixit quæ fecerãt, etiam maledictionem apponit, & dicit: [7] *Maledictus furor eorum, quia peruicax: & ira eorum, quia obdurata eſt.* Dolum ſignificat, quo illos circumuenerunt. Peruicax enim, inquit, furor eorum, temerarius, impetuoſus, ratione carens. Et ira eorum quia obdurata eſt. Quando enim Secimitæ putauerunt eos ſibi valde amicos, tunc graui ira & bello eos oppreſſerunt. Et dicto eorum peccato, dicit & ſupplicium quod luituri erãt. *Partiar eos in Iacob, & diſſeminabo eos in Iſraël.*

Nihil proſunt naturalia dona niſi mores probi accedant.

A ὅπερ ἔμελλε Μωυσῆς νομοθετεῖν, ὥστε μὴ ἐξεῖναι τῇ αὐτῇ μίγνυσθαι γυναικὶ πατέρα καὶ παιδί· τοῦτο αὐτὸς ἤδη, δι' ὧν ἐπιτιμήσει τῷ παιδὶ, ἀπαγορεύει. καί φησι, ἐμίανας τὴν στρωμνὴν, ἀνελθὼν ἐπὶ τὴν κοίτην τοῦ πατρός σου. πρᾶγμα παράνομον εἰργάσω, φησί. διὰ τοῦτο, ἐπειδὴ οὕτως ἐξύβρισας, ὡς ὕδωρ μὴ ἐκζέσῃς. ἀνόνητός σοι, φησιν, ἔσται ἡ τοιαύτη ἐπιχείρησις, ὅτι οὐδὲ τοῦ πατρὸς αἰδῶ τινα λαβὼν, μιᾶναι αὐτοῦ τὴν κοίτην ἐτόλμησας. ἵνα οὖν ἤδη ἐν ταῖς ἑξῆς γενεαῖς τὴν τοιαύτην μίμησιν φυγεῖν ἔχωσι, διὰ τοῦτο ἐναποθέσθαι τοῖς γράμμασι τὸ πνεῦμα τὸ ἅγιον τὴν κατηγορίαν
B ταύτην ᾠκονόμησεν, ὥστε πάντας ἀκούοντας παιδεύεσθαι καὶ εἰδέναι σαφῶς, ὡς οὐδὲν αὐτοῖς ὄφελος τῆς ἀπὸ τῆς φύσεως προεδρίας κεχαρισμένης, εἰ μὴ καὶ τὰ τῆς προαιρέσεως ἕπηται. εἶτα ἐπειδὴ ἀρκούντως τοῦτο ἐστηλίτευσε τὴν μιαρὰν ταύτην πρᾶξιν, ἔρχεται ἐπὶ τὸν Συμεὼν καὶ Λευί. Συμεὼν καὶ Λευὶ συνετέλεσαν ἀδικίαν ἐξαιρέσεως αὐτῶν. ἡ φιλονεικία αὐτῶν, φησιν, ἣν ὑπὲρ τῆς ἀδελφῆς ἐπεδείξαντο, εἰς τὴν ἀδικίαν ἐκείνην αὐτοὺς παρώρμησεν. εἶτα δηλῶν ὅτι λαθόντες αὐτὸν, τὴν ἑαυτῶν γνώμην εἰς ἔργον ἤγαγον, φησιν·
C Εἰς βουλὴν αὐτῶν μὴ ἔλθοι ἡ ψυχή μου, καὶ ἐπὶ τῇ συστάσει αὐτῶν μὴ ἐρείσῃ τὰ ἥπατά μου. μὴ γένοιτό μοι, φησι, κοινωνῆσαι αὐτοῖς τῆς γνώμης, ἢ συγκατατίθεσθαι τοῖς ὑπ' αὐτῶν ἀδίκως γεγενημένοις. ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους. ἀλόγιστος αὐτῶν, φησι, γέγονεν ὁ θυμός. εἰ γὰρ καὶ ἥμαρτε Συχὲμ, ἀλλὰ κατὰ πάντων οὐκ ἐχρῆν τοσαύτην ἐπιδείξασθαι μιαιφονίαν. καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον. τὸν υἱὸν τοῦ Ἐμμὼρ ἐνταῦθα αἰνίττεται, διὰ τὸ ἀκμάζον τῆς ἡλικίας ταῦρον αὐτὸν ὀνομάσας. εἶτα εἰπὼν τὰ εἰργασμένα
D αὐτοῖς, καὶ ἀρὰν προστίθησι, καί φησιν, ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης· καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρύνθη. τὸν δόλον αἰνίττεται, ὃν πρὸς αὐτοὺς ἐποιήσαντο ἀπατήσαντες αὐτοὺς, καὶ μετὰ δόλου αὐτοῖς ἐπιθέμενοι. αὐθάδης γάρ, φησιν, ὁ θυμὸς αὐτῶν, προπετὴς, ἀλόγιστος. καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρύνθη. ὅτε γὰρ ἐνόμισαν οἱ Σικιμῖται πολλὴν τὴν περὶ αὐτοὺς εὔνοιαν ἐπιδεδεῖχθαι, τότε βαρεῖαν τὴν μῆνιν ἐπιδειξάμενοι, τὰ τῶν πολεμίων αὐτοὺς διέθηκαν. καὶ εἰπὼν τὸ γεγενημένον αὐτοῖς ἁμάρτημα, προμηνύει καὶ τὴν ὑπὲρ τούτου διαδεξομένην αὐτοὺς τιμωρίαν. διαμεριῶ αὐτοὺς ἐν Ἰακὼβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ.

πανταχοῦ, φησι, διεσπαρμένοι ἔσονται, ἵνα τοῦτο αὐτὸ πᾶσι κατάδηλον γένηται, ὅτι διὰ τὸ τόλμημα τὸ γεγενημένον, τοῦτο οὗτοι ὑπομεμενήκασιν. Ἰούδα, σε αἰνέσαισαν οἱ ἀδελφοί σου. ἡ εἰς τὸν Ἰούδαν γεγενημένη εὐλογία μυστική τίς ἐστι, προμηνύουσα ἡμῖν τὰ κατὰ τὸν Χριστὸν ἅπαντα. Ἰούδα γάρ, φησί, σε αἰνέσαισαν οἱ ἀδελφοί σου. ἐπειδὴ γὰρ ἐντεῦθεν ἔμελλεν ἐκ τῆς τούτου φυλῆς ἀναφαίνεσθαι κατὰ τὸν τῆς οἰκονομίας λόγον, διὰ τοῦτο ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου ἤδη κινούμενος, προμηνύει διὰ τῶν εἰς τὸν Ἰούδαν λεγομένων, οὐ μόνον τὴν εἰς ἀνθρώπους κάθοδον τοῦ δεσπότου, ἀλλὰ καὶ τὸ μυστήριον, καὶ τὸν σταυρὸν, καὶ τὴν ταφὴν, καὶ τὴν ἀνάστασιν, καὶ πάντα ἁπαξαπλῶς. Ἰούδα γάρ, φησί, σε αἰνέσαισαν οἱ ἀδελφοί σου. αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου, τὴν ὑποταγὴν δηλῶν, ἣν μέλλουσιν ὑποπίπτεσθαι. σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης. τὴν βασιλείαν αὐτοῦ προλέγει. ἔθος γὰρ ἀεὶ τῇ γραφῇ διὰ τῆς εἰκόνος τούτου τοῦ ζώου τὴν βασιλικὴν αὐθεντείαν αἰνίττεσθαι. ἀναπεσὼν ἐκοιμήθης, ὡς λέων, καὶ ὡς σκύμνος. τίς ἐγερεῖ αὐτόν; τὸν σταυρὸν καὶ τὴν ταφὴν ἐνταῦθα αἰνίττεται. τίς ἐγερεῖ αὐτόν; καθάπερ γὰρ τὸν λέοντα, ἢ τὸν σκύμνον καθεύδοντα οὐδεὶς ἂν τολμήσειεν ἐξαναστῆσαι, οὕτω, φησὶν, ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος. τίς ἐγερεῖ αὐτόν; αὐτὸς γάρ ἐστιν ὁ λέγων, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. εἶτα καὶ τὸν καιρὸν σαφῶς μηνύει, καθ' ὃν ἐπιστήσεσθαι ἔμελλεν ὁ Χριστὸς κατὰ τὸν τῆς οἰκονομίας λόγον. οὐκ ἐκλείψει, φησὶν, ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται. καὶ αὐτὸς προσδοκία ἐθνῶν. μέχρι τότε διαρκέσει, φησί, τὰ Ἰουδαϊκά, καὶ οἱ ἄρχοντες οἱ ἐξ Ἰουδαίων, ἕως ἂν ἐκεῖνος παραγένηται. καὶ καλῶς εἶπεν, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται. ἐκείνῳ, φησὶν, ᾧ προητοιμασμένη ἡ βασιλεία. διότι αὐτός ἐστιν ἡ προσδοκία τῶν ἐθνῶν. ὅρα πῶς ἤδη λέγει καὶ τὴν μέλλουσαν τῶν ἐθνῶν ἔσεσθαι σωτηρίαν. καὶ αὐτὸς ἔσται, φησὶ, προσδοκία τῶν ἐθνῶν. τὴν τούτου παρουσίαν τὰ ἔθνη προσδοκᾷ. δεσμεύων, φησὶ, πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ· διὰ τοῦ πώλου πάλιν τὴν τῶν ἐθνῶν προμηνύων προσαγωγήν. ἐπειδὴ γὰρ ἀκάθαρτον ζῶον ὁ ὄνος, διὰ τοῦτό φησιν, ἐκεῖνα τὰ ἀκάθαρτα ἔθνη μετὰ τοσαύτης εὐκολίας ἀνάξει,

A Vbique, inquit, diſperſi erunt, vt iſtuc ipſum manifeſtum fiat, quòd propter facinus commiſſum, hoc illi paſſi fuerint. [8] *Iuda te laudent fratres tui.* Benedictio Iudæ data myſtica eſt, præſignans omnia quæ ad Chriſtum attinent. Iuda, inquit, te laudent fratres tui. Quia ex hac tribu exoriturus erat Chriſtus, iuxta diſpenſationis rationem, propterea Spiritu ſancto afflatus Iacob, prædicit per ea quę in Iudam dicuntur, non ſolum deſcenſum Domini ad homines, ſed & ſacramentum, & crucem, & ſepulturam, &
B reſurrectionem: & vt ſemel dicam, omnia. *Iuda enim,* inquit, *te laudent fratres tui: manus tuæ in tergo inimicorum tuorum: & adorabunt te filij patris tui.* Quibus declarat, quòd ſubiiciendi illi eſſent. [9] *Catulus leonis Iuda. De germine, fili mi, aſcendiſti.* Regnum eius prædicit. Semper enim Scripturæ mos eſt, per figuram huius animalis, regiam authoritatem inſinuare. *Recumbens dormiuiſti vt leo, & ſicut catulus. Quis excitabit eum?* Crucem & ſepultu-
C ram hîc ſignificat. Quis excitabit, inquit, eum? Sicut enim leonem vel catulum dormientem nullus audet excitare, ita dormiſti vt leo, & vt catulus. Quis excitabit eum? Ipſe enim eſt qui dicit: Poteſtatem habeo ponendi animam meam, & poteſtatem habeo iterum recipiendi eam. Poſtea & tempus quoque manifeſtè declarat, quo aduenturus ſit Chriſtus iuxta diſpenſationis rationem. *Non deficiet,* inquit, *princeps de Iuda, neque dux de femore eius, donec veniat, cui repoſitum eſt: & ipſe erit ex-*
D *pectatio gentium.* Tamdiu, inquit, durabunt Iudaica, & principes Iudęorum, quo ad ille venerit. Et bene dixit, quoad ille venerit, cui repoſitum eſt: quaſi dicat, ille cui præparatum eſt regnum: propterea ipſe eſt expectatio gentium. Vide quomodo iam dicit etiam gentes ſaluandas. Et ipſe erit, inquit, expectatio gentium. Huius aduentum gentes expectant. [11] *Ligans ad vitem pullum ſuum, & ad palmitem pullū aſinæ ſuæ.* Per pullum iterū gētium ſignificat adductionē. Nam quia aſinus immundum erat animal, propterea dicit: illę im-

Ioan. 10. 18.

Interpres legiſſe videtur ᾧ in datiuo quod aptius puto ad Chryſo. mentē.

mundæ genus cum tanta facilitate adducentur, quaſi quis ad palmitem vitis aſinum alliget: ſimul inſinuans & poteſtatis excellentiam, & gentium obedientiam. Magnæ enim manſuetudinis eſt, quòd aſinus ſuſtinet ſe ad palmitem vitis ligari. Viti autem ſuam doctrinam comparat: Ego enim ſum, inquit, vitis vera, & pater meus agricola eſt. Palmites autem vocauit teneritudinem præceptorum, & facilitatem legis ferendæ: & iam præſignat gentes magis credulas fore, quàm Iudæos. *Lauabit in vino ſtolam ſuam, & in ſanguine vuæ amictum ſuum.* Vide quomodo nobis totum ſacramentum inſinuauit. Sciunt qui initiati ſunt, quod dictum eſt: Lauabit in vino ſtolam ſuam. Stolam puto corpus dici, quod propter diſpenſationem ferre dignatus eſt. Deinde vt diligenter diſcas vinum quid appellauit, ſubdit: *Et in ſanguine vuæ amictum ſuum.* Vide quomodo ſanguinis nomine crucem nobis & occiſionem ſignificet, & omnem ſacramentorum diſpenſationem. [12] *Iucundiores oculi eius vino, & candidiores dentes eius quàm lac.* Hîc gloriam nobis demonſtrare vult, per metaphoram vini & oculorum. *Et candidiores dentes eius quàm lac.* Iuſtitiam ſignat & claritatem iudicis. Nam per dentes & lac, nihil aliud ſignificare vult, quàm fore candidum & manifeſtum iudicium, vt eſt lactis & dentium qualitas. [13] *Zabulon*, inquit, *in maritimo habitabit, & ipſe apud ſtationem nauium, & extendetur vſque ad Sidonem.* Vide quomodo & huic prædicit vbi domicilium habiturus ſit, & quòd vſque ad Sidonem extendetur. [14] *Iſſachar bonum deſiderauit, recumbens inter ſortes:* [15] *& vidit requiem quòd bona, & terram quòd pinguis: ſuppoſuit humerum ſuum ad laborandum, & factus eſt vir agricola.* Laudat hunc quòd operationem terræ elegerit, & hanc omnibus aliis prætulerit. [16] *Dan indicabit populum ſuum, ſicut & vna tribus in Iſrael.* [17] *Et fiat Dan ſerpens in via, inſidens in ſemita mordens vngulam equi, & cadet eques retrorſum, ſalutem expectans domini.* Dignum vt quis admiretur & obſtupeſcat, quomodo iuſtus ille oculis ſpiritus omnia præ-

Ioã. 15 5.

Myſterium Euchariſtię præſignatur.

A ὡς ἄν τις τῇ ἕλικι τῆς ἀμπέλου τὸν πῶλον προσδήσῃ, τῆς ἐξουσίας τὴν ὑπερβολὴν αἰνιττόμενος, καὶ τῶν ἐθνῶν τὴν πολλὴν ὑπακοήν. πολλῆς γάρ ἐστι τῆς ἡμερότητος τοῦ ὄνου, τὸ ἀνέχεσθαι τῇ ἕλικι τῆς ἀμπέλου προσδεθῆναι. τῇ ἀμπέλῳ δὲ παρείκασε τὴν οἰκείαν διδασκαλίαν. ἐγὼ γάρ εἰμι, φησὶν, ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστιν. ἕλικας δὲ ἐκάλεσε τὸ ἁπαλὸν τῶν προσταγμάτων καὶ τῶν νομοθεσιῶν τὸ εὔκολον· ἵνα ἤδη προμηνύσῃ, ὅτι τὰ ἔθνη εὐπειθέστερα τούτων γενήσεται. πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν

B αὐτοῦ. ὅρα πῶς ἅπαν ἡμῖν τὸ μυστήριον ἐνταῦθα ἠνίξατο. ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον. πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, στολὴν, οἶμαι, τὸ σῶμα λέγων, ὃ διὰ τὴν οἰκονομίαν φορέσαι κατηξίωσεν. εἶτα ἵνα μάθῃς ἀκριβῶς οἶνον τί προσηγόρευσεν, ἐπήγαγε, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. ὅρα πῶς τῷ τοῦ αἵματος ὀνόματι τὴν σφαγὴν ἡμῖν καὶ τὸν σταυρὸν ἠνίξατο, καὶ πᾶσαν τῶν μυστηρίων τὴν οἰκονομίαν. χαροποὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα. ἐνταῦθα τὸ φαι-

C δρὸν ἡμῖν ἐνδείξασθαι βούλεται διὰ τῆς μεταφορᾶς τοῦ οἴνου καὶ τῶν ὀφθαλμῶν. καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα· τὸ δίκαιον καὶ τὸ λαμπρὸν τοῦ κριτοῦ. διὰ γὰρ τῶν ὀδόντων καὶ τοῦ γάλακτος οὐδὲν ἕτερον ἡμῖν σημαίνειν ἠβουλήθη, ἢ ὅτι οὕτως ἔσται λευκὸν καὶ περιφανὲς τὸ κριτήριον, καθάπερ ἡ τοῦ γάλακτος καὶ τῶν ὀδόντων ποιότης. ζαβουλὼν, φησὶ, παράλιος κατοικήσει, καὶ αὐτὸς παρ' ὅρμον πλοίων, καὶ παρατενεῖ ἕως Σιδῶνος. ὅρα πῶς καὶ τούτῳ προμηνύει, ἔνθα τὴν οἴκησιν ἕξει, καὶ ὅτι μέχρι Σιδῶνος ἐκταθήσεται. Ἰσσάχαρ τὸ κα-

D λὸν ἐπεθύμησεν, ἀναπαυόμενος ἀνὰ μέσον τῶν κλήρων. καὶ ἰδὼν τὴν ἀνάπαυσιν ὅτι καλὴ, καὶ τὴν γῆν ὅτι πίων, ὑπέθηκε τὸν ὦμον αὐτοῦ εἰς τὸ πονεῖν, καὶ ἐγένετο ἀνὴρ γεωργός. ἐπαινεῖ τοῦτον, ὡς τὴν τῆς γῆς ἐργασίαν ἑλόμενον, καὶ τὸ περὶ τὴν γῆν πονεῖσθαι πάντων προτετιμηκότα. Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαὸν, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ. καὶ γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ, ἐγκαθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου. καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσθια, τὴν σωτηρίαν περιμένων κυρίου. θαυμάσαι ἄξιον καὶ ἐκπλαγῆναι τὸν δίκαιον τοῦτον, ὅπως τοῖς τοῦ πνεύματος ὀφθαλμοῖς ἅπαντα

προορῶν τοῖς παισὶ προεσήμαινε, καὶ τὰ ἑκάστῳ συμβησόμενα προέλεγε. τὰ γὰρ μετὰ πολὺν ἐσόμενα χρόνον ἤδη προανεφώνει. Γὰδ, πειρατήριον πειρατεύσει αὐτόν. αὐτὸς δὲ πειρατεύσει αὐτὸν κατὰ πόδας. Ἀσὴρ, πίων αὐτοῦ ὁ ἄρτος, καὶ αὐτὸς δώσει τροφὴν ἄρχουσι. Νεφθαλεὶμ, στέλεχος ἀνειμένον ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος. Ἐπειδὴ ἐν συντόμῳ παρέδραμε τούτους, ἔρχεται λοιπὸν ἐπὶ τὸν Ἰωσὴφ, καί φησιν· Ἰωσὴφ υἱὸς ηὐξημένος ζηλωτός· Ἰωσὴφ υἱὸς ηὐξημένος, υἱός μου νεώτερος. ἐπίφθονος γέγονας, φησὶν, ἐξ αὐτῶν τῶν προοιμίων. εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν· τὴν τῶν ἀδελφῶν τὴν κατ᾽ αὐτοῦ συμφωνίαν αἰνίττεται· καὶ ὅπερ ἀνωτέρω ἔλεγεν ἡ γραφὴ, ὅτι ψόγον πονηρὸν κατήνεγκαν Ἰωσὴφ πρὸς τὸν πατέρα αὐτοῦ, τοῦτο καὶ ἐνταῦθά φησιν· εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν. καὶ ἐνεῖχον αὐτῷ κύριοι τοξευμάτων, τὴν φονικὴν αὐτῶν αἰνιττόμενος γνώμην. καὶ συνετρίβη μετὰ κράτους τὰ τόξα αὐτῶν. ὅρα πῶς, ἐπειδὴ εἶπε τὰ παρ᾽ αὐτῶν κατὰ τοῦ Ἰωσὴφ τολμηθέντα, λέγει καὶ τὰ αὐτοῖς συμβεβηκότα. συνετρίβη γάρ, φησι, τὰ τόξα αὐτῶν, καὶ ἐξελύθη τὰ νεῦρα βραχιόνων χειρῶν αὐτῶν. αὐτοὶ μὲν ἀνελεῖν ἐπεχείρησαν, καὶ τό γε ἧκον εἰς αὐτοὺς, εἰς ἔργον τὴν γνώμην ἐξήγαγον. ἀλλὰ καὶ τὰ τόξα αὐτῶν συνετρίβη, καὶ ἐξελύθη αὐτῶν τὰ νεῦρα. πῶς γὰρ οὐχὶ τοῦτο πεπόνθασιν, ὅτε ἤκουον τοῦ Ἰωσὴφ λέγοντος, ἐγώ εἰμι ὁ ἀδελφὸς ὑμῶν Ἰωσὴφ, ὃν ἀπέδοσθε εἰς Αἴγυπτον; τότε γὰρ μάλιστα, τότε ἐξελύθη αὐτῶν τὰ νεῦρα, διὰ χεῖρα δυνάστου Ἰακώβ. ἐκεῖθεν ὁ κατισχύσας Ἰσραὴλ παρὰ θεοῦ τοῦ πατρός σου, καὶ ἐβοήθησέ σοι ὁ θεὸς ὁ ἐμός. ὁ δὲ ἐκλύσας αὐτῶν τὰ νεῦρα, φησὶν, ὁ δυνάστης ἐστίν. αὐτὸς γὰρ ἐβοήθησέ σοι, ὁ θεὸς ὁ ἐμός. ὅρα τοῦ δικαίου τὸ γνήσιον περὶ τὸν δεσπότην φίλτρον, ὅπως τὸν τῆς οἰκουμένης δεσπότην αὐτοῦ μόνου λέγει εἶναι θεὸν, οὐχὶ συγκλείων αὐτοῦ τὴν δεσποτείαν, οὐδὲ ἀποστερῶν αὐτὸν τῆς ἐξουσίας τῆς οἰκουμένης, ἀλλὰ τὸν οἰκεῖον ἐμφαίνων πόθον. καὶ εὐλόγησέ σε εὐλογίαν οὐρανοῦ ἄνωθεν. οὐ μόνον, φησὶν, ἐβοήθησεν, ἀλλὰ καὶ εὐλόγησέ σε εὐλογίαν γῆς ἐχούσης πάντα. ἕνεκεν εὐλογίας μαστῶν καὶ μήτρας, εὐλογίας πατρός σου καὶ μητρός σου. ὑπερίσχυσεν ἐπ᾽ εὐλογίαις ὀρέων μονίμων, καὶ ἐπιθυμίαις θινῶν αἰωνίων. τὴν δόξαν καὶ τὴν περιφάνειαν ἐνταῦθα αἰνίττεται καὶ τὴν βασιλείαν τῆς Αἰγύπτου, διὰ τῶν ὀρέων καὶ τῶν θινῶν τὸ ὑψηλόν τε καὶ ἰσχυρὸν ἐμφαίνων, ὡς καὶ

A uidens, filiis ſuis prænunciauerit quid vnicuique euenturum ſit, etiam poſt multum temporis. 19 *Gad, tentatio tentabit eum, ipſe autem tentabit illum ad pedes.* 20 *Aſer pinguis eius panis, & ipſe dabit cibum principibus.* 21 *Nephtalim, virgultum reſolutum, dans in germine pulchritudinem.* Et quia paucis tranſit illos, venit conſequenter ad Ioſeph, & ait. 22 *Ioſeph filius auctus, & amabilis. Ioſeph filius auctus, filius meus iunior,* Inuidioſus, inquit, factus es ab ipſis initijs, 23 *Quē conſilio cōmunicato conuitijs inceſſerunt.* Fratrū ſignificat conſpirationē contra eū. Et B id quod ſuprà dicebat ſcriptura, ꝙ crimine malo detulerāt Ioſeph apud patrem ſuum: hoc iſte dicit: Quē cōmunicato conſilio conuitiis inceſſerunt, *Et intendebāt in eū ci domini ſagittationū.* Sanguinariū illorū ſignificat animū. 24 *Et contriti ſunt cū fortitudine arcus eorū.* Vide quomodo poſtquam dixit ea quę cōtra Ioſeph attētarūt, dicit & quę eis contigerunt. *Contriti enim,* inquit, *arcus eorū, & diſſoluti ſunt nerui brachiorū manuum eorū:* Quaſi diceret, Ipſi enim occidere te conati C ſunt, & quantū ex ipſis pēdebat, opere cōpleſſent: ſed & arcus eorum cōtriti ſunt, & diſſoluti ſunt eorū nerui. Sic enim eis accidit, quādo audierūt Ioſeph dicentē: Ego ſum frater veſter Ioſeph, quē vendidiſtis in Ægyptum. Tunc enim, tunc maximè ſoluti ſunt nerui eorū, *per manum potentis* 25 *Inde qui corroborauit Iſraël à Deo patre tuo, & adiuuit te Deus meus.* Qui diſſoluit eorum neruos, inquit, potens eſt. *Ipſe enim adiuuit te pater meus.* Vide germanam iuſti ergo dominum dilectionem, quomodo orbis dominum ſuum ſolius Deum D eſſe dicat: non concludens eius dominium, neque priuans eum poteſtate vniuerſali, ſed ſuum declarans amorem. *Et benedixit tibi benedictione cæli è ſupernis.* Non ſolum, inquit, adiuuit te, ſed & benedixit te *benedictione terræ, omnia continentis propter benedictionem vberum & vuluæ, benedictione patris tui, & matris tuæ. Præualuit benedictionibus montium firmorum, & deſideriis collium æternorum.* Per colles æternos gloriam & maieſtatem, & regnum Ægypti: per

montes firmos, ſublimitatem & fortitudinem deſignat, & in ſummum faſtigium principatus euectum eſſe hîc inſinuat. *Hæ enim,* inquit, *benedictiones erunt ſuper caput Ioſeph, & in vertice fratrum, quorum dux eſt.* Hæ ſcilicet, inquit, benedictiones erunt ſuper caput tuum. [27] *Beniamin lupus rapax, mane comedet, & ad veſperam diſtribuet eſcam.* Et hîc præſignat ei quod longo pòſt tempore futurum erat, & quòd graſſaturus eſſet ſicut lupus rapiens, occidens & innumera mala faciens. Quoniam autem omnibus filiis congruas benedictiones præſignauit, [28] *Et benedixit,* inquit, *ſingulis iuxta benedictionem ſuam, qua benedixerat eis:* Hoc eſt, vnicuiq; prædicebat quæ decebat, & quæ in vnaquaque tribu euentura eſſent prædixit. Poſtquam autem ordinauit ea quæ à ſpiritu ipſi præſignata fuerant, dicit eis: [29] *Ego apponor ad populum meum, & ſepelietis me cum patribus meis.* Vide quomodo per mandatum hoc maximam eis conſolationem afferat. Conſiderabant enim quòd iuſtus hoc non mandaſſet, niſi omnino ſciuiſſet reditũ ipſorũ futurum, & liberandos ſe à ſeruitute Ægypti. Poſtea quoque locum dicit: *In ſpelunca,* inquit, *quæ eſt in agro Ephrõ Chettæi.* [32] *Et vt hæc dixit, ceſſauit imperare filijs ſuis, & ſubleuauit Iacob pedes ſuos ſuper lectum, & defecit, & appoſitus eſt ad populum ſuum.* Vide mortem iu-

Iacobi mors non ſine miraculo.

ſti etiam magno miraculo plenam. Nam poſtquã imperauit pueris ſuis, ait: Subleuauit pedes in lectũ ſuum, quaſi cum voluptate rem reciperet. Ita impletis omnibus, pedes ſuſtulit: hoc eſt, planos & rectos fecit & extendit. Defecit, hoc eſt, finiuit vitam, & appoſitus eſt ad populum ſuum. [30] *Et recidit Ioſeph ſuper faciem patris ſui, & fleuit ſuper eum, & oſculatus eſt eum.* Vidiſti filij dilectionem? vidiſti ignitam charitatem? Et poſt animæ receſſum recidit Ioſeph ſuper faciem eius, & oſculatus eſt, & fleuit ſuper eo. His factis, Ioſeph quæ à patre mandata erant, exequi curauit. Et mox mandauit pollinctoribus, vt ſepelirent patrem ſuum. *Et ipſe quidem quadraginta diebus: AEgyptus autem ſeptuaginta diebus eum luxit. Et poſt-*

A εἰς αὐτὴν τὴν ἀνωτάτω κορυφὴν τῆς ἀρχῆς ἀνενεχθῆναι. αὗται φησιν, αἱ εὐλογίαι ἐπὶ τὴν κεφαλὴν ἔσονται Ἰωσήφ, καὶ ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν. αὗται, φησιν, αἱ εὐλογίαι ἐπὶ τὴν κεφαλὴν ἔσονται τὴν σήν. Βενιαμὶν λύκος ἅρπαξ. τὸ πρωϊνὸν ἔδεται, καὶ εἰς τὸ ἑσπέρας διαδώσει τροφήν. καὶ ἐνταῦθα προμηνύει αὐτῷ τὰ μετὰ μακρὸν ἐσόμενα χρόνον, καὶ ὅτι καθάπερ λύκος, οὕτως ἐπιβήσεται ἁρπάζων, ἀναιρῶν, καὶ μυρία κακὰ διατιθείς. ἐπειδὴ δὲ πᾶσι τοῖς υἱοῖς καταλλήλους τὰς εὐλογίας προεμήνυσε, καὶ εὐλόγησε, φησιν, ἕκαστον κατὰ τὴν εὐλογίαν αὐτοῦ, ἣν ηὐλόγησεν B αὐτούς· ἀντὶ τοῦ, ἅπερ ἔπρεπεν ἑκάστῳ προεμήνυσε, καὶ τὰ ἐφ' ἑκάστης φυλῆς συμβησόμενα προανεφώνησεν· ἐπειδὴ διετάξατο τὰ ὑπὸ τοῦ πνεύματος αὐτῷ προμηνυθέντα, φησὶ πρὸς αὐτούς. ἐγὼ προστίθεμαι πρὸς τὸν ἐμὸν λαόν, καὶ θάψετέ με μετὰ τῶν πατέρων μου. ὅρα πῶς διὰ τῆς ἐπισκήψεως ταύτης μεγίστην αὐτοῖς παραμυθίαν χαρίζεται. ἐνενόουν γὰρ, ὅτι οὐκ ἂν ὁ δίκαιος τοῦτο διετείλατο, εἰ μὴ πάντως ἤδει τὴν ἄνοδον αὐτῶν ἐσομένην, καὶ τῆς δουλείας τῆς ἐν Αἰγύπτῳ τὴν ἀπαλλαγήν. εἶτα καὶ τὸν τόπον λέγει· ἐν τῷ C σπηλαίῳ, φησὶν, ὅ ἐστιν ἐν τῷ ἀγρῷ Ἐφρὼν τοῦ Χετταίου. καὶ ταῦτα εἰπὼν κατέπαυσε, φησιν, ἐπιτάσσων τοῖς υἱοῖς αὐτοῦ. καὶ ἐξάρας Ἰακὼβ τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην, ἐξέλιπε, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. ὅρα καὶ τὴν τελευτὴν τοῦ δικαίου πολλοῦ θαύματος γέμουσαν. διαταξάμενος γὰρ, φησι, τοῖς παισὶν αὐτοῦ, ἐξάρας τοὺς πόδας ἐπὶ τὴν κλίνην, ὥσπερ μεθ' ἡδονῆς τὸ πρᾶγμα καταδεχόμενος, οὕτω μετὰ τὸ πάντα διατάξασθαι, τοὺς πόδας ἐξάρας, ἀντὶ τοῦ ἐφαπλώσας, ἢ τείνας ὡς ἂν εἴποι τις, ἐξέλιπε, τοῦτ' ἔστι, κατέλυσε τὴν ζωήν, D καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. καὶ ἐπιπεσὼν, φησιν, Ἰωσὴφ ἐπὶ πρόσωπον τοῦ πατρὸς αὐτοῦ, ἔκλαυσεν ἐπ' αὐτῷ, καὶ κατεφίλησεν αὐτόν. εἶδες παιδὸς φιλοστοργίαν; εἶδες πεπυρωμένην ἀγάπην; καὶ μετὰ τὴν τῆς ψυχῆς ἀναχώρησιν ἐπιπεσὼν ἐπὶ τὸ πρόσωπον, καὶ καταφιλήσας, ἔκλαυσεν ἐπ' αὐτῷ. καὶ τούτου γενομένου Ἰωσὴφ τὰ παρὰ τοῦ πατρὸς ἐνταλθέντα εἰς ἔργον λοιπὸν ἐσπούδαζεν ἀγαγεῖν. τέως δὲ προσέταξε τοῖς ἐνταφιασταῖς ἐνταφιάσαι τὸν πατέρα αὐτοῦ. καὶ αὐτὸς μὲν τεσσαράκοντα ἡμέρας τὰς τῆς ταφῆς, ἡ δὲ Αἴγυπτος ἑβδομήκοντα ἡμέρας αὐτὸν ἐπένθησε. καὶ ἐπειδὴ

τὰ νενομισμένα ἅπαντα γένηται, λοιπὸν γνωρίζει τῷ Φαραὼ καὶ τοῖς μετ' αὐτοῦ τὰ ὑπὸ τοῦ πατρὸς κελευσθέντα, καί φησιν, ὥρκωσέ με ὁ πατήρ μου, λέγων· ἐν τῷ μνημείῳ ᾧ ὤρυξα ἐμαυτῷ ἐν γῇ Χαναὰν, ἐκεῖ με θάψεις. νῦν οὖν συναναβὰς θάψω τὸν πατέρα μου, καὶ ἐπανελεύσομαι. προσῆκόν ἐστι, φησὶ, τὰ παρ' αὐτοῦ διαταχθέντα πληρωθῆναι παρ' ἐμοῦ. ποιήσας οὖν τὰ δόξαντα αὐτῷ ἐπανελεύσομαι. Ταῦτα ἀκούσας ἐπέτρεψεν ὁ Φαραώ. καὶ ἀνέβη, φησὶν, Ἰωσὴφ θάψαι τὸν πατέρα αὐτοῦ. καὶ συνανέβησαν μετ' αὐτοῦ πάντες οἱ παῖδες Φαραώ. καὶ τὴν συγγένειαν καὶ τοὺς βόας καὶ τὰ πρόβατα κατελείποντο. καὶ συνανέβησαν μετ' αὐτοῦ ἅρματα καὶ ἱππεῖς, καὶ ἐγένετο ἡ παρεμβολὴ μεγάλη σφόδρα. ὅρα διὰ τὴν εἰς τὸν Ἰωσὴφ τιμὴν, πόσην ἐπιδείκνυνται σπουδὴν οἱ Αἰγύπτιοι, καὶ συνανέρχονται τῷ Ἰωσὴφ, ὥστε γενέσθαι αὐτοὺς παρεμβολὴν μεγάλην. καὶ παραγενόμενοι ἔν τινι τόπῳ ἐκόψαντο αὐτὸν κοπετὸν μέγαν καὶ ἰσχυρὸν σφόδρα. καὶ ἐποίησε τὸ πένθος τῷ πατρὶ αὐτοῦ ἑπτὰ ἡμέρας. καὶ εἶδον οἱ κατοικοῦντες Χαναὰν, καὶ εἶπον, πένθος μέγα ἐστὶ τοῖς Αἰγυπτίοις. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, πένθος Αἰγύπτου, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου. ἀλλὰ σὺ ταῦτα ἀκούων, ἀγαπητὲ, μὴ ἁπλῶς παράτρεχε, ἀλλὰ τὸν καιρὸν ἐννόει, καθ' ὃν ἐγίνετο, πάσης αἰτίας ἀπάλλαττε τὸν Ἰωσήφ. οὐδέπω γὰρ ἦσαν τοῦ ᾅδου αἱ πύλαι συγκλασθεῖσαι, οὐδὲ τοῦ θανάτου τὰ δεσμὰ διαλυθέντα, οὐδὲ κοίμησις ὁ θάνατος λεγόμενος ἦν. διὰ τοῦτο ἐπειδὴ ἐδεδοίκεισαν τὸν θάνατον, ταῦτα ἐποίουν· νυνὶ δὲ διὰ τὴν τοῦ θεοῦ χάριν, ἐπειδὴ ὕπνος ὁ θάνατος γέγονε, καὶ κοίμησις ἡ τελευτὴ, καὶ πολλὴ τῆς ἀναστάσεως ἡ πληροφορία, ὡς ἀπὸ ζωῆς εἰς ζωὴν μεθιστάμενοι, οὕτως ἀγαλλόμεθα καὶ εὐφραινόμεθα. καὶ τί λέγω ἀπὸ ζωῆς εἰς ζωήν; ἀπὸ τῆς χείρονος ἐπὶ τὴν βελτίονα, ἀπὸ τῆς προσκαίρου ἐπὶ τὴν αἰώνιον, ἀπὸ τῆς ἐπιγείου ἐπὶ τὴν ἐπουράνιον. καὶ πληρώσας πάντα, φησὶν, Ἰωσὴφ ὑπέστρεψεν εἰς Αἴγυπτον αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ συναναβάντες μετ' αὐτοῦ. ἀλλ' ὅρα μοι λοιπὸν ἐνταῦθα τῶν ἀδελφῶν τοῦ Ἰωσὴφ τὴν δειλίαν, καὶ τὸν φόβον τὸν κατασείοντα αὐτῶν τὴν διάνοιαν. ἰδόντες γὰρ, φησιν, οἱ ἀδελφοὶ Ἰωσὴφ ὅτι τέθνηκεν ὁ πατὴρ αὐτῶν, εἶπον, μήποτε μνησικακήσῃ ἡμῖν Ἰωσὴφ, καὶ ἀνταποδῷ ἀνταπόδομα ἡμῖν, πάντα τὰ κακὰ ἃ ἐνεδειξάμεθα αὐτῷ.

A quam iuſta omnia perſoluta ſunt, ſignificauit Pharaoni, & his qui cum eo erant, quæ illi pater adhuc viuus demandarat, & dixit: [5] *adiurauit me pater meus, dicens: In ſepulchro quod fodi mihi terra Chanaan, illic me ſepelies. Nunc igitur aſcendam, & ſepeliam patrem meum, & redibo.* Æquum eſt, inquit, vt quæ ab eo præcepta, impleam. Vbi igitur ea fecero quæ iuſſerit, redibo. Hęc vt audiit, permiſit Pharao. [7] *Et aſcendit,* inquit, *Ioſeph, vt ſepeliret patrem ſuum, & ſimul aſcenderunt cum eo omnes ſerui Pharaonis. Et cognationem, & boues, & oues,* B *reliquerunt,* [9]. *& ſimul aſcenderunt cum eo currus & equites. Et facta eſt turba magna valde.* Vide quantum officiũ declarent Ægyptij in honorem Ioſeph. *Et venerunt cum Ioſeph, ita vt fieret turba magna.* [10]. *Et vt venerunt ad locum quendam, planxerunt eum planctu magno, & valde vehementi. Et fecit planctum patri ſuo ſeptem dies.* [11]. *Et viderunt habitatores Chanaan, & dixerunt: Planctus magnus eſt AEgyptijs. Propter hoc vocauit nomen loci, Planctus AEgypti, qui eſt trans Iordanem.* Verùm C tu hæc audiens dilecte, ne ſimpliciter prætercurre, ſed tempus cogita, quo facta ſunt, & ab omni culpa libera Ioſeph. Nondum enim fuerant portæ inferni confractæ, neque mortis vincula diſſoluta, neque mors dicebatur dormitio. Et idcirco quia timuerunt mortem, hæc faciebant: nunc autem propter gratiam Chriſti, quia mors facta eſt ſomnus, & conſummatio quies, & certa multáque ſunt reſurrectionis indicia, quaſi de vita in vitam transferendi, ſic exultamus & lætamur. Et D quid dico de vita in vitam? de deteriori ad meliorem, de temporali ad æternam, de terrena ad cœleſtem. *Et peractis omnibus,* inquit, [14]. *reuerſus eſt Ioſeph in AEgyptum, ipſe & fratres eius, & omnes qui cum eo aſcenderant.* Vide conſequenter fratrum Ioſeph timorem hîc, & terrorem eorum mentem ·concutientem. [15] *Vt viderunt autem fratres Ioſeph, quòd mortuus eſſet pater ſuus, dixerunt: Ne fortè memor ſit iniuriæ noſtræ Ioſeph, & retribuat retributionem nobis, & omnia mala quæ in eũ cõmiſimus.*

Cur magnus plãctus in veteri teſta.

Terror validus eorum mentem perculerat, & à conſcientia ſtimulati, neſciuerunt quid facerent: propterea dicit, Cùm vidiſſent patris mortem, veriti ne dignam de ſe pœnam ſumeret Ioſeph, ob ea quæ in illum peccauerunt, aduenientes ad eum dixerunt: [16] *Pater tuus adiurauit nos prius quam moreretur, dicens: Dicite Ioſeph, dimitte eis iniuſtitiam hanc & peccatum eorum.* Vide iterum, quomodo ipſi accuſatores ſuiipſorum ſint. Vide quanta eſt conſcientię reprehenſio. Et omnino ſcitis, quòd iniuſtitiam & peccatum operati eſtis, quòd mala ei exhibuiſtis: *Et nunc accipe iniuſtitiam ſeruorum Dei patris tui.* Vides quomodo nullo cogenti ſui peccati ſunt teſtes, & dicunt: Dixit pater tuus, dimitte eis, quia mala tibi exibuerunt, & accipe iniuſtitiam ſeruorum Dei patris tui. Sed beatus hic & totus virtutibus clarus, tantum abeſt, vt permitteret illos facere vllam memoriam eorum quæ in ſe fecerant, vt etiam verbis eorum auditis confuſus ſit. *Et fleuit*, inquit, *Ioſeph, loquentibus illis ſecum:* [18] *& venerunt, & dixerunt, Ecce nos ſerui tui.* Vide quantum valeat virtus, quàm valida & inexpugnabilis, & quanta malitiæ infirmitas. Ecce enim ille qui hæc quidem paſſus eſt, regnat: qui autem ita afflixerunt fratrem, famuli eius eſſe orant, quem in ſeruitutem expoſuerant. Verum tu audi clementiam Ioſeph in fratres, non recordantis iniuriarum, & quomodo omnibus modis eos conſolari velit, & eis perſuadere, quaſi nihil in ſe peccauerint, dicit enim: [19] *Ne timeatis, Dei enim ſum ego. Vos cogitaſtis contra me mala, Deus autem cogitauit pro me in bona, quomodo factum, ſicut hodie videtis, vt paſcatur populus multus.* Ne timeatis, inquit, neque anxij ſitis: Dei enim ſum ego, & dominum meum imitor, & beneficia rependere ſtudeo his qui non ferenda contra me fecerunt: Dei enim ſum ego. Deinde cum monſtraſſet quanta eum beneuolentia proſecutus eſſet, dicit: Vos mala mente hæc contra me fe ciſtis, Deus autem in bonum mihi omnia vertit.

Rom.8. 28. Idcirco & Paulus dicebat: Diligentibus Deum omnia cooperantur in bonum.

A μεγάλως αὐτῶν ὁ φόβος ἐτάραξε τὴν διάνοιαν, καὶ ὑπὸ τοῦ συνειδότος κεντούμενοι οὐκ εἶχον ὅ, τι πράξωσι. διὰ τοῦτο, φησι, θεασάμενοι τοῦ πατρὸς τὴν τελευτὴν, καὶ ὑποπτευόμενοι, μὴ τὴν ἀξίαν αὐτοὺς εἰσπράξηται δίκην ὁ Ἰωσὴφ ὑπὲρ τῶν εἰς αὐτὸν εἰργασμένων, παραγινόμενοι, φησι, πρὸς αὐτὸν εἶπον· ὁ πατήρ σου ὥρκωσε πρὸ τοῦ τελευτῆσαι αὐτὸν, λέγων· εἴπατε Ἰωσὴφ, ἄφες αὐτοῖς τὴν ἀδικίαν καὶ τὴν ἁμαρτίαν αὐτῶν. ὅρα πάλιν, πῶς αὐτοὶ ἑαυτῶν κατήγοροι γίνονται. βλέπε ὅσον ἐστὶν ὁ τοῦ συνειδότος ἔλεγχος. ὅλως ἴστε, ὅτι ἀδικίαν καὶ ἁμαρτίαν B εἰργάσασθε, ὅτι πονηρὰ ἐνεδείξασθε. καὶ νῦν δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων τοῦ θεοῦ τοῦ πατρός σου. εἶδες πῶς, οὐδενὸς ἀναγκάζοντος, αὐτοὶ ἑαυτῶν κατήγοροι γίνονται, καί φησιν· εἶπεν ὁ πατήρ σου, ἄφες αὐτοῖς, ὅτι πονηρά σοι ἐνεδείξαντο, καὶ δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων τοῦ θεοῦ τοῦ πατρός σου. ἀλλ' ὁ θαυμαστὸς οὗτος καὶ πανάρετος τοσοῦτον ἀπεῖχε τοῦ μνήμην τινὰ ποιήσασθαι τῶν εἰς αὐτὸν εἰργασμένων, ὅτι καὶ πρὸς τὰ ῥήματα αὐτῶν συνεχύθη. καὶ ἔκλαυσε, φησιν, Ἰωσὴφ λαλούντων αὐτῶν πρὸς αὐτόν. C καὶ ἐλθόντες εἶπον, ἰδὲ, ἡμεῖς σοι οἰκέται. ὅρα πόσον ἐστὶν ἀρετὴ, πῶς ἰσχυρὸν καὶ ἄμαχον, καὶ ὅση τῆς κακίας ἡ ἀσθένεια. ἰδοὺ γὰρ, ὁ μὲν τοσαῦτα πεπονθὼς βασιλεύει, οἱ δὲ ταῦτα διαθέντες τὸν ἀδελφὸν, οἰκέται εἶναι παρακαλοῦσι τοῦ παρ' αὐτῶν εἰς δουλείαν ἐκδοθέντος. ἀλλ' ἄκουε τοῦ Ἰωσὴφ τὴν περὶ τοὺς ἀδελφοὺς ἀνεξικακίαν, καὶ ὅπως διὰ πάντων αὐτοὺς παραμυθήσασθαι βούλεται, καὶ πεῖσαι, ὡς οὐδὲν εἰς αὐτὸν ἡμαρτήκασι. καί φησι, μὴ φοβεῖσθε. τοῦ γὰρ θεοῦ εἰμι ἐγώ. ὑμεῖς ἐβουλεύσασθε κατ' ἐμοῦ πονηρά· ὁ δὲ θεὸς ἐβουλεύσατο περὶ ἐμοῦ εἰς ἀγαθὰ, ὅπως ἂν γενηθῇ ὡς σήμερον, ἵνα διατραφῇ λαὸς πολύς. D μὴ δειλιάσητε, φησι, μηδὲ ἐναγώνιοι γίνεσθε. τοῦ θεοῦ γάρ εἰμι ἐγὼ, καὶ τὸν δεσπότην τὸν ἐμὸν μιμοῦμαι, καὶ εὐεργεσίαις ἀμείβεσθαι σπουδάζω τοὺς τὰ ἀνήκεστά με διαθέντας. τοῦ γὰρ θεοῦ εἰμι ἐγώ. εἶτα δεικνὺς ὅσης ἀπολαύει παρὰ τοῦ θεοῦ εὐνοίας, φησὶν, ὑμεῖς πονηρᾷ γνώμῃ τὰ κατ' ἐμὲ εἰργάσασθε, ὁ δὲ θεὸς εἰς ἀγαθά μοι πάντα περιέστησε. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε, τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν.

A πάντα φησί. τί ἐστι πάντα; καὶ τὰ ἐναντία, καὶ τὰ λυπεῖν δοκοῦντα, καὶ ταῦτα εἰς ἀγαθὸν μεθίστησιν. ὃ δὴ καὶ ἐπὶ τοῦ θαυμασίου τούτου γεγένηται. τὰ γὰρ παρὰ τῶν ἀδελφῶν γεγενημένα, ταῦτα μάλιστα αὐτῷ τὴν βασιλείαν προεξένησε, τῆς εὐμηχάνου τοῦ θεοῦ σοφίας πάντα τὰ πονηρὰ εἰς ἀγαθὰ μεταβαλλούσης. ἵνα διατραφῇ, φησι, λαὸς πολύς. οὐ μόνον ὑμῶν ἕνεκεν ταῦτα εἰς ἀγαθὸν μετέβαλεν, ἀλλ' ἵνα καὶ πᾶς οὗτος ὁ λαὸς διατραφῆναι δυνηθῇ. καὶ εἶπεν αὐτοῖς, μὴ φοβεῖσθε. ἐγὼ διαθρέψω ὑμᾶς, καὶ τὰς οἰκίας ὑμῶν. καὶ παρεκάλεσεν αὐτούς, καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρδίαν. τί τοίνυν δεδοίκατε; ἐγὼ ὑμῖν χορηγήσω τὰ πρὸς τροφὴν καὶ πᾶσι τοῖς B μεθ' ὑμῶν. καὶ παρεκάλεσεν αὐτούς, καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρδίαν. οὐχ ἁπλῶς αὐτοὺς παρεκάλεσεν, ἀλλὰ τοσαύτῃ ἐχρήσατο τῇ σπουδῇ, ὥστε πᾶσαν αὐτῶν τὴν ἀθυμίαν ἐξελεῖν. καὶ κατῴκησεν Ἰωσὴφ ἐν Αἰγύπτῳ, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἡ πανοικία τοῦ πατρὸς αὐτοῦ. καὶ εἶδεν Ἰωσὴφ παιδία Ἐφραὶμ ἕως τρίτης γενεᾶς. καὶ εἶπεν Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ λέγων, ἐγὼ ἀποθνήσκω. ἐπισκοπῇ δὲ ἐπισκέψεται ὑμᾶς ὁ θεός, καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν. ὅρα καὶ τοῦτον ὁμοίως τῷ πατρὶ ἐπισκήπτοντα τοῦ μετακομισθῆναι αὐτοῦ τὰ ὀστᾶ. C καὶ ὅρα πῶς πάλιν βουλόμενος ἀναῤῥῶσαι αὐτῶν τὸν λογισμόν, καὶ χρηστὰς ἐλπίδας ἔχειν περὶ τῆς ἐπανόδου, πρότερον τοῦτο προεμήνυσεν, ὅτι ἐπανελεύσονται, καὶ τότε φησί, συνανοίσετε. ἀνιόντες, φησίν, ὑμεῖς συνανοίσετε τὰ ὀστᾶ μου. τοῦτο δὲ ἐποίει οὐχ ἁπλῶς οὐδὲ μάτην, ἀλλὰ δύο ταῦτα οἰκονομῶν· ἓν μέν, ἵνα μὴ οἱ Αἰγύπτιοι μεμνημένοι τῶν τοσούτων αὐτοῦ εὐεργεσιῶν, καὶ εὐκόλως ἐξ ἀνθρώπων θεοὺς προσαγορεύοντες, ὑπόθεσιν ἀσεβείας ἔχωσι τοῦ δικαίου τὸ σῶμα· ἕτερον δέ, ἵνα ὦσι πεπληροφορημένοι, ὅτι πάντως ἐπανήξουσιν. D Εἰ γὰρ μὴ τοῦτο ἦν ὡμολογημένον, οὐκ ἂν οὕτω διεστείλατο, ὥστε μετ' αὐτῶν ἀναγαγεῖν τὰ ὀστᾶ. καὶ ἦν ἰδεῖν λοιπὸν πρᾶγμα καινὸν καὶ παράδοξον, τὸν ἐπὶ τῆς Αἰγύπτου πάντα τὸν Ἰσραὴλ διατρέφοντα, τοῦτον καὶ τῆς ἐπανόδου ἡγούμενον, καὶ εἰς τὴν γῆν τῆς ἐπαγγελίας αὐτοὺς εἰσάγοντα. καὶ ἐτελεύτησε, φησιν, Ἰωσὴφ ἐτῶν ἑκατὸν δέκα. τίνος ἕνεκεν καὶ τούτου τὰ ἔτη ἡμῖν ἐσήμανεν; ἵνα μάθῃς ὅσων ἐτῶν τῆς Αἰγύπτου τὴν ἡγεμονίαν ἐνεχειρίσθη. ἑπτακαίδεκα ἐτῶν γενόμενος κατέβη εἰς τὴν Αἴγυπτον· καὶ τριάκοντα ἐτῶν γεγονὼς ὤφθη τῷ Φαραώ,

Omnia, inquit. quid eſt omnia? & aduerſa, & quę contriſtare vidētur, etiam iſta in bonum mutat. Hoc vtique & in hoc iuſto factum eſt. Nā quæ à fratribus facta ſunt, ea maximè regnum ei conciliarunt propter Dei ſapientiam, quæ omnia mala in bonum commutat. *Vt paſcatur*, inquit, *populus multus*. Non ſolùm veſtra cauſa hæc in bonum vertit, ſed vt & omnis ille populus paſci poſſit. *Et dixit eis: Ne timeatis: ego paſcam vos, & domus veſtras. Et conſolatus eſt eos, & locutus eſt in cor eorum.* Quid igitur, inquit, timetis? ego ſuppeditabo alimēta vobis, & omnibus qui vobiſcum ſunt. Et conſolatus eſt eos, & locutus eſt in cor eorum. Non ſimpliciter eos conſolatus eſt, ſed tanto vſus eſt officio, vt eis omnem triſtitiam è corde eximeret. [22] *Et habitauit Ioſeph in Ægypto, ipſe & fratres eius: et vidit Ioſeph filios Ephraim vſque in tertiam generationem. Et locutus eſt Ioſeph fratribus ſuis, dicens: Ecce morior. Viſitatione autem viſitabit vos Dominus, & ſimul deportabitis oſſa mea hinc,* Vide quomodo & ille, eadem quæ pater, curat: volens vt ſimul auferrentur inde ipſius oſſa, quò magis eorum confirmaretur mens, & bonam ſpem haberent de reditu ſuo. Prius hoc deſignat quòd redituri eſſent, & tunc dicit: Simul feretis oſſa mea hinc vobiſcum. Hoc autem non temere neque fruſtra faciebat: duo enim agebat. Vnum, ne Ægyptii memores beneficiorum eius, cùm pro more ſuo facile ex hominibus Deos appellent, corpus iuſti haberent in impietatis occaſionem. Alterum, vt ſecuri & certi omnino eſſent ſe redituros. Nā niſi hoc certū fuiſſet, non iuſſiſſet vt ſecum reportarent oſſa. Et videre licebat rē nouam & admirabilē, eum qui omnem Iſraël in Ægypto paſcebat, illum & ducē reditus, & in terrā promiſſionis ipſos introducentē. [26] *Et mortu⁹ eſt Ioſeph, annos habēs centū & decem.* Quare nobis & illius annos ſignificauit? Vt diſcas quot annis Ægypti principatū tenuerit. Septē & decē annorū erat, cū veniret in Ægyptū: & triginta annorū factus cōparuit corā Pharaone,

Ioſeph præuidet redituros Iudæos.

& diiudicauit inſomnia. Deinde octoginta annis præfuit toti terræ Ægypti. Vidiſti quomodo maiora ſint præmia quàm labores, retributionéſque multipliciores? Tredecim annis certauit in tentationibus, ferens ſeruitutem, & calumniam illiam iniquam, & afflictionem in carcere. Et generoſè & cum gratiarum actione tulit omnia, propterea larga præmia accepit etiam in hac vita. Conſidera enim, quòd pro breui illo tempore, quo ſeruitutem & carcerem ſuſtinuit, octoginta annis regnum adminiſtrauerit. Et quòd fide omnia diſpoſuerit, & propter hoc etiam de tranſuectione oſſium mandarit, audi Paulum dicentem? Fide Ioſeph moriens, de egreſſione filiorum Iſraël meminit. Et non fuit his contentus, ſed vt diſcas cauſam propter quam iniunxerit oſſium tranſuectionem, dicit, & de oſſibus ſuis mandauit. Fortè pluribus hæc dicta ſunt, ſed ignoſcite. Nam quoniam ad finem libri peruenimus, voluimus cum eius fine hunc quoque ſermonem hodie finire, & ſolitam exhortationem adiicere. Omnes igitur mala ſollicitudine, curáque ſingulari operam demus, vt memores ſimus dictorum, & imitemur iuſtorum illorum virtutem, & iniuriæ obliuionem erga eos qui nos iniuria affecerunt, clementiámque in eos qui nos calumniantur ſeruemus. Hinc enim & iuſtus ille tantam ſibi Dei gratiam conciliauit. Si ergo volumus nos quoque cœleſte auxilium obtinere, ſummam virtutis habeamus rationem. Sic enim & ſpiritus gratia nobis concedetur, & præſentem vitam magna iucunditate tranſigemus, & futura bona conſequemur. Quæ nobis omnibus concedat dominus noſter Ieſus Chriſtus, cui cum patre ſimul & Spiritu ſancto ſit gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Heb. 11. 22.

Concluſio cum morali exhortatione.

A καὶ διέκρινε τὰ ἐνύπνια. ὀγδοήκοντα δὲ λοιπὸν ἔτεσι κατέσχε πάσης τὴν τῆς Αἰγύπτου ἀρχήν. εἶδες πῶς μείζους τῶν πόνων αἱ ἀμοιβαί, καὶ πολυπλασίους αἱ ἀντιδόσεις. ἐν δέκα καὶ τρισὶν ἔτεσιν ἐπάλαισε τοῖς πειρασμοῖς, τὴν δουλείαν ὑπομένων, τὴν κατηγορίαν ἐκείνην τὴν παράνομον, τὴν ἐν τῷ δεσμωτηρίῳ κακουχίαν. καὶ ἐπειδὴ γενναίως μετ᾽ εὐχαριστίας ἅπαντα ἤνεγκε, διὰ τοῦτο καὶ δαψιλεῖς ἐκομίσατο τὰς ἀμοιβὰς καὶ ἐπὶ τοῦ παρόντος βίου. ἐννόησον γάρ μοι, ὅτι ὑπὲρ τοῦ βραχέος ἐκείνου χρόνου, ὃν τὴν δουλείαν καὶ τὸ δεσμωτήριον ὑπέμεινεν, ἐν ὀγδοήκοντα ἔτεσι τὴν βασιλείαν διέπε.
B καὶ ὅτι πίστει πάντα διέπραττε, καὶ διὰ τοῦτο καὶ περὶ τῆς τῶν ὀστῶν μετακομιδῆς ἐνετείλατο, ἄκουε τοῦ Παύλου λέγοντος· πίστει Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε. καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλ᾽ ἵνα μάθῃς τὴν αἰτίαν, δι᾽ ἣν ἐπέσκηψε τῶν ὀστῶν τὴν κομιδὴν γενέσθαι, φησί, καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο. τάχα πλείονα τὰ εἰρημένα, ἀλλὰ συγγνῶτε. πρὸς γὰρ τὸ τέλος τοῦ βιβλίου φθάσαντες ἐβουλήθημεν ἅπαν σήμερον τελέσαντες τὸ βιβλίον, οὕτω καταπαῦσαι τὸν λόγον, καὶ τὴν συνήθη παράκλησιν ὑμῖν προσαγα-
C γεῖν, ὥστε μεμνῆσθαι τῶν εἰρημένων, καὶ ζηλοῦν τῶν δικαίων τούτων τὴν ἀρετήν, τὴν περὶ τοὺς ἀδικοῦντας ἀνεξικακίαν, τὴν περὶ τοὺς ἐπηρεάζοντας μακροθυμίαν, τὴν σωφροσύνην τὴν ὑπερβάλλουσαν. ἐντεῦθεν γὰρ καὶ ὁ δίκαιος οὗτος τοσαύτην ἐπεσπάσατο παρὰ τοῦ θεοῦ τὴν εὔνοιαν. εἰ τοίνυν βουλόμεθα καὶ ἡμεῖς τὴν ἄνωθεν ἐπισπάσασθαι ῥοπήν, πολλὴν τῆς ἀρετῆς ποιώμεθα λόγον. οὕτω γὰρ καὶ τοῦ πνεύματος ἐπισπασόμεθα τὴν χάριν, καὶ τὸν παρόντα βίον ἀλύπως διανύσομεν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρω-
D πίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου εἰς διαφόρους τῆς ἁγίας γραφῆς περικοπὰς λόγοι γνήσιοι.

Λόγος α. λεχθεὶς ἐν ἀρχῇ τῆς τεσσαρακοστῆς εἰς τὸ, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ περὶ νηστείας καὶ ἐλεημοσύνης.

Ἡδὺ μὲν ναύταις τὸ ἔαρ, ἡδὺ καὶ γεωπόνοις· ἀλλ' οὔτε ναύταις, οὔτε γεωπόνοις οὕτως ἡδὺ τὸ ἔαρ, ὡς τοῖς βουλομένοις φιλοσοφεῖν ἡδὺς ὁ τῆς νηστείας καιρὸς, τὸ πνευματικὸν τῶν ψυχῶν ἔαρ, ἡ ἀληθὴς τῶν λογισμῶν γαλήνη. γεωπόνοις μὲν γὰρ ἡδὺ τὸ ἔαρ, ὅτι τοῖς ἄνθεσι τότε στεφανουμένην ὁρῶσι τὴν γῆν, καὶ καθάπερ ἱμάτιον ποικίλον ἐφαπλούμενον αὐτῇ πάντοθεν, τὴν βλάστησιν τὴν ἀπὸ τῶν βοτανῶν· ναύταις δὲ ἡδὺ τὸ ἔαρ, ὅτι τὰ θαλάττια νῶτα μετ' ἀσφαλείας ἔξεστι πλεῖν, κυμάτων ἐστορεσμένων, δελφίνων ἐν πολλῇ παιζόντων γαλήνῃ καὶ περὶ αὐτοὺς τῆς νηὸς τοὺς τοίχους κυβιστώντων πολλάκις. ἡμῖν δὲ ἡδὺ τὸ τῆς νηστείας ἔαρ, ὅτι κύματα ἡμῖν, οὐχ ὑδάτων, ἀλλ' ἐπιθυμιῶν ἀλόγων καταστέλλειν εἴωθε, καὶ στέφανον ἡμῖν οὐ τὸν ἀπὸ τῶν ἀνθέων, ἀλλὰ τὸν ἀπὸ τῶν χαρίτων περιτίθησι τῶν πνευματικῶν. στέφανον γὰρ χαρίτων, φησὶ, δέξῃ σῇ κορυφῇ. οὐχ οὕτω χελιδὼν φανεῖσα τὸν χειμῶνα ἀπελαύνειν εἴωθεν, ὡς νηστεία φανεῖσα τὸν χειμῶνα τῶν παθῶν τῆς διανοίας ἐκβάλλει τῆς ἡμετέρας. οὐκέτι μάχη τῇ ψυχῇ πρὸς τὴν σάρκα, οὐδὲ κατεξανίσταται τῆς κυρίας ἡ δούλη, ἀλλὰ πᾶς ὁ περὶ τοῦ σώματος ὁ πόλεμος λέλυται.

SANCTI PATRIS NOSTRI

IOANNIS CHRYSOSTOMI ARCHIEPISCOPI CONſtantinopolitani in diuerſos ſcripturæ locos ſermones genuini.

B

SERMO I. HABITVS IN principio Quadrageſimæ in illud In principio creauit Deus cælum, & terram, & de ieiunio & eleemoſyna.

INCERTO INTERPRETE.

IVCVNDVM quidem nautis eſt ver; iucundum quoque agricolis: ſed neque nautis, neque agricolis ita iucundum eſt veris tempus, vt his qui philoſophari volunt iucundi ſunt ieiuniorum dies, ſpiritale animarum ver, & fidiſſima tranquillitas animorum. Nam agricolis ver idcirco iucundum eſt, quia delectat aſpicere tunc depictam floribus terram, & variis frondibus virgulta comantia: nautis verò acceptum eſt ver, quòd dorſum maris deductis nauibus tutò licebit aſcendere, nec in tanta maris tranquillitate delphinis ad latera nauis exultantibus vndarum pericula formidare. Nobis autem iucundum eſt ieiuniorum ver, quòd tunc non vndarum, ſed cogitationum, & concupiſcentiarum carnis fluctus ac turbines mitigantur, & coronæ nobis non florum, ſed ſpiritualium gratiarum parantur. Sic enim ſcriptum eſt: Coronam, inquit, gratiarum accipies tuo capiti. Pro.1.9. Non ita ergo apparens ſuis hirundo vernaculis fugatam hyemem nunciat, vt ieiuniorum dies fugari ex viſceribus noſtris vitia carnis & cupiditatis oſtendunt. Ceſſat pugna carnis aduerſus animam, & animæ aduerſus carnem, nec vltrà inſurgit ancilla in dominam, nec ſerua ſuperbit in liberam: ſed vniuerſa hæc prælia ieiuniorum præſentia conquieſcunt.

Quia igitur nobis quietũ & tranquillitatis plenũ tempus aduenit, etiã nos deducamus in mare, doctrinę nauigiũ, & dicendi vela ſoluamus: ſi tamen trãquillus & tutus eſt aurium veſtrarum portus, in quo vehi Dei nauis abſque metu naufragij collocetur. Altũ enim nobis pelagus incedendum eſt, volentibus de cœli ac terræ & maris corporibus philoſophari. Hæc enim nobis hodie lectio recitata eſt. Sed quid ad nos, inquies, creaturarum pertinet ratio? Et valde quidem, chariſſime: ſi enim ex magnitudine & decore creaturarũ per proportionem earũ cõditor agnoſcitur: quantò magis ad earum intelligentiam fuerimus intenti, tantò magis via nobis pateſcit ad intuitum conditoris. Magnum, crede mihi, bonũ ſcire eſt quid ſit creatura, & quid creator, & quæ ſunt opera, quis verò opifex. Si enim hoc diligenter ſcirent diſcernere hæretici, nũquam vtiq; omnia confunderent, & quæ ſurſum ſunt facerẽt deorſum. Non dico quòd cœlũ, & ſtellas deorſum, terram autem ſurſum ducerent: ſed quòd regem ab excelſis ſedibus deducentes, cum creaturis & operibus collocauerint: creaturam verò diuinis honoribus affecerint. Si de creaturis ſciſſent philoſophari Manichæi, nunquam materiam corruptibilem & mutabilem, quæ cùm non eſſet effecta, eſſe ingenitam, Deóque dicerent coęternam. Si de creaturis ſciſſent rectè philoſophari Gentiles, nunquã coluiſſent, & ſeruiſſent creaturę potius, quã creatori. Pulchrũ vides cœlũ, ſed propterea, vt illud aſpiciens, adores conditorem eius: pulchrum ſolẽ, ſed vt illum intuens, factorem ipſius venereris. Si enim creaturarũ pulchritudine detentus inhæreas, nec ex earum ſpecie magnitudinem conſideres creatoris, conuerſum eſt tibi lumen in tenebras: Vides quantum boni ſit ſcire creaturarum rationem? Non igitur negligamus hæc lucra, ſed attentius intẽdamus his quę lecta ſunt, quia non ſolùm cœli, & terræ, ac maris, ſed & noſtræ, id eſt, hominum originis ratio nobis ex his quæ legũtur, exponitur: & vnde mors, vnde & labor mortalium vitæ, vnde curæ, vnde triſtitiæ ſubierint, declaratur. Pro his enim omnibus velut ſatisfactionem quandam ſcriptam, librum hunc Deus miſit ad homines.

Quid ad nos de creaturis narratio. Sap. 13. 5

Manichæorũ errores arguit.

Rom. 1. 25.

A ἐπεὶ οὖν πολλὴ παρ' ἡμῖν εἰρήνη, πολλὴ δὲ καὶ ἡ γαλήνη, φέρε, καὶ ἡμεῖς τὸ σκάφος τῆς διδασκαλίας ἑλκύσωμεν, ἀπὸ λιμένος εἰς λιμένα παραπέμποντες τὴν ὑμετέρων ἀκοῶν τὴν ἡμερότητα· φέρε, λεπτοτέρων κατατολμήσωμεν νοημάτων, περὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάττης καὶ τῶν λοιπῶν τῆς κτίσεως φιλοσοφοῦντες σωμάτων· ταῦτα γὰρ ἡμῖν ἀνεγνώσθη σήμερον. καὶ τί πρὸς ἡμᾶς, φησιν, ὁ περὶ κτίσεως λόγος; πρὸς ἡμᾶς μὲν οὖν, ἀγαπητοί. εἰ γὰρ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως, ὁ γενεσιουργὸς θεωρεῖται, ὅσῳπερ ἂν τῷ μεγέθει τῆς καλλονῆς τῶν κτισμάτων B ἐνδιατρίψωμεν, τοσοῦτον πρὸς τὸν γενεσιουργὸν χειραγωγούμεθα. μέγα ἀγαθὸν εἰδέναι, τί μέν ἐστι κτίσμα, τί δὲ κτιστής· τί μὲν ἔργον, τί δὲ ποιητής. εἰ γὰρ ταῦτα ᾔδεσαν ἀκριβῶς διαιρεῖν οἱ τῆς ἀληθείας ἐχθροί, οὐκ ἂν πάντα συνέχεον, τὰ ἄνω κάτω ποιοῦντες· οὐχ ὅτι τὰ ἄστρα καὶ τὸν οὐρανὸν καθείλκυσαν κάτω, τὴν δὲ γῆν ἀνείλκυσαν ἄνω· ἀλλ' ὅτι τὸν τῶν οὐρανῶν βασιλέα ἀπὸ τῶν θρόνων καταβιβάσαντες τῶν βασιλικῶν, μετὰ τῆς κτίσεως ἔστησαν, τὴν δὲ κτίσιν τοῖς τῆς θεότητος προεδρίοις ἐτίμησαν. εἰ C περὶ κτίσεως ᾔδεσαν φιλοσοφεῖν Μανιχαῖοι καλῶς, οὐκ ἂν τὴν ὕλην, τὴν ἐξ οὐκ ὄντων, τὴν φθειρομένην, τὴν ῥέουσαν, τὴν ἀλλοιουμένην τοῖς τῆς ἀγεννησίας πρεσβείοις ἐτίμησαν. εἰ περὶ κτίσεως ᾔδεσαν Ἕλληνες φιλοσοφεῖν καλῶς, οὐκ ἂν ἀπεπλανήθησαν τῆς ἀληθείας, οὐκ ἂν ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. καλὸς ὁ οὐρανός, ἀλλ' ἵνα προσκυνήσῃς τὸν ποιήσαντα· φαιδρὸς ὁ ἥλιος, ἀλλ' ἵνα θεραπεύσῃς τὸν ἐργασάμενον. εἰ δὲ μέλλεις ἐναπομένειν τῷ τῆς κτίσεως θαύματι, καὶ D τῷ κάλλει τῶν ἔργων παρακαθῆσθαι, τὸ φῶς σοι γέγονε σκότος, μᾶλλον δὲ τὸ φῶς πρὸς σκότος ἐτράπη. εἶδες ὅσον ἀγαθόν ἐστι, τὸ εἰδέναι τοὺς περὶ κτίσεως λόγους; μὴ τοίνυν παραδράμῃς τὸ κέρδος, ἀλλὰ μετ' ἀκριβείας πρόσεχε τοῖς λεγομένοις. οὐ γὰρ δὴ περὶ οὐρανοῦ μόνον ἐρρέθη καὶ γῆς καὶ θαλάττης, ἀλλὰ καὶ περὶ τῆς γενέσεως τῆς ἡμετέρας, καὶ πόθεν ὁ θάνατος, καὶ πόθεν ἡ ἐπίμοχθος ζωή, καὶ πόθεν αἱ ἀθυμίαι καὶ φροντίδες. καὶ γὰρ ὑπὲρ τούτων καὶ ὑπὲρ πλειόνων ἑτέρων ἀπολογίαν συνθεὶς ὁ θεός, τὸ βιβλίον τοῦτο πρὸς ἡμᾶς ἔπεμψεν.

A Οὐδὲ γὰρ ἀπολογεῖσθαι παραιτεῖται τοῖς ἀνθρώποις ὁ θεός, ἀλλὰ βοᾷ διὰ τοῦ προφήτου λέγων· δεῦτε, καὶ διαλεχθῶμεν, λέγει κύριος. Οὐκ ἀπολογεῖται δὲ μόνον καὶ δικάζεται, ἀλλὰ καί, ὅπως διαφύγωμεν τὴν καταδίκην, διδάσκει. οὐ γὰρ ἁπλῶς εἶπε, δεῦτε, καὶ διαλεχθῶμεν· ἀλλὰ πρότερον διδάξας, τί μὲν εἰπεῖν, τί δὲ ποιῆσαι χρή, οὕτω πρὸς τὸ δικαστήριον εἵλκυσεν. ἄκουσον οὖν ἄνωθεν τοῦ προφητικοῦ ῥήματος. λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν. B κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν· καὶ τότε φησί, δεῦτε, καὶ διαλεχθῶμεν, λέγει κύριος. οὐ βούλομαι ὑμᾶς γυμνούς, φησι, καὶ ἐρήμους τῶν δικαιωμάτων λαβεῖν, ἀλλὰ καθοπλίσας ὑμᾶς ταῖς ἀπολογίαις, οὕτως ἐπὶ τὰς εὐθύνας καλῶ. καὶ γὰρ δικάζεσθαι βούλομαι πρὸς ὑμᾶς, οὐχ ἵνα κατακρίνω, ἀλλ' ἵνα φείσωμαι. οὕτω καὶ ἀλλαχοῦ φησι, λέγε σὺ πρῶτον τὰς ἀνομίας σου, ἵνα δικαιωθῇς. ἔχεις κατήγορον πικρὸν καὶ ἀνήμερον. προλαβὼν ἅρπασον ἐκείνου τὴν τάξιν, ἔμφραξον τὸ ἀναίσχυντον στόμα. C παρὰ μὲν οὖν τὴν ἀρχὴν δι' ἑαυτοῦ τοῖς ἀνθρώποις ὁ θεὸς ὡμίλει, ὡς ἀνθρώποις ἀκοῦσαι δυνατόν. οὕτω πρὸς τὸν Ἀδὰμ ἦλθεν· οὕτως ἐπετίμησε τῷ Κάϊν· οὕτω διελέχθη τῷ Νῶε· οὕτως ἐπεξενώθη τῷ Ἀβραάμ. ἐπειδὴ δὲ πρὸς κακίαν ἡ φύσις ἡμῶν ἀπέκλινε, καὶ καθάπερ εἰς ἀποδημίαν τινὰ μακρὰν ἑαυτὴν διέστησε, τηνικαῦτα λοιπόν, καθάπερ ἐν μακρᾷ καθεστῶσιν ἀποδημίᾳ, γράμματα πέμπει ὥσπερ διά τινος ἐπιστολῆς τὴν παλαιὰν πρὸς ἡμᾶς ἀνανεούμενος φιλίαν. καὶ τὰ μὲν γράμματα ταῦτα ἔπεμψεν ὁ θεός, ἐκόμισε δὲ ὁ Μωυσῆς. D τί οὖν λέγει τὰ γράμματα; ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τίνος ἕνεκεν οὐ περὶ τῶν ἀγγέλων ἡμῖν διαλέγεται, οὐ περὶ τῶν ἀρχαγγέλων; εἰ γὰρ ἀπὸ τῶν κτισμάτων ὁ δημιουργὸς θεωρεῖται, πολλῷ μᾶλλον ἀπ' ἐκείνων φαίνεται. καλὸς ὁ οὐρανός, ἀλλ' οὐχ οὕτω καλός, ὡς ἄγγελος· φαιδρὸς ὁ ἥλιος, ἀλλ' οὐχ οὕτω φαιδρός, ὡς ὁ ἀρχάγγελος. τίνος οὖν ἕνεκεν τὴν ὑψηλοτέραν ἀφεὶς ὁδόν,

Neque enim ſatisfacere dedignatur hominibus, qui per prophetam dicit: Venite & diſputemus, dicit Dominus. Et non ſolùm diſputare cum hominibus, & ſatisfacere nobis vult, ſed quomodo culpam fugiamus oſtendit. Ante enim quàm diceret, venite & diſputemus: docuit quid loqui vel agere oporteat, & ita venire ad iudicium. Audi denique quæ in ſuperioribus propheta præmiſerit: Lauamini, inquit, mundi eſtote, auferte nequitias ab animis veſtris: diſcite bonum facere, iudicate pupillo, & iuſtificate viduam: & tunc addit, Venite & diſputemus, dicit Dominus: non enim nos ad diſputandum, hoc eſt, ad iudicium, vbi de cauſa noſtra tractandum & diſputandum eſt, vult nudos & inanes venire, ſed habere aliqua documenta iuſtitiæ. Si enim faciamus ea quæ ſuperius præcepit, tunc ad diſputandum de cauſa noſtra, & de actibus noſtris, audacter & fiducialiter veniemus. Denique & aliàs dicit: Dic tu prior iniquitates tuas, vt iuſtificeris. (Eſa. 43. 26.) Habes enim accuſatorem acerbiſſimum & immitem: præueni eum, & obtura os eius impudentiſſimum & propria ſponte confitendo delicta. Sed intuere paululum magnificentiã Dei: ex initio per ſemetipſum loquebatur hominibus Deus, ſecundum quod audire eis poſſibile erat. Sic denique cum Adam locutus refertur, ſic increpaſſe Cain, ſic cum Noë ſermocinatus, ſic apud Abraham hoſpitio ſuſceptus, & conuiuij confabulatione vſus. Verùm vbi humanum genus procliuius in malitiam declinauit, & à parente, & à conditore ſuo, quaſi longa quadam peregrinatione diſceſſit: confabulatione ceſſante, litteris ad eos tanquam longè à ſe poſitos, & epiſtolis vtitur, quibus eos veteris cuiuſdam amicitiæ & familiaritatis admoneat. Primam quidem epiſtolam ad homines per Moſem direxit Deus. Quid ergo hęc epiſtola contineat, videamus. In principio, inquit, fecit Deꝰ cœlum & terram. Requiris forſitã, cur non prius de angelis nobis, vel archangelis indicat. Si enim ex frequentia & magnitudine creaturarum conditor intelligatur, multo magis ex virtutum cœleſtium conditione poteſt agnoſci. Pulchrum eſt cœlum, ſed non ita vt angelus. Splendidius eſt ſol, ſed non ita vt archãgelus. Et ideo excelſam illã & arduã viam relinquẽs,

Cur per literas agat Deus cũ homine.

per hãc planiorem & humiliorem nos ad rerum ſcientiam ducit. Conſidera enim qui erant, quibus hæc recitabatur epiſtola: nónne illis qui educeban- ex Ægypto, vbi Dei cultum in crocodilis haberi, & canibus ac ſimiis viderant? Non ergo conſequens videbatur, eos tunc per excelſiorem viam ad agnitionem conditoris adducere: & ideo iſta planiore & faciliore vtitur, cœlum eis terrámque oſtendit, & mare, atque omnem viſibilem creaturam. Denique vbi paululum iam ex ea inſtitutione profecerant, audi quomodo eis aliam epiſtolam per prophetam mittit, in qua de ſupernis virtutibus docet, & dicit: Laudate dominum de cœlis, laudate eum in excelſis.

Pſ. 148.1

Laudate eum omnes angeli eius, laudate eum omnes virtutes eius: quia ipſe dixit, & facta ſunt: ipſe mandauit, & creata ſunt. Et quid mirum, ſi in veteri teſtamento hic doctrinæ modus reperitur, cum etiam in nouo, quando ſublimiorum documentorum tempus erat, Athenienſes alloquens Paulus hanc viam tenuerit, quam Iudæos erudiens Moyſes tenuit? non enim de angelis & archangelis eis loquutus eſt, ſed de cœlo & terra & mari ſic concionatus: Deus cùm feciſſet mundum, & omnia quæ in eo ſunt, cœli ac terræ cum ſit dominus, non in manufactis templis habitat,

Act. 17. 24.

At cum Phillippenſes alloquebatur, non hac illos via duxit, ſed ad ſublimiorem eos concionem prouehit ita dicens: Quoniam in ipſo condita ſunt vniuerſa, quæ in cœlis, & quæ in terra, ſiue throni, ſiue dominationes, ſiue principatus, ſiue poteſtates: omnia per ipſum, & in ipſo creata ſunt,

Coloſſ. 1 16.

Sed & Ioannes tanquam & ipſe ſcripta perfectioribus deferens, non ſolùm cœli & terræ creaturam aſcribit vnigenito filio Dei, ſed dicit, quia omnia per ipſum facta ſunt, & ſine ipſo factum eſt nihil, id eſt, tam ea quæ videntur, quàm illa quæ non videntur.

Ioã. 1. 3.

Sicut ergo apud magiſtros litterarum fieri videmus, quorum alius puerulum de gremio matris acceptum, & ignarum omnium, atque incapacem maiorum, primis tantummodo imbuit elementis: quem rurſus alius magiſter accipiens, perfectioribus inſtituit diſcipli-

A διὰ τῆς ταπεινοτέρας ἡμᾶς ὁδηγεῖ; ὅτι Ἰουδαίοις διαλέγεται, τοῖς ἀλογώτερον διακειμένοις, τοῖς πρὸς τὰ αἰσθητὰ ἐπτοημένοις, τοῖς δὲ Αἰγύπτου νῦν ἐπανιοῦσιν, ἔνθα κροκοδείλους καὶ κύνας καὶ πιθήκους ἐθεράπευον οἱ ἄνθρωποι· καὶ οὐκ ἦν διὰ τῆς ὑψηλοτέρας αὐτοὺς ὁδοῦ χειραγωγῆσαι πρὸς τὸν δημιουργόν. ὑψηλοτέρα μὲν γὰρ ὁδός ἐστιν ἐκείνη, ἀλλὰ τραχυτέρα καὶ προσάντης καὶ μᾶλλον ὄρθιος τοῖς ἀσθενεστέροις. διὰ τοῦτο αὐτοὺς διὰ τῆς εὐκολωτέρας ἄγει, δι' οὐρανοῦ καὶ γῆς καὶ θαλάττης, καὶ τῆς ὁρωμένης κτίσεως ἁπάσης. ὅτι γὰρ τοῦτο τὸ αἴτιον, ὅτε μικρὸν

B ἐπέδωκαν, ἄκουσον πῶς αὐτοῖς ὁ προφήτης καὶ περὶ ἐκείνων διαλέγεται τῶν ἄνω δυνάμεων· αἰνεῖτε τὸν κύριον, φησὶν, ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· αἰνεῖτε αὐτὸν πάντες ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ· ὅτι αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. καὶ τί θαυμαστὸν, εἰ ἐν τῇ παλαιᾷ οὗτος ὁ τρόπος τῆς διδασκαλίας ἐστὶν, ὅπου γε καὶ ἐν τῇ καινῇ, ὅτε τῶν ὑψηλοτέρων διδαγμάτων καιρὸς ἦν, Ἀθηναίοις διαλεγόμενος ὁ Παῦλος ταύτην ἦλθε τὴν ὁδὸν,

C ἥνπερ ἦλθε Μωυσῆς Ἰουδαίοις παραινῶν. οὐδὲ γὰρ οὐδὲ περὶ ἀγγέλων καὶ ἀρχαγγέλων εἶπεν αὐτοῖς, ἀλλὰ περὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάττης, οὕτω πως δημηγορῶν· ὁ θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς ὑπάρχων κύριος, οὐκ ἐν χειροποιήτοις κατοικεῖ ναοῖς. ἀλλ' οὐχ, ὅτε Φιλιππησίοις διελέγετο, διὰ ταύτης ἤγαγεν αὐτοὺς τῆς ὁδοῦ· ἀλλ' ἐπὶ τὴν ὑψηλοτέραν αὐτοὺς ἀνάγει δημηγορίαν οὑτωσὶ λέγων· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, εἴτε θρόνοι,

D εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται. οὕτω καὶ Ἰωάννης, ἐπειδὴ τελειοτέρους εἶχε τοὺς μαθητευομένους, πάσης ὁμοῦ τῆς κτίσεως ἐμνημόνευσεν. οὐ γὰρ εἶπεν, οὐρανὸν καὶ γῆν καὶ θάλατταν, ἀλλ' ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, εἴτε ὁρώμενον, φησὶν, εἴτε μὴ ὁρώμενον. καθάπερ γὰρ ἐπὶ τῶν διδασκάλων, ὁ μὲν παρὰ τῆς μητρὸς διδάσκαλος τὸ παιδίον λαβὼν, τὰ πρῶτα αὐτὸν παιδεύει στοιχεῖα, ὁ δὲ παρ' ἑτέρου λαβὼν διδασκάλου μαθητὴν, πρὸς τὰ ὑψηλότερα τῶν διδαγμάτων ἄγει·

οὕτω καὶ ὅτι Μωυσέως καὶ Παύλου καὶ Ἰωάννου A λέγουσι. Μωυσῆς μὲν γὰρ μηδὲν εἰδυῖαν τὴν φύσιν ἡμῶν παραλαβὼν ἄρτι τῆς γάλακτος ἀπαλλαγεῖσαν, τὰ πρῶτα τῆς θεογνωσίας ἐπαίδευσε στοιχεῖα· Ἰωάννης δὲ καὶ Παῦλος, καθάπερ παρὰ διδασκάλου τοῦ Μωυσέως αὐτοὺς λαβόντες, ἐπὶ τὰ ὑψηλότερα τῶν διδαγμάτων ἀνάγουσι, τῶν προτέρων ἀναμιμνήσκοντες ἐν βραχεῖ. εἶδες ἑκατέρων τῶν διαθηκῶν τὴν συζυγίαν; εἶδες τὴν συμφωνίαν τῶν διδαγμάτων; ἤκουσας περὶ τῆς τῶν αἰσθητῶν δημιουργίας ἐν τῇ παλαιᾷ, καὶ περὶ τῆς τῶν νοητῶν τοῦ Δαβὶδ λέγοντος· ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν; B οὕτω πάλιν ἐν τῇ καινῇ εἰπὼν περὶ τῶν ἀοράτων δυνάμεων, εἶπε καὶ περὶ τῆς αἰσθητῆς κτίσεως, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τὸ ῥῆμα τοῦτο βραχὺ μέν ἐστι καὶ ψιλόν, καὶ ῥῆμα ἕν· ἁπάσας δὲ τῶν ἐναντίων τοὺς πύργους καταστρέψαι δυνήσεται. σκόπει δέ. περιέρχεται Μανιχαῖος λέγων, ἀγέννητός ἐστιν ἡ ὕλη, εἰπὲ πρὸς αὐτόν, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πάντα τὸν τῦφον αὐτοῦ κατέστρεψας εὐθέως. ἀλλ' οὐ πιστεύει τῷ ῥήματι τῆς γραφῆς, φησιν. οὐκ οὖν διὰ τοῦτο C αὐτὸν ὡς μαινόμενον διάκρουσον καὶ ἀποστράφηθι. ὁ γὰρ τῷ θεῷ μὴ πιστεύων ἀποφαινομένῳ, ἀλλὰ ψεῦδος τῆς ἀληθείας καταγινώσκων, πῶς οὐ λαμπρᾶς μανίας ἐκφέρει δεῖγμα, τὴν ἀπιστίαν; καὶ πῶς ἐξ οὐκ ὄντων γένοιτ' ἄν τι, φησι; σὺ δέ μοι εἰπέ, πῶς ἐξ ὄντων γένοιτό τι; ὅτι μὲν ἐξ οὐκ ὄντων ἡ γῆ γέγονεν, ἐγὼ μὲν πιστεύω, σὺ δὲ ἀμφιβάλλεις· ὅτι δὲ ἐκ γῆς γέγονεν ἄνθρωπος, ἀμφότεροι ὁμολογοῦμεν εἰπὲ τοίνυν τὸ συνωμολογούμενον καὶ εὐκολώτερον, πῶς ἀπὸ γῆς γέγονε σαρκὸς φύσις. ἀπὸ γῆς γὰρ πηλὸς καὶ πλίνθος καὶ κέραμος καὶ ὄστρακον γίνεται· D σάρκα δὲ ἀπὸ γῆς γινομένην οὐδεὶς ἂν ἴδοι ποτέ. πῶς οὖν γέγονε σαρκὸς φύσις; πῶς ὀστοῦν διεπλάσθη; πῶς νεῦρα; πῶς φλέβες; πῶς ἀρτηρίαι; πῶς ὑμὴν καὶ λίπος καὶ σάρκες καὶ δέρμα καὶ ὄνυχες καὶ τρίχες, καὶ τοσαύτη ποικιλία διαφόρων οὐσιῶν ἐκ μιᾶς τῆς ὑποκειμένης γῆς;

nis: Ita & Moſes ignaram omnium, & rudem hominum naturam, & (vt ita dicam) nuper à lacte depulſam, prima diuinæ cognitionis edocet elementa. Ioannes verò & Paulus velut à Moſe iam ijs quæ prima ſunt imbutos homines, ad excelſiora & perfectiora deducunt, non vt quæque prima ſunt deſtruentes, ſed tanquam fundamento competenter poſito ſuperponentes totius ædificij celſa faſtigia. Vidiſti denique vtriuſque teſtamenti ſtructuram vnius lineæ modulatione directam? Vidiſti totius ædificij conſonam quadraturam? audiſti à Moſe, quomodo facta ſit viſibilis creatura? audiſti & à Dauid, quomodo & intellectualis illa cœleſtis atque inuiſibilis creata ſit, dicente: Quia ipſe dixit, & facta ſunt: ipſe mandauit & creata ſunt? Simili modo & in nouo teſtamento verbum Dei audis exponi viſibilium & inuiſibilium conditorem. In principio fecit Deus cœlum & terram. Sermo hic quidem breuis eſt, & ſimplex, ſed omnium aduerſariorum ſubruere machinas poterit. Denique conſidera quomodo Manichæo aſſerenti quòd infecta ſit materia, & Deo coæterna, occurrit, & dicit: In principio fecit Deus cœlum & terram: & omnē ſtructurā falſæ ei⁹ doctrinæ ſubuertit. Sed nō credit Manicheus ſcripturæ noſtrę, ergo & propter hoc ipſum vitandus nobis eſt, & alienus penitus habendus. Qui enim non credit Deo, & veritatem mendacium ponit, non tam errare, quàm inſanire iudicandus eſt, cum incredulitas clarum eius inſanię ſit argumentum. Sed quomodo, inquit, ex nihilo fieri aliquid potuit? Dic mihi & tu quomodo ex materia aliquid fieri potuit? Certum eſt enim quod de terra factum homiuem vterque noſtrum credit, licet tu ipſam terram neges à Deo factam. Dic ergo mihi, quomodo de terra facta eſt caro? De terra enim lutum fieri videmus, aut laterem, aut regulam, vel aliquod tale figmentum, carmen verò de terra nullus vnquam fieri vidit. Quomodo ergo facta eſt natura carnis, quomodo oſſa formata ſunt, quomodo nerui & venæ, quomodo cutis & membra viſcerum ſecretorum, quomodo vngues, capilli, & ſingulorum varietas diſtinctióq; membrorum, quomodo iſta diuerſitas ex vna terrę natura forma-

Pſ. 32.9.

Manichæi refellun-tur.

Conuerſio panis in carnem.

A ta eſt? Sed certum eſt quod dare non poteris rationem: quomodo ergo cùm iſta quæ apertiora ſunt & faciliora, explicare non poſſis, de difficilibus & ineffabilibus pronunciare auſus es? Vis adhuc & faciliora tibi proponam, atque ea quæ per momenta habemus in manibus? Panem quotidie ſumimus, & exinde corporalis vitæ ſubſtantiam conſeruamus. Dic ergo mihi, quomodo natura panis intra nos mutatur in ſanguinem? Quomodo ex ipſo phlegma, ex ipſo etiam fellis ſubſtantia fit, & diuerſi humores generantur? cùm vtique natura panis denſa quædam ſit & compacta, hæc verò in quæ B mutatur, remiſſa ſint, & fluida: tum deinde color panis vel candidus ſit, vel ad frumenti ſpeciem redactus: color verò ſanguinis rubens, & fellis nigri vel flaui, cæterorúmque humorum longè diuerſus, & varius? Quomodo ergo fiunt hæc, dic mihi, & horum redde rationem. Sed certum eſt, quòd non ſolum hæſitabis, ſed & tacebis: rectúmne tibi videtur, vt cum rationem eorum quæ quotidie in nobis ſunt, inueſtigare non valeas, diuini operis, & C conditionis Dei audeas ſecreta diſcutere, & contradictionem impoſſibilitatis oſtendere? Si noſtri ſimilis eſt Deus, bene operis eius ſecūdùm communem ſenſum expetis rationem. Quinimò nec ſic quidem. Multa enim ſunt quæ arte quidem hominum fiūt, quomodo tamen, vel qua ratione fiāt, explicare non poſſumus. Verbi gratia, quomodo de venis terræ aurum fiat: hoc fieri quidem videmus, rationem verò immutatæ glebæ reddere non valemus: ſed & ex arena arte hominum fit vitrum lucidiſſimum, & multa alia his ſimilia humana quidem expe- D rientia fiunt, qua tamen ratione fiant mortalis ſermo non explicat: Dei verò opus, quem vtique humanas artes innumerabiliter præcellere etiam tu fateris, cuius virtutem & potentiam abſque vlla comparatione, non ſolùm inter homines eſſe, ſed inter cœleſtes virtutes nemo vnquā dubitauit, quomodo in ſingulis quibuſque figmentis ſuis diſcutiendum credis, & humanæ artis infirmitate penſandum? Quin potius derelinquentes hæc quæ abiectæ & fragiles cogitant mentes, redeamus ad illam ſtabilem, robuſtámque ſententiam, quæ dicit: In principio fecit Deus cœlum & terram. Sta ſuper illud fundamen-

Artificiorum rationē reddere nō poſſumus.

A ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. πῶς οὖν οὐκ ἄτοπον τὸ σαφέστερον καὶ εὐκολώτερον ἀγνοοῦντα, τὸ δυσχερέστερον καὶ ἀπορρητότερον περιεργάζεσθαι καὶ πολυπραγμονεῖν; βούλει σε καὶ ἐφ' ἕτερον καὶ εὐκολώτερον ἀγάγω, καὶ καθ' ἑκάστην ἡμέραν γινόμενον; ἀλλ' ὅμως οὐδὲ τούτου μοι τὸν λόγον ἐρεῖς. ἄρτον σιτούμεθα καθ' ἑκάστην ἡμέραν. πῶς οὖν, εἰπέ μοι, ἡ τοῦ ἄρτου φύσις αὕτη εἰς αἷμα μεθίσταται καὶ φλέγμα καὶ χολὴν καὶ τοὺς λοιποὺς ἐν ἡμῖν χυμούς; ὁ μὲν γάρ ἐστι πυκνὸς καὶ σκληρός, τὸ δὲ αἷμα χαυνὸν καὶ διαρ- B ρέον· καὶ ὁ μὲν λευκὸς ἢ σιτόχροος, τὸ δ' ἐρυθρὸν καὶ μέλαν. καὶ τῶν ἄλλων δὲ ποιοτήτων τὰς διαφορὰς εἴ τις ἐπέλθοι, πολὺ τὸ μέσον εὑρήσει ἄρτου καὶ αἵματος. πῶς οὖν ταῦτα γίνεται, εἰπέ μοι, καὶ τὸν λόγον ἀπόδος. ἀλλ' οὐκ ἂν ἔχοις. εἶτα τροφῆς τῆς καθ' ἡμέραν ἀλλοιουμένης παραδοῦναι τὸν λόγον οὐκ ἔχων, τῆς τοῦ θεοῦ δημιουργίας ἀπαιτεῖς με εὐθύνας; καὶ πῶς οὐκ ἐσχάτης ἀνοίας τοῦτο; εἰ μὲν γὰρ καθ' ἡμᾶς ἐστιν ὁ θεός, ἀπαίτει τῶν γινομένων τὸν λόγον· μᾶλλον δὲ C μηδὲ οὕτω, πολλὰ γὰρ τῶν ἀνθρωπίνῃ γινομένων τέχνῃ, ὅπως γίνεται, εἰπεῖν οὐκ ἔχομεν· οἷον, πῶς ἀπὸ γῆς τῆς ἐν τοῖς μετάλλοις χρυσίου γίνεται φύσις; πῶς εἰς ὑέλου καθαρότητα ἡ ψάμμος καθίσταται; καὶ ἕτερα τούτων ἐστὶ πλείονα εἰπεῖν, ἃ γίνεται μὲν ἀνθρωπίνῃ τέχνῃ, τὸν δὲ λόγον οὐκ ἴσμεν ἡμεῖς. πλὴν ἀλλ' εἰ μὲν καθ' ἡμᾶς ὁ θεός ἐστιν, ἀπαίτει λόγον· εἰ δὲ ἀπείρως ἡμῶν διέστηκε καὶ ἀσυγκρίτως ὑπερέχει, πῶς οὐκ ἐσχάτης ἂν εἴη μανίας ἄπειρον αὐτοῦ τὴν σοφίαν καὶ τὴν δύναμιν ὁμολογοῦντας, D καὶ θείαν καὶ ἀκατάληπτον, ὡς περὶ ἀνθρωπίνης τινὸς τέχνης, οὕτω καθ' ἕκαστον τῶν γινομένων ἀπαιτεῖν εὐθύνας αὐτόν; ἀλλὰ γὰρ ἀφέντες τοὺς λογισμούς, ἐπὶ τὴν πέτραν ἐπανέλθωμεν τὴν ἀρραγῆ, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἐπὶ τούτῳ στῆθι τῷ θεμελίῳ· μή τίς σε εἰς

λογισμῶν ἀνθρωπίνων ταραχὴν καταγάγῃ. λογισμοὶ γὰρ θνητῶν δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. μὴ τοίνυν τὸ στερρὸν ἀφεὶς, τῷ σαθρῷ καὶ ἐπισφαλεῖ τὴν σωτηρίαν ἐγχειρίσῃς τῆς σῆς ψυχῆς· ἀλλὰ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, καὶ λέγε, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. κἂν Μανιχαῖος προσέλθῃ, κἂν Μαρκίων, κἂν οἱ τὰ Οὐαλεντίνου νοσοῦντες, κἂν ὁστισοῦν ἕτερος, τοῦτο προβάλλου τὸ ῥῆμα. κἂν ἴδῃς γελῶντα, σὺ δάκρυσον αὐτὸν, ὡς μαινόμενον. πύξινον ἔχουσιν ἐκεῖνοι τὸ χρῶμα, καὶ κατεσταλμένην τὴν ὀφρὺν, καὶ ῥημάτων ἐπιείκειαν· ἀλλὰ φύγε τὸ δέλεαρ, καὶ τὸν ἐν τῇ δορᾷ τοῦ προβάτου κρυπτόμενον καταμάνθανε λύκον. διὰ τοῦτο αὐτὸν μάλιστα μίσησον, ὅτι πρὸς μὲν τὸν ὁμόδουλόν σε προσηνὴς καὶ ἥμερος εἶναι δοκεῖ, πρὸς δὲ τὸν κοινὸν ἡμῶν ἁπάντων δεσπότην, κυνῶν λυττώντων ἐστὶν ἀγριώτερος, ἀκήρυκτον εἰς τὸν οὐρανὸν μάχην εἰσάγων καὶ πόλεμον ἄσπονδον, καὶ δύναμίν τινα ἐξ ἐναντίας ἀντικαθιστῶν τῷ θεῷ. φύγε τὸν ἰὸν τῆς πονηρίας, μίσησον τὰ δηλητήρια φάρμακα· καὶ ἣν παρὰ τῶν πατέρων ἐδέξω κληρονομίαν, τὴν ἀπὸ τῶν θείων γραφῶν πίστιν καὶ διδασκαλίαν, ταύτην κάτεχε μετὰ πολλῆς ἀσφαλείας. ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τί τοῦτο; πρῶτον τὸν οὐρανὸν, εἶτα τὴν γῆν; πρῶτον τὸν ὄροφον, εἶτα τὸ ἔδαφος; οὐ γὰρ ἀνάγκῃ φύσεως ὑπόκειται, οὐδὲ ἀκολουθίᾳ τέχνης δουλεύει. καὶ γὰρ καὶ φύσεως καὶ τέχνης καὶ τῶν ὄντων ἁπάντων ἡ βούλησις τοῦ θεοῦ δημιουργὸς καὶ τεχνίτης. ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. τίνος ἕνεκεν τὸν μὲν οὐρανὸν ἀπαρτισθέντα παρήγαγε, τὴν δὲ γῆν κατὰ μικρὸν τεχνοῦσθαι αὐτόν φησιν ὁ Μωυσῆς; ἵνα ἐν τῷ βελτίονι στοιχείῳ μαθὼν αὐτοῦ τὴν δύναμιν, πληροφορηθῇς ὅτι καὶ ταύτην ἠδύνατο, καθάπερ ἐκεῖνον, ἀπηρτισμένην παραγαγεῖν. ἀλλὰ διὰ σὲ, καὶ τὴν σωτηρίαν τὴν σὴν οὐκ ἐποίησεν οὕτω. πῶς δι' ἐμὲ καὶ τὴν σωτηρίαν τὴν ἐμὴν, φησί; κοινὴ τράπεζα καὶ πατρὶς καὶ τροφὸς καὶ μήτηρ ἁπάντων ἐστὶν ἡ γῆ, καὶ πόλις καὶ τάφος κοινός. καὶ γὰρ τὰ σώματα ἡμῶν ἐξ αὐτῆς, καὶ τροφὴ τοῖς σώμασιν ἡμῶν ἐκεῖθεν,

A tum, ne commouearis, nec in cogitationum fluctus, atque animorum turbines corruas. Cogitationes enim mortalium timidæ, & incertæ adinuẽtiones eorum. Noli ergo derelinquere quæ firma ſunt, & conuerti ad infirma & incerta, atque his ſalutem animæ tuæ credere: ſed permane in his quæ didiciſti, & credita ſunt tibi, & dic: Quia in principio fecit Deus cœlũ & terram: etiamſi tibi Manichæus occurrat, etiamſi Valentini diſcipulus, tu ſemper vtere hoc ſermone: etiam ſi illi irrideant, tu eos vt inſanientes defleto. Sint licet pallentes in vultu, &

Sa. 9.14.

B triſtes ac ſeueri videantur, atque obductis ſuperciliis: ſint licet ſermonum varietate ſubtiles: ſed tu noli aſpicere ad iſtam quæ extrinſecus eſt ouium pellem, ſed conſidera & intuere lupum qui intrinſecus latet: & propterea maximè eum execrari debes, quia ad conſeruum ſuum mitem ſe ſimulat, & humilem: ad dominum autem omniũ noſtrum canis eſt rabidus, in cœlum latrans, & ipſi quodammodo diuinitati inferens bellũ. Negat enim creatorem Deum, ſed alium neſcio quem

Hæretici Deum creatorem negant.

C contrarium prædicat. Fuge ergo ab his talibus, & vita tendiculas: vita huiuſmodi verbum, tanquam venena. Cuſtodi hęreditatem quam à patribus ſuſcepiſti per fidem, & doctrinã ſcripturæ diuinæ, quę dicit: In principio fecit Deus cœlum & terram. Cur autem primùm cœlum fecit, deinde terram, ante tectum, quàm ſolum? Vides & in hoc nihil eſſe ſimile humanis artibus, nec hominum regulis voluntatem ſeruari diuinam. Apud nos adminiculis & fulcimentis opus eſt, ibi verò voluntas opus efficit, & præbet

D ſermo virtutem. Terra autem erat inuiſibilis, & incompoſita. Quã ob cauſam cœlum perfectum condidit, terrã verò paulatim compoſitam eſſe refert Moſes? vt audiens tu quia melioribus elementis perfectum extitit opus eius, certus ſis, quia & terram perfectam poterat producere, ſicut & cœlum: ſed propter te, & propter ſalutem tuam non fecit. Si requiris, quomodo? auſculta. Patriam tibi, & nutricem, & matrem, & menſam, & domum poſuit terram: ſed & ſepulchrum tibi hanc eandem dedit. Nam & corpora noſtra ex ipſa ſunt, & ex ipſa etiam corporum nutrimenta,

Cur paulatim cõpoſita terra.

& ex ipſa quoque, & in ipſa noſtra habitatio eſt, & poſt mortem in ipſam rurſum redimus: ne fortè ergo ex his omnibus quæ ex ea videris conſequi beneficiis, fragili & lubrica cogitatione in impietatem delapſus, ipſam eſſe vitam putares, & vituperes authorem: propterea imperfectam eam atque incompoſitam producit, vt tu intelligens quod indiguit etiam ipſa opere & beneficio conditoris, cultum venerationémque diuinam creatori omnium referas Deo, & glorifices eum qui ad vſum miniſterij humani generis tanta parauit, ac talia. Verùm Dei cultus non ſolùm in fide recta, ſed & in optima conuerſatione conſiſtit. Ait enim Dominus: Luceat lux veſtra inter homines: vt videntes opera veſtra bona, glorificent patrem veſtrum qui in cœlis eſt. Et ideo velim ad ea quæ dicta ſunt, addere aliqua de opere miſericordiæ, niſi ſuperfluum videretur vos docere verbis, cùm medius omnium noſtrum ſedeat pater communis, & magiſter noſter, qui ſuorum vos operum docet exemplis, cuius domus tanquam ipſi ad hoc derelicta ab eius maioribus, peregrinis & aduenis patet. omnes qui vndique tribulationes ſuſtinent veritatis tuendæ cauſa, conueniunt, hanc ſibi hoſpitam domum inueniunt, hanc miniſtrã, & ita in omnibus famulantem, vt neſciã vtrũ huius, an peregrinorũ magis dicenda ſit domus. Imò verò propterea magis huius eſt, quia peregrinorũ eſt: nam & omne quod noſtrũ eſt, tunc magis noſtrũ erit, ſi ſit nobis commune cũ fratribus. Melius enim ſeruatur pecunia quę in dextera pauperis collocatur. Hãc mihi non calũmniator extorquebit, nõ inuidus criminabitur, non latro auferet, nõ fur nocturnus diripiet, non ſeruus fugã meditans vaſtabit, ſed ſemper eſt tuta, ſemper integra ſemper ſalua. Nullus alius locus ita mũnitus eſt ad conſeruandã pecuniã, ſicut pauperũ venter. Denique frequenter etiãſi extrinſecus quis poteſt dãna vitare, aut effugere calũnias, effugere tamen in pecuniã domeſticas inſidias nõ valebit: quamuis clauſtra poſtis valida, quãuis ſignacula exquiſita circũdent, ſeruil tamẽ ingeniũ nõ euadet: & ideo certiſſimũ eſt illã nobis magis ſeruari pecuniam, quã pauperibus cõmenda-

Dei cultus in fide & morib. Matt. 5.

Flauianũ Epiſcopum Antioc. videtur laudare.

καὶ οἴκησις ἐν αὐτῇ καὶ διαγωγή, καὶ μετὰ θάνατον πρὸς αὐτὴν πάλιν ἐπάνοδος. ἵν' οὖν μὴ τὸ τῆς χρείας ἀναγκαῖον ὑπὲρ τὴν ἀξίαν σε θαυμάζειν αὐτὴν παρασκευάσῃ, καὶ τὸ τῶν εὐεργεσιῶν πλῆθος πρὸς ἀσέβειαν ὑποσκελίσῃ, δείκνυσί σοι, πρὶν ἢ γενέσθαι, αὐτὴν ἀμόρφωτον καὶ ἀδιατύπωτον· ἵνα τὴν ἀσθένειαν ἰδὼν, θαυμάσῃς τὸν παραγαγόντα αὐτὴν, καὶ πᾶσαν ἐνθέντα αὐτῇ τὴν δύναμιν ταύτην· ἵνα δοξάσῃς τὸν τὰ τοσαῦτα πρὸς ἡμετέραν ἄνεσιν κατεσκευακότα. δοξάζεται δὲ ὁ θεὸς οὐ διὰ δογμάτων ὀρθῶν μόνον, ἀλλὰ καὶ διὰ πολιτείας ἀρίστης. λαμψάτω γὰρ ὑμῶν, φησι, τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ἐβουλόμην τοὺς περὶ ἐλεημοσύνης προσθεῖναι λόγους· ἀλλὰ περιττόν μοι δοκεῖ εἶναι λόγῳ διδάσκειν ὑμᾶς, τοῦ διὰ τῶν ἔργων ὑμᾶς παιδεύειν δυναμένου νῦν ἐν μέσῳ καθημένου, τοῦ κοινοῦ πατρὸς ἡμῶν καὶ διδασκάλου, ὃς τὴν οἰκίαν τὴν πατρῴαν, ὥσπερ εἰς αὐτὸ τοῦτο παρὰ τῶν προγόνων δεξάμενος, ἵνα ταῖς τῶν ξένων αὐτὴν θεραπείαις παράσχῃ, οὕτω διαπαντὸς τοῖς πανταχόθεν ἐλαυνομένοις ὑπὲρ τῆς ἀληθείας ἀνῆκε καὶ ὑποδέχεται καὶ θεραπεύει θεραπείας τρόπῳ παντοδαπῷ. ὥστε οὐκ οἶδα εἰ χρὴ τούτου μᾶλλον, ἢ τῶν ξένων καλεῖν τὴν οἰκίαν τὴν τούτου· μᾶλλον δὲ διὰ τοῦτο τούτου νομίζειν εἶναι αὐτὴν, ἐπειδὴ τῶν ξένων ἐστί. καὶ γὰρ τὰ ἡμέτερα κτήματα τότε μάλιστα ἡμέτερα γίνεται, ὅταν μὴ ἡμῖν αὐτοῖς, ἀλλὰ τοῖς πένησιν αὐτὰ κεκτημένοι διαπαντὸς ὦμεν. καὶ πῶς, ἐγὼ λέγω. ἂν εἰς δεξιὰν τοῦ πένητος ἀποθῇς τὸ ἀργύριον, οὐ συκοφάντης ἐπιτίθεται, οὐ βάσκανος ὀφθαλμὸς ὁρᾷ, οὐ λῃστὴς ὑφαιρεῖται, οὐ τοιχωρύχος διορύξας, οὐκ οἰκέτης ἀφελόμενος ἀποδιδράσκει. καὶ γὰρ ἐστὶν ἄσυλον ἐκεῖνο τὸ ταμιεῖον. ἂν δὲ οἴκοι κατορύξῃς, καὶ λῃστῇ καὶ τοιχωρύχῳ καὶ βασκάνῳ καὶ συκοφάντῃ καὶ οἰκέτῃ καὶ πάσῃ βλάβῃ ποιεῖς ὑπεύθυνον τὸ χρυσίον. πολλάκις γοῦν μετὰ θύρας μυρίας καὶ μοχλοὺς τὰς μὲν ἔξωθεν ἐπηρείας διέφυγε, τοὺς δὲ φύλακας οὐ διέφυγεν· ἀλλ' οἱ τηροῦντες αὐτὸ λαβόντες ἀπέδρασαν. ὁρᾷς ὅτι τότε μᾶλλον κύριοι τῶν κτημάτων ἐσμὲν, ὅταν τοῖς πένησιν αὐτὸ παρακα-

A ταθώμεθα. οὐ φυλακῆς δὲ ἕνεκα μόνον ἐκεῖνο ἀσφαλέστερον τὸ χωρίον, ἀλλὰ καὶ κέρδους καὶ προσόδου πλείονός ἐστιν ἡ ὑπόθεσις. ἂν μὲν γὰρ ἀνθρώπῳ δανείσης, ἑκατοστὴν ἂν ἔλαβες. ἂν δὲ θεῷ δανείσης διὰ τοῦ πένητος, οὐχ ἑκατοστὴν, ἀλλ' ἑκατονταπλασίονα λήψῃ. κἂν μὲν σπείρῃς εὔφορον ἄρουραν, ὅταν πολλὴν ἐνέγκῃ τὴν φορὰν, δεκαπλασίονα οἴσῃ τὰ σπέρματα· ἂν δὲ εἰς τὸν οὐρανὸν σπείρῃς, μετὰ τὸ γενέσθαι ἑκατονταπλασίονα, καὶ ζωὴν αἰώνιον καὶ ἀγήρω καὶ ἀθάνατον ἀπολήψῃ. καὶ ἐνταῦθα μὲν πολὺς ὁ πόνος τοῖς τὰ σπέρματα καταβάλλουσιν· ἐκεῖ δὲ χωρὶς ἀροτήρων καὶ βοῶν καὶ γηπόνων καὶ τῆς ἄλλης B ταλαιπωρίας ἁπάσης ἡ τῶν καταβληθέντων φορὰ φύεται, καὶ οὐκ αὐχμὸν, οὐκ ἐπομβρίας, οὐκ ἐρυσίβην, οὐ χάλαζαν, οὐκ ἀκρίδος στρατόπεδον, οὐ ποταμῶν ἐπικλύσεις, οὐκ ἄλλο τι οὐδὲν ἐκεῖ σπείροντας ἔστι φοβηθῆναί ποτε· ἀλλὰ πάσης ἀνωτέρω βλάβης ἕστηκε τὰ ἐκεῖ καταβαλλόμενα σπέρματα. ὅταν οὖν μήτε πόνος, μήτε κίνδυνος, μήτε ὑποψία, μήτε ἀποτυχία τις ᾖ, καὶ πολλῷ πλείονα καταβαλλομένων γίνηται τὰ φυόμενα, καὶ τοσαῦτα βλαστάνῃ ἀγαθὰ, ὅσα οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς C ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, πῶς οὐκ ἂν εἴη ῥαθυμίας ἐσχάτης, τὸ πλέον ἀφέντας, τὸ ἔλαττον διώκειν, καὶ τὸ ἀσφαλὲς καταλιπόντας, τὸ ἄπιστον καὶ κινδύνων γέμον καὶ πολλὰς ἔχον ἀποτυχίας μετιέναι; τίς γὰρ ἡμῖν ἔσται συγγνώμη τοῦτο ποιοῦσι, ποία δὲ ἀπολογία; πενίαν προβαλλόμεθα πάντως· ἀλλ' οὐκ ἐσμὲν τῆς χήρας ἐκείνης πενέστεροι, ἣ δύο λεπτὰ ἔχουσα μόνα, καὶ ταῦτα κατεβάλετο. ζηλώσωμεν τοίνυν ἐκείνης τὸν πλοῦτον, μιμησώμεθα τῆς προαιρέσεως τὴν μεγαλοψυχίαν, ἵνα καὶ τῶν D ἐκείνῃ ἀποκειμένων ἀγαθῶν ἐπιτύχωμεν· ὧν γένοιτο πάντας ἡμᾶς καταξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμὴ, καὶ κράτος ἅμα τῷ ἁγίῳ καὶ προσκυνητῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A mus. Non ſolùm enim ſalua nobis manebit repoſita in talibus clauſtris, ſed & fœnore multiplicato reddetur. Ingentes enim reditus conferet pecunia largita pauperibus. Nam ſi hominibus in fœnus dederis eam, centeſimam tibi reddent: ſi verò Dei pauperibus fœneretur, centuplum reſtituet, inſuper & æternam conferet vitam. Quid ergo mauis agere de pecunia tua: centeſimam ab hominibus, an centuplum recipere à Deo: imò quod eſt ſuper omnem pecuniam, vitam æternam pro miſericordia, & immortalem beatitudinem conſequi? Vide ergo vbi B magis velis congregare fructus tuos. Si in terra ſemines, quādo fœliciter, decuplum colliges, & hoc cum multo labore, cum multis moleſtiis: in cœlo autem ſeminanti, quia neque bobus, neque aratro, neque colonis, aut aliis huiuſmodi laboribus opus eſt: ibi non grando metuitur, non ſolis aduſtio, non rubigo conſumens, non locuſtarum exercitus formidandus eſt, non vicini prauitas, non potentis deprædatio, non exactoris iniuria: ſed ſeminum tuorum ſeges tuta & illæſa C conſurget, afferens fructum immortalitatis, & lætitiæ ſempiternæ: fructum, quem oculus non vidit, nec auris audiuit, nec in cor hominis aſcendit. Quomodo ergo non extremæ ignauię eſt, certa relinquere, & incertis adhęrere: maiora deſerere, & minora ſectari: tuta & tranquilla non exequi, periculoſis & fragilibus aſſidere? Et quæ erit nobis venia hæc agentibus? quæ excuſatio tam iniquo iudicio viuentibus? Quòd ſi quis fortè pauperem ſe dicat, certus ſum quòd quamuis ille ſit pauper, non erit pauperior D vidua illa, quæ duo minuta ſola habebat, & ipſa obtulit Deo. Æmulemur ergo & nos diuitias eius, diuitias dico, non cenſus, ſed mentis: non pecuniæ, ſed fidei: & magnanimitatem eius imitemur, vt bona quæ illi deſtinata ſunt, adipiſcamur, per gratiam domini noſtri Ieſu Chriſti, cum quo eſt Deo patri cum Spiritu ſancto & adorando gloria, & imperium, in ſecula ſeculorum. Amen.

Cohortatur ad eleemoſynam erogandam.

1. Cor. 2. 9.

Marc. 12. Luc. 21.

A

SERMO II.

Cur in Sole & Luna, & cælo & alijs dixerit, Fiat, in homine autem, Faciamus; & quid nam ſit illud, ad imaginem.

FRONTONE DVCÆO interprete.

NVNQVID meminiſtis quæſtionum, quæ vobis nuper ſunt propoſitæ? in tantam enim arrogantiam & audaciã nos prouexiſtis vt etiam quæſtiones intrepidè aggrediamur: immò verò nec audaciæ nec arrogantiæ plenum id facinus poteſt videri. Non enim viribus noſtris confidentes, ſed antiſtitum precibus ac veſtris omnia committentes ad ineundum ſtadium nos accinximus. Tanta porro vis eſt precum eccleſiæ, vt licet magis muti, quàm lapides eſſemus, penna quauis leuiorem linguam noſtrã efficiant. Nam quemadmodum in media nauis incidens vela Zephyrus ſagitta velocius cymbam promouet: ſic & in linguam dicentis incidens oratio eccleſiæ vehementius quàm Zephyrus ſermonem promouet. Propterea nos etiam quotidie confidenter ad certamen nos accingimus. Si enim in externis certaminibus quiſpiam, cui decem tantum aut viginti fuerint amici vel fautores in tanto populo, alacriter in arenam deſcendit: multo magis nos, qui non decem aut viginti, ſed totum theatrum ex fratribus patribúſque conflatum habemus, confidenter id agemus. tametſi in externis certaminibus non multum prodeſt athletæ certanti ſpectator, niſi fortè vt clamet & laudet, quæ geruntur, & in ſuperiori loco ſedens cum illis contendat, qui contradicunt: in ſtadium verò deſcendere, manúmque porrigere, vel aduerſarij pedem trahere, vel aliud eiuſmodi quippiam agere minimè licet. Qui enim ab initio certamina illa conſtituerũt, acutis palis defixis, ac funibus in gyrum extenſis ſpectatorum inſaniam arcendam putarunt. Quid ve-

Vis orationis eccleſiæ.

Λόγος β.

Τί δήποτε ἐπὶ μὲν ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ καὶ τῶν ἄλλων εἶπε, γενηθήτω· ἐπὶ δὲ τοῦ ἀνθρώπου, ποιήσωμεν; καὶ τί ποτέ ἐστι τὸ, κατ' εἰκόνα;

ΑΡα μέμνησθε τῶν ζητημάτων τῶν πρώην προτεθέντων ὑμῖν; εἰς τοσοῦτον γὰρ ἡμᾶς ἀπονοίας καὶ τόλμης ἐπήρατε, ὡς καὶ ζητημάτων ἤδη κατατολμᾶν· μᾶλλον δὲ οὐκ ἂν εἴη τόλμης, οὐδὲ ἀπονοίας τοῦτο. οὐ γὰρ οἰκείᾳ δυνάμει θαρρήσαντες, ἀλλὰ ταῖς εὐχαῖς τῶν προέδρων καὶ ταῖς ὑμετέραις τὸ πᾶν ἐπιρρίψαντες, ἀπεδυσάμεθα πρὸς τὸ στάδιον. εὐχὴ δὲ ἐκκλησίας τοσοῦτον δύναται, ὡς, εἰ καὶ λίθων ἦμεν ἀφωνότεροι, πτεροῦ παντὸς κουφοτέραν ἡμῖν τὴν γλῶτταν ἐργάσασθαι. ὥσπερ γὰρ Ζέφυρος εἰς μέσα τῆς νηὸς ἐμπεσὼν τὰ ἱστία, βέλους ὀξύτερον παραπέμπει τὸ σκάφος· οὕτω καὶ ἐκκλησίας εὐχὴ εἰς τὴν τοῦ λέγοντος ἐμπεσοῦσα γλῶτταν, Ζεφύρου σφοδρότερον παραπέμπει τὸν λόγον. διὸ καὶ ἡμεῖς καθ' ἑκάστην ἡμέραν θαρροῦντες ἀποδυόμεθα. εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων δέκα τις μόνον, ἢ εἴκοσι ἔχων ἐραστὰς ἐν δήμῳ τοσούτῳ, μετὰ προθυμίας εἰς τὸν ἀγῶνα κάτεισι· πολλῷ μᾶλλον ἡμεῖς, ὅπου οὐ δέκα οὐδὲ εἴκοσι μόνον, ἀλλ' ἅπαν ἡμῖν τὸ θέατρον ἐξ ἀδελφῶν καὶ πατέρων σύγκειται, θαρροῦντες τοῦτο ποιήσομεν. καίτοιγε ἐπὶ τῶν ἔξωθεν ἀγώνων οὐδὲν ἂν μέγα καρπώσαιτο ὁ ἀγωνιστὴς παρὰ θεατοῦ, ἀλλ' ἢ ὅσον βοῆσαι ἐκεῖνον, καὶ θαυμάσαι τὰ γεγενημένα, καὶ φιλονεικῆσαι τοῖς ἀντιλέγουσιν ἄνω καθήμενον· καταβῆναι δὲ εἰς τὸ στάδιον, καὶ χεῖρα ὀρέξαι, καὶ ἑλκύσαι πόδα τοῦ ἀνταγωνιζομένου, ἢ ἄλλο τι τοιοῦτον ἐπιδείξασθαι, τούτοις οὐ θέμις. οἱ γὰρ τοὺς ἀγῶνας ἐκείνους ἐξ ἀρχῆς διαταξάμενοι, σκόλοπας πήξαντες ὀξεῖς, καὶ σχοινία κύκλῳ περιβαλόντες, οὕτω τῶν θεατῶν τὴν μανίαν εἴργουσι. καὶ τί θαυμαστὸν,

εἰ θεατῇ

B C D

εἰ θεατῇ καταβῆναι οὐ θέμις, ὅπουγε καὶ τὸν παιδοτρίβην ἔξω παρὰ τὴν κόνιν καθήμενοι, πόρρωθεν τὴν ἀπὸ τῆς διδασκαλίας συμμαχίαν εἰσάγειν τοῖς ἀγωνιζομένοις κελεύουσι, πλησίον δὲ οὐκ ἐῶσιν ἐλθεῖν; ἀλλ' οὐκ ἐνταῦθα οὕτως· ἀλλὰ καὶ τῷ διδασκάλῳ καὶ θεατῇ καταβῆναι πρὸς ἡμᾶς ἔνι, καὶ ἐγγὺς εἶναι τῇ διαθέσει, καὶ διὰ τῶν εὐχῶν ἡμῖν συγκροτῆσαι τὴν δύναμιν. δεῦρο γοῦν κατ' αὐτοὺς ἐκείνους τοὺς ἀθλητὰς τῶν παλαισμάτων ἁψώμεθα. καὶ γὰρ ἐπειδὰν ἐκεῖνοι μέσους ἑαυτοὺς κατασχόντες, ὑπὸ τῆς βίας τῶν ἁμμάτων πρὸς τὸν ἔξωθεν αὐτοὺς περιεστῶτα ἐξακοντισθῶσιν ὄχλον διὰ τὴν τοῦ τόπου στενοχωρίαν, λύσαντες τὰ ἅμματα, πρὸς τὸν τῆς ἀγωνίας πάλιν ἐπανέρχονται τόπον· εἶτα ἐπανελθόντες οὐκ ὀρθοὶ συμπλέκονται πάλιν, ἀλλ' ἐν ἐκείνῳ τῷ τύπῳ τῶν δεσμῶν ἑαυτοὺς καταστήσαντες, ἐν ᾧ καὶ ὄντες διελύθησαν. ἐπεὶ οὖν καὶ ἡμᾶς ἡ τόπου στενοχωρία καταλῦσαι τὸν λόγον ἠνάγκασε, φέρε πρὸς τὸν τόπον τῆς ἀγωνίας ἐπανελθόντες, τὰ ἅμματα λύσωμεν ἀπὸ τῶν σήμερον ἀναγνωσθέντων ἡμῖν. καὶ εἶπεν ὁ θεός, φησι, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν. ἓν πρῶτον τοῦτο ἄξιον ζητῆσαι, τί δήποτε, ὅτε μὲν ὁ οὐρανὸς ἐγίνετο, οὐδαμοῦ τὸ, ποιήσωμεν, εἴρηται, ἀλλά, γενηθήτω οὐρανός, γενηθήτω φῶς, καὶ καθ' ἕκαστον τῆς κτίσεως μέρος οὕτως· ἐνταῦθα δὲ τὸ, ποιήσωμεν, πρόσκειται μόνον, καὶ βουλὴ καὶ σκέψις καὶ πρὸς ἕτερόν τινα ὁμότιμον ἀνακοίνωσις; τίς ποτε ἄρα ἐστὶν ὁ δημιουργεῖσθαι μέλλων, ὅτι τοσαύτης ἀπολαύει τιμῆς; ἄνθρωπός ἐστι, τὸ μέγα ζῶον καὶ θαυμαστόν, καὶ τῆς κτίσεως ἁπάσης τῷ θεῷ τιμιώτερον, δι' ὃν οὐρανὸς καὶ γῆ καὶ θάλαττα καὶ τὸ λοιπὸν ἅπαν τῆς κτίσεως σῶμα· ἄνθρωπος, οὗ τῆς σωτηρίας οὕτως ὁ θεὸς ἠράσθη, ὡς μηδὲ τοῦ μονογενοῦς φείσασθαι δι' αὐτόν. οὐ γὰρ ἀπέστη πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως αὐτὸν ἀναγαγὼν, ἐκάθισεν ἐν δεξιᾷ ἑαυτοῦ. καὶ βοᾷ Παῦλος λέγων· καὶ συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ ἑαυτοῦ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. διὰ τοῦτο βουλὴ καὶ σκέψις καὶ ἀνακοίνωσις, οὐκ ἐπειδὴ ὁ θεὸς βουλῆς δεῖται (μὴ γένοιτο) ἀλλὰ τῷ σχήματι τῶν ῥημάτων τὴν εἰς τὸν γενόμενον ἡμῖν ἐνδείκνυται τιμήν. καὶ πῶς, φησιν, εἰ τοῦ κόσμου τιμιώτερός ἐστι πάντος, ὕστερον τοῦ κόσμου παράγεται;

A ro mirum, ſi deſcẽdere ſpectatori nõ licet, cũ & palęſtrę magiſtrũ iubeant foris ſedentẽ iuxta arenã à lõge certantibus doctrinæ ſubſidiũ præbere; propè vero non ſinant accedere hîc vero non ita fit, ſed & doctori & ſpectatori licet ad nos deſcendere, atq; affectu prope adſtare, precibuſq; vires addere. Age ergo more athletarũ illorum aggrediamur certamina. Siquidem illi cũ ſe inuicẽ medios prehenderint, ac vi nexuum fuerint ad circunſtantem ſe foris turbã impulſi propter anguſtias loci, nexibus ſolutis ad certaminis locũ rurſus reuer-

B tuntur: deinde redeũtes nõ recti cõgrediũtur, rurſus, verum in eundem ſe nexuũ modũ ſtatumq; reſtituunt, in quo antea ſunt diuiſi. Quãdo igitur nos quoq; ſermonẽ abſoluere loci anguſtia coëgit, age ad ipſum locũ certaminis reuertentes nexus ab ijs, quæ hodierno die nobis ſunt lecta, ſoluamus. *Et dixit Deus*, inquit, *Faciamus hominem ad imaginem & ſimilitudinẽ noſtrã*. Vnum hoc primum quæſitu dignum, cur tandem, cũ cœlum fieret, nuſquã dictum ſit, Faciamus,

Gen. 1. 26.

C ſed, Fiat cœlum, fiat lux, atque ita in ſingulis creaturarum generibus: hîc vero ſolũ additũ ſit illud, Faciamus, & conſilium, ac deliberatio, & cũ altero quopiã honoris conſorte communicatio. Quiſnam igitur ille tandem eſt qui creandus, cui tantũ honoris deferatur? homo eſt magnũ illud animal & admirabile quodq; omni creatura præſtãtius eſt apud Deũ, propter quem cœlum & terra & mare, ac reliquum omne creaturæ corpus eſt conditum : homo cuius ita Deus ſalutem adamauit, vt ne

Cur dixerit Faciamus, nõ Fiat.

D vnigenito quidem ſuo propter eum parceret : neque enim omnia præſtare molirique deſtitit, donec in altum euectum in ſua dextera collocauit. Enimuero clamat id Paulus dicens : Et conreſuſcitauit, & conſedere fecit in cœleſtibus in Chriſto Ieſu. Propterea conſilium & deliberatio & communicatio, non quod indigeat conſilio Deus; abſit, ſed ipſa verborum figura præ ſe fert honorem, qui naſcenti defertur. Quî fit autem, dicet aliquis, ſi præſtantior eſt toto mundo, vt poſt mundum producatur?

Heb. 2. 6

ob hoc ipſum nimirum, propterea quod A mundo præſtantior eſt. Nam quemadmodũ ingreſſuro Imperatore Duces Præfecti ſatellites omneſq; ſerui pręcedunt, vt palatio adornato, & omni alio miniſterio præparato magno cũ honore Imperatorem excipiant: ſic nimirum & hic quaſi cũ introducendus Rex eſſet Sol pręceſſit, cælũ pręcucurrit, prius ingreſſum eſt lumen, creata ſunt omnia & adornata, tumq; multo cum honore homo introducitur. Faciamus hominẽ ad imaginẽ. Audiat Iudęus. Ad quem dicit Deus, Faciamus? Moſis ſunt litteræ, Moſis, cui ſe credere dicunt, & B mentiuntur. Vt enim ſcias illos mentiri & non credere, Chriſtum illos conuincentem audi, ac dicentem: Si crederetis Moyſi crederetis & mihi. Iam vero apud illos quidem ſunt libri, apud nos autem librorum theſaurus: apud illos literę, apud nos & literæ, & ſententiæ. Ad quem igitur dicit, Faciamus hominem? ad angelum, inquit, vel ad archangelum ſimpliciter verba facit. Vt enim verberones famuli, dum ab heris accuſantur, nec habent quod è apertè reſ- C pondeant, quicquid in buccam venerit proferunt: ſic & vos ad angelum & archangelum hæc eſſe dicta vultis. quem tãdem angelum? quem archangelum? neq; enim angelorum eſt creare, neq; archangelorum hæc operari. Quare vero cum cælũ quidem conderet, nõ dixit angelo & archangelo, ſed per ſe illum produxit: cum vero cœlo totoq; mundo præſtantius animal produxit hominem, tum ſeruos ſibi ſocios creationis aſciſcit? Non ita eſt, planè non ita eſt, quippe angelorum eſt aſſiſtere non creare: archangelorum eſt miniſtra- D re, nõ participem eſſe ſentẽtię & cõſilij: Audi quid de virtutibus Seraphim dicat Eſaias: Vidi Dominum ſedentem ſuper ſolium excelſum, & eleuatum, & Seraphim adſtabant in circuitu eius: ſex alę vni & ſex alę alteri, & duabus quidem alis operiebãt facies ſuas, vt ſcilicet oculos ſuos munirent, quod exilientẽ è ſolio fulgorem ſuſtinere non poſſent. Quid ais? Seraphim quidem adſtãt, & tãta ſunt admiratione ac ſtupore correpta, idq; cũ Dei viderãt cõdeſcẽſionẽ,

Vide ſimilem ſententiam. hom. 8. in Gen.

Ioã. I. 45

Eſa. 6. I.

δι' αὐτὸ τοῦτο· ὅτι τοῦ κόσμου τιμιώτερός ἐστιν. ὥσπερ γὰρ βασιλέως εἰσελαύνειν μέλλοντες, στρατηγοὶ καὶ ὕπαρχοι καὶ δορυφόροι καὶ πάντες οἱ δοῦλοι προφθάνουσιν, ἵνα τὰ βασίλεια παρασκευάσαντες, καὶ πᾶσαν τὴν ἄλλην εὐτρεπίσαντες θεραπείαν, μετὰ πολλῆς τῆς τιμῆς ὑποδέξωνται τὸν βασιλέα· οὕτω δὴ καὶ ἐνταῦθα, καθάπερ βασιλέως εἰσάγεσθαι μέλλοντος, προέφθασεν ἥλιος, προέδραμεν ὁ οὐρανός, προεξῆλθε τὸ φῶς, ἅπαντα γέγονε καὶ εὐτρεπίσθη, καὶ τότε ὁ ἄνθρωπος μετὰ πολλῆς ὕστερον εἰσάγεται τῆς τιμῆς. ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἀκουέτω ὁ Ἰουδαῖος. πρὸς τίνα φησὶν ὁ θεός, ποιήσωμεν; Μωυσέως ἐστὶ τὰ γράμματα, Μωυσέως, ᾧ πιστεύειν ψευδόμενοί φασι. καὶ ὅτι ψεύδονται καὶ οὐ πιστεύουσιν, ἄκουε τοῦ Χριστοῦ διελέγχοντος αὐτοὺς καὶ λέγοντος· εἰ ἐπιστεύετε Μωυσῇ, ἐπιστεύετε ἂν ἐμοί. νῦν δὲ παρ' ἐκείνοις μὲν τὰ βιβλία, παρ' ἡμῖν δὲ τῶν βιβλίων ὁ θησαυρός· παρ' ἐκείνοις τὰ γράμματα, παρ' ἡμῖν καὶ τὰ γράμματα καὶ τὰ νοήματα. πρὸς τίνα οὖν, εἰπέ, λέγει, ποιήσωμεν ἄνθρωπον; πρὸς ἄγγελόν, φησιν, ἢ πρὸς ἀρχάγγελον ἁπλῶς φθέγγεται. καθάπερ γὰρ οἱ μαστιγίαι τῶν οἰκετῶν παρὰ τῶν δεσποτῶν ἐγκαλούμενοι, καὶ ἐξ εὐθείας οὐκ ἔχοντες ἀποκρίνασθαι, τὸ ἐπελθὸν ἅπαν προσφέρουσιν· οὕτω δὴ καὶ ὑμεῖς, πρὸς ἄγγελόν, φατε, καὶ ἀρχάγγελον τὸ ἐργάζεσθαι ταῦτα. τίνος δὲ ἕνεκεν, ὅτε μὲν τὸν οὐρανὸν ἐποίησεν, οὐκ εἶπεν ἀγγέλῳ καὶ ἀρχαγγέλῳ, ἀλλὰ δι' ἑαυτοῦ παρήγαγεν· ὅτε δὲ τὸ τιμιώτερον οὐρανοῦ καὶ παντὸς κόσμου παρήγαγε ζῶον, τὸν ἄνθρωπον, τότε τοὺς δούλους κοινωνοὺς λαμβάνει τῆς δημιουργίας; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἀγγέλων γὰρ τὸ παρεστάναι, οὐ τὸ δημιουργεῖν. ἀρχαγγέλων τὸ λειτουργεῖν, οὐχὶ τὸ γνώμης κοινωνεῖν καὶ βουλῆς. ἄκουσον τί φησιν Ἠσαΐας περὶ τῶν Σεραφὶμ δυνάμεων, τῶν ἀνωτέρω τῶν ἀρχαγγέλων. εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ Σεραφὶμ παρειστήκεισαν κύκλῳ αὐτοῦ. ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί. καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν, ἀποτειχίζουσαι δηλονότι τὰς ὄψεις, διὰ τὸ μὴ δύνασθαι τὴν ἐκ τοῦ θρόνου φερομένην ἀστραπὴν ὑποδέξασθαι. τί λέγεις; τὰ μὲν Σεραφὶμ παρεστήκασι καὶ ἐν θαύματι τοσούτῳ εἰσὶ καὶ ἐκπλήξει, καὶ ταῦτα συγκατάβασιν θεοῦ βλέποντα·

ἄγγελοι δὲ καὶ γνώμης κοινωνοῦσιν αὐτῷ, καὶ σκέψεως μετέχουσιν; ἀλλ' οὐκ ἂν ἔχοι λόγον. ἀλλὰ τίς ἐστι πρὸς ὅν, φησι, ποιήσωμεν ἄνθρωπον; ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστής, ὁ θεὸς ὁ ἰσχυρός, ὁ ἄρχων τῆς εἰρήνης, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ υἱός. πρὸς ἐκεῖνον τοίνυν λέγει, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν. οὐδὲ γὰρ εἶπε τὴν ἐμὴν καὶ τὴν σὴν, ἢ τὴν ἐμὴν καὶ τὴν ὑμῶν, ἀλλά, κατ' εἰκόνα ἡμετέραν καὶ μίαν τὴν ὁμοίωσιν. θεοῦ δὲ καὶ ἀγγέλων οὐκ ἔστιν εἰκὼν μία, οὐδὲ ὁμοίωσις μία. πῶς γὰρ ἂν εἴη τοῦ δεσπότου καὶ τῶν λειτουργῶν εἰκὼν μία καὶ ὁμοίωσις; ὥστε πάντοθεν ὑμῖν ὁ λόγος ἐλήλεγκται. καὶ γὰρ ἀρχῆς εἰκόνα ἐδήλωσεν ἐνταῦθα, καθὼς καὶ τὸ ἑξῆς δηλοῖ. εἰπὼν γάρ, κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν, ἐπήγαγε, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης. ἀρχὴ δὲ θεοῦ καὶ ἀγγέλων οὐκ ἂν εἴη μία. πῶς γάρ, τῶν δούλων καὶ τοῦ δεσπότου, τῶν λειτουργῶν καὶ τοῦ κελεύοντος; ἀλλὰ καὶ ἕτεροι πάλιν ἡμῖν ἐπιφύονταί τινες λέγοντες· ὅτι εἰκόνα ὁ θεὸς ἔχει τοιαύτην, οἵαν καὶ ἡμεῖς, κακῶς νοοῦντες τὸ εἰρημένον. οὐ γὰρ οὐσίας εἶπεν εἰκόνα, ἀλλὰ ἀρχῆς εἰκόνα, καθὼς δηλώσομεν ἐκ τῶν ἑξῆς ἐπαγομένων. ὅτι γὰρ οὐκ ἔστι τὸ θεῖον ἀνθρωπόμορφον, ἄκουσον τοῦ Παύλου λέγοντος· ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστι· διὸ ὀφείλει, φησί, κάλυμμα ἔχειν ἐπὶ τῆς κεφαλῆς· καὶ μὴν εἰ εἰκόνα ἐνταῦθα τοῦτο εἶπε, τὸ ἀπαράλλακτον τῆς μορφῆς τῆς πρὸς τὸν θεὸν δηλῶν, καὶ διὰ τοῦτο εἰκὼν ἄνθρωπος θεοῦ καλεῖται, ὅτι ὁ θεὸς οὕτω διατετύπωται· οὐκοῦν κατ' ἐκείνους οὐκ ἐχρῆν μόνον τὸν ἄνδρα εἰκόνα λέγεσθαι, ἀλλὰ καὶ τὴν γυναῖκα. γυναικὸς γὰρ καὶ ἀνδρὸς εἷς ὁ τύπος καὶ ὁ χαρακτὴρ καὶ ἡ ὁμοίωσις μία. τίνος οὖν ἕνεκεν ὁ ἀνὴρ εἰκὼν τοῦ θεοῦ λέγεται, ἡ γυνὴ δὲ οὐκέτι; ὅτι οὐ τὴν εἰκόνα τὴν ἐν τῇ μορφῇ λέγει, ἀλλὰ τὴν εἰκόνα τὴν κατὰ τὴν ἀρχήν, ἣν ὁ ἄνθρωπος ἔχει μόνος, οὐκέτι δὲ καὶ ἡ γυνή. ὁ μὲν γὰρ οὐδενὶ ὑποτέτακται· ἐκείνη δὲ ὑπὸ τοῦτον γέγονε, καθὼς ὁ θεός, φησι, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει.

A angeli vero & cõſilij ſunt participes, & ad conſultationem admittuntur? id vero nullo modo eſt rationi conſentaneũ. Sed quis ille eſt ad quẽ dicit, Faciamus hominem? Admirabilis conſiliarius, potens, Deus fortis, princeps pacis, pater futuri ſeculi ipſe eſt vnigenitus Dei filius, ad eũ igitur dicit, Faciamus hominẽ ad imaginem & ſimilitudinem noſtrã. Neque enim dixit, meã & tuã, vel meam & veſtrã, ſed ad imaginem vnã & vnã ſimilitudinem: porro Dei & angelorũ vna imago non eſt, neq; vna ſimilitudo. quî enim poſſet vna domini & famulorũ eſſe imago & ſimilitudo? Itaq; omni ex parte cõuincitur falſi ſermo veſter: ſiquidẽ dominatus imaginẽ hic ſignificat, quẽadmodũ indicat & quod ſequitur. Cũ enim dixiſſet, ad imaginẽ, & ſimilitudinem, adiecit Et dominẽtur piſcibus maris: dominat⁹ autẽ Dei & angelorũ vnus eſſe nequit: quomodo enim eſſe poſſet, cũ vnus ſeruorũ ſit, & alter domini? famulorum vnus & alter imperãtis? Sed & alij quidã rurſus in nos inſurgunt dicẽtes, Deum talẽ quãdã habere imaginẽ qualẽ & nos, malè intelligẽtes, quod dictũ eſt. Neq; enim ſubſtãtiæ dixit imaginẽ, ſed dominatus imaginẽ, quemadmodũ ex ijs quæ deinde adijciuntur, oſtendemus. Vt enim ſcias humana forma prẹditũ nõ eſſe numẽ, audi Paulũ dicentẽ: Vir quidẽ nõ debet velari, cũ ſit imago & gloria Dei: mulier autẽ gloria viri eſt: propterea debet, inquit, velũ habere ſupra caput. Enimuero ſi hoc loco imaginẽ id appellauit, æqualem diuinæ omni ex parte formę ſimilitudinẽ ſignificans, & idcirco Dei imago vocatur homo, quoniam Deus hoc pacto figuratus eſt: igitur iuxta illos non virum tantum ad imaginem factũ dici oportebat, ſed etiam mulierem. Mulieris enim & viri figura & forma, & ſimilitudo eſt vna. Quam igitur ob cauſam imago Dei vir dicitur, mulier vero nõ item? quia nimirũ nõ de imagine mentionem facit, quæ in forma ſita ſit, ſed de imagine quæ in dominatu, quam ſolus homo habet, non autem mulier. Nam hic quidem nemini ſubditus eſt, illa huic ſubdita, quemadmodum inquit Deus: Ad virum tuum conuerſio tua, & ipſe tui dominabitur.

Margin notes: Eſa.9.6. (beside "cit, Faciamus hominem? Admirabi-"); B (beside "mini & famulorũ eſſe imago & ſimi-"); Gen.1.26. (beside "enim dixiſſet, ad imaginẽ, & ſimilitu-"); C (beside "quãdã habere imaginẽ qualẽ & nos,"); 1.Cor.11.7. (beside "centẽ: Vir quidẽ nõ debet velari, cũ"); D (beside "circo Dei imago vocatur homo, quo-").

Idcirco Dei quidem imago eſt homo, quia ſublimiorem nullum habet, quemadmodum Deo ſublimior eſt nullus, ſed omnibus dominatur: mulier vero gloria viri eſt, quia viro ſubiecta eſt. Et alibi rurſus ait: Non debemus æſtimare auro, aut argento, aut lapidi, ſculpturæ artis, aut cogitationis hominis, diuinitatem eſſe ſimilem. Quod autem dicit hanc ſententiam habet: Non modo figuras quæ cernuntur excedit numen, ſed neque mens efformare tale quiddam poteſt, qualis eſt Deus. Quî fieri poteſt ergo, vt hominis figuram habeat Deus, cum ne mentem quidem vllam poſſe dicat Paulus eſſentiam Dei apud ſe cogitatione informare? ſiquide formam noſtram ac figuram omnes apud nos cogitatione facilè poſſumus informare. Rurſus de eleemoſyna ſermonem inferre ſtatueram: ſed nobis tempus id non permittit: quapropter finem hic dicendi faciamus ſi prius ad illud vos cohortati fuerimus, vt diligenter omnia quæ dicta ſunt memoriæ mandetis, multámque rectæ conuerſationis curam geratis, ne fruſtra & ſine fructu hic collectas agamus. Quamuis enim dogmatum rectitudinem conſeruemus, niſi operum virtus accedat, omnino à vita æterna excidemus. Non enim omnis, inquit, qui dicit mihi, Domine, Domine, intrabit in regnum cœlorum: ſed qui facit voluntatem patris mei, qui eſt in cœlis. Voluntatem igitur Dei cum omni ſtudio faciamus, vt in cœlos intrare ac bona, quæ præparata ſunt ijs, qui Deum diligunt, adipiſci poſſimus. Quorum vtinam nos participes fieri omnes contingat gratia domini noſtri Ieſu Chriſti, cum quo patri gloria, honor, imperium vna cum ſancto Spiritu in ſecula ſeculorum. Amen.

Act. 17. 28.

Matt. 7. 21.

A Διὰ τοῦτο ὁ μὲν ἄνθρωπος εἰκὼν τοῦ θεοῦ, ἐπειδὴ οὐδένα ἔχει ἀνώτερον, καθάπερ οὐδὲ τοῦ θεοῦ ἀνώτερός τίς ἐστιν, ἀλλὰ πάντων ἄρχει· ἡ γυνὴ δὲ δόξα τοῦ ἀνδρός, ἐπειδὴ τῷ ἀνδρὶ ὑποτέτακται. καὶ πάλιν ἀλλαχοῦ φησιν· οὐκ ὀφείλομεν χρυσῷ, ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης, ἢ ἐνθυμήσεως ἀνθρώπου νομίζειν τὸ θεῖον εἶναι ὅμοιον. ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ μόνον τοὺς ὁρωμένους τύπους ἐκβέβηκε, φησί, τὸ θεῖον, ἀλλ' οὐδὲ διάνοια διατυπῶσαι τὸ τοιοῦτον δύναιτ' ἄν, ὁποῖός ἐστιν ὁ θεός. πῶς οὖν ἀνθρώπου θεὸς μορφὴν ἔχειν δύναιτ' B ἄν, ὁπότε ὁ Παῦλος μηδὲ διάνοιαν εἶναι μηδεμίαν τὴν δυναμένην τυπῶσαι παρ' ἑαυτῇ λέγει τοῦ θεοῦ τὴν οὐσίαν; τὴν γὰρ ἡμετέραν μορφὴν καὶ τὸν τύπον ἅπαντες ῥᾳδίως παρ' ἑαυτοῖς ἀνατυπωσαίμεθ' ἂν κατὰ τοὺς λογισμούς. πάλιν τοὺς περὶ ἐλεημοσύνης ἐπαγαγεῖν λόγους καὶ νῦν ἐβουλόμην· ἀλλ' ὁ καιρὸς ἡμᾶς οὐκ ἀφίησι. διὸ πρὸς σιγὴν τρεψώμεθα λοιπὸν ἑαυτούς, ἐκεῖνο παρεγγυήσαντες ὑμῖν μετ' ἀκριβείας ἅπαντα κατέχειν τὰ εἰρημένα, καὶ πολλὴν τῆς ὀρθῆς πολιτείας ποιεῖσθαι τὴν πρό- C νοιαν, ἵνα μὴ μάτην καὶ εἰκῇ ἐνταῦθα συλλεγώμεθα. κἂν γὰρ δογμάτων ὀρθότητα διατηρῶμεν, τῆς τῶν ἔργων ἀρετῆς μὴ προσούσης, πάντως ἐκπεσούμεθα τῆς αἰωνίου ζωῆς. οὐ πᾶς γάρ, φησιν, ὁ λέγων μοι, κύριε, κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ποιῶμεν οὖν τὸ θέλημα τοῦ θεοῦ μετὰ σπουδῆς ἁπάσης καὶ προθυμίας, ἵνα δυνηθῶμεν εἰς τοὺς οὐρανοὺς εἰσελθεῖν, καὶ τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσι τὸν θεὸν ἐπι- D τυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμή, κράτος σὺν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A

λόγος γ.

Τί ἐστι τὸ, καθ' ὁμοίωσιν, καὶ τίνος ἕνεκεν, τοῦ θεοῦ εἰπόντος τῶν θηρίων ἡμᾶς ἄρχειν, οὐκ ἄρχομεν, καὶ ὅτι κηδεμονίας τοῦτο πολλῆς.

Ὥσπερ τῶν σπειρόντων ὄφελος οὐδὲν, ὅταν παρὰ τὴν ὁδὸν τὰ σπέρματα ῥίπτηται· οὕτως οὐδὲ τοῦ λέγοντος ἔσται τι πλέον, ὅταν μὴ πρὸς τὴν τῶν ἀκουόντων διάνοιαν ὁ λόγος φέρηται, ἀλλ' ἁπλῶς εἰς τὸν ἀέρα διαχυθεῖσα τῆς φωνῆς ἡ ἀπήχησις ἀνόνητον καταλιμπάνῃ τὸν ἀκροατήν. ταῦτα δὲ ὑμῖν οὐχ ἁπλῶς εἴρηκα, ἀλλ' ἵνα μὴ πρὸς τὰ ἁπλούστερα τῶν νοημάτων ἦτε κεχηνότες μόνον, ἀλλὰ καὶ τῶν βαθυτέρων κατατολμήσητε. εἰ γὰρ μὴ νῦν καταβαίημεν πρὸς τὸ βάθος τῶν γραφῶν, ὅταν κοῦφα μὲν ἡμῖν τὰ κῶλα πρὸς τὸ νήχεσθαι, ὀξύτερον δὲ τὸ ὄμμα οὐκέτι τῷ πονηρῷ τῆς τρυφῆς ἐνοχλούμενον ῥεύματι, διαρκέστερον δὲ τὸ πνεῦμα, ὥστε μὴ ἀποπνίγεσθαι, πότε καταβησόμεθα; ὅταν τρυφὴ καὶ ἑστίασις ᾖ καὶ μέθη καὶ τράπεζα ἀδηφαγίας γέμουσα; ἀλλὰ τότε οὐδὲ κινηθῆναι ῥᾴδιον· οὕτω τὸ βαρὺ τῆς τρυφῆς φορτίον πιέζει τὴν ψυχήν. οὐχ ὁρᾶτε ὅτι καὶ οἱ λίθους πολυτελεῖς εὑρίσκειν βουλόμενοι, οὐκ ἄνω παρὰ τὸν αἰγιαλὸν καθήμενοι καὶ τὰ κύματα ἀριθμοῦντες οὕτως εὑρίσκουσι τὸ ζητούμενον, ἀλλ' εἰς αὐτὸ καταδύονται τὸ βάθος· καίτοι πολὺς μὲν ὁ πόνος ἐν τῇ ζητήσει, πολὺς δὲ ὁ κίνδυνος ἐν τῇ εὑρέσει, καὶ μετὰ τὴν εὕρεσιν κέρδος οὐδέν; τί γὰρ ἂν μέγα εἰσενέγκοι εἰς τὸν βίον τὸν ἡμέτερον λίθων εὕρεσις πολυτελῶν; εἴθε μὲν οὖν μὴ μεγάλα εἰσήγαγε κακά. τὸ γὰρ ἀνατρέπον ἡμῶν τὴν ζωὴν καὶ πάντα ἄνω καὶ κάτω ποιοῦν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἡ τῶν χρημάτων μανία· ἀλλ' ὅμως καὶ ψυχὴν καὶ σῶμα ἐκεῖνοι προΐενται τῆς ἐφημέρου τροφῆς ἕνεκεν, καὶ κυμάτων κατατολμῶσιν· ἐνταῦθα δὲ οὐ κίνδυνος, οὐ πόνος οὕτως ἐπιτεταμένος, ἀλλ' ὀλίγος καὶ κοῦφος, καὶ οὗτος διὰ τὴν τῶν εὑρισκομένων φυλακήν. τὰ γὰρ μετ' εὐκολίας εὑρισκόμενα, καὶ εὐκαταφρόνητα πολλοῖς εἶναι δοκεῖ.

SERMO III.

Quid ſit illud, ad ſimilitudinem, & qua de cauſa, cum dixerit nos dominari in feras, non dominemur, & hoc magnæ erga nos curæ argumentum eſſe.

EODEM INTERPRETE.

Qvemadmodũ nihil proficiunt, qui ſeminant, cũ ſecus viam ſemina iacta fuerint: ſic neque proderit is qui dicit, ſi ad mentem auditorũ oratio nõ feratur, ſed ſono vocis in aërem temere diffuſo nulla percepta vtilitate adiutũ relinquit auditorem. Hæc autẽ à me non ſine cauſa dicta ſunt vobis, ſed ne faciliores tantũ ſententias appetatis, verũ profundiores etiã audacter attingatis. Niſi enim iã ad ſcripturarũ interiora deſcendamus penetralia, dũ ad natandũ expedita nobis ſunt membra, dũ acutius cernunt oculi, neque deliciarũ humoribus conturbantur, dũ conſtantior eſt ſpiritus vt ne ſuffocemur, quando deſcẽdemus? an cũ deliciæ adfuerint, epulę, ebrietas, & ingluuie redundãs menſa? atqui tum ne moueri quidẽ facile poſſumus, ita ponderoſum deliciarũ onus animã grauat. Nonne videtis vt ij, qui pretioſos reperire lapides cupiũt, non in littore ſurſum ſedentes fluctuſq; numerantes illud inueniant quod quęrunt, ſed in profundũ ipſum delabãtur, tametſi multus eſt in quærendo labor, multũq; in inueniendo diſcrimen, & poſtquã inuenerint lucrum nullũ. Quã enim magnã in vitã noſtram inuehere poteſt vtilitatẽ lapidũ inuentio pretioſorũ? vtinam autẽ ne multas calamitates importaret. Nihil enim aliud vitam ſubuertit & ſurſum ac deorſũ cuncta miſcet prę ter hanc pecuniarũ inſaniã: verũtamẽ illi & animam & corpus exponũt quotidiani victus quærendi cauſa, ſeq; fluctibus audacter committunt: hic vero neque diſcrimen, neque labor eſt adeo intenſus, verũ exiguus & is propter eorum quæ inuenta ſunt conſeruationem ſuſcipitur. Nam quę cum facilitate reperta ſunt, contemptibilia multis videtur.

Scriptura cum gemmis confertur.

A Non eſt in pelago ſcripturæ procella fluctuum, ſed quouis portu tranquillius eſt hoc pelagus: neceſſe non eſt in ol ſcuros ſinus abyſſi ſe demittere, neque rationis expertiũ aquarum violentiæ ſalutem ſuam committere, ſed multa lux hic affulget multo radijs ſolaribus ipſis ſplendidior, multa ſerenitas, omnis procella ſubmota eſt, & eorum quę reperiuntur tantum eſt lucrum, vt ne oratione quidem vlla poſſit explicari. Ne igitur defatigemur, ſed inquiſitionẽ aggrediamur. Audiſtis Deũ ad imaginem ſuam hominem condidiſſe, & quid ſit illud ad imaginem & ſimilitudinem diximus, non eſſe ſubſtantiæ comparationem, ſed dominatus ſimilitudinẽ: illud autẽ ad ſimilitudinem, benignum eſſe ac mãſuetum, Deoque pro viribus ratione virtutis

Matt. 5. 48. aſſimilari, prout ait Chriſtus, Eſtote ſimiles patri meo, qui in cœlis eſt. Vt enim in hac lata & ſpatioſa terra quædam animalia magis ſunt rationis expertia, quædam ferociora: ſic in animæ noſtræ latitudine quædam ſunt à ratione magis alienę ac belluinæ cogitationes, quædam ferociores & immaniores. Subigendæ igitur ac domandæ ſunt, earumque dominatus rationi committendus. Et quomodo fieri poteſt, dicet aliquis, vt belluinã cogitationẽ quis ſubigat? Quid ais mi homo? Leones ſubigimus, eorumq; animas cicures reddimus, & dubitas an cogitationũ feritatem ad manſuetudinẽ poſſis traducere? tametſi leoni naturalis eſt feritas præter naturam autem mãſuetudo: tibi vero contrà naturalis eſt benignitas, feritas vero præter naturã. Ergò ne qui id expellis quod eſt naturale, & animæ bellue inſeris quod præter naturã eſt, in tua ipſius anima q́ eſt naturale nõ poteris cõſeruare? quis hoc ſummę nõ tribuat negligẽtię? Nã in leonis quidẽ anima præter hãc difficultas eſt altera: eſt enim expers ratiocinationum anima bellue: nihilominꝰ tamẽ leones ſepe vidiſtis ouibus manſuetiores per forũ duci, & multi qui in officinis verſantur pecuniam eorũ cuſtodi tanquã artis ac peritiæ mercedẽ numerãt, qua belluam cicurem reddidit: at in anima tua, & ratio eſt & Dei timor, multumque multis ex partibus auxilium oſtenditur.

A Οὐκ ἔστι κυμάτων ταραχὴ ἐν τῷ πελάγει τῶν γραφῶν, ἀλλὰ παντὸς λιμένος εὐδιώτερον τοῦτο τὸ πέλαγος. οὐκ ἔστιν ἀνάγκη πρὸς τοὺς ζοφεροὺς τῆς ἀβύσσου κόλπους κατενεχθῆναι, οὐδὲ ὑδάτων ἀλόγων ῥύμῃ τὴν τοῦ σώματος ἐπιτρέψαι σωτηρίαν· ἀλλὰ πολὺ μὲν ἐνταῦθα τὸ φῶς, καὶ αὐτῶν τῶν ἀκτίνων φαιδρότερον, πολλὴ δὲ ἡ γαλήνη, πᾶσα δὲ ἐκποδὼν ταραχὴ, καὶ τῶν εὑρισκομένων τοσοῦτον τὸ κέρδος, ὅσον οὐδὲ λόγῳ παραστῆσαι δυνατόν. μὴ τοίνυν ἀποκάμωμεν, ἀλλ' ἐπιχειρήσωμεν τῇ ζητήσει. ἠκούσατε ὅτι καθ' εἰκόνα ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· καὶ τί ποτέ ἐστι τὸ,

B κατ' εἰκόνα τοῦτο καὶ καθ' ὁμοίωσιν, εἰρήκαμεν· ὅτι οὐκ οὐσίας ἀπαραλλαξία, ἀλλ' ἀρχῆς ὁμοιότης· τὸ δὲ, καθ' ὁμοίωσιν, τὸ ἥμερον εἶναι καὶ πρᾶον, καὶ εἰς δύναμιν ἐξομοιοῦσθαι τῷ θεῷ κατὰ τὸν τῆς ἀρετῆς λόγον, ὥς φησιν ὁ Χριστός· γίνεσθε ὅμοιοι τοῦ πατρὸς μου τοῦ ἐν τοῖς οὐρανοῖς. καθάπερ γὰρ ἐν τῇ γῇ τῇ πλατείᾳ καὶ εὐρυχώρῳ ταύτῃ, τῶν ζώων τὰ μέν εἰσιν ἀλογώτερα, τὰ δὲ θηριωδέστερα· οὕτω καὶ ἐν τῷ πλάτει τῆς ἡμετέρας ψυχῆς, τῶν λογισμῶν οἱ μέν εἰσιν ἀλογώτεροι καὶ κτηνώδεις, οἱ δὲ θηριωδέστεροι καὶ ἀγριώτεροι. δεῖ τοίνυν αὐτῶν κρα-

C τεῖν καὶ περιγίνεσθαι, καὶ τῷ λογισμῷ τὴν τούτων ἀρχὴν παραδιδόναι. καὶ πῶς ἂν δύναιτό τις περιγενέσθαι λογισμοῦ θηριώδους, φησί; τί λέγεις ἄνθρωπε; τῶν λεόντων περιγινόμεθα, καὶ τὰς ψυχὰς αὐτῶν ἡμεροῦμεν, καὶ ἀμφιβάλλεις, εἰ λογισμοῦ θηριωδίαν πρὸς ἡμερότητα δυνήσῃ μεταβαλεῖν; καίτοι τῷ λέοντι μὲν κατὰ φύσιν τὸ ἄγριον, παρὰ φύσιν δὲ τὸ ἥμερον· σοὶ δὲ τὸ ἐναντίον, κατὰ φύσιν μὲν τὸ προσηνὲς, παρὰ φύσιν δὲ ἡ θηριωδία. ὁ τοίνυν τὸ κατὰ φύσιν ἐκβάλλων, καὶ τὸ παρὰ φύσιν ἐντιθεὶς τῇ τοῦ θηρίου ψυχῇ, ἐν τῇ ἑαυτοῦ ψυχῇ τὸ κατὰ φύσιν οὐ δυνή-

D σῃ διατηρῆσαι; καὶ πόσης οὐκ ἂν εἴη τοῦτο ῥᾳθυμίας; καὶ ἐπὶ μὲν τῆς τῶν λεόντων ψυχῆς καὶ ἑτέρα δυσκολία μετὰ ταύτης ἐστί· λογισμῶν γάρ ἐστιν ἔρημος ἡ τοῦ θηρίου ψυχή· ἀλλ' ὅμως ἑωράκατε πολλάκις λέοντας προβάτων ἡμερωτέρους διὰ τῆς ἀγορᾶς ἀγομένους; καὶ πολλοὶ τῶν ἐν τοῖς ἐργαστηρίοις ἀργύριον πολλάκις κατέβαλον τῷ κατέχοντι, μισθόν τινα τῆς τέχνης καὶ τῆς σοφίας, δι' ἧς τὸ θηρίον ἡμέρωσεν. ἐπὶ δὲ τῆς σῆς ψυχῆς καὶ λογισμός ἐστι, καὶ θεοῦ φόβος, καὶ πολλὴ πολλαχόθεν ἡ βοήθεια.

μὴ τοίνυν σκήψεις λέγε καὶ προφάσεις. δυνατὸν γάρ, ἐὰν θέλῃς, ἥμερόν σε εἶναι καὶ πρᾶον. A ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν θηρίων. ἐνταῦθα Ἕλληνες ἡμῖν ἐπιφύονται, καί φασι τὸ λόγιον ψεύδεσθαι. οὐ γὰρ ἡμεῖς ἄρχομεν τῶν θηρίων· αὐτὰ ἡμῶν ἄρχει, καὶ πολλὴν ἡμῖν ἐμβάλλει τὴν ἀγωνίαν. μάλιστα μὲν οὖν τοῦτο οὐκ ἀληθές. ἀρκεῖ γὰρ καὶ ὄψις ἀνθρωπίνη φανεῖσα ἐκποδὼν ποιῆσαι θηρίον· τοσοῦτος αὐτοῖς ἐστι παρ' ἡμῶν ὁ φόβος. εἰ δέ που πρὸς ἄμυναν ὁρμήσειεν, ἢ λιμοῦ καταναγκάζοντος, ἢ ἡμῶν αὐτὰ στενοχωρούντων πολλάκις, καὶ πρὸς ἀνάγκην ἐκβαλ- B λόντων αὐτά, τοῦτο οὖν οὐκ ἂν εἴη ἀρχῆς ἀπηρτισμένης. οὐδὲ γάρ, εἴ τις ἡμῶν λῃστὰς ἐπιόντας ἰδὼν, ὁπλίζοιτο, καὶ πρὸς τὴν ἄμυναν χωροίη, ἀρχῆς τὸ πρᾶγμά ἐστιν, ἀλλὰ τῆς οἰκείας σωτηρίας πολλὴ πρόνοια. πλὴν ἀλλ' οὐκ ἐντεῦθεν ποιοῦμαι τὴν ἀπολογίαν, ἀλλ' ἑτέρωθεν, ὅθεν καὶ ὑμῖν χρήσιμον ἀκοῦσαι. φοβούμεθα τὰ θηρία καὶ δεδοίκαμεν, καὶ τῆς ἀρχῆς ἐκπεπτώκαμεν. οὐκ ἀντιλέγω, φημὶ καὶ αὐτός· ἀλλ' οὐ τοῦτο ψευδῆ τὸν τοῦ θεοῦ νόμον δείκνυσι. παρὰ γὰρ τὴν ἀρχὴν οὐχ οὕτω τὰ πράγματα διέκειτο, ἀλλ' ἐδεδοίκει καὶ C ἔτρεμε καὶ ὑπέκυπτε, ὡς δεσπότῃ, τῷ ἀνθρώπῳ. ἐπειδὴ δὲ τῆς παρρησίας ἐξεπέσομεν καὶ τῆς τιμῆς, διὰ τοῦτο δεδοίκαμεν αὐτά. πόθεν τοῦτο δῆλον; ἤγαγεν ὁ θεὸς τὰ θηρία πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά· καὶ οὐκ ἀπεπήδησεν ὁ Ἀδάμ, καθάπερ δεδοικώς, ἀλλ' ὥσπερ δούλοις ὑποτεταγμένοις τὰ ὀνόματα ἐπέθηκεν ἅπασι. τοῦτο δὲ δεσποτείας σύμβολον. διὸ καὶ ὁ θεὸς βουλόμενος αὐτοῦ ἐκ τούτου δεῖξαι τὸ τῆς ἐξουσίας ἀξίωμα, τὴν τῶν ὀνομάτων αὐτῷ θέσιν ἐπέτρεψε, καὶ τὰ τεθέντα ὀνόματα ἔμεινεν ἐξ ἐκείνου D εἰς αὐτά. πᾶν γὰρ ὃ ἐκάλεσεν Ἀδάμ, τοῦτο ὄνομα αὐτοῖς, φησίν. ἓν δὴ τοῦτο σημεῖον τοῦ μὴ φοβερὰ εἶναι τῷ ἀνθρώπῳ τὰ θηρία παρὰ τὴν ἀρχήν· δεύτερον δὲ καὶ τοῦ προτέρου σαφέστερον, ἡ πρὸς τὴν γυναῖκα τοῦ ὄφεως διάλεξις. εἰ γὰρ ἦν φοβερὰ τὰ θηρία τοῖς ἀνθρώποις, οὐκ ἂν ἰδοῦσα τὸν ὄφιν ἔμεινεν ἡ γυνή, ἀλλ' ἔφυγεν ἄν. οὐκ ἂν ἐδέξατο συμβουλήν, οὐκ ἂν μετὰ τοσαύτης αὐτῷ διελέχθη τῆς ἀδείας· ἀλλ' εὐθέως ἂν πρὸς τὴν ὄψιν καὶ ἐξεπλάγη καὶ ἀπεπήδησε· νυνὶ δὲ καὶ διαλέγεται, καὶ οὐ φοβεῖται· οὐδέ-

Ne igitur prætextus & excuſationes obtendas. Potes enim, ſi velis, fieri mãſuetus & lenis. Faciamus hominẽ ad imaginẽ,& ſimilitudinẽ noſtrã,& dominentur beſtiis. Hoc loco inſurgunt in nos Gentiles,& oraculũ mẽtiri contendũt: non enim nos beſtiis dominamur:ipſę nobis potius dominãtur,multumq; metũ injiciũt. Sane quidẽ hoc verũ non eſt:ſufficit enim ad beſtiã abigendã ſi facies humana cõpareat: tantus in eas à nobis timor dimanat. Quod ſicubi ad ſe vlſciſcẽdas impetum faciant, ſiue fame cogente,ſiue quod nos ipſi eas in anguſtias redigamus, eiſq; neceſſitatẽ afferamus, hoc vero perfectus non eſt dominatus.Neq; enim ſi quis noſtrũ viſis latronibus impetũ facientibus armetur,& ad ſe vlciſcẽdum ſe comparet, dominatus appellari res illa poteſt,ſed propriæ ſalutis tuẽdæ ſollicitudo:veruntamen non inde quęro defenſionẽ, ſed aliunde:quapropter vobis nõ inutile fuerit audiiſſe. Timemus beſtias, ac reformidamus, atque dominatu excidimus, non nego, immo ſponte confiteor: nõ tamẽ id mendacẽ eſſe Dei legem oſtẽdit. Non enim ita ſe res habebãt à principio, ſed metuebant & tremebant, ſeq; homini tanquã domino ſubmittebant.quoniam autẽ fiducia & honore excidimus, idcirco illas timemus. Vnde vero id conſtat? Adduxit beſtias ad AdãDeus, vt videret,quid vocaret eas:neque reſilijt Adã quaſi timore correptus, ſed tanquã ſubditis ſibi ſeruis nomina cunctis impoſuit. Hoc vero dominatus eſt indiciũ. Quamobrẽ volens etiã Deus per hoc illos ſuę poteſtatis oſtendere dignitatem, nominũ impoſitionẽ ipſi permiſit, atq; impoſita illis nomina in eis ex illo tempore permanſerũt. Omne enim ꝙ vocauit Adã,hoc nomẽ illis,inquit,Itaq; vnũ hoc indiciũ eſt ab initio feras homini terribiles nõ fuiſſe: alterũ vero etiã priori manifeſtius eſt, ſerpẽtis colloquiũ cum muliere. Nã ſi terribiles hominibus fuiſſent beſtię mulier ſerpente conſpecto non mãſiſſet, verũ aufugiſſet, neq; conſiliũ admiſiſſet, neq; tãta cũ ſecuritate colloquuta cũ illo fuiſſet, ſed confeſtim ad aſpectum eius obſtupefacta profugiſſet: iam vero & colloquitur,nec reformidat, quippe

Gentiliũ obiectioni reſpondet.

Geneſ.2 19.

Gen.2. 11.

Colloquiũ Euæ cum ſerpẽte.

quod nondum ille timor eſſet. Poſt- A quã autẽ peccatũ intrauit, dignitas etiam eſt ablata. Et quẽadmodũ inter famulos qui honeſtiores ſunt & clariores, conſeruis ſuis terrori ſunt, qui autẽ offenderunt herũ, cõſeruos timent: ſic & homini contigit. Nam dũ fiducia apud Deũ ſalua mãſit, terribilis fuit beſtiis: poſtquã autem offendit, etiã vltimos cõſeruorũ deinceps timuit. Quod ſi hoc ita non ſit, oſtende tu mihi fuiſſe terribiles hominibus beſtias ante peccatũ: atqui nõ poteris. Quod ſi poſtea ſubiit timor, hoc etiã ſollicitudinis domini eſt argumentũ. Nam ſi poſt homini B traditi à Deo mandati tranſgreſſionẽ integer in eũ à Deo collatus honor mãſiſſet immotus haud facile à lapſu reſurrexiſſet. Quando enim & inobedientes & obedientes pari honore fruuntur, ad improbitatẽ erudiũtur magis, neq; facile à vitio deſiſtũt ſi enim iam cũ terrores & pœnæ, ac ſupplicia imminẽt, reſipiſcere nõ dignantur, quales fuiſſent ſi nihil graue pro ſuis delictis paſſi eſſent? Itaq nobis dominatus ob ſingularẽ noſtri curã & ſollicitudinem eſt ablatus. C Tu vero hic quoq; ineffabilem eius benignitatẽ conſidera. Siquidem Adam totũ mandatũ violauit, ac legẽ tranſgreſſus eſt: Deus autẽ non totũ honorẽ ſuſtulit, neq; tota eũ poteſtate deiecit, ſed ea dũtaxat ab eius imperio exemit animalia, quæ nõ multũ ad hui⁹ vitæ ſubſidiũ illi cõducũt quę vero neceſſaria ſũt & vtilia, quęque multũ inſeruiunt vitæ noſtrę, ea ſubdita nobis eſſe permiſit. Boũ nobis reliquit armẽta, vt vomerem trahamus, vt terrã ſulcemus, vt ſemina terræ mandemus: reliquit & ſubiugalium multa genera, vt ad ſarcinas D conuehendas laborẽ nobiſcũ exantlent: reliquit ouiũ greges, vt habeamus, quæ ad nos veſtiendos ſufficiant: reliquit & alia genera animantiũ, ex quibus multa in noſtros vſus cõmoda deriuãtur. Nã quia dũ hominẽ puniret dixerat: In ſudore vult⁹ tui veſceris pane tuo: vt ne ſudor ac labor iſte intolerabilis eſſet, ſudoris moleſtiã laboriſque grauitatẽ iumentorũ multitudine leuauit, quę vna nobiſcum laborant & moleſtias ferunt. Et quemadmodũ benignus

Timor beſtiarũ vtilis homini.

πω γὰρ ἦν ὁ φόβος ἐστί. ἀλλ' ἐπειδὴ ἡ ἁμαρτία εἰσῆλθεν, ἀνῃρέθη καὶ τὰ τῆς τιμῆς. καὶ καθάπερ ἐπὶ τῶν οἰκετῶν, οἱ μὲν εὐδοκιμοῦντες φοβεροὶ τοῖς συνδούλοις εἰσίν, οἱ δὲ προσκεκρουκότες καὶ τοὺς ὁμοδούλους δεδοίκασιν· οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου γέγονεν. ἕως μὲν γὰρ εἶχε πρὸς τὸν θεὸν παρρησίαν, φοβερὸς τοῖς θηρίοις ἦν· ἐπειδὴ δὲ προσέκρουσε, καὶ τοὺς ἐσχάτους τῶν ὁμοδούλων δέδοικε λοιπόν. εἰ δὲ μὴ τοῦτό ἐστι, σύ μοι δεῖξαι πρὸ τῆς ἁμαρτίας, ὅτι φοβερὰ τοῖς ἀνθρώποις τὰ θηρία ἦν. ἀλλ' οὐκ ἂν ἔχοις. εἰ δὲ μετὰ ταῦτα εἰσῆλθεν ὁ φόβος, καὶ τοῦτο τῆς τοῦ δεσπότου κηδεμονίας. B εἰ γὰρ τῆς ἐντολῆς τῆς δοθείσης [illegible] τῷ ἀνθρώπῳ κινηθείσης ἡ τιμὴ [illegible] ἀκίνητος ἔμεινεν, [illegible] C [illegible] ἀναγκαῖα καὶ [illegible] λειτουργίαν [illegible] εἴασε μὲν ἐν [illegible] ἀγέλας, ἵνα ἀροτριῶμεν, ἵνα [illegible] ἵνα D τὰ σπέρματα καταβάλλωμεν· ἀφῆκε τῶν ὑποζυγίων τὰ γένη, ἵνα πρὸς τὴν τῶν φορτίων μετακομιδὴν συναντιλαμβάνηται ἡμῖν τῶν πόνων· ἀφῆκε προβάτων ποίμνια, ἵνα ἔχωμεν εἰς περιβολὰς ἱματίων χορηγίαν ἀρκοῦσαν· καὶ ἕτερα δὲ γένη ζώων εἴασε πολλὴν ἡμῖν ἑτέραν εἰσάγοντα χρείαν. ἐπειδὴ γὰρ κολάζων τὸν ἄνθρωπον ἔλεγεν, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἵνα μὴ ὁ ἱδρὼς οὗτος ὁ μόχθος καὶ ὁ πόνος ἀφόρητος ᾖ, ἐπεκούφισε τὸ βαρὺ καὶ φορτικὸν τοῦ ἱδρῶτος τῷ πλήθει τῶν ἀλόγων τῶν συνεφαπτομένων ἡμῖν τοῦ πόνου καὶ τῆς ταλαιπωρίας ταύτης. καὶ καθάπερ δεσπότης φιλάν-

ἄνθρωπος καὶ κηδεμονικὸς τὸν οἰκέτην τὸν ἑαυτοῦ μαστίξας, θεραπείαν τινὰ προσάγει ταῖς μάστιξιν· οὕτω καὶ ὁ θεὸς καταδίκην ἐπιθεὶς, πάντῃ τρόπῳ τὴν καταδίκην ταύτην κουφοτέραν βούλεται ποιῆσαι· ἱδρῶτι μὲν ἡμᾶς καταδικάσας καὶ πόνῳ διηνεκεῖ, τοῦ δὲ πόνου συνεφάπτεσθαι πολλὰ τῶν ἀλόγων γένη παρασκευάσας ἡμῖν. ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν αὐτῷ. καὶ γὰρ τὸ δοῦναι τὴν τιμὴν ἡμῖν, καὶ τὸ πάλιν ἀφελεῖν τὴν τιμὴν, καὶ τὸ μὴ πᾶσαν ἀφελεῖν αὐτὴν, καὶ τὸ τὸν φόβον ἡμῖν ἐπιστῆσαι τῶν θηρίων, καὶ πάντα, ἄν τις ἐξετάζῃ, πολλῆς γέμει σοφίας, πολλῆς κηδεμονίας, πολλῆς φιλανθρωπίας· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαύειν διηνεκῶς εἰς δόξαν τοῦ ταῦτα ἐργαζομένου θεοῦ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A ac prouidus herus flagellato ſeruo curam aliquam congruam flagellis adhibet: ſic nimirum vbi pœnam reo impoſuit Deus, omni ratione pœnam iſtam leuiorem reddere voluit, dum ad ſudorem nos laborémque perpetuum damnatos in labore curauit ferendo à multis generibus animantium adiuuari. Pro his ſanè omnibus ei gratias agamus. nã quod honorem nobis contulit, ac rurſus honorem eripuit, & quod beſtiarum timorem immiſit, & omnia, ſi quis examinet ea, multam ſapientiam, multam prouidentiam, multámque B clementiã præ ſe ferunt: qua nobis omnibus frui perpetuò contingat in Dei gloriam, qui hæc omnia perfecit: Ipſi gloria in ſecula ſeculorum. Amen.

Λόγος δ.

Ὅτι δουλείας τρόπους τρεῖς εἰσήγαγεν ἡ ἁμαρτία· καὶ πρὸς τοὺς ῥαθύμως ἀκούοντας, καὶ μὴ τιμῶντας γονεῖς.

SERMO IV.

Quod ſeruitutis modos tres induxerit peccatum, & in negligentes auditores, eoſque qui parentes non honorant.

EODEM INTERPRETE.

C

Ἠκούσατε χθὲς, πῶς μὲν ἐποίησε βασιλέα καὶ ἄρχοντα τῶν θηρίων τὸν ἄνθρωπον ὁ θεὸς, πῶς δὲ αὐτὸν εὐθὺς τῆς βασιλείας ἐξέβαλε· μᾶλλον δὲ οὐχ ὁ θεὸς, ἀλλ' αὐτὸς ἑαυτὸν διὰ τῆς παρακοῆς ἐξέβαλε τῆς τιμῆς. τὸ μὲν γὰρ τυχεῖν τῆς βασιλείας, τῆς τοῦ θεοῦ φιλανθρωπίας ἐγένετο μόνης. οὐ γὰρ κατορθωμάτων αὐτῷ ταύτην ἔδωκε τὴν ἀμοιβὴν, ἀλλὰ καὶ πρὶν ἢ γενέσθαι, E ἐκόσμησε τῇ τιμῇ. ἵνα γὰρ μὴ λέγῃς, ὅτι μετὰ ταῦτα γενόμενος ὁ ἄνθρωπος, εἶτα πολλὰ κατορθώσας, οὕτως ἔπεισε τὸν θεὸν εἰς τὸ δοῦναι αὐτῷ τὴν τῶν θηρίων ἀρχὴν, μέλλων αὐτὸν διαπλάττειν περὶ τῆς ἀρχῆς αὐτοῦ διαλέγεται, οὕτω λέγων· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν θηρίων τῆς γῆς. πρὸ τῆς ζωῆς ἡ τιμὴ, πρὸ τῆς δημιουργίας ὁ στέφανος, καὶ πρὶν ἢ γενέσθαι, ἐπὶ τὸν βασιλικὸν ἀνάγεται θρόνον. ἄνθρωποι μὲν γὰρ τοὺς ὑποκειμένους αὐτοῖς ἐν ἐσχάτῳ γήρᾳ

AVDIVISTIS heſterno die, quo pacto Deus hominem beſtiarum regẽ ac principem conſtituerit, quo pacto item confeſtim è regno illum eiecerit, vel potius non Deus, ſed ipſe per inobedientiam honore ſeipſum abdicarit. Nam quod illi quidem regnum obtigerit, diuinæ ſolius fuit benignitatis. Neque enim hanc illi mercedem tribuit rectè factorum, ſed & priuſquam naſceretur hoc illum honore decorauit. At ne fortè diceres hominẽ poſtea natum, deinde multis editis præclaris facinoribus ita Deum ſibi conciliaſſe, vt ab eo imperium in belluas obtineret, cum formaturus eum eſſet, de ipſius imperio verba facit ita dicens: *Faciamus hominẽ ad imaginem & ſimilitudinem noſtram, & principatum habeant beſtiarum terræ.* Ante vitam honor, ante creationem corona, & antequam naſcatur ad regium thronum euehitur. Etenim homines ſubditos ſuos in extrema ſenectute poſt multos labores, & in- Gen. 1. 26.

finita pericula, cum in pace, tum in bellis, tum demum honore afficiunt: Deus autem nõ ita, ſed confeſtim vt natus eſt ad hunc eũ honorẽ euexit, & hoc non rectè factorum eſſe mercedem oſtendit, ſed gratiã diuinã, & non debitum Quod igitur principatum acceperit, id ex ſola Dei benignitate illi obuenit: quod autẽ exciderit principatu, ex ipſius ignauia. Ergo vt Reges eis qui ſuis non parẽt mandatis abrogant principatum, ita ſe geſſit erga hominem Deus quũ ei tunc principatum abrogauit. Nunc autem operæ precium fuerit dicere, quantum etiã alium honorẽ illi peccati natura eripuerit, & quot ſeruitutis modos induxerit, dum tãquam tyrannus quiſpiam diuerſis uinculis, multis generibus principatuum naturã noſtrã deuinxit. Primus igitur principatus eſt & ſeruitus qua & mulieribus imperant viri: ſiquidem poſt peccatum ac opus fuit Nã ante inobedientiã par honore fuit viro, cumque illã formauit Deus, quibꝰ informatione viri verbis vſus erat, his & in creatione mulieris eſt vſus. Vt igitur de illo dixit, Faciamꝰ hominẽ ad imaginem, & ſimilitudinẽ noſtrã, neq; dixit, Fiat homo: ſic & de iſta non dixit, Fiat mulier, ſed hic quoq;, Faciamus ei adiutorem, neque ſimpliciter adiutorem, ſed ſecundũ ipſum, quo rurſus honoris æqualitatem oſtendit. Nam quoniã brutæ animantes ad neceſſarios vitæ vſus multum nobis conferunt adiumenti, ne forte mulierem quoque inter mancipia putares eſſe numerãdam, vide quomodo ab illis eam manifeſtè diſtinguat. Adduxit beſtias, inquit, coram Adam, & non eſt inuentus adiutor ſimilis ei ſecundum ipſum. Quid igitur? non eſt adiutor equus, qui operam ſuam illi præſtat in bellis? nõ eſt adiutor bos, qui vomerem trahit, & dum ſemina terra mandãtur, nobiſcum laborat? non ſunt adiutores aſinus & mulus qui ad onera tranſuehenda nos adiuuant? Sed ne hoc dicas, propterea hæc accuratè diſtinguit. Non enim ſimpliciter dixit, Nõ eſt inuentus illi adiutor, ſed, Non eſt inuentus adiutor ſimilis ei. Ita hic quoque non dixit ſimpliciter Faciamus, ſed ſecundum ipſum dixit. Hęc

Honore afficit ſubditos ſuos Deus quomodo.

Geneſ. 2 19.

A μετὰ πολλοὺς πόνους καὶ μυρίους κινδύνους, τοὺς ἐν εἰρήνῃ, τοὺς ἐν πολέμοις, τότε τιμῶσιν· ὁ δὲ θεὸς οὐχ οὕτως, ἀλλ' εὐθέως γενόμενον αὐτὸν ἐπὶ τὴν τιμὴν ταύτην ἤγαγε, δεικνὺς ὅτι οὐ κατορθωμάτων ἐστὶν ἀμοιβὴ τὸ γινόμενον, ἀλλὰ θεία χάρις καὶ οὐκ ὀφειλή. τὸ μὲν οὖν λαβεῖν αὐτὸν τὴν ἀρχὴν ἀπὸ τῆς τοῦ θεοῦ φιλανθρωπίας ἐγένετο μόνης· τὸ δὲ ἐκπεσεῖν τῆς ἀρχῆς, ἀπὸ τῆς αὐτοῦ ῥᾳθυμίας. ὥσπερ οὖν οἱ βασιλεῖς τοὺς οὐχ ὑπακούοντας τοῖς αὐτῶν προστάγμασι παραλύουσι τῆς ἀρχῆς· οὕτω καὶ ὁ θεὸς ἐποίησεν ἐπὶ τοῦ ἀνθρώπου, τότε παραλύσας αὐτὸν τῆς ἀρχῆς. B ἀναγκαῖον δὲ σήμερον εἰπεῖν, πόσην καὶ ἄλλην τιμὴν ἡ τῆς ἁμαρτίας παρείλατο φύσις, καὶ ὅσους δουλείας εἰσήγαγε τρόπους, ὥσπερ τις τύραννος ἐν πολυτρόποις δεσμοῖς, ταῖς παντοδαπαῖς ἀρχαῖς τὴν ἡμετέραν δεσμεύουσα φύσιν. ἔστι τοίνυν ἀρχὴ καὶ δουλεία πρώτη, καθ' ἣν καὶ γυναικῶν οἱ ἄνδρες κρατοῦσι· μετὰ γὰρ τὴν ἁμαρτίαν ἡ ταύτης ἐγένετο χρεία. πρὸ γὰρ τῆς παρακοῆς ὁμότιμος ἦν τῷ ἀνδρί. καὶ γὰρ ὅτε ταύτην διέπλαττεν ὁ θεός, οἷς ἐχρήσατο ῥήμασιν ἐπὶ τῆς διαπλάσεως τοῦ ἀνδρός, τούτοις καὶ ἐπὶ τῆς δημιουργίας τῆς γυναικός. C ὥσπερ οὖν εἶπεν ἐπ' ἐκείνῳ, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ οὐκ εἶπε, γενηθήτω ἄνθρωπος· οὕτω καὶ ἐπὶ ταύτης οὐκ εἶπε, γενηθήτω γυνή, ἀλλὰ καὶ ἐνταῦθα, ποιήσωμεν αὐτῷ βοηθόν· καὶ οὐχ ἁπλῶς βοηθόν, ἀλλὰ κατ' αὐτόν, πάλιν τὸ ὁμότιμον δηλῶν. ἐπειδὴ γὰρ πολλὴν εἰς τὴν τῆς ζωῆς ἡμῶν χρείαν τὰ ἄλογα τὴν τῆς βοηθείας εἰσήγαγε κοινωνίαν, ἵνα μὴ τῶν δούλων νομίσῃς εἶναι καὶ τὴν γυναῖκα, ὅρα πῶς ποιεῖ τὴν διάκρισιν φανεράν. ἤγαγε τὰ θηρία, φησίν, ἐνώπιον τοῦ Ἀδάμ, καὶ οὐχ εὑρέθη D βοηθὸς ὅμοιος αὐτῷ κατ' αὐτόν. τί οὖν; ὁ ἵππος οὐ βοηθός, συμπαρατατόμενος ἐν τοῖς πολέμοις; ὁ βοῦς οὐ βοηθός, ἄροτρον ἕλκων καὶ συγκάμνων ἡμῖν ἐν ταῖς τῶν σπερμάτων καταβολαῖς; ὄνος καὶ ἡμίονος οὐ βοηθοί, πρὸς τὴν τῶν ἀγωγίμων ἡμῖν συμπράττοντες μετακομιδήν; ἀλλ' ἵνα μὴ τοῦτο λέγῃς, διὰ τοῦτο ἀκριβῆ ποιεῖται τὴν διαίρεσιν. οὐδὲ γὰρ εἶπεν ἁπλῶς, ὅτι οὐχ εὑρέθη αὐτῷ βοηθός, ἀλλ' ὅτι οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. οὕτω καὶ ἐνταῦθα, ποιήσωμεν, οὐχ ἁπλῶς, ἀλλὰ, κατ' αὐτόν, εἶπε. ταῦτα

A ἦ πρὸ τῆς ἁμαρτίας· μετὰ δὲ τὴν ἁμαρτίαν, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ἐποίησά σε, φησὶν, ὁμότιμον· οὐκ ἐχρήσω καλῶς τῇ ἀρχῇ· μετάβηθι πρὸς τὴν ὑποταγήν. οὐκ ἤνεγκας τὴν ἐλευθερίαν· κατάδεξαι τὴν δουλείαν. οὐκ οἶδας ἄρχειν, καὶ δι᾽ αὐτῆς τῶν πραγμάτων ἔδειξας τῆς πείρας· γενοῦ τῶν ἀρχομένων, καὶ τὸν ἄνδρα ἐπίγνωθι κύριον· πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. καὶ ὅρα θεοῦ ἐνταῦθα φιλανθρωπίαν. ἵνα γὰρ μὴ ἀκούσασα τὸ, αὐτός σου κυριεύσει, φορτικὴν εἶναι νομίσῃ τὴν δεσποτείαν, πρότερον τὸ B τῆς κηδεμονίας ἔθηκεν ὄνομα, εἰπὼν, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, τουτέστιν, ἡ καταφυγή σου καὶ ὁ λιμὴν, ἡ ἀσφάλεια ἐκεῖνος ἔσται σοι· ἐν πᾶσι τοῖς ἐπιοῦσι δεινοῖς πρὸς ἐκεῖνον ἀποστρέφεσθαι καὶ καταφεύγειν σοι δίδωμι. οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ φυσικαῖς αὐτοὺς συνέδησεν ἀνάγκαις, καθάπερ ἄρρηκτόν τινα δεσμὸν, τὴν ἐκ τῆς ἐπιθυμίας περιβαλὼν αὐτοῖς ἅλυσιν. Εἶδες πῶς εἰσήγαγε μὲν τὴν ὑποταγὴν ἡ ἁμαρτία· ὁ δὲ εὐμήχανος καὶ σοφὸς θεὸς καὶ τούτοις πρὸς τὸ συμφέρον ἡμῖν ἀπεχρήσατο; ἄκουσον πῶς καὶ C Παῦλος περὶ ταύτης λέγει τῆς ὑποταγῆς, ἵνα μάθῃς πάλιν παλαιᾶς καὶ καινῆς τὴν συμφωνίαν. γυνὴ, φησὶν, ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ. εἶδες καὶ αὐτὸν ὑποτάξαντα τῷ ἀνδρὶ τὴν γυναῖκα; ἀλλ᾽ ἀνάμεινον, καὶ τὴν αἰτίαν ἀκούσῃ. διὰ τί ἐν πάσῃ ὑποταγῇ; γυναῖκα γὰρ, φησὶ, διδάσκειν οὐκ ἐπιτρέπω. διὰ τί; ἐδίδαξε γὰρ ἅπαξ κακῶς τὸν Ἀδάμ· οὐδὲ αὐθεντεῖν τοῦ ἀνδρός. τί δήποτε; καὶ γὰρ ηὐθέντησεν ἅπαξ κακῶς· ἀλλ᾽ εἶναι ἐν ἡσυχίᾳ· ἀλλ᾽ εἰπὲ καὶ τὴν αἰτίαν. Ἀδὰμ γὰρ, φησὶν, οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει D γέγονε. διὰ τοῦτο αὐτὴν ἀπὸ τοῦ τῆς διδασκαλίας κατεβίβασε θρόνου. ὁ γὰρ διδάσκειν οὐκ εἰδὼς, μανθανέτω, φησίν. εἰ δὲ μὴ βούλοιτο μανθάνειν, ἀλλὰ διδάσκειν ἐθέλοι, καὶ ἑαυτὸν καὶ τοὺς μανθάνοντας προσαπολεῖ· ὅπερ οὖν καὶ ἐπὶ τῆς γυναικὸς τότε γέγονεν. ἀλλ᾽ ὅτι μὲν ὑποτέτακται τῷ ἀνδρὶ, καὶ διὰ τὴν ἁμαρτίαν ὑπετάγη, δῆλον ἐντεῦθεν· βούλομαι δὲ ἐκεῖνο ἀκοῦσαι, τὸ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. βούλομαι μαθεῖν πῶς καὶ περὶ τῆς κηδεμονίας ταύτης ὁ Παῦλος διαλέγεται,

A autem ante peccatum contigerunt: poſt peccatum autẽ: Ad virum tuum conuerſio tua, & ipſe tui dominabitur. Æqualem honore te creaui, inquit, non rectè vſa es principatu ad ſubiectionem deſcende. Non tuliſti libertatem, ſeruitutem admitte: neſciuiſti imperare, quod & ipſa rerum experientia declaraſti, eſto vna ex ſubditis, & dominum virum agnoſce. *Ad virum tuum conuerſio tua, & ipſe tui dominabitur.* Ac vide hoc loco Dei benignitatem, Ne enim audiens, Ipſe tui dominabitur, grauem cenſeret eſſe dominatum, prius poſuit no- B men curæ dicens, Ad virum tuum conuerſio tua, hoc eſt, refugium tuum, portus, & ſecuritas tibi erit ille: vt in omnibus, quæ ingruent, malis ad ipſum te conuertas & confugias, tibi concedo. Neque hoc ſolum modo, ſed & naturalibus eos neceſſitatibus colligauit, & tanquam infractum quoddam vinculum, cupiditatis illis catenam iniecit. Vides, vt ſubiectionẽ inuexerit quidẽ peccatum, ſolers autem & ſapiens Deus, his quoq; ad noſtram vtilitatem ſit C vſus? Audi quid de hac ſubiectione dicat Paulus, vt rurſum veteris ac nouiteſtamenti concordiam intelligas. 1.Tim.2 11.12. Mulier, inquit, in ſilentio diſcat cum omne ſubiectione. Vides & ipſum viro mulierem ſubieciſſe? ſed expecta, & cauſam audies. Cur cum omni ſubiectione? Mulieri enim, inquit docere non permitto. Quid ita? Semel enim male docuit Adam. Neque dominari in virum. Cur id tandem? Semel quippe malè dominata eſt: ſed eſſe in ſilentio. Dic vero cauſam. Adam D enim, inquit, nõ eſt ſeductus: mulier autem ſeducta in præuaricatione fuit. Idcirco illam à doctrinæ throno deiecit. Qui enim docere neſcit, diſcat, inquit. quod ſi noluerit diſcere, ſed docere voluerit, & ſeipſum, & diſcipulos inſuper ſuos perdet: id quod etiam tunc mulieri accidit. Verum illam quidem viro ſubiectam fuiſſe, ac propter peccatum fuiſſe ſubiectam, hinc manifeſtum eſt: illud autem audire velim, *Ad virum tuum conuerſio tua, & ipſe tui dominabitur.* Scire velim quo pacto de hac etiam cura loquatur Paulus,

&dominatum miſceat cum beneuo-
Ephe. 5. 25. 33. lentia. Quonã igitur in loco id facit?
ad Corinthios ſcribens ait, Viri dili-
gite vxores: ecce illud, Ad virũ tuum
conuerſio tua. Vxores autem vt ti-
meãt viros: ecce illud, ipſe tui domi-
nabitur. Vides vt minimè grauis ſit
dominatus, quando feruidus amator
mulieris ſeruientis fuerit dominus,
quando metus fuerit cum caritate
coniũctus? tunc enim tollitur omnis
moleſtia ſeruitutis: vnum itaq; prin-
cipatum induxit inobedientia. Noli
enim hoc ſpectare, quòd illam vt o-
portebat temperarit Deus, ſed quòd
Alterũ ſeruitutis genus ex peccato. ipſam ſeruitutis naturam conſtitue-
rit peccatum. Eſt & alterum genus
ſeruitutis multo priori grauius, ꝙ &
ipſum originem & occaſionẽ duxit à
peccato. Nam poſt diluuium Noë,
commune illud vniuerſi terrarũ or-
bis naufragium, & exitium, peccauit
in genitorẽ ſuũ Chanaan, cumq; nu-
datũ patrem vidiſſet, accuſatione il-
lũ amplius ſua apud fratres ſuos nu-
dauit, atq; inde fratrũ ſeruus eſt fa-
ctu. ſcorruperat enim naturę nobili-
tatem prauitas voluntatis: ac merito
quidem. Scriptura igitur innumeras
pro iuſto profert accuſationes, vel
potius vno verbo omnem illi dat ve-
Gen. 9. 20. niã. Cœpit enim, inquit, Noë homo
agricola. Illud vero, cœpit, multam
cõtinet ebrietatis excuſationẽ. Nam
neq; quantum vini bibendum eſſet
nouerat, nec quo modo; merũne an
aqua mixtum: nec quando bibendũ,
ſtatimne extorcularibus hauſtũ, an
poſt aliquod tẽpus elapſum. Ac ſcri-
ptura quidem per hæc Noë factum
excuſat, qui vero ex ipſo prognatus
erat, qui ab ipſo ſeruatus (ſiquidem
propter exhibitũ patri honorẽ vna
cum cæteris tempeſtate ſublatus nõ
perierat) nulla naturæ habita ratio-
ne, non ſalutis obtentæ recordatus,
nõ metu ad meliorẽ mẽtẽ reductus,
cũ adhuc ſupereſſe reliquias cerne-
ret irę diuinę, cũ veſtigia calamitatis
apparere, cũ adhuc eorũ quę accide-
rãt metũ vigere, contumelia parentẽ
affecit. Hoc etiam admonet ſapiens
quiſpiam dicens, Ne glorieris in cõ-
tumelia patris tui: non enim eſt tibi
Eccl. 3. 12 gloria, patris contumelia. Verũ neq;
hoc nouerat ille, ſed peccatũ omni
venia & excuſatione indignũ admi-

A καὶ τὴν δεσποτείαν ἀναμίγνυσι τῇ φιλοστοργίᾳ. ποῦ οὖν τοῦτο ποιεῖ; Κορινθίοις ἐπιστέλλων, φησίν· οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας. ἰδοὺ τὸ, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου. αἱ γυναῖκες ἵνα φοβῶνται τοὺς ἄνδρας. ἰδοὺ τὸ, αὐτός σου κυριεύσει. εἶδες πῶς ἀνεπαχθὴς ἡ δεσποτεία, ὅταν ἐραστὴς μανικὸς τῆς δουλευούσης ὁ δεσπότης ᾖ, ὅταν φόβος ᾖ μετ' ἀγάπης; οὕτω γὰρ τὸ φορτικὸν ἀνῄρηται τῆς δουλείας. μίαν μὲν οὖν εἰσήγαγε τὴν ἀρχὴν ἡ παρακοή. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι πρὸς τὸ δέον ἐρρύθμισεν αὐτὴν ὁ θεὸς, ἀλλ' ὅτι αὐτὴν τῆς δουλείας τὴν φύσιν ἡ ἁμαρτία κα-
B τεσκεύασεν. ἔστι καὶ δεύτερον δουλείας εἶδος τοῦ προτέρου φορτικώτερον, καὶ αὐτὸ δὲ τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ἐκ τῆς ἁμαρτίας ἔχει. μετὰ γὰρ τὸν κατακλυσμὸν τὸν ἐπὶ τοῦ Νῶε, καὶ τὸ κοινὸν τῆς οἰκουμένης ἁπάσης ναυάγιον καὶ τὴν πανωλεθρίαν ἐκείνην ἥμαρτεν εἰς τὸν γεγεννηκότα ὁ Χαναάν, καὶ γυμνωθέντα ἰδὼν τὸν πατέρα, μᾶλλον ἐγύμνωσε τῇ πρὸς τοὺς ἀδελφοὺς κατηγορίᾳ, καὶ ἐντεῦθεν οἰκέτης ἐγένετο τῶν ἀδελφῶν. ἐλυμήνατο γὰρ τῆς φύσεως τὴν εὐγένειαν ἡ τῆς προαιρέσεως πονηρία·
C καὶ μάλα εἰκότως. ἡ μὲν οὖν γραφὴ μυρίας ὑπὲρ τοῦ δικαίου συντίθησιν ἀπολογίας, μᾶλλον δὲ ἑνὶ ῥήματι πᾶσαν αὐτῷ δίδωσι συγγνώμην. ἤρξατο γὰρ, φησι, Νῶε ἄνθρωπος γεωργός. τὸ δὲ, ἤρξατο, τοῦτο, πολλὴν ἔχει τὴν ἀπολογίαν τὴν ἐπὶ τῇ μέθῃ. οὔτε γὰρ πόσον πιεῖν ἐχρῆν τὸν οἶνον ᾔδει, οὔτε πῶς πιεῖν, ἄκρατον, ἢ μεμιγμένον ὕδατι, οὔτε πότε πιεῖν, εὐθέως τῶν ὑπολινίων ἐξαντληθέντα, ἢ μικρὸν ἀναμείναντα χρόνον. ἡ μὲν οὖν γραφὴ διὰ τούτων ἀπολογεῖται ὑπὲρ τοῦ Νῶε· ὁ δὲ ἐξ αὐτοῦ
D γεννηθεὶς, ὁ δι' ἐκείνου σωθεὶς (διὰ γὰρ τὴν εἰς τὸν πατέρα τιμὴν οὐ συναπώλετο τῷ τῶν λοιπῶν κλυδωνίῳ) οὐ πρὸς τὴν φύσιν ἰδὼν αὐτὴν, οὐ τῆς σωτηρίας ἀναμνησθεὶς, οὐ τῷ φόβῳ σωφρονισθεὶς, ὁρῶν ἔτι τὰ λείψανα τῆς τοῦ θεοῦ μενούσης ὀργῆς, καὶ τῆς συμφορᾶς τὰ ἴχνη φαινόμενα, καὶ τὸν τῶν γεγενημένων ἀκμάζοντα φόβον, ἐξύβρισεν εἰς τὸν γεγεννηκότα. διὰ τοῦτο καί τις σοφὸς παραινεῖ λέγων, μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου· οὐ γάρ ἐστί σοι δόξα, πατρὸς ἀτιμία. ἀλλ' οὐδὲ τοῦτο ἔγνω ἐκεῖνος· ἀλλ' ἥμαρτεν ἁμαρτίαν πάσης συγγνώμης καὶ ἀπολογίας μείζονα.

διὰ τοῦτο τιμωρίαν ἔδωκε τῆς ἁμαρτίας τὴν δου- A
λείαν, καὶ τῶν ἀδελφῶν οἰκέτης ἐγένετο, καὶ τὴν
ἀπὸ τῆς φύσεως προεδρίαν τῇ τῆς γνώμης κα-
κίᾳ προέδωκεν. ἰδοὺ καὶ δεύτερος δουλείας τρό-
πος. βούλει καὶ τρίτον μαθεῖν; φορτικώτερος δὲ
οὗτος τῶν δύο τῶν προτέρων ἐστὶ, καὶ πολὺ φοβε-
ρώτερος. ἐπειδὴ γὰρ ἐκεῖνος οὐκ ἐσωφρονίσθη,
ἐπέτεινεν ἡμῖν ὁ θεὸς τὰ δεσμά. τίς οὖν οὗτός ἐστιν;
ὁ τῶν ἀρχόντων, ὁ τῶν ἐξουσιῶν· οὐ τοιοῦτος, οἷος ὁ
τῆς γυναικὸς, οὐδὲ τοιοῦτος, οἷος ὁ τῶν δού-
λων, ἀλλὰ πολλῷ φοβερώτερος. ξίφη γάρ
ἐστιν ἰδεῖν ἠκονημένα πανταχοῦ, δημίους, κο-
λάσεις, βασανιστήρια, τιμωρίας, τὴν μέχρι θα- B
νάτου καὶ ζωῆς ἐξουσίαν. καὶ ὅτι καὶ οὗτος τῆς ἀρ-
χῆς ὁ τρόπος ἀναγκαῖος διὰ τὴν ἁμαρτίαν ἐγένετο,
ἄκουσον πάλιν αὐτοῦ τοῦ Παύλου περὶ τούτου φι-
λοσοφοῦντος. εἰ δὲ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξου-
σίαν, τὸ ἀγαθὸν ποίει, φησὶ, καὶ ἕξεις ἔπαινον ἐξ αὐ-
τῆς. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μά-
χαιραν φορεῖ. ὁρᾷς ὅτι διὰ τοὺς τὸ κακὸν πράτ-
τοντας καὶ ἄρχων καὶ μάχαιρα; ἄκουσον γοῦν σα-
φέστερον τοῦτο πάλιν. ἔκδικος γάρ, φησίν, ἐστι τῷ τὸ
κακὸν πράσσοντι. καὶ οὐκ εἶπεν, οὐ γὰρ εἰκῇ ἄρχων
ἐστίν· ἀλλὰ τί; οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. C
ὡπλισμένον σοι τὸν δικαστὴν ἐπέστησε. καθάπερ γὰρ
φιλόστοργος πατὴρ παῖδας εἰς αὐτὸν ῥαθυμοῦν-
τας, καὶ διὰ τὴν πατρικὴν φιλοστοργίαν κατα-
φρονοῦντας αὐτοῦ, διὰ τὴν ἀγαθότητα παιδα-
γωγοῖς καὶ διδασκάλοις ἐκδίδωσι φοβεροῖς· οὕτω
καὶ ὁ θεὸς τὴν φύσιν τὴν ἡμετέραν καταφρονοῦ-
σαν αὐτοῦ, διὰ τὴν ἀγαθότητα, καθάπερ δι-
δασκάλοις καὶ παιδαγωγοῖς, τοῖς ἄρχουσιν ἐξέ-
δωκεν, ὥστε αὐτοὺς ἐπιστρέψαι αὐτῶν τὴν ῥαθυ-
μίαν. ἀλλ᾽, εἰ βούλεσθε, καὶ ἀπὸ τῆς παλαιᾶς
αὐτὸ τοῦτο ἴδωμεν, ὅτι διὰ τὴν πονηρίαν τὴν ἡμε- D
τέραν καὶ τῆς ἀρχῆς ἐγένετο χρεία ταύτης. τῶν
προφητῶν τις παροξυνόμενος ἐπὶ τοῖς ἀδίκοις,
οὕτω πως φησί· τί παρασιωπήσεις ἐν τῷ καταπίνειν
τὸν ἀσεβῆ τὸν δίκαιον, καὶ ποιήσεις τοὺς ἀνθρώπους,
ὡς τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ ὡς ἑρπετὰ οὐκ
ἔχοντα ἡγούμενον; οὐκοῦν διὰ τοῦτο ἡγούμενος, ἵνα
μὴ ὡς ἑρπετὰ ὦμεν· διὰ τοῦτο ἄρχων, ἵνα μὴ ὡς οἱ
ἰχθύες καταπίνωμεν ἀλλήλους. ὥσπερ γὰρ διὰ τὰ
νοσήματα τὰ φάρμακα, οὕτω διὰ τὰ ἁμαρτήμα-
τα αἱ κολάσεις. ἐπεὶ, ὅτι γε ὁ συζῶν ἀρετῇ τῆς ἐκεῖθεν
ἐπιστασίας οὐ δεῖται, ἄκουσον τί φησιν ὁ Παῦλος

propterea peccati pœnã ſeruitutem
incurrit, & fratrũ ſeruus eſt factus, &
prærogatiuã honoris à natura delatã
animi prauitate amiſit. Habes alterũ
ſeruitutis genus. Vis etiam tertium
noſſe? Porro duobus prioribus gra-
uius eſt iſtud, multoq; formidabili⁹.
Nã quoniã illis nõ eſt emẽdatus, vin-
cula nobis adauxit Deus. Quodnam
igitur illud eſt? principum ac magi-
ſtratuũ nimirũ; nõ tale quale ſeruo-
rum, ſed multo magis formidabile.
Videre eſt vndiq; gladios acumina-
tos, carnifices, ſupplicia, tormẽta, pœ-
nas, vitæ neciſq; poteſtatem. Vt autẽ
ſcias hũc quoq; modum principatus
ex occaſione peccati ortũ habuiſſe,
rurſus Paulũ ipſũ de hoc philoſophã-
tem audito. Si autem vis non timere
poteſtatem, bonum fac, inquit, & ha-
bebis laudem ex illa. Si autẽ malum Rom. 13.
feceris, time: nõ enim ſine cauſa gla- 3.
dium portat. Vides propter eos, qui
malum perpetrant, & principem &
gladium imminere? audi manifeſtius
iſtud ipſum rurſus: Vindex enim eſt,
inquit, ei qui malum agit. Neque di-
xit, Nõ enim ſine cauſa princeps eſt:
ſed quid? non enim ſine cauſa gladiũ
portat. armatum iudicem tibi præfe-
cit. Vt enim pater filiorum amãs, vbi
negligenter officio ſuo fungi videt
illos, & propter paternã indulgentiã
ſe ab illis cõtemni, ob ſuã bonitatem
pędagogis ac præceptorib. terribilib.
illũ cõmittit: ſic & à noſtra natura ſe
contemptũ cernens Deus ob ſuã bo- Magiſtratus
nitatem, tãquã magiſtris ac pædago- quaſi
gis quibuſdam principibus illam tra- pædago-
didit, vt negligentiã eius corrigeret. gi.
Sed ſi vultis, ex veteri Teſtamento il-
lud ſpectemus, ob noſtram nimirum
prauitatem hoc opus fuiſſe principa-
tu. Propter iniquos quiſpiã prophe-
ta ſuccenſens his verbis vtitur: Ta- Abba. 1.
cebis dum impius deuorat iuſtum, & 13.
facies homines quaſi piſces maris, &
quaſi reptilia non habentia ducem?
Ergo propterea dux eſt, ne tanquam
reptilia ſimus: propterea princeps,
ne tanquam piſces nos inuicem de-
uoremus. Nã quemadmodum pro-
pter morbos medicamẽta ſunt data:
ſic propter delicta ſupplicia, quo-
niam is quidem qui virtute præ-
ditus, viuit eiuſmodi præfectura non
indiget. Audi quid dicat Paulus.

Sinautem vis non timere poteſtatẽ,
Rom. 13 3. bonũ fac, & habebis laudem ex illa.
Spectator tuus, inquit, eſt iudex. Si
rectè viuas, non ſpectator ſolùm, ſed
etiã laudator. Sed quid ego de prin-
cipũ loquor neceſſitate, cum & aliis
multo maiorib⁹ ſublimiores ſint qui
philoſophiã colũt? ſiquidẽ principũ
ipſorũ principes ſunt leges. Attamẽ
neq. legibus indiget is, qui cũ mode-
ſtia & æquitate viuit: atq. hoc teſtan-
tem audi Paulũ his verbis, Iuſto lex
non eſt poſita. Quòd ſi lex poſita nõ
1. Tim. 1 9. eſt, multo magis princeps ei præfect⁹
nõ eſt. En tibi tertiũ genus principa-
tus, qui & ipſe ductã habet occaſio-
Obiectioni ſatisfacit ex loco Pauli Rom. 13 2. nem a peccato & improbitate. Quo-
nã igitur pacto ait Paulus poteſtatẽ
nõ eſſe niſi à Deo? Quod nimirũ ad
vtilitatem noſtrã nobis illã Deus cõ-
ſtituerit. Nã peccatũ quidem neceſ-
ſitatem eius inuexit: Deus autem ad
noſtrã vtilitatem eſt vſus. Et quem-
admodum ex vulneribus fit vt medi-
camentis indigeamus; ex medicorũ
autem ſapientia, vt adhibeantur me-
dicamenta: ſic & neceſſitas ſeruitutis
ortũ habuit à peccato: vt autem ad
id quod opus erat illa dirigeretur, id
ſanè diuinæ acceptũ ferendũ eſt ſa-
pientiæ. Verumenimuero adeſte a-
nimis, & deſidiam omnem excutite.
Cur tandem id dico? ſcripturas vo-
bis enarramus, vos vero auerſis à no-
bis oculis, ad lucernas, & ad eum, qui
lucernas accendebat, eos cõuertiſtis.
Quantæ porro eſt hoc ſocordiæ
nobis relictis huic attendere? Ignem
ego quoq. accendo, qui latet in Scri-
pturis, & in noſtra lingua ſuccendi-
tur lucerna doctrinę. Hoc illo maius
eſt lumen ac melius: non enim oleo
madens ellychnium vt iſte, accendi-
Act. 20. 8. mus, ſed irrigatas pietate animas au-
diendi cupiditate inflãmamus. Diſ-
ſerebat etiam Paulus aliquando in
cœnaculo quodam. Nemo tamẽ ar-
bitretur meipſum velle me cũ Paulo
comparare (non enim adeo ſum in-
ſanus) ſed vt intelligatis quantũ ſtu-
dij vos oporteat ad audiendum ad-
hibere. Diſſerebat ergo Paulus in
cœnaculo, & veſpertinum tẽpus vt
nunc etiam incidit, erantq; lucernę
in cœnaculo, deinde cecidit Eutych⁹ de feneſtra, neq. cõuentũ caſus ille diſſoluit, neq.
mors ſpectatores excedere è theatro coëgit: verum ita diuinis eloquijs audiẽdis affixi
erãt, vt neq caſus illius ſenſũ vllũ ceperint: vos vero nulla inſolita re cõſpecta vel mira,

A εἰ δὲ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. θεατής σου, φησιν, ὁ δικαστής ἐστιν. ἐὰν ὀρθῶς ζῇς, οὐ θεατὴς μόνον, ἀλλὰ καὶ ἐπαινέτης. καὶ τί λέγω τὴν ἀπὸ τῶν ἀρχόντων χρείαν, ὅπουγε καὶ ἑτέρων μειζόνων ἀνώτεροι οἱ φιλοσοφίαν διώκοντές εἰσιν; ἄρχοντες γὰρ ἀρχόντων εἰσὶν οἱ νόμοι. ἀλλ' ὅμως οὐδὲ νόμων δεῖται ὁ μετ' ἐπιεικείας ζῶν. καὶ τοῦτο ἄκουσον τοῦ Παύλου λέγοντος, δικαίῳ νόμος οὐ κεῖται. εἰ δὲ νόμος οὐ κεῖται, πολλῷ μᾶλλον ἄρχων οὐκ ἐφέστηκεν. ἰδοὺ τρίτος ἀρχῆς τρόπος, καὶ οὗτος ἀπὸ τῆς ἁμαρτίας καὶ πονηρίας ἔχων τὴν ὑπόθεσιν. πῶς οὖν ὁ Παῦλός φησιν, ὅτι οὐκ ἔστιν ἐξουσία, B εἰ μὴ ἀπὸ θεοῦ; ὅτι αὐτὸς αὐτὴν πρὸς τὸ λυσιτελὲς ἡμῖν κατέστησεν. εἰσήγαγε μὲν γὰρ αὐτῆς τὴν χρείαν ἡ ἁμαρτία, ὁ δὲ θεὸς πρὸς τὸ συμφέρον ἡμῖν ἀπεχρήσατο. καὶ καθάπερ ἡ χρεία τῶν φαρμάκων ἀπὸ τῶν τραυμάτων γίνεται, ἡ δὲ ἐπαγωγὴ τῶν φαρμάκων ἀπὸ τῆς τῶν ἰατρῶν σοφίας· οὕτω καὶ ἡ χρεία τῆς δουλείας ἀπὸ τῆς ἁμαρτίας γέγονε, τὸ δὲ εἰς δέον αὐτὴν ῥυθμίσαι ἀπὸ τῆς τοῦ θεοῦ σοφίας. ἀλλὰ γὰρ διανάστητε, καὶ τὴν ῥαθυμίαν ἀπόθεσθε. τίνος ἕνεκα τοῦτο λέγω; περὶ γραφῶν ὑμῖν διηγούμεθα, ὑμεῖς δὲ τοὺς ὀφθαλμοὺς ἀποστήσαντες ἡμῶν, πρὸς C τὰς λαμπάδας καὶ τὸν τὰς λαμπάδας ἅπτοντα μετεστήσατε. καὶ πόσης τοῦτο ῥαθυμίας, ἡμᾶς ἀφέντας τούτῳ προσέχειν; πῦρ ἀνάπτω κἀγὼ τὸ ἀπὸ τῶν γραφῶν, καὶ ἐπὶ τῆς γλώττης τῆς ἡμετέρας λαμπάδιον καίεται τὸ τῆς διδασκαλίας. τοῦτο μεῖζον καὶ βέλτιον τὸ φῶς ἐκείνου τοῦ φωτός. οὐ γὰρ δὴ θρυαλλίδα διάβροχον ἐλαίῳ, καθάπερ ἐκεῖνος, ἐξάπτομεν, ἀλλὰ ψυχὰς ἐν εὐσεβείᾳ ἀρδομένας τῇ τῆς ἀκροάσεως ἀνάπτομεν ἐπιθυμίᾳ. διελέγετό ποτε καὶ ὁ Παῦλος ἐν ὑπερῴῳ τινί. ἀλλὰ μηδεὶς νομιζέτω με Παύλῳ παραβάλλειν ἐμαυτὸν (οὐ γὰρ οὕτω D μέμηνα) ἀλλ' ἵνα μάθητε πόσην περὶ τὴν ἀκρόασιν σπουδὴν ἐπιδείκνυσθαι χρή. διελέγετο τοίνυν ὁ Παῦλος ἐν ὑπερῴῳ, καὶ ἑσπέρα κατέλαβε, καθάπερ καὶ νῦν, καὶ λαμπάδες ἦσαν ἐν τῷ ὑπερῴῳ. εἶτα ὁ Εὔτυχος ἀπὸ τῆς θυρίδος κατέπεσε, καὶ οὐ διέλυσε τὸ πλήρωμα τοῦ συλλόγου, οὐδὲ ἀνέστησε τὸ θέατρον ὁ θάνατος· ἀλλ' οὕτως ἦσαν προσηλωμένοι τῇ τῶν θείων ἀκροάσει λογίων, ὡς μηδὲ αἰσθηθῆναι τοῦ πτώματος· ὑμεῖς δὲ οὐδὲν ξένον ἰδόντες, οὐδὲ παράδοξον,

ἀλλ' ἄνθρωπον τὰ συνήθη ποιοῦντα, τὰς ὄψεις
ἐκεῖ μετετίθηκατε. καὶ ποίας ἂν εἴη τοῦτο συγγνώ-
μης ἄξιον; μηδεὶς τοίνυν, ἀγαπητοὶ, φορτικὴν
τινα τὴν ἐπιτίμησιν νομιζέτω. οὐ γὰρ μισοῦν-
τες, ἀλλὰ κηδόμενοι ἐγκαλοῦμεν. ἀξιοπιστότερα
γὰρ τραύματα φίλων, ἢ ἑκούσια φιλήματα
ἐχθρῶν. διαναστῆτε τοίνυν, παρακαλῶ, καὶ τοῦτο
ἀφέντες τὸ πῦρ, τῷ φωτὶ προσέχετε τῶν θείων
γραφῶν. ἕτερον γὰρ ὑμῖν ἀρχῆς βούλομαι τρόπον
εἰπεῖν, οὐκ ἀπὸ ἁμαρτίας λαμβάνοντα τὴν ὑπό-
θεσιν, ἀλλὰ παρὰ τῆς φύσεως αὐτῆς. τί οὖν οὗτός
ἐστιν; ὁ τῶν τεκόντων εἰς ἔκγονα. ὠδίνων γάρ ἐστιν
ἀμοιβὴ ἡ τοιαύτη τιμή. διὰ τοῦτο καί τις σοφὸς
λέγει, ὡς δεσπόταις δούλευσον τοῖς γεννήσασί σε.
εἶτα καὶ τὴν αἰτίαν ἐπάγει λέγων· τί γὰρ αὐτοῖς
ἀνταποδώσεις, καθὼς αὐτοί σοι; καίτοι τί ποτέ ἐστιν,
ὃ μὴ δύναται παῖς ἀποδοῦναι πατρί; οὐδὲν οὖν
ἄλλο, ἢ τοῦτο λέγει· καθὼς αὐτοί σε ἐγέννησαν, σὺ
αὐτοὺς γεννῆσαι οὐ δυνήσῃ. ἐπεὶ οὖν κατὰ τοῦτο ἠλατ-
τώμεθα, ἑτέρωθεν πλεονεκτήσωμεν ταῖς εἰς
αὐτοὺς τιμαῖς, μὴ διὰ τὸν τῆς φύσεως νόμον μό-
νον, ἀλλὰ πρὸ τῆς φύσεως διὰ τὸν τοῦ θεοῦ φό-
βον. καὶ γὰρ σφόδρα ὁ θεὸς βούλεται τοὺς τεκόν-
τας τιμᾶσθαι παρὰ τῶν τεχθέντων· καὶ τοὺς μὲν
τοῦτο ποιοῦντας μεγάλοις ἀγαθοῖς καὶ δωρεαῖς
ἀμείβεται, τοὺς δὲ παραβαίνοντας τὸν νόμον με-
γάλοις καὶ δεινοῖς κολάζει κακοῖς. ὁ κακολογῶν,
φησὶ, πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω.
τοῖς δὲ τιμῶσιν αὐτοὺς οὕτω πως φησί· τίμα τὸν πα-
τέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένη-
ται· καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. ὅπερ μέ-
γιστον ἀγαθὸν εἶναι νομίζεται γῆρας λιπαρὸν καὶ
μῆκος ζωῆς, τοῦτο ἔθηκεν ἔπαθλον τοῖς τιμῶσιν
αὐτούς· καὶ ὅπερ ἔσχατον εἶναι δοκεῖ κακὸν, θάνα-
τος ἄωρος, τοῦτο ἔθηκεν ἐπιτίμιον τοῖς ὑβρίζουσιν
εἰς αὐτούς· τοὺς μὲν ἐπισπώμενος εἰς εὔνοιαν τῇ
τῆς τιμῆς ἐπαγγελίᾳ, τοὺς δὲ καὶ ἄκοντας ἀπάγων
τῆς ὕβρεως τῷ τῆς τιμωρίας φόβῳ. οὐδὲ γὰρ
ἁπλῶς ἀποθνήσκειν κελεύει τὸν πατραλοίαν, οὐδὲ
δημίους αὐτὸν ἀπὸ τοῦ δικαστηρίου λαβόντας ἐξά-
γειν διὰ τῆς ἀγορᾶς, οὐδὲ τῆς πόλεως ἔξω τὴν
κεφαλὴν ἀποτέμνειν· ἀλλ' ἄγει μὲν αὐτὸν εἰς
μέσην τὴν πόλιν αὐτὸς ὁ πατὴρ, καὶ χωρὶς
ἀποδείξεως πάσης πιστεύεται· καὶ μάλα δικαίως.
ὁ γὰρ καὶ χρήματα καὶ σώματα καὶ πᾶν ὁτιοῦν
ἑλόμενος ὑπὲρ τοῦ παιδὸς καταδαπανῆσαι,

A ſed homine tantũ, qui ſolitum mini-
ſteriũ obibat illuc oculos conuerti-
ſtis. Et qua tandẽ venia dignum hoc
fuerit? Nemo igitur dilectiſſimi re-
prehenſionẽ moleſtã & grauẽ arbi-
tretur: neque enim odio impulſi, ſed
ſollicitudine inducti reprehẽdimus.
Fideliora quippe ſunt amicorũ vul- Prou. 27.
nera, quã ſpõtanea oſcula inimico- 6.
rũ. Attẽdite igitur, quęſo, & hoc igne
relicto ad ſacrarũ ſcripturarũ lumen
animũ adhibete. Aliũ enim princi-
patus modũ ſtatui dicere, qui non à
peccato, ſed à natura ipſa traxit ori-
ginẽ. Quis ille porro eſt? parentũ ni-
B mirũ in liberos. Eſt enim remunera-
tio partus honor iſte: propterea ſa-
piẽs quiſpiã dicit: Quaſi dominis ſer- Eccli. 3. 6
ui his, qui te genuerũt. Deinde cau- Eccli. 7.
ſam adijcit dicens: Quid enim retri- 29.
bues illis, quomodo illi tibi? Tametſi
quid tandẽ eſt, quod fili⁹ patri retri-
buere non poſſit? Nihil ergo aliud
præter hoc dicit: quẽadmodũ te ipſi
genuerunt, tu illos gignere minimè
poteris. Quando igitur in hac re illis
inferiores ſumus, aliunde illos, dela-
tis ipſis honoribus ſuperemus, nõ ob
C legẽ naturę tantũ, ſed ante naturam
ob Dei potius timorẽ. Multũ enim
parentes à liberis honorari vult De⁹,
& qui hoc fecerint magnis bonis re-
muneratur, ac donis: eos vero qui le-
gẽ tranſgreſſi fuerint, magnis & gra-
uibus malis punit. Qui maledixerit,
inquit, patri vel matri morte moria- Matt. 15
tur. Eis vero, qui honorant illos ſic 4.
ait: Honora patrẽ tuũ, & matrẽ tuã, Exo. 20.
vt bene ſit tibi: & eris lõgęuus ſuper 12.
terrã, quod maximũ eſſe bonũ cen-
ſetur, beatã ſcilicet ſenectutẽ, & vitę
prolixitatem, hoc propoſuit præmiũ
D ijs qui ipſos honorarint: & quod ſũ-
mũ eſſe malũ videtur, mortem im-
maturam pœnã propoſuit ijs, qui cõ-
tumelioſi in eos fuerint, atq. ita ho-
rũ quidem beneuolentiã ſibi hono-
ris pollicitatione conciliat, illos vero
etiam inuitos pœnæ formidine à cõ-
tumelia reuocat. Non enim ſimplici-
ter mori parricidã iuber, neq; abre-
ptũ à iudicio per forũ à lictorib. edu-
ci, neq. extra ciuitatẽ capite trũcari:
ſed in mediã ciuitatem deducit ipſũ
pater, & abſq. alia quauis probatione
fides illi adhibetur: ac merito quidẽ.
Nã qui pecunias & corpora & aliud
quiduis pro filio libẽter impẽderet,

nunquam eius fieret accuſator, niſi ſumma ab illo iniuria eſſet affectus. Deut. 21 18. Deducit igitur illum in medium ciuitatis, deinde populo aduocato accuſationem pronuntiat: qui vero audiunt, ab vnoquoq; omnes arrepto lapide, parricidam illum percutiunt. Non enim ſpectatores tantum ſupplicij ſed etiam auctores & adminiſtros eos eſſe vult legiſlator, vt cum dexterā ſuā quiſq. cōſpexerit, qua lapidem & ipſe in parricidę caput proiecit, hac ſufficienti admonitione inſtructus ad meliorē frugē reuocetur. *Cur parricidæ lapidati ſint.* Neq; vero id ſolū, ſed & aliud nobis innuit legiſlator: eum nimirum, qui contumelia parentes affecerit, non illos tātum, ſed etiā omnes homines læſiſſe. Propterea cunctos ad ſupplicij conſortiū vocat quaſi cōtumelia fuerint affecti omnes, ac populum ſimul, & totā conuocat ciuitatē, vt eos doceat, quibus nihil eſt commune cū illis, qui affecti ſunt iniuria, in eos indignatione commoueri, qui cōtumelioſi fuerint in parētes, tanquam in cōmunem naturā cadēte iniuria, vtq. talem hominē quaſi peſtē quandam cōmunemq; morbum nō ex vrbe ſolū, ſed ex ipſa quoq. vita eiiciāt. Hoſtis enim eſt vir eiuſmodi, & omnium cōmunis inimicus, Dei, naturę, legum, & omniū noſtrū vitæ cōmunis. Idcirco ſimul omnes aggredi cædem iubet, vt expiationem quandam perficiat ciuitatis. Multa vobis bona contingāt, quod tāta cum voluptate de parricida ſermonem excepęritis, ac lapidum loco vocibus illū percuſſeritis: hoc enim indicium ingentis eſt beneuolentię, qua patrē ſuum veſtrū vnuſquiſq; cōplectitur. Tunc enim præcipuè leges, quæ delicta vindicant, laudare cōſueuimus, cum delictorum ipſi nobis minimè conſcij fuerimus. Pro his igitur omnibus clementi Deo gratias agamus, qui vitæ noſtræ curam gerit, qui parentibus prouidet, qui de liberis eſt ſollicitus & pro noſtra ſalute cuncta diſponit. Ipſum enim decet gloria, honor & adoratio, vna cum Patre principij experte, ac ſancto ipſius Spiritu, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A οὐκ ἄν ποτε κατήγορος αὐτοῦ γέγονεν, εἰ μὴ πολλὴ τῆς ὕβρεως ἦν ἡ ὑπερβολή. ἄγει τοίνυν αὐτὸν εἰς τὸ μέσον τῆς πόλεως, εἶτα καλεῖ τὸν δῆμον ἅπαντα, καὶ λέγει τὴν κατηγορίαν· οἱ δὲ ἀκούοντες πάντες ἕκαστος λίθον λαβὼν οὕτω βάλλουσι τὸν πατραλοίαν. οὐ γὰρ δὴ θεατὰς μόνον τῆς τιμωρίας, ἀλλὰ καὶ αὐτουργοὺς εἶναι βούλεται ὁ νομοθέτης· ἵνα εἰς τὴν δεξιὰν ἕκαστος ἰδὼν τὴν ἑαυτοῦ, δι᾽ ἧς τὸν λίθον καὶ αὐτὸς ἔβαλε κατὰ τῆς τοῦ πατραλοίου κεφαλῆς, ἱκανὸν ὑπόμνημα πρὸς διόρθωσιν ἔχῃ. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἕτερον ἡμῖν ὁ νομοθέτης αἰνίττεται· ὅτι ὁ τοὺς γονέας ὑβρίζων, οὐκ ἐκείνους B ἠδίκηκε μόνον, ἀλλὰ καὶ πάντας ἀνθρώπους. διὰ τοῦτο πάντας ἐπὶ τὴν κοινωνίαν τῆς τιμωρίας καλεῖ, καθάπερ ὑβρισμένους ἅπαντας, καὶ δῆμον ὁμοῦ καὶ πόλιν περιΐστησιν ἅπασαν, παιδεύων καὶ τοὺς οὐδὲν ἔχοντας κοινὸν πρὸς τοὺς ἠδικημένους ἐπὶ γονεῦσιν ὑβριζομένοις ἀγανακτεῖν, ὡς τῆς κοινῆς φύσεως ὑβριζομένης, καὶ τὸν τοιοῦτον ἄνθρωπον, ὥσπερ λοιμόν τινα καὶ κοινὴν νόσον, μὴ τῆς πόλεως μόνον, ἀλλὰ καὶ τοῦ φωτὸς ἀπελαύνειν αὐτοῦ. πολέμιος γὰρ ὁ τοιοῦτος καὶ κοινὸς ἁπάντων ἐστὶν ἐχθρός, καὶ τοῦ θεοῦ, καὶ τῆς φύσεως, καὶ τῶν C νόμων, καὶ τῆς κοινῆς ἁπάντων ἡμῶν ζωῆς. διὰ τοῦτο πάντας συνεφάπτεσθαι κελεύει τῆς σφαγῆς, ὥσπερ τινὰ καθαρμὸν τῆς πόλεως ἐργαζόμενος. πολλὰ ὑμῖν ἀγαθὰ γένοιτο, ὅτι μετὰ τοσαύτης ἡδονῆς τοὺς περὶ τοῦ πατραλοίου λόγους ἐδέξασθε, καὶ ἀντὶ τῶν λίθων ταῖς βοαῖς αὐτὸν ἐβάλλετε. τεκμήριον γὰρ τοῦτό ἐστι τῆς πολλῆς περὶ τὸν ἑαυτοῦ πατέρα ἕκαστον ὑμῶν τὴν εὔνοιαν ἐπιδεδεῖχθαι. καὶ γὰρ τότε τοὺς νόμους μάλιστα θαυμάζειν εἰώθαμεν τοὺς τὰ ἁμαρτήματα κολάζοντας, ὅταν μὴ συνειδότες ἑαυτοῖς τὰ ἁμαρτήματα ὦμεν. ὑπὲρ δὴ D τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ θεῷ τῷ κηδομένῳ τῆς ζωῆς τῆς ἡμετέρας, καὶ προνοοῦντι γονέων, καὶ παίδων φροντίζοντι, καὶ πάντα ὑπὲρ τῆς ἡμετέρας οἰκονομοῦντι σωτηρίας. αὐτῷ γὰρ πρέπει δόξα, τιμή, καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ἁγίῳ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A

λόγος ε.

Ὅτι οὐ διὰ τὸν Ἀδὰμ κολαζόμεθα, καὶ ὅτι μείζονα τῶν δι' ἐκείνου εἰσενεχθέντων λυπηρῶν τὰ χρηστὰ, ἐὰν ἑαυτοῖς προσέχωμεν· καὶ κατὰ τῶν παρατρεχόντων τοὺς πένητας.

Ὑμεῖς μὲν ἴσως νομίζετε τὸν περὶ τῆς δεσποτείας ἡμῖν ἅπαντα ἀπηρτίσθαι λόγον· ἐγὼ δὲ ἔτι πολὺν ὁρῶ τὸν καρπὸν ἐν αὐτῷ φαινόμενον. ἀλλὰ μὴ ἀποκάμητε, παρακαλῶ, ἕως αὐτὸν ἅπαντα ἐκτρυγήσωμεν. B καὶ γὰρ οἱ φιλόπονοι τῶν γεωργῶν ὅταν ἴδωσιν ἄμπελον πολλοῖς μὲν τοῖς φύλλοις κομῶσαν, πολλῷ δὲ τῷ καρπῷ βριθομένην, οὐχὶ τοὺς ἔξωθεν βότρυας ἐκτέμνουσι μόνον, ἀλλὰ καὶ ἐνδοτέρω χωροῦσι, τὰ κλήματα ἀνακλῶντες, καὶ τὰ φύλλα ἀναστέλλοντες, ὥστε μηδὲ μικρὰς σταφυλῆς ῥᾶγας ὑπὸ τοῖς πετάλοις κρυπτομένας λαθεῖν. μὴ τοίνυν ἐκείνων φανῆτε ῥαθυμότεροι, μηδὲ ἀποστῆτε, ἕως ἂν τὸ πᾶν λάβητε· καὶ μάλιστα, ὅτι ὁ μὲν πόνος ἐμὸς, ὁ δὲ καρπὸς ὑμέτερος. C κατηγορήσαμεν χθὲς τῶν γυναικῶν· μᾶλλον δὲ οὐχὶ τῶν γυναικῶν, ἀλλὰ τῆς Εὔας, ὅτι διὰ τῆς ἁμαρτίας τὴν δουλείαν εἰσήγαγεν. εἴποιεν ἂν αἱ γυναῖκες ἡμῖν, τίνος οὖν ἕνεκεν ἐκείνης ἁμαρτησάσης, ἡμεῖς κατεδικάσθημεν, καὶ τὸ μὲν παράπτωμα γέγονεν ἑνὸς προσώπου, τὸ δὲ ἔγκλημα κοινὸν τῆς φύσεως ἁπάσης; τοῦτο καὶ δοῦλοι εἴποιεν ἄν· τί δήποτε, τοῦ Χαναὰν εἰς τὸν πατέρα ὑβρίσαντος, τὰ τῆς τιμωρίας εἰς ἅπαν διέβη τὸ γένος; καὶ οἱ τοὺς ἄρχοντας δὲ φοβούμενοι τοῦτο ἂν αἰτιάσαιντο, τί δήποτε, ἑτέρων ἐν πονηρίᾳ ζησάντων, αὐτοὶ τῷ ζυγῷ τῆς D ἀρχῆς παρεδόθησαν; τί οὖν ἂν εἴποιμεν ἡμεῖς πρὸς τούτους ἅπαντας; μία γάρ ἐστι πάντων τῶν ζητημάτων ἡ λύσις· ὅτι ἥμαρτον μὲν οἱ πρότεροι, καὶ διὰ τῆς οἰκείας παραβάσεως τὴν δουλείαν εἰσήγαγον· εἰσαχθεῖσαν δὲ οἱ μετὰ ταῦτα ταῖς παρ' ἑαυτῶν ἐκύρωσαν ἁμαρτίαις. εἰ μὲν γὰρ ἔχοιεν ἑαυτοὺς δεῖξαι διαπαντὸς ἁμαρτημάτων ὄντας καθαροὺς, ἴσως ἂν εἶεν αὐτοῖς καλῶς δοκεῖν ἀντιλέγειν. εἰ δὲ καὶ αὐτοὶ πολλοῖς εἰσιν ἐπιτιμίοις ὑπεύθυνοι, περιττὰ τὰ τῆς ἀπολογίας ταύτης ἐστίν.

SERMO V.

Quod non propter Adamum punimur, & maiora per eum bona quàm mala ſunt importata, ſi nobis ipſis attendere voluerimus, & aduerſus eos qui pauperes prætereunt.

FRONT. DVCÆO INTERP.

Vos quidem fortaſſe nos omnem putâtis de dominatu abſoluiſſe ſermonem: at ego multum adhuc in eo video fructum apparere. Sed ne defatigemini, quæſo quouſq; totum ipſum decerpſerimus. Nam & diligentes agricolæ cum vitem foliis comantem viderint, & multo fructu oneratam non externos tantũ abſcindũt racemos, ſed & vlterius progreſſi palmites confringũt, & folia coërcent, ita vt ne minimi quidem acini racemorum frõdibus obtecti lateãt. Nolite igitur negligentiores illis videri, neq; priuſquam totum à vobis ſit acceptum recedite: præſertim cũ labor quidem meus fructus autẽ ſit veſter. Heſterno die mulieres accuſauimus: vel potius non mulieres, ſed Euam quod per peccatum ſeruitutem inuexit. Fortaſſe dicent nobis mulieres, Quare cum illa peccaſſet, nos damnatæ fuimus, & vnius quidem perſonæ lapſus fuit, crimen autem naturæ totius? Hoc etiam dicere ſerui poſſent: Quid cauſæ eſt cur cum in patrem contumelioſus fuiſſet Chanaã, ad totũ genus pœna tranſiuit? Et qui magiſtratus reformidant poſſent obijcere: Cur tandẽ cæteris ſcelerate viuentibus ipſi iugo ſeruitutis addicti ſunt? Quid igitur his omnibus reſpondebimus? Siquidem vna ſolutione queſtionibus iſtis omnibus ſatisfiet. Priores quidẽ illos peccaſſe, ac ſua præuaricatione ſeruitutẽ introduxiſſe, verũ introductã illã poſteriores peccatis ſuis confirmaſſe. Nã ſi quidẽ perpetuo ſe poſſent à peccatis immunes oſtẽdere, iure fortaſſe poſſẽt cõtradicere: ſin autẽ multis ipſi quoq; pœnis ſũt obnoxij, fruſtra hac excuſatione ſe tuẽtur.

Cur ob vnius peccatũ alii puniantur.

Ego enim non dixi peccatum iam
ſeruitutem nõ introducere, ſed om-
ne peccatũ cũ ſeruitute eſſe cõiun-
ctum, & in peccati naturã, nõ in ſo-
lã peccati differentiã cauſam reieci.
Vt igitur omnes quidẽ incurabiles
morbi mortẽ inferunt, nõ omnes ta-
men eiuſdẽ ſunt naturæ: ſic & omnia
quidẽ peccata pariunt ſeruitutẽ, nõ
tamen eiuſdem naturę ſunt omnia.
Peccauit Eua, cũ lignum guſtauit, &
idcirco dãnata eſt. propterea noli tu
rurſus aliud illo fortaſſe deteriꝰ pec-
catum committere. Hoc & de ſeruis
merito dixerimus, hoc & de illis qui
magiſtratibus ſubſunt, primos nimi-
rũ peccatũ introduxiſſe, poſteros au-
tẽ ſuccedentes dominatus virtutem
ſuis retinuiſſe delictis. Poſſum & alia
defenſione vti: quod multi nẽpe cũ
ad virtutẽ regreſſi eſſent, à domina-
tu fuerint vindicati. Ac prius ſi pla-
cet de mulieribus ſermonẽ inſtitua-
mus, vt videas, quo pacto cũ illis vin-
cula beatus Paulus indidiſſet, eadem
rurſus ipſe laxauerit. Si qua mulier,
inquit, virũ habet infidelẽ, & hic cõ-
ſentit habitare cũ illa, nõ dimittat il-
1.Cor.7. lũ. qua de cauſa? Vnde enim ſcis mu-
13. lier, an virũ ſeruatura ſis? Et quo pa-
cto, inquit, virũ poterit ſeruare mu-
lier? Si doceat, ſi inſtruat, ſi de reli-
gione ſermonẽ inferat. Atqui dice-
bas heri beate Paule, Mulieri doce-
1.Tim. 2 re nõ permitto. Quî fit igitur, vt illã
12. viro magiſtrã adhibeas? Nõ vt mecũ
ipſe pugnẽ, id ago, ſed vt mecũ valdè
cõſentiã. Audi quæſo & quã ob cau-
ſam illã deiecerit, & quã ob cauſam
rurſus ad magiſterij cathedrã illã e-
uexerit, vt Pauli ſapientiã obſtupeſ-
cas. Doceat vir, inquit. Quid ita?
quippe qui ſeductꝰ nõ ſit. Adã enim,
inquit, non eſt ſeductus. Diſcat mu-
lier, inquit. quid ita? quippe quę ſe-
1.Tim. 2 ducta nõ ſit. Mulier enim ſeducta in
14. præuaricatione fuit. Hic vero con-
trariũ videmus. Cum enim vir fuerit
infidelis, mulier autẽ fidelis, doceat,
inquit, mulier: quid ita? quia ſeducta
nõ eſt, cũ ſit fidelis. Diſcat igitur vir,
quia ſeductus eſt, cũ ſit infidelis. Cõ-
mutatæ ſunt docẽdi vices, commu-
tentur etiam deinceps vices domi-
nandi. Vides, quo pacto vbique o-
ſtendit ſeruitutem non naturam,
ſed deceptionem & peccatum ſequi?

A ἐγὼ γὰρ οὐκ εἶπον, ὅτι ἤδη μὲν ἡ ἁμαρτία δου-
λείαν οὐκ εἰσάγει, ἀλλ' ὅτι πᾶσα ἁμαρτία δου-
λεία συγκεκλήρωται. καὶ φύσιν ἁμαρτίας, οὐ δια-
φορὰν ἁμαρτίας ᾐτιασάμην μόνον. ὥσπερ οὖν
ἅπαντα μὲν τὰ ἀνίατα νοσήματα εἰς θάνατον
ἄγει, οὐχ ἅπαντα δὲ τῆς αὐτῆς ἐστι φύσεως· οὕτω
καὶ τὰ ἁμαρτήματα ἅπαντα μὲν δουλείαν τίκτει,
οὐχ ἅπαντα δὲ τῆς αὐτῆς ἐστι φύσεως. ἥμαρτεν ἡ
Εὔα ἁψαμένη τοῦ ξύλου, καὶ κατεκρίθη δι' αὐ-
τό. διὰ τοῦτο μὴ ἁμαρτήσῃς σὺ πάλιν ἑτέραν
ἴσως ἐκείνης ἁμαρτίαν χαλεπωτέραν. τοῦτο καὶ
ἐπὶ τῶν δούλων ἄξιον εἰπεῖν, τοῦτο καὶ ἐπὶ τῶν
B ἀρχομένων, ὅτι εἰσήγαγον μὲν οἱ πρῶτοι τὴν
ἁμαρτίαν, οἱ δὲ μετ' ἐκείνους διαδεξάμενοι κα-
τέσχον τῆς δεσποτείας τὴν δύναμιν δι' ὧν ἐπλημ-
μέλησαν. ἔχω καὶ ἑτέρως ἀπολογήσασθαι· ὅτι
πολλοὶ πρὸς ἀρετὴν ἐπανελθόντες, ἀπηλλά-
γησαν τῆς δεσποτείας. καὶ πρότερον, εἰ δοκεῖ,
ἐπὶ τῶν γυναικῶν τὸν λόγον γυμνάσωμεν, ἵν' εἰ-
δῇς πῶς ὁ μακάριος Παῦλος, ὁ προσθεὶς αὐ-
ταῖς τὰ δεσμά, αὐτὸς αὐτὰ πάλιν ἀνῆκεν. εἴ
τις γυνή, φησιν, ἄνδρα ἔχει ἄπιστον, καὶ αὐτὸς
συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐ-
C τόν. διὰ τί; τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα
σώσεις; καὶ πῶς, φησι, δύναται ἄνδρα σῶσαι γυ-
νή; διδάσκουσα, κατηχοῦσα, ἐνάγουσα πρὸς
τὸν τῆς εὐσεβείας λόγον. καίτοι χθές, ὦ μακάριε
Παῦλε, ἔλεγες, ὅτι γυναικὶ διδάσκειν οὐκ ἐπι-
τρέπω. πῶς οὖν πάλιν διδάσκαλον αὐτὴν ποιεῖς
τοῦ ἀνδρός; οὐχὶ μαχόμενος ἐμαυτῷ τοῦτο ποιῶ,
ἀλλὰ καὶ σφόδρα συμφωνῶν. ἄκουε γοῦν καὶ τί-
νος ἕνεκεν αὐτὴν ἐξέβαλε, καὶ τίνος ἕνεκεν αὐ-
τὴν πάλιν ἐπανάγει πρὸς τὸν τῆς διδασκα-
λίας θρόνον, ἵνα μάθῃς τὴν Παύλου σοφίαν.
D διδασκέτω, φησίν, ὁ ἀνήρ. διὰ τί; οὐκ ἠπατή-
θη γάρ. Ἀδὰμ γάρ, φησιν, οὐκ ἠπατήθη. μαν-
θανέτω, φησίν, ἡ γυνή. διὰ τί; ἠπατήθη γάρ. ἡ
γυνὴ γάρ, φησιν, ἀπατηθεῖσα ἐν παραβάσει
γέγονεν. ἐνταῦθα δὲ τὸ ἐναντίον. ὅταν μὲν γὰρ ἄπι-
στος ᾖ ὁ ἀνήρ, πιστὴ δὲ ἡ γυνή, διδασκέτω, φησίν, ἡ
γυνή· διὰ τί; ὅτι οὐκ ἠπάτηται· πιστὴ γάρ ἐστι.
μανθανέτω τοίνυν ὁ ἀνήρ. ἠπατήθη γάρ. ἄπι-
στος γάρ ἐστιν. ἀντεστράφη, φησί, τὰ τῆς διδασκα-
λίας· ἀντεστράφθω λοιπὸν καὶ τὰ τῆς δεσποτείας. εἶ-
δες πῶς πανταχοῦ οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀπάτῃ καὶ
τῇ ἁμαρτίᾳ δείκνυσι τὴν δουλείαν ἀκολουθοῦσαν;

A ἦλθε τοίνυν πρὸς τὴν γυναῖκα ἡ ἀπάτη παρὰ τὴν ἀρχήν, ἠκολούθησε τῇ ἀπάτῃ ἡ ὑποταγή· μετέστη μετὰ ταῦτα πρὸς τὸν ἄνδρα ἡ ἀπάτη, μετέστη καὶ ἡ ὑποταγή. καὶ καθάπερ ἐν ἀρχῇ τῷ ἀνδρὶ τὴν σωτηρίαν τῆς γυναικὸς ἐνεπίστευσεν, ἐπειδὴ οὐκ ἠπάτητο, οὑτωσὶ λέγων, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· οὕτω καὶ ἐνταῦθα ἐπὶ τῆς πιστῆς τῆς τὸν ἄπιστον ἄνδρα ἐχούσης, τὴν σωτηρίαν τοῦ ἀνδρὸς ἐμπιστεύει τῇ γυναικί, λέγων· τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; τί ταύτης τῆς ἀποδείξεως σαφέστερον γένοιτ᾽ ἂν τοῦ μὴ τῇ φύσει τὴν δουλείαν, B ἀλλὰ τῇ ἁμαρτίᾳ ἕπεσθαι; τοῦτο καὶ ἐπὶ τῶν δούλων ἐστὶν εἰπεῖν. δοῦλος ἐκλήθης; μή σοι μελέτω. ὁρᾷς πῶς πάλιν δείκνυσι ψιλὸν ὄνομα τὴν δουλείαν οὖσαν, ὅταν ἀρετὴ παρῇ; ἀλλ᾽ εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· τουτέστι, μᾶλλον μένε ἐν τῇ δουλείᾳ. διὰ τί; ὁ γὰρ ἐν κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος κυρίου ἐστίν. εἶδες μέχρι προσηγορίας τὴν δουλείαν, ἐν τῷ πράγματι δὲ τὴν ἐλευθερίαν; τίνος δὲ ἕνεκεν ἀφῆκε μένειν δοῦλον; ἵνα τῆς ἐλευθερίας μάθῃς τὴν περιουσίαν. ὥσπερ γὰρ τοῦ σβέσαι τὴν C κάμινον τὴν ἐπὶ τῶν τριῶν παίδων πολὺ θαυμαστότερον ἦν τὸ μενούσης αὐτῆς ἀσινῆ διατηρῆσαι τὰ σώματα· οὕτω τοῦ λῦσαι τὴν δουλείαν τὸ μενούσης αὐτῆς δεῖξαι τὴν ἐλευθερίαν πολλῷ μεῖζόν ἐστι καὶ θαυμαστότερον. διὰ τοῦτό φησιν, εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι, τουτέστι, μένε δοῦλος· τὴν γὰρ ἀληθεστάτην ἔχεις ἐλευθερίαν. βούλει καὶ ἐπὶ τῶν ἀρχόντων τοῦτο ἰδεῖν; βασιλεὺς ἦν ὁ Ναβουχοδονόσορ, καὶ τὴν κάμινον ἀνῆψε μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ τοὺς τρεῖς παῖδας εἰς μέσον D παρήγαγε, νέους, ἐρήμους, οὐδεμίαν ἔχοντας προστασίαν, δούλους, αἰχμαλώτους, ἀπόλιδας. καὶ τί φησιν; εἰ ἀληθῶς, Σεδρὰκ, Μισὰκ, Ἀβδεναγὼ τοῖς θεοῖς μου οὐ λατρεύετε, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα, οὐ προσκυνεῖτε; τί οὖν ἐκεῖνοι; θέασαι πῶς αὐτοὺς ἡ ἀρετὴ αἰχμαλώτους ὄντας βασιλικωτέρους ἐποίησε τοῦ βασιλέως, καὶ ὑψηλότερον αὐτῶν ἔδειξε τὸ φρόνημα. οὐ γὰρ ὡς βασιλεῖ διαλεγόμενοι, ἀλλ᾽ ὥσπερ πρὸς ὑπήκοον τὸν λόγον ἔχοντες, οὕτω μετὰ παρρησίας ἀπεκρίνοντο. οὐ χρεία, φασίν, ἐστὶν ἡμῖν περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναι τῷ βασιλεῖ.

A Venit igitur ad mulierem ab initio deceptio, ſequuta eſt ſubiectio deceptionē: cōmigrauit ad virum deinde deceptio, cōmigrauit quoq; ſubiectio. Et quemadmodū in principio mulieris ſalutem viro credidit, propterea, ꝙ ſeductus non erat ſic dicens; Ad virū conuerſio tua, & ipſe tui dominabitur: ſic etiā hoc loco cū eſſet mulier fidelis, quæ virū haberet infidelē, ſalutē viri mulieri credidit his verbis vtens: Vnde enim ſcis mulier, an virum ſeruatura ſis? Quid hac fieri demōſtratione clarius poteſt, vt ſeruitutē cōſtet nō naturā cōſequi, ſed B peccatū? Hoc de ſeruis quoq; dici poteſt. Seruus vocatus es, nō ſit tibi curę. Vides, vt rurſus nudū eſſe nomen ſeruitutē oſtēdat, cū virtus adfuerit? Sed & ſi potes fieri liber, magis vtere: hoc eſt, permane potius in ſeruitute. Quā ob cauſam? Qui enim in Domino vocatus eſt ſeruus, libertus eſt Domini. Vides nomine ſolo ten⁹ eſſe ſeruitutē, re autē ipſa libertatē? Cur porro ſeruum manere permiſit? vt libertatis pręſtantiā cognoſceres. Nā quemadmodū multo maius ac maiori admiratione dignū eſt illæſa ſer- C uare triū puerorū corpora manente fornace, quā illā extinguere: ſic multo maius & admirabilis eſt, quā ſoluere ſeruitutem, manente illa libertatem oſtendere. Propterea dixit: etſi potes fieri liber, magis vtere, hoc eſt ſeru⁹ mane: veriſſimā enim poſſides libertatem. Viſne in magiſtratibus etiam iſtud cernere? Rex fuit Nabuchodonoſor, qui fornacem quā vehementiſſimè curauit accendi, ac tres pueros in mediū adduci, iuuenes, deſertos, omni auxilio deſtitu- D tos, ſeruos, captiuos, extorres. Et quid ait? Si vere Sedrac, Miſac, Abdenago Deos meos non colitis, & imaginem aureā quam ſtatui non adoratis? Quid ergo illi? Vide, quo pacto virtus eos, qui captiui erant magis regios quam Regem ipſum reddiderit, ac multo excelſiori animi prædicos illos oſtenderit. Non enim tāquam Regem alloquentes, ſed tanquam cūm aliquo ſibi ſubdito ſermonem ſerentes cum fiducia reſpondebant. Non opus habemus, inquiunt, nos de verbo hoc reſpondere Regi.

Gen. 3. 16

1. Cor. 7. 21.

Subiicimur magiſtratib⁹ quomodo.

Dan. 3. 14.

Non verbis ſed rebus ipſis demonſtrationem exhibebimus. Eſt Deus in cœlo,potens eripere nos. Beneficium à Daniele acceptum in memoriam illi reuocarũt iiſdem vſi verbis,

Dan.2.28.

quæ propheta tunc protulit. Quid enim ille dicebat? Non eſt magorum Gazrenorum, Chaldæorum verbũ, quod requirit Rex: ſed eſt Deus in cœlis reuelans myſteria. Hanc igitur illi vocem in memoriam reuocant, vt modeſtiorem illum reddãt. Deinde addit ſcriptura: Et ſi non, notũ ſit tibi Rex,quia Deos tuos nõ colimus, & imaginem aureã, quam ſtatuiſti, non adoramus. Vide iuuenum ſapiẽtiam. Nam vt ne, qui tunc aderant, Deum infirmitatis accuſarẽt, ſi forte collapſos illos in fornacem mori contigiſſet, potentiam eius ante cõfitentur dicentes, Eſt Deus in cœlo, qui poteſt nos eripere: ne autem rurſus cum flammam euaſiſſent,mercedis ac præmij cauſa Deo ſeruire putarentur,adiecerũt: Et ſi nõ,notum ſit tibi Rex, quia Deos tuos non colimus, & imaginem auream, quam ſtatuiſti nõ adoramus, quibus verbis ſimul & prędicant Dei virtutẽ & generoſam animę ſuæ fiduciã prę ſe ferunt,ne forte de illis quis dicere poſſet, quę aduerſum Iob diabolus calumniando iactabat: Quid vero

Iob.1.9.

dicebat Diabolus? Non gratis colit te Iob: ſiquidem muniſti res eius, quæ intra, & quæ extra ſunt. Ne igitur de his etiam illud dici poſſet, illi anteuertunt, & impudens os obturant. Sed vt dicebam, licet captiuus ſit aliquis,licet ſeruus, licet peregrinus, licet in aliena regione verſetur, & virtutem ſecum habeat, regalior omnibus erit Regibus. Vides & mulierum ſolutam eſſe ſeruitutem, & famulorum, & eorum qui principibns ſubſunt? age deinceps oſtendam tibi mecum quoque beſtiarum eſſe depulſum. In eadem quondam Babylone coniectus fuerat in lacum Daniel: ſed eum leones attingere non audebant. Videbant enim antiquam & regiam imaginem in ipſo refulgentem, illamque formam cernebant, quam in Adamo viderant ante peccatum: ſiquidem cum eadem ſubiectione cum ad Adamũ acceſſiſſent,

Liberati ſumus à metu beſtiarum.

A οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων ποιησόμεθα τὴν ἀπόδειξιν. ἔστι θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς. ἀνέμνησαν αὐτὸν τῆς ἐπὶ τοῦ Δανιὴλ εὐεργεσίας, αὐτὰ τὰ ῥήματα εἰπόντες, ἅπερ ὁ προφήτης εἶπε τότε. τί γὰρ ἐκεῖνος ἔλεγεν; οὐκ ἔστι μάγων, Γαζαρηνῶν, Χαλδαίων τὸ ῥῆμα, ὃ ὁ βασιλεὺς ἀπαιτεῖ· ἀλλ' ἔστι θεὸς ἐν οὐρανοῖς ὁ ἀποκαλύπτων μυστήρια. ταύτης οὖν αὐτὸν ἀναμιμνήσκουσι τῆς φωνῆς, ὥστε ποιῆσαι ἐπιεικέστερον. εἶτά φησι· καὶ, ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ B προσκυνοῦμεν. ὅρα σοφίαν τῶν νέων ἐκείνων. ἵνα μὲν γὰρ μὴ καταγνῶσιν ἀσθένειαν τοῦ θεοῦ οἱ τότε παρόντες, εἰ συμβαίη ἐμπεσόντας αὐτοὺς εἰς τὴν κάμινον ἀποθανεῖν, προλαβόντες ὡμολόγησαν αὐτοῦ τὴν δύναμιν εἰπόντες, ὅτι ἔστι θεὸς ἐν οὐρανῷ, ὃς δύναται ἐξελέσθαι ἡμᾶς· ἵνα δὲ μὴ πάλιν διαφυγόντες τὴν φλόγα, νομισθῶσιν ἐπὶ μισθῷ καὶ ἀμοιβῇ τῷ θεῷ δουλεύειν, ἐπήγαγον· ὅτι καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν, ὁμοῦ C καὶ τοῦ θεοῦ τὴν δύναμιν ἀνακηρύττοντες, καὶ τὸ παράστημα τῆς ἑαυτῶν δεικνύντες ψυχῆς, ἵνα μὴ, ὅπερ ἐπὶ τοῦ Ἰὼβ εἶπεν ὁ διάβολος συκοφαντῶν, τοῦτό τις καὶ περὶ τούτων εἴπῃ. τί δὲ περὶ τοῦ Ἰὼβ εἶπεν ὁ διάβολος; ὅτι οὐ δωρεὰν σέβεταί σε Ἰώβ. περιέφραξας γὰρ αὐτοῦ τὰ ἔσω καὶ τὰ ἔξω. ἵν' οὖν μὴ καὶ περὶ τούτων ἔχῃ τις τοῦτο λέγειν, ἐκεῖνοι προλαβόντες ἐνέφραξαν τὸ ἀναίσχυντον στόμα. ἀλλ' ὅπερ ἔλεγον, κἂν αἰχμάλωτος ᾖ τις, κἂν δοῦλος, κἂν ξένος, κἂν ἐπὶ τῆς ἀλλοτρίας διατρίβῃ γῆς, καὶ τὴν ἀρετὴν D ἔχῃ μεθ' ἑαυτοῦ, πάντων βασιλέων βασιλικώτερος ἔσται. εἶδες καὶ τὴν τῶν γυναικῶν δουλείαν λυθεῖσαν, καὶ τὴν τῶν οἰκετῶν, καὶ τὴν τῶν ἀρχομένων; δεῦρο, σοι δείξω λοιπὸν καὶ τὸν τῶν θηρίων φόβον ἐκβεβλημένον. ἐνέβαλον τὸν Δανιὴλ εἰς τὸν λάκκον ἐπὶ τῆς αὐτῆς Βαβυλῶνός ποτε· ἀλλ' οὐκ ἐτόλμων ἅψασθαι οἱ λέοντες αὐτοῦ. τὴν ἀρχαίαν γὰρ καὶ βασιλικὴν εἰκόνα διαλάμπουσαν εἶδον ἐν αὐτῷ, ἐκείνους τοὺς χαρακτῆρας ἔβλεπον, οὓς ἑώρων ἐπὶ τοῦ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας. καὶ γὰρ μετὰ τῆς αὐτῆς ὑποταγῆς ἐλθόντες πρὸς τὸν Ἀδὰμ,

τὰ ὀνόματα ἐδέξαντο τότε. καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ μακαρίου Παύλου τοῦτο γέγονε. καὶ γὰρ ἐκεῖνος εἰς τὴν τῶν βαρβάρων νῆσον ἐκπεσών, παρεκάθητο πυρᾷ θερμαινόμενος· εἶτα ἀπὸ τῶν φρυγάνων ἐκπηδήσασα ἔχις καθήκετο αὐτοῦ τῆς χειρός. τί οὖν μετὰ ταῦτα ἐγένετο; ἐξέπεσε τὸ θηρίον εὐθέως. ἐπειδὴ γὰρ ἁμαρτίαν οὐχ εὗρεν, οὐδὲ δακεῖν ἴσχυσεν. ἀλλ' ὥσπερ ἡμεῖς, ἐπειδὰν τινὰ σκόπελον λεῖον βουλώμεθα ἀναβῆναι, μηδαμόθεν εὑρίσκοντες ἀντιλαβάς, καταπίπτομεν εὐθέως, κἂν πέλαγος ὑποκείμενον ᾖ, κἂν βάραθρον· οὕτω καὶ τὸ θηρίον ἐκεῖνο, καὶ ταῦτα πυρᾶς ὑποκειμένης, οὐχ εὑρὸν τῆς ἁμαρτίας τὴν ἀντιλαβήν, οὐδὲ ὅπου τοὺς ὀδόντας ἀπερείσῃ, κατέπεσεν εἰς τὴν πυράν, καὶ διεφθάρη. βούλει καὶ τρίτον εἴπω σοι τρόπον ἀπολογίας; εἷς μέν ἐστι, τὸ μὴ τοὺς προτέρους ἡμαρτηκέναι μόνον, ἀλλὰ καὶ τοὺς μετ' ἐκείνους· δεύτερος, τὸ τοὺς κατωρθωκότας, καὶ ταῦτα ἐν τῷ παρόντι διατελοῦντας βίῳ, κουφοτέρας πειραθῆναι τῆς δουλείας· μᾶλλον δὲ ὁλοκλήρου ταύτης ἀπαλλαγῆναι, καθάπερ οὖν καὶ ἐπὶ τῶν γυναικῶν, καὶ ἐπὶ τῶν ἀρχομένων, καὶ ἐπὶ τῶν θηρίων ἐδείξαμεν. τρίτος μετ' ἐκείνους, τὸ μείζονα τῶν ἀγαθῶν, ὧν οἱ παρὰ τὴν ἀρχὴν ἁμαρτόντες ἡμᾶς ἐξέβαλον, παραγενόμενον ἡμῖν ὑποσχέσθαι τὸν Χριστὸν ἀγαθὰ νῦν. τί γὰρ θρηνεῖς, εἰπέ μοι; ὅτι σε ἁμαρτὼν ὁ Ἀδὰμ ἐξέβαλε τοῦ παραδείσου; κατόρθωσον, καὶ ζήλωσον σὺ ἀρετήν, καὶ οὐχὶ παράδεισον, ἀλλ' αὐτὸν ἀνοίγω σοι τὸν οὐρανόν, καὶ οὐδὲν ἐκ τῆς τοῦ πρωτοπλάστου παρακοῆς ἀφίημί σε παθεῖν δεινόν. θρηνεῖς, ὅτι σε τῆς ἀρχῆς τῶν θηρίων παρέλυσεν; ἰδού σοι καὶ δαίμονας ὑποτάττω, ἐὰν προσέχῃς. πατεῖτε γάρ, φησιν, ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. οὐκ εἶπεν, ἄρχετε, καθάπερ ἐπὶ τῶν θηρίων, ἀλλὰ πατεῖτε, ἐπιτεταμένην εἰσάγων τὴν ἀρχήν. διὰ τοῦτο καὶ ὁ Παῦλος οὐκ εἶπεν, ὁ θεὸς ὑποτάξει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν, ἀλλ', ὁ θεὸς συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν. οὐκέτι, καθάπερ πρότερον, αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ αὐτοῦ τηρήσεις πτέρναν· ἀλλ' ὁλόκληρος ἡ νίκη, καθαρὸν τὸ τρόπαιον, παντελὴς ἀφανισμὸς τοῦ πολεμίου, καὶ συντέλεια, καὶ ἀπώλεια. ὑπέταξέ σε τῷ ἀνδρὶ ἡ Εὕα.

nomina tum acceperunt: neque hîc ſolum, ſed & in beato Paulo idē contigit. Nam & ille cum in barbarorum inſulā eiectus eſſet, pyræ aſſidebat, vt calefieret: deinde proſiliēs è ſarmentis vipera manum eius inuaſit. (Act. 28. 4.) Quid ergo poſtea contigit? cōfeſtim beſtia cecidit. Nam quoniam peccatum non inuenit, ne mordere quidem potuit. Sed quemadmodū nos ſi quando læuem aliquē ſcopulū aſcēdere volumꝰ, dum nuſquā reperimus, quod apprehēſum teneamus, repente concidimus, ſiue in ſubiectū pelagus ſiue in præcipitium: ſic & illa beſtia, cū ſubiecta eſſe pyra, quòd peccatum, cui adhæreret, non inueniſſet, neque cui dentes infigeret, in pyram decidit, & interempta eſt. Vis alterum etiam tibi defenſionis genus in medium afferam? Vnum quidem eſt, quod non priores tantum peccarint, ſed & qui poſt illos nati ſunt: alterū vero, quòd qui bene ſe geſſerint, idque dum in hac vita verſarentur, leuiorem experiantur ſeruitutem: vel potius ab illa integra liberentur, vt etiam in mulieribus, & in ſubditis, & in belluis à nobis oſtenſum eſt. Tertium vero poſt illa, quod Chriſtus cum adueniſſet, maiora nunc bona ſit nobis pollicitus, quā ea quibus ſpoliati fuimus ab ijs, qui à principio peccarāt. Quid enim quæſo nunc luges? An ꝙ admiſſo peccato è paradiſo te Adam eiecerit? Fac bona opera, virtutem æmulare, nec iam paradiſum, ſed tibi cœlū refero, neq; permitto, vt ex primi parentis præuaricatione mali tibi quicquam obueniat. An luges, quod dominatu in feras priuatus ſis? ecce tibi dæmones quoq; ſubiicio, ſi velis attendere. Calcate namq;, inquit, ſupra ſerpētes, & ſcorpiones, & ſuper omnē virtutē inimici. (Luc. 10. 19.) Neq. dixit, Dominamini, vt cū de beſtiis ageret, ſed, Calcate, vt ſummū induceret dominatū. (Gen. 1. 28.) Propterea Paulꝰ quoq; nō dixit, Deus ſubijciet Satanam ſub pedibus veſtris, ſed, Deus conteret Satanā ſub pedibus veſtris. Nō iā vt priꝰ, Ipſe obſeruabit caput tuū, & tu ipſius calcaneū obſeruabis: (Rom. 16. 20.) ſed integra eſt victoria, perfectus triumphus, plena ſtrages hoſtis, internecio, & exitium. Viro te ſubiecit

Eua, ego vero te non viro tãtum,ſed & ipſis angelis honore æqualẽ reddo,ſi velis. Vita te præſenti priuauit: ego verò futurã tibi largior perennẽ, immortalem, & ac bonis innumeris redũdantẽ. Nemo igitur propter illos priores dãno ſe affectum arbitretur:etenim ſi velimus omnia quę nobis largiturus eſt, perſequi, multo maiora his quæ amiſimus, nobis eſſe donata cõperiemus. Cæterum ex ijs quæ dicta ſunt de reliquis etiã conſtabit. Laborioſam Adamus vitã inuexit,at Chriſtus vitã promiſit,vnde fugit dolor,triſtitia, & gemitus, ſeq; regnum cœlorũ largiturũ pollicetur. Venite namq;,inquit, benidicti patris mei,poſſidete paratum vobis regnũ à conſtitutione mundi. Eſuriui enim,& dediſtis mihi manducare:ſitiui, & dediſtis mihi bibere: hoſpes erã & collegiſtis me:nudus eram, & cooperuiſtis me:in carcere & veniſtis ad me. Nunquid igitur nos quoque beatã illã vocem audiemus? equidẽ non admodum id auſim aſſeuerare, præſertim cũ pauperes valde contẽnamus. Ieiunij tẽpus eſt, tot cohortationes fiunt,tot ſalutaria documẽta proponũtur,preces cõtinuæ,quotidianæ collectę,quid tamen poſt tãtam curã iſta proficiunt?nihil planè. hinc enim recedimus ordine diſpoſita pauperũ agmina hinc inde ſtantiũ intuentes, & quaſi columnas nõ humana corpora cerneremus,ſic abque miſericordia præterimus. Itaque non ſecus ac ſi ſtatuas anima carentes, non ſpirantes homines ſpectaremus,ita domũ properamus. Enimuero fames cogit,inquiũt. Imo ſuadere debet fames, vt ſubſiſtas: ſiquidem vt vulgato fertur prouerbio pleni ventres eſurietes nõ nouerũt: at qui eſuriunt ex neceſſitate ſua etiã alienã agnoſcunt, vel potius ne ſic quidẽ fieri poteſt, vt illã totã perſpectã habeant. Nã tu quidẽ ad paratam menſam feſtinas,& ne ad modicum quidẽ tempus potes expectare: pauper autẽ ſtat ad ipſam vſque veſperã feſtinãs & ſedulo incũbens, vt quotidianũ victũ cõparet, cumq; diẽ finitũ viderit, pecuniã vero nõdũ totã collectã, quæ ad quotidianũ victũ ſufficiat, dolet & excandeſcit, & ad ea quę vires ipſius excedũt,audẽ-

Eſa. 35. 10.

Matt. 25 34.

Moralis epilog⁹.

A ἀλλ' ἐγώ σε οὐκ ἀνδρὸς ὁμότιμον μόνον, ἀλλὰ καὶ αὐτῶν ποιῶ τῶν ἀγγέλων, ἐὰν ἐθέλῃς. ἀπεστέρησέ σε τῆς παρούσης ζωῆς· ἐγὼ δέ σοι καὶ τὴν μέλλουσαν χαρίζομαι, τὴν ἀγήρω καὶ ἀθάνατον καὶ μυρίων γέμουσαν ἀγαθῶν. μηδεὶς τοίνυν διὰ τοὺς προτέρους ἐπηρεάσθαι νομιζέτω. καὶ γὰρ ἂν θελήσωμεν ἅπασιν, οἷς παρέχειν μέλλει, ἐπεξελθεῖν, πολλῷ μείζονα τὰ δοθέντα, ὧν ἀπωλέσαμεν, εὑρήσομεν. ἀπὸ δὲ τῶν εἰρημένων καὶ τὰ λοιπὰ δῆλα. βίον ἐπίμοχθον εἰσήγαγεν ὁ Ἀδάμ· ὁ Χριστὸς ὑπέσχετο ζωήν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν χα-
B ρίσασθαι ἐπαγγέλλεται. δεῦτε γάρ, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς ἤμην καὶ περιεβάλετέ με· ἐν φυλακῇ, καὶ ἤλθετε πρός με. ἆρα οὖν ἀκουσόμεθα καὶ ἡμεῖς τῆς μακαρίας ἐκείνης φωνῆς; οὐ σφόδρα ἂν ἰσχυρισαίμην ἐγώ. πολλὴ γὰρ παρ' ἡμῖν τῶν πενήτων ἡ ὑπεροψία. νηστείας καιρός, παραίνεσις τοσαύτη καὶ διδασκαλία σωτηρίων
C διδαγμάτων, εὐχαὶ συνεχεῖς, σύλλογοι καθημερινοί, καὶ τί μετὰ τὴν τοσαύτην ἐπιμέλειαν ὄφελος; οὐδέν. ἀναχωροῦμεν γὰρ ἐντεῦθεν ὁρμαθοὺς πενήτων ὁρῶντες στοιχηδὸν ἑκατέρωθεν ἑστηκότων· καὶ ὥσπερ κίονας βλέποντες, ἀλλ' οὐκ ἀνθρώπινα σώματα, οὕτως ἀνηλεῶς παρατρέχομεν. ὥσπερ οὖν ἀνδριάντας ἀψύχους, ἀλλ' οὐκ ἐμπνέοντας ἀνθρώπους βλέποντες, οὕτως οἴκαδε ἐπειγόμεθα. τὸ γὰρ πεινῆν καταναγκάζει, φησί. καὶ μὴν τὸ πεινῆν πειθέτω μένειν. αἱ μὲν γὰρ ἐμπεπλησμέναι γαστέρες, κατὰ τὴν παροι-
D μίαν, τὰς πεινώσας ἀγνοοῦσιν, αἱ δὲ πεινῶσαι ἐκ τῆς οἰκείας ἀνάγκης καὶ τὴν ἀλλοτρίαν ἐπιγινώσκουσι. μᾶλλον δὲ οὐδὲ οὕτω δυνατὸν πᾶσαν αὐτὴν κατιδεῖν. σὺ μὲν γὰρ ἐπὶ παρεσκευασμένην τρέχεις τράπεζαν, καὶ οὐδὲ μικρὸν ἀναμεῖναι ἀνέχῃ· ὁ δὲ πένης ἕστηκε μέχρι τῆς ἑσπέρας αὐτῆς, σπεύδων καὶ ἐπειγόμενος τὴν ἐφήμερον τροφὴν ἀπαρτίσαι· καὶ ὁρῶν τὴν μὲν ἡμέραν πληρωθεῖσαν, τὸ δὲ ἀργύριον οὐδέπω πληρωθὲν ἅπαν τὸ πρὸς τροφὴν ἀρκοῦν ἐφήμερον, ὀδυνᾶται καὶ ἐμπίπραται, καὶ μείζονα τῆς οἰκείας δυνάμεως τολμᾶν ἀναγκάζεται

A διὰ τοῦτο ἐν ἑσπέρᾳ σφοδρότερον ἡμῖν ἐπιτίθενται, ὀμνύοντες, ὁρκοῦντες, θρηνοῦντες, ὀλοφυρόμενοι, τὰς χεῖρας ἐκτείνοντες, μυρία ἕτερα ἀναισχυντεῖν ἀναγκαζόμενοι. δεδοίκασι γὰρ μὴ, πάντων οἴκαδε ἀναχωρησάντων, ὡς ἐν ἐρήμῳ, τῇ πόλει πλανᾶσθαι μέλλωσι. καὶ καθάπερ οἱ ναυαγίῳ περιπεσόντες ἐν ἡμέρᾳ, ἐπειδὰν ἐπιλάβωνται σανίδος, πρὸ τῆς ἑσπέρας τὸν λιμένα καταλαβεῖν ἐπείγονται, μήποτε τῆς νυκτὸς ἐπελθούσης ἔξω μείναντες χαλεπωτέρου πειραθῶσι τοῦ ναυαγίου· οὕτω καὶ οἱ πένητες, καθάπερ ναυάγιον δεδοικότες τὸν λιμὸν, σπεύδουσι πρὸ τῆς ἑσπέρας τὸ πρὸς τροφὴν αὐτοῖς ἀργύριον ἀρκοῦν συναγαγεῖν, ἵνα μὴ, πάντων ἀποδημησάντων οἴκαδε, ἔξω τοῦ λιμένος μείνωσι. λιμὴν γὰρ αὐτοῖς, αἱ τῶν ἀντιλαμβανομένων χεῖρές εἰσιν. ἡμεῖς δὲ οὔτε ἐν ἀγορᾷ πρὸς τὰς ἐκείνων ἐπικαμπτόμεθα συμφορὰς, οὔτε οἴκαδε ἀπελθόντες· ἀλλὰ καὶ τῆς τραπέζης ἡμῖν παρακειμένης πολλάκις καὶ μυρίων γεμούσης ἀγαθῶν (εἴγε ἀγαθὰ χρὴ καλεῖν, ἃ ἐπὶ κατακρίσει τῆς ἡμετέρας ἀπανθρωπίας ἐσθίομεν) πλὴν ἀλλὰ καὶ τῆς τραπέζης παρακειμένης, ἀκούοντες κάτωθεν διὰ τῶν στενωπῶν βαδιζόντων ἐκείνων, καὶ μεγάλα βοώντων ἐν τοῖς ἀμφόδοις, ὀδυρομένων ἐν βαθυτάτῳ σκότῳ, ἐν ἐρημίᾳ πολλῇ, οὐδὲ οὕτως ἐπικαμπτόμεθα· ἀλλὰ καὶ ἐμπλησθέντες, καὶ πρὸς ὕπνον βαδίζοντες, καὶ ἐν ἐκείνῳ πάλιν τῷ καιρῷ μεγάλα κάτωθεν ὀδυρομένων ἀκούοντες, ὥσπερ κυνὸς λυττῶντος, ἀλλ' οὐκ ἀνθρωπίνης ἀκούοντες φωνῆς, οὕτω παρατρέχομεν· καὶ οὔτε πρὸς τὸν καιρὸν ἐπιστρεφόμεθα, ὅτι ἀωρὶ λοιπὸν τῆς νυκτὸς καθευδόντων ἁπάντων ἐκεῖνος ὀδύρεται μόνος, οὔτε πρὸς τὸ κοῦφον τῆς αἰτήσεως, ὅτι ἄρτου πλέον οὐδὲν ἡμᾶς ἀπαιτεῖ, ἢ D ἀργύριον ὀλίγον· οὔτε πρὸς τὸ μέγεθος τῆς συμφορᾶς, ὅτι λιμῷ παλαίει διηνεκεῖ, οὔτε πρὸς τὴν ἐπιείκειαν τοῦ ἱκέτου, ὅτι τοσαύτῃ κατεχόμενος ἀνάγκῃ, οὐ πρὸς τὰς θύρας ἐλθεῖν, οὐκ ἐγγὺς γενέσθαι τολμᾷ, ἀλλὰ κάτωθεν ἐκ πολλοῦ τοῦ διαστήματος ποιεῖται τὴν ἱκετηρίαν. κἂν μὲν λάβῃ, μυρίας δίδωσι τὰς εὐχάς· ἂν δὲ μὴ λάβῃ, οὐδὲ οὕτω πικρὸν ἐκβάλλει ῥῆμα, οὐδὲ λοιδορεῖται καὶ βλασφημεῖ τοὺς δυναμένους δοῦναι, καὶ μὴ παρέχοντας. ἀλλ' ὥσπερ τις ὑπὸ δημίου τινὸς ἐπὶ κόλασιν ἀγόμενος ἀφόρητον, εἶτα

da cōpellitur. Propterea ſub veſperam vehementius nos inuadunt iurantes, adiurantes, lugentes, plorantes, manus tendentes, alia innumera impudenter agere coacti. Verentur enim ne cum omnes domū receſſerint, in vrbe tāquā in deſerto ſint erraturi: & quemadmodum qui interdiu naufragiū fecerunt, tabula arrepta, ante veſperā ad portū peruenire feſtināt, ne forte cū nox aduenerit, foris manentes grauius naufragium patiātur: ita & pauperes dū famē tanquā naufragium pertimeſcunt, ante veſperā pecuniā ad diurnum victum B ſufficientem colligere feſtināt, ne cū omnes domū diſceſſerint, extra porū remaneāt. Portus enim illis ſunt eorum manus, qui opē ferūt. At nos nenec. in foro calamitatibus eorū cōmouemur, neque cum domū reuerſi ſumus: ſed & cum menſa nobis appoſita fuerit, ſæpenumero infinitis bonis referta (ſi quidē ea bona vocāda ſunt, quæ ad noſtræ inhumanitatis cōdemnationem comedimus) verūtamen etiā cum appoſita fuerit mēſa, dum per angiportus in ferius illos C incedentes audimus, & in triuijs magna voce clamantes, profundis dolētes in tenebris, in multa ſolitudine, ne ſic quidem cōmouemur: ſed & ſaturi dum ad ſomnū nos cōuertimus, & illo rurſus tempore multis clamoribus dolorē teſtātes audimus, quaſi rabidum canem non humanam vocem audiremus, ita præterimus: & neque difficultate temporis mouemur, quod intempeſta nocte dormientibus omnibus lamentetur ille ſolus, neq. quod per exiguū quid poſtulet, quòd nihil amplius à nobis quam panem, aut paululum argenti petat, neq. magnitudine calamitatis, quod perpetua fame cōflictetur, neque modeſtia ſupplicantis, qui cum tanta neceſſitate prematur; non ad fores accedere audeat, non cōminus ſtare, ſed inferius lōgo remotꝰ interuallo ſupplicationē ſuā offerat. Ac ſi quidē accipiat, innumeras preces rependit: ſi nō accipiat, ne ſic quidē aſperū verbū emittit, neq. probris inſectatur aut infamat eos, qui cū dare poſſint, nihil præbent: Sed queādmodū quiſpiā dum ad intolerandum quoddā ſuppliciū à carnifice duci-

Cur pauperes ſub veſperā magis importuni.

tur, deinde cum pretereũtes omnes cohortans & obſecrans, nullum ſubſidium obtinere potuerit, multa cũ inhumanitate ad ſupplicium ducitur: ita hic quoq. dum tanquã à carnifice trahitur ad noctem à fame, atque ad vigilias intolerabiles, manus tendit, & vehemẽti cũ clamore ſurſum in ędibus ſedẽtes deprecãs, nec vllum humanitatis auxiliũ impetrãs, cum multa crudelitate immiſericorditer amãdatur. Nihil tamen horum nos inflectit, ſed poſt tantã inhumanitatem manus in cœlum tendere audemus, ac de miſericordia apud Deum verba facere, veniãq; noſtrorum delictorum poſtulare, nec timemus, ne finitis eiuſmodi precib⁹ poſt tantã crudelitatem & immanitatem de cœlo fulmẽ in nos ruat. Quĩ quæſo fit, vt cum ad ſomnum & quietem pergimus, nõ vereamur, ne nobis hic ipſe pauper in ſomnis apparẽs ſqualidus, ſordidus, pannis obſitus lamẽtetur, ac lugeat, & crudelitatẽ exprobret? Sic enim multos audiui dicentes ſe, cum de die pauperibus ſubuenire neglexiſſent, viſos ſibi de nocte funibus cõſtrictos egenorum manu trahi, cruciari, & innumeris malis afficj. Sed hæc quidem ſomnus ſunt & inſomniũ, ac pœna temporaria: nos autem nonne metuimus, quæſo, ne quãdo pauperem hunc lamentãtem, clamantem, & plorantem in, Abrahę ſinu videamus, vt olim Lazarum ille diues? Quæ vero ſequuntur inde, veſtræ cõſcientię colligenda relinquo, peracerba, & intolerãda illa tormenta, quo pacto aquã petierit, quo pacto ne guttã quidem obtinuerit, quo pacto cruciata lingua fuerit, quo pacto poſt multas preces fuſas nullam fuerit veniã cõſequutus, & quo pacto ſupplicijs torqueretur ęternis. At enim abſit vt iſta nos experimento noſcamus, ſed ea tantum dicta audientes minas operibus illatas euitemus, ac digni redditi, quos proauus Abraam comiter ac peramanter excipiat, ad eundem cum illo peruenire locum poſſimus, gratia & benignitate domini noſtri Ieſu Chriſti, cum quo Patri gloria, honor, imperium vna cum Spiritu ſancto nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Immiſericordes in ſomnis vexati.

A τοὺς παριόντας ἅπαντας παρακαλῶν, ἱκετεύων, καὶ μηδεμιᾶς τυγχάνων ἀντιλήψεως μετὰ πολλῆς τῆς ἀπανθρωπίας πρὸς τὴν κόλασιν ἄγεται. οὕτω καὶ οὗτος, καθάπερ ὑπὸ δημίου τοῦ λιμοῦ πρὸς τὴν νύκτα ἑλκόμενος καὶ τὴν ἀφόρητον ἀγρυπνίαν, ἐκτείνει μὲν τὰς χεῖρας, μετὰ σφοδρᾶς τῆς βοῆς τοὺς ἐν ταῖς οἰκίαις ἄνω καθημένους παρακαλῶν, οὐδεμιᾶς δὲ φιλανθρωπίας τυγχάνων, ἀνηλεῶς ἀποπέμπεται καὶ μετὰ πολλῆς τῆς ὠμότητος. ἀλλ' οὐδὲν τούτων ἡμᾶς ἐπικάμπτει. ἀλλὰ μετὰ τοσαύτην ἀπανθρωπίαν εἰς τὸν οὐρανὸν ἐκτεῖναι τὰς χεῖρας τολμῶμεν, καὶ περὶ

B ἐλέους διαλεχθῆναι τῷ θεῷ, καὶ συγγνώμην αἰτῆσαι τῶν οἰκείων ἁμαρτημάτων· καὶ οὐ δεδοίκαμεν μὴ κεραυνὸς μετὰ τὴν τοιαύτην εὐχὴν κατενεχθῇ, μετὰ τὴν τοσαύτην ὠμότητα καὶ ἀπανθρωπίαν. πῶς πρὸς ὕπνον, εἰπέ μοι, βαδίζομεν καὶ ἀνάπαυσιν, καὶ οὐ δεδοίκαμεν μὴ κατ' ὄναρ αὐτὸς οὗτος ἡμῖν ὁ πένης ἐπιστάς, αὐχμηρός, ῥυπῶν, ῥάκια περιβεβλημένος ὀδύρηται καὶ θρηνήσῃ, τὴν ὠμότητα ἐγκαλῶν; καὶ γὰρ πολλῶν πολλάκις ἤκουσα λεγόντων, ὅτι μεθ' ἡμέραν ὑπεριδόντες τῆς τῶν πτωχῶν ἀντιλήψεως, ἐν νυκτὶ σχοινία περιβεβλη-

C μένους ἑαυτοὺς εἶδον καὶ ἑλκομένους ὑπὸ τῆς τῶν πενήτων χειρός, σπαραττομένους, μυρία πάσχοντας πράγματα. ἀλλὰ ταῦτα μὲν ὕπνος καὶ ὄναρ καὶ πρόσκαιρος τιμωρία· ἡμεῖς δὲ οὐ δεδοίκαμεν, εἰπέ μοι, μήποτε τὸν πένητα τοῦτον τὸν ὀδυρόμενον καὶ βοῶντα καὶ ὀλοφυρόμενον ἐν τοῖς κόλποις ἴδωμεν τοῦ Ἀβραάμ, καθάπερ ποτὲ τὸν Λάζαρον ὁ πλούσιος ἐκεῖνος; τὰ δὲ ἐντεῦθεν ἀφίημι ὑμῶν τῷ συνειδότι, τὰ πικρὰ καὶ ἀπαραμύθητα ἐκεῖνα κολαστήρια, πῶς ᾔτησεν ὕδωρ, πῶς οὐδὲ σταγόνος ἔτυχε, πῶς ἡ γλῶττα ἀπετηγανίζετο, πῶς

D πολλὴν τὴν ἱκετηρίαν θείς, οὐδεμιᾶς συγγνώμης ἀπέλαυσε, καὶ πῶς ἀθάνατα ἐκολάζετο. ἀλλὰ γὰρ μὴ γένοιτο ἡμᾶς ταῦτα διὰ τῆς πείρας μαθεῖν· ἀλλὰ διὰ τῶν λόγων ἀκούσαντας φυγεῖν τὴν διὰ τῶν ἔργων ἀπειλήν, καὶ τῆς τοῦ προπάτορος Ἀβραὰμ φιλοφροσύνης ἀξίους ἀποδειχθέντας, εἰς τὸν αὐτὸν ἐκείνῳ χωρῆσαι τόπον, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμή, κράτος σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία

A

Λογ. ϛ.

Περὶ τοῦ ξύλου, εἰ δὲ ἐκείνου γέγονεν ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ πονηροῦ τῷ Ἀδὰμ, ἢ καὶ πρὸ τῆς βρώσεως εἶχε τὴν διάγνωσιν ταύτην· ἐν ᾧ καὶ περὶ νηστείας, καὶ περὶ τοῦ δεῖν ἐν οἰκίᾳ μελετᾷν τὰ λεγόμενα ἐν ἐκκλησίᾳ.

Φιλῶ μὲν τὴν νηστείαν, ὅτι μήτηρ σωφροσύνης ἐστὶ, καὶ πηγὴ φιλοσοφίας ἁπάσης· φιλῶ δὲ αὐτὴν καὶ δι' ὑμᾶς, καὶ διὰ τὴν ὑμετέραν ἀγάπην, ὅτι μοι ταύτην τὴν ἱερὰν καὶ τιμίαν ὑμῶν συνήγαγε σύνοδον, καὶ τὰ ποθούμενα πρόσωπα δίδωσι πάλιν ἰδεῖν, καὶ παρέχει μετ' ἀδείας ἐντρυφῆσαι τῇ καλῇ ταύτῃ πανηγύρει καὶ ἑορτῇ. καὶ γὰρ καὶ πανήγυριν καὶ ἑορτὴν καὶ μυρία ἀγαθὰ οὐκ ἄν τις ἁμάρτοι τὴν ὑμετέραν σύνοδον προσειπών. εἰ γὰρ εἰς ἀγορὰν τις ἐμβαλὼν, καὶ ἑνὶ συντυχὼν φίλῳ, πολλάκις πᾶσαν ἀθυμίαν ἀποτίθεται· ἡμεῖς οὐκ εἰς ἀγορὰν, ἀλλ' εἰς ἐκκλησίαν ἀπαντῶντες, καὶ οὐχ ἑνὶ συντυγχάνοντες φίλῳ, ἀλλὰ τοσούτοις καὶ τοιούτοις ἀδελφοῖς καὶ πατράσι συγγινόμενοι, πῶς οὐ πᾶσαν ἀποθησόμεθα ἀθυμίαν; πῶς οὐ πᾶσαν ἡδονὴν καρπωσόμεθα; οὐ γὰρ τῷ πλήθει μόνον οὗτος βελτίων ὁ σύλλογος τῶν συνεδρίων τῶν ἐν ταῖς ἀγοραῖς, ἀλλὰ καὶ αὐτῇ τῇ φύσει τῆς διαλέξεως. οἱ μὲν γὰρ ἐν ἀγοραῖς συνεδρεύοντες, καὶ μετ' ἀλλήλων συγκαθήμενοι κύκλῳ, πολλάκις καὶ περὶ ἀνοήτων διαλέγονται πραγμάτων, καὶ ψυχρὰν εἰσάγουσιν ὁμιλίαν, καὶ φθέγγονται περὶ τῶν οὐδὲν αὐτοῖς προσηκόντων. καὶ γὰρ εἰώθαμεν, ὡς τὰ πολλὰ, μετὰ πλείονος σπουδῆς τὰ ἀλλότρια περιεργάζεσθαι καὶ πολυπραγμονεῖν. ὅτι μὲν οὖν ἐστιν ἐπισφαλὲς καὶ κίνδυνον ἔχον, τὰ ῥήματα προϊέναι καὶ ἀκούειν τοιαῦτα, καὶ παρασύρεσθαι, καὶ πολλοὶ πολλάκις ἀπὸ τῶν τοιούτων συνεδρίων χειμῶνες ἐπηγείρθησαν ἐν οἰκίαις, παρίημι νῦν· ὅτι δὲ ἀνόητος καὶ ψυχρὰ καὶ βιωτικὴ πᾶσα ἐκείνη ἡ διάλεξις, καὶ πνευματικὸς λόγος οὐκ ἄν ποτε ταχέως εἰς τοιοῦτον εἰσέλθοι σύλλογον, οὐδεὶς ἀντείποι.

Sermo VI.

De ligno, an ex eo cognitionem boni & mali Adamus adeptus ſit, an vero ante quàm ederet, hac dignoſcendi facultate præditus fuerit, itemque de ieiunio, & quod oporteat domi meditari, quæ in eccleſia dicuntur.

Front. Ducæo interprete.

IEIVNIVM quidem diligo, quod temperantiæ ſit parens, & B fons omnis philoſophiæ ac modeſtiæ, ſed & illud propter vos diligo, & propter veſtram caritatem, quod hanc mihi ſacram atque venerandam concionem coëgerit, idque præſtet, vt optatos vultꝰ veſtros intueri poſſimus, & concedat, vt hoc ſacro cõuentu ac feſtiuitate cum fiducia delectemur. Non enim profecto errarit is, qui conſeſſum hunc veſtrum & ſacrum conuentum, & feſtiuitatem, & alia ſexcenta bona nuncuparit. Nam ſi in fo-C rum profectus quiſpiam, & in vnum aliquem incidens ex amicis omnem ex animo triſtitiam abſtergit: nos qui non in forum, ſed in Eccleſiam venimus, & in congreſſum nos damus non vnius amici, ſed tam multorum ac taliũ fratrum patrumque, qui fieri poterit, vt non omnem mœſtitiã deponamus, non lætitiis omnibus incedamus? Nõ enim propter multitudinem tantum melior eſt forenſibus illis cœtibus hic conſeſſus, ſed propter ipſam colloquiorũ conditionem. Nam illi quidem in foro cõſidentes, & in orbem inter ſe collecti, D atq; in circulis otioſi perſæpe de rebus inutilib. ſermones conſerunt, & ieiuna colloquutione inſtituta de iis verba faciunt, quæ ad ipſos nihil attinent. Sic enim fere fit, vt maiori ſtudio res alienas inquiramus, & curioſius indagemꝰ. Iam verò lubricũ eſſe ac periculi plenũ talia verba fundere, atque audire, & ſeduci, multaſq; ob eiuſmodi conuẽtus multoties excitatas eſſe in familiis tẽpeſtates dicere nunc ſuperſedeo: certe inutilẽ ac vanã eſſe atq. ſecularẽ omnẽ eiuſmodi confabulationem, neq; facile ſpiritualẽ vnquam ſermonẽ in eiuſmodi cõſeſſum admitti diffitebitur nemo.

Quanto vtilius ſit concionibus intereſſe, quam profanis conuentibus.

A Hîc autem non ita fit, ſed contrarium planè: ſiquidem omnis inutilis ſermo reiicitur, omnis vero doctrina ſpiritualis in medium profertur. Enimuero de anima diſſerimus, deque bonis illis, quę ad animam pertinent, deque repoſitis nobis in cœlo coronis, de virorum illuſtrium vita deq; Dei benignitate atq; vniuerſi prouidentia, denique de aliis omnibus, quę ad nos pertinēt maximè, cuius rei gratia nati ſimus, & quæ tandem ſors & conditio noſtrum ex hac vita diſceſſum exceptura ſit, quóque in ſtatu res noſtræ tum temporis ſint futuræ. B Atq; huius concionis participes non ſolum nos ſumus, ſed & prophetę, & Apoſtoli, quodq; maius eſt omnibus, ipſe dominus omnium ſtat medius inter nos Ieſus. Ipſe quippe dicit: Vbi duo vel tres congregati ſunt in nomine meo, illic ſum in medio eorum. quod ſi vbi duo tréſve congregati ſunt, in medio eſt ipſorum, multo magis vbi tam multi viri, tam multæ mulieres, tã multi etiam patres, & Apoſtoli ac prophetæ in medio verſantur. Quapropter & nos maiori cum fiducia verba facimus, eo freti ſubſidio, quod nobis inde porrigitur, & fidem datam ſoluimus, C promiſſumque præſtamus. Dicturos enim nos polliciti ſumus, primũ de ligno, an ex eo cognitionẽ boni ac mali ſit adeptus Adamus, an vero antequã ederet, hac dignoſcendi facultate præditus eſſet. Audacter igitur nunc dicamus, etiã ante, quam comederet, hac eũ dignoſcendi facultate præditum fuiſſe: niſi enim quid bonum malumve foret, nouiſſet eum ipſis rationis expertibus animantibus immanior, & dominus ſeruis ſtultior extitiſſet. An non enim abſurdum videtur, vt capræ quidem & oues D nouerint, quænam herba ſibi ſit vtilis, quæue pernicioſa, neq; ad omnes quæ occurrunt, adhæreſcãt, ſed diſcernere poſſint, ac noſſe, quid ipſis noxium ſit, & quid commodum, homo vero tanta ſecuritate fraudetur? Niſi enim hoc haberet, nullius eſſet pretij, ſed omnium abiectiſſimus appareret. Multo enim ſatius ipſi foret, in tenebris verſari, oculiſque captum eſſe, ac lucis aſpectu priuatum, quàm vt quid bonum ſit, quidve malum, ignoraret. Tolle hanc è vita noſtra facultatem, iam ipſam omnem vitam noſtram ſuſtuleris, & omnium rerũ perturbationem inuexeris.

Matth. 18.20.

Adamus an ſcientiã boni & mali habuerit.

A ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἅπαν τοὐναντίον. πᾶσα μὲν γὰρ ἀκερδὴς διάλεξις ἀπελήλαται, πᾶσα δὲ πνευματικὴ διδασκαλία εἰσενήνεκται. καὶ γὰρ περὶ ψυχῆς τῆς ἡμετέρας διαλεγόμεθα, καὶ τῶν τῇ ψυχῇ προσηκόντων ἀγαθῶν, καὶ περὶ τῶν ἀποκειμένων ἐν τοῖς οὐρανοῖς στεφάνων, καὶ περὶ τῶν λαμπρῶν βίων, καὶ περὶ τῆς φιλανθρωπίας τοῦ θεοῦ, καὶ περὶ τῆς προνοίας τοῦ παντός, καὶ περὶ τῶν ἄλλων ἁπάντων τῶν μάλιστα προσηκόντων ἡμῖν, καὶ τίνος ἕνεκεν γεγόναμεν, καὶ ποία μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἀπαντήσεται λῆξις ἡμῖν, καὶ ἐν τίσι τὰ ἡμέτερα B ἔσται τότε. καὶ τοῦ συλλόγου τούτου οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ προφῆται καὶ ἀπόστολοι κοινωνοῦσι· καὶ τὸ δὴ μεῖζον πάντων, αὐτὸς ὁ τῶν ἁπάντων δεσπότης μέσος ἡμῶν ἕστηκεν Ἰησοῦς. αὐτὸς γάρ φησιν, ὅπου δύο, ἢ τρεῖς συνηγμένοι εἰσὶν εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. εἰ δὲ ὅπου δύο, ἢ τρεῖς εἰσι συνηγμένοι, ἐν μέσῳ αὐτῶν ἐστι, πολλῷ μᾶλλον ὅπου τοσοῦτοι μὲν ἄνδρες, τοσαῦται δὲ γυναῖκες, τοσοῦτοι δὲ πατέρες καὶ ἀπόστολοι καὶ προφῆται ἐν μέσῳ πάρεισι. διὸ καὶ ἡμεῖς μετὰ πλείονος προθυμίας φθεγγόμεθα τῆς ἐκεῖθεν C ἀπολαύοντες ῥοπῆς, καὶ τὴν ὑπόσχεσιν ὑμῖν ἀποδιδόαμεν. ὑπεσχόμεθα γὰρ ἐρεῖν περὶ τοῦ ξύλου πρότερον, εἰ διὰ ἐκείνου γέγονεν ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ πονηροῦ τῷ Ἀδάμ, ἢ καὶ πρὸ τῆς βρώσεως εἶχε τὴν διάγνωσιν ταύτην. θαρροῦντες οὖν ἂν εἴποιμεν νῦν, ὅτι καὶ πρὸ τῆς βρώσεως ταύτην εἶχε τὴν διάγνωσιν. εἰ γὰρ μὴ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν, καὶ αὐτῶν τῶν ἀλόγων ἀλογώτερος ἦν, καὶ τῶν δούλων ὁ δεσπότης ἀνοητότερος. πῶς γὰρ οὐκ ἄτοπον αἶγας μὲν καὶ πρόβατα εἰδέναι ποία μὲν αὐτοῖς βοτάνη D χρήσιμος, ποία δὲ ὀλεθρία, καὶ μὴ πᾶσιν αὐτὰ ἐπιέναι τοῖς φαινομένοις, ἀλλ' ἔχειν τὴν διάγνωσιν, καὶ εἰδέναι σαφῶς, τί μὲν αὐτοῖς ἐπιβλαβές, τί δὲ ὠφέλιμον· τὸν δὲ ἄνθρωπον τοσαύτης ἀπεστερῆσθαι τῆς ἀσφαλείας; εἰ γὰρ μὴ τοῦτο εἶχεν, οὐδενὸς ἄξιος ἦν, ἀλλὰ καὶ εὐτελέστερος πάντων ὑπῆρχε. πολλῷ γὰρ αἱρετώτερον ἦν αὐτῷ ἐν σκότῳ διάγειν, καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκόφθαι, καὶ τοῦ φωτὸς ἀπεστερῆσθαι, ἢ μὴ εἰδέναι τί μὲν καλόν, τί δὲ πονηρόν. ἐὰν γὰρ τοῦτο ἀνέλῃς ζωῆς τῆς ἡμετέρας, πᾶσαν τὴν ζωὴν ἡμῶν ἀνεῖλες, καὶ πολλῆς συγχύσεως τὰ πάντα ἐνέπλησας.

τοῦτο γάρ ἐστιν, ᾧ τῶν ἀλόγων διαφερόμεθα, καὶ ᾧ τῶν θηρίων ἀμείνους ἐσμέν, τὴν κακίαν καὶ ἀρετὴν εἰδέναι, καὶ τὸ ἐπιγινώσκειν τὸ πονηρόν, καὶ τὸ καλὸν μὴ ἀγνοεῖν. εἰ δὲ ἡμεῖς τοῦτο ἴσμεν νῦν, οὐχ ἡμεῖς δὲ μόνον, ἀλλὰ καὶ Σκύθαι, καὶ βάρβαροι, πολλῷ μᾶλλον ὁ ἄνθρωπος τότε ἐκεῖνος πρὸ τῆς ἁμαρτίας τοῦτο ἐγνώκει· καὶ οὐκ ἂν ὁ τοσαύταις τιμηθεὶς τιμαῖς, οἷον τῷ κατ' εἰκόνα, τῷ καθ' ὁμοίωσιν, καὶ ταῖς λοιπαῖς εὐλογίαις, τοῦ κεφαλαίου τῶν ἀγαθῶν ἔρημος ἔμεινε. τὸ γὰρ καλὸν καὶ πονηρὸν ἐκεῖνοι μόνοι ἀγνοοῦσιν, ὅσοι τῶν κατὰ φύσιν εἰσὶν ἀπεστερημένοι φρενῶν· ὁ δὲ Ἀδὰμ σοφίας πολλῆς ἐπεπλήρωτο, καὶ διαγνωστικὸς ἑκατέρων τούτων ἦν. καὶ ὅτι σοφίας ἐπεπλήρωτο πνευματικῆς, ἄκουσον αὐτῆς τὴν ἀπόδειξιν. ἤγαγε, φησί, πρὸς αὐτὸν ὁ θεὸς τὰ θηρία, ἰδεῖν τί καλέσει αὐτά· καὶ εἴ τι ἐκάλεσεν αὐτὰ Ἀδάμ, τοῦτο τὸ ὄνομα αὐτοῖς. ἐννόησον τοίνυν πόσης ἐπέπληστο σοφίας, τοσούτοις γένεσιν, οὕτω ποικίλοις, καὶ παντοδαποῖς, τοῖς τῶν κτηνῶν, τοῖς τῶν ἑρπετῶν, τοῖς τῶν πτηνῶν προσηγορίας ἐπιθεῖναι, καὶ πάσας κυρίας, δυνηθείς. οὕτω γὰρ ἀπεδέξατο τὴν θέσιν τῶν ὀνομάτων ὁ θεός, ὡς μηκέτι κινῆσαι τὰς προσηγορίας ἐκείνας, μηδὲ ἁμαρτόντος αὐτοῦ θελῆσαι ἀνελεῖν τὰς ἐπωνυμίας αὐτῶν· πᾶν γάρ, φησιν, ὃ ἐκάλεσεν αὐτὰ Ἀδάμ, τοῦτο ὄνομα αὐτοῖς. οὗτος γοῦν ἠγνόει τί μὲν καλόν, τί δὲ πονηρόν; καὶ πῶς ἂν ἔχοι λόγον; πάλιν ἤγαγε τὴν γυναῖκα πρὸς αὐτόν, καὶ ἰδὼν αὐτὴν εὐθέως ἐπέγνω τὴν τῆς φύσεως κοινωνόν· καὶ τί φησι; τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. ἐπειδὴ γὰρ πρὸ βραχέως ἦν ὁ θεὸς παραγαγὼν αὐτῷ τὰ ζῶα ἅπαντα, δεῖξαι βουλόμενος ὁ Ἀδάμ, ὅτι τοῦτο τὸ ζῶον οὐχὶ ἓν ἐκείνων τῶν ζώων ἐστίν, εἶπε· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. τινὲς δέ, ὅτι οὐχὶ τοῦτο μόνον αἰνίττεται, φασιν, ἀλλὰ καὶ τὸν τρόπον τῆς δημιουργίας, καὶ ὅτι οὐκ ἔσται πάλιν τῇ γυναικὶ τοιοῦτος τῆς γενέσεως τρόπος. διὰ τοῦτο εἶπε, τοῦτο νῦν· ὅπερ οὖν καὶ ἕτερος ἑρμηνευτὴς ἀκριβέστερον ἑρμηνεύων ἔλεγε, τοῦτο ἅπαξ, ὡσανεὶ ἔλεγε, νῦν μόνον γυνὴ γέγονεν ἐξ ἀνδρὸς μόνου. μετὰ δὲ ταῦτα οὐκέτι οὕτως ἔσται, ἀλλ' ἐξ ἀμφοτέρων. ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. ἐξ ὁλοκλήρου γὰρ τοῦ φυράματος ὁ θεὸς λαβὼν κόμμα, οὕτω τὴν γυναῖκα ἔπλασεν,

A Hoc enim illud eſt, quo à brutis animantibus differimus, & quo feris præſtamus, quod vitium virtutemque nouerimus, & quod agnoſcamus quid malum ſit, neq; quid ſit bonum ignoremus. Quod ſi nos id nunc ſcimus, neq; nos tantum, ſed etiam Scythæ ac barbari, multo magis tũ temporis homo ille ante peccatum id nouerat, neque cum tantis honoribus cumulatus eſſet, vt pote quod ad imaginem & ſimilitudinẽ Dei formatus eſſet, aliiſq; benedictionib. ornatus, eo quod caput bonorum eſt, orbatus eſſet relictus. Nã quid bonum ſit & malum, illi ſolum B ignorant, qui naturali mentis ac rationis iudicio ſunt priuati: Adamus autẽ multa ſapientia repletus erat, & huius vtriuſq; diſcernẽdi facultate pollebat. Atq; vt intelligas eum ſpirituali repletum fuiſſe ſapiẽtia, demonſtrationem eius rei audi. Adduxit ad eum Deus, inquit, beſtias, vt videret, quid vocaret eas, & ſi quid eas vocauit Adã, hoc eſt nomen ipſis. Conſidera ergo, quãta ſapiẽtia cumulatus eſſet, qui tam multis generibus, tam variis & cuiuſuis cõditionis iumentorum, reptilium, & volu- C crum nomina, eaq; propria imponere potuerit. Sic enim hãc nominũ impoſitionem approbauit Deus, vt nõ amplius illas appellationes mutarit, neq; cũ ille peccaſſet, voluerit eas è medio tollere. Omne enim, inquit, quod vocauit ea Adam, hoc eſt nomẽ ipſis. An igitur iſte, quid bonum eſſet, quidue malũ ignorabat? cui vero id probabile videatur? Rurſus mulierẽ ad ipſum adduxit, & ea viſa confeſtim naturę conſortẽ agnouit. Et quid ait? Hoc nũc os ex oſſib. meis, & caro de carne mea. Cũ enim paulò ante Deus ad eum cuncta D animalia adduxiſſet, oſtendere volens Adam non vnũ aliquod ex cęteris eſſe hoc animal, dixit, Hoc nũc os ex oſſib. meis, & caro de carne mea. Nonnulli vero dicũt nõ id ſolũ eum innuere, ſed etiam creationis modum, neq. fore vt rurſus mulier ea ratione naſcatur, propterea dixiſſe, Hoc nunc, quod vtique alius interpres accuratius interpretãs dixit, Hoc ſemel, quaſi diceret, Nunc tantum mulier ex ſolo viro facta eſt, poſthac autẽ nõ amplius ſic erit, ſed ex vtriſq. Os ex oſſib. meis & caro de carne mea. Nam aſſumpto ex tota maſſa fragmento vno ſic mulierẽ formauit,

Quĩnã ignorẽt bonum & malum.

Gen. 2. 19.

Gen. 2. 23.

vt in omnibus viro communicet. Hæc A vocabitur mulier, inquit, quoniam de viro ſumpta eſt. Vides vt etiam appellationem idcirco imponat, vt appellatio communionem naturæ demonſtret, & ipſius naturalis communionis demonſtratio & creationis modus, perpetui amoris occaſio, & vinculum ſit concordiæ? Deinde vero quid ait? Propter hoc relinquet homo patrem ſuum, & matrem ſuam, & adhærebit vxori ſuæ. Non ſimpliciter dixit, vnietur, ſed adhærebit, vt ſummam coniunctionem ſignificaret. Et erunt duo in carnem vnam. Ergóne qui tam multa nouerat, dic quæſo, quid eſſet B bonum, quid malum, ignorabat? & cui videatur id rationi cõſentaneum? Si enim neſciebat quid bonum eſſet, & quid malum, antequam de ligno comederet, ſed poſt manducationem id didicit, peccatum illi ſapientiæ magiſter factum eſt, & ſerpens non iam ſeductor, ſed vtilium rerum conſiliarius eſt conſtitutus, eumque hominẽ & bellua reddidit. Abſit hoc: non enim ita ſe res habet, non eſt ita. Nam ſi neſciebat quid bonum eſſet, quid malum, quomodo mandatum acce- C pit? nemo quippe legem fert ei, qui neſciat malum quid eſſe tranſgreſſionem: atqui Deus & tulit, & tranſgreſſorem puniuit, qui vtique neutrum horum feciſſet, niſi à principio facultatem dignoſcendi virtutem ac vitium ei tribuiſſet. Vides vt nobis omni ex parte pateſiat, cum non ſolum poſtquam comedit, nouiſſe quid bonum eſſet, quid malum, ſed & antea illud ſciuiſſe. Hæc igitur omnia retineamus, dilectiſſimi ac domum reuerſi duplicem menſam apponamus vnam ciborum, alteram ſacræ lectionis & vir quidem ea quæ dicta ſunt re- D petat, vxor autem ediſcat: audiant liberi, neque famuli ea lectione fraudentur. domum tuam effice Eccleſiam: ſiquidem & liberorũ & famulorum ſalutis eſt tibi ratio reddenda. Et quemadmodum à nobis exigentur rationes pro vobis, ſic ab vnoquoque veſtrum pro famulo, pro vxore, ac pro filio ratio repoſcetur. Itaque poſt eiuſmodi narrationes ſuauiſſima nos excipient inſomnia, omniſque viſionis expertia.

An habuerit Adam cognitionem boni & mali.

Epilogus ſermonis.

ἵνα κατὰ πάντα κοινωνῇ τῷ ἀνδρί. αὕτη, φησί, κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς ἐλήφθη. ὁρᾷς πῶς καὶ τὴν προσηγορίαν διὰ τοῦτο ἐπιτίθησιν, ἵνα ἡ προσηγορία διδάσκῃ τὴν κοινωνίαν τῆς φύσεως, καὶ ἡ διδασκαλία τῆς κατὰ τὴν φύσιν κοινωνίας, καὶ ὁ τῆς δημιουργίας τρόπος ὑπόθεσις ἀγάπης ἡ διηνεκοῦς, καὶ συνδεσμὸς ὁμονοίας; εἶτα τί φησιν; ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ. οὐκ εἶπεν ἁπλῶς, ἑνωθήσεται, ἀλλά, κολληθήσεται, τὴν ἀκριβῆ συνάφειαν δηλῶν, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὁ τοσαῦτα οὖν εἰδώς, εἰπέ μοι, οὐκ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν; καὶ πῶς ἂν ἔχοι λόγον; εἰ γὰρ μὴ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρὸν πρὸ τοῦ φαγεῖν ἀπὸ τοῦ ξύλου, ἀλλὰ μετὰ τὴν βρῶσιν ἔμαθεν, ἡ ἁμαρτία γέγονεν αὐτῷ σοφίας διδάσκαλος, καὶ ὁ ὄφις οὐκέτι ἀπατεών, ἀλλὰ σύμβουλος τῶν συμφερόντων κατέστη, ἐκ θηρίου ποιήσας αὐτὸν ἄνθρωπον. ἀλλὰ μὴ γένοιτο. οὐκ ἔστι ταῦτα οὕτως, οὐκ ἔστιν. εἰ γὰρ μὴ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν, πῶς καὶ τὴν ἐντολὴν ἐλάμβανεν; οὐδεὶς γὰρ δίδωσι νόμον τῷ μὴ εἰδότι, ὅτι κακὸν ἡ παράβασις· ὁ δὲ θεὸς καὶ ἔδωκε, καὶ παραβάντα ἐκόλασεν, οὐκ ἂν ἀμφότερα ταῦτα ποιήσας, εἰ μὴ γνωστικὸν αὐτὸν ἐξ ἀρχῆς ἐποίησεν ἀρετῆς καὶ κακίας. ὁρᾷς πῶς πάντοθεν ἡμῖν ἀποδέδεικται, ὅτι οὐ μετὰ τὴν βρῶσιν τοῦ ξύλου τὸ καλὸν ᾔδει καὶ τὸ πονηρόν, ἀλλὰ καὶ πρὸ τούτου ἠπίστατο; ταῦτα οὖν ἅπαντα, ἀγαπητοί, διακατέχωμεν, καὶ οἴκαδε ἀναχωρήσαντες διπλῆν παραθῶμεν τράπεζαν, τὴν τῶν σιτίων, καὶ τὴν τῆς ἀκροάσεως· καὶ λεγέτω μὲν ἀνὴρ τὰ εἰρημένα, μανθανέτω δὲ γυνή, ἀκουέτω δὲ καὶ παιδία, μὴ ἀποστερείσθωσαν δὲ μηδὲ οἰκέται τῆς ἀκροάσεως ταύτης. ἐκκλησίαν ποίησόν σου τὴν οἰκίαν. καὶ γὰρ καὶ ὑπεύθυνος εἶ καὶ τῆς τῶν παιδίων, καὶ τῆς τῶν οἰκετῶν σωτηρίας. καὶ καθάπερ ἡμεῖς ὑπὲρ ὑμῶν ἀπαιτούμεθα λόγον, οὕτω, καὶ ἕκαστος ὑμῶν καὶ ὑπὲρ οἰκέτου, καὶ ὑπὲρ γυναικός, καὶ ὑπὲρ παιδὸς ἀπαιτεῖται εὐθύνας. ἀπὸ γοῦν τῶν τοιούτων διηγημάτων ἥδιστα διαδέξεται ἡμᾶς τὰ ὀνείρατα, καὶ φαντασίας ἀπηλλαγμένα ἁπάσης.

οἷα γὰρ μεθ' ἡμέραν ἡ ψυχὴ μελετᾷν εἴωθε, τοιαῦτα καὶ καθ' ὕπνους φαντάζεται· καὶ ἐὰν τὰ καθ' ἑκάστην ἡμέραν φυλάττωμεν λεγόμενα, οὐ πολλοῦ δεηθησόμεθα πόνου. καὶ γὰρ σαφέστερος ὁ μετὰ ταῦτα λόγος ὑμῖν ἔσται, καὶ ἡμῖν προθυμοτέρα ἡ διδασκαλία. ἵν' οὖν γένηταί τι πλέον καὶ ἡμῖν καὶ ὑμῖν, ἡμῖν μὲν ἀπὸ τῆς διδασκαλίας, ὑμῖν δὲ ἀπὸ τῆς ἀκροάσεως, μετὰ τῆς σωματικῆς τραπέζης καὶ ἡ τράπεζα ὑμῖν παρατιθέσθω ἡ πνευματική. καὶ γὰρ καὶ ἀσφάλεια καὶ κόσμος ἐκεῖνα ὑμῖν γενήσεται, καὶ τὰ τῆς παρούσης ζωῆς πρὸς τὸ συμφέρον ὁ θεὸς κατευθυνεῖ, καὶ ῥᾷστα ὑμῖν ἔσται πάντα καὶ εὔκολα. ζητεῖτε γάρ, φησι, πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ πάντα ταῦτα προστεθήσεται ὑμῖν. ζητῶμεν οὖν ταύτην, ἀγαπητοί, ἵνα καὶ τῶν ἐνταῦθα, καὶ τῶν ἐκεῖ ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ δόξα, τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Λογ. ζ.

Διὰ τί ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον, καὶ τί ποτέ ἐστι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

Πολλὰ παρεκάλεσα χθὲς τὴν ὑμετέραν ἀγάπην μεμνῆσθαι τῶν εἰρημένων, καὶ διπλῆν ἐν ἑσπέρᾳ παραθεῖναι τὴν τράπεζαν, τὴν τῶν βρωμάτων, καὶ τὴν ἀπὸ τῶν λόγων προστιθέντας ἑστίασιν. τί οὖν; ἐποιήσατε τοῦτο, καὶ παρεθήκατε διπλῆν τὴν τράπεζαν; οἶδα ὅτι ἐποιήσατε· καὶ οὐκ ἐκείνης μόνον, ἀλλὰ καὶ ταύτης μετέχετε. οὐ γὰρ δὴ περὶ τὴν ἐλάττω σπουδάσαντες, τῆς βελτίονος ἐμέλλετε ἀμελεῖν. καὶ γὰρ βελτίων ἐκείνης αὕτη. τὴν μὲν γὰρ μαγείρων συνέθηκαν χεῖρες, ταύτην δὲ προφητῶν παρεσκεύασαν γλῶτται· καὶ ἡ μὲν τὰ ἀπὸ τῆς γῆς ἔχει βλαστήματα, ἡ δὲ τὸν καρπὸν τὸν ἀπὸ τοῦ πνεύματος· καὶ ταύτης μὲν τῆς τραπέζης πρὸς φθορὰν ἐπείγεται τὰ σιτία, τὰ δὲ ἐκείνης πρὸς ἀφθαρσίαν·

A qualia namque ſolet anima interdiu meditari, talia & in ſomnis imaginatur & effingit: quod ſi quæ ſingulis diebus dicuntur, memori mente ſeruemus, magno labore opus non erit: conſequens quippe ſermo dilucidior vobis erit, & facilior fiet ac procliuior noſter ad docendum conatus. Vt igitur aliqua inde vtilitas & ad nos & ad vos dimanet: ad nos quidem eò, quod doceamus, ad vos autem quod audiatis; poſt menſam corporalem, ſpiritualis etiam menſa vobis inſtruatur. Illa enim vobis & ad ſecuritatem & ad ornatum vſui erunt, & huiuſce vitæ
B negotia ad veſtrã vtilitatem diriget, ac fortunabit Deus, omniaque vobis prona & procliuia reddentur. Quærite enim, inquit, primum regnum cælorum, & hæc omnia adiicientur vobis. Matth. 6.33.
Hoc igitur quæramus, dilectiſſimi; vt & iſtius & illius futuræ vitę bona conſequamur, gratia & benignitate domini noſtri Ieſu Chriſti, per quem & cum quo gloria Patri, & Spiritui ſancto nunc & ſemper & in ſecula ſeculorum. Amen.

C

SERMO VII.

Quare lignum ſcientiæ boni & mali vocetur lignum illud: & quid ſit, Hodie mecum eris in paradiſo.

EODEM INTERPRETE.

HESTERNO die caritatem veſtrã multis hortatus ſum, vt eorũ, quę dicta fuerant, recordaremini, ac duplicem veſperi menſam
D poneretis, vnam ciborum, & alterum ei ſermonum conuiuium adiungeretis. Quid igitur? num hoc feciſtis, duplicemque menſam appoſuiſtis? Scio vos id feciſſe, neq; tantum illius, ſed huius etiam fuiſſe participes. Neque enim cum deteriori tantum ſtudium adhibuiſſetis; multo potiorem contemnere debuiſtis. Nam illam quidẽ manus inſtruxerunt coquorum, hanc autem linguæ prophetarum parant; in illa terræ fœtus inſunt, in iſta Spiritus fructus: illius menſæ cibaria properant ad corruptionem; huius dapes ad incorruptionem;

A & illa quidem præſentem hanc noſtram vitam tuetur, iſta vero nos ad futuram deducit. Hanc itaque vos inſtruxiſſe cum illa probè ſcio non ex pediſequo veſtro nec ex famulo ſciſcitatus, ſed ex nuntio his omnibus fideliori. Ex quonam tãdem? ex plauſu nimirum, quò ea quę dicta fuerant, & ex laude, qua doctrinam vobis traditam commendaſtis. Cum enim heri dixiſſem, Vnuſquiſq; veſtrum domũ ſuam eccleſiã efficiat, magna voce acclamaſtis, ac voluptatis, qua vos illa verba perfuderãt, ſignificationem dediſtis. Porro is qui cũ voluptate quæ dicuntur audit, is ſe ad opera exhibẽda paratum oſtendit. Propterea prõptius hodierno die me ad docendum accinxi. Verũ erigite nũc quoq; mẽtes veſtras; neq; enim ſolũ eum qui dicit erecta mente oportet eſſe, verumetiã auditores ſollicitos & attẽtos eſſe, atque auditores amplius quam oratorẽ. Nam nos quidem id vnum ſtudemus, vt dominicam pecuniã collocemus: vos vero maiorem laborẽ adhibetis, vt eam exceptam cum multa cautione ſeruetis. Poſtquam igitur audieritis, ſeras oſtiis & vectes obdite, ac terribiles cogitationes vndique animæ tanquam cuſtodes quoſdam apponite. ſiquidem impudens eſt fur, & perpetuo vigilat, ac ſine intermiſſione impetum facit: & quamuis ſæpenumero aberret, ſæpenumero aggreditur. Adſtent igitur cuſtodes terribiles, ac ſi diabolum viderint aduentantem, & eorum quæ depoſita ſunt, aliquid abripere parantem, magno cum clamore illum abigãt: quòd ſi ſeculares ſollicitudines vos inuaſerint, eas repellat: quòd ſi obliuio ex naturæ infirmitate negotium faceſſat, exercitatione memoriam excitẽt. Neq; enim mediocre periculum imminet, ſi pecunias dominicas perdideritis. Nam ſi illi qui acceptas pecunias ſibiq; cõmiſſas diſperſerint, ſæpenumero morte mulctantur: qui multo pretioſiora iſtis eloquia diuina receperint, eaque perdiderint, quo tãdem ſupplicio nõ plectẽtur? Nam qui pecunias quidem iſtas acceperint, reddẽdæ rationi ſunt tantum obnoxij, quomodo eas cuſtodierint, neque amplius quicquam requiritur. Quam multa enim receperint, tam multa illos planè reponere neceſſe eſt, neque quicquam amplius ab illis repoſcit vllus: acceptis autem diuinis elo-

Plauſum approbat auditorum.

A καὶ αὐτὴ μὲν τὴν παροῦσαν ἡμῶν συγκροτεῖ ζωήν, ἐκείνη δὲ πρὸς τὴν μέλλουσαν ἡμᾶς ὁδηγεῖ. ὅτι μὲν οὖν παρεβήκατε μετ᾽ ἐκείνης καὶ ταύτην, οἶδα, οὐκ ἀκόλουθον ὑμῶν ἐρωτήσας, οὐκ οἰκέτην, ἀλλὰ τὸν τούτων σαφέστερον ἄγγελον. τίνα δὴ τοῦτον; τὸν κρότον τῶν εἰρημένων, τὸν ἔπαινον τὸν ἐπὶ τῇ διδασκαλίᾳ. ἐπειδὴ γὰρ εἶπον χθὲς, ὅτι ἕκαστος ὑμῶν ποιησάτω τὴν οἰκίαν αὐτοῦ ἐκκλησίαν, μέγα ἀνακεκράγατε, δηλοῦντες τὴν ἡδονὴν τὴν ἐπὶ τοῖς εἰρημένοις. ὁ δὲ μεθ᾽ ἡδονῆς ἀκούων τῶν λεγομένων, οὗτος καὶ πρὸς τὴν τῶν ἔργων ἐπίδειξιν παρεσκεύασται. B Διὰ ταῦτα καὶ τήμερον προθυμότερον ἀπεδυσάμην πρὸς τὴν διδασκαλίαν. ἀλλὰ διεγείρητε καὶ νῦν. οὐδὲ γὰρ τὸν λέγοντα διεγηγερμένον εἶναι χρὴ μόνον, ἀλλὰ καὶ τοὺς ἀκούοντας ἐναγωνίους εἶναι χρὴ, καὶ τοὺς ἀκούοντας μᾶλλον, ἢ τὸν λέγοντα. ἡμεῖς μὲν γὰρ μίαν ἔχομεν σπουδὴν, καταβαλεῖν τὰ δεσποτικὰ χρήματα· ὑμῖν δὲ πλείων ὁ πόνος, ὥστε καὶ ὑποδέξασθαι αὐτὰ, καὶ μετὰ πολλῆς τηρῆσαι τῆς ἀσφαλείας. ἐπιθέτε τοίνυν μετὰ τὴν ἀκρόασιν τὰ κλεῖθρα ταῖς θύραις, τοὺς μοχλοὺς καὶ λογισμοὺς τοὺς φοβερούς, C καθάπερ τινὰς φύλακας, πανταχόθεν περιστήσατε τῇ ψυχῇ. καὶ γὰρ ἀναίσχυντος ὁ κλέπτης ἐστὶ, καὶ διαπαντὸς ἀγρυπνεῖ, καὶ συνεχῶς ἐπιτίθεται, κἂν πολλάκις ἀποτύχῃ, πολλάκις ἐπιχειρεῖ. ἑστώσαν τοίνυν φοβεροὶ οἱ φύλακες. κἂν ἴδωσι τὸν διάβολον ἐλθόντα καὶ βουλόμενον ἁρπάσαι τι τῶν καταβληθέντων, μετὰ πολλῆς αὐτὸν ἀπελαυνέτωσαν τῆς κραυγῆς. κἂν φροντίδες βιωτικαὶ ἐπίωσι, κωλυέτωσαν· κἂν λήθη παρὰ τῆς φύσεως διενοχλῇ, τῇ μελέτῃ τὴν μνήμην διεγειρέτωσαν. οὐ γὰρ ἔστι μικρὸς ὁ κίνδυνος, ἀπολέσαι D χρήματα δεσποτικά. εἰ γὰρ οἱ ταῦτα τὰ χρήματα ὑποδεχόμενοι, ἐπειδὰν διασκορπίσωσι τὰ πιστευθέντα, θανάτῳ κολάζονται πολλάκις· οἱ τὰ πολλῷ τιμιώτερα τούτων ὑποδεξάμενοι λόγια, εἶτα ἀπολέσαντες, ποίαν οὐχ ὑποστήσονται τιμωρίαν; ἐπὶ μὲν τούτων τῶν χρημάτων φυλακῆς εἰσιν ὑπεύθυνοι μόνον οἱ δεχόμενοι, ἕτερον δὲ οὐδενός. ὅσα γὰρ ὑπεδέξαντο, τοσαῦτα αὐτοὺς καταθεῖναι πᾶσα ἀνάγκη, καὶ πλέον οὐδεὶς οὐδὲν ἀπαιτεῖται παρ᾽ αὐτῶν· ἐπὶ δὲ τῶν

A τοῦ θεοῦ λόγων οὐχὶ φυλακῆς ἐσμὲν ὑπεύθυνοι μόνον, ἀλλὰ καὶ ἐργασίας πολλῆς. οὐδὲ γὰρ ἅπερ ἐδεξάμεθα μόνον ἀποδοῦναι κελευόμεθα, ἀλλὰ καὶ διπλᾶ ταῦτα τῷ δεσπότῃ προσενεγκεῖν. καίτοι εἰ καὶ φυλάξαι προέκειτο μόνον, πολλῆς ἀγωνίας καὶ σπουδῆς ἐδεῖτο τὸ πρᾶγμα· ὅταν δὲ καὶ πλεονάσαι αὐτὰ προστάττῃ ἡμῖν ὁ δεσπότης, ἐννόησον ὅσου πόνου καὶ φροντίδος ἡμῖν δεῖ τοῖς πιστευθεῖσι. διά τοι τοῦτο πιστευθείς τις πέντε τάλαντα, οὐχ ὅσα ἐνεπιστεύθη, προσήνεγκεν, ἀλλὰ καὶ ἕτερα τοσαῦτα. ἐκεῖνα μὲν γὰρ τῆς τοῦ δεσπότου φιλανθρωπίας ἦν· ἔδει δὲ καὶ τὸν οἰκέτην τὴν ἑαυτοῦ σπουδὴν ἐπιδείξασθαι. B ὁμοίως καὶ ὁ τὰ δύο τάλαντα πιστευθεὶς εἰργάσατο ἄλλα δύο, καὶ τούτου ἕνεκα ἠξιώθη τῆς αὐτῆς τιμῆς παρὰ τοῦ ἰδίου δεσπότου. ἄλλος δέ τις πάλιν ἓν τάλαντον πιστευθείς, καὶ προσενεγκὼν αὐτὸ ὅπερ ἐπιστεύθη, οὐ μειώσας, οὐκ ἐλαττώσας τὴν παρακαταθήκην, οὐκ ἐξ ἡμισείας ἀποδούς, διὰ τὸ μὴ τὴν πραγματείαν ἐπιδείξασθαι, μηδὲ διπλοῦν προσενεγκεῖν τὸ πιστευθέν, τὴν ἐσχάτην ἔδωκε δίκην· καὶ μάλα εἰκότως. εἰ γὰρ ἐβουλόμην, φησίν, αὐτὰ φυλάττεσθαι μόνον, C καὶ ἄλλην μὴ γενέσθαι ἐμπορείαν ἐν αὐτοῖς, οὐκ ἂν αὐτὰ ταῖς τῶν δούλων ἔδωκα χερσί. σὺ δέ μοι θέα τὴν φιλανθρωπίαν τοῦ δεσπότου. προσήνεγκεν ὁ τὰ πέντε τάλαντα πιστευθεὶς ἄλλα πέντε, καὶ ὁ τὰ δύο ἄλλα τοσαῦτα, καὶ τῶν αὐτῶν ἑκάτεροι ἀπήλαυσαν ἀμοιβῶν. ὥσπερ γὰρ ἐκείνῳ εἶπεν, εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· οὕτω καὶ τῷ τὰ δύο προσενεγκόντι φησίν, εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω. ἡ πρόσοδος οὐχ ἡ αὐτή, καὶ ὁ μισθὸς ὁ αὐτός, οὕτω καὶ τοῦτον τῆς αὐτῆς ἠξίωσε τιμῆς. τί δήποτε; D ὅτι οὐ τῇ ποσότητι τῶν προσενεχθέντων, ἀλλὰ τῇ δυνάμει τῶν ἐργαζομένων προσεῖχεν ὁ θεός. ἐκείνων μὲν γὰρ ἕκαστος τὰ κατὰ δύναμιν ἐπεδείξατο· τὸν πλεονασμὸν δὲ τῶν προσενεχθέντων καὶ τὴν ἐλάττωσιν οὐχ ἡ ῥᾳθυμία ἐκείνου, οὐδὲ ἡ σπουδὴ τούτου, ἀλλ' ἡ διαφορὰ τῆς παρακαταθήκης ἐποίησεν. ἐκεῖνος πέντε ἔλαβε, καὶ πέντε ἄλλα προσήνεγκεν· οὗτος δύο ἔλαβε, καὶ δύο προσήνεγκε, καὶ κατ' οὐδὲν ἠλάττωται ἐν τῷ τῆς σπουδῆς λόγῳ. καὶ γὰρ καὶ οὗτος διπλᾶ, κα-

quiis nõ modo illorum cuſtodiæ reddenda eſt ratio, ſed multæ etiam negociationis ac lucri. Non enim ea ſolũ reddere iubemur, quæ recepimus, ſed & domino duplicata offerre. quãquam ſi ea cuſtodire tantum propoſitũ nobis eſſet, multa ſollicitudine ac ſtudio res indigeret: cum vero vt etiã multiplicentur, nobis dominus imperarit, cogita quantum laboris & curæ ſit à nobis, quib. ea cõmiſſa ſunt, conferendum. Quam ob cauſam etiã quidam cui cõmiſſa fuerãt talenta quinque, non totidem obtulit, quot fuerãt illi commiſſa, ſed & altera tãta. Nam illa quidem benignitatis erant domini: ſed oportuit etiam ſeruum ſuę ſpecimen aliquod edere diligẽtiæ. Similiter & is cui duo talenta credita fuerant, alia duo lucratus eſt, atq; idcirco pari eũ dominus honore dignatus eſt. Alius vero quiſpiam rurſus, cui talentum vnum creditum fuerat, & illud ipſum obtulerat, quod creditum erat, qui non imminuerat, nõ deterius reddiderat illud depoſitum, neque dimidiatum tãtum reddiderat: propterea quod quæſtum non fecerat, neq; duplicatũ obtulerat, quod creditũ fuerat, extremo ſupplicio punitus fuit: ac meritò ſanè. Nam ſi ea cuſtodiri tantum voluiſſem, inquit, nec aliud lucrũ ex iſtis acquiri, nequaquam illa ſeruorum manib. tradidiſſem. Tu vero domini benignitatem conſidera. Is cui talenta quinque commiſſa fuerãt obtulit alia quinque, & is cui duo, altera tanta, & eadem vterque præmia retulit. Vt enim illi dixit. Euge ſerue bone ac fidelis, ſuper pauca fuiſti fidelis, ſuper multa te conſtituam: ſic etiam illi qui duo obtulerat, inquit, Euge ſerue bone ac fidelis, ſuper pauca fuiſti fidelis, ſuper multa te conſtituam. Prouẽtus haud idem eſt, & merces eſt eadẽ: ſic & hunc eodẽ honore dignatus eſt. Quid ita? quoniam non eorum quæ oblata ſunt quantitatem, ſed eorum virtutem, qui negociati fuerãt, attendebat Deus. Nam illorum vnuſquiſq; pro virili quæ ſuarum partium erant præſtiterat: res autem oblatæ nõ multiplicatæ fuerãt aut imminutæ vel ob illius ignauiã vel ob diligentiã iſtius, ſed pro depoſiti diuerſitate. Ille quinque accepit, & obtulit alia quinq;, hic accepit duo, & obtulit duo, neq; quod ad ſtudiũ attinet, inferior extitit. ſiquidẽ & hic

Mat. 25. 14.

Non quantitatem pecuniæ, ſed virtutem famulorũ ſpectat Deus.

A duplicia, & ille duplicia lucrifecit quę credita fuerant:is vero qui vnum acceperat ſimplex illud obtulit,quam ob cauſam eſt etiam caſtigatus. Audiſtis ergo quãtum illos maneat ſupplicium, qui ex dominicis pecuniis negociati non fuerint. Ergo & cuſtodiamus, & negotiemur & multum ex illis comparatum lucrum exhibeamus. Neq; dicat aliquis, Idiota ſum, diſcipulus ſum, verbum doctrinæ non habeo,cum imperitus ſim & nullius pretij,tametſi enim idiota ſis: licet diſcipulus,licet vnum tibi talẽtum ſit creditum, negotiare ex eo quod tibi cõmiſſum eſt, & eandem cum doctore B mercedem accipies. Ac vos quidem ea quæ dicta ſunt cuſtodire & exactè memoria tenere omninò credo: ſed ne in hoc omnem orationem impendamus,age quæ ſequuntur ea quæ dicta ſunt à nobis heri apud caritatem veſtram, adiungamus, & hanc vobis cuſtodiæ mercedẽ perſoluamus. Qui enim priora ſibi credita conſeruauit dignus eſt qui alia rurſus accipiat. Quænam igitur hoſterno die propoſita eſt à nobis narratio? de ligno ſermo erat,& oſtendimus hominem an- C tequam de ligno ederet, boni ac mali cognitionem habuiſſe, multaque repletum ſapientia fuiſſe, ex eo quod nomina beſtiis impoſuerit,exeo quod vxorem ſuam agnouerit, ex eo quod dixerit: Hoc nunc os ex oſſibus meis, ex eo quod de nuptiis diſſeruerit, de procreatione liberorum,de coniugali coniunctione,& de patre ac matre,ex eo quod mandatum acceperit. Neq. enim mandatum dat quiſquam ac legem de reb. gerendis aut non gerendis ei, qui bonum ac malum ignoret. Hodie dicere fuerit operæ-pretium, D quam ob cauſam, ſi à ligno ſcientiam homo non accepit,lignũ ſcientiæ boni ac mali fuerit appellatum: neque enim leuis momenti fuerit didiciſſe, cur hęc appellatio ligno ſit indita. Nã

Gen.3.5. & diabolus dixit: Qua die manducaueritis de eo, aperientur oculi veſtri, & exitis ſicut dij, ſcientes bonum, & malum. Quomodo igitur, inquit, tu dicis ſcientiam non inſeruiſſe boni ac mali? Quis vero quæſo inſeruit? num diabolus? Certe, inquit, cum dixerit, Eritis ſicut Dij ſciẽtes bonum & malum. Tum tu igitur teſtimoniũ mihi hoſtis affers & inſidiatoris? Atqui dixit hic quoq;, Eritis etiã Dij: num igitur etiã Dij ſunt facti? Vt

κεῖνος διπλᾶ τὰ πιστευθέντα εἰργάσατο. ὁ δὲ τὸ ἓν λαβὼν ἁπλοῦν προσήνεγκε· διὸ καὶ ἐκολάζετο. ἠκούσατε τοίνυν πόση τιμωρία κεῖται τοῖς μὴ πραγματευομένοις περὶ τὰ χρήματα τὰ δεσποτικά; ἐκεῖνο καὶ φυλάξωμεν, καὶ πραγματευσώμεθα, καὶ πολλὴν ἐπιδειξώμεθα περὶ αὐτὰ τὴν ἐμπορείαν. μὴ λεγέτω τις, ἰδιώτης εἰμί, μαθητής εἰμι, λόγον οὐκ ἔχω διδασκαλίας ἀμαθὴς ὢν καὶ οὐδενὸς ἄξιος. κἂν γὰρ ἰδιώτης ᾖς, κἂν ἀμαθής, κἂν ἓν τάλαντον πιστευθῇς, ἐργάζου τὸ ἐγχειρισθέν, καὶ τὸν αὐτὸν τῷ διδάσκοντι λήψῃ μισθόν. ἀλλ' ὅτι μὲν φυλάττετε τὰ εἰρημένα καὶ μετὰ πολλῆς τῆς ἀκριβείας κατέχετε, πάνυ πεπίστευκα. ἵνα δὲ μὴ εἰς τοῦτο τὸν λόγον ἅπαντα ἀναλώσωμεν, φέρε, καὶ τὰ ἑξῆς τῶν χθὲς ἡμῖν λεχθέντων προσθῶμεν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, τοῦτον τῆς φυλακῆς ὑμῖν ἀποδιδόντες τὸν μισθόν. ὁ γὰρ τὰ πρότερα πιστευθεὶς καὶ τηρήσας, ἄξιος ἂν εἴη καὶ ἕτερα πάλιν λαβεῖν. τί οὖν ἦν τὸ διήγημα τὸ χθὲς ἡμῖν προτεθέν; περὶ τοῦ ξύλου ὁ λόγος ἦν. καὶ ἐδείξαμεν, ὅτι ᾔδει ὁ ἄνθρωπος τὸ καλὸν καὶ τὸ πονηρόν, πρὶν ἢ φαγεῖν ἀπὸ τοῦ ξύλου, καὶ πολλῆς σοφίας ἐπεπλήρωτο, ἀφ' ὧν ἐπέθηκε τὰ ὀνόματα τοῖς θηρίοις, ἀφ' ὧν ἐπέγνω τὴν γυναῖκα τὴν ἑαυτοῦ, ἀφ' ὧν εἶπε, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, ἀφ' ὧν περὶ τοῦ γάμου διελέχθη καὶ περὶ παιδοποιίας καὶ συζυγίας καὶ πατρὸς καὶ μητρός, ἀφ' ὧν ἐντολὴν ἔλαβεν. οὐδὲ γὰρ ἐντολὴν δίδωσί τις καὶ νόμον τοῦ πρακτέου καὶ τοῦ μὴ πρακτέου τῷ τὸ καλὸν καὶ πονηρὸν ἀγνοοῦντι. σήμερον ἀναγκαῖον εἰπεῖν τίνος ἕνεκεν, εἰ μὴ παρὰ τοῦ ξύλου τὴν γνῶσιν ὁ ἄνθρωπος ἔλαβε, γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον εἴρηται. οὐ γὰρ μικρὸν τὸ μαθεῖν, διὰ τί ταύτην τὴν προσηγορίαν ἔχει καὶ ξύλον. καὶ γὰρ ὁ διάβολος εἶπεν· ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν. πῶς οὖν σὺ λέγεις, φησίν, ὅτι οὐκ ἐνέθηκε γνῶσιν καλοῦ καὶ πονηροῦ; τίς γάρ, εἰπέ μοι, ἐνέθηκεν; ἆρα ὁ διάβολος; ναί, φησίν, εἰπών, ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. εἶτα τοῦ ἐχθροῦ μοι φέρεις τὴν μαρτυρίαν καὶ τοῦ ἐπιβούλου; καίτοι οὗτος εἶπεν, ὅτι καὶ θεοὶ ἔσεσθε. ἆρα οὖν καὶ θεοὶ ἐγένοντο; ὥσπερ

οὖν οὐκ ἐγένοντο θεοὶ, οὔτως οὔτε γνῶσιν καλοῦ A
καὶ πονηροῦ τότε ἔλαβον. ψεύστης γάρ ἐστιν ἐκεῖ-
νος, καὶ οὐδὲν ἀληθὲς φθέγγεται. ἐν γὰρ τῇ ἀληθείᾳ,
φησὶν, οὐχ ἕστηκε. μὴ δὴ τοῦ ἐχθροῦ παραγάγω-
μεν τὴν μαρτυρίαν, ἀλλ᾽ ἴδωμεν ἀπ᾽ αὐτῶν
τῶν πραγμάτων, τίνος ἕνεκεν γνωστὸν καλοῦ καὶ
πονηροῦ καλεῖται τὸ ξύλον. καὶ πρότερον, εἰ δο-
κεῖ, τί ποτέ ἐστι καλὸν καὶ πονηρὸν ἐπισκεψώ-
μεθα. τί οὖν ἐστι καλόν; ἡ ὑπακοή. τί δὲ πονη-
ρόν; ἡ παρακοή. καὶ τέως ἡμῖν, ἵνα μὴ πλανώ-
μεθα περὶ τὴν φύσιν τοῦ καλοῦ καὶ τοῦ πονηροῦ,
ἀπὸ τῶν γραφῶν ταῦτα διακριβούσθω. ὅτι γὰρ
τοῦτό ἐστι τὸ καλὸν καὶ πονηρὸν, ἀκούσον τί φησιν B
ὁ προφήτης. τί καλὸν, καὶ τί κύριος ὁ θεὸς ἐκ-
ζητεῖ παρὰ σοῦ; εἰπὲ τί καλόν. ἀγαπᾷν κύριον
τὸν θεόν σου. ὁρᾷς ὅτι ἡ ὑπακοὴ καλόν; ἐκ
γὰρ τῆς ἀγάπης ἡ ὑπακοή. καὶ πάλιν, δύο πο-
νηρὰ, φησιν, ἐποίησεν ὁ λαός μου οὗτος· ἐμὲ ἐγ-
κατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν
ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνή-
σονται ὕδωρ συνέχειν. ὁρᾷς ὅτι πονηρὸν ἡ πα-
ρακοὴ καὶ ἡ ἐγκατάλειψις; τέως οὖν τοῦτο τηρῶ-
μεν, ὅτι καλὸν ἡ ὑπακοὴ, καὶ πονηρὸν ἡ πα-
ρακοὴ, καὶ οὕτως εἰσόμεθα κἀκεῖνο. καὶ γὰρ διὰ C
τοῦτο γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύ-
λον, ἐπειδὴ ἡ ἐντολὴ, ἡ γυμνάζουσα τὴν ὑπα-
κοὴν, καὶ τὴν παρακοὴν, περὶ τὸ ξύλον ἐγένετο.
ᾔδει μὲν γὰρ καὶ πρὸ τούτου ὁ Ἀδὰμ, ὅτι καλὸν
μὲν ἡ ὑπακοὴ, πονηρὸν δὲ ἡ παρακοή· ἔμαθε
δὲ ὕστερον σαφέστερον δι᾽ αὐτῆς τῶν πραγμάτων τῆς
πείρας. ὥσπερ γὰρ καὶ ὁ Κάϊν ᾔδει μὲν, ὅτι κακὸν ἡ
ἀδελφοκτονία, καὶ πρὶν ἢ σφάξαι τὸν ἀδελφὸν
αὐτοῦ (ὅτι γὰρ ᾔδει πονηρὸν ὂν τὸ πρᾶγμα,
ἄκουσον τί φησι· δεῦρο, ἐξέλθωμεν εἰς τὸ πε-
δίον. καίτοι τίνος ἕνεκεν ἕλκεις εἰς τὸ πεδίον ἀπὸ D
τῶν πατρικῶν ἀποσπάσας ἀγκαλῶν τὸν ἀδελ-
φόν; τί δὲ καθιστᾷς ἐν ἐρημίᾳ; τί δὲ γυμνὸν ποιεῖς
τῆς κηδεμονίας; τί πόρρω τῆς πατρικῆς ἀπά-
γεις ὄψεως; τί διακρύπτεις τὴν τόλμαν, εἰ μὴ
δέδοικας τὴν ἁμαρτίαν; τί δὲ καὶ μετὰ τὸ ποιῆσαι
τὸν φόνον, πάλιν ἐρωτώμενος δυσχεραίνεις καὶ
ψεύδῃ; τοῦ γὰρ θεοῦ εἰπόντος, ποῦ Ἄβελ ὁ ἀδελ-
φός σου, εἶπας· μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ
μου ἐγώ; ὅθεν δῆλον ὅτι σαφῶς εἰδὼς ἦλθεν
ἐπὶ τὴν ἐργασίαν ταύτην) ὥσπερ οὖν οὗτος
ᾔδει μὲν καὶ πρὸ τῆς πείρας ὅτι κακὸν ὁ φόνος,

igitur Dij facti non ſunt, ſic neque
ſcientiam boni ac mali tum accepe-
runt. Mendax enim eſt ille, nihilque
verum proloquitur. Nam in veritate,
inquit, non ſtetit. Ne igitur inimici te- Ioan. 8.
ſtimonium producamus, ſed ex ipſis 44.
rebus colligamus, qua de cauſa lignū
ſcientiæ boni ac mali vocetur. Ac
prius, ſi videtur, quid ſit bonū ac ma-
lum conſideremus. Quid ergo bonum
eſt? obedientia: quid malum? inobe-
dientia. Ac tantiſper à nobis hæc ex
ipſis ſcripturis exactè ſcrutemur, ne
forte, dum boni ac mali naturam in-
quirimus aberremus. Hoc enim eſſe
bonum ac malum, audi quo pacto do-
ceat propheta cum dicit: Quid bonū? Mich. 6.
& quid dominus Deus requirit à te? 8.
Dic quid ſit bonum. Vt diligas domi-
num Deum tuum. Vides, bonum eſſe
obedientiam? ſiquidem ex dilectione
oritur obedientia. Et ruſſus, Duo ma- Hier. 2.
la fecit populus meus: me derelique- 13.
runt fontem aquæ viuæ, & foderūt ſi-
bi ciſternas contritas, quæ non pote-
runt continere aquam. Vides inobe-
dientiam & derelictionem malū eſſe?
hoc igitur interim teneamus, obediē-
tiam bonum eſſe, atq; inobedientiam
malum, & ſic illud etiā cognoſcemus.
Nam idcirco lignum ſcientiæ boni ac
mali vocatur, quod mandatū de ligno
traditū fuerit, cuius occaſione vel ino-
bedientia vel obediētia exercetur. Si-
quidē antea ſciebat Adamus obedien-
tiam bonum eſſe, inobedientiam autē
malum: manifeſtius autem poſtea ex Cain
ipſa rerum experientia didicit. Nam ſcien-
quemadmodū cædem fraternam ma- tiam
lum eſſe nouerat Caïn, etiā antequam mali
fratrē ſuum occideret: vt enim intelli- habuit.
gas eū ſciuiſſe malā rem illā fuiſſe audi
quid dicat: Veni, exeamus in campū. Gen. 4. 8.
Verumenimuerò qua de cauſa fratrē
à paternis vlnis auulſum in campū tra-
his? cur in deſerto cōſtituis? cur auxilio
deſtitutū reddis? cur longè à paterno
conſpectu abducis? cur audax facinus
occultas, ſi peccatum non reformidas?
Cur autē & poſt cædē perpetratā rur-
ſus interrogatus indignaris ac mētiris?
Cū enim dixiſſet Deus, Vbi eſt Abel
frater tuus reſpōdiſti: Nunquid cuſtos
fratris mei ſum ego? ex quo liquet, eū
cum id probè noſſet, ad hoc facinus
prorupiſſe: vt igitur iſte nouerat, ante-
quā experiretur, cædē eſſe rē malam,

A poſtea vero didicit etiam manifeſtius, cum pœnam ſuſtinuit, audiuitq; , Gemens, ac tremens eris ſuper terram: ſic & iſtius pater, antequam ederet, boni ac mali cognitione pollebat, tametſi non ita euidenti, ac cum de ligno comediſſet. Dicam apertius. Mala ſcimus omnes, etiam antequam illa perpetremus; manifeſtius vero ea diſcimus, poſtquam illa perpetrauimus, ac multo etiam manifeſtius, cum punimur. Sic etiam Cain ſciebat quidem antea cædem fraternam malum eſſe: poſtea vero didicit euidentius, cũ ſupplicio mulctatus eſt: quandoquidẽ nos quoque ſanitatem rem bonã eſſe nouimus, & ægritudinem rem moleſtam, B antequam illud experiamur: multo vero certius, cum in morbum inciderimus, vtriuſque rei diſcrimen agnoſcimus. Eadem nimirum ratione nouerat etiam Adamus obedietiam rem bonam eſſe, inobedientiam vero malam: deinceps vero didicit euidentius, cum ligno guſtato è paradiſo eiectus eſt, & ab illa excidit fœlicitate. Cum igitur in pœnam incurrerit, quod Deo vetante lignum deguſtarit, manifeſtius eum per experientiam pœna docuit C Deo non obtemperare malum, at obtemperare bonum eſſe: propterea lignum ſcientiæ boni ac mali vocatur. Et qua de cauſa, ſi non ipſa ligni natura ſcientiam habuit boni & mali, ſed ex ipſa pœna propter inobedientiam ob deguſtatum lignum illata manifeſtius hoc didicit homo, lignum ſcientiæ boni ac mali vocatur? Quod nimirum hic ſcripturæ mos ſit, vbi res quæpiam in locis aut temporibus quibuſdam acciderit, à rebus illis & loca & tempora vocare. (Mos ſcripturæ notandus.) Sed vt clarius quod dico fiat, illud exemplo vobis illuſtrabo. D Puteos aliquando fodit Iſaac: hos autem puteos vicini deſtruere cũ aggreſſi eſſent, inde ſimultas quædam eſt orta, & vocauit puteũ, Inimicitias: nõ (Gen. 26. 21.) quod puteus inimicitias exerceret, ſed quod circa illum inimicitiæ exortę eſſent, ſic & lignum ſcientię boni & mali vocatur, non quod ipſum ſcientia polleret, ſed quod circa illud facta eſſet ſtientiæ boni ac mali declaratio. Rurſus puteum fodit Abraham, inſidias parauit Abimelech, conuenerũt, (Gen. 21. 32.) inimicitias depoſuerunt, ac præſtito mutuò iuramẽto puteum illum Iura-

A ἔμαθε δὲ σαφέστερον καὶ μετὰ ταῦτα, ὅτε τὴν τιμωρίαν ἐδέξατο, καὶ ἤκουσε, στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς· οὕτω καὶ ὁ πατὴρ τούτου εἶχε τοῦ καλοῦ καὶ τοῦ κακοῦ καὶ πρὸ τοῦ φαγεῖν τὴν γνῶσιν, εἰ καὶ μὴ οὕτω σαφῆ, ὡς μετὰ τὴν τοῦ ξύλου βρῶσιν. τί λέγω; τὰ γὰρ κακὰ πάντες οἴδαμεν καὶ πρὶν ἢ πρᾶξαι, σαφέστερον δὲ μανθάνομεν μετὰ τὸ πρᾶξαι· πολλῷ δὲ σαφέστερον, ὅταν κολαζώμεθα. οὕτω καὶ ὁ Κάϊν ᾔδει μέν, ὅτι κακὸν ἡ ἀδελφοκτονία καὶ πρὸ τούτου· ἔμαθε δὲ ὕστερον διὰ τῆς κολάσεως σαφέστερον· ἐπεὶ καὶ ἡμεῖς οἴδαμεν ὅτι καλὸν B ἡ ὑγίεια καὶ φορτικὸν ἡ νόσος καὶ πρὸ τῆς πείρας· πολλῷ δὲ μᾶλλον, ὅταν εἰς τὴν νόσον ἐμπέσωμεν, ἀμφοτέρων τὴν διαφορὰν γινώσκομεν. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ Ἀδὰμ ᾔδει μὲν ὅτι καλὸν ἡ ὑπακοή, καὶ κακὸν ἡ παρακοή· ὕστερον δὲ σαφέστερον ἔμαθεν, ὅτε τοῦ ξύλου γευσάμενος ἐξεβλήθη τοῦ παραδείσου, καὶ τῆς μακαριότητος ἐκείνης ἐξέπεσεν. ἐπεὶ οὖν εἰς τιμωρίαν ἐνέπεσεν, ὅτι τοῦ θεοῦ κωλύσαντος ἐγεύσατο τοῦ ξύλου, ἡ τιμωρία αὐτὸν σαφέστερον ἐπαίδευσε διὰ τῆς πείρας, ὅσον κακὸν θεοῦ C παρακούειν, καὶ ὅσον ὑπακούειν καλόν· διὰ τοῦτο γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον καλεῖται. καὶ τίνος ἕνεκεν, εἰ μὴ αὐτὴ ἡ φύσις τοῦ ξύλου τὴν γνῶσιν εἶχε τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, ἀλλ᾽ ἐκ τῆς τιμωρίας τῆς διὰ τὴν παρακοὴν τὴν ἐπὶ τῷ ξύλῳ σαφέστερον τοῦτο ἔμαθεν ὁ ἄνθρωπος, γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον καλεῖται; ὅτι ἔθος τῇ γραφῇ τοῦτο, ἐπειδὰν τὸ πρᾶγμα γένηται, ἢ ἐν τόποις, ἢ ἐν καιροῖς, ἀπὸ τῶν πραγμάτων καλεῖν καὶ τοὺς τόπους καὶ τοὺς καιρούς. καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, ἐπὶ ὑποδείγματος ὑμῖν τοῦτο ποιήσω φανερόν. D ὁ Ἰσαάκ ποτε φρέατα ὤρυξε· ταῦτα τὰ φρέατα ἐπεχείρησαν οἱ γείτονες διαφθεῖραι. ἐντεῦθεν ἐγένετό τις ἀπέχθεια, καὶ ἐκάλεσε τὸ φρέαρ ἔχθραν· οὐκ ἐπειδὴ αὐτὸ τὸ φρέαρ ἤχθραινεν, ἀλλ᾽ ἐπειδὴ περὶ αὐτὸ ἡ ἔχθρα γέγονεν. οὕτω καὶ τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται, οὐκ ἐπειδὴ αὐτὸ εἶχε γνῶσιν, ἀλλ᾽ ἐπειδὴ περὶ αὐτὸ ἐγένετο ὁ ἔλεγχος τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ. πάλιν ὤρυξε φρέαρ ὁ Ἀβραάμ, ἐπεβούλευσεν ὁ Ἀβιμέλεχ· συνῆλθον, κατέλυσαν τὴν ἔχθραν, καὶ ὅρκους δόντες ἀλλήλοις, ἐκάλεσαν τὸ φρέαρ ἐκεῖνο

Φρέαρ ὅρκου, οὐκ ἐπειδὴ τὸ φρέαρ ὤμοσεν, ἀλλ' ἐπειδὴ περὶ τὸ φρέαρ ὁ ὅρκος ἐγένετο. ὁρᾷς πῶς οὐχὶ τῶν πραγμάτων οἱ τόποι αἴτιοι γίνονται, ἀλλὰ ἐκ τῶν πραγμάτων λαμβάνουσι τὰ ὀνόματα; καὶ γὰρ πολλὴ ἀνάγκη παραγαγεῖν παραδείγματα, ὥστε σαφέστερον γενέσθαι τὸ λεγόμενον. πάλιν εἶδεν ὁ Ἰακὼβ ἀγγέλους ἀπαντήσαντας αὐτῷ καὶ παρεμβολὴν θεοῦ, καὶ ἐκάλεσε τὸν τόπον παρεμβολήν. καίτοι οὐχ ὁ τόπος ἦν ἡ παρεμβολή, ἀλλ' ὅμως ἐκλήθη ὁ τόπος παρεμβολή, ἐπειδὴ ἐκεῖ εἶδε τὴν παρεμβολήν. ὁρᾷς πῶς ἀπὸ τοῦ πράγματος τοῦ συμβάντος ἐν τῷ τόπῳ τὸν τόπον ὠνόμασεν; οὕτω καὶ τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται, οὐκ ἐπειδὴ αὐτὸ εἶχε γνῶσιν καλοῦ καὶ πονηροῦ, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἐγένετο ἡ ἀπόδειξις τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, καὶ ἡ γυμνασία τῆς παρακοῆς καὶ τῆς ὑπακοῆς. πάλιν εἶδε τὸν θεὸν ὁ Ἰακὼβ, ὡς ἰδεῖν ἀνθρώπῳ δυνατὸν ἦν, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, εἶδος θεοῦ. διὰ τί; ὅτι εἶδον τὸν θεόν, φησί. καὶ μὴν οὐχ ὁ τόπος εἶδος θεοῦ ἦν, ἀλλ' ἀπὸ τοῦ πράγματος τοῦ συμβάντος ἐν τῷ τόπῳ ἡ προσηγορία γέγονεν. ὁρᾷς διὰ πόσων ἀποδέδεικται, ὅτι ἔθος τῇ γραφῇ ἀπὸ τῶν πραγμάτων τῶν συμβαινόντων ἐν τοῖς τόποις αὐτοῖς τοὺς τόπους καλεῖν; τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ καιρῶν ποιεῖν εἴωθεν. ἀλλ' ἵνα μὴ κατατείνωμεν ὑμᾶς, φέρε, μεταγάγωμεν τὸν λόγον ἀπὸ τῶν σκυθρωποτέρων ἐπὶ τὰ φαιδρότερα. καὶ γὰρ ἔκαμεν ὑμῶν ἡ διάνοια τοῖς λεπτοτέροις νοήμασιν ἐνδιατρίβουσα· διόπερ αὐτὴν ἀναπαῦσαι καλὸν, τοῖς ἀφελεστέροις καὶ φαιδροτέροις διατρέφοντας νοήμασιν. ἐπανίωμεν τοίνυν ἐπὶ τὸ σωτήριον τοῦ σταυροῦ ξύλον. τοῦτο γὰρ, τοῦτο πάντα ἀνέλυσε τὰ δεινὰ, ὅσα ἐκεῖνο εἰσήγαγε· μᾶλλον δὲ οὐκ ἐκεῖνο εἰσήγαγε τὰ δεινὰ, ἀλλ' ὁ ἄνθρωπος ἅπαντα, ἅπερ μετὰ πολλῆς ὕστερον ἀνέλυσε τῆς περιουσίας ὁ Χριστὸς, πολλῷ μείζονα αὐτῶν εἰσαγαγὼν ἀγαθά. δι' αὐτὸ τοῦτο ὁ Παῦλός φησιν· ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, τουτέστι, μεῖζον τὸ δῶρον τοῦ ἁμαρτήματος. διὰ τοῦτο πάλιν φησίν· οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα· οὐχ ὅσον ἥμαρτεν ὁ ἄνθρωπος, τοσοῦτον ἐχαρίσατο ὁ θεός· οὐχ ὅση ἡ ζημία, τοσαύτη καὶ ἡ πραγματεία· οὐχ ὅσον τὸ ναυάγιον, τοσαύτη καὶ ἡ ἐμπορεία· ἀλλὰ πλείω τὰ ἀγαθὰ τῶν κακῶν· καὶ εἰκότως. τὰ μὲν γὰρ κακὰ δοῦλος εἰσήγαγε, καὶ ἐλάττονα ἦν· τὰ δὲ

A menti puteum appellarunt, non quod iuraſſet puteus, ſed quod circa puteum iuramentum præſtitum eſſet. Vides loca non fieri cauſas rerum, licet à rebus nomen accipiant? Siquidem valde neceſſarium eſt, vt adhibeantur exempla, quo manifeſtiora fiant quæ dicimus. Rurſus occurrentes ſibi angelos vidit, Iacob & caſtra Dei, tum appellauit locũ caſtra. Tametſi locus caſtra nõ eſſet, Gen. 32. 2. nihilominus caſtra vocatus eſt locus, propterea quod illic caſtra viderat. Vides vt ab euẽtu rei, quæ in loco acciderat, locũ appellarit? ſic etiã lignũ ſciẽtiæ boni ac mali vocatur, non quod ipſum B boni malique ſciẽtia polleret, ſed quod ſcientiæ boni ac mali facta fuerit circa illud demonſtratio, & inobedientiæ atque obedientiæ exercitatio. Rurſus Deum vidit Iacob, quantum fieri poteſt, vt ab homine videatur, & vocauit nomen loci illius: Species Dei: quia Gen. 16. 14. vidi Deum inquit. Quanquam non locus Dei ſpecies erat, ſed à re quæ euenerat in loco, nata eſt appellatio. Vides quam multis ex locis morem eſſe ſcripturæ demonſtrauerimus, vt à reb quæ acciderint nomina locis imponat? Id- C ipſum quoque in temporibus agere cõſueuit. Sed ne tædio vos afficiamus, age ſermonem à triſtioribus ad iucundiora transferamus, Etenim iam defatigata eſt mens veſtra ſubtilioribus ſententiis immorata: quapropter operæ pretium fuerit illam recreare ac ſimplicioribus lætioribuſque ſententiis illam paſcere. Ad ſalutare igitur lignũ crucis redeamus. *De bonis agit per crucem inuectis.* hoc enim omnia mala ſuſtulit, quæ illud inuexerat: vel potius non illud mala inuexerat, ſed homo ipſe cuncta, quę deinde Chriſtus planè ſuſtulit, atque illis ampliora multo bona inue- D xit. Ob hoc ipſum ait Paulus, Vbi abũ- Rom. 5. 20. dauit delictum, ſuperabundauit gratia, hoc eſt, maius eſt donum quam peccatum. Idcirco rurſus ait; Non ſicut deli- Rom. 5. 15. ctum ita & donum: non quantum peccauit homo, tantum donauit Deus: nõ quanta iactura, tantus eſt quæſtus: non quantum naufragium, tanta etiam negotiatio fuit: ſed plura bona fuere quã mala, & merito. Siquidem mala ſeruus inuexit, & minora erant: bona vero

largitus eſt dominus, quocirca fuerunt & plura: propterea dicit, Non ſicut delictum, ita & donum. Deinde diſcrimẽ adiũgit: Nam iudicium quidem ex vno in condemnationem; gratia autem ex multis delictis in iuſtificationem. Obſcurius eſt, quod diximus: itaque neceſſe eſt, vt expoſitionẽ adiungamus. Nam iudicium quidem hoc eſt pœna, ſupplicium, mors ex vno, ſcilicet peccato (ſiquidem vnum peccatum tantum malũ inuexit) gratia vero non illud ſolũ, ſed & alia multa ſuſtulit. Idcirco dicit, gratia autẽ ex multis delictis in iuſtificationem. Propterea Ioãnes etiam Baptiſta clamabat: Ecce agnus Dei, non qui tollit peccatum Adami, ſed, qui tollit peccatum mundi. Vides, quo pacto non ſicut delictum ita & gratia, ſed plura lignum hoc inuexit bona, quam à principio fuerint inuecta mala? Hæc autem à me dicta ſunt, ne à primis illis parentibus damno te affectũ arbitreris. Diabolus Adamum eiecit, latronem Chriſtus introduxit. Ac diſcrepantiam vide. Ille hominem nullo infectum peccato, ſed ſola inobedientiæ macula eiecit: Chriſtus latronem innumera peccatorum onera geſtantem in paradiſum introduxit. An igitur hoc tantum eſt admirabile, quod latronem in paradiſum introduxit, aliud vero nihil? poteſt & aliud maius dici. Non enim ſolum introduxit latronem, ſed & ante mundum vniuerſum, & ante Apoſtolos: ne quis poſterorũ ſe ingredi poſſe deſperet, neque ſpem omnem ſuæ ſalutis abiiciat, cum innumeris ſcatentem malis in regio verſari palatio videat. Sed cõſideremus: num labores, & rectè facta & fructus exhibuit latro? ne hoc quidẽ dici poteſt, ſed nudo verbo prolato, ſola fide exhibita in paradiſũ ante Apoſtolos inſiliit, vt intelligas non eius probitatem tantum valuiſſe, verum domini benignitatem totum negotium peregiſſe. Quid enim latro dixit? quid fecit? num ieiunauit? num fleuit? num ſe afflixit? num longo tempore pœnitentiam exhibuit? nequaquam: ſed in ipſa cruce poſt ſentẽtiam ſalutem obtinuit. Vide celeritatem: à cruce in cælum, à ſupplicio in ſalutem. Quæ porro ſunt illa verba? quam tandem vim habent, vt hoc vno tanta conſequeretur bona? Memento mei, inquit, in regno tuo.

Ioan. 1. 29.

Latro cur in paradiſum introductus.

Luc. 23. 42.

A ἀγαθὰ δεσπότης ἐχαρίσατο, διὸ καὶ πλείονα ἦν. διά τοῦτό φησιν, οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. εἶτα ἐπάγει καὶ τὴν διαφοράν. τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. ἀσαφέστερον τὸ εἰρημένον· διόπερ ἀνάγκη τὴν λύσιν ἐπαγαγεῖν. τὸ μὲν γὰρ κρίμα, τουτέστιν, ἡ κόλασις, ἡ τιμωρία, ὁ θάνατος ἐξ ἑνός, τουτέστιν, ἁμαρτήματος (μία γάρ, φησιν, ἁμαρτία τοσοῦτον εἰσήγαγε κακὸν) τὸ δὲ χάρισμα οὐκ ἐκείνην μόνην τὴν ἁμαρτίαν ἔλυσεν, ἀλλὰ καὶ ἑτέρας πολλάς. διὰ τοῦτο λέγει, τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. B διὰ τοῦτο καὶ ὁ Ἰωάννης ὁ βαπτιστὴς ἐβόα, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, οὐχὶ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Ἀδάμ, ἀλλ', ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. εἶδες πῶς οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα, ἀλλὰ πλείονα εἰσήγαγε τοῦτο τὸ ξύλον ἀγαθὰ τῶν παρὰ τὴν ἀρχὴν εἰσενεχθέντων κακῶν; ταῦτα δὲ εἶπον, ἵνα μὴ νομίσῃς ἐπηρεάζεσθαί σε παρὰ τῶν πρώτων. ἐξέβαλεν ὁ διάβολος τὸν Ἀδάμ, εἰσήγαγε τὸν λῃστὴν ὁ Χριστός. καὶ σκόπει τὴν διαφοράν. ἐκεῖνος οὐκ ἔχοντα ἁμαρτίαν τὸν ἄνθρωπον, ἀλλὰ μίαν κηλῖδα C παρακοῆς, ἐξέβαλεν· ὁ Χριστὸς λῃστὴν μυρία φορτία ἁμαρτημάτων βαστάζοντα οὕτως εἰσήγαγεν εἰς τὸν παράδεισον. ἆρ' οὖν τοῦτο μόνον τὸ θαῦμά ἐστιν, ὅτι λῃστὴν εἰσήγαγεν εἰς παράδεισον, ἄλλο δὲ οὐδέν; ἔστι καὶ ἄλλο μεῖζον εἰπεῖν. οὐ γὰρ λῃστὴν εἰσήγαγε μόνον, ἀλλὰ καὶ πρὸ τῆς οἰκουμένης ἁπάσης, καὶ πρὸ τῶν ἀποστόλων· ἵνα μηδεὶς τῶν μετὰ ταῦτα ἀπογνῷ τὴν εἴσοδον. μηδὲ ἀπελπίσῃ τὴν σωτηρίαν τὴν ἑαυτοῦ, τὸν μυρίων γέμοντα κακῶν ἐν ταῖς βασιλικαῖς αὐλαῖς στρεφόμενον ὁρῶν. ἀλλ' ἴδωμεν, μὴ πόνους D ἐπεδείξατο καὶ κατορθώματα καὶ καρποὺς ὁ λῃστής· οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ἀλλ' ἀπὸ ψιλοῦ ῥήματος, ἀπὸ πίστεως μόνης, πρὸ τῶν ἀποστόλων εἰσεπήδησεν εἰς τὸν παράδεισον· ἵνα μάθῃς ὅτι οὐχ ἡ ἐκείνου εὐγνωμοσύνη τοσοῦτον ἴσχυσεν, ὅσον τοῦ δεσπότου ἡ φιλανθρωπία τὸ πᾶν ἐποίησε. τί γὰρ εἶπεν ὁ λῃστής; τί δὲ ἔπραξεν; ἐνήστευσεν; ἐδάκρυσεν; περιεσχίσατο; μετάνοια ἐπεδείξατο ἐν πολλῷ τῷ χρόνῳ; οὐδαμῶς. ἀλλ' ἐν αὐτῷ τῷ σταυρῷ μετὰ τὴν ἀπόφασιν σωτηρίας ἔτυχεν. ὅρα τάχος· ἀπὸ σταυροῦ εἰς οὐρανόν, ἀπὸ καταδίκης εἰς σωτηρίαν. τίνα ἐστὶν ἄρα ἐκεῖνα τὰ ῥήματα; πόσην ἔχει τὴν δύναμιν, ὅτι τοσοῦτον ἐκόμισεν ἀγαθά; μνήσθητί μου, φησιν, ἐν τῇ βασιλείᾳ σου.

A καὶ τί τοῦτο; ᾔτησε λαβεῖν ἀγαθὰ, οὐ σπουδὴν τὴν δι' ἔργων ἐπεδείξατο. ἀλλ' ὁ τὴν καρδίαν αὐτοῦ εἰδὼς, οὐ τοῖς ῥήμασι προσέσχεν, ἀλλὰ τῇ διαθέσει τῆς διανοίας. οἱ μὲν γὰρ προφητικῶν ἀπολαύσαντες διδαγμάτων, οἱ τὰ σημεῖα ἰδόντες, οἱ τὰ θαύματα θεασάμενοι ἔλεγον περὶ τοῦ Χριστοῦ, ὅτι δαιμόνιον ἔχει, καὶ πλανᾷ τὸν ὄχλον· ὁ δὲ λῃστὴς, μὴ προφητῶν ἀκούσας, μὴ θαύματα ἰδὼν, ἰδὼν ἐπὶ τοῦ σταυροῦ προσηλωμένον, οὐ προσέσχε τῇ ἀτιμίᾳ, οὐκ εἶδε τὴν ἀδοξίαν· ἀλλ' εἰς τὴν θεότητα αὐτὴν ἰδὼν, μνήσθητί μου φησὶν, ἐν τῇ βασιλείᾳ σου. B καινὸν τοῦτο καὶ παράδοξον. σταυρὸν ὁρᾷς, καὶ βασιλείας μέμνησαι; τί βασιλείας ἄξιον εἶδες; ἐσταυρωμένον ἄνθρωπον, ῥαπιζόμενον, χλευαζόμενον, κατηγορούμενον, ἐμπτυόμενον, μαστιζόμενον. ταῦτα οὖν βασιλείας ἄξια, εἰπέ μοι; ὁρᾷς ὅτι τοῖς τῆς πίστεως ἔβλεπεν ὀφθαλμοῖς, καὶ οὐ τὰ φαινόμενα ἐξήταζε; διὰ τοῦτο οὔτε ὁ θεὸς τὰ ῥήματα ἐξήταζε τὰ ψιλὰ, ἀλλ', ὥσπερ ἐκεῖνος εἶδεν εἰς τὴν θεότητα, οὕτως ὁ θεὸς εἶδεν εἰς τὴν καρδίαν τοῦ λῃστοῦ, καί φησι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ἐνταῦθα προσέχετε. C ζήτημα γὰρ οὐ τὸ τυχὸν ἐπιφύεται. καὶ γὰρ οἱ Μανιχαῖοι, οἱ κύνες οἱ ἐννεοὶ καὶ λυττῶντες τὸ σχῆμα μὲν ἐπιδείκνυνται ἐπιεικείας, τὴν χαλεπὴν δὲ ἔνδον ἔχουσι τῶν κυνῶν μανίαν, καὶ κατακρύπτουσι τῇ δορᾷ τοῦ προβάτου τὸν λύκον. ἀλλὰ μὴ τὸ φαινόμενον ἴδῃς, ἀλλὰ τὸ ἔνδον κεκρυμμένον θηρίον ἐξέτασον. οὗτοι τοίνυν ἐπιλαβόμενοι τοῦ χωρίου τούτου, φασίν· εἶπεν ὁ Χριστὸς, ἀμὴν, ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. οὐκοῦν ἀντίδοσις ἤδη γέγονε τῶν ἀγαθῶν, καὶ περιττὴ ἡ ἀνάστασις. εἰ γὰρ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπέλαβεν ὁ λῃστὴς τὰ D ἀγαθὰ, τὸ δὲ σῶμα αὐτοῦ οὐκ ἀνέστη οὐδέπω καὶ τήμερον, οὐκ ἔσται σωμάτων λοιπὸν ἀνάστασις. ἆρα συνήσατε τὸ λεχθὲν, ἢ δεύτερον αὐτὸ πάλιν εἰπεῖν ἀνάγκη; ἀμὴν, ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. εἰσῆλθεν οὖν, φησιν, εἰς τὸν παράδεισον ὁ λῃστὴς οὐ μετὰ τοῦ σώματος. πῶς γὰρ, ὁπότε οὐκ ἐτάφη τὸ σῶμα αὐτοῦ, οὐδὲ διελύθη καὶ κόνις ἐγένετο; καὶ οὐδαμοῦ εἴρηται, ὅτι ἀνέστησεν ὁ Χριστὸς αὐτόν. εἰ δὲ εἰσήγαγε τὸν λῃστὴν, καὶ χωρὶς τοῦ σώματος ἀπήλαυσε τῶν ἀγαθῶν, εὔδηλον ὅτι σώματος οὐκ ἔστιν ἀνάστασις.

Quid hoc rei eſt? petiit bona ſibi dari, non operibus ipſis ſtudiū vllum adhibuit: verū is cui cor eius notum erat, nō attēdit ad verba, ſed ad mētis affectum, Nam illi quidem qui prophetarum fuerāt documentis inſtructi, qui ſigna viderat, qui miracula fuerāt cōtemplati, de Chriſto dicebāt: Dæmonium habet, & ſeducit turbam: *Matt. 11 18.* latro vero, qui prophetas non audierat, qui prodigia non viderat, qui in cruce ſuffixum viderat, nō attendit ad ignominiam, non reſpexit ad infamiā, ſed diuinitatem ipſam conſiderans, Memēto, inquit, mei in regno tuo. Hoc ſane nouū & inuſitatum. Crucem vides, & regni meminiſti? quid dignum regno vidiſti? hominem crucifixū, alapis cæſum, illuſum, accuſatū, ſputis conſperſum, flagellatum: hęccine ſunt quæſo digna regno? Vides eum oculis fidei reſpexiſſe, non ea quę apparebant expendiſſe? Propterea neque Deus nuda verba expendebat, ſed vt ille in diuinitatem, ſic Deus in cor latronis reſpiciebat, & ait: Hodie mecum eris in paradiſo. Hoc loco attendite: ſiquidē quæſtio non vulgaris exoritur. Nam Manichæi canes muti & rabidi ſpeciē quidem per ſe ferunt modeſtiæ, intus vero grauem canum inſaniā fouēt, & ouis pelle lupum occultant. At tu ne quod apparet aſpicias, verum intus latentem belluam perueſtiga. *Obiectionē refellit Manicheorū.* Iſti ergo locū hunc arripientes ajunt, Dixit Chriſtus, Amen Amen dico tibi, hodie mecum eris in paradiſo. Igitur iā facta eſt bonorum retributio & ſuperflua erit reſurrectio. Si enim illo die latro bona recepit, corpus autem eius nondum ad hunc vſque diem reſurrexit, non erit deinceps corporum reſurrectio. Nunquid intellexiſtis quod diximus, an vero iterum illud dici neceſſe eſt? Amen Amen dico tibi, hodie mecum eris in paradiſo. Ingreſſus eſt igitur, inquit, in paradiſum latro non cum corpore. quo enim pacto, cum ſepultum non eſſet corpus eius, neque diſſolutum, & in cineres redactum? neque dictum vſquam fuit reſuſcitatum illum à Chriſto fuiſſe. Quod ſi latronem introduxit, & abſque corpore bonis potitus eſt, manifeſtum eſt reſurrectionem non eſſe.

Nã ſi corporis eſſet reſurrectio,nõ di-
xiſſet,Hodie mecum eris in paradiſo,
ſed in tẽpore conſummationis,quãdo
reſurrectio corporũ erit. Quod ſi iã la
tronẽ introduxit,corp⁹ autẽ eius foris
corruptũ remãſit,planè liquet corpo-
rũ reſurrectionẽ nõ eſſe. Atq. hæc qui
dẽ illi,iã vero quæ à nobis ꝓficiſcũtur
accipite:imo vero nõ quæ à nobis, ſed
quę à ſacra ſcriptura ſunt, neq. enim
quæ noſtra ſunt dicimus,ſed quæ Spi-
ritus ſancti. Quid ais? nõ venit in com-
munionẽ coronarum caro? ſed in cõ-
munionem quidẽ laborum venit,prę-
miis vero priuatur? & quando certan-
dum quidẽ fuit,maiorẽ partem ſudo-
Ro.1.10 rum ſuſtinuit: quando vero coronarũ
2.Cor.5. tempus adfuit, anima ſola coronatur?
10. Non audis Paulum dicentẽ: Stare nos
1.Cor.15 oportet ante tribunal Chriſti, vt refe
53. rat vnuſquiſq. propria corporis,prout
geſſit,ſiue bonum,ſiue malũ? Non au-
dis ipſũ rurſus dicentẽ: Oportet mor-
tale hoc induere immortalitatem &
corruptibile hoc induere incorruptio
nem? Mortale quodnã? animã an cor-
pus? haud dubiũ, quin corpus: ſiquidẽ
anima natura ſua eſt immortalis: cor-
pus autẽ natura mortale eſt. At enim
multa ex iſtis illi reſecant: veruntamẽ
ex illis ipſis quæ reſtant, cognationem
eorum quæ reſecta ſunt deprehende-
mus. Ingreſſus eſt latro in paradiſum,
inquit, quid tũ poſtea? num enim hæc
illa ſunt bona, quæ nobis Deus polli-
cetur? Non audis quid de bonis illis
1. Cor. Paulus dicat? Quæ oculus nõ vidit, &
2. 9. auris non audiuit, & in cor hominis nõ
aſcẽderũt: atqui paradiſũ & oculus vi-
dit Adami, & auris audiuit, & cor ho-
minis excepit: quãdoquidẽ tot iã die-
bus de illo verba facimus: quomodo
igitur bona latro recepit? non enim ſe
in paradiſum nos introducturum pro-
Mat. 4. mittit Deus, ſed in ipſum cœlum: ne-
17. que regnum paradiſi, ſed regnũ cœ-
lorũ prædicauit. Cœpit enim, inquit,
prędicare, & dicere, Pœnitentiã agite,
apropinquauit enim, non regnũ para-
diſi, ſed regnum cœlorũ. Namtu quidẽ
paradiſum amiſiſti, Deus autẽ cœlum
tibi dedit, vt ſuæ tibi ſpecimen ederet
benignitatis, ac diabolo dolorem inu-
reret, & oſtẽderet tametſi innumeras
ille in genus humanũ inſidias molia-
tur, nihil tamen hoc illi profuturum,
cum Deus ſemper maiorem ad ho-
norem nos euehat. Amiſiſti ergo paradiſum, & cœlum tibi Deus reſerauit: tem-

A εἰ γὰρ ἦν σώματος ἀνάστασις, οὐκ ἂν εἶπε, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, ἀλλ', ἐν τῷ καιρῷ τῆς συντελείας, ὅταν σωμάτων ἀνάστασις ᾖ. εἰ δὲ ἤδη εἰσήγαγε τὸν λῃστὴν, τὸ δὲ σῶμα αὐτοῦ φθαρὲν ἔμεινεν ἔξω, εὔδηλον ὅτι σωμάτων ἀνάστασις οὐκ ἔστι. ταῦτα ἐκεῖνοι. δέχεσθε δὲ λοιπὸν καὶ τὰ παρ' ἡμῶν, μᾶλλον δὲ οὐ τὰ παρ' ἡμῶν, ἀλλὰ τὰ παρὰ τῆς θείας γραφῆς. οὐ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλὰ τὰ τοῦ ἁγίου πνεύματος. τί λέγεις; οὐ κοινωνεῖ τῶν στεφάνων ἡ σάρξ; ἀλλ' ἐν μὲν τοῖς πόνοις ἐκοινώνησεν, ἐν δὲ τοῖς μισθοῖς ἀποστερεῖται; καὶ ὅτε μὲν ἀγωνίζεσθαι B ἔδει, τὸ πλέον ἐδέξατο τῶν ἱδρώτων· ὅτε δὲ στεφάνων καιρὸς, μόνη ἡ ψυχὴ στεφανοῦται; οὐκ ἀκούεις τοῦ Παύλου λέγοντος, ὅτι παραστῆναι ἡμᾶς δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται τὰ ἴδια τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν; οὐκ ἀκούεις αὐτοῦ λέγοντος πάλιν, δεῖ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν, καὶ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν; τὸ θνητὸν ποῖον; τὴν ψυχὴν, ἢ τὸ σῶμα; εὔδηλον ὅτι τὸ σῶμα. ἡ γὰρ ψυχὴ φύσει ἀθάνατος, θνητὸν δὲ φύσει τὸ σῶμα. ἀλλὰ πολ- C λὰ παρεκόπτουσι τούτων πλὴν καὶ ἀπ' αὐτῶν τῶν ὑπολελειμμένων τὴν συγγένειαν τῶν παρεκκοπέντων ἐλέγξομεν. εἰσῆλθεν εἰς τὸν παράδεισον ὁ λῃστής, φησι. καὶ τί τοῦτο; μὴ γὰρ ταῦτά ἐστι τὰ ἀγαθὰ, ἅπερ ὁ θεὸς ἡμῖν ἐπαγγέλλεται; οὐκ ἀκούεις τοῦ Παύλου περὶ τὰ ἀγαθὰ ἐκεῖνα τί φησιν; ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· τὸν δὲ παράδεισον καὶ ὀφθαλμὸς εἶδε τοῦ Ἀδὰμ, καὶ οὖς ἤκουσε, καὶ καρδία ἀνθρώπου ἐδέξατο. περὶ γὰρ αὐτοῦ τοσαύτας ἡμέρας διαλεγόμεθα. πῶς οὖν ἀπέλαβε τὰ ἀγαθὰ D ὁ λῃστής; οὐ γὰρ εἰς παράδεισον ἐπαγγέλλεται εἰσαγαγεῖν ἡμᾶς ὁ θεὸς, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν· οὐδὲ βασιλείαν παραδείσου, ἀλλὰ βασιλείαν οὐρανῶν ἐκήρυξεν. ἤρξατο γὰρ, φησι, κηρύττειν καὶ λέγειν, μετανοεῖτε· ἤγγικε γὰρ, οὐχ ἡ βασιλεία τοῦ παραδείσου, ἀλλ', ἡ βασιλεία τῶν οὐρανῶν. ἀπώλεσας μὲν γὰρ παράδεισον, ἔδωκε δέ σοι ὁ θεὸς τὸν οὐρανὸν, ἵνα καὶ τὴν οἰκείαν φιλανθρωπίαν ἐπιδείξηται, καὶ τὸν διάβολον δάκῃ, δεικνὺς ὅτι κἂν μυρία ὁ τῶν ἀνθρώπων ἐπιβουλεύσῃ γένει, οὐδὲν ἔσται πλέον αὐτῷ, τοῦ θεοῦ πρὸς μείζονα ἀεὶ τιμὴν ἡμᾶς ἀνάγοντος. ἀπώλεσας τοίνυν παράδεισον, καὶ ἀνέῳξέ σοι ὁ θεὸς

A κατεδικάσθης πόνῳ προσκαίρῳ, καὶ ἐτιμήθης ζωῇ αἰωνίῳ. ἐκέλευσε τῇ γῇ ἀκάνθας καὶ τριβόλους ἀνενεγκεῖν, καὶ ἐβλάστησέ σοι καρπὸν πνεύματος ἡ ψυχή. ὁρᾷς πῶς μείζων ἡ εὐπορία τῆς ζημίας; πῶς πλείων ὁ πλοῦτος; οἷόν τι λέγω. ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον ἀπὸ γῆς καὶ ὕδατος, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ. οὐκ ἐγένετο χρήσιμος ὁ πλασθεὶς, ἀλλὰ διεστράφη. οὐκέτι λοιπὸν ἀπὸ γῆς καὶ ὕδατος αὐτὸν ἀναπλάττει, ἀλλ' ἐξ ὕδατος καὶ πνεύματος· καὶ οὐκέτι παράδεισον ἐπαγγέλλεται πρὸς αὐτὸν, ἀλλὰ βασιλείαν οὐρανῶν. καὶ ὅπως, ἄκουε. Νικοδήμου γὰρ τοῦ ἄρχοντος τῶν Ἰουδαίων

B καταπεσόντος, καὶ τὴν ἐνταῦθα γέννησιν ἐπιζητοῦντος καὶ λέγοντος, ἀδύνατον εἶναι γέροντα γεννηθῆναι ἄνωθεν, ὅρα πῶς ὁ Χριστὸς σαφέστερον αὐτῷ ἀποκαλύπτει τῆς γεννήσεως τὸν τρόπον. ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. εἰ τοίνυν βασιλείαν οὐρανῶν ἐπηγγείλατο, εἰς παράδεισον δὲ εἰσήγαγε τὸν λῃστὴν, οὐδέπω ἀπέδωκεν αὐτῷ τὰ ἀγαθά. ἀλλ' ἕτερόν τι πρὸς τοῦτο λέγουσι. τὸν παράδεισον, φασιν, ἐνταῦθα, οὐ τὸν παράδεισον εἶπεν, ἀλλὰ τῷ τοῦ

C παραδείσου ὀνόματι τὴν βασιλείαν τῶν οὐρανῶν ὠνόμασεν. ἐπεὶ γὰρ πρὸς λῃστὴν διελέγετο, ἄνθρωπον οὐδὲν ἀκηκοότα τῶν ὑψηλῶν δογμάτων, οὐδὲ εἰδότα περὶ προφητείας, ἀλλὰ πάντα τὸν χρόνον ἐν ἐρημίαις διατρίψαντα, καὶ φόνους ἐργασάμενον, καὶ μηδὲ παρακύψαντά ποτε εἰς ἐκκλησίαν, μήτε μετασχόντα θείας ἀκροάσεως, μὴ εἰδότα τί ποτέ ἐστι βασιλεία τῶν οὐρανῶν, τοῦτο ἔλεγε, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. τῷ γνωριμωτέρῳ καὶ συνηθεστέρῳ ὀνόματι τοῦ παραδείσου τὴν βασιλείαν τῶν

D οὐρανῶν δηλοῖ, καὶ περὶ ἐκείνης αὐτῷ διαλέγεται ὁ Χριστός. δέχομαι. οὐκοῦν φησιν, εἰσῆλθε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. πόθεν δῆλον; ἐξ ὧν εἶπε, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. εἰ δὲ βιαιοτέρα ἡ λύσις αὕτη, τὴν σαφεστέραν ἐπάξομεν. τίς οὖν ἐστιν αὕτη; εἶπεν ὁ Χριστὸς, ὁ μὴ πιστεύων εἰς τὸν υἱὸν, ἤδη κέκριται. τί οὖν; ἤδη κέκριται; καίτοι οὔπω ἀνάστασις, οὔπω κόλασις καὶ τιμωρία. πῶς οὖν ἤδη κέκριται; ἀπὸ τῆς ἁμαρτίας. καὶ πάλιν, ὁ πιστεύων εἰς τὸν υἱὸν, φησι, μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

temporario labore damnatus es, & vita æterna decoratus. Præcepit terræ, vt ſpinas proferret ac tribulos; & fructum tibi ſpiritus anima germinauit. Vides vt maiores ſint pœnis facultates, vt ampliores ſint diuitiæ? Exempli cauſa: Formauit Deus hominem è terra & aqua, ipſumque poſuit in paradiſo. Non euaſit bonę frugi, qui formatus fuerat, ſed deprauatus eſt: non iam è terra & aqua ipſum refingit, ſed ex aqua & ſpiritu: non iam illi paradiſum, ſed regnum cœlorum pollicetur. Et quo pacto id fiat, audi. cum enim princeps Iudæorum Nicode- Ioan.3.4
mus lapſus eſſet, & huius vitæ natiuitatem inquireret, diceretque, fieri non poſſe, vt ſenex denuo naſceretur, vide quo pacto Chriſtus illi clarius modum detegat natiuitatis. Niſi quis natus fuerit ex aqua & ſpiritu, non poteſt introire in regnum cœlorum. Si igitur regnum cœlorum promiſit in paradiſum autem latronem introduxit, nondum illi bona retribuit. Verum aliud præterea quiddam obijciunt. Paradiſum, inquiunt, hoc loco, non paradiſum dixit, ſed paradiſi nomine regnum cœlorum deſignauit. Nam quia latronem alloquebatur, hominem qui ſublimibus dogmatibus imbutus non fuerat, neque de prophetia quicquam nouerat, ſed omne tempus in deſertis locis tranſegerat, cædeſque patrarat, neque ad concionem vnquam in tranſitu declinarat, neque ſacræ lectionis particeps fuerat, neque quid tandem eſſet regnum cœlorum nouerat, hoc dicebat: Hodie mecum eris in paradiſo, notiori & vſitatiori nomine paradiſi regnum cœlorum ſignificat, & de illo Chriſtus ad ipſum verba facit: Admitto. Vnde igitur conſtat ipſum in regnum cœlorum ingreſſum eſſe? Ex eo quod dixerit, Hodie mecum eris in paradiſo. Quod ſi violentior hæc ſolutio videatur, dilucidiorē adiungemus. Quenā illa porro eſt? Chriſtus dixit, Qui non credit in Filiū iam Ioā. 3.18
iudicatus eſt. Quid igitur? iam-ne iudicatus eſt? Atqui nōdum eſt reſurrectio: nondū ſupplicium & pœna: quomodo ergo iam iudicatus eſt? propter Ioā.5.24
peccatū. Et rurſus, Qui credit in Filium, inquit, trāſiuit de morte ad vitā.

Quid nomine paradiſi ſit intelligendū.

Neque dixit, tranſibit, ſed iam tranſiuit, & hic rurſus propter bonum opus, & ille rurſus propter peccatum. Vt igitur vnus iudicatus eſt, cum nondum fuerit iudicatus, alter quoque tranſiuit ad vitam, cum nondum tranſierit, & tam ad vnum ob bonum opus, quàm ad alterum ob peccatum quaſi iam res acciderint, cum nondum acciderint, verba facit: ſic & ad latronem dicebat. Nam & medici poſtquam aliquem deſperatum vident, eum periiſſe iam & mortuum eſſe dicunt: tametſi ſpirantem adhuc intuentur. Sed vt ille, quoniam nulla ſupereſt ſpes eius ſalutis, apud medicos iam mortuus eſt: ſic etiam latro, quoniam periculum omne reuerſionis ad perditionem iam euaſerat, in cœlum intrauit. Sic etiam audiuit Adam: Qua dic autem ederitis (Gen. 2. 17.) ex eo, morte moriemini. Quid igitur? an illo ipſo die mortuus eſt? Nequaquam, ſed poſt illum diem nongentos vixit & plures annos. Cur igitur dixit Deus, illa ipſa die moriemini? Sententia, non experientia. Sic etiam latro in cœlum ingreſſus eſt. Audi ſane, quid dicat Paulus, vt neminem adhuc bonorum retributionem accepiſſe (Heb. 11. 13. & 39.) declaret: Nam cum de prophetis ac iuſtis diſſereret, adiecit: Iuxa fidem defuncti ſunt iſti omnes, cum repromiſſiones non accepiſſent, ſed à longe eas aſpexiſſent, & ſalutaſſent, Deo melius aliquid pro nobis prouidente, vt non ſine nobis conſummarentur. Hæc notate, ac memoria tenete, eoſque qui non audierunt, docete, atque hæc in eccleſia, in foro, ac domi vnuſquiſque meditetur. Nihil enim ſacra lectione iucundius. Audi (pſal. 118. 102. & 18. 11.) quæſo quid de illa dicat propheta: Quam dulcia faucibus meis eloquia tua, ſuper mel & fauum ori meo. Hunc itaque fauum in veſpertina menſa appone, vt totam illam ſpirituali repleas voluptate. Non videtis homines opulentos, quomodo poſt epulas citharoedos ac tibicines introducant? illi ſuas ædes theatrum efficiunt, tu tuas ædes cœlum effice: id vero efficies non parietes immutans, aut transferens fundamenta, ſed ſi ad tuam menſam dominum ipſum cœlorum voces.

A καὶ οὐκ εἶπε, μεταβήσεται, ἀλλ', ἤδη μεταβέβηκε, καὶ οὗτος πάλιν ἀπὸ τοῦ κατορθώματος, κἀκεῖνος πάλιν ἀπὸ τοῦ ἁμαρτήματος. ὥσπερ οὖν ἐκεῖνος κέκριται μηδέπω κρινόμενος, κἀκεῖνος μεταβέβηκεν εἰς τὴν ζωὴν μηδέπω μεταβάς, καὶ πρὸς ἐκεῖνον ἀπὸ τοῦ κατορθώματος, καὶ πρὸς τοῦτον ἀπὸ τοῦ ἁμαρτήματος, ὡς γεγενημένων δὴ πραγμάτων οὔπω γεγενημένων διαλέγεται· οὕτω καὶ πρὸς τὸν λῃστὴν ἔλεγε. καὶ γὰρ οἱ ἰατροὶ, ἐπειδὰν ἴδωσί τινα ἀπεγνωσμένον, λέγουσιν, ὅτι ἤδη τέθνηκε καὶ νεκρός ἐστι, καίτοιγε ἔτι ἐμπνέοντα βλέποντες. ἀλλ' B ὥσπερ ἐκεῖνος, ἐπειδὴ ἐλπίδα σωτηρίας οὐκ ἔχει, τέθνηκε παρὰ τοῖς ἰατροῖς· οὕτω καὶ ὁ λῃστής, ἐπειδὴ προσδοκίαν οὐκέτι εἶχεν ἀποστροφῆς εἰς ἀπώλειαν, εἰσελήλυθεν εἰς τὸν οὐρανόν. οὕτω καὶ ὁ Ἀδὰμ ἤκουσεν, ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε. τί οὖν, αὐτῇ τῇ ἡμέρᾳ ἀπέθανεν; οὐδαμῶς· ἀλλ' ἔζησεν ἔτι ἐννεακόσια καὶ ἐπέκεινα μετὰ τὴν ἡμέραν ἐκείνην. πῶς οὖν ἔλεγεν ὁ θεός, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ἀποθανεῖσθε; τῇ ἀποφάσει, οὐ τῇ πείρᾳ. οὕτω καὶ ὁ λῃστὴς εἰσῆλθεν εἰς τὸν οὐρανόν. ἄκουσον γοῦν C τί φησιν ὁ Παῦλος, δηλῶν ὅτι οὐδεὶς οὐδέπω τῶν ἀγαθῶν ἀπέλαβε τὴν ἀντίδοσιν. περὶ γὰρ τῶν προφητῶν καὶ τῶν δικαίων διαλεγόμενος ἐπήγαγε· κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν εἰδότες αὐτὰς καὶ ἀσπασάμενοι, τοῦ θεοῦ κρεῖττόν τι περὶ ἡμῶν προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. ταῦτα κατέχετε, καὶ μέμνησθε, καὶ τοὺς οὐκ ἀκηκοότας διδάσκετε. ταῦτα καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ μελετάτω ἕκαστος. οὐδὲν γὰρ ἥδιον ἀκροάσεως θείας. ἄκουσον γοῦν τί φησι περὶ ταύτης ὁ προ- D φήτης· ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. τοῦτο τοίνυν παράθες τὸ κηρίον ἐπὶ τῆς τραπέζης τῆς ἑσπερινῆς, ὥστε πᾶσαν αὐτὴν ἡδονῆς πληρῶσαι πνευματικῆς. οὐχ ὁρᾶτε τοὺς εὐπόρους τῶν ἀνθρώπων, πῶς μετὰ τὰ σιτία κιθαρῳδοὺς καὶ αὐλητὰς ἐπεισάγουσι; θέατρον ἐκεῖνοι ποιοῦσι τὴν ἑαυτῶν οἰκίαν· σὺ ποίησον τὴν οἰκίαν τὴν σὴν οὐρανόν· ποιήσεις δὲ, οὐχὶ τοὺς τοίχους ἀμείβων, οὐδὲ μεταλλάττων τὰ θεμέλια, ἀλλ' αὐτὸν τὸν τῶν οὐρανῶν δεσπότην ἐπὶ τὴν τράπεζαν καλῶν τὴν σήν.

οὐκ ἐπαισχύνεται τὰ τοιαῦτα δεῖπνα ὁ θεός. ἔνθα γὰρ διδασκαλία πνευματικὴ, ἐκεῖ καὶ σωφροσύνη καὶ σεμνότης καὶ ἐπιείκεια. ἔνθα ἀνὴρ καὶ γυνὴ, καὶ παιδία, καὶ ὁμόνοια καὶ φιλία, καὶ τοῖς τῆς ἀρετῆς συνδεδεμένοι δεσμοῖς, ἐκεῖ μέσος ὁ Χριστός. οὐ γὰρ χρυσοῦν ὄροφον ζητεῖ, οὐδὲ ἀστραπὰς κιόνων, οὐδὲ κάλλη μαρμάρων, ἀλλὰ ψυχῆς ὥραν, καὶ διανοίας εὐμορφίαν, καὶ τράπεζαν δικαιοσύνης γέμουσαν καὶ ἐλεημοσύνης καρποὺς ἔχουσαν. κἂν ἴδῃ τοιαύτην τράπεζαν, ταχέως κοινωνὸς τοῦ συλλόγου καὶ παραγίνεται. καὶ γὰρ αὐτός ἐστιν ὁ εἰρηκώς· πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. ὅταν οὖν ἀκούσῃς πένητος κάτωθεν μεγάλα βοῶντος, εἶτα ἀπὸ τῆς τραπέζης τῶν προκειμένων δῷς τι τῷ δεομένῳ, τὸν δεσπότην ἐκάλεσας διὰ τοῦ δούλου πρὸς τὴν τράπεζαν τὴν σὴν, πᾶσαν αὐτὴν εὐλογιῶν ἐνέπλησας, καὶ διὰ τῆς ἀπαρχῆς ἀφορμὴν μεγίστην τοῦ πληθύνεσθαί σοι τὰ ταμιεῖα ἀγαθῶν πολλῶν προεξένησας. ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ διδοὺς ἄρτον εἰς βρῶσιν καὶ σπέρμα τῷ σπείροντι, πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ἐν πᾶσιν ὑμῖν, τὴν παρ' αὐτοῦ χάριν διδοὺς, καὶ καταξιώσαι τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A Non erubeſcit eiuſmodi conuiuia Deus. Vbi namq; ſpiritualis doctrina, ibi & temperantia, & modeſtia, & lenitas: vbi vir & vxor ac liberi, concordia & amicitia, & virtutis vinculis fuerint colligati, illic verſatur in medio Chriſtus. Non enim aureum laqueare quęrit, nec columnarum fulgorē, neq; marmoris pulchritudinem, ſed animę decorem ac mentis formā, & menſam iuſtitia refertā, & eleemoſynæ fructibus abundantem Quod ſi menſam eiuſmodi viderit, confeſtim in eiuſmodi conuētus fit participes, & in eum ſe infert. Ipſe enim eſt, qui dixit: Eſuriē-
B rem me vidiſtis & aluiſtis. Cum igitur Mat. 25.
inferius magna voce clamantem au- 38.
diueris pauperē, deinde quippiam eorum quæ appoſita ſunt de menſa egeno dederis, dominum ad menſam vocaſti per ſeruum, & illam totam Dei benedictionibus repleuiſti, oblatiſq. primitiis maximam occaſionem tua prōptuaria plurimis complendi bonis præbuiſti. Deus autem pacis & carita- 2.Cor. 9
tis, qui dat panem ad manducandum, 10.
& ſemen ſeminanti, veſtram ſementē multiplicet, & augeat incremen-
C ta frugum iuſtitiæ in omnibus vobis ſuam dans gratiam, voſque regno cœlorum dignetur. Cuius nos participes fieri contingat gratia & benignitate domini noſtri Ieſu Chriſti, per quem & cum quo Patri gloria, vna cum Spiritu ſancto nunc & ſemper, & in ſecula ſeculorum, Amen.

Λόγος η.

Εἰς τὴν ἡμέραν χειμέριον οὖσαν, καὶ εἰς τὴν σύνοδον τῶν ἐπισκόπων, καὶ εἰς τὴν δόσιν τῆς ἐντολῆς πρὸς τὸν Ἀδὰμ, καὶ ὅτι πολλῆς κηδεμονίας τὸν νόμον λαβεῖν. D

Η Μὲν τῶν νεφῶν συνδρομὴ τὴν ἡμέραν ἡμῖν κατηφεστέραν ἐποίησεν· ἡ δὲ παρουσία τοῦ διδασκάλου φαιδροτέραν αὐτὴν εἰργάσατο. οὐ γὰρ οὕτως ἥλιος ἐκ μέσης τῶν οὐρανῶν τῆς κορυφῆς τὰς ἀκτῖνας ἀφιεὶς, καταλάμπει τὰ σώματα, ὡς ὄψις πατρικῆς φιλοστοργίας ἀκτῖνας ἀφιεῖσα ἐκ μέσου τοῦ θρόνου, καταυγάζει τὰς ἡμετέρας ψυχάς.

SERMO VIII.

In diem nimboſum, & in conuentum Epiſcoporum, & de mandato quod traditum eſt Adamo, magnæque curæ fuiſſe, quod legem acceperit.

EODEM INTERPRETE.

NVBIVM quidem concurſus diem nobis reddidit triſtiorem: aduentus autem doctoris hilarioręm illum effecit. Non enim ita Sol, cum de medio cœlorū faſtigio radios emittit, corpora illuſtrat, vt ex medio ſuo throno facies peternæ caritatis emittens radios animas noſtras illuminat.

A Quod cum ipſe quoque probè noſſet, non nobis ſolus aduenit, ſed & luminariũ cœtu comitatus appulit, vt lux nobis copioſior affulgeret. Quo fit vt nobis lætetur eccleſia, & exultent greges, noſq; maiori cũ alacritate ſermonẽ inſtituamus. Vbi enim paſtorũ cõcurſus eſt, illic & ouiũ eſt ſecuritas. Ita quoq; nautæ lętantur, cum plures illis adſunt gubernatores: dum enim maris tranquillitas & aëris eſt ſerenitas, gubernaculorũ ſubſidio laborem illis remigationis leuant, & dũ mare procellis agitatur, arte ac multitudine operariorũ turbatũ prœliũ vndarum ſedant. B Idcirco nos etiam confidenter docẽdi cauſa ſermonem aggredimur, & ipſorũ precibus cũcta cõmittimus. Vt autem facilius ac dilucidius quæ audietis, percipere poſſitis, eorum quę vobis heſterno die dicta ſunt memoriã paucis refricabimus. Dixi hominem, antequã de ligno comederet, bonum ac malum nouiſſe, neq; poſtquã guſtaſſet, hãc illum ſcientiã adeptum eſſe. Dixi, quã ob cauſam lignũ ſcientiæ boni & mali diceretur, & quo pacto ſoleat ſcriptura, poſtquam circa tempus aliquod locumue res quæpiã euenerit, ab illa re ductũ loco vel tẽpori nomẽ tribuere: operæpreciũ hodierno die fuerit ipſum mãdatũ recitare, cuius interuentu arboris illius eſt eſus prohibitus. Quodnã igitur illud eſt? Et præcepit Dominꝰ Deus Adã dicẽs:

Geneſ.2 16. Ex omni ligno ꝙ eſt in paradiſo, ſca comedes: Diuina lex eſt, verũ attẽdamus. Si enim homines dũ regias legũt literas, vniuerſũ ſpectatorũ cœtũ iubẽt cõſurgere: multo magis nos qui nõ hominum, ſed Dei leges lecturi ſumus, animos oportet erigere, atq; his quę dicũtur attendere. D Scio nõnullos Legiſlatorẽ accuſare, ac legẽ cauſam lapſus eſſe dicere. Aduerſus hoc igitur primũ certandũ eſt, acrebus ipſis oſtẽdendũ, nõ ꝙ hominem odio proſequeretur, aut naturã noſtram ignominia notare vellet, ſed ꝙ amaret eiuſq; curã gereret, legẽ dediſſe.

An lex ſit cauſa peccati.

Vt enim diſcas in ſubſidiũ nobis eã datã eſſe, audi quid dicat Eſaias:

Eſa.8.20 Legem enim in auxilium dedit. At qui odio proſequitur, nõ fert auxiliũ.

Pſa. 118. 104. Rurſus vociferatur propheta: Lucernã pedibus meis verbũ tuum, & lumẽ ſemitis meis. At qui odio proſequitur, tenebras lucerna non diſcutit,

ὅπερ οὖν καὶ αὐτὸς συνιδὼν, οὐχὶ μόνος ἡμῖν παραγέγονεν, ἀλλὰ καὶ φωστήρων χορὸν ἔχων ἦλθε μεθ' ἑαυτοῦ, ὥστε πλέον γενέσθαι τὸ φῶς. διὸ καὶ ἡ ἐκκλησία ἡμῖν ἀγάλλεται, καὶ σκιρτᾷ τὰ ποίμνια, καὶ ἡμεῖς μετὰ πλείονος προθυμίας τῶν λόγων ἁπτόμεθα. ὅπου γὰρ συνδρομὴ ποιμένων, ἐκεῖ καὶ προβάτων ἀσφάλεια. οὕτω καὶ ναῦται χαίρουσι κυβερνητῶν αὐτοῖς παρόντων πολλῶν. καὶ γὰρ γαλήνης οὔσης καὶ νηνεμίας, τὸν τῆς κωπηλασίας πόνον αὐτοῖς ἐπικουφίζουσι διὰ τῶν οἰάκων· καὶ τῆς θαλάσσης στασιαζούσης, τῇ τέχνῃ καὶ τῇ πολυχειρίᾳ τὴν τῶν ὑδάτων καταστέλλουσι μάχην. διὰ τοῦτο καὶ ἡμεῖς θαρροῦντες, τὸν λόγον εἰς διδασκαλίαν προτεινόμεθα, ταῖς εὐχαῖς αὐτῶν τὸ πᾶν ἐπιρρίψαντες. ὥστε δὲ εὐμαθεστέραν καὶ σαφεστέραν ἡμῖν γενέσθαι τὴν ἀκρόασιν, καὶ τῶν χθὲς ὑμῖν εἰρημένων ἀναμνήσωμεν ἐν βραχεῖ. εἶπον ὅτι πρὸ τῆς τοῦ ξύλου βρώσεως ᾔδει τὸ καλὸν καὶ τὸ πονηρὸν ὁ ἄνθρωπος, καὶ ὅτι οὐ μετὰ τὴν γεῦσιν ταύτην ἔλαβε τὴν γνῶσιν. εἶπον τίνος ἕνεκεν ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ ἐλέγετο, καὶ πῶς ἔθος τῇ γραφῇ, ἐπειδὰν τὸ πρᾶγμα συμβῇ περὶ τόπον ἢ καιρὸν, ἀπὸ τοῦ πράγματος ὀνομάζειν καὶ τὸν τόπον καὶ τὸν καιρόν. σήμερον ἀναγκαῖον αὐτὴν ἀναγνῶναι τὴν ἐντολὴν, δι' ἧς ἐκώλυσε τοῦ ξύλου τὴν βρῶσιν. τίς οὖν ἐστιν αὕτη; καὶ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Ἀδὰμ, λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ. θεῖος ὁ νόμος· ἀλλὰ προσέχωμεν. εἰ γὰρ βασιλικὰ ἀναγινώσκοντες γράμματα ἄνθρωποι, ὁλόκληρον ἀνιστῶσι θέατρον· πολλῷ μᾶλλον ἡμᾶς οὐκ ἀνθρώπων, ἀλλὰ θεοῦ νόμους ἀναγινώσκειν μέλλοντας διανίστασθαι χρὴ τῇ διανοίᾳ, καὶ προσέχειν τοῖς λεγομένοις. οἶδα ὅτι κατηγοροῦσί τινες τοῦ νομοθέτου, καὶ τὸν νόμον αἴτιον εἶναί φασι τοῦ παραπτώματος. πρὸς τοῦτο οὖν ἀνάγκη στῆναι πρότερον, καὶ δεῖξαι διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι οὐχὶ μισῶν τὸν ἄνθρωπον, οὐδὲ ὑβρίσαι βουλόμενος τὴν φύσιν τὴν ἡμετέραν, ἀλλὰ φιλῶν καὶ κηδόμενος, τὸν νόμον ἔδωκεν. ὅτι γὰρ εἰς συμμαχίαν ἡμῖν αὐτὸν ἔδωκεν, ἄκουσον τί φησιν Ἡσαΐας· νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν. ὁ δὲ μισῶν, οὐ βοηθεῖ. πάλιν ὁ προφήτης βοᾷ· λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. ὁ δὲ μισῶν, οὐ λύει τὸ σκότος διὰ τοῦ λύχνου,

οὐδὲ ὁδηγεῖ μετὰ φωτὸς τὸν πεπλανημένον. πάλιν ὁ Σολομῶν· λύχνος ἐντολὴ νόμου, καὶ φῶς, καὶ ζωὴ, καὶ ἔλεγχος, καὶ παιδεία. ἰδοὺ οὐχὶ βοήθεια μόνον, οὐδὲ λύχνος μόνον, ἀλλὰ καὶ φῶς καὶ ζωή. ταῦτα δὲ οὐκ ἔστι μισοῦντος, οὐδὲ ἀπολέσαι βουλομένου, ἀλλὰ χεῖρα ὀρέγοντος καὶ διανιστῶντος. διὰ τοῦτο καὶ Παῦλος πρὸς τὸν Ἰουδαῖον ἀποτεινόμενος, καὶ δεικνὺς ὅσον εἰσήνεγκε κέρδος ὁ νόμος, καὶ ὅτι ἀνάπαυσις, οὐ βάρησις τῆς φύσεως ἡμῶν ἐστιν, ἔλεγεν· ἴδε σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ. ὁρᾷς ὅτι οὐχὶ βαρῦναι ἡμῶν τὴν φύσιν, ἀλλ' ἀναπαύων, τὸν νόμον ἔδωκεν ὁ θεός; βούλει μαθεῖν ὅτι καὶ τιμῶν; μάλιστα μὲν οὖν καὶ ταῦτα ἱκανὰ δεῖξαι τὴν τιμὴν καὶ τὴν κηδεμονίαν· πλὴν καὶ ἀφ' ἑτέρων μαρτυριῶν αὐτὸ τοῦτο ποιήσομαι φανερόν. ἐπαίνει, φησὶν, Ἱερουσαλὴμ, τὸν κύριον· αἴνει τὸν θεόν σου Σιών· ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί· ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. εἶτα εἰπὼν καὶ τὴν διὰ τῆς ἄλλης κτίσεως εὐεργεσίαν παρὰ τοῦ θεοῦ χορηγουμένην, ἐπήγαγε τὴν ἐξαίρετον καὶ μείζονα, οὑτωσὶ λέγων· ὁ ἀποστέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακὼβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. ὅρα πόσα κατέλεξεν ἀγαθά. ἀσφάλειαν πόλεως· ἐνίσχυσε γὰρ, φησι, τοὺς μοχλοὺς τῶν πυλῶν σου. ἀπαλλαγὴν πολέμων· ὁ τιθεὶς γὰρ, φησι, τὰ ὅριά σου εἰρήνην. ἀφθονίαν τῶν ἀναγκαίων· καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. ἀλλ' ὅμως πάντων τούτων τὴν τοῦ νόμου δόσιν τιμιωτέραν ἀπέφηνεν. ὅτι γὰρ καὶ ἀσφαλείας, καὶ εἰρήνης, καὶ ἀπαλλαγῆς πολέμων, καὶ εὐπαιδίας, καὶ πολυπαιδίας, καὶ τῆς τῶν ἀναγκαίων ἀφθονίας πολλῷ μεῖζον δῶρόν ἐστι τὸ νόμον λαβεῖν, καὶ τὰ δικαιώματα τοῦ θεοῦ μαθεῖν, πάντων ὕστερον αὐτὸ θεὶς ὡς κεφάλαιον καὶ σύνδεσμον τῶν ἀγαθῶν, ἐπήγαγε λέγων· οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει· οὕτω, πῶς; καὶ μὴν καὶ ἀφθονίας, καὶ τῶν ἄλλων τῶν ἀπηριθμημένων πολλοὶ πολλάκις ἀπήλαυσαν. ἀλλ' οὐ περὶ τῶν προειρημένων λέγω, φησὶν, ἀλλὰ περὶ τοῦ νόμου, ὅτι οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει. καὶ διὰ τοῦτο ἐπήγαγε· καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. ὁρᾷς

A nec errantē cū luce deducit. Salomō
rurſus: Lucerna mandatum legis, & Prou. 6.
lux, & vita, & correptio, & diſciplina. 23.
Ecce nō auxilium ſolum, nec lucerna ſolum, ſed & lux eſt & vita: hæc porro non ſunt odio proſequentis, neque perdere volentis, ſed manum porrigentis & erigentis. Propterea Paulus quoq; dum in Iudæum inuehitur, & quantam lex inuexerit vtilitatem, oſtendit, eamq; non grauare naturam
noſtram, ſed reficere, dicebat: Ecce tu
Iudæus cognominaris, & requieſcis in Rom. 2.
lege. Vides non vt naturā noſtrā gra- 17.
uaret, ſed vt eam recrearet, Deum le-
B gē dediſſe? Viſne diſcere, id etiā illum egiſſe, vt honorē deferret? Enimuero poterant & iſta ſatis oſtendere & honorem delatū, & curā impenſam: veruntamē hoc ipſum alijs adhibitis te-
ſtimonijs demōſtrabo. Lauda, inquit, Pſa. 147.
Hieruſalem Dominum, lauda Deum 1.
tuum Sion: Quoniā cōfirmauit vectes portarum tuarū, benedixit filijs tuis in te. Qui ponit fines tuos pacem, & adipe frumenti ſatiat te. Deinde poſtquā alia dixit beneficia per alias creaturas collata, ſubiunxit præcipuum & cæte-
C ris maius his verbis vtens: Qui annūciat verbum ſuū Iacob iuſtificationes & iudicia ſua Iſrael. Non fecit taliter omni nationi, & iudicia ſua nō manifeſtauit eis. Vide quā multa enumerarit bona. Vrbis ſecuritatem: cōfirmauit enim, inquit, vectes portarum tuarum. bellorum depulſionem: Qui ponit enim, inquit, fines tuos pacē. Vbertatem annonæ, & adipe frumenti ſatiat te. Veruntamen his omnibus pretioſiorem legis donationem eſſe declarauit. Nam quoniam & ſecuritate & pace, & depulſione bellorum, &
D liberorum fœcunditate ac multitudine, atque annonæ vbertate multo maius eſt donum legem accepiſſe, ac Dei iuſtificationes didiciſſe, cum illud omnium poſtremum tanquam caput & congeriem bonorum collocaſſet, adiecit dicens: Non fecit taliter omni nationi. Taliter, quo pacto? Atqui annonæ vbertate, atque alijs, quæ ſunt enumerata multi ſæpius potiti ſunt: veruntamen de illis quæ dicta ſunt non loquor, inquit, ſed de lege, quòd omni nationi ſic non fecerit: propterea ſubiunxit: Et iudicia ſua non manifeſtauit eis. Vides omnium bonorum quæ

A ſunt enumerata maximum eſſe legẽ. Hoc etiã Hieremias indicauit: dũ.n. eos qui in captiuitate verſabantur lugeret dicebat: Quid, quod in terra inimicorum es? dereliquiſti fontem ſapientiæ, legem ita vocans. Vt enim fons multos vndiq; riuos emittit, ſic etiã lex multa vndiq; mandata profundit, quibus animã noſtra irrigat. Deinde præicpuũ decus honoris, qui nobis à lege defertur, oſtendens aiebat: Nõ eſt audita in Chanaã hæc ſapiẽtia, neq; viſa eſt in Thæman, neq; filij Agar mercatores, & exquiſitores viã ei⁹ nouerunt, neq; ſemitarũ eius ſunt recordati. *Bar.3.13.18.* B Atq; vt ſpirituale ac & diuinã eã eſſe demõſtraret, Quis aſcẽdit, inquit, in cœlũ, & deduxit illã? Tum adiũxit: Hic eſt Deus noſter, non ęſtimabitur alius ad eũ. Adinuenit omnẽ viã ſciẽtiæ, & dedit eã Iacob puero ſuo, & Iſraël dilecto ſuo. Propterea dicebat etiã Dauid: Non fecit taliter omni nationi, & iudicia ſua non manifeſtauit eis. *Pſal.147 9.* Hoc nimirũ & Paulus innuẽs ſcribebat: Quid ergo amplius Iudæo eſt? aut quæ vtilitas circunciſionis? *Rom.3.1* Multũ per omnẽ modum. Primũ quidẽ quoniã credita ſunt illis eloquia Dei. C Vides quo pacto hic etiã expoſuerit illud, Non fecit taliter omni nationi, & iudicia ſua non manifeſtauit eis? Si enim hoc illud eſt amplius Iudęi, quod illi ſoli ex alijs hominibus legis ſcriptę donatione ſunt honorati, nõ igitur vt naturã noſtrã grauaret, ſed vt honorare afficeret, dedit legẽ Deus. Neq; hoc tãtũ honore affecit, quod legẽ dedit, ſed etiã ꝙ per ſe ipſum dedit: ſiquidẽ hoc quoq. genus honoris eſt maximũ quod non ſolum bona prębuerit, ſed per ſeipſum præbuerit. D Hoc quippe magnum eſſe donum, audi quomodo Paulus oſtendat. Cum enim inflatos eſſe Iudæos cerneret, quod ad eos prophetæ veniſſent, vt eorum arrogantiam coerceat, noſque maiori eſſe affectos honore demonſtret qui non ſerui ſed domini opera delatam doctrinam accepimus, his verbis vtitur ad Hebræos ſcribens: *Heb.1.1.* Multifaram multiſque modis olim Deus loquens patribus noſtris, nouiſſimis diebus iſtis locutus eſt nobis in Filio. Et rurſus alibi: *Rom.5.11.* Non ſolum autem, ſed & groriamur in Deo, per dominum noſtrum Ieſum Chriſtum,

A πῶς τῶν ἀπηριθμημένων ἁπάντων ἀγαθῶν μεῖζον ὁ νόμος. τοῦτο καὶ Ἱερεμίας ἐνέφηνε. τοὺς γὰρ ἐν αἰχμαλωσίᾳ ὄντας θρηνῶν, ἔλεγε· τί ὅτι ἐν τῇ γῇ τῶν ἐχθρῶν εἶ; τὴν πηγὴν τῆς σοφίας ἐγκατέλιπες, τὸν νόμον λέγων. καθάπερ ἡ πηγὴ πολλοὺς πανταχόθεν ἀφίησι ῥύακας, οὕτω καὶ ὁ νόμος πολλὰς πανταχόθεν ἀφίησι τὰς ἐντολάς, ἄρδων ἡμῶν τὴν ψυχήν. εἶτα δηλῶν τὸ ἐξαίρετον τῆς τιμῆς τῆς διὰ τοῦ νόμου γινομένης, ἔλεγεν· οὐκ ἠκούσθη ἐν Χαναὰν αὕτη ἡ σοφία, οὐδὲ ὤφθη ἐν Θαιμάν, οὐδὲ υἱοὶ Ἄγαρ, οἱ ἔμποροι καὶ οἱ ἐκζητηταὶ ἔγνωσαν τὰς ὁδοὺς αὐτῆς, B οὐδὲ ἐμνήσθησαν τῶν τρίβων αὐτῆς. καὶ δεικνὺς ὅτι πνευματική τίς ἐστι καὶ θεία, τίς ἀνέβη, φησὶν, εἰς τὸν οὐρανὸν, καὶ κατεβίβασεν αὐτήν; εἶτα ἐπήγαγεν· οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. διὰ τοῦτο καὶ ὁ Δαβὶδ ἔλεγεν. οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. τοῦτο γοῦν καὶ Παῦλος αἰνιττόμενος ἔγραφε· τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; C πολὺ κατὰ πάντα τρόπον. πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ. ὁρᾷς πῶς καὶ οὗτος ἡρμήνευσε τὸ, οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς; εἰ γὰρ τὸ περισσὸν τοῦ Ἰουδαίου τοῦτό ἐστιν, ὅτι αὐτοὶ μόνοι τῶν ἄλλων ἀνθρώπων ἐτιμήθησαν τῇ δόσει τοῦ γραπτοῦ νόμου, οὐκ ἄρα βαρῶν ἡμῶν τὴν φύσιν, ἀλλὰ τιμῶν, τὸν νόμον ἔδωκεν ὁ θεός. καὶ οὐ τούτῳ μόνον ἐτίμησε, τῷ δοῦναι τὸν νόμον, ἀλλὰ καὶ τῷ δι' ἑαυτοῦ δοῦναι. καὶ γὰρ καὶ τοῦτο μέγιστον εἶδος τιμῆς, τὸ μὴ μόνον παρασχεῖν τὰ ἀγαθὰ, ἀλλὰ καὶ δι' ἑαυτοῦ παρασχεῖν. ὅτι γὰρ μέγα τοῦτό D ἐστι τὸ δῶρον, ἄκουσον καὶ τοῦ Παύλου τοῦτο ἐνδεικνυμένου. ὁρῶν γὰρ τοὺς Ἰουδαίους πεφυσιωμένους ἐν τῷ τοὺς προφήτας πρὸς αὐτοὺς ἐλθεῖν, καὶ καταστέλλων αὐτῶν τὸ φρόνημα, καὶ δεικνὺς ὅτι μείζονος ἡμεῖς ἀπηλαύσαμεν τιμῆς, οὐ διὰ δούλου, ἀλλὰ διὰ δεσπότου τῆς διδασκαλίας τυχόντες, οὑτωσί πώς φησι πρὸς Ἑβραίους γράφων· πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἡμῶν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. καὶ πάλιν ἀλλαχοῦ. οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ θεῷ διὰ τοῦ κυρίου

ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ τὴν καταλλαγὴν ἐλάβομεν. ὁρᾷς αὐτὸν οὐκ ἐπὶ τῇ καταλλαγῇ καυχώμενον μόνον, ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ Χριστοῦ λαβεῖν τὴν καταλλαγήν; καὶ πάλιν τὴν ἀνάστασιν σεμνύνων, φησὶν· αὐτὸς ὁ κύριος καταβήσεται ἐξ οὐρανοῦ. ὅρα κἀκεῖ διὰ τοῦ δεσπότου τὸ πᾶν γινόμενον· καὶ ἐνταῦθα οὐ δι᾽ οἰκέτου τινός, οὐ δι᾽ ἀγγέλου καὶ ἀρχαγγέλου, ἀλλ᾽ αὐτὸς δι᾽ ἑαυτοῦ ἐνετείλατο τῷ Ἀδὰμ διπλῇ τιμῇ τὸν ἄνθρωπον τιμῶν, καὶ τῷ δοῦναι τὸν νόμον, καὶ τῷ δι᾽ ἑαυτοῦ δοῦναι. πῶς οὖν ὠλίσθησεν ἐκεῖνος; παρὰ τὴν ἑαυτοῦ ῥᾳθυμίαν· καὶ δηλοῦσιν ὅσοι νόμον ἔλαβον, καὶ οὐκ ὠλίσθον, ἀλλὰ καὶ πλείω τῶν ἐπιτεταγμένων ἐποίησαν. ἀλλ᾽ ἐπειδὴ τὸν καιρὸν ἡμᾶς ὁρῶ συνελαύνοντα τοῦτον, εἰς ἑτέραν διάλεξιν ἀναβαλοῦμαι τὸν λόγον· ὑμεῖς δὲ τὰ εἰρημένα τέως φυλάττετε καὶ μέμνησθε, καὶ τοὺς οὐκ ἀκηκοότας διδάσκετε, καὶ ταῦτα καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ μελετάτω ἕκαστος. οὐδὲν γὰρ ἥδιον ἀκροάσεως θείας. ἄκουσον γοῦν. τί φησι περὶ ταύτης ὁ προφήτης· ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. τοῦτο τοίνυν παρατίθει τὸ κηρίον ἐπὶ τῆς τραπέζης τῆς ἑσπερινῆς, ὥστε πᾶσαν αὐτὴν ἡδονῆς πληρῶσαι πνευματικῆς. οὐχ ὁρᾶτε τοὺς εὐπόρους τῶν ἀνθρώπων, πῶς μετὰ τὰ σιτία κιθαρῳδοὺς καὶ αὐλητὰς ἐπεισάγουσι; θέατρον ἐκεῖνοι ποιοῦσι τὴν ἑαυτῶν οἰκίαν, σὺ ποίησον τὴν σὴν οἰκίαν οὐρανόν· ποιήσεις δέ, οὐχὶ τοὺς τοίχους ἀμείβων, οὐδὲ μεταλλάττων τὰ θεμέλια, ἀλλ᾽ αὐτὸν τὸν τῶν οὐρανῶν δεσπότην ἐπὶ τὴν τράπεζαν καλῶν τὴν σήν. οὐκ ἐπαισχύνεται τὰ τοιαῦτα δεῖπνα ὁ θεός. ἔνθα γὰρ διδασκαλία πνευματική, ἐκεῖ καὶ σωφροσύνη καὶ σεμνότης καὶ ἐπιείκεια. ἔνθα ἀνὴρ καὶ γυνὴ, καὶ παιδία, καὶ ὁμόνοια καὶ φιλία, καὶ τοῖς τῆς ἀρετῆς συνδεδεμένοι δεσμοῖς, ἐκεῖ μέσος ὁ Χριστός. οὐ γὰρ χρυσοῦν ὄροφον ζητεῖ, οὐδὲ ἀστραπὰς κιόνων, οὐδὲ κάλλη μαρμάρων, ἀλλὰ ψυχῆς ὥραν, καὶ διανοίας εὐμορφίαν, καὶ τράπεζαν δικαιοσύνης γέμουσαν, καὶ ἐλεημοσύνης καρποὺς ἔχουσαν. κἂν ἴδῃ τοιαύτην τράπεζαν, ταχέως κοινωνεῖ τοῦ συλλόγου καὶ παραγίνεται. καὶ γὰρ αὐτός ἐστιν ὁ εἰρηκώς· πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. ὅταν οὖν ἀκούσῃς πένητος κάτωθεν μεγάλα βοῶντος, εἶτα ἀπὸ τῆς τραπέζης τῶν προκειμένων δῷς τι τῷ δεομένῳ, τὸν δεσπότην ἐκάλεσας διὰ τοῦ

A per quem & recõciliationem accepi-
mus. Vides cũ non ob reconciliationẽ 1. Theſſ.
tantum gloriari, ſed etiam quod per 4.16.
Chriſtũ reconciliationẽ acceperit? Et
rurſus cũ reſurrectionẽ magnifice ce-
lebraret, ait. Ipſe Dominus deſcendet
de cœlo. Vide illic quoq; per Dominũ
totum perfici: & hic non per aliquem
famulũ, nõ per angelũ & archangelũ,
ſed ipſe per ſeipſum Adã præcepit du-
plici hominẽ honore afficiẽs, & quod
legẽ dederit, & quod dederit per ſeip-
ſum. Quomodo igitur lapſus eſt ille?
ob ignauiã ſuã: idq; oſtẽdũt quotquot
legẽ acceperunt, nec lapſi ſunt, ſed &
B plura quã imperata fuerant, pręſtite-
runt. Sed quoniã hoc tẽpus video nos
in anguſtum redigere, in alterã diſſer-
tationẽ ſermonem reiiciemus: vos ve-
ro quæ dicta ſunt conſeruate ac me-
moria tenete, illoſq; qui minimè au-
dierunt docete, atq; hęc in eccleſia in
foro, ac domi vnuſquiſq; meditetur.
Nihil enim ſacra lectione iucundius.
Audi ſane quid illa dicat prophera: Pſal.118.
Quã dulcia faucib⁹ meis eloquia tua, 102. &
ſuper mel & fauũ ori meo. Hũc itaq; 18.11.
fauũ in veſpertina mẽſa appone, vt to-
C tã illã ſpirituali repleas voluptate. Nõ
videtis homines opulẽtos, quomodo
poſt epulas citharœdos ac tibicines
introducãt? illi ſuas ædes theatrũ effi-
ciunt, tu tuas ædes cœlũ effice: id vero
efficies nõ parietes immutãs aut trãſ-
ferens fundamenta, ſed ſi ad tuã men-
ſam dominum ipſum cœlorum voces.
Non erubeſcit eiuſmodi conuiuia
Deus. Vbi namq; ſpiritualis doctrina,
ibi & temperantia, & modeſtia, & le-
nitas: vbi vir & vxor ac liberi, concor-
dia & amicitia, & virtutis vinculis fue-
rint colligati, illic verſatur in medio
D Chriſtus. Non enim aureum laqueare
quęrit, nec columnarum fulgorẽ, neq;
marmoris pulchritudinem, ſed animę
decorem ac mentis formã & menſam
iuſtitia refertã, & eleemoſynæ fructi-
bus abundantem. Quod ſi menſam e-
iuſmodi viderit, confeſtim eiuſmo-
di conuẽtus fit participes, & in eum ſe
infert. Ipſe enim eſt, qui dixit: Eſuriẽ-
tem me vidiſtis & aluiſtis. Cum igitur Mat.25.
inferius magna voce clamantem au- 38.
dieris pauperẽ, deinde quippiam eo-
rum quæ appoſita ſunt de menſa ege-
no dederis, dominum ad menſam vo-
caſti per ſeruum, & illam totam Dei

benedictionibus repleuiſti, oblatiſq. primitiis maximam occaſionem tua
2.Cor. 9 10. prõptuaria plurimis complendi bonis præbuiſti. Deus autem pacis & caritatis, qui dat panem ad manducandum, & ſemen ſeminanti, veſtram ſementẽ multiplicet, & augeat incrementa frugum iuſtitiæ in omnibus vobis, ſuam dans gratiam, voſque regno cœlorum dignetur. Cuius nos participes fieri contingat gratia & benignitate domini noſtri Ieſu Chriſti, per quem & cum quo Patri gloria, vna cum Spiritu ſancto nunc & ſemper, & in ſecula ſeculorum, Amen.

A δούλου πρὸς τὴν τράπεζαν τὴν σήν, πᾶσαν αὐτὴν εὐλογιῶν ἐνέπλησας, καὶ διὰ τῆς ἀπαρχῆς ἀφορμὴν μεγίστην τοῦ πληθυνέσθαί σοι τὰ ταμιεῖα ἀγαθῶν πολλῶν παρεσκεύασας. ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ διδοὺς ἄρτον εἰς βρῶσιν καὶ σπέρμα τῷ σπείροντι, πληθυνοῖ τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ἐν πᾶσιν ὑμῖν, τὴν παρ' αὐτοῦ χάριν διδούς, καὶ καταξιώσαι τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα νῦν καὶ ἀεί, καὶ
B εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

SERMO IX.

Quomodo oporteat fratrum peccata arguere, & quod eorum ſalutis curam habere conueniat, & quare Abram vocatus ſit Abraam, & de nomine Noë: quòd non fruſtra aut ſine cauſa iuſti illi fuerint his nominibus appellati, ſed ita diſpenſante Dei prouidentia.

INCERTO INTERPRETE.

C HAVD difficile foret ex conſequẽtia nuper dictorũ, præſentis ſermonis ſumere prooemium: ſi quidẽ vobis poſſibile eſſet ſcire quid nuper à nobis dictum, & quomodo finitus fuerit ſermo. Verùm quia plerique ex his qui nuper affuere, hodie non aſſunt, & ex his qui nunc aſſunt, nuper abfuere, cogit auditorum varietas, vt repetenda ſint, quæ nuper dicta:
D vnde & hi qui prius ſermonem audierunt, melius dictorum memoriam firment: & his qui abfuerunt, non tam damnoſum ſit abfuiſſe, ſi & ipſis innoteſcat doctrina pridem habita. Et fortaſſis dicent, qui ſemper ſunt præſentes, quòd propter illos nuper dicta non ſint reſumenda, vt hi qui cum aliis conuenire contempſerunt, hoc damno emendentur, & fiant poſthac diligentiores. Equidem laudo, quòd fratrum doletis ignauiam, & admiror zelum: vellem autem vos zelum hunc temperare miſericordia.

Λόγος θ.

Εἰς τό, πῶς δεῖ ἐπιτιμᾶν τοῖς τῶν ἀδελφῶν ἁμαρτήμασι, καὶ ὅτι χρὴ τῆς τούτων σωτηρίας προνοεῖν, καὶ διὰ τί Ἄβραμ Ἀβραὰμ ἐκλήθη, καὶ εἰς τὸ ὄνομα τοῦ Νῶε· ὅτι οὐχ ἁπλῶς ταῦτα οἱ δίκαιοι ἐκαλοῦντο τὰ ὀνόματα, ἀλλὰ τῇ τοῦ θεοῦ οἰκονομίᾳ.

Εἰ μὲν ἦν δυνατὸν ὑμῖν εἰδέναι, τί μὲν ἡμῖν εἴρηται, τί δὲ ἀπολέλειπται, καὶ ποῦ μὲν τὸν λόγον κατελύσαμεν πρώην, πόθεν δὲ αὐτὸν σήμερον ἀναλέγεσθαι χρή, εὐθέως τὰ προοίμια ἀπὸ τῆς ἀκολουθίας τῶν πρῴην εἰρημένων ἐποιησάμην ἄν. ἐπεὶ δὲ καὶ τῶν τότε ἀκηκοότων ἡμῶν πολλοὶ σήμερον οὐ παρήκασι, καὶ τῶν νῦν παρόντων τότε οὐκ ἤκουσε, τὸ διάφορον τῆς ἀκροατῶν ἀναγκαίαν ποιεῖ γενέσθαι τῶν εἰρημένων ἡμῖν τὴν ἐξήγησιν. οὕτω γὰρ καὶ τοῖς ἐξ ἀρχῆς παρηκολουθηκόσι τῷ
D λόγῳ μᾶλλον ἐμπαγήσεται τούτων ἡ μνήμη, πάλιν ἀναμιμνησκομένοις ὧν ἤκουσε, καὶ τοῖς ἀπολειφθεῖσιν οὐ τοσαύτη ἔσται βλάβη, τοῦ λόγου γνωριμωτέραν αὐτοῖς ἄνωθεν ποιοῦντος τὴν διδασκαλίαν. καὶ μὴν ἴσως ἂν εἴποιεν οἱ ἀεὶ παραγινόμενοι, ὅτι δι' αὐτὸ μὲν οὖν τοῦτο οὐκ ἐχρῆν ἀναλαβεῖν τὰ εἰρημένα, ἵνα ἀπολειφθέντες καὶ τῆς συνάξεως καταφρονήσαντες, ἔργῳ τὴν βλάβην ὑπομείναντες, βελτίους γένωνται, τῇ ζημίᾳ σωφρονιζόμενοι. ἐγὼ δὲ ἐπαινῶ μὲν ὑμᾶς, ὅτι οὕτω δάκνεσθε ὑπὲρ τῆς ῥαθυμίας τῶν ἀδελφῶν, καὶ τὸν ζῆλον θαυμάζω· βούλομαι δὲ καὶ φιλανθρωπίᾳ τὸν ζῆλον ὑμᾶς κεράσαι τοῦτον.

ζῆλος γὰρ συγγνώμης ἀπεστερημένος, οὐ ζῆλος, ἀλλὰ θυμός μᾶλλόν ἐστι, καὶ νουθεσία φιλανθρωπίαν οὐκ ἔχουσα, βασκανία τις εἶναι δοκεῖ. διὰ τοῦτο ὑμᾶς μᾶλλον παρακαλῶ μὴ πικρῶς τὰ τῶν πλησίον κρίνειν ἁμαρτήματα. ὥσπερ γὰρ ὁ χωρὶς συγγνώμης ὁρῶν τὰ τῶν ἀδελφῶν τραύματα, εἴ ποτε καὶ αὐτὸς ἁμάρτοι, οὐδένα εὑρήσει τὸν συγγνώμην αὐτῷ νέμοντα· οὕτως ὁ μετ᾽ ἐλέους δικάζων τοῖς τῶν πλησίον παραπτώμασιν, εἴ ποτε ὑποσκελισθείη, πολλοὺς ὄψεται τοὺς χεῖρα ὀρέγοντας. καὶ ταῦτα λέγω νῦν, οὐ τὴν ῥαθυμίαν τῶν ἀπολειφθέντων αὐξῆσαι βουλόμενος, ἀλλὰ τὴν ἡμετέραν κηδεμονίαν ἐπιτεῖναι σπουδάζων, ἵνα μετὰ λόγου γίνηται καὶ φιλοστοργίας. ἐπεὶ καὶ ἡμεῖς πολλοὺς καὶ μακροὺς τῇ προτεραίᾳ κατ᾽ αὐτῶν ἀπετείναμεν λόγους, καὶ οὐδὲ ἀνθρώπους αὐτοὺς εἶναι ἔφαμεν, καθάπερ μέμνησθε, κατηγόρους αὐτοῖς ἐπιστήσαντες δύο προφήτας τοὺς κορυφαίους· τὸν μὲν λέγοντα, ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος· τὸν δὲ καταβοῶντα πάλιν καὶ πυνθανόμενον, πρὸς τίνα λαλήσω καὶ διαμαρτύρωμαι; ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν· καὶ σφόδρα αὐτῶν διὰ τούτων καὶ τῶν τοιούτων ἐδάκνομεν τὴν διάνοιαν· ἀλλὰ νῦν αὐτοὺς πάλιν παρακαλοῦμεν. οὕτω γὰρ καὶ ὁ Παῦλος ἐκέλευσεν. ἔλεγξον γάρ, φησιν, ἐπιτίμησον, παρακάλεσον. οὔτε γὰρ τοῦτο ἀεὶ χρὴ ποιεῖν μόνον, οὔτε ἐκεῖνο μόνον, ἀλλ᾽ ἑκάτερα μίξαντα ἀπηρτισμένην ἐργάζεσθαι τὴν ὠφέλειαν. ἄν τε γὰρ διαπαντὸς ἐλέγχωμεν, ἀναισχυντοτέρους αὐτοὺς ἀπεργαζόμεθα· ἄν τε διαπαντὸς παρακαλῶμεν, ῥαθυμοτέρους ποιοῦμεν. διὰ τοῦτο καὶ ἰατροὶ οὐχὶ τέμνουσι μόνον, ἀλλὰ καὶ τραύματα ἐπιδεσμοῦσιν, οὐδὲ ἀεὶ φάρμακα πικρὰ ἐπιβάλλουσιν, ἀλλὰ καὶ προσηνῆ πολλάκις· δι᾽ ἐκείνων μὲν τῶν προτέρων τὸ σεσηπὸς ἀποκαθαίροντες, διὰ τούτων δὲ τῶν δευτέρων τὴν ἐξ ἐκείνων ὀδύνην παραμυθούμενοι. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησιν ὁ Παῦλος· ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον, σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς. ἀρίστη παραίνεσις, ἀπηρτισμένη συμβουλή, πολλὴν ἔχουσα τὴν κηδεμονίαν, σπλάγχνα ἐνδεικνυμένη πατρικά· ὄντως τῆς

A Zelus enim veniam negans, pòtius furor eſt, quàm zelus: & admonitio lenitate deſtituta, inuidia quædam eſt. *Zelus ſine venia furor.* Quapropter magis vos obſecro, ne amarè proximorum iudicetis peccata. Nam ſicut is qui abſque compaſſione vulnera fratrum ſpectat, nullum inueniet qui ſe dignetur venia, ſi quando & ipſe peccauerit: ita qui cum miſericordia lapſum proximi iudicat, ſi quādo & ipſe ſupplātatus fuerit, multos videbit manū porrecturos. Et hæc nunc dico, nō quòd velim eorum qui rarò huc conueniunt negligentiam augeri, ſed quòd maiorem, honeſtiorémque, B curam noſtram erga illos cupiam, ita vt cum ratione & amoris affectu geratur. Alioquin & nos ſuperioribus diebus multos & longos ſermones aduerſum illos pronunciauimus, & neque hominum nomine dignos diximus: ſicut meminiſtis nos in hoc produxiſſe prophetas duos præcipuos contra illos, quorum vnus dicit: *Eſa.50.2* Veni, & non erat homo: vocaui, & non erat qui audiret. *Hier.6.1* Alius autem declamat, & dicit: Cui loquar & teſtificabor? incircuncisæ aures C eorum, & non poſſunt audire. Quibus verbis mentem eorum ſatis acriter perſtrinximus, nunc verò iterum obſecramus: Sic enim & Paulus iuſſit: *2.Tim.4.2.* Argue, inquit, increpa, obſecra. Neque enim hoc ſemper ſolùm agere oportet, neque ſemper illud ſolùm: ſed vtrumque alternis vicibus, quo maior inde ſequatur vtilitas. Nam ſi ſemper argueremus, impudentiores illi fierent: ſi ſemper obſecraremus, ignauiores redderentur. Quapropter & medici non ſolùm ſecant, D ſed & vulnera obligant: neque ſemper amara, ſed nonnunquam etiam lenià pharmaca infundunt: vt per priora illa purificentur ſanies & putredo, per poſteriora autem mitigetur inuſtus ab illis dolor. *Gal.6.1.* Et idcirco alibi quoque inquit Paulus: Fratres ſi præoccupatus fuerit homo in aliquo delicto, vos qui ſpirituales eſtis, corripite illum: conſiderans temetipſum, ne & tu tenteris. Optima admonitio, perfectum conſilium, quod paterna viſcera declarat, & eius qui magnam noſtri curam gerit. Verè linguæ

Paulinæ verba, Fratres. Satis eximio nomine beneuolum reddidit auditorem: quaſi dicturus: Eiuſdem vteri partu & doloribus prognatus es, eundem habuiſti patrem, iiſdem alimentis educatus es, communicaſti ei in natiuitate ſpirituali, cognationem & fraternitatem hanc etiam in corrigendis proximi erratis declara. Si præoccupatus fuerit. Non dixit, ſi peccet, ſed ad genus peccati confugit, quod maiorem meretur veniam. Si præoccupatus fuerit, hoc eſt, ſi grauiter tentatus ſuccubuerit, ſi errauerit, neque eum qui dedita opera peccauit dicit, ſed eum qui ſtuduit bene agere, ſupplantatus tamen eſt à poteſtate diabolica & victus. Nam talis non tam accuſationem, quàm veniam meretur. Si præoccupatus fuerit homo. Iterum ad aliam veniæ ſpeciem confugit, nempe naturæ infirmitatem, quam nomine hominis
Iob. 7. 17. inſinuat. Sicut igitur & magnus Iob veniam à Deo impetrare volens, dicebat: Quid eſt homo quòd reputas eum, & viſitationem peccatorum eius feciſti? Sic & nos faciamus, quando cum peccatore aliquo expoſtulatur, continuè dicamus, Homo eſt: & naturæ recordatione ad miſericordiam ſtomachantem prouocemus. Et ea de cauſa Paulus ad naturam & eius infirmitatem confugit, cùm dixit: Si & præoccupatus fuerit homo in aliquo delicto. Non ſimpliciter magna peccata dicit, quæ maiora quàm vt compaſſionem & miſericordiam mereri videantur, ſed parua & abiecta. Vos qui ſpirituales. Is qui peccat, homo: qui verò bene operantur, ſpirituales dicuntur. Hîc virtutis vocabulum poſuit, illic naturæ nomen
Spiritualis homo quis. dixit. Multum autem differt homo, & ſpiritualis. Vos qui ſpirituales. Si ſpiritualis es, oſtende mihi virtutem tuam: non à tua, ſed à mea ſalute, ſed à ſubſidio quod lapſo fers. Hoc enim ſpiritualis eſt, non deſpicere ſua membra periclitantia. Inſtruite talem. Facite, ait, ne capi poſſit, ne certando defatigetur, ne præliando aduerſus diabolum ſuccumbat. Conſiderans temetipſum, ne & tu tenteris. Hoc ſummum conſilium eſt, & admonitio maximè co-

A Παύλου γλώττης τὰ ῥήματα, ἀδελφοί. εὐθέως ἀπὸ τοῦ τῆς συγγενείας ὀνόματος πρὸς τὴν εὔνοιαν ἐπεσπάσατο τὸν ἀκροατήν. τὰς αὐτὰς ὠδῖνας ἔλυσας αὐτῷ, τὰς αὐτὰς ἐτράφης τροφάς, τὸν αὐτὸν ἔχεις πατέρα, ἐκοινώνησας αὐτῷ κατὰ τὸν τόκον τὸν πνευματικόν· τὴν συγγένειαν τοίνυν ταύτην καὶ ἐν τῇ τῶν πτωμάτων ἐπιδείκνυσο διορθώσει. ἐὰν προληφθῇ. οὐκ εἶπεν, ἐὰν ἁμάρτῃ, ἀλλ' ἐπὶ εἶδος ἁμαρτίας κατέφυγε συγγνώμην ἔχον. τὸ γὰρ, ἐὰν προληφθῇ, τοῦτ' ἔστιν, ἐὰν ἐπηρεασθῇ, ἐὰν ἀπατηθῇ, οὐ τὸν ἐκ μελέτης ἁμαρτήσαντα λέγων, ἀλλὰ τὸν σπουδάζοντα B μὲν κατορθῶσαι, ὑπὸ περιστάσεως δὲ διαβολικῆς ὑποσκελιζόμενον. ὁ γὰρ τοιοῦτος οὐ τοσοῦτον κατηγορίας, ὅσον συγγνώμης ἐστὶν ἄξιος. ἐὰν καὶ προληφθῇ ἄνθρωπος. πάλιν ἐφ' ἕτερον εἶδος συγγνώμης κατέφυγε, τῆς φύσεως τὴν ἀσθένειαν, ἣν διὰ τῆς προσηγορίας ἠνίξατο. καθάπερ οὖν καὶ ὁ μέγας Ἰὼβ ἐπισπάσασθαι παρὰ τοῦ θεοῦ συγγνώμην βουλόμενος, ἔλεγε, τί ἐστιν ἄνθρωπος, ὅτι λογίζῃ αὐτὸν, καὶ ἐπισκοπὴν ἐποιήσω τῶν ἁμαρτημάτων αὐτοῦ; οὕτω καὶ ἡμεῖς ποιῶμεν, ὅταν τινὰ τῶν ἡμαρ- C τηκότων ἐξαιτώμεθα, ἄνθρωπός ἐστι συνεχῶς λέγοντες, καὶ τῆς φύσεως ἀναμιμνήσκοντες, καὶ ταύτῃ πρὸς ἔλεον ἐφελκόμενοι τὸν ἀγανακτοῦντα, διὰ τοῦτο καὶ ὁ Παῦλος ἐπὶ τὴν φύσιν καὶ τὴν εὐτέλειαν αὐτῆς κατέφυγεν εἰπὼν, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι. οὐχ ἁπλῶς τὰ μεγάλα λέγει ἁμαρτήματα, τὰ συγγνώμης μείζονα καὶ τὰ φιλανθρωπίας οὐκ ἄξια, ἀλλὰ τὰ μικρὰ καὶ κατεσταλμένα. ὑμεῖς οἱ πνευματικοί. ὁ μὲν ἁμαρτὼν, ἄνθρωπος, οἱ δὲ κατορθοῦντες, πνευματικοί. D ἐκεῖ τῆς φύσεως εἶπε τὸ ὄνομα, ἐνταῦθα τῆς ἀρετῆς ἔθηκε τὴν προσηγορίαν. πολὺ δὲ τὸ μέσον τοῦ ἀνθρώπου καὶ τοῦ πνευματικοῦ. ὑμεῖς οἱ πνευματικοί. εἰ πνευματικὸς εἶ, δεῖξόν μοι τὴν ἰσχύν σου, μὴ ἀπὸ τῆς σῆς σωτηρίας, ἀλλὰ καὶ ἀπὸ τῆς ἐμῆς σωτηρίας, ἀλλὰ καὶ ἀπὸ τῆς βοηθείας τῆς εἰς τοὺς πεπτωκότας. τοῦτο γὰρ πνευματικοῦ, μὴ περιορᾶν τὰ οἰκεῖα μέλη ἠμελημένα. καταρτίζετε τὸν τοιοῦτον, ἀχείρωτον ποιεῖτε, φησιν, ἀκαταγώνιστον, ἄμαχον τῷ διαβόλῳ. σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. αὕτη μεγίστη συμβουλὴ, ἀναγκαστικὴ παραίνεσις.

παραίνεσις. κἂν λίθος ᾖ ὁ ἀκούων, ἱκανὸν αὐτὸν A φοβῆσαι τὸ ῥῆμα, καὶ πρὸς ἀντίληψιν διεγεῖραι τοῦ πεπτωκότος. οὐ βούλει, φησὶν, ὡς ἀδελφὸς ἐλεῆσαι; οὐ βούλει ὡς ἄνθρωπος ὢν δοῦναι συγγνώμην; οὐ βούλει ὡς πνευματικὸς χεῖρα ὀρέξαι; τὰ κατὰ σαυτὸν σκόπησον, καὶ οὐ δεήσῃ τοῦ συμβουλεύοντος, ὥστε βοηθῆσαι τῷ κειμένῳ, ἀλλ' οἴκοθεν καὶ παρὰ σαυτοῦ δέξαι τὴν παραίνεσιν. πῶς καὶ τίνι τρόπῳ; σκοπῶν σεαυτὸν, φησι, μὴ καὶ σὺ πειρασθῇς. οὐκ εἶπε, πάντως γὰρ καὶ σὺ ἁμαρτήσῃ, ἵνα μὴ φορτικώτερον ποιήσῃ τὸν λόγον· ἀλλὰ πῶς; μή ποτε καὶ σὺ πειρασθῇς. ἴσως γὰρ ἁμαρτήσῃ, ἴσως δὲ οὐχ ἁμαρτήσῃ. ἐπεὶ οὖν ἄδη- B λον τὸ μέλλον, προαπόθου σοι φιλανθρωπίας ἔρανον, δι' ὧν εἰς τὸν πλησίον ποιεῖς. ἵν' ἄν ποτε περιτραπείης, πολλὴν εὕρῃς συγγνώμης ἀποθήκην ἀποκειμένην. οὐκ εἶπε, μή ποτε καὶ σὺ ἁμάρτῃς, μή ποτε καὶ σὺ πέσῃς (προσέχετε ἀκριβῶς τῇ δυνάμει τῶν ῥημάτων αὐτῶν) ἀλλὰ, μή ποτε καὶ σὺ πειρασθῇς. ἔδειξεν ὅτι πειραστὴν ἔχομεν ἐχθρόν· ὁ δὲ πειραστὴς οὐχ ὡμολογημένον τῆς ἐπιθέσεως τὸν καιρὸν ἔχει, ἀλλὰ πολλάκις ἡμῖν καὶ καθεύδουσι καὶ ῥαθυμοῦσιν ἐπιτίθεται. διὰ τοῦτο κἀκεῖνος ὁ προληφθεὶς συγγνώμης C ἄξιος, ἐπειδὴ ὑπὸ πειραστοῦ ἑάλω. οὐ γὰρ ἦν αὐτῷ φανερὰ ἡ μάχη, οὐδὲ ὡμολογημένος ὁ καιρὸς τοῦ πολέμου, ἀλλ' ἀγνοοῦντι ἐπέθετο, καὶ διὰ τοῦτο περιεγένετο. οὕτω καὶ οἱ πλέοντες τὴν θάλατταν τὴν μεγάλην ταύτην καὶ εὐρύχωρον ποιοῦσι. κἂν ἐξ οὐρίων αὐτοῖς φέρηται τὸ σκάφος, κἂν πάσης ἀπολαύωσιν ἀσφαλείας, ἰδόντες δὲ πόρρωθεν ναυαγήσαντας ἑτέρους, οὐ πρὸς τὴν οἰκείαν εὐπρέπειαν βλέποντες, τῆς ἐκείνων καταφρονοῦσι συμφορᾶς· ἀλλὰ τὸ πλοῖον ἱστῶντες, καὶ τὰς ἀγκύρας χαλῶντες, καὶ τὰ D ἱστία καθελόντες, ἐξακοντίζουσι σχοίνους, καὶ ῥίπτουσι σανίδας, ὥστε ἐκεῖνον τὸν ὑπὸ τῶν κυμάτων βαπτιζόμενον μέλλοντα ἑνός τινος τούτων ἐπιλαμβανόμενον, διαφυγεῖν τὸ ναυάγιον. μίμησαι τοίνυν καὶ σὺ τοὺς ναύτας, ἄνθρωπε. καὶ γὰρ καὶ σὺ θάλατταν πλέεις μεγάλην καὶ εὐρύχωρον, τὸ μῆκος τοῦ παρόντος βίου, θάλατταν θηρία ἔχουσαν καὶ πειρατὰς, θάλατταν σκοπέλους ἔχουσαν καὶ σπιλάδας, θάλατταν ὑπὸ κυμάτων ταραττομένην πολλῶν καὶ χειμώνων· καὶ πολλοὶ πολλάκις καὶ ἐν τῇ θαλάττῃ ταύτῃ ναυαγίῳ περιπίπτουσιν. ὅτ' οὖν ἴδῃς τινὰ τῶν πλεόντων ὑπό τινος περιστάσεως διαβολικῆς

gens. Etiamſi ſaxeus fueris, & audias, verbum hoc ſufficiet ad terrendum, & prouocandum, quò feras auxilium lapſo. Non vis, ait, vt frater miſereri, non vis vt hominibus concedere veniam, non vis vt ſpiritualis manum porrigere, conſidera conditionem tuam: neque indigebis conſiliario, ſed per temetipſum iacentem iuuabis, & à temetipſo admoneberis. Quo pacto, & quo modo? Conſidera temetipſum ait, ne & tu tenteris. Non dixit: Nam omnino & tu peccabis, ne moleſtior eſſet: ſed quomodò dixit? Ne quando & tu tenteris. Fieri enim poteſt, vt pecces: fieri etiam poteſt, vt non pecces. Et quia incertum eſt futurum, para tibi miſericordiæ ſportulas, quas illi dones, vt per illa quæ proximo impendis, ſi & tu aliquando lapſus fueris, inuenias promptuaria cõpaſſione & miſeratione referta. Non dixit, ne quando & tu pecces, ne quando & tu cadas. Attendite diligenter ad vim verborum ipſorum. Sed ne quando & tu tenteris. Quo ſimul indicatur, quòd habemus inimicum tentatorem. Et tẽtator non ſtatim inſidiandi tempus habet. Plerumque enim nobis dormientibus, & negligentibus impetum facit: & idcirco præoccupatus ille magis dignus eſt, vt ei condonetur, quoniam à tentatore captus eſt. Non enim erat ei manifeſta pugna, neque condictus dies belli, ſed in incautum impetum fecit, atque idcirco ſuperauit. Sic nautæ quoque faciunt, cùm per magnum & ſpatioſum mare nauigant: licet nauis ſecundo vento feratur, licet omni fruãtur ſecuritate, cùm tamẽ viderint alios vel à longè naufragium facere: non ad propriam ſpectantes vtilitatem, illorum contemnunt calamitatem: ſed ſiſtunt nauem, & eiiciunt anchoram, detrahunt vela, eiiciunt funes, proiiciunt tabulas, vt ille qui à fluctibus mergitur, fortè aliquo illorum arrepto, emergat. Imitare igitur & tu nautas homo: nam & tu mare nauigas magnum & ſpatioſum, nempe vitæ præſentis mare, quod multas habet bellüas, piratas, petras, & latẽtes ſcopulos, crebríſq. turbatur fluctib., & in eo naufragantur plurimi. Cũ igitur videris nauigantiũ aliquẽ diaboli

Tentator noſter quis ſit.

inſidiis circumuallari,& amittere diuitias ſalutis, natare in fluctibus, & iam ſubmergi, relictis negotiis tuis, ſtatim illius prouide ſaluti. Neq.enim moram ſuſtinet,neq; dilationem,qui ſubmergi incipit. Igitur ſtatim accurre, & quantocyus è fluctibus eum eripe. Age & moue,quicquid ei prodeſſe credis, atque ita ipſum ex profundo interitus extrahas, etiamſi te plurima negotia aliorſum vocent, & trahãt, nihil ducas magis neceſſarium ſalute ſic laborantis. Nam ſi parumper differre volueris, perdetur tempeſtate rabida. Vnde in tantis periculis magna acceleratione opus eſt & ſtudio. Audi quomodo Paulus, viſo homine quodam qui in profundum rapiebatur, ſollicitus & anxius erat,& alios excitabat. (2.Cor. 2.8.) Confirmate in illum charitatem,inquit,ne fortè triſtitia abundantiore abſorbeatur ille. Et propter hoc iubet ſtatim præbere manum, vt ne interim dum differimus, præuentus ille abſorbeatur. Curam igitur geramus fratrum noſtrorum. Hæc ſumma vitæ noſtræ eſt. (Quo ſigno internoſcantur Chriſtiani) Hoc ſigno internoſcimur an Chriſtiani ſimus, cùm non ſolùm quæ noſtra ſunt ſpectamus, ſed & membra noſtra peruerſa corrigimus & inſtruimus. Hoc maximum indicium fidei. (Ioan. 13. 35.) In hoc cognoſcent omnes, inquit, quòd diſcipuli mei eſtis, ſi diligitis mutuum. Charitatem autem ſynceram declarat non cõmunio menſæ,non breue colloquium, non verborum adulatio, ſed ſtudium & ſedulitas in conſiderando,quid proximo conducat,vt erigatur qui cecidit, & porrigatur lapſo manus ſuam ſalutem negligenti,vt ante bona propria, inquiratur quæ proximi ſũt. Hęc eſt germana charitas. Nam charitas non ſpectat quę ſua ſũt,ſed prius videt ea quę proximi, quã quæ ſua. (1. Cor. 13.5.) Et ego nũc nõ propter memetipſum tam prolixis ſermonib. vtor,ſed propter vos. Igitur & vos audite, non propter voſmetipſos, ſed propter alios à vobis erudiendos. Quippe eccleſiæ corpus per membrorũ cohęrentiam,& mutua ſubſidia nutritur & ſeruatur: & ſicut membrũ quod apud ſeipſũ cibos omneis reſeruat, vicinóq. non cõmunicat,& ſeipſum offendit, & reliquũ corpus corrũpit: vt de ſtomacho videmus: is enim ſi cibũ ſolus continuerit,& reliquum corpus fame corrumpit, & ſeipſũ ſua inexplebili improbitate perdit:

A ἀπολέσαντα τὸν πλοῦτον τῆς σωτηρίας, καὶ κλυδωνιζόμενον καὶ μέλλοντα ὑποβρύχιον γίνεσθαι, στῆσόν σου τὸ πλοῖον, κἂν ἑτέρωθι σπεύδῃς, προνόησον τῆς ἐκείνου σωτηρίας, τὰ κατὰ σαυτὸν ἀφείς. οὐ γὰρ ἀνέχεται ἀναβολῆς, οὐδὲ βραδυτῆτος ὁ βαπτίζεσθαι μέλλων. ἐπίστηθι τοίνυν ταχὺ ἐξάρπασον αὐτὸν ὀξέως τοῦ κλυδωνίου, πάντα κίνησον κάλων, ὥστε αὐτὸν ἀνιμήσασθαι ἐκ τοῦ βάθους τῆς ἀπωλείας. κἂν μυρία σε ἕλκῃ πράγματα, μηδὲν ἔστω τῆς σωτηρίας τοῦ κάμνοντος ἀναγκαιότερον. κἂν γὰρ μικρὸν ἀναβάλλεσθαι βουληθῇς, προδώσεις αὐτὸν τῇ τοῦ χειμῶνος ὀξύτητι. διὸ τάχους ἡμῖν ἐν B ταῖς τοιαύταις συμφοραῖς δεῖ, τάχους καὶ σπουδῆς ἐπιτεταμένης. ἄκουσον πῶς Παῦλος ἐπείγεται, καὶ ἑτέρους διανίστησι πολλούς. ἰδὼν τινα ἄνθρωπον βυθίζεσθαι μέλλοντα, κυρώσατε εἰς αὐτὸν ἀγάπην, φησί, μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. διὰ τοῦτο κελεύει ταχέως ὀρέξαι χεῖρα, ἵνα μή, μελλόντων ἡμῶν καὶ ἀναβαλλομένων, φθάσῃ καταποθῆναι ἐκεῖνος. γινώμεθα τοίνυν κηδεμονικοὶ περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους. τοῦτο κεφάλαιον τῆς καθ' ἡμᾶς πολιτείας ἐστί, τοῦτο γνώρισμα, τὸ μὴ τὰ ἑαυτῶν σκοπεῖν μόνον, ἀλλὰ C καὶ τὰ μέλη ἡμῶν διεστραμμένα διορθοῦν καὶ καταρτίζειν· τοῦτο δεῖγμα τῆς πίστεως μέγιστον. ἐν τούτῳ γὰρ γνώσονται, φησί, πάντες ὅτι μαθηταί μου ἐστέ, ἐὰν ἀγαπᾶτε ἀλλήλους· ἀγάπην δὲ δείκνυσι γνησίαν οὐ κοινωνία τραπέζης, οὐδὲ πρόσρησις ψιλή, οὐδὲ κολακεία ῥημάτων, ἀλλὰ τὸ διορθῶσαι καὶ σκοπῆσαι τὸ συμφέρον τοῦ πλησίον, τὸ τὸν πεπτωκότα διαναστῆσαι, τὸ τῷ κειμένῳ χεῖρα ὀρέξαι τῆς οἰκείας ἀμελήσαντι σωτηρίας, καὶ πρὸ τῶν οἰκείων ἀγαθῶν τὰ τοῦ πλησίον ζητῆσαι. τοῦτο ἀγάπης γνησίας. ἡ γὰρ ἀγάπη τὰ αὐτῆς οὐ βλέπει, ἀλλὰ D πρὸ τῶν αὐτῆς τὰ τοῦ πλησίον ὁρᾷ, ἵνα δι' ἐκείνων τὰ αὐτῆς εἴδῃ. ἐπεὶ καὶ ἐγὼ νῦν, οὐχὶ δι' ἐμαυτὸν ἀποτείνω τοσούτους λόγους, ἀλλὰ δι' ὑμᾶς· καὶ ὑμεῖς τοίνυν μὴ δι' ἑαυτοὺς ἀκούετε μόνον, ἀλλὰ καὶ δι' ἑτέρους τοὺς παρ' ὑμῶν παιδεύεσθαι μέλλοντας. κατὰ γὰρ τὴν ἀκολουθίαν τῶν μελῶν, καὶ τὸ τῆς ἐκκλησίας τρέφεται σῶμα· ὥσπερ οὖν τὸ μέλος, ἐὰν κατάσχῃ παρ' ἑαυτῷ τὴν τροφὴν πᾶσαν, καὶ μὴ μεταδῷ τῷ πλησίον, καὶ ἑαυτὸ λυμαίνεται, καὶ τὸ λοιπὸν διαφθείρει σῶμα· οἷον, ὁ στόμαχος, ἐὰν τὴν τροφὴν αὐτὸς κατάσχῃ μόνος, καὶ τὸ λοιπὸν σῶμα τῷ λιμῷ κατατήκει, καὶ ἑαυτὸν ὑπὸ τῆς ἀμετρίας διαφθείρει·

ἂν δὲ τὸ ἀρκοῦν λαβὼν κατὰ τὴν φυσικὴν ἀκολουθίαν, τὸ λοιπὸν τοῖς ἑτέροις παραπέμψῃ μέλεσι, καὶ ἑαυτὸν καὶ τὸ λοιπὸν σῶμα ἐν ὑγιείᾳ διατηρεῖ· οὕτω καὶ σὺ νῦν, ἂν ἀκούσας τὰ παρ' ἡμῶν κατάσχῃς, ἑτέρῳ δὲ μὴ μεταδῷς, κἀκεῖνον ἐζημίωσας καὶ σεαυτὸν διέφθειρας, χαλεπώτατα νοσήματα ἐπισπασάμενος, νωθείαν καὶ φθόνον. ἢ γὰρ διὰ πονηρίαν, ἢ δι' ἀργίαν καὶ ῥᾳθυμίαν οὐ μεταδίδομεν ἑτέροις. ὁπότερον δ' ἂν ᾖ τούτων, ἱκανὸν ἀπολέσαι τὸν ἔχοντα. ἂν δὲ ἀφθόνως καὶ εἰς ἑτέρους παραπέμψῃς τὴν τροφὴν, καὶ ἑαυτὸν καὶ ἐκεῖνον ὠφελήσεις. ἀλλ' ὑπὲρ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα· δεῖ δὲ λοιπὸν ἐπὶ τὴν ἀκολουθίαν ἐλθεῖν τῶν πρώην λεχθέντων. τίνα οὖν ἦν ἐκεῖνα; περὶ Σαύλου καὶ Παύλου τότε ἐζητοῦμεν, διὰ τί ποτὲ μὲν Σαῦλος, ποτὲ δὲ Παῦλος ἐλέγετο. εἶτα ἐξέβημεν ἐκ τῆς ἀκολουθίας ταύτης εἰς ὀνομάτων ἱστορίαν πολλήν. καὶ ἐπειδὴ ἐξέβημεν ἀπ' αὐτῶν, οὐκ ἔδοξεν ἡμῖν ἄξιον εἶναι παραδραμεῖν τὴν ἐμπορίαν ἐκείνην. εἰ γὰρ καὶ διὰ Παῦλον ἤλθομεν ἐπὶ τὴν ὑπόθεσιν ταύτην, ἀλλ' ὅμως καὶ τὴν τῶν ἄλλων ὀνομάτων εὕρεσιν ἐμπορεύσασθαι ἔγνωμεν. οὕτω καὶ οἱ τὴν θάλατταν πλέοντες κατ' ἐμπορίαν ποιοῦσι πολλάκις, ὑπὲρ πραγματείας ὀλίγων τινῶν ἐπιδημήσαντες· ἐπειδὰν εἰς τὴν πόλιν ἐλθόντες, εἰς ἣν ἐστέλλοντο, ἴδωσι καὶ ἑτέρων ἀγωγίμων ἔχουσαν ἀφθονίαν, πολλῷ πλείονα τῆς προεσκευασμένης ποιοῦνται τὴν ἐμπορίαν. κἂν ἐγκαλέσῃ τις, ταῦτα λέγουσι τὰ ῥήματα· μακρὰν, φασὶν, ἤλθομεν ὁδὸν, πολλοὺς χειμῶνας ὑπεμείναμεν, πολλοὺς κινδύνους, διαπόντιον ἀποδημίαν ἐστειλάμεθα· τί δὴ κωλύει ἀφθονωτέραν γενέσθαι τὴν πραγματείαν ἡμῖν; ταῦτα δὴ καὶ ἡμεῖς ἀπολογούμεθα. καὶ γὰρ ἡμεῖς ζητοῦντες περὶ τοῦ ὀνόματος τοῦ Παύλου, εὕρομεν ἐκ τῆς ἀκολουθίας καὶ ἑτέραν ἐμπορίαν ὀνομάτων, οἷον τί ὁ Πέτρος Σίμων ἐκαλεῖτο πρὸ τούτου, καὶ οἱ υἱοὶ Ζεβεδαίου, Ἰάκωβος καὶ Ἰωάννης, υἱοὶ βροντῆς ὠνομάσθησαν· εὕρομεν καὶ ἐν τῇ παλαιᾷ τὸν Ἀβραὰμ πρὸ τούτου μὲν Ἀβρὰμ καλούμενον, μετὰ δὲ ταῦτα Ἀβραὰμ, καὶ τὸν Ἰακὼβ Ἰσραὴλ μετακληθέντα, καὶ τὴν Σάῤῥαν Σάραν· εὕρομεν πρὸς τούτοις, ὅτι ἕτεροί τινες οὐ μετωνομάσθησαν, ὥσπερ οὗτοι, ἀλλ' ἐξ ἀρχῆς ἔλαβον τὰ ὀνόματα, ὥσπερ Ἰωάννης ὁ Βαπτιστὴς, ὡς ὁ Ἰσαὰκ, ὡς ὁ Ἀδάμ. ἄτοπον τοίνυν ἡμῖν ἔδοξεν εἶναι καὶ βλακείας ἐσχάτης, τοσοῦτον ἀπὸ τῶν χειρῶν ῥῖψαι θησαυρόν.

A ſi autem acceperit quantum pro ſuâ portione ſatis, & reliquum aliis mēbris tranſmiſerit, & ſeipſum & reliquū corpus in bona valetudine conſeruat: ita & tu nūc, ſi ea, quę à nobis audis, detinueris, aliiſq; non cōmunicaueris, & illū incōmodabis, & teipſum iam corrupiſti: quia ignauię & inuidiæ grauiſſimos morbos foues: Satis enim ad perditionē tuā fuerit, vel ob malitiā, vel ob inuidiā, vel etiā ob ignauiam non cōmunicare aliis. Contra, ſi citra inuidiam & ad alios trāſmiſeris alimoniā, & tibi ipſi & aliis profuturus es. Et de his dictū eſt B ſatis. Nunc operęprecīū fuerit, venire ad contextū eorū quę nuper dicta fuerunt. Quæ erāt ergo illa? De Saulo & Paulo tunc exquirebamus, quare aliquādo Saulus, & aliquādo Paulus vocatus ſit, & inde digreſſi ſum⁹ in multorū nominū hiſtoriā. Verùm quia ſemel hinc ſoluimus, non videtur dignū eſſe, vt cū vtilis adhuc occurrat negotiatio, temerè eā prætereuntes negligamus. Nā licet propter Paulū in hoc argumētum deuenerimus, nihilominus & aliorū nominū C rationes hac negotiatione inuenire poſſumus. Sicut & mercatores, qui mare nauigāt, & ꝓpter minuta quædā in lōginquas terras proficiſcūtur: cū venerint in petitā ciuitatē, & viderint copiā aliarū rerū ſibi cōducibiliū, pręter easpropter quas à patria exierūt, multò plura quā decreuerāt, mercātur. Quod ſi quis eos reprehēdat, his ſe verbis tuētur: Lōga via venimus, multas tēpeſtates, multa pericula pertulimus, trāſmarinā ſuſcepimus peregrinationē: quid igitur vetat negotiationē noſtrā fieri amplio- D rē? Talia vtiq; & nobis dicere licet. Nā inquirētes de nominibus Pauli, inuenimus conſequēter & nundinationē aliorū nominū. Nēpe Petrum antea Simonē dictū: & filios Zebedęi Ioannē & Iacobū, filios tonitrui nuncupatos. Inuenimus & in veteri, Abrahā, qui antea Abrā vocat⁹ fuit: & Iacob Iſraëlē nominatū: & Saraï Sarrā. Inuenimus pręterea ꝙ & alijs non fuerint mutata nomina ſicut iſtis, ſed à principio ſibi indita nomina retinuerint, ſicut Ioannes Baptiſta, Iſaac, & Adam. Abſurdum igitur fuerit, & extremę deſidię tantum è manibus theſaurum abiicere.

Cōparatio à mercatoribus.

Matt. 4. Marc. 3.

Gen. 32. Ibid. 17.

Nam propterea longiorem fecimus ſermonem, & quia nuper diximus de his qui ſuum primum nomen retinuerunt, hodie de dyonimis dicere mens eſt. Quorum vnus eſt Abrahã. Adã quidẽ eodẽ ſemper nomine vocatus eſt. Et Iſaac quoq; aliam appellationem non accepit, ſed ab initio vſque ad finem ſemper Iſaac dictus eſt. Pater autẽ Iſaac prius quidẽ Abram dicebatur, poſtea vero Abrahã Dixit enim ad eum Deus: Non erit vltra nomẽ tuũ Abram, ſed Abrahã vocabitur nomen tuũ. Etenim Abrã vocabatur pri⁹: ſed hoc nomẽ nõ eſt Græcũ, neq; noſtra, ſed Hebræorum lingua ſic vocatur. Quid igitur ſonat nomen hoc cũ quis illud interpretatur? Trãſitor. Nã Abrã Syrorũ voce idẽ eſt ꝙ trans, vel vltrà: Et ſciũt qui linguæ eius periti ſunt. Magna quoque Syrorum cum Hebræa lingua cognatio eſt. Sed dicis, quare tranſitor vocabatur? Iudæa regio, hoc eſt, Palæſtina omnis, quæ ab Agypto vſq; ad Euphratẽ è regione iacet Babyloniç, vnde erat Abrahã: & fluuius communis terminus vtriuſq; terræ, medius vtramq; ſecat. Et quia Abraham non Palæſtinus erat, ſed ab vlteriori ripa fluminis venerat, nẽpe à Babylonia: ideo à loco & facto nomẽ accepit, & dictus eſt Trãſitor: quia à loco vlteriori fluminis venit. Quare autẽ fluuiũ trãſiit? quia De⁹ iuſſerat. Et quare Deus iuſſit? vt oſtenderetur obedientia iuſti. Et quomodo oſtenſa fuit obedientia iuſti? quia propter præceptũ Dei domũ ſuam quã reliquit, pro aliena commutauit. Vides quanta catena rerũ in appellatione iuſti nectatur? Vides quàm ingẽs hiſtoriarũ pelagus nomen hoc nobis aperiat? Diſce igitur eius nomẽ primum, vt cùm videris eũ Palæſtinam incolentem, appellatione nominis in memoriã antiquæ patriæ eius, & cauſæ propter quã eam reliquit, manuducaris, & ita ad imitandũ eũ admoneare. Ecce enim vir ille ante legem, & ſub lege vitam agẽs philoſophiam quoq; præ nobis tẽpore gratiæ traditã, ſuſcepit implendã, & ante tempus gratiæ fecit, quod poſtea diſcipulis Chriſtus dixit: Amen dico vobis, quòd nullus eſt qui relinquit aut domum, aut fratres, aut ſorores,

Gen. 17. 5.

Abram.

Euphrates limes Palæſtinæ & Babyloniæ.

Abrahã diſcipulis Chriſti par.

Matt. 19 29.

A Διὰ τοῦτο μακρότερον ἐποιησάμεθα τὸν λόγον, καὶ περὶ τῶν ἐξαρχῆς ὀνομασθέντων πρώην εἰπόντες, σήμερον διανοούμεθα περὶ τῶν διωνύμων εἰπεῖν, ὧν εἷς ἐστιν ὁ Ἀβραάμ. ὁ μὲν γὰρ Ἀδὰμ τοῦτο ἐκλήθη διαπαντὸς τὸ ὄνομα, καὶ οὐκ ἔσχεν ἕτερον· καὶ ὁ Ἰσαὰκ οὕτω πάλιν οὐκ ἐδέξατο δευτέραν προσηγορίαν, ἀλλ' ἐξαρχῆς μέχρι τέλους Ἰσαὰκ ἐλέγετο· ὁ δὲ τοῦ Ἰσαὰκ πατὴρ, Ἀβρὰμ πρὸ τούτου μὲν ἐλέγετο, μετὰ δὲ ταῦτα Ἀβραάμ. Εἶπε γὰρ πρὸς αὐτὸν ὁ θεὸς, φησιν, οὐκέτι ἔσται τὸ ὄνομά σου Ἀβρὰμ, ἀλλὰ Ἀβραὰμ κληθήσεται τὸ ὄνομά σου. καὶ γὰρ Ἀβρὰμ ἐκαλεῖτο τὸ πρότερον, B ἀλλὰ τοῦτο τὸ ὄνομα οὐκ ἔστιν ἑλληνικὸν, οὐδὲ τῇ ἡμετέρᾳ γλώττῃ, ἀλλὰ τῇ τῶν Ἑβραίων οὕτω λέγεται. τί οὖν ἐστιν ἑρμηνευόμενον τὸ ὄνομα τοῦτο; περάτης. καὶ γὰρ τὸ Ἀβραὰμ τῇ Σύρων φωνῇ τὸ πέραν λέγεται, καὶ ἴσασιν ὅσοι τῆς φωνῆς ταύτης εἰσὶν ἔμπειροι. πολλὴ δὲ τῇ Σύρων φωνῇ πρὸς τὴν τῶν Ἑβραίων γλῶτταν ἡ συγγένεια. καὶ διὰ τί περάτης ἐλέγετο, φησίν; ἡ Ἰουδαία χώρα, τοῦτ' ἔστιν, ἡ Παλαιστίνη πᾶσα, ἡ ἀπὸ τῆς Αἰγύπτου μέχρι τοῦ Εὐφράτου, κατ' ἀντικρὺ κεῖται τῆς Βαβυλωνίας, ὅθεν ἦν ὁ Ἀβραάμ· καὶ μέσος ῥεῖ δι' ἀμφοτέρων C ὁ ποταμὸς, κοινὸν μεθόριον ὢν ἑκατέρας τῆς γῆς. ἐπεὶ οὖν οὐκ ἀπὸ τῆς Παλαιστίνης ἦν, ἀλλ' ἀπὸ τοῦ πέραν ἦλθεν ἀπὸ τῆς Βαβυλωνίας, διὰ τοῦτο ἀπὸ τοῦ τόπου καὶ τοῦ πράγματος τὸ ὄνομα ἔλαβε, καὶ περάτης ἐλέγετο, ἐπειδὴ ἀπὸ τοῦ πέραν ἦλθε. διὰ τί δὲ ἀπὸ τοῦ πέραν ἦλθεν; ἐπειδὴ ὁ θεὸς ἐκέλευσε. καὶ διὰ τί ὁ θεὸς ἐκέλευσεν; ἵνα δείξῃ τὴν ὑπακοὴν τοῦ δικαίου. καὶ πῶς ἐδείκνυ τὴν ὑπακοὴν τοῦ δικαίου; ὅτι διὰ τὸ αὐτοῦ πρόσταγμα τὴν οἰκείαν ἀφεὶς, τὴν ἀλλοτρίαν ἀντὶ ἐκείνης ἠλλάξατο. εἶδες πόση πλέκεται σειρὰ ἀπὸ τῆς τοῦ δικαίου D προσηγορίας; ὁλόκληρον ἡμῖν πέλαγος ἱστορίας τὸ ὄνομα ἤνοιξε τοῦτο. μάθε τοίνυν αὐτοῦ τὸ ὄνομα τὸ παλαιὸν, ἵνα ὅταν ἴδῃς αὐτὸν τὴν Παλαιστίνην οἰκοῦντα, διὰ τῆς προσηγορίας αὐτοῦ πρὸς τὴν ἀρχαίαν πατρίδα χειραγωγούμενος, καὶ μανθάνων τὴν αἰτίαν, δι' ἣν αὐτὴν ἐγκατέλιπεν, ἱκανὴν πρὸς τὸν αὐτὸν ζῆλον λάβῃς παράκλησιν. ἄνθρωπος γὰρ πρὸ νόμου καὶ τῆς ἐννόμου πολιτείας ὤν, τὴν ἐν τῇ χάριτι φιλοσοφίαν ἐπεδείξατο, καὶ ὅπερ ἔλεγεν ὕστερον ὁ Χριστὸς τοῖς ἀποστόλοις· ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκ ἔστιν, ὅστις ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς,

ἢ πατέρα, ἢ μητέρα, ὃς οὐχ ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει· τοῦτο ἐκεῖνος διὰ τῶν ἔργων περὶ τῆς χάριτος ἐποίησεν. Οὐκ ἀπὸ τούτου δὲ μόνον τὴν φιλοσοφίαν ἔστιν ἰδεῖν τοῦ δικαίου, ἀλλὰ καὶ ἀπὸ τῆς ὑποσχέσεως αὐτῆς τοῦ θεοῦ. δεῦρο γάρ, φησιν, εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. Εἰ γὰρ καὶ ἀμφότεραι αἰσθηταὶ αἱ πατρίδες, ἀλλ' ἡ μὲν οἰκεία ἦν, ἡ δὲ ἀλλοτρία· καὶ ἡ μὲν φανερά, ἡ δὲ ἄδηλος· καὶ ἡ μὲν ἐν χερσὶν, ἡ δὲ ἐν ἐλπίσι. καὶ ὅμως τὰ φανερὰ καὶ δῆλα καὶ τὰ ἐν χερσὶν ἀφεὶς, πρὸς τὰ ἀφανῆ καὶ ἄδηλα, καὶ ὧν οὐκ ἦν κύριος ἐπείγετο, ἵνα σε πείσῃ καὶ παιδεύσῃ ὅταν ὁ θεὸς τὰ μὲν δῆλα ἀφεῖναι κελεύῃ, πρὸς δὲ τὰ ἄδηλα βλέπειν, μὴ ἀντιλέγειν μηδὲ ἀμφισβητεῖν. οὐ γὰρ οὕτω δῆλά ἐστι τὰ ἐν χερσὶν, ὡς ἐκεῖνα τὰ ἐν ἐλπίσιν· οὐχ οὕτω δήλη ἐστὶν ἡ παροῦσα ζωὴ, ὡς ἐκείνη ἡ μέλλουσα. Ταύτην μὲν γὰρ ὁρῶμεν τοῖς ἡμετέροις ὀφθαλμοῖς, ἐκείνην ὁρῶμεν τοῖς τῆς πίστεως ὀφθαλμοῖς· ταύτην ὁρῶμεν ἐν ταῖς ἡμετέραις χερσὶ κειμένην, ἐκείνην ὁρῶμεν καὶ ταῖς ἐπαγγελίαις τοῦ θεοῦ φυλαττομένην. αἱ δὲ ἐπαγγελίαι τοῦ θεοῦ πολλῷ δυνατώτεραι τῶν ἡμετέρων χειρῶν. βούλει μαθεῖν πῶς αὕτη μὲν ἡ ζωὴ ἡ παροῦσα ἐν ἀδήλῳ κεῖται διαπαντός, ἐκείνη δὲ ἡ μέλλουσα, ἡ δοκοῦσα ἄδηλος εἶναι, φανερωτέρα τῆς παρούσης ἐστὶ καὶ βεβαιοτέρα καὶ μόνιμος; ἐξετάσωμεν, εἰ δοκεῖ, τὰ λαμπρὰ τῆς παρούσης ζωῆς, τὸν πλοῦτον, τὴν δόξαν, τὴν δυναστείαν, τὰς τιμὰς τὰς παρὰ ἀνθρώπων, καὶ ὄψει τούτων οὐδὲν ἀδηλότερον. τί γὰρ ἀπιστότερον πλούτου τοῦ μηδὲ μέχρι τῆς ἑσπέρας πολλάκις ἡμῖν παραμένοντος; καθάπερ γὰρ δραπέτης ἀγνώμων ἀπὸ τούτου εἰς ἐκεῖνον συνεχῶς μεθίσταται, καὶ πάλιν ἀπὸ τούτου πρὸς ἄλλον. τοιοῦτόν τι καὶ ἡ δόξα ἐστίν. ὁ γὰρ πρὸ τούτου λαμπρὸς καὶ ἐπίσημος, ἄτιμος καὶ ἀνώνυμος ἐξαίφνης γίνεται· καὶ τὸ ἐναντίον πάλιν. καὶ καθάπερ τὸν τροχὸν συνεχῶς στρεφόμενον οὐκ ἔστιν ὁρᾶν ἐπὶ τοῦ αὐτοῦ τῆς ἄντυγος μέρους (τῇ γὰρ πυκνότητι τῆς δίνης διαπαντὸς τὰ ἄνω κάτω γίνεται, καὶ τοὐναντίον πάλιν) οὕτω καὶ ἡ τῶν πραγμάτων τῶν ἡμετέρων φορὰ συνεχῶς στρεφομένη, τὰ ἄνω κάτω ποιεῖ· οὕτω καὶ ἐπὶ τοῦ πλούτου, καὶ ἐπὶ τῆς δυναστείας, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. οὐδέποτε ἐπὶ τῆς αὐτῆς ἕστηκεν ἕδρας, ἀλλὰ τὰ τῶν ποταμῶν μιμεῖται ῥεύματα, μηδαμοῦ ποτε ἱστάμενα.

A aut patrem, aut matrem, qui non centuplum accipiet, & vitam æternam poſſidebit. Non ſolùm autem hinc apparet, quàm ſapienter vixerit iuſtus, ſed etiam Dei promiſſio hoc declarat. Veni enim, inquit, in terram quam monſtrauero tibi. (Gen. 12.) Nam tametſi vtræque illæ regiones Chaldæa & Palæſtina erant corporales, illa tamen ſua erat, hæc aliena: illa certa, hæc incerta: illa in manibus, hæc in ſpe: ipſe autem relictis certis, manifeſtis, & his quæ in manu erant, feſtinauit & tranſiit ad incerta, incognita, & B ad ea in quibus ſibi non licebat dominari, vt perſuadeat, erudiátque neque contradicendum, neque cunctandum, quando Deus certa relinquere iubet. Non enim tam certa quæ in manibus, atque ea quæ in ſpe. Non enim ſic manifeſta eſt præſens hæc vita, vt futura illa. Hanc enim videmus noſtris oculis, illam videmus oculis fidei: hanc videmus in manibus noſtris poſitam, illam videmus in promiſſionibus Dei cuſtoditam. Promiſ- C ſiones autem Dei multò certiores ſunt, quàm quæ in noſtris ſunt manibus. Vis diſcere quomomo hæc quidem vita in incerto ſita eſt ſemper, futura autem illa, quæ videtur incerta eſſe, hac præſenti certior ſit & ſolidior? (Promiſſa Dei certiſſima.) Inquiramus, ſi placet, quæ ſunt illa præſentis vitæ præclara. Diuitiæ? gloria? potentia? magnũ exiſtimari ab hominibus? ſed videbis nihil illis eſſe incertius. quid enim infidelius diuitijs, quę ſępe nec vſque ad veſperam nobis permanẽt, ſed ſicut ingratus transfuga, ab hoc ad illum, & ab illo ad alium ſubinde D tranſeunt? Quid eſt gloria minus fidele? ſępenumero qui clarus erat & nobilis repentè contemptibilis fit, & ignobilis: & è diuerſo quoq; ſępe obſcuri ſubitò clareſcũt. Et ſicut videri nequit in rota, quæ cõtinuò verſatur, aliqua pars eius, eò q; crebra circũferẽtia ſemper ſumma fiũt ima, & ima ſumma: ita & noſtrarũ rerũ impetus, dũ continuò vertuntur, ſumma facit infima: vt videre licet in diuitiis, potẽtiis, ac aliis. (Res huius vitæ incertę.) Nunquã enim in eodẽ ſtatu manẽt, ſed ſemper inſtabiles, fluminum fluxus imitantur.

A Quid igitur his incertius, quæ tam crebrò transferuntur, & priusquam rectè appareant, auolant: priuſquam adueniant, reſiliunt? Vnde & propheta de deliciis & diuitiis talibus diſſerens, & ſpectãs vacantes talibus quaſi permaneant, dicit: Reputarunt hæc quaſi ſtantia, & non quaſi fugientia. Non dixit, quaſi prætereuntia, ſed quod multò minus, quaſi fugientia. Non enim paulatim recedunt, ſed mira celeritate. At patriarcha ille non ſic egit, ſed relictis omnibus illis, tantùm ad promiſſiones Dei ſpectauit, viam nobis parans ad futurorum fidem: vt cùm promiſerit B tibi Deus futura, & quæ non videntur, ne dicas quòd hæc incerta ſint, & obſcura. Incerta enim illa, certiora ſunt his quæ videntur, modò oculos fidei habeamus. quamuis enim illa non videamus, Deus tamen ea promiſit, & pollicitus eſt. quando Deus promittit, nulla variatio promiſſionibus adiungitur, atque adeò illa maximè manent, quę in in manu

Ioan. 10. 29. Dei ſunt. Ex manu enim Dei, inquit, nullus rapere poteſt. Igitur quia nullus rapere poteſt ex manu Dei, certus C ille theſaurus ſemper manet. Præſentia autẽ omnigenis variationibus & viciſſitudinibꝰ ſunt obnoxia, & propterea pro eis ſæpe laborẽ ferimus, & fine eorũ fruſtramur. In his autem quę ſperamus, non ita eſt, ſed is qui laborauit, neceſſariò coronas

Rom. 5. 5 & pręmia conſequitur. Nam ſpes nõ pudefacit, quia Dei eſt promiſſio: & dona promiſſa ſequũtur eius naturã qui promiſit. Relictis igitur incertis, apprehẽde ea quę cõſpicua ſũt: Cõſpicua autẽ ſunt, non præſentia, ſed futura. Iã quòd aliqui ad præſentia D ſpectant, & futura reſpuunt: nõ ideo reſpuunt, quòd obſcura & incerta, ſed quòd ſublimia ſunt, & ſupra ſuã imbecillitatem. Conſidera igitur quanta ſit virtus iuſti. Promiſerat ei Deus corporalia, & ipſe ſpiritualia quærebat. Vbi, dices, promiſit ei Deꝰ corporalia, & ipſe ſpiritualia quæſi-

Sublimiora ſunt futura, quam pręſentia.

Gen. 12. 1 uit? Egredere, inquit, de terra tua, & de cognatione tua, & de domo patris tui, & veni in terrã quã monſtraſtrauero tibi. Corporalis erat terra prior, ſed & futura, quę illi danda

A τί οὖν τούτων γένοιτ' ἂν ἀδηλότερον, τῶν οὕτω συνεχῶς μεταβαλλομένων, καὶ πρὶν ἢ φανῆναι ἀφιπταμένων, πρὶν ἢ παραγενέσθαι ἀποπηδώντων; διὰ τοῦτο καὶ ὁ προφήτης περὶ τρυφῆς καὶ πλούτου καὶ τῶν τοιούτων διαλεγόμενος, καὶ σκώπτων εἰς τοὺς πρὸς αὐτὰ κεχηνότας, ὡς διαμένοντα, φησιν, ὡς ἑστῶτα ἐλογίσαντο ταῦτα, καὶ οὐχ ὡς φεύγοντα. οὐκ εἶπεν, οὐ παρερχόμενα, ἀλλ', ὃ πολλῷ μεῖζόν ἐστιν, ὡς φεύγοντα, οὐδὲ γὰρ ἠρέμα ἀναχωρεῖ, ἀλλὰ μετὰ πολλοῦ τοῦ τάχους. ἀλλ' οὐχ ὁ πατριάρχης οὕτως, ἀλλὰ πάντα ταῦτα ἀφεὶς, πρὸς τὰς ἐπαγγελίας τὰς παρὰ τοῦ θεοῦ μόνον ἔβλεπε, προοδοποιῶν B ἡμῖν πρὸς τὴν τῶν μελλόντων πίστιν, ἵν', ὅταν ἐπαγγέλληταί σοι ὁ θεὸς τὰ μέλλοντα καὶ οὐχ ὁρώμενα, μὴ λέγῃς ὅτι ἄδηλά ἐστιν ἐκεῖνα καὶ ἀφανῆ. τὰ γὰρ ἄδηλα ἐκεῖνα τούτων ἐστὶ σαφέστερα τῶν ὁρωμένων, ἐὰν τοὺς τῆς πίστεως ἔχωμεν ὀφθαλμούς. εἰ γὰρ καὶ μὴ ἑωράκαμεν αὐτά, ἀλλ' ὁ θεὸς αὐτὰ ἐπηγγείλατο καὶ ὑπέσχετο. ὅταν ὁ θεὸς ἐπαγγέλληται, οὐδεμία μεταβολὴ τῶν ὑποσχέσεων ἅπτεται· ὥστε ἐκεῖνα μάλιστα μένει καὶ πέπηγεν ἐν τῇ χειρὶ τοῦ θεοῦ. ἐκ γὰρ τῆς χειρὸς τοῦ θεοῦ ἁρπάζειν οὐδεὶς δύναταί, φησιν. ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ πα- C τρός μου οὐδεὶς δύναται. ἐπεὶ οὖν οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ θεοῦ, ἐν δήλῳ μένει θησαυρῷ διαπαντός. ταῦτα δὲ παντοίαις μεταβολαῖς ὑπόκειται καὶ τροπαῖς. διὰ τοῦτο πολλάκις τὸν μὲν πόνον αὐτῶν ὑπομένομεν, τοῦ δὲ τέλους αὐτῶν ἀποστερούμεθα. ἐπὶ δὲ τῶν ἐλπίδων ἐκείνων οὐκ ἔνι τοῦτο, ἀλλὰ τὸν πονέσαντα πάντως δεῖ καὶ τῶν στεφάνων ἐπιτυχεῖν. ἡ γὰρ ἐλπὶς οὐ καταισχύνει. θεοῦ γάρ ἐστιν ὑπόσχεσις, καὶ τὴν τοῦ ὑποσχομένου μιμεῖται τὰ δῶρα. ἀφεὶς τοίνυν τὰ ἄδηλα, κάτεχε τὰ φαινόμενα. τὰ γὰρ φαινόμενα οὐ τὰ D παρόντα ἐστίν, ἀλλὰ τὰ μέλλοντα. εἰ δέ τινες πρὸς τὰ παρόντα ἐπτοημένοι, τῶν μελλόντων ὑπερορῶσιν, ἐπειδὴ ἀσθενέστεροί εἰσι τοῦ ὕψους τῆς ἐλπίδος ἐκείνης, διὰ τοῦτο ὑπερορῶσιν, οὐκ ἐπειδὴ ἀφανῆ ταῦτά ἐστι καὶ ἄδηλα. σκόπει γοῦν τὴν φιλοσοφίαν τοῦ δικαίου. ὁ θεὸς ἐπηγγείλατο αὐτῷ αἰσθητὰ πράγματα, καὶ αὐτὸς νοητὰ ἐζήτει. καὶ ποῦ ὁ θεὸς αἰσθητὰ αὐτῷ ἐπηγγείλατο, αὐτὸς δὲ νοητὰ ἤθελεν; ἔξελθε, φησιν, ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. αἰσθητὴ καὶ ἡ προτέρα γῆ, καὶ ἡ μέλλουσα δίδοσθαι ὕστερον.

τί οὖν αὐτός; μᾶλλον δὲ μὴ αὐτοῦ ἀκούσωμεν, ἀλλὰ Παύλου περὶ αὐτοῦ λέγοντος· ἵνα μάθωμεν ὅτι οὐ πρὸς ταύτην ἔβλεπε τὴν γῆν, εἰ καὶ ταύτην ἐπηγγείλατο ὁ θεός, ἀλλὰ τὰ παρόντα ἀφεὶς, πρὸς τὰ μέλλοντα ἐκεχήνει. τί οὖν ὁ Παῦλός φησι; κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, περὶ Ἀβραὰμ λέγων, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τῶν δικαίων ἁπάντων. οὐδὲ γὰρ Ἀβραὰμ μόνος, ἀλλὰ πάντες τῆς αὐτῆς ἦσαν φιλοσοφίας κοινωνοί. κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες. τί λέγεις; οὐκ ἐκομίσατο τὰς ἐπαγγελίας ὁ Ἀβραὰμ, οὐδὲ ἦλθεν εἰς τὴν Παλαιστίνην; ψεῦδος οὖν τὰ εἰρημένα; οὐχί, φησιν. ἦλθε μὲν γὰρ εἰς τὴν Παλαιστίνην, οὐ πρὸς ταύτην δὲ ἔβλεπε τὴν ἐπαγγελίαν, ἀλλ' ἑτέρας ἐπεθύμει τῆς ἐν οὐρανοῖς, καὶ τῶν παρόντων ξένον ἑαυτὸν ἐνόμιζεν εἶναι ἁπάντων. ὅπερ οὖν καὶ αὐτῷ μαρτυρῶν ὁ Παῦλος ἐπήγαγε· καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσι. ξένος ὁ πατρίδα λαβὼν, εἰπέ μοι, καὶ χώραν τοσαύτην; ναί, φησιν. οὐ γὰρ πρὸς ταύτην, ἀλλὰ πρὸς τὸν οὐρανὸν ἔβλεπεν. οἱ γὰρ ταῦτα λέγοντες ἐμφανίζουσι, φησιν, ὅτι ἑτέραν πατρίδα ζητοῦσιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός, ἐκείνην τὴν ἐπουράνιον Ἱερουσαλὴμ, τὴν ἄνω. εἶδες πῶς ἐπηγγείλατο αὐτῷ ὁ θεὸς αἰσθητὰ, πῶς ἐκεῖνος τὴν ἄνω Ἱερουσαλὴμ ἐζήτει; οἱ γὰρ ταῦτα λέγοντες, φησιν, ἐμφανίζουσιν ὅτι πατρίδα ζητοῦσι. καὶ εἰ μὲν ἐκείνης ἐμεμνήντο, ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νυνὶ δὲ ἑτέρας κρείττονος ὀρέγονται, τοῦτ' ἔστιν, ἐπουρανίου. οὐκοῦν αἰσθητὴ μὲν ἡ ὑπόσχεσις, νοητὴ δὲ ἡ ἐπιθυμία τοῦ δικαίου, ἀπεναντίας ἡμῖν. ἐκείνῳ μὲν γὰρ ἐπηγγείλατο τὴν Παλαιστίνην, ὁ δὲ περιεβλέπετο τὸν οὐρανόν· ἡμῖν δὲ ἐπαγγέλλεται τὸν οὐρανὸν, καὶ πρὸς τὴν γῆν κεχήναμεν. ταῦτα ἐκερδάναμεν ἀπὸ τοῦ Ἀβραὰμ ὀνόματος, μαθόντες διὰ τί περάτης ἐλέχθη, καὶ ὅτι τὴν οἰκείαν ἀφεὶς γῆν, πρὸς τὴν ἀλλοτρίαν μετέστη, καὶ τὰ δῆλα παραδραμὼν, πρὸς τὰ ἄδηλα ἔβλεπε, τὰ ἐν χερσὶ ῥίψας, ἐκεχήνει πρὸς τὰ ἐν ἐλπίσι, καὶ αἰσθητὰ λαβὼν, πρὸς τὰ νοητὰ ἀνετείνατο, καὶ ταῦτα πρὸ τῆς χάριτος, πρὸ τοῦ νόμου, πρὸ τῆς ἀπὸ τῶν προφητῶν διδασκαλίας. ὅθεν δῆλον, ὡς οὐδένα εἶχε καθηγητὴν,

A erat. quid ergo ille? imò non illum,
ſed audiamus de illo dicentem, vt
diſcamus eum Paulum licet hanc
terram promiſiſſet Deus relictis
tamen præſentibus, eam non re-
ſpexiſſe ſed feſtinaſſe ad futura.
quid igitur Paulus dicit? Iuxta fi- Heb. 11
dem mortui ſunt hi omnes, de Abra- 39.
am loquens Iſaac & Iacob, & iuſtus
omnibus. Neq; enim Abraam ſolus,
ſed omnes eiuſdem erãt philoſophię
participes. Iuxta fidem mortui ſunt
hi omnes cùm non accepiſſent pro-
miſſiones, ſed procul eas vidiſſent.
quid dicis? non obtinuit Abraã pro-
B miſſiones? non venit in Palęſtinam?
Falſa ergo ea quę dicta ſunt? Nequa-
quam, inquit, Venit quidem in Pa-
lęſtinam, non hanc autem ſpectauit,
ſed aliam quæ in cœlis, deſiderauit.
Cuius rei & Paulus teſtis, cùm adii-
cit: Et confeſſi ſunt ſe hoſpites & pe-
regrinos in terra. Hoſpéſne eſt, qui Heb. 11.
tantam accepit patriam, & tantã re- 9. 10. &
gionem? dic obſecro. Sanè, inquit, 14.
Non enim hanc, ſed cœlum ſpecta-
uit. Nam qui hæc dicunt, inquit, de-
clarant quòd aliam inquirũt patriã,
C cuius artifex & opifex eſt Deus, illã
inquam Hieruſalem cœleſtẽ, & quæ
ſuprà eſt. Vidiſti quomodo promi-
ſerit illi Deus corporalem & ipſe
quæſiuerit ſupernam Hieruſalem?
qui enim hæc dicunt, inquit, ſigni-
ficant ſe patriam inquirere. Ac ſi il-
lius quidẽ meminiſſent ex qua ſunt
egreſſi, tempus illis redeundi ſuppe-
teret: iam vero alterius melioris de-
ſiderio ducuntur, hoc eſt cœleſtis.
Itaque corporalis eſt promiſſio,
ſpirituale autem iuſti deſiderium.
At nos planè diuerſa facimus. Deus
D illi promiſerat palæſtinam, ſed ille
ſpectabat cœlum. Nobis promiſ-
ſum eſt cœlum, & ad terram ten-
dimus. Hæc lucra ex Abraam
nobis contigerunt, quia nomen
eius didicimus, & quare Tran-
ſitor dictus ſit, & quòd relicta
terra ſua in alienam conceſſit,
præteritíſque certis ad incerta ſe
conuertit, & abiectis his quæ in ma-
nibus, & corporalibus, aſpirauit ad
ea quæ ſpe concipiebat, idque ante
gratiam, & ante legem, atq; ante pro-
phetarum doctrinam. Vnde mani-
feſtum, quòd pręceptore caruerit,

ſuffeceritque ei natura mouens co-
gitationes conſcientiæ eius, vt ſic in-
ueniret opificem vniuerſi, & pro-
pter hoc dicebatur Abrã, quod no-
men ei & parẽtes ea de cauſa indide-
rũt. Sed fortè ſtatim dixerit aliquis:
Mendaciũ hoc eſt, & confictũ. Parẽ-
tes enim Abrahæ iniuſti fuerunt, &
neq; placuerunt Deo, neq; ſciuerũt
Abrahæ futura, neq; pollicitationẽ à Domi-
parẽtes no dandã pręcognouerũt. Certè im-
idolola- pij erãt & idololatrę, & Barbaris ma-
træ. gis Barbari. Scio & ego, & propterea
laudo iuſtũ, quòd tales parentes ha-
bens, talis ipſe factus ſit. Etenim val-
de rarũ & admirabile eſt, ex agreſti
radice dulcẽ fructũ produci. At non
accuſandi ſunt ob parentũ malitiam
filij piè viuentes, ſed ſi quid admira-
bile dicendũ eſt, eo magis laudandi,
eò quòd cùm pietatem à parentibus
nõ acceperunt, nec habuerunt qui
manu ducerent, quaſi in eremo & in-
uio euntes, viã quę in cœlũ fert, in-
uenire potuerint. Nõ igitur crimen
eſt, habere patrem impiũ, ſed imitari
patris impietatẽ. Et crimẽ eſt maxi-
mũ, nõ quòd habemus improbos pa-
rentes, ſed quòd illorũ non agimus
curam, neq; pro virili noſtra damus
operã, vt ab impietate ſua eos erua-
mus. Itaq; vbi nos illorũ animę quã-
tũ in nobis ſitũ eſt, ſubſidiũ tulerimꝰ,
illi verò in ſua improbitate perſeue-
rarint, ab omni crimine ac reprehẽ-
ſione ſumꝰ immunes. Hæc autẽ dixi,
Act.16.1 vt ne turberis dilecte, cũ audis quòd
Abrahã impiũ patrẽ habuerit Nã &
Timotheus impiũ patrẽ ſortitus fuit:
filius enim Iudæę mulieris erat, fide-
lis matris, patris autẽ Gentilis. Et ꝙ
pater eius mãſerit in impietate & nõ
fuerit conuerſus, manifeſtum eſt ex
2.Tim.1 hoc. Laudãs enim Timothei fidem
5. Paulus, ſic dicit: Quæ habitauit in a-
uia tua Loïde, & matre tua Eunice,
confido autẽ ꝙ & in te. Nuſquã hîc
patris nomen legitur. Et quare? Quia
in impietate perſeuerãs, non erat di-
gnus qui cũ filio numeraretur. Et A-
poſtolos malos habuiſſe patres ma-
nifeſtauit Chriſtus. cũ dixit: Si ego in
Matt.12 Beelzebub eiicio dæmonia, filij ve-
27. ſtri in quo eiiciũt? ꝓpter hoc ipſi erũt
Luc.11. iudices veſtri. Sed te ne turbet hoc,
19. neq; offendat. Nã ex hoc diſcimus, ꝙ
non naturę, ſed volũtatis eſt vitiũ &

A ἀλλ' ἤρκεσεν αὐτῷ ἡ φύσις τοὺς τοῦ συνειδότος κινήσασα λογισμούς, καὶ οὕτως εὗρε τὸν θεὸν τὸν τοῦ παντὸς δημιουργόν. διὰ τοῦτο Ἀβραὰμ ἐλέγετο, διὰ τοῦτο καὶ οἱ γονεῖς αὐτῷ τὸ ὄνομα ἐπέθηκαν τοῦτο. ἀλλὰ τάχα ἴσως εἴποι τις ἄν, ὅτι τοῦτο ψεῦδος. μὴ γὰρ δίκαιοι ἦσαν οἱ γονεῖς τοῦ Ἀβραάμ; μὴ γὰρ εὐάρεστοι τῷ θεῷ; μὴ γὰρ ᾔδεισαν τὰ μέλλοντα ἔσεσθαι; μὴ γὰρ προεώρων τὴν ὑπόσχεσιν τὴν παρὰ τοῦ δεσπότου μέλλουσαν ῥηθήσεσθαι; οὐχὶ ἀσεβεῖς ἦσαν καὶ εἰδωλολάτραι, βαρβάρων βαρβαρικώτατοι; οἶδα κἀγώ, καὶ διὰ τοῦτο ἐπαινῶ τὸν δίκαιον, ὅτι τοιούτους ἔχων πατέρας τοιοῦτος αὐτὸς ἐγένετο. καὶ τὸ
B θαυμαστὸν καὶ παράδοξον τοῦτό ἐστιν, ὅτι ἐξ ἀλλοτρίας ῥίζης καὶ ἀγρίας ἥμερος εὑρέθη καρπός. οὐ γάρ ἐστι κατηγορία παίδων ἐν εὐσεβείᾳ ζώντων ἡ τῶν πατέρων κακία, ἀλλ' εἰ χρή τι θαυμαστὸν εἰπεῖν, καὶ ἐγκώμιον μᾶλλον, ὅτι μὴ παρὰ προγόνων δεξάμενοι τὴν εὐσέβειαν, μηδὲ τοὺς χειραγωγοῦντας ἔχοντες, ἀλλ' ὥσπερ ἐν ἐρήμῳ καὶ ἀβάτῳ ὁδεύοντες, ἠδυνήθησαν τὴν ὁδὸν τὴν εἰς τὸν οὐρανὸν φέρουσαν εὑρεῖν. οὐ τοίνυν κατηγορία ἀσεβῆ πατέρα ἔχειν, ἀλλὰ μιμεῖσθαι τὴν ἀσέβειαν τοῦ πατρός· καὶ ἔγκλημα μέγιστον, οὐχ ὅταν φαύλους ἔχωμεν
C γονεῖς, ἀλλ' ὅταν αὐτῶν μὴ ἐπιμελώμεθα, καὶ τὰ παρ' ἑαυτῶν πάντα εἰσφέρωμεν πρὸς τὸ τῆς κακίας αὐτοὺς ἀπαλλάξαι ταύτης· ὡς ὅταν ἡμεῖς μὲν πάντα ἐπιδειξώμεθα περὶ τὴν ἐκείνων ψυχήν, ἐκεῖνοι δὲ ἐπὶ τῆς αὐτῶν μένωσι πονηρίας, πάσης μέμψεως ἀπηλλάγμεθα καὶ αἰτίας. ταῦτα δὲ εἶπον, ἵνα μὴ αἰσχυνθῇς, ἀγαπητέ, ὅταν ἀκούσῃς, ὅτι πατέρα ἀσεβῆ εἶχεν ὁ Ἀβραάμ. καὶ γὰρ καὶ ὁ Τιμόθεος ἀσεβῆ πατέρα εἶχεν. υἱὸς γὰρ Ἰουδαίας γυναικὸς ἦν, φησι, πιστῆς, πατρὸς δὲ Ἕλληνος. καὶ ὅτι ἔμεινεν ἐν ἀσεβείᾳ, καὶ οὐ μετεβάλετο ὁ πατήρ, δῆ-
D λον ἐκεῖθεν. ἐπαινῶν γὰρ τοῦ Τιμοθέου τὴν πίστιν, οὕτω φησὶν ὁ Παῦλος· ἥτις ἐνῴκησεν ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρὶ Εὐνίκῃ· πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. καὶ οὐδαμοῦ τοῦ πατρὸς τὸ ὄνομα. διὰ τί; ὅτι ἐν τῇ ἀσεβείᾳ ἔμεινεν, οὐκ ἦν ἄξιος ἀριθμεῖσθαι μετὰ τοῦ παιδός. καὶ οἱ ἀπόστολοι δὲ πονηροὺς εἶχον πατέρας· καὶ τοῦτο ἐδήλωσεν ὁ Χριστὸς εἰπών· εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ ἔσονται κριταὶ ὑμῶν. ἀλλὰ μή σε θορυβείτω τοῦτο, μηδὲ σκανδαλιζέτω. καὶ γὰρ ἐκ τούτου μανθάνομεν, ὅτι οὐ φύσεως, ἀλλὰ προαιρέσεως ἡ κακία καὶ ἡ ἀρετή.

εἰ γὰρ φύσεως ἦν, πάντως ἂν οἱ πονηροὶ πονηροὺς A ἔτεκον, καὶ οἱ χρηστοὶ τοιούτους. ἐπειδὴ δὲ προαιρέσεώς ἐστι τὸ φαῦλον εἶναι καὶ σπουδαῖον, διὰ τοῦτο καὶ πατέρων πονηρῶν παῖδες ἐγένοντο χρηστοὶ, καὶ παίδων ῥαθύμων πατέρες σπουδαῖοι πολλάκις, ἵνα μὴ τῇ φύσει, ἀλλὰ τῇ γνώμῃ πανταχοῦ ταῦτα ἑκάτερα λογιζώμεθα. ἀλλ' ὅπερ ἔλεγον, ὅτι ἀσεβεῖς ὄντες οἱ γονεῖς τοῦ Ἀβραὰμ, πῶς τὸ ὄνομα αὐτῷ ἐπέθηκαν τοῦτο; τῆς τοῦ θεοῦ σοφίας μάλιστα ἔργον καὶ τοῦτο ἦν, διὰ ἀπίστου γλώττης οἰκονομήσαντος ἐπιτεθῆναι ὄνομα τῶν μελλόντων ἔχον τὴν ἱστορίαν. καὶ γὰρ τὸν Βαλαὰμ ἠνάγκασέ ποτε τὰ μέλλοντα εἰπεῖν, τὴν οἰκείαν δύναμιν ἐπιδεικνύμενος, καὶ δηλῶν ὅτι οὐχὶ B ἐν τοῖς οἰκείοις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἀλλοτρίοις κρατεῖν δύναται. καὶ ἵνα μάθῃς, ὅτι ἐπὶ τῶν δικαίων, κἂν μὴ εὐσεβεῖς ὦσιν οἱ πατέρες, πολλάκις οὐκ εἰδότες ἐπιτιθέασιν ὀνόματα πολλὴν τῶν μελλόντων δηλοῦντα τὴν οἰκονομίαν, καὶ ἐξ ἑτέρου σοι παραδείγματος τοῦτο ποιήσω φανερόν. ὁ Λάμεχ ὁ τοῦ Νῶε πατὴρ, τοῦ Νῶε ἐκείνου, ἐφ' οὗ ὁ κατακλυσμὸς ἐγένετο, οὐκ ἦν δίκαιος, οὐκ ἦν εὐάρεστος τῷ θεῷ, οὐκ ἦν δόκιμος τῷ θεῷ. εἰ γὰρ ἦν δίκαιος, εἰ ἦν εὐάρεστος, εἰ ἦν εὐδόκιμος τῷ θεῷ, οὐκ ἂν εἶπεν, ὅτι C Νῶε μόνος εὑρέθη τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ· οὐκ ἂν παρέδραμε τοῦ δικαίου τὸν πατέρα, εἰ δίκαιος ἦν. τί οὖν ἐκεῖνος; ἐπέθηκεν ὄνομα τῷ παιδίῳ, πολλὴν ἔχον τῶν μελλόντων πραγμάτων τὴν ἱστορίαν, καὶ αὐτὸ προφητεία ἦν ἡ προσηγορία τοῦ δικαίου. τὸ γὰρ ὄνομα τοῦτο τὸν μέλλοντα κατακλυσμὸν ἔσεσθαι ἐδήλου. καὶ πῶς τὸν μέλλοντα ἔσεσθαι κατακλυσμὸν ἐδήλου τὸ ὄνομα τοῦ Νῶε, τὸ, Νῶε, τοῦτο τὸ ὄνομα Ἑβραϊκῇ λέγεται γλώττῃ καὶ ἑρμηνεύεται ὁ ἀναπαύων. τὸ γὰρ, Νία, τῇ Σύρων φωνῇ, ἀνάπαυσίς ἐστιν. ὥσπερ οὖν ἐκεῖ ἀπὸ τοῦ Ἄβαρ, ὅπερ ἐστὶ πέρα, Ἀβραὰμ ἐλέγετο, καὶ ἀπὸ D τοῦ Αἰδὲμ, ὅπερ ἐστὶ γῆ, Ἀδὰμ ἐλέγετο, ὅπερ ἐστὶ γήϊνος· οὕτω καὶ ἐνταῦθα ἀπὸ τοῦ Νία, ὅπερ ἐστὶν ἀνάπαυσις, Νῶε ἐκλήθη, ὅπερ ἐστὶν ἀναπαύων. δηλοῖ δὲ τοῦτο καὶ ἡ ἐπαγωγή. ἐκάλεσε γὰρ αὐτὸν Νῶε, λέγων· οὗτος ἡμᾶς διαναπαύσει, ἀνάπαυσιν τὸν κατακλυσμὸν καλῶν. ἐπειδὴ γὰρ ἔμελλεν ἐπ' αὐτοῦ ὁ κατακλυσμὸς γίνεσθαι, ὁ δὲ κατακλυσμὸς θάνατος ἦν, θάνατος δὲ ἀνδρὶ ἀνάπαυσις, διὰ τοῦτο τὸν ἄνθρωπον, ἐφ' οὗ γέγονεν ὁ κατακλυσμὸς, τὸν ἀναπαύοντα ἐκάλεσε. καὶ ὅτι οὐ βιάζομαι τὴν ἑρμηνείαν, ἀπ' αὐτῆς τῆς γραφῆς ἀκούσωμεν τοῦτο.

A Enimuero ſi naturæ eſſet, omnino mali malos parerent, & boni bonos: ſed quia electionis & voluntatis eſt probum vel improbum eſſe, idcirco ſępe malis patribus boni filij, & ignauis filiis ſtudioſi patres geniti ſunt, vt non naturæ, ſed voluntati ſemper illa imputemus. Verùm cùm parentes Abrahæ, vt dixi, fuerint impij, quomodo ei hoc nomen indiderunt? Fuit hoc opus diuinæ ſapientiæ per incredulam linguam diſpenſantis, vt puero nomen imponeretur, habens in ſe futurorum hiſtoriam. Sicut eandem virtutem B & in Balaam declarauit, cogens eum futura prædicare: quo manifeſtat, quòd non ſolùm in ſuis, ſed & in alienis dominari poteſt. Et vt diſcas, quòd parentes etiam non valde pij, ſæpius neſcij imponunt nomina filiis, quæ multam futurorum diſpenſationem declarent, docebimus etiam alio exemplo. Lamech qui fuit pater Noë, non erat gratus Deo. Nam ſi fuiſſet probatus apud Deum, non dictum eſſet, Noë ſolum perfectum inuentum in gene- C ratione ſua: neque præteriiſſet iuſti patrem in commemorandis nominibus, ſi iuſtus fuiſſet. Quid igitur ille? Impoſuit nomen puero, quod præcipuam futurarum rerum haberet hiſtoriam, erátque appellatio iuſti prophetia. Significabat enim nomen eius futurum diluuium. Nomen eius Hebraïca lingua vocauit Noë, quod interpretatum eſt, quies. Niah enim, Syrorum voce quies eſt. Sicut igitur Abraham ab abar quod eſt trans, vel vltrà dicitur: & Adam ab Ædem, D quod eſt terra, dictus, eò quòd ſit terrenus: ita hic à Niah vocatus eſt Noë, hoc eſt, author quietis: declarat autem hoc & adiecta particula. Vocauit enim eum Noë, dicens: Hic nos quieſcere faciet, quietem diluuium vocans, Nam quia ſub illo futurum erat, diluuium autem mors fuit, mors uerò quies viro eſt: & idcirco hominem, ſub quo diluuium factum, quietis authorē vocauit. Et quòd non torqueam ſcripturas, ex ſcriptura ipſa audiamus hoc,

Virtus & vitiũ non naturę, ſed liberi arbitrii.

Num.23

Gen.6.9

Nomen Noë quomodo interpretandũ.

Gen. 5. 29.

Iob,3.23

Vixit Lamech annos centum octoginta,& genuit filium,&vocauit nomen eius Noë,dicens: Hic nos quieſcere faciet. Et quare nō dixit: Hic occidet nos, hic faciet diluuium fieri:ſed dicit, Hic faciet nos quieſcere? Creatura omnis reſoluitur, abyſſi de ſubtus erumpunt,cataractæ ſuperius aperiuntur: omne pelagus erat mirum & admirabile & horribile,& in luto quaſi cōmuni ſepulchro promiſcua hominum & equorum ac ferarum corpora occultabantur:& tātam calamitatem, tātaq; mala quietem vocas? Profectò,inquit: Nā homines in magna malitia viuebant: diluuium autem quoniam malitiam reſecuit, ideo liberati illi à malitia, quieſcere dicuntur. Vt enim corpus variis morbis obſeſſum,cui nulla poteſt adhiberi medela, ſi forte mors adueniens corripiat,ei quietē affert: ſic etiam generationem hominum illorum quaſi corpus incurabiliter langueſcens,& malis multis, nullam conſolationem admittētibus, obnoxium,ſuperueniēs diluuium eripuit, & quieſcere fecit. Nam ſi mors viro quies, multò magis his qui inemendabiles in malitia viuūt, mors quies eſt, liberans eos à laboribus, nec ſinens vlterius iniquitatis vlcus ſerpere. Non eſt enim grauius,aut intolerabilius pondus,quàm peccati natura: nihílque ita labores & ærumnas nobis affert,vt malitiæ ſpecies & delicta. Et propterea Chriſtus his qui in peccatis viuunt, dicebat: Venite qui laboratis & onerati eſtis, & ego vos quieſcere faciam. Et idcirco Lamech diluuium quietem appellauit, eò quòd ſuperueniens malitię finem impoſiturum erat. Volebam ſermonem hunc prolixiorem facere: multa enim omitto, quæ ad nomen Noë pertinēt: ſed hæc nunc memoria retinete, & fratribus veſtris, qui abſunt, dicite: vt ne cogamur iterum productioribus vti procemiis, & dictorum repetere conſequentiam, & ſermonem in precibus finiamus,gratias agentes Deo, qui hæc vt diceremus, dedit: quoniam ipſi debetur gloria in ſecula ſeculorum. Amen.

Ibidem. — Iob.3.23. — Matt.11. 28.

A ἔζησε Λάμεχ ἔτη ὀκτὼ καὶ ὀγδοήκοντα καὶ ἑκατὸν, καὶ ἐγέννησεν υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νῶε, λέγων. οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν πόνων ἡμῶν, καὶ τῶν λυπῶν, καὶ τῶν ἔργων τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο ὁ Θεός. τί λέγεις; ἀναπαύσει ἡμᾶς; καὶ διὰ τί μὴ εἶπε, φησιν, οὗτος ἀποκτενεῖ ἡμᾶς, οὗτος ποιήσει τὸν κατακλυσμὸν γενέσθαι. ἀλλ' εἶπεν, ἀναπαύσει ἡμᾶς; ἀνεσχίσθη ἡ κτίσις ἅπασα, ἄβυσσοι ἀνερράγησαν κάτωθεν, καταρράκται ἀνεῴχθησαν ἄνωθεν, ἅπαντα πέλαγος ἦν ξένον καὶ παράδοξον καὶ φρικῶδες, καὶ ἐνταφίῳ κοινῷ τῇ ἰλύϊ καὶ σώματα ἀνθρώπων καὶ σώματα ἵππων καὶ θηρίων ἐκρύπτετο. B καὶ τοσαῦτα κακὰ, εἰπέ μοι, καὶ τοσαύτην συμφορὰν ἀνάπαυσιν καλεῖς; ναί, φησιν· ἐπειδὴ γὰρ ἐν κακίᾳ ἔζων οἱ ἄνθρωποι, ὁ δὲ κατακλυσμὸς τὴν κακίαν ἀνέκοψεν, οἱ τῆς κακίας ἀπαλλαγέντες ἀνεπαύσαντο. καθάπερ γὰρ σῶμα ποικίλοις νοσήμασι κατεχόμενον, καὶ ἰατρείαν οὐδεμίαν εὑρίσκον, ἐὰν ἐπελθὼν ὁ θάνατος λάβῃ, ἀνέπαυσεν· οὕτω δὲ καὶ τὴν τῶν ἀνθρώπων ἐκείνων γενεὰν, καθάπερ σῶμα ἀνίατα νοσοῦν καὶ πολλοῖς περικατειλημμένον δεινοῖς παραμυθίαν οὐδεμίαν ἔχουσαν, ἐπελθὼν ὁ κα- C τακλυσμὸς διήρπασε καὶ ἀνέπαυσεν. εἰ γὰρ θάνατος ἀνδρὶ ἀνάπαυσις, πολλῷ μᾶλλον τοῖς ἐν κακίᾳ ἀδιορθώτως ζῶσιν ἀνάπαυσις ὁ θάνατος, τῶν πόνων αὐτοὺς ἀπαλλάττων, καὶ οὐκ ἐῶν περαιτέρω τῆς πονηρίας τὴν νομὴν προελθεῖν, οὐδὲ βαρύτερον τοῦ ὄντος γενέσθαι τῶν ἁμαρτημάτων τὸ φορτίον. οὐδὲν γὰρ οὕτω βαρὺ καὶ δυσβάστακτον, ὡς ἁμαρτίας φύσις· οὐδὲν οὕτω κάματον καὶ πόνον ἡμῖν παρέχει, ὡς τὸ τῆς πονηρίας εἶδος καὶ τὰ πλημμελήματα. διὰ τοῦτο ὁ Χριστὸς τοῖς ἐν ἁμαρτίαις ζῶσιν ἔλεγε, δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. D διὰ τοῦτο καὶ ὁ Λάμεχ ἀνάπαυσιν τὸν κατακλυσμὸν ἐκάλεσεν ἐπελθόντα καὶ στήσαντα τὴν πονηρίαν. ἐβουλόμην περαιτέρω τὸν λόγον ἐκτεῖναι τοῦτον· καὶ γὰρ πολλὰ ὑπολέλειπται ἀπὸ τῆς προσηγορίας τοῦ Νῶε· ἀλλὰ τέως ταῦτα τῇ μνήμῃ τῆς ὑμετέρας διανοίας ἐναποθέμενοι, καὶ πρὸς τοὺς ἡμετέρους ἀδελφοὺς τοὺς ἀπολειφθέντας εἰπόντες, ἵνα μὴ πάλιν ἀναγκαζώμεθα μακρότερα ποιεῖν τὰ προοίμια, τῶν εἰρημένων τὴν ἀκολουθίαν ἀναλαμβάνοντες, εἰς εὐχὰς τὸν λόγον καταλύσωμεν, εὐχαριστοῦντες τῷ ταῦτα δεδωκότι εἰπεῖν Θεῷ, ὅτι αὐτῷ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A

Λογ. ια.

Εἰς τὸ δεῖν καὶ ἐν τῇ Πεντηκοστῇ καὶ ἀεὶ τῆς νηστείας μεμνῆσθαι, καὶ ὅτι οὐ παρουσία μόνον, ἀλλὰ καὶ μνήμη νηστείας ὠφελεῖ· καὶ περὶ τῆς τοῦ θεοῦ προνοίας, καὶ ὅτι μετὰ τῶν ἄλλων οὐ μικρὸν μέρος αὐτῆς ἡ φυσικὴ τῶν γονέων περὶ τὰ ἔκγονα φιλία· καὶ ὅτι οὐ πατράσι μόνον, ἀλλὰ καὶ μητράσιν ἐπιτέτακται τὰ παιδία ῥυθμίζειν, καὶ πρὸς τῷ τέλει περὶ τῆς Ἄννης.

B

ΕΠειδὰν ξένον τινὰ καταχθέντα πρὸς ἡμᾶς ἡμέρας τινὰς ὑποδεξάμενοι φιλοφρόνως, καὶ λόγων αὐτῷ καὶ ἁλῶν κοινωνήσαντες, ἀποπέμψωμεν· τῇ μετὰ τὴν ἀποδημίαν ἐκείνην ἡμέρᾳ, τραπέζης παρατεθείσης, εὐθέως ἀναμιμνησκόμεθα αὐτοῦ τε καὶ τῶν λόγων τῆς συνουσίας, καὶ μετὰ πολλῆς αὐτὸν ἐπιζητοῦμεν τῆς ἀγάπης. τοῦτο δὴ καὶ ἐπὶ τῆς νηστείας ποιήσωμεν. καὶ γὰρ κατήχθη πρὸς ἡμᾶς ἡμέρας τεσσαράκοντα, ὑπεδεξάμεθα αὐτὴν C φιλοφρόνως, καὶ ἀπεπέμψαμεν. ἐπεὶ οὖν μέλλομεν παρατιθέναι τράπεζαν νῦν πνευματικήν, ἀναμνησθῶμεν αὐτῆς, καὶ τῶν ἐξ αὐτῆς ἁπάντων ἐγγενομένων ἡμῖν ἀγαθῶν. οὐ γὰρ δὴ παρουσία νηστείας μόνον, ἀλλὰ καὶ μνήμη νηστείας τὰ μέγιστα ὠφελῆσαι δύναιτ' ἄν. καὶ καθάπερ οἱ φιλούμενοι παρ' ἡμῶν, οὐχὶ παρόντες μόνον, ἀλλὰ καὶ εἰς νοῦν ἡμῖν ἐρχόμενοι, πολλῆς ἡμᾶς πληροῦσιν ἡδονῆς· οὕτω καὶ αἱ τῆς νηστείας ἡμέραι, καὶ οἱ σύλλογοι, καὶ αἱ διατριβαὶ αἱ κοιναί, καὶ τὰ ἄλλα, ἃ παρ' ἐκείνης ἐκαρπούμεθα καλά, καὶ ἀπὸ τῆς μνήμης εὐφραίνει, D κἂν ταῦτα ἅπαντα συλλέξαντες ἀναμνησθῶμεν, μεγάλα καὶ κατὰ τὸν παρόντα καιρὸν κερδανοῦμεν. ταῦτα δὲ λέγω οὐκ ἀναγκάζων νηστεύειν, ἀλλὰ πείθων μὴ τρυφᾶν, μηδὲ κατὰ τοὺς πολλοὺς τῶν ἀνθρώπων διακεῖσθαι, εἴγε ἀνθρώπους τοὺς οὕτω μικροψύχως διακειμένους χρὴ καλεῖν, οἳ καθάπερ ἐκ δεσμῶν ἀφεθέντες, καὶ δεσμωτηρίου τινὸς ἀπαλλαγέντες χαλεποῦ, πρὸς ἀλλήλους λέγουσι, μόλις ποτὲ τὸ χαλεπὸν τῆς νηστείας διηνύσαμεν πέλαγος·

SERMO I.

Quod oporteat & in Pentecoſte, & ſemper ieiunij meminiſſe, & quod non præſentia ſolùm, ſed etiam recordatio ieiunij ſit vtilis: & de Dei prouidentia, quodque non minima pars ipſius ſit præter alia parentum erga liberos amor: quodque non patribus ſolum, ſed & matribus præceptum ſit, vt liberorum mores componant, & ad extremum de Anna.

FRONT. DVCÆO INTERPRETE.

VBI peregrinum aliquem apud nos diuerſatum, ad aliquot dies comiter exceptum, & colloquij menſæq; participem factum dimiſerimus, poſtridie profectionis illius menſa poſita cõfeſtim eius ac verborum congreſſus recordamur, ac multa cum caritate ipſum requirimus: hoc nobis erga ieiunium quoque præſtandum eſt. Nam cum apud nos dies quadraginta fuerit diuerſatum, comiter illud excepimus ac dimiſimus: quando igitur menſa iam nobis ſpiritualis apponenda eſt, reminiſcamur illius, eorumque bonorum omnium, quę nobis inuexit. Non enim ſanè præſentia tantum ieiunij ſed etiam memoria ieiunij maximè vtilis eſſe poteſt. Et quemadmodum illi quos amamus, non ſolum cum adſunt, verum etiam cum nobis in mentem veniunt multa nos voluptate perfundunt: ita quoque dies ieiunij, collectæ, communeſque conuentus & alia quibus eius beneficio fruebamur bona, vel ſola memoria nos oblectant, & hæc omnia ſi collecta in memoriam reuocemus, multum inde lucrum hoc etiam tẽpore colligemus. Hæc autem à me non eo dicũtur, quod cogere vos ad ieiunandum velim, ſed vt vobis perſuadeã, vt ne genio indulgeatis; néve ſic afficiamini, vt plerique homines ſolent, ſi quidem homines appellandi ſunt, qui tantam puſillanimitatem præ ſe ferunt, qui tanquàm è vinculis emiſſi, & graui quopiam carcere liberati ſic alloquuntur ſe mutuo: Tandem aliquando moleſtum illud ieiunij pelagus emenſi ſumus:

Ieiunij memoria vtilis.

alij vero qui multo peius & imbecillius ſunt affecti, etiam ob futuram Quadrageſimam pertimeſcunt. Hoc vero propterea fit, quod toto reliquo tempore deliciis, luxuriæ, atq; omni ebrietati ſummo ſtudio ſeipſos dedāt. Quod ſi nos aliis diebus caſtæ modeſtæq; vitæ degēdæ nos aſſuefaceremus, & præteritum deſideraremus ieiuniū, & venturum multa cum voluptate ſuſciperemus. Quid enim boni ieiunij nobis opera non obuenit? omnia tranquillitatis ac puræ ſerenitatis plena ſunt. Nonne domus tumultibus, curſitationibus, omnique perturbatione ſunt liberatæ? quinetiam ante ipſas domos eorum animus, qui ieiunant, hac quiete perfruitur, ciuitas ipſa tota modeſtiam, quæ in animo ac domib. cernitur, imitatur. Nam neque ſub veſperam audire canentes licet, neque interdiu tumultuantes & ebrios, non clamantes, non pugnantes, ſed multam vbiq; tranquillitatem licet cernere. Nunc autem non ita eſt; ſed iam inde ab exortu ſolis clamores ac turbæ, coquorum curſitationes, ac multus in domibus, multus in mentibus fumus, dum intus in nobis ſuccenduntur affectus, & flamma turpium cupiditatum à deliciis excitatur. Propterea, quod prӕteriit ieiunium, requiramus, illud enim hæc omnia coërcebat. Ac licet laborem eius excuſſerimus, eius tamen deſiderium non extinguamus, neq; memoriam deponamus: ſed cum pranſus & expergefactus in forum veneris, diemque videris vergentem ad veſperam, hanc ingreſſus eccleſiam, & iuxta ſanctuarium iſtud veniēs, ieiunij temporis recordare, quo multitudinis plenam eccleſiā cernebamus, omnes autem audiendi deſiderio ſuccenſi erāt, multa vbique lætitia, mens omnium erat erecta, tum collectis omnibus iſtis dies illos optabiles recordare. Quod ſi menſæ accubiturus ſis, cum hac recordatione cibos deguſta, nec vnquam in ebrietatē labi poteris. Sed quemadmodum qui honeſtam, caſtam & ingenuam vxorem duxerint, & eius vehementi amore ſint inflammati, ne abſente quidem illa, meretricem, & perditam mulierem adamare poſſunt; quod illius amor eorum mentem præoccupauerit, nec alium amorē ingredi ſinat: ſic nimirum & in ieiunio fit & in

Ieiunij bona quanta.

A ἄλλοι δὲ τούτων ἀσθενέστερον διακείμενοι, καὶ ὑπὲρ τῆς μελλούσης δεδοίκασι τεσσαρακοστῆς. τοῦτο δὲ γίνεται ἐκ τοῦ τὸν ἄλλον ἅπαντα χρόνον τρυφῇ, καὶ ἀσωτίᾳ, καὶ μέθῃ πάσῃ μεθ' ὑπερβολῆς ἑαυτοὺς ἐκδιδόναι. ὡς εἴγε μεμελετήκειμεν τὰς ἄλλας ἡμέρας σεμνῶς καὶ ἐπιεικῶς ζῆν, καὶ ἀπελθοῦσαν ἂν ἐποθήσαμεν τὴν νηστείαν, καὶ παραγινομένην μέλλουσαν μετὰ πολλῆς ἂν ὑπεδεξάμεθα τῆς ἡδονῆς. τί γὰρ οὐκ ἀγαθὸν ἡμῖν ἀπὸ νηστείας; πάντα γαλήνης γέμει καὶ καθαρᾶς εὐδίας. οὐχὶ καὶ οἰκίαι θορύβων καὶ δρόμων καὶ πάσης εἰσὶν ἠλευθερωμέναι ταραχῆς; καὶ πρὸ τῶν οἰκιῶν δὲ B ἡ τῶν νηστευόντων διάνοια ταύτης ἀπολαύει τῆς ἡσυχίας· πόλις δὲ ἅπασα, τὴν ἐν τῇ διανοίᾳ, καὶ τὴν ἐν ταῖς οἰκίαις εὐταξίαν μιμεῖται. οὔτε γὰρ ἐν ἑσπέρᾳ ᾀδόντων ἔστιν ἀκοῦσαι, οὔτε ἐν ἡμέρᾳ θορυβούντων καὶ μεθυόντων, οὐ κραζόντων, οὐ μαχομένων, ἀλλὰ πολλὴν πανταχοῦ τὴν ἡσυχίαν ἔστιν ὁρᾶν. ἀλλ' οὐχὶ νῦν οὕτως, ἀλλ' εὐθέως ὑπὸ τὴν ἕω κραυγαί, καὶ θόρυβοι, καὶ μαγείρων δρόμοι, καὶ πολὺς μὲν ἐν ταῖς οἰκίαις, πολὺς δὲ ἐν τοῖς λογισμοῖς ὁ καπνός, τῶν παθῶν ἡμῖν ἔνδον ὑποκαιομένων, καὶ τῆς φλογὸς διεγειρομένης τῆς ἐν τοῖς ἀτό- C ποις ἐπιθυμίαις ὑπὸ τῆς τρυφῆς. διὰ ταῦτα ζητῶμεν καὶ ἀπελθοῦσαν τὴν νηστείαν· ἐκείνη γὰρ ταῦτα πάντα κατέστελλε. κἂν τὸν πόνον αὐτῆς ἀπεθέμεθα, ἀλλὰ τὸν πόθον αὐτῆς μὴ καταλύσωμεν, μηδὲ τὴν μνήμην σβέσωμεν· ἀλλ' ὅταν ἀριστήσας καὶ καθευδήσας εἰς τὴν ἀγορὰν ἐμβάλῃς, καὶ τὴν ἡμέραν πρὸς ἑσπέραν ἐπειγομένην ἴδῃς, εἰσελθὼν εἰς τὴν ἐκκλησίαν ταύτην, καὶ παρὰ τὸ βῆμα τοῦτο ἐλθών, ἀναμιμνήσκου τοῦ καιροῦ τῆς νηστείας, καθ' ὃν μεστὴ μὲν ἡ ἐκκλησία τοῦ πλήθους ἡμῖν ἦν, σφοδρὰ δὲ ἡ τῆς ἀκροάσεως D προθυμία, πολλὴ δὲ ἡδονή, καὶ διεγηγερμένη πάντων ἡ διάνοια, καὶ πάντα ταῦτα συλλέγων, ἀναμιμνήσκου τῶν ποθεινῶν ἡμερῶν ἐκείνων. κἂν μέλλῃς παραστῆναι τράπεζαν, μετὰ τῆς μνήμης ταύτης ἅπτου τῶν ἐδεσμάτων, καὶ οὐδέποτε εἰς μέθην ἐξολισθῆσαι δυνήσῃ. ἀλλ' ὥσπερ οἱ γυναῖκα σεμνὴν καὶ σώφρονα καὶ ἐλευθέραν ἔχοντες, καὶ σφόδρα αὐτῆς περιεχόμενοι, οὐδὲ ἀπούσης αὐτῆς, πόρνης καὶ διεφθαρμένης ἐρασθεῖεν ἄν, τοῦ πόθου τοῦ περὶ ἐκείνην προκατέχοντος τὴν διάνοιαν, καὶ ἕτερον ἐπεισελθεῖν ἔρωτα οὐκ ἐῶντος· οὕτω δὴ καὶ ἐπὶ τῆς νηστείας, καὶ τῆς μέθης γίνεται.

γίνεται. ἂν τοίνυν ἐκείνης τῆς ἐλευθέρας καὶ σώφρονος μνημονεύωμεν, τὴν πάνδημον πόρνην ταύτην, τὴν πάσης ἀσχημοσύνης μητέρα, τὴν μέθην λέγω, μετὰ πολλῆς διακρουσόμεθα τῆς εὐκολίας, τοῦ πόθου τῆς νηστείας, πάσης χειρὸς σφοδρότερον, ἀπωθοῦντος τὴν ταύτης ἀναισχυντίαν. διὰ ταῦτα δὴ πάντα παρακαλῶ κατὰ νοῦν ἀεὶ τὰς ἡμέρας ἐκείνας ἔχωμεν. ἵνα δέ τι κἀγὼ πρὸς τὴν μνήμην ἐκείνην συμβάλωμαι, τὴν αὐτὴν ὑπόθεσιν, ἣν τότε κινεῖν παρεσκευαζόμην, ταύτην καὶ νῦν εἰς μέσον ἀγαγεῖν πειράσομαι, ὥστε καὶ τῇ κατὰ τὴν διδασκαλίαν ὁμοιότητι γενέσθαι τινὰ τοῦ καιροῦ μνήμην ἡμῖν ἐκείνου. ὑμεῖς μὲν γὰρ ἴσως ἐπιλέλησθε, διὰ τὸ μεταξὺ πολλὰς γεγενῆσθαι διαλέξεις ἡμῖν, καὶ ὑπὲρ ἑτέρων πραγμάτων. καὶ γὰρ ἐλθόντος τοῦ πατρὸς ἀπὸ τῆς μακρᾶς ἀποδημίας, ἀναγκαῖον ἦν τὰ κατὰ τὸ στρατόπεδον συμβάντα ἅπαντα εἰπεῖν· καὶ μετὰ ταῦτα πρὸς Ἕλληνας ἀποτείνεσθαι, ὥστε τούτους ἀπὸ τῆς συμφορᾶς βελτίους γενομένους, καὶ πρὸς ἡμᾶς ἐκ τῆς Ἑλληνικῆς αὐτομολήσαντας πλάνης, μετ' ἀκριβείας ῥιζῶσαι, καὶ διδάξαι οἵου μὲν ἀπηλλάγησαν σκότους, οἵῳ δὲ προσέδραμον ἀληθείας φωτί. μετ' ἐκεῖνο πάλιν, πολλὰς ἡμέρας τῆς τῶν μαρτύρων ἀπελαύσαμεν πανηγύρεως, καὶ ἄκαιρον ἦν ἐν τάφοις μαρτύρων διατρίβοντας, τῶν τοῖς μάρτυσι πρεπόντων ἐγκωμίων ἀμοίρους ἀπελθεῖν. ταῦτα τὰ ἐγκώμια διεδέξατο πάλιν ἡ περὶ τῶν ὅρκων παραίνεσις. ἐπειδὴ γὰρ τὴν ἀγροικίαν ἅπασαν τῆς πόλεως εἴδομεν ἐπιβᾶσαν, ἐβουλήθημεν αὐτοῖς δόντες ἐφόδια ταῦτα, οὕτως αὐτοὺς ἐκπέμψαι παρ' ἡμῶν ἅπαντας. ὑμῖν μὲν οὖν διὰ ταῦτα οὐκ ἂν εἴη δυνατὸν ῥᾳδίως ἀνενεγκεῖν τὴν τότε ἡμῖν γενομένην πρὸς Ἕλληνας ζήτησιν· ἐγὼ δὲ ὁ διὰ παντὸς ἐν τούτοις ἐσχολακὼς, καὶ ταύτην ἔχων μελέτην, ῥᾷστα πρὸς ὑμᾶς ὀλίγα τῶν τότε εἰρημένων εἰπὼν, ὁλοκλήρου τῆς τῶν λόγων ὑποθέσεως ἀναμνῆσαι δυνήσομαι. τίς οὖν ἦν ἡμῖν ἡ ὑπόθεσις; ἐζητοῦμεν πῶς ἐξ ἀρχῆς ὁ θεὸς ἡμῶν προενόει τοῦ γένους, καὶ πῶς τὰ συμφέροντα ἐπαίδευσεν, οὔτε γραμμάτων ὄντων, οὔτε γραφῶν δοθεισῶν· καὶ ἐδείκνυμεν ὅτι διὰ τῆς κατὰ τὴν κτίσιν θεωρίας πρὸς τὴν αὐτοῦ θεογνωσίαν ἐχειραγώγησεν· ὅτε καὶ λαβόμενος ὑμῶν, οὐχὶ τῆς χειρὸς, ἀλλὰ τῆς διανοίας, πανταχοῦ τῆς κτίσεως περιήγαγον, δεικνὺς οὐρανὸν, καὶ γῆν, καὶ θάλατταν, καὶ λίμνας, καὶ πηγὰς, καὶ ποταμοὺς, καὶ πελάγη μακρὰ, καὶ λειμῶνας, καὶ παραδείσους, καὶ κομῶντα τὰ λήϊα, καὶ βριθόμενα τοῖς καρποῖς τὰ δένδρα, καὶ καλυπτομένας δρυμοῖς κορυφὰς ὀρῶν.

A ebrietate. Ergo ſi illius ingenuæ caſteq; meminerimus, publicā hāc meretricem omniſq. turpitudinis matrem, ebrietatem inquā facillimè repellemus dum amor ieiunij vehementius quàm manus vlla impudentiā iſtius repellet. Propter hęc omnia dies illos quęſo ſemper mente verſemus: vt autem quippiā ego quoque ad memoriam illam conferā, idem argumentum, quod tractare tum paratus eram, hoc in medium nunc quoque proferre conabor, vt ipſa etiam ſimilitudo doctrinæ recordationem temporis illius excitet. Vos enim fortaſſe nunc eſtis obliti, quod multos interim tractatus & de aliis reb. habuerimus. B Nam reuerſo à lōginqua illa peregrinatione patre noſtro, neceſſarium fuit, omnia cōmemorare, quæ in Comitatu acciderāt, ac deinde cum Gentilibus diſputare, vt hos vi calamitatis ad meliorē frugem reuocatos, & qui deſerto Gentilium errore ſeſe ad nos contulerant, vehementius confirmaremus, ac doceremus, quantis tenebris liberati, ad tantam lucem veritatis accurriſſent. Poſt illā rurſus multis dieb. martyrum feſtiuitatibus potiti ſumus, neq; tempori cōueniens fuiſſet, nos C qui iuxta martyrū capſulas verſaremur, earum laudum, quæ martyrib. debentur exortes diſcedere. Succeſſit his laudib. rurſus ad abſtinendum à iuramentis cohortatio: cum enim totā ruſticorum nationem in vrbē ingreſſam cerneremus, hoc illos inſtructos à nobis viatico cenſuimus dimittendos. Ac vobis quidem nō facile fuerit diſputationem referre, quā tum aduerſus Gentiles inſtituimus: ego vero ſēper in his exercitatus, & huic palæſtræ addictus, nullo negotio paucis ex iis, quæ tū diximus, repetitis, potero totius orationis argumēti vobis memo- D riā refricare. Quodnam ergo fuit argumentum? Quærebamus quo pacto Deus à principio generi humano prouideret, & quo pacto, quæ vtilia forent, doceret, cum nullæ dum extarēt literę, neq. ſcripturę datę eſſent, & oſtendimus per cōtemplationem creaturarū illud ad Dei cognitionē eſſe deductū: quo tempore vos nō manu prehenſos, at mente per vniuersā creaturā circumduxi cœlū oſtēdens, terrā mare, lacus, fontes, fluuios, ęquora immenſa, prata, pomaria, florentes ſegetes, fructibus onuſtas arbores, obtecta nemoribus montium culmina:

Feſta marty-rum & reliquię.

Deus homi-nes quo pacto quodā inſtrue-ret.

tum quoque de ſeminibus, de olcribus, A de floribus, de plātis tā fructuoſis quàm infructuoſis, de beſtiis cicuribus ſimul & agreſtibus, aquatilibus, & terreſtribus ancipites in vtraque ſede viuunt, de iis quæ aërē pennis ſecant, de illis, quæ humi repunt, deq; ipſis mūdi elemētis multa diſſerui, & in ſingulis vna voce ſimul acclamabamus omnes, cū mēs noſtra tot immenſas opes capere minimè poſſet:

Pſ.90.5. Quam magnificata ſunt opera tua Domini: omnia in ſapientia feciſti. Neque vero propter multitudinem tantū Dei ſapientiā mirabamur, ſed & propter vtraque hæc duo, quòd nimirum & pulchrā & magnā & admirabilē condiderit B creaturam, & quod multa rurſus imbecillitatis eius indicia rebus quæ cernuntur indiderit, tum vt ob ſapientiā laudetur, atq; ad cultū ſuum eos, qui cernūt, alliciat: tū ne creatore dimiſſo qui pulchritudinē ac magnitudinē illarum intuētur, pro illo res oculis ſubiectas adorent, cū ea quę in illis apparet imbecillitas, eiuſmodi corrigere poſſit errorem. Item quo pacto creatura omnis corruptioni eſt obnoxia, & ad meliorē ſpeciē trāsferetur, maiori gloria perfruetur, & quando & quam ob cauſam, & cur ob- C noxia corruptioni ſit edita, atque hęc omnia tum apud vos philoſophabamur, Deique potentiā inde demōſtrabamus, quod in obnoxiis corruptioni corporibus tantam condiderit pulchritudinem (quā & à principio Deus illis attribuit) ſyderum, cœli & ſolis. Verè namque mirari poſſumus, qua ratione cum tot anni ſint elapſi, nihil tale ſint paſſi, quale noſtra corpora patiuntur, neque ſenectute reddita fuerint imbecilliora, neq. morbo vel ęgritudine aliqua debilitata ſint, ſed vim ac pulchritudinē ſuam, quàm vt antè dixi, Deus illis attribuerat, perennē D conſeruēt, & neq. Solis cōſumptum ſit lumē, neque ſyderū ſplēdor obſcuratus, neq; cœli fulgor effluxerit, nō maris termini loco moti ſint, non terræ virtus ad partus annuos fructuū edendos extincta ſit. Hæc autem omnia corruptioni eſſe obnoxia cum ex rationib⁹, tum ex ſacris literis demōſtrauimus, pulchra vero illa eſſe ac ſplēdida, ſuumque ſemper integrū vigorē cōſeruaſſe, quotidianus eorū qui cernūt teſtatur aſpectus, in quo maximè admirādus eſt Deus, qui ſic eas ab initio cōdidit. Sed quoniā dū hæc à nobis dicerētur, tū refragabātur nōnulli di-

Obiectio refellitur de dignitate hominis.

ὅτε καὶ περὶ σπερμάτων, καὶ περὶ βοτανῶν, καὶ περὶ ἀνθέων, καὶ περὶ φυτῶν ἐγκάρπων τε καὶ ἀκάρπων, καὶ περὶ ἀλόγων, ἡμέρων τε καὶ ἀγρίων, ἐνύδρων τε καὶ χερσαίων, καὶ ἀμφιβίων, περὶ τῶν τὸν ἀέρα τεμνόντων, περὶ τῶν χαμαὶ συρομένων, καὶ περὶ αὐτῶν τῶν τοῦ παντὸς στοιχείων πολλὰ διελέχθην, καὶ καθ' ἕκαστον ἐπεβοῶμεν κοινῇ πάντες, ἀπονούσης ἡμῖν πρὸς τὸν ἄπειρον πλοῦτον τῆς διανοίας, καὶ τὸ πᾶν καταλαβεῖν μὴ δυναμένης, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. οὐ διὰ τὸ πλῆθος δὲ μόνον ἐθαυμάζομεν τοῦ θεοῦ τὴν σοφίαν, ἀλλὰ καὶ δι' ἀμφότερα ταῦτα, ὅτι καὶ καλὴν καὶ μεγάλην καὶ θαυμαστὴν τὴν κτίσιν ἐποίησε, καὶ ὅτι πολλὰ πάλιν τῆς ἀσθενείας αὐτῆς δείγματα ἐναπέθετο τοῖς ὁρωμένοις· τὸ μὲν, ἵνα θαυμάζηται ἐπὶ σοφίᾳ, καὶ πρὸς τὴν ἑαυτοῦ λατρείαν τοὺς ὁρῶντας ἐφέλκηται· τὸ δὲ, ἵνα μὴ τὸν ποιήσαντα ἀφέντες οἱ θεωροῦντες αὐτῶν τὸ κάλλος καὶ τὸ μέγεθος, ἀντ' ἐκείνου προσκυνήσωσι τὰ ὁρώμενα, τῆς ἐν αὐτοῖς ἀσθενείας δυναμένης τὴν τοιαύτην διορθῶσαι πλάνην. καὶ πῶς φθαρτὴ πᾶσά ἐστιν ἡ κτίσις, καὶ πρὸς τὸ βέλτιον μεταστήσεται σχῆμα, καὶ πλείονος ἀπολαύσεται δόξης, καὶ πότε, καὶ διὰ τί, καὶ τίνος ἕνεκεν φθαρτὴ γέγονε, καὶ ταῦτα ἅπαντα πρὸς ὑμᾶς ἐφιλοσοφοῦμεν τότε, καὶ τοῦ θεοῦ τὴν δύναμιν κἀντεῦθεν ἐδείκνυμεν, ὅτι ἐν φθαρτοῖς σώμασι τοσοῦτον εἰργάσατο κάλλος (ὅπερ καὶ ἐξ ἀρχῆς αὐτοῖς συνεκλήρωσεν ὁ θεὸς) τὸ τῶν ἄστρων, τὸ τοῦ οὐρανοῦ, τὸ τοῦ ἡλίου. καὶ γὰρ ὄντως ἐστὶ θαυμάσαι, πῶς ἐτῶν παρελθόντων τοσούτων, οὐδὲν ἔπαθον, οἷα τὰ ἡμέτερα σώματα, οὐδὲ τῷ γήρᾳ ἀσθενέστερα γέγονεν, οὐδὲ νόσῳ καὶ ἀρρωστίᾳ τινὶ κατεμαλακίσθη, ἀλλὰ τὴν οἰκείαν ἀκμὴν καὶ τὸ κάλλος, ὅπερ, ὡς ἔφθην εἰπὼν, ἐξ ἀρχῆς αὐτοῖς συνεκλήρωσεν ὁ θεὸς, μένει διατηροῦντα, καὶ οὔτε τὸ ἡλιακὸν ἐξετέλεσε φῶς, οὔτε τὸ τῶν ἄστρων ἄνθος ἀμαυρότερον γέγονεν, οὐχ ἡ τοῦ οὐρανοῦ φαιδρότης ἐξερρύη, οὐχ οἱ τῆς θαλάττης ἐκινήθησαν ὅροι, οὐχ ἡ τῆς γῆς ἐσβέσθη δύναμις ἡ περὶ τοὺς τόκους τῶν ἐτησίων καρπῶν. καὶ ὅτι φθαρτὰ ταῦτά ἐστι, καὶ ἀπὸ λογισμῶν, καὶ ἀπὸ τῶν θείων γραφῶν ἀπεδείξαμεν· ὅτι δὲ καλὰ, καὶ φαιδρὰ, καὶ τὸ ἄνθος ἀκμάζον διετήρησεν, ἡ καθημερινὴ μαρτυρεῖ τῶν ὁρώντων ὄψις, ὃ δὴ μάλιστά ἐστι θαυμάσαι τοῦ ποιήσαντος οὕτως αὐτὰ ἐξ ἀρχῆς θεοῦ. ἐπεὶ δὲ ταῦτα λεγόντων ἡμῶν τότε τινὲς ἀντέτεινον, λέγοντες.

οὐκοῦν πάντων τῶν ὁρωμένων ἀτιμότερον ὁ ἄνθρωπος, εἴγε οὐρανοῦ μὲν σῶμα, καὶ γῆς, καὶ ἡλίου, καὶ τῶν ἄστρων ἁπάντων πρὸς τοσοῦτον διήρκεσε χρόνον· οὗτος δὲ μετὰ ἑβδομήκοντα ἔτη διαλύεται, καὶ ἀπόλλυται. πρῶτον μὲν ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐχ ὁλόκληρον διαλύεται τὸ ζῶον, ἀλλὰ τὸ κυριώτερον αὐτοῦ καὶ ἀναγκαιότερον, ἡ ψυχὴ μένει διηνεκῶς ἀθάνατος, οὐδενὶ τούτων εἴκουσα τῶν παθῶν, καὶ ἡ φθορὰ περὶ τὸ ἔλαττον γίνεται. δεύτερον ὅτι καὶ τούτῳ αὐτῷ τιμώμεθα μειζόνως. οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ δίχα αἰτίας τινός, ἀλλὰ καὶ δικαίως, καὶ ἐπὶ χρησίμῳ, καὶ γῆρας καὶ νόσους ὑπομένομεν. δικαίως μὲν, ὅτι περὶ ἁμαρτίαν κατεπέσομεν· χρησίμως δὲ, ἵνα τὴν ἐκ τῆς ῥᾳθυμίας ἐγγινομένην ἡμῖν ἀπόνοιαν διὰ τῆς ἐνδείας ταύτης καὶ τῶν παθῶν διορθώσωμεν. οὐ τοίνυν ἀτιμάζων ἡμᾶς ὁ θεὸς τοῦτο γενέσθαι εἴασεν. εἰ γὰρ ἠτίμαζεν, οὐκ ἂν τὴν ψυχὴν ἡμῖν ἀφῆκεν ἀθάνατον εἶναι. ἀλλ' οὐδὲ ἀσθενὲς, τὸ σῶμα τὸ ἡμέτερον ἐποίησε τοιοῦτον. εἰ γὰρ ἠσθένει, οὐκ ἂν τὸν οὐρανὸν, καὶ τοὺς ἀστέρας, καὶ τὸ σῶμα τῆς γῆς ἴσχυσε τοσοῦτον διακρατῆσαι χρόνον· ἀλλ' ὑπὲρ τοῦ βελτίους ποιῆσαι καὶ σωφρονεστέρους, καὶ αὐτῷ μᾶλλον καταπειθεῖς, ὅπερ ἁπάσης ἐστὶ σωτηρίας ὑπόθεσις. διὰ τοῦτο οὐρανὸν μὲν οὐκ ἐποίησεν οὔτε γήρᾳ ἁλίσκεσθαί τέως, οὔτε νόσοις τισὶ τοιαύταις ἀρρωστίαις. ὁ γὰρ προαιρέσεως καὶ ψυχῆς ἀπεστερημένος, οὔτε ἁμαρτεῖν, οὔτε κατορθῶσαι δύναιτ' ἄν. ὅθεν οὐδὲ διορθώσεως αὐτῷ χρεία τοιαύτης. ἡμῖν δὲ τοῖς λόγῳ καὶ ψυχῇ τετιμημένοις ἀναγκαῖον γέγονεν ἡ διὰ τῶν παθῶν τούτων ἐγγινομένη σωφροσύνη, καὶ ταπεινοφροσύνη, ἐπεὶ καὶ παρὰ τὴν ἀρχὴν περὶ τῶν ἄλλων ἁπάντων εἰς ἀπόνοιαν ἀπεσκίρτησεν ὁ πρῶτος γενόμενος ἄνθρωπος. ἄλλως δὲ, εἰ καθάπερ τὰ ἡμέτερα σώματα, οὕτω καὶ ὁ οὐρανὸς ἔμελλε κατασκευάζεσθαι καὶ γηρᾶν, πολλὴν ἂν πολλοὶ τοῦ ποιοῦντος κατέγνωσαν ἀσθένειαν, ὡς οὐκ ἰσχύοντος ἓν σῶμα διακρατῆσαι ἐπὶ πολλὰς ἐτῶν περιόδους· νῦν δὲ αὐτοῖς καὶ αὕτη ἡ πρόφασις ἀνῄρηται, τῶν ἔργων ἐπὶ τοσοῦτον χρόνον μενόντων. πρὸς δὲ τοῖς εἰρημένοις, οὐδὲ μέχρι τούτου στήσεται τὰ ἡμέτερα, ἀλλ' ἐπειδὰν τῷ παρόντι βίῳ σωφρονισθῶμεν καλῶς, μετὰ πλείονος ἀναστήσεται δόξης τὰ σώματα καὶ οὐρανοῦ, καὶ ἡλίου, καὶ τῶν ἄλλων ἁπάντων ἔσται λαμπρότερα, καὶ πρὸς τὴν ἄνω μεταστήσεται λῆξιν. εἷς μὲν οὖν θεογνωσίας τρόπος, ὁ διὰ τῆς κτίσεως ἀ-

A cētes. Igitur omniū quæ ſub aſpectū cadunt, viliſſimū eſt homo, ſi quidem cœli corpus, terræ, ſolis, & omniū ſyderū tanto tempore durauit: hic vero poſt annos ſeptuaginta diſſoluitur atq. interit. Primum quidem illud dixerimus, non totū animal diſſolui, ſed magis præcipuā magiſq neceſſariā partē perpetuo manere animā immortalē, quæ nullis eiuſmodi morbis eſt obnoxia, minorē autē interitum inuadere: deinde hoc ipſum maiorē cedere nobis in honorem. Neq enim temere neq; ſine cauſa aliqua, ſed & iuſtè atq. in rem noſtram & ſenectutem & morbos ſuſtinemus. Iuſtè quidem, quod in peccatū lapſi fuerimus: in rem noſtrā B autem vt ingenitā nobis ex ignauia ſuperbiam, per hos defectus ac morbos retundamus. Non igitur vt cōtumelia nos afficeret, hoc fieri permiſit Deus. Si enim afficere cōtumelia voluiſſet, nequaquā immortalē eſſe animam noſtrā ſiuiſſet, Sed neq; quod imbecillis eſſet & impotens, tale noſtrū hoc corpus effecit. Etenim ſi imbecillis eſſet, nequaquam cœlum & ſydera, & terræ corpus tāto tempore tueri in rerū natura potuiſſet: ſed vt nos meliores, moderatioreſque redderet ſibique magis obſequentes, quod C omnis nobis ſalutis occaſionem largitur. Propterea non effecit, vt aut ſenectute cœlum, aut aliis quibuſdam talib. morbis corriperetur. Cum enim libero arbitrio ſit & anima deſtitutum, neque peccare, neque, rectè agere poteſt: vnde neque eiuſmodi emendatione illi eſt opus: nobis autem qui ratione ſumus & anima exornati, neceſſarium fuit, vt per has infirmitates morboſq; modeſtia & humilitas ingeneraretur, quandoquidem à principio præ cæteris omnib. primus homo fuerat in ſuperbiam elatus. Alioquin autem ſi quemadmodum no- D ſtra corpora, ſic etiam cœlum conſtitutum fuiſſet ac ſenectuti obnoxium, multi conditorem imbecillitatis accuſaſſent, vt qui minimè poſſet vnum corpus in multos annorum circuitus conſeruare: iam vero præciſa eſt illis hæc occaſio, cum tanto tempore opera ipſius permaneant. Accedit ad ea quæ diximus, quod non intra hoc ſeculum res noſtræ ſubſiſtunt, ſed poſtquam in hac vita probè fuerimus caſtigati, maioiori corpora noſtra cum gloria reſurgent, & cœlo, ſole ac cæteris omnibus ſplendidiora cernentur, & ad meliorem ſortem conditionemque transferentur. Vnus ergo modus eſt cognitionis Dei,

Obiectio refellitur de dignitate hominis.

Cur obnoxios morbis nos eſſe voluerit Deus.

quã omnium creaturarum conſideratio parit: alter verò nihilo minor eius quẽ ſuppeditat cõſcientia, quem ipſumcum quoque pluribus verbis expoſuimus, ſimulque oſtendimus inſitam eſſenobis à natura bonarum malarumque rerũ cognitionẽ, & conſcientiam nobis interius hæc cuncta dictare. Duo quippe nobis à principio dati ſunt à natura doctores, creatura, & cõſcientia, & neutro eorum vocem mittẽte homines taciti inſtruebant. Nã & creatura conſpectu ſuo ſpectatorem obſtupefaciens, illum cuncta cernetẽ ad eius qui ipſam condidit, admirationem traducit: conſcientia verò, quæ intus dictat, omnia quæ facienda ſunt, ſuggerit, eiuſq; virtutẽ, & ſententiæ iudicium ex ipſo rerum aſpectu deprehendimus. Dũ enim intus peccatum accuſat, vultum confundit exterius, ac multo mœrore cõplet. Rurſus pallidos reddit & pauidos, cum in re aliqua turpi fuerimus deprehenſi, & vocem quidem non audimus, ſed per externũ aſpectum ingeneratam intus indignationem contemplamur. Cum his autẽ duobus tertium quoque doctorẽ à Dei prouidẽtia fuiſſe adiunctum oratio demonſtrabat non iam mutum vt priores, ſed qui ſermone, admonitione, cõſilioq; animum noſtrum componeret ac dirigeret. Quis ille porro eſt? Qui attributus eſt vnicuique naſcenti pater. Propterea namque fecit Deus, vt à parẽtibus diligeremur, vt præceptores virtutis haberemus. Nõ enim genuiſſe tãtùm patrem efficit, ſed rectè inſtituiſſe: neque peperiſſe tãtum, ſed rectè educaſſe matrẽ reddit. Atque hoc verum eſſe, neque naturam ſed virtutem patres efficere, coufitebuntur parẽtes ipſi. Sane quidem filios ſuos ſæpenumero cum deprauatis moribus fuiſſe viderint, atque in improbitatem degeneraſſe, ex ſuorum illos cognatorũ numero eiiciunt, abdicant, alios ſibi adoptãt filios, qui nulla ſibi erant propinquitate coniuncti. An vero quicquam hoc fieri poteſt mirabilius, quàm vt quos genuerunt, eiiciant: quos autẽ minime genuerunt, ſibi adſciſcant? Non ſine cauſa dicta ſunt hæc à nobis, ſed vt ſcias maiorẽ eſſe vim liberi arbitrij quàm naturæ, atque ipſam potius quã illam patres efficere cõſueuiſſe. Enimuero diuinę hoc opus fuit prouidentiæ, vt neque naturali affectu deſtitutos liberos relinqueret, neque totum rurſus illi committeret. Si enim nulla penitus impulſi neceſſita-

Liberi arbitrij maior vis, quã naturæ.

A πάσης· ἕτερος δὲ οὐκ ἐλάττων, ὁ τοῦ συνειδότος, ὃν καὶ τοῦτον ἅπαντα τότε διὰ πλειόνων ἐξεθέμεθα λόγων, δεικνύντες πῶς αὐτοδίδακτος ἡμῖν ἐστιν ἡ τῶν καλῶν καὶ τῶν οὐ τοιούτων γνῶσις, καὶ πῶς ἔνδοθεν ἡμῖν τὸ συνειδὸς ἅπαντα ἐνηχεῖ ταῦτα. δύο γὰρ οὗτοι διδάσκαλοι γεγόνασιν ἡμῖν ἐξ ἀρχῆς, ἡ κτίσις, καὶ τὸ συνειδός· καὶ οὐδέτερος αὐτῶν φωνὴν ἀφιεὶς, σιγῇ τοὺς ἀνθρώπους ἐπαίδευον. ἥτε γὰρ κτίσις διὰ τῆς ὄψεως ἐκπλήττουσα τὸν θεατὴν, εἰς τὸ τοῦ ποιήσαντος αὐτὴν θαῦμα παραπέμπει τὸν ὁρῶντα ἅπαντα· τό τε συνειδὸς ἔνδον ἐνηχοῦν, ἅπαντα ὑποβάλλεται πρακτέα· καὶ τὴν δύναμιν αὐτοῦ, καὶ τῆς ψήφου τὴν κρίσιν, διὰ τῆς τῶν ὄψεως πραγμάτων
B καταλαμβανόμεθα. ὅταν γὰρ ἔνδον κατηγορῇ τῆς ἁμαρτίας, συγχεῖ τὴν ὄψιν ἔξωθεν, καὶ πολλῆς τῆς ἀθυμίας πληροῖ. πάλιν ὠχροὺς ἐργάζεται καὶ περιδεεῖς, ὅταν ἐπί τινι τῶν αἰσχίστων ἁλῶμεν, καὶ τῆς φωνῆς μὲν οὐκ ἀκούομεν, διὰ δὲ τῆς ἔξωθεν ὄψεως τὴν ἔνδον γινομένην ἀγανάκτησιν θεωροῦμεν. μετὰ δὲ τούτων τῶν δύο, καὶ τρίτον ἡμῖν διδάσκαλον ἐδείκνυ προστεθέντα παρὰ τῆς τοῦ θεοῦ κηδεμονίας ὁ λόγος, οὐκέτι ἄφωνον, καθάπερ τοὺς προτέρους, ἀλλὰ λόγῳ, καὶ παραινέσει, καὶ συμβουλῇ ῥυθμίζοντα ἡμῶν
C τὴν γνώμην. τίς δὲ οὗτός ἐστιν; ὁ συγκεκληρωμένος ἑκάστῳ γινομένῳ πατήρ. διὰ γὰρ τοῦτο φιλεῖσθαι παρὰ τῶν γεννησαμένων ἡμᾶς κατεσκεύασεν ὁ θεὸς, ἵνα παιδευτὰς ἔχωμεν τῆς ἀρετῆς. οὐ γὰρ τὸ σπεῖραι ποιεῖ πατέρα μόνον, ἀλλὰ τὸ παιδεῦσαι καλῶς· οὐδὲ τὸ κυῆσαι μητέρα ἐργάζεται, ἀλλὰ τὸ θρέψαι καλῶς. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, καὶ οὐχ ἡ φύσις, ἀλλ' ἡ ἀρετὴ ποιεῖ πατέρας, αὐτοὶ συνομολογήσαιεν ἂν ἡμῖν οἱ γονεῖς. τοὺς γοῦν υἱοὺς τοὺς ἑαυτῶν πολλάκις, ἐπειδὰν φαύλους ἴδωσι γινομένους, καὶ εἰς πονηρίαν ἀποσκιρτήσαντας, τῆς συγγενείας τῆς ἑαυτῶν ἐκκόπτουσιν, ἀποκηρύττοντες, ἑτέρους
D ποιοῦντες υἱοὺς οὐδαμόθεν αὐτοῖς πολλάκις προσήκοντας. ἆρα τί τούτου γένοιτ' ἂν παραδοξότερον, ὅταν οὓς μὲν ἐγέννησαν ἐκβάλλωσιν, οὓς δὲ οὐκ ἐγέννησαν εἰσάγωσιν; οὐχ ἁπλῶς ἡμῖν ταῦτα εἴρηται, ἀλλ' ἵνα μάθῃς, ὅτι προαίρεσις φύσεως δυνατωτέρα, καὶ αὕτη μᾶλλον ἐκείνης καὶ υἱοὺς καὶ πατέρας ποιεῖν εἴωθε. καὶ τοῦτο δὲ τῆς τοῦ θεοῦ κηδεμονίας ἔργον ἐγένετο, τὸ μήτε γυμνοὺς τῆς φυσικῆς διαθέσεως ἀφεῖναι γενέσθαι τοὺς παῖδας, μήτε τὸ πᾶν ἐπιτρέψαι πάλιν ἐκείνῃ. εἰ μὲν γὰρ μηδ' ὅλως ἔμελλον φιλεῖν τοὺς ἑαυτῶν

υἱοὺς οἱ γονεῖς ἀνάγκῃ κινούμενοι φυσικῇ, ἀλλ' ἀπὸ A τῶν τρόπων, καὶ τῶν κατορθωμάτων μόνον, πολλοὺς ἂν εἶδες ἔξω τῆς πατρῴας οἰκίας γινομένους διὰ τὴν οἰκείαν ὀλιγωρίαν, καὶ διεσπασμένον ἡμῶν τὸ γένος. πάλιν εἰ τὸ πᾶν ἐπέτρεψε τῇ τυραννίδι τῆς φύσεως, καὶ μηδὲ πονηροὺς ὄντας μισεῖν ἀφῆκεν, ἀλλὰ καὶ ὑβριζόμενοι καὶ μυρία πάσχοντες παρ' αὐτῶν οἱ πατέρες δεινά, διὰ τὴν τῆς φύσεως ἀνάγκην ἔμενον θεραπεύοντες ὑβρίζοντας καὶ ἐμπαροινοῦντας αὐτοῖς τοὺς παῖδας, εἰς ἔσχατον ἂν κακίας τὸ γένος ἡμῶν ἐξώλισθεν. εἰ γὰρ νῦν οὐ τὸ πᾶν ἔχοντες τῇ φύσει θαρρεῖν οἱ παῖδες, ἀλλ' εἰδότες ὅτι πολλοὶ γενόμενοι φαῦλοι, καὶ τῆς οἰκίας, καὶ τῆς οὐσίας ἐξέπε- B σον τῆς πατρικῆς ὅμως πολλαχοῦ τῷ τῶν γονέων φίλτρῳ θαρροῦντες ἐνυβρίζουσιν εἰς τοὺς τεκόντας· εἰ μὴ συνεχώρησεν αὐτοῖς ὁ θεὸς καὶ ἀγανακτεῖν, καὶ ἐπεξιέναι, καὶ κακοὺς γινομένους ἐκβάλλειν τοὺς παῖδας, ποῦ πονηρίας ἂν ἔστησαν; διὰ ταῦτα καὶ τῇ τῆς φύσεως ἀνάγκῃ, καὶ τῷ τῶν παιδίων τρόπῳ τὸ φίλτρον ἐνεπίστευσε τῶν γονέων ὁ θεὸς, ἵνα καὶ ἁμαρτάνουσι σύμμετρα συγγινώσκωσι τοῖς παισὶ, τῆς φύσεως αὐτοὺς ἐπὶ τοῦτο παρακαλούσης, καὶ πονηροὺς γινομένους καὶ ἀνίατα νοσοῦντας μὴ παιδοτριβῶσιν ἐπὶ κακίαν τῇ πονηρίᾳ, τῆς φύσεως C πάλιν ἐλεγχούσης καὶ δυναμένης ἀναγκάσαι καὶ φαύλους γενομένους θεραπεύειν τοὺς παῖδας. πόσης ταῦτα προνοίας, εἰπέ μοι, καὶ τὸ κελεῦσαι δὲ φιλεῖν, καὶ τὸ μέτρον ἐπιθεῖναι τῷ φίλτρῳ, καὶ τὸ πάλιν ἀμοιβὴν ὁρίσαι τῇ καλῇ παιδοτροφίᾳ; ὅτι γὰρ ἀμοιβὴ κεῖται, καὶ οὐκ ἀνδράσι μόνον, ἀλλὰ καὶ γυναιξὶν, ἄκουσον πῶς πολλαχοῦ καὶ ταύταις καὶ περὶ τούτων ἡ γραφὴ διαλέγεται, καὶ οὐχ ἧττον ταύταις, ἢ τοῖς ἀνδράσιν. εἰπὼν γὰρ ὁ Παῦλος, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονεν, ἐπήγαγε· σωθήσεται δὲ διὰ τῆς τεκνογονίας. ὃ δὲ λέγει D τοιοῦτόν ἐστιν· ἀλγεῖς, φησιν, ὅτι σε ἡ πρώτη γυνὴ εἰς ὠδῖνας καὶ πόνους ἐνέβαλε καὶ κύησιν μακράν; ἀλλὰ μὴ δυσχεράνῃς· οὐ γὰρ τοσοῦτον ἐπηρεάσθης ἀπὸ τῶν ὠδίνων, καὶ τῶν πόνων, ὅσον κερδαίνεις, ἐὰν θέλῃς, ἀπὸ τῆς παιδοτροφίας πρόφασιν λαμβάνουσα κατορθωμάτων. τὰ γὰρ παιδία τὰ τικτόμενα, ἂν τῆς προσηκούσης ἀπολαύῃ θεραπείας, καὶ εἰς ἀρετὴν ἐνάγηται παρὰ τῆς σῆς προνοίας, πολλῆς σοι σωτηρίας ἀφορμὴ καὶ πρόφασις γίνεται, καὶ πρὸς τοῖς οἰκείοις κατορθώμασι, καὶ τῆς περὶ ταῦτα θεραπείας πολλὴν ἀπολήψῃ τὴν ἀμοιβήν.

te naturæ filios ſuos parentes dilecturi fuiſſent, ſed morum probitate tantum & rectè factorum ſtudio ducti, multos paternis ædibus exactos ob ignauiam ſuam, totumque genus humanum paſſim diſtractum ac diſſipatum vidiſſes. Si rurſus rem totam virtuti naturæ cõmiſiſſet, & ne improbos quidẽ odio proſequi permiſiſſet, ſed & ab illis cõtumeliis affecti, & innumera mala paſſi patres naturæ neceſſitate deuincti filiis in ſe contumelioſis, ac de bacchantibus blandiri nõ ceſſaſſent, ad ſummum nequitiæ culmen genus humanum prouectum eſſet. Nam ſi nunc cum totum credere naturæ non poſſint filij, ſed multos ſciant, cũ deprauati eſſent, & domo & facultatib. paternis excidiſſe, perſæpe tamen parẽtũ amore freti contumeliis eos afficiũt: niſi permiſiſſet Deus, vt & illis ſuccenſerent, & vlciſcerentur, & improbos factos liberos procul amandarent, quo nõ ſe nequitiæ genere cõtaminaſſent? Has ob cauſas & naturæ neceſſitate, & liberorum moribus niti parentum amorem voluit Deus, vt & mediocriter peccantib. liberis ad hoc eos inuitante natura veniam darent, & deprauatos atq; immedicabili morbo laborãtes punirent, ne ad vitium illos indulgẽtia ſua erudirent, ſi natura rurſus vinceret, eoſq; liberis ſuis blandiri cogeret, etiam cum improbi euaſiſſent. Quãtæ hoc quæſo prouidentiæ, cũ & diligere iubeat, & amori modum ponere, & rurſus optimæ liberorum educationi mercedem cõſtituat? Propoſita enim eſſe mercedem & non viris tãtum, ſed etiam fœminis vt intelligas, audi quo pacto multis in locis & ad illas & de illis ſcriptura verba faciat, neque minus ad illas quàm ad viros. Cum enim dixiſſet Paulus, Mulier autẽ ſeducta in præuaricatione fuit, adiecit, Saluabitur autem per filiorũ generationẽ. Quod autem ait hanc ſententiã habet: Doles, inquit, quod te mulier prima in partus dolores laboreſque, ac longam vteri geſtationem coniecerit? at tu noli ſuccenſere: neque enim tanto damno propter dolores partus & labores affecta es, quantum quæſtum lucrifacis, ſi velis, dum bonorum operum occaſionem ex recta liberorum educatione ſumis. Qui enim nati ſunt liberi, ſi conuenientem fuerint cultum nacti, ac tua cura fuerint ad virtutem informati, multam tibi offerent occaſionem ſalutis, ac præter propria bona opera multam ob ſtudium in iſta collatum recipies mercedem.

Filij praui abdicãtur à parentib.

1.Tim. 2.15.

Atq; vt diſcas non partum matrem efficere, neq; mercedem huic eſſe rei propoſitam, alibi quoque viduam alloquẽs Paulus ita dixit: Si filios educauit: neque dixit ſi filios peperit, ſed, ſi filios educauit. Nam illud quidem naturæ, hoc vero liberi eſt arbitrij. Propterea cũ hic etiam dixiſſet, Saluabitur per filiorum generationem, neque hic ſubſtitit, ſed cum oſtendere vellet non liberos genuiſſe, ſed rectè liberos educaſſe, hoc nobis afferre mercedem adiecit: Si permanſerint in fide, & dilectione & ſanctificatione cum ſobrietate. Quorum verborum hic ſenſus eſt: Tunc multam mercedẽ accipies, ſi qui procreati ſunt liberi permanſerint in fide, & dilectione & ſanctificatione. Si igitur ad hæc eos incites, ſi admoneas, ſi doceas, ſi cõſilio iuues, ob hanc curam multa tibi apud Deum merces erit conſtituta. Ne igitur alienum à ſe mulieres arbitrentur, ſi & fœminarum & marium curam gerant. Non enim hic ſexum diſtinxit Deus, ſed & illic ſimpliciter dixit, Si filios educauit, & hîc, ſi permanſerint, in fide, & dilectione, & ſanctificatione. Itaque vtriuſque generis liberorum ſuſcipienda nobis eſt cura, tantoque magis mulieribus, quanto ſæpius domi reſident. Nam viros quidem peregrinationes, ac fori ſollicitudines, & negotia ciuitatis ſæpe diſtrahunt: mulier autem ab his curis immunitatem ſortita facilius poterit, cum tanto fruatur otio, liberorum curam gerere. Ita faciebant antiquæ mulieres: non enim à viris ſolum, ſed etiam à mulieribus hoc neceſſario debetur, vt ſuos inquã liberos curent, atque ad philoſophiam illos incitent. Quod vt verum eſſe conſtet, veterem vobis hiſtoriam narrabo. Fuit apud Iudæos Anna mulier quædam. Hæc Anna multo tempore ſterilitate laborauit, quodque grauius fuit, eius æmula multorum liberorum mater erat. Scitis autem, quàm natura ſua & per ſeipſam res illa mulieribus ſit intolerabilis: cum vero liberos habens accedit æmula, multo fit grauior. Siquidem ex mulieris illius proſperitate melius calamitatem ſuam intelligit: quemadmodum & qui extrema premuntur egeſtate, tum dolent acrius, cum diuites illis in mentem venerint. Neque vero cala-

1.Tim. 5.10.

1.Tim. 2.15.

Mulieri maximè conuenit educatio liberorũ.

Hiſtoria Annæ matris Samuelis.

A καὶ ἵνα μάθῃς, ὅτι οὐ τὸ τεκεῖν ποιεῖ μητέρα, οὐδὲ τούτῳ κεῖται μισθὸς, καὶ ἀλλαχοῦ μὲν χήρᾳ διαλεγόμενος ὁ Παῦλος οὕτως εἶπεν, Εἰ ἐτεκνοτρόφησε, καὶ οὐκ εἶπεν, εἰ ἐτεκνοποίησεν, ἀλλ', εἰ ἐτεκνοτρόφησε. τὸ μὲν γὰρ, τῆς φύσεως, τὸ δὲ, τῆς προαιρέσεώς ἐστι. καὶ διὰ τοῦτο καὶ ἐνταῦθα εἰπὼν, σωθήσεται διὰ τῆς τεκνογονίας, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι οὐ τὸ γεννῆσαι τέκνα, ἀλλὰ τὸ θρέψαι τέκνα καλῶς, τοῦτο ἡμῖν φέρει τὸν μισθὸν, ἐπήγαγεν· ἐὰν ἐπιμείνωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης. ὃ δὲ λέγει τοῦτό ἐστι· τότε B λήψῃ πολὺν τὸν μισθὸν, ἐὰν οἱ γεννηθέντες παῖδες ἐπιμείνωσι τῇ πίστει καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ. ἂν τοίνυν αὐτοὺς εἰς ταῦτα ἐνάγῃς, ἂν παρακαλῇς, ἂν διδάξῃς, ἂν συμβουλεύσῃς, τῆς ἐπιμελείας ταύτης κείσεταί σοι παρὰ τῷ θεῷ πολλὴ ἡ ἀμοιβή. μὴ τοίνυν ἀλλότριον αὐτῶν εἶναι νομιζέτωσαν αἱ γυναῖκες, τὸ καὶ θηλειῶν καὶ ἀρρένων ἐπιμελεῖσθαι. οὐ γὰρ διέκρινεν ἐνταῦθα τὸ γένος, ἀλλὰ κἀκεῖ ἁπλῶς εἶπεν, εἰ ἐτεκνοτρόφησε· καὶ ἐνταῦθα, ἐὰν ἐπιμείνωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ. ὥστε ἀμφοτέρων ἡμῖν C ἐπιμελητέον τῶν παιδίων, καὶ μάλιστα ταῖς γυναιξὶν, ὅσῳ καὶ τὰ πλείονα οἴκοι κάθηνται. τοὺς μὲν γὰρ ἄνδρας καὶ ἀποδημίαι, καὶ αἱ τῆς ἀγορᾶς φροντίδες, καὶ τὰ τῆς πόλεως πράγματα περιέλκουσι πολλάκις· ἡ δὲ γυνὴ πάσης τοιαύτης φροντίδος ἀτέλειαν ἔχουσα, εὐκολώτερον δύναιτ' ἂν τῶν τεχθέντων ἐπιμελεῖσθαι, πολλῆς ἀπολαύουσα τῆς σχολῆς. οὕτως αἱ παλαιαὶ ἐποίουν γυναῖκες. οὐ γὰρ ἀνδράσι μόνον, ἀλλὰ καὶ γυναιξὶν ἀναγκαῖον τοῦτο τὸ ὄφλημα· λέγω δὲ, τὸ τῶν οἰκείων προνοεῖσθαι παίδων, καὶ εἰς φιλοσοφίαν αὐτοὺς ἐνάγειν. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, D ἀρχαίαν τινὰ ἱστορίαν ὑμῖν διηγήσομαι. Αννα τις ἐγένετο παρὰ τοῖς Ἰουδαίοις γυνή. αὕτη ἡ Αννα πολὺν ἐνόσησεν ἀπαιδίας χρόνον, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι ἡ ἀντίζηλος αὐτῆς παίδων ἦν μήτηρ πολλῶν. ἴστε δὲ ὡς τῇ φύσει, καὶ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἀφόρητόν ἐστι ταῖς γυναιξίν· ὅταν δὲ καὶ ἀντίζηλος προσῇ παῖδας ἔχουσα, πολλῷ χαλεπώτερον γίνεται. ἐν γὰρ τῇ τῆς γυναικὸς ἐκείνης εὐπραγίᾳ τὴν οἰκείαν ἀκριβέστερον καταμανθάνει συμφοράν. καθάπερ οὖν καὶ οἱ πενίᾳ συζῶντες ἐσχάτῃ, τότε ὀδυνῶνται μειζόνως, ὅταν ἐννοήσωσι τοὺς πλουτοῦντας. καὶ οὐ τὸ

μόνον ἦν τὸ δεινὸν, ὅτι παῖδας αὕτη μὲν οὐκ εἶχεν, ἐκείνη δὲ εἶχεν, ἀλλ' ὅτι καὶ ἀντίζηλος ἦν, καὶ οὐχ ὅτι ἀντίζηλος ἦν μόνον, ἀλλ' ὅτι καὶ παρώργιζεν αὐτὴν διὰ τὸ ἐξουθενεῖν αὐτήν. ὁ δὲ θεὸς ταῦτα πάντα ὁρῶν ἠνείχετο, καὶ οὐκ ἔδωκεν αὐτῇ κύριος, φησι, παιδίον κατὰ τὴν θλῖψιν αὐτῆς, καὶ κατὰ τὴν ἀθυμίαν τῆς ψυχῆς αὐτῆς. τί ἐστι, κατὰ τὴν θλῖψιν αὐτῆς; οὐκ ἔστιν εἰπεῖν, φησιν, ὅτι πράως ὁρῶν φέρουσαν τὴν συμφορὰν ἐπεῖχεν αὐτῆς τὸν τόκον, ἀλλὰ καίτοι διακοπτομένην ὁρῶν, ὀδυνωμένην, θλιβομένην, οὐκ ἔλυσε τὴν ἀθυμίαν, ἕτερόν τι πολλῷ μεῖζον οἰκονομῶν. Ταῦτα μὴ παρέργως ἀκούωμεν, ἀλλὰ καὶ ἐντεῦθεν μάθωμεν μεγίστην φιλοσοφίαν, καὶ ἐπειδὰν δεινῷ τινι περιπέσωμεν, κἂν ἀλγῶμεν, κἂν ὀδυρώμεθα, κἂν ἀφόρητον ἡμῖν εἶναι δοκῇ τὸ κακὸν, μὴ σπεύδωμεν, μηδὲ ἀλύωμεν, ἀλλ' ἀναμένωμεν τοῦ θεοῦ τὴν πρόνοιαν. ἐκεῖνος γὰρ οἶδε σαφῶς πότε δεῖ λῦσαι τὸ ποιοῦν τὴν ἀθυμίαν ἡμῖν· ὅπερ οὖν καὶ ἐπὶ ταύτης συνέβη. οὐ γὰρ μισῶν αὐτὴν, οὐδὲ ἀποστρεφόμενος ὁ θεὸς ἀπέκλεισεν αὐτῆς τὴν μήτραν, ἀλλ' ἵνα ἡμῖν ἀνοίξῃ τὰς θύρας τῆς φιλοσοφίας τῆς ἐν τῇ γυναικὶ, καὶ τὸν πλοῦτον αὐτῆς τῆς πίστεως κατίδωμεν, καὶ γνῶμεν ὅτι λαμπροτέραν αὐτὴν ἐκ τούτου εἰργάζετο. ἄκουε δὲ καὶ τὰ ἑξῆς· καὶ οὕτως ἐποίει, φησὶν ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἀπὸ ἱκανοῦ ἐν τῷ ἀναβαίνειν αὐτὴν εἰς οἶκον κυρίου. καὶ ἠθύμει καὶ ἔκλαιε, καὶ οὐκ ἤσθιεν. ἐπιτεταμένη ἡ ὀδύνη, πολὺ τὸ μῆκος τῆς λύπης, οὐ δύο καὶ τρεῖς ἡμέραι, οὐδὲ εἴκοσι καὶ ἑκατὸν, οὐδὲ χίλιαι καὶ δὶς τοσαῦται. ἔτη πολλὰ λυπουμένη καὶ ὀδυνωμένη ἦν ἡ γυνή. τοῦτο γάρ ἐστι, τὸ ἀπὸ ἱκανοῦ. καὶ ὅμως οὐκ ἀπεδυσπέτησεν, οὐδὲ ἤλεγξεν αὐτῆς τὴν φιλοσοφίαν τοῦ χρόνου τὸ μῆκος, οὐδὲ τὰ ὀνείδη καὶ αἱ λοιδορίαι τῆς ἀντιζήλου, ἀλλ' ηὔχετο συνεχῶς καὶ ἱκέτευε. καὶ τὸ δὴ μεῖζον ἁπάντων, καὶ ὃ μάλιστα δείκνυσιν αὐτῆς τὸν περὶ τὸν θεὸν πόθον, ὅτι οὐχ ἁπλῶς αὐτὸ τοῦτο τὸ παιδίον κτήσασθαι ἐπεθύμει, ἀλλὰ καρπὸν ἀναθεῖναι τῷ θεῷ, καὶ τῆς οἰκείας γαστρὸς ἀπάρξασθαι, καὶ τῆς καλῆς ταύτης ὑποσχέσεως λαβεῖν τὸν μισθόν. πόθεν τοῦτο δῆλον; ἐκ τῶν μετὰ ταῦτα ῥημάτων. ἴστε γὰρ δήπου πάντες, ὅτι ταῖς γυναιξὶ διὰ τοὺς ἄνδρας μάλιστα ἀφόρητον ἡ ἀπαιδία. πολλοὶ γὰρ τῶν ἀνθρώπων οὕτως ἀλόγως διάκεινται, ὡς ταῖς γυναιξὶν ἐγκαλεῖν,

A mitoſum hoc tantum fuit, quod hæc liberos nõ haberet, illa haberet, ſed quod æmula eſſet: neque quod æmula tantum eſſet, verum etiam quod ipſam ad iracundiam prouocaret, eo quod illam ſperneret. Deus autem cum hoc cerneret, tolerabat. Et nõ dedit ei Dominus, inquit, filium ſecundum tribulationem eius, & ſecundum triſtitiam animę eius. Quid eſt ſecũdum tribulationem eius? (1. Reg. 1. 5.) Dici non poteſt, inquit, eum videntem illam æquo animo calamitatem ferre, cohibuiſſe partum eius, ſed quamuis eam cruciari, dolere, affligi videret, mœrorem tamen eius nõ diſcuſſit, vt maius B aliquid moliretur. Hæc ne tanquã aliud agentes audiamus, ſed maximam philoſophiam hinc diſcamus, & ſi quando in malum aliquod inciderimus, licet doleamus, licet lamentemur, licet intolerabile nobis malum videatur, ne properemus, nec animo concidamus, ſed Dei prouidentiam expectemus. Ille namq; probè nouit, quando illud diſcutiendum ſit, quod triſtitiã nobis parit: quod & iſti contigit. Non enim quod ipſam odio proſequeretur, aut auerſaretur, Deus concluſerat vuluam eius, ſed vt fores nobis philoſophiæ reſeraret, qua C prædita mulier fuit, eiuſque fidei diuitias conſpiceremus, ac nobiliorem illam hinc ab eo fuiſſe redditam cognoſceremus. Audi vero etiam quæ ſequuntur. Et ſic faciebat, inquit, ſingulis annis à multo tempore, cum aſcenderet ipſa in domum Domini: & triſtabatur, & plorabat, & non comedebat. Intenſus dolor, diuturna prolixitas ægritudinis, non duo treſve dies, nec viginti, nec cẽtum, nec mille, nec bis totidem. Multis annis dolebat mulier, & cruciabatur, hoc enim eſt illud, à multo tempore: veruntamen non impatienter tulit, neque D temporis longitudo philoſophiam eius ſuperauit, neq; probra & conuitia ipſius æmulæ, ſed orabat aſſidue ac ſupplicabat: quod omnibus maius eſt, eiuſque potiſſimum erga Deum amorem indicat, non ſimpliciter hunc ipſum obtinere filium optabat, ſed Deo fructum dicare, atq; vteri ſui primitias offerre, ac præclaræ iſtius promiſſionis mercedem referre. Vnde id conſtat? ex iis verbis quæ ſequuntur. Scitis vtiq; omnes mulieribus propter viros maximè intolerandam eſſe ſterilitatem. Sunt enim homines plurimi tam immanes, vt mulieri-

(Sterilitas quã tũ malum.)

bus vitio vertāt, ſi forte nō pariant, nec ſciunt hoc pariendi donum de cœlis atque à prouidentia diuina originem trahere, ac neque naturam mulieris, neque congreſſum, neq; aliud quidquam ad hoc per ſe ſufficere. Verumtamen quamuis ſciant immeritò ſe vitio vertere, exprobrant & auerſantur perſæpe, neque illarũ conſortio delectantur. Videamus ergo, num huic mulieri hoc ipſum acciderit. Nam ſi deſpectã quidem illam, contemptam, & contumeliis affectã videris, neque gratia apud maritum valere, qui nec vlla ipſam beneuolentia complectatur, idcirco illam filium exoptaſſe coniicere poteris, vt multa fiducia & libertate gauderet, ac viro gratior fieret. Sin autem penitus contrariũ deprehenderis, eamque veriorem illa fuiſſe, quæ liberos habebat, quod eam vir ſuus maiori beneuolentia complecteretur, hinc apparet non ob humanum aliquem affectum, neq vt virum ſibi magis conciliaret, eam optaſſe liberos, ſed ob eam cauſam, quã diximus. Vnde igitur hoc liquet? audi hoc dicẽtem auctorem. Nō enim hoc temerè poſuit, ſed vt mulieris virtutem agnoſcas. Quid ergo inquit ille? Diligebat enim Annam Elcana ſuper Phenannã. Deinde porro cum illam videret non comedere, ſed plorare, inquit: Quid eſt tibi, quia ploras? & cur non comedis, & cur verberat te cor tuũ? nonne bonus ego tibi ſuper decem

1.Reg.1. 8.

filios? Vides quàm illi deuinctus eſſet? & eius cauſa potius dolebat, non quod liberis careret, ſed quod triſtem illam & mœrore cōfectam videret? Non tamen perſuaſit, vt triſtitiam diſcuteret. Non enim propter illum filium quærebat, ſed vt aliquem Deo fructum exhiberet. Et ſurrexit, inquit, poſtquam ipſi comederant in Selom, & biberant, & ſtetit totam Domino. Nō ſine cauſa dictum eſt

1.Reg.1. 9.

hoc quoque poſtquam comederant, & biberant: ſed vt intelligas, quod alij voluptatibus & otio tempus impendunt, illud eam precibus ac lacrymis impendiſſe, quod ſobria plurimum ac vigilans eſſet. Et ſtetit coram Domino. Et Heli Sacerdos, inquit, ſedebat ſuper ſellam in liminibus templi Domini. Ne hoc quidem temere poſitum eſt, Heli ſacerdos ſedebat in liminibus templi Domini, ſed vt feruor mulieris oſtendatur. Nam quemadmodum ſæpenumero

A ἐπειδὴ μὴ τίκτωσιν· οὐκ εἰδότες ὅτι τὸ τεκεῖν ἄνωθεν ἔχει τὴν ἀρχὴν, ἀπὸ τῆς τοῦ θεοῦ προνοίας, καὶ οὔτε γυναικὸς φύσις, οὔτε συνουσία, οὔτε ἄλλο οὐδὲν αὐταρκές πρὸς τοῦτό ἐστιν. ἀλλ' ὅμως καίτοιγε εἰδότες ὅτι ἀδίκως ἐγκαλοῦσιν, ὀνειδίζουσι, καὶ ἀποστρέφονται πολλάκις, καὶ οὐχ ἡδέως πρὸς αὐτὰς ἔχουσιν. ἴδωμεν τοίνυν καὶ ἐπὶ ταύτης τῆς γυναικὸς εἰ τοῦτο συνέβαινεν. ἂν μὲν γὰρ ἴδῃς αὐτὴν καταφρονουμένην, ἀτιμαζομένην, ὑβριζομένην, παρρησίαν οὐκ ἔχουσαν πρὸς τὸν ἄνδρα, οὐδὲ πολλῆς ἀπολαύουσαν τῆς εὐνοίας, δυνήσῃ στοχάσασθαι, ὅτι διὰ τοῦτο ἐπε-

B θύμει παιδίου, ἵνα παρρησίαν ἔχῃ καὶ ἐλευθερίαν πολλὴν, καὶ ποθεινοτέρα γένηται τῷ ἀνδρί. ἂν δὲ τοὐναντίον ἅπαν εὕρῃς αὐτὴν τῆς τὰ παιδία ἐχούσης μᾶλλον ἀγαπωμένην, καὶ πλείονος ἀπολαύουσαν εὐνοίας, εὔδηλον ὅτι οὐ δι' ἀνθρώπινόν τι, οὐδ' ἵνα τὸν ἄνδρα ἐπισπάσηται μᾶλλον, ἐπεθύμει παιδίου, ἀλλὰ διὰ τὴν εἰρημένην αἰτίαν. πόθεν οὖν τοῦτο δῆλον; ἀκούσον αὐτοῦ τοῦ συγγραφέως αὐτὸ λέγοντος· οὐδὲ γὰρ ἁπλῶς αὐτὸ τέθεικεν, ἀλλ' ἵνα τῆς γυναικὸς μάθῃς τὴν ἀρετήν. τί οὖν οὗτός φησιν; ἠγάπα

C γὰρ ὁ Ελκανὰ τὴν Ανναν ὑπὲρ τὴν Φενάνναν. εἶτα μετὰ ταῦτα ἰδὼν αὐτὴν οὐκ ἐσθίουσαν, ἀλλὰ κλαίουσαν, φησι· τί ἐστι σοι, ὅτι κλαίεις, καὶ ἵνα τί οὐκ ἐσθίεις; καὶ ἵνα τί τύπτει σε ἡ καρδία σου; οὐκ ἀγαθὸς ἐγώ σοι ὑπὲρ δέκα τέκνα; ὁρᾷς πῶς αὐτῆς ἐξήρτητο, καὶ ὑπὲρ ἐκείνης ἤλγει πλέον, οὐ διὰ τὸ μὴ ἔχειν παιδία, ἀλλὰ διὰ τὸ ὁρᾶν ἀθυμοῦσαν αὐτὴν καὶ περιοδυνίᾳ κατεχομένην; ἀλλ' ὅμως οὐκ ἔπεισεν αὐτὴν ἀποστῆναι τῆς ἀθυμίας. οὐ γὰρ δι' αὐτὸν ἐζήτει τὸ παιδίον, ἀλλ' ἵνα τινὰ καρπὸν ἐπιδείξηται τῷ

D θεῷ. καὶ ἀνέστη, φησὶ, μετὰ τὸ φαγεῖν αὐτοὺς ἐν Σηλὼμ, καὶ μετὰ τὸ πιεῖν, καὶ κατέστη ἐνώπιον κυρίου. οὐχ ἁπλῶς οὐδὲ τοῦτο εἴρηται, ὅτι μετὰ τὸ φαγεῖν καὶ πιεῖν· ἀλλ' ἵνα μάθῃς, ὅτι τὸν καιρὸν, ὃν ἀνέσεως ἕτεροι καὶ ἀδείας ποιοῦνται, τοῦτον εὐχῆς καὶ δακρύων ἐποιεῖτο καιρὸν, διὰ τὸ σφόδρα νήφειν καὶ ἐγρηγορέναι. καὶ κατέστη ἐνώπιον κυρίου, καὶ Ηλεὶ ὁ ἱερεὺς, φησιν, ἐκάθητο ἐπὶ τοῦ δίφρου ἐπὶ τῶν φλιῶν ναοῦ κυρίου. οὐδὲ τοῦτο ἁπλῶς εἴρηται, ὅτι ὁ Ηλεὶ ὁ ἱερεὺς ἐκάθητο ἐπὶ τῶν φλιῶν ναοῦ κυρίου. ἀλλ' ὑπὲρ τοῦ δεῖξαι τὴν θερμότητα τῆς γυναικός. καθάπερ γὰρ χήρα πολ-

A λάκις γυνὴ ἀπροστάτευτος οὖσα καὶ ἔρημος, ἐπηρεαζομένη, πολλὰ ἀδικουμένη, βασιλέως εἰσελαύνειν μέλλοντος, δορυφόρων, ἀσπιδηφόρων, ἱππέων, ἑτέρας πολλῆς θεραπείας προαπαντώσης, οὐ καταπλήττεται, οὐδὲ προστάτου δεῖται, ἀλλὰ πάντας αὐτοὺς διατεμοῦσα μετὰ πολλῆς ἐντυγχάνει τῷ βασιλεῖ παρρησίας, τὴν οἰκείαν ἐκτραγῳδοῦσα συμφορὰν, τῆς ἀνάγκης αὐτὴν χειραγωγούσης· οὕτω δὴ καὶ αὐτὴ ἡ γυνὴ οὐκ ἠρυθρίασεν, οὐκ ᾐσχύνθη, τοῦ ἱερέως καθημένου, αὐτὴ δι' ἑαυτῆς αἰτῆσαι καὶ μετὰ πολλῆς τῆς παρρησίας τῷ βασιλεῖ προσελθεῖν· ἀλλ' ὑπὸ τοῦ πόθου πτερωθεῖσα, καὶ πρὸς τὸν οὐρανὸν ἀνα- B βᾶσα τῇ διανοίᾳ, ὡς αὐτὸν ὁρῶσα τὸν θεὸν, οὕτω μετὰ πάσης αὐτῷ θερμότητος διελέγετο. καὶ τί φησι; μᾶλλον δὲ οὐδὲν φθέγγεται πρότερον, ἀλλ' ἀπ' ὀδυρμῶν ποιεῖται τὰ προοίμια, καὶ θερμὰς ἀφίησι πηγὰς δακρύων. καὶ καθάπερ ὄμβρων καταφερομένων καὶ ἡ σκληροτέρα γῆ καταβρεχθεῖσα καὶ καταμαλαχθεῖσα, ῥᾳδίως ἑαυτὴν πρὸς τὰς τῶν καρπῶν διεγείρει γονάς· οὕτω καὶ ἐπὶ τῆς γυναικὸς ταύτης ἐγένετο. καθάπερ γὰρ ὑπὸ ὄμβρων τῶν δακρύων ἡ μήτρα C μαλαττομένη, καὶ διὰ τῆς ὀδύνης διαθερμαινομένη, πρὸς τὴν καλὴν ἐκείνην τεκνογονίαν ἤρχετο διεγείρεσθαι. ἀκούσωμεν δὲ καὶ αὐτῶν τῶν ῥημάτων, καὶ τῆς καλῆς ταύτης ἱκετηρίας. κλαίουσα ἔκλαυσε, φησι, καὶ ηὔξατο εὐχὴν τῷ κυρίῳ, λέγουσα, ΑΔΩΝΑΙ ΚΥΡΙΕ ΕΛΩΙ ΣΑΒΑΩΘ. φοβερὰ τὰ ῥήματα, καὶ φρίκης γέμοντα· καὶ καλῶς ἐποίησεν ὁ συγγραφεὺς μὴ μετενεγκὼν αὐτὰ πρὸς τὴν ἡμετέραν φωνήν. οὐ γὰρ ἴσχυσε μετὰ τῆς οἰκείας αὐτὰ ἀρετῆς μεταθεῖναι πρὸς τὴν Ἑλλάδα γλῶτταν. οὐκ ἀφ' ἑνὸς δὲ αὐτὸν ἐκάλεσε ῥήματος ἡ γυνὴ, ἀλλ' ἀπὸ D πολλῶν τῶν προσόντων αὐτῷ, τὸν περὶ αὐτὸν πόθον ἐνδεικνυμένη, καὶ τὴν θερμὴν διάθεσιν. καὶ καθάπερ οἱ τὰς δεήσεις γράφοντες τῷ βασιλεῖ, οὐκ ἐντιθέασιν ἓν ὄνομα μόνον, ἀλλὰ τὸν Τροπαιοῦχον, τὸν Αὔγουστον, τὸν Αὐτοκράτορα, καὶ πολλὰ ἕτερα τούτων ἄνω προσθέντες, τότε ποιοῦνται τὴν ἱκετηρίαν· οὕτω καὶ αὐτὴ δέησίν τινα ἀναφέρουσα τῷ θεῷ, πολλὰ τίθησιν ἐν τῷ προοιμίῳ τῆς δεήσεως ὀνόματα, τήν τε οἰκείαν διάθεσιν ἐνδεικνυμένη, καθάπερ ἔφθην εἰπὼν, καὶ τὴν εἰς τὸν παρακαλούμενον τιμήν. καὶ τὴν δέησιν αὐτὴν ὑπηγόρευσεν ἡ ὀδύνη. διὸ καὶ τα-

vidua mulier auxilio deſtituta ac deſerta, contumeliis, ac variis iniuriis affecta, cū forte imminet Imperatoris aduētus, ſatellitibus, clypeatis militibus, equitib., alioq; multo famulitio præcedente, minimè terretur, neq; patrono indiget, ſed omnes illos perrumpēs multa cum fiducia Imperatorē alloquitur, ſuamque calamitatem deplorat, ad eius alloquium ab ipſa neceſſitate deducta: ſic nimirum & mulier iſta non erubuit, neque illam puduit ſedente ſacerdote per ſeipſam petere, ac multa cum fiducia ad Imperatorem accedere, ſed impulſa deſiderio, atque in cœlum mente ſubuecta tanquā ipſum contueretur Deum, ita cum ſummo illum feruore cōpellabat. Quid vero ait? Immo vero nullum verbum prius emittit, ſed fletuum præmittit exordium, & calidos lacrymarum riuos effundit. Et quemadmodum cum imbres decidunt, tellus ipſa durior irrigata & emollita ſeipſam facilius ad producendas fruges excitat, ſic etiam in hac muliere contigit: ſiquidem tanquam ab imbribus quibuſdam à lacrymis emollita vulua, & dolore concalefacta cœpit ad præclaram hanc liberorum procreationem excitari. Audiamus autem ipſa verba, pulchramque iſtam ſupplicationem. Plorans inquit, plorauit, & votum vouit Domino dicēs, ADONAI DOMINE ELOI SABAOTH. Tremenda verba, & horroris plena, rectéque factum eſt à ſcriptore, cum in noſtram linguam ea non tranſtulit. Neque enim propria retenta virtute in Græcum illa ſermonem conuertere potuiſſet. Nec vno illum vocabulo mulier appellauit, ſed pluribus quæ illi tribuuntur, vt amorem erga illum ſuum, & ardentem affectum oſtenderet. Et quemadmodum qui libellos ſupplices offerendos Regi ſcribunt, non vnum inſerunt nomen, ſed Triumphatorem, Auguſtum, Imperatorem, & alia multa ſublimiora iſtis cum addiderint, tum demum ſuas preces offerunt: ſic & iſta cum libellum quendam ſupplicem offerret Deo, multa in exordio ſupplicationis ſuæ nomina ponit, cum vt effectum, vt ante dixi, proprium, tum vt honorem indicet, quo proſequitur eum cui ſupplicat. Enimuero preces ipſas dictauit dolor: quapro-

Tituli Imperatoribus delati.

A pter & confeſtim exaudita eſt,cum illas admodũ cordatè ſcripſiſſet. Tales quippe ſunt,quę ex animi dolore funduntur orationes. Nam pro charta fuit mens eius, pro calamo lingua, lacryma pro atramento: quam ob cauſam ad hunc vſque diem eius ſupplicatio permanſit. Indelebiles quippe fiunt eiuſmodi literæ, quæ illo tinctæ fuerint atramento. Atque exordium quidem libelli ſupplicis tale fuit, quæ vero ſequuntur, quænam? *Si reſpiciẽs reſpexeris*, inquit, *ſuper humiliationem ancillæ tuæ*. Necdũ quicquam accepit, & à promiſſione orationis duxit exordium. Remuneratur Deũ,cum B nihil dum manibus teneat. Adeo feruebat,& ad hoc potius quam ad illud aſpirabat, ideoque ſibi filium dari precabatur. 1.Reg. 1.11. *Si reſpiciens reſpexeris ſuper humiliationem ancillæ tuæ.* Duplici iure nitor, inquit,ſeruitutis,& calamitatis. *Et da mihi ancillæ tuæ ſemen viri, dabo illud datum coram te.* Quid eſt coram te datum? Deditium & planè ſeruum. Omni poteſtate me abdico. Eatenus enim tantum fieri mater cupio, quatenus à me filius ducat initium, tum deinceps meo iure cedo ac rurſus ei renuntio. Ac vide mulieris pietatem. Non dixit, ſi dederis C mihi tres, duos tibi do: ſin autem duos, vnum do tibi: ſed ſi vnum ſolum dederis, totum tibi fructum cõſecro. *Et vinũ & omne quod inebriare poteſt non bibet.* Nõdum filium accepit, & iam prophetam informat, ac de illius educatione verba facit, & cum Deo pactum init. O confidentiam mulieris. Quandoquidem ne tum quidem perſoluere poterat, quod nondum accepiſſet, à futuris ſumptum pretium perſoluit. Et quemadmodum ſæpe multi agricolæ ſumma preſſi egeſtate, cum tantum pecuniæ non ſuppetat, vt vitulum poſſint aut ouem coëmere, D hac conditione à dominis ea accipiunt animalia, vt ſemiſſem fructuum reddant, ſeque pretium ex futuris deductum fructibus perſoluturos promittunt: ſic etiam iſta, vel potius maius quiddam præſtitit. Non enim ea conditione, vt ſemiſſem fructuum reddat, filium accipit, ſed vt totum illi deinde reſtituat, & fructuum loco filij educationem accipiat. Sufficientem enim eſſe mercedẽ exiſtimauit, vt labores ſuos in Dei ſacerdotis educationem impenderet. Et vinum & omne quod inebriat non bibet,inquit. Nõ illi venit,in men-

χέως ἠκούετο μετὰ πολλῆς αὐτὴν γράψασα τῆς συνέσεως. τοιαῦται γὰρ αἱ ἐξ ὀδυνώσης ψυχῆς γινόμεναι εὐχαί. καὶ γὰρ ἀντὶ χάρτου μὲν ἦν αὐτῆς ἡ διάνοια, ἀντὶ καλάμου δὲ ἡ γλῶττα, τὰ δάκρυα δὲ ἀντὶ μέλανος. διὸ καὶ μέχρι τῆς σήμερον ἡμέρας ἡ δέησις ἔμεινεν. ἀνεξάλειπτα γὰρ τὰ τοιαῦτα γίνεται γράμματα, ἅπερ ἂν ἐν ἐκείνῳ βαφῇ τῷ μέλανι. καὶ τὰ μὲν προοίμια τῆς δεήσεως τοιαῦτα· τὰ δὲ ἑξῆς τίνα; ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς, φησὶν, ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου. οὔπω οὐδὲν ἔλαβε, καὶ ἐξ ὑποσχέσεως τὴν ἀρχὴν ἐποιήσατο τῆς εὐχῆς. ἀμείβεται τὸν θεὸν ἤδη μηδὲν ἐν χερσὶ κατέχουσα. οὕτως ἔζεε καὶ ὤδινε πρὸς τοῦτο μᾶλλον, ἢ πρὸς ἐκεῖνο, καὶ διὰ τοῦτο ηὔχετο λαβεῖν τὸ παιδίον. ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου. δύο δικαιώματα, φησιν, ἔχω τὴν δουλείαν καὶ τὴν συμφοράν. καὶ δός μοι τῇ δούλῃ σου σπέρμα ἀνδρὸς, δώσω αὐτὸ ἐνώπιόν σου δοτόν. τί ἐστιν, ἐνώπιόν σου δοτόν; ἔκδοτον καὶ ὁλόκληρον δοῦλον. ἀφίσταμαι τῆς ἐξουσίας ἁπάσης. τοσοῦτον γὰρ βούλομαι γενέσθαι μήτηρ μόνον, ὅσον τὴν ἀρχὴν παρ' ἐμοῦ λαβεῖν τὸ παιδίον, καὶ λοιπὸν ἐξίσταμαι καὶ παραχωρῶ. καὶ σκόπει γυναικὸς εὐλάβειαν. οὐκ εἶπεν, ἐὰν δῷς μοι τρεῖς, τοὺς δύο σοι δίδωμι, ἐὰν δὲ δύο, τὸν ἕνα σοι δίδωμι· ἀλλ', ἐὰν μόνον ἕνα δῷς, ὁλόκληρον ἀνατίθημί σοι τὸν καρπόν. καὶ οἶνον καὶ μέθυσμα οὐ μὴ πίεται. οὔπω ἔλαβε τὸ παιδίον, καὶ ἤδη διαπλάττει προφήτην, καὶ περὶ τῆς παιδοτροφίας αὐτοῦ διαλέγεται, καὶ συνθήκας ποιεῖται πρὸς τὸν θεόν. ὢ παρρησίας γυναικός. ἐπειδὴ καταβαλεῖν οὐδὲ τότε εἶχε, διὰ τὸ μηδέπω λαβεῖν, ἀπὸ τῶν μελλόντων καταβάλλει τὴν τιμήν. καὶ καθάπερ πολλοὶ τῶν γηπόνων ἐν πενίᾳ ζῶντες ἐσχάτῃ, καὶ ἀργύριον οὐκ ἔχοντες ὥστε μόσχον ἢ πρόβατον πρίασθαι, ἐφ' ἡμισείᾳ παρὰ τῶν δεσποτῶν αὐτὰ λαμβάνουσιν, ἀπὸ τῶν μελλόντων καρπῶν τὴν τιμὴν ὑπισχνούμενοι καταβαλεῖν· οὕτω δὴ καὶ αὕτη, μᾶλλον δὲ καὶ πολλῷ πλέον ἐποίησεν. οὐ γὰρ ἐφ' ἡμισείᾳ τὸν υἱὸν λαμβάνει παρὰ τοῦ θεοῦ, ἀλλ' ὥστε ὁλόκληρον αὐτῷ ἀποδοῦναι πάλιν, καὶ τὴν παιδοτροφίαν καρπώσασθαι. ἀρκοῦσαν γὰρ ἀμοιβὴν εἶναι ἐνόμισε, τὸ πονέσαι περὶ τὸν τοῦ θεοῦ ἱερέα. καὶ οἶνον καὶ μέθυσμα οὐ μὴ πίεται, φησιν. οὐκ ἐνενόησε πρὸς ἑαυτὴν,

λέγουσα· τί δ' ἂν ἁπαλὸς ὢν ὑπὸ τῆς ὑδροποσίας διαφθείρηται; τί δ' ἂν ἀῤῥωστίᾳ περιπέσῃ; τί δὲ ἂν ἀποθάνῃ, νόσῳ παραδοθεὶς χαλεπῇ; ἀλλ' ἐννοήσασα ὅτι ὁ δοὺς αὐτὸν, αὐτὸς καὶ τῆς ὑγιείας προνοῆσαι δυνήσεται, ἐξ αὐτῶν τῶν σπαργάνων καὶ τῶν ὠδίνων εἰς τὴν ἁγιωσύνην αὐτὸν ἀνεβίβασεν, ἐπὶ τὸν θεὸν ῥίψασα τὸ πᾶν, καὶ πρὸ τῶν ὠδίνων ἡ γαστὴρ αὐτῆς ἡγιάζετο προφήτην ἔχουσα, καὶ ἱερέα κύουσα, καὶ τὸ ἀνάθημα φέρουσα, ἀνάθημα ἔμψυχον. διὰ ταῦτα ἠνείχετο ἀθυμούσης αὐτῆς ὁ θεός, διὰ τοῦτο βραδέως ἐδίδου, ἵνα λαμπροτέραν αὐτὴν τῷ τρόπῳ τοῦ τόκου ποιήσῃ, ἵνα δείξῃ τὴν φιλοσοφίαν. καὶ γὰρ εἰς τὴν εὐχὴν καταστᾶσα, οὐκ ἐμνήσθη τῆς ἀντιζήλου, οὐκ εἶπεν αὐτῆς τὰς λοιδορίας, οὐκ ἤνεγκεν εἰς μέσον τὰ ὀνείδη, οὐκ εἶπεν, ἐκδίκησόν με ἐκ τῆς μιαρᾶς καὶ πονηρᾶς γυναικὸς ἐκείνης, ἅπερ πολλάκις ποιοῦσι γυναῖκες· ἀλλὰ μηδὲ μνησθεῖσα τῶν ὀνειδῶν ἐκείνων, περὶ τῶν αὐτῇ συμφερόντων ηὔχετο μόνον. τοῦτο καὶ σὺ ποίησον, ἄνθρωπε, καὶ ὅταν ἴδῃς ἐχθρὸν λυποῦντα, πρὸς ἐκεῖνον μὲν μηδὲν ἐκβάλῃς ῥῆμα πικρὸν, μηδὲ εὔξῃ κατ' αὐτοῦ πρὸς σὲ ἀπεχθῶς ἔχοντος· εἰσελθὼν δὲ, καὶ τὰ γόνατα κάμψας, καὶ δάκρυα ἀφεὶς, παρακάλει τὸν θεὸν λῦσαι τὴν ἀθυμίαν, σβέσαι τὴν λύπην. ὅπερ οὖν καὶ αὕτη πεποίηκε, καὶ τὰ μέγιστα παρὰ τῆς ἐχθρᾶς ἐκαρπώσατο γυναικός. ἐκείνη γὰρ πρὸς τὸν τόκον τοῦ παιδίου συνέπραξε. καὶ πῶς, ἐγὼ λέγω. ἐπειδὴ ὠνείδισεν, ἔθλιψε, καὶ μείζονα τὴν ὀδύνην εἰργάσατο, ἀπὸ τῆς ὀδύνης ἡ εὐχὴ προσεκτικωτέρα γέγονεν, ἡ εὐχὴ τὸν θεὸν ἐπεσπάσατο, καὶ ἐπινεῦσαι ἐποίησε· καὶ οὕτως ὁ Σαμουὴλ ἐτέχθη. ὥστε, ἐὰν νήφωμεν, οὐ μόνον ἡμᾶς οἱ ἐχθροὶ οὐδὲν παραβλάψαι δυνήσονται, ἀλλὰ καὶ ὠφελήσουσι τὰ μέγιστα, πρὸς πάντα ἡμᾶς σπουδαιοτέρους ἐργαζόμενοι, μόνον ἂν μὴ πρὸς λοιδορίας καὶ ὕβρεις, ἀλλὰ πρὸς εὐχὰς ἑαυτοὺς ἄγωμεν ἀπὸ τῆς παρ' ἐκείνων ἐγγινομένης ἡμῖν ἀθυμίας. τεκοῦσα δὲ τὸ παιδίον, ἐκάλεσεν αὐτὸ Σαμουὴλ, τουτέστιν, ἀκούσῃ θεοῦ. ἐπειδὴ γὰρ ἐκ τοῦ ἀκουσθῆναι, καὶ ἐξ εὐχῆς αὐτὸν ἔλαβε, καὶ οὐκ ἀπὸ φύσεως, τῆς ἐργασίας τὴν μνήμην, ὥσπερ ἐν στήλῃ χαλκῇ, τῇ προσηγορίᾳ τοῦ παιδίου λοιπὸν ἐναπέθετο. καὶ οὐκ εἶπε, καλέσωμεν αὐτὸν τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, ἢ τοῦ θείου, ἢ τοῦ πάππου, ἢ τοῦ ἐπιπάππου· ἀλλ' αὐτὸς ὁ δεδωκὼς αὐτὸν, αὐτὸς καὶ τῇ προσηγορίᾳ τοῦ παιδίου τιμάσθω, φησί. ταύτην ζηλώσατε γυναῖκες, ταύτην μιμησώμεθα ἄνδρες, καὶ τοσαύτην περὶ τὰ παιδία ποιώ-

A tem hæc apud ſe dicere. Quid vero fiet, ſi dum tener eſt infans, aquæ potu eius valetudo lædatur? quid ſi in morbũ incidat? quid ſi graui morbo oppreſſus moriatur? ſed cum cogitaſſet eum, à quo fuerat datus poſſe illius quoque ſanitati prouidere, ab ipſis incunabulis & partus ſecũdinis in ſanctitatẽ illũ inuexit, Deoque rem totã cõmiſit, & ante partũ ſanctificabatur eius vterꝰ in quo & propheta geſtabatur, & ſacerdos cõcipiebatur, & donariũ ferebatur, donariũ inquã animatũ. Has ob cauſas diutius eã mœrore confici permittebat Deus, propterea lẽtè dabat, vt eã ipſo genere partus illu-
B ſtriorẽ redderet, vt philoſophiã eius animiq. moderationẽ oſtẽderet. Nã in oratione cõſtituta nõ meminit æmulæ, non eius cõuitia cõmemorauit, nõ in mediũ protulit eiꝰ opprobria, nõ dixit, vlciſcere me de improba & ſceleſta illa muliere, quod multæ faciũt mulieres: ſed neque probrorũ illorũ recordata de iis, tantum quæ ſibi proderant, preces offerebat. Ita fac tu quoq. mi homo, cumque videris inimicũ dolore afficientẽ, in eũ quidem nullũ aſperiꝰ verbũ mittas, neq. malè erga te affecto impreceris: ſed ingreſſus ac
C flexis genibꝰ, fuſiſq. lacrymis Deũ precare, vt triſtitiã diſcutiat, doloremq. reſtinguat: quod hæc quoq. mulier fecit, & nõ mediocrẽ fructũ ex inimica muliere collegit, Illa enim ad hũc partũ infantis obtinendũ opitulata eſt. Quo pacto id factũ ſit ego dicam. Quoniam opprobria iactarat, afflixerat, maioremq. dolorem reddiderat, à dolore vim mouendi maiorem accepit oratio, Deum vero illi oratio conciliauit, atque vt impetraret effecit, ſicq; Samuel eſt partu editus. Itaque ſi vigiles ſimus, non modo nihil nos lædere poterunt inimici, ſed & plurimũ
D proderũt, dum in omnibus nos diligentiores efficient, tantum ne propter moleſtiam ac dolorem, quem nobis inurũt ac cõuitia probraq. nos abripi ſinamus, ſed ad preces nos potius conuertamus. Poſtquã autẽ peperit filiũ, vocauit illũ Samuelẽ, hoc eſt, audies Deũ. Nã quoniã ex eo, quod exaudita fuerit, & precũ opera ipſum accepit, nõ beneficio naturæ, memoriã quæſtus illius tanquã in ænea quadã colũna in appellatione pueruli voluit eſſe defixã. Neq. dixit, vocemꝰ eũ nomine patris ſui, vel patrui, vel aui, vel proaui: ſed ille ipſe qui dedit eũ, inquit, appellatione pueruli honoretur. Hanc æmulamini mulieres, hanc imitemur viri, tãtamq. liberorũ curã geramus,

Annæ virtus imitanda.

Samuelis nomẽ quid ſonet.

ita natos educemus, cũ in aliis omnibus, tũ maximè in caſtitate. Nihil enim adeo contendendũ & curandum eſt, quam vt iuuenes caſti ſint & pudici. Hæc enim maximè perturbatio illi ætati moleſtiam exhibet. Et quod in lucernis agimus, hoc & erga liberos obſeruem⁹. Certè ſæpenumero ancillã admonem⁹, quę lucernã accendit, ne in eum locũ lucernam transferat, in quo ſtipula fœnumue fuerit, aut aliquid eiuſmodi, ne forte nobis inſciis excidat ſcintilla quæpiam, & materiã illã corripiẽs totã domũ incendat: eandẽ quoq. ſollicitudinẽ erga liberos impẽdamus, neq. vultus eorum illuc traducamus, vbi laſciuæ ſunt famulæ, vbi luxurioſæ puellæ, vbi petulantes ancillæ, ſed iubeamus illis ac denũtiemus, ſi forte talis nobis ſit famula, ſeu vicina, ſiue omnino quæuis eiuſmodi, vt neq. in conſpectum neque in ſermonis congreſſum cum iuuenibus veniat, ne qua inde ſcintilla excidens totã pueruli animam incendat, & irreparabilẽ illi calamitatẽ importet. Neq. vero tantũ à ſpectaculis, ſed etiã à mollibus ac diſſolutis cãtilenis abducamus, ne his eorũ anima faſcinetur, neq. illos ad theatra deducamus, nec ad cõuiuia & compotationes, ſed cautius quam cõclaui abditæ virgines cuſtodiantur à nobis iuuenes. Nihil ætatẽ illã adeo ſolet exornare ac pudicitiæ corona, & ſi quis ab omni laſciuia purus, ad cõiugiũ veniat. Sic & mulieres illis fiet amabilis, cũ antea nulla ſe fornicatione exercuerit, aut corrupta fuerit anima, cũ eã ſolã mulierẽ nõtã habuerit iuuenis, quę ſibi fuerit nuptiis copulata. Sic & ardentiores amores, & ſyncerior beneuolẽtia, ſic amicitia fit vehementior, cũ ad nuptias iuuenes cũ tanta cautione perrexerint. Nam nunc quidem quæ geruntur nõ nuptię ſunt, ſed mera negotiatio pecunię, & cauponatio. Cũ enim ante cõiugiũ corruptus fuerit iuuenis, & poſt cõiugium rurſus in alterã mulierem oculos ſuos cõuerterit, quid quæſo prodeſt cõiugium? immo tũ maius ſupplicium debetur, & indignũ eſt venia peccatum, cum intus reſidente vxore ſeipſum meretricum cõgreſſu polluat, & adulterium cõmittat. Quippe vxore ducta, tametſi meretrix eſt, quæ ſe mariti congreſſu contaminat, adulterium eſt illud facinus. Hæc autem iam fiunt, & contractis nuptiis ad mulieres meretrices currunt, quoniam ante nuptias caſtitatem ſeruare nõ didicerunt.

Iuuenes maximè ornat caſtitas.

A μεθα τὴν ἐπιμέλειαν, οὕτως ἐκτρέφωμεν τοὺς τεχθέντας, ἔν τε τοῖς ἄλλοις ἅπασιν, ἔν τε τῷ τῆς σωφροσύνης λόγῳ. οὐδὲν γὰρ οὕτω σπουδάζειν χρὴ καὶ φροντίζειν ἐπὶ τῶν νέων, ὡς σωφροσύνης ἕνεκεν καὶ σεμνότητος. τοῦτο γὰρ μάλιστα τὸ πάθος ἐκείνης ἐνοχλεῖ τῆς ἡλικίας. καὶ ὅπερ ἐπὶ τῶν λύχνων ποιοῦμεν, τοῦτο καὶ ἐπὶ τῶν παιδίων φυλάττωμεν. πολλάκις γοῦν θεραπαινίδι λύχνον ἁπτούσῃ παρακελευόμεθα μὴ παραγαγεῖν τὸν λύχνον, ἔνθα ἂν ᾖ καλάμη, ἢ χόρτος, ἤ τι τῶν τοιούτων, μήποτε ἀγνοούντων ἡμῶν, σπινθήρ τις ἐκπεσὼν, καὶ τῆς ὕλης ἐπιλαβόμενος ἐκείνης, ὁλόκληρον ἐμπρήσῃ τὴν οἰκίαν. B ταύτην καὶ ἐπὶ τῶν παιδίων τὴν πρόνοιαν ἔχωμεν, καὶ μὴ παράγωμεν αὐτῶν τὰς ὄψεις, ἔνθα θεραπαινίδες ἀσελγεῖς, ἔνθα κόραι ἄσωτοι, ἔνθα δοῦλαι ἀκόλαστοι, ἀλλὰ κελεύωμεν καὶ παρεγγυῶμεν, κἂν θεραπαινίδα τοιαύτην ἔχωμεν, κἂν γείτονα, κἂν ἁπλῶς ἑτέραν τινὰ τοιαύτην, μήτε εἰς ὄψιν, μήτε εἰς συνουσίαν λόγων τοῖς νέοις ἔρχεσθαι, ὥστε μὴ σπινθῆρα ἐκεῖθεν ἐκπεσόντα, ὁλόκληρον ἀνάψαι τοῦ παιδὸς τὴν ψυχὴν, καὶ ἀδιόρθωτον ἐργάσασθαι τὴν συμφοράν. μὴ θεαμάτων δὲ μόνον, ἀλλὰ καὶ ἀκουσμάτων αὐτοὺς μαλθακῶν καὶ διακεκλασμένων ἀπάγωμεν, C ἵνα μὴ γοητεύηται διὰ τούτων αὐτοῖς ἡ ψυχή. μηδὲ εἰς θέατρα αὐτοὺς ἀνάγωμεν, μηδὲ εἰς συμπόσια καὶ μέθας, ἀλλὰ τῶν θαλαμευομένων παρθένων μᾶλλον ἡμῖν οἱ νέοι φυλαττέσθωσαν. οὐδὲν γὰρ οὕτω τὴν ἡλικίαν ἐκείνην κοσμεῖν πέφυκεν, ὡς ὁ τῆς σωφροσύνης στέφανος, καὶ τὸ πάσης ἀσελγείας καθαρεύοντα, πρὸς γάμον ἐλθεῖν. οὕτω καὶ αἱ γυναῖκες αὐτοῖς ἔσονται ἂν ποθειναὶ, ὅταν μὴ πορνείαν ἡ ψυχὴ προμεμελετηκυῖα, μηδὲ διεφθαρμένη ᾖ, ὅταν ἐκείνην εἰδὼς ᾖ τὴν γυναῖκα μόνην ὁ νέος τῷ γάμῳ συναφθεῖσαν αὐτῷ. οὕτω καὶ οἱ ἔρωτες D θερμότεροι, καὶ ἡ εὔνοια γνησιωτέρα, καὶ ἡ φιλία ἀκριβεστέρα γίνεται, ὅταν μετὰ τοιαύτης φυλακῆς ἐπὶ τοὺς γάμους οἱ νέοι βαδίζωσιν. ὡς τά γε νῦν γινόμενα, οὐ γάμος ἐστὶν, ἀλλ' ἁπλῶς χρημάτων ἐμπορεία, καὶ καπηλεία. ὅταν γὰρ καὶ πρὸ τοῦ γάμου διεφθαρμένος ὁ νέος ᾖ, καὶ μετὰ τὸν γάμον πάλιν πρὸς ἑτέραν βλέπῃ γυναῖκα, τί τῶν γάμων ὄφελος, εἰπέ μοι; μείζων μὲν οὖν ἡ κόλασις, ἀσύγγνωστος ἡ ἁμαρτία, ὅταν γυναικὸς ἔνδον οὔσης εἰς πόρνας ἑαυτὸν καταισχύνῃ, καὶ μοιχείαν ἐργάζηται. μετὰ γὰρ γυναῖκα, κἂν πόρνη ᾖ προσφθειρομένη τῷ γεγαμηκότι, μοιχεία τὸ πρᾶγμά ἐστι. ταῦτα δὲ γίνεται, καὶ μετὰ γάμον πρὸς τὰς ἑταιριζομένας γυναῖκας τρέχουσιν, ἐπειδὴ πρὸ τοῦ γάμου σωφρονεῖν οὐκ ἐμελέτησαν.

ἐντεῦθεν

A ἐντεῦθεν μάχαι, καὶ λοιδορίαι, καὶ οἰκιῶν ἀνατροπαί, καὶ καθημερινοὶ πόλεμοι· ἐντεῦθεν ὁ πρὸς τὴν γυναῖκα ἔρως ἀπορρεῖ καὶ μαραίνεται, τῆς ἐν τοῖς πορνείοις ὁμιλίας ἐκλυούσης αὐτόν. ὡς ἐὰν σωφρονεῖν μάθῃ, πάντων ποθεινοτέραν τὴν αὐτοῦ γυναῖκα ἡγήσεται, καὶ μετὰ πολλῆς αὐτὴν ὄψεται τῆς εὐνοίας, καὶ πολλὴν πρὸς αὐτὴν τηρήσει τὴν ὁμόνοιαν· εἰρήνης δὲ οὔσης καὶ ὁμονοίας, πάντα εἰς τὴν οἰκίαν ἐκείνην εἰσελεύσεται τὰ ἀγαθά. ἵν' οὖν καὶ τὰ ἐνταῦθα ἡμῖν καλῶς οἰκονομῆται, καὶ μετὰ τούτων καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυγχάνωμεν, καὶ ἡμῶν αὐτῶν, καὶ τῶν παιδίων, προνοῶμεν B ταύτης ἕνεκεν μάλιστα τῆς ἐντολῆς, ὅπως μὴ ῥυπαρὰ ἐνδεδυμένοι ἱμάτια, εἰς τὸν πνευματικὸν ἐκεῖνον εἰσέλθωμεν γάμον, ἀλλὰ μετὰ παρρησίας πολλῆς ἀπολαύσωμεν τῆς ἐκεῖ κειμένης τοῖς ἀξίοις τιμῆς, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία β.

C Εἰς τὴν πίστιν τῆς Ἄννης, καὶ εἰς τὴν φιλοσοφίαν, καὶ εἰς τὴν ἐπιείκειαν αὐτῆς, καὶ περὶ τῆς εἰς τοὺς ἱερέας τιμῆς, καὶ εἰς τὸ δεῖν καὶ ἀρχομένους ἀρίστου καὶ λήγοντας εὔχεσθαι.

Οὐδὲν ἄρα ἴσον εὐχῆς, ἀγαπητοί, οὐδὲν πίστεως δυνατώτερον. ἀμφότερα ἔδειξεν ἡμῖν ἡ Ἄννα πρώην· μετὰ γὰρ τούτων προσελθοῦσα τῷ θεῷ τῶν δώρων, πάντα D ὅσα ἠθέλησεν ἤνυσε, καὶ φύσιν πεπηρωμένην διώρθωσε, καὶ μήτραν κεκλεισμένην ἀνέῳξε, καὶ αἰσχύνην ἀνεῖλε, καὶ τὰ ὀνείδη τῆς ἀντιζήλου κατέλυσε, καὶ πρὸς παρρησίαν ἑαυτὴν ἐπανήγαγεν, ἐκ πέτρας ἀγόνου στάχυν κομῶντα θερίσασα. καὶ πάντως ἠκούσατε, πῶς ἔκλαυσε, πῶς ηὔξατο, πῶς ᾔτησε, καὶ ἔπεισε, καὶ ἔλαβε, καὶ ἔτεκε, καὶ ἔθρεψε καὶ ἀνέθηκε τὸν Σαμουήλ. ὥστε οὐκ ἄν τις ἁμάρτοι, μητέρα ὁμοῦ καὶ πατέρα τοῦ παιδίου τὴν γυναῖκα ταύτην προσειπών· εἰ γὰρ καὶ ὁ ἀνὴρ ἔσπειρεν, ἀλλὰ τῷ σπέρματι τὴν δύναμιν ταύτης παρέσχεν ἡ εὐχή, καὶ σεμνοτέρας τοῦ Σαμουὴλ τὰς ἀρχὰς τῆς γεννήσεως ἐποίησεν.

hinc pugnæ & contentiones, & domorum euerſiones, & quotidiana bella: hinc fit, vt erga vxorem amor diffluat & marceſcat, cum lupanariorum frequẽtatione diſſoluatur. Quod ſi caſtitatem ſeruare diſcat, præ cæteris omnibus expetendam vxorem ſuam arbitrabitur; multa illam cum beneuolentia contuebitur, magnámque cum illa concordiã conſeruabit: ſi verò pax fuerit & concordia, omnia bona in domum illam introibunt. Vt igitur & res huius vitæ rectè à nobis diſpenſentur, & cum illis regnum cœlorum conſequamur, huius pręcipuè mandati gratia & noſtri ipſorum & liberorum curam geramus, ne ſordidis veſtimentis induti in nuptias illas ſpirituales intremus, ſed cum fiducia fruamur honore, qui dignis eſt illic reſeruatus: quem vtinam omnes aſſequamur gratia & benignitate domini noſtri Ieſu Chriſti, per quem & cum quo Patri gloria, vna cum Spiritu ſancto in ſecula ſeculorum, Amen.

HOMILIA II.

De fide Annæ, déque philoſophia, hoc eſt, animi moderatione, & modeſtia ipſius, & de honore deferendo ſacerdotibus, & quòd tum in initio, tum in fine prandij ſit orandum.

DES. ERASMO INTERPRETE.

NVLLA profectò res eſt chariſſimi, quæ poſſit æquari deprecationi, neq. quicquã eſt fide potentius. Vtrumque nobis heri declarauit Anna: cum his enim munerib. accedens ad Deũ, omnia quæ voluit effecit. Siquidẽ & naturã mancã ac ſterilẽ correxit, & vuluã quę erat cõcluſa aperuit, & probrũ ſuſtulit, & cõuicia æmulæ diſſoluit, ſeq; ipſã ad magnã reſtituit fiduciã, dũ è petra infrugifera ſpicã meſſuit comantẽ. Omnes audiſtis quomodo fleuerit, quomodo precata ſit, quomodo orarit & exorarit. Concepit, peperit, educauit & conſecrauit tẽplo Samuelem. Itaq. nequaquam aberrarit, qui hanc mulierem, pueri ſimul & matrem, & patrem appellarit. Quanquam enim & vir addiderat ſemen, huius tamen deprecatio vim efficaciámque ſemini præbuit, effecitque vt Samuël auſpicatiorib. exordiis naſceretur.

Anna ſimul mater & pater.

Neque enim quemadmodum in cæteris hominibus ſomnus & congreſſus tantùm parentum, verum preces, lachrymę, fidéſque fuerunt huius generationis principia, eóque cęteris illuſtriorem habuit ortũ propheta, propter matris fidem natus. De hac muliere forſitan aliquis non abſurdè dixerit:
Pſa.125.5 Qui ſeminant in lachrymis, in exultatione metent. Hanc æmulemur viri, hanc imitentur fœminæ: nam vtriuſque ſexus magiſtra eſt mulier. Quæ ſteriles ſunt, ne deſperent: quæ matres ſunt, ſic educent natos liberos. Sed omnes ſimul imitemur mulieris philoſophiam, quam habuit ante partum, fidem quam habuit in partu, curam ſtudiumque quod habuit poſt partum. Quid enim eſſe poſſit illa muliere magis philoſophicum, animique moderatioris, quæ calamitatem adeò intolerabilem, placidè fortitérque tulit, nec prius deſtitit, donec eam moleſtiam diſcuſſit, malique finem reperit, tum admirandum, tum incredibilem, nullo è terrenis accito adiutore & opitulatore? Nouerat enim humanitatem Domini, eoque ſola illum adiit, & quicqud voluit impetrauit. Neque enim humanum auxilium, ſed diuinam gratiam requirebat illius triſtitiæ correctio: quòd ea non naſcebatur ex iactura pecuniarum, vt aliquis allato auro diluere poſſet angorem: neque ex aduerſa corporis valetudine, vt accitis medicis morbum poſſet abigere. Natura erat maledicto obnoxia, cœleſtem manum deſiderans. Eoque ſanè pręternmiſſis omnibus terrenis, ad naturæ dominum confugit, nec prius deſtitit, quàm illum flecteret exoraréṫque, vt orbitatem tolleret, ac vuluam aperiret, éque ſterili faceret matrem. Itaque beata eſt & ob hoc, non quòd mater facta ſit, ſed quòd quum non eſſet, facta ſit. Siquidem illud eſt naturæ commune, hoc autem erat eximium fœminę meritum. Beata quidem igitur & propter nixus illos, nihilominus tamen beata propter omnia illa quæ partum præceſſerunt. Scitis enim profectò omnes, ſiue mulieres, ſiue viri, nihil grauius aut intolerabiliꝰ accidere poſſe fœminæ, quàm vt liberis careat, adeò vt ſi mille proſperitatib. alioqui fruatur, dolorẽ ex hoc vulnere natũ haud vnquã ex animo valeat depellere.

Anna ad naturæ dominũ cõfugit.

A Οὐ γὰρ δὴ, καθάπερ ἐπὶ τῶν λοιπῶν, ὕπνος καὶ συνόδοι τῶν γεννησαμένων μόνον, ἀλλ' εὐχαὶ, καὶ δάκρυα, καὶ πίστις, ἀρχαὶ τῆς γεννήσεως ταύτης ἐγένοντο, καὶ σεμνοτέρας τῶν ἄλλων ἔσχε τὰς ὠδῖνας ὁ προφήτης, διὰ τὴν πίστιν τῆς μητρὸς γεγονώς. διὸ καὶ περὶ ταύτης εὐκαίρως ἄν τις εἴποι τῆς γυναικὸς, οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. ταύτην ζηλώσωμεν ἄνδρες, ταύτην μιμησώμεθα γυναῖκες. καὶ γὰρ ἑκατέρου γένους διδάσκαλός ἐστιν ἡ γυνή. ὅσαι στεῖραι, μὴ ἀπαγορευέτωσαν· ὅσαι μητέρες, οὕτω τρεφέτωσαν τεχθέντα τὰ παιδία. B καὶ πάντες ζηλώσωμεν τῆς γυναικὸς τὴν φιλοσοφίαν τὴν πρὸ τοῦ τόκου, τὴν πίστιν τὴν ἐν τῷ τόκῳ, τὴν σπουδὴν τὴν μετὰ τὸν τόκον. τί γὰρ ἂν γένοιτο τῆς γυναικὸς ἐκείνης φιλοσοφώτερον, ἣ συμφορὰν οὕτως ἀφόρητον πράως ἤνεγκε καὶ γενναίως, καὶ οὐκ ἀπέστη πρότερον, ἕως ἔλυσε τὸ δεινὸν, καὶ τοῦ κακοῦ πέρας εὗρε θαυμαστὸν καὶ παράδοξον, οὐδένα κάτωθεν λαβοῦσα σύμμαχον καὶ βοηθόν; καὶ γὰρ ᾔδει τὴν τοῦ δεσπότου φιλανθρωπίαν· διὸ καὶ μόνη προσῆλθε, καὶ ἤνυσεν ὅπερ ἠθέλησεν. C οὐ γὰρ ἀνθρωπίνης βοηθείας, ἀλλὰ τῆς θείας ἐδεῖτο χάριτος ἡ διόρθωσις τῆς ἀθυμίας ἐκείνης. καὶ γὰρ οὐκ ἐν ζημίᾳ χρημάτων ἦν, ἵνα τις ἐνεγκὼν χρυσίον, λύσῃ τὴν ἀθυμίαν· οὐκ ἐν σώματος ἀρρωστίᾳ, ἵνα ἰατρῶν παρακαλέσῃ παῖδας, καὶ ἀπελάσῃ τὸ νόσημα. φύσις ἦν ἡ ἐπηρεαζομένη, τῆς ἄνωθεν δεομένη χειρός. διὸ δὴ πάντα τὰ ἐπὶ γῆς ἀφεῖσα, πρὸς τὸν τῆς φύσεως ἔδραμε δεσπότην, καὶ οὐκ ἀπέστη πρότερον, ἕως ἂν αὐτὸν ἔπεισε λῦσαι τὴν ἀπαιδίαν, καὶ τὴν μήτραν ἀνοῖξαι, καὶ ποιῆσαι μητέρα τὴν στεῖραν. D μακαρία μὲν οὖν καὶ διὰ τοῦτο, οὐχ ὅτι μήτηρ ἐγένετο, ἀλλ' ὅτι οὐκ οὖσα ἐγένετο. ἐκεῖνο μὲν γὰρ κοινὸν τῆς φύσεως, τοῦτο δὲ ἐξαίρετον τῆς γυναικὸς ἦν κατόρθωμα. μακαρία μὲν οὖν καὶ διὰ τὰς ὠδῖνας ἐκείνας, μακαρία δὲ οὐχ ἧττον καὶ διὰ τὰ πρὸ τῶν ὠδίνων ἅπαντα. ἴστε γὰρ δήπου πάντες, καὶ γυναῖκες καὶ ἄνδρες, ὡς οὐδὲν ἀφορητότερον ἀπαιδίας γυναικὶ γένοιτ' ἄν· ἀλλὰ κἂν μυριάκις ἀπολαύῃ τῆς εὐημερίας, τὴν ἐκ τῆς πληγῆς ταύτης ὀδύνην ἐγγινομένην αὐτῇ οὐκ ἄν ποτε ἀποκρούσαιτο.

Εἰ δὲ νῦν οὕτως ἀφόρητον, ὅτε πρὸς μείζονα A φιλοσοφίαν ἐκλήθημεν, καὶ πρὸς τὸν οὐρανὸν ὁδεύομεν, καὶ λόγος ἡμῖν τῶν παρόντων οὐδείς, ἀλλὰ πρὸς ἑτέραν ζωὴν παρασκευαζόμεθα, καὶ πολὺ τὸ τῆς παρθενίας ἐγκώμιον, ἐννόησον ἡλίκον τότε κακὸν τὸ πρᾶγμα ἐνομίζετο εἶναι, ὅτε τῶν μελλόντων μὲν οὐδεμία τις ἦν ἐλπίς, οὐδὲ ἔννοια τοῖς παλαιοῖς, πάντα δὲ ὑπὲρ τῶν παρόντων ἐπράττετο πραγμάτων, καὶ ἀρά τις ἦν καὶ καταδίκη τὸ στεῖραν εἶναι καὶ ἄγονον. Οὐκ ἔστιν εἰπεῖν, οὐδὲ παραστῆσαι τῷ λόγῳ τὴν ἀπὸ τῆς πληγῆς ταύτης ὀδύνην. Μαρτυροῦσι γυναῖκες, ὅσαι πᾶσαν μὲν ἐπεδείξαντο φιλο- B σοφίαν, ταύτην δὲ τὴν δυσκλήρειαν οὐκ ἤνεγκαν· ἀλλ' αἱ μὲν πρὸς τοὺς ἄνδρας ἐδυσχέραινον, αἱ δὲ τὸν βίον ἀβίωτον εἶναι ἐνόμισαν. Τὴν δὲ γυναῖκα ταύτην οὐκ ἀθυμία μόνον ἡ διὰ τὴν στείρωσιν, ἀλλὰ καὶ ἕτερον ἐπολιόρκει πάθος, θυμὸς διὰ τὰ ὀνείδη τῆς ἀντιζήλου. Καὶ καθάπερ ἀνέμων ἀπεναντίας ἀλλήλοις ἐμπιπτόντων, καὶ σκάφος μέσον ἐν τῇ πρὸς ἀλλήλους ἀπολαβόντων μάχῃ, καὶ πολλὰ μὲν ἀπὸ τῆς πρύμνης, πολλὰ δὲ ἀπὸ τῆς πρώρας ἐγειρόντων τὰ κύματα, ὁ κυβερνήτης ἐπὶ τῶν οἰάκων κα- C θήμενος διασώζει τὸ σκάφος, τὰς τῶν κυμάτων ἐμβολὰς τῇ τῆς ἐπιστήμης σοφίᾳ διακρουόμενος· οὕτω καὶ ἡ γυνὴ τότε ἐκείνη, καθάπερ πνευμάτων ἐναντίων, τοῦ θυμοῦ, καὶ τῆς ἀθυμίας, εἰς τὴν ψυχὴν αὐτῆς ἐμπεσόντων, καὶ τοὺς λογισμοὺς αὐτῆς διακοπτόντων, καὶ πολλὰ τὰ κύματα ἐγειρόντων, οὐχὶ δύο, καὶ τρεῖς, καὶ εἴκοσι ἡμέρας, ἀλλ' ἐπ' ἐνιαυτοὺς ὁλοκλήρους (καὶ γὰρ ἐξ ἱκανοῦ τοῦτο ἐγένετο, φησὶν) ἤνεγκε τὸν χειμῶνα γενναίως, καὶ καταποντισθῆναι τὸν λογισμὸν οὐκ εἴασεν. Ὁ γὰρ τοῦ θεοῦ φόβος, κα- D θάπερ κυβερνήτης ἐπὶ τῶν οἰάκων καθήμενος, ἔπειθε γενναίως φέρειν τὸ κλυδώνιον ἐκεῖνο· καὶ οὐ πρότερον ἀπέστη διακυβερνῶν αὐτῆς τὴν ψυχὴν, ἕως εἰς τὸν εὔδιον λιμένα κατήγαγε πεπληρωμένην τοῦ φορτίου τὴν ναῦν, καὶ πολυτίμου θησαυροῦ τὴν γαστέρα γέμουσαν. Οὐ γὰρ χρυσίον, οὐδὲ ἀργύριον ἐβάσταζεν, ἀλλὰ προφήτην καὶ ἱερέα. Καὶ διπλοῦς ἦν αὐτῆς τῆς γαστρὸς ὁ ἁγιασμός, ὅτι τε τοιοῦτον ἦν τὸ κυούμενον παιδίον, ὅτι τε ἐξ ἀρχῆς, καὶ τῆς ἄνωθεν χάριτος τὴν ἀρχὴν τῆς κυήσεως ἔλαβεν.

Quòd ſi id nunc poſt euangelij lucem adeò eſt intolerandum, quum ad maiorem philoſophiam vocati ſumus, quúmque ad cœlum tendentibus nullus eſt rerum præſentium reſpectus, ſed ad alteram vitam adornamur, quúmque multis laudibus effertur virginitas: cogita quantæ infœlicitatis ea res viſa tum fuerit, quum futurorum nulla eſſet ſpes, ac ne cogitatio quidem, veteris illius legis alumnis, ſed omnia fierent rerum præſentium gratia: quum id temporis ſterilem & orbam eſſe fœminam, execrabile quiddam erat ac damnabile. Nemo poſſit eloqui, nec vllo ſermone conſequi doloris magnitudinem ex hoc vulnere venientis. Teſtes verò ſunt fœminæ, quæ quum in cæteris omnem præſtiterint philoſophiam, hanc infœlicitatem non pertulerunt æquo animo, ſed quædam maritis indignatæ ſunt, aliæ ſibi vitam iudicarunt eſſe iniucundam. Hanc verò fœminam non anxietas modò à ſterilitate proueniens, verùm & aliud quiddam obſidebat malum, ira videlicet, propter æmulæ opprobria. Et quemadmodum ventis ex aduerſo inter ſeſe concurrentibus, mediámque ſcapham, dum inter ſe depugnant, corripientibus, ac multis fluctibus partim à prora, partim à puppi inſurgentibus, gubernator clauo aſſidens ſeruat nauim; vndarum incurſus gubernandi prudentia depellens: ſic & mulier tum illa, quum ira & angor in animum ipſius facerent impetum, rationem illius perturbantes, multóſque fluctus excitarent, non iam biduum aut triduum, aut dies viginti, ſed & totos annos (nam hoc, vt ait ſcriptura, ex multo tempore factum eſt) fortiter pertulit tempeſtatem, nec paſſa eſt rationem demergi. Siquidem Dei timor tanquam nauclerus gubernaculis aſſidens, perſuaſit eam tempeſtatẽ magno animo perferendam eſſe, nec prius deſtitit mentem illius gubernare, donec in tranquillũ adduceret portum nauem onere plenam, hoc eſt, vterum pretioſo theſauro onuſtum. Neque enim aurum argentumve portabat, ſed prophetam, ſed ſacerdotum. Erátque gemina eius vteri ſanctificatio, & quòd tali puero prægnans eſſet, & quòd conceptionis initium, per deprecationem ac cœleſtem gratiam accepiſſet.

Altera Annæ afflictio ex opprobrijs æmulæ.

1.Reg.1.

Onus autem illud non ſolùm erat inopinatum & admirabile, verùm & importationis modus fuit admirabilior: neque enim illud hominibus vllis vendidit aut negotiatoribus, ſed protinus vt expoſuerat è ſcapha, Deo vendidit. Tantum autem hac negotiatione lucrum fecit, quantum facere par eſt eam, quæ cum Deo habuerit commercium. Etenim poſteaquam eum fœtum acceperat Deus, reddidit illi alterum filium: Imò potius, non vnum, neque duos neque tres, neque quaruor tantùm, ſed his multò plures, quia ſterilis, inquit, peperit ſeptem, & vt iam vſura ſortem exceſſit. Talis enim eſt negotiatio commerciúmque, quod cum Deo geritur. Non ille quantulamcunque ſortis partem, ſed multis partibus conduplicatam reddit. Neque ſolùm dedit illi proles fœmineas, ſed ex vtroque ſexu lucrum illius cumulauit, vt illam iam plenum ac perfectum contigerit gaudium. Hęc eo commemoro, non vt laudetis tantùm, ſed & æmulemini huius mulieris fidem ac tolerantiam, quam ex parte quidē audiſtis heſterno die, verùm vt reliquias perſoluamus, concedite mihi pauca commemorare de ſermonibus poſt primam deprecationem cum ſacerdote eiúſq; miniſtro habitis, vt perſpiciatis mitem ac placidum huius mulieris animum. *Et factum eſt*, inquit, *quum multiplicaret precationem in conſpectu Domini, Heli ſacerdos obſeruabat os illius.* Geminam ſcriptor hîc virtutem in fœmina ſuo teſtimonio comprobauit: in precibus aſſiduitatem inſtantiámque, & animi vigilantiam: illam quidem, quum ait, multiplicauit: hanc, quum addit, in conſpectu Domini. Nam omnes quidem oramus, ſed non omnes in conſpectu Dei. Etenim quum corpore in terra proſtrato, & ore temerè delirante, mens vbique per domum ac forum circumuagatur: quo ore talis poſſet dicere, quòd orauerit in conſpectu Dei? Nam in conſpectu Domini orat, qui orat vndequaque colligens ſuam mentem, nihil habens cum terra commercij, ſed ad ipſum Deum totus commigrans, omni cogitatione humana ab animo depulſa: quemadmodum id temporis hæc fecit mulier: totam enim ſeſe collegerat ac mentem intenderat, atque ita Deum inuocauit animo dolente.

1.Reg.2. 5.

1.Reg.1. 12.

Duplicem Annæ virtutē laudat.

A οὐχ ὁ φόρτος δὲ μόνον παράδοξος ἦν καὶ θαυμαστὸς, ἀλλὰ καὶ ὁ τρόπος τῆς ἐμπορείας παραδοξότερος γέγονεν. οὐδὲ γὰρ αὐτὸν ἀνθρώποις ἀπέδοτο, οὐδὲ ἐμπόροις τισὶ καὶ καπήλοις, ἀλλ' εὐθέως αὐτὸν ἐκβαλοῦσα τοῦ σκάφους ἐπώλησε τῷ θεῷ, καὶ τοσαύτην εἰργάσατο τὴν ἐμπορείαν, ὅσην εἰκὸς ἦν θεῷ συμβαλοῦσαν ἐργάσασθαι. μετὰ γὰρ τὸ λαβεῖν αὐτὸν, ἀντέδωκεν ἕτερον αὐτῇ τέκνον· μᾶλλον δὲ οὐχ ἓν, οὐδὲ δύο, οὐδὲ τρία, καὶ τέσσαρα μόνον, ἀλλὰ πολλῷ πλείονα, ὅτι στεῖρα, φησιν, ἔτεκεν ἑπτὰ, καὶ ὑπερέβη τὸ κεφάλαιον ὁ τόκος. τοιαύτη γὰρ B ἡ πρὸς τὸν θεὸν πραγματεία, οὐ τὸ πολλοστὸν τοῦ κεφαλαίου, ἀλλὰ τὸ πολυπλάσιον ἀποδίδωσι. καὶ οὐ θήλεα μόνον ἔδωκε παιδία, ἀλλὰ καὶ ἐξ ἑκατέρας τῆς φύσεως τὸν τόκον αὐτῆς συνεκρότησεν, ὥστε ἀπηρτισμένην αὐτῇ γενέσθαι τὴν ἡδονήν. ταῦτα λέγω, οὐχ ἵνα ἐπαινέσητε μόνον, ἀλλ' ἵνα καὶ ζηλώσητε τὴν πίστιν, τὴν ἀνεξικακίαν τῆς γυναικὸς, ἣν ἠκούσατε μὲν ἐκ μέρους καὶ πρώην, ὥστε δὲ καὶ τὰ λείψανα ἀποδοῦναι, δότε μοι μικρὸν διηγήσασθαι περὶ τῶν ῥημάτων τῶν μετὰ τὴν πρώην εὐχὴν C πρὸς τὸν ἱερέα καὶ τὸν παῖδα τοῦ ἱερέως γενομένων, ἵνα μάθητε τὸ πρᾷον καὶ τὸ ἥμερον φρόνημα τῆς γυναικός. καὶ ἐγένετο, φησιν, ὅτε ἐπλήθυνε προσευχομένη ἐνώπιον κυρίου, καὶ Ηλεὶ ὁ ἱερεὺς ἐφύλασσε τὸ στόμα αὐτῆς. διπλῆν ἐνταῦθα ὁ συγγραφεὺς ἀρετὴν μαρτυρεῖ τῇ γυναικὶ, καὶ τὴν καρτερίαν τὴν ἐν ταῖς εὐχαῖς, καὶ τὸ τῆς διανοίας ἐγρηγορός· τὸ μὲν, διὰ τοῦ εἰπεῖν, ἐπλήθυνε, τὸ δὲ, διὰ τοῦ προσθεῖναι, ἐνώπιον κυρίου. πάντες μὲν γὰρ εὐχόμεθα, ἀλλ' οὐ πάντες ἐνώπιον τοῦ θεοῦ. ὅταν γὰρ D τοῦ σώματος ἐπὶ γῆς κειμένου, καὶ τοῦ στόματος εἰκῆ ληροῦντος, ἡ διάνοια πανταχοῦ τῆς οἰκίας καὶ τῆς ἀγορᾶς περιέρχηται, πῶς ὁ τοιοῦτος δυνήσεται εἰπεῖν, ὅτι ἐνώπιον τοῦ θεοῦ ηὔξατο; ἐνώπιον γὰρ κυρίου εὔχεται, ὁ πάντοθεν ἑαυτοῦ τὴν ψυχὴν συλλέγων, καὶ μηδὲν ἔχων κοινὸν πρὸς τὴν γῆν, ἀλλὰ πρὸς αὐτὸν τὸν οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ πάντα ἀνθρώπινον λογισμὸν ἀπὸ τῆς ψυχῆς ἐκβαλών· καθάπερ οὖν καὶ αὐτὴ ἡ γυνὴ ἐποίησε τότε. ὅλην γὰρ ἑαυτὴν συναγαγοῦσα, καὶ συντείνασα τὴν διάνοιαν, ἐκάλει τὸν θεὸν μετ' ὀδυνωμένης ψυχῆς.

πῶς δέ φησιν, ὅτι καὶ ἐπλήθυνε τὴν εὐχήν; καίτοιγε βραχὺ τὸ μέτρον τῆς εὐχῆς τῆς γυναικός. οὐ γὰρ μακροὺς ἀπέτεινε λόγους, οὐδὲ εἰς μῆκος τὴν ἱκετηρίαν ἐξέβαλεν, ἀλλ᾽ ὀλίγα καὶ ψιλὰ εἶπε ῥήματα, ΑΔΩΝΑΙ ΚΥΡΙΕ ἘΛΩΙ ΣΑΒΑΩΘ, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου, καὶ μνησθῇς μου, καὶ μὴ ἐπιλάθῃ τῆς δούλης σου, καὶ δῷς τῇ δούλῃ σου σπέρμα ἀνδρὸς, δώσω αὐτὸ ἐνώπιόν σου δοτὸν ἕως ἡμέρας θανάτου αὐτοῦ, καὶ οἶνον καὶ μέθυσμα οὐ μὴ πίεται, καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ποῖον τοῦτο πλῆθος ῥημάτων; τί ποτ᾽ οὖν ἠνίξατο εἰπὼν, ἐπλήθυνε; συνεχῶς τὰ αὐτὰ ἐφθέγγετο, καὶ οὐκ ἀφίστατο πολὺν δαπανῶσα χρόνον διὰ τῶν αὐτῶν ῥημάτων. οὕτω γοῦν καὶ ἐν τοῖς εὐαγγελίοις ὁ Χριστὸς ἐπέταξεν εὔχεσθαι. εἰπὼν γὰρ τοῖς μαθηταῖς, μὴ κατὰ τοὺς ἐθνικοὺς εὔχεσθαι, καὶ μὴ βαττολογεῖν, καὶ μέτρον ἡμᾶς εὐχῆς ἐδίδαξε· δεικνὺς ὅτι οὐκ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ᾽ ἐν τῇ νήψει τῆς διανοίας κεῖται τὸ ἀκουσθῆναι. πῶς οὖν, φησιν, εἰ ὀλίγα δεῖ εὔχεσθαι, παραβολὴν εἶπεν αὐτοῖς πρὸς τὸ δεῖν ἀεὶ προσεύχεσθαι, ὅτι χήρα τις ἦν, ἣ τῇ συνεχείᾳ τῆς ἐντεύξεως ὠμὸν δικαστὴν καὶ ἀπάνθρωπον οὔτε θεοῦ φόβον, οὔτε ἀνθρώπων ἔχοντα αἰδῶ, τῇ πυκνότητι τῆς προσόδου κατέκαμψε; πῶς δὲ καὶ ὁ Παῦλος παραινεῖ λέγων, τῇ προσευχῇ προσκαρτεροῦντες; καὶ πάλιν, ἀδιαλείπτως προσεύχεσθε. εἰ γὰρ δεῖ μὴ μακροὺς ἀποτείνειν λόγους, καὶ συνεχῶς εὔχεσθαι, ἐναντίον τοῦτο ἐκείνου. ἀλλ᾽ οὐκ ἔστιν ἐναντίον, μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα συμβαῖνον. καὶ γὰρ ὁ Χριστὸς καὶ ὁ Παῦλος βραχείας καὶ πυκνὰς ποιεῖσθαι τὰς εὐχὰς ἐκέλευσεν ἐξ ὀλίγων διαλειμμάτων. ἂν μὲν γὰρ εἰς μῆκος ἐκτείνῃς τὸν λόγον, ὀλιγωρήσας πολλάκις, πολλὴν ἔδωκας τὴν ἄδειαν τῷ διαβόλῳ προσελθεῖν, καὶ ὑποσκελίσαι, καὶ τὴν διάνοιαν ἀπαγαγεῖν τῶν λεγομένων· ἂν δὲ συνεχεῖς καὶ πυκνὰς ποιῇς τὰς εὐχὰς, τὸν καιρὸν ἅπαντα τῇ πυκνότητι διαλαμβάνων, δυνήσῃ σωφρονεῖν εὐκόλως, αὐτάς τε τὰς εὐχὰς μετὰ πολλῆς ποιήσῃ τῆς [illegible]· ὃ δὴ καὶ αὕτη ἐποίει, οὐ μακροὺς ἀποτείνουσα λόγους, ἀλλὰ συχνὰς καὶ πυκνότερον προσιοῦσα τῷ θεῷ.

A Sed quomodo dicit, quòd multiplicauerit precationem, quando exiguus eſt modus precationis, quã fudit mulier? Neque enim in longum produxit ſermonem, neq; in multum temporis extendit ſupplicationẽ, ſed pauca nudáq. verba prolocuta eſt. *A*DONAI, DOMINE ELOI SABAOTH, *ſi reſpiciens reſpexeris ad humilitatem ancillæ tuæ, meíque memor fueris, nec oblitus ancillæ tuæ, dederíſque ancillæ tuæ prolem maſculam, offeram illam dono in conſpectu tuo, vſque ad diem mortis ipſius. Vinum & quicquid inebriat, non bibet, & ferrum non aſcendet ſuper caput eius.* Quæ eſt hîc verborum multitudo? (1.Reg.1. 11.)
B Quid igitur innuit, quum ait, multiplicauit? Aſſiduè ſonabat eadem, nec deſtitit iiſdem verbis iterandis multũ temporis abſumere. Ad hunc modum & Chriſtus in Euangelio docuit orare. Quum enim iuſſiſſet diſcipulis, ne more Gentilium orarent, vtentes multiloquio, etiam modum precationis docuit: oſtendens vt exaudiamur, non eſſe ſitum in verborum multitudine, ſed in vigilantia mentis. Quomodo igitur, dixerit aliquis, ſi paucis orandum eſt, parabolam eis propoſuit, (Aſſiduè orandũ.) (Mat. 6. 7.)
C admonentem ſemper eſſe orandum? Vidua quædam erat, quæ aſſiduè appellando crudelem & inhumanam iudicem, neque Deum timentem, neque homines reuerentem, frequenter audiens flexit. Quin nos & Paulus hortatur dicens, precationi inſtantes. Ac rurſus, indeſinenter orate. Vtrunque faciendum eſt, vt nec in longum verba proferamus, & tamen aſſiduè deprecamur. Hoc, inquies, cum illo pugnat: ſed non inter ſe pugnant iſta. Abſit hoc: ſed magnoperè inter ſe congruunt. Siquidem (Luc.18.3) (Rom.12. 2.) (1.Theſſ. 5.17.)
D & Chriſtus & Paulus iuſſit breues, ſed crebras fieri precationes ex paucis interuallis. Nam ſi in longum extenderis verba, quum frequenter parum ſis attentus, multam audaciam diabolo ſuppeditaſti, vt accedat ſupplantétque, ac mentem ab is quæ dicuntur auocet. Quòd ſi frequenter ac ſubinde oraueris, tempus omne crebris dirimens interuallis, facilè poteris eſſe ſobrius ac vigilans, vt precationem multa cum attentione perficias. Quòd ſanè hæc fecit, dum non ſermone prolixo, ſed crebris ac frequentibus precibes adiit Deum. (1.Reg.1.)

Deinde poſteequã ſacerdos illi occluſit os: nam hoc eſt quod ait, obſeruabat os eius, & labia eius mouebantur, vox autem illius non audiebatur: coacta eſt obedire ſacerdoti, & ab orando deſiſtere. Et vox quidem illi interclusa eſt, at non eſt excluſia fiducia, ſed vehementius etiam cor clamabat intus. Nam illa potiſſimum eſt deprecatio, quum ab intimis voces ſurſum ferũtur: hoc præcipuè mentis eſt exercitatæ, non intentione vocis, ſed animi feruore precationem abſoluere. Sic orauit & Moſes: cui quum nihil voce reſonaret, Deus tamen, Quid, inquit, clamas ad me? Homines quidem externam hanc vocem tantùm audiunt, at Deus & ante hanc intus inclamantes audit. Itaque fieri poteſt, vt etiam qui non clamant audiãtur, vt per forum ambulans quis oret accuratiſſimè, vt in conſeſſu amicorum aliorúmque, quiduis aliud agens vehementi clamore inuocet Deum, clamore inquam interno, etiamſi nihil faciat, quod à quoquam præſentium ſentiatur. Quod ſanè tum hæc fecit mulier: vox, inquit, illius non audiebatur, & exaudiuit illam Deus. Tantus erat illius clamor internus. *Et dixit illi puer Heli: Quouſque eris ebria? Diſcute vinum tuum abs te, & recede à conſpectu Domini.* Hîc potiſſimum licet huius mulieris philoſophiam perſpicere. Domi exprobrabat æmula, venit in templum, & ſacerdotis puer afficit illam contumelia, & increpat ipſe ſacerdos. Effugerat domeſticam tempeſtatem, venit in portum, & rurſus inuenit vndas: venit acceptura medicamen, & vulnus exaſperatum eſt. Scitis enim quomodo animi in mœrore conſtituti, aduerſus contumelias & conuitia ſint affecti. Quemadmodum enim acerba vulnera ne leuem quidem manus contactum ferunt: ſic & animus perturbatus difficilis eſt ac moroſus, & ad omnia indignatur, quouiſque verbo mordetur & offenditur. Verùm hoc non accidit huic mulieri, ne tum quidem quum à puero conuitiis peteretur. Nam ſi ſacerdos fuiſſet conuitiatus, non erat perinde miranda tolerantia: propterea quòd dignitatis magnitudo, ac magiſtratus authoritas vel inuitam illam compuliſſet ad modeſtiam.

Exod.14 14.

Moeſti non ferunt cõtumelias.

A εἶτα ἐπειδὴ ἐπεστόμισεν αὐτὴν ὁ ἱερεὺς (τοῦτο γάρ ἐστι τὸ, ἐφύλαξε τὸ στόμα αὐτῆς, καὶ τὰ χείλη αὐτῆς ἐκινεῖτο, φωνὴ δὲ αὐτῆς οὐκ ἠκούετο) ἐβιάσατο καὶ ὑπακοῦσαι τῷ ἱερεῖ, καὶ τῆς εὐχῆς μὴ ἀποστῆναι. ἐπεστομίσθη οὖν αὐτῆς ἡ φωνή, οὐκ ἐπεστομίσθη δὲ ἡ παῤῥησία, ἀλλὰ μειζόνως ἡ καρδία ἔνδον ἐβόα. τοῦτο γάρ ἐστι μάλιστα εὐχὴ, ὅταν ἔνδον αἱ βοαὶ ἀναφέρωνται. τοῦτο μάλιστα ψυχῆς πεπονημένης, μὴ τῷ τόνῳ τῆς φωνῆς, ἀλλὰ τῇ προθυμίᾳ τῆς διανοίας τὴν εὐχὴν ἐπιδείκνυσθαι. οὕτω καὶ Μωυσῆς ηὔχετο. διὸ καὶ μηδὲν αὐτοῦ φθεγγομένου φησὶν ὁ θεὸς, τί
B βοᾷς πρός με; ἄνθρωποι μὲν γὰρ ταύτης μόνον ἐπακούουσι τῆς φωνῆς· ὁ δὲ θεὸς πρὸ ταύτης τῶν ἔνδοθεν κραζόντων ἀκούει. ἄρα ἐστὶ καὶ μὴ κράζοντας ἀκούεσθαι, καὶ ἐπ' ἀγορᾶς βαδίζοντας εὔχεσθαι κατὰ διάνοιαν μετὰ πολλῆς ἀκριβείας, καὶ μετὰ φίλων συνεδρεύοντας, καὶ πᾶν ὁτιοῦν ποιοῦντας μετὰ σφοδρᾶς τῆς βοῆς καλεῖν τὸν θεὸν, τῆς ἔνδον λέγω, καὶ μηδενὶ τῶν παρόντων κατάδηλον ταύτην ποιεῖν, ὅπερ οὖν καὶ ἡ γυνὴ αὕτη τότε ἐποίησε. φωνὴ γὰρ αὐτῆς οὐκ ἠκούετο, φησί· καὶ ὅμως εἰσήκουσεν αὐτῆς ὁ θεός·
C τοσαύτη ἦν αὐτῆς ἔνδοθεν ἡ κραυγή. καὶ εἶπεν αὐτῇ τὸ παιδάριον Ἡλεὶ, ἕως πότε μεθυσθήσῃ; περιελοῦσα τὸν οἶνόν σου ἀπὸ σοῦ, ἄπελθε ἐκ προσώπου κυρίου. ἐνταῦθα μάλιστά ἐστι τὴν φιλοσοφίαν τῆς γυναικὸς ἰδεῖν. ἐπὶ τῆς οἰκίας ἡ ἀντίζηλος ὠνείδιζεν, ἦλθεν εἰς τὸν ναὸν, καὶ τὸ παιδάριον τοῦ ἱερέως ὕβρισε, καὶ ὁ ἱερεὺς ἐπετίμησεν. ἔφυγε τὸν οἴκοι χειμῶνα, ἦλθεν εἰς λιμένα, καὶ κύματα πάλιν εὗρεν ἕτερα. ἦλθε φάρμακον λαβεῖν, ἡ δὲ οὐ μόνον οὐκ ἔλαβεν, ἀλλὰ καὶ πληγὴν διὰ τῶν ὀνειδῶν προσεκτήσατο, καὶ τὸ ἕλκος
D μᾶλλον δι' αὐτῶν ἀνεξαίνετο. ἴστε γὰρ πῶς αἱ ὀδυνώμεναι ψυχαὶ πρὸς τὰς λοιδορίας καὶ τὰς ὕβρεις διάκεινται. καθάπερ γὰρ τὰ μείζονα τῶν τραυμάτων, οὐ τὴν τυχοῦσαν ἐπιβολὴν τῆς χειρὸς ἀνεχόμενα, χείρονα γίνεται· οὕτω καὶ ψυχὴ τεταραγμένη δυσάρεστός τέ ἐστι, καὶ πρὸς ἅπαντα δυσχεραίνει, καὶ ὑπὸ τοῦ τυχόντος δάκνεται ῥήματος. ἀλλ' ὅμως οὐδὲν τοιοῦτον ἔπαθεν ἡ γυνὴ, καὶ ταῦτα, τοῦ παιδὸς λοιδορουμένου. εἰ μὲν οὖν ὁ ἱερεὺς ἦν ὁ ὑβρικὼς, οὐχ οὕτω θαυμαστὴ ἦν ἡ ἀνεξικακία. τὸ γὰρ μέγεθος τοῦ ἀξιώματος, καὶ ὁ τῆς ἀρχῆς ὄγκος καὶ ἄκουσαν αὐτὴν ἔπεισε σωφρονεῖν.

νυνὶ δὲ οὐδὲ πρὸς τὸ παιδάριον τοῦ ἱερέως ἐδυσχέρανε. διὰ τοῦτο καὶ μᾶλλον τὸν θεὸν εἰς εὔνοιαν ἐπεσπάσατο. οὕτω καὶ ἡμεῖς ἂν λοιδορηθέντες, καὶ μυρία παθόντες δεινά, τοὺς ὀνειδίζοντας φέρωμεν γενναίως, μείζονα παρὰ τοῦ θεοῦ τὴν εὔνοιαν ἐπισπασόμεθα. πόθεν τοῦτο δῆλον; ἀπὸ τῶν τῷ Δαβὶδ συμβάντων. τί δὴ οὖν οὗτος ἔπαθεν; ἐξέπεσέ ποτε τῆς πατρίδος, καὶ περὶ τῆς ἐλευθερίας καὶ τῆς ψυχῆς αὐτῆς ἐκινδύνευε, καὶ τοῦ στρατοπέδου πρὸς τὸν ἀκόλαστον νεανίσκον τὸν τύραννον ἐκεῖνον καὶ πατραλοίαν μεταταξαμένου, ἐπλανᾶτο κατὰ τὴν ἔρημον, καὶ οὐκ ἐδυσχέρανεν, οὐδὲ ἀπεδυσπέτησε πρὸς τὸν θεόν, οὐδὲ εἶπε, τί ποτε τοῦτό ἐστι; συνεχώρησε τῷ παιδὶ κατεξαναστῆναι τοῦ γεγεννηκότος; καίτοι καὶ εἰ δίκαια ἐγκαλεῖν εἶχεν, οὐδὲ οὕτω τοῦτο γενέσθαι ἔδει· νυνὶ δὲ οὐ μικρόν, οὐ μέγα ἠδικημένος παρ' ἡμῶν, περιέρχεται τὴν δεξιὰν ἐπιθυμῶν αἵματι μολῦναι πατρικῷ, καὶ ὁ θεὸς ἀνέχεται ταῦτα ὁρῶν. ἀλλ' οὐδὲν τούτων εἶπε. καὶ τὸ δὴ μεῖζον καὶ θαυμαστόν, ὅτι πλανωμένῳ, καὶ πάντων ἐκπεπτωκότι, Σεμεεί τις ἄνθρωπος πονηρὸς καὶ μιαρὸς ἐπέθετο αὐτῷ, μιαιφόνον ἀποκαλῶν, καὶ ἑτέροις μυρίοις αὐτὸν πλύνων ὀνείδεσιν. ὁ δὲ οὐδὲ οὕτως ἠγρίανεν. εἰ δὲ λέγοι τις, καὶ τί θαυμαστόν, ὅτι οὐκ ἠμύνατο ἀσθενὴς ὤν, καὶ οὐκ ἰσχύων; ἐκεῖνο ἂν εἴποιμι, ὅτι οὐχ οὕτως αὐτὸν θαυμάζω, εἰ τὸ διάδημα καὶ τὴν βασιλείαν ἔχων, καὶ ἐπὶ τοῦ θρόνου καθήμενος, εἶτα λοιδορούμενος, * ἤνεγκεν, ὡς νῦν αὐτὸν ἐπαινῶ καὶ ἐκπλήττομαι ἐν τῷ καιρῷ τῆς συμφορᾶς φιλοσοφήσοντα. τότε μὲν γὰρ ὁ τῆς ἀρχῆς ὄγκος, καὶ τὸ εὐτελὲς τοῦ ὑβρίζοντος καταφρονῆσαι αὐτὸν πολλάκις ἔπειθε. πολλοὶ δὲ καὶ ἄλλοι βασιλεῖς πολλάκις τοιαῦτα ἐφιλοσόφησαν, τὴν ὑπερβολὴν τῆς μανίας τῶν ὑβρικότων εἰς ἀπολογίαν λαβόντες. οὐ γὰρ ὁμοίως ἡμῶν εὐημερίας ἀπολαυόντων, καὶ κακουμένων, τὰ ὀνείδη καθάπτεσθαι πέφυκεν· ἀλλ' ὅταν πταίσωμεν, τότε καθικνεῖται μειζόνως ἡμῶν καὶ δάκνει σφοδρότερον. ἐπὶ δὲ τούτου, καὶ ἕτερόν τι πρὸς τοῖς εἰρημένοις ἐστὶν εἰπεῖν, ὅτι καὶ κύριος ἦν ἀμύνασθαι, ἀλλ' οὐκ ἠμύνατο. καὶ ἵνα μάθῃς, ὅτι οὐκ ἀσθενείας, ἀλλ' ἀνεξικακίας ἦν ἡ φιλοσοφία, τοῦ στρατηγοῦ τότε ἀξιοῦντος ἐπιτραπῆναι διαβῆναι, καὶ τὴν κεφαλὴν ἀποτεμεῖν τὴν ἐκείνου,

A Nūc verò nec aduerſus ſacerdotis puerum indignata eſt: quò magis etiam ſibi conciliauit Deum. Sic enim res habet, quoties opprobriis milléque malis affecti, conuitiātes excelſo ferimus animo, maiorem nobis à Deo beneuolentiam conciliamus. Et vnde hoc liquet? ex his quæ euenêre Dauidi. Quid au- autem illi euenit? Exulabat aliquando è patria, ſimul & de libertate & vita ſua periclitans, & exercitu aduerſus intemperantem illum iuuenem tyrannum ac parricidam inſtructo, errabat in deſertis. Nec tamen indignatus eſt, nec deſpondit animū apud Deum, neq; dixit: B Quid tandem hoc rei eſt? permiſit vt filius inſurgeret aduerſus illū, à quo progenitus eſt: qui etiam ſi quid haberet, de quo iuſtè queri poſſet, non oportuit tamen id facere. Nunc verò nec in paruo, nec in magno lęſus à nobis, obābulat cupiens dextram paterno ſanguine polluere, & Deus hæc videns patitur. Sed nihil horum dixit. Quin quod profectò maius eſt, & admirabilius, errantem & vndique expulſum, Semei quidam vir improbus ac ſceleſtus inſectatus eſt, homicidio pollutum & impium C appellans, aliiſque innumeris, conuitijs impetens. At ne ſic quidem fuit exaſperatus. Quòd ſi quis dixerit: Quid miri, ſi non vltus eſt, quum propter imbecillitatem vlciſcendi poteſtatem non haberet? Primùm illud dixerim: Non perinde mirarer eum, ſi diadema geſtans & regno potiēs, ínq; throno ſedens cōuitiantē pertuliſſet, vt nunc illū & laudo, & admiror tēpore calamitatis philoſophantē animóq; moderantē. Nā illic & imperij magnitudo, & cōuitiantis vilitas, ſępenumero perſuaſit, vt cōtumeliā negligerent. Multi reges frequenter ſimilē animi moderationē pręſtiterunt, D qui inſignē conuitiatium inſaniā acceperunt pro excuſatione. Neque enim æquè nos in rerum proſperitate atque in diuerſis opprobria mordere ſolent: ſed vbi concidimus, tunc magis pungunt nos, acriúſque mordent conuitia. De hoc porrò, & aliud quiddam licet commemorare, videlicet quòd illi fuerit in manu vindictam ſumere. Atque vti perſpicias eam animi moderationem non fuiſſe impotentiæ, ſed patientię, quum id princeps exercitus cuperet ſibi committi, vt ad conuitiantem tranſiret, eiúſq; caput amputaret,

Tolerātia conuitiorū occaſio meriti Dauidi.

2.Reg.1.

non ſolùm non permiſit Dauid,verum- A
etiam indignatus eſt,dicens: Quid mi-
hi tecum fili Saruiæ? ſinite illum male-
.Reg. 16.11.12. dicere, vt videat Dominus humilita-
tem meam, & reddat mihi bona pro
maledictis huius in die hoc. Quod qui-
dem & euenit. Vides quòd iuſtus intel-
lexit magno animo perpeti cõuitia,oc-
caſionem eſſe adeptionis gloriæ? Hanc
ob cauſam & Saulem aliquando nactus
inter geminum parietem, quum eſſet
occidendi facultas, pepercit, ídque
quũ comites hortarentur, vt ſtringeret
gladium. Sed neque tam prompta oc-
cidendi facultas, neque comitum,qui
aderant prouocatio, neque multa- B
rum iniuriarum, quas perpeſſus fue-
rat, memoria, neque grauiora pa-
tiendi periculum imminens ad ſtrin-
gendum gladium illum impellere po-
tuerunt. tametſi neque exercitui ma-
nifeſtus homicidij futurus erat, ſi cæ-
dem illam patraſſet. Siquidem ſpe-
lunca erat, nec vllus alius aderat, niſi
ipſe ſolus. Neque dixit quod quiſpiam
adulterium commiſſurus dicebat: Te-
Ecl.23. 26. nebræ circum me & muri, quid ti-
meo? ſed inſomnem ſpectabat, & ſcie-
bat infinitis partibus ſplendidiores eſſe C
Sole Domini oculos. Idcirco ſic omnia
& agebat & loquebatur tanquam ipſo
præſente, & de ijs quæ dicebantur, iu-
1.Reg. 24.7. dicium ferente. Ait ergo, Non inferam
manum meam in Chriſtum Domini.
Non reſpicio improbitatem, ſed reſpi-
cio dignitatem. Neque mihi dicat ali-
quis illum eſſe violentum ac nefarium.
ego enim Dei calculo honorem defe-
ro,quamuis indignus iſte videatur. Nõ
enim meum eſt hoc crimen, quod hic
honore videatur indignus. Audiant
quotquot ſacerdotes aſpernantur, diſ-
cant quantam hîc Regi reuerentiã ex- D
hibuerit. Tametſi multo dignior eſt
honore ac veneratione ſacerdos,quàm
Rex,quanto ad maiorẽ etiã vocatus eſt
principatum. Diſcant nõ iudicare,neq;
pœnas exigere, ſed ſubiici ac credere.
Nam tu quidẽ vitã ſacerdotis minimè
noſti,quantumuis abiectus ille ſit ac vi-
lis: hic vero cuncta probè nouerat, quæ
Saul patrarat: nihilominus tamen ſic
quoque delatum illi à Deo principa-
tum reuerebatur. Vt autem intelligas
te quamuis eos probè noueris, venia ta-
men & excuſatione indignũ eſſe ſi ma-
giſtratus contẽnas, nec eorũ dictis ob-

οὐ μόνον οὐκ ἐπέτρεψεν ὁ Δαβὶδ, ἀλλὰ καὶ ἐδυσχέρανε, λέγων· τί ἐμοὶ καὶ σοί, υἱὲ Σαρουία; ἄφετε αὐτὸν καταρᾶσθαι, ὅπως ἴδοι τὴν ταπείνωσίν μου κύριος, καὶ ἀνταποδῷ μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ· ὅπερ οὖν καὶ ἐγένετο. ὁρᾷς πῶς οἶδεν ὁ δίκαιος, ὅτι τὸ φέρειν γενναίως τὰς λοιδορίας ἀφορμὴ πλείονος εὐδοκιμήσεως γίνεται; διὰ τοῦτό ποτε καὶ τὸν Σαοὺλ εἴσω διπλοῦ τειχίου λαβὼν, καὶ κύριος ὢν ἀποσφάξαι, ἐφείσατο· καὶ ταῦτα, τῶν παρόντων κελευόντων ὠθῆσαι τὸ ξίφος. ἀλλ' οὔτε τὸ τῆς ἐξουσίας εὔκολον, οὔτε τὸ παρ' ἑτέρων παροξύνεσθαι, οὔτε τὸ πολλὰ πεπονθέναι δεινὰ, οὔτε τὸ προσδοκᾶν πείσεσθαι χαλεπώτερα, συνεχώρησεν ἑλκῦσαι τὸ ξίφος. καίτοιγε οὐδὲ τῷ στρατοπέδῳ καταφωρὸς ἔμελλεν ἔσεσθαι ταύτην ἐργασάμενος τὴν σφαγήν. σπήλαιον γὰρ ἦν, καὶ οὐδεὶς ἕτερος παρῆν, ἀλλὰ μόνος αὐτός. καὶ οὐκ εἶπεν, ὅπερ τις μοιχείαν ἐργαζόμενος ἔλεγε, σκότος κύκλῳ μου καὶ τοῖχοι, τί εὐλαβοῦμαι; ἀλλ' ἑώρα τὸν ἀκοίμητον ὀφθαλμὸν, καὶ ᾔδει ὅτι ὀφθαλμοὶ κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροι. διὰ τοῦτο πάντα οὕτως ἔπραττέ τε καὶ ἔλεγεν, ὡς ἐκείνου παρόντος, καὶ δικάζοντος τοῖς λεγομένοις. καί φησιν, οὐ μὴ ἐπαγάγω τὴν χεῖρά μου ἐπὶ χριστὸν κυρίου. οὐχ ὁρῶ τὴν πονηρίαν, ἀλλ' ὁρῶ τὴν ἀξίαν. μή μοι λεγέτω τις, ὅτι βίαιος καὶ μιαρὸς οὗτος. ἐγὼ γὰρ τὴν τοῦ θεοῦ τιμῶ ψῆφον, κἂν οὗτος ἀνάξιος φαίνηται. οὐ γάρ ἐστιν ἐμὸν ἔγκλημα, τὸ τοῦτον ἀνάξιον φανῆναι τῆς τιμῆς. ἀκουέτωσαν ὅσοι καταφρονοῦσιν ἱερέων, μανθανέτωσαν ὅσην εὐλάβειαν περὶ βασιλέα ἐπεδείξατο. καίτοι πολὺ τιμιώτερος καὶ αἰδεσιμώτερος βασιλέως ὁ ἱερεὺς, ὅσον καὶ ἐπὶ μείζονα ἀρχὴν κέκληται. μανθανέτωσαν μὴ κρίνειν, μηδὲ εὐθύνας ἀπαιτεῖν, ἀλλ' ὑποτάσσεσθαι καὶ εἴκειν. σὺ μὲν γὰρ τὸν τοῦ ἱερέως βίον, κἂν φαῦλος ᾖ τις καὶ ἠμελημένος, οὐκ οἶδας· οὗτος δὲ ᾔδει μετ' ἀκριβείας ἅπαντα, ὅσα ἐποίησεν ὁ Σαούλ· ἀλλ' ὅμως καὶ οὕτως ᾐδεῖτο τὴν παρὰ τοῦ θεοῦ δοθεῖσαν ἀρχήν. ὅτι δὲ κἂν εἰδὼς ᾖς ἀκριβῶς, οὐκ ἔχεις ἀπολογίαν, οὐδὲ συγγνώμην, καταφρονῶν τῶν προεστώτων, καὶ παρακούων τῶν λεγομένων,

ἄκουσον πῶς καὶ ταύτην ἡμῖν ἀνεῖλε τὴν πρόφασιν ὁ Χριστός, δι' ὧν φησιν ἐν εὐαγγελίοις· ἐπὶ τῆς καθέδρας Μωυσέως ἐκάθισαν οἱ γραμματεῖς, καὶ οἱ Φαρισαῖοι· πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. ὁρᾷς πῶς, ὧν ὁ βίος οὕτω διεφθαρμένος ἦν, ὡς ἄξιος εἶναι διαβολῆς τοῖς μαθητευομένοις, τούτων τὴν παραίνεσιν οὐκ ἠτίμασεν, οὐδὲ τὴν διδαχὴν ἐξέβαλε; ταῦτα δὲ λέγω, οὐχὶ τῶν ἱερέων κατηγορεῖν βουλόμενος· μὴ γένοιτο (καὶ γὰρ ὑμεῖς μάρτυρές ἐστε τῆς τε ἀναστροφῆς αὐτῶν καὶ τῆς εὐλαβείας ἁπάσης) ἀλλ' ἵνα ἐκ πολλῆς τῆς περιουσίας πολλὴν αὐτοῖς τὴν αἰδῶ καὶ τὴν τιμὴν παρέχωμεν· οὐ γὰρ αὐτοὺς τοσοῦτον, ὅσον ἡμᾶς αὐτοὺς ὠφελήσομεν. ὁ δεχόμενος οὖν προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. εἰ γὰρ τοὺς ἀλλήλων βίους οὐκ ἐπετράπημεν κρίνειν, πολλῷ μᾶλλον τοὺς τῶν πατέρων. ἀλλ' ὅπερ ἔλεγον (πάλιν γὰρ ἐπὶ τὴν γυναῖκα ταύτην ἐπανελθεῖν ἀναγκαῖον) καὶ ὅτι τὸ φέρειν γενναίως τὰς λοιδορίας πολλῶν ἡμῖν ἀγαθῶν αἴτιον γίνεται, τοῦτο καὶ ἐπὶ τοῦ Ἰὼβ συνέβη. καὶ γὰρ ἐκεῖνον οὐχ οὕτω θαυμάζω πρὸ τῆς παραινέσεως τῆς γυναικός, ὡς μετὰ τὴν ὀλεθρίαν συμβουλὴν ἐκείνην. καὶ μή τις παράδοξον εἶναι νομιζέτω τὸ λεγόμενον. πολλάκις γοῦν οὓς ἡ τῶν πραγμάτων φύσις οὐχ ὑπεσκέλισε, ῥῆμα καὶ παραίνεσις διεφθαρμένη κατέλυσεν. ὅπερ οὖν καὶ ὁ διάβολος συνειδώς, μετὰ τὴν ἀπὸ τῆς πείρας πληγήν, καὶ τὴν διὰ τῶν ῥημάτων ἐπάγει προσβολήν. ὅπερ οὖν ἐποίησεν ἐπὶ τοῦ Δαβίδ. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν γενναίως ἐνέγκοντα τὴν ἐπανάστασιν τοῦ παιδὸς καὶ τὴν παράνομον ἐκείνην τυραννίδα, βουλόμενος ὑποσκελίσαι τὴν διάνοιαν, καὶ πεῖσαι εἰς ὀργὴν ἐκπεσεῖν, καθῆκεν ἐκεῖνον τὸν Σεμεεὶ, ῥήμασι πικροῖς παρασκευάσας δάκνειν αὐτοῦ τὴν ψυχήν. τοῦτο καὶ ἐπὶ τοῦ Ἰὼβ ἐκακούργησεν. ὡς γὰρ εἶδε κἀκεῖνον καταγελάσαντα αὐτοῦ τῶν βελῶν, καὶ ὥσπερ ἀδαμάντινον πύργον πρὸς πάντα στάντα γενναίως, καθώπλισε τὴν γυναῖκα, ἵνα ἀνύποπτος ἡ συμβουλὴ γένηται, καὶ ἐνέκρυψε τὸ δηλητήριον τοῖς ἐκείνης ῥήμασι, καὶ τὴν συμφορὰν ἐξετραγῴδησε. τί οὖν ὁ γενναῖος ἐκεῖνος; ἵνα τί, ὡς μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας; εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυ-

A tẽperes audi quo pacto hunc nobis prętextum per ea Chriſtus eripuerit, quæ in euãgelio dixit: Super cathedrã Moyſi ſederunt Scribæ & Phariſæi: omnia ergo quæcunque dixerint vobis facienda facite, ſecundum vero opera eorum nolite facere. Videſne quo pacto quorũ adeo deprauati erant mores, vt digni eſſent, qui à diſcipulis reprehenderentur, eorum tamen adhortationem non aſpernatus eſt, neq. doctrinã reiecit? Hęc non eò dico, quod ſacerdotes velim accuſare: abſit (ſiquidem vos conuerſationis ac pietatis omnis eorũ teſtes eſtis) ſed vt maiori ex ambundantia multam B illis reuerentiam & honorem exhibeamus. Neq; enim adeò in illos, atque in nos ipſos vtilitas dimanabit. Qui recipit ergo prophetam in nomine prophetæ, mercedem prophetæ accipiet. Si enim de noſtra inuicem vita iudicium ferre prohibemur, multo magis de patrum vita: ſed quod dicere inſtitueram (rurſus enim ad hanc redire mulierẽ oportet) quotieſcunque conuitia excelſo ferimus animo, multorum nobis bonorũ cauſam id fieri, poſſumus & ipſi Iob cernere contigiſſe. Neque enim C illum perinde miror, priuſquam eſſet ab vxore inſtigatus, vt poſt illud pernicioſum conſilium. Verùm ne cui videatur incredibile quod narro, frequenter quos ipſa rerum natura non ſubuertit, verbum corruptáq. exhortatio deuicit. Quod quum non ignoraret diabolus, poſt inflictum vulnus ipſa malorum experientia, etiam per ſermones fecit inſultum. Nimirum hoc eſt quod fecit in Dauide. Poſteaquam enim vidit illum infracto animo tuliſſe filij rebellionem, & impiam illam tyrannidem, volens ſupplantare Dauidis D mentem, atque ad iracundiam perpellere, aggreſſus eſt illum amarulentis Semei verbis, hoc agens, vt morderet & exaſperaret animum illius. Hoc ipſum & in beatum Iob aſtu molitus eſt. Vt enim perſpexit & illum ſua deridere iacula, neque ſecus atque turrim quandã adamantinam aduerſus omnia fortiter conſiſtere, obarmauit in eum vxorem, quò videlicet non eſſet ſuſpectum conſilium, & venenum verbis fœminæ texit, calamitatem exaggerans. Quid igitur beatus ille ac magnanimus? Cur locuta es, inquit, ſicut vna de ſtultis mulierib. Si bona accepimus de manu Do-

Mat. 22. 2.

Mat. 10. 41.

Grauior tentatio per orationem.

Iob. 2. 1.

mini, mala non excipiemus? Quod autem hic dicit hunc ſenſum habet. Si non eſſet, inquit, Dominus, neque tantò nobis excellentior, ſed amicus aliquis pari loco & conditione: quam haberemus excuſationem, ſi tot tantiſq. affecti beneficiis, etiã contrariis eũ remuneraremur? Vides vt virDeum diligens, excelſo eſt pectore, nec effertur animo, nec gloriatur, quod plagas illas humanam naturam excedentes fortiter toleret, neque ſuæ ſapientiæ tribuit, non inſoleſcit tam inſigni tolerantia, ſed perinde quaſi debitum exoluiſſet, nihilque præter æquum accidiſſet, ita ex ſuperfluo mulieri os occluſit? Idem factum eſt in hac muliere. Nam ſimul vt Satanas perſpexit eam magno animo ferre ſterilitatem, immiſit ſacerdotis puerum, qui magis illam exacerbaret. At nihil horum accidit mulieri: ſed domi præparata ad perferenda maledicta, æmulæq; conuitiis exercitata, intrepidè iam aduerſus eiuſmodi aſſultus ferendos ſe accingebat. quapropter & in templo multam præſtitit humanitatem, admodum viriliter magno animo ſcommata perferens, dum audit temulenta ac vinolenta. Nihil autem vetat & ipſa mulieris audire verba. quum enim puer dixiſſet, *Digere vinum tuum abs te, & recede à conſpectu Domini*: reſpondit Anna, & dixit: *Nequaquam Domine.* [1.Reg.1.] qui contumelioſè locutus fuerat, eum appellat Dominum. Non dixit quod plerique ſolent homines, Iſtáne ſacerdos? Iſta qui alios docet, temulentiam ac vinolentiam mihi exprobrat? Sed illud ſpectabat, quomodo ſuſpicionem depelleret; licèt falſam. [Quomodo ferendæ contumeliæ.] Nos contrà, ſi quando conuitiis appetimur, quum oporteret excuſare & in gratiam redire, frequenter excitamus incendium, ac ferarum in morem inſilimus in conuitiatores, præfocantes, obſtricto collo trahentes, pro dictis ſupplicium repoſcentes, atqui his ipſis factis ſuſpicionem de nobis confirmamus. Nam ſi cupis exprobrantibus oſtendere, te non eſſe temulentum, oſtende per manſuetudinem, oſtende per humanitatem, non per contumelias & conuitia. Nam ſi percuſſeris eum qui te afficit conuitiis, temulentiam tuam condemnaturi ſunt omnes. Sin magno pertuleris animo,

A εἰς, τὰ κακὰ οὐχ ὑποίσομεν; ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ μὴ δεσπότης ἦν, μηδὲ τοσοῦτον ἡμῶν ὑπερέχων, ἀλλὰ φίλος τις ὁμότιμος, ποίαν εἴχομεν ἀπολογίαν, τοσαῦτα εὐεργετηθέντες παρ' αὐτοῦ, καὶ τοῖς ἐναντίοις αὐτὸν ἀμειβόμενοι; εἶδες γνώμην φιλόθεον, καὶ πῶς οὐ μεγαλοφρονεῖ, οὐδὲ ἐναβρύνεται ἐπὶ τῷ γενναίως ἐνεγκεῖν τὰς ὑπὲρ φύσιν ἐκείνας πληγάς· οὔτε σοφίας εἶναι νομίζει καὶ μεγαλοψυχίας τὴν τοσαύτην ὑπομονήν· ἀλλ' ὥσπερ ἀναγκαῖον ὄφλημα ἐκτιννύς, καὶ οὐδὲν ἀπεικὸς παθὼν, οὕτως ἐκ περιουσίας τὸ γύναιον B ἐπεστόμισε; τοῦτο καὶ ἐπὶ τῆς γυναικὸς ταύτης γέγονεν. ἐπειδὴ γὰρ εἶδεν αὐτὴν γενναίως φέρουσαν τὴν ἀπαιδίαν, καὶ τῷ θεῷ προσανέχουσαν, καθῆκε τὸ παιδάριον τοῦ ἱερέως, ὥστε μᾶλλον αὐτὴν ἀγριᾶναι. ἀλλ' οὐδὲν τούτων ἔπαθεν ἡ γυνή, ἀλλὰ μελετήσασα φέρειν τὰς λοιδορίας ἐπὶ τῆς οἰκίας, καὶ τοῖς ὀνείδεσιν ἐγγυμνασαμένη τῆς ἀντιζήλου, ἀδεῶς λοιπὸν πρὸς τὰς τοιαύτας ἀπεδύετο προσβολάς. διὸ καὶ ἐν τῷ ἱερῷ πολλὴν ἐπιείκειαν ἐπεδείκνυτο, ἀνδρείως μάλα καὶ μεγαλοψύχως τὰ C σκώμματα φέρουσα, τὰ ἐπὶ τῇ μέθῃ καὶ τῇ παροινίᾳ. οὐδὲν δὲ οἷον καὶ αὐτῶν ἀκοῦσαι τῶν ῥημάτων. εἰπόντος γὰρ τοῦ παιδαρίου, περιελοῦ τὸν οἶνόν σου ἀπὸ σοῦ, καὶ ἄπελθε ἐκ προσώπου κυρίου, ἀπεκρίθη ἡ Αννα, καὶ εἶπεν, οὐχί, κύριε. τὸν ὑβρίσαντα δεσπότην ἐκάλεσε. καὶ οὐκ εἶπεν, ὃ πολλοὶ τῶν ἀνθρώπων λέγουσιν, εἰπέ μοι ταῦτα ὁ ἱερεύς; ταῦτα, ὁ διδάσκων τοὺς ἄλλους εἰς μέθην καὶ παροινίαν ἔσκωψεν; ἀλλ' ἐσκόπησεν ὅπως ἀποκρούσαιτο μόνον τὴν ὑπόνοιαν, καίτοι D γε οὐκ οὖσαν ἀληθῆ. ἡμεῖς δὲ πολλάκις, ἐπειδὰν λοιδορηθῶμεν, δέον ἀπολογήσασθαι καὶ ἀπαλλαγῆναι, ἐξάπτομεν τὸ πῦρ, καὶ καθάπερ θηρία τοῖς ὑβρικόσιν ἐπιπηδῶμεν, ἄγχοντες, ἕλκοντες, εὐθύνας ἀπαιτοῦντες τῶν εἰρημένων, καὶ τούτοις αὐτοῖς, οἷς ποιοῦμεν, τὴν καθ' ἡμῶν βεβαιοῦντες ὑπόνοιαν. εἰ γὰρ βούλει δεῖξαι τοῖς ὑβρικόσιν, ὡς οὐ μεθύεις, δεῖξον διὰ πραότητος καὶ ἐπιεικείας, μὴ δι' ὕβρεως, μηδὲ διὰ λοιδορίας. ἂν μὲν γὰρ τυπτήσῃς τὸν ὑβρικότα, μέθην σου καταγνώσονται πάντες· ἂν δὲ γενναίως ἐνέγκῃς,

A ἀπεκρούσω διὰ τῶν ἔργων τὴν πονηρὰν ὑποψίαν· ὅπερ οὖν καὶ ἡ γυνὴ τότε ἐποίησε, καὶ εἰποῦσα, οὐχὶ κύριε, δι' αὐτῶν τῶν πραγμάτων ἐδείκνυ, ὅτι ψευδὴς ἦν ἡ ὑποψία. πόθεν δὲ ὅλως καὶ ὑπώπτευσεν ὁ ἱερεὺς τοῦτο; μὴ γὰρ γελῶσαν εἶδε; μὴ γὰρ χορεύουσαν; μὴ γὰρ περιφερομένην καὶ καταπίπτουσαν; μὴ γὰρ αἰσχρόν τι καὶ ἀνελεύθερον φθεγγομένην ῥῆμα; πόθεν οὖν ταύτην ἔσχε τὴν ὑπόνοιαν; οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν ἐκεῖνος, ἀλλ' ἀπὸ τοῦ καιροῦ τῆς ἡμέρας· καὶ γὰρ ἦν τὸ μεσημβρινὸν, ὅτε τὴν εὐχὴν ἐποιεῖτο. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτῶν τῶν ἄνωθεν εἰρημένων. B ἀνέστη γάρ, φησιν, Αννα μετὰ τὸ φαγεῖν αὐτοὺς ἐν Σηλώμ, καὶ μετὰ τὸ πιεῖν, καὶ κατέστη ἐνώπιον κυρίου. ὁρᾷς; ὃν ἀνέσεως καιρὸν ποιοῦνται ἅπαντες, τοῦτον εὐχῆς ἐποιεῖτο αὕτη καιρόν, καὶ μετὰ τράπεζαν πρὸς ἱκετηρίαν ἀνέτρεχε, καὶ πηγὰς ἠφίει δακρύων, καὶ διάνοιαν παρεῖχε σωφρονοῦσαν καὶ νήφουσαν, καὶ μετὰ τράπεζαν οὕτως ἐκτενῶς ηὔξατο, ὡς δῶρον ὑπὲρ φύσιν λαβεῖν, καὶ λῦσαι στείρωσιν, καὶ φύσιν ἀσθενήσασαν διορθῶσαι. ταῦτα τοίνυν ἀπὸ τῆς γυναικὸς ἐκερδάναμεν, ὥστε εἰδέναι C μετ' εὐωχίαν εὔχεσθαι· ὁ γὰρ πρὸς τοῦτο παρεσκευασμένος, οὐδέποτε εἰς μέθην καὶ παροινίαν ἐκπεσεῖται, οὐδέποτε ὑπὸ ἀδδηφαγίας διαρραγήσεται, ἀλλὰ τὴν προσδοκίαν τῆς εὐχῆς ἀντὶ χαλινοῦ τοῖς λογισμοῖς ἐπικειμένην ἔχων, μετὰ τοῦ προσήκοντος μέτρου τῶν παρακειμένων ἅψεται πάντων, καὶ πολλῆς μὲν τὴν ψυχὴν, πολλῆς δὲ τὸ σῶμα ἐμπλήσει τῆς εὐλογίας. τράπεζα γὰρ ἀπὸ εὐχῆς ἀρχομένη, καὶ εἰς εὐχὴν καταλήγουσα, οὐδέποτε ὑστερηθήσεται, ἀλλὰ πηγῆς δαψιλέστερον ἅπαντα ἡμῖν οἴσει τὰ ἀγαθά. D μὴ δὴ τοσοῦτον παραδράμωμεν κέρδος. καὶ γὰρ ἄτοπον τοὺς μὲν οἰκέτας τοὺς ἡμετέρους, εἴ ποτέ τι τῶν παρακειμένων λάβοιεν παρ' ἡμῶν μέρος, εὐχαριστεῖν τε ἡμῖν καὶ μετ' εὐφημίας ἀναχωρεῖν· ἡμᾶς δὲ τοσούτων ἀπολαύοντας ἀγαθῶν μηδὲ τοσαύτην ἀποδιδόναι τῷ θεῷ τὴν τιμὴν, καὶ ταῦτα, μέλλοντας πολλῆς ἀπολαύσεσθαι τῆς ἀσφαλείας. ὅπου γὰρ εὐχὴ καὶ εὐχαριστία, ἁγίου πνεύματος παραγίνεται χάρις, καὶ φυγαδεύονται δαίμονες, καὶ πᾶσα ἀντικειμένη δύναμις δραπετεύει καὶ ἀφίσταται, ὁ μέλλων εἰς

A factis ipſis depuleris malam de te ſuſpicionem : id quod tum hæc fecit mulier. Quum enim diceret, nequaquã Domine: re nimirum ipſa declarauit, falſam eſſe illius ſuſpicionem. Vnde autem hoc vel ſupicari potuit ſacerdos? Neque enim ridentem vidit, neque ſaltantem, neque vertigine concidentem, non audiuit vllum verbum obſcœnum, aut illiberale ſonantem. Vnde igitur concepit hanc ſuſpicionem? Haud ille quidem temerè, nullâque de cauſa conceperat eam: ſed ex diei tempore, erat enim meridies quum precaretur illa. B Vnde hoc liquet? Ex his quæ locum hunc præcedunt. *Surrexit,* inquit, *Anna, poſtquam illi comederant & biberant in Selom, & conſtitit in conſpectu Domini.* Ibidem. Quod omnes faciũt tempus relaxationis, illa fecit tempus deprecationis: poſt conuiuium accurrens ad ſupplicationem, fontes lachrymarum emiſit, mentémque præ ſe tulit ſobriam ac vigilantem: ac poſt epulas adeò intentè orauit, vt donum acciperet ſupra naturam, ſolueretq́; ſterilitatem, ac naturæ imbecillitatem corrigeret. Hoc C igitur à fœmina lucri conſecuti ſumus, vt ſciamus & poſt conuiuium orare. Quiſquis enim ad hoc præparatus fuerit, nunquam in ebrietatem aut vinolentiam incidet, nunquam crapula diſrumpetur: ſed quoniam expectationem precationis habet pro fræno impoſitam animo, conueniente menſura attinget ex omnibus quæ fuerint appoſita, multaq́; benedictione tum animam, tum corpus implebit. Siquidem conuiuium quod à precatione cœptum in precationem deſinit, nunquam deficiet, ſed quouis fonte vberius nobis D omnia adferet bona. Ne igitur tantum negligamus lucrum. Abſurdum enim fuerit, ſi quum famuli noſtri, ſi quando partem aliquam eorum quæ nobis appoſita ſunt acceperint, nobis gratias agant, beneq́; nobis precantes abeant: nos quum tot tantiſque fruamur bonis, ne hoc quidem honoris Deo perſoluamus, præſertim quum hinc multam ſimus aſſecuturi ſecuritatem. Vbi enim precatio & gratiarum actio, eò ſancti Spiritus aduenit gratia, abiguntur dæmones, & omnis aduerſaria poteſtas diffugit ac diſcedit. Qui ſe con-

Precatio ad menſam.

uerſurus eſt ad orandum, non audet quicquam abſurdè loqui, ne in medio quidem conuiuio: aut ſi locutus fuerit, mox reſipiſcit. Proinde oportet tum in initio, tum in fine conuiuij gratias agere Deo, ob hanc præcipuè cauſam, quòd quemadmodum dicere cœperam, haud facilè prolabemur in ebrietatem, ſi nos ipſos in hanc conſuetudinem conſtituerimus. Quin ſi quando ſurrexeris crapula potúque grauatus, ne ſic quidem abiicies conſuetudinem: ſed quamuis habeamus grauatum caput, quamuis vertigine circumferamur, & concidamus, nihilo ſecius tamen oremus, nec abolebeamus conſuetudinem. Etenim ſi pręcedenti die ad hunc ooaueris modum, poſtridie corriges dedecus pridie commiſſum. Quoties igitur prandebimus, meminerimns huius mulieris, & illius lachrymarum, nec non præclaræ eius ebrietatis. Nam ebria erat mulier, non è vino, ſed ex abundantia pietatis. Etenim ſi poſt prandium talis fuit, qualis erat ſub auroram? Si tam inſtanter orauit poſt cibum & potum, qualis erat ieiuna? Redeamus igitur denuò ad verba illius, verba multæ plena philoſophiæ, multáque referta manſue-
1. Reg. 1. 15. dine. Quum enim dixiſſet; *Nequaquam Domine*, ſubiecit: *Mulier in duro die ſum ego, vinum, & quod inebriat, non bibi.* Obſerua quomodo nec hîc commemorat æmulæ conuitia, neque traducit illius malitiam, nec domeſticam calamitatem exaggerat euulgãs, ſed hactenus aperit ſuam anxietatem, vt tantùm ſeſe apud ſacedotem purgaret. Mulier in duro die ego ſum: Vinum, & quicquid inebriat, non bibi, ſed effundo animam meam coram Domino. Non ait deprecor dominum, ſupplico Domino, ſed effundo animam meã coram domino: hoc eſt, meipſam totam conuerti ad Dominum, mentem meam exinaniui apud illum, toto animo, totáque virtute precationem meã peregi. Deo narraui calamitatem meã, oſtendi vulnus, ille poteſt dare remedium. *Ne des ancillam in faciem, in filiam peſtilentem.* Rurſus ancillam appellat ſeipſam, multam adhibens curam, ne à ſacerdote malam referat famam: nec apud ſe dixit: Quid mihi curæ eſt iſtius calumnia? ignoranter ac temerè accuſat, ſuſpicatur vbi nihil

A εὐχὴν τρέπεσθαι, οὐδὲν ἄτοπον τολμᾷ φθέγξασθαι, οὐδὲ ἐν μέσῃ τραπέζῃ· κἂν φθέγξηται, μεταγινώσκει ταχέως. διὸ χρὴ καὶ ἀρχομένους καὶ λήγοντας εὐχαριστεῖν τῷ θεῷ. μάλιστα μὲν γὰρ οὐδὲ εἰς μέθην ἐμπεσούμεθα ῥᾳδίως, καθάπερ ἔφθην εἰπὼν, εἰ καταστήσαιμεν εἰς ταύτην ἑαυτοὺς τὴν συνήθειαν. ὥστε κἂν κραιπαλῶν, κἂν μεθύων ποτὲ ἀναστῇς, μηδὲ οὕτω καταλύσῃς τὸ ἔθος, ἀλλὰ κἂν καρηβαρῶμεν, κἂν περιφερώμεθα καὶ καταπίπτωμεν, καὶ οὕτως εὐξώμεθα, καὶ μὴ διαλύσωμεν τὴν συνήθειαν. ἂν γὰρ τῇ προτέρᾳ ἡμέρᾳ οὕτως εὔξῃ, τῇ δευτέρᾳ διορθώσῃ
B τὴν ἐν τῇ προτέρᾳ γενομένην ἀσχημοσύνην ἡμέρᾳ. ὅταν τοίνυν ἀριστοποιώμεθα, μνημονεύωμεν ταύτης τῆς γυναικὸς, καὶ τῶν ταύτης δακρύων, καὶ τῆς μέθης τῆς καλῆς ταύτης. ἐμέθυε γὰρ καὶ ἡ γυνὴ, οὐκ ἀπὸ οἴνου, ἀλλ᾽ ἀπ᾽ εὐλαβείας πολλῆς. εἰ γὰρ μετ᾽ ἄριστον τοιαύτη ἦν, ποία τὴν ὑπὸ τὴν ἕω, εἰ μετὰ τὸ φαγεῖν καὶ πιεῖν οὕτως ἐκτενῶς προσηύχετο, ὁποία ὑπῆρχε νῆστις οὖσα; ἐπανέλθωμεν τοίνυν πάλιν ἐπὶ τὰ ῥήματα αὐτῆς τὰ φιλοσοφίας γέμοντα πολλῆς καὶ πρᾳότητος. εἰποῦσα γὰρ, οὐχὶ κύριε, ἐπήγαγε· γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι, καὶ οἶνον καὶ
C μέθυσμα οὐ πέπωκα. παρατήρησον. οὐδὲ ἐνταῦθα λέγει τὰ ὀνείδη τῆς ἀντιζήλου, οὐδὲ ἐκπομπεύει τὴν πονηρίαν ἐκείνης, οὐδὲ ἐκτραγῳδεῖ τὴν συμφορὰν τὴν οἰκείαν, ἀλλὰ τοσοῦτον ἀποκαλύπτει τὴν ἑαυτῆς ἀθυμίαν, ὅσον ἀπολογήσασθαι πρὸς τὸν ἱερέα μόνον. γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ, φησὶν, ἐγώ εἰμι· καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχέω τὴν ψυχήν μου ἐνώπιον κυρίου. οὐκ εἶπεν, δέομαι τοῦ θεοῦ, ἱκετεύω τὸν θεὸν, ἀλλ᾽, ἐκχέω τὴν ψυχήν μου
D ἐνώπιον κυρίου· τουτέστιν, ὅλην ἐμαυτὴν μετέστησα πρὸς τὸν θεὸν, τὴν διάνοιάν μου ἐξεκένωσα πρὸς αὐτὸν, ὅλῃ ψυχῇ καὶ δυνάμει τὴν εὐχήν μου ἐποιησάμην, εἶπον τῷ θεῷ τὴν συμφορὰν τὴν ἐμὴν, ἔδειξα τὸ ἕλκος, ἐκεῖνος τὸ φάρμακον εἶναι δύναται. μὴ δῷς τὴν δούλην σου εἰς πρόσωπον εἰς θυγατέρα λοιμήν. πάλιν δούλην ἑαυτὴν καλεῖ, καὶ πολλὴν ποιεῖται σπουδὴν, ὥστε μὴ πονηρὰν δόξαν παρὰ τοῦ ἱερέως λαβεῖν. καὶ οὐκ εἶπε πρὸς ἑαυτὴν, τί δέ μοι μέλει τῆς τούτου διαβολῆς; ἁπλῶς καὶ εἰκῆ κατηγόρησεν, ὑπώπτευσεν εἰς οὐδὲν δέον·

δέον· τὸ συνειδός μου καθαρὸν ἔστω, καὶ πάντες με διαβαλλέτωσαν· ἀλλὰ τὸν ἀποστολικὸν ἐκεῖνον ἐπλήρου νόμον, τὸν κελεύοντα προνοεῖσθαι καλὰ μὴ μόνον ἐνώπιον κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. καὶ πάντα τρόπον τὴν ὑποψίαν ἀπεκρούετο λέγουσα, μὴ δῷς τὴν δούλην σου εἰς πρόσωπον εἰς θυγατέρα λοιμήν. τί δέ ἐστιν, εἰς πρόσωπον; μὴ νομίσῃς ἀναίσχυντον εἶναί με καὶ ἰταμήν· ἀθυμίας, οὐ παροινίας ἐστὶν αὕτη ἡ παρρησία, ὀδύνης, οὐχὶ μέθης. τί οὖν ὁ ἱερεύς; ὅρα κἀκείνου τὴν σύνεσιν, οὐ περιειργάσατο τὴν συμφοράν, οὐκ ἠβουλήθη πολυπραγμονῆσαι τὴν αἰτίαν, ἀλλὰ τί φησι; πορεύου ἐν εἰρήνῃ, δῴη σοι κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ πᾶν αἴτημα, ὃ ᾐτήσω παρ' αὐτοῦ. τὸν κατήγορον συνήγορον εἰργάσατο ἡ γυνή. τοσοῦτόν ἐστιν ἐπιείκεια καὶ πραότης καλόν· καὶ ἀντὶ ὕβρεως ἐφόδια ἱκανὰ λαβοῦσα ἀπῆλθε, καὶ προστάτην ἔσχε καὶ πρεσβευτὴν τὸν ἐπιτιμήσαντα. καὶ οὐδὲ οὕτως ἀφίσταται, ἀλλὰ πάλιν φησίν, εὗρεν ἡ δούλη σου χάριν ἐν ὀφθαλμοῖς σου. τουτέστι, μάθοις διὰ τοῦ τέλους αὐτοῦ, καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως, ὡς οὐκ ἀπὸ παροινίας, ἀλλ' ἐξ ὀδύνης τοσαύτης ἐποιησάμην ἱκετηρίαν καὶ τὴν δέησιν. καὶ ἀπελθοῦσα, φησιν, οὐκέτι συνέπεσεν. εἶδες πίστιν γυναικός; πρὶν λάβῃ ὅπερ ᾔτησεν, ἐθάρσησεν ὡς λαβοῦσα. τὸ δὲ αἴτιον, ὅτι μετὰ πολλῆς ηὔξατο τῆς σφοδρότητος, μετὰ σπουδῆς ἀδιακρίτου. διὰ τοῦτο, ὡς πᾶν εἰληφυῖα, κατῆλθεν. ἄλλως δέ, καὶ ὁ θεὸς λοιπὸν αὐτῆς τὴν ἀθυμίαν ἐξέβαλε, μέλλων διδόναι τὸ δῶρον. ταύτην ζηλώσωμεν καὶ ἡμεῖς, καὶ ἐν ἁπάσαις ταῖς συμφοραῖς πρὸς τὸν θεὸν καταφεύγωμεν. κἂν μὴ ἔχωμεν παιδία, παρ' ἐκείνου αἰτῶμεν· κἂν λάβωμεν, μετὰ πολλῆς ἀνατρέφωμεν αὐτὰ τῆς σπουδῆς, καὶ πάσης μὲν κακίας ἀπάγωμεν τοὺς νέους, μάλιστα δὲ ἀσελγείας. χαλεπὸς γὰρ οὗτος ὁ πόλεμος, καὶ οὐδὲν οὕτως ἐνοχλεῖ τὴν ἡλικίαν ἐκείνην, ὡς τοῦτο τὸ πάθος. πανταχόθεν τοίνυν αὐτοὺς τειχίζωμεν συμβουλαῖς, παραινέσεσι, φόβοις, ἀπειλαῖς. ἂν ταύτης περιγένωνται τῆς ἐπιθυμίας, οὐδὲ ἑτέρᾳ ταχέως ἁλώσονται, ἀλλὰ καὶ χρημάτων ἔσονται κρείττους, καὶ μέθης κρατήσουσι καὶ παροινίας, καὶ τὰς πονηρὰς συνουσίας πάσῃ σπουδῇ διακρούσονται,

erat opus. Mea conſcientia pura eſto, & omnes me traducant: ſed apoſtolicam illam impleuit legem, quæ iubet vt prouideamus bona non tantùm coram Domino, ſed etiam coram hominibus. Atque omni modo ſuſpicionem depulit, quum ait, ne des ancillam tuam in faciem, in filiam peſtilentem. Quid autem eſt, in faciem? Ne me exiſtimes effrontem & impudentem eſſe. Angoris non vinolentiæ eſt hæc audacia: mœroris, non ebrietatis. Quid igitur ſacerdos? Conſidera & illius prudentiam. Non inquiſiuit curioſè de genere calamitatis, non exactius ſcrutatus eſt angoris cauſam: ſed quid ait? *Vade in pace, det tibi Dominus Deus Iſraël omnem petitionem, quam ab eo petiſti.* Mulier ex accuſatore fecit patronum. Tantum bonum eſt humanitas ac manſuetudo. Pro contumelia copioſo accepto viatico diſceſſit, cúmque nacta eſt propugnantem interceſſorem, quem habuerat obiurgatorem. Ac ne ſic quidem deſtitit, ſed rurſus ait: *Inuenit ancilla tua gratiam in oculis tuis:* hoc eſt, vtinam è fine rerúmque exitu diſcas, quòd hanc deprecationem obſecrationémque fecerim, non ex vinolentia, ſed ex angore. *Et quum abiit*, inquit, *non amplius concidit*. Vides mulieris fidem? priuſquam acciperet quod poſtularat, perinde confiſa eſt, quaſi iam accepiſſet. In cauſa erat, quòd oraret multo cum feruore, multóque ſtudio citra vllã hæſitationem aut diiudicationem. Hãc ob rem abiit animo pacato, quaſi totũ impetraſſet. Quin inſuper Deus iam totã anxietatẽ illi excuſſit ex animo, largiturus donũ quod petebat. Hanc fœminã imitemur & nos, & in omnib. afflictionib. ad Deum confugiamus. Et ſi nobis non fuerint liberi, ab illo poſtulemus, quos ſi acceperimus, multa cura educemus: adoleſcẽtes cum ab omni vitio ſeuocemus, tum præcipuè à laſciuia, quòd hoc difficile ſit bellum, nec alia res moleſtior eſt illi ætati, quam hic morbus. Vndiq; igitur circumuallemus illos cõſiliis, adhortationib. terroribus, minis. Si hanc deuicerint concupiſcentiam, nec ab aliis facilè expugnabuntur, ſed & pecuniis erunt ſuperiores, & temulentiã vinolentiãq; ſuperabũt &, improbos conuictus omni ſtudio diſcutient,

Rom. 12. 17.

Mãſuetudo quantũ bonum.

Moralis epilog⁹.

& amabiliores erunt parentibus, & omnibus hominibus magis reuerendi. Quis enim non reuereatur iuuenem caſtè ſobriéque viuentem? Quis non amplectatur, exoſculetúrque eum qui cupiditatibus frænum impoſuit? Quis non vel è numero prædiuitum multa cum gratia volet illi locare filiã ſuam, etiamſi fuerit omnium pauperrimus? Sicut è diuerſo luxurioſè viuentem, etiamſi fuerit omnium opulentiſſimus, nemo tam miſer eſt, nemo tam abiectæ fortunæ, vt ſibi generum velit aſciſcere. Contrà nullus adeò ſtultus eſt, vt ſobrium ac pudicum reiiciat, & hoc honore iudicet indignum. Vt igitur filij & hominibus reuerendi fiant, & Deo amabiles, exornemus illorum animos, cúmque pudicitia ad coniugium perducamus. Hoc enim modo tum illis velut è fonte prouenient omnia, & Deum habituri ſunt propitiũ, denique tum huius præſentis, tum futuræ vitæ gloria perfruentur. Quam aſſequi contingat nobis omnibus gratia & bonitate domini noſtri Ieſu Chriſti, cum quo Patri gloria ſimul cum ſancto Spiritu, in ſecula ſeculorum. Amen.

A καὶ ποθεινότεροι μὲν ἔσονται τοῖς γεγεννηκόσιν, αἰδεσιμώτεροι δὲ πᾶσιν ἀνθρώποις. τίς γὰρ οὐκ αἰδεσθήσεται σωφρονοῦντα νέον; τίς δὲ οὐκ ἀσπάσεται καὶ φιλήσει τὸν χαλινώσαντα τὰς ἀτόπους ἐπιθυμίας; τίς δὲ οὐχ αἱρήσεται καὶ τῶν σφόδρα εὐπορωτάτων μετὰ πολλῆς αὐτῷ τῆς χάριτος ἐκδοῦναι τὸ θυγάτριον, κἂν ἁπάντων ἐκεῖνος πενέστερος ᾖ; ὥσπερ γὰρ τὸν ἐν ἀσωτίᾳ ζῶντα, καὶ πόρναις προσέχοντα, κἂν ἁπάντων εὐπορώτερος ᾖ, οὐδεὶς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς θελῆσαι κηδεστὴν λαβεῖν· οὕτω τὸν σώφρονα καὶ σεμνὸν οὐδεὶς οὕτως ἀνόητος, ὡς
B ἀποκρούσασθαι καὶ ἀτιμάσαι. ἵν' οὖν καὶ ἀνθρώποις αἰδέσιμοι, καὶ τῷ θεῷ ποθεινοὶ οἱ παῖδες γένωνται, κατακοσμῶμεν αὐτῶν τὰς ψυχάς, καὶ μετὰ σωφροσύνης ἐπὶ τοὺς γάμους ἄγωμεν. οὕτω γὰρ καὶ τὰ πρόσοντα αὐτοῖς, ὥσπερ ἐκ πηγῶν, ἅπαντα ἥξει, καὶ τὸν θεὸν ἕξουσιν ἵλεων, καὶ τῆς παρούσης, καὶ τῆς μελλούσης ἀπολαύσονται δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν
C αἰώνων. ἀμήν.

HOMILIA III.

De Anna, déque Samuelis educatione, & quòd vtilis ſit in pariendo tarditas, & quòd periculoſum ſit liberos negligenter habere.

DES. ERASMO INTERPRETE.

NISI videor aliquibus faſtidio eſſe ſatietatẽ adferens, volo idem argumentum rurſum attingere, quo de vobis heri diſſerui: vóſque ad Annam introducere, atque in pratum virtutum illius inducere ſermonem: pratum, inquam, non quod roſaria profert, aut alios flores qui marceſcunt, ſed quod deprecationem, ac fidem, magnámque tolerãtiam. Siquidem nec ſunt longè vernis floribus redolentiora, vt quæ non aquarũ fontibus, ſed lachrymarum imbre rigãtur. Neq. enim perinde amnium fontes floridos reddunt hortos,

Ὁμιλία γ.

Εἰς τὴν Ἄνναν, καὶ εἰς τὴν τοῦ Σαμουὴλ γαλακτοτροφίαν· καὶ ὅτι χρήσιμος ἡ περὶ τὸν τόκον βραδύτης, καὶ ὅτι ἐπικίνδυνον καὶ σφαλερὸν τὸ τῶν παίδων ἀμελεῖν.

ΕΙ μὴ δοκῶ προσκορής τισιν εἶναι καὶ φορτικός, βούλομαι τῆς αὐτῆς
D ὑποθέσεως ἅψασθαι πάλιν, ὑπὲρ ἧς καὶ πρῴην ὑμῖν διελέχθην, καὶ πρὸς τὴν Ἄνναν ὑμᾶς χειραγωγῆσαι, καὶ εἰς τὸν λειμῶνα τῶν κατορθωμάτων τῆς γυναικὸς εἰσαγαγεῖν τὸν λόγον· λειμῶνα οὐχὶ ῥοδωνιὰν ἔχοντα, οὐδὲ ἄνθη μαραινόμενα, ἀλλ' εὐχὴν καὶ πίστιν καὶ ἀνεξικακίαν πολλήν. πολὺ γὰρ ταῦτα τῶν ἠρινῶν ἀνθέων εὐωδέστερα, οὐχὶ πηγαῖς ὑδάτων, ἀλλ' ὄμβροις δακρύων ἀρδόμενα. οὐ γὰρ οὕτω τοὺς κήπους αἱ πηγαὶ τῶν ναμάτων εὐθαλεστέρους ποιοῦσιν.

A ὡς τὸ φυτὸν τῆς εὐχῆς αἱ πηγαὶ τῶν δακρύων ποτίζουσαι, πρὸς ὕψος μέγιστον ἀνατρέχειν παρασκευάζουσιν· ὅπερ οὖν καὶ ἐπὶ τῆς γυναικὸς ταύτης ἐγένετο. ὁμοῦ γὰρ ἐφθέγξατο, καὶ πρὸς τὸν οὐρανὸν ἀνέδραμεν ἡ εὐχὴ, καὶ καρπὸν ἐβλάστησεν ὥριμον αὐτῇ, τὸν ἅγιον Σαμουήλ. μὴ δὴ δυσχεραίνητε, εἰ τῆς αὐτῆς ὑποθέσεως ἀρχόμεθα πάλιν. οὐ γὰρ τὰ αὐτὰ ἐροῦμεν, ἀλλ' ἕτερά τινα νέα καὶ πρόσφατα. καὶ γὰρ ἐπὶ τῆς αἰσθητῆς τραπέζης ἐξ ἑνὸς ὄψου πολλὰ ἄν τις ἐδέσματα κατασκευάσειε· καὶ τοὺς χρυσοχόους δὲ ὁρῶμεν, ἀπὸ μιᾶς μάζης χρυσίου, καὶ ψέλλια, περιδέρραια, καὶ ἕτερα πολλὰ ποιοῦντας χρυ- B σία. εἰ γὰρ καὶ μονοειδὴς ἡ ὕλη, ἀλλὰ ποικίλον ἡ τέχνη, καὶ οὐ στενοχωρεῖται τῷ μονοτρόπῳ τῆς ὑποκειμένης οὐσίας εὔπορος οὖσα καὶ πολυμήχανος. εἰ δὲ τὰ ἐνταῦθα τοιαῦτα, πολλῷ μᾶλλον ἡ τοῦ πνεύματος χάρις. ὅτι δὲ ποικίλη ταύτης ἡ τράπεζα, καὶ πολύτροπος, καὶ πολυειδὴς, ἄκουσον τοῦ Παύλου λέγοντος, ἐν οἷς γράφει, ᾧ μὲν διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, ἑτέρῳ δὲ πίστις, ἄλλῳ χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ C ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. ὁρᾷς πῶς ποικίλη; οἱ ποταμοὶ πολλοὶ, ἀλλὰ μία φησὶν ἡ πηγή· εἰ διάφορα τὰ ἐδέσματα, ἀλλ' εἷς ὁ ἑστιάτωρ. ἐπεὶ οὖν τοσαύτη ἡ τοῦ πνεύματος χάρις, μὴ ἀποκάμωμεν. εἴδομεν δὲ αὐτὴν στεῖραν οὖσαν, εἴδομεν αὐτὴν μητέρα γινομένην, εἴδομεν δακρύουσαν, εἴδομεν χαίρουσαν, συνηλγήσαμεν τότε· συνησθῶμεν σήμερον. οὕτω καὶ Παῦλος ἐκέλευσε χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. τοῦτο δὲ οὐκ ἐπὶ τῶν D συνακμασάντων ἡμῖν ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν πάλαι γεγενημένων ποιεῖν χρή. καὶ μή μοι λεγέτω τις, καὶ τί μοι κέρδος ἀπὸ τῆς Ἄννης ἔσται, καὶ τῶν ταύτης διηγημάτων; αἵ τε γὰρ στεῖραι δυνήσονται μαθεῖν, πῶς ἂν γένοιντο μητέρες· καὶ αἱ μητέρες εἴσονται πάλιν, ποῖος παιδοτροφίας ἄριστος ἂν γένοιτο τρόπος. οὐ γυναῖκες δὲ μόνον, ἀλλὰ καὶ ἄνδρες μέγιστα ἀπὸ τῆς ἱστορίας ταύτης καρπώσονται, παιδευθέντες ἡμέρως πρὸς τὰς αὐτῶν διακεῖσθαι γυναῖκας, κἂν ἀπαιδίαν νοσῶσι,

vt plantam deprecationis fontes lachrymarum irrigantes faciunt in ſummam altitudinem excurrere. Quod huic contigit mulieri. Simul enim vt locuta eſt, ſubuolauit in cœlum eius deprecatio, ac fructum ipſi produxit tempeſtiuum, ſanctum videlicet Samuelem. Nolite igitur moleſtè ferre, ſi rurſus idem argumentum tractare incipimus. Neque enim vetera dicemus, ſed noua quædam ac recentia. Nam in conuiuio corporali, ex eodem obſonio multa eduliorum genera poteſt aliquis conficere. Quin & aurifices videmus ex eadem auri maſſa, & armillas, & inaures, aliáſque multas res aureas fingere. Quanquam enim eiuſdem generis eſt materia, ars tamen eſt varia, nec coarctatur ſimilitudine materiæ ſubiectæ, quòd ipſa ſit copioſa, variíque artificij: quod ſi res iſtius vitæ ſunt eiuſmodi, multò verò magis ſpiritus gratia. Nam quòd gratiæ menſa ſit varia, multiformis, & opipata, audi Paulum dicentem: Alij quidem per ſpiritum datur ſermo ſapientiæ, alij verò ſermo cognitionis, alij rurſus fides, alij verò dona ſanationum, ſubuentiones, gubernationes, genera linguarum. Hæc autem operatur vnus & idem ſpiritus, diuidens ſeorſum cuique vt vult. Vides quàm varia ſit? Multa, inquit, flumina, ſed vnus eſt fons. Varia ſunt edulia, ſed vnus eſt conuiuator. Ergo quum tam magna támque multiplex ſit ſpiritus gratia, ne defatigemur. Vidimus eam ſterilem: vidimus eam factam matrem, vidimus lachrymantem, vidimus gaudentem, tum ſimul cum illa indoluimus, ſimul cum illa gaudio afficiamur & hodie. Sic & Paulus iubet gaudere cum gaudentibus, flere cum flentibus. Id verò faciendum eſt, non ſolùm ſuper his qui olim nati fuerunt. Ac ne quis mihi dicat, quid fructus capiam ab Anna, & ab illius commemoratione? Siquidem & orbæ hinc poterunt diſcere, quomodo valeant fieri matres: rurſus matres ſcient, quæ ſit optima ratio liberos educandi. Nec fœminæ tantum, ſed & viri plurimum ab hac hiſtoria fructus auferent, ſi hinc didicerint placido mitique erga vxores eſſe animo, etiamſi ſterilitatis vitio laborent,

Lachrymę rigāt plantam orationis.

1. Cor. 12. 8.

Rom. 12. 15.

Anna docet quo pacto liberi educandi.

quemadmodum Helcana erga Annam fuit affectus. Nec verò hoc ſolum, ſed & aliud quiddam boni lucrifacient, quum didicerint patres omnes oportere liberos, qui nati fuerint, educare Deo. Ne igitur quoniam pecunias & argentum accipere ex hac narratione non licet, exiſtimemus ſermonem nobis infrugiferum eſſe: ſed ob idipſum arbitremur lucroſum & vtilem, quòd non aurum argentúmve, ſed quod his longè maius eſt, animi pietatem, cœleſtéſque theſauros nobis oſtendit, docens quo pacto periculum omne depellamus. Siquidem præbere nummos & hominibus in procliui eſt: cæterùm corrigere naturam, ac talem mœrorem excutere, talem animi cruciatum tollere, animam iam iam collapſuram erigere, nulli quidem hominum, ſed ſoli naturæ domino in manu eſt. Tu verò ſi quum morbo laborares inſanabili, percurſa tota ciuitate pecunias impendiſſes, pluribus vtens medicis, nec vllum mali ſolatium reperiſſes: incideres in mulierem, quæ quum eodem morbo teneretur, liberata ſit, haudquaquam deſineres obſecrare, rogare, exhortari, vt eum tibi commonſtraret, cuius opera fuiſſet ſanata. Nunc verò quum videas Annam in medio ſtantem, ſuúmque morbum enarrantem, & eiuſdem remediũ commemorantem, ac medicum vltrò commonſtrantem, nullis obſecrationibus, nullis precibus adductam, non accedes acceptura remedium, nec audies tota cum attentione hiſtoriam? hoc ſi piget, quid vnquam boni poteris conſequi? At alij frequenter magna etiam emenſi ſunt maria, longinquas peregrinationes ſuſceperunt, pecunias impenderũt, labores perpeſſi ſunt, vt medicum commonſtratũ in peregrina regione conſpicerent, idq; quũ non admodum certa eſſet fiducia, vt prorſus à morbo liberarentur. At tu ô mulier, quũ non ſis initura profectionem tranſmarinam, nec vltra patriæ fines demigratura, nec vllum laborem ſimilẽ perpeſſura: & quid dixi, vltra patriæ fines, quũ nec ipſum domus limen tranſire cogaris, ſed vel in ipſo thalamo poſſis conuenire medicũ, Hier. 23. 23. citráque internuncium vllum cum illo colloqui de quibuſcũq. volueris, (Deus omniũ, inquit, appropinquans ego ſum, & nõ Deus procul) differs & cunctaris?

A καθάπερ ὁ Ἐλκανᾶ πρὸς τὴν Ἄνναν διέκειτο. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερον τούτου μεῖζον κερδανοῦσι, μαθόντες ὅτι δεῖ τοὺς γονέας ἅπαντας τῷ θεῷ τὰ τεχθέντα τρέφειν παιδία. μὴ τοίνυν, ἐπειδὴ χρήματα καὶ ἀργύριον οὐκ ἔστι λαβεῖν ἀπὸ τοῦ διηγήματος, ἀνόνητον ἡμῖν εἶναι τὴν ἀκρόασιν νομίζωμεν· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο κερδαλέαν καὶ ὠφέλιμον, ἐπειδὴ οὐ χρυσίον καὶ ἀργύριον, ἀλλ' ὃ πολλῷ μεῖζον τούτων ἐστὶ, ψυχῆς εὐλάβειαν, ἢ καὶ τοὺς ἐν τοῖς οὐρανοῖς ἡμῖν δείκνυσι θησαυροὺς, καὶ διδάσκει πῶς ἅπαντα διακρουσόμεθα κίνδυνον. χρή- B ματα μὲν γὰρ παρασχεῖν καὶ ἀνθρώποις ῥᾴδιον, διορθῶσαι δὲ φύσιν, καὶ ἀθυμίαν λῦσαι τοιαύτην, καὶ ὀδύνην ἀνελεῖν, καὶ ψυχὴν ἀναστῆσαι καταπίπτειν μέλλουσαν, ἀνθρώπῳ μὲν οὐδενὶ, τῷ δὲ τῆς φύσεως δεσπότῃ μόνῳ δυνατόν. σὺ δὲ, εἰ μὲν νόσημα ἀνίατον ἔχουσα, καὶ πόλιν περιελθοῦσα ἅπασαν, καὶ χρήματα δαπανήσασα, καὶ ἰατροῖς χρησαμένη πολλοῖς, καὶ μηδεμίαν εὑροῦσα παραμυθίαν ἐνέτυχες γυναικὶ τὸ αὐτὸ παθούσῃ πάθος καὶ ἀπαλλαγείσῃ, οὐκ ἂν ἀπέστης ἱκετεύουσα, παρακα- C λοῦσα, δεομένη, ὥστε πεῖσαι τὸν ἀπαλλάξαντα δεῖξαι· νυνὶ δὲ ὁρῶσα Ἄνναν ἑστῶσαν ἐν τῷ μέσῳ, καὶ τὸ πάθος αὐτῆς ἐξηγουμένην, καὶ τὸ φάρμακον λέγουσαν, καὶ τὸν ἰατρὸν δεικνύουσαν χωρὶς ἱκετηρίας, χωρὶς παρακλήσεως, οὐ προσελεύσῃ καὶ λήψῃ τὸ φάρμακον, οὐδὲ τῆς ἱστορίας μετ' ἀκριβείας ἀπάσης; καὶ τίνος δυνήσῃ ποτὲ ἐπιτυχεῖν ἀγαθοῦ; ἀλλ' ἕτεροι μὲν καὶ πελάγη διέβαλον μακρὰ πολλάκις, καὶ πολλὴν ἀποδημίαν ἐστείλαντο, καὶ χρήματα ἐδαπάνησαν, καὶ πόνον ὑπέμειναν, ἵνα τὸν ἐπὶ τῆς ἀλλοτρίας μηνυθέντα ἰατρὸν ἴδωσι, καὶ ταῦτα D οὐ σφόδρα θαῤῥοῦντες, ὅτι πάντως ἀπαλλαγήσονται τοῦ νοσήματος· σὺ δὲ, ὦ γύναι, οὐ διαπόντιον ἀποδημίαν στέλλεσθαι μέλλουσα, οὐδὲ εἰς τὴν ὑπερορίαν μετοικίζεσθαι, οὐδὲ πόνον τινὰ τοιοῦτον ὑπομένειν. καὶ τί λέγω τὴν ὑπερορίαν; οὐδὲ αὐτὸν μόνον τὸν οὐδὸν ἀναγκαζομένη τῆς οἰκίας ὑπερβῆναι, ἀλλὰ καὶ ἐν αὐτῷ δυναμένη τῷ θαλάμῳ συγγενέσθαι τῷ ἰατρῷ, καὶ χωρὶς μεσίτου τινὸς αὐτῷ διαλεχθῆναι περὶ πάντων ὧν ἂν ἐθέλῃς (θεὸς γάρ, φησιν, ἐγγίζων ἐγώ εἰμι, καὶ θεὸς οὐ πόῤῥωθεν) ἀναβάλλῃ καὶ ὀκνεῖς;

καὶ ποίαν ἕξεις ἀπολογίαν; τίνος δὲ ἀπολαύσῃ συγγνώμης, ὅταν καὶ εὔκολον καὶ πανταχόθεν ῥᾳδίαν τῶν ἐπικειμένων κακῶν ἀπαλλαγὴν εὑρεῖν δυναμένη, ῥᾳθυμῇς, καὶ τὴν σαυτῆς σωτηρίαν προδιδῷς; οὐ γὰρ δὴ μόνον στείρωσιν ὁ ἰατρὸς οὗτος, ἀλλὰ καὶ πᾶν ὁποιονοῦν νόσημα καὶ ψυχῆς καὶ σώματος θεραπεῦσαι δύναται, θελήσας μόνον. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι χωρὶς πόνου, καὶ ἀποδημίας, καὶ δαπάνης, καὶ μεσιτῶν, ἀλλ᾽ ὅτι καὶ χωρὶς ἀλγηδόνος τὴν ἰατρείαν ποιεῖται. οὐ γὰρ σιδήρῳ καὶ πυρὶ πρὸς τὸ πάθος ἵσταται, καθάπερ οἱ τῶν ἰατρῶν παῖδες ποιοῦσιν· ἀλλ᾽ ἀρκεῖ νεῦσαι μόνον, καὶ πᾶσα μὲν ἀθυμία, πᾶσα δὲ ὀδύνη, καὶ πάθος ἅπαν δραπετεύει καὶ φυγαδεύεται. μὴ τοίνυν ἀμελῶμεν, μηδὲ ἀναβαλλώμεθα, καὶ εἰ πένητες ὦμεν καὶ εἰς ἐσχάτην καταπεπτωκότες ἔνδειαν. οὐδὲ γὰρ χρήματά ἐστι καταβαλεῖν, ἵνα πενίαν προβαλλώμεθα· οὐ γὰρ ἀργύριον οὗτος ὁ ἰατρὸς ἀπαιτεῖ τὸν μισθόν; ἀλλὰ δάκρυα, καὶ εὐχὰς, καὶ πίστιν. κἂν ταῦτα ἔχων πρὸς αὐτὸν ἔλθῃς, λήψῃ πάντως, ὅπερ ἂν αἰτήσῃς, καὶ ἀπελεύσῃ μετὰ πολλῆς τῆς εὐφροσύνης. καὶ τοῦτο μὲν πολλαχόθεν ἔξεστι μαθεῖν, οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τῆς γυναικὸς ταύτης. οὐ γὰρ χρυσίον καὶ ἀργύριον καταβαλοῦσα, ἀλλ᾽ εὐχὴν καὶ πίστιν καὶ δάκρυα, ὅπερ ᾔτησε λαβοῦσα, οὕτως ἀπῆλθε. μὴ τοίνυν νομίζωμεν ἀκερδὲς ἡμῖν εἶναι τὸ διήγημα. ταῦτα γὰρ ἐγράφη, φησὶ, πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. ἀλλὰ προσέλθωμεν αὐτῇ, καὶ μάθωμεν, πῶς ἐλύθη τὸ νόσημα, καὶ τί μετὰ τὸ λυθῆναι πάλιν ἐποίησε, καὶ πῶς ἐχρήσατο τῷ δοθέντι δώρῳ παρὰ τοῦ θεοῦ. ἐκάθισε, φησὶ, καὶ ἐθήλασε τὸν Σαμουήλ. ὅρα πῶς ἑώρα τὸ παιδίον ἐκεῖνο λοιπὸν, οὐχ ὡς παιδίον μόνον, ἀλλὰ καὶ ὡς ἀνάθημα· καὶ διπλοῦν αὐτῇ τὸ φίλτρον ἐγίνετο, τὸ μὲν ἀπὸ τῆς φύσεως, τὸ δὲ ἀπὸ τῆς χάριτος. ἐμοὶ δὲ δοκεῖ καὶ αἰδεῖσθαι τὸ παιδίον τὸ ἑαυτῆς. καὶ εἰκότως. εἰ γὰρ φιάλας καὶ ποτήρια χρυσᾶ μέλλοντές τινες ἀνατιθέναι τῷ θεῷ, ἐπειδὰν κατασκευασθέντα λάβωσι, καὶ πρὸ τῆς ἡμέρας ἀποθῶνται οἴκοι, οὐχ ὡς κοινὰ λοιπὸν ὁρῶσι σκεύη, ἀλλ᾽ ὡς ἀναθήματα, καὶ οὐδὲ τολμῶσιν ἁπλῶς καὶ εἰκῆ τούτων ἅψασθαι,

A Et quam habitura es excuſationem; quam conſequeris veniam; ſi quum procliuem & vndequaq. facilem viam inuenire poſſis, qua ab vrgentibus malis libereris, per ſocordiam tuam ipſius ſalutem prodideris? Hic enim medicus non ſterilitatem ſolũ, ſed & omne morborum genus tum corporis, tum animi ſanare potis eſt, ſi velit tantùm. Neque id ſolùm mirandum eſt, quòd citra laborem, ſine peregrinatione, ſine impendiis, abſque interceſſoribus curationem adhibet, verumetiã quòd citra dolorem. Neque enim ferro ignive nouit tollere malum, quemad-
B modum cæteri medici faciunt: ſufficit vel ſimplex nutus, ac protinus omnis angor, omnis dolor, omne malum fugit, atque exulatum abit. Ne cunctemur igitur ac procraſtinemus, licet pauperes ſimus, & ad extremam redacti egeſtatem. Neque enim hîc numeranda eſt pecunia, vt inopiam poſſimus obtendere. Hic nimirum medicus non argentum pro mercede petit, ſed lachrymas, preces ac fidem. Hæc ſi portans ad illum acceſſeris, quicquid omninò poſtularis accipies, multóque
C cum gaudio diſcedes. Atque id ſanè cum multis ex rebus cognoſcas licet, tum verò præcipuè ex hac muliere, quæ non aurum, non argentum exhibuit, ſed preces, fidem, & lachrymas obtulit, atque ita quicquid petiit conſecuta diſceſſit. Proinde ne putemus hanc narrationem nobis infrugiferam eſſe, quandoquidem hæc ſcripta ſunt ad correptionem noſtram, in quos fines ſeculorum deuenerunt. Sed adea- 1.Cor.10
mus eam, diſcamus quomodo libera- 11.
ta ſit à malo, & quid egerit morbo leuata, & quo pacto fuerit vſa munere
D à Deo dato. *Sedit*, inquit, *& lactauit* 1.Reg.1.
Samuelem. Vide quomodo conſpicie- 22.
bat deinceps infantem illum, non tantùm vt infantem, verumetiam vt rem Deo conſecratam: eóque matri geminus amoris ſtimulus inſitus eſt, alter á natura, alter à gratia. Ac mea quidem ſententia, etiam reuerebatur puerum ſuum, & meritò. Etenim ſi qui phialas poculáve aurea Deo dicaturi ſunt, poſteaquam ea iam confecta acceperint, domiq; repoſuerint, nequaquam ea quaſi prophana vaſa intuẽtur, ſed tanquam Deo ſacra, nec audent ea temerè citraque cauſam attingere,

quemadmodum cętera: multò magis hæc mulier ſimili animo attendebat ad puerum etiam priuſquam illum in templum induceret: & diligebat impenſius, tanquam filium, & curabat tanquam Deo dicatum, exiſtimans ſe per illum ſanctificatum iri, quando domus ipſius iam erat facta templum, vt quæ prophetam ac ſacerdotem intra ſe contineret, non ſolùm autem ex eo quòd illum Deo ſpopondit, verumetiam ex hoc quòd non auſa ſit aſcendere in tēplum priuſquam ablactaſſet infantem, fœminæ pietatem licet perſpicere. Ait enim viro ſuo: *Non aſcendam donec aſ-*
Ibidem.
cendat puer mecum: Quum autem ablactauero illum, offeretur in conſpectu Domini, ſedebit illic in æuum. Non exiſtimabat eſſe tutum relicta domo aſcendere in templum, quòd cum accepiſſet donū, non ſuſtineret abſque dono comparare. Rurſus adducto illo, ac mox recepto, deſcendere verebatur: eóque tanto tempore remanſit, vt cum dono compareret. Adduxit ergo, ac reliquit, nec puer à māma diuulſus moleſtè tulit, quum ſciatis quàm ſoleāt indignari pueri quoties à lacte depelluntur. Verùm nec ipſe puer ęgrè tulit à matre diuulſus, ſed ad dominum reſpexit, qui matrem creauerat: nec ipſa mater do-
Gratia naturā vincit.
luit à puero ſeiuncta, propterea quòd naturalem affectum vicit interueniens gratia, & vterque ſe alteri conuiuere exiſtimabat: quemadmodum eodem in loco fixa vitis, in longum producit palmites, & vua multo interuallo pendēs, cum radice habet commercium: itidē & in hac accidit fœmina, quæ in vrbe manens vſq. ad templum extendit ſuū palmitem, atq. illic vuam ſuſpendit maturam: nec interuallum illud vllum attulit impedimentum, quum charitas quæ ſecundum Deum eſt, puerum matri copularet. Quanquam enim puero ętas erat immatura, virtus tamen aderat matura: nam aſcendentibus in templum omnibus multæ religionis ac pietatis magiſter factus eſt. Siquidem illi dum inquirunt diſcúntque modum natiuitatis illius, abundè magnum ſolatium accipiebant ſpei quæ eſt erga Deum. Neq. quiſquam viſo puero tacitus deſcendebat, ſed omnes glorificabant illum à quo præter ſpem datus erat.
Cur partus Annæ dilatus.
Hanc ob cauſam Deus diſtulit partum,

A καθάπερ καὶ τῶν λοιπῶν· πολλῷ μᾶλλον ἡ γυνὴ μετὰ τοιαύτης τοῦ παιδίου γνώμης προσέχουσα, καὶ πρὶν εἰς τὸν ναὸν εἰσαγαγεῖν, καὶ ἐφίλει μειζόνως ἢ ὡς παιδίον, καὶ ἐθεράπευεν ὡς ἀνάθημα, ἁγιάζεσθαι δι᾽ ἐκείνου νομίζουσα. καὶ γὰρ ἡ οἰκία αὐτῆς ναὸς ἐγένετο, τὸν προφήτην ἔνδον ἔχουσα καὶ τὸν ἱερέα. οὐκ ἐξ ὧν ὑπέσχετο δὲ μόνον αὐτὸν, ἀλλὰ καὶ ἐξ ὧν οὐκ ἐτόλμησεν ἐπιβῆναι τοῦ ναοῦ, πρὶν ἢ τῆς γαλακτοτροφίας ἀπαγαγεῖν αὐτὸν, τὴν εὐλάβειαν αὐτῆς ἔστιν ἰδεῖν. εἶπε γάρ, φησι, τῷ ἀνδρὶ αὐτῆς· οὐκ ἀναβήσομαι, ἕως τοῦ ἀναβῆ-
B ναι τὸ παιδάριον μετ᾽ ἐμοῦ· ὅταν δὲ ἀπογαλακτήσω αὐτὸ, ὀφθήσεται τῷ προσώπῳ κυρίου, καὶ καθίσεται ἐκεῖ ἕως αἰῶνος. ὁρᾷς; ἀφεῖναι ἐπὶ τῆς οἰκίας, καὶ ἀνελθεῖν, οὐκ ἐνόμιζεν εἶναι ἀσφαλὲς (μετὰ γὰρ τὴν τοῦ δώρου δόσιν, οὐκ ἠνείχετο χωρὶς τοῦ δώρου φανῆναι) ἀναγαγοῦσα δὲ πάλιν, καὶ λαβοῦσα αὐτὸ, κατελθεῖν ἐδεδοίκει. διὰ τοῦτο ἔμεινε χρόνον τοσοῦτον, ὥστε μετὰ τοῦ δώρου φανῆναι. καὶ ἀνήγαγεν οὖν καὶ κατέλιπε, καὶ οὔτε ἐκεῖνος τῆς θηλῆς ἀποσπασθεὶς ἐδυσχέραινεν (ἴστε δὲ πῶς
C ἀσχάλλειν εἴωθε τὰ παιδία τῆς γαλακτοτροφίας ἀπαγόμενα) οὔτε αὐτὴ ἤλγει τοῦ παιδίου χωριζομένη. τὴν γὰρ ἀπὸ τῆς φύσεως συμπάθειαν μεσιτεύουσα ἡ χάρις ἐνίκησε, καὶ συνεῖναι ἀλλήλοις ἐδόκουν. καὶ καθάπερ ἄμπελος ἐν ἑνὶ ἱδρυμένη χωρίῳ, μέχρι πολλοῦ προάγει τὰ κλήματα, καὶ ἐκ πολλοῦ τοῦ διαστήματος κρεμάμενος ὁ βότρυς τῇ ῥίζῃ συγγίνεται· οὕτω δὴ καὶ ἐπὶ ταύτης ἐγένετο τῆς γυναικός. μένουσα γὰρ ἐπὶ τῆς πόλεως, τὸ κλῆμα αὐτῆς ἐξέτεινεν ἕως τοῦ ναοῦ, κἀκεῖ τὸν βότρυν
D ἐκρέμασεν ὥριμον, καὶ οὐδὲν τὸ διάστημα τοῦ τόπου διεκώλυσε, τῆς κατὰ θεὸν ἀγάπης συναπτούσης τῇ μητρὶ τὸ παιδίον. εἰ γὰρ καὶ ἄωρος ἡ ἡλικία, ἀλλ᾽ ὥριμος ἦν αὐτοῦ ἡ ἀρετή, καὶ τοῖς ἀναβαίνουσιν εἰς τὸν ναὸν διδάσκαλος πᾶσιν ἐγίνετο θεοσεβείας πολλῆς. περιεργαζόμενοι γὰρ καὶ μανθάνοντες τῆς γεννήσεως αὐτοῦ τὸν τρόπον, ἀρκοῦσαν ἐλάμβανον παράκλησιν, τὴν εἰς τὸν θεὸν ἐλπίδα· καὶ οὐδεὶς ὁρῶν τὸ παιδίον σιγῇ κατῄει, ἀλλὰ πάντες ἐδόξαζον τὸν παρ᾽ ἐλπίδας αὐτὸ δεδωκότα. διὰ ταῦτα ὁ θεὸς ἀνεβάλετο τὸν τόκον,

A ὥστε ἐπιτεῖναι ταύτην τὴν ἡδονήν, ὥστε περιφανεστέραν τὴν γυναῖκα ποιῆσαι. οἱ γὰρ τὴν συμφορὰν αὐτῆς ἐπιστάμενοι, μάρτυρες ἐγίνοντο τῆς τοῦ θεοῦ χάριτος. ὥστε τὸ πολὺν αὐτὴν ἐν ἀπαιδίᾳ μεῖναι χρόνον, γνωριμωτέραν τε πᾶσιν ἐποίησε, καὶ παρὰ πάντων αὐτὴν μακαρίζεσθαι καὶ θαυμάζεσθαι, καὶ τὸν θεὸν εὐχαριστεῖσθαι δι᾽ αὐτῆς παρεσκεύασε. ταῦτα δὲ λέγω, ἵνα κἂν ἡμεῖς ἴδωμεν ἁγίας γυναῖκας ἐν ἀπαιδίᾳ οὔσας, ἢ ἐν ἄλλῳ τινὶ δεινῷ τοιούτῳ, μὴ δυσ----ίνωμεν, μηδὲ ἀσχάλλωμεν, μηδὲ λέγωμεν πρὸς ἑαυτούς, τί δήποτε περιεῖδεν B ὁ θεὸς μετ᾽ ἀρετῆς τοσαύτης ζῶσαν γυναῖκα, καὶ παιδίον αὐτῇ οὐκ ἔδωκεν; οὐ γὰρ περιορῶντος ταῦτά ἐστιν, ἀλλ᾽ εἰδότος τὸ συμφέρον ἡμῖν ἡμῶν αὐτῶν ἀκριβέστερον. ἀνῆλθε τοίνυν εἰς τὸν ναόν, καὶ τὸ ἀρνίον εἰς τὴν ποίμνην, καὶ τὸν μόσχον εἰς τὴν ἀγέλην εἰσήγαγε, καὶ εἰς τὸν λειμῶνα τὸ ῥόδον τὸ ἀκανθῶν ἀπηλλαγμένον, ῥόδον οὐδέποτε μαραινόμενον, ἀλλὰ διηνεκῶς ἀνθοῦν, καὶ πρὸς αὐτὸν δυνάμενον ἀναδραμεῖν τὸν οὐρανόν, οὗ τῆς εὐωδίας ἅπαντες οἱ κατὰ τὴν οἰκουμένην ἀντιλαμβάνονται μέχρι τήμερον. C τοσοῦτος οὖν ἐτῶν ἀριθμός, καὶ τὰ τῆς ἀρετῆς τῆς κατὰ τὴν εὐωδίαν ταύτην ἐπιτείνεται, καὶ οὐ γέγονεν ἀσθενεστέρα τῷ πλήθει τοῦ χρόνου. τοιαύτη γὰρ τῶν πνευματικῶν ἡ φύσις. ἀνῆλθε τοίνυν τὸ καλὸν ἔρνος τοῦτο μεταφυτεύουσα. καὶ καθάπερ οἱ φιλόπονοι τῶν γηπόνων, πρότερον σπέρματα εἰς τὴν γῆν καταβάλλουσι κυπαρίττων καὶ ἑτέρων τοιούτων, εἶτα ἐπειδὰν ἴδωσι τὸ σπέρμα δένδρον γενόμενον, οὐκ ἀφιᾶσιν ἐπὶ τῆς αὐτῆς γῆς, ἀλλ᾽ ἀνασπάσαντες ἐκεῖθεν, ἐφ᾽ ἑτέραν μεταμοσχεύουσι χώραν, ὥστε νεαρώτερον τοῖς κόλποις ὑποδεξαμένην τὴν γῆν, D ἀκραιφνῆ καὶ ὁλόκληρον τὴν ἑαυτῆς δύναμιν εἰς τὴν ἀνατροφὴν ἐκείνης ἐπιδεῖξαι τῆς ῥίζης· οὕτω καὶ ἡ γυνὴ ἐποίησεν αὕτη. τὸ γὰρ παιδίον τὸ παρ᾽ ἐλπίδας σπαρὲν ἐν τῇ γαστρὶ ἐκείνῃ, μετέθηκεν ἀπὸ τῆς οἰκίας, καὶ εἰς τὸν ναὸν ἐφύτευσεν, ἔνθα πηγαὶ καὶ ἀρδεῖαι πνευματικαὶ καὶ διηνεκεῖς. καὶ ἦν ἰδεῖν ἐκεῖνο τὸ προφητικὸν ἐπ᾽ αὐτοῖς πληρούμενον, ὅπερ ὁ Δαβὶδ ἔλεγε, μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ᾽ ἢ ἐν τῷ νόμῳ κυ-

vt hanc augeret voluptatem, vt mulierem redderet illuſtriorem. Nam quicunque calamitatem eius nouerant, ij teſtes facti gratiæ Dei: & quòd longo tempore manſit in orbitate, effecit, vt & ipſa multis eſſet notior, & ab omnibus beata prędicaretur, eſſétque apud omnes in admiratione. Poſtremò in cauſa fuit, vt per illam Deo gratits agerent quàm plurimi. Hæc ideo loquor, vt etiamſi nos fœminas ſanctas nouerimus in orbitate degentes, ne moleſtè feramus, néve indignemur, neque ita loquamur apud noſipſos: Quare tandem Deus deſpexit mulierem tanta pietate præditam, nec dedit prolem? Neque enim iſta ſunt negligentis, ſed hoc nobis expedire melius ſcientis quàm noſipſi ſcimus. Aſcendit igitur in templum, & angelum induxit in ouile, ac vitulum perduxit ad armentum, & in pratum deduxit roſam à ſpinis liberam, roſam inquam, quæ nunquam marceſcit, ſed floret perpetuò, quæq; poſſit ad ipſum vſque cœlum exilire, cuius fragrantia in hodiernum vſque diem iuuantur ac reficiuntur omnes qui terrarum incolunt orbem. Tantus annorum numerus preteriit, & tamen virtutis illius fragrantia ſemper augeſcit, nec tanta temporis magnitudine facta eſt languidior. Talis enim eſt rerum ſpiritualium natura. Aſcendit igitur præclarum illud germen tranſplantans: & quemadmodum induſtrij agricolæ primum ſemen in terram deponunt, cupreſſi, aut aliarum arborum ſimilium: deinde vbi conſpexerunt à ſemine factam arborem, non relinquunt in eadem terra, ſed inde reuulſam plantulam in aliud transferunt ſolum, vt terra in recens gremio ſuo exceptam illius radicem, puram & integram vim ſuam proferat, ad nouam educationem: Itidem & hæc fecit mulier, quæ puerum præter ſpem proſeminatum in illo vtero à domo tranſtulit, & in templum tranſplantauit, vbi perpetuæ ſunt fontium ſcatebræ & irrigationes ſpirituales, vt videre licuerit illud propheticum in illis impleri, quod Dauid dixit, ita canens: Beatus vir qui non ambulauit in conſilio impiorum, & in via peccatorum non ſtetit, & ſuper cathedrã peſtilentię non ſedit: ſed in lege Do-

Compa-ratio ab agricolis ducta.

Pſal. 1. 1.

mini voluntas eius, & in lege eius meditabitur die ac nocte: & erit tanquam lignum qnod plantatum eſt ſecus decurſus aquorum, quod fructum ſuum dabit in tempore ſuo. Neque enim poſt malitiæ experientiam venit ad malitiæ remiſſionem, ſed ab ipſis cunabulis ad virtutem tranſiliit, non habuit conſortium cum conſeſſibus iniquitati obnoxiis, neque communionem habuit cum conuenticulis impietate plenis: ſed prima ſtatim pueritia, à mamma matris venit ad mammam ſpiritualem. Et quemadmodum arbor perpetua irrigatione in magnam excreſcit altitudinem: ſic & hic diuinorum eloquiorum doctrina aſſiduè irrigatus, ad virtutis faſtigium peruenit. Age videamus quomodo illum plantarit, aſſectemur mulierem, ſimul cum illa templum ingrediamur.

1.Reg.1. 24.

Aſcendit, inquit, *cum illo in Selom, in vitulo triennante*. Iam geminum fit ſacrificium: & erat vitulus hic irrationalis, ille rationalis: & illum quidem ſacerdos immolauit, hunc verò dedicauit mulier. Erátque mulieris victima melior quàm hoſtia, quàm obtulit ſacerdos, propterea quòd hæc ſuorum viecerum facta eſt immolatrix. Imitata eſt patriarcham Abraham cumque illo certamen ſuſcepit. Sed ille quidem filium receptum reduxit de monte, hæc verò reliquit in templo, vt illic perpetuò maneret. Quin potius ille quoque totum dedicauit: caue enim illud ſpectes, quòd non occîdit, ſed quòd animo totum peregit. Vidiſti fœminam cum viro decertantem? Vidiſti nihil à ſexu vetitam, quominus æmularetur Patriarcham? Sed videamus, quomodo illum conſecrarit:

Cõparatur Annæ ſacrificiũ cũ ſacerdotis ſacrificio.

Ibidem.

Adiit, inquit ſcriptura, *ſacerdotem, ac dixit illi: In me Domine*. Quid tandem eſt illud, in me? Auſculta, inquit, diligenter quæ loquar. Quoniam multum temporis iam interceſſerat, ſtudet illa quæ prius dicta fuerant in memoriam reuocare: ideoque dicit: In me domine. *Viuit anima tua. Ego ſum mulier quæ conſtiti in conſpectu tuo deprecans Dominum pro puero hoc. Effudi preces ad Dominum, & ille dedit mihi petitionem quam petebam ab eo. Et ego commodo illum Domino, vt ſeruiat Domino omnibus diebus vitæ ſuæ.* Non dixit, ego ſum illa mulier, cui tu expro-

A ρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός· καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. οὐ γὰρ μετὰ τὴν πεῖραν τῆς κακίας ἐπὶ τὴν ἀπαλλαγὴν τῆς κακίας ἦλθεν, ἀλλ᾽ ἐξ αὐτῶν τῶν σπαργάνων τὴν ἀρετὴν εἵλετο. οὐ μετέσχε συνεδρίων παρανομίας ἐχόντων, οὐδὲ ἐκοινώνησε συλλόγων ἀσεβείας πεπληρωμένων, ἀλλ᾽ ἐκ πρώτης ἡλικίας ἀπὸ τοῦ μαζοῦ τῆς μητρὸς, ἐφ᾽ ἕτερον ἦλθε μαζὸν πνευματικόν. καὶ ὥσπερ δένδρον διηνεκοῦς ἀπολαῦον ἀρδείας, B πρὸς ὕψος ἀνατρέχει μέγα· οὕτω δὴ καὶ οὗτος πρὸς ἄκρον ἔφθασεν ἀρετῆς, τῇ τῶν θείων λογίων ποτιζόμενος ἀκροάσει διηνεκῶς. ἀλλ᾽ ἴδωμεν καὶ πῶς αὐτὸν ἐφύτευσεν· ἀκολουθήσωμεν τῇ γυναικὶ, εἰσέλθωμεν εἰς τὸν ναὸν μετ᾽ αὐτῆς. ἀνέβη, φησὶ, μετ᾽ αὐτοῦ εἰς Σηλὼμ ἐν μόσχῳ τριετίζοντι. διπλῆ λοιπὸν ἡ θυσία ἐγίνετο, καὶ ἦν μόσχος, ὁ μὲν ἄλογος, ὁ δὲ λογικός· καὶ τὸν μὲν ἱερεὺς κατέθυσε, τοῦτον δὲ ἡ γυνὴ ἀνέθηκε. μᾶλλον δὲ τῆς γυναικὸς ἦν βελτίων ἡ θυσία τῆς θυσίας, ἣν ὁ ἱερεὺς ἀνήνεγκε. C καὶ γὰρ αὕτη ἱερεία τῶν οἰκείων σπλάγχνων ἐγίνετο, καὶ τὸν πατριάρχην Ἀβραὰμ ἐμιμήσατο, καὶ πρὸς ἐκεῖνον τὴν ἅμιλλαν ἔθετο. ἀλλ᾽ ἐκεῖνος μὲν λαβὼν τὸν υἱὸν, κατήγαγεν· αὕτη δὲ ἀφῆκεν ἐν τῷ ναῷ μένειν διηνεκῶς· μᾶλλον δὲ κἀκεῖνος ἀνέθηκε καθόλου. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι οὐκ ἔσφαξεν, ἀλλ᾽ ὅτι τῇ γνώμῃ τὸ πᾶν ἀπήρτισεν. εἶδες γυναῖκα πρὸς ἄνδρα ἁμιλλωμένην; εἶδες οὐδὲν παρὰ τῆς φύσεως ἐμποδισθεῖσαν ζηλῶσαι τὸν πατριάρχην; ἀλλ᾽ ἴδωμεν πῶς αὐτὸν ἀνατίθησι. προσελθοῦσα τῷ ἱερεῖ, εἶπεν αὐτῷ· ἐν ἐμοὶ, κύριε. D τί ποτέ ἐστιν, ἐν ἐμοί, μετ᾽ ἀκριβείας πρόσεχε τοῖς λεγομένοις, φησίν. ἐπειδὴ γὰρ χρόνος παρῆλθε πολὺς, ἀναμνῆσαι βούλεται πάλιν τῶν πρώην εἰρημένων. ἐν ἐμοὶ, κύριε, ζῇ ἡ ψυχή σου· ἐγώ, ἡ γυνὴ ἡ καταστᾶσα ἐνώπιόν σου ἐν τῷ προσεύξασθαι πρὸς κύριον. ὑπὲρ τοῦ παιδαρίου τούτου. προσηυξάμην πρὸς κύριον, καὶ ἔδωκέ μοι τὸ αἴτημά μου ὃ ᾐτησάμην παρ᾽ αὐτοῦ, κἀγὼ κιχρῶ αὐτὸν τῷ κυρίῳ πάσας τὰς ἡμέρας, ἃς ζῇ αὐτὸς, χρῆσιν τῷ κυρίῳ. οὐκ εἶπεν, ἐγὼ ἡ γυνή, ἣν ὠνείδι-

σας, ἣν ἐλοιδόρησας, ἣν ἔσκωψας εἰς παροινίαν A
καὶ μέθην· διὸ ἔδειξέ σοι ὁ θεός, ὅτι οὐ μεθύω· σὺ
δὲ ἁπλῶς τοῦτο ἐνεκάλεις. οὐδὲν τούτων τῶν
τραχέων ῥημάτων εἶπεν· ἀλλὰ μετ' ἐπιεικείας
ἀποκρίνεται πολλῆς· καίτοι τὴν ἀπὸ τῶν πρα-
γμάτων ἔκβασιν ἔχουσα μαρτυροῦσαν αὐτῇ, καὶ
δυναμένη ὀνειδίσαι νῦν τῷ ἱερεῖ, ὡς εἰκῆ καὶ μά-
την αὐτὴν μεμψαμένῳ τότε, οὐδὲν τούτων
ποιεῖ, ἀλλὰ τὴν εὐεργεσίαν τοῦ θεοῦ λέγει μόνον.
καὶ σκόπει δούλης εὐγνωμοσύνην. ὅτε ἔπασχε
κακῶς, οὐδενὶ τὴν συμφορὰν ἐξεκάλυψεν,
οὐδὲ εἶπε πρὸς τὸν ἱερέα, ἀντίζηλον ἔχω γυναῖ-
κα, κἀκείνη μὲν ὀνειδίζουσά με καὶ λοιδορουμένη B
χορὸν ἔχει παίδων, ἐγὼ δὲ ἐν ἐπιεικείᾳ ζῶσα,
οὐδέπω καὶ τήμερον ἠδυνήθην γενέσθαι μή-
τηρ, ἀλλὰ συνέκλεισέ μου ὁ θεὸς τὴν μήτραν, καὶ
θλιβομένην ὁρῶν οὐκ ἠλέησεν. οὐδὲν τούτων
εἶπεν· ἀλλὰ σιγήσασα τῆς συμφορᾶς τὸ εἶδος,
ὅτι ἀθυμεῖ μόνον ἐδήλωσεν, εἰποῦσα, ὅτι γυνὴ ἐν
σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι. καὶ οὐδ' ἂν τοῦτο ἐφθέγ-
ξατο, εἰ μὴ ὁ ἱερεὺς ἠνάγκασε, μεθύειν ὑπο-
πτεύσας αὐτήν. ἐπειδὴ δὲ ἀνῆκε τὴν πληγὴν
ἐκείνην, καὶ τὴν αἴτησιν ὁ θεὸς ἔδωκε, τότε ποιεῖ
καταφανῆ τὴν εὐεργεσίαν τῷ ἱερεῖ, βουλομένη C
κοινωνὸν τῆς εὐχαριστίας λαβεῖν, ὥσπερ τότε τῆς
εὐχῆς ἔλαβε. καί φησιν, ὑπὲρ τοῦ παιδαρίου
τούτου προσηυξάμην, καὶ ἔδωκέ μοι κύριος τὸ
αἴτημά μου ὃ ᾐτησάμην παρ' αὐτοῦ· καὶ νῦν
κιχρῶ αὐτὸν τῷ κυρίῳ. ὅρα πῶς μετριάζει.
μὴ νομίσῃς με μέγα τι καὶ θαυμαστὸν ποιεῖν, φη-
σιν, ὅτι τὸ παιδίον ἀνατίθημι· οὐκ ἐγὼ κατῆρξα
τοῦ κατορθώματος, ἀλλ' ὀφειλὴν ἀποδίδωμι.
παρακαταθήκην γὰρ ἔλαβον, καὶ ταύτην ἀποκα-
θίστημι τῷ δεδωκότι. καὶ ταῦτα τὰ ῥήματα λέ-
γουσα, καὶ ἑαυτὴν ἀνετίθει μετὰ τοῦ παιδίου, καθά- D
περ σειρᾷ τινι, τῇ φύσεως συμπαθείᾳ, πρὸς τὸν
ναὸν ἑαυτὴν ἀναδήσασα. εἰ γὰρ ὅπου ὁ θησαυρὸς
τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ, πολλῷ
μᾶλλον ὅπου τὸ παιδίον τῆς γυναικός, ἐκεῖ καὶ ἡ
διάνοια τῆς μητρὸς ἦν, καὶ ἡ γαστὴρ αὐτῆς εὐλογίας
ἐπληροῦτο πάλιν. ἐπειδὴ γὰρ ταῦτα εἶπε τὰ ῥή-
ματα, καὶ ηὔξατο, ἄκουσον τί φησιν ὁ ἱερεὺς πρὸς
τὸν Ἐλκανᾶ. ἀνταποδῴη σοι κύριος σπέρμα ἕτε-
ρον ἀπὸ τῆς γυναικὸς ταύτης, ἀντὶ τοῦ χρέους οὗ
ἔχρησας τῷ κυρίῳ. παρὰ μὲν τὴν ἀρχὴν
οὐκ εἶπεν, ἀνταποδῴη σοι· ἀλλὰ τί; δῴη

braſti, quam maledictis impetiſti, quam velut temulentam & ebriam deriſiſti, eoq; Deus tibi declarauit me non eſſe vinolentam, te verò crimen hoc temerè mihi impegiſſe: nihil huiuſmodi verborum aſperorum dixit ſed multa cum manſuetudine loquitur: quanquam quum haberet rerum euentum ſibi patrocinantem, iure potuiſſet exprobrare ſacerdoti, quòd id temporis ipſam temerè citra cauſam incuſaſſet: nihil horum facit, ſed tantùm commemorat Dei erga ſe beneficentiam. Conſidera verò gratum ac prudentem ancillę animum. Quum affligeretur, nemini ſuam aperuit calamitatem, ne ſacerdoti quidem dixit: æmulam habeo mulierem, quæ mihi exprobrans conuitiánſque chorum habet liberorũ: ego verò quæ modeſtiam manſuetudinémque colo, ad hunc vſque diem nondum potui fieri mater: ſed Deus concluſit vuluam meam, quúmque videret afflictionem meam, non eſt miſertus. Nihil horum dixit, ſed ſuppreſſo calamitatis genere, tantùm indicauit ſe animo angi, dicens, mulier in duro die ego ſum, ne illud quidem dictura, niſi ſacerdos huc compuliſſet, ſuſpicans eam eſſe temulentam. At poſteaquam id vulnus ſuſtulit, Deo dante quod poſtularat, tum demum Dei beneficentiam aperit ſacerdoti cupiens illum in agendis gratiis habere conſortem, quemadmodum prius habuerat in precando: aitq; Pro puero hoc precabar, deditq; mihi Dominus petitionem meam quam petebã ab eo. Et nunc commodo eum Domino. Vide quàm ſit modeſta. Ne putes, inquit, me magnam rem aut admirandam facere, quòd infantem dedico: nõ ego huius benefacti ſum author, ſed perſoluo debitum. Depoſitum enim accepi, & hoc ei reſtituo qui dedit. Atque hæc dum loquitur, ſeipſam quoq. dedicauit cũ puero, quaſi catena quadam naturæ affectu ſeipſam templo alligans. Etenim ſi vbi eſt theſaurus hominis, illic eſt & cor eius, multò magis vbi puer mulieris, ibi & mens illius erat, atque vterus illius rurſum implebatur benedictione. Nam ſimul atque hæc dixerat, orauerátque, audi quid loquatur ſacerdos Elcanæ: *Reddat tibi Dominus ſemen alterum ex muliere iſta pro commodato, quod Domino cõmodaſti.* Initiò non dixerat, reddat tibi: Sed quid? Det

Modeſtia Annæ filiũ offerentis.

Mat. 6. 21. Luc. 12. 34.

1. Reg. 2. 20.

tibi Dominus quicquid poſtularis. Verùm poſteaquam illa Deum fecerat debitorem, ait: reddat tibi, bonam de futuris ſpem præbens. Etenim ſi dedit quum nihil deberet, multò magis redditurus eſt poſtquam accepit: & hic ergo prim⁹ ex prædicatione, & poſt hunc cæteri è benedictione duxerunt originem, totus autem mulieris fructus ſanctificatus eſt. Atque hic primogenitus fœminæ virtuti debebatur: alter verò mulieris ac ſacerdotis erat communis, nec ſecus quàm terra pinguis ac fertilis, poſtquam accepit fœlicia ſemina, oſtēdit nobis vernantes ſegetes: ſic & mulier hæc, quoniam cū fide excepit verba ſacerdotis, alias nobis lætas ariſtas produxit, veterémque maledictionem Euæ mutauit, pariens ex deprecatio-

Anna in quo imi tanda. ne ac benedictione. Et tu igitur ô mulier hanc æmulare, & ſi ſterilis fueris, talem precationem exhibe, ſacerdotē accerſe, vt tecum ſuſcipiat apud Deū legationem. Omnino ſi cum fide verba exceperis, patrum benedictio in fructum exibit præclarum ac maturum. Quòd ſi mater fueris, ad huius exemplum conſecra filium tuum Deo, illa in templum adduxit, tu teipſam regiū

1.Cor.6. 9. templum redde. Membra, inquit, veſtra corpus Chriſti ſunt, ac templum

2.Cor.6. 16. ſancti Spiritus, qui eſt in vobis. Ac rurſus, inhabitabo, inquit, in vobis, & inambulabo. An enim non abſurdum eſt nos domum veterem, ruinam minitantem fulcire, pecunias impendentes, fabros accercentes, denique nihil non facientes: domum autem Dei (nam Dei domus eſſe debet adoleſcentis anima) ne vulgari quidem dignari cura? Vide ne idem audias, quod olim audiere Iudæi. Nam illi poſteaquam à captiuitate reuerſi templum materiale neglectū viderunt, & priuatas ædes ſuas exornarunt, adeò Deum exaſperarunt, vt nō ſolum mitteret eis Prophetam, qui famem minitaretur, magnámque rerum neceſſariarū penuriam, ſed hanc etiam comminationis cauſam eloqueretur.

Agg. 1.4 Vos quidem habitatis in domibus laqueatis: domus autem mea deſerta eſt. Quòd ſi illius templi neglectus tantam excitauit iram numinis, multò magis huius templi neglectus ad iracundiam prouocauit Dominum. Siquidem hoc templum tantò eſt illo honoratius, quò plura habet ſanctimoniæ ſymbola. Ca-

A σοι πᾶν αἴτημά σου. ἐπειδὴ δὲ ὀφειλέτην κατέστησε τὸν θεὸν, ἀνταποδῴη σοι λέγει, χρηστὰς περὶ τῶν μελλόντων ὑποτείνων ἐλπίδας. εἰ γὰρ οὐκ ὀφείλων ἔδωκε, πολλῷ μᾶλλον μετὰ τὸ λαβεῖν ἀνταποδώσει. καὶ ὁ πρῶτος τοίνυν ἐξ εὐχῆς, καὶ οἱ μετ' ἐκεῖνον ἐξ εὐλογίας τὰς ἀρχὰς ἔλαβον· καὶ οὕτω λοιπὸν ὁλόκληρος ὁ καρπὸς τῆς γυναικὸς ἡγιάζετο. καὶ ἦν ὁ μὲν πρωτότοκος, κατόρθωμα τῆς γυναικὸς, ὁ δεύτερος δὲ αὐτῆς καὶ τοῦ ἱερέως κοινωνός. καὶ καθάπερ γῆ λιπαρὰ καὶ πίων, δεξαμένη τὰ σπέρματα, κομῶντα δείκνυσιν ἡμῖν τὰ λήια· οὕτω καὶ ἡ γυνὴ

B μετὰ πίστεως τὰ ῥήματα δεξαμένη τοῦ ἱερέως, κομῶντας στάχυας ἑτέρους ἤνεγκε, καὶ τὴν παλαιὰν μετέβαλεν ἀρὰν, ἀπὸ εὐχῆς καὶ εὐλογίας τίκτουσα. καὶ σὺ τοίνυν, ὦ γύναι, ταύτην ζήλωσον, κἂν μὴ στεῖρα ἦς, εὐχήν τε ἐπίδειξαι τοιαύτην, καὶ τὸν ἱερέα παρακάλεσον συνεφάψασθαί σοι τῆς πρεσβείας. πάντως ἂν μετὰ πίστεως δέξῃ τὰ ῥήματα, εἰς καρπὸν τελευτήσει καλὸν καὶ ὥριμον τῶν πατέρων ἡ εὐλογία. ἂν δὲ γένῃ μήτηρ, ἀνάθες σου καὶ σὺ τὸν υἱόν. ἐκείνη εἰς ναὸν ἀνήγαγε, σὺ ναὸν κατασκεύασον σαυτὴν βασιλικόν. τὰ γὰρ μέλη

C ὑμῶν, φησι, σῶμα τοῦ Χριστοῦ ἐστι, καὶ ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματος. καὶ ὁ Χριστὸς, ἐνοικήσω ἐν ὑμῖν αὐτοῖς, καὶ ἐμπεριπατήσω. πῶς γὰρ οὐκ ἄτοπον οἰκίαν μὲν γεγηρακυῖαν καὶ καταπίπτειν μέλλουσαν διορθοῦν, καὶ χρήματα δαπανῶντας, καὶ οἰκοδόμους συλλέγοντας, καὶ πάντα πραγματευομένους· τὴν δὲ οἰκίαν τοῦ θεοῦ (οἰκία γὰρ τοῦ θεοῦ τοῦ νέου γένοιτ' ἂν ἡ ψυχὴ) μηδὲ τῆς τυχούσης ἀξιοῦν προνοίας; ὅρα μὴ ταυτὸν ἀκούσῃς, ὅπερ καὶ Ἰουδαῖοί ποτε ἤκουσαν. ἐκεῖνοι γὰρ ἐπειδὴ τὸν ναὸν τοῦτον τὸν αἰσθητὸν ἀπὸ τῆς αἰχμαλωσίας ἐπα-

D νελθόντες ἠμελημένον ἑώρων, καὶ τὰς ἑαυτῶν ἐκαλλώπιζον οἰκίας, οὕτω παρώξυναν τὸν θεὸν, ὡς πέμψαι τὸν προφήτην, καὶ λιμὸν ἀπειλῆσαι, καὶ πολλὴν τῶν ἀναγκαίων τὴν σπάνιν, καὶ τὴν αἰτίαν τῆς ἀπειλῆς ταύτης εἰπεῖν· αὕτη δέ ἐστιν, ὅτι ὑμεῖς μὲν οἰκεῖτε ἐν οἴκοις κοιλοστάθμοις, ὁ δὲ οἶκός μου ἠρήμωται. εἰ δὲ περὶ τὸν ναὸν ἐκεῖνον ἡ ὀλιγωρία τοσαύτην ἐξήγειρε τοῦ θεοῦ τὴν ὀργὴν, πολλῷ μᾶλλον ἡ τοῦ ναοῦ τούτου ῥᾳθυμία παροξυνεῖ τὸν δεσπότην. πολὺ γὰρ οὗτος ἐκείνου τιμιώτερος, ὅσῳ καὶ μείζονα ἔχει τῆς ἁγιαστίας τὰ σύμβολα. μὴ

A τοίνυν ἀφῆς τοῦ θεοῦ τὸν οἶκον σπήλαιον γενέσθαι λῃστῶν, ἵνα μὴ καὶ ἑτέραν ἐπιτίμησιν ἀκούσῃς, ἣν πρὸς τοὺς Ἰουδαίους ὁ Χριστὸς ἐποιήσατο λέγων, ὁ οἶκος τοῦ πατρός μου οἶκος προσευχῆς ἐστιν, ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν. πῶς δὲ σπήλαιον λῃστῶν γίνεται; ὅταν ἀνελευθέρους καὶ ἀνδραποδώδεις ἐπιθυμίας, ὅταν ἀσέλγειαν πᾶσαν εἰσελθεῖν καὶ ἐμφιλοχωρῆσαι ταῖς ψυχαῖς τῶν νέων ἐάσωμεν. λῃστῶν γὰρ χαλεπώτεροι οἱ τοιοῦτοι λογισμοί· τὴν ἐλευθερίαν τῶν παίδων ἐξανδραποδίζοντες, δούλους τῶν ἀλόγων ποιοῦσι παθῶν, κατακεντοῦντες αὐτοὺς πάντοθεν, καὶ πολλῶν τραυμάτων πληροῦν- B τες αὐτῶν τὴν διάνοιαν. διὸ δὴ ταῦτα καθ' ἑκάστην ἡμέραν περισκοπῶμεν, καὶ καθάπερ μάστιγι τῷ λόγῳ χρώμενοι, πάντα τὰ τοιαῦτα πάθη τῆς ἐκείνων ψυχῆς ἀπελαύνωμεν, ἵνα τῆς ἄνω πολιτείας μετασχεῖν δυνηθῶσιν οἱ παῖδες, καὶ τὴν ἐκεῖ λειτουργίαν ἐπιτελέσαι πᾶσαν. οὐκ ἴδετε, ὅτι οἱ ἐν ταῖς πόλεσι πολιτευόμενοι, τῆς θηλῆς πολλάκις τοὺς ἑαυτῶν παῖδας εὐθὺς ἀποσπασθέντας, θαλλοφόρους, καὶ ἀγωνοθέτας, καὶ χοράρχας ποιοῦσι; τοῦτο καὶ ἡμεῖς ἐργασώμεθα· ἐκ πρώτης ἡλικίας αὐτοὺς εἰς τὴν πολιτείαν εἰσα- C γάγωμεν τὴν ἐν τοῖς οὐρανοῖς. αὕτη μὲν γὰρ ἡ ἐπίγειος, δαπάνη μόνον ἐστὶ, καὶ κέρδος οὐδὲν ἔχει. ποῖον γὰρ ἂν γένοιτο κέρδος ἐκ τῆς τοῦ δήμου εὐφημίας, εἰπέ μοι; τῆς ἑσπέρας γὰρ καταλαβούσης εὐθέως ὁ κρότος ἐκεῖνος καὶ ὁ θόρυβος ἅπας μαραίνεται, καὶ παρελθούσης τῆς πανηγύρεως, ὥσπερ ὄναρ τρυφήσαντες, οὕτως ἔρημοι πάσης καθίστανται εὐφροσύνης, καὶ οὔτε τῆς ἀπὸ τοῦ στεφάνου, οὔτε τῆς ἀπὸ τῆς στολῆς τῆς λαμπρᾶς καὶ τῆς ἄλλης φαντασίας εὐθυμίαν ἐγγινομένην αὐτοῖς ζητοῦντες εὑρεῖν δύναιντ' ἄν, ἀνέμου παντὸς ταχύτερον πα- D ραδραμόντων αὐτοῖς ἁπάντων. ἡ δὲ τῶν οὐρανῶν πολιτεία τοὐναντίον ἅπαν. χωρὶς δαπάνης πολὺ φέρει τὸ κέρδος ἡμῖν καὶ μόνιμον. οὐ γὰρ ἄνθρωποι μεθύοντες, ἀλλὰ τῶν ἀγγέλων ὁ δῆμος τὸν ἐκεῖ πολιτευόμενον κροτοῦσι διηνεκῶς. καὶ τί λέγω τῶν ἀγγέλων τὸν δῆμον; αὐτὸς αὐτὸν ὁ τῶν ἀγγέλων δεσπότης ἐπαινέσει καὶ ἀποδέξεται. ὁ δὲ παρὰ τοῦ θεοῦ ἐπαινούμενος, οὐ μίαν, οὐδὲ δύο, καὶ τρεῖς ἡμέρας, ἀλλὰ διὰ παντὸς τοῦ αἰῶνος πομπεύει στεφανηφορῶν, καὶ γυμνὴν οὐκ ἄν ποτε ἴδοις τῆς δόξης ἐκείνης

ne igitur committas, vt templum Dei fiat ſpelunca latronum, ne & alteram audias obiurgationẽ, qua Chriſtus obiurgauit Iudæos, dicens: Domus patris mei, domus deprecationis eſt: vos autem feciſtis eam ſpeluncam latronum. Mat. 21. 13. Luc. 19. 46. Sed quomodo fit ſpelunca latronum? Quum patimur illiberales ac ſeruiles concupiſcentias intrare, ſedémque figere in adoleſcentulorum animis. Tales enim cogitationes grauiores ac pernicioſiores ſunt latronibus, quæ puerorum ingenuitatem vertunt in ſeruilitatem, ipſóſque brutis cupiditatibus dedunt in ſeruitutem, vndique confodientes illos, ac mentem illorum multis implentes vulneribus. Quapropter ſuper his quotidie diſpiciamus, & verbis pro ſcutica vtentes, omnes id genus affectus ab illorum animis depellamus, quo videlicet filij nobiſcum cœleſtis ciuitatis valeant eſſe participes, & vniuerſum cultum qui celebratur illic ritè peragere. An non videtis frequenter, quòd qui in vrbibus verſantur, pueros nuper à lacte depulſos Thallophoros, aut agonothetas, aut certaminum præfectos, aut chorearum magiſtros faciunt? Idem & nos faciamus, à primis ſtatim annis inducamus eos ad diſciplinam reipub. cœleſtis. Siquidem hæc terrena, quum impendium adferat, fructum tamen nullum habet. Diſcipli na cœleſti imbuendi iuuenes Nam quæſo te, quis fructus eſſe poſſit è populari applauſu? Simul vt veſpera nos occuparit, illico plauſus ille totúſque tumultus emarceſcit: ac feſto peracto, perinde quaſi in ſomnis fuerint deliciati, ita omni voluptate deſtituti conſiſtunt, dum nec à corona, nec à magnifica veſte, nec à reliquo faſtu vniuerſo conceptam voluptatem ſi quærant, inuenire valeant, quòd omnia illa quouis vento celerius prætercurrant. Cæterùm in cœleſti vita omnia ſecus habent: citrà impendium lucrum adferunt & copioſum & ſtabile. Nam illic non homines ebrij, ſed angelorum populus iugiter applaudit rem gerenti. Sed quid dixi, angelorum populus? ipſe angelorum dominus laudabit, & comprobabit illum. Fœlicitas vitæ cœleſtis Qui verò à Deo laudatur, non vno alteróve die, aut tertio, ſed in æternum triumphat illic geſtans coronam, nec vnquam caput

illud videbis ea nudatum gloria: neq. enim illius celebritatis tempus certis diebus circumſcriptum eſt, ſed vſque ad futuri ſeculi immortalitatem extenditur. Huic cultui nunquam paupertas eſſe poſſit impedimento, verùm & pauperi licet hoc celebrare feſtũ, imò pauperi maximè, quippe qui ab omni mundi faſtu ſtrepitúque ſit liber: neque enim opus eſt pecuniarum impendiis & opulentia, ſed animo puro, ac mente ſobria. Hæc enim eſt quæ illius vitæ veſtes texit animæ, hæc quæ coronas concinnat: quæ niſi virtutis officiis fuerit exornata: nulli vſui fuerit auri magna copia: ſicut è diuerſo nec damno erit paupertas, ſi diuitias intus habeat repoſitas. Hanc celebritatem non modò maſculi liberi, ſed & filiæ nobis celebrent: neque enim quemadmodum in externa adminiſtratione viris tantum imperatum eſt hoc feſtum peragere, verùm & fœminas illud recipit theatrum, & ſenes, & iuuenes, & ſeruos & ingenuos. Vbi enim animi ſpectaculum eſt, ibi non ſexus, non ætas, non dignitas huius ſeculi, non aliud quicquam impedire poteſt. Eóque vos omnes exhortor, vt à teneris ſtatim annis & filios & filias huiuſmodi functionibus dedatis: & huic conuerſationi congruentes diuitias eis addatis, non aurum defodientes, non argentum congregantes, ſed modeſtiam, ſobrietatem, ac pudicitiam, reliquáſque virtutes omnes in animis eorum reponentes. Hos enim ſumptus exigit illa functio. Si hanc igitur opulentiam tum nobis, tum filiis collegerimus, & in preſenti vita multum ſplendoris conſequemur, & in futura vita beata illam vocem audiemus, per quã Chriſtus omnes qui ipſum profeſſi fuerint, ſuo ornat pręconio. Profeſſio autem non tantùm fit per fidem, verumetiam per opera, adeò vt ſi hæc abſint, veniamus in periculum, ne cum abnegantibus pœnas luamus. Neque enim vnus eſt abnegandi modus, ſed multi ac multiplices, quos Paulus nobis deſcribens, ita loquitur: Profitentur ſe noſſe Deum, ſed factis negant. & rurſus, Si quis ſuorum, & maximè domeſticorum curam non habet, fidem abnegauit, & eſt infideli deterior. Et iterum, Fugite auaritiam, quæ eſt ido-

Abnegationis modi varij.

Tit.1.16.

1.Tim.5

Colo.3.5

A τὰ τοῦ τοιούτου κεφάλαιον. οὐ γὰρ ὡρισμέναις ἡμέραις ὁ τῆς πανηγύρεως ταύτης τάξει ἐγκατάκλειται χρόνος, ἀλλὰ πρὸς τὴν ἀθανασίαν τῶν μελλόντων ἐκτείνεται. ταύτης τῆς λειτουργίας οὐκ ἄν ποτε γένοιτο πενία κώλυμα, ἀλλὰ δυνατὸν καὶ τὸν πένητα λειτουργῆσαι ταύτην τὴν λειτουργίαν, καὶ μάλιστα τὸν πένητα, ἅτε πάσης ἀπηλλαγμένον φαντασίας βιωτικῆς. οὐ γὰρ δαπάνης χρημάτων καὶ περιουσίας, ἀλλὰ ψυχῆς δεῖ καθαρᾶς καὶ σωφρονούσης διανοίας. ἀπὸ ταύτης καὶ τὰ ἱμάτια τῆς πολιτείας ἐκείνης ὑφαίνεται τῇ ψυχῇ, καὶ ὁ στέφανος πλέκεται. ὥστε ἂν μὴ τοῖς τῆς ἀρετῆς ᾖ κεκοσμημένη
B κατορθώμασιν, οὐδὲν ὄφελος αὐτῇ χρυσίου πολλοῦ, ὥσπερ οὖν οὐδὲ βλάβος ἔσται πενίας, ἐὰν τὸν ἔνδοθεν ἔχῃ πλοῦτον ἐναποκείμενον. ταύτην τὴν λειτουργίαν μὴ μόνον ἄρρενες παῖδες, ἀλλὰ καὶ θυγατέρες ἡμῖν λειτουργείτωσαν. οὐ γὰρ ὥσπερ ἐπὶ τῆς ἔξωθεν πολιτείας ἀνδράσι μόνον ταῦτα λειτουργεῖν ἐπιτέτακται, ἀλλὰ καὶ γυναῖκας ἐκεῖνο τὸ θέατρον δέχεται, καὶ γέροντας, καὶ νέους, καὶ δούλους, καὶ ἐλευθέρους. ὅπου γὰρ ψυχῆς ἐστιν ἡ ἐπίδειξις, οὐ φύσις, οὐχ ἡλικία, οὐκ ἀξίωμα βιωτικόν, οὐκ ἄλλο οὐδὲν ἐμποδίζειν πέφυκε. διὸ δὴ τοῦτο πα-
C ρακαλῶ ὑμᾶς ἐκ πρώτης ἡλικίας ἐκδιδόναι καὶ υἱοὺς καὶ θυγατέρας τῇ τοιαύταις λειτουργίαις, καὶ τὸν τῇ τοιαύτῃ πολιτείᾳ ἁρμόζοντα προαποτιθέναι πλοῦτον αὐτοῖς, οὐ χρυσίον κατορύττοντας, οὐδὲ ἀργύριον συλλέγοντας, ἀλλ᾽ ἐπιείκειαν, σωφροσύνην, σεμνότητα, τὴν ἄλλην ἅπασαν ἀρετὴν ἐναποτιθεμένους αὐτῶν τῇ ψυχῇ. ταύτης γὰρ δεῖται τῆς δαπάνης ἐκείνη ἡ λειτουργία. ἂν ταύτην οὖν καὶ ἑαυτοῖς, καὶ τοῖς παιδίοις συλλέξωμεν τὴν εὐπορίαν, καὶ κατὰ τὸν παρόντα βίον πολλῆς ἀπολαυσόμεθα τῆς λαμπρότητος, καὶ κατὰ τὴν μέλ-
D λουσαν ζωὴν τῆς μακαρίας ἐκείνης ἀκουσόμεθα φωνῆς, δι᾽ ἣν ἅπαντας τοὺς ὁμολογήσαντας αὐτὸν ὁ Χριστὸς ἀνακηρύττει. ὁμολογία δὲ οὐχὶ διὰ πίστεως μόνον ἐστίν, ἀλλὰ καὶ ἡ διὰ τῶν ἔργων, ὡς ἐὰν μὴ καὶ αὐτὴ παρῇ, κινδυνεύομεν μετὰ τῶν ἀρνουμένων κολασθῆναι. οὐ γὰρ εἷς ἀρνήσεώς ἐστι τρόπος, ἀλλὰ πολλοὶ καὶ διάφοροι, οὓς ὁ Παῦλος ἡμῖν ὑπογράφων οὕτως ἔλεγε· θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται· καὶ πάλιν, εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων· καὶ πάλιν, φεύγετε τὴν πλεονεξίαν, ἥτις ἐστίν

ἐστὶν εἰδωλολατρεία. ἐπεὶ οὖν ἀρνήσεως τοσοῦτοι τρόποι, εὔδηλον ὅτι καὶ ὁμολογίας τοσοῦτοι, καὶ πολλῷ πλείους· οὓς δὴ πάντας ὁμολογῆσαι σπουδάσωμεν, ἵνα καὶ αὐτοὶ τῆς ἐν τοῖς οὐρανοῖς τιμῆς ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

lorum cultus. Quum igitur tot ſint abnegandi modi manifeſtum eſt totidem eſſe profitendi, ac multò etiam plures, quibus omnibus profiteri, ſtudeamus, vt & ipſi in cœlis honorem conſequamur munificentia & bonitate domini noſtri Ieſu Chriſti per quem, & cum quo Patri gloria, ſimul cum ſancto Spiritu, in ſecula ſeculorum. Amen.

Ὁμιλία δ'.

Πρὸς τοὺς τὰς συνάξεις καταλιμπάνοντας, καὶ εἰς τὰ θέατρα ἀναβαίνοντας· καὶ ὅτι οὐ μόνον χρησιμώτερον τῆς ἐν θεάτροις διαγωγῆς ἡ ἐν ἐκκλησίᾳ διατριβὴ, ἀλλὰ καὶ ἡδίων· καὶ εἴς τε τὴν δευτέραν ῥῆσιν τῆς Ἄννης, καὶ εἰς τὸ δεῖν συνεχῶς εὔχεσθαι, καὶ ἐν παντὶ τόπῳ, κἂν ἐν ἀγορᾷ ὦμεν, κἂν ἐν ὁδοῖς, κἂν ἐπὶ κλίνης.

Οὐκ οἶδα ποίοις χρήσομαι λόγοις σήμερον. καὶ γὰρ ὁρῶν τὰς συνάξεις ἐλαττουμένας, προφήτας ὑβριζομένους, ἀποστόλους παρορωμένους, πατέρας καταφρονουμένους, διὰ τῶν δούλων εἰς τὸν δεσπότην διαβαίνουσαν τὴν ὕβριν, βούλομαι μὲν ἐγκαλέσαι· τοὺς δὲ ὀφείλοντας ἀκοῦσαι τῆς κατηγορίας οὐχ ὁρῶ παρόντας, ἀλλ' ὑμᾶς τοὺς οὐδὲν δεομένους τῆς παραινέσεως ταύτης καὶ τῆς νουθεσίας. πλὴν ἀλλ' οὐδὲ σιγητέον ἡμῖν. τήν τε γὰρ ὀδύνην τὴν ἐπ' ἐκείνοις διαπνεῦσαι μικρὸν παρασκευάσομεν εἰς τὰ ἔξω, διὰ τῶν ῥημάτων ἐκβάλλοντες αὐτὴν, αὐτούς τε ἐκείνους αἰσχύνεσθαι καὶ ἐρυθριᾶν ποιήσομεν, τοσούτους αὐτοῖς ἐπαφέντες κατηγόρους, τοὺς ἀκούοντας ἅπαντας ὑμᾶς. εἰ μὲν γὰρ ἐνταῦθα παρεγένοντο, ἡμῶν μόνον ἐπιτιμώντων ἤκουσαν ἄν· νῦν δὲ φεύγοντες τὴν παρ' ἡμῶν ἐπιτίμησιν, παρ' ὑμῶν ταῦτα ἀκούσονται πάντα. οὕτω καὶ φίλοι ποιοῦσιν· ἐπειδὰν τοὺς ὑπευθύνους μὴ εὕρωσι, τοῖς ἐκείνων ἐντυγχάνουσι φίλοις, ὥστε ἀπελθόντας εἰπεῖν τὰ εἰρημένα. τοῦτο καὶ ὁ θεὸς ἐποίησε. τοὺς γὰρ εἰς αὐτὸν ἡμαρτηκότας ἀφεὶς τὸν μηδὲν ἠδικηκότα καλεῖ τὸν Ἱερεμίαν, λέγων· εἶδες τί ἐποίησέ μοι ἡ ἀσύνετος θυγάτηρ Ἰούδα,

HOMILIA IIII.

Ad eos qui collecta relicta ad theatra aſcendunt, & quod non ſolùm vtilius ſit in Eccleſia verſari, quam in theatris ſed etiam iucundius, & de ſecunda parte precationis Annæ: quodque indeſinenter & in omni loco precari oporteat, vel in foro, vel in via, vel in tecto.

SIGISM. GELENIO INTERP.

Ex editione Baſilienſi anni, 1547. apud Frobenium.

HAVD ſcio, quib. verbis debeam vti hodie; Cùm enim videam collectas parũ frequentari, Prophetas affici contumelia, Apoſtolos deſpici, Patres contemni, eamque contumeliam, qua ſerui appetuntur, ad ipſum eorum Dominũ pertinere, libet quidem accuſare, ſed qui accuſationem hanc audire deberent, nuſquàm hic apparent: vos ſoli adeſtis, quibus hac admonitione nihil opus eſt. Verumtamen ne ſic quidem ſilendum eſt nobis: nam & indignationem, quàm nobis mouerunt, reuelabimus, vnàque cum verbis eijciemus: & illos ipſos ad ruborem ac verecundiam compellemus, tot in eos accuſatoribus immiſſis, quot nunc in hoc auditorio adeſtis. Si enim veniſſent, noſtras ſolùm obiurgationes audirent: nunc fugitantes noſtram, increpationem, eadem hæc à vobis audituri ſunt omnia. Sic & amici faciunt; poſtquam non inuenerunt quibuſcum expoſtulare volebant, illorum amicos compellant, vt illos conueniant, & eis quæ audiuerunt dicant. Idem hoc etiam Deus fecit: omiſſis qui in ſe peccauerunt, inſontem Hieremiam appellat, dicens. Viden' quid mihi fecerit inſipiens filia Iudæ?

Hac ſanè de cauſa nos quoque illos accuſando, vos oratione conuenimus, vt hinc profecti eos corrigatis. Quis enim tantum neglectum ferat? ſemel in hebdomada hîc colligimur, & ne hac quidem die ſeculares curas poſthabere ſuſtinent: & ſi quis id obiiciat, ilicô paupertatem prætexunt, ac victus parandi neceſſitatem, vrgentéſque occupationes, defenſionem adferentes quauis accuſatione turpiorem. Quid enim hoc ipſo crimine peius eſſe poteſt, quod aliquid aliud quàm diuina negotia magis vrgens nobis videtur, magiſq; neceſſarium? Ergô etiamſi maximè verum hoc eſſet, hæc ipſa defenſio eſſet accuſatio, vt dixi: vt autem ſciatis quòd iſta cauſatio ſint ac prętextus ad obtendendum ſegnitiæ, vel me tacente tertius ab hinc dies omnes tales cauſationes redarguet, cum ciuitas vniuerſa migrauerit ad Circum, & domus ac fora nefarij illius ſpectaculi gratia euacuata fuerint. Et hîc ne præcipua quidem Eccleſiæ loca cõpleri videmus: at illic non modò Circus, ſed & cœnacula & domus & tecta, & abrupta loca pleraq; occupantur: ac neq; paupertas neque occupatio, neque debilitas corporis, non pedum infirmitas, non aliud quicquam tale remoratur inſaniam, nulla retinacula non abrumpentem: ſed homines ſenio confecti, iuuenibus ac vigentibus auidiûs illuc concurrunt, caniciem ſuam dedecorantes, grandæuitatemq; traducentes, & ſenectutem ipſam præbentes deridendam. Et hûc quidem venientes, cum faſtidio ac perturbatione ſupini ſermones diuinos audiunt, anguſtias, æſtum, & ſuffocationem ſimiliaq; cauſantes: at illic dum & ſolem nudo capite excipiunt, & proculcantur, & protruduntur, & magna vi comprimuntur, & infinita alia patiuntur incommoda, non ſecus quàm in amœniſſimo prato deliciari ſibi videntur. Hæc eſt nimirum illa ciuitatum publica corruptela, quòd tum nequam ſint, qui iuuentuti pręire deberent. Quo enim pacto poteris adoleſcentẽ laſciuè, ac præter decorũ ſe gerentem ad modeſtiam redigere, cùm ipſe in canicie tam iuuen iter te geras. cùm ipſe poſt tot temporum curricula ſatietate inſuauiſſi nu illius ſpectaculi nondum capiaris?

Auiditas Circenſiũ ludorũ ſpectacula ſpectãtum.

A διὰ δὴ τοῦτο καὶ ἡμεῖς ὑμῖν ὑπερεντυγχανόμεθα κατ' ἐκείνων, ἵνα ἀπελθόντες διορθώσητε αὐτούς. τίς γὰρ ἂν ἐνέγκῃ τὴν ὀλιγωρίαν τὴν τοσαύτην; ἅπαξ τῆς ἑβδομάδος ἐνταῦθα συλλεγόμεθα, καὶ οὐδὲ ταύτην ἀνέχονται τὴν ἡμέραν τῶν βιωτικῶν ὑπεριδεῖν φροντίδων. κἂν ἐγκαλῇ τις, εὐθέως πενίαν προβάλλονται, καὶ τὴν ἀναγκαίαν τροφήν, καὶ ἀσχολίας κατεπειγούσας, ἀπολογίαν κατηγορίας ἁπάσης χαλεπωτέραν μελετήσαντες. τί γὰρ ἂν ταύτης τῆς κατηγορίας γένοιτ' ἂν χεῖρον, ὅταν τῶν τοῦ θεοῦ πραγμάτων ἕτερον ἀναγκαιότερον ὑμῖν B τι φαίνηται καὶ κατεπεῖγον μᾶλλον; μάλιστα μὲν οὖν εἰ καὶ τοῦτο ἦν ἀληθές, κατηγορία ἡ ἀπολογία ἦν, ὥσπερ ἔφην. ἵνα δὲ μάθητε, ὅτι καὶ ταῦτα σκῆψις καὶ πρόφασις καὶ ῥαθυμίας ἐστὶ παραπετάσματα, οὐδὲν ἐμοῦ λέγοντος, ἡ μετὰ τὴν αὔριον αὖθις ἐλέγξει πάντας ἡμέρα τοὺς τὰ τοιαῦτα προφασιζομένους, ὅταν πᾶσα ἡ πόλις πρὸς τὸν ἱππόδρομον μεταστῇ, καὶ οἰκίαι καὶ ἀγοραὶ εἰς τὴν παράνομον θεωρίαν κενωθῶσιν ἐκείνην. καὶ ἐνταῦθα μὲν οὐδὲ τὸν κύριον τῆς ἐκκλησίας τόπον πληρούμενον ἐστὶν ἰδεῖν· ἐκεῖ C δὲ οὐ τὸν ἱππόδρομον μόνον, ἀλλὰ καὶ ὑπερῷα, καὶ οἰκίας, καὶ δώματα, καὶ κρημνούς, καὶ μυρίους ἑτέρους ἄνωθεν καταλαμβάνουσι τόπους· καὶ οὔτε πενία, οὔτε ἀσχολία, οὔτε ἀσθένεια σώματος, οὐ ποδῶν ἀρρωστία, οὐκ ἄλλο οὐδὲν τῶν τοιούτων ἐπέχει τὴν ἀκάθεκτον μανίαν· ἀλλ' ἄνθρωποι γεγηρακότες νέων ἀκμαζόντων σφοδρότερον ἐκεῖ τρέχουσι, τὴν πολιὰν καταισχύνοντες, τὴν ἡλικίαν παραδειγματίζοντες, τὸ γῆρας αὐτὸ καταγέλαστον ποιοῦντες. καὶ ἐνταῦθα μὲν εἰσιόντες, ναυτιῶντες, ὥσπερ καὶ ἐνοχλεῖσθαι νομίζουσι, καὶ ἀναπεπτώκασιν ἐν τῇ τῶν θείων γραφῶν ἀκροάσει, D στενοχωρίαν, καὶ πνιγμόν, καὶ τὰ τοιαῦτα προβαλλόμενοι· ἐκεῖ δὲ καὶ ἥλιον γυμνῇ δεχόμενοι τῇ κεφαλῇ, καὶ πατούμενοι, καὶ ὠθούμενοι, καὶ μετὰ πολλῆς πιεζόμενοι τῆς σφοδρότητος, καὶ μυρία ἕτερα πάσχοντες δεινά, καθάπερ ἐν λειμῶνι τρυφῶντες, οὕτω διάκεινται. διὰ τοῦτο ἡμῖν αἱ πόλεις εἰσὶ διεφθαρμέναι, ὅτι πονηροὶ τῆς νεότητός εἰσι διδάσκαλοι. πῶς γὰρ δυνήσῃ τὸν νέον ἄκοσμον ὄντα καὶ ἀσελγαίνοντα σωφρονίσαι, αὐτὸς ἐν πολιᾷ τοιαῦτα μετεωρίζων, αὐτὸς μετὰ τοσοῦτον χρόνον κόρον μὴ λαβὼν τῆς ἀτερπεστάτης θέας ἐκείνης

πῶς δυνήσῃ ῥυθμίσαι τὸν υἱὸν, πῶς κολάσαι τὸν οἰκέτην ἁμαρτάνοντα, πῶς ἑτέρῳ συμβουλεῦσαι τὰ δέοντα ἀμελοῦντι, τοιαῦτα αὐτὸς ἐν ἐσχάτῳ γήρᾳ ἀσχημονῶν; κἂν μὲν ὑβρίσῃ νέος τὸν γεγηρακότα, τὴν ἡλικίαν εὐθέως προβάλλεται, καὶ μυρίους ἔχει συναγανακτοῦντας· ὅταν δὲ σωφρονίζειν δέῃ τὸν νέον, καὶ κανόνα τινὰ ἀρετῆς αὐτὸν γίνεσθαι, οὐδαμοῦ τῆς ἡλικίας αὐτοῖς λόγος, ἀλλ' αὐτῶν ἐκείνων μανικώτερον ἐπὶ τὴν παράνομον βαδίζουσι θεωρίαν. Ταῦτα δὲ λέγω, καὶ τῶν γεγηρακότων καθάπτομαι, οὐχὶ τοὺς νέους ἀπαλλάττων κατηγορίας καὶ διαβολῆς, ἀλλὰ δι' ἐκείνων τούτους ἀσφαλιζόμενος. Εἰ γὰρ τὸν γεγηρακότα οὐ δεῖ, πολλῷ μᾶλλον τὸν νέον. ἐκεῖ μὲν γὰρ πολὺς ὁ γέλως, καὶ μείζων ἡ ἀσχημοσύνη· ἐνταῦθα δὲ χαλεπώτερος ὁ ὄλεθρος, βαθὺ τὸ βάραθρον, ὅσῳ καὶ ἀκμαιότερα μᾶλλον τὰ τῆς ἐπιθυμίας τοῖς νέοις, καὶ σφοδροτέρα αὐτοῖς ἡ φλόξ· κἂν μικρᾶς ἐπιλάβηται μόνον ἔξωθεν ὕλης, τὰ πάντα ἐμπίπρησι. καὶ γὰρ πρὸς θυμὸν καὶ πρὸς ἐπιθυμίας εὐέμπτωτος μᾶλλόν ἐστιν ὁ νέος· διὸ καὶ πλείονος δεῖται τῆς φυλακῆς, σφοδροτέρου τοῦ χαλινοῦ, ἀσφαλεστέρου τοῦ τείχους καὶ τοῦ κωλύματος. μὴ γάρ μοι τοῦτο εἴπῃς, ἄνθρωπε, ὅτι ἡδονὴν ἔχει ἡ θεωρία· ἀλλ' εἰ μὴ μετὰ τῆς ἡδονῆς καὶ βλάβην ἔχει, τοῦτό με δίδαξον. καὶ τί λέγω βλάβην; ὅτι γὰρ οὐδὲ ἡδονὴν τὸ πρᾶγμα ἔχει, ἐντεῦθεν εἴσῃ σαφῶς. ἐκ τῆς ἱπποδρομίας ἀναχωρῶν ἐκείνης, ἀπάντησον τοῖς ἐκ τῆς ἐκκλησίας ἀναχωροῦσι, καὶ κατάμαθε μετ' ἀκριβείας, τίς ἐστιν ἐν ἡδονῇ μείζονι, ὁ προφητῶν ἀκούσας, καὶ μεταλαβὼν εὐλογίας, καὶ διδασκαλίας ἀπολαύσας, καὶ τὸν θεὸν παρακαλέσας ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, καὶ κουφότερον ποιήσας τὸ συνειδὸς, καὶ μηδὲν ἑαυτοῦ κατεγνωκὼς τοιοῦτον, ἢ σὺ ὁ καταλιπὼν τὴν μητέρα, καὶ τοὺς προφήτας ἀτιμάσας, καὶ εἰς τὸν θεὸν ἐξυβρίσας, καὶ μετὰ τοῦ διαβόλου χορεύσας, καὶ βλασφημούντων ἀκούσας καὶ λοιδορουμένων, καὶ τὸν καιρὸν ἀναλώσας εἰκῇ καὶ μάτην, καὶ μηδὲν οἴκαδε ἔχων ἀπενεγκεῖν, μήτε σωματικὸν, μήτε πνευματικὸν κέρδος ἐκεῖθεν. ὥστε ἡδονῆς ἕνεκεν μάλιστα ἐνταῦθα ἀπαντᾶν χρή. ἐκεῖ μὲν γὰρ εὐθέως κατάγνωσις, κατηγορία τοῦ συνειδότος,

A quomodo poteris filij mores componere, quomodo in ſeruum peccantem animaduertere, quomodo amico in officio ceſſanti conſulere, cum ipſe ſic in extrema ſenectute ineptias? Et ſi quidẽ à iuuene ſenex contumeliam patiatur, illico ætatem ei obiicit, & reperit qui vnà ſtomachentur: at quando opus eſt iuuenem ad probitatem reducere, ſéque illi virtutis ceu regulam quandam exhibere, tum verò ceſſat ætatis grauitas, ſed maiore quàm ipſi inſania ad illicita illa ſpectacula feruntur. Hæc autem dico, ſenéſque taxo, non quòd iuniores à noxâ abſoluam &
B crimine, ſed vt hos per illos commonitos habeam. nam ſi ſenes hoc facere non debent, multò magis ne iuuenes quidem: illic enim maior deriſio ac turpitudo, hic autem tantò grauior pernicies, profundiuſq; præcipitium, quantò concupiſcentiæ maior vis in iuuenibus, quantóque flamma ineſt eis vehementior, quæ incendiis miſcet omnia, ſi vel minimum alicunde ſit nacta fomitem: procliuior enim ad concupiſcentias eſt iuuentus, eiſq; longè facilius capitur; quapropter etiam maiore opus
C habet cuſtodia acriore fræno, tutiore munitione ac obſtaculo. Nec mihi illud obiicias, ô bone, quòd voluptatem habeat hoc ſpectaculum; ſed hoc potius doce, an nullum hæc voluptas damnum afferat. Quòd enim ne cum voluptate quidem hæc res coniuncta ſit, huic tibi perſpicuum eſſe poteſt. Cùm à Circenſibus reuerteris, occurre eis qui ab Eccleſia redeunt, & conſidera diligenter, vter tandem maiore voluptate perfruatur: iſne qui prophetis auditis, & benedictione, ac doctrinæ fructu percepto,
D ſimulq; Deum pro ſuis peccatis deprecatus, & conſcientiæ per confeſſionem releuatæ, ab hoc inſuper de quo loquimur crimine alienus eſt: an tu qui matrem communem deſeruiſti, Prophetas contempſiſti, Deum affeciſti contumelia, cum diabolo choreas duxiſti, maledicentibus inter ſe ac conuiciantibus aures præbuiſti, temporis denique iacturam grauiſſimam feciſti, vt qui nec ſpirituale nec ſeculare vllum lucrum inde domum reportare valeas. Itaq. vel voluptatis gratiâ hic adeſſe oportet, illic enim continuò te ſequitur animi deiectio,

Nulla voluptas in Circenſibus.

A conſcientia accuſatrix, pœnitentia ob ea quæ contigerunt dedecus & opprobrium, vix oculos attollere audeas: hîc vice verſa omnia cōtrario modo ſe habent, fiducia & oris libertas, & cum omnib. loquendi facultas de omnib. quæcunque hîc audita ſunt. Quando igitur in forum te contuleris, & videris omnes ad ſpectandum cōcurrere, tu ad Eccleſiam te confeſtim recipito, & in ea pauliſper cōmoratus, perpetua diuini verbi voluptate fruere. ſi enim turbæ impetu abſtractus illuc perueneris, breui voluptatula delinitus, malè habebis per totam ſequentē diem, atque etiam plures deinceps tuum ipſius factum condemnās. B quòd ſi pauliſper te cohibueris, integram & ſecuram in reliquam diei voluptatem habebis: id enim non hîc tantùm, ſed etiam in aliis rebus vſu venire ſolet. vitium enim momentaneam habet voluptatem, dolorē verò perpetuū, virtus contra laborem breuem, fructum verò cum hilaritate indeſinentē. Verbi gratia, deprecatus eſt aliquis Deum, lacrymas fudit: Is modico tātùm tempore ſe afflictauit. Alius tota die ſe oblectauit, deinde eleemoſynam dedit, ieiunauit, aliud aliquid boni fecit: aut contumeliam paſſus non regeſſit conuicia: C is poſtquam vnico temporis momento perdurauit ac iram compreſſit, in poſterùm memoria rectè factorum gaudet ac lætatur. at in vitiis contrariū accidit. Intulit quiſpiam iniuriam, aut etiam retulit; deinde domum reuerſus arrodit cor ſuū curis, dū verba ſua reputat, propter quę toties grauiter mulctatus eſt. quapropter ſi voluptatē ſectaris, fugite ineptas ac iuueniles cōcupiſcentias, & tēperantiam exercete, auſcultationiq; verbi Dei attentus eſto. D Hæc ideò vobis dicimus, vt vos eadem illis dicendo, & talib. verbis obtundendo, abſtrahatis eos ab omni mala conſuetudine, vtq; omnia rationis potius ductu agant perſuadeatis. alioqui ne diligentia quidem veſtra probāda eſt, ſi temerè & nullo delectu adhibeatur: id quod vel ex hac quæ inſtat collecta ſatis apparet: dum enim ſanctam Pentecoſtes celebritatem agemus tanta cōcurret multitudo, vt magna hîc locorum anguſtia laboretur. Nec tamen hunc conuentum magni facio, quandoquidem magis ex more fit, quā religionis ergô.

Vitij voluptas qualis.

Pentecoſtes feſtū celebrandū.

A μετάνοια ἐπὶ τοῖς γεγενημένοις, αἰσχύνη, καὶ ὄνειδος καὶ τὸ ἀπαρρησιάστους ἔχειν τοὺς ὀφθαλμούς· ἐνταῦθα δὲ τοὐναντίον ἅπαν, παρρησία, καὶ τὸ ἐλευθεροστομεῖν, καὶ τὸ μετ᾽ ἀδείας ἅπασι διαλέγεσθαι περὶ τῶν ἐνταῦθα ἀκουσμάτων ἁπάντων. ὅταν τοίνυν εἰς ἀγορὰν ἐμβάλῃς, καὶ πάντας ἴδῃς ἐπὶ τὴν θεωρίαν τρέχοντας ἐκείνην, κατάφυγε σὺ ἐπὶ τὴν ἐκκλησίαν εὐθέως, καὶ μικρὸν καρτερήσας χρόνον, τρύφα διηνεκῶς τῶν θείων ῥημάτων. ἂν μὲν γὰρ παρασυρεὶς μετὰ τῶν πολλῶν ἀπέλθῃς ἐκεῖ, μικρὸν ψυχαγωγηθεὶς, διὰ πάσης τῆς ἡμέρας ἀλγήσεις, τῆς τε B ἐπιούσης, καὶ πολλῶν ἑτέρων, καταγινώσκων σαυτοῦ· ἂν δὲ μικρὸν ἐπίσχῃς σαυτὸν, διὰ πάσης τῆς ἡμέρας ἑξῆς τρυφᾶν. οὐ γὰρ ἐπὶ τούτου μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων οὕτω συμβαίνειν εἴωθεν. ἡ μὲν γὰρ κακία πρόσκαιρόν τινα ἔχει τὴν ἡδονὴν, διηνεκῆ δὲ τὴν ὀδύνην· ἡ δὲ ἀρετὴ, βραχὺν μὲν τὸν πόνον, διηνεκὲς δὲ τὸ κέρδος μετὰ τῆς εὐφροσύνης. οἷον, ηὔξατό τις πρὸς θεὸν, ἐδάκρυσεν, ἤλγησεν ὀλίγον χρόνον κατὰ τὴν εὐχὴν, ἕτερος διὰ πάσης ἡμέρας ἐτρύφα, εἶτα ἐλεημοσύνην ἔδωκεν, ἐνήστευσεν, ἄλ- C λο τι τῶν ἀγαθῶν εἰργάσατο, ἢ ὑβρισθεὶς οὐκ ἀντελοιδόρησεν. ἐν μιᾷ γοῦν καιροῦ ῥοπῇ καρτερήσας καὶ κατασχὼν τὸν θυμὸν, διὰ παντὸς γάννυται καὶ εὐφραίνεται, τῶν κατορθωμάτων ἀναμιμνήσκων ἑαυτὸν ἐκείνων. ἐπὶ δὲ τῆς κακίας, τοὐναντίον ὕβρισέ τις, ἀντελοιδόρησε. μετὰ ταῦτα οἴκοι γενόμενος, ἑαυτὸν κατεσθίει τὰ ῥήματα ἀναλογιζόμενος, ἃ πολλάκις πολλὴν ὑπέσχε βλάβην. ὥστε εἰ διώκεις ἡδονὴν, φεῦγε τὰς νεωτερικὰς ἐπιθυμίας, καὶ σωφροσύνης ἐπιμελοῦ, καὶ ἀκροάσει θείων πρόσεχε λογίων. D ταῦτα πρὸς ὑμᾶς λέγομεν, ἵνα ὑμεῖς πρὸς ἐκείνους λέγοντες, καὶ συνεχῶς τούτοις αὐτοὺς ἐπαντλοῦντες τοῖς ῥήμασιν, ἀφέλκητε πάσης πονηρᾶς συνηθείας, καὶ πείθητε λογισμῷ πάντα ποιεῖν τῷ προσήκοντι. τῶν γὰρ τοιούτων καὶ ἁπλῶς καὶ εἰκῆ φερομένων οὐδὲ τὴν σπουδὴν ἐπαινετὴν εὕροι τις ἂν οὐδαμοῦ. καὶ τοῦτο ἀπὸ τῆς ἐπιούσης συνάξεως δῆλον καθίστημι. τῆς γὰρ ἁγίας ἡμῖν τελουμένης πεντηκοστῆς, τοσοῦτον δραμεῖται πλῆθος, ὡς ἅπαντα ἡμῖν τὰ ἐνταῦθα στενοχωρηθῆναι. ἀλλ᾽ ὅμως οὐδὲ ταύτην ἀποδέχομαι τὴν συλλογήν· συνηθείας γάρ ἐστιν, οὐκ εὐλαβείας.

A τί τοίνυν γένοιτ' ἂν ἐκείνων ἀθλιώτερον, ὅταν καὶ ἡ ῥᾳθυμία αὐτῶν ἐγκλημάτων γέμῃ, καὶ ἡ δοκοῦσα εἶναι σπουδὴ, ἐγκωμίων ᾖ ἔρημος; τὸν γὰρ ζήλῳ καὶ πόθῳ καὶ σώφρονι λογισμῷ τοῦ θείου τούτου μετέχοντα συλλόγου, διηνεκῶς ταῦτα ποιεῖν χρὴ, ἀλλ' οὐχὶ μετὰ τῶν ἐν ἑορτῇ μόνον φαινομένων, μετ' ἐκείνων ἀφίστασθαι, πάλιν, θρεμμάτων δίκην ἁπλῶς ἀγόμενον. ἠδυνάμην μὲν οὖν καὶ πρὸς πλέον μῆκος ἐκτεῖναι τὸ προοίμιον τοῦ λόγου· ἀλλ' ἐπειδὴ οἶδα σαφῶς, ὅτι καὶ πρὸ τῆς ἡμετέρας παραινέσεως τὰ προσήκοντα ὑμῖν αὐτοῖς ποιοῦντες, καὶ πλείονα τῶν εἰρημένων ἐρεῖτε, ὥστε μὴ δόξαι παρενοχλεῖν ἐν B ταῖς κατ' ἐκείνων ἐπιτιμήσεσι, τὰ λειπόμενα ἅπαντα ὑμῖν ἀφεὶς, τῆς εἰωθυίας ἅψομαι διδασκαλίας, ἐπὶ τὴν τῆς Ἄννης ἱστορίαν ἐπαναγαγὼν τὸν λόγον. καὶ μὴ θαυμάσητε, εἰ μηδέπω τῆς ὑποθέσεως ταύτης ἀπηλλάγημεν. καὶ γὰρ οὐ δύναμαι τὴν γυναῖκα ταύτην ἀπὸ τῆς διανοίας ἐκβαλεῖν τῆς ἐμῆς· οὕτως αὐτῆς θαυμάζω τὴν εὐμορφίαν τῆς ψυχῆς, καὶ τὸ κάλλος τῆς διανοίας. φιλῶ γὰρ ὀφθαλμοὺς δακρύοντας ἐν εὐχαῖς, διὰ παντὸς μελετῶντας, καὶ χείλη, καὶ στόμα οὐκ ἐπιτρίμμασί τισιν ἐρυθραινόμενον, C ἀλλ' εὐχαριστίᾳ τῇ πρὸς τὸν θεὸν καλλωπιζόμενον, οἷόν ἐστι τὸ ταύτης. ἐγὼ θαυμάζω μὲν ὅτι ἐφιλοσόφησε, θαυμάζω δὲ μειζόνως, ὅτι γυνὴ οὖσα ἐφιλοσόφησε, γυνὴ, ἧς πολλοὶ πολλάκις κατηγόρησαν. ἀπὸ γὰρ γυναικὸς, φησιν, ἀρχὴ ἁμαρτίας, καὶ δι' αὐτὴν ἀποθνήσκομεν πάντες. καὶ πάλιν, μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός· καὶ ὁ Παῦλος, Ἀδὰμ γὰρ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. διὰ τοῦτο μάλιστα αὐτὴν θαυμάζω, ὅτι τὰ ἐγκλήματα ταῦτα διεκρούσατο, ὅτι τὴν D κατηγορίαν ἀπέθετο, ὅτι τοῦ διαβαλλομένου γένους οὖσα καὶ κατηγορουμένου, τὰ ὀνείδη πάντα ἀπετρίψατο, διὰ τῶν ἔργων παιδεύουσα, ὅτι κἀκεῖναι οὐ παρὰ τὴν φύσιν τοιαῦται γεγόνασιν, ἀλλὰ παρὰ τὴν προαίρεσιν καὶ τὴν οἰκείαν ὀλιγωρίαν, καὶ ὅτι ἐν τῷ γένει τούτῳ δυνατὸν ἄκρας ἀρετῆς ἐπιλαβέσθαι. φιλόνεικον γάρ ἐστι τὸ ζῶον τοῦτο καὶ εὔτονον· κἂν εἰς πονηρίαν ἀποκλίνῃ, μεγάλα ἐργάζεται κακά. κἂν ἀρετῆς ἐπιλάβηται, τὴν ψυχὴν προήσεται πρότερον, ἢ τῆς προθέσεως ἀποστήσεται.

Quid igitur illis miſerius, quorum & negligentia tot referta eſt criminibus, & diligentia nullam laudem promeretur? quiſquis enim zelo pietatis ad hnnc cœtum ſobriè cupidéque accedit, ſiue intermiſſione hoc facere debet; & non cum illis, qui confluunt, vbi primum publica celebritas venerit, & cum illis recedere, vt qui temerè pecudis in morem abducatur. Equidem poteram hoc exordium ſermonis diutius extendere, verùm quoniam ſcio vos vltrò facientes, ita vt vobis dignum eſt, plura etiam dicturos, quàm dicta ſint, ne moleſtus ſim illorum obiurgationibus immorando, reliqua vobis omnia committens, ad ſolitam doctrinam, & ad hiſtoriam de Anna reuertor. Neque miremini, quòd ad huc in eodem argumento hæremus. Nec enim poſſum mulierem hanc ex animo meo eximere, vſque adeò formam animæ eius ac pulchritudinem admiror. Adamo enim oculos nuſquam non inter precandum lacrymantes, & os labiaque non accerſitis fucis rubricata, ſed gratiis Deo agendis ornata, qualia erant huiuſce mulieris, cuius philoſophiam tantopere admiror: admiror autem eò magis, quòd mulier cum eſſet, ad hunc modum philoſophata eſt, mulier, inquam, quæ multùm & à multis male audit. A muliere, inquit, initium peccati, per eam omnes morti obnoxij ſumus: & iterum: Parua eſt quælibet malitia, ſi ad mulieris malitiam conferatur. Et Paulus dicit, Adam enim non eſt deceptus; mulier autem decepta conſtituta eſt in præuaricatione. Hoc eſt cur illam maximè admirer, quòd hanc criminationem diluit, quòd hanc accuſationem reiecit, quòd cùm eſſet ex infami & criminoſo genere, opprobria iſta omnia diſcuſſit, réque ipſa docuit, quòd & illæ non tales natura fuerunt, ſed voluntate propriáque ſegnicie, & quòd huic quoque ſexui ad virtutis faſtigium licet pertingere. contentioſum enim eſt, hoc animal auidúmque victoriæ, & ſiue ad malitiam declinet, magna mala patrat, ſiue ad virtutem ſe applicet, anima citiùs eam deſtituat, quàm propoſitum mutet.

Eccl. 25. 33.
Ibid. 26.
1.Ti.2.12

A ſic igitur hæc quoque naturam ſuam ſuperauit, neceſſitatem peruicit, & aſſiduitate precandi vuluæ ſterili prolificam vim obtinuit. Quapropter rurſum ad preces confugit, etiam poſt impetratam gratiam ad hunc modum loquens; *Confirmatum eſt cor meum in Domino, exaltatum eſt cornu meum in Deo meo.* [Exponitur Annæ oratio.] Quid ſignificent hæc verba, Confirmatum eſt cor meum in Domino, nuper me apud charitatem veſtrã diſſeruiſſe ſcitis, ſupereſt nunc vt ea quæ deincepsſequũtur, interpretemur. [1.Reg.2. 1.] Cùm enim dixiſſet, Confirmatum eſt cor meum in Domino, mox ſubiunxit: [Pſ.74.10] Exaltatum eſt cornu meum in Deo meo. [1.Reg.2 12.] Quid eſt cornu meum? etenim ſcriptura hac dictione ſæpe vti ſolet; B ſicut quando dicit, Exaltatum eſt cornu eius, & exaltatum eſt cornu Chriſti eius. quid igitur tandem cornu nominat? Potentiam, gloriam, claritatem, nimirum à brutis animantibus hanc tranſlationem mutuatus: nam Deus ornamenti ac teli vice cornua illis addidit, quibus abiectis præcipuã virium partem amittunt: & quemadmodum inermis miles, ita & taurus abſque cornibus perfacilè capitur. Nihil igitur aliud dicit hęc mulier, quàm exaltata eſt C gloria mea. & quomodo exaltata? In Deo meo, inquit. Huic etiam in tuto eſt hæc celſitudo, vt quæ firmam atque immobilem radicem habeat. Gloria enim quæ eſt ab hominibus, glorificantium viltatem imitatur, vnde fit vt non magno negotio ſubuertatur. at nõ ſic Dei gloria, ſed immobilis manet in perpetuum. Atque hæc vtraque Propheta declarans, tam illius labilitatem, quàm huius durabilitatem, in hunc [Eſai. 40. 7. & 8.] modum loquitur: Omnis caro fœnum, & omnis gloria hominis tanquam flos D fœni. exaruit fœnum, & flos eius decidit. De Dei autem gloria non ſic. at quomodo? Verbum autem Dei in ęternum manet. Id quod vel in hac muliere patet. Reges enim & Imperatores & Reguli, qui nihil non tentarunt, vt immortalem poſt ſe relinquerent memoriam, & ſepulchra ſibi ſplendida exædificauernnt, & ſtatuas atque effigies multas multis in locis poſuerunt, & rerum geſtarum monumenta non pauca reliquerunt; nunc tacentur & ne nomine quidem noti ſunt: hæc autẽ mulier vbique gentium nunc celebratur,

A οὕτω γοῦν καὶ αὕτη τὴν φύσιν ἐνίκησε, καὶ τὴν ἀνάγκην ἐβιάσατο, καὶ τῇ προσεδρίᾳ τῆς εὐχῆς, ἀπὸ μήτρας πεπηρωμένης τέκνον βλαστῆσαι παρεσκεύασε. διὰ τοῦτο πάλιν ἐπὶ τὴν εὐχὴν καταφεύγει, καὶ μετὰ τὸ λαβεῖν οὕτω λέγουσα. ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ, ὑψώθη κέρας μου ἐν θεῷ μου. ὅτι μὲν οὖν, τί ἐστιν, ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ, πρῴην εἶπον πρὸς τὴν ὑμετέραν ἀγάπην, δῆλον ὑμῖν· νυνὶ δὲ ἀναγκαῖον τὴν ἑξῆς ἑρμηνεῦσαι ῥῆσιν. εἰποῦσα γάρ, ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ, ἐπήγαγεν, ὑψώθη κέρας μου ἐν θεῷ μου. τί ἐστι, κέρας μου; B καὶ γὰρ συνεχῶς ταύτῃ κέχρηται τῇ λέξει ἡ γραφή, ὡς ὅταν λέγῃ, ὑψώθη κέρας αὐτοῦ, καὶ ὑψώθη κέρας Χριστοῦ αὐτοῦ. τί ποτ' οὖν λέγει κέρας; τὴν δύναμιν, τὴν δόξαν, τὴν περιφάνειαν, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων αὐτὸ τιθείς. καὶ γὰρ ἐκείνοις ἀντὶ δόξης καὶ ὅπλου τὸ κέρας μόνον ἀνέθηκεν ὁ θεός. κἂν ἀποβάλωσι τοῦτο, τὸ πλέον ἀπέβαλον τῆς δυνάμεως· καὶ καθάπερ ἄοπλος ὁ στρατιώτης, οὕτω καὶ ταῦρος χωρὶς κεράτων ῥᾳδίως ἁλίσκεται. οὐδὲν οὖν διὰ τούτου ἄλλο φησὶν ἡ γυνή, ἀλλ' ἢ C ὅτι ὑψώθη ἡ δόξα μου. ἐπεὶ οὖν ὑψώθη ἐν θεῷ, διὰ τοῦτο καὶ ἀσφαλὲς τὸ ὕψος ἐστί, βεβαίαν καὶ ἀκίνητον ἔχον τὴν ῥίζαν. ἡ μὲν γὰρ παρὰ τῶν ἀνθρώπων δόξα, τῶν δοξαζόντων μιμεῖται τὴν εὐτέλειαν, ὅθεν καὶ μεταπίπτει ῥᾳδίως· ἡ δὲ τοῦ θεοῦ οὐχ οὕτως, ἀλλὰ ἀκίνητος μένει διὰ παντός. καὶ ταῦτα ἀμφότερα δηλῶν ὁ προφήτης, κἀκείνης τὸ εὐμετάπτωτον, καὶ ταύτης τὸ μόνιμον, οὕτως ἔλεγε· πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. περὶ δὲ D τῆς τοῦ θεοῦ οὐχ οὕτως, ἀλλὰ πῶς; τὸ δὲ ῥῆμα τοῦ θεοῦ εἰς τὸν αἰῶνα μένει. καὶ δῆλον τοῦτο καὶ ἀπὸ ταύτης τῆς γυναικός. βασιλεῖς μὲν γὰρ καὶ στρατηγοὶ καὶ δυνάσται, πολλὰ πραγματευσάμενοι πολλάκις. ὥστε αὐτῶν ἄληστον γενέσθαι τὴν μνήμην, καὶ τάφους λαμπροὺς οἰκοδομησάμενοι, καὶ ἀνδριάντας ἀναστήσαντες, καὶ εἰκόνας πολλὰς πολλαχοῦ, καὶ κατορθωμάτων ὑπομνήματα μυρία καταλιπόντες, σεσίγηνται, καὶ οὐδὲ ἀπὸ ψιλῆς τινος προσηγορίας εἰσί τινι γνώριμοι· αὕτη δὲ ἡ γυνὴ πανταχοῦ τῆς οἰκουμένης ᾄδεται νῦν.

κἂν εἰς Σκυθίαν ἀπέλθῃς, κἂν εἰς Αἴγυπτον, κἂν εἰς Ἰνδοὺς, κἂν εἰς αὐτὰ τὰ πέρατα τῆς οἰκουμένης, πάντων ἀκούσῃ τὰ κατορθώματα τῆς γυναικὸς ταύτης ᾀδόντων, καὶ πᾶσαν ἁπλῶς, ὅσην ἥλιος ἐφορᾷ γῆν, ἡ δόξα τῆς Ἄννης καταλαμβάνει. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι πανταχοῦ τῆς οἰκουμένης ᾄδεται ἡ γυνὴ, ἀλλ᾽ ὅτι τοσούτου παρελθόντος χρόνου, οὐ μόνον οὐκ ἐσβέσθη τὰ τῆς εὐφημίας αὐτῆς, ἀλλὰ καὶ αὔξεται καὶ ἐπιτείνεται πολλῷ πλέον, καὶ τὴν φιλοσοφίαν αὐτῆς καὶ τὴν ὑπομονὴν καὶ τὴν καρτερίαν ἅπαντες ἴσασι· καὶ ἐν πόλεσι, καὶ ἐν ἀγροῖς, καὶ ἐν οἰκίαις, καὶ ἐν στρατοπέδοις, καὶ ἐν πλοίοις, καὶ ἐν ἐργαστηρίοις, καὶ πανταχοῦ τῆς γυναικὸς ἐγκωμιαζομένης ἀκούσῃ ταύτης. ὅταν γὰρ ὁ θεός τινα δοξάσαι βουληθῇ, κἂν θάνατος ἐπιγένηται, κἂν χρόνου πλῆθος, κἂν ἄλλο ὁτιοῦν, μένει τὰ τῆς δόξης ἐκείνης ἀνθοῦντα διηνεκῶς· καὶ οὐδεὶς ἐπισκοτῆσαι τῇ περιφανείᾳ ταύτῃ δυνήσεται. διὰ τοῦτο καὶ αὐτὴ παιδεύουσα τοὺς ἀκούοντας ἅπαντας, ὅτι οὐ χρὴ καταφεύγειν τοῖς ἐπικήροις, ἀλλ᾽ ὅθεν βέβαια καὶ ἀκίνητα ἡμῖν μένει τὰ ἀγαθὰ, εἶπε τὸν τῆς δόξης αἴτιον. εἰποῦσα γὰρ, ὅτι ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ, ἐπήγαγεν, ὑψώθη κέρας μου ἐν θεῷ μου, διπλᾶ ἐνταῦθα ἡμῖν αἰνιττομένη τὰ ἀγαθά· ἅπερ δύσκολον συμβαίνειν ταχέως. καὶ γὰρ τοῦ σάλου, φησὶν, ἀπηλλάγην, καὶ τὴν ἀτιμίαν ἀπεθέμην, καὶ ἀσφαλείας ἀπέλαυσα, καὶ δόξης μετέσχον. ταῦτα δὲ ἀμφότερα οὐκ ἄν τις ἴδοι ῥᾳδίως ἀλλήλοις συντρέχοντα. πολλοὶ γὰρ κινδύνων μὲν ἀπαλλάττονται, ἐπίδοξον δὲ οὐκ ἔχουσι βίον· ἕτεροι πάλιν δόξης μὲν ἀπολαύουσι καὶ περιφανείας, κινδυνεύειν δὲ ἀναγκάζονται διὰ τὴν δόξαν ταύτην. οἷόν τι λέγω· πολλοὶ πολλάκις τὸ δεσμωτήριον οἰκήσαντες, μοιχοὶ καὶ γόητες καὶ τυμβωρύχοι καὶ ἕτερά τινα τοιαῦτα ἡμαρτηκότες, εἶτα ἀπό τινος φιλανθρωπίας βασιλικῆς ἀφεθέντες τοῦ οἰκήματος. οὗτοι τῆς κολάσεως μὲν ἀπηλλάγησαν, τὰ δὲ ὀνείδη οὐκ ἀπετρίψαντο, ἀλλ᾽ ἔχουσι τὴν αἰσχύνην ἑπομένην αὐτοῖς. ἀλλ᾽ οἱ στρατιῶται γενναῖοι τὸν ἐπίδοξον καὶ περιφανῆ βίον διώκοντες, ῥιψοκινδύνως ἑαυτοὺς τοῖς πολεμίοις ἐκδόντες, πολλὰ πολλάκις ἔλαβον τραύματα, καὶ ἔσχατον ἄωρον ὑπέστησαν θάνατον. οὗτοι δόξης ἐπιθυμήσαντες, ἀσφαλείας ἐξέπε-

A & ſiue in Scythiam proficiſcaris, ſiue in Ægyptum, ſiue in Indiam, ſiue ad ipſos orbis terminos, omnes audies benefacta eius decantantes: denique quantum terrarum à ſole illuſtratur, totum hoc Anna ſua gloria occupat. Nec hoc ſolùm admiratione dignum, quòd vbique terrarum hæc mulier canitur, quin hoc quoque mirabilius, quòd ſapientiam eius ac longanimitatem & tolerantiam omnes norunt, in oppidis, in agris, in domibus, in caſtris, & nauibus, in officinis, deniq. nuſquam non laudes eius audies. Quoties enim clarum aliquem reddere
B Deo viſum fuerit, etiamſi mors interueniat, aut longitudo temporum, aut quiduis aliud; manet tamen gloria illius perpetuò florens, & claritatem eius obſcurare poterit nemo. Hanc ob rem & ipſa erudiens totum hoc auditorium, quòd non ſit confugiendum ad iſta temporalia, ſed ad eum à quo certiſſima bona ſperamus, authorem huius gloriæ indicat. Cùm enim dixiſſet, *Confirmatum eſt cor meum in Domino*, ſubiunxit, *Exaltatum eſt cornu*
C *meum in Deo meo*: duplicia nobis his verbis ſubindicans bona, quæ non temerè ſimul vni contingunt. Nam & à iactatione, inquit, liberata ſum, atque ignominia, & ſecuritatem atque honorem conſecuta ſum. hæc autem vtraque non facilè inuenias in vnum conuenire. Multi enim à periculis liberantur, glorioſam tamen vitam non habent: alij contrà gloria quidem & claritate fruuntur, periculis tamen ad hanc gloriam non carent. Verbi gratia, multi ſæpe in carcerem coniecti ſunt, adulteri, venefici, ſe-
D pulchrorum perfoſſores, aliiſque ſimilibus criminibus obnoxij, deinde iubente regia clementia dimiſſi ſunt inde: hi à pœna quidem liberati ſunt, cæterùm probra ſua non aboleuerunt, & dedecus eos nuſquam non conſequitur. Alij viri militares ac generoſi, conſpicuam atque glorioſam viuendi rationem amplexi, bellicis periculis ſeſe obiectantes multa ſæpe vulnera accipiunt, & poſtremò immatura morte abſumuntur: atque hi præ gloriæ amore ſecuritate ſe ipſi priuauerunt. Huic

Gloria & ſecuritate potita Anna.

verò mulieri hæc vtraque abundè contigerunt, vt quæ & gloria ſimul & ſecuritate potita eſt. Idem & tribus illis pueris accidit: nam & periculum euaſerunt è rogo liberati, & hoc ipſo illuſtres ſunt facti, quòd ſupernaturali modo huius elementi potentiam ſuperauiſſent. Ad hunc ſanè modum Dei beneficia ſe habent: ſimul enim & tutam & illuſtrem largitur vitam, quod quidem vtrumque hæc ipſa innuens dicebat: Confirmatum eſt cor meum in Domino, exaltatum eſt cornu meum in Deo meo. Nec ſimpliciter dixit in Deo, ſed in Deo meo, ſibi ipſi vſurpans eum, qui toti orbi terrarum communis eſt. Hoc autem fecit non illius dominium diminutura, ſed ſuum deſiderium indicatura ac conſolatura. Sic enim amatores ſolent, non ferunt vna cum multis amare, ſed eximium quendam ac peculiarem amorem præ ſe ferre volunt. Sic & Propheta di-
Pſa.62.1. cebat, Deus Deus meus ad te mane
Pſa.21.1. vigilo. nominata enim communi eius
Pſa.90.2 dominatione, addidit eam qua peculiariter ſanctorum dominus eſt. Et rurſum, Deus meus intende in me, quare dereliquiſti me? Et rurſum, Dicam Deo, Protector meus es. animæ enim feruentis accenſæque deſiderio ſunt hæc verba. Idem & hæc mulier fecit. Cæterùm homines ita facere nihil mirum: cùm verò Deum hoc ipſum facere videris, tùm verò meritò obſtupeſias. quemadmodum enim hi non in commune illum inuocant, proprium faciendo ſuum eum eſſe volunt: Ita & ipſe non ſolùm communiter vnà cum aliis eorum etiam Deum ſe profitetur, ſed priuatim ip-
Exo.3.22 ſorum. Quapropter dicebat, Ego ſum Deus Abraham & Iſaac & Iacob: non contrahens ſuum imperium, ſed extendens potius, quòd non tam multitudine ſubditorum quàm eorum virtute cenſeri vult. neque enim tantùm Deus cœli & terræ & maris, & eorum quæ in eis ſunt appellari gaudet, quantùm ſi Deus Abraham & Iſaac & Iacob vocetur: & quod in hominibus non ſolemus, in Deo videre licet. Exempli cauſa, apud homines à dominis ſerui appellationem ſumunt, & ita omnes ex more loquimur: Ille vel ille procurator aut

A σον. ἐπὶ δὲ τῆς γυναικὸς ἀμφότερα ταῦτα συνέβη, καὶ ἀσφαλείας ἀπέλαυσε, καὶ δόξης ἐπέτυχεν. οὕτω καὶ ἐπὶ τῶν τριῶν παίδων ἐγένετο. καὶ γὰρ κινδύνων ἀπηλλάγησαν διαφυγόντες τὸ πῦρ, καὶ περιφανεῖς ἐγένοντο, ὑπὲρ φύσιν τοῦ στοιχείου νικήσαντες τὴν δύναμιν. τοιαῦτα τοῦ θεοῦ τὰ κατορθώματα. ὁμοῦ γὰρ λαμπρὸν καὶ ἀσφαλῆ χαρίζεται βίον. ἅπερ οὖν ἀμφότερα καὶ αὕτη αἰνιττομένη ἔλεγεν, ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ, ὑψώθη κέρας μου ἐν θεῷ μου. οὐχ ἁπλῶς εἶπεν, ἐν θεῷ, ἀλλ', ἐν θεῷ μου, τὸν κοινὸν τῆς οἰκουμένης δεσπότην ἁρπά-
B ζουσα πρὸς ἑαυτήν. τοῦτο δὲ ἐποίησεν, οὐκ ἐλαττοῦσα αὐτοῦ τὴν δεσποτείαν, ἀλλὰ τὸν οἰκεῖον ἔρωτα ἐνδεικνυμένη τε καὶ παραμυθουμένη. τοιοῦτον γὰρ τῶν φιλούντων τὸ ἔθος· οὐκ ἀνέχονται μετὰ τῶν πολλῶν φιλεῖν, ἀλλ' ἐξαιρέτως καὶ ἰδιαζόντως βούλονται αὐτῶν ἐνδείκνυσθαι τὸ φίλτρον. οὕτω καὶ ὁ Δαβὶδ ποιεῖ λέγων, ὁ θεὸς, ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω. εἰπὼν γὰρ τὴν κοινὴν αὐτοῦ δεσποτείαν, εἶπε καὶ τὴν ἰδιάζουσαν τὴν ἐπὶ τῶν ἁγίων. καὶ πάλιν, ὁ θεὸς, ὁ θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέ-
C λιπές με, καὶ πάλιν, ἐρῶ τῷ θεῷ, ἀντιλήπτωρ μου εἶ. ψυχῆς γὰρ ζεούσης καὶ θερμῆς καὶ διακαιομένης ὑπὸ τοῦ πόθου ταῦτα τὰ ῥήματα. οὕτω καὶ ἡ γυνὴ αὕτη ἐποίησεν. ἀλλὰ τὸ μὲν ἀνθρώπους τοῦτο ποιεῖν, θαυμαστὸν οὐδέν· ὅταν δὲ ἴδῃς τὸν θεὸν τοῦτο ποιοῦντα, τότε ἐκπλάγηθι. καθάπερ γὰρ οὗτοι οὐ κοινῇ μετὰ τῶν πολλῶν αὐτὸν καλοῦσιν, ἀλλὰ καὶ ἰδιαζόντως ἑαυτῶν αὐτὸν βούλονται εἶναι θεόν· οὕτω καὶ αὐτὸς, οὐ κοινῇ μετὰ τῶν ἄλλων φησὶν αὐτῶν εἶναι θεὸν μόνον, ἀλλὰ καὶ ἰδιαζόντως αὐτῶν.
D διὰ τοῦτο λέγει, ἐγὼ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, οὐ συστέλλων αὐτοῦ τὴν δεσποτείαν, ἀλλ' ἐκτείνων μᾶλλον. οὐ γὰρ οὕτω τὸ πλῆθος τῶν ἀρχομένων, ὡς ἡ ἀρετὴ τῶν βασιλευομένων δείκνυσιν αὐτοῦ τὴν ἀρχήν· οὐδὲ οὕτω χαίρει καλούμενος θεὸς οὐρανοῦ καὶ γῆς καὶ θαλάττης καὶ τῶν ἐν τούτοις, ὡς χαίρει καλούμενος θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. ὅπερ ἐπ' ἀνθρώπων οὐ γίνεται, τοῦτο ἐπὶ τοῦ θεοῦ συμβαῖνον ἔστιν ἰδεῖν. οἷόν τι λέγω. ἐπὶ τῶν ἀνθρώπων, ἀπὸ τῶν δεσποτῶν οἱ δοῦλοι καλοῦνται, καὶ οὕτως ἔθος ἅπασι λέγειν, ὁ δεῖνα ἐπίτροπος τοῦ

A δεῖνος, ὁ δεῖνα οἰκονόμος τοῦ δεῖνος, τοῦ ὑπάρχου. οὐδεὶς δέ φησιν, ὁ δεῖνα ὁ ὕπαρχος τοῦ δὲ τοῦ ἐπιτρόπου· ἀλλὰ τοὺς ἐλάττονας ἀπὸ τῶν μειζόνων ἀεὶ καλεῖν εἰώθαμεν. ἐπὶ δὲ τοῦ θεοῦ τοὐναντίον γέγονεν. οὐ γὰρ μόνον Ἀβραὰμ τοῦ θεοῦ λέγεται, ἀλλὰ καὶ ὁ θεὸς τοῦ Ἀβραάμ, καὶ ὁ δεσπότης ἀπὸ τοῦ δούλου καλεῖται. τοῦτο γοῦν αὐτὸ καὶ ὁ Παῦλος ἐκπληττόμενος ἔλεγε, δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ὁ θεός, θεὸς καλεῖσθαι αὐτῶν. οὐκ ἐπαισχύνεται, φησίν, ὁ δεσπότης ἀπὸ τῶν δούλων καλεῖσθαι. διὰ τί οὐκ ἐπαισχύνεται; εἰπὲ τὴν αἰτίαν, ἵνα μιμησώμεθα καὶ ἡμεῖς. ἀλλ᾽ ἐκεῖνοι ξένοι καὶ παρεπίδημοι ἦσαν, B φησίν. καὶ μὴν καὶ διὰ τοῦτο ἐπαισχύνεσθαι δεῖ. ὁ γὰρ ξένος, εὐτελὴς καὶ εὐκαταφρόνητος εἶναι δοκεῖ. οἱ δὲ ἅγιοι, οὐ τοῦτον ἦσαν ξένοι τὸν τρόπον, ὃν ἡμεῖς νομίζομεν, ἀλλ᾽ ἕτερόν τινα καὶ παράδοξον. ἡμεῖς μὲν γὰρ ξένους ἐκείνους καλοῦμεν τοὺς τὴν αὐτῶν πατρίδα ἀφέντας, καὶ εἰς ἑτέραν γῆν ἐλθόντας· ἐκεῖνοι δὲ οὐχ οὕτως ἦσαν ξένοι, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης ὑπεριδόντες, καὶ μικρὰν εἶναι νομίσαντες τὴν γῆν, πρὸς τὴν ἐν τοῖς οὐρανοῖς πόλιν ἔβλεπον, οὐ δι᾽ ἀλαζονείαν, C ἀλλὰ διὰ μεγαλοψυχίαν, οὐ δι᾽ ἀπόνοιαν, ἀλλὰ διὰ φιλοσοφίαν. ἐπειδὴ γὰρ ἐσκέψαντο τὰ ἐπὶ γῆς ἅπαντα, καὶ εἶδον ὅτι ῥεῖ καὶ ἀπόλλυται, καὶ οὐδὲν ἐνταῦθα βέβαιον καὶ ἀκίνητον, οὐ πλοῦτος, οὐ δυναστεία, οὐ δόξα, οὐκ αὐτὴ ἡ ζωή, ἀλλ᾽ ἕκαστον ἔχει τέλος, καὶ πρὸς τὸ οἰκεῖον ἐπείγεται πέρας· τὰ δὲ ἐν τοῖς οὐρανοῖς οὐ τοιαῦτα, ἀλλὰ ἀτελεύτητα καὶ ἀθάνατα, εἵλοντο ξένοι τῶν ῥεόντων καὶ παρατρεχόντων γενέσθαι, ἵν᾽ ἐκείνων τῶν μενόντων ἐπιλάβωνται. ξένοι τοίνυν ἦσαν, οὐ τῷ μὴ ἔχειν πατρίδα, ἀλλὰ τῷ πατρίδος ἐφίεσθαι τῆς ἀεὶ μενούσης. ὅπερ οὖν καὶ αὐτὸς D παραδηλῶν ἔλεγεν· οἱ δὲ τοιαῦτα λέγοντες, ἐμφανίζουσιν ὅτι πατρίδα ζητοῦσι. ποίαν, εἰπέ, πατρίδα; ἆρα τὴν προτέραν, ἣν ἀπέλιπον; οὐχί, φησίν. εἰ γὰρ ἐκείνης ἐμέμνηντο, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν, ἐπουρανίου, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. διὰ τοῦτο οὐκ ἐπαισχύνεται ὁ θεὸς καλεῖσθαι αὐτῶν θεός. μιμησώμεθα δὴ καὶ ἡμεῖς τούτους, παρακαλῶ, ὑπερίδωμεν τῶν παρόντων, ἐπιθυμήσωμεν τῶν μελλόντων, λάβωμεν τὴν γυναῖκα ταύτην διδάσκαλον, καὶ πρὸς τὸν θεὸν

diſpenſator illius, vel illius Ducis & Præfecti: nemo autem ſic loquitur, Ille vel ille Dux aut Præfectus illius procuratoris aut diſpenſatoris: ſed minores à maioribus ſemper denominare conſueuimus. De Deo autem contrà fit: non ſolùm enim Abraham Dei, ſed Deus etiam Abrahami, atque ita dominus à ſeruo nominatur. Hoc idē igitur & Paulus cum admiraretur, dicebat, quamobrem non erubeſcit Deus vocari Deus ipſorum. non erubeſcit, inquit dominus à ſeruis appellationem ſumere. quare non erubeſcit? dic rationem. nimirum vt & nos eum imitemur. Quia hoſpites erant, inquit, & aduenæ. Atqui vel ob hoc ipſum erubeſcere oportebat: hoſpes enim vilis & contemnendus eſſe videtur. At illi ſancti non eo modo hoſpites erant, quo nos putamus, ſed alio quodam minimè vulgari: nos enim hoſpites eos appellare ſolemus, qui relicta ſua patria in alienam regionem perueniunt: illi verò non ita erant hoſpites, ſed quòd orbem vniuerſum deſpicerent, & parui facientes terram ad cœleſtem illam ciuitatem reſpiciebant, non arrogantia, ſed magnanimitate, non inſolentia, ſed propter ſapientiæ ſtudium. poſtquam enim contemplati ſunt terrena vniuerſa, & animaduerterunt fluxa eſſe & mortalia, nec quicquam hic firmum aut ſtabile, non diuitias, non potentiam, non gloriam, non vitam ipſam, ſed ſingula finem habere, & ad ſuum quodq. properare terminum: cœleſtia verò nō talia, ſed infinita immortaliaq́; maluerūt hoſpites eſſe in rebus fluxis & preterlatentib., vt permanentes illas tādē aſſequi poſſent. Hoſpites igitur erāt. non quod patriā non haberēt, ſed quòd ſempiternam illam patriā deſiderarent: quodquidē & ipſe ſignificādo dicebat, Qui autem talia loquuntur, patriā ſe requirere oſtēdunt. quā patriam obſecro? nū priorem illā quam reliquerūt? minimè, inquit: ſi enim illius recordabantur, integrum eis erat illô redire: nunc autem meliorem deſiderant, hoc eſt cœleſtem, cuius opifex & fabricator Deus eſt: Ideò non erubeſcit Deus vocari Deus ipſorum. Hos igitur nos quoque imitemur, deſpiciamus preſentia, concupiſcamus futura: vtamur hac muliere magiſtra, & ad Deum

Heb. 11. 16.

Heb. 11. 14.

ſemper confugiamus, ab illoq́; omia depoſcamus: nihil enim æquè pollet ea deprecatio: enim eſt quæ ex im-ex poſſibilibus poſſibilia facit, difficilib. facilia, & ea quæ minus rectè habent

Pſal. 118. 163. corrigit. Hanc beatus quoque Dauid adhibebat, ideóque dicebat, Septies in die laudaui te propter iudica iuſtitiæ tuæ.

Florile. Mogũt. p. 34. Quod ſi homo Rex, infinitis curis immerſus, & in tam varia diſtractus, toties in die deprecabatur Deum; quã defenſionem aut veniam habere poterimus nos, qui in tanto otio degimus, vt tamen ille non aſſiduè ſupplicamus, idq́;, cùm inde tantus fructus ſit nobis propoſitus? impoſſibile enim, impoſſibile eſt, inquam, hominem qua decet alacritate precantem, & aſſiduè Deum orantem, vnquam in peccatum incidere. Id qua ratione fiat iam dicturus ſum. Qui mentem ſuam accendit, & animam erexit tanquam ad cœleſtia migraturam atque ita dominũ ſuum inuocauit, peccatiſque in memoriam reductis, de eorum remiſſione cum illo collocutus eſt, obſecrans vt placatus ac propitius ſibi eſſe dignetur, is poſt tales orationes omnem præſentis vitæ curam abiicit, ſpe erigitur, ac ſupra omnes humanas affectiones extollitur, & ſiue inimicum poſt precationem viderit, iam non tanquam inimicum aſpiciet: ſiue mulierem formoſam, inuiolatus ab eius aſpectu permanebit, durante adhuc igniculo per precationem intus accenſo & omnem abſurdam cogitationem à ſe propellente. Sed quoniam homines cùm ſimus, facilè ad ſegnitiem relabimur, exacta vna alteráve aut tertia poſt precationẽ hora, vbi ſenſeris priſtinum illum feruorem paulatim frigeſcere, recurre quantocyus ad preces, frigeſcentemq́; mentem rurſus accende. id ſi per totam diẽ feceris per interualla crebris precationibus te ipſum accendens, non dabis occaſionem diabolo, aut vllum ad tuas

Comparatio ex prandiis & fabris cogitationes aditum. Et quemadmodum in apparando prandio, quoties calidæ potu opus eſt, ſi aqua parum caleat ad focum admotum veralfacimus: Ita & hic faciendum eſt, & os noſtrum ad precationes quaſi ad prunas admouendum, vt hoc pacto mens ad pietatem rurſum accendatur. Imitemur etiam fabros cæmentarios. hi enim quoties lateritius paries exædificandus eſt,

A ἀεὶ καταφεύγωμεν, καὶ παρ' ἐκείνου πάντα αἰτώμεθα. οὐδὲν γὰρ εὐχῆς ἴσον. καὶ γὰρ τὰ ἀδύνατα αὕτη ποιεῖ δυνατά, καὶ τὰ δύσκολα ῥᾴδια, καὶ τὰ δυσχερῆ εὔκολα καθίστησι. Ταύτην καὶ ὁ μακάριος Δαβὶδ κατώρθου. διὸ καὶ ἔλεγεν, Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. εἰ δὲ βασιλεὺς ἀνὴρ μυρίαις βαπτιζόμενος φροντίσι καὶ πάντοθεν περιελκόμενος, τοσαυτάκις τῆς ἡμέρας παρεκάλει τὸν θεόν, τίνα ἂν ἔχοιμεν ἀπολογίαν ἢ συγγνώμην ἡμεῖς, τοσαύτην σχολὴν ἄγοντες, καὶ μὴ συνεχῶς αὐτὸν ἱκετεύοντες, καὶ ταῦτα τοσοῦτον μέλλοντες B καρποῦσθαι κέρδος; ἀμήχανον γάρ, ἀμήχανον ἄνθρωπον μετὰ τῆς προσηκούσης προθυμίας εὐχόμενον, καὶ παρακαλοῦντα τὸν θεὸν συνεχῶς, ἁμαρτεῖν ποτε. καὶ πῶς, ἐγὼ λέγω. ὁ διαθερμάνας αὐτοῦ τὴν διάνοιαν, καὶ τὴν ψυχὴν ἀναστήσας, καὶ πρὸς τὸν οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ οὕτω τὸν δεσπότην τὸν ἑαυτοῦ καλέσας, καὶ τῶν ἁμαρτημάτων ἀναμνησθείς, καὶ περὶ τῆς συγχωρήσεως τούτων αὐτῷ διαλεχθείς, καὶ παρακαλέσας ἵλεων γενέσθαι καὶ ἥμερον, ἀπὸ τῶν ἐν τοῖς λόγοις τούτοις διατριβῶν, πᾶσαν ἀποτίθεται βιωτικὴν C φροντίδα, καὶ πτεροῦται, καὶ τῶν ἀνθρωπίνων παθῶν ὑψηλότερος γίνεται. κἂν ἐχθρὸν ἴδῃ μετὰ τὴν εὐχήν, οὐκ ἔτι ὡς ἐχθρὸν ὁρᾷ. κἂν γυναῖκα εὔμορφον, οὐ κατακλασθήσεται πρὸς τὴν ὄψιν, τοῦ πυρὸς τοῦ κατὰ τὴν εὐχὴν ἔνδον μένοντος, καὶ πάντα ἄτοπον λογισμὸν διωθουμένου. ἀλλ' ἐπεὶ ἀνθρώπους ὄντας εἰκὸς καὶ εἰς ῥᾳθυμίαν ἐμπεσεῖν, ἐπειδὰν παρέλθῃ μία καὶ δευτέρα ὥρα καὶ τρίτη μετὰ τὴν εὐχήν, καὶ ἴδῃς τὴν γενομένην σοι θερμότητα κατὰ μικρὸν ὑπορρεῖν μέλλουσαν, δράμε ταχέως πάλιν ἐπὶ τὴν εὐχήν, καὶ καταψυχθεῖσάν σου τὴν διάνοιαν θέρμανον. κἂν D τοῦτο ποιῇς διὰ πάσης τῆς ἡμέρας, τὰ μεταξὺ διαλείμματα τῇ πυκνότητι τῶν εὐχῶν διαθερμαίνων, οὐ δώσεις τῷ διαβόλῳ ἀφορμὴν καὶ εἴσοδον κατὰ τῶν σῶν λογισμῶν. καὶ ὅπερ ἀριστοποιούμενοι καὶ πίνειν μέλλοντες ποιοῦμεν, ἐπειδὰν ἴδωμεν τὸ θερμανθὲν ὕδωρ καταψυχθέν, ἐπὶ τῆς ἐσχάρας αὐτὸ τίθεμεν πάλιν, ὥστε διαθερμανθῆναι ταχέως, τοῦτο καὶ ἐνταῦθα ποιῶμεν. καὶ καθάπερ ἐπ' ἀνθράκων, τῆς εὐχῆς, τιθέντες ἡμῶν τὸ στόμα, οὕτω πάλιν ἀνάπτωμεν ἡμῶν τὴν διάνοιαν εἰς εὐλάβειαν. καὶ μιμώμεθα τοὺς οἰκοδόμους. καὶ γὰρ ἐκεῖνοι πλίνθους μέλλοντες οἰκοδομεῖν,

διὰ δὲ τῆς ὕλης σαθρὸν, ξύλοις μακροῖς ἀποσφίγγουσι τὴν οἰκοδομὴν, καὶ οὐδὲ διὰ πολλοῦ τοῦτο ποιοῦσι τοῦ διαστήματος, ἀλλὰ δι' ὀλίγου, ἵνα τῇ πυκνότητι τῶν ξύλων τούτων ἀσφαλεστέραν τὴν συνθήκην τῶν πλίνθων ἐργάσωνται). τοῦτο καὶ σὺ ποίησον, καὶ τὰς βιωτικὰς πράξεις ἁπάσας, καθάπερ ἱμαντώσεσί τισι ξύλων, τῇ συνεχείᾳ τῶν εὐχῶν διαλαμβάνων, πανταχόθεν σου περίφραξον τὴν ζωήν. ἂν τοίνυν οὕτω ποιῇς κἂν μυρίοι πνεύσωσιν ἄνεμοι λοιπὸν, κἂν πειρασμοὶ, κἂν ἀθυμίαι, κἂν λογισμοί τινες ἀηδεῖς, κἂν ὁποιονοῦν ἐπέλθῃ δεινὸν, οὐ δυνήσεται καταβαλεῖν τὴν οἰκίαν ἐκείνην πυκναῖς οὕτως εὐχαῖς συνδεδεμένην. καὶ πῶς δυνατόν, φησιν, ἄνθρωπον βιωτικὸν, δικαστηρίῳ προσηλωμένον, κατὰ τρεῖς ὥρας εὔχεσθαι τῆς ἡμέρας, καὶ εἰς ἐκκλησίαν ἐκτρέχειν; δυνατὸν καὶ σφόδρα εὔκολον. κἂν γὰρ εἰς ἐκκλησίαν δραμεῖν μὴ ῥᾴδιον, ἑστῶτα ἐκεῖ παρὰ τὴν θύραν, καὶ τῷ δικαστηρίῳ προσηλωμένον εὔξασθαι δυνατόν. οὐδὲ γὰρ οὕτω φωνῆς χρεία, ὡς διανοίας, οὐδὲ ἐκτάσεως χειρῶν, ὡς συντεταμένης ψυχῆς, οὐδὲ σχήματος, ἀλλὰ φρονήματος. ἐπεὶ καὶ ἡ Ἄννα αὐτὴ, οὐκ ἐπειδὴ λαμπρὰν καὶ μεγάλην ἀφῆκε φωνὴν, διὰ τοῦτο ἠκούετο, ἀλλ' ἐπειδὴ μεγάλα ἔνδον κατὰ τὴν καρδίαν ἐβόα. ἡ φωνὴ γὰρ αὐτῆς οὐκ ἠκούετο, φησὶ, καὶ εἰσήκουσεν αὐτῆς ὁ θεός. τοῦτο καὶ ἄλλοι πολλοὶ πολλάκις ἐποίησαν. καὶ βοῶντος τοῦ ἄρχοντος ἔνδοθεν, ἀπειλοῦντος, διατεινομένου, μαινομένου, παρὰ τὴν θύραν ἑστῶτες, σφραγισάμενοι, καὶ ὀλίγα ῥήματα κατὰ διάνοιαν εὐξάμενοι, εἰσελθόντες μετέβαλον αὐτὸν καὶ ἐπράυναν καὶ ἥμερον ἐξ ἀγρίου κατέστησαν· καὶ οὐδὲν οὔτε ἀπὸ τοῦ τόπου, οὔτε ἀπὸ τοῦ καιροῦ, οὔτε ἀπὸ τῆς σιγῆς, πρὸς τὴν εὐχὴν ταύτην ἐνεποδίσθησαν. τοῦτο δὴ καὶ σὺ ποίησον, στέναξον πικρῶς, ἀναμνήσθητι τῶν ἁμαρτημάτων τῶν σῶν, ἀνάβλεψον εἰς τὸν οὐρανὸν, εἰπὲ κατὰ διάνοιαν, ἐλέησόν με ὁ θεός, καὶ ἀπήρτισταί σου ἡ εὐχή. ὁ γὰρ εἰπὼν, ἐλέησον, ἐξομολόγησιν ἐπεδείξατο καὶ τῶν οἰκείων ἁμαρτημάτων. τῶν γὰρ ἡμαρτηκότων ἐστὶ τὸ ἐλεεῖσθαι. ὁ εἰπὼν, ἐλέησόν με, συγχώρησιν ἔλαβε τῶν πεπλημμελημένων. ὁ γὰρ ἐλεηθεὶς, οὐ κολάζεται· ὁ εἰπὼν, ἐλέησόν με, βασιλείας ἔτυχεν οὐρανῶν.

A in veteri etiam tum ſtructura cum longurijs interfulciunt, idque non per longa interſtitia, ſed per modica, vt compages laterum tutior ſit ob lignorum frequentiam. Idem ipſe quoque facito, & quemadmodum illi aſtringendo ædificio ligna inſerunt, ita tu ſecularibus negotijs precationes crebras interponens, vitam tuam hoc pacto ſepito. quod ſi feceris, etiam ſi plurimæ procellæ ingruant, ſiue tentationes, ſiue mœſtitiæ, ſiue cogitationes moleſtæ, ſiue quiduis aliud, nihil deiicere poterit domum tam crebris precationibus ſuffultam at-
B que munitam. Dices quî fieri poteſt vt homo ſecularis, forenſibus negotijs affixus tribus horis diei precetur, & ad eccleſiam currat? Poteſt, & facilè eſt. licet enim ad eccleſiam currere non ſit commodum, poteſt inibi in foro curiaque veſtibulo hærens nihilominus precari: ad hoc enim mente magis opus eſt quam voce, animi contentione magis quàm manuum extenſione: nec tam refert quo corporis habitu id facias, quàm quo animæ affectu: quando quidem
C & ipſa Anna non ob intenſam vociferationem, ſed ob internum cordis clamorem exaudita eſt. Dicit enim ſcriptura, vox eius non audiebatur, & Dominus exaudiuit eam. Hoc & alij multi ſæpè fecerunt, & intonante intus Magiſtratu, minante, exaſperato, furente, ipſi pro foribus curiæ ſtantes poſtquàm ſe ſacro ſigno muniſſent, & pauca in animo precati, introgreſſi ad eum mutauerunt hominem ac mitigauerunt, & manſuetum ex aſpero reddiderunt: neque illis aut locus aut tempus aut ip-
D ſorum ſilentium ad precandum fuit impedimento. Hoc etiam tu facito: ingemiſce amare, in memoriam reuoca tua peccata, ſuſpice in cœlum dic in mente, Miſerere mei Deus, & abſoluiſti precationem. Qui enim dicit, Miſerere, confeſſionem offert, & peccatum ſuum agnoſcit, lapſorum enim eſt miſericordiam requirere. Qui dicit Miſerere mei, remiſſionem delictorum accepit: qui enim miſericordiam conſecutus eſt, non punitur. Qui dicit, Miſerere mei, regnum cœlorum obtinuit,

Affectus maximè requiritur in oratione.

quem enim Deus miſeratur non à pœna ſolum liberat, ſed futurorum etiam bonorum poſſeſſione dignatur. Ne igitur excuſationes quæramus dicendo non eſſe propinquam precationis ædem: nos enim ipſos, ſi ſobrij fuerimus, templa faciet diuini gratia ſpiritus, vt magna vndique nobis precandi facultas affluat. neque enim talis eſt apud nos diuinus cultus, qualis quondam apud Iudæos erat multum habens ſenſibilium ceremoniarum multáque operatione indigens. Illic precaturum oportebat ad templum aſcendere, turturem emere, ligna & ignem ad manus habere arrepto cultro altari aſſiſtere, aliáque multa præcepta perficere: hic nihil tale, ſed vbicunque fueris, præſto tibi eſt & altare, & culter & victima, tu ipſe & altare & ſacerdos, & victima es: vbicunque enim fueris potes erigere altare, ſi ſobriam modo voluntatem afferas, nec te aut locus aut tempus impedit, ſed etiam ſi nec genua flectas, nec pectus pulſes, nec manus ad cœlum tendas, ſi mentem ſolum afferas feruidam, nihil tibi ad abſolutam precationem deerit. Licet etiam mulieri colum tenenti aut telam texenti ſuſpicere in cœlum ac ardenti pectore Deum inuocare licet etiam viro in foro verſanti aut iter facienti attente precari: alteri itidem in officina ſedenti ac coria ſuenti animam ad dominum erigere licet ſeruo obſonanti, ac ſurſum deorſum curſitanti, vel in culina miniſtranti, ſi non licet adire eccleſiam, precationem intentam ex imo pectore ciere: non pudet loci Deum. Vnum poſtulat mentem feruentem animamque modeſtam. Et vt ſcias quòd non habitu corporis aut locorum temporumuè oportunitate ſit opus ſed animo probo ac excitato. Paulus ſupinus in carcere iacens, non erectus ſtans (neque enim compes lignea permittebat) quoniam magna alacritate precabatur, iacens carcerem concuſſit, eiuſque fundamenta vacillare fecit, & optionem terruit, ac mox initiatum ad myſteria noſtra perduxit. Rurſum Ezechias ille non erectus ſtans neque genibus flexis, ſed ſupinus in lecto cubans per infirmitatem verſa ad parietem facie, quoniam ardenter & humiliter Deum inuocauit, ſen-

Procul à templo habitare an excuſet.

Vbique orare poſſumus.

Act. 16. 26.

4. Reg. 20. 2.

A ὃν γὰρ ὁ θεὸς ἐλεήσῃ, οὐ κολάσεως ἀπαλλάττει μόνον, ἀλλὰ καὶ τῶν μελλόντων ἀγαθῶν ἀξιοῖ. μὴ τοίνυν προφασιζώμεθα λέγοντες, ὡς οὐκ ἔστι πλησίον εὐκτήριος οἶκος· ἡμᾶς γὰρ αὐτοὺς, ἐὰν νήφωμεν, ναοὺς ἐποίησε τοῦ θεοῦ τοῦ πνεύματος ἡ χάρις· ὥστε πολλὴ πανταχόθεν ἡμῖν ἡ εὐκολία. καὶ γὰρ οὐ τοιαύτη ἡμῶν ἡ λατρεία, οἵα παρὰ Ἰουδαίοις τὸ πρότερον ἦν, πολὺ τὸ αἰσθητὸν ἔχουσα, καὶ πολλῆς δεομένη πραγματείας. ἐκεῖ μὲν γὰρ τὸν εὐχόμενον καὶ εἰς τὸ ἱερὸν ἀναβῆναι ἔδει, καὶ τρυγόνα πρίασθαι, καὶ ξύλα καὶ πῦρ μεταχεῖσαι, καὶ μάχαιραν λαβεῖν, καὶ τῷ βωμῷ παραστῆναι, καὶ B πολλὰ ἕτερα διανύσαι ἐπιτάγματα· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ὅπου περ ἂν ᾖς, τὸ θυσιαστήριον ἔχεις μετὰ σαυτοῦ, καὶ τὴν μάχαιραν, καὶ τὸ ἱερεῖον, αὐτὸς ὢν σὺ καὶ ἱερεὺς καὶ θυσιαστήριον καὶ ἱερεῖον. ὅπου γὰρ ἂν ᾖς, δύνασαι στῆσαι σοῦ τὸν βωμὸν, προαίρεσιν νήφουσαν ἐπιδειξάμενος μόνον. καὶ οὐδὲν κωλύει τόπος, οὐδὲ ἐμποδίζει καιρός· ἀλλὰ κἂν γόνατα μὴ κλίνῃς, καὶ μὴ στῆθος τύψῃς καὶ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνῃς, διάνοιαν δὲ μόνον ἐπιδείξῃ θερμὴν, τὸ πᾶν ἀπήρτισας τῆς εὐχῆς. ἔξεστι καὶ γυναῖκα ἠλακάτην κατέχουσαν καὶ C ἱστουργοῦσαν ἀναβλέψαι εἰς τὸν οὐρανὸν τῇ διανοίᾳ, καὶ καλέσαι μετὰ θερμότητος τὸν θεόν· ἔξεστι καὶ ἄνθρωπον εἰς ἀγορὰν ἐμβάλλοντα καὶ καθ' ἑαυτὸν βαδίζοντα εὐχὰς ποιήσασθαι ἐκτενεῖς· καὶ ἕτερον ἐπ' ἐργαστηρίου καθήμενον καὶ δέρματα ῥάπτοντα, τὴν ψυχὴν ἀναθεῖναι πρὸς τὸν δεσπότην· ἔξεστιν οἰκέτῃ καὶ ὠνουμένῳ, καὶ ἀναβαίνοντι καὶ καταβαίνοντι, καὶ μαγειρείῳ παρεστῶτι, ὅταν μὴ δυνατὸν εἰς ἐκκλησίαν ἐλθεῖν, εὐχὴν ποιήσασθαι ἐκτενῆ καὶ διεγηγερμένην. οὐκ ἐπαισχύνεται τόπον ὁ θεός· ἓν ζητεῖ μόνον, διάνοιαν θερμὴν, καὶ ψυχὴν σω- D φρονοῦσαν. καὶ ἵνα μάθῃς ὅτι οὐ σχήματος χρεία καὶ τόπων πάντως καὶ καιρῶν, ἀλλὰ φρονήματος γενναίου καὶ διεγηγερμένου, ὁ Παῦλος ὕπτιος ἐπὶ τοῦ δεσμωτηρίου κείμενος, καὶ οὐκ ὀρθὸς ἑστὼς (οὐ γὰρ ἠφίει τὸ ξύλον, ᾧ τοὺς πόδας ἐδέδετο) ἐπειδὴ μετὰ προθυμίας ηὔξατο κείμενος, τὸ δεσμωτήριον ἔσεισε, καὶ τὰ θεμέλια διεσάλευσε, καὶ τὸν δεσμοφύλακα ἐδόνησε, καὶ πρὸς τὴν ἱερὰν μετὰ ταῦτα μυσταγωγίαν ἐχειραγώγησε. πάλιν ὁ Ἐζεκίας οὐκ ὀρθὸς ἑστὼς, οὐδὲ γόνατα κλίνας, ἀλλ' ὕπτιος ἐπὶ τῆς κλίνης κείμενος διὰ τὴν ἀρρωστίαν, στρέψας ἑαυτὸν ἐπὶ τὸν τοῖχον, ἐπειδὴ τὸν

θεὸν

θεὸν θερμῶς ἐκάλεσε καὶ μετὰ ψυχῆς σωφρονούσης, καὶ ἀπόφασιν ἐξενεχθεῖσαν ἀνεκαλέσατο, καὶ πολλὴν ἐπεσπάσατο τὴν εὔνοιαν, καὶ πρὸς τὴν προτέραν ἐπανῆλθεν ὑγείαν. οὐκ ἐπ' ἀνδρῶν δὲ ἁγίων καὶ μεγάλων μόνον, ἀλλὰ καὶ ἐπὶ πονηρῶν τοῦτο ἴδοι τις ἂν συμβαῖνον. καὶ γὰρ ὁ λῃστὴς, οὐκ ἐν οἴκῳ στὰς εὐκτηρίῳ, οὐδὲ γόνατα κλίνας, ἀλλ' ἐπὶ τοῦ σταυροῦ τεταμένος, ἀπὸ ῥημάτων ὀλίγων, τῆς βασιλείας τῶν οὐρανῶν ἐπέτυχεν. ἄλλος ἐν βορβόρῳ καὶ λάκκῳ καὶ θηρίοις, ἕτερος ἐν αὐτῇ τοῦ κήτους τῇ νηδύϊ, τὸν θεὸν παρακαλέσαντες, τὰ ἐπικείμενα ἅπαντα διέλυσαν, καὶ τὴν ἄνωθεν εὔνοιαν ἐπεσπάσαντο. καὶ ταῦτα μὲν λέγων, παραινῶ συνεχῶς ταῖς ἐκκλησίαις ἐπιχωριάζειν, καὶ ἐν οἰκίᾳ μετὰ πολλῆς ἡσυχίας εὔχεσθαι, καὶ κατὰ σχολὴν γόνατα κλίνοντας, καὶ τὰς χεῖρας ἀνατείνοντας. εἰ δὲ ἢ διὰ καιρὸν, ἢ διὰ τόπον ἀποληφθείημεν μεταξὺ πολλῶν ἑτέρων, μὴ διὰ τοῦτο τὰς συνήθεις ἀπολιμπάνειν εὐχὰς, ἀλλὰ τοῦτον τὸν τρόπον, ὅνπερ εἶπον πρὸς τὴν ὑμετέραν ἀγάπην, εὔχεσθε καὶ παρακαλεῖτε τὸν θεὸν, ὡς οὐδὲν ἔλαττον παρὰ ταύτην ἕξοντες τὴν εὐχήν. ταῦτα εἶπον, οὐχ ἵνα κροτήσητε καὶ θαυμάσητε ἀλλ' ἵνα διὰ τῶν ἔργων αὐτὰ ἐπιδείξησθε, καὶ τὸν καιρὸν τὸν τῆς νυκτὸς, καὶ τὸν τῆς ἡμέρας, καὶ τὸν τῆς ἐργασίας καιρὸν ἐν εὐχαῖς καὶ δεήσεσι διαλαμβάνοντες. ἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, καὶ τὸν παρόντα μετὰ ἀσφαλείας διανύσομεν βίον, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτευξόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία ε.

Πρὸς τοὺς ἐν ἑορταῖς μόνον συναγομένους, καὶ τί ποτέ ἐστιν ἑορτὴ, καὶ πρὸς τοὺς ἐγκαλοῦντας τῇ τοῦ θεοῦ προνοίᾳ, διὰ τὸ πλουσίους εἶναι καὶ πένητας ἐν τῷ βίῳ, καὶ ὅτι χρησιμώτατον ἡ πενία, καὶ ὅτι πλούτου πλείονα ἡδονὴν ἔχει πανταχοῦ καὶ ἀσφάλειαν, καὶ εἰς τὴν Ἄνναν.

A magnam ſibi gloriam conciliauit, & inſuper in priſtinam reſtitutus eſt ſanitatem. Nec ſolum magnis & ſanctis viris hoc contigiſſe videas, ſed malis etiam. Nam & latro ille, non ſtans in oratorio, aut genus flectens, ſed in cruce diſtenſus paucis verbis regnum cœlorum impetrauit, alius in lacum cœnoſum coniectus, alius in foueam beſtijs obiectus, alius ceti aluo concluſus, inuocato Deo mala inſtantia diſcuſſerunt diuinamque ſibi conciliarunt beneuolentiam. Hoc ſermone hortor vt continue frequentetis eccleſias, & domi cum magna B quiete precemini per otium genua flectentes manuſque attollentes. Quod ſi tempus aut locus nos in multitudine hominum deprehendat, non eſt ob hoc à conſuetis orationibus ceſſandum, ſed ita vt veſtram charitatem monui, precamini & inuocate Deum certi nihilominus tali precatione optata vos impetraturos. Non hæc ideo dicta ſunt vt applaudatis & laudetis, ſed & opere ea præſtetis & vt tam nocturnum quam diurnum & operandi tempus votis ac deprecationi- C bus occupetis. Quod ſi res noſtras ita diſpoſuerimus, & præſentem vitam tuto tranſigamus, & cœleſte regnum aſſequemur: quo nobis omnibus peruenire detur gratia & benignitate domini noſtri Ieſu Chriſti per quem, & cum quo Patri gloria, ſimul cum ſancto Spiritu, nunc, & ſemper, in ſecula ſeculorum. Amen.

HOMILIA V.

D *Aduerſu eos, qui tantum in feſtis conueniunt, & quidnam ſit feſtum. Item aduerſus eos qui incuſant diuinam prouidentiam, eò quod in hac vita quidant ſint diuites, quidam pauperes; & quòd paupertas plus voluptatis ac ſecuritatis vbique habeat, quàm diuitiæ, Itemque de Anna.*

SIGISM. GELENIO INTERP.

FRVSTRA, vt videtur, eos qui nuper adfuerunt collectæ nobiſcum, hortati ſumus, vt in paterna domo permanerent, & non vnà cum ijs, qui feſtis diebus hic ſe ſiſtunt, accederent ad nos, ac rurſum decederent: imò verò non fruſtra. Nam etſi nemini ex eis perſuaſum eſſet oratione noſtra, nobis tamen merces integra manet, paratamque habemus apud Deum defenſionem. Quamobrem oportet concionatorem, etiamſi nemo attendat, ſemina iactare, & pecuniam deponere, & poſtea Deus non ab illo, ſed à menſarijs rationem repoſcat. Quod ſanè etiam nos fecimus, arguendo, increpando, obſecrando, admonendo. In hoc enim vobis commemorauimus filium illum paternarum facultatum abſumptorem, tandem ad paternam domum poſtliminio reuerſum, vniuerſamque eius miſeriam, famem, dedecus, opprobria, & quicquid apud exteros pertulit, adduximus in medium, vt hoc exemplo ad ſobrietatem vos redigeremus. Neque hic ſermonem finiuimus, verumetiam paternam erga eos pietatem exhibuimus, non negligentiæ pœnas exigendo, ſed obuijs manibus eos excipiendo, & veniam delictorum concedendo, & aperta domo menſam apponendo, & doctrinæ ſtola eos amiciendo, cæteramque omnem curam ipſis adhibendo. Illi autem filium illum non ſunt imitati, nec eos relicti patris pœnituit, neque in paterna domo manſerunt, ſed denuò ſe abalienauerunt. Veſtrum igitur erat veſtrum, inquam, qui ſemper nobiſcum eſtis, reducere ipſos, perſuadereque vt nobiſcum per ſingulas collectas velint feſti eſſe participes. quamuis enim Pentecoſte præteriit, feſtum tamen non præteriit; omnis enim conuentus feſtum eſt. Vnde hoc patet? Ex ipſis Chriſti verbis dicentis, Vbicunque fuerint duo vel tres congregati in meo nomine, ibi ſum in medio eorum. quoties autem Chriſtus intereſt in medio cœtus, quod amplius quęris feſti argumentum?

Mat. 18. 8.

A Μάτην, ὡς ἔοικε, τοὺς τῇ προτέρᾳ συνάξει παραγενομένους ἡμῖν παρεκαλέσαμεν, πείθοντες μένειν ἐπὶ τῆς οἰκίας τῆς πατρῴας, καὶ μὴ μετὰ τῶν ἐν ἑορτῇ μόνον ἡμῖν φαινομένων ἐφίστασθαι πάλιν· μᾶλλον δὲ οὐ μάτην. Εἰ γὰρ καὶ μηδεὶς τούτων ἐπείθη τοῖς λεγομένοις, ἀλλ' ἡμῖν ὁ μισθὸς ἀπήρτισται, καὶ τὰ τῆς πρὸς τὸν θεὸν ἀπολογίας πεπλήρωται. δεῖ γὰρ τὸν λέγοντα, κἂν προσέχῃ τις, κἂν μὴ B προσέχῃ, τὰ σπέρματα χρὴ καταβάλλειν, καὶ τὸ ἀργύριον κατατιθέναι, ἵνα μηκέτι πρὸς αὐτὸν, ἀλλὰ πρὸς τοὺς τραπεζίτας ὁ λόγος ᾖ τῷ θεῷ. ὃ δὴ καὶ ἡμεῖς ἐποιήσαμεν, ἐλέγξαντες, ἐπιτιμήσαντες, παρακαλέσαντες, νουθετήσαντες. καὶ γὰρ τοῦ τὴν οὐσίαν καταδηδοκότος υἱοῦ, καὶ πρὸς τὴν πατρικὴν οἰκίαν ἐπανελθόντος ἀνεμνήσαμεν, καὶ τὴν ταλαιπωρίαν ἅπασαν, καὶ τὸν λιμὸν, καὶ τὴν αἰσχύνην, καὶ τὰ ὀνείδη, καὶ τὰ ἄλλα, ὅσα ἐπὶ τῆς ἀλλοτρίας ὑπέμεινε, προσεθήκαμεν, τῷ παραδείγματι τούτῳ C σωφρονεστέρους ποιῆσαι βουλόμενοι· καὶ οὐδὲ ἐνταῦθα τὸν λόγον ἐστήσαμεν, ἀλλὰ καὶ τὴν τοῦ πατρὸς φιλοστοργίαν περὶ αὐτοὺς ἐπεδειξάμεθα, οὐκ ἀπαιτήσαντες αὐτοὺς τῆς ῥαθυμίας εὐθύνας, ἀλλ' ὑπτίαις τούτους ὑποδεξάμενοι ταῖς χερσὶ, καὶ συγγνώμην δόντες ὑπὲρ τῶν πεπλημμελημένων, καὶ τὴν οἰκίαν ἀνοίξαντες, καὶ τὴν τράπεζαν παραθέντες, καὶ στολὴν αὐτοὺς περιβαλόντες τὴν ἀπὸ τῆς διδασκαλίας, καὶ τὴν ἄλλην ἅπασαν παρασχόντες αὐτοῖς θεραπείαν. ἐκεῖνοι δὲ τὸν υἱὸν ἐκεῖνον οὐκ ἐμιμήσαντο, οὐδὲ κατέγνωσαν τῆς ἔμ- D προσθεν ἀναχωρήσεως, οὐδὲ ἔμειναν ἐπὶ τῆς πατρῴας οἰκίας, ἀλλ' ἀπεπήδησαν πάλιν. ὑμέτερον λοιπὸν εἴη, ὑμῶν τῶν ἀεὶ μεθ' ἡμῶν ὄντων, ἐπαναγαγεῖν αὐτοὺς, καὶ πεῖσαι κοινωνεῖν ἡμῖν τῆς καθ' ἑκάστην σύναξιν ἑορτῆς. εἰ γὰρ καὶ ἡ πεντηκοστὴ παρῆλθεν, ἀλλ' ἡ ἑορτὴ οὐ παρῆλθε. πᾶσα γὰρ σύνοδος, ἑορτή. πόθεν δῆλον τοῦτο; ἀπ' αὐτῶν τῶν τοῦ Χριστοῦ ῥημάτων, δι' ὧν φησιν· ὅπου ἂν δύο ἢ τρεῖς εἰσι συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. ὅταν δὲ ὁ Χριστὸς ἐν μέσῳ ᾖ τῶν συνειλεγμένων, ποίαν ἑτέραν ζητεῖς ἀπόδειξιν ἑορτῆς, ταύτης μείζονα;

A ὅπου διδασκαλία καὶ εὐχαί, ὅπου πατέρων εὐλογίαι καὶ θείων νόμων ἀκρόασις, ὅπου σύνοδος ἀδελφῶν καὶ γνησίας ἀγάπης σύνδεσμος, ὅπου πρὸς θεὸν ὁμιλία, καὶ θεοῦ πρὸς ἀνθρώπους διάλεξις, πῶς οὐκ ἂν εἴη ἑορτὴ καὶ πανήγυρις; τὰς γὰρ ἑορτὰς οὐ τὸ πλῆθος, ἀλλ' ἡ ἀρετὴ τῶν συλλεγομένων ποιεῖν εἴωθεν· οὐχ ἡ πολυτέλεια τῶν ἱματίων, ἀλλ' ὁ τῆς εὐλαβείας καλλωπισμός· οὐχ ἡ δαψίλεια τῆς τραπέζης, ἀλλ' ἡ τῆς ψυχῆς πρόνοια. ἑορτὴ γὰρ μεγίστη, συνειδὸς ἀγαθόν. καὶ καθάπερ ἐπὶ τῶν ἔξωθεν πανηγύρεων, ὁ μὲν μήτε ἱμάτιον ἔχων περιβαλέσθαι λαμπρὸν, μήτε δαψιλεστέρας ἀπολαῦσαι B τραπέζης, ἀλλ' ἐν πενίᾳ καὶ λιμῷ ζῶν καὶ τοῖς ἐσχάτοις κακοῖς, οὐκ αἰσθάνεται τοῦ καιροῦ τῆς ἑορτῆς, κἂν πᾶσαν τὴν πόλιν ἴδῃ χορεύουσαν, ἀλλὰ τοσούτῳ μᾶλλον ὀδυνᾶται καὶ δάκνεται, ὅσῳ καὶ τοὺς μὲν ἄλλους ὁρᾷ ἐν ἀπολαύσει, ἑαυτὸν δὲ ἐν ἀπορίᾳ· ὁ δὲ πλουτῶν καὶ τρυφῶν, καὶ στολὰς καθ' ἑκάστην ἀμείβειν ἔχων, καὶ πολλῆς ἀπολαύων εὐημερίας, κἂν μὴ παρῇ καιρὸς ἑορτῆς, ἑορτάζειν νομίζει· οὕτω δὴ καὶ ἐπὶ τῶν πνευματικῶν πραγμάτων, ὁ μὲν ἐν δικαιο- C σύνῃ ζῶν καὶ κατορθώμασι, κἂν μὴ παρούσης ἑορτῆς, ἑορτὴν ἄγει, τὴν καθαρὰν ἡδονὴν καρπούμενος τὴν ἀπὸ τοῦ συνειδότος· ὁ δὲ ἐν ἁμαρτίᾳ καὶ πονηρίᾳ τρεφόμενος, καὶ πολλὰ κακὰ συνειδὼς ἑαυτῷ, καὶ παρούσης ἑορτῆς, ἀνέορτος μάλιστα πάντων ἐστίν. ὥστε ἔξεστιν ἡμῖν, ἂν ἐθέλωμεν, καθ' ἑκάστην ἡμέραν ἑορτὴν ἄγειν. τοῦτο δὲ ἔσται, ἂν ἀρετῆς ἐπιμελώμεθα, καὶ τὸ συνειδὸς ἡμῶν ἐκκαθαίρωμεν. τί γὰρ ἡ παρελθοῦσα σύναξις τῆς παρούσης πλεονεκτεῖ; ἢ οὐχὶ τῷ θορύβῳ καὶ τῇ ταραχῇ μόνον, ἄλλῳ δὲ οὐδενί; ὅταν γὰρ καὶ ἡ τῶν ἁγίων μυστηρίων D ἀπόλαυσις, καὶ ἡ τῶν ἄλλων τῶν πνευματικῶν κοινωνία, οἷον εὐχῆς λέγω καὶ ἀκροάσεως καὶ εὐλογιῶν καὶ ἀγάπης, καὶ τῶν ἄλλων ἁπάντων ἡ αὐτὴ καὶ σήμερον ᾖ, οὐδὲν ἔσται ἐλάττων ἐκείνης αὕτη ἡ ἡμέρα, οὔτε ὑμῖν, οὔτε ἐμοὶ τῷ λέγοντι. οἱ γὰρ τότε ἡμῶν ἀκούσαντες, οὗτοι καὶ νῦν ἀκούουσιν· οἱ δὲ μὴ παρόντες νῦν, οὐδὲ τότε παρῆσαν, εἰ καὶ ἐδόκουν παρεῖναι τῷ σώματι. οὐκ ἀκούουσι νῦν· μᾶλλον δὲ οὐδὲ τότε ἤκουον. οὐ μόνον δὲ οὐκ ἤκουον, ἀλλὰ καὶ τοῖς ἀκούουσιν ἠνώχλουν, θόρυβον καὶ ταραχὴν ἐμποιοῦντες.

A Vbi ſacra doctrina & preces, vbi Patrum benedictiones, & diuinæ legis auditorium, vbi conuentus fratrum, & germanæ charitatis vinculum, vbi cum Deo colloquium & cum hominibus ſermo, quî fieri poteſt vt ibi non ſit feſta celebritas? Feſta enim non multitudo conuenientium facere ſolet, ſed virtus; non ſumptuoſus veſtitus, ſed pietatis ornatus; non menſæ dapſilitas, ſed cura animæ. Maximum enim feſtum eſt conſcientia bona. Et quemadmodum in externis celebritatibus, Is qui nec veſtem habet, qua induatur, ſplendi- B dam; menſam qua fruatur, lautam; ſed viuit in paupertate, fame, extremáque miſeria, non afficitur feſto die, etiamſi vniuerſam vrbem choreas agitare videat, ſed hac ipſa de cauſa magis angitur ac dolet: diues vero delicatus, mutatorijs veſtibus abundans, & in ſumma proſperitate viuens, etiam extra feſta tempora feſtum agere ſibi videtur. Ita & in ſpiritualibus rebus vſu venit. Qui viuit in iuſtitia & operibus bonis, vel abſque feſto feſtum agit, ſinceram volu- C ptatem ex bona conſcientia percipiens. qui verò in peccato & malitia degit, multorum malorum ſibimet conſcius, etiam cum maximè feſtum eſt, tam feſto caret quam qui maximè. Quapropter licet nobis, ſi velimus, per ſingulos dies feſtum habere, ſi virtutem exerceamus, & conſcientiam purificemus. qua enim re præterita collecta præſenti hac eſt potior? tumultu tantùm & ſtrepitu, & nulla re alia. quando enim & ſanctorum Sacramentorum perceptio, & aliarum ſpiritualium rerum communio, pu- D ta precationum, auſcultationum, benedictionum, caritatis, cæterorumque omnium eadem eſt etiam hodie; nulla in re has dies ſuperatur ab illa, quantum vel ad vos, vel ad me concionantem attinet. nam qui tunc nos audiebant, hi nunc quoque audituri ſunt; & qui nunc abſunt, ne tunc quidem aderant, etiamſi corpore adeſſe viderentur: non audiunt nunc, imò tunc minus audiebant; nec ſolùm non audiebãt, ſed etiã audientibus obſtrepẽdo moleſti erant.

Feſtorũ ornatus veri.

Quapropter & tunc & nunc æquale mihi præſto eſt theatrum, idemque auditorum conuentus, nec vlla in re altero illo inferior. Imò, ſi mirum aliquid dicere permittitis, hic illo eſt præſtantior; quòd ſine ſtrepitu ſit ſermo & ſine tumultu doctrina, & cum majore intellectu auſcultatio, nullo tumultu auditum noſtrum interrumpente. Hęc autem dico, non quòd contemnam multitudinem illius conuentus, ſed vt vobis perſuadam, ne doleatis, neue contriſtemini ob paucitatem eorum, qui nunc huc conuenerunt. non enim corporum, ſed auditorum multitudinem in Eccleſia requirimus. Quando quidem igitur ijdem conuiuæ qui tunc, etiam nunc nobis adſunt, pari alacritate hodie quoque conuiuium vobis exhibebo, ad argumentum reuerſus, quod nobis feſtum pro tempore interrupit. quemadmodum enim in media Pentecoſte intempeſtiuum erat, omiſſa beneficiorum per id tempus in nos collatorum commemoratione, inceptum anteà contextum continuare: ita nunc exacta media Pentecoſte, opportunè hiſtoriam in manus reſumptam proſequemur, priſtinum de Anna argumentum tractaturi. Non enim refert quam multum iam dicta ſint, ſed quantum ſuperſit ad hoc argumentum abſoluendum. Nam & qui theſaurum inuenerunt, licet plurimas inde capiant diuitias, non prius abſiſtunt quàm totum exhauſerint; vt quos non tam iuuat multa accepiſſe, quàm nihil reliquum feciſſe. Quod ſi hi, qui in pecunias inſaniunt, tanto rerum periturarum nec manſurarum tenentur ſtudio, multò magis hoc nos in diuinis facere theſauris oportet, nec prius abſiſtere, quàm totum hoc quod ibi videmus, exhauſerimus. Dixi autem, quod ibi videmus, quia vniuerſum exhaurire non datur. Fons enim eſt perenniter manans diuinarum vis ſententiarum, nunquam deficiens, nunquam interquieſcens. Itaque ne defatigemur: non enim de vulgaribus rebus nobis eſt oratio, ſed de precatione, ſpe noſtra; precatione per quam ſterilis mater eſt facta, & numeroſæ prolis parens, quæ filijs carebat, & ex mœrente læta:

Paucitas auditorũ ne contriſtet.

Hinc incipit homilia à Bern. Brixiano latinitate donata: Qui theſaurũ &c.

A ὥστε ἴσον ἐμοὶ τὸ θέατρον καὶ τότε καὶ νῦν, καὶ ὁ τῶν ἀκροατῶν σύλλογος ὁ αὐτός, καὶ οὐδὲν οὗτος ἐλάττων ἐκείνου, ἀλλ᾽ εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, ἔχει τι πλέον οὗτος ἐκείνου, ὅσῳ καὶ ἀταράχως ἡ διάλεξις, καὶ ἀθόρυβος ἡ διδασκαλία, καὶ μετὰ πλείονος συνέσεως ἡ ἀκρόασις, οὐδενὸς ἡμῶν τὴν ἀκοὴν ἐνοχλοῦντος θορύβου. ταῦτα δὲ λέγω, οὐκ ἀτιμάζων τὸ πλῆθος τῶν τότε συλλεγέντων, ἀλλὰ πείθων ὑμᾶς μὴ στυγνάζειν, μηδὲ κατηφιᾶν διὰ τὴν ὀλιγότητα τῶν νῦν συλλεγέντων. ἐνταῦθα. οὐ γὰρ δὴ σωμάτων πλῆθος βουλόμεθα ἐπὶ τῆς ἐκκλησίας B ὁρᾶν, ἀλλὰ ἀκροατῶν πλῆθος. ἐπεὶ οὖν οἱ αὐτοὶ δαιτυμόνες καὶ τότε καὶ νῦν ἡμῖν πάρεισι, μετὰ τῆς αὐτῆς προθυμίας καὶ σήμερον τὴν ἑστίασιν ὑμῖν παραθήσομαι, ἐπὶ τὴν ὑπόθεσιν ἐπανελθών, ἣν ὁ τῆς ἑορτῆς καιρὸς διέκοψεν. ὥσπερ γάρ, τῆς μεσοπεντηκοστῆς παρούσης, ἄκαιρον ἦν, ἀφέντας λέγειν περὶ τῶν δοθέντων ἡμῖν κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἀγαθῶν, τῆς ἀκολουθίας τῆς προτέρας ἔχεσθαι· οὕτω νῦν τῆς μεσοπεντηκοστῆς παρελθούσης, εἰς καιρὸν τὴν ἀκολουθίαν τῆς ἱστορίας ἀναληψόμεθα, C ἐπὶ τῆς κατὰ τὴν Ανναν ὑποθέσεως ἐχόμενοι. οὐδὲ γὰρ εἰ πολλὰ τὰ εἰρημένα χρὴ σκοπεῖν, καὶ ἐν πολλαῖς ἡμέραις, ἀλλ᾽ εἰ πρὸς τὸ τέλος ἤλθομεν τῆς ὑποθέσεως. καὶ γὰρ οἱ θησαυρὸν εὑρόντες, κἂν μυρία λάβωσιν ἐκεῖθεν χρήματα, οὐ πρότερον ἀφίστανται, ἕως ἂν τὸ πᾶν ἐξαντλήσωσιν. οὐ γὰρ τὸ πολλὰ λαβεῖν, ἀλλὰ τὸ μηδὲν ἀφεῖναι τοῦτο μάλιστα αὐτοὺς ἀνακτᾶσθαι πέφυκεν. εἰ δὲ οἱ περὶ τὰ χρήματα μαινόμενοι τοσαύτῃ περὶ τὰ ἀπολλύμενα καὶ μὴ μένοντα κέχρηνται τῇ σπουδῇ, πολλῷ μᾶλ- D λον ἡμᾶς ἐπὶ τῶν θείων θησαυρῶν τοῦτο ποιεῖν χρή· καὶ μὴ πρότερον ἀφίστασθαι, ἕως ἅπαν τὸ φαινόμενον ἐξαντλήσωμεν. τὸ φαινόμενον δὲ εἶπον, ἐπειδὴ πάντα ἐξαντλῆσαι ἀμήχανον. πηγὴ γάρ ἐστι διηνεκῶς βλύζουσα τῶν θείων νοημάτων ἡ δύναμις, οὐδέποτε ἐπιλείπουσα, οὐδὲ δαπανωμένη. μὴ τοίνυν ἀποκάμωμεν. οὐδὲ γὰρ ὑπὲρ τῶν τυχόντων ἡμῖν ὁ λόγος, ἀλλὰ περὶ εὐχῆς, τῆς ἐλπίδος τῆς ἡμετέρας· εὐχῆς δέ, δι᾽ ἧς ἡ στεῖρα μήτηρ ἐγένετο, καὶ πολύπαις ἡ ἄπαις, καὶ ἡ κατώδυνος ἐν εὐθυμίᾳ·

δι' ἣν ἡ πεπηρωμένη διωρθοῦτο φύσις, καὶ μήτρα ἀποκεκλεισμένη ἀνεῴγνυτο, καὶ τὰ ἀδύνατα δυνατὰ πάντα ἐγίνετο. διὸ δὴ κατὰ μικρὸν διερευνώμεθα πάντα, καθ' ἑκάστην ῥῆσιν ἀναπτύξαντες, ὥστε μηδὲ τὸ μικρότατον ἡμᾶς, ὡς οἷόν τε, παραδραμεῖν. διὰ δὴ τοῦτο δύο διαλέξεις ὁλοκλήρους εἰς δύο ῥήσεις ἀνηλώσαμεν μόνας, εἴς τε τὴν προτέραν τὴν λέγουσαν, ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ· καὶ τὴν δευτέραν τὴν μετ' ἐκείνην, ὑψώθη κέρας μου ἐν θεῷ μου. ἀκόλουθον δὴ σήμερον ἐπὶ τὴν τρίτην ἐλθεῖν. τίς δέ ἐστιν αὕτη; ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου, φησίν· εὐφράνθην ἐν σωτηρίᾳ σου. προσέχετε τῇ ἀκριβείᾳ τῆς λέξεως. οὐκ εἶπεν, ἠκονήθη στόμα μου ἐπ' ἐχθρούς μου. οὐ γὰρ πρὸς λοιδορίας καὶ σκώμματα παρεσκεύαστο, οὐ πρὸς ὀνείδη καὶ κατηγορίαν, ἀλλὰ πρὸς παραίνεσιν καὶ συμβουλήν, πρὸς διόρθωσιν καὶ νουθεσίαν. διὰ τοῦτο οὐκ εἶπεν, ἠκονήθη ἡ γλῶσσά μου ἐπ' ἐχθρούς μου, ἀλλ' ἐπλατύνθη. ἀνέσεως ἀπήλαυσα, φησίν, ἐλευθεροστομεῖν δύναμαι. νῦν ἀπεκρουσάμην τὴν αἰσχύνην, πρὸς παρρησίαν ἐπανῆλθον. καὶ οὐδὲ ἐνταῦθα εἶπε τὴν γυναῖκα τὴν ἀντίζηλον ὀνομαστί, ἀλλὰ ἁπλῶς ἀπὸ τῆς προσηγορίας ἀδιορίστῳ, καθάπερ προσωπείῳ κατέκρυψε τὴν τοσαῦτα λυπήσασαν. οὐκ εἶπεν, ὃ πολλαὶ λέγουσι γυναῖκες, κατῄσχυνεν αὐτὴν ὁ θεός, κατέρραξε καὶ κατέβαλε τὴν μιαρὰν καὶ ἀλαζόνα καὶ μεγαλήγορον· ἀλλ' ἁπλῶς, ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου· εὐφράνθην ἐν σωτηρίᾳ σου. ὅρα πῶς τὸν αὐτὸν διατηρεῖ νόμον διὰ τῆς εὐχῆς ἁπάσης. ὥσπερ γὰρ ἐν ἀρχῇ ἔλεγεν, ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ, ὑψώθη κέρας μου ἐν θεῷ μου, ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου· οὕτω καὶ ἐνταῦθα, εὐφράνθην ἐν σωτηρίᾳ σου. οὐχ ἁπλῶς ἐν σωτηρίᾳ, ἀλλ' ἐν σωτηρίᾳ σου. οὐ γὰρ ἐπειδὴ ἐσώθην, φησίν, ἀλλ' ἐπειδὴ διὰ σοῦ ἐσώθην, διὰ τοῦτο χαίρω καὶ ἀγάλλομαι. τοιαῦται τῶν ἁγίων αἱ ψυχαί· τῶν δώρων μᾶλλον χαίρουσιν ἐπὶ τῷ δεδωκότι θεῷ. οὐ γὰρ αὐτὸν διὰ τὰ αὐτοῦ φιλοῦσιν, ἀλλ' ἐκεῖνα δι' αὐτόν. τοῦτο οἰκετῶν εὐγνωμόνων, τοῦτο δούλων εὐχαρίστων, πάντων τῶν ἑαυτῶν τὸν δεσπότην τὸν ἑαυτῶν προτιθέναι. οὕτω, παρακαλῶ, καὶ ἡμεῖς διακείμεθα. κἂν ἁμάρτωμεν, μὴ ἀλγῶμεν, ἐπειδὴ κολαζόμεθα,

per quam vitioſa reparabatur natura, & clauſa reſerabatur matrix, & impoſſibilia quæque fiebant poſſibilia. Quapropter omnia paulatim perſcrutemur, per ſingulas explicantes dictiones, vt ne minimum quidem nos, quantum fieri poteſt, effugiat, ſiquidem propterea duas integras diſſertationes in duo ſola eius dicta inſumpſimus: Primum, *Confirmatum eſt cor meum in Domino,* & quod mox ſequitur, *Exaltatum eſt cornu meum in Deo meo.* Conſequens igitur eſt hodie ad tertium venire. Quod verò hoc eſt? *Dilatatum eſt os meum ſuper inimicos meos: lætata ſum in ſalutari tuo.* Animaduertite accuratam orationem: Non dixit, Exacutum eſt os meum ſuper inimicos meos: non enim ad conuicia & dicteria preparatum erat, non ad accuſationem & opprobria, ſed ad conſilium & admonitionem, ad correctionem & inſtruſtructionem: propterea non dixit, Exacuta eſt linqua mea ſuper inimicos meos, ſed *Dilatatum eſt os.* Relaxatione, inquit, fruor; libere loqui poſſum: iam pudore diſcuſſo ad libertatem redij. Ac ne nunc quidem mulierem æmulã nominauit, ſed ſimpliciter indefinita nuncupatione, quaſi quadam perſona, tãta triſtitiæ authorem abſcondit. Non dixit, vt multæ dicunt mulieres: Cõfudit eam Deus, diſſipauit & deiecit ſceleſtã, & arrogantem, & magniloquã. ſed ſimpliciter, *Dilatatum eſt os meum ſuper inimicos, lætata ſum in ſalutari tuo.* Vide quomodo eandem legem per totam precationem ſeruat. ſicut enim in principio dicebat, Confirmatum eſt cor meũ in Domino, exaltatum eſt cornu meum in Deo meo, dilatatum eſt os meum ſuper inimicos meos, ita & hic lætata ſum in ſalutari tuo. Non ſimpliciter in ſalutari, ſed in ſalutari tuo. Non enim quoniam ſeruata ſum, ſed quoniam per te ſeruata ſum, propterea lætor & exulto. Tales quippe ſunt ſanctorum animæ; Deo magis lætantur authore numerum, quàm ipſis muneribus, non enim propter dona ipſius, ſed dona propter illum diligunt. Hoc ſeruos gratos decet, hoc famulos agnoſcentes beneficii magnitudinem, videlicet rebus ſuis omnibus præponere Dominum. Sic etiam nos affecti ſimus: cùm peccauerimus, non doleamus, quia punimur,

1.Reg.2. 1.

In ſalutari Dei lætari quid ſit.

ſed quia Dominum offendimus; & ſi quod benefactum noſtrum eſt, non gaudeamus propter regna cœlorum, ſed quia rem cœlorum Regi gratam fecimus. qui enim ſanæ mentis eſt, offenſam Dei magis timet, quàm vllam gehennam, & beneuolentiam eius pluris æſtimat, quàm vllum regnum. Nec mireris ſi erga Deum eſſe ſic affectum oportet, cum erga homines multi ſic affecti ſint: ſiquidem non rarò qui germanos liberos habent, ſi vel inuiti eos læſerint, à ſe ipſis pœnas repoſcunt; & in amicis idem facere ſolemus. Quòd ſi amicos aut filios offendere multò grauius putamus quàm pœnas luere, multò magis erga Deum ſic affici decet, & omni gehenna grauius putandum eſt aliquid feciſſe quod illi diſpliceat. Talis erat Beatus Paulus, propterea dicebat,

Rom. 8. 39. Certus ſum quòd nec Angeli, neque Principatus, neque Poteſtates, neque præſentia, neque futura, neque altitudo, neque profundum, nec alia creatura poterit nos ſeparare à dilectione Dei, quæ eſt in Chriſto Ieſu domino noſtro. Quin & ſanctos Martyres cum beatos vocamus, ob vulnera primùm prædicamus, mox ob præmia, prius ob plagas, & tum demum ob coronas repoſitas: præmia enim propter vulnera contingunt, & non vice verſa. Ita beatus quoque Paulus non tàm repoſitis ſibi bonis, quàm moleſtijs propter Chriſtum perferendis gaudebat, clamabatque dicens, Gaudeo in paſſionibus pro vobis: & iterum, Non ſolùm autem, verùm & gloriamur in tribulationibus. & rurſum, Quoniam nobis donatum eſt à Deo, vt non ſolùm in eum credamus, ſed etiam pro eo patiamur.

Col.1.24 Rom.5.3 Phil.1.29

Eſt enim gratia verè maxima, dignum cenſeri propter Chriſtum aliquid pati, & corona verè perfecta, & merces futura retributione non minor: & hoc norunt, qui legitimè ac feruenter Chriſtum diligere ſciunt. Talis erat & hæc mulier, ardentiſſimum habens in Deum deſiderium, & ignitum amorem; propterea dicebat, Lætata ſum in ſalutari tuo. Nihil enim ipſi fuit cum terra commune, ſed omne humanum auxilium deſpiciebat,

A ἀλλ' ἐπειδὴ παρωξύναμεν τὸν δεσπότην· κἂν κατορθώσωμεν, μὴ χαίρωμεν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ἐπειδὴ ἠρέσαμεν τῷ βασιλεῖ τῶν οὐρανῶν. τῷ γὰρ νοῦν ἔχοντι γεέννης ἁπάσης φοβερώτερον τὸ προσκροῦσαι θεῷ, ὥσπερ καὶ βασιλείας ἁπάσης ποθεινότερον τὸ ἀρέσαι θεῷ. καὶ μὴ θαυμάσῃς, εἰ ἐπὶ τοῦ θεοῦ οὕτω διακεῖσθαι χρή, ὅπου γε καὶ ἐπ' ἀνθρώπων οὕτω πολλοὶ διάκεινται. υἱοὺς γοῦν ἔχοντες πολλάκις γνησίους· κἂν ἄκοντες αὐτοὺς διαθῶμέν τι κακόν, ἑαυτοὺς τιμωρούμεθα καὶ κολάζομεν· καὶ ἐπὶ φίλων δὲ τοῦτο ποιοῦμεν. εἰ δὲ ἐπὶ
B φίλων καὶ υἱῶν τοῦ κολασθῆναι τὸ λυπῆσαι ἐκείνους πολλῷ χαλεπώτερον εἶναι νομίζομεν, πολλῷ μᾶλλον ἐπὶ τοῦ θεοῦ οὕτω διακεῖσθαι χρή, καὶ γεέννης ἁπάσης χαλεπώτερον εἶναι νομίζειν τὸ ποιῆσαί τι τῶν μὴ δοκούντων αὐτῷ. τοιοῦτος ἦν ὁ μακάριος Παῦλος· διὰ τοῦτο ἔλεγε, πέπεισμαι, ὅτι οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. καὶ ἡμεῖς
C δὲ τοὺς ἁγίους μάρτυρας ὅταν μακαρίζωμεν, ἀπὸ τῶν τραυμάτων πρότερον μακαρίζομεν, καὶ τότε ἀπὸ τῶν βραβείων· ἀπὸ τῶν πληγῶν, καὶ τότε ἀπὸ τῶν ἀποκειμένων στεφάνων. ἀπὸ γὰρ τῶν τραυμάτων τὰ βραβεῖα, οὐκ ἀπὸ τῶν βραβείων τὰ τραύματα τὴν ἀρχὴν λαμβάνει καὶ τὴν ὑπόθεσιν. οὕτω καὶ ὁ μακάριος Παῦλος παρὰ τῶν ἀποκειμένων ἀγαθῶν ἐπὶ τοῖς συμβαίνουσιν αὐτῷ διὰ τὸν Χριστὸν λυπηροῖς ἔχαιρε, καὶ ἐβόα λέγων, χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν. καὶ πάλιν, οὐ μόνον δέ, ἀλλὰ καὶ καυ-
D χώμεθα ἐν ταῖς θλίψεσι. καὶ πάλιν, ὅτι ὑμῖν ἐχαρίσθη ἀπὸ τοῦ θεοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. καὶ γὰρ ὄντως χάρις μεγίστη, τὸ καταξιωθῆναι διὰ Χριστόν τι παθεῖν, καὶ στέφανος δὲ τὸ τοιοῦτον ἀπηρτισμένος, καὶ ἀμοιβὴ τῆς μελλούσης ἀντιδόσεως οὐκ ἐλάττων. καὶ τοῦτο ἴσασιν ὅσοι γνησίως καὶ θερμῶς φιλεῖν ἴσασι τὸν Χριστόν. τοιαύτη τις ἦν καὶ ἡ γυνὴ αὕτη, θερμὸν ἔχουσα περὶ τὸν θεὸν πόθον, καὶ φίλτρον διακαές. διὰ τοῦτο ἔλεγεν, εὐφράνθην ἐν σωτηρίᾳ σου. οὐδὲν γὰρ κοινὸν αὐτῇ πρὸς τὴν γῆν ἦν, ἀλλ' ὑπερεώρα ἀνθρωπίνης βοηθείας ἁπάσης.

καὶ ἐπτέρωτο τῇ τοῦ πνεύματος χάριτι, καὶ μετάρσιος ἦν, καὶ πρὸς τὸν θεὸν ἐν ἅπασιν ἔβλεπε, καὶ τῶν ἐπικειμένων δεινῶν τὴν λύσιν ἐκεῖθεν ἐζήτει. ᾔδει γάρ, ᾔδει σαφῶς, ὅτι τὰ μὲν ἀνθρώπινα, οἷα ἂν ᾖ, μιμεῖται τὴν φύσιν τῶν δεδωκότων· δεῖ δὲ πανταχοῦ τῆς ἄνωθεν ἡμῖν ῥοπῆς, εἴγε μέλλοιμεν ἐπ' ἀσφαλοῦς ὁρμεῖν τῆς ἀγκύρας. διὰ τοῦτο καὶ πρὸς αὐτὸν ἐν ἅπασι κατέφευγε, καὶ λαβοῦσα τὴν χάριν, ἐπὶ τῷ δεδωκότι μᾶλλον ἔχαιρε, καὶ εὐχαριστοῦσα ἔλεγεν. οὐκ ἔστιν ἅγιος, ὡς ὁ κύριος, καὶ οὐκ ἔστι δίκαιος, ὡς ὁ θεὸς ἡμῶν· καὶ οὐκ ἔστιν ἅγιος, πλὴν σοῦ. ἄληπτος γὰρ ἡ κρίσις αὐτοῦ, φησι, καθαρὰ καὶ ἀπαραλόγιστος ἡ ψῆφος. εἶδες ψυχῆς εὐγνώμονος ἔννοιαν; οὐ γὰρ εἶπε πρὸς ἑαυτήν, τί γάρ μοι μέγα γέγονε; τί δὲ πλέον τῶν ἄλλων; ὅπερ ἡ ἀντίζηλος πάλαι ἔλαβε, καὶ μετὰ πολλῆς τῆς δαψιλείας, τοῦτο μετὰ πολὺν χρόνον ἐγώ, μετὰ καμάτου καὶ δακρύων καὶ ἱκετηρίας καὶ δεήσεως καὶ πόνου πολλοῦ. ἀλλ' ἐπειδὴ καλῶς ἐπέπειστο περὶ τῆς τοῦ θεοῦ προνοίας, οὐκ ἀπαιτεῖ τὸν δεσπότην εὐθύνας τῶν γινομένων, ὃ πολλοὶ τῶν ἀνθρώπων ποιοῦσι, καθ' ἑκάστην ἡμέραν τῷ θεῷ δικάζοντες. κἂν ἴδωσι τὸν μὲν πλουτοῦντα, τὸν δὲ πενόμενον, μυρίους κατὰ τῆς προνοίας αὐτοῦ κινοῦσι λόγους. τί ποιεῖς, ἄνθρωπε; τῷ συνδούλῳ δικάζειν σε οὐκ ἀφῆκε Παῦλος, οὕτω λέγων, ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος· καὶ τὸν δεσπότην εἰς δικαστήριον ἕλκεις; καὶ λόγον ἀπαιτεῖς τῶν πεπραγμένων; καὶ οὐ φρίττεις, οὐδὲ δέδοικας; καὶ ποίας τεύξῃ συγγνώμης, ποίας δὲ ἀπολογίας, εἰπέ μοι, τοσαύτας μὲν τῆς προνοίας αὐτοῦ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἀποδείξεις λαμβάνων, ἀπὸ δὲ τῆς κατὰ τὸν πλοῦτον καὶ τὴν πενίαν δοκούσης ἀνωμαλίας εἶναι καταψηφιζόμενος τῆς ἐν ἅπασιν εὐταξίας, καὶ ταῦτα ἀδίκως; εἰ γὰρ μετὰ τῆς προσηκούσης γνώμης, καὶ πεπονημένῃ διανοίᾳ καὶ ταῦτα ἐξετάζειν ἤθελες, εἰ καὶ μηδὲν ἕτερον ἦν τὸ συνιστῶν τὴν τοῦ θεοῦ πρόνοιαν, ὁ πλοῦτος καὶ ἡ πενία ταύτην ἂν μάλιστα σαφῶς ἀπέδειξεν. ἂν γὰρ ἀνέλῃς τὴν πενίαν, τοῦ βίου τὴν σύστασιν ἀνεῖλες ἅπασαν, καὶ διέφθειρας ἡμῶν τὴν ζωήν· καὶ οὔτε ναύτης, οὔτε κυβερνήτης, οὐ γεωργός, οὐκ οἰκοδόμος,

A & erat eleuata ſpiritus gratia, & ſublimis, & in omnibus ad Deum reſpiciebat, & ab vrgentibus moleſtijs liberationem, illius beneficium eſſe rogabat. Nouerat enim, planè nouerat, quòd humana quidem, qualiacunque ſint, dantium imitantur naturam: nobis autem diuino ſemper opus eſt auxilio, ſi velimus ancoram in tuto firmare. quapropter ad Deum ſemper confugiebat; & acceptâ gratiâ, quòd Deus eius author eſſet, magis gaudebat, & gratias agens dicebat. *Non eſt ſanctus, vt eſt Dominus, & non eſt iuſtus ſicut Deus noſter, & non eſt ſanctus* (1. Reg. 2. 2.)
B *præter te.* Etenim irreprehenſibile, inquit, iudicium eius, & incorrupta infallibiliſque ſententia. Vidiſti gratæ animæ cogitatum? Non dixit intra ſe: quid magnum, aut quid præ alijs accepi? quod æmulæ meæ iam dudum copioſè contigit, id ego vix tandem magno conatu, & lacrymis, & precibus, & indefeſſis ſupplicationibus impetraui. Sed quoniam benè ſentiebat de Dei prouidentia, rationem beneficentiæ non repoſcit à Domino, quòd multi faciunt, per ſingulos dies Do-
C minum iudicando. Si viderint hunc prædiuitem, alium inopem, non deſinunt aduerſum eius prouidentiam obloqui. Quid facis ô homo? Conſeruum te iudicare non ſinit Paulus dicens, Nolite ante tempus iudicare, donec veniat Dominus: & tu Dominum in iudicium trahis, & rationem ab eo exigis, nec exhorres aut expaueſcis? & quam mereris veniam, obſecro, quàm excuſationem, cùm per ſingulos dies, imò verò ſingulis horis experimentum prouidentiæ capias; & tamen ob inæqualitatem, quæ
D inter diuites & pauperes videtur, omnium rerum bonam ordinationem damnes; idque iniuſtè? Si enim, ita vt decebat, cum magna mentis attentione hæc ſcrutari voluiſſes, etiamſi nullum aliud diuinæ prouidentiæ argumentum habuiſſes, certè ex diuitijs & paupertate eam deprehendere potuiſſes. paupertate enim ſublata, vitæ totius conſtitutio tolleretur, & omnis viuendi ratio perturbaretur. neque naueta erit, neque gubernator, non agricola, non cæmentarius,

Ratio beneficientiæ à Deo non repoſcẽda.

1. Cor. 4. 5.

non textor, non ſutor, non materiarius, non ærarius, non coriarius, piſtorue, nec alius vllus opifex: quibus ſi nobis carendum ſit, omnia peſſum ibunt. Nunc enim quaſi magiſtra quædam optima, neceſſitas paupertatis ſingulos ad opera vel inuitos perurget. Quòd ſi omnes eſſent diuites, omnes etiam in otio viuerent, atque ita omnia corrumperentur, & nihil non periret. Præterea ſuis ipſorum verbis conuinci poſſunt, & ad ſilentium redigi. Cur enim, quæſo, Dei prouidentiam accuſas? nempe quòd alius plus, alius minus pecuniarum poſſidet. Quid tum? ſi in maioribus rebus, & quibus vita noſtra conſtat, pares eſſe omnes homines oſtendam; neceſſe erit vt per omnia diuinam prouidentiam approbes. nam ſi inde colligis nullam eſſe prouidentiam, quòd vna in re potior ſit diuitum conditio, videlicet pecuniis; ſi compertum fuerit omnes æqualiter potiri, non vna re neque tam vili, ſed pluribus & multo maioioribus, perſpicuum eſt quòd inde vel inuitus Dei prouidentiæ cogeris aſtipulari. Age, ad ea quibus noſtra vita conſtat, ſermone progrediamur, eaque diligenter inquiramus, & videamus an in illis plus paupere diues habeat. Puta diues habet Thaſium, & alios multuos fictitios potus & ad voluptatem conditos, at fontes aquarum omnibus ſunt pariter propoſiti, tàm pauperibus quàm diuitibus. Riſiſti forte audiens hanc æqualitatem. Audi igitur quantò præſtantior ſit quouis vino aquæ natura, magiſque neceſſaria & vtilis; & reuocabis tuam ſententiam, veráſque pauperum diuitias intelliges. nam vino quidem ſublato non magnum fuerit detrimentum præterquam infirmis ſolis: ſi quis autem fontes ſuſtulerit & aquarum elementum, vitam omnem noſtram ſubuerterit, & omnes perdiderit artes: ac ne biduum quidem durare poterimus, ſed ſtatim omnes moriemur morte quadam miſerabili atque grauiſſima. In neceſſariis itaque rebus quibus vita conſtat, pauper non eſt inferior, imò, ſi mirum quiddam dicendum eſt, ſuperat etiam diuitem. multos enim

Paupertas artes inuenit.

An plus paupere diues habeat.

οὐχ ὑφάντης, οὐχ ὑποδηματορράφος, οὐ τέκτων, οὐ χαλκοτύπος, οὐ σκυτοτόμος, οὐ σιτοποιός, οὐκ ἄλλος τις τῶν δημιουργῶν ἔσται τούτων. τούτων δὲ οὐκ ὄντων, πάντα ἡμῖν οἰχήσεται. νῦν μὲν γάρ, καθάπερ διδάσκαλός τις ἀρίστη, ἑκάστῳ τούτων ἐπικαθημένη ἡ τῆς πενίας ἀνάγκη πρὸς τὰ ἔργα καὶ ἄκοντας συνωθεῖ. εἰ δὲ ἅπαντες ἔμελλον πλουτεῖν, ἅπαντες ἔμελλον ἐν ἀργίᾳ ζῆν· καὶ οὕτω πάντα ἂν ἀπώλετο καὶ διεφθάρη. χωρὶς δὲ τῶν εἰρημένων καὶ ἑτέρως αὐτοὺς ἀπ' αὐτῶν, ὧν ἐγκαλοῦσι, πάλιν ἐπιστομίσαι ῥᾴδιον. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, κατηγορεῖς τῆς τοῦ θεοῦ προνοίας; ἐπειδὴ ὁ μὲν πλείω, ὁ δὲ ἐλάττω κέκτηται χρήματα; τί οὖν ἂν ἐν τοῖς ἀναγκαιοτάτοις καὶ πολλῷ μείζοσι καὶ συνέχουσιν ἡμῶν τὴν ζωὴν δείξωμεν ἰσομοιρίαν οὖσαν πᾶσιν ἀνθρώποις, ψηφιῇ τῇ τοῦ θεοῦ προνοίᾳ; ἀνάγκη πᾶσα. εἰ γὰρ τὸ μὴ πάντας ἐπίσης ἀπολαύειν ἑνὸς πράγματος, χρημάτων λέγω, ἀπόδειξιν ποιῇ τοῦ μηδεμίαν εἶναι πρόνοιαν, ἂν φανῶσιν ἐξ ἴσης ἅπαντες ἀπολαύοντες, οὐχ ἑνὸς πράγματος, οὐδὲ οὕτως εὐτελοῦς, ἀλλὰ πλειόνων καὶ πολὺ μειζόνων, εὔδηλον ὅτι καὶ ἄκων ἐκεῖθεν συναναγκασθήσῃ ψηφίσασθαι τῇ τοῦ θεοῦ προνοίᾳ. δεῦρο οὖν ἐπὶ τὰ συνέχοντα τὴν ζωὴν ἡμῶν ἴωμεν τῷ λόγῳ, καὶ διερευνησώμεθα αὐτὰ μετὰ ἀκριβείας· καὶ εἴδωμεν εἰ πλεονεκτεῖ τὸν πένητα ὁ πλούσιος ἐν ἐκείνοις. οἶδ' ὅτι ὁ πλούσιος ἔχει θάσιον, καὶ ἕτερα πολλὰ τοιαῦτα πόματα πεφαρμακευμένα, καὶ μετὰ πολλῆς κατεσκευασμένα τῆς καρυκείας. ἀλλ' αἱ τῶν ὑδάτων πηγαὶ κοινῇ πᾶσι πρόκεινται, καὶ πλουσίοις, καὶ πένησι. τάχα ἐγέλασας ἀκούων τὴν ἰσότητα ταύτην. οὐκοῦν μάθε, πόσῳ τιμιώτερον οἴνου παντός, ὕδατος φύσις, καὶ ἀναγκαιότερον καὶ χρησιμώτερον· καὶ τότε σαυτοῦ καταγνώσῃ, καὶ τὸν ἀληθῆ τῶν πενήτων εἴσῃ πλοῦτον. οἴνου μὲν γὰρ ἀναιρεθέντος, οὐ πολλή τις ἂν γένοιτο βλάβη τινί, πλὴν τοῖς ἀσθενέσι μόνοις· ἂν δέ τις σβέσῃ τὰς τοῦ ὕδατος πηγὰς καὶ τὸ στοιχεῖον ἀνέλῃ, τὸν βίον ἡμῶν ἀνέτρεψεν ἅπαντα, καὶ πάσας τὰς τέχνας ἠφάνισε· καὶ οὔτε δύο δυνησόμεθα μόνον διαρκέσαι ἡμέρας, ἀλλ' εὐθέως ἀποθανούμεθα πάντες θάνατόν ἐλεεινόν τινα καὶ χαλεπώτατον. ὥστε ἐν τοῖς ἀναγκαιοτάτοις καὶ συνέχουσιν ἡμῶν τὴν ζωὴν ὁ πένης οὐδὲν πλεονεκτεῖται, ἀλλ', εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, καὶ πλεονεκτεῖ τοῦ πλουτοῦντος. πλουσίοις

μὲν γὰρ πολλοὺς ἔστιν ἰδεῖν ἀπὸ τῆς τοῦ σώματος ἀρρωστίας τῆς διὰ τὴν τρυφὴν ἐγγινομένης αὐτοῖς τὰ πολλὰ ὑδροποσίας ἀπεχομένους· ὁ δὲ πένης διὰ τοῦ βίου παντὸς ἀδεῶς ἀπολαύει τῶν ναμάτων τούτων, ὡς ἐπὶ πηγὰς μέλιτος, οὕτως ἐπὶ τὰς τῶν ὑδάτων τρέχων πηγάς, καὶ εἰλικρινῆ καὶ καθαρὰν ἐκεῖθεν καρπούμενος τὴν ἡδονήν. τί δὲ ἡ τοῦ πυρὸς φύσις, οὐχὶ μυρίων ἀναγκαιοτέρα θησαυρῶν καὶ πλούτου παντὸς ἀνθρωπίνου; καὶ αὐτὸς πάλιν ἐξ ἴσης πλουσίῳ καὶ πένητι πρόκειται τῆς χρείας ὁ θησαυρός. ἡ δὲ παρὰ τοῦ ἀέρος γινομένη τοῖς σώμασιν ἡμῶν ὠφέλεια, καὶ τὸ φῶς τῆς ἀκτῖνος; ἆρα τοῖς μὲν εὐπόροις πλέον τοῖς δὲ πένησιν ἔλαττον παραγίνεται; κἀκεῖνοι μὲν τέτρασιν, οὗτοι δὲ δύο μόνον καθορῶσιν αὐτὸ ὀφθαλμοῖς; ἀλλ᾽ οὐδὲ τοῦτο ἂν ἔχοι τις εἰπεῖν. καὶ γὰρ καὶ πλουσίοις καὶ πένησιν ἴσον τῆς ἀπολαύσεως ὥρισται μέτρον, μᾶλλον δὲ καὶ ἐνταῦθα τοὺς πένητας τῶν πλουτούντων πλεονεκτοῦντας ἴδοι τις ἄν, ὅσῳ καὶ τρανωτέρας τὰς αἰσθήσεις, καὶ ὀξύτερον τὸ ὄμμα, καὶ ἀκριβεστέρας ἔχουσι τὰς ἀντιλήψεις ἁπάσας. διὸ καὶ γνησιωτέραν καρποῦνται τὴν ἡδονήν, καὶ μᾶλλον ἐντρυφῶσι, καὶ ἀπολαύουσι τῇ θεωρίᾳ τῆς κτίσεως. οὐκ ἐπὶ τῶν στοιχείων δὲ μόνον τούτων, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τῶν παρὰ τῆς φύσεως εἰσενεχθέντων ἡμῖν, πολλὴν ὄψει τὴν ἰσότητα, μᾶλλον δὲ τὴν πλεονεξίαν παρὰ τοῖς πένησιν οὖσαν. καὶ γὰρ ὕπνος, ὁ πάσης τρυφῆς ἡδίων καὶ ἀναγκαιότερος, καὶ τροφῆς ἁπάσης χρησιμώτερος, εὐκολώτερος τοῖς πένησιν, ἢ τοῖς πλουσίοις ἐστίν· οὐκ εὐκολώτερος δὲ μόνον, ἀλλὰ καὶ εἰλικρινέστερος. ἐκείνοις μὲν γὰρ ἡ πολλὴ τρυφή, καὶ τὸ μήτε πεινῶντας ἐσθίειν, μήτε διψῶντας πίνειν, μήτε καθεύδειν νυστάζοντας, τὴν ἐν ἅπασιν ἡδονὴν ἐκλύειν εἴωθεν. οὐ γὰρ οὕτως ἡ τῶν πραγμάτων φύσις, ὡς τὸ τῆς χρείας ἀναγκαῖον ἕκαστον ἡμῖν τούτων ἡδὺ καθίστησιν. οὐχ οὕτω γοῦν τὸ πίνειν οἶνον ἡδὺν καὶ ἀνθοσμίαν, ὡς τὸ διψῶντας πίνειν ὕδωρ εὐφραίνειν εἴωθεν. οὐχ οὕτω τὸ πλακοῦντας ἐσθίειν, ὡς τὸ πεινῶντας ἐσθίειν· οὐχ οὕτω τὸ καθεύδειν ἐπὶ στρωμνῆς ἁπαλῆς, ὡς τὸ νυστάζοντας καθεύδειν· ἅπερ ἅπαντα παρὰ τοῖς πένησι μᾶλλόν ἐστιν, ἢ παρὰ τοῖς πλουτοῦσι. τὰ δὲ τῆς ὑγιείας τοῦ σώματος καὶ τῆς ἄλλης εὐεξίας ἁπάσης οὐ κοινὰ καὶ πλουσίοις καὶ πένησι πρόκειται; μὴ δύναταί τις εἰπεῖν ἢ δεῖξαι,

A tentiam aduerſus ſe latam reuocauit, diuites cernimus propter delicias valetudinarios, vt plurimum aquæ potu abſtinere: pauper autem per omnem vitam his fluentis libere fruitur, tanquam ad mellis fontes, ad aquarum currens riuulos, ſinceram inde & puram percepturus voluptatem. Quid autem ignis natura? nonne theſauris quibuſdam vtilior, humaniſque diuitiis omnibus? & hic quoque theſaurus ex æquo diuiti pariter ac pauperi propoſitus eſt. Quæ verò naſcitur ab aëre corporibus noſtris vtilitas, & lux ſolaris, nunquid diuiti-

B bus magis quàm pauperibus exhibetur, & eam illi quatuor, hi duobus tantùm oculis vident? Sed neque hoc quiſquam dicere poteſt: vtrique enim pari menſura ea perfruuntur: imò verò & hic pauperum partes ſunt potiores, quantò & ſenſus habent vegetiores, & acutiorem oculum, & vim percipiendi præſtantiorem. quapropter & veriorem hauriunt voluptatem, & creaturarum contemplatione magis delectantur. Non in ſolis autem elementis,

C ſed in omnibus aliis naturæ muneribus, multam videbis æqualitatem, imò prærogatiuam etiam pauperum: nam ſomnus omnibus deliciis ſuauior magiſque neceſſarius, omnique vtilior nutrimento, pauperibus eſt quàm diuitibus facilior: neque vero facilior tantum, ſed etiam ſyncerior. Illi enim, vt qui in deliciis degunt, cibo famem, potu ſitim, ſomno dormiendi neceſſitatem præueniunt, atque ita omnem voluptatem ſibimetipſis intercipiunt: non enim perinde in natura iſto-

Somnus ſuauior pauperi.

D rum, atque in vſu neceſſario, voluptas conſiſtit: non ità placentas edere iuuat, ſicut eſuriendo quemuis cibum ſumere: non ità molli recubare ſtrato, vt oppreſſum ſomno vbiuis iacere, quæ omnia magis apud pauperes ſunt, quàm apud diuites. Quæ verò pertinent ad corporis valetudinem, & omnem aliam bonam habitudinem, nonne communia ſunt diuitibus iuxta ac pauperibus? An vero dicere quiſpiam poteſt illud aut oſtendere,

Valetudo proſpera æquè pauperibus & diuitib.

A quòd pauperes ſemper ægrotent, diuites ſemper proſpera vtantur valetudine? Contrarium quidem videre licet, pauperes non facilè in ſanabilibus morbis capi, ſed eos paſſim in diuitum corporibus prouenire. certè podagræ, grauedines, diſſolutiones neruorum, aut contractiones, varii fluxus vitioſi ac corrupti, delicatos illos magis infeſtant, eos qui vnguenta olent, non eos qui laborant & exercentur, & quotidianâ operâ victum ſibi comparant. Quapropter mendicis etiam miſeriores ſunt, quotquot in deliciis viuunt, id quod nec ipſi inficiari poſſunt. B Frequenter quippe diues molli lectulo cubans, inter omnimoda ſeruorum ac ancillarum obſequia, audito mendico per vicum clamore panem petente ingemuit, & cùm lacrymis precatus eſt, vt talis fieret, dummodò ſanus, potius quàm in delitijs aduerſa laboraret valetudine. Nec tantùm valetudinis proſperitate, ſed prolis etiam fœlicitate, diuites nihilò potiores videas, quàm pauperes; ſed vtrobique indifferenter aut nullam aut numeroſam ſobolem: C quin potius & hac parte diuitem videas inferiorem. pauper enim licet pater non fiat, haud multum ſentit dolorem: diues autem quantò magis auctam rem videt, tantò magis orbitate angitur, hæredis deſiderio nullam ſentiens voluptatem. Et pauperis quidem hæreditas, licet ſine liberis decedat, cùm propter exilitatem non ſit contentione digna, ad amicos tranſit atque cognatos: diuitis autem, eò quòd multorum ad ſe alliciat oculos, non raro ad inimicos defuncti deuenit. Quod cùm ille viuens in alijs fieri videat, vitam D degit morte moleſtiorem, in ſe quoque expectans idem factum iri. Quod autem ad mortem attinet, nonne & hic eadem æqualitas? nonne tàm diuitibus quàm pauperibus immaturæ mortes accidunt? atque etiam poſt mortem nonne tàm his quàm illis omnibus ſimiliter corpus diſſoluitur, fauillaque fit & puluis & vermes gignit?

Funera diuitum & pauperum.

At funeralia nequaquam ſimilia. at quæ vtilitas? cùm enim defuncto multam inculcaueris veſtem pretioſam & auratam, nihil aliud niſi ma-

A ὅτι πένητες μὲν ἀρρωστοῦσι μόνον, πλούσιοι δὲ διὰ παντὸς ἐν καθαρᾷ διαμένουσιν ὑγιείᾳ; τοὐναντίον μὲν οὖν ἐστιν ἰδεῖν πένητας μὲν οὐ ῥᾳδίως ἁλισκομένους τοῖς ἀνιάτοις νοσήμασι, πανταχοῦ δὲ ἐν τοῖς τῶν πλουτούντων σώμασι ταῦτα βλαστάνοντα. ποδαλγίαι γοῦν καὶ καρηβαρίαι καὶ παρέσεις καὶ νεύρων ἀνήκεστοι διαστροφαί, καὶ πονηρὰ καὶ διεφθαρμένα ῥεύματα παντοδαπά, κἀκείνοις μάλιστα ἐνοχλεῖν εἴωθε τοῖς τρυφῶσι, τοῖς μύρων ὄζουσιν, οὐ τοῖς πονοῦσι καὶ ταλαιπωρουμένοις καὶ ἐκ τῆς καθ' ἑκάστην ἡμέραν ἐργασίας τὴν ἀναγκαίαν τροφὴν ποριζουσι. διὰ τοῦτο καὶ τῶν B προσαιτῶν οἱ τρυφῇ συζῶντες ἀθλιώτεροι πάντες· καὶ τοῦτο οὐδ' ἂν αὐτοὶ οἱ τρυφῶντες ἀντείποιεν. πολλάκις γοῦν πλούσιος ἐπὶ στρωμνῆς κατακείμενος ἁπαλῆς, οἰκετῶν καὶ θεραπαινίδων παρόντων, πολλῆς θεραπείας ἀπολαύων παρὰ πάντων, πένητος διὰ τοῦ στενωποῦ ἀκούσας βοῶντος, ἄρτον αἰτοῦντος, ἐδάκρυσε, καὶ ἐστέναξε, καὶ ηὔξατο γενέσθαι τοιοῦτος μετὰ τῆς ὑγιείας, ἢ μετὰ τοῦ πλούτου τὴν ἀρρωστίαν ἔχειν. οὐκ ἐπὶ τῆς ὑγιείας δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς παιδοποιΐας πάλιν οὐδὲν ὄψεταί τις τὸν πλούσιον τοῦ πένητος πλεονεκ- C τοῦντα· ἀλλ' ὁμοίως καὶ παρὰ τούτοις, καὶ παρ' ἐκείνοις καὶ πολυπαιδίαι καὶ ἀπαιδίαι· μᾶλλον δὲ κἂν τοῦτο ἴδοι τις ἂν τὸν πλούσιον ἐλαττούμενον. ὁ μὲν γὰρ πένης, κἂν μὴ γένηται πατήρ, οὐ πολλῆς αἰσθάνεται τῆς ὀδύνης· ὁ πλούσιος, ὅσῳ τὴν οὐσίαν αὐξομένην ὁρᾷ, τοσούτῳ δάκνεται μᾶλλον ὑπὸ τῆς ἀπαιδίας, οὐδεμιᾶς ἡδονῆς αἰσθανόμενος διὰ τὴν ἐρημίαν τοῦ κληρονόμου. καὶ τοῦ πένητος μὲν ὁ κλῆρος, κἂν ἄπαις ἀπέλθῃ, διὰ τὴν εὐτέλειαν οὐκ ὢν περιμάχητος, εἰς φίλους διέβη καὶ συγγενεῖς· ὁ δὲ τοῦ πλουτοῦντος πολλοὺς πάντοθεν D πρὸς ἑαυτὸν ὀφθαλμοὺς ἕλκων, εἰς τὰς χεῖρας τῶν ἐχθρῶν τοῦ τετελευτηκότος ἦλθε πολλάκις· καὶ ταῦτα ζῶν ἐκεῖνος, καὶ βλέπων ἐφ' ἑτέρων συμβαίνοντα, θανάτου παντὸς χαλεπώτερον βιώσεται βίον, καὶ ἐπ' αὐτοῦ τοῦτο συμβήσεσθαι προσδοκῶν. ἀλλὰ τὰ τοῦ θανάτου οὐ κοινά; οὐχὶ καὶ ἐπὶ πλουσίων καὶ πενήτων ἄωροι γίνονται θάνατοι; καὶ μετὰ τὸν θάνατον δὲ οὐχ ἅπασιν ὁμοίως καὶ τούτου κἀκείνου τὸ σῶμα διαλύεται, καὶ γίνεται τέφρα καὶ κόνις, καὶ σκώληκας τίκτει; ἀλλὰ τὰ τῶν ἐνταφίων οὐ κοινά, φησι. καὶ τί τὸ ὄφελος; ὅταν γὰρ πολλὴν ἐπιστιβάσῃς τῷ πλουσίῳ στολὴν καὶ πολυτελῆ καὶ δια-

A χρυσὸν, οὐδὲν ἕτερον, ἢ πλέον αὐτῷ περιέξεις τὸ μῖσος, καὶ μείζονα τὴν κατηγορίαν, καὶ τὰ πάντων ἀνοίξεις στόματα κατὰ τοῦ τετελευτηκότος, καὶ ἀρὰς μυρίας ἐπισπάσῃ κατ᾽ αὐτοῦ, καὶ σφοδροτέραν τῆς πλεονεξίας ἀναπλάσεις τὴν διαβολὴν, ἑκάστου διαρρηγνυμένου, καὶ ἀποπνιγομένου, καὶ καταρωμένου τὸν τελευτήσαντα, ὅτι μηδὲ ἀποθανὼν τὴν περὶ τὰ χρήματα μανίαν κατέλυσε. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ἀλλ᾽ ὅτι καὶ τοὺς τοιχωρύχων ἀνοίγει ὀφθαλμούς. ὥστε ἡ πλείων θεραπεία πλείονος ἀσχημοσύνης αὐτῷ γίνεται πρόφασις. τὸ μὲν γὰρ σῶμα τοῦ πένητος οὐκ ἄν τις ἕλοιτο γυμνῶσαι λοιπόν. B ἡ γὰρ εὐτέλεια τῶν ἱματίων φυλακὴ τῇ περιβολῇ τοῦ σώματος γίνεται. ἐνταῦθα δὲ κλεῖθρα καὶ μοχλοὶ καὶ θύραι καὶ φύλακες, καὶ πάντα εἰκῇ καὶ μάτην, τῆς τῶν χρημάτων ἐπιθυμίας τοὺς τὰ τοιαῦτα κακουργεῖν ἐπισταμένους πάντα τολμᾷν ἀναπειθούσης. ὥστε ἡ πλείων τιμὴ πλείονα ἐπάγει τῷ τετελευτηκότι τὴν ὕβριν, καὶ ὁ μὲν εὐτελῆ λαβὼν ἐντάφια, κεῖται τῆς τιμῆς ἀπολαύων· ὁ δὲ πολυτελῆ, γυμνοῦται καὶ ἀτιμάζεται. εἰ δὲ μηδὲν τούτων γένοιτο, οὐδὲ οὕτως ἔσται τι πλέον αὐτῷ, ἀλλ᾽ ἢ τὸ C δαψιλεστέραν παρασχεῖν τῷ σκώληκι τὴν τράπεζαν, καὶ πλείω γενέσθαι τὴν σηπεδόνα. ταῦτα οὖν, εἰπέ μοι, μακαρισμῶν ἄξια; καὶ τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς ἀπὸ τούτων ζηλωτὸν νομίζειν εἶναι ἄνθρωπον; οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ τὰ ἄλλα καθ᾽ ἕκαστον ἐπιόντες, καὶ μετὰ ἀκριβείας διερευνώμενοι, τοὺς πένητας τῶν πλουτούντων πολὺ πλέον εὑρήσομεν ἔχοντας. ταῦτ᾽ οὖν ἅπαντα μετὰ ἀκριβείας σκοποῦντες, καὶ τοῖς ἄλλοις ἅπασιν ἐπεξιόντες (δίδου γάρ, φησι, σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται) κἀκεῖνο μεμνημένοι διηνεκῶς, ὅτι οὐδὲ ἀπ᾽ αὐτῆς τῆς τῶν χρημάτων περιου- D σίας ἔσται τι πλέον τοῖς κεκτημένοις, ἀλλὰ φροντίδες καὶ ἀγωνίαι καὶ φόβοι καὶ κίνδυνοι, μηδὲν νομίζωμεν ἔλαττον ἔχειν τῶν πλουτούντων. ἐὰν γὰρ νήφωμεν, καὶ πλέον ἕξομεν, ἔν τε τοῖς κατὰ θεὸν πράγμασιν, ἔν τε τοῖς παροῦσιν ἅπασι. καὶ γὰρ ἡδονὴν καὶ ἀσφάλειαν καὶ δόξαν ἀγαθὴν καὶ ὑγείαν σώματος καὶ φιλοσοφίαν ψυχῆς καὶ χρηστὰς ἐλπίδας, καὶ τὸ μὴ ταχέως ἁμαρτάνειν παρὰ τοῖς πένησιν εὕροι τις μᾶλλον, ἢ παρὰ τοῖς πλουτοῦσι. μὴ τοίνυν κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν γογγύζωμεν, μηδὲ τοῦ δεσπότου κατηγορῶμεν, ἀλλ᾽ ἐν πᾶσιν εὐχαριστῶμεν, καὶ ἐν μό-

A iorem inuidiam & criminationem attuleris, & aduerſus defunctum omnium ora reſeraueris, & innumeras ei paraueris maledictiones, dum ſinguli rumpuntur indignatione, & mortuum execrantur, qui ne poſt obitum quidem inſanire in pecunias deſiuerit. Huc accedit áliud malum, quòd furum oculi irritantur. itaque quò maius eſt officium, eò maioris illis ſit occaſio contumeliæ. pauperis enim cadauer nemo ſpoliare curat, ipſa indumentorum vilitate tutum. hic autem obices & ſeræ fores atque custodes, omnia incaſſum adhibentur, B cùm pecuniarum auiditate nihil non audeant, qui talibus maleficiis ſeſe aſſuefecerunt. itaque maior honor defuncto maiorem infert iniuriam; & is, cui vilia funeralia contingunt, iacet inuiolato ſepulcri honore: cui verò pretioſa, is ſpoliatur ac illuditur; aut ſi hoc ludibrium euadat, ne ſic quidem potior erit, niſi quòd maior corruptio fiet, largiuſque vermi pabulum. Hæccine ſunt quæſo, ob quæ beatos prædicemus? & quis eſt adeò miſer ac ærumnoſus, vt ob hæc ho- C minem exiſtimet inuidioſum? Verùm & alia ſingula percurrentes, diligenterque ſcrutantes, pauperes diuitibus præponendos comperiemus. Hæc igitur diligenter conſiderantes, & omnia reliqua percurrentes, (dicitur enim, Da ſapienti occaſionem Prouer. 9. 9. & erit ſapientior,) & illud continuè retinentes memoria, quòd pecuniarum copia nihil amplius affert poſſeſſoribus, quàm curas, ſolicitudines, timores, & pericula; nihilo deteriorem quàm diuitum noſtram conditionem putemus. Si enim ad- D uigilauerimus, potiores etiam partes habebimus, tàm in huius ſeculi rebus, quàm in diuinis. nam & voluptatem & ſecuritatem, bonamque opinionem ac valetudinem, tùm rectam viuendi rationem, ſpem in futurum bonam, minoremque peccandi occaſionem apud pauperes magis, quàm apud diuites inuenias. Abſit igitur vt more ſeruorum ingratorum murmuremus, aut vituperemus dominum, ſed pro omnibus

rebus gratias agamus, nihil malum A ducentes niſi peccatum, nihil bonum niſi iuſtitiam. ſi ſic ſenſerimus, non ægritudo, non inopia, non ignominia, nihil denique ſimile moleſtum nobis erit: ſed puram ex omnibus rebus percipientes voluptatem, futura conſequemur bona, gratia Domini noſtri Ieſu Chriſti, cum quo Patri gloria ſimul & ſancto Spiritui in ſecula ſeculorum, Amen.

Homilia I.

De Dauide & Saule, déque tolerantia, & quòd oportet inimicis parcere, nec B de abſentibus malè loqui.

Des. Erasmo interprete.

Quoties diutina quæpiam ac dura inflatio corporibus inhæſit, tum & longo tempore, multóque labore, & multa ſapientia in admouendis remediis eſt opus, vt collectus tumor, abſque vitæ periculo diſſoluatur. C Idem videre eſt in anima. Quoties enim aliquis morbum, qui iam radices egit in anima, multóque tempore concretus ſit, radicitus euellere voluerit, non ſatis eſt ad correctionem vnius duorúmve dierum admonitio: verùm oportet frequenter ac diebus compluribus in hac cura verſari, ſi modò non ad ambitionem ac voluptatem, ſed ad fructum, & vtilitatem munus hoc concionatoris geſturi ſumus. Eóque, quemadmodum de iuramentis fecimus, multis ordine diebus vobis de eodem diſſerentes argu- D mento: itidem de ira nunc faciemus, continuámque de ea faciemus exhortationem pro noſtra quidem virili. Nam hic mihi videtur optimus eſſe docendi modus, ſi non prius deſiſtamus conſulendo quacunque de re, quàm viderimus admonitionem ad effectum perueniſſe. Etenim qui hodie de eleemoſyna, cras de orando, perendie de humanitate, deinde rurſus de animi modeſtia diſſerit, nihil horum in auditorum animis perficere rectè poterit, ab hoc ad illud, rurſus ab illo ſemper

A νον νομίζωμεν εἶναι δεινὸν, ἁμαρτίαν, καὶ ἀγαθὸν, δικαιοσύνην. ἂν γὰρ οὕτως ὦμεν διακείμενοι, οὐ νόσος, οὐ πενία, οὐκ ἀτιμία, οὐκ ἄλλο οὐδὲν τῶν δοκούντων εἶναι λυπηρῶν ἡμᾶς δήξεται. ἀλλὰ καθαρὰν ἡδονὴν καρπωσάμενοι διὰ πάντων τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὁμιλία ϛ.

B Εἰς τὰ κατὰ τὸν Δαβὶδ καὶ τὸν Σαοὺλ καὶ περὶ ἀνεξικακίας, καὶ τοῦ δεῖν φείδεσθαι τῶν ἐχθρῶν, καὶ μηδὲ ἀπόντας λέγειν κακῶς.

Ὅταν χρονία τις καὶ σκληρὰ φλεγμονὴ τοῖς σώμασιν ἐναποσκιρρωθεῖσα τύχῃ, πολλοῦ μὲν χρόνου καὶ πόνου, πολλῆς δὲ τῆς ἀπὸ τῶν φαρμάκων δεῖται σο- C φίας, ὥστε ἀσφαλῶς αὐτῆς χαλασθῆναι τὸν ὄγκον· τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς ἐστιν ἰδεῖν. ὅταν γὰρ πάθος ἐρριζωμένον καὶ πολὺν ἐμφιλοχωρῆσαν τῇ ψυχῇ χρόνον βούλεταί τις πρόρριζον ἀνελεῖν, οὐκ ἀρκεῖ μιᾶς, οὐδὲ δύο ἡμερῶν πρὸς τὴν διόρθωσιν ταύτην παραίνεσις, ἀλλὰ χρὴ πολλάκις καὶ ἐπὶ πολλαῖς ταῖς ἡμέραις περὶ ταύτης διαλέγεσθαι τῆς ὑποθέσεως· εἴ γε μὴ μέλλοιμεν πρὸς φιλοτιμίαν καὶ τέρψιν, ἀλλὰ πρὸς κέρδος καὶ ὠφέλειαν δημηγορεῖν. διὰ δὴ τοῦτο, ὅπερ ἐπὶ τῶν ὅρκων ἐποιήσαμεν, πολλὰς ἐφεξῆς ἡμέ- D ρας περὶ τῆς αὐτῆς ὑποθέσεως διαλεχθέντες ὑμῖν, τοῦτο καὶ ἐπὶ τῆς ὀργῆς ἐργασώμεθα, καὶ συνεχῆ περὶ αὐτῆς ποιησώμεθα συμβουλὴν κατὰ δύναμιν τὴν ἡμετέραν. καὶ γὰρ οὗτος ἄριστος διδασκαλίας εἶναί μοι δοκεῖ τρόπος, τὸ μὴ πρότερον ἀφίστασθαι συμβουλεύοντας ὑπὲρ ὁτουοῦν, ἕως ἂν εἰς ἔργον τὴν συμβουλὴν ἐξελθοῦσαν ἴδωμεν. ὁ γὰρ σήμερον μὲν περὶ ἐλεημοσύνης, αὔριον δὲ περὶ εὐχῆς, μετ' ἐκείνην δὲ περὶ ἐπιεικείας, εἶτα πάλιν περὶ ταπεινοφροσύνης διαλεγόμενος, οὐδέτερον τούτων ἐν τοῖς ἀκροαταῖς κατορθῶσαι δυνήσεται, ἀπὸ τούτου πρὸς ἐκεῖνο, καὶ πάλιν

λιν ἀπ' ἐκείνου πρὸς ἕτερον συνεχῶς μεταπηδῶν· ἀλλὰ χρὴ τὸν μέλλοντα κατορθοῦν ἐν τοῖς ἀκούουσι τὰ λεγόμενα, μὴ πρότερον ἀφίστασθαι περὶ τὴν αὐτὴν παραινοῦντα καὶ συμβουλεύοντα, μηδὲ ἐφ' ἕτερόν τι μεταπηδᾷν, ἕως ἂν ἴδῃ τὴν προτέραν παραίνεσιν καλῶς ἐν αὐτοῖς ῥιζωθεῖσαν. τοῦτο καὶ οἱ διδάσκαλοι ποιοῦσιν· οὐ πρότερον ἐπὶ τὰς συλλαβὰς τοὺς παῖδας ἄγουσιν, ἕως ἂν τὴν στοιχείων τὴν γνῶσιν ἐν αὐτοῖς κατορθωθεῖσαν ἴδωσι. πρώην μὲν οὖν ὑμῖν τὴν παραβολὴν ἀναγνόντες τῶν ἑκατὸν δηναρίων καὶ τῶν μυρίων ταλάντων, ἐδείκνυμεν ὅσον ἐστὶ κακὸν τὸ μνησικακεῖν. ὃν γὰρ οὐκ ἀπώλεσε τὰ μυρία τάλαντα, τοῦτον ἑκατὸν δηνάρια κατεπόντισε, καὶ τὴν δοθεῖσαν συγγνώμην ἀνεκαλέσατο, καὶ τὴν δωρεὰν ἀπεκρούσατο, καὶ ἀπαλλαγέντα τῶν εὐθυνῶν εἰς τὸ δικαστήριον πάλιν εἰσήγαγε, κἀκεῖθεν εἰς τὸ δεσμωτήριον ἐνέβαλε, καὶ οὕτως ἀθανάτῳ αὐτὸν παρέδωκε τιμωρίᾳ. σήμερον δὲ ἐφ' ἑτέραν ὑπόθεσιν τὸν λόγον χειραγωγήσομεν. ἔδει μὲν γάρ, εἴπερ δίκαιον ἐγίνετο, τὸν λέγοντα περὶ ἐπιεικείας τε καὶ πραότητος, οἴκοθεν καὶ παρ' ἑαυτοῦ τὰ παραδείγματα παρέχειν τῆς καλῆς ταύτης φιλοσοφίας, ὥστε καὶ διὰ τῶν λόγων διδάσκειν, καὶ διὰ τῶν ἔργων παιδεύειν. ἐπειδὴ δὴ πολὺ ταύτης ἀποδέομεν τῆς ἀρετῆς ἡμεῖς, ἕνα τινὰ τῶν ἁγίων ἑλκύσαντες εἰς μέσον, καὶ πρὸ τῶν ὀφθαλμῶν στήσαντες τῶν ὑμετέρων, ἐναργῆ τινα καὶ δυνατὴν ὑμῖν ποιησόμεθα τὴν παράκλησιν, ὥσπερ ἀρχέτυπόν τινα εἰκόνα, τὴν ἀρετὴν τοῦ δικαίου μιμεῖσθαι παρακελευόμενοι καὶ ὑμῖν καὶ ἡμῖν αὐτοῖς. τίνα οὖν εἰς μέσον ἀγαγεῖν χρὴ περὶ ἐπιεικείας διαλεγόμενον; τίνα δὲ ἄλλον, ἀλλ' ἢ τὸν μαρτυρίαν ἄνωθεν δεξάμενον, καὶ ἐπὶ τούτῳ μάλιστα θαυμασθέντα; εὗρον γάρ, φησι, Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου, ὅταν δὲ ὁ θεὸς ἀποφαίνηται, οὐδεμία τοῖς ἀντιλέγουσιν ὑπολέλειπται πρόφασις. ἀδέκαστος γὰρ ἡ ψῆφος ἐκείνη, οὔτε πρὸς χάριν, οὔτε πρὸς ἀπέχθειαν τοῦ θεοῦ κρίνοντος, ἀλλὰ τῇ τῆς ψυχῆς ἀρετῇ γυμνῇ ψηφιζομένου. οὐ διὰ τοῦτο δὲ μόνον αὐτὸν εἰς μέσον ἄγομεν, ὅτι παρὰ τοῦ θεοῦ τὴν ψῆφον ἐδέξατο, ἀλλ' ὅτι καὶ τῶν ἐν τῇ παλαιᾷ τραφέντων ἐστί.

A aliò tranſiliens: ſed neceſſe eſt, vt qui velit orationem in auditorum animis fructum deſtinatum aſſequi, non antè deſiſtat iiſdem de rebus admonens cõſuléſque, nec prius ad aliud quippiam tranſiliat, quàm conſpexerit ſuperiorẽ admonitiouem in eis bene fixam ac radicatam. Idem hoc facere ſolent præceptores. Nõ prius ad ſyllabas, hoc eſt, literarum coniunctionem adducunt pueros, quàm elemẽtorum cognitionẽ in eis viderint rectè confirmatam. Heſterno igitur die parabolam vobis de decem denariis, ac decem millibus talentorum enarrantes, oſtendimus quàntum eſſet malum, iniuriarum meminiſſe. Quem enim decem millia talentorum non perdiderant, hunc cẽtum denarij exitio demerſerunt, ac veniã pro debitis conceſſam, in irritum reuocarunt, debitæque pecuniæ condonationem diſſiparunt: cúmque qui fuerat à criminibus liberatus in iudicium retraxerunt, atque ipſum debitorem in carcerem coniecerunt, denique immortali ſupplicio tradiderunt: Sed hodie de diuerſo argumẽto dicere tentabimus. Oportebat enim, ſi fieret, quod æquum C erat, de humanitate ac manſuetudine verba facientem, è domo atque ex ſeſe iſtius præclarę philoſophiæ exẽpla prębere, atque ita demum ſimul & verbis eam docere, & factis ad eam inſtituere. Quoniam autem nos ab hac virtute lõgo abſumus interuallo, vno quopiam è numero ſanctorum in medium producto, oculiſque veſtris ſubiecto, perſpicuam quandam ac potentem vobis admouebimus exhortationem, admonẽtes vt dum velut ad archetypi cuiuſdã æmulationem adhortamur, admoneamus & vos & nos ipſos. Quis igitur in D mediũ proferendus eſt de humanitate dicturo? Quis verò alius, quã is qui cœcelesti teſtimonio laudari meruit, ob hoc ipſum maximè ſuſcipiendus? Inueni, inqnit, Dauid filium Ieſſe, virum ſecundum cor meum. Porro poſteaquam Deus pronunciauit, nulla contradicendi reliqua eſt occaſio. Nam illius calculus incorruptus eſt, eò quòd Deus nec ad gratiam, nec per odium iudicat, ſed pro mera animi virtute fert ſuffragium. At non ob id tantũ hunc in mediũ produximus, quòd numinis ſuffragio fuerit laudatus verũ etiã quòd ſit de numero eorũ qui ſub vetere lege ſunt educati.

Homilia de debitore decẽ millium.

Matt. 18

Dauid exẽplar humanitatis.

1. Reg. 13: 14. & Act. 1

1. Reg. 9 15.

Siquidem ſub lege gratiæ extitiſſe quempiam ab ira purum, & inimicis delicta condonantem, ac parcentem iis à quibus fuerit moleſtia affectus, nihil ſanè mirum, videlicet poſt Christi mortem, poſteaquam ille tam clementer nobis omnia peccata remiſit, poſt toſt præcepta referta euangelicæ philoſophiæ. Cæterùm in vetere teſtamento quum lex permitteret oculum pro oculo effodere, ac dentem pro dente extundere, eúmque qui læſiſſet talionis æquilibrio vlciſci, aliquem extitiſſe qui præceptorum fines tranſilierit, adque apoſtolicam peruenerit philoſophiam, quem hominum ſi audierit, non adducet in ſtuporem? quem ſi quod audiuit, nequaquam imitetur, non priuet omnia venia, omníque excuſatione? Sed vt exactius pleniúſque huius Dauidis virtutem cognoſcatis, concedite mihi vt orationem paulò altius repetam, eiúſque benefacta commemorem quæ beatus ille vir in Saulem contulit. Nam non vlciſci eum qui ſimpliciter inimicus læſit, nihil miri eſt. At qui hominem à ſe multis affectum beneficiis, ſed qui pro benefactis beneficum ſemel atque iterum, imò frequenter interficere conatus ſit, poſteaquã in manus incidiſſet, vt iam liceret occidere, ſuſtinuit, non ipſum dimittere tantùm, verumetiam ex aliorum inſidiis eripere, præſertim quum ſciret illum poſt eadem moliturum, quid is reliquum fecit, quod ad ſummam philoſophiam poſſit adiungi?

Exod. 21 24.

Quibus autem beneficiis Dauid affecerit Saulem, quando, & quo pacto, paucis enarrãtem me ſuſtinete. Quum aliquando Iudæi bello difficillimo premerenrur, adeò vt omnes pauore eſſent conſternati, nec quiſquam auderet erigere caput, ſed in extrema deſperatione eſſet ciuitas, ſingulis mortem præ oculis habentibus, quotidiéque mortem expectantibus cunctis, vt vitam agerent miſeriorem iis qui degunt in teterrimo carcere, hic ab ouibus veniens ad exercitum, quum per ætatem nec artem bellandi callere poſſet, ac laborum militarium rudis eſſet, ipſe pro vniuerſis bellum in ſe recepit, ac fœliciter rem geſſit, ſuprà quàm quiſquam ſperaſſet.

Benefi-cia Da-uidis in Saulem.

Dauid Goliaht interfi-cit.

A Τὸ μὲν γὰρ ἐπὶ τῆς χάριτος φανῆναί τινα καθαρὸν ὀργῆς, καὶ τοῖς ἐχθροῖς ἀφιέντα τὰ ἁμαρτήματα, καὶ τῶν λελυπηκότων φειδόμενον, θαυμαστὸν οὐδὲν, μετὰ τὸν τοῦ Χριστοῦ θάνατον, μετὰ τὴν τοσαύτην τῶν ἁμαρτημάτων ἄφεσιν, μετὰ τὰ φιλοσοφίας γέμοντα ἐπιτάγματα· τὸ δὲ ἐπὶ τῆς παλαιᾶς, ἡνίκα ὁ νόμος συνεχώρει ὀφθαλμὸν ἐξορύττειν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ τοῖς ἴσοις ἀμύνεσθαι ἀδικήσαντα, φανῆναί τινα ὑπερβαίνοντα τὰ μέτρα τῶν προσταγμάτων, καὶ πρὸς τὴν ἀποστολικὴν φθάσαντα φιλοσοφίαν, τίνα B μὲν οὐκ ἂν ἐξέπληξε τῶν ἀκουόντων, τίνα δὲ οὐκ ἂν τῶν μὴ ζηλούντων πάσης ἀπεστέρησε συγγνώμης τε καὶ ἀπολογίας; ἵνα δὲ ἀκριβέστερον αὐτοῦ καταμάθωμεν τὴν ἀρετὴν, δότε μοι μικρὸν ἀνωτέρω τὸν λόγον ἀγαγεῖν, καὶ τὰς εὐεργεσίας εἰπεῖν, ἃς εἰς τὸν Σαοὺλ κατέθετο ὁ μακάριος οὗτος ἀνήρ. τὸ μὲν γὰρ ἁπλῶς ἐχθρὸν λυπήσαντα μὴ ἀμύνασθαι, θαυμαστὸν οὐδέν· τὸ δὲ ἄνθρωπον εὐεργετηθέντα πολλὰς καὶ μεγάλας εὐεργεσίας, εἶτα ἀντὶ τῶν εὐεργεσιῶν ἐκείνων καὶ ἅπαξ καὶ δὶς C καὶ πολλάκις ἀνελεῖν ἐπιχειρήσαντα τὸν εὐεργέτην, λαβόντα εἰς χεῖρας, καὶ κύριον γενόμενον ἀνελεῖν, καὶ αὐτὸν ἀφεῖναι, καὶ τῆς ἑτέρων ἐπιβουλῆς ἐξαρπάσαι, καὶ ταῦτα πάλιν τοῖς αὐτοῖς ἐπιθήσεσθαι μέλλοντα, τίνα ἂν καταλίποι λοιπὸν φιλοσοφίας ὑπερβολήν; τίνας οὖν εὐεργέτησεν ὁ Δαβὶδ εὐεργεσίας τὸν Σαοὺλ, καὶ πότε καὶ πῶς, ἀνάσχεσθε διὰ βραχέων διηγουμένου. πολέμου γάρ ποτε τοὺς Ἰουδαίους καταλαβόντος χαλεπωτάτου, καὶ πάντων καταπεπληχότων καὶ δεδοι- D κότων, καὶ οὐδενὸς προκύψαι τολμῶντος, ἀλλ' ἐν ἐσχάτοις τῆς πόλεως οὔσης ἁπάσης, καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἑκάστου βλέποντος, καὶ καθ' ἑκάστην ἀποθανεῖσθαι τὴν ἡμέραν προσδοκώντων ἁπάντων, καὶ τῶν ἐπὶ τὸ βάραθρον ἀγομένων ἀθλιώτερον ζώντων τὸν βίον, εἰσελθὼν οὗτος ἀπὸ τῶν προβάτων ἐπὶ τὴν παράταξιν, καὶ τῆς ἡλικίας καὶ τῆς τέχνης ἀτέλειαν παρεχούσης αὐτῷ τῶν πολεμικῶν πόνων, τὸν ἁπάντων αὐτὸς ἀνεδέξατο πόλεμον, καὶ κατώρθωσεν ἐλπίδος ἁπάσης κρείττονα κατορθώματα·

A καίτοι εἰ καὶ μηδὲν ἦν κατωρθωκὼς, τῆς προθυμίας αὐτὸν, καὶ τῆς προθέσεως ἕνεκεν στεφανοῦν ἔδει μόνον. Εἰ μὲν γὰρ στρατιώτην τινὰ τῶν ἐν ἡλικίᾳ ποιῆσαι, τοῦτο θαυμαστὸν οὐδὲν (ὁ γὰρ τῆς στρατείας νόμος τοῦτο ἀπῄτει) ἐπεὶ δὲ οὐδεμίαν ἑώρων ἀνάγκην ἐπικειμένην, ἀλλὰ καὶ πολλοὺς τοὺς κωλύοντας ἔχων (καὶ γὰρ καὶ ὁ ἀδελφὸς ἐπετίμησε, καὶ ὁ βασιλεὺς πρὸς τὸ τῆς ἡλικίας ἄωρον καὶ τὸ τῶν κινδύνων ἀφόρητον βλέπων, κατεῖχε καὶ μένειν ἐκέλευε λέγων· οὐ δυνήσῃ πορευθῆναι, ὅτι σὺ παιδάριον εἶ, αὐτὸς δὲ ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ) ἀλλ' ὅμως οὐδεμιᾶς αὐτὸν ἑλκούσης προφάσεως, οἴκοθεν καὶ παρ' ἑαυτοῦ B διαθερμανθεὶς θείῳ ζήλῳ καὶ τῷ τῆς πατρίδος ἔρωτι, ὥσπερ πρόβατα μᾶλλον ἢ ἀνθρώπους ὁρῶν, καὶ ὡς κύνας μᾶλλον ἢ στρατόπεδον ἀνθρώπων τοιοῦτον μέλλων ἐλαύνειν, οὕτω μετ' ἀδείας ἐπὶ τοὺς βαρβάρους ἔτρεχε, καὶ τοσαύτην περὶ τὸν βασιλέα κηδεμονίαν ἐπεδείξατο τότε, ὡς καὶ πρὸ τοῦ πολέμου καὶ τῆς νίκης ἐπὶ ὄψιν αὐτὸν κείμενον ἀναστῆσαι. οὐ γὰρ δὴ μόνον αὐτὸν τοῖς ἔργοις μετὰ ταῦτα ὠφέλει, ἀλλὰ καὶ πρὸ τούτου τοῖς ῥήμασι παρεκάλει καὶ θαρρεῖν ἔπειθε, καὶ χρηστὰς περὶ τῶν μελλόντων C ἐλπίδας ἔχειν, οὕτω λέγων· μὴ συμπεσέτω ἡ καρδία τοῦ κυρίου μου ἐπ' αὐτὸν, ὅτι ὁ δοῦλός σου πορεύσεται, καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου. ἆρα μικρὸν τοῦτο, εἰπέ μοι, τὸν μηδεμίαν ἀνάγκην ἔχοντα, τὴν ψυχὴν ἐπιδοῦναι τὴν ἑαυτοῦ, καὶ ὑπὲρ τῆς ἐκείνων ὠφελείας εἰς μέσους πηδῆσαι τοὺς πολεμίους, μηδὲν μηδέποτε παρ' αὐτῶν εὖ παθόντα; ἆρα οὐκ ἔδει αὐτὸν μετὰ ταῦτα δεσπότην ἐπιγράφεσθαι, καὶ σωτῆρα κοινὸν τῆς πόλεως ἀναγορεύειν, τὸν καὶ τὸ σχῆμα τῆς βασιλείας, καὶ τὸ τῶν πόλεων ἔδαφος, καὶ τὴν ἁπάντων ζωὴν μετὰ τὴν τοῦ θεοῦ χάριν διατηρήσαντα; ποία γὰρ ταύ- D της εὐεργεσία μείζων ἑτέρα ἦν; οὐ γὰρ εἰς χρήματα, οὐδὲ εἰς δόξαν καὶ δυναστείαν, ἀλλ' εἰς αὐτὴν αὐτοῦ τὴν ψυχὴν τὴν εὐεργεσίαν κατέθετο, καὶ ἐξ αὐτῶν αὐτὸν ἀνεκαλέσατο τῶν τοῦ θανάτου πυλῶν, καὶ τότε εἰς ἄνθρωπον ἧκεν, δι' ἐκεῖνον ἔζη λοιπὸν ὁ βασιλεὺς, καὶ ἀπέλαυε τῆς ἀρχῆς. πῶς οὖν αὐτὸν μετὰ ταῦτα ἠμείψατο; εἰ μὲν γὰρ αὐτό τις τῶν κατορθωμάτων ἴδοι τὸ μέγεθος, οὐδ' εἰ τὸν στέφανον ἀπὸ τῆς αὐτοῦ λαβὼν κεφαλῆς ἐπὶ τὴν τοῦ Δαβὶδ ἔθηκεν, οὐδέπω τὴν ἀξίαν ἦν ἀποδεδωκὼς, ἀλλὰ τὸ πλέον ὀφείλων.

Quanquam etiam ſi virtuti defuiſſet euentus, tamen ob ſolam animi promptitudinem egregiúmque propoſitum coronandus erat. Iam ſi quis è numero militum ætate vigens facinus hoc deſignaſſet, nihil fuiſſet mirum, videlicet id poſtulante militari lege. At hic qui vſque adeò nullam videbat neceſſitatem huc adigentem, vt multos etiam haberet dehortantes: Nam & frater illum increpauit, & Rex perſpiciens illum nondum ætate maturum, ac periculis perferendis inhabilem cohibuit, ac manere iuſſit, dicēs: Non poteris ire, quoniam puer es: ille verò vir eſt bellator ab adoleſcentia ſua: attamen quum nulla illum prouocaret occaſio, ſuapte ſponte & ex ſeſe diuino accenſus zelo, patriæq; charitate, perinde quaſi oues cerneret verius quàm homines, & quaſi canes inuaſurus eſſet potius quàm tam numeroſum hominum exercitum, adeò intrepidè ad Barbaros cucurrit: ídque temporis tantam erga Regem ſolitudinem declarauit, vt illum etiam ante prælium ac victoriam in faciem proſtratum erexerit. Neq; enim factis modò iuuit illum, ſed ante factū etiam verbis hortatus eſt bono animo vt eſſet, ac perſuaſit, vtq; de euentu bonam conciperet ſpem effecit, ita loquēs: Ne concidat cor domini mei in ipſo, quoniam ſeruus tuus ibit, pugnabitque cum alienigena hoc. Quæſo num hoc parum videtur, nulla neceſſitate compulſum, ſuam ipſius vitam prodere, & in eorum vtilitatem à quibus nihil vnquam acceperat beneficij, in medios hoſtes irruere? An non par erat, hunc poſt tale facinus ornare titulo domini columnis inſcripto, & publicum ciuitatis ſeruatorem appellare? qui & regni decus, & ciuitatum fundamenta, & omnium vitam opitulante Dei gratia ſeruarit? Quod eſſe poterat aliud beneficium hoc maius? Neq; enim in gloriam aut potentiam, ſed in ipſam ipſius vitam beneficiū hoc contulit, & ab ipſis mortis portis reuocauit: Itaq; ſi humanum qudem ſubſidiū ſpectes, illius beneficio deinde vixit Rex, ac principatum obtinuit. Et poſtea, quam illi repoſuit gratiam? Nam ſi quis perpendat pręclare geſtorū magnitudinem, etiāſi rex à ſuo capite detractā coronā Dauid capiti impoſuiſſet, nūquam parē retuliſſet gratiā, ſed ampliorem debuiſſet.

1 Reg. 17. 33.

Ibidē 32. Verba Dauidis ad Saulem.

Hic enim & vitam & regnum illi donauit, ille verò huic regnum tantùm erat ceſſurus. Verumtamen conſideremus relatam pro benefactis gratiam. Quæ tandem erat illa? De cætero & ab illo die ſuſpectum habuit Dauid, & ab illo metuit ſibi. Cur, & quam ob cauſam? Nam & ſuſpicionis cauſa commemoranda eſt. Neque enim protinus quicquid aliquis dixerit, idem eſſe iuſtum affimabit. Quamquam erga eum qui animam impendit, & vitam dedit, quę poterat eſſe iuſta ſuſpicionis cauſa? Sed tamen ipſam inimicitiæ cauſam inſpiciamus, vt aliquid diſcatis, quod nec ipſa victoria ſit inferius: quódque Dauid ſit honore dignus ob ea ipſa, propter quæ deinceps venit in ſuſpicionem, & inſidijs appetitus eſt. Quæ igitur erat ſuſpicionis cauſa? Poſteaquam Barbari illius caput abſtulit, & ſpolia geſtans rediit: Exierunt, inquit, mulieres canentes ac dicentes: Percuſſit Saül in millibus ſuis, & Dauid in decem millibus ſuis. Et iratus eſt Saül, & ſuſpectum habuit Dauid ab eo die ac deinceps. Cuius obſecro rei gratia? Etiamſi hæc præter meritum fuiſſent dicta, ne ſic quidem oportebat hoſtilem in Dauidem gerere animum. Sed poſteaquam ex rebus geſtis, illius erga ſe beneuolentiam habebat compertam, quippe qui nullo cogente aut compellente, ſuapte beneuolentia tantum ſubiſſet diſcriminis, non oportebat deinceps quicquam de illo ſuſpicari mali. Nunc autem ecce etiam ipſa laus dabātur pro merito, & ſi fas eſt vera proloqui, in Saulis gratiam illa dicta ſunt potius, quàm in Dauidis. Debebat autem eſſe ſua laude contentus, quòd illi tribuiſſent mille. Cur igitur indignatus eſt, quòd Dauidi tribuerint decem millia? Etenim ſi Rex ad bellum finiendum vel paululum aliquid momenti contuliſſet, rectè tum dictum fuiſſet, Saül in millibus, Dauid in decem millibus. quòd ſi ipſe quidem pauidus ac tremens domi deſedit, in ſingulos dies mortem expectans, hic autem totum facinus peregit: an non abſurdum erat, eum qui nihil ad depellenda pericula contulerat, ob id indignari, quòd hic plus laudis tuliſſet? Nam ſi indignandum erat, Dauidem potius conueniebat indignari:

Quid rependit Dauidi Saul.

1. Reg. 18.7.

Sauli ne quidem millia debebātur.

A ἐκεῖνος μὲν γὰρ καὶ ζωὴν καὶ βασιλείαν αὐτῷ ἐχαρίσατο· οὗτος δὲ βασιλείας αὐτῷ παραχωρεῖν ἔμελλε μόνης. πλὴν ἀλλ' ἴδωμεν αὐτοῦ τὰς ἀμοιβάς. τίνες οὖν ἦσαν αὗται; δι' ὑποψίας εἶχεν αὐτὸν λοιπὸν, καὶ ὑπεβλέπετο ἀπὸ τῆς ἡμέρας ἐκείνης. τίνος ἕνεκεν καὶ διὰ τί; ἀναγκαῖον γὰρ καὶ τῆς ὑποψίας τὴν αἰτίαν εἰπεῖν. οὐδὲν μὲν γὰρ, ὅπερ ἂν εἴπῃ τις, ἐρεῖ δίκαιον. πρὸς γὰρ τὸν τὴν ψυχὴν προεισάμενον, καὶ τὴν ζωὴν δωρησάμενον, ποία δικαίας ὑποψίας πρόφασις ἦν; πλὴν ἀλλὰ καὶ αὐτὴν τὴν αἰτίαν τῆς ἔχθρας ἴδωμεν, B ἵνα μάθητε, ὅτι καὶ τῆς νίκης οὐκ ἔλαττον, καὶ διὰ ταῦτα τιμᾶσθαι δίκαιος ἦν, δι' ἅπερ ὑπωπτεύετο καὶ ἐπεβουλεύετο μετὰ ταῦτα. τίς οὖν ἡ αἰτία τῆς ὑποψίας ἦν; ἐπειδὴ τοῦ βαρβάρου τὴν κεφαλὴν ἔλαβε, καὶ τὰ λάφυρα ἔχων ἐπανήκει, ἐξῆλθον αἱ χορεύουσαι, φησιν, ᾄδουσαι καὶ λέγουσαι· ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ, καὶ Δαβὶδ ἐν μυριάσιν αὐτοῦ. καὶ ὠργίσθη Σαοὺλ, καὶ ἦν ὑποβλεπόμενος τὸν Δαβὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα. τίνος ἕνεκεν, εἰπέ μοι; μάλιστα μὲν γὰρ C εἰ καὶ ἀδίκως ταῦτα ἐλέγετο, οὐδὲ οὕτως πρὸς αὐτὸν ἀπεχθῶς διατεθῆναι ἔδει, ἀλλ' ἀπὸ τῶν γεγενημένων τὴν εὔνοιαν αὐτοῦ μαθόντα, καὶ ὅτι μηδενὸς ἀναγκάζοντος, μηδὲ βιαζομένου, ἐξ οἰκείας εὐνοίας τοσοῦτον ὑπέμεινε κίνδυνον, μηδὲν μηκέτι λοιπὸν ὑποπτεύειν περὶ αὐτοῦ πονηρόν. νυνὶ δὲ καὶ τὸ δίκαιον εἶχον αἱ εὐφημίαι. καὶ εἰ χρή τι θαυμαστὸν εἰπεῖν, τῷ Σαοὺλ ἐχαρίσαντο μᾶλλον, ἢ τῷ Δαβὶδ ταῦτα λέγουσαι· καὶ ἀγαπᾷν αὐτὸν ἐχρῆν, ὅτι τὰς χιλιάδας γοῦν ἔδωκαν αὐτῷ. τί οὖν ἀγανακτεῖ; D ὅτι ἔδωκαν τὰς μυριάδας ἐκείνῳ. εἰ μὲν γὰρ ἦν τι συντελέσας εἰς τὸν πόλεμον, καὶ μικρὰν γοῦν τινα μοῖραν εἰσενεγκὼν, καλῶς ταῦτα ἐλέγετο, ὅτι Σαοὺλ ἐν χιλιάσι, καὶ Δαβὶδ ἐν μυριάσιν. εἰ δὲ αὐτὸς μὲν δεδοικὼς καὶ τρέμων ἔνδον ἐκάθητο, καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκῶν, οὗτος δὲ τὸ πᾶν εἰργάσατο, πῶς οὐκ ἄτοπον ἦν, τὸν μηδὲν εἰς τοὺς κινδύνους ἐκείνους συμβαλλόμενον ἀγανακτεῖν, ὅτι μὴ τὸ πλέον τῆς εὐφημίας ἔλαβεν; εἰ γὰρ ἀγανακτεῖν ἐχρῆν, τὸν Δαβὶδ ἀγανακτεῖν ἔδει,

ὅτι τὸ πᾶν αὐτὸς κατορθώσας, μεριστὴν ἕτερον ἔσχε τῆς εὐφημίας. πλὴν ἀλλ' οὐδὲν τούτων λέγω, ἀλλ' ἐκεῖνο ἂν εἴποιμι· ἔστω κακῶς πεποιηκέναι τὰς γυναῖκας, καὶ ἐγκλημάτων ἀξίας εἶναι καὶ κατηγορίας· τί ταῦτα πρὸς τὸν Δαβίδ; οὐ γὰρ δὴ τὰ ᾄσματα αὐτὸς συνέθηκεν, οὐδὲ ἐκείνας λέγειν ἅπερ ἔλεγον αὐτὸς ἀνέπεισεν, οὐδὲ κατεσκεύασε τοῦτον τὸν τρόπον γίνεσθαι τῆς εὐφημίας. ὥστε εἰ καὶ ἀγανακτεῖν ἔδει, ἐκείναις ἐχρῆν ἀγανακτεῖν, οὐ τῷ κοινῷ τῆς πόλεως εὐεργέτῃ καὶ μυρίων στεφάνων ἀξίῳ. ὁ δὲ ἐκείνας ἀφεὶς, ἐπὶ τοῦτον ᾔει. καὶ εἰ μὲν ἀπὸ τῆς εὐφημίας ἐκείνης ἐπαρθεὶς ὁ μακάριος ἐφθόνει τῷ κρατοῦντι καὶ ὕβριζεν εἰς αὐτὸν, καὶ διέπτυσεν αὐτοῦ τὴν βασιλείαν, τάχα εἶχέ τινα λόγον ὁ φθόνος· εἰ δὲ ἐπιεικέστερος ἐγίνετο καὶ πρᾳότερος, καὶ τὴν τῶν ἀρχομένων ἔμενε διατηρῶν τάξιν, ποίαν εἶχε δικαίαν πρόφασιν ἡ λύπη; ὅταν μὲν γὰρ ὁ τιμώμενος ἐπαίρηται κατὰ τοῦ παρευδοκιμουμένου, καὶ διατελῇ ταῖς τιμαῖς εἰς ὕβριν κεχρημένος ἐκείνου, λαμβάνει τινὰ ἀφορμὴν τὸ πάθος· ὅταν δὲ μένῃ τιμῶν, μᾶλλον δὲ θεραπεύων μειζόνως, καὶ εἴκων ἐν ἅπασι, ποίαν ἂν ἔχοι πρόφασιν ἡ βασκανία λοιπόν; ὥστε εἰ καὶ μηδὲν αὐτῷ κατώρθωται ἕτερον, δι' αὐτὸ τοῦτο μειζόνως αὐτὸν ἀγαπᾶν ἔδει, ὅτι τοσαύτην ἀφορμὴν λαβὼν πρὸς τυραννίδος ἐπίθεσιν, ἔμενε τὴν αὐτῷ πρέπουσαν ἐπιείκειαν διατηρῶν. οὐδὲ γὰρ δὴ μόνον τὰ πρότερα, ἀλλ' οὐδὲ τὰ μετὰ ταῦτα πολλῷ μείζονα ὄντα ἐπῆρεν αὐτόν. ποῖα δὴ ταῦτα; ἦν Δαβὶδ συνιῶν, φησιν, ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ κύριος παντοκράτωρ μετ' αὐτοῦ, καὶ πᾶς Ἰσραὴλ καὶ Ἰούδας ἠγάπων τὸν Δαβὶδ, ὅτι αὐτὸς ἐξεπορεύετο καὶ εἰσεπορεύετο πρὸ προσώπου τοῦ λαοῦ. καὶ Μελχὼλ ἡ θυγάτηρ Σαοὺλ καὶ πᾶς Ἰσραὴλ ἠγάπα αὐτὸν, καὶ συνῆκε παρὰ ἅπαντας τοὺς δούλους Σαούλ· καὶ ἐτιμήθη τὸ ὄνομα αὐτοῦ σφόδρα· καὶ Ἰωνάθαν υἱὸς Σαοὺλ ἠγάπα τὸν Δαβὶδ σφόδρα. ἀλλ' ὅμως τὸν δῆμον ἅπαντα καὶ τὴν οἰκίαν τοῦ βασιλέως οἰκειωσάμενος, καὶ κρατῶν ἐν τοῖς πολέμοις πανταχοῦ, καὶ οὐδαμοῦ διαμαρτάνων, καὶ τοιαύτας ἀντὶ τῶν εὐεργεσιῶν ἐκείνων ἀπολαβὼν τὰς ἀμοιβὰς, οὐκ ἐξετραχηλίζετο, οὐδὲ ἐπεθύμει τῆς βασιλείας,

A quòd quum ſolus totum geſſiſſet, alterum haberet laudis participem. Sed horum nihil dico: verùm illud dixerim: vt donemus non rectè feciſſe mulieres, eáſque fuiſſe crimini obnoxias, & accuſatione dignas, quid hæc ad Dauidem? Neque enim ipſe compoſuerat cantionem, neque illis ſuaſerat, vt dicerent quæ dicebant, neque adornarat illum laudationis modum. Proinde etiamſi indignandum erat, mulieribus oportuit indignari, non publicitus de rep. benemeritò, & infinitis digno coronis. At Saül omiſſis illis in Dauid ferebatur. Iam ſi ea laude ſublatus ille B beatus inuidiſſet rerum potienti, fuiſſétque in illum contumax, & aſpernatus fuiſſet eius imperium, forſitam aliqua fuiſſet inuidendi cauſa. At ſi factus fuit humanior ac modeſtior mitiórque, ſi in ſubditorum ordine ſe continuit: quæ tandem erat iuſta dolendi cauſa? Siquidem quum is qui honore afficitur, attollitur aduerſus eum à quo prouectus eſt, nec deſinit in illius contemptum honore abuti, habet dolor nonnullam excuſationem. Cæterùm vbi perſiſtit in honorando illum, aut C potius magis obſequitur, ceditque in omnibus, quem poſteà poteſt habere prætextum inuidiæ? Itaque etiamſi nihil aliud præclarè geſtum fuiſſet, ob hoc ipſum tamen magis erat diligendus, quòd quum tantam nactus eſſet occaſionem occupandi regni, perſtiterit in ſua modeſtia. Neque enim quæ prius geſta ſunt tantùm, verùm nec ea quæ conſecuta ſunt, ſuperioribus illis multò præclariora, ſuſtulerunt illi animos. Quæ tandem illa? Erat, inquit, Dauid prudens in omnibus viis ſuis, & Dominus omipotens erat cum eo, vniuerſúſque Iſraël & Iuda diligebat Da- D uid, quoniam ipſe ingrediebatur, & egrediebatur ante conſpectum populi, & Melchol filia Saül, & vniuerſus Iſraël diligebat illum & ſapiebat ſupra omnes ſeruos Saül, & honorabatur nomen illius valde. Et Ionathas filius Saül diligebat Dauid vehementer. Verumtamen quum uniuerſum populum ac Regis familiam ſibi conciliatam haberet, quum vbique in bellis vinceret, nec vſquam fruſtraretur ſucceſſu, quúmque pro bene geſtis rebus illis, talem gratiam reciperet, non erexit ceruicem, nec regnum affectauit,

Non effertur Dauid ob proſperum ſucceſſum.

1. Reg. 28. 5.

nec hoſtem vltus eſt, ſed perſeuerauit in benefaciendo, & in bellis pro Rege fœliciter gerendis. Quis eſt tam efferatus & crudelis, cui iſta non fuerint perſuaſura, vt inimicitiam deponeret, & inuidiam abiiceret? At crudelem illum & inhumanum nihil horum flexit, ſed ad hæc omnia cæcus, & inuidię permittens animum, conatus eſt illum è medio tollere: & quid obſecro facientem? (nam id maius eſt ac ſtupendum) canentem cithara, & ipſius inſaniam ſedantem. Dauid, inquit, pſallebat manu ſua quotidie: & haſta in manu Saul: ac ſuſtulit Saul lanceam, dixitque, infigam in Dauid. & fixit in parietem: & declinauit Dauid à facie eius bis. Agè, poteſtne huic malitiæ quicquam adiungi?
1.Reg.19
Qui nuper hoſtes abegerat, per quem ciuitas ſibi fuerat reddita, cunctis pro victoria victimas immolantibus: Saul benemeritum & ſeruatorem, ac bonorum illorum authorem conatus eſt interficere, idque pſallentem: ac ne beneficiorum quidem memoria furentem illum ac delirãtem coërcuit, ſed iterum atque iterum torſit in illum lanceam, cupiens occidere. Et huiuſmodi mercedem illi pro ſuſceptis periculis repoſuit. Idque fecit non vno die, ſed ſæpius. At ſanctus ille poſt hæc omnia perſeuerauit curare Regis negotia, próque ſalute illius ſuſcipere pericula, & in acie ſtare in præliis omnibus ſuóque periculo ſeruare trucidatorem ſuum: denique nec dictis, nec factis contriſtauit immitem illam beſtiam, ſed conceſſit in omnibus, dictóque audiens fuit. Cúmque victoriæ præmium non accepiſſet, ſed omnium illorum periculorum mercede fraudatus eſſet, ne verbo quidem expoſtulauit vnquam, non cum militibus, non cum rege, propterea quòd hæc non geſſiſſet ſpe mercedis, cœlitus expectans retributionem. Nec id ſolùm eſt admiratione dignum, quòd non propoſcit præmium, ſed quòd etiam quum daretur, ob eximiam animi modeſtiam recuſauit. Siquidem poſteaquam Saul, omnia molitus, & omnibus tentatis, non potuit illum interficere, conſuit illi dolum per nuptias, ac nouam quandam dotis ac dotalium formam commentus eſt. Non enim cupit, inquit, Rex dotem, ſed vt centum præputia exoluat ab hoſtibus Regis.

Polum per nuptias Saul cenſuit.

A οὐδὲ ἠμύνατο τὸν ἐχθρὸν, ἀλλ' ἔμεινεν εὐεργετῶν καὶ τοὺς ὑπὲρ αὐτοῦ πολέμους κατορθῶν. τίνα οὐκ ἂν ἔπεισε ταῦτα ἐκτεθηριωμένον καὶ ἄγριον καταθέσθαι τὴν ἔχθραν, καὶ ἀπαλλαγῆναι τῆς βασκανίας; ἀλλὰ τὸν ὠμὸν ἐκεῖνον καὶ ἀπάνθρωπον οὐδὲν τούτων ἔπεισεν· ἀλλὰ πρὸς ἅπαντα ἀποτυφλωθεὶς, καὶ τῇ βασκανίᾳ τὴν ψυχὴν ἐπιδοὺς, ἀνελεῖν αὐτὸν ἐπιχειρεῖ· καὶ τί ποιοῦντα; (τοῦτο γάρ ἐστι τὸ μεῖζον καὶ θαυμαστὸν) ψάλλοντα καὶ καταστέλλοντα αὐτοῦ τὴν μανίαν. Δαβὶδ ἔψαλλε τῇ χειρὶ αὐτοῦ, φησιν, ὡς καθ' ἑκάστην ἡμέραν, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ Σαοὺλ. καὶ ἦρε B Σαοὺλ τὸ δόρυ, καὶ εἶπε· πατάξω ἐν Δαβὶδ, καὶ ἐπάταξεν ἐν τῷ τοίχῳ, καὶ ἐξέκλινε Δαβὶδ ἀπὸ προσώπου αὐτοῦ δίς. ἆρα ἂν ἔχοι ταῦτα πονηρίας ὑπερβολήν; ἆρα δὲ καὶ τὰ μετὰ ταῦτα; ἄρτι τῶν πολεμίων ἀπελαθέντων, καὶ τῆς πόλεως ἑαυτὴν ἀνακτησαμένης, καὶ πάντων ἐπινίκια θυόντων, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ τῶν ἀγαθῶν ἐκείνων αἴτιον ἀνελεῖν ἐπεχείρησε ψάλλοντα. καὶ οὐδὲ τῆς εὐεργεσίας ἡ ὑπόθεσις τὸν μεμηνότα καὶ παραπαίοντα κατέστειλεν ἐκεῖνον, ἀλλὰ καὶ ἅπαξ καὶ δὶς ἠκόντισε, βουλόμενος ἀνε- C λεῖν, καὶ τοιαύτας αὐτῷ ἀντὶ τῶν κινδύνων τὰς ἀμοιβὰς ἐδίδου. καὶ πολλάκις τοῦτο ἐποίησε, καὶ οὐκ ἐν ἡμέρᾳ μιᾷ· ὁ δὲ ἅγιος ἐκεῖνος καὶ μετὰ ταῦτα πάντα ἔμενε τὰ ἐκείνου θεραπεύων, καὶ ὑπὲρ τῆς σωτηρίας αὐτοῦ κινδυνεύων, καὶ παρατατόμενος ἐν τοῖς πολέμοις ἅπασι, καὶ τὸν ἑαυτοῦ διασώζων σφαγέα τοῖς οἰκείοις κινδύνοις, καὶ οὔτε ἐν ῥήμασιν, οὔτε ἐν πράγμασιν ἐλύπησε τὸν ἄγριον θῆρα ἐκεῖνον, ἀλλὰ πάντα εἶκε καὶ ὑπήκουε, καὶ τὸ ὁρισθὲν αὐτῷ τῆς νίκης ἔπαθλον οὐ λαβὼν, ἀλλ' ἀποστερηθεὶς τὸν μισθὸν τῶν D κινδύνων ἐκείνων, οὐδὲ λόγῳ ποτὲ ἐνεκάλεσεν, οὐ τοῖς στρατιώταις, οὐ τῷ βασιλεῖ. οὐ γὰρ ἐπὶ μισθῷ ταῦτα ἔπραττεν ἀνθρωπίνῳ, ἀλλὰ τὴν ἄνωθεν ἐκδεχόμενος ἀμοιβήν. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι οὐκ ἀπήτησε τὸν μισθὸν, ἀλλ' ὅτι καὶ διδόμενον διεκρούσατο διὰ πολλὴν ταπεινοφροσύνης ὑπερβολήν. ἐπειδὴ γὰρ ὁ Σαοὺλ πάντα κινῶν καὶ πραγματευόμενος οὐκ ἴσχυσεν αὐτὸν ἀνελεῖν, ῥάπτει τὸν διὰ τοῦ γάμου δόλον, καὶ καινόν τινα προικὸς καὶ ἔδνων ἐπινοεῖται τρόπον. οὐ γὰρ βούλεται, φησιν, ὁ βασιλεὺς ἔδνα, ἀλλ' ἢ ἑκατὸν ἀκροβυστίας ἐκδικῆσαι εἰς τοὺς ἐχθροὺς τοῦ

βασιλέως. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἀνελέ μοί, φησιν, ἑκατὸν ἀνθρώπους, καὶ τοῦτο ἀντὶ τῶν ἕδνων ἔσται μοι. ταῦτα δὲ ἔλεγε βουλόμενος αὐτὸν προφάσει τοῦ γάμου παραβαλεῖν τοῖς ἐχθροῖς. ἀλλ᾽ ὅμως ὁ Δαβὶδ κατὰ τὴν αὐτοῦ πρᾳότητα τὰ πράγματα κρίνων, διεκρούσατο τὸν γάμον, οὐ διὰ τὸν κίνδυνον, οὐδὲ διὰ τὸν φόβον τῶν πολεμίων, ἀλλὰ διὰ τὸ νομίζειν ἀνάξιον ἑαυτὸν εἶναι τῆς πρὸς ἐκεῖνον συγγενείας, καὶ ταῦτα πρὸς τοὺς δούλους αὐτοῦ λέγει τὰ ῥήματα· εἰ κοῦφόν ἐστιν ἐν ὀφθαλμοῖς ὑμῶν ἐπιγαμβρεῦσαί με τῷ βασιλεῖ; ἐγὼ δὲ ἀνὴρ ταπεινὸς καὶ οὐκ ἔντιμος. καὶ μὴν ὀφειλὴ τὸ πρᾶγμα ἦν, καὶ μισθὸς καὶ ἀνταπόδοσις τῶν πόνων, ἀλλ᾽ οὕτως ἦν συντετριμμένην ἔχων τὴν καρδίαν, ὡς μετὰ τοσαῦτα κατορθώματα καὶ λαμπρὰν οὕτω νίκην καὶ ὑπόσχεσιν ὡμολογημένην, ἀνάξιον εἶναι νομίζειν τοῦ λαβεῖν τὸν ὀφειλόμενον αὐτῷ μισθόν· καὶ ταῦτα ἐνόμιζε, πάλιν μέλλων κινδυνεύειν. ἐπεὶ δὲ τῶν πολεμίων ἐκράτησε, καὶ τὴν θυγατέρα ἔλαβε τοῦ βασιλέως, πάλιν ἔψαλλεν ὁ Δαβίδ, καὶ ἐζήτει Σαοὺλ τοῦ πατάξαι αὐτὸν ἐν τῷ δόρατι, καὶ ἐπάταξε, καὶ ἐξέκλινεν ὁ Δαβίδ, καὶ ἐπάταξε τὸ δόρυ ἐν τῷ τοίχῳ. τίνα οὐκ ἂν καὶ τῶν σφόδρα φιλοσοφεῖν ἐπισταμένων εἰς θυμὸν ταῦτα ἐξήνεγκε, καὶ εἰ μηδὲν ἕτερον, τῆς οἰκείας προνοοῦντα ἀσφαλείας ἔπεισεν ἀνελεῖν τὸν ἀδίκως ἐπιβουλεύοντα; οὐδὲ γὰρ φόνος τὸ πρᾶγμα λοιπὸν ἦν, ἀλλὰ καὶ οὕτω τὸ μέτρον τοῦ νόμου τότε ὑπερβαίνειν ἔμελλεν. ἐκεῖνος μὲν γὰρ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ ἐξορύττειν ἐκέλευεν· οὗτος δὲ εἰ καὶ ἔσφαξεν, ἀντὶ τριῶν φόνων ἕνα εἰργάζετο, τριῶν φόνων οὐδεμίαν εὔλογον ἐχόντων πρόφασιν. ἀλλ᾽ ὅμως οὐδὲν τούτων ἐπεχείρησεν, ἀλλ᾽ ᾑρεῖτο φυγεῖν μᾶλλον, καὶ τῆς πατρῴας οἰκίας ἐκπεσεῖν, καὶ πλανήτης εἶναι, καὶ δραπετεύειν, καὶ ταλαιπωρούμενος τὴν ἀναγκαίαν ποιεῖσθαι τροφήν, ἢ τῷ βασιλεῖ γενέσθαι σφαγῆς αἴτιος. οὐ γὰρ ὅπως ἑαυτὸν ἐκδικήσειεν, ἀλλ᾽ ὅπως ἐκεῖνον ἀπαλλάξειε τοῦ πάθους ἐσκόπει. διὰ τοῦτο τῶν ὀφθαλμῶν ἑαυτὸν ὑπεξήγαγε τοῦ ἐχθροῦ, ὥστε ὑποσῦραι τὸν ὄγκον, καὶ καταστεῖλαι τὴν φλεγμονήν, καὶ παραμυθήσασθαι τὴν βασκανίαν, βέλτιον ἐμέ, φήσας, ταλαιπωρεῖσθαι καὶ μυρία πάσχειν δεινά, ἢ τοῦτον ἀδίκου σφαγῆς παρὰ τῷ θεῷ κρίνεσθαι. ταῦτα μὴ μόνον ἀκούωμεν, ἀλλὰ

A Quod ſentit, tale eſt: Occide mihi, inquit, centum viros, atque hoc erit mihi dotis vice. Hæc autem dicebat, cupiens illum obtentu coniugij hoſtibus obiicere. Nihilo ſecius Dauid pro ſua modeſtia res æſtimans, recuſauit coniugium, non deterritus periculis; aut hoſtium metu, ſed quòd exiſtimaret ſeſe indignum affinitate regia. Atque his verbis reſpondit ad ſeruos illius: An leue eſt in oculis veſtris me facere generum Regis, quum ego ſim vir humilis & inhonoratus? (1. Reg. 18 25.) Atqui debebatur hoc honoris, vt merces ac penſatio laborum. Verùm vſque adeò cor habebat contritum, B vt poſt tot res cum laude geſtas, poſt adeò ſplendidam victoriam, poſt expreſſam promiſſionem, indignum ſe iudicaret, qui debitam reciperet mercedem, ídque quum denuò eſſet ſe periculis obiecturus. Poſteaquam autem hoſtes deuicerat, ac filiam Regis acceperat, rurſus pſallebat Dauid, & quærebat Saül eum lancea percutere: Dauid autem declinauit, & haſta impacta eſt parieti. Quem non iſta vel exactè philoſophiæ gnarum animíque moderatiſſimi ad iracundiam C excitaſſent? Quem vt nihil aliud, certè quò familiæ ſuæ incolumitatem prouidentia tueretur, non perpuliſſent ad occidendum præter meritum inſidias molientem? Neque iam res intra homicidium conſtiterat. Etiamſi cōſtitiſſet, ſic quoque vindictæ modum à lege preſcriptum māſuetudine ſuperaſſet. Nam illa oculum pro oculo iuſſit effodere: (Exod. 21 24.) hic autem licet occidiſſet, pro tribus homicidiis, vnum exacturus fuiſſet, pro tribus inquam homicidiis, nulla probabili de cauſa tentatis. Nihil tamen horum tentauit Dauid, ſed potius D habuit fugere, & à patriis ædibus exulare, atque erronem profugúmque agere, & in calamitate ſibi neceſſarium parare victum, quàm regi cædis occaſionem dare. Nec enim eò ſpectabat, vt ſeipſum vlciſceretur, ſed vt illum ab eo malo liberaret. Hanc ob cauſam ab oculis inimici ſubduxit ſeſe, vt ſubſidere faceret vomicam, contraherétque tumorem vlceris, & inuidiam mitigaret. Satius eſt, inquit, me miſerum eſſe, innumeráque pati acerba, quàm hunc apud Deum de innocentis cæde condemnari. Hæc non audiamus tantùm, verùm etiam imitemur, nihil

non tum faciamus, tum patiamur, vt
inimici ſimultatem erga nos deponant
nec illud inquiramus, vtrum meritò,
an immeritò maleuolum animum erga
nos gerant: ſed hoc modo ſpectemus,
qui fieri poſſit, vt nobis inimici eſſe de-
ſinant. Siquidem hoc ſpectat medicus,
vt morbo liberet ægrotum, non vtrum
meritò, an immeritò ſibi morbum con-
traxerit. Tu quoque igitur medicus es
eius qui te læſit, vnum hoc quære, quo
pacto illi morbum adimas. Id quod
fecit hic beatus, egeſtatem præ diuitijs,
ſolitudinem præ patria, labores pericu-
láque præ delicijs ac ſecuritate, perpe-
tuum exilium præ terrarum orbe ele-
git, vt Saulem ab illo in ipſum odio ma-
leuolentiáque liberaret. At nec ſic qui-
dem melior factus eſt Saul, ſed perſe-
quebatur, ſed vbique circumibat quæ-
rens eum, qui non ſolum nihil læſerat,
ſed cum eſſet læſus, tum maxima, tum
innumerabilia pro iniuriis bona repen-
derat. At Saul imprudens pòſt incidit
1. Reg. 24. 4. in retia Dauidis. Erat enim, inquit,
ibi ſpelunca, & ingreſſus eſt Saul vt
exoneraret aluum. Dauid autem cum
comitibus ſuis in interiore ſpeluncæ
parte ſedebat. Dixerúntque viri Da-
uid ad illum, Ecce dies de quo dixit
Dominus, Tradam inimicum tuum in
manus tuas, faciéſque illi quod placi-
tum erit in oculis tuis. Et ſurrexit Da-
uid, ſuſtulítque laciniam chlamydis
Saulis clanculum. Et poſt hæc percuſ-
ſit Dauidem cor ipſius, quòd abſtuliſ-
ſet laciniam chlamydis, dixítque Da-
Dauid Sauli parat. uid ad viros ſuos: Auertat à me Do-
minus, ne faciam verbum hoc domino
meo, Chriſto domini mittámque ma-
num meam in illum, quoniam Chriſtus
Domini eſt. Vidiſti tenſa retia, vidiſti
venatum inſidiantem, vidiſti venato-
rem erectum, vidiſti omnes adhortan-
tes, vt enſem in hoſtis pectus immerge-
ret? Nunc mihi ſpecta philoſophicam
animi moderationem, ſpecta luctam,
victoriam, coronam. Nam ſpelunca il-
la campus erat, in eo lucta quædam
mirabilis dictúque incredibis facta eſt.
Luctatus eſt Dauid, pugilem egit ira-
cundia. Saul poſitus erat certaminis
materia, Agonothetes erat Deus.
Quin potius, non ipſi modò aduerſus
ſeipſum, propriámque cupiditatem e-
rat prælium, ſed & aduerſus milites qui
aderant. Etenim ſi voluiſſet animo mo-

A καὶ μιμώμεθα, καὶ πάντα ὑπομένωμεν καὶ ποιεῖν
καὶ πάσχειν, ὥστε ἀπαλλάξαι τοὺς ἐχθροὺς τῆς πρὸς
ἡμᾶς ἀπεχθείας. καὶ μὴ τοῦτο ζητῶμεν, εἰ δι-
καίως, ἢ ἀδίκως πρὸς ἡμᾶς ἀπεχθάνονται, ἀλλ'
ἐκεῖνο μόνον, ὅπως μηκέτι καθ' ἡμῶν ἐχθραί-
νοιεν. καὶ γὰρ ὁ ἰατρὸς τοῦτο σκοπεῖ, ὅπως ἀπαλλά-
ξειε τοῦ νοσήματος τὸν κάμνοντα· οὐκ εἰ δικαίως,
ἢ ἀδίκως τὴν ἀρρωστίαν ἑαυτῷ ἐπεσπάσατο.
καὶ σὺ τοίνυν ἰατρὸς εἶ τοῦ λελυπηκότος· ἓν ζήτει
μόνον, ὅπως αὐτοῦ τὴν ἀρρωστίαν ἀνέλῃς· ὃ καὶ
ὁ μακάριος, πενίαν ἀντὶ πλούτου, ἐρημίαν ἀντὶ
πατρίδος, πόνους καὶ κινδύνους ἀντὶ τρυφῆς καὶ
B ἀδείας, φυγὴν διηνεκῆ ἀντὶ τῆς οἴκοι μονῆς ἑλό-
μενος, ἵνα ἐκεῖνον ἀπαλλάξῃ τῆς πρὸς ἑαυτὸν
ἀπεχθείας καὶ ἔχθρας. ἀλλ' οὐδὲν οὐδὲ οὕτως ἐκέρ-
δαινεν ὁ Σαοὺλ, ἀλλ' ἐδίωκε καὶ πανταχοῦ πε-
ριῄει ζητῶν τὸν ἠδικηκότα μὲν οὐδὲν, ἀδικηθέντα δὲ
τὰ ἔσχατα, καὶ μυρία αὐτὸν ἀντὶ τούτων ποιή-
σαντα ἀγαθά· καὶ οὐκ εἰδὼς, εἰς αὐτὰ λοιπὸν τοῦ
Δαβὶδ ἐμπίπτει τὰ δίκτυα. ἦν γὰρ ἐκεῖ σπή-
λαιόν, φησι, καὶ εἰσῆλθε Σαοὺλ παρασκευάσα-
σθαι. καὶ Δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐν τῷ σπη-
λαίῳ τῷ ἐσωτέρῳ ἐκάθηντο. καὶ εἶπον οἱ ἄν-
C δρες Δαβὶδ πρὸς αὐτόν· ἰδοὺ ἡ ἡμέρα, καθὼς
εἶπε κύριος, δίδωμι τὸν ἐχθρόν σου εἰς τὰς χεῖ-
ράς σου, καὶ ποιήσεις αὐτῷ τὸ ἀρεστὸν ἐν ὀφθαλ-
μοῖς σου. καὶ ἀνέστη Δαβὶδ, καὶ ἀφεῖλε τὸ πτερύ-
γιον τῆς διπλοΐδος Σαοὺλ λαθραίως. καὶ μετὰ
ταῦτα ἐπάταξε τὸν Δαβὶδ ἡ καρδία αὐτοῦ, ὅτι
ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος. καὶ εἶπε
Δαβὶδ πρὸς τοὺς ἄνδρας αὐτοῦ· μηδαμῶς
μοι παρὰ κυρίου ποιῆσαι τὸ ῥῆμα τοῦτο τῷ κυ-
ρίῳ μου, τῷ Χριστῷ κυρίου, ἐπενεγκεῖν τὴν χεῖ-
ρά μου ἐπ' αὐτὸν, ὅτι Χριστὸς κυρίου ἐστίν. εἶδες
D τὰ δίκτυα τεταμένα, καὶ τὸ θήραμα ἐναπει-
λημμένον, καὶ τὸν κυνηγέτην ἑστῶτα, καὶ πάντας
ἐγκελευομένους βαπτίσαι τὸ ξίφος εἰς τὸ τοῦ πο-
λεμίου στῆθος; θέα μοι λοιπὸν τὴν φιλοσοφίαν,
θέα τὴν πάλην, τὴν νίκην, τὸν στέφανον. καὶ
γὰρ στάδιον ἦν τὸ σπήλαιον ἐκεῖνο, καὶ πάλη θαυ-
μαστή τις ἐγίνετο καὶ παράδοξος. ἐπάλαιε μὲν
γὰρ ὁ Δαβὶδ, ἐπύκτευε δὲ ὁ θυμὸς καὶ ἔπαθλον
ὁ Σαοὺλ ἔκειτο, καὶ ἀγωνοθέτης ἦν ὁ θεός· μᾶλ-
λον δὲ οὐ πρὸς ἑαυτὸν μόνον καὶ τὴν ἐπιθυμίαν
τὴν ἑαυτοῦ ἦν αὐτῷ ὁ πόλεμος, ἀλλὰ καὶ πρὸς
τοὺς παρόντας στρατιώτας. εἰ γὰρ καὶ φιλοσοφεῖν

ἤθελε καὶ φείδεσθαι τοῦ λελυπηκότος, εἰκὸς ἦν καὶ δεδοικέναι αὐτὸν ἐκείνους, μήποτε καὶ συγκόψωσιν αὐτὸν ἐν τῷ σπηλαίῳ, ἅτε λυμεῶνα καὶ προδότην αὐτὸν ὄντα τῆς αὐτῶν σωτηρίας, καὶ τὸν κοινὸν ἐχθρὸν αὐτῶν διασώζοντα. καὶ γὰρ εἰκὸς ἦν ταῦτα κατὰ διάνοιαν ἕκαστον αὐτῶν δυσχεραίνοντα λέγειν· πλανῆται καὶ φυγάδες ἐγενόμεθα ἡμεῖς, καὶ οἰκίας καὶ πατρίδος, καὶ τῶν ἄλλων ἁπάντων ἐξεπέσομεν, καὶ τῶν δυσχερῶν σοι πάντων ἐκοινωνήσαμεν· καὶ σὺ τῶν κακῶν τούτων τὸν αἴτιον εἰς χεῖρας λαβὼν ἀφεῖναι διανοῇ, ἵνα μηδέποτε τῶν κακῶν τούτων ἡμεῖς ἀναπνεύσωμεν καὶ σπουδάζων τὸν ἐχθρὸν διασῶσαι, προδίδως τοὺς φίλους; καὶ ποῦ ταῦτα δίκαια; εἰ γὰρ τῆς ἑαυτοῦ καταφρονεῖς σωτηρίας, ἀλλὰ τῆς ἡμετέρας φεῖσαι ψυχῆς. οὐ λυπεῖ σε τὰ παρελθόντα, οὐδὲ μέμνησαι τῶν κακῶν ὧν ἔπαθες παρ' αὐτοῦ; διὰ τὰ μέλλοντα ἄνελε, ἵνα μὴ μείζονα καὶ χαλεπώτερα ὑποστῶμεν κακά. ταῦτα γὰρ εἰ καὶ μὴ τοῖς ῥήμασιν ἔλεγον, ἀλλ' ὅμως κατὰ διάνοιαν ἐλογίζοντο καὶ ταῦτα, καὶ τούτων πλείονα ἕτερα. ἀλλ' οὐδὲν τούτων ὁ δίκαιος ἐκεῖνος ὑπελογίζετο, ἀλλ' εἰς ἓν ἔβλεπε μόνον, ὅπως τὸν τῆς ἀνεξικακίας ἀναδήσασθαι δυνηθῇ στέφανον, καὶ φιλοσοφῆσαι φιλοσοφίαν τινὰ καινοτέραν καὶ παράδοξον. οὐδὲ γὰρ ἦν οὕτω θαυμαστὸν, εἰ μόνος ὢν καὶ καθ' ἑαυτὸν ἐφείσατο τοῦ λελυπηκότος, ὡς νῦν παράδοξόν ἐστιν, ὅτι παρόντων τῶν ἑτέρων αὐτῷ τοῦτο ἐποίησεν. ἡ γὰρ τῶν στρατιωτῶν ἐκείνων παρρησία διπλοῦν ἐγίνετο τῇ φιλοσοφίᾳ τὸ κώλυμα. πολλάκις γοῦν αὐτοὶ κρίναντες ὀργὴν ἀφεῖναι, καὶ συγχωρῆσαι τὰ πεπλημμελημένα τινὶ, ἐπειδὰν ἴδωμέν τινας παροξύνοντας καὶ διεγείροντας, τὴν ἡμετέραν καταλύομεν κρίσιν τοῖς ἐκείνων παραπειθόμενοι λόγοις. ἀλλ' ὁ μακάριος ἐκεῖνος τοῦτο οὐκ ἔπαθεν, ἀλλὰ καὶ μετὰ τὴν παραίνεσιν καὶ τὴν συμβουλὴν ἔμενε τὴν οἰκείαν διατηρῶν ψῆφον. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι οὔτε ταῖς παρὰ ἑτέρων παρετράπη συμβουλαῖς, οὐδ' ὅτι αὐτοὺς οὐκ ἔδεισεν, ἀλλ' ὅτι καὶ ἐκείνους τὰ αὐτὰ αὐτῷ φιλοσοφεῖν παρεσκεύασε. μέγα μὲν γὰρ τὸ καὶ αὐτόν τινα τῶν οἰκείων περιγίνεσθαι παθῶν· πολὺ δὲ μεῖζον τὸ καὶ ἑτέρους δυνηθῆναι πεῖσαι, τὴν αὐτὴν αὐτῷ κτήσασθαι γνώμην· καὶ ἑτέρους οὐκ ἐπιεικεῖς ἀνθρώπους καὶ μετρίους, ἀλλὰ στρα-

A derari, ac parcere ei qui læſerat, conſentaneum erat vt & illos metueret, ne fortè ipſum contrucidarent in ſpelunca, tanquam qui illorum ſalutem prodidiſſet, exitiumque attuliſſet, ac publicum ipſorum hoſtem ſeruaſſet. Probabile enim eſt illorum vnumquenque dolore percitum hæc ſuo cum animo dicturos fuiſſe: Errones exuléſque facti ſumus, domo, patria, cæteríſque omnibus excuſſi, omniúmque difficultatum tuarum conſortes ſumus. Et tu cum qui horum malorum tibi eſt author, in manus tuas traditum, cogitas dimittere, ne nobis vnquam liceat ab
B his calamitatibus reſpirare, ac proditis amicis hoſtem ſeruare ſtudes? Et quo pacto iſta ſunt æqua? Nam ſi tuam ipſius ſalutem negligis, noſtræ certè vitæ parcas. Non tibi dolent anteacta, neque memor es eorum quæ ab illo perpeſſus es mala? certè ob ea quæ futura ſunt, tolle hoſtem, ne maiora & acerbiora perpetiamur mala. Hæc vt verbis non ſint prolocuti, tamen animo ſecum voluebant, cum iſta, tum iſtis etiam alia maiora. Verùm nihil horum iuſtus ille apud ſe perpendebat, vnum
C illud ſpectans, quomodo poſſet redimiri tolerantiæ corona, ac nouam quandam admirabilémque philoſophiam philoſophari. Neque enim perinde mirum erat, ſi quum eſſet ſolus & abſque comitibus, pepercſſet illi à quo fuerat læſus, atque nunc eſt, quòd hoc idem alijs præſentibus fecit, eò quòd militum illorum præſentia geminum adferat obſtaculum iræ moderandæ. Nobis ipſis frequenter euenit, vt quum ſtatuerimus vindictam remittere, & commiſſa condonare, poſt vbi viderimus aliquos nos irritantes, & ad vltionem
D concitantes, mutemus ſententiam, & illorum dictis obtemperemus. Verùm hoc non accidit huic beato, ſed etiam poſt illorum concilium & exhortationem, perſeuerauit in animi ſui decreto. At ne hoc quidem tantum eſt admiratione dignum, quòd nec aliorum admonitu dimotus eſt à propoſito, quódque non eſt illos veritus, ſed quòd perfecit, vt & illi eandem animi moderationem ſumerent. Magnum quidem, ſi quis ſuis cupiditatibus imperet: ſed multò maius eſt & aliis perſuadere poſſe, vt & ipſi mentẽ eandem ſumant cum ipſo: aliis inquam, qui nec modeſti ſunt homines, neq; temperãtes, ſed mi-

lites, qui multis difficultatibus iam in deſperationem erant adducti, à quibus paululum reſpirare cupiebāt, haud ignari non modò totam malorum diſſolutionem in hoſtis nece ſitam eſſe, verum etiam plurimorum bonorum acquiſitionem, quando nihil obſtabat quominus illo trucidato protinus regnum tranſiret ad Dauidem.

Quid cōſulāt Dauidi milites.

Attamen quum eſſent tam multæ res quæ milites irritabant, tantum valuit ille generoſus, vt ſatellites his omnibus fuerint ſuperiores, hoſtique parcerent. Operę precium verò eſt, etiam ipſorum militum audire conſilium, eò quòd exhortationis verſuta malitia illuſtrat iuſti mentem ſolidam & inconcuſſam. Non enim ita loquuti ſunt: Ecce qui multa in te molitus eſt mala, qui necem tuam concupiuit, qui nos immedicabilibus vallauit difficultatibus: Sed vbi perſpexerunt quòd hæc omnia negligeret Dauid, nec magnam haberet rationem in ſe commiſſorum, allegant illi diuinum authorem, Deus, inquientes, illum tradidit, quò videlicet iudicium à Deo profectum reueritus, promptius iret ad homicidium. Non enim, inquiunt, tuam ipſius vicem vlciſceris, Deo ſubſeruis, ac miniſter es, illius ſententiam comprobas. Sed quò magis hic pepercit hoſti. Intelligebat enim quòd Deus ideo tradiderat eum, vt ipſi maiores occaſiones probandæ virtutis ſuppeditaret. Proinde tu quoque ſi quando hoſtis tuus inciderit in manus tuas, caue putes eſſe datam vlciſcendi opportunitatem, ſed ſeruandi hoſtis oblatam occaſionem.

Cur De⁹ hoſtes nobis tradat.

Eóque tum maximè parcendum eſt inimicis, quum illi fortè venerūt in poteſtatem noſtram. At hîc fortaſſe dixerit aliquis: Et quid magni, aut quid miri, parcere ei quem habes in tua poteſtate? Complures enim & alij Reges ad principatum euecti, ſeſe indignum iudicarunt in tanto regni faſtigio ab iis pœnas exigere, à quibus olim fuerant offenſi. Nam ipſa potentiæ ſublimitas cauſam adfert refert reconciliationis. Verum in hoc negotio tale nihil poſſis dicere. neque enim Dauid ad principatum euectus, neque regnum adeptus, ac Saulem in manibus habens, ita demum illi pepercit, ne quid cauſari poſſit regni magnitudine dilutam fuiſſe iram: ſed quum ſciret fore, vt ille ſeruatus rurſus ad ca-

A τιώτας καὶ πολεμεῖν μεμαθηκότας, καὶ τοῖς πολλοῖς ἀπεγνωκότας πόνοις, καὶ μικρὸν ἀναπνεῦσαι ἐπιθυμοῦντας, καὶ εἰδότας ὅτι τῶν κακῶν ἡ λύσις πᾶσα ἐν τῇ τοῦ πολεμίου σφαγῇ τότε ἔκειτο· οὐ μόνον δὲ λύσις κακῶν, ἀλλὰ καὶ μυρίων κτῆσις ἀγαθῶν. οὐδὲν γὰρ ἐκώλυεν, ἐκείνου σφαγέντος, ἐπὶ τοῦτον εὐθέως διαβῆναι τὴν βασιλείαν. ἀλλ' ὅμως τοσούτων ὄντων τῶν παροξυνόντων τοὺς στρατιώτας, ἴσχυσεν ὁ γενναῖος ἐκεῖνος πάντων περιγενέσθαι τούτων, καὶ πεῖσαι φείσασθαι τοῦ πολεμίου. ἄξιον δὲ καὶ αὐτῆς ἀκοῦσαι τῶν στρατιωτῶν τῆς συμβουλῆς. ἡ γὰρ B κακουργία τῆς παραινέσεως τὸ στερρὸν καὶ ἀπερίτρεπτον τῆς τοῦ δικαίου δείκνυσι γνώμης. οὐδὲ γὰρ εἶπον, ἰδοὺ ὁ μυρία σε διαθεὶς κακὰ, ὁ τῆς σφαγῆς ἐπιθυμήσας τῆς σῆς, ὁ περιβαλὼν ἡμᾶς τοῖς ἀνηκέστοις δεινοῖς· ἀλλ' ἐπειδὴ συνεῖδον ὅτι πάντων τούτων ὑπερεώρα, καὶ τῶν εἰς αὐτὸν ἡμαρτημένων οὐ πολλὴν ἐποιεῖτο τὸν λόγον, ἄνωθεν αὐτῷ τὴν ψῆφον φέρουσιν, ὁ θεὸς αὐτὸν παρέδωκε λέγοντες, ἵνα τὴν ἐκεῖθεν αἰδεσθεὶς κρίσιν ἑτοιμότερον ἐπὶ τὴν σφαγὴν ἔλθῃ. μὴ γὰρ σαυτὸν ἐκδικεῖς, φησι; τῷ θεῷ C διακονῇ καὶ ὑπηρετεῖς, καὶ τὴν ἐκείνου ψῆφον κυροῖς; ἀλλ' ὅσῳ ταῦτα ἔλεγον, τοσούτῳ μᾶλλον ἐφείδετο. ᾔδει γὰρ τοῦτο ὅτι ὁ θεὸς αὐτὸν αὐτῷ παρέδωκεν, ἵνα πλείονος εὐδοκιμήσεως αὐτῷ παράσχῃ πρόφασιν. καὶ σὺ τοίνυν ὅταν ἴδῃς τὸν ἐχθρὸν εἰς τὰς χεῖρας ἐμπεσόντα τὰς σὰς, μὴ νόμιζε τιμωρείας, ἀλλὰ σωτηρίας εἶναι καιρὸν ἐκεῖνον. διὰ τοῦτο τότε μάλιστα φείδεσθαι δεῖ τῶν ἐχθρῶν, ὅταν αὐτῶν γενώμεθα κύριοι. ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ τί μέγα καὶ θαυμαστὸν γενόμενον κύριον φείσασθαι; πολ- D λοὶ γὰρ καὶ ἄλλοι βασιλεῖς πολλάκις ἐπὶ τὴν ἀρχὴν ἐλθόντες, τοὺς πάλαι λελυπηκότας λαβόντες, ἀνάξιον αὐτῶν εἶναι ἐνόμισαν ἐν ἀρχῆς ὄγκῳ τοσούτῳ δίκην ἀπαιτῆσαι τῶν πεπλημμελημένων, καὶ ἡ τῆς ἐξουσίας περιουσία καταλλαγῆς ὑπόθεσις γέγονεν. ἀλλ' ἐνταῦθα οὐδὲν τοιοῦτόν ἐστιν εἰπεῖν. οὐ γὰρ ἐπὶ τὴν ἀρχὴν ἀνελθὼν ὁ Δαβὶδ, οὐδὲ τὴν βασιλείαν ἀπολαβὼν, καὶ τὸν Σαοὺλ ὑπὸ χεῖρας ἔχων, οὕτως ἐφείσατο· ἵνα μή τις εἴπῃ, ὅτι τὸ τῆς ἀρχῆς μέγεθος τὸν θυμὸν ἐξέλυσεν, ἀλλ' εἰδὼς ὅτι διασωθεὶς τοῖς αὐτοῖς ἐπιθήσε-

ται πάλιν, καὶ εἰς μείζονας ἐμβάλῃ τοὺς κινδύνους, οὐδὲ οὕτως ἀπέκτεινε. μὴ δὴ τοῦτο ἐκείνοις παραβάλωμεν, ἐκεῖνοι μὲν γὰρ ἀσφαλὲς τὸ ἐνέχυρον ἔχοντες τῆς μετὰ ταῦτα ἀδείας, εἰκότως φείδονται· οὗτος δὲ μέλλων τὸν ἐχθρὸν καθ' ἑαυτοῦ ἀφιέναι, καὶ πολέμιον ἑαυτῷ σώζειν, οὐδὲ οὕτως αὐτὸν ἠφάνισε, καὶ ταῦτα πολλὰ ἔχων τὰ πρὸς τὴν σφαγὴν αὐτὸν ταύτην ὠθοῦντα. καὶ γὰρ ἡ ἐρημία τῶν βοηθούντων τῷ Σαοὺλ, καὶ ἡ παραίνεσις τῶν στρατιωτῶν, καὶ ἡ μνήμη τῶν παρελθόντων, καὶ ὁ φόβος τῶν μελλόντων, καὶ τὸ μηδὲ σφαγῆς κρίνεσθαι λοιπὸν ἀποκτείναντα τὸν ἐχθρὸν, καὶ τὸ μετὰ τὸν φόνον τοῦτον δύνασθαι τὸν νόμον παραβαίνειν, καὶ πολλὰ ἕτερα πλείονα τούτων ἐβιάζετο καὶ ἠνάγκαζεν ὠθῆσαι τὸ ξίφος εἰς ἐκεῖνον. ἀλλ' οὐδενὶ τούτων εἶξεν, ἀλλ' ἔμεινεν ὥσπερ τις ἀδάμας, ἀκίνητον τὸν τῆς φιλοσοφίας διατηρῶν νόμον. εἶτα ἵνα μὴ λέγῃς ὅτι οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον εἰκὸς ἦν, ἀλλ' ἀναισθησία τὸ γινόμενον ἦν, οὐχὶ φιλοσοφία, ὅρα πῶς ἀγριωθεὶς ἐκαρτέρησεν. ὅτι γὰρ αὐτῷ διανέστη τὰ κύματα τῆς ὀργῆς, καὶ πολλὴ τῶν λογισμῶν ἐκινήθη ἡ ζάλη, καὶ τὸν χειμῶνα ἐχαλίνου τῷ φόβῳ τοῦ θεοῦ, καὶ τὴν διάνοιαν ἐπιέζετο, ἐκ τῶν γινομένων ἐστὶν ἰδεῖν. ἀνέστη, γάρ, φησι, καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος Σαοὺλ λαθραίως. εἶδες πόσος ἠγέρθη τῆς ὀργῆς ὁ χειμών; ἀλλ' οὐ προσῆλθε περαιτέρω, οὐδὲ εἰργάσατο τὸ ναυάγιον. ὁ γὰρ κυβερνήτης ταχέως αἰσθόμενος, ὁ εὐσεβὴς λογισμὸς, γαλήνην ἀντὶ χειμῶνος ἐποίησεν. ἐπάταξε γὰρ αὐτὸν, φησιν, ἡ καρδία αὐτοῦ, καὶ καθάπερ σκιρτῶντα καὶ μαινόμενον ἵππον, τὸν θυμὸν ἀνεχαίτισε. τοιαῦται τῶν ἁγίων αἱ ψυχαὶ, πρὶν ἢ πεσεῖν, ἀνίστανται, πρὶν ἢ πρὸς τὴν ἁμαρτίαν ἐλθεῖν, ἀναχαιτίζονται, ἐπειδὴ νήφουσι καὶ διαπαντός εἰσιν ἐγρηγορυῖαι. καίτοι πόσον τοῦ σώματος ἦν καὶ τοῦ ἱματίου τὸ μέσον; ἀλλ' ὅμως ἴσχυσε μὴ προσελθεῖν περαιτέρω, καὶ ἐπ' αὐτῷ δὲ τούτῳ σφόδρα ἑαυτὸν κατεδίκασεν. ἐπάταξε γὰρ αὐτὸν ἡ καρδία αὐτοῦ, φησιν, ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος, καὶ εἶπε πρὸς τοὺς ἄνδρας, μηδαμῶς ἐμοὶ παρὰ κυρίου, ἵλεώς μοι κύριος, φησι, καὶ αὐτὸς εἰ βουληθείην, μὴ συγχωρεῖσαι μοί ποτε τοῦτο ἐργάσασθαι ὁ θεὸς, μηδὲ ἐπιτρέψαι εἰς ταύτην ἐλθεῖν τὴν ἁμαρτίαν. ἐπειδὴ γὰρ οἶδε τὴν

A dem rediret, & ipſe in grauiora pericula coniiceretur, ne ſic quidem occidit. Profectò hunc cum illis ne conferendum quidem duxerimus. Siquidem illi quoniam habent certum tutúmq; pignus futuræ deinceps ſecuritatis, meritò parcũt. Hic verò quum ſciret ſe hoſtem in ſuam ipſius perniciẽ dimittere, ac ſalutem dare inimico, haud tamẽ illum occidit, ìdq; quum haberet multa ad eam cædem impellentia. Etenim ſolitudo Regis ob abſentiam eorum qui poſſent Sauli eſſe auxilio: dein exhortatio militum: præterea anteactorũ memoria ac futurorum metus. Ad hæc ꝙ B ſi interfeciſſet inimicũ, non poſſet damnari cædis, quódq; poſt cædem peractã liceret ipſi violare legem. Hæc, inquã, cúmque his alia plura vrgebant compellebántq; gladium in illum ſtringere. Aſt horum incitamentorum nulli ceſſit, ſed adamantis inuicti more perſtitit, philoſophiæ moderationíſque legem ſeruans. Cæterum ne dicas illum nihil eorum ſenſiſſe affectuum, quales nos illi per coniecturam tribuimus, ſed id quod accidit non fuiſſe philoſophiã, ſed ſtuporem, cõſidera quàm vehemẽ C ter exaſperatus ſibi temperarit. Siquidem quòd iracundiæ fluctus in animo illius intumuerint, multaq; cogitationum iactatio concitata fuerit, ſed eam tempeſtatem refrẽnarit timore Dei, animóſque repreſſerit, ex iis quæ facta ſunt perſpicere licet. Surrexit, inquit, & tulit orã chlamydis Saulis clanculũ. Vides quãta iræ tẽpeſtas coorta fuerit? At nõ proceſſit vlterius, neq. fecit naufragiũ, eòquòd gubernatrix illico ſentiẽs periculũ, videlicet pia ratio, tempeſtatẽ vertit in tranquillitatẽ. Percuſſit enim, inquit, Dauidẽ cor ipſius, ac velut equũ ſubſilientẽ ac ferocientẽ, reuocauit irã. D Huiuſmodi ſunt ſanctorũ animæ, priuſquam concidant, reſurgunt: priuſquam ad peccatũ perueniant, refrẽnantur, eò quòd ſobriæ ſint, ſempérq; vigilent. Et tamen quantulũ erat interuallum inter corpus & chlamydẽ? Attamẽ ille ſeipſũ cohibuit, ne progrederetur vlterius. Quin inſuper & ob hoc ipſum grauiter ſeipſũ condẽnauit. Percuſſit enim, inquit, illũ cor ipſius, ꝙ abſtuliſſet extremũ chlamydis, dixitq. ad viros: Nequaquã hoc mihi ſit à Domino, propitius, inquit, ſit mihi, ſi hoc voluiſſẽ. Ne cõcedat vnquã vt hoc faciã Deus, neq. permittat me ad tãtũ deuenire ſcel⁹. Quo-

Ira motus compeſcuit Dauid.

1. Reg. 24.6.

niam videbat hanc philoſophiam ſuperare penè naturam humanam, cæleſtíque opus habere momento, ſéque propemodum collabefactum ad cædem, precatur vt dominus conſeruet illi manum impollutam. Quid tandem hoc animo poſſit eſſe mitius? An hunc poſthac dicemus hominem, qui in natura humana vitam præſtiterit angelicam? Verùm id non paſſuræ ſunt diuinæ leges. Quis enim obſecro, te facilè ſuſtineat à Deo eiuſmodi petitionem petere? Quid dixi, huiuſmodi? quis ſuſtineret, non precari aduerſus eum qui moleſtus fuiſſet? quis hoc, quæſo, facilè perferret? Nam plerique mortales eò feritatis abrepti ſunt, vt quum ſint adeo imbecilles, vt non queant eum à quo laceſſiti ſunt vllo incommodo afficere, Deum ad vltionem inuocent obſecrãtes vt ipſis donet iis, à quibus læſi ſunt, manus iniicere. Hic verò illis omnibus velut ex diametro cõtraria precando, rogat ne permittat vt manus iniiciat, loquens hunc in modum: Ne mihi hoc accidat, ô domine,

Ibidem. vt iniiciam manum meam in illum: perinde quaſi de filio, ita de hoſte loquitur, quaſi de prole germana. Neque pepercit tantum, verum & excuſationem pro eo componit. Vide verò quàm prudenter quámque ſapienter. Siquidem quum vitam Saulis perſcrutans, nihil inueniſſet boni, vt dicere poſſet, non ſum ab illo læſus, nec ullo affectus incommodo: (protinus enim his reclamaturi erant milites qui aderant, Regíſque malitiam experimento cognouerant) alia ex parte circumibat, ſtudẽs probabilem inuenire excuſationem: Id quum non poſſet, nec ab illius vita nec à factis, ad dignitatem illius confugit, dicens: Quoniam Chriſtus Domini eſt. Quid ais, inquiunt? quòd ſceleſtus, ꝙ ſceleribus opertus, ac vitiis innumerabilibus refertus, & in nos extrema cogitans? Non. Sed Rex eſt, ſed princeps, ſed præſidentiam in nos ſuſcepit. Neq; tamen dixit, Rex eſt, ſed Chriſtus Domini eſt, non ab humano honore, ſed à cœleſti iudicio ſumpto honorifico teſtimonio. Contemnis, inquit, conſeruum tuum, reuerere dominum. Aſpernaris electum, metue eum qui elegit. Etenim ſi vulgares iſtos princeps ab Imperatore deſignatos etiamſi ſint improbi, ſi fures, ſi prædones, ſi iniuſti, ſi

Excuſatio Dauidis ne Saulem occidat.

Principes reuereri oportet

A τοιαύτην φιλοσοφίαν σχεδὸν τὴν ἀνθρωπίνην ὑπερβαίνουσαν φύσιν καὶ τῆς ἄνωθεν δεομένην ῥοπῆς, καὶ μικροῦ παρεκπεσόντα πρὸς τὴν σφαγήν, εὔχεται λοιπὸν ὥστε καθαρὰν τὸν θεὸν αὐτῷ διατηρῆσαι τὴν χεῖρα. τί ταύτης γένοιτ᾽ ἂν τῆς ψυχῆς ἡμερώτερον; ἆρα ἂν ἄνθρωπον ἔτι τοῦτον ἐροῦμεν, τὸν ἐν ἀνθρωπείᾳ φύσει πολιτείαν ἀγγελικὴν ἐπιδειξάμενον; ἀλλ᾽ οὐκ ἂν ἀνάσχοιντο οἱ θεῖοι νόμοι. τίς γὰρ ἄν, εἰπέ μοι, ταχέως ἕλοιτο τοιαύτην εὐχὴν εὔξασθαι τῷ θεῷ; τί λέγω τοιαύτην; μὴ κατεύξασθαι μὲν οὖν τοῦ λελυπηκότος τίς ἂν ῥᾳδίως ὑπομείνειε; B καὶ γὰρ εἰς τοῦτο θηριωδίας ἐληλάκασιν οἱ πολλοὶ τῶν ἀνθρώπων, ὡς, ἐπειδὰν ἀσθενήσωσι, καὶ μηδὲν δυνηθῶσι κακὸν ποιῆσαι τὸν λελυπηκότα, αὐτὸν ἐπὶ τὴν ἄμυναν καλεῖν τὸν θεόν, καὶ παρακαλεῖν δοῦναι αὐτοῖς ἐπεξελθεῖν τοῖς ἠδικηκόσιν. οὗτος δὲ ὥσπερ ἐκ διαμέτρου πᾶσιν ἐκείνοις καὶ ἀπεναντίας ποιούμενος τὴν εὐχήν, παρακαλεῖ μὴ δοῦναι ἐπεξελθεῖν, οὕτω λέγων· μή μοι γένοιτο παρὰ κυρίου ἐπενεγκεῖν τὴν χεῖρά μου ἐπ᾽ αὐτόν, ὡς περὶ υἱοῦ τοῦ πολεμίου διαλεγόμενος, ὡς περὶ γνησίου παιδός. καὶ C οὐ μόνον ἐφείσατο, ἀλλὰ καὶ ἀπολογίαν τὴν ὑπὲρ αὐτοῦ συντίθησι. καὶ ὅρα πῶς συνετῶς καὶ σοφῶς. ἐπειδὴ γὰρ τὸν βίον αὐτοῦ διερευνώμενος, οὐδὲν εὕρισκεν ἀγαθόν, οὐδὲ εἶχεν εἰπεῖν, ὅτι οὐκ ἠδίκημαι παρ᾽ αὐτοῦ, οὐδὲ ἔπαθον κακῶς (ἔμελλον γὰρ ἀντιφθέγγεσθαι τούτοις οἱ στρατιῶται παρόντες, οἱ τῇ πείρᾳ μαθόντες αὐτοῦ τὴν πονηρίαν) περιέρχεται ἑτέρωθεν ζητῶν ἀπολογίαν εὐπρόσωπον εὑρεῖν. εἶτα οὐκ ἔχων ἀπὸ τοῦ βίου, οὐδὲ ἀπὸ τῶν ἔργων τῶν ἐκείνου τοῦτο ποιῆσαι, ἐπὶ τὴν τιμὴν τὴν ἐκείνου κατέφυγεν εἰπών, D ὅτι Χριστὸς κυρίου ἐστί. τί λέγεις, φησίν; ὅτι μιαρὸς καὶ παμμίαρος καὶ μυρίων γέμων κακῶν καὶ τὰ ἔσχατα ἡμᾶς διαθείς; ἀλλὰ βασιλεύς, ἀλλὰ ἄρχων, ἀλλὰ τὴν προστασίαν τὴν ἡμετέραν ἐνεχειρίσθη. καὶ οὐκ εἶπε, βασιλεύς, ἀλλὰ τί; ὅτι Χριστὸς κυρίου ἐστίν, οὐκ ἀπὸ τῆς κάτωθεν τιμῆς, ἀλλ᾽ ἀπὸ τῆς ἄνωθεν ψήφου ποιήσας αἰδέσιμον. καταφρονεῖς τοῦ συνδούλου, φησίν; αἰδέσθητι τὸν δεσπότην. διαπτύεις τὸν κεχειροτονημένον; φοβήθητι τὸν χειροτονήσαντα. εἰ γὰρ τοὺς ἄρχοντας τούτους τοὺς ὑπὸ βασιλέως χειροτονουμένους, κἂν πονηροί, κἂν κλέπται, κἂν

λῃσταὶ

λῃσταὶ, κἂν ἄδικοι, κἂν ὁποιοιοῦν ὦσιν ἕτεροι, δεδοίκαμεν καὶ πεφρίκαμεν, οὐ διὰ τὴν πονηρίαν καταφρονοῦντες αὐτῶν, ἀλλὰ διὰ τὴν ἀξίαν τοῦ χειροτονήσαντος δυσωπούμενοι· πολλῷ μᾶλλον ἐπὶ τοῦ θεοῦ χρὴ τοῦτο ποιεῖν. οὔπω περιέλυσεν αὐτὸν, φησι, τῆς ἀρχῆς, οὐδὲ ἰδιώτην ἐποίησε. μὴ τοίνυν τὴν τάξιν ἀνατρέπωμεν, μηδὲ τῷ θεῷ πολεμῶμεν, τὸ ἀποστολικὸν ἐκεῖνο διὰ τῶν ἔργων ἐπιδεικνύμενοι· ὅτι πᾶς ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρίμα λήψονται. οὐχὶ χριστὸν δὲ αὐτὸν ἐκάλει μόνον, ἀλλὰ καὶ ἑαυτοῦ κύριον. οὐ τῆς τυχούσης δὲ φιλοσοφίας ἐστὶ, τὸ τὸν ἐχθρὸν τοῖς τῆς τιμῆς καὶ τῆς θεραπείας ὀνόμασι προσειπεῖν. καὶ τοῦτο αὐτὸ πάλιν ἀφ' ὧν ἕτεροι πάσχουσιν, ἴδοι τις ἂν ἡλίκον ἐστί. πολλοὶ γοῦν τοὺς ἑαυτῶν ἐχθροὺς οὐδὲ ἀπὸ γυμνῶν καὶ ψιλῶν τῶν ὀνομάτων καλεῖν ἀνέχονται, ἀλλ' ἀφ' ἑτέρων πολλὴν ἐχόντων κατηγορίαν, τὸν μιαρὸν, τὸν μαινόμενον, τὸν ἐξεστηκότα, τὸν παραπαίοντα, τὸν λυμεῶνα, καὶ ἕτερα πολλὰ τοιαῦτα συνείροντες, οὕτω προσαγορεύουσι τοὺς ἐχθρούς. καὶ ὅτι τοῦτο ἐστιν ἀληθὲς, οὐ πόῤῥωθεν, ἀλλ' ἐγγύθεν οἴσω σοι παράδειγμα ἐπ' αὐτοῦ τούτου τοῦ Σαούλ. τὸν γοῦν ἅγιον τοῦτον διὰ τὴν πολλὴν ἀπέχθειαν οὐχ ὑπέμεινε διὰ τοῦ οἰκείου καλεῖν ὀνόματος, ἀλλὰ πανηγύρεώς ποτε τελουμένης, ἐπιζητῶν ἔλεγε· ποῦ ἐστιν ὁ υἱὸς Ἰεσσαί; οὕτω δὲ αὐτὸν ἐκάλεσεν, ὁμοῦ μὲν αὐτοῦ τὸ ὄνομα μισῶν, ὁμοῦ δὲ τῇ τοῦ γεγεννηκότος εὐτελείᾳ προσδοκῶν λυμαίνεσθαι τὴν τοῦ δικαίου δόξαν· οὐκ εἰδὼς ὅτι λαμπρὸν καὶ ἐπίσημον, οὐ περιφάνεια προγόνων, ἀλλὰ ψυχῆς ἀρετὴ ποιεῖν εἴωθεν. ἀλλ' οὐχ ὁ μακάριος Δαβὶδ οὕτως. οὔτε γὰρ ἀπὸ τοῦ πατρὸς αὐτὸν ἐκάλεσε (καίτοι κἀκεῖνος σφόδρα εὐτελὴς ἦν καὶ ἀπεῤῥιμμένος) οὔτε ἀπὸ ψιλοῦ καὶ γυμνοῦ τοῦ ὀνόματος, ἀλλ' ἀπὸ τοῦ τῆς τιμῆς, ἀπὸ τοῦ τῆς δεσποτείας. οὕτω καθαρὰ πάσης ἀπεχθείας ἦν αὐτοῦ ἡ ψυχή. καὶ σὺ τοίνυν, ἀγαπητὲ, τοῦτον ζήλωσον, καὶ τοῦτο παιδεύθητι πρότερον, μηδέποτε τὸν ἐχθρὸν ἀπὸ τῶν διαβεβλημένων, ἀλλ' ἀπὸ τῶν ἐντίμων καλεῖν ὀνομάτων. ἂν γὰρ μελετήσῃ τὸ στόμα ἐντίμως καὶ θεραπείαν ἔχοντι καλεῖν τὸν λελυπηκότα ὀνόματι, καὶ ἀκούσασα ἡ ψυχὴ παρὰ τῆς γλώττης παιδευομένη

A deniq; quodcunq; aliud fuerint, timemus cũ horrore, non propter malitiam deſpicientes eos, ſed propter dignitatẽ illius à quo electi ſunt, reuerentes: multò amplius id facere conuenit in his quos elegit Deus. Nondũ inquit, Deus abdicauit illũ principatu, nondũ fecit eum ex Rege priuatum. Itaq; ne inuertamus ordinẽ, nequ; rebellemus Deo, Apoſtolicũ illud dictũ factis præſtãtes: Quoniã quiſquis reſiſtit poteſtati, Dei ordinationi reſiſtit. Quicunque autem reſiſtunt, ſibiipſis accipiẽt damnationẽ. Rom. 13. 2. Non ſolùm appellauit illum, Chriſtũ: hoc eſt, vnctũ & Regem, verumetiam B ſuum dominũ vocat. Non eſt profectò mediocris philoſophiæ, hoſtẽ honoris & obſequij vocabulls appellare. Hoſtem honorificè appellat. Atque id rurſus quã ſit magnũ ex his quæ cæteris accidũt, queat aliquis perſpicere. Pleriq; ſiquidem inimicos ſuos ne nudis quidẽ ac ſimplicibus nominibus appellare ſuſtinẽt, ſed aliis vocabulis accuſationẽ habentibus eos nominãt: puto illũ impiũ, illũ inſanũ, illum mente captũ, illũ delirum, illũ peſtilentem: aliáq; multa contexunt, híſq; notis deſignant hoſtẽ. Id eſſe verũ, exemplo non C eminus petito, ſed è proximo ſumpto, docebo: mirum ab hoc ipſo in Saule, qui iuſtum hunc ob vehemens odium non ſuſtinuit proprio vocare nomine, ſed quum aliquando feſtum quoddam celebraretur, requirens eum, dicebat, Vbi eſt filius Ieſſe? Sic autem appellauit eũ partim odio proprij nominis, partim genitoris humilitatẽ notans 1. Reg. 20. 27. ſperãs fore, vt hoc pacto iuſti fama contaminaretur, haud intelligens hominẽ nobilem illuſtrémque reddi ſolere, non progenitorum claritate, ſed animi virtute. At non itidem fecit bea- D tus Dauid. Neque enim patris cognomento vocauit illum; quanquam is quoque fuit admodum humilis & contemptus: neque nudo ſimplicíque nomine deſignauit: ſed dignitatis & principatus titulo. Vſque adeò purum ab omni maleuolentia gerebat animum. Proinde tu quoque chariſſime, hunc imitans, illud in primis diſcito, ne vnquam inimicum famoſis nominibus, ſed honorificis potius appelles. Etenim ſi os aſſueuerit, eum qui læſit honoris obſequiíque nominibus appellare, & animus hæc audiens à lingua doctus

non refugiet cũ illo redire in gratiam. A
Nam ipſa verba remedium erunt optimum vlceris in corde tumeſcẽtis. Hæc nunc locutus ſum, non tantum vt laudemus Dauidem, ſed vt æmulemur quoque. Hanc igitur hiſtoriam in ſuo quiſque corde ſibi depingat, contemplatione veluti manu aſſiduè proponẽs oculis ſpeluncam illam duplicem, illam chlamydem, ipſum Saulem intus dormientem, ſomnóque perinde vt catena vinctum, eúmque qui grauiſſimè lęſerat dextrę ſubiectum, Dauid imminentem dormienti, pręſentes milites, & ad cædem adhortantes, beatum illum philoſophantem: hoc eſt, & illo- B
rum animos, & ſuam ipſius iram cohibentem, eúmque qui tam multa peccauerat, excuſantem ac defendentem. Hæc, inquam, non ſolum in animo depingamus, verumetiam in conſeſſibus inter nos aſſiduè loquamur: has apud vxorem, has apud liberos frequenter renouemus narrationes. Etenim ſiue de Rege loqui voles, ecce Rex: ſiue de militibus, ſiue de re familiari, ſiue de publicis ciuilibúſque negotiis, videbis, in ſcripturis horum omnium magnam copiam. Huiuſmodi commemo- C
rationes maximam adferunt vtilitatem. Impoſſibile eſt enim, impoſſibile, inquam, eſt, animum in hoc genus hiſtoriis verſantem, à cupiditatibus ſuperari. Ergo ne tempus inutiliter conſumamus, néve vitam noſtram fruſtra teramus in nugis ineptis ac ſuperuacaneis, ſed fortium virorum diſcamus res geſtas, de his aſſiduè diſſeramus. Quòd ſi quis voluerit, aut de ſpectaculis, aut de curſu equorum, aut alioqui de rebus nihil ad te pertinentibus verba facere: ab illa materia fac eum reuoces, & in eiuſmodi narrationem inducas, D
quò ſimul & purgatis animis, & voluptate, quæ periculo careat, delectati, denique ipſi mites ac placabiles erga cunctos malè de nobis meritos facti, ex hac vita migremus, & in futuro ſeculo nullum habentes inimicum, bonis etiam æternis perfruamur, gratia & bonitate domini noſtri Ieſu Chriſti, cui gloria in omne æuum. Amen.

Dauid à nobis imitandus.

καὶ συνεθιζομένη καταδέξεται τὴν πρὸς ἐκεῖνον καταλλαγήν. αὐτὰ γὰρ τὰ ῥήματα τῆς ἐν τῇ καρδίᾳ φλεγμονῆς ἔσται φάρμακον ἄριστον. Ταῦτα εἴρηκα νῦν, οὐχ ἵνα ἐπαινέσωμεν μόνον, ἀλλ' ἵνα καὶ ζηλώσωμεν. Ταύτην οὖν ἕκαστος τὴν ἱστορίαν ἐπὶ τῆς καρδίας ζωγραφείτω τῆς ἑαυτοῦ, καθάπερ χειρὶ τοῖς λογισμοῖς ὑπογράφων διηνεκῶς τὸ σπήλαιον τὸ διπλοιῶ, τὸν Σαοὺλ ἔνδον καθεύδοντα, καὶ καθάπερ ἁλύσει τινὶ δεδεμένον τῷ ὕπνῳ, καὶ ὑποκείμενον τῇ δεξιᾷ τοῦ τὰ μέγιστα ἠδικημένου· τὸν Δαβὶδ ἐφεστῶτα καθεύδοντι, τοὺς στρατιώτας παρόντας καὶ παροξύνοντας πρὸς σφαγήν· τὸν μακάριον ἐκεῖνον φιλοσοφοῦντα, καὶ τὸν οἰκεῖον, καὶ τὸν τούτων θυμὸν καταστέλλοντα, καὶ ὑπὲρ τοῦ τοσαῦτα πεπλημμεληκότος ἀπολογούμενον. Ταῦτα μὴ μόνον ἐπὶ τῆς διανοίας γράφωμεν, ἀλλὰ καὶ ἐν συνεδρίοις διαλεγώμεθα πρὸς ἀλλήλους διηνεκῶς· ταῦτα καὶ πρὸς γυναῖκα, καὶ πρὸς παιδία συνεχῶς ἀνακινῶμεν τὰ διηγήματα. εἴτε γὰρ περὶ βασιλέως διαλέγεσθαι βούλει, ἰδοὺ βασιλεύς, εἴτε περὶ στρατιωτῶν, εἴτε περὶ οἰκίας, εἴτε περὶ πολιτικῶν πραγμάτων, πολλὴν ἐν ταῖς γραφαῖς ὄψει τούτων τὴν εὐπορίαν. Ταῦτα μεγίστην ἔχει τὰ διηγήματα τὴν ὠφέλειαν. ἀμήχανον γάρ, ἀμήχανον ψυχὴν ἐν ταύταις στρεφομένην ταῖς ἱστορίαις, δυνηθῆναί ποτε κρατηθῆναι τοῖς πάθεσιν. ἵν' οὖν μὴ μάτην τὸν καιρὸν δαπανῶμεν, μηδὲ εἰκῇ τὴν ζωὴν ἡμῶν ἀναλίσκωμεν εἰς φλυαρίας ἀκαίρους καὶ περιττάς, μαθόντες τῶν γενναίων ἀνδρῶν τὰς ἱστορίας, ταῦτα συνεχῶς διαλεγώμεθα, καὶ περὶ τούτων· κἂν βουληθῇ τις τῶν συνεδρευόντων, ἢ περὶ θεάτρων, ἢ περὶ ἱπποδρομίας, ἢ περὶ πραγμάτων οὐδέν σοι προσηκόντων ποιήσασθαι λόγον, ἀπαγαγὼν αὐτὸν τῆς ὑποθέσεως ἐκείνης, εἰς ταύτην ἔμβαλε τὴν διήγησιν· ἵνα καὶ τὴν ψυχὴν ἐκκαθάραντες, καὶ ἡδονῆς μετὰ ἀσφαλείας ἀπολαύσαντες, καὶ πράους ἑαυτοὺς καταστήσαντες καὶ ἡμέρους τοῖς λελυπηκόσιν ἅπασιν, ἀπέλθωμεν ἐκεῖ μηδένα ἔχοντες ἐχθρόν, καὶ τῶν αἰωνίων ἀγαθῶν τύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

A

Ὁμιλία β.

Ὅτι μέγα ἀγαθὸν οὐ τὸ μετιέναι μόνον ἀρετὴν, ἀλλὰ καὶ τὸ ἐπαινεῖν ἀρετήν· καὶ ὅτι μεῖζον ἔστησε τρόπαιον φεισάμενος τοῦ Σαοὺλ ὁ Δαβὶδ, ἢ ὅτε τὸν Γολιὰθ κατηνέγκε· καὶ ὅτι ἑαυτὸν μᾶλλον, ἢ τὸν Σαοὺλ ὠφέλησε τοῦτο ποιήσας· καὶ εἰς τὴν ἀπολογίαν αὐτοῦ τὴν πρὸς τὸν Σαούλ.

Ὑμεῖς μὲν πρώην ἐπῃνέσατε τὸν Δαβὶδ τῆς ἀνεξικακίας· ἐγὼ δὲ ὑμᾶς ἐθαύμασα τῆς περὶ τὸν Δαβὶδ εὐνοίας τε καὶ φιλοστοργίας. οὐ γὰρ δὴ μόνον τὸ μετιέναι καὶ ζηλοῦν ἀρετὴν, ἀλλὰ καὶ τὸ τοὺς μετιόντας ἐπαινεῖν καὶ θαυμάζειν, φέρει τινὰ μισθὸν ἡμῖν οὐ μικρόν· ὥσπερ οὖν οὐ μόνον τὸ ζηλοῦν κακίαν, ἀλλὰ καὶ τὸ τοὺς ἐν αὐτῇ ζῶντας ἐπαινεῖν, φέρει κόλασιν οὐ τὴν τυχοῦσαν ἡμῖν, καὶ εἰ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, αὐτῶν τῶν ἐν πονηρίᾳ ζώντων χαλεπωτέραν. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, δείκνυσιν ὁ Παῦλος ἐν οἷς φησιν. ἐπειδὴ γὰρ κακίας ἅπαν εἶδος ἠρίθμησε, καὶ τῶν καταπατούντων τοὺς τοῦ θεοῦ νόμους κατηγόρησεν ἁπάντων, ἐπήγαγε λέγων περὶ αὐτῶν ἐκείνων· οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ γνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσὶν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι. διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε. ὁρᾷς ὅτι διὰ τοῦτο οὕτως εἶπεν, ἵνα δείξῃ τοῦτο ἐκείνου χαλεπώτερον ὄν; τοῦ γὰρ ἁμαρτάνειν τὸ καὶ ἐπαινεῖν τοὺς ἁμαρτάνοντας, πολὺ μεῖζον εἰς κολάσεως λόγον· καὶ μάλα εἰκότως. διεφθαρμένης γὰρ ἐστι γνώμης καὶ ἀνίατα νοσούσης αὕτη ἡ ψῆφος. ὁ μὲν γὰρ μετὰ τοῦ πλημμελεῖν καταγινώσκων τῆς ἁμαρτίας, χρόνῳ ποτὲ ἑαυτὸν δυνήσεται καὶ ἀνακτήσασθαι· ὁ δὲ ἐπαινῶν πονηρίαν, τῆς ἐκ τοῦ μετανοῆσαι θεραπείας ἑαυτὸν ἀπεστέρησεν. ὥστε εἰκότως τοῦτο ἐκείνου χαλεπώτερον ὁ Παῦλος εἶναι ἀπέδειξεν. ὥσπερ οὖν οὐχ οἱ τὰ φαῦλα πράσσοντες μόνον, ἀλλὰ καὶ οἱ τούτοις ἐγκωμιάζοντες, τῆς αὐτῆς, ἢ καὶ χαλεπωτέρας, ἐκείνοις κοινωνοῦσι κολάσεως·

HOMILIA II.

Magnum eſſe bonum, non tantum exercere virtutem, verumetiam laudare, quódque Dauid magnificentius trophæum erexerit parcendo Sauli, quàm proſtrato Goliath: quódque hæc faciẽs magis profuerit ſibi quàm Sauli, déque excuſatione ipſius apud Saulem.

DES. ERASMO INTERPRETE.

Vos quidem heſterno die laudaſtis Dauidem ob malorum tolerantiam, ego viciſſim admirabar veſtram erga Dauidem beneuolẽtiam ac charitatis affectũ. Non enim oportet expetere modò & æmulari virtutẽ, verumetiã eos qui virtutẽ amplectũtur, laudibus vehere, & admirãdos prędicare, nobis fructũ aliquẽ cũq; haud vulgarẽ adfert. Quemadmodũ ex aduerſo prauitatẽ non æmulari tãtũ, verumetiã in ea viuẽtes laudare, ſuppliciũ haud mediocre nobis cõciliat: & ſi fas eſt quiddã nouũ & admirandũ dicere, grauius ſuppliciũ manet illos, quàm ipſos qui malè viuũt. Id declarans Paulus, poſteaquã omnẽ malitiæ ſpeciẽ enumeraſſet, accuſaſſétq; omnes qui leges Dei conculcant, de illis ipſis mox ſubiicit: Qui quũ Dei iuſtitiã noſſent, quòd qui talia faciunt, digni ſunt morte, non ſolùm ea faciunt, ſed & comprobant illa facientes: ideo inexcuſabilis es ô homo: vt oſtendat hoc eſſe grauius illo, Nam collaudare inſuper delinquẽtes, quod ad ſupplicij pertinet æſtimationem, longè plus eſt quàm delinquere. Idque iure optimo, propterea quod hoc ſuffragiũ proficiſcatur ab animo planè corrupto, & inſanabili morbo laborante. Siquidẽ is qui dũ peccat, condemnat interim peccatum ſuum, poterit aliquando temporis progreſſu ad ſe redire: qui vero laudat malitiam, is ſeipſum priuauit curatione, quam adfert pœnitentia. Proinde meritò Paulus pronunciauit hoc illo eſſe grauius. Itaque ſicuti qui praua non tantùm faciunt, verumetiam tales collaudant ac prædicant, eandem, aut etiam grauiorem pœnam ſortiuntur:

Laudare virtute prædi-tos prodeſt.

Rom. 1. 32.

ita qui bonos laudibus vehunt ac ſuſpi-
ciunt, coronarum illis repoſitarum fiũt
participes. Quod ipſum ita eſſe, è ſcrip-
tura licet perſpicere. Deus enim ita lo-
Gen. 12. 3. quitur Abrahæ: Benedicentibus tibi
benedicam, & maledicentibus tibi ma-
ledicam. Idem in Olympiacis certami-
nibus accidere videbit quiuis. Neque
enim athleta tantùm coronam geſtãs,
quique laborem ad ſudorem pertulit
modò, verùm & is qui laudat victorẽ,
non minimam laudis illius ac volupta-
tis partem decerpit. Quapropter & ego
non ſolùm generoſum illum ac magna-
nimum ob animi moderationem effe-
ro beatúmque prædico, verùm & vos
ob beneuolum erga illum animum. Il-
le quidem certauit ac vicit, coronámq;
tulit: vos autem quia victoriam collau-
daſtis, non mediocrem coronę laudiſq;
partem vobis tuliſtis. Vt igitur vberior
ſit vobis iſta voluptas, ac fructus abun-
dantior, agedum reliquas quoque hu-
ius hiſtoriæ partes vobis perſoluamùs.
1. Reg. 14. Quum hiſtoriæ ſcriptor commemoraſ-
ſet verba, quibus Dauid abhorruit à
cæde, ſubiecit: Non permiſit illis, vt ſur-
gerent & occiderent Saul: ſimul & illo-
rum anĭmos ad cædem promptos, &
huius fortitudinẽ demonſtrare volens.
At iſti ſanè qui videntur per philoſo-
phiam habere moderatos affectus, etiã-
ſi ipſi in ſe non recipiunt homicidium,
nolunt tamen alios occidere parantes
cohibere. At non ita Dauid, ſed per-
inde ac ſi depoſitum ac pignus aliquod
ſuę fidei concreditum accepiſſet, pro
quo rationem foret redditurus, ita non
tantùm ipſe non attigit inimicum, ve-
rum etiam alios occidere volẽtes coër-
cuit, ſatelles optimus & corporis cu-
ſtos pro hoſte factus. Itaque nequa-
quam aberrarit à vero, qui dicat, Da-
uidem id tempotis in grauius incidiſſe
diſcrimen, quàm ipſum Saulem. Neq;
enim leue certamen periculúmq; ſuſti-
nebat, dum omnibus modis conatur il-
lum ab inſidiis eripere, quas ei parabãt
milites: neq; perinde metuebat quum
ipſe eſſet occidendus, ac formidabat,
ne quis militum iræ obſequens perde-
ret homiuem, eámque ob cauſam eiuſ-
modi commentus eſt excuſationem.
Atque illi quidem accuſabant, accu-
ſabatur autẽ Saul dormiens, ſed defen-
dit inimicus, Deus verò iudex erat,
ac Dauidis ſententiam confirmauit.

A οὕτως οἱ τοὺς ἀγαθοὺς ἐπαινοῦντες καὶ θαυμάζοντες, συμμέτοχοι τῶν ἐκείνοις ἀποκειμένων στεφάνων εἰσί. καὶ τοῦτο αὐτὸ πάλιν ἀπὸ τῆς γραφῆς ἔστιν ἰδεῖν. πρὸς γὰρ τὸν Ἀβραὰμ διαλεγόμενός φησιν ὁ θεός· εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι. τοῦτο καὶ ἐπὶ τῶν Ὀλυμπιακῶν ἀγώνων συμβαῖνον ἴδοι τις ἄν. οὐ γὰρ ὁ τὸν στέφανον περικείμενος ἀθλητὴς, οὐδὲ ὁ τοὺς πόνους ὑπομένων καὶ τοὺς ἱδρῶτας μόνον, ἀλλὰ καὶ ὁ θαυμαστὴς τοῦ νενικηκότος, οὐκ ὀλίγην ἐκ τῆς εὐφημίας ἐκείνης καρποῦται τὴν ἡδονήν. διόπερ
B τοῦτο οὐχὶ τὸν γενναῖον ἐκεῖνον τῆς φιλοσοφίας μακαρίζω μόνον, ἀλλὰ καὶ ὑμᾶς τῆς περὶ αὐτὸν εὐνοίας. ἐπάλαισε μὲν γὰρ ἐκεῖνος, καὶ ἐνίκησε καὶ ἐστεφανώθη· ἐπαινέσαντες δὲ τὴν νίκην ὑμεῖς, οὐ μικρὸν τοῦ στεφάνου μέρος λαβόντες ἀπήλθετε. ἵν᾽ οὖν μείζων ἡ ἡδονὴ γένηται καὶ πλέον τὸ κέρδος, φέρε, καὶ τὰ λειπόμενα τῆς ἱστορίας ἀποδῶμεν ὑμῖν. εἰπὼν γὰρ ὁ συγγραφεὺς τὰ ῥήματα, δι᾽ ὧν παρῃτήσατο τὴν σφαγὴν, ἐπήγαγε τὸ, ὅτι οὐκ ἔδωκεν αὐτοῖς ἀναστῆναι καὶ ἀποκτεῖναι τὸν Σαοὺλ,
C ὁμοῦ καὶ τὴν ἐκείνων ἐπιθυμίαν τὴν περὶ τὴν σφαγὴν, καὶ τὴν ἀνδρείαν τὴν τούτου δεῖξαι βουλόμενος. καίτοιγε πολλοὶ τῶν ἔξωθεν, καὶ οἱ δοκοῦντες φιλοσοφεῖν, κἂν αὐτοὶ μὴ καταδέξωνται ἀνελεῖν, ὑφ᾽ ἑτέρων ἀναιρεῖσθαι μέλλοντας οὐκ ἂν ἕλοιντο κωλῦσαι. ὁ δὲ Δαβὶδ οὐχ οὕτως, ἀλλ᾽ ὥσπερ τινὰ παρακαταθήκην λαβὼν, καὶ μέλλων αὐτῆς εὐθύνας διδόναι, οὐ μόνον αὐτὸς οὐχ ἥψατο τοῦ πολεμίου, ἀλλὰ καὶ ἑτέρους βουλομένους ἀνελεῖν ἐκώλυσε, σωματοφύλαξ ἀντὶ πολεμίου γενόμενος καὶ δορυφό-
D ρος ἄριστος. ὥστε οὐκ ἄν τις ἁμάρτοι τὸν Δαβὶδ μᾶλλον κινδύνῳ περιπεπτωκέναι εἰπὼν, ἢ τὸν Σαούλ. οὐ γὰρ τὸν τυχόντα ἀγῶνα ὑπέμεινε, παντὶ τρόπῳ σπουδάζων αὐτὸν ἐξελέσθαι τῆς ἐπιβουλῆς τῆς παρ᾽ ἐκείνων· οὐδὲ οὕτως ἐδεδοίκει μέλλων αὐτὸς ἀποσφάττεσθαι, ὡς ἐδεδοίκει μήποτε τῶν στρατιωτῶν τις ἐνδοὺς τῷ θυμῷ, διαφθείρῃ τὸν ἄνθρωπον. διὰ τοῦτο καὶ δικαιολογίαν τοιαύτην συνέθηκε. καὶ γὰρ κατηγόρουν μὲν ἐκεῖνοι, κατηγορεῖτο δὲ ὁ καθεύδων, ἀπελογεῖτο δὲ ὁ πολέμιος, ἐδίκαζε δὲ ὁ θεὸς καὶ τὴν τοῦ Δαβὶδ ψῆφον ἐκύρωσεν.

A οὐ γὰρ ἄνευ τῆς τοῦ θεοῦ ῥοπῆς ἴσχυσεν ἂν τῶν μαινομένων ἐκείνων περιγενέσθαι. ἀλλ' ἡ τοῦ θεοῦ χάρις ἦν ἡ τοῖς χείλεσιν ἐγκαθημένη τοῦ προφήτου, καὶ πειθώ τινα δοῦσα τοῖς ῥήμασιν ἐκείνοις. οὐ μικρὸν δὲ καὶ ὁ Δαβὶδ συνεβάλετο. ἐπειδὴ γὰρ αὐτοὺς τὸν ἔμπροσθεν χρόνον οὕτως ἐπαίδευε, διὰ τοῦτο ἐν τῷ καιρῷ τῶν ἀγώνων παρεσκευασμένους εὗρε καὶ εἴκοντας. οὐ γὰρ ὡς στρατηγὸς στρατιωτῶν, ἀλλ' ὡς ἱερεὺς, οὕτως αὐτῶν προειστήκει· καὶ ἦν ἐκκλησία τὸ σπήλαιον ἐκεῖνο λοιπόν. καὶ γὰρ ὥσπερ τις ἐπισκοπὴν λαχὼν, οὕτω πρὸς αὐτοὺς ἐποιήσατο ὁμιλίαν· καὶ μετὰ τὴν ὁμιλίαν ταύτην, θυσίαν ἀνήνεγ-

B κε θαυμαστήν τινα καὶ παράδοξον, οὐ μόσχον καταθύσας, οὐκ ἀρνίον κατασφάξας, ἀλλ', ὃ πολλῷ τούτων τιμιώτερον ἦν, πραότητα καὶ ἐπιείκειαν ἀναθεὶς τῷ θεῷ, καὶ τὸν ἄλογον καταθύσας θυμὸν, καὶ τὴν ὀργὴν ἀποκτείνας, καὶ νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· καὶ ἐγένετο αὐτὸς καὶ ἱερεῖον, καὶ ἱερεὺς, καὶ θυσιαστήριον. ὅ τε γὰρ προσενεγκὼν τὴν πραότητα καὶ τὴν ἐπιείκειαν λογισμὸς, ἥ τε ἐπιείκεια καὶ ἡ πραότης καὶ ἡ καρδία, ἐν ᾗ ταῦ-

C τα προσεφέρετο, ἅπαντα ἦν παρ' αὐτοῦ. ἐπεὶ οὖν προσήνεγκε τὴν καλὴν ταύτην θυσίαν, καὶ τὴν νίκην ἀπήρτισε, καὶ οὐδὲν τῶν τροπαίων ἐνέλιπεν, ἀνέστη λοιπὸν ἡ τῶν ἀγώνων ὑπόθεσις ὁ Σαοὺλ, καὶ ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου, τῶν γεγενημένων οὐδὲν εἰδώς. ἐξῄει δὲ καὶ ὁ Δαβὶδ ὄπισθεν, ἐλευθέροις λοιπὸν ὀφθαλμοῖς πρὸς τὸν οὐρανὸν βλέπων, καὶ μᾶλλον τότε γανύμενος, ἢ ὅτε τὸν Γολιὰθ κατήνεγκε, καὶ τὴν τοῦ βαρβάρου κεφαλὴν ἀπέτεμε. καὶ γὰρ αὕτη λαμπροτέρα ἐκείνης ἡ νίκη, καὶ τὰ λάφυρα σεμνότερα, καὶ

D τὰ σκῦλα περιφανέστερα, καὶ τὸ τρόπαιον ἐνδοξότερον. ἐκεῖ μὲν γὰρ καὶ σφενδόνης ἐδεήθη καὶ λίθων καὶ παρατάξεως· ἐνταῦθα δὲ, πάντα ὁ λογισμὸς ἐγένετο, καὶ χωρὶς ὅπλων ἡ νίκη κατωρθοῦτο, καὶ ἀναίμακτον τὸ τρόπαιον ἵστατο. ἐπανῄει τοίνυν οὐχὶ κεφαλὴν βαστάζων βαρβάρου, ἀλλὰ θυμὸν νενεκρωμένον καὶ ὀργὴν ἐκνενευρισμένην. καὶ ταῦτα οὐκ εἰς τὴν Ἱερουσαλὴμ ἀνετίθει τὰ λάφυρα, ἀλλ' εἰς τὸν οὐρανὸν καὶ τὴν ἄνω πόλιν· νῦν οὐχὶ γυναῖκες χορεύουσαι ἀπήντων, ταῖς εὐφημίαις αὐτὸν δεχόμεναι,

A Neque enim abſque Dei preſidio valuiſſet illos furentes deuincere: ſed hęc erat Dei gratia, in prophetæ labiis reſidens, quæ veluti ſuadelam quandam addebat illius verbis. Tametſi non leue momentum & Dauid huc attulit, qui quoniam illos ſuperiore tempore ſic inſtituerat, idcirco in articulo certaminis paratos illos ac morigeros reperit. Præfuerat enim illis non vt belli dux militibus, ſed vt ſacerdos, iámque ſpelunca illa erat eccleſia. Neque enim aliter atque aliquis epiſcopi ſortitus munus, ad illos concionem habebat: ac peracta concione ſacrifi-

B cium obtulit, idque admirabile quoddam dictúque incredibile: haud quidem mactato vitulo, aut occiſo agno, ſed quod his erat multò honorificentius, manſuetudinem & humanitatem offerens Deo, atque irrationabili animi motu mactato, occiſáque iracundia, videlicet mortificatis membris quæ ſunt ſuper terram. Et factus eſt idem tum victima, tum ſacrificus, tum altare. Siquidem & ratio quæ offerebat manſuetudinem atque humanitatem, & ipſa humanitas ac manſue-

Sacrificiũ offert Deo Dauid immolans irã.

C tudo, denique cor in quo hæc offerebantur, omnia erant eiuſdem hominis. Poſteaquam igitur hanc immolaſſet præclaram victimam, poſteaquam victoriam tulit, neque quicquam prætermiſit quod ad trophæum faciebat, ſurrexit tandem horum certaminum materia Saul, & egreſſus eſt è ſpelunca, ignarus omnium quæ geſta fuerãt. 1. Reg. 24. Egreſſus eſt autem poſt illum & Dauid, liberis deinceps oculis cœlum intuens, ac tum temporis magis exultans, quàm quum Goliath deieciſſet, ac Ibid. 17. Barbari caput amputaſſet. Siquidem hæc illa magnificentior erat victoria,

D hæc magnificentiora ſpolia, hæc præda illuſtrior, hoc glorioſius trophæum. Siquidem illic & funda, & lapidibus, & acie habebat opus: hîc verò cuncta prudentia rationéque peracta ſunt, ac ſine armis contigit victoria, atque incruentum trophęum erectum eſt. Itaque rediit non Barbari illius caput geſtãs, ſed animi commotionẽ mortificatam, ſed iram eneruatã, neq; hæc ſpolia repoſuit Hieroſolymæ, ſed in cœlo, inque ſuperna illa ciuitate. Nũc haudquaquam in choris obuiã veniebãt fœminæ excipientes illum cum laudibus:

ſed angelic[a] populus è ſublimi applaudebat, admirans eius philoſophiã & humanitatem. Aſcendit enim hoſte vulneribus innumeris ſauciato, vt qui tametſi ſeruaſſet Saulem, tamen illum reuera hoſtem diabolũ multis plagis confixit. Quẽadmodũ enim nobis per iracundiã inter nos pugnãtibus, & mutuo conflictu colliſis, ille tum gaudet, tum floret: ita nobis pacem habentibus & concordibus, iræq; moderantibus, rurſus contrahitur ac deiicitur, nimirum hoſtis pacis & inimicus cõcordiæ, & inuidiæ pater. Egreſſus eſt igitur Dauid dextram illam totius orbis precio parẽ, ſimul cùm capite coronatam geſtans. Quemadmodũ enim ſæpenumero fit, vt Imperatores eorũ, qui egregiè ſeſe in pugilum certamine, aut in reliquis certan di generibus geſſerunt, ante caput coronent dextram: ita & Deus manũ illam coronauit, quæ gladium purũ potuerit educere, enſémque Deo nullo ſanguine contaminatum oſtẽdere, deniq; aduerſus tantam iracundię procellam reſiſtere. Non egreſſus eſt geſtans Saulis diadema, ſed egreſſus eſt geſtans coronam iuſtitiæ. Non egreſſus eſt geſtans regis purpureã veſtem, ſed egreſſus eſt amictus humanitate, naturam humanam ſuperante, quod pallium eſt quauis ſtola magnificentius. Egreſſus eſt è ſpelunca, tanta cum gloria, cum quanta tres pueri egreſſi ſunt è camino ardente. Nam quemadmodum illos non exuſſit ignis, ita hic non conflagrauit iræ incendio. Et illis quidem foris nihil ignis, in quo verſabantur, nocuit: hic verò quum intus haberet carbones accenſos, quum foris videret diabolum caminum incendentem, ídque variis modis, ab inimici conſpectu, ab exhortatione militum, à facilitate perficiendi cædem, à ſolitudine eorum qui Sauli poſſent auxiliari, à præteritorum memoria, à futurorum periculorum metu: ſiquidem hæc & ſarmentis, & ſtipulis, ac cæteris omnibus, quibus caminus ille Babylonius incendebatur, lucidiorem excitabant flammam: tamen non exarſit Dauid, neque vllo pacto ſic fuit affectus, quemadmodum conſentaneum erat hominem affici tot modis irritatum: ſed exiuit purus, & intuitus inimici faciem, hinc maximè ſumpſit animum fortem ac philoſophicum.

Confert Dauidẽ cũ trib. pueris. Dan. 3.

A ἀλλὰ τῶν ἀγγέλων ὁ δῆμος ἄνωθεν ἐπεκρότει, ἀγάμενος τὴν φιλοσοφίαν, τὴν ἐπιείκειαν. ἐπανῄει γὰρ τῷ πολεμίῳ μυρία τραύματα δούς, τὸν μὲν Σαοὺλ διασώσας, τὸν δ' ἀληθῶς ἐχθρὸν τὸν διάβολον πολλαῖς κατακοντίσας πληγαῖς. ὥσπερ γὰρ ὀργιζομένων ἡμῶν καὶ πυκτευόντων καὶ πρὸς ἀλλήλους συγκρουομένων, χαίρει τε καὶ γέγηθεν ἐκεῖνος· οὕτως εἰρηνευόντων καὶ ὁμονοούντων καὶ κρατούντων ὀργῆς, συστέλλεται πάλιν καὶ ταπεινοῦται, ἅτε ἐχθρὸς εἰρήνης ὢν, καὶ πολέμιος ὁμονοίας, καὶ βασκανίας πατήρ. ἐξῄει τοίνυν ὁ Δαβίδ, δεB ξιὰν τῆς οἰκουμένης ἀντίρροπον ἔχων μετὰ τῆς κεφαλῆς ἐστεφανωμένην. καθάπερ γὰρ ἐπὶ τῶν ἄριστα πυκτευόντων, πρὸ τῆς κεφαλῆς πολλάκις οἱ βασιλεῖς τὴν δεξιὰν τοῦ πυκτεύοντος ἢ παγκρατιάζοντος ἐστεφάνωσαν· οὕτω δὴ καὶ τὴν χεῖρα ἐκείνην ὁ θεὸς ἐστεφάνου, ἣ τὸ ξίφος ἴσχυσε καθαρὸν ἐξενεγκεῖν, καὶ ἀναίμακτον τῷ θεῷ δεῖξαι τὴν μάχαιραν, καὶ πρὸς τοσαύτην ἀντιστῆναι θυμοῦ ῥύμην. οὐκ ἐξῆλθεν ἔχων τὸ διάδημα τοῦ Σαούλ, ἀλλ' ἐξῆλθεν ἔχων στέφανον δικαιοσύνης· οὐκ C ἐξῆλθεν ἔχων πορφυρίδα βασιλικήν, ἀλλ' ἐξῆλθε περιβεβλημένος ἐπιείκειαν ὑπερβαίνουσαν ἀνθρωπίνην φύσιν, ἱμάτιον πάσης στολῆς λαμπρότερον. ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου μετὰ τοσαύτης περιφανείας, μεθ' ὅσης οἱ παῖδες οἱ τρεῖς ἀπὸ τῆς καμίνου. καθάπερ γὰρ ἐκείνους οὐ κατέκαυσε τὸ πῦρ, οὕτω καὶ τοῦτον ἡ πυρὰ τῆς ὀργῆς οὐκ ἐνέπρησε. κἀκείνους μὲν ἔξωθεν τὸ πῦρ ὁμιλοῦν οὐδὲν ἐποίησεν· οὗτος δὲ ἔνδοθεν ἔχων τοὺς ἄνθρακας καιομένους, καὶ τὸν διάβολον ἔξωθεν D ὁρῶν τὴν κάμινον ὑποκαίοντα, ἀπὸ τῆς ὄψεως τοῦ ἐχθροῦ, ἀπὸ τῆς παραινέσεως τῶν στρατιωτῶν, ἀπὸ τῆς εὐκολίας τῆς κατὰ τὴν σφαγήν, ἀπὸ τῆς ἐρημίας τῶν βοηθησόντων, ἀπὸ τῆς μνήμης τῶν παρελθόντων, ἀπὸ τῆς τῶν μελλόντων ἀγωνίας (καὶ γὰρ ταῦτα κληματίδος καὶ πίσσης καὶ στυππίου, καὶ πάντων τῶν τὴν Βαβυλωνίαν ἀναπτόντων κάμινον λαμπροτέραν ἀνῆγε τὴν φλόγα) οὐκ ἐνεπρήσθη, οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον εἰκὸς ἦν, ἀλλ' ἐξῆλθε καθαρὸς καὶ ἰδὼν τοῦ πολεμίου τὴν ὄψιν, ἐντεῦθεν μάλιστα ἐφιλοσόφησεν.

ἰδὼν γὰρ αὐτὸν καθεύδοντα καὶ ἀκίνητον μένοντα, καὶ οὐδὲν δυνάμενον ἐργάσασθαι, πρὸς ἑαυτὸν εἶπε· ποῦ νῦν ὁ θυμὸς ἐκεῖνος; ποῦ δὲ ἡ πονηρία; ποῦ δὲ αἱ τοσαῦται μαγγανεῖαι καὶ ἐπιβουλαί; οἴχεται πάντα ἐκεῖνα καὶ ἀπόλωλεν ὕπνου μικρᾶς προσβολῇ, καὶ κεῖται δεδεμένος ὁ βασιλεὺς, οὐδὲν ἡμῶν περὶ τούτων βουλευσαμένων, οὐδὲ πραξάντων. ἑώρα καθεύδοντα, καὶ περὶ τοῦ κοινοῦ πάντων ἐφιλοσόφει θανάτου. ὕπνος γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ θάνατος πρόσκαιρος, καὶ ἐφήμερος τελευτή. οὐκ ἂν τις ἀκαίρως καὶ τοῦ Δανιὴλ ἐνταῦθα ἀναμνησθείη. καθάπερ γὰρ ἐκεῖνος ἀνέβαινεν ἀπὸ τοῦ λάκκου, τῶν θηρίων περιγενόμενος, οὕτω καὶ οὗτος ἀπὸ τοῦ σπηλαίου, θηρίων ἑτέρων χαλεπωτέρων κρατήσας. ὥσπερ γὰρ τῷ δικαίῳ ἐκείνῳ λέοντες ἑκατέρωθεν παρεκάθηντο, οὕτω καὶ τούτῳ λέοντες ἀγριώτεροι πάντων, τὰ πάθη ἐπετίθετο· θυμὸς τῶν παρελθόντων ἔνθεν, φόβος τῶν μελλόντων ἐκεῖθεν· ἀλλ᾽ ὅμως ἀμφότερα οὗτος κατέστειλε καὶ ἐπεστόμιζε τὰ θηρία, διδάσκων διὰ τῶν ἔργων, ὅτι οὐδὲν ἀσφαλέστερον τοῦ φείδεσθαι τῶν ἐχθρῶν, οὐδὲ σφαλερώτερον τοῦ βούλεσθαι ἐκδικεῖν ἑαυτὸν καὶ ἀμύνεσθαι. ὁ γοῦν βουληθεὶς ἐπεξελθεῖν, γυμνὸς καὶ ἄοπλος καὶ πάντων ἔρημος, καθάπερ αἰχμάλωτος παραδοθεὶς, οὕτως ἔκειτο· ὁ δὲ εἴκων καὶ παραχωρῶν πανταχοῦ, καὶ μηδὲ δικαίως ἐπεξελθεῖν ἑλόμενος, χωρὶς μηχανημάτων καὶ ὅπλων καὶ ἵππων καὶ στρατιωτῶν, τὸν πολέμιον εἰς χεῖρας ἐλάμβανε· καὶ ὃ δὴ μεῖζον ἁπάντων ἦν, τὸν θεὸν εἰς πλείονα εὔνοιαν ἐπεσπάσατο. οὐ γὰρ διὰ τοῦτο μακαρίζω τὸν ἅγιον ἐκεῖνον, οὐχ ὅτι τὸν ἐχθρὸν ὑπὸ τοὺς πόδας εἶδε τοὺς ἑαυτοῦ κείμενον, ἀλλ᾽ ὅτι εἰς χεῖρας λαβὼν ἐφείσατο. τὸ μὲν γὰρ τῆς τοῦ θεοῦ δυνάμεως ἔργον ἦν, τὸ δὲ τῆς αὐτοῦ φιλοσοφίας. πῶς ἦν εἰκὸς λοιπὸν τοὺς στρατιώτας ἐκείνῳ προσέχειν, μεθ᾽ ὅσης εὐνοίας διακεῖσθαι πρὸς αὐτόν; εἰ γὰρ μυρίας εἶχον ψυχὰς, οὐκ ἂν ἑτοίμως ἁπάσας ἐπέδωκαν ὑπὲρ τοῦ στρατηγοῦ, ἔργῳ μαθόντες ἐν τῇ τοῦ πολεμίου κηδεμονία τὴν περὶ τοὺς οἰκείους εὔνοιαν; ὁ γὰρ περὶ τοὺς λελυπηκότας πρᾶος καὶ ἥμερος ὤν, πολλῷ μᾶλλον περὶ τοὺς εὐνοϊκῶς διακειμένους οὕτως ἔμελλε διακεῖσθαι. ὃ δὴ μέγιστον ἐχέγγυρον ἀσφαλείας ἦν αὐτῷ.

A Cum enim videret illum dormire, ac manere immobilem, neque quicquam poſſe facere, ſuo cũ animo locutus eſt, Dauid: Vbi nunc ille furor? vbi illa malitia? vbi tot techn̨e, tot inſidiæ? Abierunt omnia illa, perierúntque exigui ſomni incurſu. Iacet alligatus rex, quũ nihil horum nos neq; cogitauerimus, neque perfecerimus. Conſpiciebat illum dormiẽtem, ac de morte omnibus communi philoſophabatur. Somnus enim nihil aliud eſt, quam mors temporaria, & vnius diei interitus. Haud intempeſtiuum fuerit, ſi quis hîc meminerit etiam Danielis. Quemadmo- B dum enim ille aſcendit è lacu ſuperatis feris leonibus: ítidem hic è ſpecu prodiit, aliis beſtiis longè ſæuioribus deuictis. Nam ſicut iuſto illi leones hinc atque hinc aſſidebant, ita hunc omnibus leonibus efferatiores ac validiores animi motus inuaſerunt, hinc indignatio de præteritis, illinc futurorum metus: verùm horum vtrumq; hic coërcuit, ora beſtiis occludens, ipſis factis docens, nihil eſſe tutius quàm parcere inimico, contrà nihil periculoſius, quàm velle vlciſci ac vindictam ſumere. Alter igi- C tur qui ſtatuerat inuadere, nudus & inermis, omnibúſque deſtitutus auxiliis, non aliter quàm captiuus in manus inimici traditus iacebat: hic verò dum cedit, & vbique dat locum, dúmque ne iuſtè quidem vult manus iniicere, ſine machinis, ſine armis, ſine equitatu, ſine militibus, hoſtem in poteſtatem ſuam accepit, & quod eſt omnium maximum, Deum erga ſe beneuolentiorem reddidit. Non enim eò beatum prædico ſanctum illum, quòd hoſtem viderit ſub pedibus ſuis iacentem, ſed quòd illi in manus dato pe- D percerit: quorum alterum fuit opus diuinæ potentiæ, alterum Dauidicæ philoſophiæ. Quomodo milites deinceps illum obſeruaſſe conſentaneum eſt, quanta erga illum beneuolentia fuiſſe affectos? Nam ſi mille habuiſſent vitas, an non promptè impendiſſent pro ſuo duce, iam ex reuerentia quam hoſti præſtitit, reipſa perſpectum habentes, quàm beneuolum animum gereret erga ſuos? Siquidẽ is qui mitis ac manſuetus eſt in eos, à quibus moleſtia affect⁹ eſt, multò magis erit erga beneuolos eũ affectũ geſturus: quę profectò res fuit illi maximũ ſecuritatis pignus.

Quæ ſecũ cogitaret Dauid Saulem dormiẽtem offendés.

Dan. 14.

Nihil tutius, quam parcere inimico.

At non in ipſum modò beneuolentiores erant, verumetiam aduerſus hoſtes promptiores: quòd ſcirent ſe Deum habere propugnatorem, qui ſemper adeſſet duci, omnes illius actiones proſperans. Idcirco poſtea Dauid, non iam vt homini, ſed vt angelo parebant. Itaque Dauid & priuſquam Deus ipſi mercedem rependeret, etiam in hac vita maius accepit præmium, ac illuſtriorem tulit victoriam ſeruato Saule, quàm ſi eum mactaſſet. Quod enim tanti precij lucrifeciſſet præmium occiſo hoſte, quãtum nunc tulit illi parcendo? Hæc igitur & tu tecum expende, vbi ceperis eum qui te læſit, multò eſſe maius ac lucroſius parcere, quàm perdere. Siquidem is qui occidit inimicum, frequenter & ipſe ſeſe condemnabit, dum prauam gerit conſcientiam, dúmque in ſingulos dies, & ſingulas horas, à peccato illo vrgente affligitur. At qui pepercit, breuíque tempore vicit affectus ſuos, poſt exultat ac delectatur optima ſpe fultus, ac tolerantiæ prémia expectans à Deo. Quòd ſi quãdo in aliquod malum inciderit, multa cum fiducia merdecem à Deo repoſcet: quemadmodum & hic magna miráque in hoſtem exhibitæ reuerentiæ præmia deinceps diuinitus recepit. Sed quæ ſequuntur videamus. Exiuit Dauid è ſpelunca poſt Solem, clamauítq; poſt illum, ita dicens: Domine mi rex. Et reſpexit Saul poſt tergum ſuum, & vidit Dauid in facie proſtratum in terram, & adorauit eum. Hæc non minus adferunt ornamenti Dauidi, quàm ſeruatus hoſtis. Neque enim vulgaris erat animi, non inflari beneficiis in proximum collatis, neque ſic affici vt ſolent plerique è vulgo, qui perinde vt mancipia ſuperciliis adductis deſpiciunt, quos beneficio iuuerint. At non ita beatus Dauid, quin potius, poſt impenſa beneficia modeſtior apparuit. In cauſa fuit, quòd nihil eorum quæ præclarè geſta fuerant, ſuę ipſius induſtriæ ferebat acceptum, ſed totum diuino muneri aſcribebat. Ideoque qui ſeruarat, idem adorabat ſeruatum, rurſumq; Regem nominabat, videlicet ob illius dignitatem animi tumorem reprimens, irámque mitigans, & inuidiam ſubmouens. Audiamus porrò & excuſationem ipſam. Cur audis verba po-

Multo maius parcere, quam perdere.

1.Reg. 24.9.

Ibidem.

A οὐκ εὐνούστεροι δὲ μόνον, ἀλλὰ καὶ προθυμότεροι περὶ τοὺς πολεμίους ἦσαν, εἰδότες ὅτι τὸν θεὸν ἔχουσιν ὑπὲρ αὐτῶν πολεμοῦντα, τὸν ἀεὶ παρόντα τῷ στρατηγῷ, καὶ τὰ πράγματα ἅπαντα ἐξευμαρίζοντα. καὶ τῷ Δαβὶδ δὲ, οὐχ ὡς ἀνθρώπῳ λοιπὸν, ἀλλ᾽ ὡς ἀγγέλῳ προσεῖχον. καὶ πρὸ τῆς ἀντιδόσεως τῆς τοῦ θεοῦ μείζονα καὶ ἐνταῦθα τοῦ διασωθέντος αὐτὸς ἐκαρποῦτο, καὶ λαμπροτέραν ἤρατο νίκην, ἢ εἰ κατέθυσε τὸν Σαούλ. τί γὰρ ἂν τοσοῦτον ἐκέρδανε σφάξας τὸν ἐχθρὸν, ὅσον ἐκαρπώσατο φεισάμενος νῦν; ταῦτα τοίνυν καὶ σὺ λογίζου, ἐπειδὰν λάβῃς τὸν λελυπηκότα σε, ὅτι B πολλῷ μεῖζον καὶ κερδαλεώτερον τὸ φείσασθαι τοῦ διαφθεῖραι. ὁ μὲν γὰρ διαφθείρας καὶ καταγνώσεται πολλάκις ἑαυτοῦ, καὶ πονηρὸν ἕξει συνειδὸς, καθ᾽ ἑκάστην ἡμέραν καὶ ὥραν ὑπὸ τῆς ἁμαρτίας ἐκείνης διωκόμενος· ὁ δὲ φεισάμενος καὶ μικρὸν καρτερήσας χρόνον, γάνυται μετὰ ταῦτα καὶ τρυφᾷ, χρηστὰς ἀναμένων ἐλπίδας, καὶ τὰς ἀμοιβὰς τῆς ἀνεξικακίας παρὰ τοῦ θεοῦ προσδοκῶν. καὶ εἴποτε περιπέσοι τινὶ δεινῷ, μετὰ πολλῆς παρρησίας ἀπαιτήσει τὸν θεὸν τὴν ἀντίδοσιν· καθάπερ οὖν καὶ οὗτος ἁπάντων ἀπήλαυσε τούτων, μεγάλας C καὶ θαυμαστὰς τῆς περὶ τὸν ἐχθρὸν ταύτης κηδεμονίας λαβὼν παρὰ τοῦ θεοῦ τὰς ἀμοιβὰς ὕστερον. ἀλλὰ γὰρ ἴδωμεν καὶ τὰ μετὰ ταῦτα. καὶ ἐξῆλθε Δαβὶδ ἐκ τοῦ σπηλαίου, φησὶν, ὀπίσω Σαοὺλ, καὶ ἐβόησεν ὀπίσω αὐτοῦ, οὕτω λέγων· κύριέ μου βασιλεῦ. καὶ ἀνέβλεψε Σαοὺλ ὀπίσω αὐτοῦ· καὶ ἔκυψε Δαβὶδ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ. ταῦτα τοῦ σῶσαι τὸν ἐχθρὸν οὐκ ἐλάττονα φέρει κόσμον. οὐδὲ γὰρ τῆς τυχούσης ψυχῆς ἦν τὸ μὴ φυσηθῆναι ταῖς εἰς τὸν πλησίον εὐεργεσίαις, μᾶλλον δὲ τὸ μὴ τὸ τῶν πολ- D λῶν παθεῖν, οἳ καθάπερ ἀνδραπόδων οὕτως ὑπερορῶσι τῶν εὐεργετηθέντων, καὶ τὰς ὀφρῦς ἀνασπῶσιν. ἀλλ᾽ οὐχ ὁ μακάριος Δαβὶδ οὕτως, ἀλλὰ μειζόνως ἐμετρίαζε, καὶ μετὰ τὴν εὐεργεσίαν. τὸ δὲ αἴτιον, ὅτι οὐδὲν τῶν κατορθωμάτων τούτων ἐνόμιζε τῆς αὐτοῦ σπουδῆς εἶναι, ἀλλὰ τὸ πᾶν ἀνετίθει τῇ θείᾳ χάριτι. διὰ τοῦτο αὐτὸς σώσας, αὐτὸς προσεκύνει τὸν σωθέντα, καὶ βασιλέα καλεῖ πάλιν, καὶ δοῦλον ὀνομάζει ἑαυτὸν, διὰ τοῦ σχήματος ἐκείνου καταστέλλων τὸ φύσημα καὶ τὸν θυμὸν παραμυθούμενος, καὶ τὴν βασκανίαν ἀναιρῶν. ἀκούσωμεν δὲ καὶ τῆς ἀπολογίας αὐτῆς· ἵνα τί ἀκούεις τῶν

A λόγων τοῦ λαοῦ λεγόντων, ἰδοὺ, Δαβὶδ ζητεῖ τὴν ψυχήν σου; καὶ μὴν ἀνωτέρω τούτων ὁ συγγραφεὺς εἶπεν, ὅτι πᾶς ὁ λαὸς ἦν μετ' αὐτοῦ· καὶ ἤρεσκεν ὀφθαλμοῖς τῶν δούλων τοῦ βασιλέως· καὶ ὁ τοῦ κρατοῦντος υἱὸς, καὶ τὸ στρατόπεδον ἅπαν, μετ' αὐτοῦ ταῖς γνώμαις εἱστήκεσαν. πῶς οὖν ἐνταῦθά φησιν, ὅτι ἦσαν οἱ ἐνδιαβάλλοντες καὶ συκοφαντοῦντες, καὶ τὸν Σαοὺλ παροξύνοντες; ὅτι γὰρ οὐ παρ' ἑτέρων ἀναπεισθεὶς, ἀλλ' αὐτὸς οἴκοθεν τὴν πονηρίαν ταύτην τεκὼν ἐπολέμει τῷ δικαίῳ, καὶ τοῦτο ἐδήλωσεν ὁ τὸ βιβλίον γράψας, εἰπών. ὅτι ἐκ τῆς εὐφημίας ὁ φθόνος ἐτίκτετο, καὶ περαιτέρω ηὔξατο
B καθ' ἑκάστην ἡμέραν. τίνος οὖν ἕνεκεν ἐφ' ἑτέρους μεθίστησι τὴν αἰτίαν, λέγων· ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ σου λεγόντων· ἰδοὺ, Δαβὶδ ζητεῖ τὴν ψυχήν σου; διδοὺς ἐξουσίαν αὐτῷ ἀποκρύψασθαι τὴν πονηρίαν. τοῦτο γοῦν καὶ πατέρες πολλάκις ποιοῦσιν ἐπὶ υἱῶν· καὶ λαβών τις ἐκείνων τὸν ἑαυτοῦ υἱὸν διεφθαρμένον καὶ πολλὰ εἰργασμένον κακὰ, κἂν πεπεικὼς τύχοι ἑαυτὸν, ὅτι οἴκοθεν καὶ παρ' ἑαυτοῦ πρὸς τὴν πονηρίαν ἐξώκειλεν, ὅμως ἐφ' ἑτέρους μετάγει τὰ ἐγκλήματα πολλάκις οὑτωσὶ λέγων· οἶδα ὅτι οὐ
C σὸν γέγονε τὸ ἁμάρτημα· ἕτεροί σε διέφθειραν καὶ ἠπάτησαν· ἐκείνων ἅπαν ἐστὶ τὸ πλημμέλημα. ὁ γὰρ ταῦτα ἀκούων δυνήσεται, μικρὸν ἀπὸ τῆς κακίας διαβλέψας εὐκολώτερον πρὸς ἀρετὴν ἐπανελθεῖν, αἰσχυνόμενος καὶ ἐρυθριῶν ἀνάξιος τῆς περὶ αὐτοῦ δόξης φανῆναι. τοῦτο καὶ Παῦλος ἐποίησε, τοῖς Γαλάταις γράφων. μετὰ τοὺς πολλοὺς γοῦν καὶ μακροὺς ἐκείνους λόγους καὶ τὰς ἀφάτους κατηγορίας, ἃς αὐτῶν κατηγόρησε, πρὸς τῷ τέλει τῆς ἐπιστολῆς, βουλόμενος αὐτῶν ἀποσκευάσασθαι τὴν
D κατηγορίαν, ἵνα μικρὸν ἀναπνεύσαντες ἐκ τῶν ἐγκλημάτων δυνηθῶσιν εἰς ἀπολογίαν ἐλθεῖν, οὕτω πως φησίν· ἐγὼ πέποιθα εἰς ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ. οὕτω καὶ ὁ Δαβὶδ ἐποίησεν ἐνταῦθα. τὸ γὰρ εἰπεῖν, ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ λέγοντος, ἰδοὺ, Δαβὶδ ζητεῖ τὴν ψυχήν σου, ἔδειξεν ἑτέρους ὄντας τοὺς παροξύνοντας, ἑτέρους τοὺς διαφθείροντας. οὕτως ἦν πάντη ἐπι[illegible]άζων ἀπολογίαν αὐτῷ παρασχεῖν τῶν ἐγκλημάτων. εἶτα ὑπὲρ τῶν καθ'

A puli dicentium tibi, ecce Dauid quęrit animam tuam? Et tamen qui hanc cõſcripſit hiſtoriam, prius dixit quòd totus populus eſſet cum Dauid, quódq; gratioſus eſſet in oculis ſeruorum Regis, & quòd principis filius vniuerſúſq; exercitus animo ſtarent à Dauide. Quo pacto igitur hîc ait fuiſſe qui deferrent ipſum, ac Saulem in eum prouocarent? Quòd enim non aliorum inſtinctu, ſed ipſe ex propria mente malitiam hanc peperiſſet, vt bellum gereret cum iuſto, declarauit, qui volumen conſcripſit, quum ait, è laudibus Dauidis natã eſſe inuidiam, quódque progrediens
B creuiſſet indies. Quam igitur ob cauſam crimen transtulit in alios, dicens: Cur audis verba populi tui, dicentium: ecce Dauid quærit animam tuam? nimirum vt illi præbeat occaſionem excutiendi malitiam. Hoc nimirum & parentes ſæpenumero faciunt erga filios, dum quiſpiam corripiens filium ſuum corruptum, multáque operatum mala, quamuis ſibi perſuaſum habeat, illum ex propria malitia ad perditos mores exorbitaſſe, frequenter tamen in alios cul-
C pem reiicit, ita loquens: Noui non fuiſſe tuum delictum, ſed alij te corruperunt ac ſeduxerunt. Illorum eſt totum hoc peccatum. Nam hæc audiens filius, poterit paulatim à malitia reſipiſcens facilius ad bonam frugem reuerti, dum pudefit, erubeſcitque hac laude videri indignus. Idem fecit Paulus ſcribens Galatis. Poſt multos illos ac prolixos ſermones, poſtque non commemorandas accuſationes, quibus illos accuſarat, ſub epiſtolæ finem volens ab illis amouere culpam, vt
D aliquantulum à criminibus recreati ad excuſationem venire queant, hunc in modum loquitur: Ego confido de vobis, quòd nihil aliud ſentietis. Cæterum qui vos perturbat, feret iudicium quiſquis ille fuerit. Itidem fecit & Dauid hîc. cùm enim ait, Cur audis verba populi dicentis: ecce Dauid quærit animam tuam: indicat, alios eſſe qui prouocarent, alios qui animum illius inficerent, modis omnibus ſtudens illi porrigere excuſationis occaſionem. Mox ſuam ipſius cau-

Marginal references: 1. Reg. 16. — 1. Reg. 8. — Gal. 5. 10 — 1. Reg. 24. — Ibid. 11.

ſam agens, ait: Et ecce viderunt oculi tui hodie, quòd tradiderit te Dominus in manus meas in ſpelunca, quódque noluerim occidere te, ſed pepercerim tibi, dixerimque: Non iniiciam manum meam in dominum meum, quoquoniam Chriſtus Domini eſt. Illi quidem, inquit, verbis calumniantur, at ego reipſa me purgo, ipſiſque factis depello crimen. Mihi nihil opus eſt verbis, quum ipſe rerum exitus quauis oratione clarius poſſit te docere, quinam ſint illi, & qui ego, & quomodo facta ſit aduerſum me mendax delatio, & calumnia. Harum rerum non alium, ſed temetipſum teſtem inuoco, teipſum inquam, qui meo beneficio ſeruatus es. Sed quomodo potuit Saul harum rerum eſſe teſtis, qui quum hæc fierent, dormiebat, ac neque verba audiuit, neque Dauidem vidit tum præſentem, neq; cum militibus colloquentem? Quomodo igitur occurremus, vt euidens declaratio fiat? Si enim teſtes citaſſet, Saul ſuſpectum habuiſſet eorum teſtimonium, eôſque iuſto gratificantes ea loqui putaſſet. Quòd ſi ratiocinationibus ac probabilibus argumẽtis tentaſſet excuſare ſeſe, futurum erat, vt minus ipſi crederetur, quippe iam corrupto iudicis animo. Quomodo enim is qui tot beneficiis affectus nihilo ſecius bello perſequebatur nihil commeritum, ſuſpicari potuiſſet, quòd aliquis iniuria affectus, eum qui fecerat iniuriam nactus in manus, peperciſſet? Plerunque enim vulgus hominum ex ſuo animo de aliis iudicat. Velut qui aſſiduè inebriatur, haud facilè credere poſſet eſſe quempiam hominem ſobriè frugaliterque viuentem. qui ſcortis indulget, etiam pudicè viuentes habet pro incontinentibus. Rurſus qui res rapit alienas, non facilè perſuadebitur, eſſe homines qui ſua quoque profundant. Similiter & hic ſemel occupatus ira haudquaquam facilè credidiſſet eſſe hominem vſque adeò ſuis affectibus ſuperiorem, vt nõ modò nihil læderet, verùm & eum qui læſerat ſeruaret. Quoniam igitur & animus iudicis erat corruptus, & teſtes ſi producti fuiſſent, in ſuſpicione erant futuri, conſilio prudenti reperit probationem quandam, quæ poſſet & vehementer impudentibus obturare os. Quænam eſt hæc? Lacinia chlamydis quã, protẽdẽs dicebat,

Teſtem Saulem ipſum eſſe vult Dauid.

Vulgus de alijs ex ſe iudicat.

A ἑαυτὸν ἀπολογούμενός φησι· καὶ ἰδοὺ ἑωράκασιν οἱ ὀφθαλμοί σου σήμερον, ὡς παρέδωκέ σε κύριος εἰς τὰς χεῖράς μου ἐν τῷ σπηλαίῳ, καὶ οὐκ ἠβουλήθην ἀποκτεῖναί σε καὶ ἐφεισάμην σου, καὶ εἶπον· οὐκ ἐποίσω τὴν χεῖρά μου ἐπὶ τὸν κύριόν μου, ὅτι χριστὸς κυρίου ἐστίν. ἐκεῖνοι μὲν οὖν διὰ ῥημάτων διαβάλλουσι, φησιν· ἐγὼ δὲ διὰ πραγμάτων ἀπολογοῦμαι, καὶ δι' ἔργων ἀποσκευάζομαι τὴν κατηγορίαν. οὐ χρεία μοι λόγων, αὐτῆς τῶν πραγμάτων τῆς ἐκβάσεως παντὸς λόγου σαφέστερον δυναμένης διδάξαι, τίνες μὲν ἐκεῖνοι, τίς δὲ ἐγώ· καὶ ὡς συκοφαντία καὶ ψευδὴς B ἡ κατ' ἐμοῦ γινομένη διαβολή. καὶ τούτων οὐχ ἕτερον, ἀλλ' αὐτόν σε καλῶ μάρτυρα τὸν εὖ παθόντα. καὶ πῶς, φησιν, ἠδύνατο μαρτυρεῖν ἐκεῖνος; ἡνίκα γὰρ ταῦτα ἐγίνετο, ἐκάθευδε, καὶ οὔτε τῶν ῥημάτων ἤκουσεν, οὔτε τὸν Δαβὶδ εἶδε παρόντα, οὔτε τοῖς στρατιώταις διαλεγόμενον. πῶς οὖν ἀπαντησόμεθα, ἵνα σαφὴς ἡ ἀπόδειξις γένηται; εἰ γὰρ μάρτυρας παρήγαγεν ἀνθρώπους τοὺς τότε σὺν αὐτῷ ὄντας, ὑπώπτευσεν ἂν τὴν μαρτυρίαν ὁ Σαοὺλ, καὶ χαριζομένους τῷ δικαίῳ ταῦτα λέγειν ἐνόμισεν. εἰ δὲ ἀπὸ λογισμῶν καὶ C εἰκότων ἐπεχείρησεν ἀπολογήσασθαι, μειζόνως ἔμελλεν ἀπιστεῖσθαι, τῆς τοῦ δικάζοντος γνώμης διεφθαρμένης. πῶς γὰρ, ὁ μετὰ τοσαύτας εὐεργεσίας πολεμῶν τῷ μηδὲν ἠδικηκότι, ἐδύνατο πιστεῦσαι, ὅτι ὁ ἀδικηθεὶς τὸν ἀδικήσαντα λαβὼν εἰς χεῖρας, ἐφείσατο; καὶ γὰρ ὡς τὰ πολλὰ οἱ πολλοὶ τῶν ἀνθρώπων ἐκ τῶν καθ' ἑαυτοὺς καὶ περὶ τῶν ἄλλων τὰς ψήφους φέρουσιν· οἷον, ὁ μεθύων διηνεκῶς, οὐκ ἂν ῥᾳδίως πιστεύσειεν εἶναί τινα ἄνθρωπον ἐν ἐγκρατείᾳ ζῶντα. ὁ πόρναις προσέχων, καὶ τοὺς κοσμίως βιοῦντας D ἀκολάστους εἶναι νομίζει. πάλιν, ὁ τὰ τῶν ἄλλων ἁρπάζων, οὐκ ἂν πεισθείη ῥᾳδίως, ὅτι εἰσὶν ἄνθρωποι καὶ τὰ ἑαυτῶν προϊέμενοι. οὕτω δὴ καὶ οὗτος, ἅπαξ ὑπὸ τῆς ὀργῆς ἁλοὺς, οὐκ ἂν ῥᾳδίως ἐπίστευσεν, ὅτι ἐστὶν ἄνθρωπος οὕτω τοῦ πάθους περιγινόμενος, ὡς μὴ μόνον μηδὲν ἀδικεῖν, ἀλλὰ καὶ τὸν ἀδικοῦντα σώζειν. ἐπεὶ οὖν καὶ ἡ γνώμη τοῦ δικάζοντος διέφθαρτο, καὶ μάρτυρες εἰ παρήχθησαν, δι' ὑποψίας ἔμελλον εἶναι, ᾠκονομήθη ἀπόδειξίν τινα εὑρεῖν δυναμένην καὶ τοὺς σφόδρα ἀναισχυντοῦντας ἐπιστομίσαι. ποίαν δὴ ταύτην; τὸ πτερύγιον τῆς διπλοΐδος, ὃ καὶ προ-

βαλλόμενος ἔλεγεν· ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος ἐν τῇ χειρί μου, ὃ ἐγὼ ἀφεῖλον, καὶ οὐκ ἀπέκτεινά σε. ἄφωνος ὁ μάρτυς, ἀλλὰ τῶν φωνὴν ἐχόντων σαφέστερος. οὐ γὰρ ἂν εἰ μὴ πλησίον ἐγενόμην, φησί, καὶ τοῦ σώματος ἐγγὺς εἱστήκειν τοῦ σοῦ, τὸ μέρος ἂν ἔκοψα τοῦ ἱματίου. ὁρᾷς ὅσον ἀγαθὸν ἐγένετο ἐκ τοῦ κινηθῆναι παρὰ τὴν ἀρχὴν τὸν Δαβίδ; εἰ μὴ γὰρ ἐκινήθη πρὸς τὴν ὀργήν, οὐκ ἂν οὔτε τὴν φιλοσοφίαν ἐμάθομεν τοῦ ἀνδρός (οὐδὲ γὰρ ἀπὸ φιλοσοφίας, ἀλλ' ἐξ ἀναισθησίας μᾶλλον ἔδοξεν ἂν τοῖς πολλοῖς ἡ φειδὼ γενέσθαι) οὐδ' ἂν ἐξέκοψε τὴν διπλοΐδα· μὴ ἐκκόψας δέ, οὐδαμόθεν ἑτέρωθεν εἶχε πιστώσασθαι τὸν ἐχθρόν. νυνὶ δὲ κινηθεὶς καὶ τεμὼν ἀναμφισβήτητον ἀπόδειξιν τῆς αὐτοῦ προνοίας παρέσχετο. ἐπεὶ οὖν οὕτως ἀληθῆ καὶ ἀνύποπτον μαρτυρίαν παρήγαγεν, αὐτὸν λοιπὸν τὸν ἐχθρὸν καὶ δικαστὴν καὶ μάρτυρα καλεῖ τῆς οἰκείας κηδεμονίας, οὑτωσὶ λέγων· γνῶθι καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔστιν ἐν τῇ χειρί μου κακία, οὐδὲ ἀθέτησις· καὶ σὺ δεσμεύεις τὴν ψυχήν μου τοῦ λαβεῖν αὐτήν. ἐντεῦθεν μάλιστα ἄν τις αὐτὸν θαυμάσειε τῆς μεγαλοψυχίας, ὅτι ἀπὸ τῶν κατ' ἐκείνην τὴν ἡμέραν συμβάντων τὴν ἀπολογίαν ποιεῖται μόνον. τοῦτο γὰρ ᾐνίξατο εἰπών· γνῶθι καὶ ἴδε σήμερον. οὐδὲν λέγω τῶν παρελθόντων, φησίν· ἀρκεῖ μοι πρὸς ἀπόδειξιν ἡ παροῦσα ἡμέρα· καίτοιγε πολλὰς καὶ μεγάλας ἔμπροσθεν εὐεργεσίας γεγενημένας εἶχεν ἀριθμεῖν, εἴπερ ἠβούλετο. καὶ γὰρ τῆς πρὸς τὸν βάρβαρον μονομαχίας αὐτὸν ἀναμνῆσαι ἐδύνατο, καὶ εἰπεῖν, ὅτι τοῦ βαρβαρικοῦ πολέμου, καθάπερ κατακλυσμοῦ τινος ἅπασαν μέλλοντος παρασύρειν τὴν πόλιν, καταπεπληχότων ὑμῶν καὶ δεδοικότων, καὶ καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκώντων, ἐγὼ παρελθών, οὐδενὸς ἀναγκάσαντος, ἀλλὰ καὶ σοῦ κωλύοντος καὶ κατέχοντος καὶ λέγοντος, οὐ δυνήσῃ πορευθῆναι, ὅτι παιδάριον εἶ, αὐτὸς δὲ ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ, οὐκ ἠνεσχόμην· ἀλλὰ πρὸ τῶν ἄλλων ἁπάντων ἐπήδησα καὶ τὸν πολέμιον ἐδεξάμην, καὶ τὴν κεφαλὴν ἀπέτεμον, καὶ ὥσπερ τινὰ χειμάρρου ῥύμην ἀνέστειλα τὴν ἔφοδον τῶν βαρβάρων ἐκείνων, καὶ τὴν πόλιν σαλευομένην ἔστησα· καὶ δι' ἐμέ, σὺ μὲν τὴν βασιλείαν καὶ τὴν ψυχήν, οἱ δὲ λοιποὶ πάντες μετὰ τῆς ψυχῆς τὴν

A Ecce lacinia chlamydis tuæ in manu mea, quam abſtuli, nec occidi te. Mutus quidem teſtis, ſed omnibus vocem habentibus euidentior. Neque enim ſi non fuiſſem, inquit, proximus, ac corpori tuo vicinus ſtetiſſem, potuiſſem chlamydis amputare partem. Vides quantum ſit ortum boni ex eo, quòd initio commotus fuerat Dauid? Niſi enim ad iram commotus fuiſſet, neque philoſophiam hominis cognouiſſemus, ſed pleriſque quod accidit, ſtupor potius fuiſſet viſus, quàm clementia, neque chlamydis partem amputaſſet.

B Quòd ſi non amputaſſet, non poterat aliis argumentis inimico fidem facere. Nunc verò quoniam & commotus fuit, & amputauit, ſuæ prouidentiæ certiſſimum præbuit argumentum. Quoniam igitur hunc in modum verum & indubitabile teſtimonium exhibuit, ipſum mox inimicum, & iudicem, & teſtem facit ſuæ erga regem reuerentiæ, loquens hunc in modum: Cognoſce & vide hodie quòd non eſt in manu mea iniquitas, neque contemptus tui, & alligas animam meam,

C vt capias eam. Hinc vel maximè quis admirari debeat illius magnanimitatem, quòd non ſumit excuſationem niſi ab iis quæ eo die acciderant. Nam hoc innuit, quum ait: Cognoſce, & vide hodie. Ibid. 24. Nihil enim loquor de anteactis: Mihi ad probationem ſatis eſt hic dies: tametſi poterat multa magnáque enumerare beneficia, quæ prius in illum contulerat, ſi voluiſſet: poterat commemorare ſingulare certamen, quod cum Barbaro ſuſceperat, ac dicere: Quum bellum barbaricum ceu diluuium quoddam vniuer-

D ſam ciuitatem eſſet diſſipaturum, conſternatis vobis ac metu trepidis, quotidiéque mortem expectantibus, ego accedens adeò nemine compellente, vt tu quoque prohiberes ac retineres, dicens: non poteris ire, quoniam puer es, ille autem vir bellator à iuuentute ſua: 1. Reg. 17. non me continuí, ſed vnus pro omnibus inſilij, hoſtem excepi, caput amputaui, ac veluti torrentis impetum quendam, Barbarorum illorum inſultus depuli, rempublicam vacillantem conſtabiliui: ac per me tu quidem regnum ac vitam, cęteri verò omnes pręter vitam,

A ciuitatem ac domos, liberos & vxores obtinent. Ac poſt illud rurſus trophæum, & alia, bella quæ fortiter ac fœliciter geſſerat, commemorare, hoc non inferiora. Ad hæc quòd quum ſemel atque iterum, imò ſæpius tentaſſet ipſum è medio tollere, lanceámque in caput illius torſiſſet: non tamen meminit malorum, neque refricuit, quòd poſt illa geſta, quum Saul deberet prioris pugnæ reddere præmia, popoſcit dotem, non aurum, non argentum, ſed cædem & exitium ipſius. Ac ne id quidem abnuit Dauid. Nec iſta tantum, ſed his etiam multò tum plura, tum maiora dicere poterat. B Verùm nihil horum dixit, neque ei erat animus illi exprobrare benefacta, ſed tantum perſuadere, ſe eſſe vnum ex eorum numero, qui ipſum & amarent & reuererentur, non qui rebellionem aut inſidias molirentur. Eóque prætermiſſis illis omnibus, tantùm quod eo acciderat die, in excuſationem adduxit. Vſque adeò purus erat, & ab omni inani gloria immunis, nec alio reſpexit, quàm ad vnius Dei voluntatem. Deinde ait: Iudicet Dominus inter me & te. Hoc verbum dixit, non quòd cuperet puniri Saulem, aut de illo pœnas ſumi, ſed C vt illi formidinem iniiceret, venturæ condemnationis commemoratione: neque vt timorem incuteret tantùm, verùm vt ſeipſum à criminis ſuſpicione purgaret. Præcipuam quidem, inquit, probationem ex ipſis habeo factis: quod ſi non credis, ipſum Deum inuoco teſtem, qui & cuiuſque mentis arcana nouit, & ſcrutari poteſt conſcientias. Hæc autem locutus eſt, declarans quòd nequaquam auſus fuiſſet appellare iudicem illum, cui non poteſt imponi, & in ſeſe condemnationem D accerſere, niſi certiſſimum haberet, quòd ab omni inſidiarũ crimine purus eſſet. Et quòd ea quæ dicimus non coniecturæ, ſed quod ſimul & ſeſe purgare cupiens, & illum ad ſobrietatem reuocare, illius iudicij fecit mentionem, illa quidem quæ iam geſta fuerunt, ſufficienter oſtendunt, non minus autem his & illa, quæ poſtea acciderunt, huius rei fidem facere poſſunt. Nam quum rurſus Saul incidiſſet in manus ipſius, poſt datam ſalutem imminens illi, & occidere volens, qúmque poſſet hoſtem cum vniuerſo exer-

Vnius Dei voluntatē ſpectat Dauid.

A πόλιν, καὶ τὰς οἰκίας, καὶ τὰ παιδία, καὶ τὰ γύναια ἔχουσι. καὶ μετ᾽ ἐκεῖνο δὲ πάλιν τὸ τρόπαιον, ἑτέρους οὓς κατώρθωσε πολέμους, εἰπεῖν εἶχεν οὐκ ἐλάττους ἐκείνου. καὶ ὅτι καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις ἐπιχειρήσαντος ἀνελεῖν, καὶ τὸ δόρυ κατὰ τῆς αὐτοῦ κεφαλῆς ἀφέντος, οὐκ ἐμνησικάκησε, καὶ ὅτι μετὰ ταῦτα μέλλων ἀποδιδόναι τὸν μισθὸν τῆς προτέρας μάχης, ἕδνα ἀπήτησεν, οὐ χρυσίον καὶ ἀργύριον, ἀλλὰ σφαγὴν καὶ πανωλεθρίαν· καὶ οὐδὲ ἐνταῦθα ἀνένευσε. ταῦτα πάντα, καὶ πολλῷ πλείονα τούτων καὶ μείζονα εἶχεν εἰπεῖν· B ἀλλ᾽ οὐδὲν τούτων εἶπεν. οὐ γὰρ ὀνειδίσαι αὐτῷ τὰς εὐεργεσίας ἐβούλετο, ἀλλὰ πεῖσαι μόνον, ὅτι τῶν φιλούντων αὐτὸν καὶ κηδομένων ἐστὶν, οὐχὶ τῶν ἐπιβουλευόντων καὶ πολεμούντων. διὰ τοῦτο πάντα ἐκεῖνα ἀφεὶς, τὸ ἐν αὐτῇ τῇ ἡμέρᾳ συμβὰν μόνον εἰς λόγον ἀπολογίας παρήγαγεν. οὕτως ἦν ἄτυφος καὶ κενοδοξίας καθαρὸς ἁπάσης, καὶ πρὸς ἓν ἔβλεπε μόνον, τὴν τοῦ θεοῦ ψῆφον. εἶτά φησι· κρίναι κύριος ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. τοῦτο εἶπε τὸ ῥῆμα, οὐχὶ κολασθῆναι C βουλόμενος τὸν ἄνδρα, οὐδὲ τιμωρίαν παρ᾽ αὐτοῦ λαβεῖν, ἀλλὰ φοβῆσαι τῇ μνήμῃ τῆς μελλούσης κρίσεως, καὶ οὐ φοβῆσαι μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν καθ᾽ ἑαυτὸν ἀπολογήσασθαι. μάλιστα μὲν γάρ, φησιν, ἔχω καὶ τὰς ἀπὸ τῶν πραγμάτων ἀποδείξεις· εἰ δὲ ἀπιστεῖς, αὐτὸν καλῶ τὸν θεὸν μάρτυρα, τὸν τὰ ἀπόρρητα τῆς ἑκάστου διανοίας εἰδότα, καὶ τὸ συνειδὸς ἐρευνῆσαι δυνάμενον. ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οὐκ ἂν ἐτόλμησε καλέσαι τὸν ἀπαραλόγιστον δικαστὴν, καὶ ἐπ᾽ αὐτοῦ τὴν D δίκην εἰσαγαγεῖν, εἰ μὴ σφόδρα ἦν πεπεικὼς ἑαυτὸν, ὅτι πάσης ἐπιβουλῆς ἦν καθαρός. καὶ ὅτι οὐ στοχασμὸς τὰ εἰρημένα, ἀλλὰ καὶ ὑπὲρ τῶν καθ᾽ ἑαυτὸν ἀπολογήσασθαι βουληθεὶς, κἀκεῖνον σωφρονίσαι θέλων, τῆς δίκης ἐκείνης ἀνέμνησεν, ἱκανὰ μὲν καὶ τὰ ἤδη γεγενημένα δηλῶσαι· οὐκ ἔλαττον δὲ ἐκείνων καὶ τὰ μετὰ ταῦτα συμβάντα τοῦτο πιστώσασθαι δύναται. καὶ γὰρ πάλιν αὐτὸν εἰς χεῖρας λαβὼν, μετὰ τὴν σωτηρίαν ταύτην ἐπιθέμενον αὐτῷ καὶ ἀνελεῖν βουλόμενον, καὶ δυνάμενος αὐτὸν μετὰ τοῦ στρατοπέδου κατακόψαι παντὸς,

πληκτος, ἀφῆκεν, οὐδὲν, ὧν εἰκὸς ἦν παθεῖν, πεπονθότα. διὸ καὶ συνιδὼν ὡς ἀνήκεστα νοσεῖ, καὶ τῆς πρὸς αὐτὸν ἔχθρας οὐδαμοῦ λήξει ποτὲ, ἐξήγαγεν ἑαυτὸν τῶν ὀφθαλμῶν τῶν ἐκείνου, καὶ παρὰ τοῖς βαρβάροις ἔζη, δουλεύων, ἠτιμωμένος, αἰσχυνόμενος, ἐκ πόνου καὶ ταλαιπωρίας τὴν ἀναγκαίαν ἑαυτῷ πορίζων τροφήν. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ἀλλ' ὅτι καὶ πεσόντα ἀκούσας ἐπὶ τῆς παρατάξεως, διέρρηξέ τε τὸν χιτωνίσκον, καὶ σποδὸν κατεπάσατο, καὶ θρῆνον ἐθρήνησεν, ὃν ἄν τις θρηνήσειε, παῖδα μονογενῆ καὶ γνήσιον ἀποβαλὼν, συνεχῶς αὐτοῦ τὸ ὄνομα ἀνακαλῶν μετὰ τοῦ παιδίου, καὶ ἐγκώμια συντιθεὶς, καὶ πικρὰν ἀφιεὶς φωνὴν, καὶ μέχρις ἑσπέρας ἄσιτος μένων, καὶ αὐτὰ τὰ χωρία καταρώμενος τὰ δεξάμενα τὸ αἷμα τοῦ Σαούλ· ὄρη γὰρ, φησὶ, τὰ Γελβουὲ, μὴ πέσοι ἐφ' ὑμᾶς, μήτε δρόσος, μήτε ὑετός. ὄρη θανάτου, ὅτι ἐκεῖ ἐξήρθη σκέπη δυνατῶν. ὅπερ πατέρες ποιοῦσι πολλάκις, καὶ τὴν οἰκίαν ἀποστρέφονται, καὶ τὸν στενωπὸν ἀηδῶς ὁρῶσι, δι' οὗ τὸν υἱὸν προέπεμψαν, τοῦτο καὶ οὗτος ἐποίησε, καὶ κατηρᾶτο τοῖς ὄρεσι τοῖς τὴν σφαγὴν δεξαμένοις. μισῶ καὶ τὸν τόπον αὐτὸν διὰ τοὺς ἐκεῖ πεσόντας νεκροὺς, φησί. μηκέτι τοίνυν βρέχητε τοῖς ἄνωθεν ὑετοῖς. ἐβρέχητε γὰρ ἅπαξ κακῶς τῷ τῶν φίλων μου αἵματι· καὶ συνεχῶς δὲ αὐτῶν περιστρέφει τὰ ὀνόματα, οὑτωσὶ λέγων· Σαοὺλ καὶ Ἰωνάθαν, οἱ ἠγαπημένοι καὶ ὡραῖοι, οὐ κεχωρισμένοι ἐν τῇ ζωῇ αὐτῶν, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν. ἐπειδὴ γὰρ τὰ σώματα μὴ παρόντα περιπτύξασθαι οὐκ εἶχε, περιπλέκεται αὐτῶν ταῖς προσηγορίαις, τὴν οἰκείαν ὀδύνην, ὡς οἷόν τε, τούτοις καταπραΰνων, καὶ τὸ τῆς συμφορᾶς παραμυθούμενος μέγεθος. ἐπειδὴ γὰρ πολλοῖς ἐδόκει τὸ πεσεῖν ἀμφοτέρους ἐν ἡμέρᾳ μιᾷ ἀνήκεστον εἶναι κακὸν, αὐτὸ δὴ τοῦτο εἰς ὑπόθεσιν παραμυθίας ἔλαβε. τὸ γὰρ εἰπεῖν, ἐν τῇ ζωῇ αὐτῶν οὐ κεχωρισμένοι, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐκ ἐχωρίσθησαν, οὐδὲν ἕτερον, ἢ τοῦτο κατασκευάζοντος ἦν. οὐ γάρ ἐστι, φησὶν, εἰπεῖν, ὅτι ὀρφανίαν ὁ παῖς ἐθρήνησεν, οὐδὲ ἀπαιδίαν ὁ πατὴρ ὠδύρατο, ἀλλ' ὃ μηδενὶ συνέβη, συνέβη ἐκείνοις. ὁμοῦ γὰρ καὶ κατὰ μίαν ἡμέραν τῆς ζωῆς ἀπερράγησαν, οὐ καταλειφθεὶς θάτερος.

A citu concidere, dimiſit illum integrum & incolumem: ídque quum ſciret morbum Regis immedicabilem eſſe, neq; illum vnquam hoſtilem in ſe animum poſiturum, ſubmouit ſeſe ab oculis illius, & apud alienigenas ac Barbaros vitam agebat, ſeruitutem ſeruiens, honore priuatus, pudore ſuffuſus, labore ac miſeria ſibi ipſi parans ad victum neceſſaria. Atqui non hoc tantùm eſt quod miremur, ſed illud quoq;, quòd poſteaquam audierat regem in acie cecidiſſe, & diſcidit veſtimenta ſua, & cinere conſperſus eſt, & eo luctu luxit, quo quis lugeret amiſſo primogenito germanóq; filio: ſubinde nomen illius B inclamans, vnà cum filij nomine, compoſito etiam in defuncti laudem encomio: ac voces acerbi doloris teſtes emittens, impaſtus durauit vſq; ad veſperam, execrans & ipſa loca, quæ Saulis ſanguinem exceperant. Montes, inquit, Gelboë, ne cadat ſuper vos neque ros, neq; pluuia, montes mortis, quoniã illic ſublata ſunt tabernacula potentiũ. Quod ſæpenumero patres faciunt, vt domum etiam auerſentur, & limen dolenter aſpiciant, per quod extulere filium: hoc & hic fecit, eos montes deuo- C uens, qui cædem illam exceperãt. Odi, inquit, ipſum etiam locũ, propter mortuos illic proſtratos. Ne igitur irrigemini poſthac cœleſtibus pluuiis, quia malè ſemel irrigati eſtis amicorũ meorum ſanguine, eáque nomina ſubinde repetebat, ita loquẽs: Saul & Ionathas, amabiles ac ſpecioſi, qui vt in vita ſua non fuerant diſiuncti, ita nec morte ſua ſeparati ſunt. Quoniam enim præſentia illorum corpora non licuit amplecti, nomina illorum coniuncta complexus eſt, ſuum dolorem hiſce modis L quatenus licuit leniens, & calamitatis magnitudinem mitigãs. Præterea quoniam à multis malum putabatur inſanabile, ambos eodem cecidiſſe die, hoc ipſum arripuit in conſolationis argumentum. Nam quod ait, in vita ſua non fuerant diſiuncti, nec in morte ſunt ſeparati, verba ſunt nihil aliud agentis, quàm vt hoc cedat in ſolatium doloris. Iam enim, inquit, non poteſt dici, quòd filius orphanũ eſſe ſe lugeat, neq; quòd pater orbitatem ſuam deploret: verum quod nullis, inquit, obtigit illis cõtigit, videlicet vno eodémque die è viuis eripi, neutro alteri ſuperſtite.

Luctus Dauidis ob mortẽ Saulis.

2. Reg. 1. 21.

2. Reg. 1. 24.

A Exiſtimabat enim vitam ſibi iniucundã fore, ſi alter ab altero fuiſſet diuulſus. Commoueminine nunc, lachrymamini ne nunc, & animo perturbamini? vſque ad lachrymarum effuſionem mutabiles facti ſunt oculi veſtri? Nunc mihi quiſque recordetur inimici, qui læſit, dolore etiamnũ in animo æſtuante, atque hunc & viuum obſeruantia proſequatur, & vita defunctum deploret, haud quidem ad oſtentationem, ſed ex animo, veróque corde, etiamſi quid perferendum ſit incommodi. Ne quid offendat eum qui læſit, omnia tum faciat, tum patiatur, magna à Deo expectans præmia. En hic noſter B Dauid etiam regnum adeptus eſt, nec tamen inquinauit cæde manus, ſed dextram habens puram, ſic corona redimitus eſt, ſic ad thronum aſcendit, honeſti nominis argumentum geſtans, purpura ac diademate magnificentius, videlicet quòd hoſti peperciſſet, quòd eundem extinctum luxiſſet. Atque ob hæc, non viuus modò, ſed & mortuus hominum memoria celebratur. Quapropter ô homo ſi cupis & hîc perpetuam conſequi gloriam, & illic ſolidis perfrui bonis, huius iuſti virtutem imi- C tare, huius æmulare philoſophiam, oſtende factis ipſis hanc iniuriarum tolerantiam, vt eoſdem cum eo labores ſuſtinens, eadem cum hoc bona conſequaris. Quæ vtinam contingat nobis omnibus adipiſci, gratia & benignitate domini noſtri Ieſu Chriſti, cui cum Patre vnà cum ſancto Spiritu, gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Lacrymas mouet Chryſoſtomus.

A ἢ γὰρ ἂν ἀβίωτον ἑαυτῷ εἶναι τὸν βίον ἐνόμισε τῇ διαστάσει θατέρου. διεθερμάνθητε νῦν, ἐδακρύσατε, συνεχύθητε τὸν λογισμόν, καὶ πρὸς ἄφεσιν δακρύων εὐτρεπεῖς ὑμῶν οἱ ὀφθαλμοὶ γεγόνασι; νῦν ἕκαστος ἀναμιμνησκέσθω μοι τοῦ ἐχθροῦ καὶ τοῦ λελυπηκότος, ἔτι ζεούσης τῷ πένθει τῆς διανοίας· καὶ τοῦτον καὶ ζῶντα φυλαττέτω, καὶ ἀπελθόντα πενθείτω, μὴ πρὸς ἐπίδειξιν, ἀλλ' ἀπὸ διανοίας καὶ ψυχῆς γνησίας. κἂν δέῃ τι παθεῖν, ὥστε μὴ λυπῆσαι τὸν ἠδικηκότα, πάντα ποιείτω καὶ πασχέτω, παρὰ τοῦ θεοῦ μεγάλας ἀναμένων τὰς ἀμοιβάς. ἰδοὺ B γοῦν οὗτος καὶ τὴν βασιλείαν ἔλαβε, καὶ τὴν χεῖρα οὐκ ἐμόλυνεν, ἀλλὰ καθαρὰν ἔχων τὴν δεξιάν, οὕτω τὸν στέφανον ἀνεδήσατο, καὶ ἐπὶ τὸν θρόνον ἀνέβη, τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος λαμπροτέραν ἔχων εὐφημίας ὑπόθεσιν, τὸ φείσασθαι τοῦ πολεμίου, τὸ θρηνῆσαι πεσόντα. διὰ τοῦτο οὐχὶ ζῶν μόνον, ἀλλὰ καὶ τελευτήσας μνημονεύεται. ὥστε εἰ βούλει καὶ σὺ καὶ ἐνταῦθα διηνεκοῦς δόξης τυχεῖν, ἄνθρωπε, κἀκεῖ τῶν ἀκινήτων ἀπολαῦσαι καλῶν, μίμησαι τὴν ἀρετὴν τοῦ δικαίου, ζήλωσον τὴν C φιλοσοφίαν, ἐπίδειξαι διὰ τῶν ἔργων τὴν ἀνεξικακίαν ταύτην· ἵνα τοὺς αὐτοὺς ὑπομείνας αὐτῷ πόνους, καὶ τῶν αὐτῶν ἀξιωθῇς ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

HOMILIA III.

Periculoſum eſſe adire ſpectacula, quódque ea res adulteros perfectos facit, & hinc triſtitia contentioque naſcatur: tum quòd omne tolerantiæ genus Dauid in his, quæ fecit erga Saulem, ſuperarit: poſtremò quòd rapinam æquo animo ferre, non minor virtus ſit, quàm largiri eleemoſynam.

Ὁμιλία γ.

D Ὅτι ἐπισφαλὲς τὸ εἰς θέατρα ἀναβαίνειν, καὶ ὅτι μοιχοὺς ἀπηρτισμένους ποιεῖ, καὶ ὅτι ἀθυμίας αἴτιον καὶ πολέμου τοῦτο, καὶ ὅτι πᾶν ἀνεξικακίας εἶδος ὑπερεβάλετο ὁ Δαβὶδ ἐν τοῖς κατὰ τὸν Σαούλ, καὶ ὅτι τὸ φέρειν ἁρπαγὴν πράως τοῦ δοῦναι ἐλεημοσύνην ἴσον.

DES. ERASMO INTERPRTE.

Πολλοὺς οἶμαι τῶν πρῴην καταλιπόντων ἡμᾶς, καὶ πρὸς τὰ θέατρα τῆς παρανομίας αὐτομολησάντων παρεῖναι τήμερον. καὶ ἐβουλόμην εἰδέναι τούτους σαφῶς, ὥστε αὐτοὺς τῶν ἱερῶν ἐκβαλεῖν προθύρων, οὐχ ἵνα μένωσιν ἔξω διηνεκῶς, ἀλλ' ἵνα διορθωθέντες, ἐπανέλθωσι πάλιν. ἐπεὶ καὶ πατέρες παῖδας σφαλλομένους τῆς οἰκίας ἐκβάλλουσι πολλάκις, καὶ τῆς τραπέζης ἀπείργουσιν, οὐχ ἵνα διαπαντὸς τούτων ἐκπέσωσιν, ἀλλ' ἵνα βελτίους τῇ νουθεσίᾳ ταύτῃ γενόμενοι, μετὰ τῆς προσηκούσης δόξης ἐπὶ τὸν πατρῷον ἐπανέλθωσι κλῆρον. τοῦτο καὶ ποιμένες ποιοῦσι, τὰ ψώρας ἐμπεπλησμένα πρόβατα τῶν ὑγιαινόντων ἀπείργουσιν, ἵνα ἀποθέμενα τὴν ἀρρωστίαν, μετ' ἀσφαλείας πρὸς τὰ ὑγιαίνοντα ἐπανέλθῃ πάλιν, καὶ μὴ νοσοῦντα τὴν ἀγέλην ἅπασαν ἐμπλήσῃ τῆς ἀρρωστίας ἐκείνης. διά τοι τοῦτο καὶ ἡμεῖς ἐβουλόμεθα τούτους εἰδέναι. ἀλλ' εἰ καὶ μὴ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς αὐτοὺς διακρῖναι δυνάμεθα, ὁ λόγος αὐτοὺς ἐπιγνώσεται πάντως, καὶ τοῦ συνειδότος αὐτῶν ἐπιλαβόμενος πείσει ῥᾳδίως ἑκόντας αὐτοὺς ἐξελθεῖν, διδάσκων ὅτι ἐκεῖνος ἔνδον ἐστὶ μόνος, ὁ τῆς ἐνταῦθα διατριβῆς ἀξίαν παρέχων τὴν γνώμην· ὡς ὁ μετὰ πολιτείας διεφθαρμένης τοῦ ἱεροῦ τούτου μετέχων συλλόγου, κἂν τὸ σῶμα ἐνταῦθα εἰσάγῃ, ἐκβέβληται, καὶ τῶν ἀποκεκλεισμένων ἔξω καὶ μηδέπω δυναμένων τῆς ἱερᾶς μετασχεῖν τραπέζης μᾶλλον ἀπελήλαται. ἐκεῖνοι μὲν γὰρ οἱ κατὰ τοὺς τοῦ θεοῦ νόμους ἐκβληθέντες, καὶ μένοντες ἔξω, τέως χρηστὰς ἔχουσι τὰς ἐλπίδας. κἂν γὰρ ἐθέλωσι διορθώσασθαι τὰ πλημμελήματα, δι' ἃ τῆς ἐκκλησίας ἐξέπεσον, δυνήσονται μετὰ καθαροῦ τοῦ συνειδότος πάλιν ἐπανελθεῖν· οἱ δὲ μολύναντες ἑαυτοὺς, καὶ κελευσθέντες μὴ πρότερον ἐπιβῆναι, ἕως ἂν ἀποκαθάρωνται τὴν κηλῖδα τὴν ἐκ τῶν ἁμαρτημάτων, εἶτα ἀναισχυντοῦντες, χαλεπώτερον τὸ τραῦμα ἐργάζονται καὶ μεῖζον τὸ ἕλκος. οὐ γὰρ οὕτω τὸ ἁμαρτάνειν ἐστὶ χαλεπὸν, ὡς ἡ μετὰ τὴν ἁμαρτίαν ἀναισχυντία, καὶ τὸ μὴ πείθεσθαι τοῖς ἱερεῦσι τὰ τοιαῦτα κελεύουσι. καὶ τί τοσοῦτον ἡμάρτηται τούτοις, φησὶν, ὥστε αὐτοὺς ἐκβληθῆναι τῶν ἱερῶν τούτων περιβόλων;

A Eqvidem arbitror multos ex his, qui heri nos deſtituerant, & ad iniquitatis ſpectacula diſceſſerant, hodie præſentes eſſe: optarim autem iſtos qui ſint palam noſſe, vt eos à ſacris veſtibulis arceam, non vt perpetuò foris maneant, ſed vt correcti denuò redeant. Quandoquidem & patres filios delinquentes frequenter ex ædibus exigunt, & à menſa ſubmouent, non vt ſemper illinc exulent, ſed vt hac correptione redditi meliores, cum debita B laude & honore in paternum redeant contubernium. Idem ſanè faciunt & paſtores, dum oues ſcabie oppletas, à ſanis ſegregant, vt miſero morbo leuatæ, denuò tutò ad ſanas reuertantur, potius quàm ægrotæ gregem vniuerſum ſuo illo morbo impleant. Has ob res cupiebamus & iſtos noſſe, ſed quanuis eos corporis oculis dignoſcere non valeamus, verbum tamen, Dei filius eos prorſus agnoſcet, correptâque illorum conſcientia, facilè per- C ſuadebit, vt ſua ſponte volentéſque exeant, docens quòd ille ſolus ſit intus, qui mentem hac exercitatione dignam largiatur: veluti contrà, qui corruptè viuens huius congregationis particeps eſt, etiamſi corpore hîc aſtiterit, reiectus eſt, veriúſque ſubmotus eſt, quàm hi qui ſic foras excluſi ſunt, vt nondum liceat illis ſacræ menſæ participes eſſe. Siquidem illi ſecundùm diuinas leges expulſi, foríſque manentes, hactenus ſpei bonæ ſunt: nam ſi modo velint corrigere delicta ſua, ob quæ per eccleſiam D ſunt eiecti, poſſunt denuo cum pura conſcientia reuerti. At qui ſeipſos contaminant, & admoniti ne prius introëant, donec maculam è ſceleribus contractam repurgarint, deinde impudenter ſe gerunt, vlcus animi reddunt acerbius ac maius. Neque enim tam graue eſt delinquere, quàm poſt delictum impudenter ſe gerere, nec parere ſacerdotibus talia iubentibus. Et quid hîc, inquiunt, adeo magni ſceleris commiſſum eſt, vt ab iſtis ſacris cancellis arcendi ſint?

Pœnitẽtes Eccleſię ſeptis excluſi.

Imò quod delictũ hoc grauius quæris A iſtorũ, qui quũ ſeipſos planè adulterio contaminarint, impudenter, ac rabientium more canum, ad ſacram hanc menſam irruunt? Quòd ſi auetis adulterij modum cognoſcere, non mea verba vobis referam, ſed illius qui de tota hominis vita iudicaturus eſt: Qui viderit, inquit, mulierem ad concupiſcendam illam, iam mœchatus eſt eam in corde ſuo. Quòd ſi mulier ſponte ac fortè in foro obuia, & neglectius culta ſæpenumero curioſius intuentem cepit ipſo vultus aſpectu: iſti qui non ſimpliciter neque fortuito, ſed ſtudio, & tanto ſtudio, vt eccleſiam quoque contemnant, & hac gratia pergunt illuc, ac totum ibi deſidentes diem in facies abiectarum fœminarum illarum defixos habent oculos, qua fronte poterunt dicere, quòd eas non viderint ad concupiſcendum? vbi verba quoque accedunt fracta laſciuáque, vbi cantiones meretriciæ, vbi voces vehementer ad voluptatem incitant, vbi ſtibio picti oculi, vbi coloribus tinctæ genæ, vbi totius corporis habitus fucorum impoſtura plenus eſt, aliáque C inſuper multa lenocinia ad fallendos ineſcandóſque intuentes inſtructa: vbi ſocordia ſpectantium, multáque confuſio, & hinc naſcens ad laſciuiam exhortatio, tum ab iis acroamatibus quæ præceſſerunt, tum ab iis quæ conſequuta ſunt? Accedunt huc irritamenta per fiſtulas ac tibias, aliáque vnius generis modulatio, in fraudem illiciens, mentiſque robur emolliens, ac meretricum inſidiis & delectatione præparans illic deſidentium animos, efficiénſque vt facilius capiantur. Etenim ſi hîc vbi pſal- D mi, vbi diuinorum eloquiorum enarratio, vbi Dei metus, multáque reuerentia, frequenter ceu latro quiſpiam verſutus clam obrepit concupiſcentia, quomodo qui deſident in theatro, qui nihil ſani neque audiunt, neque vident, ſed multa diffluunt turpitudine, multa nequitia, qui vndique obſidionem patiuntur per aures, per oculos, poſſint illam ſuperare concupiſcentiam? Rurſum ſi non poſſunt, quomodo poterunt vnquam ab adulterij crimine abſolui? Tum qui non liberi ſunt ab adulterij crimine,

Adulteri ſunt qui adeunt theatra.

Matt. 5. 28.

A καὶ ποίαν ἑτέραν ταύτης ζητεῖς μείζονα ἁμαρτίαν, ὅταν μοιχοὺς ἑαυτοὺς ἀπηρτισμένους ποιήσαντες, ἀναιδῶς, καθάπερ κύνες λυττῶντες, ἐπιπηδῶσι τῇ ἱερᾷ τραπέζῃ; καὶ εἰ βούλει μαθεῖν καὶ τὸν τρόπον τῆς μοιχείας, οὐκ ἐμὸν ἐρῶ σοι λόγον, ἀλλ' αὐτοῦ τοῦ μέλλοντος ἡμῶν δικάζειν τὴν ζωὴν ἅπασαν. ὁ γὰρ ἐμβλέψας, φησί, γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. εἰ δὲ ἡ ἀπὸ ταὐτομάτου κατὰ τὴν ἀγορὰν ἐντυχοῦσα γυνὴ, καὶ ὡς ἔτυχεν ἐσταλμένη, τὸν περιέργως ἰδόντα εἷλε πολλάκις τῇ τῆς ὄψεως θεωρίᾳ· οἱ μὴ B ἁπλῶς, μηδὲ ἀπὸ ταὐτομάτου, ἀλλ' ἀπὸ σπουδῆς τοσαύτης, ὡς καὶ τῆς ἐκκλησίας ὑπεριδεῖν, καὶ διὰ τοῦτο ἀναβαίνοντες ἐκεῖ, καὶ διημερεύσαντες, καὶ ταῖς ὄψεσι τῶν ἠτιμωμένων γυναικῶν ἐκείνων προσηλωμένοι, πῶς δυνήσονται λέγειν, ὅτι οὐ πρὸς ἐπιθυμίαν εἶδον; ὅπου καὶ ῥήματα διακεκλασμένα, καὶ ᾄσματα πορνικὰ, καὶ φωνὴ πολλὴν ἡδονὴν ἔχουσα, καὶ ὀφθαλμῶν ὑπογραφαὶ, καὶ ἐπιτρίμματα παρειᾶς, καὶ στολὴ περιεργότερον συγκειμένη, καὶ σχῆμα γοητείας γέμον, καὶ ἕτεραι πολλαὶ μαγγανεῖαι C πρὸς ἀπάτην καὶ δέλεαρ τῶν ὁρώντων κατεσκευασμέναι, καὶ ῥᾳθυμία ψυχῆς τῶν θεωμένων, καὶ πολλὴ ἡ διάχυσις, καὶ ἡ παρὰ τοῦ τόπου πρὸς ἀσέλγειαν παράκλησις, καὶ ἡ τῶν φθασάντων, καὶ ἡ τῶν μετὰ ταῦτα ἀκουσμάτων, ἡ διὰ τῶν συρίγγων, ἡ διὰ τῶν αὐλῶν καὶ τῶν ἄλλων τῶν τοιούτων μελῳδία καταγοητεύουσα, καὶ τὸ στεῤῥὸν τῆς διανοίας καταμαλάττουσα, καὶ ταῖς τῶν πορνῶν ἐπιβουλαῖς προευτρεπίζουσα τὰς τῶν καθημένων ψυχὰς καὶ εὐαλώτους ποιοῦσα. εἰ γὰρ ἐνταῦθα, ὅπου ψαλμοὶ, καὶ εὐχαὶ, καὶ θείων λογίων ἀκρόασις, καὶ θεοῦ φόβος, καὶ D εὐλάβεια πολλὴ, πολλάκις, ὥσπερ τις λῃστὴς κακοῦργος, λαθοῦσα ἐπεισῆλθεν ἐπιθυμία· πῶς οἱ ἐν θεάτρῳ καθήμενοι, καὶ μηδὲν μήτε ὁρῶντες, μήτε ἀκούοντες ὑγιὲς, ἀλλὰ πολλῆς γέμοντες αἰσχρότητος, πολλῆς τῆς βλακείας, καὶ διὰ πάντων πολιορκούμενοι, καὶ δι' ὤτων, καὶ δι' ὀφθαλμῶν, δυνήσαιντ' ἂν ἀνώτεροι γενέσθαι τῆς πονηρᾶς ἐκείνης ἐπιθυμίας; μὴ δυνάμενοι δὲ, πῶς δυνήσονται τῶν τῆς μοιχείας ἐγκλημάτων ἀπηλλάχθαι; οἱ δὲ τῶν τῆς μοιχείας ἐγκλημάτων οὐκ ἀπηλλαγμένοι,

πῶς δυνήσονται χωρὶς μετανοίας τῶν ἁγίων τούτων ἐπιβῆναι προθύρων, καὶ τοῦ καλοῦ τούτου μετασχεῖν συλλόγου; διὸ δὴ παρακαλῶ καὶ δέομαι πρότερον ἐξομολογήσει καὶ μετανοίᾳ καὶ τοῖς ἄλλοις ἅπασιν ἀποσμηξαμένους τὴν ἐκ τῆς ἐκεῖ θεωρίας ἁμαρτίαν, οὕτω τῶν θείων ἀκροᾶσθαι λογίων. οὐ γὰρ τὸ τυχὸν ἡμῖν πεπλημμέληται. καὶ τοῦτο καὶ ἐκ παραδειγμάτων ἴδοι τις ἂν σαφῶς. εἰ γάρ τις οἰκέτης εἰς κιβώτιον, ἔνθα τὰ δεσποτικὰ ἱμάτια ἐναπέκειτο πολυτελῆ διάχρυσα, ἱμάτιον δουλικὸν ῥύπου γέμον καὶ πολλῶν τῶν φθειρῶν ἐναπέθετο, ἆρα ἂν πράως ἤνεγκας τὴν ὕβριν, εἰπέ μοι; τί δὲ, εἴ τις εἰς ἀγγεῖον χρυσοῦν μύρα διηνεκῶς ἔχειν εἰωθὸς, κόπρον καὶ βόρβορον ἐνέχεεν, οὐκ ἂν καὶ πληγὰς ἐπέθηκας τῷ πλημμελήσαντι τοῦτο; εἶτα κιβωτίων μὲν καὶ σκευῶν, καὶ ἱματίων, καὶ μύρων τοσαύτην ποιησόμεθα πρόνοιαν, τὴν δὲ ψυχὴν τὴν ἡμετέραν πάντων τούτων εὐτελεστέραν εἶναι νομιοῦμεν; καὶ ἔνθα τὸ μύρον τὸ πνευματικὸν εἰσεχύθη, διαβολικὰς πομπὰς ἐπεμβαλοῦμεν, καὶ ἀκούσματα Σατανικὰ, καὶ ᾄσματα πορνείας γέμοντα; καὶ πῶς ταῦτα ὁ θεὸς οἴσει, εἰπέ μοι; καίτοι οὐ τοσοῦτον τὸ μέσον μύρου καὶ βορβόρου, καὶ ἱματίων δεσποτικῶν καὶ δουλικῶν, ὅσον τὸ μέσον τῆς πνευματικῆς χάριτος, καὶ ταύτης τῆς πονηρᾶς ἐνεργείας. οὐ δέδοικας, ἄνθρωπε, τοῖς αὐτοῖς ὀφθαλμοῖς καὶ τὴν κλίνην τὴν ἐπὶ τῆς ὀρχήστρας βλέπων, ἔνθα τὰ μυσαρὰ τελεῖται τῆς μοιχείας δράματα, καὶ τὴν τράπεζαν ταύτην τὴν ἱερὰν, ἔνθα τὰ φρικτὰ τελεῖται μυστήρια; ταῖς αὐταῖς ἀκοαῖς πόρνης ἀκούων αἰσχρολογούσης, καὶ προφήτου καὶ ἀποστόλου σε μυσταγωγοῦντος; τῇ αὐτῇ καρδίᾳ τὰ δηλητήρια δεχόμενος φάρμακα, καὶ τὴν θυσίαν τὴν φρικτὴν καὶ ἁγίαν; οὐκ ἐντεῦθεν ἀνατροπαὶ βίων, καὶ διαφθοραὶ γάμων, καὶ πόλεμοι καὶ μάχαι ἐν ταῖς οἰκίαις; ὅταν γὰρ ὑπὸ τῆς ἐκεῖ θεωρίας διαχυθῇς, καὶ χαυνότερος γενόμενος καὶ ἀσελγέστερος καὶ σωφροσύνης ἁπάσης ἐχθρὸς, ἐπανελθὼν ἴδῃς τὴν γυναῖκα τὴν ἰδίαν, ἀηδεστέρ[illegible] ὄψει πάντως, οἵα ἂν ᾖ. ὑπὸ γὰρ τῆς ἐν[illegible]ς θεάσεως ἐμπορνωθεὶς ἐπιθυμίας, καὶ ὑπὸ τῆς ξένης ἐκείνης θεωρίας ἁλοὺς τῆς γεγοητευμένης, τὴν σώφρονα καὶ κοσμίαν καὶ τοῦ βίου παντὸς κοινωνὸν ἀτιμάζεις,

A quomodo poterunt abſq; pœnitētia ad hæc ſacra veſtibula accedere, huiúſque præclari conuentus eſſe participes? Quapropter equidē hortor rogóq; vt prius confeſſione ac pœnitentia, aliiſq; remediis omnibus ſeſe à peccato ex theatricis ſpectaculis cōtracto perpurgent, atq; ita diuinos audiāt ſermones. Neq; enim hîc mediocriter à nobis delinquitur, id quod vel ab exēplis cuiuis perſpicuè videre licet. Nam ſi famulis in arculam, vbi herilia veſtimenta precioſa aureáque recōdita ſunt, ſeruilem tunicam ſordibus ac multis pediculis refertam imponat: age dic mihi, num B eam contumeliam æquo animo ferres? Quid autem ſi quis in vaſculum aureū, in quo ſemper vnguenta ſeruari conſueuerint, ſtercus ac cœnum infundat: an non ei plagas infligeres, qui ſcelus hoc commiſiſſet? Ergóne ſcriniorū ac vaſorum veſtium, & vnguentorum tāta cura ſollicitabimur, animā verò noſtram, omnibus iſtis viliorē eſſe putabimus? atque vbi ſpiritus infuſum eſt vnguētum, eò diabolicas pompas immittemus? eò fabulas Satanæ, eò cantilenas meretriciæ turpitudinis plenas? Agedum dic mihi, quo animo iſta feret C Deus? Atqui non tantum eſt diſcrimen inter vnguentum & cœnum, inter veſtes heriles & ſeruiles, quantum eſt inter Spiritus gratiam, & iſtam peruerſam actionem. Non metuis, ô homo, non expaueſcis, dum oculis quibus illic lectum, qui eſt in orcheſtra ſpectas, vbi deteſtandæ adulterij fabulæ peraguntur, iiſdē hanc ſacram menſam intueris, vbi tremenda peraguntur myſteria? dum iiſdē auribus audis & ſcortum obſcœnè loquens, & prophetam apoſtolúmque ad arcana ſcripturæ in- D troducentem: dum eodem corde & lethalia ſumis venena, & hanc hoſtiā ſanctam ac tremendam? An non hæc ſunt vitæ ſubuerſio, coniugiorum corruptelæ, bella pugnęque & rixæ in domibus? Quum enim ſpectaculis illis diſſolutior ac mollior laſciuiórque, omniſque pudicitiæ hoſtis factus, domū redieris, vxoris aſpectus minus erit iucundus, qualiſcunque etiam illa fuerit. Siquidem inflammatus illa concupiſcentia, quā in ſpectaculis hauſiſti, & ab illa noua ſpectatione, quę te dementauit, captus, caſtam ac modeſtam vxorem, & totius vitæ conſortem deſpicis,

Adulteria templo arcebantur.

Turpitudo theatraliū ſpectaculorum.

contumelia afficis, innumeriſque probris operis, non quód quicquam habeas quod in illa culpes, ſed quòd erubeſcas confiteri morbum, quòd pudeat vulnus oſtendere, quo in ſpectaculis ſauciatus rediſti domum; alias nectis cauſationes, iniquas inimicitiæ quærens occaſiones, omnia quæ domi gerenda ſunt faſtidiens, & ad ſceleſtam illam & impuram inhians concupiſcentiam, à qua vulnus accepiſti: dúmque ſonitum vocis geris in auribus tinnientem, cúmque his vultus, motus, breuiter omnia illa meretriciæ libidinis ſimulachra, nihil eorum quæ domi ſunt cum voluptate intueris. Et quid loquor de vxore aut familia, quando ipſam etiam eccleſiam poſtea minus libenter viſurus es, & cum tædio auditurus ſermonẽ de pudicitia déque modeſtia? Neque enim iam ea quæ dicuntur tibi pro doctrina ſunt, ſed pro accuſatione, téque paulatim in deſperationem adducent: tandem & abrumpes teipſum à diſciplina ad publicam omnem vtilitatem adhibita. Quapropter rogo vos omnes, vt & ipſi prauas in ſpectaculis commorationes vitetis, & alios ab is deductos retrahatis. Quicquid enim illic geritur, non eſt oblectatio, ſed pernicies, ſed pœna, ſed ſupplicium. Quid prodeſt illa temporaria voluptas, dum hinc perpetuus naſcitur dolor, dúmque nocte pariter ac die à concupiſcentia ſtimulatus, omnibus moleſtus es & inuiſus? Excute igitur teipſum, reputans qualis fias ab eccleſia rediens, rurſus qualis à ſpectaculis, atque hos dies cum illis conferas: id ſi feceris, nihil opus erit meo ſermone. Satis enim fuerit, hunc diem cum illo comparaſſe, ad oſtendendum & quàm magna ſit hinc vtilitas, & quanta ſit illinc noxa. Hæc nunc ad veſtram charitatem dicenda putaui, nec vnquã dicere ceſſabo. Sic etenim & eos qui huic morbo obnoxij sũt, admonebim⁹: & qui ſani ſunt, confirmabimus: vtriſq; enim fuerit vtilis hæc oratio, alteris quidẽ vt deſiſtant, alteris verò ne incidant. Cęterum quoniã oportet & increpationẽ eſſe moderatã, hîc admonitioni finẽ imponemus, & quę de ſuperiore reſtãt argumẽto perſoluemus, redeun-

Hactenus admonitio de fuga ſpectaculorũ.

A ὑβρίζεις, μυρίοις περιβάλλεις ὀνείδεσιν οὐδὲν ἔχων ὅλως ἐγκαλέσαι· ἀλλ' αἰσχυνόμενος τὸ πάθος εἰπεῖν, καὶ τὸ τραῦμα δεῖξαι, ὅπερ ἐκεῖθεν λαβὼν ἐπανῆλθες, ἑτέρας πλέκεις προφάσεις, ἀφορμὰς ζητῶν ἀπεχθείας ἀλόγους, καὶ τῶν μὲν οἴκοι πάντων ὑπερορῶν, πρὸς δὲ τὴν μιαρὰν καὶ ἀκάθαρτον κεχηνὼς ἐκείνην ἐπιθυμίαν, παρ' ἧς τὸ τραῦμα ἐδέξω· καὶ τὴν ἠχὼ τῆς φωνῆς ἔχων ἐγκαθημένην τῇ ψυχῇ ἔναυλον, καὶ τὸ σχῆμα καὶ τὸ βλέμμα καὶ τὰ κινήματα καὶ πάντα τῆς πορνείας τὰ εἴδωλα, οὐδὲν μεθ' ἡδονῆς ὁρᾷς τῶν ἐπὶ τῆς οἰκίας. καὶ B τί λέγω τὴν γυναῖκα καὶ τὴν οἰκίαν; καὶ τὴν ἐκκλησίαν γὰρ αὐτὴν ἀηδέστερον ὄψει, καὶ ῥημάτων ἀπεχθῶς ἀκούσῃ τῶν περὶ σωφροσύνης, τῶν περὶ σεμνότητος (οὐκέτι γὰρ ἔσται σοι διδασκαλία, ἀλλὰ κατηγορεία τὰ λεγόμενα) καὶ εἰς ἀπόγνωσιν κατὰ μικρὸν ὑποσυρεὶς, τέλεον ἑαυτὸν ἀπορρήξεις τῆς κοινωφελοῦς ταύτης διδασκαλίας. Διὰ τοῦτο παρακαλῶ πάντας ὑμᾶς, αὐτούς τε φεύγειν τὰς πονηρὰς ἐν τοῖς θεάτροις διατριβὰς, καὶ τοὺς ἐσχολακότας τούτοις ἐκεῖθεν ἀφέλκειν. οὐ γὰρ C ἐστι ψυχαγωγία, ἀλλ' ὄλεθρος, καὶ τιμωρία, καὶ κόλασις τὰ ἐκεῖ γινόμενα ἅπαντα. τί γὰρ ὄφελος τῆς προσκαίρου ταύτης ἡδονῆς, ὅταν διηνεκὴς ἐντεῦθεν ὀδύνη τίκτηται, καὶ ἐν ἡμέρᾳ, καὶ ἐν νυκτὶ κεντούμενος ὑπὸ τῆς ἐπιθυμίας, πᾶσιν ᾖς δυσχερὴς καὶ δυσάρεστος; ἐξέτασον γοῦν σαυτὸν, τίς μὲν γίνῃ ἀπὸ ἐκκλησίας ἀναχωρῶν, τίς δὲ ἀπὸ θεάτρων, καὶ ἑκατέρας καὶ παράβαλε τὰς ἡμέρας, καὶ οὐδὲν δεήσῃ τῶν ἡμετέρων λόγων. ἀρκέσει γὰρ ἑκατέρας ἡ σύγκρισις τῆς ἡμέρας δεῖξαι τὸ μέγεθος καὶ τῆς ἐν- D τεῦθεν ὠφελείας, καὶ τῆς ἐκεῖθεν βλάβης. Ταῦτα καὶ ἤδη πρὸς τὴν ὑμετέραν ἀγάπην εἶπον, καὶ οὐδέποτε παύσομαι λέγων. τούς τε γὰρ νοσοῦντας τὰ τοιαῦτα νοσήματα παραμυθησόμεθα, τούς τε ὑγιαίνοντας ἀσφαλεστέρους ποιήσομεν. ἑκατέροις γὰρ ὁ περὶ τούτων χρήσιμος λόγος· τοῖς μὲν, ἵνα ἀποστῶσι, τοῖς δὲ, ἵνα μὴ ἐμπέσωσιν. ἀλλ' ἐπειδὴ χρὴ καὶ τοὺς ἐπιτιμῶντας τοῦτο συμμέτρως ποιεῖν, μέχρι τούτου ταύτην στήσαντες τὴν παραίνεσιν, τὰ ὑπολειφθέντα ἐκ τῆς προτέρας ὑποθέσεως ὑμῖν ἀποδώσομεν, ἐπὶ τὸν Δαβὶδ ἐπανελθόντες πάλιν.

καὶ γὰρ τοῖς ζωγράφοις ἔθος, ἐπειδὰν μέλλωσιν A ἐμφερῆ τινα ἐργάζεσθαι εἰκόνα, καὶ μίαν καὶ δύο καὶ τρεῖς ἡμέρας τοὺς γράφεσθαι μέλλοντας παρακαθίζουσιν αὐτοῖς, ἵνα τῇ συνεχείᾳ τῆς θεωρίας ἀδιάπτωτον τῆς μορφῆς διασώσωνται τὴν ἀκρίβειαν. ἐπεὶ οὖν καὶ ἡμῖν ζωγραφῆσαι πρόκειται νῦν, οὐχὶ τύπον μορφῆς σωματικῆς, ἀλλὰ ψυχῆς κάλλος, καὶ νοητὴν εὐμορφίαν, καὶ σήμερον ὑμῖν παρακαθῆσθαι βουλόμεθα τὸν Δαβίδ, ἵνα πρὸς αὐτὸν πάντες ὁρῶντες, εἰς τὰς οἰκείας ἕκαστος ψυχὰς ἀπομάξησθε τὴν εὐμορφίαν τοῦ δικαίου, καὶ τὸ πρᾶον καὶ ἥμερον, καὶ μεγαλόψυχον, καὶ τὴν ἄλλην B ἅπασαν αὐτοῦ ἀρετήν. εἰ γὰρ σώματος εἰκόνες φέρουσί τινα παραμυθίαν τοῖς ὁρῶσι, πολλῷ μᾶλλον αἱ τῆς ψυχῆς εἰκόνες. κἀκείνας μὲν οὐ δυνατὸν πανταχοῦ ὁρᾶν, ἀλλ' ἀνάγκη διηνεκῶς ἐφ' ἑνὸς ἱδρῦσθαι τόπου· ταύτην δὲ ὅπουπερ ἂν θέλῃς περιάγειν, οὐδὲν τὸ κωλῦον. ἐναποθέμενος γὰρ αὐτὴν τοῖς τῆς διανοίας ταμιείοις, ὅπου περ ἂν ᾖς, συνεχῶς εἰς αὐτὴν ὁρᾶν δυνήσῃ, καὶ πολλὴν παρ' αὐτῆς καρποῦσθαι τὴν ὠφέλειαν. καὶ καθάπερ οἱ τοὺς ὀφθαλμοὺς νοσοῦντες, σπογγιὰς καὶ ἱματίων ῥάκη κυανιζόντων κατέχοντες, C καὶ συνεχῶς εἰς αὐτὰ βλέποντες, καρποῦνταί τινα τοῦ νοσήματος παραμυθίαν ἀπὸ τοῦ χρώματος ἐκείνου· οὕτω καὶ σὺ ἂν τὴν εἰκόνα τοῦ Δαβὶδ πρὸ ὀφθαλμῶν ἔχῃς τὴν ἑαυτοῦ, καὶ συνεχῶς εἰς αὐτὴν ἀτενίζῃς, κἂν μυριάκις θυμὸς ἐνοχλῇ καὶ συγχέῃ τὸν ὀφθαλμὸν τῆς διανοίας, ὁρῶν εἰς ἐκεῖνον τὸν χαρακτῆρα τῆς ἀρετῆς, ὁλόκληρον δέξῃ τὴν ὑγίειαν, καὶ καθαρὰν τὴν φιλοσοφίαν. μὴ γάρ μοι λεγέτω τις, ὅτι μιαρὸν ἐχθρὸν ἔχω, πονηρὸν, διεφθαρμένον, D ἀδιόρθωτον. οὐδὲ ἂν εἴπῃς, οὐκ ἔστι τοῦ Σαοὺλ χείρων, ὃς καὶ ἅπαξ, καὶ δὶς, καὶ πολλάκις διασωθεὶς ὑπὸ τοῦ Δαβὶδ, αὐτὸς μυρία ἐπιβουλεύσας, εἶτα ἀντὶ τούτων εὐεργετηθεὶς, ἔμενε τὴν ἑαυτοῦ πονηρίαν διατηρῶν. τί γὰρ ἔχεις εἰπεῖν; ὅτι γῆν ἀπετέμετο, καὶ ἐν ἀγροῖς ἠδίκησε, καὶ οἰκίας ὅρια ὑπερέβη, καὶ ἀνδράποδα ἥρπασε, καὶ ὕβρισε, καὶ ἐπλεονέκτησε, καὶ εἰς πενίαν ἤγαγεν; ἀλλ' οὔπω τὴν ψυχὴν ἀφείλετο, ὅπερ ἐκεῖνος ἐσπούδαζεν. εἰ δὲ καὶ τὴν ψυχὴν ἐσπούδασεν ἀφελέσθαι,

tes ad Dauidem. Siquidē hic pictoribus mos eſt, quoties imaginē aliquā ad viuū expreſſam abſoluere cupiunt, non vnū tantū diē ac duos, ſed cōplures dies aſſidēt iis quos effingunt, vt aſſidua contēplatione citra errorē exactéq; formarū exprimant ſimilitudinē. Itaq; & nos nō corporalis formæ imaginem, ſed animi pulchritudinē, ac ſpiritualē decorē cupimus volis hodie proponere, ipſum videlicet Dauidē, vt omnes in eū intuentes in ſuū quiſq; animum referatis expreſſam effigiem iuſti pulchritudinem, manſuetudiē, trāquillitatem, in ſumma virtutē eius omnē. Etenim ſi corporis imagines nonnullū intuentibus ſolatiū adferunt, multò magis idem facient mentis imagines. Atque illas quidem non licet vbiuis intueri, ſed eodem in loco conſiſtas oportet: hanc verò nihil vetat, quo minus quicunque velis tecum circumferas. Nam poſteaquam eam in animi penetralibus repoſuiſti, vbicumque locorum fueris, poteris cōtemplari, plurimúmque ex ea vtilitatis capere. Et quemadmodum qui laborant ab oculis, ſi ſpongias ac veſtium cyaneo colore pannos tenentes frequenter in ea intueantur, ex eo colore nonnullum capiunt morbi leuamen: ſimiliter & tu, ſi Dauidis imaginem præ oculis habeas, & in hanc aſſiduè defigas oculos, etiamſi millies obtundet ira, mentis oculum perturbans, ad hoc virtutis exemplar reſpiciens, perfectam conſequeris ſanitatem, purámque animi philoſophiam ac tranquillitatem. Ne quis igitur mihi dicat, inimicum habeo ſceleſtum, improbum, corruptum, incorrigibilem. Quicquid dixeris, non eſt tamen Saule deterior, qui ſemel & iterum, imò ſæpius ſeruatus à Dauide, quum ipſe mille modis illi ſtruxiſſet inſidias, tamen pro tot beneficiis acceptis, perſeuerauit in ſua malitia. Qvid tu igitur habes quod incuſes inimicum? Quòd terræ partem ademit, quòd in agris fecit iniuriam, quòd domus limites tranſgreſſus eſt, quòd mancipia tua rapuit, quòd vim attulit, quòd tua præter ius occupauit, quód ad paupertatem redegit? At nondum eripuit vitam, quod molitus eſt Saul: quòd ſi & vitam eripere conatus eſt, fortaſſe ſemel id auſus eſt, nō ſemel atq; iterum, non ſepius, quemadmodum fecit Saul.

Imago Dauidis pingenda.

Nullus inimic* Saule deterior

Quòd ſi etiam ſemel, ſi bis, ſi ter, ſi ſæpius hoc tentauit, at non tot affectus abs te beneficiis, at non quum ſemel atque iterum incidiſſet in manus tuas, ſeruatus eſt. Et ſi hoc quoque factum eſt, ſic etiam rurſus ſuperat ipſe Dauid. Neque enim paria ſunt, ſub vetere lege degentem, & nunc poſt illuſtratam euangelij gratiam talia condonare gratis. Non audierat Dauid parabobam de decem millibus talentorum, neq; de

Matt. 18

centum denariis. Non audierat precationem dicentem, Remittite hominibus debita ipſorum, quemadmodum& pater veſter cœleſtis.

Ibid. 6. 14.

Nō viderat Chriſtum crucifixū, nō viderat effundi precioſum illum ſanguinem, nec audierat innumerabiles domini ſermones de refrænandis animi cupiditatibus, nō contigit illi guſtare talem hoſtiam, neque particeps fuerat ſanguinis dominici, ſed legibus imperfectioribus educatus, neq; tale quicquā exigentibus, tamen ad euangelicę philoſophię faſtigiū peruenit animi moderatione. At tu frequenter prçteritarum iniuriā memoria offenderis: hic verò quum & de futuris metueret, certò ſciēs fore, vt ſi hoſtem ſeruaret, & ciuitate exularet, & vitam egenam calamitoſamq; ageret, nō deſtitit tamē illius habere curam, ſed omnia fecit, hūc talē cōtra ſe hoſtē fouēs.

Feræ ipſę cum cicurentur, placari debemus.

Quis commemorare valeat tolerātiam hac maiorem? Porrò vt non tantum ex præteritis, verum ex his quoq; quæ nūc fiunt diſcas fieri poſſe, vt cū quouis homine animū in te hoſtilē gerēte redeas in gratiā, quid leone ſæuius? & tamen hunc cicurē manſuetúmq; reddunt homines, arte naturā ſuperantes: fitq; quauis oue mitius animal beſtiis omnibus immitius regaliúſq;, adeò vt per forum ambulet, neminē expaueſcens. Quam igitur habituri ſumus excuſationē, quā impetrabimus veniā, ſi quum feras beſtias cicuremus, negauerimus homines vnquā poſſe placari, beneuolóſq; erga nos reddi? Atqui beſtiæ quidē præter naturā eſt eſſe manſuetū, homini verò pręter naturā eſt feritas. Ergo quum in illis naturā vincamus, qua frōte nos excuſabimus, ſi in homine cauſemur animi propoſitū non poſſe corrigi? Quòd ſi adhuc contēdis, illud dixerim, quāuis inſanabili morbo ægrotet homo, quo plus fuerit laboris, hoc tibi merces erit amplior, ſi aſſideas, curās immedicabili

A ἀλλ' ἅπαξ τοῦτ' ἐτόλμησεν ἴσως, οὐχὶ δίς, καὶ τρεῖς, καὶ πολλάκις· ἀλλ' οὐ τοσαῦτα εὐεργετηθείς, ἀλλ' οὐκ ἐλθὼν εἰς τὰς χεῖρας καὶ ἅπαξ, καὶ δεύτερον, καὶ διασωθείς. εἰ δὲ καὶ τοῦτο, καὶ οὕτω πλεονεκτεῖ πάλιν ὁ Δαβίδ. οὐ γάρ ἐστιν ἴσον ἐπὶ τῆς παλαιᾶς ὄντα τοιαῦτα φιλοσοφεῖν, καὶ νῦν μετὰ τὴν χάριν τοιαύτας χαρίζεσθαι δωρεάς. οὐκ ἦν ὁ Δαβὶδ ἀκούσας τὴν παραβολὴν τῶν μυρίων ταλάντων, καὶ τῶν ἑκατὸν δηναρίων· οὐκ ἦν ὁ Δαβὶδ ἀκούσας τῆς εὐχῆς τῆς λεγούσης, ἄφετε τοῖς ἀνθρώποις τὰ ὀφλήματα αὐτῶν, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος·

B οὐκ ἦν ἰδὼν τὸν Χριστὸν σταυρωθέντα, οὐχ αἷμα τὸ τίμιον ἐκχυθέν, οὐδὲ τοὺς μυρίους περὶ φιλοσοφίας ἀκούσας λόγους· οὐκ ἀπέλαυσε θυσίας τοιαύτης, οὐδ' αἵματος μετέσχε δεσποτικοῦ· ἀλλ' ἀτελεστέροις ἐντρεφόμενος νόμοις καὶ οὐδὲν ἀπαιτοῦσι τοιοῦτον, πρὸς αὐτὴν τὴν κορυφὴν τὴν ἐν τῇ χάριτι ἔφθασε φιλοσοφήσας. καὶ σὺ μὲν πολλάκις ὑπὲρ τῶν παρελθόντων ὀργιζόμενος, μνησικακεῖς· οὗτος δὲ καὶ ὑπὲρ τῶν μελλόντων δεδοικώς, καὶ εἰδὼς ἀκριβῶς, ὅτι ἀοίκητος αὐτῷ ἔσται ἡ πόλις, καὶ ἀβίω-

C τος ὁ βίος σώσαντι τὸν ἐχθρόν, οὐκ ἀφίστατο τῆς ἐκείνου κηδεμονίας, ἀλλὰ πάντ' ἔπραττε, καθ' ἑαυτοῦ τὸν πολέμιον τρέφων. τίς ἂν ἔχοι ταύτης μείζονα ἀνεξικακίαν εἰπεῖν; ἵνα δὲ καὶ ἐκ τῶν νῦν γινομένων μάθῃς, ὅτι δυνατόν, ἂν ἐθέλωμεν, πάντα ἄνθρωπον πρὸς ἡμᾶς ἀπεχθῶς ἔχοντα καταλλάξαι, τί λέοντος ἀγριώτερον, ἀλλ' ὅμως τοῦτον ἡμεροῦσιν ἄνθρωποι, καὶ γίνεται προβάτου παντὸς ἐπιεικέστερος ὁ πάντων θηρίων ἀγριώτερος καὶ βασιλικώτερος; καὶ διὰ τῆς ἀγορᾶς βαδίζει μηδένα δεδιττόμενος. τίν' οὖν ἕξομεν ἀπολογίαν, τίνα

D συγγνώμην, θηρία μὲν ἡμεροῦντες, ἀνθρώπους δὲ λέγοντες μὴ δύνασθαι καταπραΰνειν ποτέ, μηδὲ ποιεῖν πρὸς ἡμᾶς ἔχειν ἡδέως; καίτοιγε τῷ θηρίῳ μὲν παρὰ φύσιν τὸ ἥμερον· τῷ ἀνθρώπῳ δὲ παρὰ φύσιν τὸ ἄγριον. ὅταν οὖν τῆς φύσεως περιγινώμεθα, τίν' ἕξομεν ἀπολογίαν, προαίρεσιν λέγοντες μὴ δύνασθαι διορθοῦν; εἰ δ' ἔτι φιλονεικεῖς, ἐκεῖνο ἂν εἴποιμι, ὅτι κἂν ἀνίατα νοσῇ, ὅσος ἂν μείζων ὁ πόνος, τοσοῦτός σοι καὶ ὁ μισθὸς παραμένοντι καὶ θεραπεύοντι τὰ τοιαῦτα ἀνίατα.

ἓν τοίνυν σκοπῶμεν μόνον, οὐχ ὅπως μηδὲν πάθωμεν παρὰ τῶν ἐχθρῶν κακόν, ἀλλ' ὅπως μηδὲν αὐτοὺς ἡμεῖς ἐργασώμεθα κακόν, καὶ οὐδὲν πεισόμεθα δεινόν, κἂν μυρία πάσχωμεν δεινά· ὥσπερ οὖν οὐδὲ ὁ Δαβὶδ ἐλαυνόμενος, φυγαδευόμενος, μέχρι τῆς ψυχῆς αὐτῆς ἐπιβουλευόμενος, ἔπαθέ τι δεινόν, ἀλλ' ἐκείνου λαμπρότερος ἦν καὶ σεμνότερος καὶ ποθεινότερος ἅπασιν, οὐκ ἀνθρώποις δὲ μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ θεῷ. τί γὰρ ἠδικήθη ὁ ἅγιος ἐκεῖνος τότε τοσαῦτα παθὼν παρὰ τοῦ Σαούλ; οὐχὶ μέχρι τῆς σήμερον ἡμέρας ᾄδεται, καὶ λαμπρὸς μὲν ἐν γῇ, λαμπρότερος δὲ ἐν οὐρανῷ; οὐχὶ τὰ ἀπόρρητα αὐτὸν ἀγαθὰ μένει, καὶ ἡ τῶν οὐρανῶν βασιλεία; τί δὲ ὠφέλησεν ὁ ταλαίπωρος ἐκεῖνος καὶ ἄθλιος τοσαῦτα ἐπιβουλεύσας; οὐχὶ καὶ τῆς βασιλείας ἐξέπεσε, καὶ ἐλεεινὸν ὑπέστη τὸν θάνατον μετὰ τοῦ παιδός, καὶ παρὰ πάντων κατηγορεῖται; καὶ τὸ δὴ χαλεπώτερον, τὰς ἀθανάτους νῦν ἐκδέχεται τιμωρίας; ὅλως δὲ τί ποτέ ἐστιν, ὅπερ ἐγκαλῶν τῷ ἐχθρῷ οὐ βούλει καταλλαγῆναι; χρήματά σε ἀφείλετο; ἀλλ' ἂν ἐνέγκῃς γενναίως τὴν ἁρπαγήν, τοσοῦτον λήψῃ μισθόν, ὅσον ἂν εἰ ταῖς τῶν πενήτων αὐτὰ χερσὶν ἐναπέθηκας. καὶ γὰρ ὁ πένησι δεδωκώς, καὶ ὁ τῷ πλεονεκτήσαντι μήτε ἐπιβουλεύων, μήτε καταρώμενος, διὰ τὸν θεὸν ταῦτα ἀμφότεροι ποιοῦσιν. ὅταν οὖν ἡ ὑπόθεσις τῆς δαπάνης ᾖ μία, εὔδηλον ὅτι καὶ στέφανος εἷς. ἀλλ' εἰς ψυχὴν ἐπεβούλευσε, καὶ ἀνελεῖν ἐπεχείρησε; μαρτύριόν σοι τὸ πρᾶγμα λογίζεται. αὐτὸν ἐπίβουλον, καὶ μέχρι τοσούτου τὴν ἔχθραν ἐξαγαγόντα, ἐν τοῖς εὐεργέταις ἀριθμῇς, καὶ διατελῇς εὐχόμενος ὑπὲρ αὐτοῦ, καὶ τὸν θεὸν ἵλεω γενέσθαι παρακαλῶν. μὴ γὰρ δὴ τοῦτο ἴδωμεν, ὅτι διεκώλυσεν ὁ θεὸς σφαγῆναι τὸν Δαβίδ, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι τριπλοῦν καὶ τετραπλοῦν στέφανον μαρτυρίου ἀνεδήσατο ἀπὸ τῆς τοῦ Σαοὺλ ἐπιβουλῆς. ὁ γὰρ διὰ τὸν θεὸν τὸν πολέμιον σώζων, τὸν ἅπαξ καὶ δὶς καὶ πολλάκις τὸ δόρυ κατὰ τῆς αὐτοῦ κεφαλῆς ἀκοντίσαντα, καὶ γενόμενος κύριος ἀνελεῖν, εἶτα φεισάμενος, καὶ ταῦτ' εἰδώς, ὅτι μετὰ τὴν φειδὼ ταύτην πάλιν ἐπιθήσεται, εὔδηλον ὅτι μυριάκις ἐσφάγη τῇ προθέσει· μυριάκις δὲ σφαγεὶς διὰ τὸν θεόν, πολλοὺς ἔχει μαρτυρίου στεφάνους, καὶ ὅπερ ὁ Παῦλος ἔλεγεν, ὅτι

A morbo laborantem. Vnum igitur illud ſpectemus, non, ne quid mali patiamur ab inimicis, ſed qua ratione fieri poſſit, ne quid illis mali faciamus. Ita nihil patiemur mali, etiamſi innumera perferamus mala: quemadmodum nec Dauid, dum eiicitur, dum in exilium agitur, dũ vſq. ad vitæ diſcrimen inſidiis appetitur, quicquã acerbi paſſus eſt: quin potius tum hoſte ſuo factus eſt illuſtrior honorabiliórque, tum cæteris omnib. amabilior, idq; nõ hominibus tantùm, ſed ipſi etiã Deo. Quid enim detrimẽti cepit ſanctus ille, quum tã multa perpeteretur à Saule? An non in hodiernũ B vſq. diem canitur illuſtris in terra, illuſtrior in cœlo; An non illum inenarrabilia manent bona? nónne cœlorum regnum? Rurſus quid commodi cepit infœlix ille ac miſer, tot inſidias molitus Dauidi? nónne regno excuſſus eſt? nónne miſeranda morte periit vnà cum filio? nónne ab omnibus vituperatur, & quod his grauius eſt, æterna luit ſupplicia? Poſtremò quid tãdem eſt, quod incuſas, quamobrem non vis cum illo redire in gratiam? pecunias eripuit? ſed ſi fortiter perfers rapinam, tantumdem C accipies mercedis ac ſi eas in manus pauperum repoſuiſſes. Siquidem & qui dedit egenis, & qui ei, qui aliena vſurpauit, neque parat inſidias, neque malè precatur, ambo propter Deum id faciunt: proinde quum impendij cauſa eadem, perſpicuum eſt & vnam eandemque fore coronam. Sed vitæ inſidiatus eſt, & conatus eſt occidere. Ea res tibi pro martyrio imputabitur, ſi inſidias molientem, & ad tantam prouectum maleuolentiã, inter benemeritos numeraris, non deſinens orare pro illo, Deũ obſecrãdo, vt illi fiat propitius. Ne D igitur illud reputemus quòd Deus vetuit, ne Dauid occideret Saulẽ: ſed illud cõſidera, quòd ex inſidijs Saulis tripla quadruplaq; martyrij corona redimitꝰ eſt. Etenim qui propter Deũ ſeruauit hoſtẽ, cũ qui ſemel atq; iterũ, imò frequẽter lanceã in caput illius vibrarat: quũ eſſet occidẽdi poteſtatẽ nactus, tamen pepercit, ipſi; cũ ſciret poſt eã pręſtitã clemẽtiã, fore, vt denuò ab illo impeteretur: perſpicuum eſt, quod millies interfectus eſt animi propoſito, millies autem interfectus propter Deũ, plurimas tulit martyrij coronas: qui quemadmodum & Paulus ait, Quotidie

Nihil nocuit Dauidi odium Saulis.

1. Reg. vlt.

Cur patientiæ meritũ equetur eleemoſynæ.

mortuus eſt propter Deum. Quum enim poſſet hoſtem ſibi inſidiantem è medio tollere, propter Deum noluit, & maluit quotidie periclitari, quàm iuſta cęde à tot mortibus liberari. Quòd ſi vſque ad ipſius vitæ periculum inſidiantem vlciſci atque odiſſe fas nõ eſt, multò minus licet eum qui vulgariter læſit vindicare. Pleriſque ab inimicis affici conuitiis, aut in ſuſpicionem adduci, videtur omnibus mortibus intolerabilius. Agè igitur & iſtud expendamus. Aliquis tibi maledixit, adulterum ac ſcortatorum appellauit: hoc ſi verè dicit, corrige: ſin falsò, irride. Si tibi ipſe conſcius es eorum quæ obiiciuntur, reſipiſce: ſi non es, deſpice. Imò potius non ſolum deride ac neglige, verumetiam gaude atque exulta iuxta Domini ſermonem, qui nos iubet ita facere. Quum, inquit, exprobrauerint vobis, & dixerint omne malũ verbum aduerſum vos, mentientes, gaudete & exultate, quoniam merces veſtra copioſa eſt in cœlis. Ac rurſum, Gaudete & exultate, quum eiecerint nomen veſtrum tanquam malum mentientes. Cæterum vbi conuitiator quidem vera dixerit, tu verò modeſtè pertuleris ea verba, non regerens contumeliam, neque conuitia conuitiis retalians, ſed amarè ingemueris damnans tua delicta, haud minorem feres mercedem, quam ille prior, idque vobis è ſcripturis approbare conabor, vti pernoſcatis, quòd tantum vtilitatis non adferunt amici dum laudant & ad gratiam loquuntur, quantum vtilitatis adferunt inimici vituperando, etiamſi vera dixerint, ſic tamen vt nos reprehenſionibus illorum ad id, ad quod oportet, vti velimus. Nam amici frequenter ad gratiam adulantur, contra hoſtes delicta proferunt in medium. Quoniam cũ nos noſtra peccata non videmus ob amorem noſtri nobis inſitum, illi quia propter odiũ ea melius quàm nos perſpiciunt, exprobrando nos ad correctionis neceſſitatem impellunt: vt illorum maleuolentia nobis cedat ad maximam vtilitatem, non ob id tantum quod per illos admoniti intelligimus errata noſtra, ſed quòd ea deponimus quoque. Itaque ſi inimicus exprobrauerit tibi crimen, cuius tibi conſcius es, tu vero audiens non conuitiaris illi viciſſim, ſed cum amaro gemitu Deum

Affici contumeliis anſit intolerabile.

Matt. 5. 11. Lucæ. 6. 22.

Ibidem.

Vtiliores amicis inimici.

Ex Plutarcho. lib. de vtilitate capienda ex inimicis.

A καθ' ἑκάστην ἡμέραν ἀπέθνησκε διὰ τὸν θεόν. δυνάμενος γὰρ ἀνελεῖν τὸν ἐπιβουλεύοντα, διὰ τὸν θεὸν οὐκ ἠθέλησεν· ἀλλ' εἵλετο κινδυνεύειν καθ' ἑκάστην ἡμέραν μᾶλλον, ἢ δικαίαν ἐργασάμενος σφαγὴν, ἀπὸ τοσούτων ἀπαλλαγῆναι θανάτων. εἰ δὲ τὸν μέχρι ζωῆς αὐτῆς ἐπιβουλεύοντα ἀμύνασθαι καὶ μισεῖν οὐ χρὴ, πολλῷ μᾶλλον εἰς ὁποιονοῦν ἄλλο ἀδικοῦντα. πολλοῖς δοκεῖ δὲ κακῶς ἀκούειν, καὶ εἰς ὑπόληψιν παραβλάπτεσθαι παρὰ τῶν ἐχθρῶν, πάντων θανάτων ἀφορητότερον εἶναι. φέρε οὖν, καὶ αὐτὸ τοῦτο ἐξετάσωμεν. εἶπέ σέ τις κακῶς, καὶ μοιχὸν καὶ B πόρνον ἐκάλεσε; ταῦτα εἰ μὲν ἀληθῆ λέγῃ, διόρθωσαι· εἰ δὲ ψευδῆ, καταγέλασον· εἰ σύνοιδας σαυτῷ τὰ εἰρημένα, σωφρόνησον· εἰ δὲ μὴ σύνοιδας, καταφρόνησον· μᾶλλον δὲ μὴ καταγελάσῃς, μηδὲ καταφρονήσῃς μόνον, ἀλλὰ καὶ χαῖρε, καὶ σκίρτα κατὰ τὸν τοῦ κυρίου λόγον, τὸν κελεύοντα οὕτω ποιεῖν. ὅταν γὰρ ὀνειδίσωσί, φησιν, ὑμᾶς, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν, χαίρετε καὶ σκιρτᾶτε, ὅταν ἐκβάλωσι τὸ ὄνομα ὑμῶν C ὡς πονηρὸν ψευδόμενοι. ὅτι δὲ κἂν ἀληθεύων εἴπῃ, σὺ δὲ μετ' ἐπιεικείας ἐνέγκῃς τὰ ῥήματα, καὶ μὴ ἀνθυβρίσῃς, μηδὲ λοιδορήσῃς, ἀλλὰ στενάξῃς πικρὸν, καὶ καταγνῷς τῶν πεπλημμελημένων, οὐκ ἐλάττονα τοῦ προτέρου καρπώσῃ μισθόν. καὶ τοῦτο ἀπὸ τῶν γραφῶν ὑμῖν παραστῆσαι πειράσομαι· ἵνα μάθητε ὅτι ὅσα οὐκ ὠφελοῦσι φίλοι ἐπαινοῦντες καὶ χαριζόμενοι, τοσαῦτα ὠφελοῦσιν ἐχθροὶ κακῶς λέγοντες, κἂν ἀληθεύωσι, μόνον ἂν εἰς δέον ἡμεῖς ταῖς κατηγορίαις χρήσασθαι βουληθῶμεν. οἱ μὲν γὰρ φίλοι πολλάκις καὶ πρὸς D χάριν κολακεύουσιν· οἱ δ' ἐχθροὶ τὰ ἁμαρτήματα εἰς μέσον ἄγουσιν. ἐπειδὴ γὰρ ὑπὸ φιλαυτίας ἡμεῖς τὰ ἡμέτερα πλημμελήματα οὐχ ὁρῶμεν, ὑπὸ τῆς ἔχθρας ἐκεῖνοι πολλάκις ἡμῶν ἀκριβέστερον θεασάμενοι καὶ ὀνειδίσαντες, εἰς ἀνάγκην ἡμᾶς ἐνέβαλον διορθώσεως, καὶ γέγονεν ἡμῖν ἡ ἔχθρα μεγίστης ὠφελείας ὑπόθεσις, οὐ μόνον ὅτι μιμνησκόμενοι παρ' ἐκείνων νοοῦμεν ἡμῶν τὰ ἁμαρτήματα, ἀλλ' ὅτι αὐτὰ καὶ ἀποτιθέμεθα. ἂν γὰρ ὀνειδίσῃ σε ὁ ἐχθρὸς ἁμάρτημα, ὃ σὺ σαυτῷ σύνοιδας, σὺ δὲ ἀκούσας, ἐκεῖνον μὲν μὴ ὑβρίσῃς, στενάξῃς δὲ πικρὸν, καὶ τὸν θεὸν

παρακαλέσῃς, εὐθέως ἀπέθου τὴν ἁμαρτίαν ἅπασαν. ἆρα τί τούτου γένοιτ' ἂν μακαριώτερον; τί δ' εὐκολώτερον πρὸς ἁμαρτημάτων ἀπαλλαγήν; ἀλλ' ἵνα μὴ νομίσῃς ἡμᾶς ἁπλῶς σε ψυχαγωγεῖν, ἀπὸ τῶν θείων γραφῶν τὴν ὑπὲρ τούτων παρέξομαι μαρτυρίαν, ἵνα μηδὲν ἀμφιβάλῃς λοιπόν. Φαρισαῖός τις ἦν, καὶ τελώνης· ὁ μὲν εἰς ἐσχάτην κακίαν ἐληλακώς, ὁ δὲ δικαιοσύνης ἐπιμελούμενος ἄκρας. καὶ γὰρ τὰ ὄντα προήκατο, καὶ νηστεύων διετέλει, καὶ πλεονεξίας ἦν καθαρός. ἐκεῖνος δ' ἐν ἁρπαγαῖς καὶ βίαις τὸν ἅπαντα χρόνον ἀνήλωσεν. ἀνῆλθον ἀμφότεροι προσεύξασθαι εἰς τὸ ἱερόν· εἶτα ἐκεῖνος στὰς ἔλεγεν, εὐχαριστῶ σοι, κύριε, ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, πλεονέκται· οὐδ' ὡς οὗτος ὁ τελώνης. ὁ δὲ τελώνης πόῤῥωθεν ἑστώς, οὐκ ἀνθύβρισεν, οὐκ ἀντελοιδόρησεν, οὐκ εἶπε ταῦτα τὰ τῶν πολλῶν ῥήματα· σὺ δὲ τολμᾷς τοῦ ἐμοῦ μεμνῆσθαι βίου, ἐπιλαβέσθαι δὲ τῶν ἐμοὶ πεπραγμένων; οὐ γάρ εἰμί σου βελτίων; εἴπω τά σοι πεπλημμελημένα, καὶ ποιήσω μηδέποτέ σε τῶν ἱερῶν τούτων ἐπιβῆναι προθύρων. οὐδὲν τούτων εἶπε τῶν ψυχρῶν ῥημάτων, ἃ καθ' ἑκάστην ἡμέραν ἀλλήλους πλύνοντες λέγομεν· ἀλλὰ πικρῶς στενάξας καὶ πατάξας τὸ στῆθος, τοσοῦτον εἶπε μόνον, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· καὶ κατῆλθε δεδικαιωμένος. εἶδες τάχος; κατεδέξατο ὄνειδος, καὶ ἀπενίψατο ὄνειδος· ἐπέγνω τὰ ἁμαρτήματα· καὶ ἡ κατηγορία τῆς ἁμαρτίας, καὶ ὁ ἐχθρὸς ἄκων εὐεργέτης καθίστατο. πόσα γὰρ ἔδει καμεῖν τὸν τελώνην νηστεύοντα, χαμευνοῦντα, ἀγρυπνοῦντα, τὰ ὄντα τοῖς δεομένοις παρέχοντα, ἐν σποδῷ καὶ σάκκῳ καθήμενον ἐν πολλῷ τῷ χρόνῳ, ὥστε δυνηθῆναι τὰ ἁμαρτήματα ἀποθέσθαι ἐκεῖνα; καὶ νῦν οὐδὲν τούτων ποιήσας, διὰ ψιλοῦ ῥήματος πᾶσαν ἀπέθετο τὴν κακίαν. καὶ τὰ ὀνείδη καὶ αἱ λοιδορίαι τοῦ δόξαντος αὐτὸν ὑβρίζειν, στέφανον αὐτῷ δικαιοσύνης ἐκόμισαν, χωρὶς ἱδρώτων, καὶ πόνων, καὶ χρόνου μακροῦ. ὁρᾷς ὅτι κἂν ἀληθῆ τις λέγῃ περὶ ἡμῶν, κἂν τοιαῦτα ἅπερ ἡμεῖς ἑαυτοῖς συνίσμεν, ἡμεῖς δὲ τὸν λέγοντα μὴ ὑβρίσωμεν, ἀλλὰ στενάξωμεν πικρόν, καὶ τὸν θεὸν ὑπὲρ τῶν ἁμαρτημάτων παρακαλέσωμεν, πάντα δυνησόμεθα ἀποθέσθαι τὰ πλημμελήματα; οὕτω γοῦν καὶ οὗτος ἐδι-

A imploras, ptotinus omnem culpam depoſuiſti. Rogo quid hoc eſſe poterit fœlicius? quid ad criminum abolitionem facilius? Sed ne videamur vos verbis humanis excitare, è diuinis ſcripturis ſuper hac re proferemus teſtimonium, ne quid præterea dubites. Erat Phariſæus quidam & publicanus: quorum hic quidem ad ſummam progreſſus erat malitiam, alter ad ſummam peruenerat iuſtitiam, vt qui facultates ſuas diſſiparet in pauperes, aſſiduéque ieiunaret, purus à rapinis. Contrà alter in rapinis ac violentiis vitæ tempus omne conſumpſerat. Ambo aſcende-
B runt in templum orandi gratia. Mox ille ſtans dicebat, gratias ago tibi Domine, quoniam non ſum ſicut cæteri homines, rapaces, auari, neque velut hic publicanus. At publicanus procul ſtans non regeſſit contumeliam, neque viciſſim dixit conuitium. Non protulit iſta vulgaria verba: Túne audes meæ vitæ mentionem facere? túne audes mea facta reprehendere? An non ſum te melior? Referam tua peccata, faxóque ne vnquam in hæc ſacra conſcendas atria: nihil, inquam iſtiuſmodi fri-
C gidorum verborum locutus eſt publicanus, quibus vtimur quotidie nos mutuò conuitiis aſpergentes, ſed amarè ſuſpirans pectúſque percutiens, hoc tantummodo dixit, Propitius eſto mihi peccatori, & deſcendit iuſtificatus. vides celeritatem? Accepit probrũ, & abluit probrum. Agnouit peccata, & depoſuit peccata, & criminũ accuſatio facta eſt illi criminum remiſſio, & hoſtis inſciens factus eſt beneficus. Quot labores erãt publicano ſubeundi, ieiunãdo, humi dormiendo, vigilando, bona ſua egenis impartiendo, longo tempore in
D ſacco & cinere ſedẽdo, vt illa tam multa peccata poſſet deponere? At nunc quum nihil tale fecerit, ſimplici verbo omnem depoſuit iniquitatẽ, ac probra cõuitiáque Phariſæi, qui videbatur illũ cõtumelia afficere, pepererunt iuſtitiæ coronã, idq; ſine ſudoribus, ſine laboribus, & abſq; longi tẽporis mora. Vidéſne, quòd etiã ſi quis vera de nobis prædicet, quorũ nos ipſi nobis cõſcij ſumus, nos verò iſta prędicantem non viciſſim impetierimus maledictis, ſed amarè ingemiſcentes, Deum pro delictis noſtris implorauerimus, omnia peccata deponere poſſumus? Hoc pacto & hic iuſtifi-

Lucæ. 18 10.

Accuſatio ſui fit remiſſio criminis.

catus eſt, quoniam Phariſæum non repetiit conuitiis, ſed pro ſuis peccatis ingemuit, deſcendit iuſtificatus præ illo. Vides quantum adferat vtilitatis inimicorum exprobratio, ſi modo eam philoſophico pertulerimus animo? Quòd ſi pariter & mentientes & vera loquentes nobis proſunt, quamobrem dolemus? quam ob cauſam vrimur? Ni teipſum læſeris ô homo, neque amicus, neque inimicus, ne ipſe quidem diabolus poterit te lædere. Etenim quum & ij qui nos contumeliis afficiunt, qui traducunt, qui vſque ad ipſius vitę diſcrimen inſidiantur, vtilitatem adferunt, dum alij martyrij coronam nobis plectunt, quemadmodum oſtendimus: & alij rurſus dum peccata nobis exprobrant, ea ſubducunt, nóſque ex iniuſtis reddunt iuſtos, quemadmodum accidit in publicano: cur in illos efferimur & incadeſcimus? Ne dixerimus itaque, ille me atrociter irritauit, ille me laceſſendo perpulit, vt dicerem inhoneſta verba: nos vbique talium cauſa ſum⁹. Nam ſi velimus philoſophari, ne dæmon quidem poterit nos ad iram concitare, idque liquet quum ex aliis compluribus, tum ex hac ipſa quę nunc in manibus eſt hiſtoria de Dauide, quam operæprecium fuerit & hodie in medium adferre, ſi prius charitatem veſtram admonuerimus, vbinam heſterno die terminauerimus cōcionem. Vbi igitur eam terminauimus? in excuſatione Dauid. Proinde neceſſe eſt, vt hodie vobis Saulis verba referamus, quò videamus quid hic ad iuſtiſſimam illius excuſationem reſponderit. Neque enim videlicet è verbis tantum quæ Dauid locutus eſt, verumetiam è Saulis oratione, Dauidis virtutem perſpiciemus: nam ſi Saul aliquid placidè manſuetéque reſponderit, huius cauſam Dauidi imputabimus, qui immutarit hominem, quíque erudierit, & ad ſobrietatem cōpoſuerit illius animum. Quid igitur ait Saul? poſteaquam audierat Dauid loquentem, Ecce lacinia chlamydis tuæ in manu mea, aliáque cuncta quæ in excuſationem attulit: Vox, inquit, iſta tua fili Dauid? Quanta ſubitò facta eſt mutatio? qui nunquam ſuſtinuerat illū vel ſimplici vocare nomine, ipſam etiam appellationem habens exoſam, nunc adoptat eum in cognationem, appellans eum filium. Quid igitur Dauide fœlicius, qui ex homicida

Ne dæmō quidē nos ad iram concitare poteſt.

1. Reg. 24.13.

Ibidem.

Reſpōſio Saulis ad Dauidis excuſationem.

A καιώθη. ἐπειδὴ γὰρ οὐκ ἀνθύβρισεν ἐκεῖνον, ἀλλ' ἐστέναξεν ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, κατῆλθε δεδικαιωμένος μᾶλλον οὗτος, ἢ ἐκεῖνος. ὁρᾷς ὅσον ἔχει κέρδος ἡ τῶν ἐχθρῶν ὕβρις, ἐὰν φιλοσόφως αὐτὴν φέρωμεν; ὅταν γοῦν καὶ ψευδόμενοι καὶ ἀληθεύοντες ἡμᾶς ὠφελῶσι, τίνος ἕνεκεν ἀλγοῦμεν, τίνος ἕνεκεν δακνόμεθα; ἂν μὴ σὺ σαυτὸν παραβλάψῃς, ἄνθρωπε, οὔτε φίλος, οὔτ' ἐχθρὸς, οὔτ' αὐτός σε ὁ διάβολος παραβλάψαι δυνήσεται. ὅταν γὰρ οἱ ὑβρίζοντες, οἱ δημεύοντες, οἱ μέχρι τῆς ζωῆς αὐτῆς ἐπιβουλεύοντες ὠφελῶσιν ἡμᾶς, καὶ οἱ μὲν B μαρτυρίου στέφανον ἡμῖν πλέκωσι, καθάπερ ἀπεδείξαμεν, οἱ δὲ τὰ ἁμαρτήματα ἡμῶν ὑποσύρωσι, καὶ δικαίους ἡμᾶς ἐργάζωνται, ὥσπερ ἐπὶ τοῦ τελώνου γέγονε, τίνος ἕνεκεν ἐκθηριούμεθα πρὸς αὐτούς; μὴ τοίνυν λέγωμεν, ὁ δεῖνά με παρώξυνε, καὶ ὁ δεῖνά με προήγαγεν εἰπεῖν ῥήματα αἰσχρά. ἡμεῖς αἴτιοι πάντων τούτων. ἂν γὰρ θέλωμεν φιλοσοφεῖν, οὐδὲ δαίμων ἡμᾶς δυνήσεται κινῆσαι πρὸς ὀργήν. καὶ τοῦτο δῆλον καὶ ἐξ ἄλλων μὲν πολλῶν, καὶ ἀπ' αὐτῆς δὲ τῆς προκειμένης ἡμῖν ἱστορίας C τῆς περὶ τὸν Δαβίδ, ἣν ἄξιον καὶ σήμερον παραγαγεῖν εἰς μέσον, πρότερον ἀναμνήσαντες ὑμῶν τὴν ἀγάπην, ποῦ τὸν λόγον κατελύσαμεν πρῴην. ποῦ τοίνυν αὐτὸν κατελύσαμεν; εἰς τὴν ἀπολογίαν τὴν τοῦ Δαβίδ. οὐκοῦν ἀνάγκη σήμερον τὰ τοῦ Σαοὺλ ῥήματα εἰπεῖν, καὶ ἰδεῖν τί πρὸς τὴν δικαιολογίαν ἐκείνου ἀπεκρίνατο οὗτος. οὐ γὰρ δὴ μόνον ἀφ' ὧν ὁ Δαβὶδ ἐφθέγξατο ῥημάτων, ἀλλὰ καὶ ἀφ' ὧν ὁ Σαοὺλ λέγει, τὴν ἀρετὴν εἰσόμεθα τοῦ Δαβίδ. ἂν γὰρ φανῇ τι πρᾶον καὶ ἥμερον οὗτος D φθεγγόμενος, τὴν αἰτίαν τούτων ἐκείνῳ λογιούμεθα τῷ μεταβαλόντι τὸν ἄνθρωπον, τῷ παιδεύσαντι καὶ ῥυθμίσαντι τὴν ψυχὴν αὐτοῦ. τί οὖν φησιν ὁ Σαούλ; ἀκούσας τοῦ Δαβὶδ εἰπόντος, ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος ἐν τῇ χειρί μου, καὶ τἄλλα πάνθ' ἃ μετὰ τούτων ἀπελογήσατο, ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ; ὢ πόσην γέγονεν ἀθρόον ἡ μεταβολή; ὁ γὰρ μηδὲ ἀπὸ ψιλοῦ τοῦ ὀνόματος ἀνεχόμενος αὐτὸν καλέσαι ποτὲ, ἀλλὰ καὶ αὐτὴν αὐτοῦ· μισῶν τὴν προσηγορίαν, καὶ εἰς συγγένειαν αὐτὸν ἤγαγε, τέκνον αὐτὸν προσειπών. τί τοῦ Δαβὶδ μακαριώτερον

ἡμερώτερον, ὃς τὸν ἀνδροφόνον πατέρα ἐποίησε, καὶ τὸν λύκον πρόβατον, καὶ τὴν κάμινον τῆς ὀργῆς δρόσου πολλῆς ἐνέπλησε, καὶ τὰ κύματα εἰς γαλήνην μετέβαλε, καὶ τὴν φλεγμονὴν τοῦ θυμοῦ κατέσβεσεν ἅπασαν; τὰ γὰρ ῥήματα ἐκεῖνα τοῦ Δαβὶδ εἰς τὴν διάνοιαν εἰσελθόντα τοῦ τεθηριωμένου τούτου, πᾶσαν ταύτην εἰργάσατο τὴν μεταβολὴν, ἣν ἀπὸ τῶν ῥημάτων τούτων ἔστιν ἰδεῖν. οὔτε γὰρ εἶπεν, οἱ λόγοι σοι οὗτοι, τέκνον Δαβίδ; ἀλλὰ τί; ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ; καὶ πρὸς αὐτὸν γὰρ τὸν φθόγγον διεθερμαίνετο λοιπόν. καὶ καθάπερ πατὴρ χρονίας ἀκούσας φωνῆς παιδὸς ἐπανελθόντος ποθὲν, οὐχὶ πρὸς τὴν ὄψιν μόνην, ἀλλὰ καὶ πρὸς τὴν φωνὴν αὐτὴν διεγείρεται· οὕτω καὶ ὁ Σαοὺλ, ἐπειδὴ τὰ ῥήματα τοῦ Δαβὶδ εἰσελθόντα τὴν ἔχθραν ἐξέβαλεν, ἐπέγνω λοιπὸν τὸν ἅγιον, καὶ πάθος ἀποθέμενος, πάθος ἐδέξατο. ἐκβαλὼν γὰρ θυμὸν, ἐδέξατο εὐθυμίαν τε καὶ συμπάθειαν. καὶ καθάπερ νυκτὸς μὲν παρούσης οὐδὲ παρόντα πολλάκις ἐπιγινώσκομεν φίλον, ἡμέρας δὲ γενομένης, καὶ πόρρωθεν ὁρῶντες αὐτὸν γνωρίζομεν· οὕτω καὶ ἐπὶ τῆς ἔχθρας συμβαίνειν εἴωθεν. ἕως μὲν γὰρ ἂν ὦμεν ἀηδῶς πρὸς ἀλλήλους ἔχοντες, καὶ φωνῆς ἑτέρως ἀκούομεν, καὶ ὄψιν μετὰ διεφθαρμένης βλέπομεν γνώμης· ἐπειδὰν δὲ ἀποθώμεθα τὴν ὀργὴν, ἡ πρὸ τούτου πολεμία καὶ ἐχθρὰ φωνὴ, προσηνὴς καὶ ἡδίστη ἡμῖν φαίνεται, καὶ ἡ πολεμία ὄψις καὶ ἀηδὴς, ποθεινὴ καὶ ἐπίχαρις. τοῦτο γίνεται καὶ ἐπὶ τοῦ χειμῶνος. οὐκ ἀφίησι τοῦ οὐρανοῦ τὸ κάλλος ἡ τῶν νεφῶν φαίνεσθαι συνδρομή· ἀλλὰ κἂν μυριάκις ὀξυδερκὲς ἔχωμεν τὸ ὄμμα, οὐκ ἰσχύομεν ἀντιλαβέσθαι τῆς ἄνω φαιδρότητος· ἐπειδὰν δὲ ἡ τῆς ἀκτῖνος θερμότης ἐνδιατρίψασα καὶ διαρρήξασα τὸ νέφος, δείξῃ τὸν ἥλιον, δείκνυσι καὶ τὴν τοῦ οὐρανοῦ πάλιν εὐπρέπειαν. οὕτω καὶ ἐφ' ἡμῶν ὀργιζομένων γίνεται· καὶ καθάπερ νέφος πεπυκνωμένον περὶ τῶν ὀφθαλμῶν καὶ περὶ τῶν ἀκοῶν ἑστῶσα ἡ ἔχθρα, ἑτέρας καὶ τὰς φωνὰς καὶ τὰς ὄψεις ποιεῖ φαίνεσθαι. ἐπειδὰν δὲ φιλοσοφήσας τις τὴν ἔχθραν ἀπόθηται καὶ διαρρήξῃ τῆς λύπης τὸ νέφος, τότε ἀδεκάστῳ λογισμῷ καὶ ὄψεται πάντα, καὶ ἀκούσεται. ὅπερ οὖν καὶ Σαοὺλ συνέβη ἐκ[illegible]. ἐπειδὴ γὰρ τὸ νέφος διερράγη τῆς ἔχθρας, ἐπέγνω τοῦ Δαβὶδ τὴν φωνὴν, καί φησιν· ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ;

A facit patrem, è lupo ouem, qui fornacem iracundiæ multo impleuit rore, quique tempeſtatem vertit in tranquillitatem, quique tumorem omnem ira exæſtuantis animi reſtinxit? Verba quippe Dauidis ingreſſa in animum iſtius efferati, totam hanc perfecerint immutationem, quod è Saulis verbis deprehendas licet. Neque enim dixit, ſermones tui iſti fili Dauid: ſed, vox tua iſta fili Dauid: adeò mox ad ipſam vocem incaluit. Et quemadmodum pater ex longo interuallo audita filij reuertentis voce, non ad conſpectum modo illius, verum- B etiam ad ipſam vocem excitatur: ſic & Saul ſimul vt accepit verba Dauidis in animum ingreſſa, abiecit inimicitiam, iámque ſanctum agnouit, poſitóque affectu, recepit affectum. Siquidem poſita ira, recepit tranquillitatem & condoleſcentiam. Et quemadmodnm quamdiu nox adeſt, ſæpe ne præſentem quidem amicum agnoſcimus, at mox ut exortus eſt dies, etiam eminus conſpectum agnoſcimus: itidem & in iracundia ſolet vſuvenire. Donec inter nos C maleuolum gerimus animum, & vox audita nobis aliter ſonat, & ipſam faciem corrupta mente aſpicimus. Cæterum vbi poſuerimus iram, & vox quæ prius erat inuiſa atque hoſtilis, placida nobis ac iucundiſſima videtur, & aſpectus ipſe prius inimicus & iniucundus, tunc fit amabilis & iucundus. Idem accidit in tempeſtate. Non patitur nubium concurſus nobis conſpicuam eſſe cœli pulchritudinem, ſed quanuis millies habeamus oculos perſpicaces & acres, nequaquam pertingere poſſumus ad il- D lam ſupernam iucunditatem. Cæterùm vbi iam radiorum calor, perruptis ac diſcuſſis nubibus Solē oſtendit, rurſus & cœli decorem oſtendit. Idem accidit in nobis ira feruētibus, dum ſimultas velut denſa nubes, ante oculos & aures ſtat, facit vt voces aſpectúſq; videantnr aliter quã ſunt. Verùm ſimul atq; aliquis animi robore poſuerit odiũ, nubemq; diruperit ægrimonię, tũc demũ incorrupta mente & videbit, & audiet omnia: quod & huic euenit Sauli, qui ſimul atque nubem maleuolentiæ diſrupit, agnoſcens vocem Dauidis, ait: Vox tua iſta fili Dauid.

Cōparatio à nocte ſumpta.

Quænam iſta? quæ Goliath deiecit, quæ ciuitatem periculis eripuit, quæ cunctos in ſeruitutis ac mortis periculo conſtitutos, in libertatem reſtituit, & in tuto conſtituit, quæ Saulis furorem ſedauerat, quæ multa magnáque beneficia in eum contulerat.

Vox Dauidis proſtrauit alienigenã.

Siquidem hæc barbarum illum & alienigenam proſtrauit, eò quòd priuſquam mitteret lapidem, cum precationis robore fuerat aggreſſus. Neque enim vulgari more proiecit lapidem, ſed prius dixerat, Tu venis ad me in diis tuis, ego autem venio ad te in nomine domini Sabaoth, cui exprobraſti hodie.

1. Reg. 17.45.

Atque hæc locutus, emiſit lapidem, atque hæc vox lapidem veluti manu duxit in Goliath, hæc pauorem incuſſit barbaro, hæc hoſtis confidentiam fregit. Et quid miraris, ſi vox iuſti, & furorem mitigat, & hoſtes deiicit, quum impios quoq; ſpiritus expellat? loquebantur tantùm Apoſtoli, & fugiebant omnes aduerſariæ poteſtates. Vox ſanctorum frequenter & elementa ſtare fecit, & poteſtates illorum immutauit.

Ioſ. 10. 12. Exod. 14 21. Dan. 3

Locutus eſt tantùm Ieſus Naue, Stet Sol & Luna, & ſtetit. Sic & Moſes mare ingreſſus eſt, & ceſſit: ſic tres illi pueri ignis vim extinxerunt, hymnis illis ſuis ac voce. Itidem & Saul ad eandem vocem incaluit, dicens: Vox tua iſta fili Dauid. Quid igitur Dauid? Seruus tuus domine mi rex. Poſthac certamen oritur, & contentio vter alterum maiore proſequatur honore. Saul quidem ad cognationem aſciuit, filium appellans: Dauid autem dominum eum appellat. Quod autem dicit, tale eſt: vnum, inquit, illud quæro, ſalutem tuam ac virtutis profectum. filium me appellaſti, mihi verò ſatis eſt, ſi me pro famulo habeas, tantùm vt iram ponas, tantùm vt ne quid de me ſuſpicere mali, neu me dicas hoſtem aut inſidiatorem. Impleuit illam legem apoſtolicam, quæ iubet, vt nos ipſos vincentes honore inuicem præueniamus, non iuxta plurimorum morem, qui peius affecti ſunt, quam ipſæ pecudes, qui proximum ne affari quidem priores ſuſtinẽt, exiſtimantes ſeſe contumela affici, & à dignitate deiici, ſi quem vel affatu ſimplici impertiant. Quid iſta dementia poſſit eſſe magis deridiculum? quid hac arrogantia faſtúque fœdius?

Rom. 12 10.

A ποία αὕτη; ἡ τὸν Γολιὰθ κατενέγκουσα καὶ τὴν πόλιν ἐξαρπάσασα τῶν κινδύνων, καὶ περὶ δουλείας καὶ περὶ θανάτου κινδυνεύοντας ἅπαντας καὶ πρὸς ἀσφάλειαν καὶ πρὸς ἐλευθερίαν ἐπανάγουσα πάλιν, ἡ τὴν ἐκείνου καταστέλλουσα μανίαν, ἡ πολλὰ καὶ μεγάλα αὐτὸν ἐργασαμένη καλά. αὕτη γὰρ ἡ φωνὴ τὸν βάρβαρον ἐκεῖνον κατηνέγκε. πρὸ γὰρ τοῦ λίθου, ἡ τῆς εὐχῆς δύναμις αὐτὸν ἐχειρώσατο. οὐ γὰρ ἁπλῶς τὸν λίθον ἔρριψεν, ἀλλὰ πρότερον εἰπών, σὺ ἔρχῃ πρὸς μὲ ἐν τοῖς θεοῖς σου· ἐγὼ δὲ ἔρχομαι πρὸς σὲ ἐν ὀνόματι κυρίου Σαβαώθ, ὃν ὠνείδισας σήμερον, B οὕτως ἀφῆκε. καὶ αὕτη τὸν λίθον ἐχειραγώγησεν ἡ φωνή, αὕτη τὴν ἀγωνίαν ἐνέβαλε τῷ βαρβάρῳ, αὕτη δὲ θράσος ἐξέκοψε τοῦ πολεμίου. καὶ τί θαυμάζεις, εἰ θυμὸν καταστέλλει φωνὴ δικαίου, καὶ πολεμίους καθαιρεῖ, ὅπουγε καὶ δαίμονας ἀπελαύνει; ἐφθέγγοντο γοῦν μόνον οἱ ἀπόστολοι, καὶ πᾶσαι ἐδραπέτευον αἱ ἀντικείμεναι δυνάμεις· ἡ φωνὴ τῶν ἁγίων καὶ τὰ στοιχεῖα πολλάκις ἔστησε, καὶ τὰς ἐνεργείας αὐτῶν μετέβαλεν. εἶπε γοῦν ὁ Ἰησοῦς τοῦ Ναυῆ μόνον, στήτω ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ ἔστη· οὕτω καὶ ὁ Μωυσῆς θάλατταν C ἐπέδησε, καὶ ἀνῆκεν· οὕτως οἱ παῖδες οἱ τρεῖς καὶ τὴν ἐνέργειαν τοῦ πυρὸς ἔσβεσαν διὰ τῶν ὕμνων ἐκείνων καὶ διὰ τῆς φωνῆς. διὰ τοῦτο καὶ πρὸς αὐτὴν τὴν φωνὴν διαθερμανθεὶς ὁ Σαοὺλ ἔλεγεν· ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ; τί γοῦν ὁ Δαβίδ; δοῦλός σου, κύριέ μου βασιλεῦ. ἅμιλλα λοιπὸν καὶ φιλονεικία γίνεται, τίς τὸν πλησίον μειζόνως τιμήσει· ἐκεῖνος εἰς συγγένειαν ἤγαγεν, οὗτος δεσπότην αὐτὸν ὠνόμασεν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἓν ζητῶ μόνον, φησί, τὴν σωτηρίαν τὴν σὴν, καὶ τὴν ἐπίδοσιν τῆς ἀρετῆς· τέκνον με ἐκάλεσας, D ἐγὼ δὲ ἀγαπῶ καὶ στέργω, ἐὰν δοῦλόν με ἔχῃς, μόνον μετὰ τὸ ἀποθέσθαι τὴν ὀργὴν, μόνον μετὰ τοῦ μηδὲν ὑποπτεύειν περὶ ἐμοῦ πονηρὸν, καὶ μὴ νομίζειν ἐπίβουλον εἶναι καὶ πολέμιον. τὸν γὰρ ἀποστολικὸν ἐκεῖνον ἐπλήρου νόμον, τὸν κελεύοντα τῇ τιμῇ ἀλλήλους προηγεῖσθαι, ὑπερέχοντας ἑαυτῶν· οὐ καθάπερ πολλοὶ, βοσκημάτων διακείμενοι χεῖρον, οὐδὲ προσειπεῖν τὸν πλησίον ἀνέχονται πρότεροι, νομίζοντες ὑβρίζεσθαι καὶ ἐλαττοῦσθαι, εἰ ψιλῆς τινι μεταδοῖεν προσρήσεως. τί ταύτης τῆς ἀνοίας γένοιτ᾽ ἂν καταγελαστότερον; τί τοῦ τύφου καὶ τῆς ἀπονοίας αἰσχρότερον;

A τότε γὰρ, τότε ἠλαττώθης, ὦ ἄνθρωπε, τότε ὑβρίσθης, τότε ἠτιμάσθης, ὅταν ἀναμείνῃς τὸν πλησίον πρότερόν σε προσειπεῖν. τί γὰρ ἀπονοίας χεῖρον; τί δὲ τύφου καὶ κενοδοξίας καταγελαστότερον; ἂν μὲν γὰρ πρότερος προσείπῃς, καὶ ὁ θεὸς ἐπαινέσεται (ὃ πάντων μεῖζον) καὶ ἄνθρωποι δὲ ἀποδέξονται, καὶ τῆς ἐκείνου προσρήσεως σὺ τὸν μισθὸν ἅπαντα λήψῃ· ἂν δ' ἀναμείνῃς πρότερον τιμηθεὶς οὕτω τιμῆσαι, οὐδὲν μέγα εἰργάσω λοιπόν. ὁ γὰρ τῆς εἰς σὲ καταρξάμενος τιμῆς, αὐτὸς καὶ τῆς παρὰ σοῦ γινομένης εἰς αὐτὸν θεραπείας τὸν μισθὸν ἅπαντα λήψεται. μὴ ἀναμένωμεν τοίνυν τιμᾶσθαι παρ' ἑτέρων πρότεροι· B ἀλλ' ἐπιτρέχωμεν τῇ εἰς τὸν πλησίον τιμαῖς, καὶ τῆς προσρήσεως ἀεὶ κατάρχωμεν, καὶ μὴ νομίζωμεν ψιλὸν εἶναι καὶ εὐτελὲς τὸ κατόρθωμα τοῦτο, τὸ γενέσθαι εὐπροσήγορον καὶ φιλοπροσήγορον. πολλὰς γοῦν φιλίας ἐλλειφθὲν τοῦτο διέκοψε, πολλὰς ἔχθρας εἰργάσατο. ὥσπερ οὖν μετὰ σπουδῆς πληρούμενον χρονίους πολέμους κατέλυσε, καὶ τὰς οὔσας φιλίας ἀπέσφιγξε. μὴ τοίνυν ἀμελῆς, ἀγαπητέ, τῆς περὶ ταῦτα σπουδῆς· ἀλλ' εἰ μὲν οἷόν τε, τοὺς ἀπαντῶντας, οἷοί τινες ἂν ὦσι, καὶ C ἐν τῇ προσρήσει, καὶ ἐν τοῖς ἄλλοις ἅπασι πρότεροι θεραπεύωμεν. ἂν δέ σε ἕτερος φθάσῃ, μείζονα ἐπίδειξαι τὴν τιμὴν πάλιν. καὶ γὰρ καὶ τοῦτο παρῄνεσεν ὁ Παῦλος, οὕτως εἰπών· ἀλλήλους ἡγεῖσθε ὑπερέχοντας ἑαυτῶν. οὕτως ὁ Δαβὶδ ἐποίησε, καὶ πρότερος ἐτίμησε, καὶ τιμηθεὶς πάλιν μειζόνως ἀντετίμησεν, εἰπών· δοῦλός σου, κύριέ μου βασιλεῦ. καὶ ὅρα ὅσον εἰργάσατο κέρδος. ἐπειδὴ γὰρ εἶπε τοῦθ' ὁ Δαβὶδ, οὐκ ἴσχυσεν ἀδακρυτὶ λοιπὸν ταύτην ἀκοῦσαι τὴν φωνὴν ὁ Σαούλ· ἀλλ' ὠλόλυξε πικρὸν, τὴν ὑγείαν τὴν ἐν τῇ ψυχῇ, καὶ τὴν φιλοσοφίαν, ἣν ὁ Δαβὶδ ἐνέθηκε, διὰ D τῶν δακρύων δηλῶν. τί γένοιτ' ἂν τοῦ προφήτου μακαριώτερον, ὃς ἐν βραχείᾳ καιροῦ ῥοπῇ οὕτω τὸν ἐχθρὸν μετερρύθμισε, καὶ ψυχὴν αἵματος καὶ σφαγῆς διψῶσαν λαβὼν εἰς θρήνους ἐνέβαλεν ἀθρόον καὶ ὀλολυγμούς; οὐχ οὕτω θαυμάζω τὸν Μωσέα, ὅτι ἀπὸ πέτρας ἀκροτόμου πηγὰς ἐξήγαγεν ὑδάτων, ὡς θαυμάζω τὸν Δαβὶδ, ὅτι ἐξ ὀφθαλμῶν λιθίνων πηγὰς ἐξήγαγε δακρύων. [illegible] τὴν φύσιν ἐνίκησεν, οὗτος δὲ τῆς προαιρέσεως περιεγένετο· ἐκεῖνος ἔπαισε τῇ ῥάβδῳ τὴν λίθον, οὗτος ἔκρουσε τῷ λόγῳ τὴν καρδίαν, οὐχ ἵνα λυπήσῃ

Tunc enim, tunc inquã à dignitate deiectus es ô homo, tunc iniuria affectus es, tunc contumelia affectus es, quoties expectas, vt proximus te prior alloquatur. Quid enim arrogantia deterius? quid faſtu & inani gloria magis ridiculum? Nam ſi prior alloquaris, & Deus ipſe collaudabit, quod eſt omnium maximum, & homines inſuper cõprobabunt, túq; illius appellationis mercedẽ totã accipies. Quod ſi expectaueris, vt prior honoratus, tum deniq; proximũ honores, nihil iam magni feceris. Nam is vnde honoris cœpit initium, idem relati abs te honoris totam mercedẽ accepturus eſt. Proinde ne expectemus, vt alij priores nobis honorem deferãt, ſed accurramus ad exhibendum proximo honorem, ſempérque à nobis oriatur ſalutationis initium: neq; putemus hoc officium eſſe contemnendum vt vulgare, ſi libenter & amanter ſalutemus. Nam hoc prætermiſſum multas amicitias diſrupit, multas peperit ſimultates: quemadmodũ è diuerſo idẽ ſtudioſè exhibitũ, veteres & diuturnas inimicitias diſſoluit, & amicitias priores confirmauit. Noli igitur chariſſime his in rebus ſtudiũ negligere, ſed ſi fieri poteſt obuios qualeſcunq; fuerint, tum in ſalutando, tum in cæteris omnibus priores deliniamus. Quòd ſi quis te prçuenerit, repende honorem cum fœnore. Nam & hoc admonuit Paulus, ita loquẽs: Alij alios vobiſipſis ſuperiores exiſtimate. Ita fecit Dauid, qui & prior honorem detulit, & honoratus maiorẽ honorem repoſuit, dicens: Seruus tuus domine mi rex. Vide vero, quantum fecerit lucri Dauid hæc locutus: non iam ſuſtinuit Saul hanc vocem audire ſine lachrimis, ſed plorauit amarè, animi ſanitatem ac philoſophiam, quam Dauid inſeuerat, lachrymis declarans. Quid eſſe poſſit hoc propheta beatius, qui breui temporis momento ſic hoſtem è furore ad ſobrietatem compoſuit, & animum nactus ſanguinis ac cædis ſitientem, repentè ad lamenta & eiulatus compulit? Non perinde miror Moſem, quòd è ſaxo prærupto fontes elicuit aquarum, vt admiror Dauidem, quòd ex oculis lapideis fontes eduxerit lachrymarum. Siquidẽ ille quidem vicit naturam, at hic vicit animi decretum: ille virga percuſſit lapidem, hic ſermone pepulit cor, nõ vt cõtriſtaret,

Nihil inani gloria turpius eius, qui honore præueniri vult.

Phil. 2. 3.

1. Reg. 24.

Exod. 17

Dauid cũ Moyſe cõparatur.

ſed vt purum manſuetúmque redderet. Quod etiam perfecit maiore beneficio Regem afficiens quàm antea fecerat. Eſt quidem & illud laude ſummáque admiratione dignum, quod enſem non tinxerit ſanguine, nec caput illud hoſtile reſecuerit: ſed longè maiore corona dignum erat, quòd ipſum inimici propoſitum immutauit, cúmque reddidit meliorem, idque priuſquam ipſe ſuam immutaret humanitatem. Hoc beneficium illo præſtantius eſt. Neque enim paria ſunt condonare culpam, & ad animi ſobrietatem adducere. Non ſunt paria, liberare ab ira cædem iniuſtam ſpirante: eximere à cæde, & eximere à furore ad tantum properante nefas. Dum enim ſatellites ſuos Dauid cohibuit, ne Saulem occiderent, præſenti quidem vitæ profuit: cæterùm quum mitibus verbis malitiam ex animo depellit, futuram illi vitam æternáque largitus eſt bona: quantum quidem erat in ipſo. Quoties igitur Dauidem laudas ob ipſius manſuetudinem, magis illum lauda, quòd Saulem immutarit. Siquidem multò minus eſt propriis temperare cupiditatibus, quàm alienum vincere furorem, quàm cor ira intumeſcens compeſcere, éque tanta tempeſtate tantam facere tranquillitatem, quàm oculos homicidium præ ſe ferentes calidis implere lachrymis. Atque hoc eſt ſtuporis ac miraculi plenum. Etenim ſi Saul fuiſſet homo moderatus & æquus, non admodum magni erat negocij, ad ſolitam eum reuocare virtutem. At efferatum & ad extremam prouectum malitiam, iámque ad cædem properantem breui temporis momento ſic afficere, vt omnem illam amaritudinem euomat ex animo, quem non obſcuret omnium, qui vnquam ſuper philoſophiæ doctrina clarum promeruêre nomen? Et tu igitur ſi quando hoſtis inciderit in manus tuas, ne illud ſpecta, quomodo illum vlciſcaris, innumeriſque conuitiis conſperſum emittas, ſed quomodo ſanes, quomodo ad ſobrietatem reducas: neque prius deſiſtas omnia tum facere, tum dicere, donec tua manſuetudine ſuperaris illius truculentiam.

A ἀλλ' ἵνα καθαρὸν ἐργάσηται καὶ προσηνῆ· ὅπερ οὖν καὶ ἐποίησε, μείζονα τῆς προτέρας εὐεργεσίας ἐπιδειξάμενος. ἐπαίνου μὲν ἄξιον καὶ μεγίστου θαύματος καὶ τὸ μὴ βαπτίσαι τὸ ξίφος, μηδὲ ἀποτεμεῖν τὴν πολεμίαν ἐκείνην κεφαλήν· πολλῷ δὲ πλειόνων ἂν εἴη στεφάνων, τὸ καὶ αὐτὴν αὐτοῦ μεταβαλεῖν τὴν προαίρεσιν καὶ βελτίω ποιῆσαι, καὶ πρὸς τὴν οἰκείαν αὐτὸν ἐπιείκειαν μεταβαλεῖν. αὕτη μείζων ἐκείνης ἡ εὐεργεσία. οὐ γάρ ἐστιν ἴσον ζωὴν χαρίσασθαι, καὶ εἰς φιλοσοφίαν ἐναγαγεῖν· οὐκ ἔστιν ἴσον B ἀπαλλάξαι θυμοῦ πνέοντος φόνον ἄδικον, ἐξελέσθαι σφαγῆς, καὶ ἐξελέσθαι παραπληξίας ἐπὶ τοσοῦτον ὁδευούσης κακόν. τοὺς μὲν γὰρ δορυφόρους κωλύσας αὐτὸν ἀνελεῖν κατὰ τὸν παρόντα βίον ὠφέλει· τὴν δὲ πονηρίαν τῆς ψυχῆς ἐκβαλὼν, διὰ τῆς τῶν ῥημάτων ἐπιεικείας, τὴν μέλλουσαν αὐτῷ ζωὴν ἐχαρίσατο καὶ τὰ ἀκίνητα ἀγαθὰ, τό γε εἰς αὐτὸν ἧκον. ὅταν οὖν αὐτὸν ἐπαινέσῃς διὰ τὴν οἰκείαν πραότητα, μειζόνως αὐτὸν θαύμασον διὰ τὴν τοῦ Σαοὺλ μεταβολήν. τοῦ C γὰρ τῶν οἰκείων κρατῆσαι παθῶν, πολὺ πλέον ἐστὶ τὸ καὶ τῆς ἑτέρων περιγενέσθαι μανίας, καὶ φλεγμαίνουσαν καταστεῖλαι καρδίαν, καὶ τοσαύτην γαλήνην ἀπὸ τοσαύτης ἐργάσασθαι ζάλης, καὶ ὀφθαλμοὺς φόνον βλέποντας δακρύων ἐμπλῆσαι θερμῶν. καὶ τοῦτό ἐστιν, ὃ πολλῆς ἐκπλήξεως γέμει καὶ θαύματος. καὶ γὰρ εἰ μὲν τῶν ἐπιεικῶν καὶ μετρίων ἀνθρώπων ἦν ὁ Σαοὺλ, οὐ μέγα ἦν σφόδρα ἐπαναγαγεῖν αὐτὸν πρὸς τὴν οἰκείαν ἀρετήν· τὸ δὲ ἐκτεθηριωμένον καὶ D πρὸς ἐσχάτην κακίαν ἐξοκείλαντα, καὶ πρὸς σφαγὴν ἐπειγόμενον, ἐν βραχείᾳ καιροῦ ῥοπῇ παρασκευάσαι πᾶσαν τὴν πικρίαν σβέσαι ἐκείνην, τίνα οὐκ ἂν ἀποκρύψειε τῶν πώποτε ἐπὶ διδασκαλίᾳ φιλοσοφίας βεβοημένων; καὶ σὺ τοίνυν, ὅταν λάβῃς τὸν ἐχθρὸν, μὴ τοῦτο σκόπει, ὅπως αὐτὸν ἀμυνόμενος καὶ μυρίαις πλύνας ταῖς λοιδορίαις ἐκπέμψῃς, ἀλλ' ὅπως θεραπεύσῃς, ὅπως ἐπαναγάγῃς πρὸς ἐπιείκειαν· καὶ μὴ πρότερον ἀποστῇς πάντα καὶ ποιῶν καὶ λέγων, ἕως ἂν περιγένῃ τῇ πραότητι τῆς ὠμότητος τῆς ἐκείνου.

A οὐδὲν γὰρ ἐπιεικείας δυνατώτερον. καὶ τοῦτ' αὐτὸ δηλῶν τις ἔλεγεν, ὅτι λόγος ἁπαλὸς συγκλάσει ὀστᾶ. καίτοι τί ὀστέου σκληρότερον; ἀλλ' ὅμως κἂν οὕτω σκληρός τις ᾖ καὶ ἀκαμπὴς, περιέσται ῥᾳδίως ὁ μετ' ἐπιεικείας αὐτῷ χρώμενος. καὶ πάλιν· ἀπόκρισις ὑποπίπτουσα ἀποστρέφει ὀργάς. ὅθεν δῆλον ὅτι τοῦ κινηθῆναι τὸν ἐχθρὸν, καὶ τοῦ καταλλαγῆναι σὺ κυριώτερος ἐκείνου. ἐν γὰρ ἡμῖν, οὐκ ἐν τοῖς ὀργιζομένοις κεῖται καὶ τὸ σβεσθῆναι, καὶ τὸ πρὸς μείζονα ἐξενεχθῆναι φλόγα τὸν θυμὸν τὸν ἐκείνων. καὶ τοῦτ' αὐτὸ πάλιν ὁ τὰ πρότερα εἰπὼν ἐδήλωσε διὰ δαψιλοῦς παραδείγματος. B ὥσπερ γάρ, φησιν, εἰς σπινθῆρα πυρὸς ἂν μὲν φυσήσῃς, ἐξῆψας τὴν φλόγα, ἂν δὲ πτύσῃς, κατέσβεσας, καὶ ἀμφοτέρων σὺ κύριος (ἀμφότερα γάρ, φησιν, ἐκ τοῦ στόματός σου προέρχεται) οὕτω καὶ ἐπὶ τῆς ἔχθρας τοῦ πλησίον· ἂν μὲν πεφυσημένους καὶ ἀπονενοημένους προσενέγκῃς λόγους, ἀνῆψας ἐκείνου τὸ πῦρ, ἐξέκαυσας τοὺς ἄνθρακας· ἂν δὲ πρᾳοτάτους καὶ περιεσταλμένους, πρὶν τὴν πυρὰν ἀρθῆναι, κατέσβεσας τὴν ὀργὴν ἅπασαν. μὴ τοίνυν λέγε, ὅτι τὰ καὶ τὰ ἔπαθον, τὰ καὶ τὰ ἤκουσα. C πάντων γὰρ τούτων σὺ κύριος. οὕτω γὰρ ὥσπερ σπινθῆρα καὶ σβέσαι καὶ ἀνάψαι, καὶ θυμὸν ἐκκαῦσαι καὶ καταστεῖλαι πάλιν ἐν σοί. ὅταν ἴδῃς ἐχθρὸν, ἢ καὶ εἰς νοῦν λάβῃς, ὅσα μὲν ἤκουσας καὶ ἔπαθες λυπηρὰ, πάντ' ἐπιλανθάνου ταῦτα· εἰ δὲ καὶ ἀναμνησθείης, τῷ διαβόλῳ ταῦτα λογίζου. σύλλεγε δὲ, εἴ τί σοι χρηστὸν εἶπε πώποτε, καὶ ἐποίησε. κἂν τῇ τούτων ἐνδιατρίβῃς μνήμῃ, ταχέως καταλύσεις τὴν ἔχθραν, κἂν μέλλῃς ἐγκαλεῖν καὶ διαλέγεσθαι, πρότερον τὸ πάθος ἐκβαλὼν καὶ τὸν θυμὸν σβέσας, οὕτως εὐθύνας ἀπαίτει, οὕτως ἔλεγχε, καὶ D δυνήσῃ περιγενέσθαι ῥᾳδίως. θυμούμενοι γὰρ οὔτ' εἰπεῖν, οὔτ' ἀκοῦσαί ποτε δυνησόμεθά τι ὑγιές· ἀπαλλαγέντες δὲ τοῦ πάθους, οὔτ' αὐτοὶ ῥῆμά ποτ' ἐξοίσομεν τραχὺ, οὔθ' ἑτέρων λεγόντων οὕτως ἀκουσόμεθα. οὐ γὰρ ἡ τῶν λεγομένων φύσις, ὡς ἡ τῆς ἔχθρας πρόληψις ἡμᾶς ἀγριοῦν εἴωθε. πολλάκις γοῦν παρὰ φίλων τὰς αὐτὰς ἀκούσαντες λοιδορίας παιζόντων, ἢ καὶ ἀστειζομένων, ἢ καὶ παρὰ παιδίων μικρῶν, οὐ μόνον οὐδὲν ἐπάθομεν ἀηδὲς, οὐδὲ ἐξηγριώθημεν, ἀλλὰ καὶ ἐγελάσαμεν καὶ διεχύθημεν.

A Nihil enim humanitate potẽtius, quod ipſum quidam declarauit, dicens: Sermo mollis confringit oſſa. Atqui quid oſſe durius? Et tamen ſi quis æquè durus ſit & tigidus ac præfractus, nihilominus facilè vicerit, qni illum manſuetè tractet. Ac rurſus: Reſponſio ſubmiſſa auertit iras. Vnde liquet, vt hoſtis irritetur, aut reconcilietur, magis in tua poteſtate eſſe, quàm illius. Non enim in iis qui ira commoti ſunt, ſed in nobis ſitum eſt, vt vel extinguatur illorũ ira, vel ad maius irritetur incendiũ. Et hoc item qui priora dixit, copioſo declarauit exemplo: quemadmodum enim, in- B quit, ſi inſuffles in ſcintillam ignis, excitas incendium: cõtrà ſi inſpuas, extinguis, & vtrumque tibi in manu eſt, quoniam vtrumque, inquit, ex ore tuo proficiſcitur: Idem fit & inimicitia proximi, ſi inflatos ac vecordes ingeras ſermones, excitas ignẽ illius, accendis carbones: ſin mites ac moderatos admoueas ſermones, priuſquam exardeſcat, iram omnem extinxeris. Ne dixeris igitur, hæc aut hęc audiui, quum hæc omnia ſint in tua poteſtate. Hoc enim pacto iram veluti ſcintillã, vel extingue- C re vel accẽdere, furorémq; vel excitare, vel cõtrà ſedare, in te ſitũ eſt: quum videris inimicum, ſi in mentem veniat, quàm multa tum audieris, tum perpeſſus ſis moleſta, fac omniũ horum obliuiſcaris. Etiamſi recorderis, tamen fac ea Diabolo imputes: collige verò ſi quid vnquam humaniter vel dixit vel fecit. Si in horum recordatione commoratus fueris, ocius diſſolues inimiciriam. Quò ſi eſt animus illum incuſare, cúmque inimico expoſtulare: fac prius abiicias animi motum, irámque extinguas, ac tum cum illo expoſtula, tum argue, & facilè poteris vincere. Siqui- D dem ira commoti nihil ſani poterimus vnquam vel dicere, vel audire: ſed à perturbatione liberi, nec ipſi verbum aſperius vnquam emittemus, nec aliis acerbè loquentibus, eodem modo audiemus. Neque enim ipſa perinde natura eorum quæ dicuntur, atque animus odio occupatus nos exaſperare ſolet. Frequẽter enim, fit vt quum eadem conuitia audimus ab amicis iocantibus facetiiſve ludentibus, aut à pueris paruulis, non ſolùm nullam ſentiamus moleſtiam, neque incrudeſcamus, ſed redeamus etiam, atque exhilaremur,

Nihil humanitate potentius.

Eccl. 28. 18.

Prou. 15. 1.

Irã ſedare in noſtra eſt poteſtate.

eò quòd illa non audimus animi affe- A ctu corrupto, neque mente ira præoccupata: Itidem in inimicis, ſi extinxeris iram, ſi odium eieceris, nihil eorum quæ dicuntur te poterit offendere. Quid autem loquar de verbis? Ne facta quidem offenderint, quemadmodũ nec beatum hunc quicquam horũ offendit: ſed quum videret inimicum aduerſus ipſius incolumitatem belligerantem, huiuſq; gratia nihil intẽtatum relinquentem, non ſolùm non eſt exaſperatus, verùm magis illius indoluit malis. quò vehementius inſidiabatur ille hoc impẽſius eum defleuit. Nouerat enim, nouerat inquam certò, non B eum qui patitur iniuriam, ſed qui facit, lachrymis ac lamentis eſſe dignum, vt qui lædat ſeipſum. Eóq; prolixa apud illũ excuſatione eſt vſus, nec prius deſtitit quàm & hoſtem commoueret ad excuſationem cum lachrymis ac lamẽtis. Poſteaquam enim plorauit, vocémque amaram emiſit, poſteaquam claré eiulauit, quid dicat audi. Iuſtior tu me es, quoniã tu mihi retribuiſti bona, ego verò retribui tibi mala. Vides vt ſuam ipſius damnat malitiam, ac iuſti virtutẽ prædicat, nullóq; cogente ſeſe purgat? C Idem tu facito, quum hoſtis oſtenderit in manus tuas, noli accuſare illum, ſed teipſum purga, vt illum perpellas ad ſui ipſius condemnationem. Nam ſi nos accuſemus, exaſperatur: ſin nos excuſauerimus, ille reueritus noſtram humanitatem, mox ſeipſum condemnabit. Hoc pacto ſimul & redargutio fit carens ſuſpicione, & ille omnem exuit malitiam. Quod & hîc euenit: quum tacet his qui affectus erat iniuria, is qui fecerat, multa cum vehementia ſeipſum accuſat. Neque enim ſimpliciter dixit, feciſti mihi bona. D Hoc eſt, pro inſidiis, pro cæde, pro malis illis innumerabilibus magna mihi rependiſti beneficia. At ego ne ſic quidem factus ſum melior, ſed poſt illa tua benefacta perſeueraui in malitia: tu verò ne ſic quidem es immutatus, ſed conſtanter tuum obtinuiſti morem, nos iterum atque iterum tibi inſidiantes beneficiis proſequens. In hiſce ſingulis verbis, quot coronis dignus apparuit Dauid? Quanquam enim os Saulis iſta ſonabat, ſapientia tamen & ars Dauidis ea in animum illius inſeuerat.

Dignior lachrymis, qui facit iniuriam.

1. Reg. 24 18.

1. Reg. 24 19.

A οὐ γὰρ μετὰ διεφθαρμένης ἠκούσαμεν γνώμης, οὐδὲ μετὰ ψυχῆς θυμῷ προκατειλημμένης. ὥστε καὶ ἐπὶ τῶν ἐχθρῶν, ἂν σβέσῃς τὸν θυμὸν, ἂν τὴν ἔχθραν ἐκβάλῃς, οὐδέν σε τῶν λεγομένων λυπῆσαι δυνήσεται. καὶ τί λέγω τῶν λεγομένων; οὐδὲν τῶν γινομένων, ὥσπερ οὖν οὐδὲ τὸν μακάριον τοῦτον· ἀλλ᾽ ὁρῶν τὸν πολέμιον κατὰ τῆς αὐτοῦ σωτηρίας ὁπλιζόμενον, καὶ πάντα διὰ τοῦτο κινοῦντα, οὐ μόνον οὐκ ἠγρίανεν, ἀλλὰ καὶ εἰς πλείονα ἦλθε συμπάθειαν. ὅσῳ μείζονα ἐπεβούλευε, τοσούτῳ μᾶλλον αὐτὸν ἐδάκρυεν. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὅτι οὐχ ὁ πάσχων κα- B κῶς, ἀλλ᾽ ὁ ποιῶν, οὗτός ἐστι δακρύων ἄξιος καὶ θρήνων, ἑαυτὸν καταβλάπτων. διὰ τοῦτο καὶ μακρὰν πρὸς αὐτὸν συνέθηκεν ἀπολογίαν, καὶ οὐ πρότερον ἀπέστη, ἕως καὶ αὐτὸν ἀπολογήσασθαι παρεσκεύασε μετὰ δακρύων καὶ θρήνων. ἐπειδὴ γὰρ ἀνῴμωξε καὶ πικρὰν ἀφῆκε φωνὴν, καὶ μέγα ἀνωλόλυξεν, ἄκουσον τί φησι. δίκαιος σὺ ὑπὲρ ἐμέ· ὅτι σὺ μὲν ἀνταπέδωκάς μοι ἀγαθὰ, ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά. ὁρᾷς πῶς καὶ τῆς οἰκείας κακίας καταγινώσκει, καὶ τὴν ἀρετὴν ἀνυμνεῖ τοῦ δικαίου, καὶ μηδενὸς ἀναγ- C κάζοντος ἀπολογεῖται; οὕτω καὶ σὺ ποίησον. ἐπειδὰν λάβῃς τὸν ἐχθρὸν, μὴ κατηγορήσῃς, ἀλλ᾽ ἀπολόγησαι, ἵνα παρασκευάσῃς ἐκεῖνον ἑαυτοῦ κατηγορῆσαι. ἂν μὲν γὰρ ἡμεῖς κατηγορῶμεν, τραχύνεται· ἂν δὲ ἀπολογησώμεθα, ἐντρεπόμενος ἡμῶν τὴν ἐπιείκειαν, αὐτὸς ἑαυτοῦ κατηγορήσει λοιπόν. καὶ οὕτως ὅ τε ἔλεγχος ἀνύποπτος γίνεται, ἐκεῖνός τε τῆς πονηρίας ἀπαλλάττεται πάσης· ὅπερ οὖν καὶ ἐνταῦθα συνέβη, καὶ κατηγορεῖ μετὰ πολλῆς τῆς σφοδρότητος ὁ ἀδικήσας, τοῦ ἠδικημένου σιγῶντος. οὐδὲ γὰρ εἶπεν ἁ- D πλῶς, εἰργάσω εἰς ἐμὲ ἀγαθὰ, ἀλλ᾽ ἀνταπέδωκάς μοι ἀγαθά· τουτέστιν, ἀντὶ τῆς ἐπιβουλῆς, ἀντὶ τῆς σφαγῆς, ἀντὶ τῶν μυρίων κακῶν ἐκείνων εὐεργεσίαις ἡμᾶς ἠμείψω μεγάλαις· ἐγὼ δὲ οὐδ᾽ οὕτως ἐγενόμην βελτίων, ἀλλὰ καὶ μετὰ τὰς εὐεργεσίας ἐκείνας ἐπέμεινα τῇ πονηρίᾳ, καὶ οὐδ᾽ οὕτω μετεβάλου, ἀλλὰ διέμεινας τὸν σαυτοῦ διαπληρῶν τρόπον, καὶ πάλιν ἡμᾶς ἐπιβουλεύοντας εὐεργετῶν. πόσων οὐκ ἂν εἴη στεφάνων ἄξιος καθ᾽ ἕκαστον τῶν ῥημάτων τούτων ὁ Δαβίδ; εἰ γὰρ καὶ τὸ στόμα αὐτὰ ἐφθέγγετο τοῦ Σαοὺλ, ἀλλ᾽ ἡ σοφία καὶ ἡ τέχνη τοῦ Δαβὶδ εἰς τὴν ἐκείνου κατεφύτευσεν αὐτὰ ψυχήν.

καὶ ἀπήγγειλάς μοι σήμερον, φησὶν, ἃ ἐποίησάς μοι ἀγαθὰ, ὡς ἀπέκλεισέ με κύριος σήμερον εἰς τὰς χεῖράς σου, καὶ οὐκ ἀπέκτεινάς με. καὶ ἑτέραν αὐτῷ μαρτυρεῖ πάλιν ἀρετὴν, ὅτι εὐεργετήσας οὐκ ἐσίγησεν, οὐδ' ὑπερεῖδεν, ἀλλ' ἐλθὼν εἶπεν, οὐ πρὸς ἐπίδειξιν τοῦτο ποιῶν, ἀλλὰ δεῖξαι βουλόμενος, καὶ διὰ τῶν ἔργων αὐτῶν διδάξαι, ὅτι τῶν κηδομένων ἐστὶ καὶ προνοούντων, οὐ τῶν ἐπιβουλευόντων καὶ πονηρευομένων. τὸ γὰρ τὰς ἰδίας εὐεργεσίας λέγειν, ἔστιν ὅπου καὶ κέρδος ἔχει μέγιστον. ὅταν γὰρ μηδεμιᾶς ὑποθέσεως οὔσης προσφέρῃ τις αὐτὰ καὶ ἀνακηρύττῃ, τῶν ὀνειδιζόντων οὐδὲν ἄμεινον διακείσεται· ὅταν δὲ βουλόμενος πεῖσαι τὸν διεφθαρμένον, καὶ πονηρὰν περὶ αὐτοῦ πρόληψιν ἔχοντα τοῦτο ποιῇ, κηδεμών ἐστι καὶ εὐεργέτης· ὅπερ οὖν καὶ ὁ Δαβὶδ ἐποίησεν, οὐ τῆς παρ' αὐτοῦ δόξης ἐρῶν, ἀλλὰ τὸν ἐρριζωμένον ἐν αὐτῷ θυμὸν ἀνασπάσαι βουλόμενος. καὶ διὰ τοῦτο γοῦν αὐτὸν ἐπῄνεσεν, ὅτι καὶ εὐεργέτησε, καὶ τὴν εὐεργεσίαν εἶπεν. εἶτα ζητῶν ἀμοιβὴν, καὶ οὐδεμίαν ἔχων τῶν γεγενημένων ἴσην εὑρεῖν, τὸν θεὸν αὐτὸν αὐτῷ δίδωσιν ὀφειλέτην, οὑτωσὶ λέγων· ὅτι εἰ εὕροι τις τὸν ἐχθρὸν αὐτοῦ ἐν θλίψει, καὶ ἐκπέμψει αὐτὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ κύριος ἀνταποδώσει αὐτῷ ἀγαθὰ, καθὼς πεποίηκας σὺ σήμερον. τί γὰρ καὶ εἶχεν ἄξιον ἀποδοῦναι τῶν εὐεργεσιῶν, εἰ καὶ τὴν βασιλείαν ἔδωκε, καὶ τὰς πόλεις ἁπάσας; οὐ γὰρ πόλεις ἁπλῶς καὶ βασιλείαν, ἀλλὰ καὶ αὐτὴν αὐτῷ τὴν ψυχὴν ἐχαρίσατο ὁ Δαβίδ· οὗτος δὲ ψυχὴν ἀντιδοῦναι ἑτέραν οὐκ εἶχε. διὰ τοῦτο αὐτὸν τῷ θεῷ παραπέμπει, καὶ ταῖς ἐκεῖθεν γεραίρει ἀμοιβαῖς, τοῦτόν τε ἐπαινῶν, καὶ παιδεύων ἅπαντας, ὅτι τότε μείζους ἡμῖν παρὰ τοῦ θεοῦ κείσονται ἀντιδόσεις, ὅταν μυρία τοὺς ἐχθροὺς ἀγαθὰ ποιήσαντες, τὰ ἐναντία ἀπολάβωμεν. εἶτά φησιν, ὅτι ἰδοὺ ἐγὼ γινώσκω, ὅτι βασιλεύων βασιλεύσεις, καὶ στήσεται ἡ βασιλεία Ἰσραὴλ ἐν χερσί σου· καὶ νῦν ὄμοσόν μοι κατὰ τοῦ κυρίου, ἵνα μὴ ἐξολοθρεύσῃς τὸ σπέρμα μου ὀπίσω μου· καὶ μὴ ἀφανίσῃς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου. καὶ πόθεν γινώσκεις, εἰπέ μοι, τοῦτο; παρὰ σοὶ τὰ στρατόπεδα, παρὰ σοὶ τὰ χρήματα, τὰ ὅπλα, αἱ πόλεις, οἱ ἵπποι, οἱ στρατιῶται, ἅπασα τῆς βασιλικῆς παρασκευῆς ἡ δύναμις·

A Renunciaſti, inquit, mihi hodie, quæ mihi feceris bona, quum me Dominus hodie concluſerit in manus tuas, nec occideris me. En rurſus de altera eius virtute perhibuit teſtimonium, videlicet, quòd benemeritus non tacuerit, neque diſſimularit, ſed accedens narrauit: non quidem ad oſtentationem, ſed ipſis factis illum docere cupiens, ſe de numero eorum eſſe, qui Regi bene cuperent, eiúſq; commodis proſpicerent, non eorum qui tenderẽt inſidias. Tum enim fas eſt propria commemorare benefacta, quum inſignis hinc ſperatur vtilitas. Nam quoties nulla data B occaſione iactat quis ac deprædicat ſua in alium beneficia, nihilo potior eſt exprobrante. Cæterum quoties id facit, vt corrupto perſuadeat, & malam de ipſo opinionem habentem flectat in diuerſum, is & curator eſt, & beneficus: quod ſanè fecit & hîc Dauid, haudquaquam à Saule gloriam captãs, ſed iram in illo radicatam euellere ſtudẽs. Atq; hoc nomine Saul collaudauit eũ, quòd & benemeritus eſſet, & merita ſua cõmemoraſſet. Dein quum Saul referre gratiam cupiens, non inueniret vllam C parem, ipſum Deum illi pro ſe conſtituit debitorem, ita loquẽs: Si inueniet aliquis inimicũ ſuum in anguſtia, & dimittet illum in via bona, & Dominus reddet illi bona, quemadmodũ feciſti tu mihi hodie. Quid enim poterat Saul reponere dignum meritis, etiamſi regnum dediſſet, cum omnibus oppidis? neque enim oppida modò, & regnum, verùm & vitam ipſam donarat illi Dauid: & verò non habebat alteram vitam, quam rependeret: eóque illum relegat ad Deum, & ab illo manaturis præmiis honorat: pariter & D hunc laudans, & vniuerſos erudiens, quòd tum maiora nobis apud Deum præmia repoſita ſunt, quum pro innumeris beneficiis in hoſtem collatis, diuerſa recipimus. Poſt hæc ait: Ecce agnoſco, quod regnans regnabis, quódque regnum Iſraël conſtituetur in manu tua. Et nunc iura mihi per Dominum, quòd non aboliturus ſis ſemen meum poſt me, nec extingues nomen meum de domo patris mei. Sed dic obſecro, vnde iſtud ſcis? penes te ſunt exercitus, penes te ſunt pecuniæ, arma, ciuitates, equi, milites, breuiter vniuerſa vis apparatus regij:

Alterã Dauidis virtutẽ teſtatur Saul.

1. Reg. 24. 20.

Tũ maximè certa nos manent apud Deũ præmia cum ab hominibus negantur.

1.Reg.23 22.

hic contrà deſertus ac nudus, nec ciuitatem, nec domum, nec familiam habens. Vnde igitur, te quæſo, iſta loqueris? Nimirum ex ipſis Dauidis moribus. Neque enim nudus & inermis ac deſertus me armatum, tantáque circũuallatum potentia ſuperaſſet, niſi Deũ haberet adiutorem. Porro qui Deum habet fauentem, omnibus eſt potentior. Vides ad quantam philoſophiam Saul poſt inſidias deductus ſit? vides quî fieri poſſit, vt inimicus omnem expuat malitiã, immutatúſque ad meliora ſeſe recipiat? Ne velimus itaque noſtram ipſorum ſalutem per iracundiam deuouere. Quandoquidem etiamſi ad ipſa malitiæ barathra fuerimus deducti, fieri poteſt, vt nosipſos inde reuocemus, & omni depoſita malitia ad meliorem frugem redeamus. Deinceps quid ait? Iura mihi per Deum, quòd nõ abolebis ſemen meũ poſt me, nec obliterabis nomen meum de domo patris mei. Rex priuatũ rogat: qui diademate cinctus eſt, ſupplicem agit pro filiis ſuis, obſecrat exulem. Et hoc ipſum arguit virtutem Dauidis, quòd hoſtis auſus ſit hæc ab hoſte petere. Nam quod iuſiurandum exigit, non eò facit, quòd diffidat Dauidis moribus, ſed quòd reputet quot malis illum affeciſſet. Iura mihi te non aboliturum ſemen meum poſt me. Hoſtem filiis ſuis relinquit tutorem, ſuáſque proles in illius deponit manus, dum his verbis filiorum ac Dauidis manus apprehendens, Deum ſequeſtrem inducit. Quid igitur Dauid? Num vel leuiter diſſimulatione & ironia ad hæc vſus eſt? nequaquam: ſed protinus annuit, quódque petebatur conceſſit: ac mortuo Saule, non modò non occidit illius poſteros, ſed tum plura præſtitit quàm erat pollicitus, ſiquidem filium eius, quum eſſet claudus ac debilis cruribus, in ſuam ipſius domum induxit, ſuæque menſæ fecit participem, ſummo illum honore dignatus, nec erubuit, nec occultauit, nec arbitratus eſt regiam menſam claudicatione pueri dehoneſtari, ſed decorari potius ac lautiorem fieri. Quotquot enim cum illo diſcumbebant, abibant magnam philoſophiæ doctrinam conſecuti. Cùm enim viderent Saulis filium, illius qui tanta mala patrarat aduerſus Dauidem, tanto in honore haberi apud ipſum,

1.Reg. 24 22.

Hoſtem Saul filiis tutorem relinquit.

A ἐκεῖνος δὲ ἔρημος καὶ γυμνός, ἄπολις καὶ ἀνέστιος, ἄοικος. πόθεν οὖν ταῦτα λέγεις, εἰπέ μοι; ἀπ' αὐτοῦ μὲν τοῦ τρόπου. οὐ γὰρ ἂν ὁ γυμνός, καὶ ἄοπλος, καὶ ἔρημος ἐμοῦ τοῦ καθωπλισμένου δύναμιν περιεγένετο, εἰ μὴ τὸν θεὸν εἶχε μεθ' ἑαυτοῦ· ὁ δὲ τὸν θεὸν ἔχων μεθ' ἑαυτοῦ, πάντων ἐστὶν ἰσχυρότερος. εἶδες οἷα φιλοσοφεῖ μετὰ τὴν ἐπιβουλὴν ὁ Σαούλ; εἶδες πῶς δυνατὸν ἅπασαν ἀποθέσθαι πονηρίαν καὶ μεταβαλέσθαι, καὶ πρὸς τὸ βέλτιον ἐπανελθεῖν; μὴ τοίνυν καταῤῥαθυμῶμεν τῆς ἑαυτῶν σωτηρίας. κἂν γὰρ πρὸς αὐτὰ κατενεχθῶμεν τῆς κακίας τὰ βάB ραθρα, δυνατὸν ἑαυτοὺς ἀνακτήσασθαι πάλιν, καὶ γενέσθαι βελτίους, καὶ πᾶσαν ἀποθέσθαι κακίαν. εἶτά φησιν· ὄμοσόν μοι κατὰ τοῦ κυρίου, ἵνα μὴ ἐξολοθρεύσῃς τὸ σπέρμα μου, καὶ μὴ ἀφανίσῃς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου. δέησιν ὁ βασιλεὺς τῷ ἰδιώτῃ προσάγει, καὶ ἱκετηρίαν τίθησιν ὁ τὸ διάδημα περικείμενος, ὑπὲρ τῶν παίδων τῶν ἑαυτοῦ παρακαλῶν τὸν φυγάδα. καὶ τοῦτο τῆς τοῦ Δαβὶδ ἀρετῆς τεκμήριον, τὸ περὶ τῶν τοιούτων θαῤῥῆσαι τὸν ἐχθρόν. εἰ δὲ ὅρκον ἀπαιτεῖ, οὐκ ἀπιστῶν τῷ τρόπῳ C τοῦ Δαβὶδ, ἀλλ' ἐννοῶν ὅσα εἰς αὐτὸν εἰργάσατο κακά. ὄμοσόν μοι μὴ ἀφανίσαι τὸ σπέρμα μου ὀπίσω μου. ἐπίτροπον τὸν πολέμιον καταλιμπάνει τῶν ἑαυτοῦ παίδων, καὶ ταῖς ἐκείνου χερσὶν ἐντίθησι τὰ ἔκγονα, μονονουχὶ τῆς δεξιᾶς αὐτῶν λαβόμενος διὰ τῶν ῥημάτων τούτων, καὶ τὸν θεὸν μεσίτην εἰσάγων. τί οὖν ὁ Δαβίδ; ἆρα κἂν μικρὸν εἰρωνεύσατο πρὸς ταῦτα; οὐδαμῶς· ἀλλ' εὐθέως ἐπένευσε, καὶ τὴν χάριν ἔδωκε· καὶ τελευτήσαντος τοῦ Σαούλ, οὐ μόνον οὐκ ἀπέκτεινεν, ἀλλὰ καὶ πλέον ὧν ὡμολόγησε, D τότε παρέσχε. τὸν γὰρ ἔκγονον τὸν τούτου, χωλὸν ὄντα καὶ πεπηρωμένον τὸ σκέλος, εἰς τὴν οἰκίαν εἰσήγαγε τὴν ἑαυτοῦ, καὶ ὁμοτράπεζον ἐποίησε, καὶ τῆς μεγίστης ἠξίωσε τιμῆς. καὶ οὐκ ἠρυθρία, οὐδ' ἐνεκαλύπτετο, οὐδὲ τὴν τράπεζαν ἐνόμιζε καταισχυνθῆναι τὴν βασιλικὴν τῇ πηρώσει τοῦ παιδός· ἀλλ' ἐνεκαλλωπίζετο καὶ ἐνηβρύνετο μᾶλλον. καὶ γὰρ ἕκαστος τῶν συνδειπνούντων αὐτῷ, μεγάλην φιλοσοφίας διδασκαλίαν λαμβάνων ἀπῄει· ὁρῶν γὰρ τὸν ἔκγονον τοῦ Σαούλ, τοῦ τοσαῦτα κακὰ ἐργασαμένου τὸν Δαβίδ, τοσαύτης ἀπολαύοντα παρ' αὐτῷ τιμῆς,

εἰ καὶ πάντων θηρίων ἀγριώτεροι ἦν, αἰσχυνόμενος καὶ ἐρυθριῶν πρὸς ἅπαντας τοὺς ἐχθροὺς ἐσπένδετο. καίτοι εἰ καὶ ἑτέρωθεν αὐτῷ τροφὴν ἐπέταξε, καὶ σιτηρέσιον ὥρισε τεταγμένον πολύ, μέγα ἦν· τὸ δὲ καὶ εἰς αὐτὴν αὐτὸν ἀγαγεῖν τὴν τράπεζαν, ὑπερβολὴν ἔχει φιλοσοφίας. ἴστε γὰρ δήπου, ὡς οὐ σφόδρα εὔπορον ἐχθρῶν παῖδας φιλεῖν. τί λέγω φιλεῖν; μὴ μισεῖν μόνον, μηδ᾽ ἐλαύνειν. πολλοὶ γοῦν καὶ τελευτησάντων τῶν ἐχθρῶν εἰς τοὺς παῖδας τοὺς ἐκείνων τὴν πρὸς ἐκείνους ἀφῆκαν ὀργήν. ἀλλ᾽ οὐχ ὁ γενναῖος οὗτος· ἀλλὰ καὶ ζῶντα τὸν πολέμιον διετήρησε, καὶ ἀπελθόντος ἐκείνου, τὴν περὶ ἐκείνου εὔνοιαν εἰς τοὺς παῖδας ἐνεδείξατο. τί τῆς τραπέζης τῆς ἐκείνου ἁγιώτερον, ἣν ἐχθροῦ παῖδες ἐκύκλουν, καὶ ἐχθροῦ σφαγέως; τί τῆς εὐωχίας ἐκείνης πνευματικώτερον; ἐν ᾗ τοσαῦται ἔβρυον εὐλογίαι; ἀγγέλου μᾶλλον, ἢ ἀνθρώπου συγκροτοῦντος ἦν. τὸ γὰρ ἀσπάζεσθαι καὶ φιλεῖν τοὺς παῖδας τοῦ μυριάκις αὐτὸν ἀνελεῖν ἐπιχειρήσαντος, καὶ οὕτω τὴν ζωὴν καταλύσαντος, εἰς ἐκεῖνον αὐτὸν τελεῖν ποιεῖ τὸν χορόν. τοῦτο καὶ σὺ ποίησον, ἀγαπητέ, καὶ ζώντων καὶ τελευτώντων τῶν ἐχθρῶν τοὺς παῖδας θεραπεύων· ζώντων μέν, ἵνα τῷ τρόπῳ τούτῳ καταλλάξῃς αὐτῷ τοὺς πατέρας· ἀπελθόντων δὲ τοὺς παῖδας θεραπεύων, ἵνα παρὰ τοῦ θεοῦ πολλὴν ἐπισπάσῃ τὴν εὔνοιαν, καὶ μυρίους ἀναδήσῃ στεφάνους, καὶ μυρίας δέξῃ παρὰ πάντας εὐχάς, οὐχὶ τῶν εὖ παθόντων μόνον, ἀλλὰ καὶ τῶν ὁρώντων. τοῦτό σοι κατ᾽ ἐκείνην παραστήσεται τὴν ἡμέραν, καὶ μεγάλοι συνήγοροί σου οἱ εὐεργετηθέντες ἐχθροὶ κατὰ τὸν καιρὸν τῆς κρίσεως ἔσονται, καὶ πολλὰ διαλύσῃ τῶν ἁμαρτημάτων, καὶ ἀπαιτήσεις τὸν μισθόν, κἂν μυρία πεπλημμεληκὼς ᾖς, τὴν εὐχὴν ἐκείνην προτεινόμενος τὴν λέγουσαν, ἄφετε τοῖς ἐχθροῖς ὑμῶν, καὶ ὁ πατὴρ ὑμῶν ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν. μετὰ πολλῆς τῆς παρρησίας τὴν ἄφεσιν λήψῃ τῶν ἡμαρτημένων ἁπάντων, καὶ ἐνταῦθα δὲ μετὰ χρηστῆς βιώσῃ τῆς ἐλπίδος, καὶ πάντας ἕξεις εὐνοϊκῶς πρὸς σὲ διακειμένους. οἱ γὰρ ὁρῶντες ὅτι τοὺς ἐχθροὺς καὶ τοὺς ἐκείνων παῖδας οὕτω φιλεῖς, πῶς οὐχ αἱρήσονται φίλοι γενέσθαι καὶ ἐπιτήδειοι, καὶ πάνθ᾽ ὑπὲρ σοῦ καὶ ποιῆσαι καὶ παθεῖν; ὅταν οὖν τοσαύτης μὲν παρὰ τοῦ θεοῦ τῆς εὐνοίας ἀπολαύῃς,

etiamſi feris omnibus fuiſſent immitiores, pudore tamen ac rubore cum omnibus inimicis redibant in gratiam. Quanquam ſi etiam ipſe aliunde illi cibum dari iuſſiſſet, certúmq; victus modum ordinaſſet, valde magnum erat: ſed illum ad ſuam ipſius menſam recipere, eximię cuiuſdam eſt philoſophię. Scitis profectò, non eſſe facile, hoſtium filios diligere. Quid dixi diligere? non odiſſe, non perſequi, magnum eſt. Itaque multi defunctis inimicis, in illorum liberos iram, quam in eos habebant, effuderunt. At non ita generoſus ac magnanimus iſte, ſed & viuentem inimicum obſeruauit, & illo defuncto, beneuolentiam quam erga illum geſſerat, filiis exhibuit. Quid illius menſa ſanctius, quam cingebant filij hoſtis inquam, occidere conati? Quid illo conuiuio ſpiritualius, in quo tam multæ abudabãt benedictiones? Angelo potius quam homini erat plauſibile. Siquidem inimici filios amplecti & amare, & illius filium, qui toties ipſum tentaſſet è medio tollere, atque id moliens execeſſerat è vita, facit vt in illũ chorũ referatur. Hoc tu quoque facito chariſſime, & viuentium & mortuorum filios fouens: viuentium quidem, vt hoc modo parentes illorum tibi concilies: defunctorum verò filios curans, vt vt à Deo multum tibi pares fauorem, plurimíſque coronis decoreris, vtque innumera ab omnibus vota precéſque conſequaris, non ab iis tantùm qui tuis beneficiis adiuti ſunt, verumetiam ab iis qui viderunt. Hoc pro te ſtabit in illo die, magníque tibi futuri ſunt patroni in articulo iudicij, hoſtes tuo beneficio adiuti: magnáque ex parte à peccatis liberaberis, & repoſces mercedem. Etiamſi innumera commiſeris peccata, ſi proferas illam precationem, quæ dicit: Remittite inimicis veſtris, & pater veſter remittet vobis peccata veſtra: multa cum fiducia commiſſorum omnium remiſſionem conſequeris: atq; hîc interim bona cũ ſpe viues, habitutus omnes amanter erga te affectos. Quum enim viderint quòd inimicos & inimicorum filios ſic diligis, quî fieri poterit, vt nõ affectent tibi amici, tuíque ſtudioſi fieri, & omnia tua cauſa tum facere, tum pati? Porrò quum tantum apud Deum tibi pares fauorem,

In filios hoſtis beneuolus Dauid.

Hoſtes noſtri patroni futuri.

Matt. 6. 14.

quum cunctos habeas omnia bona tibi comprecantes, quam ſenſurus es moleſtiam, aut quis te vitam viuat fœliciorem? Hæc in hac vita non tantùm laudemus, verumetiam factis exequamur, ac obambulantes inimicos perſcrutandi gratia, ſuos quiſque ſibi recõciliemus, & ex inimicis ſynceros reddamus amicos. Quòd ſi etiam excuſatione fuerit opus, veniáque ab ipſis petenda fuerit, ne recuſemus, etiamſi ipſi fuerimus iniuria affecti. Hoc pacto copioſior nobis erit merces, hoc pacto maior fiducia, hoc pacto cœlorum regnum haud dubiè conſequemur, munificentia & bonitate domini noſtri Ieſu Chriſti, cum quo Patri ſimul & ſancto Spiritui, gloria, imperium, honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

A οὕτω δὲ πάντας ἔχῃς τἀγαθά σοι συνευχομένους ἅπαντα, τίνος αἰσθήσῃ λυπηροῦ, τίνων δὲ οὐ βιώσῃς μακαριώτερον βίον; ταῦτα μὴ ἐνταῦθα θαυμάζωμεν μόνον, ἀλλὰ καὶ ἐξελθόντες φυλάττωμεν, καὶ περιελθόντες, καὶ διερευνησάμενοι, τοὺς ἐχθροὺς ἕκαστος τοὺς ἑαυτοῦ, καταλλάξωμεν ἡμῖν ἑαυτοῖς, καὶ φίλους ποιήσωμεν γνησίους. κἂν ἀπολογήσασθαι δέῃ, καὶ συγγνώμην αἰτῆσαι παρ' ἐκείνων, μὴ παραιτώμεθα, κἂν αὐτοὶ ὦμεν ἠδικημένοι. οὕτω μείζων ἡμῖν ὁ μισθὸς, οὕτω πλείων ἡ παῤῥησία, οὕτω τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτευξόμεθα πάν- B τως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Omnia vitia originem ab ignauia ducere: Virtutem ſtudio & labore comparari. Item, neque improbos homines, nec ipſum Diabolum homini vigilanti nocere poſſe: cum ex alijs permultis ſacrarum literarum locis, tum ex hiſtoria Adamj & Iobi, petita demonſtratio. C

Ὅτι ἐκ ῥᾳθυμίας ἡ κακία καὶ ἀπὸ σπουδῆς ἡ ἀρετὴ, καὶ οὐδὲν οὔτε οἱ ἄνθρωποι πονηροὶ, οὔτε αὐτὸς ὁ διάβολος τὸν νήφοντα παραβλάψαι δύναται, καὶ ἡ ἀπόδειξις ἄλλοθέν τε πολλαχόθεν, καὶ ἐκ τῶν κατὰ τὸν Ἀδάμ, καὶ τὸν Ἰώβ.

Io. Iacobo Bevrero interprete.

Ante heſternum quidem diem omnis de Diabolo nobis, apud veſtram charitatẽ, fuit inſtituta & acriter perorata oratio: alij vero, cùm nos hæc hoc ex loco diſſereremus, in theatris otioſè Diaboli pompam ſpectarunt: & quidem meretricias cantilenas illi tùm audiuerunt: vos verò iucundiſſimæ doctrinæ ſpirituali vacaſtis. Et illi quidẽ impuriſſimis diaboli eſcis veſcebantur: vos verò vnguento ſpirituali delibuti eſtis. Quis ergo illos tandem aberrare fecit? Quis illos à ſancto ouili auocauit? An vero illos quoque Diabolus decepit? quomodo igitur vos non decepit? Et tamen homines vtrique eſtis, & quidem eadem natura. Vtrique, inquam, eodem animo præditi eſtis, & vos & illi eaſdem cupiditates à natura obtinetis. Quî fit ergo,

Ἡμεῖς μὲν περὶ τῆς χθὲς ἡμέρας τοὺς περὶ τοῦ διαβόλου λόγους πρὸς τὴν ἀγάπην ἐκινοῦμεν τὴν ὑμετέραν· ἕτεροι δὲ περὶ τῆς χθὲς ἡμέρας, λόγων κινουμένων ἐνταῦθα τοιούτων, ἐν τοῖς θεάτροις καθήμενοι, τοῦ διαβόλου τὴν πομπὴν ἐθεώρουν. ᾀσμάτων με- D τεῖχον ἐκεῖνοι πορνικῶν, ὑμεῖς ἀκροαμάτων ἐκοινωνεῖτε πνευματικῶν. ἤσθιον ἐκεῖνοι τὴν ἀκαθαρσίαν τὴν διαβολικὴν, ἑστιᾶσθε ὑμεῖς τὸ μύρον τὸ πνευματικόν. τίς ἄρα αὐτοὺς ἀπεβουκόλησε; τίς ἄρα αὐτοὺς ἀπέσχισε τῆς ποίμνης τῆς ἱερᾶς; ἄρα κἀκείνους ὁ διάβολος ἠπάτησε; πῶς οὖν ὑμᾶς οὐκ ἠπάτησεν; οἱ αὐτοὶ ἄνθρωποι ἡμεῖς κἀκεῖνοι, κατὰ τὴν φύσιν λέγω. τὴν αὐτὴν ἔχετε ψυχὴν ὑμεῖς κἀκεῖνοι, τὰς αὐτὰς ἔχετε ἐπιθυμίας παρὰ τῆς φύσεως. πῶς οὖν οὐκ ἐν τοῖς αὐτοῖς

ὑμεῖς κἀκεῖνοι; ἐπειδὴ αἱ προαιρέσεις οὐχ αἱ αὐταὶ ὑμῖν κἀκείνοις. διὰ τοῦτο ἐκεῖνοι μὲν ἐν ἀπάτῃ, ὑμεῖς δὲ ἐκτὸς τῆς ἀπάτης. οὐ πάλιν τὸν διάβολον ἀπαλλάττων ἐγκλημάτων ταῦτα λέγω, ἀλλ' ὑμᾶς ἁμαρτημάτων ἐλευθερῶσαι σπουδάζων. πονηρὸς ὁ διάβολος, ὁμολογῶ κἀγώ, ἀλλ' ἑαυτῷ πονηρός, οὐχ ἡμῖν, ἂν νήφωμεν. τοιαύτη γὰρ τῆς κακίας ἡ φύσις· τοῖς κεκτημένοις ἐστὶν ὀλεθρία μόνοις, ἡ δὲ ἀρετὴ τοὐναντίον· οὐχὶ τοὺς κεκτημένους μόνον, ἀλλὰ καὶ τοὺς πλησίον ὠφελεῖν δύναται. καὶ ἵνα μάθῃς, ὅτι ὁ μὲν κακός, ἑαυτῷ κακός, ὁ δὲ ἀγαθός, καὶ ἑτέροις ἀγαθός, μαρτυρίαν σοι παρέχω παροιμιώδη. τέκνον, φησίν, ἐὰν κακὸς γένῃ, μόνος ἀντλήσεις τὰ κακά· ἐὰν δὲ σοφός, ἑαυτῷ καὶ τῷ πλησίον. ἠπατήθησαν ἐν τοῖς θεάτροις, ἀλλ' ὑμεῖς οὐκ ἠπατήθητε. μεγίστη αὕτη πραγμάτων ἀπόδειξις, ἔλεγχος σαφής, καὶ λογισμὸς ἀναμφισβήτητος τοῦ πανταχοῦ τὴν προαίρεσιν εἶναι κυρίαν. τούτῳ δὴ καὶ αὐτὸς κέχρησο τῷ τρόπῳ τῆς ἀποδείξεως. κἂν ἴδῃς ἄνθρωπον ἐν πονηρίᾳ ζῶντα, καὶ πᾶσαν κακίαν ἐπιδεικνύμενον, εἶτα αἰτιώμενον τοῦ θεοῦ τὴν πρόνοιαν καὶ λέγοντα, ὅτι τύχης καὶ εἱμαρμένης ἀνάγκῃ, καὶ δαιμόνων τυραννίδι τὴν ἡμετέραν ἐξέδωκε φύσιν, καὶ πάντοθεν τὴν αἰτίαν ἀφ' ἑαυτοῦ μὲν ἀπάγοντα, ἐπὶ δὲ τὸν δημιουργὸν καὶ τοῦδε τοῦ παντὸς προνοοῦντα μεταφέροντα, ἀπόφραξον αὐτοῦ τὸ στόμα, μὴ λόγῳ, ἀλλ' ἔργῳ, ἐπιδείξας σύνδουλον ἕτερον ἐν ἀρετῇ καὶ ἐπιεικείᾳ ζῶντα. οὐ χρεία λόγων μακρῶν, οὐ χρεία κατασκευῆς συμπεπλεγμένης, οὐδὲ συλλογισμῶν· διὰ τῶν ἔργων ἡ ἀπόδειξις γίνεται. εἰπὲ πρὸς αὐτόν· καὶ σὺ δοῦλος, κἀκεῖνος δοῦλος· καὶ σὺ ἄνθρωπος, κἀκεῖνος ἄνθρωπος· τὸν αὐτὸν κόσμον οἰκεῖς, ὑπὸ τὸν αὐτὸν οὐρανόν· τὰς αὐτὰς τρέφῃ τροφάς. πῶς σὺ μὲν ἐν πονηρίᾳ, ἐκεῖνος δὲ ἐν ἀρετῇ; διὰ τοῦτο καὶ ὁ θεὸς ἀφῆκε τοὺς πονηροὺς τοῖς ἀγαθοῖς ἀναμεμίχθαι, καὶ οὐκ ἄλλην μὲν τοῖς πονηροῖς ἔδωκε γῆν, εἰς ἑτέραν δὲ τοὺς ἀγαθοὺς οἰκουμένην ἀπῴκισεν, ἀλλὰ ἀνέμιξε τούτους ἐκείνοις, πολὺ τὸ χρήσιμον ἐργαζόμενος. οἱ γὰρ ἀγαθοὶ δοκιμώτε-

A cùm iiſdẽ prædíti facultatibus ſitis vtrique, quòd illi quidem decepti ſunt, vos non item. Quia aliud atque aliud vitæ inſtitutum vtrique & diuerſa ſtudia amplectimini. Quo fit, vt illi quidem falſi ſint & decepti: vos ab omni errore liberi. Neque hæc à me eò dicuntur denuò, vt diabolum quaſi defendere & criminibus liberare velim: ſed vos à peccatis & ſceleribus immunes præſtare ſtudeo. Equidẽ malus eſt Diabolus & nequã: quod quidẽ libẽter fateor: ſed ſibi ipſi malus, neq; nobis, ſi attentè vigilemus, nocet. Etenim ea eſt natura vitiorũ: vt ſoleant iis, qui talibus B ſunt inquinati, eſſe pernicioſa. Virtus contrà nõ ſolùm ſuis poſſeſſoribus, ſed & proximis prodeſt. Atq; vt hoc exactè perſpicias: malũ aliquẽ ſibi ipſi perniciẽ afferre: bonũ verò etiã aliis vtilitatem cõparare: quod dico, prouerbio confirmabo: Fili, inquit, ſi malus ſis, ſolus mala exhauries: ſin ſapiens, & tibi ipſi, & proximo ſapies. Atq; illi quidem in theatris decepti ſunt: vos non item. quod quidem maximo argumento eſſe debet, & documentũ ex rebus ipſis illuſtre, animi noſtri inſtitutũ, & electionẽ, vbique principatum obtinere. C Quo quidem argumenti & probationis genere tu quoq; vtere: & ſi videas hominẽ turpiter viuere, & in omni vitiorum cœno volutari: idẽ, ſi diuinę prouidentię culpã tribuat, dicátq;, Deũ noſtram naturã fortunę & fati neceſſitati, dæmonúmq; tyrannidi ſubieciſſe: idem ſi vndiq; culpam à ſeſe amoliatur, & in opificẽ, qui vniuerſum hoc ſumma prudentia adminiſtrat, reiiciat: huic tu homini os obtura non verbis, ſed facto: & allato in mediũ exẽplo eius, qui honeſtè & æquabiliter viuat. Neq; hîc opus D prolixa quadam doctrina, & apparatu quodã orationis ſtudioſè cõtextę & cõcinnatę: nõ ſyllogiſmis, reipſa, vita & factis, eiuſmodi demõſtrãtur. Dic ipſi: & tu ſeru⁹, & ille: & tu homo es, & ille: eundẽ mũdũ incolis: ſub eodẽ cœlo agis: iiſdẽ alimentis ſuſtẽtaris: quomodo igitur tu quidẽ turpiter & prauè, ille verò honeſtè & laudabiliter viuit? Hanc ob cauſã De⁹ bonos & malos inter ſe promiſcuè habitare permiſit: neq; verò prauis aliã quandã terrã, quã incolerent, attribuit, in aliũ verò locũ bonos, tãquã coloniã, deduxit: ſed illos cũ his promiſcuè verſari magna illorũ vtilitate voluit. Nam

2.Cor.12 Marci vlt.

Prou. 9. 12.

Prætext⁹ impiorum & excuſationes in peccatis.

boni quidem & probi homines, dum in medio eorum, qui ipſos à recta viuendi ratione auocare nituntur, quique ipſos ad improbitatem & ſcelera pertrahũt, verſantur, & virtutem ſtudio tenentur, probatiores, & conſtantiores euadunt. Oportet enim inquit Apoſtolus, hære-
1. Cor. 11 19. ſes in vobis eſſe, vt qui probati ſunt manifeſti fiant in vobis. Itaque etiam improbos & malos in medio reliquit: vt boni eò illuſtriùs inter eos eluceát. Vidéſne quantus hic ſit quæſtus? atqui eũ non improbi, ſed fortitudo atque conſtátia bonorum nobis comparat. Hinc etiam Noë admiramur, non quia iuſtus
Gen. 6.9 erat, neque etiam quia officio perfecto fungeretur ſolùm: ſed quia in illa generatione peruerſa & praua virtutem cõſeruauit. Quo tempore ne exemplum quidem virtutis, quod imitaretur, extabat: quum ipſum omnes ad improbitatem exhortarentur, quibus tamen omnibus reſtitit, velut viator aliquis, magna quadam multitudine eodem itinere cum impetu pergente, ipſe cõtraria via profectus eſt. Itaque literæ ſacræ non ſimpliciter de ipſo annunciant: Noë iuſtus & perfectus, ſed addunt: in generatione ſua, peruerſa ſcilicet & deſperata, quum nulla virtutis eſſet negotiatio. Itaque bonis ab improbis hæc vtilitas comparatur. Sic etiam arbores, quæ à ventis in partem contrariam impelluntur, robuſtiores exiſtunt. Sed & improbi ex conuerſatione, & congreſſibus bonorum aliquid vtilitatis adipiſcuntur. Nam & verecundantur & pudore afficiuntur & erubeſcunt, licet ſeſe ab improbitate non abſtineant. Sed licet ſpe quadam latendi audacter in ſceleribus ſuis pergant: tamen hoc non pro nihilo putari debet, improbitatem hoc pacto, ne liberè & impunè graſſetur, coërceri. Siquidem vita aliorum, eos ſuorum criminum accuſat. Itaque quid ipſi dicant de iuſto aduerte: Gra-
Sap. 2.15 uis eſt nobis, vel conſpectus tantũ. Neque verò leue hoc principium ad emẽdationem, eos ad conſpectum boni viri ſenſu quodã acerbitatis affici. quòd ſi nullũ acerbitatis ſenſum aſpectus iuſti commoueret, hæc illi nunquam proloquerentur: morderi verò ſe, & acerbiſſimè conſcientiã affici, præſente viro bono, non mediocre impedimentum eſt, ne licenter & impunè improbitate vtantur. Satis igitur intellexiſti, opinor, quantũ lucri & mali bonis & boni malis cõparent: qua de cauſa Deus ipſos etiam non ſeparauit, ſed

A ροὶ φαίνονται, ἐν μέσῳ τῶν κωλυόντων αὐτοὺς ὀρθῶς ζῆν καὶ πρὸς κακίαν ἑλκόντων ὄντες, καὶ τῆς ἀρετῆς ἀντιλαμβανόμενοι. δεῖ γάρ, φησι, καὶ αἱρέσεις εἶναι ἐν ὑμῖν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν. οὐκοῦν καὶ διὰ τοῦτο τοὺς πονηροὺς ἀφῆκεν εἶναι ἐν τῷ μέσῳ, ἵνα οἱ ἀγαθοὶ διαλάμπωσι μᾶλλον. ὁρᾷς τὸ κέρδος ὅσον; ἀλλ' οὐ παρὰ τῶν πονηρῶν τὸ κέρδος, ἀλλὰ παρὰ τῆς ἀνδρείας τῶν ἀγαθῶν. διὰ τοῦτο καὶ τὸν Νῶε θαυμάζομεν, οὐχ ὅτι δίκαιος ἦν, οὐδὲ ὅτι τέλειος ἦν μόνον, ἀλλ' ὅτι ἐν τῇ γενεᾷ ἐκείνῃ τῇ διεστραμμένῃ καὶ πονηρᾷ διέσωσε τὴν ἀρετήν.
B ὅτε οὐκ εἶχε παράδειγμα ἀρετῆς, ὅτε πάντες πρὸς πονηρίαν αὐτὸν παρεκάλουν, καὶ πᾶσαν ἀπ' ἐναντίας ἦλθεν ἐκείνοις, καθάπερ τις ὁδίτης πολλῷ πλήθει ῥύμῃ φερομένῳ τὴν ἐναντίαν ἰθύνων ὁδόν. διὰ τοῦτο οὐχ ἁπλῶς εἶπε, Νῶε δίκαιος, τέλειος, ἀλλὰ προσέθηκεν, ἐν τῇ γενεᾷ αὐτοῦ, ἐν τῇ διεστραμμένῃ, ἐν τῇ ἀπεγνωσμένῃ, ὅτε οὐδὲν ἐμπόρευμα ἦν ἀρετῆς. τοῖς μὲν οὖν ἀγαθοῖς ἀπὸ τῶν πονηρῶν τοῦτο τὸ κέρδος ἦν. οὕτω γοῦν καὶ δένδρα ὑπὸ ἀνέμων ἐναντίων ῥιπιζόμενα ἰσχυρότερα γίνε-
C ται. ἔστι δὲ καὶ τοῖς πονηροῖς κέρδος ἀπὸ τῆς ἐπιμιξίας τῶν ἀγαθῶν· αἰδοῦνται, αἰσχύνονται, ἐρυθριῶσιν ἐκείνους, κἂν μὴ ἀποστῶσι τῆς κακίας, ἀλλ' ὅμως μετὰ τοῦ λανθάνειν τολμῶσιν, ἅπερ τολμῶσιν. οὐ μικρὸν δὲ τοῦτο, μὴ ἔχειν πεπαρρησιασμένην τὴν παρανομίαν. ὁ γὰρ τῶν ἄλλων βίος κατήγορος τῆς τούτων κακίας γίνεται. ἄκουσον γοῦν τί φασι περὶ τοῦ δικαίου. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος. οὐ μικρὰ δὲ ἀρχὴ διορθώσεως τὸ δάκνεσθαι αὐτοὺς τῇ παρουσίᾳ. καὶ γὰρ εἰ μὴ ἔδακνεν αὐτοὺς ἡ ὄψις
D τοῦ δικαίου, οὐκ ἂν τοῦτο ἐφθέγξαντο τὸ ῥῆμα. τὸ δὲ δάκνεσθαι καὶ στύφεσθαι τὸ σφοδρῶς ἀπὸ τῆς παρουσίας ἐκείνου, οὐ μικρὸν ἂν εἴη κώλυμα τοῦ μὴ μετ' ἀδείας τῇ πονηρίᾳ κεχρῆσθαι. εἶδες πόσον ἐστὶ κέρδος καὶ τοῖς ἀγαθοῖς ἀπὸ τῶν πονηρῶν, καὶ τοῖς πονηροῖς ἀπὸ τῶν ἀγαθῶν. διὰ τοῦτο οὐ διεῖλεν αὐτοὺς ὁ θεός, ἀλλ' ἀφῆκεν ἀναμεμίχθαι. ὁ αὐτὸς τοίνυν

ἡμῖν λόγος καὶ περὶ τοῦ διαβόλου. διὰ γὰρ τοῦτο A καὶ τοῦτον ἀφῆκεν ἐνταῦθα εἶναι, ἵνα σε ἰσχυρότερον ἐργάσηται, ἵνα λαμπρότερον ποιήσῃ τὸν ἀθλητὴν, ἵνα μείζονα ᾖ τὰ ἀγωνίσματα. ὅταν οὖν λέγῃ τις, διὰ τί τὸν διάβολον ἀφῆκεν ὁ θεός; ταῦτα λέγε πρὸς ἐκεῖνον τὰ ῥήματα· ὅτι τοὺς νήφοντας καὶ προσέχοντας οὐ μόνον οὐδὲν παρέβλαψεν, ἀλλὰ καὶ ὠφέλησεν, οὐ παρὰ τὴν ἑαυτοῦ προαίρεσιν (πονηρὰ γάρ ἐστιν) ἀλλὰ παρὰ τὴν ἐκείνων ἀνδρείαν τῶν τῇ πονηρίᾳ εἰς δέον χρησαμένων. ἐπεὶ καὶ τῷ Ἰὼβ προσεπλάκη μὲν, οὐ διὰ τοῦτο δὲ, ἵνα αὐτὸν λαμπρότερον ποιήσῃ, ἀλλ᾽ ἵνα ὑποσκελίσῃ. διὰ B τοῦτο πονηρὸς διὰ τὴν τοιαύτην γνώμην, καὶ τὴν προαίρεσιν· ἀλλ᾽ ὅμως οὐδὲν παρέβλαψε τὸν δίκαιον, ἀλλὰ καὶ ἀπώνατο μᾶλλον ἐκεῖνος ἀπὸ τῆς μάχης. ὥσπερ οὖν καὶ ἀπεδείξαμεν, καὶ ὁ δαίμων τὴν πονηρίαν, καὶ ὁ δίκαιος τὴν ἀνδρείαν ἐπεδείξατο. ἀλλὰ καὶ ὑποσκελίζει πολλοὺς, φησι. παρὰ τὴν αὐτῶν ἀσθένειαν, οὐ παρὰ τὴν οἰκείαν ἰσχύν. καὶ γὰρ τοῦτο ἀπεδείχθη διὰ πολλῶν ἤδη. τὴν σαυτοῦ τοίνυν κατόρθωσον γνώμην, καὶ παρ᾽ οὐδενὸς οὐδέποτε δέξῃ βλάβος, ἀλλὰ καὶ τὰ μέγιστα κερδανεῖς, οὐχὶ παρὰ τῶν ἀγαθῶν C μόνον, ἀλλὰ καὶ παρὰ τῶν πονηρῶν. διὰ γὰρ τοῦτο, καθάπερ ἔμπροσθεν εἶπον, μετ᾽ ἀλλήλων ἀφῆκεν εἶναι τοὺς ἀνθρώπους ὁ θεός, καὶ μάλιστα τοὺς ἀγαθοὺς μετὰ τῶν πονηρῶν, ἵνα κἀκείνους πρὸς τὴν οἰκείαν μεταγάγωσιν ἀρετήν. ἄκουσον γοῦν τί φησι τοῖς μαθηταῖς ὁ Χριστός. ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν γυναικὶ, ἥτις λαβοῦσα ζύμην ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία. ὥστε ζύμης δύναμιν ἔχουσιν οἱ δίκαιοι, ἵνα πρὸς τὴν ἑαυτῶν ποιότητα τοὺς πονηροὺς μεταστήσωσιν. ἀλλ᾽ ὀλίγοι οἱ δίκαιοι, D καὶ γὰρ καὶ ἡ ζύμη μικρά· ἀλλ᾽ οὐδὲν ἡ μικρότης παραβλάπτει τὸ φύραμα, ἀλλ᾽ ἡ σμικρότης ἐκείνη ἅπαν τὸ ἄλευρον πρὸς ἑαυτὴν μεθίστησι διὰ τῆς ἐνούσης αὐτῇ δυνάμεως. οὕτω δὴ καὶ ἡ δύναμις τῶν δικαίων οὐκ ἐν τῇ ποσότητι τοῦ ἀριθμοῦ, ἀλλ᾽ ἐν τῇ τοῦ πνεύματος χάριτι τὴν ἰσχὺν ἔχει. δώδεκα ἦσαν οἱ ἀπόστολοι. εἶδες πῶς μικρὰ ἡ ζύμη; ὅλη ἡ οἰκουμένη ἐν ἀπιστίᾳ ἦν. εἶδες πόσον τὸ φύραμα; ἀλλ᾽ ἐκεῖνοι οἱ δώδεκα πᾶσαν τὴν οἰκουμένην πρὸς ἑαυτοὺς ἐπέστρεψαν.

A promiſcuè inter ſe agere permiſit. Idem ergo etiam de diabolo dicere licet: quem quidem Deus ideò hîc reliquit, vt te fortiorem & clariorem athletam efficeret, & complura etiam certamina nobis eſſent. Si quis igitur obiiciat: Quamobrem Deus diabolū hîc reliquit? hoc pacto ipſi reſponde: Quia vigilantibus ille, & circunſpectis non ſolùm non obeſt, ſed etiam prodeſt: non certè propter animi illius inſtitutum, & ſententiam, quæ omnino praua & peruerſa eſt: ſed ob bonorum fortitudinem, qui aliorum improbitatem etiam, ita vti decet, ad ſuam vtilitatem conferant: ſiquidem & cum Iobo conflixit, non ideò quidem vt ipſum clariorem & illuſtriorem redderet: ſed vt ipſum ſupplantaret. Quare prauus ille eſt, ex eiuſmodi ſententia & inſtituto animi: neque tamen iuſto illi viro obfuit: ſed potius ille multum boni & vtilitatis ex hoc conflictu retulit. Ergo vt demonſtratum eſt, & dæmon malitiam, & iuſtus ille fortitudinem declarauit. Verùm multos ille ſupplantat, dicat aliquis: ob ipſorum imbecillitatē, non autem quia tāto ille C robore prēditus ſit, hoc fieri ſolet. Nam hoc quoq; in multis eſt demonſtratū. Itaq. animū omnibus perfectis officiis obfirma & erige, & à nemine aliquid detrimenti accipies: ſed maximas vtilitates inde conſequeris, non ſolū à bonis, ſed à malis. Propterea enim, vt antea dixi, Deus ipſos inter ſe reliquit, & in primis bonos cum malis, vt boni etiā malos ad ſtudiū virtutis deducant. Audi quid Chriſtus diſcipulis dicat: Simile factum eſt regnū cœlorum mulieri, quæ acceptū fermentū occultauit in farinæ ſatis tribus. Itaq. iuſti, & probi D viri inſtar fermenti ſeſe habēt, vt ſui ſimiles improbos efficiant. Veruntamen perpauci ſunt probi, & iuſti. Nā & fermentum paucum, cuius tamē paucitas maſſam illā nō deprauat, aut vitiat: ſed quātulacunq; ſua vi & facultate totam illā farinam ſibi ſimilē reddit. Ita quoq; vis illa bonorū & proborū nō in numero ſita eſt: ſed gratia ſpiritus valet. Equidē omnino erāt duodecim Apoſtoli: fermentū certè exiguū, & totius orbis nulla prorſus in Deum vera fide imbutus erat. Vidéſne quanta hæc maſſa fuerit: atqui duodecim illi orbem vniuerſum ad ſeſe conuerterunt.

Cur diabolum Deus reliquerit in mundo.

Matt. 13. 33.

Fermentum quidẽ & maſſa illa farinacea eiuſdem naturæ ſunt, ſed nõ eiuſdẽ qualitatis: ideóq; Deus reliquit malos inter bonos, vt quemadmodũ eiuſdem naturę ſunt participes: ſic eandem mẽtem ac ſententiã induãt. Hęc memoria teneatis, his os obturetis ignauis illis, diſſolutis, inertibus, pigris, qui in virtutũ ſtudio frãguntur, & lãguent, qui cõmunem omnium dominum accuſant: Peccaſti, ait, iã ceſſa: nec peccatũ pec-

Gen. 4. 7

cato deteriori cumulaueris. Neq; enim peccare adeo graue eſt, vt eo perpetrato Dominũ accuſare. Conſidera quis peccati illius ſit autor, nec quẽquã reperies, quã teipſum qui illud admiſiſti. Vbiq; bona mente & electione opus eſt. Hęc quidem ita vobis cõmonſtraui, nõ nudis quibuſdã rationib. in medium allatis, ſed eorũ exemplis propoſitis, qui in hoc mundo viuebant. Hoc igitur argumenti genere, & tu ipſe vtere: ſic etiã communis dominus noſter iudicat, hũc demonſtrandi modum perdiſcite, neq. quiſquam captioſis concluſiunculis tibi imponere poterit. Scortatur quiſpiã:

Non rationib⁹ ſed exẽplis agẽdũ eſt.

demonſtra ipſi aliquem, qui continenter & caſtè viuat. Auarè aliquis & cupidè quærit, rapit: demonſtra aliquẽ qui eleemoſynã largiatur. Inuidus alius eſt: oſtende ipſi, qui hac affectione liber eſt & vacuus: iracundia laborat quiſpiam, aliquem, qui ſapiẽtię ſtudio deditus ſit, ipſi propone. Neque enim ex antiquis tantùm hiſtoriis exempla petẽda ſunt, ſed & præſentibus vti licet. Etenim ex Dei gratia, etiam huic noſtræ ætati ſua non deſunt officia perfecta, non minus illuſtria illis antiquis. Alius iterum incredulus eſt, & litteras ſacras arbitratur eſſe vanas, neque perſuaſum habet Iobum talem fuiſſe: oſtende ipſi alium quempiam hominem, qui iuſti illius, & boni viri vitam æmuletur. Sic etiã Dominus nos iudicat: Conſeruos cũ conſeruis ſiſtit, neque ſuo iudicio fert ſententiã, ne quis rurſum ſic inciperet dicere, quemadmodũ ſeruus ille, cui talentũ fuit creditũ, qui pro talẽto, quod reſtituere debuit; recriminatus eſt do-

Matt. 25. 24.

minũ, quod durus eſſet. Cùm enim ingemiſcere debuiſſet, quòd talentum altero tanto non auxiſſet, grauius peccatũ perpetrauit, recriminatione in dominum ſuæ ignauiæ addita, quid enim ait? Nouerã te, quod durus es: ô miſerũ, ærumnoſum, & ſtolidum, ingratum,

A ἡ ζύμη, καὶ τὸ φύραμα τῆς αὐτῆς φύσεως, ἀλλ' οὐ τῆς αὐτῆς ποιότητος. διὰ τοῦτο ἀφῆκε μεταξὺ τῶν δικαίων τοὺς πονηρούς, ἵν', ὥσπερ τῆς αὐτῆς φύσεώς εἰσι τοῖς δικαίοις, οὕτω καὶ τῆς αὐτῆς προαιρέσεως γένωνται. τούτων μέμνησθε, τούτοις ἐπιστομίζετε τοὺς ῥαθύμους, τοὺς διακεχυμένους, τοὺς ὀκνηροτέρους, τοὺς ἀναδυομένους πρὸς τοὺς τῆς ἀρετῆς πόνους, τοὺς τοῦ κοινοῦ δεσπότου κατηγοροῦντας. ἥμαρτες, φησίν· ἡσύχασον, μὴ προσθῇς δευτέραν ἁμαρτίαν χαλεπωτέραν. οὐχ οὕτω χαλεπὸν τὸ ἁμαρτεῖν, ὡς μετὰ τὴν ἁμαρτίαν τοῦ δεσπό-

B του κατηγορεῖν. ἐπίγνωθι τὸν αἴτιον τῆς ἁμαρτίας, καὶ οὐδένα ἄλλον εὑρήσεις, ἢ τὸν ἡμαρτηκότα σε. πανταχοῦ προαιρέσεως χρεία ἀγαθῆς. ἔδειξα ὑμῖν τοῦτο οὐκ ἀπὸ λογισμῶν ψιλῶν, ἀλλ' ἀπὸ συνδούλων τῶν ἐν αὐτῷ τῷ κόσμῳ ζώντων. ταύτῃ καὶ αὐτὸς κέχρησο τῇ ἀποδείξει. οὕτω καὶ ὁ κοινὸς ἡμᾶς κρινεῖ δεσπότης. μάθετε τύπον τῆς ἀποδείξεως τοῦτον, καὶ οὐδεὶς ὑμᾶς δυνήσεται συλλογίσασθαι. πορνεύει τις; δεῖξον αὐτῷ σωφρονοῦντα ἕτερον. πλεονεκτεῖ τις, καὶ ἁρπάζει; δεῖξον αὐτῷ

C τὸν ἐλεημοσύνην διδόντα. ἐν βασκανίᾳ ζῇ καὶ φθόνῳ; δεῖξον αὐτῷ τὸν καθαρὸν τοῦ πάθους. ὑπὸ ὀργῆς κρατεῖται; τὸν ἐν φιλοσοφίᾳ ζῶντα εἰς μέσον ἄγαγε. οὐ γὰρ δεῖ μόνον εἰς τὰ παλαιὰ ἀνατρέχειν διηγήματα, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων λαμβάνειν τὰ παραδείγματα. καὶ γὰρ καὶ τήμερον διὰ τὴν τοῦ θεοῦ χάριν οὐκ ἐλάττονα τῶν προτέρων ἐστὶ τὰ κατορθώματα. ἄπιστός ἐστι, καὶ ψευδεῖς ἡγεῖται τὰς γραφὰς εἶναι; οὐ πιστεύει, ὅτι ὁ Ἰὼβ τοιοῦτος ἦν; δεῖξον αὐτῷ ἕτερον ἄνθρωπον τὸν ἐκεί-

D νου τοῦ δικαίου ζηλοῦντα τὸν βίον. οὕτω καὶ ὁ δεσπότης ἡμᾶς κρινεῖ. συνδούλους ἵστησι μετὰ συνδούλων, καὶ οὐκ ἀπὸ τῆς αὐτοῦ κρίσεως φέρει τὴν ψῆφον, ἵνα μὴ ἄρξηται λέγειν τις πάλιν, καθάπερ ἐκεῖνος ὁ οἰκέτης ὁ τὸ τάλαντον πιστευθεὶς, καὶ ἀντὶ ταλάντου κατηγορίαν προσενεγκὼν, ὅτι σκληρὸς εἶ. δέον γὰρ στένειν, ὅτι οὐκ ἐδιπλασίασε τὸ τάλαντον, ἀλλὰ καὶ χαλεπωτέραν τὴν ἁμαρτίαν εἰργάσατο, τὴν κατηγορίαν τὴν κατὰ τοῦ δεσπότου προσθεὶς τῇ οἰκείᾳ ἀργίᾳ. τί γὰρ φησιν; εἶδόν σε ὅτι σκληρὸς εἶ. ὦ ἄθλιε, καὶ ταλαίπωρε, καὶ ἀγνώμον, καὶ ὀκνηρὲ

ὀφείλων τῆς σαυτοῦ κατηγορεῖν ἀργίας καὶ ὑφελέσθαι τι τῆς προτέρας ἁμαρτίας, σὺ δὲ ἐπὶ τὸν δεσπότην τὴν κατηγορίαν μετενεγκὼν, ἀντὶ τοῦ ταλάντου τὴν ἁμαρτίαν ἐδιπλασίασας. διὰ τοῦτο ὁ θεὸς δούλους καὶ δούλους ἵστησιν, ἵνα οὗτοι ἐκείνους κρίνωσι, κἀκεῖνοι διὰ τούτων κρινόμενοι μὴ ἔχωσι λοιπὸν κατηγορεῖν τοῦ δεσπότου. διὰ τοῦτό φησιν, ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς δόξης τοῦ πατρὸς αὐτοῦ (ὅρα τῆς δόξης τὸ ἀπαράλλακτον. οὐκ εἶπεν, ἐπὶ δόξης ὁμοίας τῇ δόξῃ τοῦ πατρὸς, ἀλλ', ἐπὶ τῆς δόξης τοῦ πατρὸς) καὶ συνάξει τὰ ἔθνη πάντα (φοβερὸν τὸ κριτήριον· φοβερὸν τοῖς ἁμαρτάνουσι καὶ ὑπευθύνοις. ἐπεὶ τοῖς συνειδόσιν ἑαυτοῖς κατορθώματα ποθεινὸν καὶ προσηνές) καὶ στήσει τὰ πρόβατα ἐκ δεξιῶν, καὶ τὰ ἐρίφια ἐξ εὐωνύμων. καὶ οὗτοι, κἀκεῖνοι ἄνθρωποι. διὰ τί οὖν ἐκεῖνοι μὲν πρόβατα, οὗτοι δὲ ἐρίφια; οὐχ ἵνα τὴν ἐναλλαγὴν τῆς φύσεως, ἀλλ' ἵνα τὴν ἐναλλαγὴν τῆς προαιρέσεως μάθῃς. διὰ τί δὲ οἱ μὴ διδόντες ἐλεημοσύνην, ἐρίφια, ὅτι ἄκαρπόν ἐστι τὸ ζῶον, καὶ οὔτε τὴν ἀπὸ τοῦ γάλακτος λειτουργίαν, οὔτε τὴν ἀπὸ τῶν γεννημάτων, οὔτε τὴν ἀπὸ τῶν τριχῶν εἰσφέρειν δύναται τοῖς κεκτημένοις, πανταχόθεν ἔρημον ὂν τῆς τοιαύτης εἰσφορᾶς διὰ τὸ τῆς ἡλικίας ἄωρον. διὰ τοῦτο τοὺς οὐδένα καρπὸν ἐλεημοσύνης φέροντας ἐκάλεσεν ἐρίφια, τοὺς ἐκ δεξιῶν πρόβατα. ἀπὸ γὰρ τούτων πολλὴ ἡ φορὰ, καὶ τῆς τοῦ ἐρίου φύσεως, ἐκ τῶν γεννημάτων, ἐκ τοῦ γάλακτος. τί οὖν φησι πρὸς αὐτούς; πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε· γυμνὸν, καὶ περιεβάλετε· ξένον, καὶ συνηγάγετε. πάλιν πρὸς ἐκείνους τὰ ἐναντία. καίτοιγε οἱ αὐτοὶ ἄνθρωποι καὶ οὗτοι κἀκεῖνοι, τὰς αὐτὰς ἔλαβον ἐπαγγελίας καὶ οὗτοι κἀκεῖνοι, τὰ αὐτὰ ἔπαθλα ἀμφοτέροις προέκειτο κατορθώσασιν· ὁ αὐτὸς καὶ πρὸς τούτους καὶ πρὸς ἐκείνους ἦλθε, μετὰ τῆς αὐτῆς γυμνότητος καὶ πρὸς τούτους καὶ πρὸς ἐκείνους, μετὰ τῆς αὐτῆς πείνης, καὶ ξένος ὁμοίως. πάντα ἴσα κἀκείνοις καὶ τούτοις. πῶς οὖν τὸ τέλος οὐκ ἴσον; ὅτι ἡ προαίρεσις οὐκ ἀφῆκεν. αὕτη γὰρ μόνη τὴν διαίρεσιν ἐποιήσατο. διὰ τοῦτο ἐκεῖνοι μὲν εἰς γέενναν, οὗτοι δὲ εἰς βασιλείαν.

A & ignauum hominem! qui, cùm tuã ipſius ignauiam accuſare deberes, & de priſtinis ſceleribus aliquid demere, ipſe omni accuſatione in dominum tranſlata, pro talento peccatũ duplicaſti! Hac de cauſa Deus ſeruos, & ſeruos hinc inde ſtatuit, vt iſti de illis iudicium faciant, & ſententiam dicant, & illi quidem ab iſtis iudicati, non poſſint deinceps dominum accuſare. Propterea, inquit, venit filiꝰ hominis in gloria Patris ſui: obſerua integrã gloriæ æqualitatẽ, non enim ait, in gloria, quæ ſimilis ſit gloriæ paternæ, ſed in gloria Patris. Et congregabit omnes gentes. Terribile B verò iudiciũ, ſed peccatoribus & obnoxiis ſceleribus: ſiquidẽ iis, qui virtutũ & rectè factorum ſibi ſunt conſcii, optabile & ſuaue. Statuet autẽ ille oues ad dexterã, hœdos verò ad leuã, cũ tamen, & hi & illi homines fuerint. Cur ergo illi quidem oues, hi verò hœdi? nõ certè ob naturæ aliquam differentiam, ſed vt alio atq; alio animo, & electione eos diſtingui intelligeremus. Quã ob cauſam verò, qui in largiendo nimis reſtricti fuerunt, hœdi appellantur? quia animal illud nihil fructus affert, non illam C lactis gignendi, non fœtuum procreandorum facultatem habet, neque etiam lanæ illam vtilitatem dominis ſuis afferre poteſt, cùm omnis fructus ob defectum ætatis ſit expers. Hinc eos, qui nullum eleemoſynę fructũ afferũt, hœdos appellauit: eos vero, qui ad dexteram erant, oues, ab iis enim hominibus plurimæ commoditates vtilitatéſque proficiſcuntur, vt lana, fœtus, lac. Quid ergo ad ipſas Dominus? Eſuriui, & dediſtis mihi manducare: nudus fui, & operuiſtis me: infirmus, & viſitaſtis me: hoſpes & peregrinus, & collegiſtis me: D illis vero contrà ait, & quidem cùm vtrique eſſent homines, & hi & illi, quibúſque adeo eædem promiſſiones eſſent factę, eadémque præmia vtriſq;, ſi rectè laudabiliterque viuerẽt, propoſita. Idem ille Dominus & ad hos & ad illos venit, nudus ad hos & ad illos, famelicus & hoſpes ſimiliter: omnia vtrobique ſimilia, & his & illis. Quomodo ergo finis amborũ diſſimilis fuit? Animus, ipſaq; adeo electio animi nõ permittebat. Hoc ſiquidẽ ſolũ differentiã qnandã cõſtituebat: propterea illi quidem in gehennam, hi vero ad regnum cœlorum ablegantur & dimmittuntur.

Matt. 16
Matt. 25 33.
Matt. 24

Cur hœdi improbos didantur.

Matt. 25 35.

A Quòd ſi Diabolus illis autor peccati extitiſſet, nequaquã illi, alio peccãte, & ipſa impellẽte, punirentur. Equidẽ hoc loci & peccatores, & qui rectè factis gauiſi ſunt, videre potuiſti. Sed & hoc animaduertere, quomodo illi ad cõſpectũ conſeruorũ obmutuerunt. Agè verò, etiã alio quodã exẽplo preſentẽ orationẽ illuſtremus. Virgines, tradunt ſacræ litteræ, erant decẽ. Hîc rurſus animi electionem, quæ rectè factis delectabatur, & cõtrà, quæ ſceleribus, obſeruare licet: ita, vt ex mutua cõtentione & cõparatione, & illorũ peccata & horũ rectè facta perſpicere poſſis. Cõparatio enim hæc omnia clariora & illuſtriora facit. Nam virgines erant & illæ & hæ: quinq; & hæ & illæ: lãmpades tenebant & hæ & illæ: omnes verò ſponſum expectabant. Quomodo ergo hæ quidem intrarunt, illæ verò nõ? quoniã hæ quidẽ tetricæ & feræ erãt, illæ verò mãſuetæ & humanæ. Vidéſne iterũ, certã illam animi electionẽ cauſam illius finis, non autẽ diabolũ extitiſſe? Ex his itaq. exẽplis quomodo iudiciũ ſimiliũ cõparatione quadã fiat, intellexiſti: conſerui enim conſeruos iudicabunt. Vis tibi demonſtrem, etiam ex diſſimilibus iudicium conſtitui? Nam eiuſmodi comparationes facilè reperias: vt condẽnatio eo ſit clarior. Viri Niniuitæ, ait Chriſtus, ſurgent, & hanc generationẽ condẽnabunt. Hîc quidẽ qui iudicium ſubeũt, non ampliùs ſimiles. Illi enim barbari, hi verò Iudæi, & hi quidẽ prophetica doctrina imbuti inſtitutiq; fuerant, illi verò diuina oracula ne quidẽ fando audiuerãt. Neq; hæc ſolũ differẽtia eſt: ſed ad illos quidẽ ſeruus, ad hos verò dominus peruenit: & ille quidem excidiũ vrbis denũciabat: hic verò regnũ cœlorũ euangelizabat. Vtros igitur veriſimile eſt magis credidiſſe, barbaróſne illos, & ſtolidos, quiq; diuinorũ oraculorũ nondum participes fuerãt: an verò illos, qui ſacris illis monumẽtis à pueris innutriti fuere? Nemini non manifeſtũ videtur, Iudæos potius credidiſſe: atqui cõtrà prorſus factum eſt. Nam hi ſoli Domino, qui regnũ cœleſte illis annunciabat, fidẽ nullã habuerunt: illi verò etiã conſeruo excidiũ cõminãti crediderũt: vt clariùs & euidentiùs, & illorũ æquitas animi & horũ ſtultitia innoteſceret. Nũquid hîc dæmõ aliquis? num diabolus? nũ fortuna aliqua vel fatũ in cauſa fuerũt? annõ ſibi quiſq; autor malitiæ & improbitatis & virtutis exiſtebat?

Exẽplo virginũ rem illuſtrat. Matt. 25 1.

Ex diſſimilibus idẽ colligitur. Matt. 12 41.

A εἰ δὲ διάβολος ἦν αὐτοῖς τῶν ἁμαρτημάτων αἴτιος, οὐκ ἂν, ἄλλου ἁμαρτόντος καὶ ὠθήσαντος, οὗτοι ἔμελλον κολάζεσθαι. εἶδες ἐνταῦθα καὶ τοὺς ἁμαρτόντας, καὶ τοὺς κατορθώσαντας; εἶδες πῶς ἰδόντες τοὺς συνδούλους ἐπεστομίσθησαν; φέρε σοι καὶ ἐφ' ἕτερον παράδειγμα τὸν λόγον ἀγάγωμεν. παρθένοι, φησὶν, ἦσαν δέκα. πάλιν ἐνταῦθα αἱ προαιρέσεις αἱ κατορθώσασαι, πάλιν αἱ διαμαρτοῦσαι· ἵνα ἐκ παραλλήλου καὶ τούτων τὰ ἁμαρτήματα εἰδῇς, κἀκείνων τὰ κατορθώματα. ἡ γὰρ σύγκρισις σαφέστερα ταῦτα ποιεῖ. καὶ αὗται παρθένοι κἀκεῖναι, καὶ αὗται πέντε κἀκεῖναι· λαμπάδας B εἶχον καὶ αὗται κἀκεῖναι· τὸν νυμφίον ἀνέμενον πᾶσαι. πῶς οὖν αἱ μὲν εἰσῆλθον, αἱ δὲ οὐκ εἰσῆλθον; ὅτι αἱ μὲν ἀπάνθρωποι ἦσαν, αἱ δὲ ἥμεροι καὶ φιλάνθρωποι. ὁρᾷς πάλιν τὴν προαίρεσιν τοῦ τέλους αἰτίαν γινομένην, οὐχὶ τὸν διάβολον; εἶδες ἐκ παραλλήλων τὰς κρίσεις, καὶ ἐκ τῶν ὁμοίων φερομένην τὴν ψῆφον; σύνδουλοι συνδούλους κρινοῦσι. βούλει σοι δείξω καὶ ἐξ ἀνομοίων γινομένην σύγκρισιν; γίνεται γὰρ καὶ ἐξ ἀνομοίων, ὥστε τὴν κατάκρισιν γενέσθαι σαφεστέραν. ἄνδρες Νινευῖται, φησιν, ἀναστήσονται, καὶ κατακρι- C νοῦσι τὴν γενεὰν ταύτην. οὐκέτι ὅμοιοι οἱ κρινόμενοι. οἱ μὲν γὰρ βάρβαροι, οἱ δὲ Ἰουδαῖοι· οἱ μὲν προφητικῆς ἀπήλαυσαν διδασκαλίας, οἱ δὲ οὐδέποτε μετέσχον θείας ἀκροάσεως. οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ διάφορον, ἀλλ' ὅτι ἐκεῖ μὲν δοῦλος ἀπῆλθεν, ἐνταῦθα δὲ ὁ δεσπότης· κἀκεῖνος μὲν καταστροφὴν ἐκήρυττε παραγινόμενος, οὗτος δὲ βασιλείαν οὐρανῶν εὐηγγελίζετο. τίνας οὖν εἰκὸς ἦν πιστεῦσαι μᾶλλον, τοὺς βαρβάρους, καὶ ἀνοήτους, καὶ μηδέποτε μετασχόντας θείας διδασκαλίας, ἢ τοὺς ἐκ πρώτης ἡλικίας προφητικοῖς D ἐντραφέντας βίβλοις; παντὶ δῆλον, ὅτι τοὺς Ἰουδαίους μᾶλλον. ἀλλὰ γέγονε τοὐναντίον. καὶ οὗτοι μὲν ἠπίστησαν τῷ δεσπότῃ βασιλείαν οὐρανῶν κηρύττοντι, ἐκεῖνοι δὲ ἐπίστευσαν τῷ συνδούλῳ καταστροφὴν ἀπειλοῦντι, ἵνα μειζόνως κἀκείνων ἡ ἐπιείκεια, καὶ τούτων ἡ ἀγνωμοσύνη φανήσεται. μή τι δαίμων; μή τι διάβολος; μή τι τύχη; μή τι εἱμαρμένη; οὐχὶ ἕκαστος ἑαυτῷ αἴτιος καὶ τῆς κακίας, καὶ τῆς ἀρετῆς ἐγίνετο;

A Εἰ γὰρ μὴ αὐτοὶ ἔμελλον ὑπεύθυνοι ἔσεσθαι, οὐκ ἂν εἶπεν, ὅτι κατακρινοῦσι τὴν γενεὰν ταύτην· οὐκ ἂν καὶ τὴν βασίλισσαν τοῦ νότου κατακρίνειν τοὺς Ἰουδαίους ἔφη. οὐ γὰρ δὴ δῆμοι δήμους μόνον κατακρινοῦσι τότε, ἀλλὰ καὶ εἷς ἄνθρωπος δῆμον ὁλόκληρον πολλάκις, ὅταν οὓς μὲν ἐνεδέχετο μᾶλλον ἀπατηθῆναι, φαίνονται μείναντες ἀνεξαπάτητοι· οἱ δὲ ἐκ παντὸς τρόπου περιγενέσθαι ὀφείλοντες, ἡττηθέντες τύχωσι. Διὰ τοῦτο καὶ τοῦ Ἀδὰμ καὶ τοῦ Ἰὼβ ἐμνήσθημεν. ἀνάγκη γὰρ πάλιν ἐπανελθεῖν ἐπὶ τὴν ὑπόθεσιν ἐκείνην, ὥστε τὰ λείψανα ἀποδοῦναι τῷ λόγῳ. B τῷ μὲν οὖν Ἀδὰμ διὰ ῥημάτων προσέβαλε ψιλῶν, τῷ δὲ Ἰὼβ διὰ πραγμάτων. τὸν μὲν γὰρ τοῦ πλούτου παντὸς ἐγύμνωσε, καὶ τῶν παίδων ἀπεστέρησε· τοῦτον δὲ οὐ μικρόν, οὐ μέγα τι τῶν ὄντων ἀφείλατο. μᾶλλον δὲ καὶ αὐτὰ τὰ ῥήματα ἐξετάσωμεν, καὶ τῆς ἐπιβουλῆς τὸν τρόπον. προσῆλθε, φησιν, ὁ ὄφις, καὶ εἶπε τῇ γυναικί· τί ὅτι εἶπεν ὁ θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; ἐνταῦθα ὄφις, ἐκεῖ γυνὴ ἐπὶ τοῦ Ἰώβ. τέως πολὺ τῶν συμβούλων τὸ μέσον. ὁ μὲν γὰρ δοῦλος, C ἡ δὲ κοινωνὸς τοῦ βίου· ἡ μὲν βοηθός, ὁ δὲ ὑποτέτακτο. Εἶδες τὸ ἀσύγγνωστον ὅσον; τὴν μὲν γὰρ ὁ ὑποτεταγμένος καὶ δουλεύων ἠπάτησεν, ἐκεῖνον δὲ οὐδὲ ἡ κοινωνὸς καὶ βοηθὸς ὑποσκελίσαι ἴσχυσεν. ἀλλ' ἴδωμεν καὶ τί φησι. τί ὅτι εἶπεν ὁ θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου; καὶ μὴν οὐκ εἶπεν ὁ θεὸς τοῦτο, ἀλλὰ τὸ ἐναντίον. ὅρα οὖν κακουργίαν τοῦ διαβόλου. εἶπε τὸ μὴ εἰρημένον, ἵνα μάθῃ τὸ εἰρημένον. τί οὖν ἡ γυνή; δέον ἐπιστομίσαι, δέον μὴ μεταδοῦναι λόγου, ὑπὸ ἀνοίας ἐξελάλησε τὴν γνώμην τὴν δεσποτικήν· διὰ τοῦτο παρέσχεν αὐτῷ λαβὴν ἰσχυράν. D ὅρα ὅσον κακόν ἐστι τὸ ἁπλῶς τοῖς ἐχθροῖς καὶ τοῖς ἐπιβούλοις ἑαυτοὺς ἐγχειρίζειν. διὰ τοῦτο ὁ Χριστὸς ἔλεγε· μὴ δότε τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε στραφέντες ῥήξωσιν ὑμᾶς. τοῦτο δὲ ἐγένετο ἐπὶ τῆς Εὔας· ἔδωκε τὰ ἅγια τῷ κυνί, τῷ χοίρῳ· κατεπάτησεν ἐκεῖνος τὰ ῥήματα, στραφεὶς ἔρρηξε τὴν γυναῖκα. καὶ ὅρα πῶς κακουργεῖ· οὐ θανάτῳ ἀποθανεῖσθε, φησιν. ἐνταῦθά μοι προσέχετε,

quòd ſi illi ipſi non obnoxij culpæ fuiſſent nunquam litteræ ſacræ ita loquerentur, vt dicerent: condẽnaturos generationẽ hanc: nunquam etiam reginã Auſtri Iudæos iudicaturam affirmarẽt. Mat.12. Non enim populi populos ſolùm condemnabunt tum, ſed & homo vnus integrum populum ſæpenumerò iudicabit: cùm qui facilè videbantur poſſe decipi, videbuntur ab omni errore fuiſſe alieniſſimi: & qui modis omnibus vincere debuerunt, deuicti videbuntur. Hanc ob rem etiam Adami & Iobi mentionem fecimus. Iam enim ad id genus argumenti redire neceſſe eſt: vt, quod reliquum eſt in hac quęſtione expediamus. Adamum ergo nudis tantum verbis, Iobum verò etiam facto aggreſſus eſt diabolus: & hunc quidem omnibus opibus exuit, ac tandem etiam liberis ſpoliauit: huic verò nec magnum quippiam, nec paruum abſtulit. Quin potius ipſa verba perpẽdamus & ponderemus, ipſumq; modũ inſidiarũ attendamus. Acceſſit, inquit Moſes, ſerpẽs, & dixit mulieri: Cur pręcepit Deus, vt nõ comederetis ex omni ligno, quod eſt in paradiſo? Et hîc quidẽ ſerpens: illic verò vxor Iobo inſidiatur. Et hactenus quidem plurimũ inter hoſce cõſiliarios intereſt. Nã ille quidẽ ſeruus, hæc vitæ ſocia: hęc adiutrix, ille verò ſubiect⁹. Vidéſne, quã ſit omnino nullus locus veniæ? Fœminã quidẽ illã ſubiect⁹ ille ſerpẽs, & inſeruiẽs decepit: illũ non vitæ ſocia & adiutrix ſupplãtare potuit. Sed cõſiderem⁹ etiã quid dicat: cur pręcepit Deus, vt nequaquã comederetis de omni ligno? Atqui Deus hoc nõ dixerat: ſed cõtrà. Cõſidera itaq; malitiã & artificiũ diaboli: indictum quippiã interrogat, vt quod dictũ eſſet, reſciſceret. Quid igitur ad hæc mulier? illa verò, cũ os ei occludendũ fuiſſet, cũ indignũ eũ reſponſo ducere debuiſſet, ſtultè illa ſentẽtiã Domini effutiit: itaq; ſummã illi occaſionẽ inſidiarũ prębuit. Vides ne, quãtũ mali in eo ſit, ſi quis ſeſe adeò ſimpliciter inimicis & inſidiatorib. permittat? Hac de cauſa etiã Chriſt⁹ dixit: Nolite dare ſãctũ canib. neq; mittatis margaritas ante porcos, ne fortè cõculcẽt vos, & canes cõuerſi diſrũpãt vos. Hoc quidẽ Euę euenit: illa enim ſãctũ cani dedit & porco, qui ea ſanctiſſima verba cõculcauit, & cõuerſus fœminam diſcepſit. Aduerte verò, quã ille malitioſè cũ illa agat. Nequaquã morte moriemini, inquit. Hîc verò animũ aduertite.

Gen.3. Iob.1

Cõparatio tẽtationis Adami & Iobi. Gen.3.1.

Iob.2.

Mat.7 6

Eua ſanctũ cani dedit.

A Mulier illa quidẽ fraudẽ intelligere potuit: ſiquidem ille inimicitias & bellũ, aduerſus Deũ priùs denunciabat: eiq; ſtatim contradixit. Eſto antea volenti Dei decretũ intelligere, illud dixeris: at verò, poſteaquam ille contradicẽtia attuliſſet, cur ſequebaris? Dixerat Deus: Morte moriemini. contradixit ille iſtis: Non morte moriemini. Quid igitur hoc bello manifeſtius? Vnde enim hoſtis & inimicus clarius, quàm ex hac cõtradicendi Deo improbitate, cognoſci potuit? Confeſtim erga eſcam hanc fugere, & ab laqueo reſilire oportuit. Nequaquã morte moriemini, inquit: ſcit ſiquidem Deus quòd, quo die comede- B ritis ex eo, oculi veſtri aperientur, & eritis velut Dij. Sic igitur ſpe maiorum promiſſionum ea etiam, quæ in manibus erant, amiſit. Promiſerat, ſeſe Deos effecturũ: & in mortis tyrannidem præcipitauit. Vnde ergo mulier Diabolo fidẽ adhibuiſti? Quidnam boni ea in re perſpiciebas? Annon ſatis tibi erat autoritas, omni exceptione maior, legiſlatoris, qui & Deus, & opifex & conditor eſſet: ille verò Diabolus, & hoſtis? Neq; verò Diabolum adhuc dixerim: ſerpentem enim nudũ eſſe putabas. Serpentẽ C ne tanti facere oportuit, vt ei domini tui decretũ exponeres? Satis, opinor, apparet, licuiſſe illi impoſturã perſpicere, ſed ipſa noluit: licet Deus ſuam beneficentiã ſatis ſupérq; conteſtatã feciſſet: & re ipſa & facto ſuam prouidentiam curámq; demonſtraſſet. Nã & hominẽ, qui antea non erat, creauit, eundémq; ſpiritu animauit: & ad ſuam imaginẽ & exẽplar effinxit: imperiúmq; in omnia, quæ in terris eſſent, tradidit: ſubſidium atq; auxiliũ largitus eſt: paradiſum illũ omnis generis arboribus cõſeuit. Quarũ omniũ vſum cũ illis conceſſiſſet, vni- D cã arborẽ ne attingerent, vetuit: quod interdictũ, ipſis in vtilitatem cedebat. Diabolus verò facto quidẽ & opere nihil prorſus boni, ſiue magnũ, ſiue paruum confecit, ſed nudis verborũ tendiculis mulierculã ſublatam, & vana ſpe turgidã, ſic decepit. Quæ tamen diabolum Deo fide digniorẽ exiſtimauit, licet illis re ipſa & opere ſuam erga ipſos beneuolentiam declaraſſet: at illa ei, qui præter verborum fucum afferret nihil, fidem habuit. Liquet ergo omnẽ illam fraudem ab amentia & ignauia: non autem vi quadam profectam eſſe.

Beneficentia Dei in hominem.

ὅτι δυνατὴ ἦν ἡ γυνὴ συνιδεῖν τὴν ἀπάτην. εὐθέως γὰρ τὴν ἔχθραν καὶ τὸν πόλεμον προεκήρυττε τὸν πρὸς τὸν θεόν, εὐθέως ἀπεναντίας ἐφθέγξατο. ἔστω· πρὸ τούτου βουλομένῳ μαθεῖν τὴν γνώμην ἔλεγες· μετὰ ταῦτα ἐναντία εἰπόντι τί ἠκολούθεις; εἶπεν ὁ θεός, θανάτῳ ἀποθανεῖσθε· ἀντεφθέγξατο τούτοις ἐκεῖνος, καὶ εἶπεν, οὐ θανάτῳ ἀποθανεῖσθε. τί τοῦ πολέμου τούτου σαφέστερον; πόθεν ἄλλοθεν ἔδει μαθεῖν τὸν ἐχθρὸν καὶ πολέμιον, ἀλλ' ἢ ἐντεῦθεν ἐκ τοῦ ἀντιφθέγξασθαι τῷ θεῷ; ἔδει τοίνυν φυγεῖν εὐθέως τὸ δέλεαρ· ἔδει τῆς παγίδος ἀποπηδῆσαι. οὐ θανάτῳ ἀποθανεῖσθε, φησίν. ᾔδει γὰρ ὁ θεός, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί. ἐλπίδι μείζονος ὑποσχέσεως καὶ τὰ ἐν χερσὶν ἐξέβαλεν ἀγαθά· ἐπηγγείλατο ποιήσειν θεούς, καὶ κατέβαλλεν εἰς τὴν τοῦ θανάτου τυραννίδα. πόθεν οὖν ἐπίστευσας, ὦ γύναι, τῷ διαβόλῳ; τί συνεῖδες ἀγαθόν; οὐκ ἤρκει ἡ ἀξιοπιστία τοῦ νομοθέτου, ὅτι ὁ μὲν θεός, καὶ δημιουργὸς καὶ ποιητής· ὁ δὲ διάβολος, καὶ ἐχθρός; καὶ οὔπω λέγω διάβολον. ὄφιν αὐτὸν ἐνόμιζες εἶναι ψιλόν. ὄφιν οὖν, εἰπέ μοι, τοσαύτης ἰσηγορίας ἀξιῶσαι ἐχρῆν, ὡς καὶ δεσποτικὴν γνώμην ἐξαγγεῖλαι αὐτῷ; ὁρᾷς ὅτι δυνατὸν ἦν συνιδεῖν τὴν ἀπάτην, ἀλλ' οὐκ ἠθέλησεν αὐτή. καίτοι ὁ μὲν θεὸς ἱκανὰς ἔδωκε τῆς εὐεργεσίας τῆς ἑαυτοῦ τὰς ἀποδείξεις, καὶ διὰ τῶν ἔργων τὴν κηδεμονίαν ἐπεδείξατο. καὶ γὰρ οὐκ ὄντα τὸν ἄνθρωπον ἔπλασε, καὶ ψυχὴν ἐνέπνευσε, καὶ κατ' εἰκόνα αὐτὸν ἐποίησεν ἄρχοντα τῶν ἐπὶ γῆς ποιήσας ἁπάντων, καὶ βοηθὸν ἐχαρίσατο, καὶ παράδεισον ἐφύτευσε, καὶ τὴν χρῆσιν τῶν λοιπῶν ἐπιτρέψας δένδρων, ἑνὸς ἀπηγόρευσε μὴ ἅψασθαι μόνου· καὶ τοῦτο δὲ αὐτὸ χρησίμως ἐκώλυσεν. ὁ δὲ διάβολος ἔργῳ μὲν οὔτε μικρὸν, οὔτε μέγα ἐπεδείξατο ἀγαθόν· ῥήμασι δὲ ψιλοῖς ἐπάρας τὴν γυναῖκα, καὶ φυσήσας ταῖς ματαίαις ἐλπίσιν, οὕτως ἠπάτησεν. ἀλλ' ὅμως τοῦ θεοῦ τὸν διάβολον ἀξιοπιστότερον εἶναι ἐνόμισε, καίτοι διὰ τῶν ἔργων ἐπιδειξαμένου τὴν εὔνοιαν. τὰ ῥήματα ψιλὰ προσενεγκόντι μόνα, ἄλλο δὲ οὐδέν, ἐπίστευσεν ἡ γυνή. ὁρᾷς ὅπως ἐξ ἀνοίας μόνης καὶ ῥαθυμίας, οὐκ ἀπὸ βίας ἡ ἀπάτη γέγονε;

καὶ ἵνα μάθης αὐτὸ σαφέστερον, ἄκουσον, πῶς καὶ ἡ γραφὴ κατηγορεῖ τῆς γυναικός. οὐ γὰρ εἶπεν, ἀπατηθεῖσα, ἀλλ' ἰδοῦσα τὸ ξύλον, ὅτι ὡραῖόν ἐστιν, ἔφαγεν. ὥστε τῆς ὄψεως τῆς ἀκρατοῦς τὸ ἔγκλημα, οὐ τῆς ἀπάτης τῆς παρὰ τοῦ διαβόλου μόνης. ὑπὸ γὰρ τῆς ἐπιθυμίας ἡττήθη τῆς οἰκείας, οὐχ ὑπὸ τῆς πονηρίας τοῦ δαίμονος. διὰ τοῦτο οὐδὲ συγγνώμης ἀπήλαυσεν, ἀλλ' εἰποῦσα, ὅτι ὁ ὄφις ἠπάτησέ με, καὶ οὕτω δίκην ἔδωκε τὴν ἐσχάτην. ἐν αὐτῇ γὰρ ἦν τὸ μὴ πεσεῖν. καὶ ἵνα μάθῃς τοῦτο σαφέστερον, φέρε ἐπὶ τὸν Ἰὼβ τὸν λόγον ἀγάγωμεν, ἀπὸ τῶν ἡττηθέντων ἐπὶ τὸν κρατήσαντα, ἀπὸ τῶν νενικημένων ἐπὶ τὸν νενικηκότα. καὶ γὰρ πλείονα ἡμῖν τοῦτο δώσει προθυμίαν, ὥστε ἀνταῖραι χεῖρας κατὰ τοῦ διαβόλου. ἐκεῖ ὄφις ἦν ὁ ἀπατῶν, καὶ ἐκράτησεν· ἐνταῦθα γυνή, καὶ οὐκ ἴσχυσε· καίτοιγε αὕτη πολλῷ πιθανωτέρα ἐκείνου. καὶ τῷ μὲν Ἰὼβ μετὰ τὴν ἀπώλειαν τῶν χρημάτων, μετὰ τὴν ἀποβολὴν τῶν παίδων καὶ τὴν γύμνωσιν τῶν ὄντων ἁπάντων ἡ μηχανὴ προσήγετο· ἐκεῖ δὲ οὐδὲν τοιοῦτον ἦν. οὐκ ἀπέβαλε παῖδας, οὐκ ἀπώλεσε χρήματα ὁ Ἀδάμ, οὐκ ἐπὶ κοπρίας ἐκάθητο, ἀλλὰ παράδεισον ᾤκει τρυφῆς, καὶ δένδρων ἀπήλαυε παντοδαπῶν, καὶ πηγῆς, καὶ ποταμῶν, καὶ τῆς ἄλλης ἀδείας ἁπάσης. οὐδαμοῦ πόνος, οὐδὲ ὀδύνη, οὐδὲ ἀθυμία καὶ φροντίδες, οὐδὲ ὀνείδη καὶ λοιδορίαι, οὐδὲ τὰ μυρία κακά, ἅπερ κατέσκηψεν εἰς τὸν Ἰώβ. ἀλλ' ὅμως οὐδενὸς ὄντος τοιούτου κατέπεσε καὶ ὑπεσκελίσθη. οὐκ εὔδηλον, ὅτι διὰ ῥαθυμίαν; ὥσπερ οὖν ἐκεῖνος πάντων τούτων ἐπικειμένων, καὶ βαρούντων ἔστη γενναίως, καὶ οὐ κατέπεσεν. οὐκ εὔδηλον ὅτι καὶ τοῦτο διὰ νῆψιν ψυχῆς; ἑκατέρωθεν οὖν, ἀγαπητέ, κάρπωσαι μέγιστον κέρδος, καὶ φύγε τὸν τοῦ Ἀδὰμ ζῆλον, εἰδὼς ὅσα ἀπὸ τῆς ῥαθυμίας τίκτεται κακά· ζήλωσον δὲ τὴν τοῦ Ἰὼβ εὐλάβειαν, μαθὼν ὅσα ἀπὸ τῆς σπουδῆς βλαστάνει καλά. τοῦτον διαπαντὸς λογίζου τὸν στεφανίτην, καὶ πάσης ὀδύνης καὶ περιστάσεως ἱκανὴν ἕξεις παραμυθίαν. καθάπερ γὰρ ἐν κοινῷ θεάτρῳ τῆς οἰκουμένης ἑστὼς ὁ μακάριος καὶ γενναῖος ἐκεῖνος, ἅπασι διὰ τῶν συμβεβηκότων αὐτῷ παθῶν διαλέγεται πάντα φέρειν τὰ συμπίπτοντα

A Quod ipſum vt clariùs peruideas, attẽde, quomodo literæ ſacrę mulierculam accuſent. Non enim aiunt: fœmina illa decepta: ſed conſpicata lignũ illud pulchrum comedit. Itaq; crimẽ illud oculi incõtinentis eſt, non autẽ imposturę: quæ ſolũ Diabolũ autorẽ haberet. Sua ipſius enim cupiditate illa, nõ dæmonis tantum malitia deuicta eſt. Idcirco neque veniã conſecuta eſt: ſed poſteaquã dixiſſet: Serpẽs me decepit: ſic illa pœnam vltimam quoq; luit, vtpote penes quã fuit etiã non labi. Quæ vt clariora ſint, agè totã orationẽ ad Iobum conuertamus, & deuictos illos cum victore Iobo cõparemus. Sic enim maioribus animis aduerſus Diabolũ depugnabimus. Et illic quidẽ ſerpens erat, qui decipiebat, & ſuperior fuit: hic verò fœmina, & ſuccubuit: licet multis modis ad perſuadendum instructior. Et Iobo quidẽ, poſtquã & opes & liberos amiſiſſet, & omnibus rebus planè ſpoliatus eſſet, machinationes illę admouebantur: hîc verò nihil tale erat. Nõ amiſit Adamus pecunias, nõ liberos, non in fimo cõſidebat: ſed Paradiſum omnibus deliciis refertum incolebat, fruebatur liberè cõſpectu arborum omnis generis, fontiũ, fluminũ, omnique illa vbertate: non labore frãgebatur, non dolore cõficiebatur, neq; triſtitia & curis: nõ cõuitia & probra, non deniq; alia infinita mala ipſum vexabant, quæ omnia confertim in Iobũ irruerunt, & tamen licet nihil eiuſmodi eſſet, lapſus eſt, ſupplantatus eſt. Annon liquet igitur, in cauſa fuiſſe ſocordiã quandã atq; inertiam? quemadmodum ergo ille tot malis oppreſſus præclarè ſtetit, nec lapſus eſt, ita etiã huic planum non eſt in cauſa fuiſſe animi attentionẽ & vigilantiã. Ex vtroq; exemplo, chariſſime, quæſtũ fac maximũ, & fuge Adami illũ zelũ. tibique perſuade, ſocordiã & torporem animi multorũ malorũ cauſam exiſtere: Iobi verò cautionẽ, diligentiã & prouidẽtiã ſtudioſè ęmulare: certóq; apud animũ tuũ cõſtitue ſtudiũ diligentiáq; nobis plurima bona cõparare. Hunc ergo victorẽ coronatũ perpetuò meditare: & rebus aduerſis, atq; adeò quouis rerum ſtatu cõſolationes ſatis ſuperq; in prõptu erũt. Nãque beatus ille & præclarus Iob velut in publico quodã orbis theatro conſtitutus, cum omnibus, per ea, quæ ipſi dura aduerſaque euenerunt,

Iob melius quã Eua pugnauit aut Adamus.

1Cor. 11.

colloquitur: monétque, omnia, quæ A cnuque accidant, præclarè ferenda eſſe, nec vllis ingruentibus malis cedendum. Nec eſt certè vllum mali genus, quod quidem in hominem cadere poſſit, vt non inde conſolationes certas petere poſſis. quicquid enim mali in toto terrarum orbe ſparſim reperitur, totum hoc confertim in ipſius corpus inundauit. Quam igitur veniam merebitur is, qui ne quidē partem malorū, quibus ille obrutus eſt, æquo gratóque animo perferre poteſt, cùm ille non particulam, ſed omnino quicquid vſpiam malorum eſt, videatur pertuliſſe? Et ne hanc orationem, velut ſupra modū am- B plificatam improbes: age, illo omnium calamitatum genere ob oculos poſito, noſtris promiſſis perpetua inductione fidem faciamus: Et, ſi placet, ab eo malorum genere, quod omnium maximè intolerabile videtur, initium ducamus: paupertate, inquā, & eo dolore, quem homines inde capiunt. Quid eſt enim quod homines vbique magis deplorēt? Quid igitur Iobo vſpiā pauperius fuit, qui certè etiam iis, qui in balneis abiecti, & in camini cinere cubāt, & omnib. omnino hominibus pauperior fuit? Il- C lis ſiquidem hominibus ſaltem veſtis aliqua, licet lacera, ſuppetit: ille verò etiam nudus ſedebat: ſed & eam veſtem, quam illi natura ſuppeditauerat, carnis dico inuolucrum, difficili putredine omni ex parte diabolus corruperat. Iam verò pauperes iſti ſaltem ſub tectis veſtibulorum in balneis agunt, ſaltem latibulis quibuſdam teguntur: ille verò diu, noctúque ſub dio perſeuerabat, omni, etiam tecti, conſolatione deſtitutus. Et quod maius eſt: hi quidē multorum ſibi malorum conſcii erāt. Hoc enim in ſingulis, quę ipſi euenerunt, ſpe- D ctari debet: quum & dolorem ipſius vehementius augeret: & in maiores expediendæ ſalutis difficultates coiiciebat: quòd nempe ne quidem cauſam ſuorū malorum tenebat. Illi ergo, vt dixi, multis modis ſeſe accuſare potuerunt: &, quòd non paruam conſolationem affert, probè ſcilicet tenere: iure & meritò ſeſę puniri. Qua quidem conſolatione ille quoque carebat. Et cùm vitæ rationem ſequutus eſſet virtute abundātem: tamen ſceleratiſſimorum hominum pœnis addicebatur. Adde, quòd illi quidem à puero pauperes, & ſemper cum calamitatibus conflictati fuere: ille verò

A γενναίως, καὶ πρὸς μηδὲν ἐνδιδόναι τῶν ἐπιόντων δεινῶν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἀνθρώπινον πάθος, ὃ μὴ δύναται παραμυθίαν ἐκεῖθεν δέξασθαι. ἃ γὰρ ἐν πάσῃ τῇ οἰκουμένῃ διέσπαρται πάθη, ταῦτα ὁμοῦ συνελθόντα εἰς ἓν σῶμα κατέσκηψε τὸ ἐκείνου. τίς οὖν ἔσται συγγνώμη τῷ μὴ δυναμένῳ τὸ μέρος τῶν ἐπαχθέντων ἐκείνῳ δεινῶν μετ' εὐχαριστίας ἐνεγκεῖν, ὃς μὴ μέρος μόνον, ἀλλ' ὁλόκληρα φαίνεται τὰ πάντων ἀνθρώπων φέρων κακά; καὶ ἵνα μὴ καταγνῷς ὑπερβολὴν τοῦ λόγου, φέρε καθ' ἕκαστον περιχεισάμενοι τῶν B ἐπελθόντων αὐτῷ, τὴν ὑπόσχεσιν ταύτην ἐπάγωμεν. καὶ, εἰ βούλει, τὸ πάντων ἀφορητότερον εἶναι δοκοῦν, πρῶτον εἰς μέσον ἀγάγωμεν, τὴν πενίαν λέγω, καὶ τὴν ἐκ ταύτης ὀδύνην. τοῦτο γὰρ πανταχοῦ πάντες ἄνθρωποι θρηνοῦσι. τί οὖν τοῦ Ἰὼβ πενέστερον γέγονεν, ὃς καὶ τῶν ἐν βαλανείοις ἐρριμμένων, καὶ τῶν ἐν τῇ καμιναίᾳ τέφρᾳ καθευδόντων, καὶ πάντων ἁπλῶς ἀνθρώπων πενέστερος ἦν; οὗτοι μὲν γὰρ κἂν ἱμάτιον ἔχουσι διερρωγός, ἐκεῖνος δὲ γυμνὸς ἐκάθητο, καὶ ὃ μόνον ἱμάτιον εἶχε παρὰ τῆς C φύσεως, τῆς σαρκὸς τὴν περιβολὴν, χαλεπῇ σηπεδόνι καὶ τοῦτο πανταχόθεν διέφθειρεν ὁ διάβολος. πάλιν οὗτοι οἱ πένητες, κἂν ὑπὸ στέγην εἰσὶ προπυλαίων τῶν ἐν τοῖς βαλανείοις, κἂν καλύβῃ καλύπτονται· ἐκεῖνος δὲ αἴθριος διανυκτερεύων ἀεὶ διετέλει, οὐδὲ τὴν ἀπὸ ψιλῆς στέγης παραμυθίαν ἔχων· καὶ τὸ δὴ μεῖζον, ὅτι οὗτοι μὲν πολλὰ ἑαυτοῖς συνίσασι τὰ δεινά. τοῦτο γὰρ καθ' ἕκαστον τῶν συμβεβηκότων αὐτῷ παρατηρούμενον, ὃ μείζονα αὐτοῦ τὴν ὀδύνην ἐποίει, καὶ πλείονα τὴν ἀπορίαν εἰργάζετο, τὸ μηδὲ τὴν D αἰτίαν τῶν γινομένων εἰδέναι. οὗτοι μὲν οὖν, ὅπερ ἔφην, πολλὰ ἂν ἔχοιεν ἑαυτοὺς αἰτιᾶσθαι, οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίαν συμφορᾶς, τὸ συνειδέναι ἑαυτοῖς δικαίως τιμωρουμένοις· ἐκεῖνος δὲ καὶ ταύτης ἀπεστέρητο τῆς παραμυθίας, καὶ πολιτείαν ἐπιδειξάμενος ἀρετῆς γέμουσαν, τὰ τῶν ἔσχατα τετολμηκότων ὑπέμεινε· καὶ οὗτοι μὲν οἱ παρ' ἡμῖν πένητες ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐνεμελέτησαν τῇ συμφορᾷ. ἐκεῖνος δὲ

ἀμελέτητον ὑπέμεινε πενίαν, ἀθρόον δεξάμενος τὴν ἐκ τοῦ πλούτου μεταβολήν. ὥσπερ οὖν τὸ τὴν αἰτίαν εἰδέναι τῶν γινομένων, μέγιστον εἰς παραμυθίαν, οὕτως οὐκ ἔλαττον ἐκείνου τὸ μελετήσαντα πενίαν ἐξ ἀρχῆς, οὕτως ἐν πενίᾳ διάγειν· ὧν ἀμφοτέρων ὁ δίκαιος ἐκεῖνος ἐστέρητο, καὶ οὐδὲ οὕτω κατέπιπτεν. εἶδες αὐτὸν καὶ πρὸς ἐσχάτην ἐλθόντα πενίαν, καὶ μεθ' ἣν ἑτέραν οὐκ ἔστιν εὑρεῖν; τί γὰρ ἂν τοῦ γυμνοῦ, καὶ μηδὲ στέγην ἔχοντος πενέστερον γένοιτ' ἄν; μᾶλλον δὲ οὐδὲ ἐδάφους πάντως ἀπολαύειν κύριος ἦν. οὐ γὰρ ἐπὶ τῆς γῆς, ἀλλ' ἐπὶ τῆς κοπρίας ἐκάθητο. οὐκοῦν ὅταν ἴδῃς σαυτὸν ἐν πενίᾳ γινόμενον, ἐννόησον τοῦ δικαίου τὸ πάθος, καὶ εὐθέως ἀναστήσῃ, καὶ πάντα ἀποκρούσῃ λογισμὸν ἀθυμίας. μία μὲν οὖν αὕτη συμφορὰ πάντων ὁμοῦ τῶν δεινῶν ὑπόθεσις εἶναι δοκεῖ τοῖς ἀνθρώποις. δευτέρα δὲ μετ' ἐκείνην, μᾶλλον δὲ πρὸ ἐκείνης ἡ τοῦ σώματος πληγή. τίς οὖν οὕτως ἠῤῥώστησέ ποτε; τίς τοιαύτην νόσον ὑπέμεινε; τίς τοσαύτην πληγὴν ἐδέξατο, ἢ ἕτερον δεξάμενον εἶδεν; οὐκ ἔστιν οὐδείς. κατὰ μικρὸν αὐτῷ τὸ σῶμα ἐδαπανᾶτο, καὶ πηγὴ σκωλήκων αὐτῷ πάντοθεν ἔβρυεν ἀπὸ τῶν μελῶν, καὶ διηνεκὴς ἦν αὕτη ἡ ἐπιῤῥοή, καὶ πολλὴ πανταχόθεν ἡ δυσωδία, καὶ τὸ σῶμα κατὰ μικρὸν ἀναιρούμενον καὶ τοιαύτῃ σηπεδόνι τηκόμενον ἀηδῆ τὰ σιτία ἐποίει, καὶ λιμὸς ἦν αὐτῷ ξένος καὶ παράδοξος. οὐδὲ γὰρ δεδομένης ἠδύνατο τῆς τροφῆς ἀπολαύειν· βρόμον γάρ, φησιν, ὁρῶ τὰ σιτία μου. ὅταν οὖν ἀῤῥωστίᾳ περιπέσῃς, ἄνθρωπε, ἀναμνήσθητι τοῦ σώματος ἐκείνου, καὶ τῆς σαρκὸς τῆς ἁγίας. ἁγία γὰρ ἦν καὶ καθαρὰ καὶ τοιαῦτα ἔχουσα τραύματα. κἂν ἐν στρατείᾳ δέ τις τελῇ, εἶτα ἀδίκως καὶ χωρὶς εὐλόγου τινὸς προφάσεως ἀναρτηθεὶς ἐν τῷ ξύλῳ διαξαίνηται τὰς πλευράς, μήτε ὄνειδος εἶναι νομιζέτω τὸ πρᾶγμα, μήτε πρὸς τὴν ὀδύνην ἐνδιδότω, τὸν ἅγιον τοῦτον ἐννοῶν· ἀλλ' ἱκανὴν εἶχεν αὐτὸς παράκλησιν καὶ παραμυθίαν, φησί, τὸ εἰδέναι τὸν θεὸν αὐτῷ ταῦτα ἐπάγοντα.

A paupertatem, cuius antea guſtum nullum habuerat, perferebat: ſubitò è diuite pauper factus. Quemadmodum igitur cauſam perſpectam habere eorum quæ fiunt, ad conſolandum plurimum momenti habet: ſic non minus illo eſt: cum, qui nunquam in paupertate ab initio vixerit, ita pulchrè, & eleganter paupertatem ferre. Iobus certè ille vtroque deſtituebatur, neque tamen quicquam de animi conſtantia remittebat: intellexiſti ipſum ad ſummam paupertatem redactum fuiſſe, qua maior nulla eſſe poteſt? Quid enim nudo, quique ne quidem tectum, in B quod ſe recipiat, habeat, pauperius eſſe poſſit? quinimò neque ſolum, quo potiretur, habebat: neque enim in terra, ſed fimo ſedebat. Cùm itaque etiam teipſum ad inopiam redactum ſenties, tibi in mentem veniat, quid iuſto illi viro contigerit, & protinus animum recipies: omnémque triſtitiæ ſenſum repelles. Atque hoc quidem vnum calamitatis genus eſt, quod quidem omnium omnino malorum & aduerſorum, quaſi baſis quædam & fundamentũ videtur. Alterum autem ab C hoc, imò quod hoc quidem maius eſt, corporis illa afflictio fuit. Quis enim vnquam hunc in modum ægrotauit? Quis vnquam tali modo laborauit? cui vnquam talis plaga impoſita eſt? aut quiſnam tam mirabiliter affectum cõſpexit? Nemo mortalium vnquam. Corpus ſiquidem ipſi paulatim contabeſcebat: membra verò vndique vermibus ſcatebant, continentérque defluebant, & fœtor vndique grauis infeſtabat: corpus verò, quod ſenſim emoriebatur & putredine colliqueſceret, cibos etiam ingratos & inſuaues D reddebat: cui tamen fames inexperta & inopinata erat. Neque enim oblatis cibis frui potuit. Fœtorẽ enim, inquit, video factos eſſe cibos meos. Cùm igitur in morbum incideris, homo, corporis illius memineris, & ſanctę illius carnis. Etenim ſancta & pura erat, licet his vulneribus tantũ non eſſet confecta. Item, ſi quis in bello ſtipẽdia mereat, túmque innocenter, aut ſaltem ſine probabili aliqua cauſa in lignũ ortorium ſublatus, latera ſibi perfodi ſentiat: neque ignominioſum ſibi hoc ille ducat: neq. ſancti huius viri exemplo monitus, ſeſe angorib. dedat. Ille enim ſummã conſolationem ſibi in eo poſitã arbitrabatur: quia Deo authore, hæc ſibi accidere per-

Cauſſæ cognitio conſolatio magna eſt.

Corporis Iobi afflictio.

Iob.6.6.

Atqui hoc quidem omniũ maximè iuſtum illum conturbabat ſollicitúmque habebat: quòd Deum, qui iuſtus eſt, ab eóque omni religione cultus eſſet, hũc, inquam, bellum ſecũ gerere putabat: neque verò prætextũ ſaltem probabilem inuenire poterat. Siquidem vbi cauſam intellexit, admodum pio & æquabili animo hæc omnia accepit, & magnæ pietatis ſignificationes illuſtres dedit. Cum enim illi Deus dixiſſet: Aliónе putas me his oraculis reſpexiſſe,
Iob. 40. 3. quám vt iuſtus appareres? Tum Iobus percúlſus, ait, manum ori opponam: ſemel locutus ſum: ſecundò nõ tentabo: Et rurſus, vſque ad auris quidem auditum audiui te antea: nunc autem oculus meus videt te. Idcirco viliſſimum me putaui, & extabui: reputaui autem meipſum terrã & cinerem. Quod ſi hęc ſatis ad conſolationem exiſtimes: licebit & tibi ipſi eadem vti. Nam licet nõ pro Deo aliquid mali ſuſtineas: ſed hominum improbitate & contumeliis vexeris: ſi illi gratias agas: nec blaſphemiis petas Dominũ, qui impedire quidem poterat, permittit autem, vt tu inde proberis: quemadmodum, qui Dei gratia aliquid ſuſtinent, coronantur: ſic tu ipſe eadem pręmia adipiſceris, ſi quę ab hominibus tibi mala inferuntur, pręclarè pertuleris: & ei quidem, qui auertere poterat, ſed tamen noluit, gratias egeris. Ecce igitur, & paupertate, & morbo, & quidem vtroque ſummopere & ad miraculum vſq., Iobum laborâſſe animaduertiſti. Vis ne, vt bellum etiam, quod natura illi intulit, declarem, quo quidẽ ille iuſtus tanto malorum cum impetu oppugnatus fuit? Decem ille liberos amiſit, & quidẽ decem ſimul, & decem in ipſo flore ætatis: decem, qui eximiæ virtutis magna ſpecimina iam ediderant. Neque verò cõmuni naturæ lege: ſed violenta morte, & miſerabili. Et quíſnã dicendo has calamitates conſequi poſſit? Nemo certè. Ergo cũ filius & filia ſimul obierint, ad iuſtum illum recurre, & profectò ſatis magnam conſolationem inuenies. Itáne ergo hęc tantũ illi viro mala eue-
Iob. 19. nerũt? Amicorũ deinde defectio, & proditio, ſcommata, conuitia, contẽptus, irriſio, & ab omnibus vnum illum vexari, nónne hæc intolerabilia fuere? Neque enim calamitates ita natura cõ-

A τοῦτο μὲν οὖν αὐτὸν μάλιστα ἐτάραττε καὶ ἐθορύβει, ὅτι τὸν δίκαιον θεὸν, καὶ πάντα τρόπον παρ' αὐτοῦ θεραπευθέντα, τοῦτον ἐνόμιζεν αὐτῷ πολεμεῖν. καὶ πρόφασίν τινα εὔλογον εὑρεῖν τῶν γινομένων οὐκ εἶχεν· ἐπεὶ ὅτε γε ἔμαθεν ὕστερον τὴν αἰτίαν, ὅρα πόσην εὐλάβειαν ἐπεδείξατο. ὅτε γὰρ εἶπεν αὐτῷ ὁ θεός· ἄλλως με οἴει σοὶ κεχρηματικέναι, ἢ ἵνα δίκαιος ἀναφανῇς; καταπλαγείς, φησι· χεῖρα θήσω ἐπὶ στόματί μου. ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω. καὶ πάλιν, ἕως μὲν ὠτὸς ἀκοῆς ἤκουόν σε τὸ πρό-
B τερον· νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε. διὸ ἐφαύλισα ἐμαυτὸν, καὶ ἐτάκην· ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν. εἰ δὲ ἀρκεῖν τοῦτο εἰς παράκλησιν νομίζεις, δυνήσῃ δὲ καὶ αὐτὸς ταύτην τὴν παραμυθίαν ἔχειν. κἂν γὰρ μὴ διὰ τὸν θεὸν πάθῃς τι τῶν δεινῶν, ἀλλ' ἐξ ἀνθρώπων ἐπηρείας, εὐχαριστήσῃς δὲ, καὶ μὴ βλασφημήσῃς τὸν δυνάμενον κωλῦσαι μὲν, ἀφέντα δὲ τῆς σῆς ἕνεκεν δοκιμῆς, ὥσπερ οἱ διὰ τὸν θεὸν παθόντες στεφανοῦνται, οὕτω καὶ σὺ τῶν αὐτῶν ἐπιτεύ-
C ξῃ μισθῶν, ὅτι τὰς παρὰ ἀνθρώπων ἐπαχθείσας σοι συμφορὰς γενναίως ἤνεγκας, καὶ τῷ δυναμένῳ αὐτὰς κωλῦσαι μὲν, μὴ βουληθέντι δὲ, ηὐχαρίστησας. ἰδοὺ τοίνυν καὶ πενίαν καὶ νόσον, καὶ ἀμφότερα μετὰ τῆς ἐσχάτης ὑπερβολῆς εἶδες ἐπενεχθέντα τῷ δικαίῳ. βούλει σοὶ καὶ τὸν παρὰ τῆς φύσεως πόλεμον ἐπιδείξω μετὰ τοσαύτης ὑπερβολῆς τῷ γενναίῳ τότε ἐπιθέμενον ἐκείνῳ; δέκα τέκνα ἀπώλεσε, τὰ δέκα ἀθρόον, τὰ δέκα ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, τὰ δέκα πολλὴν
D ἀρετὴν ἐπιδεδειγμένα, καὶ οὐδὲ τῷ κοινῷ τῆς φύσεως νόμῳ, ἀλλὰ βιαίῳ θανάτῳ καὶ ἐλεεινῷ. τίς ἂν ἔχοι τοιαύτην συμφορὰν εἰπεῖν; οὐκ ἔστιν οὐδείς. ὅταν οὖν ἀποβάλῃς υἱὸν καὶ θυγατέρα ὁμοῦ, ἀνάδραμε πρὸς τὸν δίκαιον ἐκεῖνον, καὶ πάντως εὑρήσεις πολλὴν σαυτῷ τὴν παραμυθίαν. ἆρα οὖν ταῦτα μόνα αὐτῷ συνέβη τὰ δεινά; ἡ δὲ τῶν φίλων ἐγκατάλειψις καὶ προδοσία, τὰ δὲ σκώμματα καὶ αἱ λοιδορίαι, ἡ δὲ χλευασία καὶ ὁ γέλως. τὸ δὲ ὑπὸ πάντων διασύρεσθαι, τί ἀφόρητον ἦν. οὐ γὰρ οὕτως ἡ τῶν συμφορῶν

φύσις, ὡς οἱ παρὰ τὰς συμφορὰς ἡμῖν ὀνειδίζοντες δάκνειν ἡμῶν εἰώθασι τὴν ψυχήν. οὐ μόνον ὁ παρακαλῶν οὐκ ἦν, ἀλλὰ καὶ πολλοὶ πολλαχόθεν ἐπέκειντο ὀνειδίζοντες. καὶ ὁρᾷς αὐτὸν τοῦτο ἀποδυρόμενον, καὶ λέγοντα· ἀτὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι. καὶ ἀνελεήμονας αὐτοὺς καλεῖ, καί φησιν· ὅτι ἀπείπαντό με οἱ πλησίον μου, καὶ οἱ οἰκέται μου κατ᾽ ἐμοῦ ἐλάλουν· καὶ υἱοὺς παλλακίδων μου ἐκάλουν, αὐτοὶ δὲ ἀπεπήδων. ἕτεροι δέ, φησιν, ἐνέπτυόν μοι, καὶ θρύλλημα πάντων ἐγενόμην, καὶ αὐτή, φησιν, ἡ στολή μου ἐβδελύξατό με. ταῦτά γε οὐδὲ ἀκοῦσαι φορητά, μήτιγε διὰ τῶν πραγμάτων αὐτῶν ὑπομεῖναι. πενία ἐσχάτη, καὶ νόσος ἀφόρητος καὶ καινὸς καὶ παράδοξος· παίδων ἀποβολὴ τοσούτων, καὶ τοιούτων καὶ τοιούτῳ τρόπῳ· ὀνείδη, καὶ σκώμματα, καὶ λοιδορίαι παρὰ ἀνθρώπων· οἱ μὲν ἐχλεύαζον, οἱ δὲ ὠνείδιζον, οἱ δὲ κατεφρόνουν, οὐκ ἐχθροὶ μόνον, ἀλλὰ καὶ φίλοι· οὐ φίλοι μόνον, ἀλλὰ καὶ οἰκέται· οὐκ ἐχλεύαζον δέ, οὐδὲ ὠνείδιζον μόνον, ἀλλὰ καὶ ἐβδελύσσοντο, καὶ ταῦτα οὐκ ἐπὶ δύο καὶ τρισὶ καὶ δέκα ἡμέραις, ἀλλ᾽ ἐπὶ πολλοῖς τοῖς μησί· καὶ ὅπερ ἐπ᾽ ἐκείνου συνέβη μόνου, οὐδὲ τὴν ἀπὸ τῆς νυκτὸς εἶχε παραμυθίαν, ἀλλὰ τῶν μεθ᾽ ἡμέραν δεινῶν προσθήκη μείζων ἦν ἡ τῶν νυκτερινῶν φόβων φαντασία. ὅτι γὰρ χαλεπώτερα ἐν τοῖς ὕπνοις ὑπέμενεν, ἄκουσον τί φησι. διὰ τί με φοβεῖς ἐν ὕπνοις, καὶ ἐν ὁράμασί με καταπλήττεις; ποῖος σιδηροῦς ἄνθρωπος, ποῖος ἀδάμας τοσαῦτα ἂν ὑπέμεινε δεινά; εἰ γὰρ καὶ καθ᾽ ἑαυτὸ τούτων ἕκαστον ἀφόρητον, ἐννόησον ὁμοῦ συνελθόντα πόσον ἤγειρε θόρυβον. ἀλλ᾽ ὅμως ἐκεῖνος ἅπαντα ταῦτα ὑπήνεγκε, καὶ ἐν ἅπασι τοῖς συμβεβηκόσιν αὐτῷ οὐχ ἥμαρτεν, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ ἐγένετο δόλος. γινέσθω τοίνυν ἐκείνου τὰ πάθη φάρμακα τῶν ἡμετέρων κακῶν, καὶ ὁ χαλεπὸν τούτου κλυδώνιον τῶν ἡμετέρων παθῶν λιμήν, καὶ ἐφ᾽ ἑκάστῳ τῶν συμβαινόντων ἡμῖν ἀναλογιζώμεθα τὸν ἅγιον· καὶ ὁρῶντες ἓν σῶμα τὰ τῆς οἰκουμένης ἀντλῆσαν δεινά, γενναίως ἡμεῖς ἐπὶ τοῖς κατὰ μέρος διακεισώμεθα· καὶ καθάπερ

A paratæ ſunt, vt nos perinde, atq; illi, qui nobis propter calamitates conuitia faciunt, lędere, & eũdem acerbitatis ſenſum adferre ſoleant. Neq. ſolùm in his malis, qui cõſolationem adferret, deerat: ſed cõuitiatores, ex omni parte cõplures, illi graues erãt: & vides eum ipſum hac de re queri, cum dicit: Cæterũ & vos inuaditis me: & quidem ipſos inhumanos & immites appellat, cum ait: Proximi mei me abnegauerũt, & ſerui mei me criminabantur, & filios pellicũ mearum appellabã, ipſi verò refugiebant. Alij verò in faciem mihi inſpuebant, & ludibrium factus ſum omnibus, *Iob. 19. 14.* B quin hæc ipſa veſtis mea me abominata eſt. Hæc verò, ne auditu quidem tolerabilia ſunt, ne dum, vt quis re ipſa & facto experiatur. Paupertas extrema, morbus intolerabilis, nouus, & inopinatus: liberorum tot, & talium amiſſio: talium conuitia, cauillationes, & crimina hominum. E quibus alij quidem ſubſannabant, alij verò conuitia faciebãt, alij deſpiciebant: neq. inimici tantúm, ſed & amici, neq. hi tantùm, verumetiam ſerui: neq. tantùm ſubſannabant, nec conuitiabantur tantùm, ſed etiam C abominabantur: & quidem hæc non biduo, aut triduo, ſed menſes complures. Denique, quod illi ſoli contigit, ne nocturna quidem quiete perfrui potuit: ſed viſa nocturni terroris grauiora & maiora erant diurnis illis malis & calamitatibus. Námque grauius ipſum in ſomnis afflictatum fuiſſe, ille ipſe teſtatur, cum ait: Quare me terres in ſomnis, & in viſis cõſternatũ reddis? Quis tã ferreꝰ homo: quis adamas hæc ſuſtinere mala, & perferre queat? Si enim vnũquodque horũ per ſe quidẽ intolerabile eſt, omnia coaceruata & cu- *Iob. [illegible]* D mulata, quantas turbas excitarunt? Ille tamen hæc omnia pertulit, & in omnibus aduerſus non peccauit, neque in labiis eius dolus fuit. Itaque res illius aduerſæ, quas pertulit, noſtrorum malorum medicinæ ſint; & ſæua ipſius tẽpeſtas noſtris malis portus quidam propoſitus eſto. Et quidem in ſingulis, quæ nobis præter animi ſententiam dura, & acerba eueniunt, hunc ſanctũ, quaſi ratione ſubducta, in mentem reuocemus, & animaduerſo eo, vnum hoc corpuſculum totius orbis mala exhauſiſſe, fortiter & præclarè in omnibus & ſingulis nos geramus. Et velut

ad matrem noſtri amantiſſimam, quæ manus porrigat, quæ liberos territos ſuſcipiat, & recreet: ſic nos ad hunc librum perpetuò confugiamus: & ſi vel extremis & omnium maximè miſerabilibus malis conflictemur: tamen conſolatione ſatis ſupérque animati, & recreati diſcedemus. Quòd ſi dicas; illum quidem Iobum fuiſſe, ideóque hæc ſuſtinuiſſe: ego verò illius ſimilis non ſum: eo itaque maiori reprehenſione dignum te mihi declaras, & laudem illius iuſti viri repetis. Veriſimile ſiquidem eſt, te potiùs quàm illum, hæc perferre poſſe. Quid ita verò? Quoniam ille tempus gratiæ & legis anteceſſit, quo tempore non exquiſitiſſima erat vitæ ratio, quo tempore non tanta ſpiritus gratia effuſa erat: quo vix exuperabile peccatũ, quo maledictum dominabatur, quo mors adhuc erat formidabilis: iam verò faciliora certamina reddita ſunt, Chriſti præſentia omnibus illis abolitis & ſublatis. Quare poſt tantum tempus, & incrementa, poſt tanta Dei dona in nos profecta, nullus amplius excuſationi locus reliquus eſt, quaſi ad eundem illum gradum virtutis eniti non poſſimus. Quamobrem his omnibus diligenter conſideratis: quòd & grauiora, quæ ille pertulit, erant mala; & cum difficilius eſſet certamen, tùm ſeſe ad pugnam comparauit, & decertauit: nos quoque, quicquid erit, præclarè, & fortiter feramus, & quidem cum magna gratiarũ actione: vt eaſdẽ cũ illo coronas queamus conſequi, gratia & humanitate domini noſtri Ieſu Chriſti: cum quo Patri ſit gloria, cum Spiritu ſancto, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

A πρὸς μητέρα τινὰ φιλόστοργον πάντοθεν τὰς χεῖρας ἐκτείνουσαν καὶ τὰ παιδία πεφοβημένα δεχομένην καὶ ἀνακτωμένην, οὕτω πρὸς τὴν βίβλον ταύτην ἀεὶ καταφεύγωμεν. κἂν τὰ πάντων οἴκτιστα ἡμῖν ἐπίῃ δεινά, ἱκανὴν πάντων λαβόντες τὴν παραμυθίαν, οὕτως ἀπελευσόμεθα. εἰ δὲ λέγεις, ὅτι ἐκεῖνος Ἰὼβ ἦν καὶ διὰ τοῦτο ἤνεγκεν, ἐγὼ δὲ οὐκ εἰμὶ κατ᾽ ἐκεῖνον, μείζονά μοι σαυτοῦ λέγεις κατηγορίαν, καὶ τοῦ δικαίου πάλιν ἔπαινον. μᾶλλον γάρ σε εἰκὸς ἐνεγκεῖν, ἢ ἐκεῖνον. τί δήποτε; ὅτι ἐκεῖνος μὲν πρὸ τῆς χάριτος, καὶ πρὸ τοῦ B νόμου, ὅτε οὐ πολλὴ τῆς πολιτείας ἦν ἀκρίβεια, ὅτε οὐ τοσαύτη τοῦ πνεύματος ἡ χάρις, ὅτε δυσκαταγώνιστος ἡ ἁμαρτία, ὅτε ἡ κατάρα ἐκράτει, ὅτε ὁ θάνατος φοβερὸς ἦν· νυνὶ δὲ εὐκολώτερα τὰ παλαίσματα γέγονε, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν πάντων ἀνῃρημένων. ὥστε οὐδεμία ἡμῖν ἀπολογία μετὰ τοσοῦτον χρόνον, καὶ τοσαύτην ἐπίδοσιν, καὶ τοσαύτας δωρεὰς παρὰ τοῦ θεοῦ δοθείσας ἡμῖν μὴ δυναμένοις εἰς τὸ αὐτὸ ἐκείνῳ φθάσαι μέτρον. ταῦτ᾽ οὖν ἅπαντα ἐννοοῦντες, ὅτι μείζονα ἐκείνου ἦν τὰ C δεινά, καὶ ὅτε χαλεπώτερος ἦν ὁ ἀγών, τότε ἀπεδύσατο καὶ ἐπάλαισε, φέρωμεν ἅπαντα τὰ ἐπιόντα γενναίως ἡμῖν, καὶ μετὰ πολλῆς τῆς εὐχαριστίας· ἵνα δυνηθῶμεν τῶν αὐτῶν ἐκείνῳ στεφάνων τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

FINIS.

DE VITA SANCTI IOANNIS CHRYSOSTOMI CONSTANTINOPOLITANI EPISCOPI DIALOGVS,

Ambroſio Monacho Camaldulenſe interprete.

PALLADIVS CHRYSOSTOMI DISCIPVLVS, Epiſcopus Helenopolitanus, & THEODORVS Romanæ Eccleſiæ Diaconus, colloquuntur.

Primùm editus eſt in lucem Venetiis anno 1533 Latinè.

CVM veniſſet aliquando Romam Palladius, Helenopolitanæ Eccleſiæ venerandus Antiſtes, Ioannis illius ſanctiſſimi viri, Conſtantinopolitani Epiſcopi, iam vita functi diſcipulus, ſuſceptúſque fuiſſet cùm honorificè à Pontifice Romanæ ſedis Zoſimo beatiſſimo, tum à clero vniuerſo deuotiſſimè, inter cæteros, quibus ille familiarius eſt vſus, Theodorus fuit Eccleſiæ Romanæ diaconus. Is enim ſancti viri doctrina caſta, & vitæ ſanctitate delectatus, frequens illi aderat, imò, quoad licebat, nunquam à latere ipſius diſcedebat. Quadam autem die dum eſſent B ambo ſimul, otiúmque à curis omnibus mortalibus agerent, orta ex more collatione ſpirituali, hoc ſermoni ſuo initium dedit Epiſcopus. PALLADIVS. Diuina, inquit, munera, Theodore chariſſime, partim communia ſunt, & inſeparabilia, partim communia quidem, ſed ſeparationem admittentia. Tertio ab his loco ſunt, quę neq; cõmunia, neq; ſeparabilia, ſeu inſeparabilia, ſed propria ſunt, his, qui digni fuerint gratiæ priuilegio ſingularis, indulta. THEODORVS. Perge, vt cœpiſti, Pater, & nobis ediſſere cuiuſq; generis ordinẽ. Neq; enim, vt abs te impetrem, altiore vtar exordio. PALLAD. Quæ per naturam bona ſunt, & ſine quibus, niſi ſceleratè, non viuitur, communia & inſeparabilia dicimus. THEOD. Quænam, oro, iſta ſunt? PALLAD. Primùm quidem omnium Deus, vnà cum vnigenito filio ſuo, & ſancto ſpiritu, communis eſt, atque inſeparabilis. Licet enim volenti totum ipſum ſpeculando complecti, dum tamen, A omiſſis occupationibus reliquis, vni huic rei totus inſiſtat. Poſt hunc ſcripturæ diuinæ, virtutéſque cœleſtes, & præterea cœlum, ſol, & luna, omníſque ſtellarum chorus, & ipſe poſtremò aër communia ſunt, & inſeparabilia. Hactenus de inſeparabilium genere. Fuit aliquãdo & terra communis, & aquarum itidem fluenta communia. Poſtquam verò cupiditatis rabies, & habendi ardor immodicus pectoribus humanis inſedit, grauiora iſta elementa humoris atque humi ſeparationem admiſere. THEOD. Nil verius dici poteſt. Agè verò iam, & de ſecundo genere ſeparabilium diſſere. PALLAD. Neceſſariò id quidem, vt ſuo ordine cœpta decurrat oratio. Aurum igitur, & argentum, omníſque metalli natura, ligníque materia, & vt breuiter dixerim, quæcunque media dicimus, communia ſunt quidem, ſed tamen ſeparabilia. Neq; enim cuique, vt libitum fuerit, cuncta proueniunt. THEOD. Veriſſimè omnino, ſed quæſo tertium quoque genus abſoluas, quod quia plus difficultatis habere videtur, vereor, ne in ipſius probatione deficias. Dixiſti enim eſſe quædam, quæ neque communia ſint, neque ſeparabilia, ſed eorum propria, qui ea ex dono gratiæ ſpecialis acceperunt. Hæc verò vbi pari ratione digeſſeris, aduentus tui cauſam, & eorum, quæ ſcire cupimus, veritatem, vt exponere digneris, te etiam atque etiam obſecro. PALLAD. Si quidem iſtud in me eſt, vt veſtris bonis deſideriis queam ſatisfacere, morem vobis geram libentiſſimè, nihílque ex his, quę mihi comperta ſunt, ſubtraham: ſi tantum me prius à debito, quantum Dominus vires dederit, abſoluere & expedire tentauero. Virginitatis nempe, & caſtimo-

niæ reliquæ ſeparationem inuenies nullam. Non A enim ſunt ex communium aut ſeparabilium genere. Nam profectò non omnis, qui cupit, aſſequitur etiam vt virgo ſit, ſed qui poteſt. Plurimi namque ex his, qui matrimonio iuncti ſunt, cùm eius rei deſiderio, & quidem vehemẽti, teneantur, quòd fuerint præoccupati coniugio, voti ſui compotes eſſe non poſſunt. Sicuti & in Olympicis certaminibus aduocat quidem præco quoſque certare cupientes, victores autem ſolos coronis donat. Ita fermè fit & de certamine caſtitatis. Nam, cùm, teſte Euangelio, Petrus
Matt. 19. Saluatori reſpondiſſet, ſi ea cauſa eſt viri cum vxore, non expedit nubere. Dominus ad hoc: Non omnes, inquit, capiunt verbum iſtud, ſed quibus datum eſt. THEOD. Putabam, haud facilè, quæ propoſueras de ſingularibus ac præcipuis donis, probari abs te poſſe, verùm tu iſta quoque validè profectò de ſcripturis docuiſti. PALLAD. Quandoquidem iſta ſic ſeſe habere tibi perſuaſum eſt, age reliquis item teſtimoniis vtamur ex abundanti, vt peruerſi quique, corruptæque ſententiæ homines his admoniti, deſiſtant tamen captare, quæ accipere nequeunt. Inuenimus nempe Sacerdotiũ quoque in ſcripturis ſanctis, neque commune eſſe, neque ſeparabile, ſed illorum proprium, atque præcipuum, qui digni ſunt: ſicuti corripiẽs Hebræos
Heb 5. Paulus, ait: Non enim ſibi quiſpiam honorem ſumit, ſed qui vocatur à Deo. Ita & Aaron inquit, non ſeipſum clarificauit, vt Pontifex fieret. Nam cùm ſexcenta fermè eſſent hominum millia, multique ex his zelum haberent Dei, vnus tamen ex omnibus Aaron electus, cuius C planè perſpicuum electionis indicium virga, proferens nuces, multitudinem induxit, vt
Num. 17. crederent à Deo aſſumptum fuiſſe Pontificem. At pleroſque tunc videas per imperitiam rei inanis gloriæ ſtudio concitatos, dum ſacerdotium inter communia computarent, ac per id ſeipſos venerandis officiis impudenter ingererent, dignum veſaniæ ſuæ finem inueniſſe, ipſámque ſynagogæ humum temeritatis ſuæ te-
Num. 16. ſtem reliquiſſe. Dathan denique, & Abiron, cùm rem nihil ad ſe pertinentem auidè nimis atque impudenter appeterent, cum his qui ſibi adhærebant, repentè perierunt. Aperta eſt e-
Pſal. 105. nim terra, inquit, & deglutiuit Dathan, & operuit ſuper congregatio Abiron. Poſt hos
2 Reg. 6. Oza, præcedentium immemor, huiuſmodi improbo amore correptus eſt. Cùm enim die quadam Arca in via plauſtro veheretur, contigit, vt laſciuiens vitulus motu ſuo commoueret arcam. Ozas itaque ſubſequens manu illam apprehendit, ne caderet. Diſplicuit id factum Deo, & ne ex eo licentia daretur improbis, ſibi vſurpandi non licita, percuſſit Ozam vſque ad mortem: per id admonens, poſteros huiuſmodi cauere veſaniam. Longo pòſt tempore cùm iam Chriſti aduentus radiaſſet in terris,
Act. 8. Simon Magus de caſtello Getthon, inuentor eorum dogmatum, quæ ſunt contraria veritati, cùm eſſet vehementer aſtutus, veritus præcedentium pœnam, ne ſi eadem ſerere pergeret, paria itidem meteret, ſeſe artibus armat. Blanditiis itaque circumuenire Apoſtolos quærit, & ouium pelle lupum tegens, pecunias offert, vti ne rapere videretur, quæ peſſimè ſtudebat emere, ea loquens, quæ illum, & omnes imitatores ſuos loqui decet. Sumite, inquit, pecunias iſtas, & date mihi veſtri ordinis poteſtatem, vt cuicunque impoſuero manus, accipiat Spiritum ſanctum. Erat autem baptizatus in nomine IESV. Cui reſpondit Apoſtolorum chorus: Abſit hoc à nobis homo. Gratia Dei non venditur pretio. Et cùm ille precibus importunis inſiſteret, dixerunt ad illum ſecundò: Quid emere quæris, quod, ſi dignè vixeris, gratis inuenies? Ille labores vitæ melioris, mentiſque ſuæ ſegnitiem, & incertum rei euentum ſecum cogitans, ſacculum produxit auri, hac ſe illecebra fallere poſſe Chriſti diſcipulos putans. Indignatus ad hæc B ille, qui comprehendit ſapientes in aſtutia ſua, per os Petri locutus eſt, dicens: Pecunia tua ſit in perditione, quia donum Dei exiſtimaſti pecuniis poſſidere. Impoſuitque illi pœnitentiæ medicamentum. Age, inquiens, pœnitentiam, ſi fortè dimittatur tibi nequitia cordis tui: in felle enim amaritudinis, & vinculo iniquitatis te eſſe video. Neque enim vult perditionem peccantium, amator animarum Deus. His itaque pro viribus expoſitis; Theodore chariſſime, ſacramentorum veritatis miniſter, percontare iam, quæ diſcere à nobis cupis. THEODOR. Vnde quæſo ad nos aduenisti Pater? PALLAD. Ab oriente Frater adueni, núncque primùm Romam vidi. THEODOR. Quænam te maximè aduexit cauſa? PALLAD. Vnicus pacis veſtræ amor. THEOD. Eſt enim alia noſtra, quàm veſtra? PALLADIVS. Non alia planè, ſed eadem, quam de cœlis Saluator aduxit, deditque ſanctis Apoſtolis, dicens: Ioan. Pacem meam do vobis: Quod ait Do, ſuum id eſſe apertè ſignauit: porrò Relinquo, ad ſanctum ſpiritum retulit, vt in ſpiritu ſancto per Chriſtum cognitionem patris gentibus reuelarent. Verùm ſicuti in reſolutis membris fit, vt operationes animæ ad valentiores membrorum redeant partes, ita ferè & in Orientali miſera Eccleſia contigit. Diſſolutis quippe ipſius infeliciter membris, neque ob fugatam inde concordiam, pacémque violatam, officia ſua implere valentibus, complures D nudi, atque expediti, ipſius deſiderio patriæ liquimus fines, cùm tuto & quieto animo illic pro defenſione veritatis habitare nequaquam liceret, diuertimúſque ad vos, ſi fortè vel paucos hos dies, qui vitæ meæ reliqui ſunt, ſecundùm Euangelium viuere in pace poſſim. THEODORVS. Vt video, mirabilis Pater, diuina ad nos prouidentia deſtinatus. Dolorem enim tuum inuenio noſtris congruere, & conſentire mœroribus. Puto enim te eſſe ex Ioannis Conſtantinopolitani Epiſcopi ſociis. PALLADIVS. Ita eſt. THEODORVS. Precor igitur, nobis ea, quæ cupimus ſcire, ſub Deo teſte ſignata veritate, narrare digneris, id profectò non ignorans, quòd ſi quid à veritate alienum annunciaueris nobis, Deum

non effugies iudicem, atque noſtræ quoque ſententiæ eris obnoxius, qui aliud fortaſſe, & aliter, quàm ipſe proſequeris, accepimus. Nõ enim vnus, aut duo, aut tres, aut decem, aut cuiuſcunque generis homines quæ Conſtantinopoli contigere, nuntiarunt nobis, ſed porrò plures. Cap. II. Ex quibus alij Epiſcopi ſunt, alij Presbyteri, atque alij Monachi. Et ſi noſſe cupis, quæ comperta ſunt nobis, paucis expediam. Primus omnium profectus eſt ad nos Alexandrinæ Eccleſiæ Lector, cùm Papæ Theophili literis, quibus indicabat Ioannem à ſe fuiſſe depoſitum. Eas literas cùm legiſſet Beatiſſimus Innocentius, Romanæ ſedis Antiſtes, exhorruit temeritatem, faſtúmque Theophili, ægrè ferens, & quòd ſolus ſcripſerat, & quòd rei totius ſeriem referre omiſerat, cuius ſcilicet rei gratia, quibúſve adiunctis ſibi ſociis, illum deponere auſus fuiſſet. Inter hæc manſit admirans, nihílque reſcribere voluit, rei indignitate commotus. Dum Euſebius quidam Diaconus Conſtantinopolitanæ eccleſiæ, qui tunc Romæ erat, eccleſiaſticæ vtilitatis gratia, Innocentium adiit, libelliſque traditis adiurauit, ſuſtinerent vt modicum temporis. Fore enim breui, vt ſibi totius ſcenæ facies pateſceret. Poſt triduum aduenerunt Epiſcopi quatuor à Ioanne miſſi, reuerendiſſimi profectò viri, Panſophus Piſidiæ, Pappus Syriæ, Demetrius Galatiæ ſecundæ, Eugenius Phrygiæ, tres Innocentio epiſtolas deferentes, vnam quidem Ioãnis epiſcopi, ſecundam verò Epiſcoporum quadraginta de communione Ioãnis, reliquam ſcripſerat Ioãnis clerus, omnes indiſciplinatum tumultum & ſeditionem pariter ſignificantes. Erat autem epiſtolæ Ioannis huiuſmodi ſeries.

Domino venerabili ac beatiſſimo Epiſcopo Innocentio, Ioannes in Domino ſalutem.

ET ante literas noſtras ad aures pietatis veſtræ perueniſſe putamus præſumptum hîc facinus. Quippe magnitudo ſceleris fecit, vt nulla orbis pars reliqua ſit, quam non huius horrendæ cladis rumor impulerit. Imò ad ipſa quoque extrema terræ geſtorum fama pertingens, ingentem vbiq; gemitum, luctúmque excitauit. Verùm, quia iſta non modò lugere, & planctibus proſequi, ſed emendare pro viribus conuenit, & cautè proſpicere quo pacto hæc ſæuiſſima Eccleſiæ procella ſopiatur, neceſſarium exiſtimauimus, Dominos meos honoratiſſimos ac reuerendiſſimos præſules, Demetrium, Panſophum, Pappum, atque Eugenium hortari, dimiſſis vt Eccleſiis ſuis, ſeſe pelago traderent, & emenſa peregrinatione longinqua, ad veſtram currerent charitatem, omnibúſque lucidè expoſitis, maturè tantæ cladi remedium dari ſalubre poſtularent. Quibus etiam chariſſimos Diaconos, Paulum, & Cyriacum itineris comites dedimus, qui & ipſi vice epiſtolæ charitatem veſtram, quæ hîc geſta fuere, docebunt. Theophilus enim Alexandrinæ Eccleſiæ præſul, cùm à quibuſdam apud piiſſimum Imperatorem inſimularetur, A ſolus ad crimina diluenda venire iuſſus, magna Ægyptiorum multitudine ſociatus aduenit, id fermè initio docere volens, ad bellum ſe ac prælium inſtructum aduenisse. Inde regiam ingreſſus vrbem, non ad Eccleſiam ex more & antiqua conſuetudine venit, non congreſſus eſt nobis, non verbum nobiſcum fecit, non ſimul orauit, non communicauit, ſed vbi naui deſcenderat, valuis Eccleſiæ prætermiſſis, extra vrbem morabatur. Et cùm multis precibus ageremus, vt apud nos tam ipſe, quàm hi, qui cum eo aduenerant, hoſpitarentur, (omnia enim præparata erant, & diuerſoria, & quæque neceſſaria) neque ipſe, neque illi acquieuerunt. Nos vbi iſta comperimus, magna admiratione tenebamur, nullam huiuſce ſimul- B tatis cauſam probabilem inuenientes. Noſtrarum tamen partium munus implere curabamus, id facere inſtituentes, quod eſſet conueniens nobis, ipſúmque iugiter orantes, vt nobiſcum colloqui vellet, & cuius rei cauſa ab ipſis exordiis, tam apertas inimicitias præ ſe ferret, tantámque vrbem ſcandalizaret, exponere. Cùm verò ne ſic quidem cauſam eloqui vellet, accuſatoréſque illius vehementer inſiſterent, accerſitis nobis, piiſſimus Imperator iuſſit, vbi ille morabatur, ire, atque illic, quæ contra illum dicerentur, audire. Nam & ſeditiones, & cædes, & alia illi obiiciebantur innumera. Verùm nos, & patrum decreta reueriti, & virum honorare cupientes, cùm ipſius quoque literas teneremus, quibus cauetur, non oportere iudicia extra ter- C minos fieri, ſed in ſuis quæque prouinciis iudicare, nequaquam acquieuimus, ſed vehementer obſtitimus. At verò ille, quaſi aliqua priora crimina noſtra præceſſiſſent, aduocato Archidiacono meo, nimia cum auctoritate, veluti profectò iam vidua eſſet Eccleſia, neque haberet Epiſcopum, per illum clerum omnem ad ſe tranſtulit. Deſertæ in dies fiebant Eccleſiæ, dum vniuſcuiuſque clerici abducerentur, & libellos aduerſum nos dare, & in accuſationem noſtri nominis conſpirare inducerentur. His ita geſtis mittit, & nos ad iudicium aduocat qui necdum propoſita contra ſe crimina diluiſſet, quod contra canones, & præter omnes leges fieri nullus ignorat. Enimuerò nos rebus certis admoniti, quòd D non ad iudicem euocaremur (alioquin millies iuiſſemus) ſed ad inimicum atque hoſtem, ſicuti & priora, & poſteriora teſtantur, miſimus ad illum Demetrium Piſinuntis, Eluſium Apamiæ, Lupicianum Apiariæ Epiſcopos: Presbyteros verò, Germanum ac Seuerum, reſpondimúſque modeſtè ex noſtro inſtituto, dicentes nos non declinare iudicium, ſed apertum hoſtem, & inimicum manifeſtum. Qui enim libellis nondum ſuſceptis, initio ſtatim talia geſſiſſet, & ſeipſum ab Eccleſia & communione ſegregaſſet, accuſatores parans, & clerum ad ſe transferens, Eccleſiáſque deſertas conſtituens, hic quâ ratione iudicis ſedem, nihil ad ſe pertinentem, aſcendere dignus cenſeatur? Neque enim conſentaneum rationi eſſe, vt Ægypto præfectus Thraciæ

cauſas cognoſceret, ipſe criminibus obnoxius, & inimicus, & hoſtis. His ille nihil mitior factus, nihílque veritus, & quod inſtituerat, perficere cupiens, nobis aſſerentibus paratos eſſe, præſentibus & centum, & mille Epiſcopis, crimina obiecta refellere, munditiámque noſtram aſſerere, ſicuti ſumus profectò mundi, paſſus non eſt. Sed abſentibus nobis, & Synodum conuocare volentibus, iudiciúmque flagitantibus, neque cognitionem cauſæ fugientibus, ſed inimicitias manifeſtas, accuſatores tamen admittebat, & quos ipſe ligaueram, ſoluebat, quíque crimina ſibi obiecta, necdum diluiſſet, eorum libellos accipiens commentaria ſcribebat. Quæ præter ius & fas omne, in iniuriam ſanctorum canonum fiebant. Et quid me multis immorari neceſſe eſt? Non deſtitit omnia & facere & moliri, quoad nos per ſummam vim, nimia auctoritate, & vrbe, & Eccleſia deturbauit, & profundo iam veſpere, cùm plebs omnis nos lamentatione miſerabili proſequeretur, tractus in medio ciuitatis, & violenter abductus, iniectúſque in nauim, noctu nauigabam, quia Synodum ad iuſtum iudicium vocare volueram. Quis iſta ſine lachrymis audire poſſit, quantumlibet ſit lapidei cordis? Sed enim, quia, vt diximus, iſta non modò deflere, verùm & corrigere oportet, charitatem veſtrã precor, vt excitetur atque condoleat, & omnia faciat, vt huiuſmodi calamitatibus tãdem ſit finis. Non hactenus ſtetit iniquitas, ſed prioribus quoque noua ſuccedunt. Nam vbi piiſſimus Imperator iniuſtè & impudenter ingreſſos Eccleſia expulit, plurimíque Epiſcoporum, iniquitate illorum cognita, ad Eccleſias ſuas redierunt, furorem illorum atque impetum, veluti flammam cuncta vaſtantem, fugientes nos in vrbem rurſus euocati ſumus, Eccleſiæque reſtituti, de qua iniuſtè fueramus eiecti. Cùm verò triginta nos Epiſcopi, & clementiſſimi Imperatoris Notarius ad hoc miſſus, reduxiſſent, ingreſſi ad Regem, orauimus, vt ad vlciſcenda facinora Synodum cogeret. Quod ille vbi comperit, fugæ præſidium ſumpſit; veritúſque iudicium, cùm iam Regiæ literæ vbique diſſeminatę omnes omnibus ex partibus conuocarẽt, noctis medio fragili ſe cymbæ cõmiſit, atque ita fugiens ſuos omnes ſecum duxit. Nos conſcientiæ noſtræ fiducia nihilo ſegnius inſtitimus apud piiſſimum Imperatorem, vt Concilium congregaret. Qui ſuæ pietati conſona faciens rurſus ad illum miſit, mandans, vti ad ſe tam ipſe, quàm omnes, qui cum illo fuerant, ex Ægypto aſcendere maturarent, rationem facti ſui redditurí, neque arbitrarentur, quæ adeò nequiter ex vna tantùm parte, & abſentibus nobis, præter patrum canones, geſta fuiſſent, ſibi ad excuſationem quicquam ſuffragari poſſe. At verò ille ſic quoque Regiis conuentus literis, obtemperare non auſus, ſeſe continuit domi, ſeditionem plebis allegans. Agebat id de quorundam ſibi fauentium conſilio. Et certè, cùm hic ipſe populus ante has Imperatoris literas innumeris eũ maledictis aſpergeret. Sed non iſta modò diſcutimus. Hæc tantùm idcirco diximus, vt oſtenderemus quæ eſſet viri modeſtia.

A Verùm nos ne poſteà quidem quieuimus, ſed inſtabamus, iugiter orantes, iudicium fieri, in quo audiri diiudicaríque poſſemus. Parati enim eramus nos ipſos docere inſontes, illos è contra nocentiſſimos, & magni in nos ſceleris reos. Erant autem & ex Syria quidam, qui illi tũc ſemper aſtiterant, & cum illo communiter omnia geſſerant. Aduerſus iſtos quoque parati eramus ſubire iudicium, ſæpiúſque importunè rogauimus, aut commẽtaria, aut accuſatorum libellos nobis tradi, aut criminum naturas aperiri nobis, aut certè accuſatores ipſos in conſpectu dari. Nihílque ex his conſequi meruimus, ſed rurſus pulſi eccleſia ſumus. Quomodo iam, quæ ſequuntur, exponam, omnem excedentia tragœdiam? Quis ſermo ad ea explicanda ſufficiet?

B Quænam auris abſque horrore percipiet? Nobis enim hæc ipſa, quæ antea dixi, prætendentibus, repentè multitudo militum ipſo magno ſabbato, cùm iam in veſperam vergeret dies, eccleſias ingreſſi, clerum omnem, qui nobiſcum erat, per vim eiecerunt, armíſque venerada obſidebantur altaria. Mulieres, quæ intra eccleſiam, vt baptizarentur, ſeſe veſte nudauerant, per id temporis nudæ fugiebant, metu acerbiſſimæ huius commotionis impulſæ, neque ſexus verecundiæ & honeſtati permittebantur præ pauore conſulere. Plurimæ tunc, acceptis vulneribus, eiectæ. Ita cruore piſcinæ replebantur, atque ex huiuſmodi vulneribus ſacri latices colore immutato in ruborem tranſibant. Neque hactenus ſtetere clades, ſed, vbi

C ſancta condita ſeruabantur, ingreſſi milites, ex quibus, vt poſtea didicimus, quidam necdum initiati erant, omnia ſpectabant intus recondita, ſanctiſſimúſque Chriſti ſanguis in tanto tumultu in militum veſtimenta fuſus eſt, omniáque non ſecus quàm in captiuitate Barbarica, facinora paſſim admiſſa. Populus ad ſolitudinem migrare, plébſque omnis extra vrbem excubare cogebatur. Vacuæ fidelibus Eccleſiæ in tanta ſolennitate relictæ, pluréſque, quàm quadraginta Epiſcopi communionis noſtræ, cum populo fruſtra, & ſine cauſa pulſi. Vlulatus, & gemitus, eiulatus item, & lamenta, & lachrymarum fontes, plateas, & domos, & deſerta ipſa compleuerant, & planctu cuncta reſonabant, nulláque vrbis pars huiuſce calamitatis vacua relinquebatur. Fecerat enim calamitatis

D magnitudo, vt non modò qui patiebantur, verùm ipſi quoque, qui nihil eiuſmodi perpeſſi erant, vnà nobiſcum lamentarentur, neque Catholici modò, ſed ipſi quoque hæretici, & Iudæi, ac Gentiles vices dolerent noſtras. Et vti ciuitas per vim in ditionem hoſtium veniſſet, ita tumultu, & perturbatione, & eiulatu plena erant omnia. Porrò iſta, ignorante piiſſimo Imperatore, noctis initio Epiſcoporum factione gerebantur, qui exercitus duces, diaconorum vice, ſecum habere præuios non erubeſcebant. Vbi verò illuxerat dies, ciuitas omnis extra vrbis mœnia migrarat, ſub arboribus, & frondibus, veluti diſperſæ oues, feſtiuitatem celebrantes. Hinc iam poteſtis cætera æſtimare. Neque enim fas eſt omnia perſequi, vt antè iam dixi, neque per ſingulos contingere. Nempe id

acerbiſſimum eſt, quòd tanta incommoda, tot clades finem necdum acceperunt, nullàque ſpes quietis ſupereſt. Verùm in dies augetur peſtis, factíque ſumus in deriſum multis. Imò ridet quidem nullus quantumlibet perditis moribus ſit, ſed ploratu proſequitur, vt dixi, malorum omnium culmen, nouam hanc iniquitatem, & facinus execrandum. Quis verò reliquarum Eccleſiarum perturbationes ac preſſuras eloqui poſſit? Neque enim hîc modò inualuit lues, verùm ad orientalem quoque peruenit Eccleſiam. Quemadmodũ enim à capite dũ noxius humor effunditur, reliqua membra læduntur: ita nũc quoque poſtquam ex hac vrbe magnifica, veluti ex fonte quodam incommoda fluxere, cœperunt turbæ, ac tumultus occupant omnia, & vbique dominantur, omnibúſque fermè in locis clerici contra Epiſcopos inſurgunt. Populi partim abſciſſi ſunt ab Eccleſiæ corpore, partim præcidendi expectantur. Vbique peſtis hęc pullulat, & orbis vniuerſus euertitur. Hæc igitur omnia cogitantes, Domini Beatiſſimi, ac Reuerendiſſimi, dignum veſtræ conſtantiæ, & congruum robur, ac ſtudium ſumite, & hanc perniciem, quæ inuaſit eccleſias, oramus, auertite. Nam ſi hæc inualuerit conſuetudo, & licitum fuerit cuique ex adeò remotis partibus in alienas prouincias prout voluerit, ingredi, & eiicere quoſcunque libuerit, & pro voluntate omnia gerere, non ignoratis, maturè cuncta peritura, bellúmque ſæuiſſimum occupaturum orbem vniuerſum, omnibus laceſſentibus inuicem. Ne igitur immanis iſta confuſio cuncta percurrat, & vbique dominetur, ſcribite, precor, & authoritate veſtra decernite, huiuſmodi iniquè geſta, nobis abſentibus, & iudicium non declinãtibus, nullius eſſe roboris, ſicut per ſuam naturam ſunt profectò & irrita, & nulla. Porrò qui talia geſſere, eos eccleſiaſticæ cenſuræ ſubiicite. Nos autem inſontes neque conuictos, neque deprehenſos, neque vllius criminis reos comprobatos, Eccleſiis noſtris iubete reſtitui, vt charitate frui, ac pace cum fratribus noſtris conſueta poſſimus. Quòd ſi modò quoque voluerint authores ſceleris aperire crimina, quorum gratia nos iniuſtè eiecerunt, dentur nobis commentaria, libelli proferantur in medium, veniant accuſatores mei, ſedeat incorruptum, intemeratúmque iudicium, non recuſo, non renuo, imò & conſtanter hoc expeto. Iudicemur, crimina profectò diluemus, nóſque oſtendemus innocentes, neque criminibus vllis obiectis obnoxios. Nam quæ ab eis modò geſta ſunt, omni prorſus ratione carent, extra omnem ordinem, omnémque legem, ac regulam eccleſiaſticam ſunt. Nunquam id facinus ne in extremis quidem iudiciis, imò neque apud Barbaros ipſos admiſſum eſt. Non Scythæ, non Sarmatæ, vnquam vna ex parte iudicarunt, abſente reo, neque iudicium, ſed odium & apertam ſimultatem declinante, ac milleappellante iudices, & ſeipſum innocentem aſſeuerante, & paratum, præſente orbe vniuerſo, quæque obiecta diluere, ac ſe in omnibus inſontem declarare. Hæc ergo cuncta cogitantes, & à dominis meis venerandis Epiſcopis

A manifeſtius planiúſque cuncta diſcentes, quod eſt partium veſtrarum munus, ſtudium veſtrũ, & operam, ac diligentiam, quæſo, inferre dignemini. Ita enim non nobis tantùm, ſed Eccleſiis quoque vniuerſis gratificabimini, & à Deo mercedem percipietis, qui ob Eccleſiarum pacem ſemper omnia facit. Scripſimus iſta & ad Venerium Mediolanenſem, & ad Chromatium Aquilegienſẽ Epiſcopum. Vale in Domino.

Ad hæc reſcripſit beatiſſimus Papa Innocentius, communióque vtriuſque patris admiſſa, Theophili iudicium caſſum atque irritum eſſe decreuit, dicens, oportere conflari aliam irreprehenſibilem Synodũ occidentalium & orientalium ſacerdotum, cedentibus concilio amicis primùm, deinde inimicis. Neutrarũ quippe partium, vt plurimùm, rectum eſſe iudicium. Paucis CAP. III

B pòſt diebus aduenit Petrus quidam Theophili presbyter, vnà cũ Martyrio Eccleſiæ Conſtantinopolitanæ diacono, ipſius epiſtolas deferens, & quædã ſimul commentariola, in quibus videbatur Ioãnes à trigintaſex damnatus Epiſcopis, ex quibus viginti nouem Ægyptij, ſeptem reliqui ex aliis regionibus erant. Ea commentaria cùm legiſſet Papa Innocentius, comperiſſetq;, neq; culpas eſſe graues, neq; præſentem Ioannem fuiſſe, neq; in faciem reprehenſum, inſaniã Theophili magis ac magis exhorruit, quòd contra abſentem adeò ſæuam, immitémq; ſentẽtiam euomuiſſet. His igitur à ſe dimiſſis, cum literis grauibus temeritatẽ illius laceſſentibus, ſeſe ad orationis ſtudium contulit, indictóque Eccleſiæ ieiunio, cũ lachrymis diuinam precabatur C clementiam, vt huiuſmodi ſeditiones, & ſcandala, ſciſſuræq; tollerentur, & pacis, ac fraternitatis amor, integra membrorum compage, redderetur. Fuit autem Epiſtolæ iſta ſententia.

FRATER Theophile, nos & te, & fratrem noſtrum Ioannem communionis noſtræ eſſe decreuimus, ſicuti & in prioribus literis apertè ſatis expreſſimus. Et nunc in ſententia noſtra & voluntate perdurantes, rurſus eadem ſcribimus. Et quotieſcunque ſcripſeris, niſi debitum ſequatur, conueniénſque iudicium, propter ea, quæ magno cum dedecore ſunt geſta, poſſibile non eſt, nos à Ioannis communione diſcedere. Itaque ſi conſcientiæ confidis, tu quoque iudicio accurre ad Synodum proximè in Chriſto celebrandam, & illic iuxta Niceni D concilij canones & decreta contende. Alios quippe canones Romana non admittit Eccleſia. Quod ſi obtinueris, euidens & irrefragabilis erit ratio tua.

Modicum temporis fluxerat, cùm Theotecnus Conſtantinopolitanus presbyter venit, literas concilij Ioannis viginti quinque Epiſcoporum, aut paulò plurium ferens, quibus docebant Ioannem militũ auxilio vrbe depulſum, & Cucuſſum in exilium miſſum, Eccleſiámque incenſam fuiſſe. Cui & ipſi communionis literas, & ad Epiſcopum Ioannem, & ad omnes communicantes ſibi Epiſcopos tradens, orabat cum lachrymis, vt patienter tolerarent, cùm opem ipſe ferre non poſſet, eò quòd nonnulli obſiſterent potentes aduerſarij, Eccleſiaſticæ pacis inimici. Poſt paululum rur-

ſus applicuit homunculus aſpectu fœdus, animo perditus, Paternus nomine, Conſtantinopolitanæ Eccleſiæ ſe presbyterum dicens, qui & ipſe totus elatus, & faſtu turgidus, & ipſo geſtu inimicitias præferens plurima contra Ioannem Epiſcopum maledicta vomebat. Hîc literas paucorum Epiſcoporum Acacij, Pauli, Antiochi, Cyrini, Seueriani, & aliorum quorundam Innocentio reddidit, quibus Ioannem calumniabantur, quaſi incendiſſet Eccleſiam. Mendacium apertè deprehenſum eſt, cùm eius rei, quippe quæ illi non fuiſſet obiecta, mentionem in Synodo nullam feciſſet Ioannes. Eum Innocentius cum indignatione abiiciens, ne reſcribere quidem voluit. PALLADIVS. Quæſo mihi aurem parumper accommodes, vt tibi per ſingula rei ordinem pandam. Nimis enim, vt ait Heliu ad Iob, anguſtat me ſpiritus ventris, ventris nomine mentem ſignificans ſermonibus plenam. THEODORVS. Neceſſe eſt, Pater optime, me omnia diligentius proſequi, quæ peruenerunt ad noſtram notitiam, vt ita demum, quæ inſtitui, rogare abs te poſſim. Paucis poſt diebus aduenit Epiſcopus Cyriacus, nullas quidem habens literas, ſed is planè, cui fides meritò habenda videbatur, eadem proſequens, quæ ab Epiſcopis de Synodo Ioannis fuerant ſcripta. Aiebat enim ſe fugiſſe propter comminationem regalis edicti, ita continentem: *Si quis non communicat Theophilo, Arſacio, & Porphyrio, hic epiſcopatu quidem arceatur. Amittat verò, ſi quam videtur habere ſubſtantiam pecuniarum, ſiue prædiorum.* Poſt Cyriacum aduenit Eulyſius Apamiæ Bithyniæ Epiſcopus, afferens literas à quindecim Epiſcopis de Ioannis concilio, & à præclaro ſene Anyſio Theſſalonicenſe Epiſcopo, in quibus illi quidem & præcedentem, & quæ tunc erat, Conſtantinopoleos totius deprædationem, vaſtitatémque ſignabant. Anyſius verò Romanæ ſe Eccleſiæ iudicium ſequi fatebatur. Porrò Euliſius ipſe conſona Cyriaco per omnia dixit. Vix menſis fluxerat, cùm Palladius quoque Epiſcopus Helenopoleos abſque literis venit, qui & ipſe fugiſſe dicebat veſaniam principum. Expreſſius autem ac ſignantius enarrauit omnia, ipſumque exempla edicti protulit in hanc ſententiam: Quicunque occultaſſet Epiſcopum, aut clericum, ſiue in ſua domo ſuſciperet, qui Ioanni communicaret, eius domum publicandam. Poſt Palladium Germanus presbyter, Caſſianúſque diaconus Ioannis, viri magnæ religionis, literas ab omni clero Ioannis attulerunt, continentes, eccleſiam ſuam tyrannidem perpeſſam eſſe, Epiſcopo per vim militum eiecto, & in exilium miſſo, agentibus id Acacio Berœenſi, Antiocho Ptolemaidis, Seueriano Gabalenſi, Theophilo Alexandrino. Oſtenderunt & breuiculum memorati viri, vbi ornamenta ſub iudicibus teſtibus tradunt, ſubſcriptum manu Studij præfecti vrbis, Eutychiani prætoris, Ioannis comitis theſaurorum, & Euſtachij quæſtoris, ac tabularij, in auro, & argento, & vaſis, vt Ioannis Epiſcopi calumniam diluerent. Poſt iſtos venit ſecundò Demetrius Epiſcopus Piſinuntis, qui peragrato oriente, prædicauerat communionem Eccleſiæ Romanæ cum Epiſcopo Ioanne, teſtibus Papæ Innocentij literis, afferens epiſtolas ab Epiſcopis curiæ, in quibus Ioannis amplectuntur communionem. Ab Antiochenæ itidem Eccleſiæ presbyteris, vbi Romanorum ſequuntur diſciplinam, laudantes integritatem iudicij, & ordinationem apud ſe factam de Porphyrio, vt illicitam ac nefariam execrãtes. Poſt hos omnes venit Domitianus ſacerdos, Conſtantinopolitanæ diſpenſator Eccleſiæ, & Vallagas quidam Niſybius presbyter, exponens monaſteriorum Meſopotamiæ gemitum & eiulatum. Simul & commentaria Optati cuiuſdam præfecti reddiderunt, vbi honeſtæ mulieres ex genere conſulari publicè ad eum adductæ memorantur, Conſtantinopolitanæ Eccleſiæ diaconæ, ita vt cogerentur, aut Arſacio communicare, aut fiſco ducentas auri libras applicare. Quid autem de Monachis & Virginibus dicere oportet? Oſtẽdebat ſecta in ligno latera, terga cæde conſciſſa. Non tulit vltrà Innocentius Pontifex, indignitate ſumma permotus, ſcripſitque ad Honorium Imperatorem, literarum huiuſmodi ſenſu diſtinctè ſubiiciens. Deſunt literæ. Motus his literis princeps, præcepit Synodum occidentalium Epiſcoporum congregari, & cùm in vnam ſententiam concurriſſet, ad ſe referre. Cõgregati Italiæ Epiſcopi Imperatorem orant, vt ſcriberet Arcadio fratri ſuo, vt iuberet Theſſalonicæ concilium fieri, quò facilius poſſent vtræque partes orientis occidentiſque concurrere. Addentes perfectam Synodum, non numeri quantitate, ſed qualitate ſententiæ, certam & irrefragabilem tuliſſe ſententiam. His inflammatus imperator, Epiſcopo quidem Romano ſcribit, vt mittat Epiſcopos quinque, Presbyteros duos Romanæ Eccleſiæ, diaconum vnum, qui ipſius ad fratrem epiſtolas ferrent. Erat autem hîc tenor Epiſtolæ.

TERTIÒ iam ſcribo ad manſuetudinem tuam, orans, vt quæ contra Ioannem Epiſcopum Conſtantinopolitanum malignè eſſent geſta, corrigeret. Verùm id hactenus, vt video, factum non eſt. Quocirca rurſus per ſanctos Epiſcopos & Presbyteros ſcribo, pacis Eccleſiaſticæ auidus, & ingenti cura ſollicitus (pacatis enim Eccleſiis, Imperio quoque noſtro pax peruenit) vt epiſcopos orientales iubeas Theſſalonicæ conuenire. Noſtri quippe occidẽtales Epiſcopi electos viros miſerunt, ſeueræ conſtantiæ, & qui neutram in partem inclinentur amore, vel odio, Epiſcopos quinque, Presbyteros Romanæ Eccleſiæ duos, vnúmque diaconum, quos vt omni cum honore ſuſcipias, quæſo, vt ſiquidem illis perſuaſum fuerit Ioannem iuſtè fuiſſe expulſum, doceant me ab eius communione diſcedere. Sin autem deprehenderint ſponte malignatos orientis Epiſcopos, ab illorum te itidem communione ſecernant. Quænam verò ſit occidentalium de Epiſcopo Ioanne ſententia, ex omnibus fermè epiſtolis conſtat, quas ad me frequentes dederunt. Ex his duas idem continentes, quod reliquæ, ſubdidi, ſcilicet Romani, & Aquilegienſis Epiſco-

pi. Hoc autem ante omnia de tua mãſuetudine poſtulo, vt Theophilum Alexandrinum, inuitum etiam adeſſe præcipias. Per hunc enim mala omnia emerſiſſe memorantur, vt aduenientium Epiſcoporum Synodus in nullo impedita, congruam temporibus noſtris afferat pacem.

Cap. IV. Acceptis igitur ſancti viri, Æmilius, & Cythegius, & Gaudentius Epiſcopi, vnà cum Valentiano, Bonifacióque Presbyteris, Imperatoris Honorij, & Papæ Innocentij, & Italiæ Epiſcoporum, Chromatij Aquilegienſis, & Venerij Mediolanenſis, ac reliquorum epiſtolis, vnà & commonitorio concilij totius occidentis, conditionibus publicis Conſtantinopolim conceſſere, erat autem commonitorium huiuſmodi: Non oportere Ioannem iudicium ingredi, niſi illi prius eccleſia, communióque redderetur, vt omni dilatione occaſionis ſublata, ſua ſponte concilium ingredi poſſet. Profecti igitur Cõſtantinopolim, poſt quatuor menſes redierunt, nunciantes nobis Babylonias res. Cùm præternauigaremus Græciam, aiebant, detenti ſumus Athenis ab infeſto quodam Tribuno militum, qui idem nobis centurionem adiecit vnum, qui Theſſalonicæ propinquare minimè permitteret. Illic enim intendebamus primùm Anyſio Epiſcopo literas reddere. Iniectos igitur in duo nauigia emiſit. Irruente autem Auſtro vehementi, tribus diebus abſque cibo, Ægæum pelagus, & anguſta traiecimus. Tertia tandem die, hora duodecima ante vrbem applicuimus prope Victoris ſuburbana. Quo in loco detenti ab his qui obſeruant portus, retrò diſceſſimus, cuius id iuſſione pateremur, ignorantes. Concluſique intra caſtellum Thraciæ maritimum, quod Athyram vocant, illícque cruciati, atque ab inuicem diuiſi, Romani quidem in cellula vna, Cyriacus verò, & qui cum illo erant, in pluribus morabamur, ne vno quidem puero nobis in miniſterio relicto. Cùmque vt literas daremus, exigeretur à nobis, non acquieuimus, dicentes minimè eſſe conueniens, vt qui ſenes eramus, ipſi Imperatori Imperatoris itidem literas, Epiſcoporúmque redderemus. Cùm igitur obſtinatè recuſaremus, neque aduenienti ad nos Patricio Notario, neque aliis quibuſdã, qui ad hoc venerant, eas dare vellemus: poſtremò acceſſit quidam ex Cappadocia, tribunus militum, Valerianus nomine, perfractóque Epiſcopi Mariani pollice, per vim abſtulit ſignatam regis epiſtolam cum literis reliquis. Poſtridie verò miſerunt ad nos, ſiue regis Aulici, ſiue Atticus, neſcimus, ipſe enim ferebatur Eccleſiæ inuaſiſſe thronum, qui tria millia numiſmatum darent, orantes, vt communicaremus Attico, & de Ioannis iudicio omnino taceremus, quibus minimè obtemperare voluimus. Permanſimus igitur orantes, vt quandoquidem nihil pacificum peragere poſſemus, tutò ſaltem redire ad eccleſias noſtras permitteremur. Mouebat enim nos nimia immanitas hominum. Hoc & Saluator noſter variis reuelationibus nobis ante monſtrauerat. Adeò, vt & diacono ſancti Emmelij Paulo, viro mitiſſimo, & pudiciſſimo in naui apparuerit apoſtolus Paulus,

Epheſ. 5. dicens illi: Videte, quomodo ambuletis, non A quaſi inſipientes, ſed vt ſapientes, ſcientes, quoniam dies mali ſunt, ſignificante ſomnio multiplicem fallaciam, quæ ad euerſionem veritatis, nobis inſidiaretur donis, atque blanditiis. Aſſiſtens igitur idem ipſe Tribunus Valerianus, iniecit nos in nauim vetuſtam, & putrem, datóque vt ferebatur, pretio nauclero, vt perderet nauigantes, ſimul & militibus adiectis viginti ex ordinibus variis; continuò Athyris expulit. Emenſis igitur ſtadiis plurimis, cùm iam perituri videremur, applicuimus Lampſaco. Inde mutata naui, vigeſima tandem die ad Calabriæ Hydruntem peruenimus. Neque nobis edicere vltrà potuerunt de beato Ioanne aliquid certius, neque vbi modò ſint Demetrius, Cyriacus, Euliſius, & Palladius, qui cum noſtris Epiſtolis B legati fuerant miſſi, & Athyris, vt antè iam diximus, detenti. Pallad. Agè iam ſacratiſſime miniſter Chriſti, mihi intende animum, & quæ à me dicuntur, auſculta. Aperiam deinceps tibi totius tragœdiæ Satyricos in medio tumultus, & vnde ebrietati dederit manus, & quatenus ceſſare viſa ſit, necdum verò deſierit. Omnium quidem malorum, vt iam dixerim, fons atque initium dæmon eſt, boni totius inimicus: qui ſemper, lupi in morem, aduerſatur Chriſti rationalibus gregibus, peritos quoſque paſtores perſecutionibus variis attrociter vaſtans, non ſecus, quàm ille quondam Ægyptiorum rex, maſculos Iudæorum, terrenarúmque voluptatum illecebris ſtolidos quóſque, falſóſque paſtores illaqueans. Porrò peſſimi huiuſce C fontis riui, vt toto terrarum orbe percrebuit, Acacius, Antiochus, Theophilúſque, & Seuerianus ſunt, qui, cùm id dicuntur, quod non ſunt, dici, quod ſunt, ferre non poſſunt. Sunt autem ex omni clero Preſbyteri duo, Diaconi quinque, partim ex impuro, partim ex noxio numero congregati. Quos ignoro equidem, an tutum ſit Presbyteros, ſeu Diaconos appellare. Cæterum ex aula Regis duo tãtum, aut tres ſunt, qui etiam Theophilo neruos addiderunt, militari manu opem ferentes. Mulieres præterea, quæ celebres ſunt, tres, viduæ quidem, ſed opulentæ, in perniciem ſalutis ſuæ pecunias ex rapina poſſidentes, quæ virorum quoque conſtantiam perturbare poſſint, atque concutere, Marſa Promoti vxor, Caſtricia Saturnini, & D Eugraphia quędam, nimia inſania feruens. Cætera eloqui verecundia prohibet. Iſtę atque iſti cùm infideli corde ſint ſegnes, veluti phalanx furore ebria, in vnam ſententiam odioſam concurrentes, aduerſus eccleſiaſticam pacem torrentem perditionis per ſummam inſaniam concitarunt. Theodorvs. Perge Pater, & coram Deo cauſam odij iſtorum aduerſus tantum virum nobis ediſſere, quæve fuerit Epiſcopi Ioannis ratio, vt contra tot poteſtates decerneret ſtare. Et illud ſimul expone, quódnam vitæ ipſius initium fuerit, & quo pacto fuerit ad Conſtantinopolitanæ Eccleſiæ prouectus ſedem, quanto eam tenuerit tempore, cuiuſmodi vixerit moribus, quo etiam fine defecerit, ſi tamen mortuus eſt, vt fama vulgauit. Quamuis enim apud omnes fermè

A inualuerit mira de virtutibus & ſanctitate illius opinio, conſueui tamen ipſe non facilè rumoribus credere, priuſquàm ab his, qui ritè vel vituperare, vel laudare nouerunt, certior fiam. PALLADIVS. Laudo equidem diligentiam tuam, amiciſſime ac veritatis ſtudioſe Theodore, ſed minimè iudicium probo. Oportuit enim te ipſa noſtra canitie, vt de me interim loquar, & dignitate ipſa, vt vera crederes, quæ à nobis diſcerentur, induci. Quoniam verò iſtud minimè feciſti, & iam ſecundò coram Deo conueniſti conſcientiam noſtram, ſaltem poſthac fideles mihi aures accommoda, ne incaſſum ſermo decurrat. Scio

Pſal. 5. enim ſcriptum: Perdes omnes, qui loquuntur mendacium. Et Apoſtolus Ioannes: Qui mendacium loquitur, inquit, non eſt ex Deo. Et

Pſal. 62. Dauid rurſum: Quia obſtructum eſt os loquentium iniqua. Reuera enim iniquè agit, qui fallit eum, cui perſuadet. Iniquè item & qui auſcultat, mentienti facilè credens. Cùm igitur æqualiter vterque peccet, neuter noſtrum iniuria afficiat proximum. Eſt enim hæc virtus, vt is quidem qui dicit, vera proſequatur, qui verò audit, iniqua diiudicet. Eſtote enim, inquit Scriptura, probabiles trapezitæ, falſum aurum & argentum à vero & probato ſecernentes, non vt paſſim mulcentem aures ſonum admittamus, ſed & diuino timore, & conſcientia, quæ dicuntur, aut ſcribuntur, ponderantes rerum teſtimonia ſuſcipiamus. Auriũ quippe, ac linguæ ingens periculum eſt. Idcirco & præſtantiſſimus rerum opifex Deus hanc geminis labiis ſeruare conſtituit, cùm interius quoque dentium eam vallo cinxiſſet, vt huius facilitatem huiuſmodi munitione coërceat, ſecun-

Pſal. 143. dùm quod ſcriptura dixit: Pone Domine cuſtodiam ori meo, & oſtium munitionis circa labia mea, vt non delinquam in lingua mea. Porrò cauernas aurium flexuoſas, atque tornatiles fecit: ex ipſo habitu admonens, non citò in eas irrumpere debere ſermonem, vt dum maioris temporis mora circum foramina vertitur, mendacij materiam cum malitiæ ſordibus ponat, ad ripas ipſas, & aurium margines tenuiter excollatus. Non modò autem iſtiuſmodi inſtrumentorum, vt quæ ſola delinquant, curam habuit, verùm pupillis quoque, veluti feneſtris, velamina poſuit, ne impudicitiæ intus admitterent mortem, de qua Propheta teſtatur, dicens:

Hier. 9. Mors intrauit per feneſtras veſtras. THEOD. D Si quidem de rebus quibuſlibet nõ magni ponderis mihi eſſet inquirendum, ſufficeret profectò, Pater beatiſſime, vel aſpectus ipſe tuus verbis fidem facere. Quoniam verò & ea requiro, quæ ſunt maxima, mendacium verò non modicam in præſentiarum quidẽ confuſionem, poſtmodum verò etiam damnationem affert, quando ante tribunal illud terribile & principes, & populi ſimul aſſiſtent. De veritate autem eſt quæſtio, da veniam Pater, neque mihi iam velim canos obiicias, & mali enim ſæpe ſenuerunt, non animam virtute canam, ſed corpus æui diuturnitate rugoſum præferentes. Cuiuſmodi & illi fuerunt in Babylone presbyteri, & in Samaria Effraim, in cuius probrum

Propheta clamat: Effraim columba ſeducta, non habens cor. Cani aſperſi ſunt, ipſe autem ignorauit. Iterato item ſeuerius dicit, Factus eſt Effraim ſubcineritius, non conuerſus, & alieni comederunt robur eius. Et illud etiam addam, licet fiat ſermo prolixior. Quis ornatior canis, ſi ætatem aſpicias? quis aſpectu modeſtior Acacio illo, quem modò culpabas, & ſeditionis authorem, & ſceleris eorum ducem, qui nouitatibus gaudent: Cuius ipſe quoque nares canos attraxerant, quando Romam profectus eſt, ordinationis Epiſcopi Ioannis decretum ferens? PALLAD. Nunc planè cognoui, probatum te eſſe trapezitam, dum non cutis tabernaculo credis, ſed inhabitantis inquiris diſciplinam. Nempe enim, & Ægyptiorum templa, cùm vaſtæ magnitudinis ſint, & ſpeciem lapidum præferant, Simias habent intus, Deo- B rum vice, & Ibices, & Canes, & infinita portenta. Deus autem noſter ac Dominus cùm Samueli de conſtituendo Iſraëli principe reſponſa daret, admonuit, ne ſtatum lutei corporis ac formam attenderet, dicens: Non ſicut homo, videt Deus: homo enim in facie, Deus autem in corde. Quocirca imitatores Dei in rebus omnibus altiora quæq; & abſtruſiora ſcrutantur. Ideo promptè accedo tibi, ſtaterámque tuam, nunquam in alteram partem inclinantem, libenter amplector. At verò Babylonij ſenes quidem corpore, ſed animo præ ſtoliditate nimium paruuli, ſi mortuorum reſurrectioni credidiſſent, primùm quidem ſapientia validi nequaquam Suſannam alterius vxorem amauiſſent. Deinde autem, ſiquidem Dei C timorem habuiſſent, nunquam impudicitiæ ſuæ calumniam quoque innocentis coniunxiſſent. Id verò ſummæ ignominię & dedecoris indicium eſt, quòd ſeniores iuuenilem ſpeciem violare voluiſſent. Sed his omiſſis, ad ea, quæ de ſancto viro inquiſiſti, enarranda pergamus.

Oſee. 7.

Dan. 13.

1 Reg. 16.

Cap. 1.

IOANNES genere Antiochenus fuit, natus ex parentibus nobilibus, & qui in Syria inter militares maximè illuſtres eſſet. Mater eius cùm filiam primo partu edidiſſet, ſecundo hunc loco enixa eſt. Cùm autem, emenſis infantiæ rudimẽtis, ad pueritiæ perueniſſet annos, & magna ingenij præ ſe ferret indicia, literarũ ſtudiis traditus eſt, inſecutúſque ardenter diſciplinas liberales iam tunc ſe ad ſanctarum ſcripturarum miniſterium comparabat. Inde cùm octauum decimum ageret ætatis annum, oratoriæ operam dans, adoleſcentiæ lubricum perpetua exercitatione declinauit. Vbi verò virilem induerat ſenſum, ſanctarum literarum amore correptus eſt. Regebat autem per id temporis Antiochenam Eccleſiam vir totius ſanctitatis Meletius confeſſor, Armenius genere. Is cùm adoleſcentis indolem ſolers explorator intenderet, ad ſe aſcitum ſecum iugiter eſſe permiſit, ſibiq; familiariter adhærere. Amabat enim cordis illius pulchritudinem, propheticis oculis præuidens, quorſum indoles tãta eſſet euaſura. Cùm verò aſſidentem ſibi fide, ſacriſq; dogmatibus diligẽter inſtrueret, poſt triennium fermè lauacri regeneratione mundatum, lecto-

rem ordinauit. Verùm, ſtimulante conſcientia, ne contentus eſſet laboribus ciuitatis, in ipſo iuuentutis flore, ſenſu planè integro, vicinos occupat montes, ibíque congreſſus ſeni cuidam Syro, continentiæ in primis ſtudioſo, ſeſe illi ſocium dedit, imitatus vita continentiam, duritiámque propoſiti. Manſit autem apud illum annos quatuor, incentiua naturalis ardoris diuinarum literarum ſtudiis ſuperans. Vbi verò motus omnes iuuenilis ætatis non tam labore, quàm ratione ſuperauit, deſiderio deliteſcendi, ſolus remotiorem eremum petiit, illícq; ſpeluncæ incluſus biennium fermè peregit. Quo in tempore iugiter fermè ſine ſomno perſiſtens, ſcripturas ſanctas penitus edidicit, earúmque perpetua meditatione ignorantiam à ſe longè fugauit. Verùm cùm toto biennio nunquam cubuiſſet, non nocte, non die, ſubiectas ventri partes omnino mortificat, frigore virtutes renum feriente. Quod ille vbi animaduerteret, eccleſiaſticum rurſus occupat portum. Id autem diuina prouidentia factum ſcimus, quæ hunc ad eccleſię vtilitatem ab exercitatione immodica infirmitatis occaſionibus repellit, vt impeditus ægritudine ſpeluncis renunciare cogeretur. Hinc iam à Meletio Diaconus ordinatus, quinque annis venerandis miniſtrat altaribus. Sed cùm doctrinę illius gratia cunctis innotuiſſet, populíque fideles vitæ illius continentia, veluti ſale, condirentur, Presbiter à ſanctæ memoriæ Flauiano Epiſcopo conſecratur inuitus licèt, ac multum renitens. Notatur id ex his libris, quos de ſacerdotio adhuc ſolitarius ſcripſit. Permanſit autem bis ſenis annis in officio presbyterij, Antiochenam Eccleſiam vitę munditia illuſtrans, partim vndis ſpiritus recreans. Agebat Epiſcopi vices in prædicatione verbi Dei, omniúmq; corda mirabili facũdia, ſcripturarum dulcedine ornata, ad ſe rapiebat. Quàm multos, quàm pulchros, quàm neceſſarios, plenóſque vtilitatis tractatus ediderit, quis referre ſufficiat? Sed omitto iſta, tuóque, Theodore, iudicio examinanda relinquo. Neque enim ſunt, aut eſſe poſſunt obſcura, quæ ſcripſit. THEOD. Mirabilis planè gratia viri in docendo fuit, atque ex his quæ ad manus noſtras peruenire potuerunt, magna ipſius excellentia noſcitur. Sed perge quæſo, ſeriémque narrationis exequere. PAL. Dum hæc agerentur, & Chriſto gubernante, proſpero curſu cuncta ſuccederent, moritur Beatus Nectarius, Conſtantinopolitanæ ſedis Epiſcopus. Hinc iam plerique ſponte cõcurrunt, Eccleſiæ præfici cupientes, viri planè non digni, ſacerdotalis quidem ordinis, ſed nihil habentes dignum ſacerdotio. Qui, dum meritis diffidunt ſuis, Pontificis ſolium electione fidelium deſperantes poſſe adipiſci, partim palatij obſeruant fores, alij munera potentibus tribuunt, alij populis genu poſito ſupplicãt. Ad hæc plebs fidelis indignans, regem pia intentione ſollicitat, paſtorem peritum ſibi dari ſuppliciter poſtulans. Agebat in rebus Eutropius ſpado, præfectus cubiculi regij. Cupiens igitur Ioannem Præſulẽ fieri, cuius illi virtus erat notiſſima, cuiúſque tunc periculum fecerat, cùm in cauſa regia interiora penetraſſet orientis, ſuadet Imperatori, ſcribat vt ad Antiochię Comitem, mandans, vt abſque ſtrepitu vllo & perturbatione Antiochenæ ciuitatis mitteret Ioannem. Acceptis litteris, Comes mandatum ita exequitur. Rogat Ioannem, vt ſecum extra vrbem pergat vſque ad Martyria, prope portum, quæ Romana appellatur, impoſitúmque rhedæ publicæ, miſſo eunucho vnà, & magiſtro militum, tradit. Adductus hoc modo, Conſtantinopolitanæ Eccleſiæ ordinatur Epiſcopus. Initio igitur Theophilus, Alexandrinus Epiſcopus, ipſius conſtantiam, irreprehenſibilémque fiduciam intuens, ordinationem eius impedire conatus eſt. Ex ipſo quippe aſpectu callet interiorem hominis voluntatem, ſententiámque dignoſcere. TH. Suſtine quæſo, pater, dum te interrogo. PALLAD. Tu verò interroga quæ vis. THEOD. Et ſi eiuſmodi Theophilus eſt, tantóque viget acumine, quomodo non præuidit fore, vt, pulſo illo, orbem perturbaret vniuerſum? PALLAD. Non iſtuc mirare fili. Nam & Dæmones, cùm aduentum Chriſti non ignoraſſent, neſcierunt tamen futurum, vt vnà credentium illi inſufflatione ligarentur. THEOD. Vbínam illi Saluatoris aduentum cognouerunt? PALLAD. Cùm clamarent, Scimus te, quis es, Sanctus Dei. Quid veniſti ante tempus torquere nos? Vides, vt illi præſcierunt, non modò quòd ſanctus, verùm etiam quòd iudex eſſet. Quid autem de dæmonibus loquar? Infelicia ſcorta ex ipſo oculorum motu pudicos agnoſcunt, ac fugiunt viros, non ſecus, atque infirmus oculus ſolis iubar, & vultur vnguentum. Vnde verò peccantibus execrationi pietas eſt, ſi ipſam minimè nouerunt? Ita & Theophilus ex quo id quod erat, infirmis oculis ſuis gratum non inuenit in Ioannis aſpectu, coniectura, non veritate ſcientiæ, quod erat ſibi contrarium, comprehendit. THEOD. Mirificè reſpondiſti, Pater. Sed cur ille quæſo ordinationi reluctatus eſt? PALLAD. Mos ſibi fuit bonos ac ſenſatos viros non ordinare, ſed duntaxat, qui defectu aliquo inſignes eſſent, vt omnes veluti inſipientes obtineret. Maluit enim ſuperare ſtolidos, quàm ſapientibus accommodare aurem. A ſalutari tamen prouidentia, vellet, nollet, ſuperatus eſt. Ordinatus itaque Ioannes, paſtoris officiũ diligenter exequitur, rationali fiſtula experimẽtum ouiũ facere aggreſſus. Rarò autem, ſed tamen neceſſariò virga correptionis vtens, ſermonem exacuit aduerſus fictam, non fraternam, vt eam appellant, ſed planè fœdam, atque inhoneſtam vitam eorum ſacerdotum, qui mulieres, quas ſubintroductas vocant, ſecum habere vellent. Aſſerens, comparatione mali, tolerabiliores eſſe lenones. Illi enim longè à medicinæ taberna ſeparati, ſeorſum habent, qui ſua ſponte infirmi eſſe delegerunt. Hi autem intra ſalutis officinam habitantes, ſanos ad morbum euocant. Hinc iam pars impia cleri eo preſſa morbo, eáque febre correpta, ægrè ferebat. Hac ergo peſte [illegible]alata & curata, orationis iacula intorquet [illegible]ra iniuſtitiam, acrémque malorum cupidit[illegible] euertit, ac deſtruit, vt iuſtitiæ ædificium conſtruat. Id quippę

Lucæ. 4.

Epiſcopi electio.

ſapientis architecti proprium eſt, prius mendacij diruere molem, poſtea fundamentum iacere veritatis, ita & Propheta dicente: Conſtitui te ſuper gentes, & regna, vt euellas, & plantes, & deſtruas, & ædifices. (Hier. 1.) Illud quidem agricolæ, hoc autem congruit architecto. Ex hoc rurſus offenditur pars obſeruantium ſacculos. Poſt hæc victum quoque caſtigat clerı diligenter, orans, & exhortans, vt contenti ſtipendiis ſuis, nidores diuitum non ſequerentur, ne fumum huiuſce inſequentes libidinis flammæ traderentur, aſſentatorũ ac paraſitorum inſtituto viuentes. Hinc lurcones plurimi pulſati atque irritati authoribus calumniæ ſe coniungunt. Poſt hæc diſpenſatoris eccleſiaſtici ſcripta relegens, inutiléſque eccleſiæ ſumptus deprehendens, amputari hos protinus iubet. Acceſſit & ad ſolennes Epiſcopi ſumptus inſpiciendos, inueniénſque immodicam profuſionem, transferri hanc magnificentiam ad infirmorum ſolatia præcipit. Et cùm ſupereſſent pecuniæ, noua quoque infirmorum receptacula conſtruit præficiens his duos ex ſacerdotum numero religionis ſummæ viros, & medicos, & coquos, & miniſtros, qui ſine vxoribus eſſent, eis ad obſequium ſtatuens, vt aduentantes hoſpites, morbo deprehenſi, & eo maximè, qui Sacer appellatur, curarentur, & ob ipſum bonum, & pro gloria Redemptoris. (Noſodochio præfecti ſacerdotes.) Dehinc viduarum aduocat agmen, ſolertè explorans, quæ non rectè conuerſarentur inter illas, inueniénſque nonnullas carni deditas, admonebat, vt aut ieiuniis ſtuderent, balneiſque & exquiſitis abſtinerent veſtimentis: aut repetere maturatò connubia, ne diuina lex & nomen Domini per illarum intemperantiam blaſphemaretur. Ad hæc fideles quoſque Laïcos hortabatur, vigiliis nocturnis in eccleſia inſiſtere, vxores autem horum domi manere, interdiu orantes, ideo quòd viris die ocium non eſſet. Hæc omnia quoſque negligentiores de clero contriſtabant, totis noctibus dormire conſuetos. Poſt hæc autem aduerſus diuites linguæ exacuens gladium, animi puſtulas ſcindere aggreditur, faſtum eos turgidum ponere admonens, & hominibus cæteris ſe exiſtimare pares, iuxta illud Apoſtoli ad Timotheum: Diuitibus huius ſeculi præcipe, non altum ſapere, neque ſperare in incerto diuitiarum. Dum hæc itaque geruntur, Eccleſia quotidie in melius proficiente, & ciuitate omni mirificè ad religionis ſtudium conuerſa, animabúſque fidelium pudicitia, & pſalmorum cantu exultantibus, non tulit bonorum inimicus Dæmon eos per Ioannis doctrinam eripi ſibi, quos dudum tenuerat captiuos, vt erant, qui Circo, & Arenæ, ac Theatro eatenus dediti omiſſa diaboli ſcena, ad Saluatoris currebant ouile, attracti amore dulcis fiſtulæ paſtoris eximij.

Cap. VI. Ex hoc iam mercenariorum; non planè paſtorum, animas occupat liuor, quos paſtoris induſtrij collatio reddebat obſcuros. Quam ideo vincere non valentes, quia p[illegible]atorem inuidiæ, Dominum non inuo[illegible]t, aduerſum Ioannem calumnias ſtruu[illegible]ſermones ipſius quoſdam aſſumentes, & vt dictos in probrum Reginæ, & quorundam de aula Regis, inuidioſè diuulgantes. Per id autem temporis contigit, vt Acacius Epiſcopus Beroæ aduentiens honeſto, vt dicebat, careret diuerſorio. Qua ex re indignatus ira excandeſcebat, quaſi fuiſſet à Ioanne contemptus. Victus autem cogitationibus improbis, ex abundantia cordis, verbum plenum ſtultitiæ protulit, dignum ipſius animo, præſentibus quibuſdam Ioannis clericis, dicens: Ego ipſi ollam condio. Ex eo Seueriano coniunctus, & Antiocho, & Iſaac Syrulo circunforaneo, falſorum monachorum duci, qui tempus omne contriuerat in maledictis, linguam ſemper aduerſus Epiſcopos inſtruens, tractans quo pacto aduerſus Ioannem, imò contra Dominum Saluatorem, ſeſe armare queant. Mittunt primùm Antiochiam, adoleſcentiæ illius crimina ſtudioſè inquirentes. Vbi autem defecerunt ſcrutãtes ſcrutationes, nihílq; inuenerunt, quo illius fucarent gloriam, Alexandriam ad Theophilum mittunt, cuius nouerant verſatile ingenium, ad huiuſmodi ſapienter viciſſim machinanda. Is poſtquam literas iuxta cor ſuum legit, oblatam ſibi malignandi materiam amplexus perlibenter, horrido ſilentio ſcrutabatur, inquirens occaſionem aliquam, vel leuem contra Ioannem. Theod. Cohibe pauliſper orationis impetum, Pater, vt antequam obliuio ſubrepat, eloquar tibi cauſam, quæ ex Alexandria ad nos vſque manauit. Aiunt enim quòd depoſitos à Theophilo clericos Ioãnes ad communionem ſuſceperit, ac per id illum contriſtauit, quod non oportuit fieri, ortãque ob id ſimultate, contra Ioannem ille inſurrexit. Pallad. Vt demus vera eſſe, quæ ſermo iactauit, éſtne Epiſcopi, malum malo curare? Et vbínam euangelicum illud eſt, quod ait; Sol non occidat ſuper iracundiam veſtram? (Epheſ. 4.) Vbi item Apoſtolicum illud: Vince in bono malum? (Rom. 12.) Vbi Propheticum quoque elogium: Si reddidi retribuentibus mihi mala? (Pſal. 5.) Quanto erat rectius, coram religioſis Epiſcopis illum inſimulare, & ita verſare. Frater Ioannes, cur hoc, atque hoc feciſti? vt Ioannes reſpondere poſſet, ſe iſtud ignoraſſe. Theod. Verum dicis, ſi quid fuiſſet in illo bonæ voluntatis, & non, vt iræ ſuæ ſatisfaceret, obtenderet clericorum cauſam. Pallad. Per timorem Dei, qui timoribus cæteris dominatur, & præualet, non tibi aliter, quàm ſe habet res, de his, quos modò memoraſti, clericis loquar. Iſidorus quidam Presbyter à beato [illegible]hanaſio, magno illo viro, ordinatus, octogeſim[illegible]m agẽs ætatis annum, quem nouerunt Roman[illegible]rum plurimi, Eccleſiaſticorum enim negoci[illegible]rum gratia ad hanc vrbem venit, dum eſſet peregrinorum Alexandriæ ſuſceptor: noſti & ipſe virum, quando cum Acacio profectus, Flauiani ad Theophilum communionem detulit, quæ viginti annis ſegregata fuerat, beati Euagrij gratia, qui multa certamina in laboribus Eccleſiaſticis pertulit. Huic itaq; Iſidoro vidua quędam ex principalibus ciuitatis mille aureos dedit, adiurans eũ ante altare venerandũ, coemptis vt veſtibus pauperculas Alexandriæ mulieres indueret, ignorante Theophilo, ne, ſi ſciret, acceptos

lapidibus emendis impenderet, quædam enim
ædificandi rabies, Pharaonis inſtar, illum obſe-
dit, minimè eccleſiæ neceſſaria. Verùm iſta
miſſa facio: quòd autem de Iſidoro magis vrget,
attende. Acceptam pecuniam Iſidorus paupe-
ribus impêdit, ac viduis. Hoc comperto, Theo-
philus (nihil enim ipſum latebat ex his, quæ v-
bique aut gererentur, aut dicerentur, quòd ha-
beret rerum atque operum exploratores, ne a-
liter dicam) Iſidorum aduocat perturbatus mo-
dicè, & , an ita ſe res habeat, ſciſcitatur. Ni-
hil ille cunctatus, rei ſeriem pandit. Quod ille
audiens, habitum mutat, & qui antè paululum
modeſtus ac mitis interrogando videbatur, pau-
lò poſt intumuit totus, Iſidori accepto reſpon-
ſo, effigiémque mutauit. Ac parumper ſe intra
ſilentium continens, veluti canis clàm impeti-
tus, poſt duos menſes cõgregatis Sacerdotibus,
Iſidoróque præſente chartulam profert, hanc,
inquiens, Iſidore, contra te accepi, iam deci-
mus octauus annus euolutus eſt. Et quoniam
occupatus fui, rem interim obliuioni tradide-
ram. Nunc verò cùm alias requirerem chartas,
inueni hanc de te chartulam diu latitantem.
Quid ergo ad eam reſpondes? Continebat au-
tem illa Sodomorum crimen. Ad hæc Iſidorus
reſpondit Theophilo: Concedamus verum
eſſe, quòd & chartulam accepiſti, & memoria
excidit, non fuit, qui libellum dedit, euocan-
dus? Ad hæc Theophilus: At puer non aderat,
nauigabat enim. Et Iſidorus: Non aderat tunc,
vt dicis, Epiſcope. Poſt nauigationem non ade-
rat? Secundo anno non aderat? non tertio? Et
nunc, ſi adeſt, adſtare hominem iube. Theo-
philus cùm ipſa veritatis euidentia vinceretur,
in diem alteram iudicium differt, deprecatúſ-
que adoleſcentulum quendam, promiſſionibus
multis ad accuſandum Iſidorum inſtruit, datis
illi, vt aiunt, aureis quindecim. Ille hæc omnia
retulit matri. Mater id minimè probauit, par-
tim integritate iudicij, partim legum metu diſ-
ſuaſa. Cogitánſque, ne fortè calumniam paſſus
Iſidorus ad Principem iudicem prouocaret, ac-
cedens omnem ſcenam pandit Iſidoro, aureos
quoque illi oſtendens, quos à Theophili ſo-
rore, mercedis nomine, contra inſontem ac-
cepiſſe dicebat. Quæ cùm ob alia plurima, tum
ob hoc præcipuè dignas perſoluit pœnas, mor-
tua, cùm illi mamillas medicus curandi cau-
ſa ferro tentaret. Ad hæc Iſidorus manſit do-
mi, Dominum deprecans. Adoleſcens verò,
hinc leges metuens, inde Theophilum ma-
gis irritandum non ignorans, ad vtilem recur-
rit eccleſiæ murum, venerandáque apprehen-
dit altaria. Ita Theophilus muto iudicio Iſi-
dorum in eccleſia eliminat, grauia illum deli-
quiſſe pronuncians, honeſtámque faciem in-
iuſtitiæ imponens. Ad hæc veritus Iſidorus,
ne fortè grauiore indignatione concitatus, ſa-
luti quoque ſuæ Theophilus inſidiaretur (&
iſta enim, vt aiunt, moliri conſueuit) curſu
rapido contendit ad Nitriæ montem, repe-
tens monaſticum ordinem, in quo iuuenis fue-
rat nutritus, ibique intra cellulam reſidens
orabat, patientiſſimum Dominum interpel-
lans. Interea Theophilus ſibi conſcius, quàm

A indecenter egiſſet, incertámque victoriam ſu-
ſpectam habens, litteras ad vicinos Epiſco-
pos mittit, mandans, quoſdam de monte ex
primoribus abiici, atque interiore eremo mo-
nachos pelli. Qui vnà cum ſenioribus deſcen-
dentes Alexandriam, orabant Theophilum,
vt diceret, quam ob cauſam damnati abiectí-
que fuiſſent. Ille ſanguineos contorquens o-
culos, limis, & tauri in morem illos inten-
debat, aliquando tumenti ore, aliquando in
pallorem verſo, interdum præ intemperata
iracundia carneo, & pleniore, monſtri varij
in morem inſaniens: Hammonij æqualis ſui
ceruicibus torquem innectit ferreum propriis
manibus, maxillaſque illius crebris ictibus pul-
ſans, & intenſis digitis nares impetens, at-
que cruentans, ac voce fremebundus, & mi-
B nitans, Hæretice, aiebat, anathematiza O-
rigenem, cùm aduerſus Origenem nihil eſſet
propoſitum, ſolúmque intercederet Iſidori o-
dium. Huiuſmodi quippe furores qui ſunt, ca-
num inſtar, cæca gignunt & opera, & ver-
ba. Sic itaque cruenti abſque reſponſo vllo ad
ſuas reuerſi cellulas propoſitæ auſteritati vitæ
inſiſtebant, ingenium exacuentes diſciplina,
per quam ſalus proculdubio prouenit, eo ipſo
minus illius veſaniam curantes, quòd nihil ſi-
bi mali eſſent conſcij. Non quieuit ſic quo- CAP.
que Theophilus, ſed vicinos Epiſcopos euo- VII.
cans, concilium conflat aduerſus monachos.
Cúmque illos neque vocaſſet ad reſponden-
dum pro ſe, neque fuiſſet allocutus, tres ex illis
viros præcipuos damnat, veritus ſimul contra
C multitudinem ferre ſentẽtiam, dogmatum per-
uerſitatem illis impingens. Quóſque antea ſæ-
pe, pluſquàm Epiſcopos, honorauerat, vt magi-
ſtros, vitæ merito, & doctrinæ, ætatíſque ratio-
ne, eos veritus non eſt appellare Magos, quòd
Iſidoro affecti viderentur. Vbi verò illos monte
fugauit, comparat homunculos quinque, nun-
quam in cœtu ſeniorum eremi viſos, qui (piget
dicere) neque foribus Eccleſiæ præfici meruiſ-
ſent. Ex his vnum Epiſcopum ordinat, oppidu-
lo cuidam, cùm ciuitas nulla ſupereſſet, Pon-
tificem ſtatuens. Paſſim enim, & huiuſmodi no-
uitates præſumebat, ſeipſum Moſen alium no-
minans, alium verò Presbyterum, reliquos tres
Diaconos ordinat. Non enim erant Ægyptij,
ſed variis ex locis aduenerant. Erat vnus ex
D eis Libycus, alius Alexandrinus, alius Pha-
ranites: idcirco & facilè illius vanitati con-
ſenſerunt. Eos monet aduerſus tres illos ſenio-
res libellos dare calumniæ, quos tamen ipſe
texuerat. Hoc enim ſolum illi ex ſe intule-
runt, quòd ſe ſubſcripſere. Poſt hæc ſum-
ptis ab eis in conſpectu eccleſiæ libellis, in-
greditur ad Auguſtalem, & contra illos ex
perſona propria proponit accuſationem Ægy-
ptiæ diœceſis Pontifex, qui & libellos calum-
niæ conſcripſerat, orátque, vt militari manu
viri illi tota Ægypto pellerentur. Sumpto igi-
tur milite, vnà & præcepto, multitudinem eo-
rum coëgit, qui facilè contra dignitates inſurge-
rent, noctúq; repentè monaſteria inuadit, cùm
ante pueros, qui ſecũ erant [illegible]o multo perluiſ-
ſet. Ac primum quidem D[illegible]rum ſanctũ illo-

rum fratrum montis Epiſcopum, throno depo-
ni iubet, trahíque à ſeruis Æthiopibus, & ipſis
fermè necdum baptizatis, auferens parochiam,
quam iam tunc ab aduentu CHRISTI Dioſco-
ri ciuitas ſemper habuerat. Poſtea prædatur
montem, parua quælibet monachorum pueris
inter ſe partienda permittens. Expilatiſque cel-
lulis, tres illos ſollicita indagatione perquirit,
quos in puteum ſubmiſerant, imponẽtes ori pu-
tei cyathum. Non inuentis illis, incendit eorum
cellulas ſtipula, vnà cum libris intus reconditis,
ſingularis meriti, ac pretij, & puerulo vno, ſicut,
qui viderunt, atteſtati ſunt, & ſacramentorum
ſignis. Hunc igitur in modum irrationabili ſopi-
ta ira, Alexandriam rediit, fugæ locum ſanctis il-
lis viris tribuens. Qui ſumptis continuò melotis
ſuis in Palæſtinã concedentes, Æliam occupant.
Secuti ſunt illos cum Presbyteris, ac Diaconis
montis trecenti monachi, virtute præcipui: alij
verò per varia loca diſperſi ſunt. Non tulit ho-
rum cõſilium tortuoſus Coluber. Mouet rurſus
contra illos Theophili zelum. Qui ſuccẽſus ira-
cundia, literas ad Palæſtinæ ſcribit Epiſcopos, di-
cens: Non oportebat quidem, vt præter ſenten-
tiam meam hos in veſtris vrbibus ſuſciperetis.
Quia verò per ignorantiam feciſtis, ignoſco vo-
bis. De cætero igitur curate ne ipſos, neq; in ec-
cleſiaſticum, neque in priuatum aliquem locum
admittatis, non modò dicens, verùm etiam præ
timoris magnitudine Deum ſe eſſe putãs. Ingen-
ti illi neceſſitate loca in dies mutare compulſi,
tandem Regiam ad vrbẽ peruenerunt, in qua di-
uina manu ad curam indigentium Ioannes ordi-
natus Epiſcopus: procumbentéſque ad eius ge-
nua, orabant, vt opem ferret animabus calum-
niam paſſis, atque vaſtatis horum ſtudio, qui
hoc potius, quàm benefacere, conſueuiſſent.
Stetit Ioannes, vt vidit quinquaginta electorum
hominum canitiem venerandam, ſacris ſudori-
bus infectam, compunctúſq;, iuxta Ioſeph, pro
fraternitatis ſtudio in lachrymas ſoluitur, per-
contatus ab eis quiſnã aper de ſylua, aut ſingula-
ris fera, huic fœcũdiſſimæ ac lætiſſimæ viti inui-
diſſet. Ad hæc illi, Sede, inquiunt, Pater, nóſq;
non vtcunque vulneratos Theophili Papæ veſa-
nia curare ſtude, ſi tamen valueris noſtrorum
tumoribus vulnerum obducere cicatrices. Nam
ſi ipſe quoque nos deſpicis, aut reuerentia, aut
metu Theophili, iuxta Epiſcopos reliquos, ni-
hil iam ſupereſt nobis, niſi vt profecti ad Impe-
ratorem, ipſius opera peſſima ad iniuriam Ec-
cleſiæ publicemus. Itaque ſi opinionis eccleſia-
ſticæ tibi cura eſt, perſuade illi, vt nobis permit-
tat in Ægypto remorari. Nihil enim peccaui-
mus, neque in Dei leges, neque in illũ ipſum. His
Ioannes auditis, ratus facilè Theophili aduerſus
illos iram in gratiam transferre poſſe, libenter
hoc negotium ſumit. Admonénſque viros vt ad-
uentus ſui cauſam ſilentio tegerent, donec ipſe
ad Theophilum ſcriberet, & manſiones illis in
Eccleſia, quæ Anaſtaſia dicitur, ad requiem tri-
buens, ipſe quidem neceſſaria victui non ſuppe-
ditabat, ſed eis religioſæ mulieres miniſtrabant,
ipſis quoque ex opere manuum neceſſitates ſuas
ex parte ſupple[illegible]s. Contigit etiam per idem
tempus Theop[illegible]ericos in ea vrbe eſſe, ma-

A giſtratuum, qui ad Ægypti prouinciam mitten-
di erant, beneuolentiam Theophilo comparan-
tes in eorum perniciem, qui illi aduerſati eſſent.
His itaque Ioannes euocatis, interrogat, an præ-
ſentes monachos noſſent. Illi verùm teſtimo-
nium perhibuere viris, dicentes, ſe & viros noſ-
ſe, & magnam illos iniuriam perpeſſos eſſe. Si
placet, inquiunt, Domine, ſpiritualis commu-
nionis nondum illis cõſortium trade, ne Papam
contriſtes: cæterùm in alijs omnia in eos officia
humanitatis exerce. Id enim tibi Epiſcopo con-
uenit. Ita illos Ioannes ad communionem mi-
nimè admiſit. Scripſit autem Theophilo ſuppli-
cans, & hanc ſibi, vt filio, ac fratri, poſtulãs gra-
tiam, vt viros illos pacificè ad ſe reuocaret. Ad
hæc Theophilus gratiam quidem Ioanni dene-
gauit, miſitque quoſdam ad huiuſmodi certami-
B na exercitatos, de quibus ſuperius diximus, li-
bellos vt porrigerent, admonens quos more ſo-
lito ipſe dictauerat, aptum quidem, & expreſſum
mendacium continentes, variis calumniis oper-
tum, & adumbratum. Et cùm non poſſet illo-
rum vitæ derogare, facit, vt intra Palatium qua-
ſi Magi digito notarentur. Monachi vbi aduer-
terunt ſe nihil profeciſſe, verùm & in maioris
iræ præcipitium illum declinaſſe, pleroſque in
dignitatibus conſtitutos adducunt ſecũ, omnéſ-
que anathematizantes hæreſim, libellos Ioanni
tradunt, in quibus viri iam tyrannidem notant,
quibuſdam capitulis adiectis, quæ referre co-
rã infirmioribus piget, & pudet, ne & ab ipſius
fidei eos liminibus arceam. Mihi certè ea reci-
tanti perfectior quidẽ fides fortaſſis haberetur.
C Rurſus & per ſeipſum, & per Epiſcopos alios
Ioannes hortatur viros, vt ab huiuſmodi accu-
ſatione deſiſterent, Theophilo iterum ſcribens,
In tantum mœroris impulſi ſunt viri iſti, vt te,
datis etiam libellis, accuſent. Iam, quid tibi vi-
detur, reſcribe. Non enim me audiunt, vt hac
intentione diſcedant. Ad hæc Theophilus ma-
iore inflammatus ira, monachorum fratrẽ Dioſ-
corum Epiſcopum, qui in eccleſiaſticis rebus
conſenuerat, ab ipſa Eccleſia prohibet, Epiſco-
po Ioanni ita ſcribens.

ARBITROR te non ignorare, quid præ-
cipiant Niceni cõcilij Canones, ſancien-
tes, Epiſcopum non iudicare cauſam ci-
tra terminos ſuos. Si autem ignoras, diſce, & li-
bellos contra me ſuſcipere deſine. Nam & ſi iu-
D dicari me opus ſit, ab Ægyptijs magis, quàm
abs te id fieri oportet, qui ſeptuaginta quinque CAP. VIII.
dierum itinere à nobis ſeparatus es. Accepta
Ioannes Epiſtola, & lecta, eam quidem ſeruauit
ſibi: Monachis verò vtriuſque partis ea dixit,
quæ ad pacem ſunt. Audientes vtræque partes
exaſperatæ ſunt: illa quidem, quod quaſi vi ty-
rannidis preſſa videretur: hæc autem quòd abſ-
que Theophilo pacem inire non præſumerent,
cuius iuſſu libellos dederant calumniæ plenos.
Ita Ioannes eos allocutus ab ſe dimiſit, atque ab
animo amouit ſuo. Profecti dehinc monachi
partis violatæ, libellos multorum verſuum ſcri-
bunt, monachos quidem accuſantes calumniæ:
Theophilo verò impingentes, ne aliter dicam,
quæ Theophili erant, talia, & tanta, qualia, &
quanta quiſque nouit. Auguſtiſque primùm
congreſſi,

congreſſi, Reginam deinde adeunt in Eccleſia ſancti Ioannis, orantes, vt aduerſantium monachorum libelli contra ſe apud Præfectos vrbis examinerentur, tum vt Theophilus, vel inuitus adductus, Ioannis iudicio ſubiiceretur, tum demum, vt Theophili monachi, aut probarent crimina, quæ ſanctis ſenioribus obiecerant, aut pœnæ talionis ſubderentur. Sic itaque Alexandriam Elaphius, qui modò eſt, à Principibus mittitur, vt Theophilum ducat. Sententiam reliquam Præfecti exequuntur. Cùm verò ventilaretur cauſa, reis deprehenſis, inſtabant leges, gladium ad vindictam exerentes. Infœlices autem illi metuentes, omnia in Theophilum referunt, qui illos subornaſſet, libellóſque calumniæ dictaſſet. Ita rationis ordo illos carceri mancipat, vſque ad Theophili aduentum reſeruandos. Ex his alij moriuntur in cuſtodia, diutius remorante Theophilo: alij poſt ipſius aduentum (pecuniis enim iudicum ſeueritatem emollierat) Proconeſſum ire in exilium iuſſi. Ita calumniæ rei à legibus damnati ſunt. Appulit vel ſecundo Theophilus aſtans veluti Thebanus fimo oneratus eis, quos ex Ægypto, & India ipſa conduxerat, & pro fœtida inuidia flagrantiam ſpirans, Conſtantinopolim ingreditur ſexta hora quinta Sabbati, à nautico detentans agmine, fœdam referens gloriam, de qua dicit Apoſtolus, Quorum gloria in confuſione eorum ſub- (Phil. 3.) inferens, qui terrena ſapiunt. Hoſpitatúrque non in tabernaculis iuſtorum, Eccleſiæ fugitans, oblitúſque Dauidici illius, Elegi abie- (Pſal. 23.) ctus eſſe in domo Dei mei magis, quàm habitare in tabernaculis peccatorum. Sed profectò arcebat hunc Eccleſia conſcientia crudelis. Remoratus illic tres hebdomadas dierum, neque Epiſcopo Ioanni congreſſus eſt, vt ſolent Epiſcopi, neq; omnino propinquauit Eccleſiæ, ſed perſtitit certans nocte, atque die, nouúmque odium veteri copulans, vt Epiſcopum Ioannem non modò Eccleſia pelleret, ſed vita ipſa quoque priuaret, partim profuſione auri contra veritatem ſuperſtitionem potentium redimens, partim lautioribus epulis gulæ deditos quoſque ſub iugum mittens, partim aſſentatione, & ſpe maioris dignitatis fallaces ex clericis quoſlibet inducens. Hos igitur omnes abſque funiculo voluptatibus vinciens, veluti planus quiſpiam Dæmon, animarum excantato iudicio, ad ſcenæ miniſterium perſonam Dæmoniacam inquirebat, quam etiam eſt aſſecutus. Pulſi à Ioanne fuerant duo, & pro ſceleribus ſuis ſeparati ab Eccleſia. Horum ille abuſus leuitate, hortatur, vt aduerſus Ioannem libellos darent, pollicitus eos reſtituere in miniſterij ſui locum, (Erant autem hæc illorum ſcelera, alterius quidem homicidium, alterius verò adulterium) quod & fecit. Eos enim poſt Ioannis exilium locis reſtituit ſuis, datis ſcilicet libellis, quos ipſe ille dictauerat, nihil veri continentes, præter id ſolum, quod monere ille conſueuerat, vt poſt communionem, aut aquam, aut paſtillum deguſtarent, ne contra voluntatem vnà cum ſaliua, ſiue pituita, quicquam ſacramenti excrea-

A rent, ipſe prius id faciens, religionémque piè ſentientibus augens. Cùm verò libellos ſuſcepiſſet, conuerſatur apud Eugraphiam vnà cum Seueriano, & Antiocho, & Acacio, ac reliquis Ioanni propter eius caſtiſſima monita infenſis. Mos enim erat illi, iuxta Paulum, publicè, & per domos honeſtatem edocere, & eas huiuſmodi maximè verborum caſtigatione compeſcere, quæ cùm iam anus per ætatem eſſent, iuuenes tamen apparere vellent. Quid inquiens cogitis corpus rurſum iuueneſcere, cincinnos in fronte ferentes, inſtar meretricum, ad deceptionem intuentium, & congredientium vobis, ídque cùm ſitis viduæ? Congregati autem requirebãt, quo pacto iudicium inchoarent. Vnus verò ex aſſiſtentibus monuit, porrectis vt libellis Impe-

B ratori, ipſum etiam inuitum ad concilium traherent. Factum eſt igitur hoc, ſicuti ſub Iudæis quondam, auro illis per omnia ſuffragante. Eramus cum Ioanne quadraginta Epiſcopi, tunc in Epiſcopatus triclinio ſedentes, admirantéſque quomodo, qui ſolus venire iuſſus erat, ac pro nefariis reſpondere criminibus, tot ſociatus Epiſcopis venerat, quo item modo ſententias Principum immutarat, & complures de clero peruerterat. Sic autem ſermocinantibus nobis, afflatus Spiritu ſancto Ioannes repente omnibus ait, Orate fratres, ac, ſi quidem diligitis Chriſtum, mei gratia ſuam nullus Eccleſiam deſerat. Ego enim iam delibor, & tempus reſolutionis meæ inſtat, iuxta ſententiam Pauli. Multas, vt video, preſſuras primum patiar, (2. Tim. 4.)

C atque ita demum excedam è vita. Scio enim verſutiam Sathanæ, quod iam non ferat ſe meis quotidie ſermonibus laceſſiri. Atque ita demum mihi præſtate miſerationis affectum, vt in orationibus veſtris memineritis mei. Mœrore igitur ineffabili detenti, alij quidem effundebamus maximam vim lachrymarum: alij verò concilio egrediebantur, oculos eius, ſacrúmque caput, vnà & os illud precioſum ac beatiſſimum exoſculantes, neque ſe à fletu & ſingultibus continere valentes. Hortatus redire ad conſeſſum, huc atque illuc vagantes in morem apum, circum alueare crebro murmure perſtrepentium, Sedete, inquit, Fra- (Phil. 2.) tres, & flere deſinite, ne me amplius affligatis: mihi enim viuere Chriſtus eſt, & mo-

D ri lucrum. (Iam enim fama vulgauerat, ob fiduciæ illius magnitudinem, capite truncandum eſſe) Et, ſi tenetis, ait, memoria, reminiſcimini quomodo ſemper dixerim vobis: Via eſt vita præſens, cuius & triſtia, & læta pertranſeunt. Nundinæ ſunt, quæ cernimus omnia, Vendidimus, emimus, modò diuertimus. Num Patriarchis meliores ſumus? Prophetíſque, & Apoſtolis antecellimus, vt immortalis hîc nobis permaneat vita? Ad hæc ingemiſcẽs quidam ex præſentibus dixit: At vices lugemus noſtras, noſtrámque deſolationem, qui pupilli relinquimur, Eccleſiæ viduitatem, confuſionem legum, ambitionem non timentium Dominum, & gubernaculis Eccleſiæ ſeſe importunè ingerentium, deſtitutos pauperes, [illegible]támque doctrinam. His ille auditis, indic[illegible]teræ manus læuæ nodum ſæpius pulſans [illegible]ſueuerat enim

vir Dei, inter animi curas, atque æſtus hoc facere) ita ſe alloquenti ait: Sufficit frater, noli plura proſequi. Verùm, vt dixi, veſtras Eccleſias non dimittatis. Neque enim à me doctrina Chriſti cœpit initium, neque item in me deſitura eſt. Nónne Moſes mortuus eſt? nunquid Ieſus inuentus poſt illum non eſt? Nónne Samuel obiit? nónne Dauid vnctus eſt? Exceſſit vita Hieremias? nónne reliquit Baruch? Aſſumptus eſt Helias? nónne prophetauit Heliſæus? Capite cæſus eſt Paulus? nónne poſt ſe dimiſit Timotheum, Titum, Apollo, & innumeros alios? His dictis, Eulyſius Apamiæ Bithyniæ Epiſcopus ait, Neceſſariò ſi Eccleſias tenuerimus, communicare cogemur, atque ſubſcribere. Ad hæc ſanctus Ioannes, communicate quidem ait, ne ſcindatis Eccleſiam, verùm nolite ſubſcribere. Nihil enim mihi conſcius ſum, propter quod deponi, aut deiici merear. Cùm inter eos iſta referuntur, nuntiati ſunt aſtare pro foribus hi, quos Theophilus miſerat. Iubet eos protinus ingredi: ingreſſis, cuius nam eſſent gradus, interrogat. Epiſcopos eſſe vbi didicit, orat, vt ſedentes, quam ob cauſam aduenerint, dicant. Illi autem, breue tantum habemus, inquiunt. Iubete illud legi. Quod ille vbi annuit, mandant Theophili puero vt legeret, & legit. Erat autem hic textus: Sancta Synodus ad quercum congregata (erat autem locus trans mare ſic vocatus, Ruffini ſuburbium, in quo illi conuenerant) Ioanni, neque addentes, id quod profectò erat, Epiſcopo (Solet enim fermè obcæcatus animus non ritè aſpicere, ſed ea voluere, & conſpicari, quæ paſſio dictat) Libellos contra te accepimus mala continentes innumera. Occurre igitur, Serapionem, & Tigrim Presbyteros aſſumens tecum, eſt enim illis opus. Erant autem qui miſſi ſunt ad eum Dioſcorus, & Paulus, & Libya, iuuenes admodum. Poſtquam lecta eſt pagina, contradicunt hi, qui cum Ioanne erant, Epiſcopi, ita Theophilo per Epiſcopos tres, Lupicinum, Demetrium, & Eulyſium,& Presbyteros duos, Germanum, & Seuerum reſcribentes: Noli Eccleſiæ negocia ſoluere, noli confundere ordinem, & ne ſcindas Eccleſiam, propter quam Chriſtus deſcendit ad terras. Quod ſi impatiens ſoluis Niceni concilij canones, cauſáſque citra terminos tuos cognoſcere vis, ipſe ad nos tranſi in bene inſtitutam ciuitatem, neque inſtar Cain Abel in campum prouoces, vt nos te primùm audiamus. Habemus enim contra te libellos capitum ſeptuaginta, apertas, atque nefarias actiones continentes. Pluréſque per Dei gratiam ſumus, quàm ſynodus tua, congregati, non ad euerſionem Eccleſiæ, ſed pacem. Nam tua quidem ſynodus triginta & ſex habet Epiſcopos ex vna prouincia, nos autem quadraginta ſumus ex prouinciis variis, in quibus & ſeptem ſunt Metropolitæ, & neceſſariò conuenit pauciores à pluribus ac præſtantioribus ſecundum canones iudicari. Habemus enim & epiſtolam tuam, per quam admones coëpiſcopum noſtrum Ioannem, nec oportere citra terminos ſuos Epiſcopum iudi-

A

care. Quocirca eccleſiaſticis obtemperans legibus, accuſatores tuos ora, vt à tua accuſatione deſiſtant. Ad hæc motus Ioannes, Epiſcopis ſuis ait, Vos quidem, quod videtur vobis, ſcribite: me autem conuenit ad ea, quæ mihi ſunt ſcripta, reſcribere. Sic itaque Theophilo mandauit, dicens: Ego, an aliquis dicere contra me quippiam poſſit, hactenus neſcio. Porrò ſi quis propoſuit contra me, vultíſque veniam, manifeſtos inimicos meos, quos mihi negligentia ſua fecit infeſtos, conuentu veſtro primum abiicite: neque iam de loco contendam, vbi me oporteat iudicari, & ſi id maximè in ciuitate fieri oportuit. Sunt autem, quos, vt ſuſpectos, renuo, Theophilus, quem & in Alexandria, & Lycia dixiſſe

B

certum eſt, In comitatum proficiſcor, vt Ioannem deponam. Id ex eo verum probatur, quòd aduenìens, neque congreſſus eſt mihi, neque communicauit. Qui ergo ante audientiam inimicus comprobatus eſt, quid poſt iudicium facturus putatur? Acacium itidem abiici poſtulo, qui dixit, Ego ipſi ollam condio. Quid autem de Seueriano, & Antiocho dicam, quorum facinora ſeculi quoque theatra canunt? Itaque ſi me reuera venire vultis, hos quatuor, ſi quidem iudices ſunt, conſilio pellite; ſin autem accuſatores, eos ad iudicium ſiſtite, vt ſciam, quo mihi ordine certandum ſit: vtrum quaſi contra aduerſarios, an aduerſus iudices ſtandum: omninóque non ſolum ad charitatem veſtram, verùm & ad omnem quoque vniuerſalem Synodum venire paratus

C

ſum. Scitote igitur, quòd ſi millies miſeritis ad me, nullum aliud reſponſum à me reportabitis. Illis exeuntibus, notarius edictum habens Regium, per quod iuxta illorum poſtulata inuiti traherentur ad iudicium, eueſtigio ingreſſus vrgebat. Vbi notario reſponſum fuerat, nunciantur duo Ioannis Presbyteri, Eugenius quidam, qui factionis contra Epiſcopum Ioannem mercedem accepit Heracliæ Epiſcopatum, & Iſaac monachus, ne aliter dicam, ita nunciantes. Mandat tibi Synodus, vt tranſeas ad nos reſponſurus ad crimina. Contrà verò Ioannes per Epiſcopos alios ita reſpondit. Quánam, oro, conſequentia, quo ordine iudicatis, qui neque inimicos meos vultis abiicere, & me per Clericos meos accer-

D

ſitis. Ad hæc illi, Epiſcopis captis, alterum cæciderunt, alium conſciderunt, alteri ferrum collo impoſuerunt, quod Sancto viro præparauerant, vt ita iniectus in nauim, ad loca mitteretur ignota, Dæmone illos, leonum inſtar, in ferociam excitante. Comperta illorum immani impudentia, Sanctus ſeipſum cohibuit. Fortiſſimi autem illi viri, contextis commẽtariolis, quæ aranearum telis infirmiora ad probationẽ erant, contra Sanctum ſententiam proferunt, cuius neq; faciem viderant, neque audierant vocem, die conficientes nequitiam, quam longè antè texuerant. Neque enim cohiberi poteſt diabolicus impetus, conſilij ſemper, ac morarum impatiens. Miſsáque relatio eſt ad Imperatorem ita exordiens. Quoniam accuſatus Ioannes quorundam criminum, conſciúſque ad eadi-

luenda occurrere noluit, huiuſmodi verò deponunt leges, id quod & paſſus eſt: continent autem libelli & læſæ maieſtatis crimen, iubeat hunc pietas veſtra expelli, vel inuitum, daturum tanti criminis pœnas. Nobis enim iſta non licet inquirere. O infœliciſſimi, quæ ſentitis, & facitis, ea erubeſcitis facere. Non Deum planè, ſed homines reueremini, ſiue metuitis. Erat autem id crimen, maledictum in Reginam, quam, vt illi detulerunt, Iezabel appellauerat. Atque boni illi viri ferro cædi Sanctum videre cupientes, ita detulere. Deus autem & eorum penitus inſitam nequitiam patefecit, & Principum corda molliuit, ſicuti Danieli dudum in Babylone contigerat. Illic enim leones in manſuetudinem conuerſi, homines verò effrænati ſunt, non parentes Prophetæ. Corrupítque Deus eos, qui poſt naturam efferati erant, his contra naturam in manſuetudinem verſis. In hunc modum Ioannes Eccleſia pellitur, miſſo ad id Comite cum auxilio militum, non ſecus, quàm ad Barbaricum prælium. Pulſus autem agellos ad Bithyniæ Prænetum occupat. Media verò tranſierat dies, cùm motum quendam fieri in ſuburbio contigit. Perterriti ex hoc, Ioannem miſſo notario reuocant, & proprio paucis pòſt diebus reſtituunt ſolio. Ita Theophilus, cum Epiſcopis Ægyptiis, ſalutem fugæ committit ſuam: quærebat enim eum ciuitas marinis vndis immergere. Poſt duos iterum menſes, à plaga inflicta modicè reſpirantes, ſecundò aduerſus Ioannem fremunt, initiúmque probabile minimè inuenientes, Alexandriam ad huiuſmodi rerum peritiſſimum ſophiſtam mittūt, ita ſuggerentes, Aut iterum veni dux noſter aduerſus Ioannem futurus, aut ſi hoc populi cauſa vereris, modum nobis aliquem ſuggere, ex quo ſumamus initium. Acceptis Theophilus literis, ipſe quidem venire noluit, ſciens, quo pacto effugiſſet. Miſit autem tres illos Epiſcopos, Paulum, & Pœmenem, & alium nuper ordinatum, mittens vnà & canones quoſdam, ab Arrianis contra beatiſſimum Athanaſium factos, quibus vtentes, Ioanni calumnias ſtruerent, quòd poſt depoſitionem ſuam ſine epiſcopali decreto redire auſus eſſet. Eſt enim ille natura feruidus, & temerarius, & audax, ac ſupra modum contentioſus. Nihil eſt autem, ad quod non citius debito feratur: & dum ſibi viſum fuerit, neque iudicium, neque concilium ſuſtinet: irrationabilíque vtens motu, i[illegible] agere inordinatè ſatis pergit: ac decretæ ſententiæ firmiter nitens, omnibus, qui ſe opponere voluerint, conſtanter & contentioſè reluctatur, id in primis ſtudens, vt iudicium ſuum, atque ſententia vincat ſemper, ac ſuperet. Faciunt illi, quod admoniti fuerant, illius conſuetudinem non ignorantes, accerſitiſque ex Syria, & Cappadocia, & Ponto, ac Phrygia Metropolitis, & Epiſcopis omnibus Conſtantinopolin conuenere. Aduenientes autem, iuxta canonis ſeriem, Ioanni communicarunt, ne eadem, quæ prius, incurrerent. Ea re comperta Principes ægrè tulerunt. Et Theodorus quidem Tyaneus E-

A piſcopus, vir ſummæ grauitatis, vbi ex his quæ venerant ad aures eius, quid ageretur, aduertit, ne Theophili temeritatem ſequeretur, relictis omnibus, ad ſuam remeauit Eccleſiam, vale faciens comitatui, ſuámque prouinciam vallans pietatis muro, & ad finem vſque in communione perſiſtens fidelium Romanorum, de quibus Paulus teſtatur, & dicit, Fides veſtra annunciatur in vniuerſo mundo. Rom. 1. Faretrius verò Cæſareæ, quæ Argeo adiacet, præſul, nimium formidans, non ſecus, atque infantes laruas, neque vrbe egreſſus ſua, per literas conſenſit aduerſariis, & quidem non vocatus in medium: imperitè omnino, quippe qui eſſet omnino ruſticus, ac ſtultus. Leontinus autem Ancyræ Galatiæ, B Hammonio Laodiceæ aduſtæ adiunctus, aduſtam fecerunt Eccleſiam, non modò victi Principum minis, ſed contra ſpe munerum ſeducti regalium, in ſancta ſynodo ſententiam nequiſſimam vnà cum Acacio & Antiocho fuerunt, obtinere ſancientes Theophili indiſcretum iudicium, vt locus purgandi ſe Ioanni nullus omnino daretur, vigore ſcilicet canonum eorum, quos Theophilus miſerat, à quadraginta complicibus Arrij editos, atque ita continentes. Si quis Epiſcopus, aut Presbyter iniuſtè, ſiue iuſtè depoſitus, ex ſe ipſo abſque ſynodo in Eccleſiam redierit, hic iam excuſationis non habeat locum, ſed omnino expellatur. Et iſta quidem regula, vt nequam, & à nequiſſimis edita, in Sardicenſi concilio à Romanis, & Italis, Il- C lyricíſque, & Macedonibus, & Græcis, vt ipſe melius noſti, optime Theodore, eliminata eſt, quando Liberius, aut Iulius ſub Conſtantis imperio Athanaſium, & Marcellum Galatam admiſit ad communionem, quorum gratia etiam canon ille fuerat editus. Et duo illi quidem, Ammonius, ac Leontius coniuncti Acacio, & Antiocho, & Cyrino Chalcedonenſi, ac Seueriano ingreſſi ad Regem dicebant, decem Epiſcopos ex parte Ioannis euocandos, erant enim plures quadraginta, pro canonum authoritate ſtatuenda: aliis aſſerentibus eos à Catholicis editos: aliis è contrà docentibus ab Arrianis fuiſſe compoſitos. Ingreſſus autem Elpidius Laodiceæ Syriæ Epiſcopus, vir vitæ merito, & canitie ipſa venerandus, D vnà cum Tranquillo, ſuadebant Regi, non oportere Ioannem irrationabiliter eiici, neque enim prius depoſitus, ſed pulſus à Comite fuerat, neque à ſeipſo remearat, ſed ex præcepto pietatis ſuæ, notario ad hoc miſſo. Præterea, quos proferrent, Canones hæreticorum eſſe, quod apertis indiciis oſtendi poſſet. Cùm verò perſiſterent Ioannis aduerſarij indiſciplinatè contendere, & alij quidem clamoſa voce perſtreperent, alij verò improbis geſtibus, præſente Imperatore, tumido pectore, & ſpiritu turgido inſanire viderentur, modeſtè canonum ſcientiſſimus Elpidius, modico impetrato ſilentio, ſic Regem alloquitur. Non diutius manſuetudinem tuam vexemus Imperator, ſed iſtud fiat. Subſcribant fratres, ipſi Acacius, & Antiochus, & cæteri ſe il[illegible]n eſſe fidei, qui

illos expoſuerunt canones, quos ipſi obten- A
dunt, & ſoluta controuerſia eſt. Imperator, vbi
ſimplicitatem propoſitionis aduertit, ſubridens
dixit Antiocho: Nihil afferri vtilius poteſt. Erat
autem in omnibus, quæ fiebant, Imperator
innocens; aliis, quæ bene fuerant inſtituta,
mutantibus. Anxij igitur, atque ancipites Se-
uerianus, & ſocij, & in ſeipſos, inſtar aquæ in-
conſtantis, remeantes, ad id quod fuerat pru-
denter obiectum, & ad Regis iudicium reſpon-
dere nil poterant, facie tota in liuorem trans-
euntc, loci tamen anguſtiis deprehenſi, inuiti
licèt, ſe ſubſcribere pollicentur. Ita egreſſi pro-
miſſionem quidem, vtpote inconſultè factam,
implere detrectant, conuinci metuentes. Con-
ſultabant autem, quonam modo Ioannes pel-
leretur. Dum hæc aguntur, & alij ſic, alij aliter
ſentiunt, nouem, aut decem fluxere menſes, B
cùm epiſcopus Ioannes, adiunctis ſibi quadra-
ginta duobus epiſcopis, ageret indies, quæ Dei
ſunt, & populi magna cum iucunditate ipſius
doctrina fruerentur. Solet enim animus à vani-
tate gloriæ remotus, inter caſus varios gratius,
atque potentius Dei verba profundere. In-
Quadragesima. terea aduenit quadrageſimale ieiunium, quod
annis ſingulis, inſtar veris, efflorct. Ingreſſi
rurſus Antiochus, & ſocij, ſeorſum ad Re-
gem perſuadebant, vti Ioannem, quaſi con-
uictum, imminente paſcha, iuberet expel-
li. Imperator eorum improbitate fatigatus,
veluti Epiſcopis credidit: qui enim veraciter
aut Presbyter, aut Epiſcopus eſt, menda-
cium neſcit. Hæc quippe nomina de ſupernis
deriuantur. Nihil enim Deo antiquius, nihil C
quod magis proſpiciat omnia. Deus enim eſt,
cuius proſpectum nihil effugit. Itaque & E-
piſcopus, & Presbyter, vt eſt nominum con-
ſors, ita & operum eſſe ſocius debet. Man-
dat itaque Ioanni, vt Eccleſia exeat. Et Ioan-
nes ita reſpondit: Ego à Deo ſaluatore no-
ſtro hanc ſuſcepi Eccleſiam, vt ſalutem po-
puli curem diligenter, neque illam deſerere
poſſum. Quòd ſi fieri id omnino vis, quia ci-
uitas diſcutit à te, vi mecum age, vt excu-
ſationem habeam, quòd authoritate tua pul-
ſus, reliquerim ordinem meum. Ita cum qua-
dam verecundia mittentes ex Palatio, depule-
runt illum, mandantes, vt interim in Epiſco-
patus habitatione moraretur, expectantes ſi-
mul aliquod diuinæ indignationis iudicium, vt D
ſi quid illius aduerſariis, aut ſibi triſte contin-
geret, maturatò illum in Eccleſiam reducen-
tes, Deum reconciliarent ſibi. Alioquin illi
Magnum Sabbatū. rurſus inſidiaretur, vt Pharao Moſi. Inter hæc
aduenit magni Sabbati dies, in qua crucifi-
xus Saluator expoliauit infernum. Rurſus il-
li mandant, vt Eccleſia exeat, quibus ille
iuxta reſpondit. Veritus itaque Rex diei ſan-
ctitatem, & commotionem ciuitatis, aſcitos,
Acacium, & Antiochum alloquitur, dicens:
Quid facimus? Videte ne fortè non rectè con-
ſulueritis. Tunc fortiſſimi illi, & nimium ma-
gnanimi dixerunt Regi: Super caput noſtrum
ſit; Imperator, Ioannis depoſitio. Quod reli-
quum erat auxilii, qui cum Ioanne ade-
rant, Epiſcopi, [illegible] ieiunij numero æquales,

Regem, & Reginam adeunt in Martyriis, o-
rantes cum lachrymis, vt Chriſti Eccleſiæ par-
cerent, maximè propter imminens Paſcha, &
eos qui regenerandi erant, iam plenè eruditos,
eíque redderent Sacerdotem. Sed audiri illi
non ſunt, ita vt ſanctus Paulus Epiſcopus in-
territus, plenúſque fiducia Eudoxiæ diceret,
Deum time, filiiſque tuis miſerere, neque
ſanguinis effuſione ſanctam Chriſti violes ſo-
lennitatem. Reuerſi autem Epiſcopi vigilias
intra ſua diuerſoria celebrarunt, alij fundentes
perpetuas lachrymas, alij dolore detenti, at-
que alij mente fermè in ſtuporem verſi, prout
ſingulis paſſio dictabat. Ioannis nempe Pres-
byteri, quibus Dei aderat timor, in publico
lauacro, quod Conſtantianum appellatur, co-
actis populis, vigilias inchoarunt, partim di-
uina eloquia legentes, partim eos, qui inſtru-
cti erant in fide, baptizantes, vt eſt moris in
Paſcha. Hæc ipſa Antiochus, Seuerianus, &
Acacius, perditæ mentis homines, & antiqui
ſeductores ſuis præceptoribus referunt, oran-
tes, vt populi impedirentur, nec in eo loco fie-
rent collectæ. Repulit eos, qui tunc erat, ma-
giſter militum, & ait: Nox eſt, & turbæ mul-
tæ conuenerunt, ne quid impedimenti oriatur,
cautè prouidendum eſt. Illi ad hæc reſpon-
dent: Nemo in eccleſiis remanſit, veremúr-
que, ne ingreſſus eccleſiam Imperator, & no-
minem inueniens, aduertat populi ad Ioan-
nem beneuolentiam, nóſque iam inuidiæ de-
notet, & fraudis accuſet, maximè cùm illi di-
xerimus, neminem omnino ſupereſſe, qui il-
lum diligat, vtpote ſeductorem. Ita magiſter
militum conteſtatus eis, quæ euentura erant,
tradit illis Lucium quendam tribunum mili-
tum, Gentilem, vt dicebant, mandans, vt hone-
ſtè pergens populum in Eccleſiam reuocaret.
Profectus ille cùm minimè auditus eſſet, ad A-
cacium redit, vires, ac frequentiā populi nun-
cians. Poſt hæc illum ſuppliciter orant, aureis
verbis deprecantes, & ſpe ac promiſſione ma-
ioris gradus prouocantes, vt impediret Domini
gloriam, mandantes ei, vt vel oratione perſua-
ſos abduceret in eccleſiam populos, aut ira, &
vi militum perturbaret, & collectæ tantæ cele-
britatis imponeret finē. Qui è veſtigio ſumptis
ſecum partis Acacij clericis, ſecunda vigilia no-
ctis pergit exequi, quod ei fuerat iniunctū. Ex-
cubat enim populus in partibus noſtris ad pri-
mum vſq; galli cantum, ſecum habens nuper ad
militiam electos dictis gladiis Thraces, inſtar E-
ſau, quadringētos, omnino impudentes, inſiliít-
que noctu, ſubitóq; vnà cum Acacij clericis, &
militibus, in Dominicum gregem, veluti lupus,
fulgente ferro ſibi iter faciens, ac populos diri-
mens. Cōceſſit autē intra Beatas Aquas, vt eos,
qui initiabātur, prohiberet: ac diacono quidem
procaciter imminens, veneranda myſteria, quæ
ille tenebat, manibus fudit. Presbyteros verò
iam & ætate, & ordine, æqualéſq; ſuos fuſtibus
in capite feriens, piſcinam cruore perfudit. Vi-
dere erat tunc illam Angelicam noctem, in qua
etiam dæmones corruunt ſupplices, in labyrin-
thum fuiſſe conuerſam. Nudæ enim mulieres
vnà cum viris fugæ ſe committebant, metu cæ-

dis, aut inhoneſtæ fœditatis fœdum hunc curſum amplectentes. Alius manu vulneratus abibat plorans, alius virginem conſciſſam verberibus trahebat. Omnes ad prædandum conuerſi, ornamenta, & recõdita omnia ſibi applicabant. Ita Presbyteri quidem, ac diaconi, qui fuiſſent comprehenſi, in carcerem coniiciebantur, qui autem ex populo alicuius erant dignitatis, vrbe pellebantur. Edicta repetitis vicibus per loca ponebantur, varias minas continentia, niſi quis Ioãnis communionem abnegaſſet. Cùm tamen iſta fierent, & plura etiam hi qui dicebantur Epiſcopi, extrinſecus molirentur, collecta tamen doctrinæ cœleſtis, imò diuinæ gratiæ ſtudioſis non euacuabatur, ſed iuxta illud Exodi, Quantò
Exod. 1. illos occidebant, tantò plures fiebant. In craſtinum autem egreſſus Imperator in adiacentem campum exercitij gratia, vidit humum non ſatã ad quintum fermè lapidẽ candore veſtitam. Stupefactus ad ſpeciem, & gratiam floris nuperrimè baptizatorum, erãt enim ad tria millia, ſatellites interrogat, quænã eſſet acies illic concurrentium. Illi gratis mentiti, vt furorem Regis excitarent, dicunt eſſe alterius ſectæ homines. Ea re cognita, authores negotij, & inuidiæ præceptores atrociores quoſque ex ſequentibus mittunt, vt auditores diſſiparent, doctoréſque comprehenderent. Profecti illi rurſus paucos ex clericis, plures ex laicis tenent. THEODORVS. Quidnam eſſe dicimus, Pater beatiſſime, quod, cùm tam multi eſſent, vt ad tria millia ſoli baptizati pertingerent, pauciſſimi eos milites obtinerent, conuentúmque diſſoluerent? PALLADIVS. Iſtud non paucitatis indicium, neque zeli nullius argumentum, ſed copioſioris religionis, doctorúmque diligentiæ certa probatio eſt, qui ſententiæ firmitatem perpetuo ſtudio prædicationis dirigunt, atque cuſtodiunt. THEODORVS. Rectiſſimè omnino. Neque enim decebat, vt, qui prudentiam & manſuetudinem à ſancto Ioanne didiciſſent, inſipienter ac perturbatè aliquid agerent. PALLADIVS.

CAP. X.

Quandoquidem virorum te oblectat modeſtia, quæſo ne interrumpas ſermones, quos peſſima facta genuerunt. Solent enim vt plurimum à factis verba deriuari. Cum his igitur clericis, ac laicis, qui detenti fuere, comprehenſæ ſunt & virorum nobilium coniuges. Quibuſdam ex his maphoria quoque abſtulerunt, aliis inaures cum aurium ſummitate detraxere. Ea re conſpecta, Eleutheri cuiuſdam vxor opulentiſſima, pallio relicto, ancillæque habitu aſſumpto, curſu ciuitatem ingreſſa eſt, vt pudorem ſeruare inuiolatum poſſet. Erat enim in flore ætatis formoſa nimium, & incredibili decore veſtita. Hunc igitur in modum impleti magiſtratuum ferè omniũ carceres in Eccleſiæ faciem tranſiere. Et hymni quidem, & oblationes myſteriorum in cuſtodiis agebantur, flagra verò, & tormenta, & iuramenta terribilia in eccleſiis reſonabant, cùm ad execrationem Ioannis ſinguli impellerentur, qui vſque ad mortem nequitiæ diaboli aduerſatus obſtiterat. Completa verò quinquageſima, poſt quintum diem ingreſſi Acacius, & Se-

A uerianus, Antiochúſque, & Cyrinus ad Imperatorem, dicunt ei, Rex tu à Deo nobis datus es, nemini ſubditus, omnibus dominans, licet tibi, quodcunque vis, facere. Noli eſſe Presbyteris mitior, & Epiſcopis ſanctior. Diximus tibi, præſentibus omnibus. Super caput noſtrum ſit Ioannis depoſitio. Noli igitur vni homini parcere in perniciem omnium noſtrum. Iudaicis ſanè & verbis & rebus perſuadentes Regi. Miſſo itaque Rex Patricio notario ſuo, iſta Ioanni mandat: Acacius, & Antiochus, & Seuerianus atque Cyrinus, damnationem tuam ſuper caput ſuum poſuerunt. Teipſum ergo commendans Deo, eccleſia egredere. Ita Epiſcopus Ioannes poſt apertam, nihílque adumbratam
B iuſſionem, Epiſcopio deſcendens, vnà cum Epiſcopis, dixit omnibus. Venite, oremus, & angulo eccleſiæ congrediamur, lætus quidem de ſe, ſed de populi mœrore & afflictione ſubtriſtis. Protinus quidam ex primariis ciuitatis vir fidelis Ioanni ſignificat, quoniam Lucius, vir audax, & facie impudens, paratus eſt in lauacro publico cum militibus ſuis, ſi fortè contradicas, aut differas, etiam inuitum trahere & expellere. Fit autem magna in plebe commotio feſtina clàm egredi, ne in tuum auxilium confluens populus, bellum cum militibus conſerat. Tum verò Ioannes oſculatus eum lachrymis ex Epiſcopis quoſdam, cæteros enim oſculari non ſinebat ingens miſerationis affectus, orauit, reliquis,
C qui intus erant in ſacrario, dicens, Manete hîc interim, vt profectus modicum requieſcam. Ingreſſus autem Baptiſterium, Olympiadem vocat, quæ ab Eccleſia non diſcedebat, vnà & Pentadiam, & Proculam diaconas, Siluinámque Beati Hebridij coniugem, quæ viduitatem ſuam præcipua virtute & honeſtate decorabat, dicítque eis, Venite huc filiæ, audite me: quæ de me ſunt, vt video, finem habent: curſum meum conſummaui, neque vltrà fortè videbitis faciem meam, hoc vnum rogo, hoc deprecor, ne qua ex vobis ſolitam ad Eccleſiam beneuolentiam deſerat, & quicunque non ſponte fuerit ordinatus, neque id vllo quæſierit ambitu, ſed de cõſenſu omnium, ei caput veſtrum inclinate, vt Ioanni, per o-
D mnia. Non enim eſſe eccleſia ſine Epiſcopo poteſt. Atque ita miſeremini mei, vt in orationibus veſtris ſemper memineritis mei. Ad hæc illæ profuſæ cum gemitu & eiulatu, ante ſacra eius veſtigia volutabantur. Tunc ille cuidam ex honeſtioribus presbyteris annuens, tollite, inquit, eas hinc, ne multitudinem perturbent. Sic ergo impeditæ modicum, locum illi dedere abeundi. Ita demum egreſſus eſt ad orientalem partem, nihil enim apud illum occidentale erat: iumentum, cui ſedere conſueuerat, ſtare ante occidentalem portam iubens, vbi atrium erat, vt ita abs ſe amoueret populos, ea ex parte profecturum præſtolãtes. Egreſſus eſt cum illo Angelus quoq; eccleſiæ, [illegible]nos ſolitudinem non ferens, quam principat[illegible]li atque poteſtates effecerant, theatri faci[illegible]fectò rebus impo-

ſita. Erat enim theatri in morem clamor, & im-
piorum laſciuientium ſibilus, dum eos culpa-
rent omnes, & Iudæi ipſi, atque Gentiles ex-
horreſcerent. Nam veluti in carcere plagæ, illic
ac viſcerum cruciatus à militibus inferebantur,
deficientibus omnibus animæ viribus, tum ob
magiſtri amiſſionem, tum ob blaſphemiam in
Deum. Vbi enim peccatorum ſolet eſſe remiſ-
ſio, ibi ſanguinis erat effuſio. Poſt ineffabiles
illas tenebras, immensámque caliginem flam-
ma de medio throno, in quo Ioannes ſedere
conſueuerat, & veluti medio in corpore poſitũ
cor, eloquia Domini cæteris membris expone-
re, repente proſiliens, verbi Dei doctorem re-
quirebat. Quem vbi non inuenit, ſedem totam
depaſcebatur, ac ſpeciem arboris præ ſe ferens,
& per catenas in ſublime ſe porrigens, ad te-
ctum vſque ſerpebat, atque viperæ in morem
ventre exeſo in dorſa tectorum eccleſiæ fereba-
tur. Deo mercedem iniuſtitiæ iam hinc, veluti
deſtinatam huius authoribus ſceleris pœnam
reddente, ad eorum correptionem eſſe emen-
dationem, qui ex huiuſmodi prodigiorum fa-
cie corripi neſciunt, neque ob id ſolum, ve-
rùm vt eſſet feralis illius ſynodi perpetuum
monumentum. Nec mirum de eccleſia, cùm
ſenatus quoque ipſius ſedem, è regione licèt
eccleſiæ ſitam, multis tamen diſiunctam paſ-
ſibus, die media ignis ille, interiectam po-
puli multitudinem, pontis inſtar, per medium
innoxiè tranſiliens, attigerit, atque violaue-
rit, non prius partem Eccleſiæ propinquam,
ne huiuſmodi caſum propinquitati aſcriba-
mus, ſed partem aulæ regiæ proximam, vt
miraculum diuinitus illatum per id ambigeret
nemo. Vidiſſes inter duos ignium montes vul-
gus innocuum ad ſua miniſteria pertranſire.
In hunc modum ignis ille circumuolans, &
tanquam mare inundans, auſtrinis flatibus con-
citatum, veluti condicto quodam pergebat,
adiacentia tecta demoliens, ſolique pepercit
ædiculæ, in qua ſacrorum vaſorum multitudo
fuerat condita, non auri & argenti materiam
reueritus, ſed ne obtrectatoribus præberet
mendacij locum, vt ſanctum inſimulare virum
poſſent, quòd præcioſæ ſuppellectilis aliquid
aſportaſſet: Ita ignis impetu in anteriora co-
hibito, retrò redire incœpit, eorum fermè in-
uidiam inquirens, qui id ſcelus admiſerant, ad
inſaniam Theophili perpetuo dedecore notan-
dam, qui illum, ob aſportata precioſa quæ-
que, eccleſia eiectum autumat. Nulla ignis il-
lo impetu animæ amiſſio contigit, non homi-
num, non brutorum, cæterùm ſordes illic ſce-
lleratè conuerſantium vis illa incendij diluebat,
ab hora ſexta vſque ad nonam igne dominan-
te: ita tribus horis tanti operis moles aſſumpta
eſt. THEODORVS. His ita geſtis, vbínam
quæſo te, Pater, Ioannes ſanctus remoratus
eſt, aut Epiſcopi reliqui? PALLADIVS. Epi-
ſcopi partim quidem incluſi tenebantur, par-
tim trahebantur ad cuſtodias, partim etiam
deliteſcebant. Ioannes autem vnà cum Cy-
riaco, & Eulyſio [illegible]fecti militibus iuncti
in Bithyniam duc[illegible]r, non ſine commi-
natione ſupplicij [illegible]d eccleſia fuiſſet in-

A cenſa. Poſtea verò Cyriacus, & Eulyſius, cum
reliquis clericis, vincti, adducti, atque in-
nocentes comprobati, dimiſſi ſunt. Ioannes
verò beatiſſimus ad reliquam fiduciam poſtre-
mum hoc addidit conſtantiæ documentum,
ſcribens illis in hunc modum: Et ſi in aliis lo-
cus pro me reſpondendi mihi datus non eſt,
vel in facto eccleſiæ audiam, ſi quidem, vt di-
citis, author incendij fui. Ne in hoc quidem
auditus, à militibus in Armenię oppidum re-
motiſſimum ducitur, vt ab Iſauris, qui illud
noctu & interdiu obſidebant, necaretur: Cu-
cuſus id appellatur. Arſacius autem beati Ne-
ctarij frater Ioannis viri per omnia probati, di-
ſertíque ſubſtituitur loco, homo, quem & piſ-
ces facundia, & † actu ranę ſuperarent. Inter- Forte, cantu.
B dum enim & actio loquitur, maximè cùm bo-
na & honeſta fuerit. Qui cùm anno vno, &
duobus menſibus vixiſſet, mortuus eſt, ipſa
Dei euangelia in fine vitę conteſtatus, ſe fra-
tri Nectario ſub iureiurando fuiſſe pollicitum,
nunquam in ordinationem Epiſcopatus admiſ-
ſurum, cùm illi exprobraret, quòd noluiſſet
Tarſenſi eccleſię pręfici. Fuit illi periurij cau-
ſa primùm quidem vanitas ſua, per quam
deſpondebat ſibi, vt ſic dicam, vxorem fra-
tris ſui. Deinde confuſio quoque, cùm fra-
ter ſuus hac de re quodammodo propheticè
illum arguiſſet. Subſtituitur Arſacio Atticus
presbyter, totius contra Ioannem machina-
tionis architectus. Qui cùm animaduerteret
orientalium ſibi Epiſcoporum communicare
neminem, neque ipſius ciuitatis populum,
C propter ea quæ adeò iniuſtè ac nefariè ad niſſa
fuerant, agit diuinarum ſcripturarum impe-
ritus, vt qui non communicarent, reſcriptis
conuenti cogerentur. Habebat autem reſcri-
ptũ aduerſum Epiſcopos huiuſce minas. Si quis
Epiſcopo Theophilo, & Porphirio, & At-
tico non communicat, Eccleſia pellatur, &
à ſuis facultatibus proiiciatur. Hinc iam alij
plus æquorum grauati pondere inuiti quo-
que communicant. At verò pauperiores qui-
que, & in fide ſana imbecilliores muneribus
quibuſdam ad communicandum attrahunt.
Qui verò genus, & patriam, & corruptibi-
lem gloriam, corporúmque preſſuram con-
tempſerunt, fuga ingenuitatem animi ſeruaue-
re. Euangelicum illud crebra memoria repe- Matt. 10.
D tentes: Si vos in vna ciuitate perſecuti fue-
rint, fugite in aliam. Et prouerbiorum illud
ſibimet dicentes: Non proderunt ſubſtantię in
die irę. Profecti autem ſunt alij quidem Ro- Prou. 11.
mam, alij ad montes, alij in monaſteriis ſer-
uorum Dei à Iudaica iniquitate ſeruabantur.
Continebat autem reſcriptum cõtra laicos, qui
in dignitatibus erãt conſtituti, vt magiſtratu &
dignitate omni priuarẽtur, milites, vt baltheum
amitterent, populares, & artifices reliqui, per-
ſoluto graui auri pondere, ſubiicerentur exilio.
Verùm dum iſta geruntur, preces à fidelioribus
quibuſq; ſub † cliuo, magna cum afflictione ſua Forte, ſubdio.
quotidie fiebant, ſaluatoris ſtudio, & amore, qui
dixit: Ego ſum via, & veritas: & rurſus: Confi- Ioan. 14.
dite, ego vici mundum. Et Beatus quidem Ioan- Ioan. 16.
nes Cucuſi remoratus annum vnum, plurimos

Armeniæ pauperes pauerat, non tam frumento, quàm verbo: per id enim temporis fames valida totam illam prouinciam preſſerat, cùm inuidia concitati interfectores fratrum illum in Arabiſſum transferunt, variis iniuriis ſubiicientes, vt eum vita etiam pellerent. Ibi rurſum maxima præferens virtutum indicia: non poteſt enim abſcondi ciuitas ſuper montem conſtituta, neque lucerna clarè radians modio ligneo contegi: excitauit veluti ex ignorantiæ ſomno ad diuini ſermonis radium ex omni circum regione eos, qui graui infidelitatis ſopore preſſi erant. Hinc vehementiori liuoris flamma ſtimulati Seuerianus, & Porphyrius, & alij quidam ex Syria epiſcopi, inde quoque illum transferendum curant. Grauis enim eis erat non modò in his, quæ putantur felicitates: verùm multò magis in calamitatibus ipſis. Erant enim ignauiter affecti erga tentationum naturam, diuini ad Apoſtolum oraculi immemores, cùm in preſſuris eſſet, Sufficit tibi gratia mea. Virtus enim mea in infirmitate perficitur. Inſpicientes enim Antiochenam eccleſiam in Armeniam cõmigraſſe, & inde rurſus Antiochiæ Ioannis gratiſſimam Philoſophiam prædicari, diſrumpebantur, vitæque illos iam tædebat, huiuſmodi rumoribus non ſecus quàm flagris, cruciatos. Eſt enim ea inuidiæ natura, vt eos, quos inuaſerit, ſemper exagitet. Eo miraculo perculſi pleriq; clerici aduerſæ factionis, aiebãt: Videte mortuum terribilem, viuos, victoréſque pauefacientem, non ſecus, ac paruulos laruæ deterrent. Papæ, ſeculares poteſtates, eccleſiaſticáſque opes amicti, cum ipſa poteſtate ſua, & principatu, ſacerdotem, ſolum, ciuitate priuatum, infirmum carne, exulem, trepidantes, metum pallore teſtantur. Non iam igitur ferentes ſcena occultari ſerpentem, ad exercitum mittunt, reſcriptúmque aliud vehementius cũ adiectione pœnæ procurantes, transferri ſcilicet eum intra loci cuiuſdam anguſtias, vnde non liceret progredi, in Pytiuntem locum penitus deſertum, extorrem agunt, ripę Pontici maris imminentem. Porrò milites pręfecti prætorij, qui illum ducebant, maximè per viam vrgebant, id ſe habere in mandatis apertè aſſerentes, maiori ſe gradu promouendos, ſi per viam ille moreretur. Atque vnus quidem ex ipſis, præſentis militiæ negligens, nonnihil humanitatis in illum clàm oſtendebat, alius adeò infeſtus erat, & atrox, vt blanditias, quæ ſibi ab occurrentibus, vt ſancto parceret, fiebant, iniurias exiſtimaret, id ſolum curans, vt Ioannes moreretur. Denique cùm imber eſſet vehemens, adeò vt dorſum ac pectus inundatio illa percelleret, nihil curans egrediebatur. Ingentem rurſus ſolis æſtum pro deliciis habebat, ſciens hoc affligi ſancti viri caput, inſtar Eliſęi caluum. In vrbe verò, aut caſtello, vbi lauacri eſſet vllum refrigerium, ne punctum quidem temporis remorari infelix ille tolerabat. Cùm inter hæc omnia trimeſtre tempus difficillimum illud conficiens iter, ſanctus veluti ſydus radians perſtabat, corpuſculum habens, inſtar mali ſummis in ramis, ſolis feruore rubicundum. Vbi verò Comanæ propinquarunt, ipſam veluti pontem tranſeuntes, in templo quodam quinque aut ſex millibus paſſuũ remoto manſerant. Ipſa nocte Martyr ipſius loci Baſiliſcus nomine, qui Nicomediæ ſub Maximiano paſſus, cum Luciano Antiochię presbytero fuerat, dum eſſet Comanenſis epiſcopus, apparuit ei, dicens: Confide frater Ioannes: cras enim ſimul erimus. Aiunt presbytero quoque eccleſiæ prius apparuiſſe Martyrem, ac dixiſſe: Præpara Ioanni fratri locum: venturus eſt enim. Ille nihil de oraculo dubitans, in craſtinum orabat milites, vt illic vſque ad quintam horam permanerent: qui minimè acquieſcentes, perurgebant. Profecti verò quaſi ſtadia triginta, rurſum ad memoratum templum, vnde exierant, redierunt, ipſo iam febribus laborante. Illuc vbi rediit, vitæ ſuæ digna candida veſtimenta quæſiuit, exutúſque prioribus, ea ſibi induit, omnibus vſque ad calceamenta mutatis, reliqua præſentibus ipſe diſtribuit, ſumptíſque cœleſtibus ſacramentis, coram aſtantibus, extremam orationem fudit, dicens more ſuo: Gloria ſit Deo, omnium cauſa. Conſignánſque ſe in fine orationis, extendit ſpecioſos illos pedes, qui cucurrerant in ſalutem eorum, qui elegere pœnitentiam, & illorum probrum, qui peccata abundè meſſuerunt. Quòd ſi nihil malis probra profuere, hoc non imbecillitas conſtantiſſimi viri, ſed illorum impudẽtia fecit, qui ea tolerare noluerunt. Adiectus eſt itaque ad patres ſuos, excuſſo puluere mortalis vitæ, atque migrauit ad Chriſtum, ſicut ſcriptum eſt. Venies autem in ſepulchrum tuum, veluti frumentum maturum, quod ſuo tempore metitur. Iniquorum autem animę immaturæ moriuntur. Tanta verò multitudo virginum, tantúmque monachorum, & honeſtioris vitæ teſtimonio inſignium ex Syria, & Cilicia, & Ponto, & Armenia agmen accurrit, vt putarent plurimi, ex condicto eos adueniſſe. Ita ſepultus, laudibúſque, veluti athleta victor, honoratus eſt, corpuſculo vnà cum Baſiliſco in eadem eccleſia condito. Ad hæc admirans Theodorus, percontatus eſt, dicens.

Cap. XII.

THEOD. Quoniam ſcriptum eſt: Ne frauderis narratione ſeniorum. Et ipſi enim à patribus ſuis didicerunt, impigrè nobis expone, quæ fuerit cauſa, vt comedere ſolus, vt eſt fama, ſit ſolitus. PALLAD. Certum quidem eſt, ſolum edere ſolitum: ſed ægrè fero, diligentiſſime Theodore, ea te rogare, quæ ſolent paruuli, ac ſtulti gulæ dediti. Vir enim cùm ſis, virorum debes virtutes inquirere, quo pacto eſſet interritus, de pecuniarum contemptu, de ſobrietate, manſuetudine, iuſtitia, miſericordia, ſapientia, & fortitudine, & obliuione, vel memoria ipſius: eſca enim nos Deo non commendat, neque ſi abſtineamus à cibo, placere Deo poſſumus, niſi id cum pietate facimus. Ipſe autem ſolus edebat, vt ex parte noui, ob iſtiuſmodi cauſas. Primò quidem ob calorem capitis abſtemius erat, niſi quòd in æſtu eo, quod Diarhodon appellatur, vtebatur. Secundò, quoniam infirmitatis cuiuſdam gratia, ſtomachus eius ordinem deſiderabat, adeò vt ſæpius, quę fuerant parata, ingrata viderentur, & quæ non aderant, inquiri oporteret. Deinde plerunque cibi oblitus ad veſperam vſque ieiu-

Matt. 5.

2. Cor. 12.

nabat, partim occupatus eccleſiaſticis curis, A partim ſpiritualibus intelligentiis abſtractus. Contendebat enim, vt nihil eum ſacrarum literarum prætериret. Solet auté huiuſmodi cogitatio aut inediam, aut leuem omnino refectionem operari. Eſt præterea conſuetudo conuiuis, niſi ſecum quis & ſudet, & vomat, & fœdo riſu cachinnet, ſummis digitis tepidum calicem ferens, humanitatem ſuſceptionis, atque communitatem in maledicta conuertere. Vt autem totum, quod reor equidem verius, explicem, frugi erat nimium, deliciarúmque omnino aduerſarius, ſacrilegium exiſtimans, ſi quid in huiuſmodi impenderetur. Simul vt diſpenſatoribus quoque furti occaſiones amputaret, ne obſoniorum precia in breuibus ſuis multiplicantes, quæ erant in vſus pauperum B deputata, ſibiipſis vindicarent. Præterea ciuitatis ingenia cogitans, conſiderabat oportere ſe, vt Chriſti diſpenſatorem aut dignitates omnes ex æquo honorare, aut ſe ſubiicere nemini. Inſpiciens autem diligenter, & menſæ tumultus, & impenſarum magnitudinem, exhorruit rem. Et vale dicens maledictis huiuſmodi, illud de
Act. 6 actibus apoſtolorum ſibi ipſi ſuccinebat: Viri fratres, non licet nobis miniſtrare menſis, ſed conſtituamus viros religioſos ad hunc vſum, nos autem vacemus verbo, & orationi. Quemadmodum enim equus ad certamen ſtadij exercitatus, cùm viribus deficit, ad molam conſtituitur, infinitúmque peragit girum: ita & doctor, quem piget de virtutibus diſputare, ſolet menſæ commoda prætendere. Atque vtinam vel eſurientibus, & egenis impenderet, C
Matt. 25. ex quo illa Domini benedictio prouenit: Eſuriui, & ſatiaſtis me. At nunc ſolis diuitibus exhibet, ſiue laudis, & gratiæ, ſiue inanis & marceſcentis gloriæ cauſa, ſiue vt ipſe ſimiliter ab illis inuitetur, vel ſi nihil horum, metu certè, ne maledictis impetatur. Non meminit infelix exprobrationem illam Domini, qua dixit: Væ
Lucæ. 6. vobis, cùm bene vobis dixerint homines: non dixit pauperes, ſed homines. Similiter enim faciebant prophetis Patres eorum. Non igitur quæramus, Theodore, ſicut inanis gloriæ cupidi, falſi prophetæ gloriam. Venit enim Ioan-
Lucæ. 7. nes, non manducans, neque bibens in via iuſtitiæ, & dicunt, Dæmonium habet. Venit filius hominis, manducans, & bibens, & dicunt: Ecce homo vorax, & potator vini, amicus pu- D blicanorum & peccatorum. Theod. Non ſtudio vituperandi continentiam huiuſmodi, mi pater optime, hac percontatione vſus ſum. Sciebam enim, & ex fama ipſa, & ex illius ſcriptis, ſiue Homiliis, ſiue Epiſtolis, quæ ad nos peruenire potuerunt, animam viri, ſed vt intentione explorata, queam imitari tantum virum. Quis enim ita hebes ac ſtolidus ſit, quin ſciat maius eſſe detrimentum menſæ quàm lucrum, niſi fortè in vſus ſuſcipiendis hoſpitio ſanctis exhibeatur? Pallad. Iſtud & ego dixi, ſtudioſiſſime Theodore, non præcipuam hoſpitalitatis virtutem euacuare quærens. Eſt
Geneſ. 18. & 19. enim vna ex virtutibus reliquis maximè ad pietatem pertinentibus, per quam & Patriarchæ, alij quidem dominum Saluatorem ad menſam ſuſceperunt, alij Angelos hoſpites habere meruerunt, mercedémque tanti operis, alius in ſenectute filium, alius liberationem ex Sodomis vnà cum filiabus inuenerunt. De quibus & Heb. 13.
Apoſtolus ait, nos prouocans ad imitandum, hoſpitalitatis gratiam nolite obliuiſci: per hæc enim quidam dum neſciunt, Angelos hoſpitio ſuſceperunt. Oportet autem hoſpitalem virum Mat. 10.
& prudentiam ſerpentis, & ſimplicitatem habere columbæ, duobus ſcripturæ monitis obtemperantem. Et omni petenti te tribue, & Lucæ. 6.
non omnem hominé inducas in domum tuam, ne pro oue lupum ſuſcipiens, aut vrſum pro boue, lucrum detrimento commutes. Debet autem quiſque primò locum probare, in quo poſitus eſt, deſertus ſit, an turbis frequens, deinde ingenium ſuum indagare diligentius, an idoneus ſit alienos tolerare mores, túncque dignoſcere cui bene faciendum eſt, diues ſit, an pauper, infirmus, an ſanus, veſte egeat, an cibo: in his enim ſolet miſericordia perfici. Nam beatus Abraham non Conſules, non duces, nō primarios huius ſeculi viros ſuſcepit hoſpitio, qui equis camo, aut fræno fulgentibus, phaleráſque ære inſignes & ſuperbiæ ſonitum procul edentes præferentibus vtuntur, ſed deſertum inhabitans locum, tranſeuntes humaniter fouebat. Porrò qui deſerta pertranſeunt, aut virtutis gratia Patriarchæ adibant ſedes, aut adacti paupertate ſumma, & inopia. Eſt enim inopia inter abundantiam & defectum media: abundantiam diuitias, defectum paupertatem intellige. Similiter & Lot, cùm deteriorem deſerto vrbem habitaret, rectè ſuſcipiebat aduētantes hoſpites, propter improbos inhabitantium mores. Enimuerò qui ciuitatem optimis legibus inſtructam habitat, cuiuſmodi Conſtantinopolis eſt, in qua omnes ferè hoſpitales ſunt, ſi ſacerdos eſt, ſuperfluò ſatis verbi relinquit miniſterium, vt obſoniorum computet ſumptus, ſéque imprudens cauponem pro doctore arbitratur, cogitationibus, aquæ inſtar, inſipidis, puram & meraciſſimam ſcientiam abolens, prophetæque probro ſe ſubdens. Caupones, qui miſcent vinum aquæ. Quantò enim Eſaiæ. 1.
imbecillis vinum aqua præſtantius eſt, tantò eſt doctrina hoſpitalitate ſublimior. Illa enim præſentibus tantum, hæc autem futuris quoque vtilis eſt. Atque altera eos tantum, qui coram ſunt, altera etiam abſentes emeretur, præſentes quidem linguæ officio, abſentes verò literis erudiens. Eiuſmodi fuit Saluator in carne, qui panibus quinque hominum millia pauit, non Ioan. 6.
in ciuitate, ſed in eremo. Cúmque docuerit præſentes lingua, ſaluauit orbē vniuerſum per ſcripta Euangelia. Huiuſmodi quippe verba ſūt eorum qui Spiritu ſancto pleni euaſere. Neque mireris, Theodore, ſi quis eſurientem impleat cibis, ſed ſi quis ex animo cuiuſquam ignorantiam pellat. Nam qui ventrem pecuniæ vel panis munere, ſiue oleribus ſatiet, inuenitur facile: qui autem enutriat verbo, rarò quidem inuenitur, inuento verò, aut non creditur, aut difficile creditur, iniquis ſpiritibus animarum ſaluti ſemper obſiſtentibus. Hanc verbi Dei, & doctrinæ famem ſupplicij loco Deus inten-

Amos 9. tat, dum per prophetam dicit: Inducam ſuper eos famem, non famem panis, & aquæ, ſed famem audiendi verbum Dei. Et temporalis quidem famis incommoda mutatione loci euitare licet, afflictam fame ciuitatem aut regionem fugiendo, atque ad aliam ea lue immunē tranſeundo, exemplo ſanctorum Patriarcharum, qui de Palęſtina in Ægyptum deſcenderunt. At verò de fame animorum, quę non aliunde quàm ex defectu magiſtrorum demolitur Eccleſias, rurſus Propheta alius dicit. Circumibunt ab oriente vſque ad occidentem quærentes verbum Domini, & non inuenient. Quid enim boni ex doctrina non prodit? quid item incommodi ex ciborum & conuiuij improbitate non naſcitur? Morbi, rixæ, contumeliæ, & quæ ex ventre ſuffarcinato proueniunt cætera. Quando Eua **B** Geneſ. 3. paradiſo pulſa eſt? Nónne, cùm ad vocem ſerpentis comedit ex ligno, ſtatuto cibo minimè Ibid. 4. contenta? Cain quando fratricidij ſcelus admiſit. Nónne, cùm primitias deguſtauit primus, gulæ ſuæ præcipua quæque cuſtodiens? Filij Iob. 1. Iob quando menſam paratam inuenere ſepulchrum? Nónne, cùm manducarent, ac biberēt? Quando Eſau benedictione priuatus eſt? Nón- Geneſ. 25. ne, cùm deceptus lenticulæ amore ventri obſecutus eſt? Quando Saul excidit regno? Nón- 1. Reg. 15. ne cùm opimas oues, præter mandatum, voracitati ſeruauit ſuæ? Quando Iſraëliticus popu- Exod. 16. lus irritauit Deum? Nónne, cùm Ægyptiam concupiuit menſam, carnes, & lebetes à duce ſui itineris poſtulans? Ofni, & Phinees filij E- 4. Reg. 11. li, quare morti traditi ſunt in bello vna hora? **C** Nónne, quòd raperent forcipibus ſacrificij car- Deut. 32. nes? Iacob ille execrabilis, quamobrem recalcitrauit? Nónne quoniam impletus, impinguatus, incraſſatus, ac dilatatus eſt? Quare Sodomitæ, præter naturam, in rabiem exceſſere li- Gen. 18. bidinis? Nónne, quia perpetuis conuiuiis ſenſum perdiderunt? quorum Ezechiel contumelioſè meminit, dicens? In abundantia vini, & in ſatietate panis laſciuiebant ipſi, hoc eſt, ciuitas, & filię ipſius, id eſt, villæ ciuitatis iure & lege viuentes. Pudoris itē ratio quando à populo illo priſco defecit? Nónne cùm in ſtratis conſenuerunt? Propheta eis ita exprobrante: Qui Amos 6 comedunt hœdos de gregibus, & vitulos de armento lacteolos, qui bibunt precioſum vinum, primis vnguentis delibuti, qui laſciuiunt in ſtratis ſuis, & nihil paſſi ſunt ſuper contritione Io- **D** ſeph. Quibus Eſaias item exprobrat? Nónne Eſaiæ. 5. his, qui ad conuiuia manè ſurgebant? Væ, inquiens, qui manè ſurgitis, ebrietatem perſequentes vſque ad noctem. Vinum enim comburet eos: cum cithara enim & pſalterio vinū bibunt, opera autem Domini non aſpiciunt. Dan. 14. Quando ſacerdotes Belis à Daniele confuſi ſūt? Nónne, cùm ipſos eſſe arguit cinis, qui cibos potúſque conſumerent? Et quid me dicere o- Matt. 7. pus eſt de his, qui latam viam incedere delegerunt, anguſtámque inſectantur maledictis? Sufficit mihi ad arguēdos nidoris ſtudioſos Saluatoris ſermo, qui ſine nomine diuitem, quotidie ſplendidè epulantem in hac vita, oſtendit micas, & ſtillam pauperis Lazari cupiiſſe, & Luc. 16. impetrare nequiuiſſe. Inſpiciamus autem &

A cœtum antiquorum Patrum, & videamus, quo doctrinæ genere ſunt vſi: vitæne honeſtioris, rectíque ſermonis, an conuiuiorum, & epularum ſecuti ſunt tramitem? Enoch primus fide tranſlatus eſt, an conuiuio? Noë quomodo humanum genus, cum orbis totus conuiuiis & immundis operibus fœdatus diluuij inundatione lauaretur, fide dignum ſeruauit, niſi ieiunio & perpetuis precibus? Nónne, vt parum ab hac tempeſtate vini hauſtu requieſceret, ignominiam illius, non gloriam ſcripturæ prædicant? Abraham ſanctus quinque reges fide ac iuſtitia, an verò cibo & potu ſuperauit, quando Loth, qui vinctus trahebatur, reuocauit? THEOD. Si Abraham adducis in medium, audi quid inferam. Dicet enim tibi quiſpiam, bellum quidē illum fide ſuperaſſe, Deum verò menſæ gratia emeruiſſe, vt ipſe quoque paulò antè narraſti. PALLAD. Mirum profectò, quòd Abraham Dominum emeruerit menſa. Omnes igitur fide relicta, & virtutibus reliquis, conuiuia ſtudioſè ſectemur, cauponibus nullo meliores, aut ſtabulariis, qui ob hoc ipſum itinera publica, vt lucrentur, obſederunt. Et virgines item, quæ in laudem Dei & corpore, & ſpiritu ſanctę eſſe contendunt, quoniam Maria genuit Chriſtum, & ipſę gignere pergant. Quod ſi fecerint, nihil ab abiectiſſimis meretricibus different. Eadem enim eſt ratio, vt ſi quidem dolores Abrahæ exemplo menſas præparent, virgines quoque Mariæ gratia gignant. Sed abſit amantiſſime, vt quæ ſuo tempore bene vel ſunt facta, vel fiunt, vituperemus. Nam profectò cuiuſque conſciētia ſibi quod expedit, dictat. Iacob præterea ille luctator, exercitatione, an conuiuio auunculi ſubſtantiam tulit? qui ait, Factus ſum ſolis aduſtus ardoribus, & gelu noctis: & diſcedebat ſomnus à me: qui nihil aliud, quàm panem & veſtitum in oratione poſcebat, dicens, Si dederis mihi panem ad edendum, & veſtimentū, quo operiar, omne quodcunque dederis mihi, decimas offeram tibi: non ait menſis abſumam. Moſes ille Dei contemplator, fideliſque famulus, qua inſtructa menſa populum duxit ad mōtem? quos crateres? quæ pocula habuit? qui propter incredulitatem populi, petram virga percutiens, inde aquas elicuit? Qui ſexcenta hominum millia regebat, legiſque tabulas ad correptionē populi acceperat, phialáſne æreas, membranáſque porcorum, & phaſidis auem, atque piſcem de pelago, vinúmque de Tyro pretioſum, & ſiligineos panes, his quos imbuebat, an ſalutis monita edebat? THEOD. At hoc in loco quiſpiam ita fortaſſis occurret, da mihi, inquiens, manna illud, & aquam, & nihil amplius quæram. PALLAD. Et quis adeò infelix ſit, vt ſpirituali doctrinæ manna viſibile præferat, fluxámque aquam? Samuel populi doctor, qui in Ramatha viginti quinque annos requieuerat, quem vnquam menſæ apparatu magis, quàm prædicatione auertit ab idolis. Quando item rex ille & Propheta, & Pſalmiſta deliciis inſtruxit menſam? qui ait: Cinerem, Pſal. 101. tanquam panem manducabam, & poculum meum cum fletu miſcebam. Helias ille Theſbites ieiunij vniuerſalis author, qui annos tres,

& menſes ſex gulæ deditos, vel inuitos aſſuefe- A
cit inediæ, quibus epulis peccato eripuit? Quos
item habuit coquos, cui corui victum neceſſa-
riũ miniſtrabant? Sapiens Daniel, & futurorum
inſpector, qua menſa erudiuit Aſſyrios? Nón-
ne ieiunio, & oratione draconem interemit,
& Bel deſtruxit, leonéſque frænauit, perſua-
ſitque regi, vt confeſſione veri Dei patrios ab-
negaret Deos? Quibus item epulis, quibúsve
deliciis vſus eſt, & reliquus Prophetarum &
Apoſtolorum chorus? Non erant illi magiſtri?
non orbis totius illis cura credita eſt? Nónne
iſtis ipſi ſuccedimus? Nónne iſtos imitari ex di-
uina inſtitutione nos conuenit, morum inhæ-
Heb.13. rendo veſtigiis, Paulo ita admonente: Quorum
intuentes conuerſationis exitum, imitamini fi-
dem. Quænam delicata cibaria habuit in eremo, B
pœnitentiæ præco Baptiſta Ioannes, qui ad ſe
venientibus non modò non parabat prandia,
verùm acri illos inuectione caſtigabat, neque
ſolum inquinatam ipſorum conſcientiam ſeue-
ritate quatiebat aſpectus, verùm ipſa quoque
habitus ſpecie, multóque magis verbo, quo
veluti gladio animarum ſecabat purulentiam.
Genimina viperarum, inquiens, quis oſtendit
vobis fugere à ventura ira? facite ergo fructus
dignos pœnitentiæ, neque ſoli baptiſmo, ge-
neríſque nobilitati confidatis. Quid autem gen-
tium doctor, qui circumciſionem ſoluit, vt fi-
dei ſtatueret gratiam, vas electionis Paulus? nũ
vacaſſe deprehenditur menſis, qui id maximè
omnium debuit, & incredulis gentibus prius
ſeſe inſinuaret officiis? Quid ille Timotheo ſcri-
bit Epiſcopo Epheſi? Vacáſne liberaliori men- C
ſæ, an verò lectioni, exhortationi, doctrinæ?
Quibus profectò in rebus impiger erat, vt con-
2. Tim. 4 ſtans Ioannes beatiſſimus? Importunè, oppor-
tunè inſta, inquit, argue, increpa, obſecra.
Nemo autem obiiciat, cur duo aſpera, vnum
blandum, ipſúmque vix & cunctando poſue-
rit. Argue enim, & increpa, cùm ſint vehemẽ-
ter acria, ex eo quod additur obſecra, & non
blandire, nihil amiſere virium. Id quippe ſcitè
factum voluptati deditis, & laxè viuentibus a-
crius eſt eis quoque increpationibus, quæ gra-
uiores & moleſtiores eſſe putantur. Illic enim
fortaſſis indignatione quadam obſiſtens anima,
quæ in reprehentionem dicuntur, minimè ſen-
tit. Hîc verò ſenſim atque paulatim modeſtis
veríſque ſermonibus, quaſi admoto lento quo-
dam igne, peruritur, atque diſcecatur. Quid
verò illum etiam admonens memorat, conui- D
uiáne, & epulas, an preſſurarum illa honeſtiſſi-
2. Tim 3 ma nomina? Tu verò, inquit, aſſecutus es meã
doctrinam & inſtitutum, quo pacto inſtituerim
omnia ad Dei gloriam facere, perſecutiones
pro reprehenſione ſcilicet erroris, num vſquam
menſæ fit mentio? Tito rurſus Cretenſi Epiſco-
po quid ſcribat, audiamus. Num de cibis & po-
tibus diſſerat, an de reprehenſionibus, & do-
Tit. 1. ctrina. Huius, inquit, rei gratia reliqui te Cre-
tæ, vt quæ deſunt, ſuppleas, perſuadeáſque il-
lis non aliter docere, neque attendere fabulis,
& genealogiis infinitis, reprehenſionum quo-
que adiiciens modum. Cretenſes, inquit, ſem-
per mendaces, malæ beſtiæ, ventres pigri. Di-

cant nobis ventris ſerui, gigantes menſarum,
prædonéſque muliercularum, qui Ioannis con-
tinentiam culpant, vbínam inuenerint conui-
uium in laudem poni, etiam ſi euoluant vetus
totum, & nouum teſtamentum, niſi fortè fiat
de alienigenis ſermo, & hoc ad fœderandam
pacem lege cõuiuij, per quam feræ molliuntur,
ac barbari. Quando conuiuia peccati materia
non fuere? Quid autẽ dico peccati? ipſius quo-
que maioris idololatriæ, & parricidij cauſam
præſtitere, ſicut ſcriptũ eſt: Sedit populus man- Exod. 32.
ducare & bibere, & ſurrexerunt ludere: fuerat
autem ludus ab ebrietate profectus. Venite, in-
quiunt, faciamus Deos, qui nos præcedant. Qui
enim motum vini cauſa pertulerant, mobiles in-
quirebant Deos, eo dimiſſo, qui eſt immobilis,
& impleat omnia, nuſquam incedendo. Quid
autem dicit propheta? Labia Sacerdotis medi-
tabuntur conuiuia, quia cœnas & prandia re-
quirent ab eo. An labia Sacerdotis cuſtodient
ſcientiam, & legem ex ore eius requirent? quo- Malac. 7.
niam Angelus Domini eſt, & non coquus. Et
turris illa in Chalane quando ædificata eſt, an-
tè vinum, an poſt vinum? Nónne poſt vini v-
ſum, quando Noë, plantata vinea, primus op-
probrium retulit? Si quidem non potus, aut
plantationis gratia, ſed deſideratione modi ine-
briatus eſt. Ioſeph quando venundatus à fratri-
bus eſt? Tunc ne, cùm oues ſtudioſè paſcebant,
an cùm opima quæque iugulantes, & comedẽ-
tes in ocio, inuidiam in conuiuio aduerſus illum
exacuerent? Baptiſtæ Ioannis caput in diſco v-
bínam dederunt meretriculæ? in ſapientiæ cœ-
tu, an in conuiuio iniquitatis? Beatus Paulus,
bibens & comedens vſque ad medium noctis
protendit ſermonem, an ieiunans, & docens,
& ignorantes Deum ad fidem ducens? Summus
ille paſtor, & doctorum, & ſapientium prin-
ceps Chriſtus Ieſus, humanorum depulſor er-
rorum, vbínam reperitur in ciuitate comedere,
niſi Paſcha, quod erat myſteriorum adimple-
tio? Quid autem ſollicitis diſcipulis ait? de ci-
bis, an de lectionibus mandare inuenitur? O-
peramini, inquiens, non pereuntem, ſed per-
manentem cibum. Dicat ergo cum Domino ſuo
& beatus Ioannes: Meum conuiuium eſt verbi
magiſterium, & diſtributio, ad aquam etiam
in populi ſalutem electus ſum. Eſca enim nos
non commendat Deo, neque ſi comedamus,
neque ſi non comedamus, placere illi poſſumus,
niſi id cum pietate faciamus. Eſt enim gentili-
um iſta conſuetudo, eos, quos volunt fallere,
menſis allicere, cùm verbo perſuadere non poſ-
ſunt, qui dicunt, Manducemus, & bibamus,
cras enim moriemur. In quos Apoſtolus vehe-
menter inuehitur, caſtigátque, dum dicit: No- 1. Cor. 15.
lite errare: corrumpunt bonos mores collo-
quia mala: colloquia appellans mala verba, quę CAP.
in iſtiuſmodi conſumuntur. THEOD. Veraci- XIII.
ter tu quidem omnia, doctiſſiméque proſecu-
tus es, atque ita eſt omnino. Væ enim, qui dul- Eſaiæ 5.
ce amarum dicit, & amarum dulce. Væ ponen-
ti lucem tenebras, & tenebras lucem. Sed dicet
quiſpiam: Ne nos quidem dicimus ipſũ huiuſ-
modi menſis expoſitum eſſe debuiſſe. Eſt enim
immodica iſta profuſio, voluptatis occaſio, &

obtuſio nimia, ſegnitiæque ac vecordiæ certa demonſtratio. Poterat certè vel ſolos inuitare Epiſcopos, & eos maximè, qui religione præſtarent, aut ſi hos nollet, vel proprium clerum, imitans Dominum, quem cum duodecim Apoſtolis manducaſſe certum eſt. PALLAD. Sapientiſſimè omnino, ſi quidem paſſi eſſent clerici cum illo extra horam, aut noctu prandere. Si autem quàm celerrimè illi multo cum apparatu exquiſitas epulas ſectarentur, iniquum & indignum erat, infirmorum, aut pauperum cibos, eorum qui ſani eſſent, libidini exponere. Quænam verò lex iſta eſt, quæ ſtatuat præceptorem à diſcipulis erudiri oportere, curari ab infirmis medicum, gubernatorem à vectoribus dirigi, cùm ſemper & infirmos medicus ſanet, & doctor diſcipulos corrigat, & gubernator nauigantibus, quod expedit, dictet? Et medico quidem ac gubernatori obtemperantes, qui ſub illis ſunt, amore vitæ dolorem omnem ac moleſtiam ferunt, cum tamen ſæpenumero, quod cupiunt, non conſequantur, incertúſque ſit exitus. At verò præſtantiſſimo præceptori, qui morbos & ægritudines vt curet, aſſumit, voluptatúmq; procellas tranſmittere nouit, effrænato iſti ore, & ſpiritu turbido detrahũt, illotis, vt aiunt, pedibus cũcta miſcentes. Nempe enim ſi ſeipſum deuouiſſet menſis, quãdo tam multis dignitatibus quiuiſſet ſatisfacere tãtæ vrbis habitator, ſingulis aut benedictionis, aut inopiæ, aut gulæ cauſa poſcẽtibus cibos? Vbínam ad diuina ſpeculanda, aut recreãdos ſermone populos, ad ſcripturarum ſcientiam, ad prouidẽtiam viduarum, ad ſolatium virginum, ad infirmantium curam, ad oppreſſorum opem, ad conuerſionem errãtium, ad contritorũ conſolationem, ad vinculatorũ viſitationem, vel quando ocium ſuppeditare potuiſſet, quomodo exprobrationem illam Dei quiuiſſet effugere, per Ezechielem dicentis: Væ paſtoribus, qui ſeipſos paſcũt, & non oues: quod errauerat, non conuertiſtis: quod perierat, non requiſiſtis: quod infirmum fuit, non viſitaſtis: quod contritum, non alligaſtis: quod pingue erat, mactantes comediſtis. De quibus ſcribit & Paulus: Suſtinetis enim, ſi quis vos in ſeruitutem redigit, ſi quis deuorat, ſi quis accipit. Et lanas quidem induiſtis, oues autem non paſcebatis. Et in Hieremia de occiſis paſtoribus ait: Paſtores multi corruperant vineam meam. Poterat hos quoque ſuo tempore curare, & eccleſiæ curas non negligere, ne in hoc illi derogaretur, qui eſſet in cæteris admirandus. PALLAD. Hoc eſt nempe, quod quæritur, ne ſibi derogetur, vt verbum Dei affatim fundat ſollicitudinem, zelum, & religioſam ſacerdotalem beneuolentiam præ ſe ferat. An verò ignoras chariſſime Theodore, quòd irrationabili maledicto beatitudo promittitur, Domino inter beatitudines cæteras dicente: Beati eſtis, cùm vos exprobrauerint, & dixerint omne malum aduerſum vos, mentientes: Væ autem vobis, cùm vos benedixerint omnes homines. Secundùm hoc enim faciebant prophetis patres eorum. Quando autem & os diuinis eloquiis exercitatum, & auris oraculis ſubiecta diuinis, menſę loquacitatem tolerasſet?

Ezech. 34. — 1. Cor. 11. — Matth. 5. Lucæ 6.

A dicente Domino, nemo poteſt duobus dominis ſeruire. Ac deinceps, Non poteſtis Deo ſeruire, & Mammonæ. Quæramus ergo, quid ſit Mammona, ne fortè inueniamur non duobus ſeruire Dominis, ſed ſoli Mammonæ. Nunc enim Mammonam non diabolum dicit, ſed inanem huius mundi curam, à qua diſcipulos ſermo diuinus auertit.. THEOD. Redi iam, Pater ſanctiſſime, ad narranda reliqua. Satis enim mihi factum eſt de ratione menſæ, neque feras grauiter me iſta fuiſſe percontatum. Maioris enim ſcientiæ ſtudio peritiam tuam exactius interrogaui. PALLAD. Hoc tibi equidem apertius dixerim, Theodore ſtudioſiſſime, vnus enim fui ex his qui turbas cibi menſæ appoſitione conciliare pergunt, quòd Epiſcopus magnę præſertim vrbis, qui relicto verbi Dei miniſterio, nocte ac die non meditatur in lege Dei, & pauperum curam non per ſeipſum, ſed per alios exequitur, longè erit ab his qui dixerunt, Ecce nos reliquimus omnia, ſecutíque ſumus te, quid ergo erit nobis? Et cum eis numerabitur, qui dicent, Domine, nónne in nomine tuo hæc & illa fecimus. Audiétque cum ipſis. Diſcedite à me maledicti: neſcio vos vnde eſtis: non enim recognoſcit verbum operarios mutos. Eſt quippe mundus ipſius oculus, ne videat mala. Multi namque ex his qui dicuntur Epiſcopi, rationabile ipſorum odium, quo morum ſuorum gratia inuiſi ſunt, & ſpiritualium, ac diuinarum rerum negligentiam amputare dum volunt, vitium vitio commutant, cupiditatem ſcilicet vanitate, manu quidem altera turpe lucrum ſtudioſè inſectantes, altera verò inſtruentes menſas, & ſublimium ædificiorum moles erigentes, vt ex hoc ſtudio boni & induſtrij eſſe videantur, ac pro ignominia honorem conſequantur, Eccleſiaſticis immemores, qui iſta & conſtruxit, & odit, atque ea manifeſtè interdixit, dum ſcriberet, Feci mihi domos, & pomaria, & cætera, & ecce omnia vanitas, & odiui omnem laborem meum, quo ego laboro ſub ſole. Non ait, ſupra ſolem, ne ſpirituales labores improbaret. Hæc autem dixerim, non vt eos denotem, qui probabiliter & neceſſariò Eccleſias aut condunt, aut reparant, ſed illorum cauſa, qui pauperum opes in hortos penſiles, in aquæ ductus aëreos, in communia virorum ac mulierum lauacra parum pudica conſumunt, ſiue vt maiores conquirant opes, ſiue vt ab indignis quibuſq; diligantur, qui in hoc ipſo huiuſce ſtudij gratiam reddunt, quod omnia ad voluptatem peccantium faciunt, Gnathones, & aſcentatores nocentiſſimi. Abſit autem à me, Theodore, magni poſſeſſor nominis, vt malis vnquam placere velim. Non enim aliunde illis placere potero, quàm ex his quæ Chriſto Domino diſplicent. Ad hæc admirans Theodorus, interrogauit, dicens. THEOD. Cùm hæc naturaliter omnino abs te dicta ſint, & irrefragabiliter, ſi qua noſti à beato Ioanne, de quo nunc ſermo eſt, per Aſiam vtiliter inſtituta, quæſo pandere digneris. PALLAD. Et multa quidem. THEOD. Ipſe adfuiſti, an ab aliis ea didiciſti? PALLAD. Atqui ne punctum quidem temporis in omni hac illum cauſæ proſecutione de-

Matth. 6. — B — Matth. 19 — Ibidem 7 — Ibidem 5. — C — Eccleſ. 2. — D

ſerui. Theod. Quænam igitur ſunt ſubſecuta, quémve acceperunt finem, & vnde habuere principium, ad amuſſim ſcire deſidero, ob id in primis, quòd Theophilus in libro ſuo temeritatem ſuam honeſtare, ſiue operire cupiens, ait beatum Ioannem dominandi libidine concitatum ſexdecim Epiſcopos depoſuiſſe die vna, ſuóſque illorum vice ordinauiſſe. Pallad. Nihil à ſuis moribus diſſonum fecit, quòd & contra Ioannem, & falsò ſcripſit. Ex quibus enim turpitudinem ſuam celare ſe putat, ex his illam maximè publicat, & velit, nolit, Ioannis innocentiam ornat, more Balaam illius. Nam vbi illum depoſuerat, quid libris opus erat, aut exilio? cùm depoſitio ipſa ſufficiat ad eorum confuſionem, qui deponuntur. Quoniam verò deponi non potuit vir ille virtutis, & dum ſuperatus eſt, vicit, manet inuidia, proſtrationem irrationabilis victoriæ referens, bullæ in morem turgeſcens, & in ſeipſa deficiens, illúdque prophetæ Eſaiæ perpetiens, dum ſcribit: Væ enim, inquit, qui ſcribunt: nequitiam enim ſcribunt. De his autem, qui in Aſia depoſiti ſunt, non ſexdecim, ſed ſex tantùm Epiſcopis, quaſi diuino aſſiſtens iudicio loquar, nihílque de quantitate numeri ſubtraham, vel rerum adiiciam qualitati, ſed vt ſeſe habeant, ſingula tibi explicabo. Tertiadecima diſtributione venerunt Conſtantinopolim Aſiæ Epiſcopi, neceſſitatum Eccleſiaſticarum gratia, & nobiſcum remorati ſunt, præſentibus & aliis Epiſcopis, ex Scythia quidem Theotimo, ex Thracia verò Ammone Ægyptio, & ex Galatia Arabiano, metropolitis omnibus, ac ſenibus, qui vingintiduorum Epiſcoporũ implebant numerum. Conuenientibus autem omnibus, & communicantibus, obſeruato Euſebius quidam Valentinopolitanus Epiſcopus congregato cõcilio vna ſabbati aſtitit, libellóſq; tradidit ſynodo, præpoſito, vt decuit, Ioannis nomine, contra Antoninum Epiſcopum Epheſi, ſeptem capitula continentes. Vnum quidem, quòd fuſis ſacris vaſis argentum in nomine filij depoſuerat. Secundum, quòd ſumptum de ingreſſu baptiſterij marmor, in ſuo balneo poſuit. Deinde columnas Eccleſiæ, plures annos iacentes, intra ſuum erexit triclinium. Quartum, quòd puer eius homicidium perpetrauit, quem habet in miniſterio irreprehenſum. Quintum, quòd prædia relicta Eccleſiæ à Baſilina Imperatoris Iuliani matre vendidit, ſibíque detinuit precium. Sextum, quòd cùm vxori propriæ abrenunciaſſet, rurſus illi congreſſus eſt, filióſque ex ea procreauit. Septimum, quòd pro lege ac decreto habet, ordinationes Epiſcoporum vendere pro modo reddituum. Adſuntque & qui dederunt, & ordinati ſunt, & ipſe, qui accepit. Eorúmque omnium probationes ſe habere aſſerebat.

Cap. XIV.

Theodorvs. Quæſo te Pater, huiuſmodi narrationem miſſam facias: læduntur enim præſentes, Epiſcopis iſta narrantibus, vt non dicam gerentibus. Pallad. Me miſerum, qui diebus his reſeruatus ſum, quibus pecunia ſacerdotium venditur, ſi tamen id ſacerdotium eſt. Inſipienter autem feci, qui iſta retuli, obtrectatoribus Ioannis nobis hãc imponentibus neceſſitatem. Verùm patienter feras obſecro, vt ex his quoque Ioannis modeſtiam admireris, qui zelo interim mitigato, dixit Euſebio: Frater Euſebi, quoniam ſæpe fit, vt accuſationes, quæ fiunt perturbato animo, probationibus idoneis careant, deſine, quæſo, Antoninum fratrem accuſare. Nobis curæ erit, triſtitiæ cauſas amouere. Ad hæc ille exaſperatus durioribus vtebatur verbis, aduerſus Antoninum totus efferuens, atque in accuſatione perſiſtens. Hortatur itaque Ioannes Paulum Heracleę Epiſcopum, qui Antonino ſtudere videbatur, vt eos in amicitiam copulare contenderet. Surgénſque Eccleſiam ingreſſus eſt vnà cum Epiſcopis: erat enim ſacrificij tempus. Pacem verò populo ex more imprecatus, ſedit cum Epiſcopis reliquis. Clàm autem introgreſſus accuſator Euſebius coram populo omni, & Epiſcopis libellum alium porrigit eadem continentem, adiurans Ioannem ſacramentis horrendis, quibus ſalutem quoque principum addidit, tanto cum tumultu, vt putarent populi eius impudentia territi, eum à Ioanne petere, vt vitam ſibi à Rege impetraret. Ioannes vbi viri aduertit inſtantiam, ne in populo perturbatio vlla oriretur, libellum ſumpſit, lectíſque diuinis eloquiis, Panſophium orat Piſidiæ Epiſcopum, diuina offerat vt munera: ipſe cum Epiſcopis reliquis exiit, Cauebat enim animo turbido, iuxta euangelium, ſacrificia offerre, Si obtuleris, inquit, munus tuum, & reliqua. (Matth. 5.) Vbi verò dimiſſus eſt populus, ſedens in baptiſterio, cum Epiſcopis reliquis, accuſatorem coram omnibus aduocat, dicens ei: Rurſus tibi eadem dico: plurimi triſtitia vel ira compulſi, multa & dicunt, & ſcribunt, quæ probare non poſſunt. Si igitur apertè noſti, de quibus illum accuſare vis (neque enim volentem repellimus, neque trahimus non volentem) antequam legatur libellus, elige, quod expedit tibi. Poſtquam enim fuerit lectus, & in aures omnium venerit, confectis commentariis, non iam licebit tibi, cùm ſis Epiſcopus, abſolutionem flagitare. Ad hæc ille in propoſito durat. Iubent itaque libellum recitari, lectáque ſunt memorata capitula. Poſtea dicunt Ioanni ſeniores Epiſcopi, & ſi vnumquodque capitulum per ſe impium eſt, & vndique ſacris legibus interdictum, ne tamen videamur in his quæ ſuggeſta ſunt nobis, omne ſtudium ponere, ab eo, quod eſt horribilius dictu, fiat inquiſitionis initium. Si enim illud inuentum fuerit verum, nulla de capitulis reliquis erit controuerſia, cùm capitulis illius radix omnem præ ſe iniquitatis ſpeciem ferat, iuxta illum, qui ait: Radix malorum omnium eſt cupiditas. (1. Tim. 6.) Qui enim ſuper innocentem accepit munera, & ſancti Spiritus largitionem pecunia ſe vendere putat, quo pacto iam parcet ornamentis, aut lapidibus, aut fundis Eccleſiæ? Tũc Ioannes examen inchoans, Antonino ait, Quid ad hæc dicis, Antonine frater? Negauit ille neceſſariò. Quándo enim ab his ipſis initiis confuſionem confiteretur ſuam? Interrogati, qui dederant, negarunt & ipſi. Cùm hoc examen ad horam vſque octauam diligentius ageretur, ex argumentis quibuſdam iudicium formabatur.

Poſtremò

Poſtremò venitur ad teſtes, quibus aſtantibus, & illi dederant, & ille ſuſceperat. Non aderant teſtes, qui neceſſariò citandi erant. Difficultatem rei intuens Ioannes pro Eccleſiæ purgatione, & vt teſtes facilius adhiberentur, per ſe in Aſiam ire conſentit, perficiendi examinis gratia. Antoninus vbi vidit Ioannem impigrè exequi paratum, quod inſtituerat, neque corrumpi poſſe iudicium, mali ſibi conſcius, adiit quendam ex principibus, cuius prædia, quæ habebat in Aſia, ſibi curæ erant, orans, vt Ioanni impedimento eſſet, ne abiret in Aſiam, promittens ſe adhibiturum teſtes. Protinus ex palatio mandatur Ioãni in hæc verba. Indignum eſt te, cùm ſis Epiſcopus, & noſtrarum animarum pater, in tanta tumultus expectatione, dimiſſa ciuitate, peregrinationẽ in Aſiam ſubire velle, cùm facilè teſtes adhiberi poſſint. Erat autẽ tumultus cauſa Gainas barbarus. Quid multis immorer? Manere illi perſuaſum eſt, ita tamen, vt iudicij non omitteret curam, teſteſque maturè adeſſe mandaret. Optata fuit accuſato ipſa dilatio vel modica teſtium, quos aut pecunia, aut potentia fugare poſſe confideret. Præuidit iſta Ioannes, concilióque ſynodi præſentis habito, quoſdam ex præſentibus Epiſcopis in Aſiam mittit, ad teſtes interrogandos. Tres ex omnibus electi ſunt, Syncletius metropolitanus, Heſychius Oparienſis & Palladius Helenopolitanus Epiſcopus. His dederat ſynodus in mãdatis, vt qui intra duos menſes non occurriſſet Hypæpis Aſiæ ciuitati, ad ſua tuenda iura, quòd vicini eſſent, & qui arguebantur, & Epiſcopi reliqui à Syncletio, ſociiſque iudicandi, excommunicatus eſſet. Deſcenderunt igitur Smyrnam prænominati Epiſcopi Syncletius, & Palladius: Heſychius enim quòd faueret Antonino, finxit ſe valetudinarium, ſignificarúntque continuò per literas vtriſque artibus aduentum ſuum, vt concurrẽtes in memoratam ciuitatẽ, implerent, quę polliciti fuerant. Illi ante iudicum aduentum amicitias inierant, partim perſuaſi auro, partim iureiurando conſtricti. Congregati igitur in ipſa ciuitate, iudices ludere ſe poſſe putabant, dilatione teſtium, quaſi peregrè profecti eſſent ob varias cauſas. Ad hæc iudices accuſatorem rogant, intra quos dies adducturus eſſet teſtes, ſe expectaturos pollicentes. Ratus ille eos aëris inclementiam ferre grauiter, ac per id velle diſcedere (erat enim feruor æſtiui ſolis) intra quadraginta dies producturum promittit teſtes, aliâs pœnæ canonum ſua ſponte ſe ſubiicit. Expectauere iudices quadraginta dies, cùm ille ad inquirendum dimiſſus teſtes, omiſit hoc interim, & Conſtantinopolim venit, illícque delituit. Vbi verò nuſquam comparuit, ſcripſere iudices omnibus Aſiæ Epiſcopis denunciantes excommunicatum, ſiue vt deſertorem, ſiue vt detractorem. Poſt hæc alios quadraginta dies perſiſtentes, cùm ille minimè appareret, Conſtantinopolim rediere. Illic inuento Euſebio, ei, quæ geſſerat, exprobrabant. Rurſus ille infirmitatem corporis allegans, pollicetur teſtes exhibiturum. Per hanc temporis morã moritur Antoninus, cum quo erat Euſebio controuerſia. Cõtinuò ex Aſia, partim à clero ciuitatis Epheſinæ, partim ab Epiſcopis decretũ ad Ioannem venit, omnibus pauendo cum iuramento orantibus, vt periclitanti Eccleſiæ opem ferret. Erat autem hic textus. Quoniam priori tẽpore confusè, & contra iura, & ſtatuta patrum gubernati ſumus, oramus venerationem tuam, vt deſcendas, & formam aliquam Epheſinæ imponas eccleſiæ, diutiſſimè afflictæ: hinc Arrianis inſtantibus, inde noſtris cupiditati auaritiæque ſtudentibus. Permulti enim inſidiantur, vt lupi graues, ſacerdotalem ſedem rapere pecuniis feſtinantes. Itaque Ioannes, licèt corporis mala valetudine teneretur, & inclementia obſtaret aëris (erat enim hyems) nihil huiuſce incommodis territus, vt negotia Eccleſiæ Aſianæ cõponeret, rebúſque nutantibus, vel abſentia, vel imperitia paſtoris opem ferret, inſtituit pergere, ſpiritúque roboratus, ingreſſus nauim vrbe diſcedit. Irruentibus autem ſæuis Aquilonibus, metuentes nautæ, ne in Proconeſum eiicerentur, poſitis velis, Tricbnis montem præteruehuntur, ibíque iactis anchoris, manſerunt, Auſtrum expectãtes, vt Apamiæ applicarent. Cùm igitur biduum ieiuni in naui perſtitiſſent, laceſſiti fluctibus, tertia demum die memoratæ vrbi appulerunt. Illic enim expectabant aduentum eius Palladius, Cyrinus, & Paulus Epiſcopi, Ioannis ſocij. Pedibus itaque iter agẽtes Epheſum veniunt. Congregatis Lydiæ, & Aſiæ, & Cariæ Epiſcopis, ad ſeptuaginta viros pertingentibus, ordinationem faciũt. Complures ſua ſponte concurrerunt, maximè ex Phrygia, vt oris illius facundia, & ſapientiæ ſuauitate fruerentur, iuxta illud: Sapientia in exitibus laudatur, videlicet, in loquentibus: in plateis verò fiducialiter agit, hoc eſt, in cordibus, quæ variis preſſuris dilatata ſunt, iuxta illud: in tribulatione dilataſti me. Anguſtatur enim ſapientia in his qui zizania ſeminant, & ſuffocãt verbum.

Pſal. 4.

Cap. XV

Dum hæc geruntur, acceſſit ille, qui nobis prolixæ huius narrationis eſt author Euſebius ad omnes Epiſcopos, reliquorum ſex Epiſcoporum accuſator, orans, vt ad communionem admitteretur: obſtant ex ipſis quidã, non oportere admitti, quippe calumniæ reum aſſerentes. Adiecit ille preces, & ait. Quoniam cauſa iſta biennium iam magna ex parte ventilata eſt, ſoláque dilatio teſtium obſtitit, obſecro pietatem veſtram, vt teſtes (nam modo præſtò ſunt) examinare dignemini. Etſi enim Antoninus diem obiit, qui accepto auro ordinauit, viuunt tamen, qui dato pretio, ſunt ordinati. Placuit Synodo rem diligentius diſcuti. Recitantur omnia, quæ prius geſta fuerant, ex commentatiis. Ingreſſi ſunt teſtes, ingreſſi & qui dato auro fuerant ordinati. Negauere primum. Perſiſtentibus tamen teſtibus partim laïcis, partim presbyteris, quibus antea cõfidere videbantur, mulieribúſq; quibuſdam, & munerũ ſpecies, & loca, & tempora, qualitatémq; recenſentibus, cùm eos conſcientia quoque criminis vrgeret, ſua ſponte non vſque adeò coacti confitentur. Dedimus, aiebãt, hanc eſſe conſuetudinem exiſtimantes, vt videremur à curia liberari. At nũc, ſiquidem honeſtum eſt, oramus, vt in miniſterio eccleſiæ ſimus: ſin autẽ, vel aurum, quòd

Mulieres teſtes in cauſa Simoniæ, etiam meretrices.

Extra de ſimo. ca. Tanta labes.

dedimus,recipiamus: quidá enim ex nobis vxo-
rum noſtrarũ aurum &variam ſupellectilẽ dedi-
mus. Ad hæc Ioãnes ſynodo pollicitus eſt : ego,
inquiens , inſtabo apud Regem,vt abſoluamur:
vos autem mãdate, illos ab Antonini hæredibus
recipere,quod dederunt. Præcepit itaq; ſynodus
ab Antonini hæredibus eis aurum reſtitui : eos
verò intra altare communicãtes à Sacerdotibus
fieri, ne ſi iſta paſſim permitterentur,conſuetu-
do Iudaica,vel Ægyptia fieret,vendẽdi ſacerdo-
tium, & emendi. Aiunt enim eum,qui apud Iu-
dæos Patriarcha falſo nomine dicitur , vt pecu-
nias cumulet annis ſingulis , & intra annũ quo-
q; ſæpius Archiſynagogos mutare. Similiter &
Ægyptiorum Patriarcham hunc imitando per-
agere , vt impleatur Propheticum illud , Sacer-
dotes eius cũ muneribus reſponderunt , & pro-
phetæ eius cum pecunia diuinabant. Horum o-
mnium extãt cõmentaria , & ſuperſunt iudices,
neq; vna die diſcuſſio facta eſt omniũ , vt gratis
Theophilus mentitur , ſed biennio integro. Sa-
tiſq; fuit his , qui depoſiti ſunt , futuro iudicio
liberari , vnúſque ex his ipſis negotiis publicis
obnoxius fuit. In eorum autem locum ſubſtitu-
ti ſunt alij virtute clari , & vita ſimul , & gratia
diuini ſermonis ornati. Verùm enim fortiſſimi
iſti , & nimium contentioſi , poſt Ioannis exi-
lium, accepto eo , quod acceperunt (non enim
habet malitia nomen, ſicuti ne ſubſtãtiam qui-
dem) huiuſmodi abiectos ante quadriennium
in Eccleſiam reuocant : pulſis illis , qui legiti-
mè fuerant ſubrogati, in ſummam ouium Chri-
ſti perniciem, & ſingulare detrimentum. Quod
autem eſt ridiculoſiſſimum omnium , imò la-
mentatione digniſſimum, ſi audieris , Theodo-
re chariſſime, tinnient, iuxta prophetam,ambæ
Hier. 19. aures tuæ , pietatíſque affectu deflebis Epiſco-
porum veſaniam , tetra manu Chriſti dona va-
ſtantium. Quas enim cum ieiunio , & prece , &
approbatione cleri , ac timore Petrus & Ioan-
nes ordinationes faciebant, iſti contrà poſt cra-
pulam , & ebrietatem , cum miſerabilibus do-
nis , abortiua hominum ordinantes , quæ ne-
que porcis , aut canibus digna cenſentur , iuxta
ſententiam Iob , qui ex perſona Domini Salua-
toris de ipſis prophetauit , dicens : Quos indi-
gnos arbitratus ſum canibus gregum meorum,
qui ſub ſtipula morabantur . His igitur cum
Mimis , ac Iudæis tanquam Chriſti amicis , à
ſapientibus ſacerdotij arcana creduntur : quo-
rum gratia,ipſa quoq; oratoria fugiunt fidelium
populi. Peruenit ad vos quoq; nouum hoc E-
pheſinæ eccleſiæ, inauditúmque facinus. Quíd-
ni enim ? Eſt namque maritima , vnde facilè ru-
mores emanant , & remotiora etiam penetrant.
In loco enim Ioannis illius , qui euangelium
ſcripſit , qui ſupra ſapientiæ pectus fideliter &
fidenter accubuit , de quo ſcriptum eſt , quem
diligebat Ieſus , cui Pauli diſcipulus Timothe-
us , ad quem duæ ipſius feruntur epiſtolæ , ſuc-
ceſſit, abominatio deſolationis ſtat. Ordinantes
enim tribuni Victoris eunuchũ in ſede Epiſcopi
collocarunt : eum verò, qui à ſeptuaginta Epiſ-
copis fuerat ordinatus , carceri hactenus inclu-
ſum ſeruant , virum apprimè liberalibus diſci-
plinis imbutum , & qui poſt vitam ſolitariam ,
A ac diuinarum literarum peritiam ſingularem ,
accerſitus ex eremo , triennium diaconi fuerat
perfunctus officio. Atque vtinam ordinatus eu-
nuchus vitæ honeſtate polleret : eſſet id malum
fortaſſe tolerabile. At nunc terræ inteſtinũ eſt ,
qui ordinatur, ventri ſubditum , in fœminas in-
ſaniens , impudens, ebrioſum , ſcortum empti-
tium , illiberale , cupidum , ab ipſa ſtatim nati-
uitate ferro obnoxium , neque vir , neque fœ-
mina , veſanum , & qui , vt fama eſt , inter Sa-
tyrica conuiuia theatricas humeris puellas geſ-
ſit , capitéque coronato hedera , craterem fe-
rens manu , in morem fabuloſi Dionyſij vina
fudit. Hæc autem omnia non ante baptiſmum,
ſed poſtquam baptizatus eſt , geſſit : ex quibus
ſanè colligitur illum reſurrectioni non credere.
Qui enim reſurrectionis fundamenta concuſſit,
B quomodo hîc ei credere poſſit? Porrò , qui re-
ſurrectionis abnegat fidem, quo pacto reſurre-
ctionis præco erit ? Quomodo enim prædica-
bunt , niſi crediderint. Hic nulla quidem mer-
cede caſtus eſt , ferro ſectus : cæterùm inſanit
fruſtrà ob ſuam turpitudinem. Hæc ſunt,quæ in
Aſia geſta fuere , de quibus interrogaſti literis
Theophili prouocatus , qui ait , ſexdecim Epiſ-
copos à Ioanne fuiſſe depoſitos Scito igitur in
veritate ſex tantùm fuiſſe : harum rerum com-
mentaria ſeruãtur apud nos ſubſcripta à viginti
duobus Epiſcopis, qui initio cauſam audierunt,
& à ſeptuaginta , qui depoſuerunt , & iudicium
terminarunt. TH. Ignoſce mihi Pater,iſta omnẽ
ebrietatem, & inſaniam,& ludibrium ſuperant.
Nam & inſani, & ebrij, & pueri quandoq; reſi-
C piſcunt, & horum gratia, quæ turpiter,& inor-
dinatè geſſere, aut dixere, erubeſcunt: hi autem
& ætate, & ſenſu,vt videntur, integro,non mo-
dò ſuper his quæ geſſere, non pœnitent, ſed fir-
mam &ratam perſiſtere ſuam nequitiã cupiunt.
Qui enim non exhorruerunt euangelium ſcele-
ſto imponere capiti , ſuper quod immites ſalta-
uere mulierculæ , quibus aliis connumerandi
ſunt,niſi his qui ſpineam coronam Dei filio im-
poſuerunt? Cæterùm vt iſta omittamus interim,
plena dedecoris,quæſo, ſi noſti,quo pacto Por-
phyrius Antiochenæ Eccleſiæ ſit conſtitutus
Epiſcopus, aut à quibus conſtitutus , antiquam
hominis vitam , inſignis , an obſcura fuerit , &
dogmata ipſius , vera , an falſa ſint , diligenter
doceas , ob id maximè , quòd & Romanæ ſcri-
D pſit Eccleſiæ , neque reſcripta accipere meruit.
Eadem erit mihi, quæ fuit hactenus, ratio veri-
tatis. Non enim obliuiſcar vocem dicentis Do- Matt. 12.
mini mei: De omni verbo ocioſo rationem red-
dent homines in die iudicij. Ego id quoq; auda-
cter adiecerim : Et de omni auditu ocioſo. Itaq;
& teipsũ tuere cautius , ſi quid me nõ veraciter
proſequi animaduertis. Neq; velim canis cedas
noſtris, ſed rerum naturæ veritatíq; conſentias.
Quid enim vtilitatis mihi prouenit ex his , quæ
vel heri, vel hodie dixi,ſi mentiar in perpetuum
coram diſcreto iudice, confundendo ? Quomo-
do feram molarem detractionis lapidem, ceruí-
ci mentis impoſitum, eorum gratia,qui ſcanda-
lum ex mendacio modò paſſi ſunt,me in gehen-
næ profunda demergere ? Porphyrius iſte in Ec-
cleſia diutius verſatus,& diaconi , & ſacerdotis

perfunctus officio eſt. Sed planè nihil habuit in moribus grauitatis, & in nullo vnquam Eccleſiæ ſpiritualiter contulit. Cæterùm vicinis, & religioſis Epiſcopis infeſtus iugiter, quòd ex maxima eſſet ciuitate, & amicos haberet principes, iudicia vitiabat: honeſtíſque ordinationibus inſidias tendens, morum aſtu, verſutiáque tempeſtiuè Epiſcopis ſubrepebat, inuitos quoque, vt ita dixerim, ad leues ordinationes ac noxias pertrahens. Eſt enim iuxta comicum Menandrum, acris admodum aſſentatio peruerſitati coniuncta. Ait quippe: Durum eſt, Pamphile, mulieri liberæ aduerſus ſcortum rixari: plurima nouit, plura malignatur, erubeſcit neminem, blanditur magis. Iuxta Salomonem verò: Sermones adulatorum molles, ipſi verò feriunt intima ventris. (Prou. 26. 22.) Caſtimoniæ itaque, & aduerſus carnales voluptates continentiæ, inimicus eſt non ſecus, ac vultur vnguenti, adeò vt etiam Sodomitico crimini obnoxium fama vulgauerit. Cùm enim & leges, & menſuræ, & muri voluptatibus ſint à natura conſtituti, calcato, vt multi aiunt, muro, contrita menſura, lege violata, huiuſce de ſe ſuſpicionem genuit, Magorum, & Augurum, & eorum qui veteres fabulas inhoneſto motu, & obuerſo crure præferrent, principem, ac ſocium eſſe. Magis namque opem ferre, atque amicè congredi, vſque adeò non declinauit, vt etiam in commentariis variorum magiſtratuum hoc illi crimini datum ſit. Non legerat infelix ſapientis dictum illud: Quæ facere minimè oportet, ea neque puteris dicere. Aiunt illum præter cætera ſcelera, ſacra quoque vaſa poſt ordinationem ſuam fudiſſe, C principibúſque largitum, vt planè perſpicuum ſit, eum non ratione, ſed tyrannide obtinuiſſe eos, qui infelici ſorte ſibi ſunt ſubditi. Nam quo tempore Ioannes in Armeniam extorris actus, Flauianus quoque Antiochenus Epiſcopus migrauit ad Chriſtum. Animaduertit Porphyrius populum omnem in Conſtantium presbyterum conieciſſe oculos, viróſque, & mulieres ex eo pendere, qui à teneris, vt aiunt, vnguiculis ſeruierat Eccleſiæ, vir, iuxta hiſtoriam Iudicum, ambidexter, quippe quæ putabatur illius læua, dextram aliorum facilè ſuperabat. Fuerat enim is primum ab epiſtolis, quo munere perfunctus, abſque turpis lucri ſuſpicione vlla, lector deinde, ac poſtmodum diaconus eſt ordinatus. D Regnantem verò mortalibus voluptatem, & incentiua libidinis ſine dolore ſuperauit, vt ait Salomon. Electorum manus facilè ſuperabit. Nam ſuperare quidem iſta & illi fortaſſe poſſint, qui ſunt admodum mali, dum aut metu, aut verecundia corporali ſe actione coërcent, magnam ſibi inferentes vim. At verò cœleſtium amore ſuperare infima omnia, illorum eſt ſolum, qui Deum affectu intimo diligunt, quos etiam Electos ſcriptura nominat, dicens: Electorum manus facilè ſuperabit. Eſt quippe Conſtantius ipſe ſupra cæteros mitis actu & contemplatione ſingularis, celeriter conſpicatur omnia, magna cum grauitate exercet, ſapiẽs, ſtrenuus, miſericors, cupiditatis inimicus, in iudicio iuſtus, ad iniurias patiens, in perſuadẽdo potens, qui, vt afflictos liberet, ieiunijs ſæpius

A ad veſperum vſq; perſiſtit, honeſtatem ipſa facie præ ſe ferens, ſeuerus aſpectu, maturus inceſſu, virgo puriſſimus, & qui florem, & gratiam vultus in ipſis quoque infirmitatibus ſeruet. Hunc igitur tanti meriti virum pecuniis hoc modo fugandum curat. Scripſit ad principes, eúmque vt nouarum rerum ac ſeditionis authorem obtinuit in Caſum exilio relegari. Hoc ille vbi didicit, amicorum auxilio Cyprum contendit, ibíque ſeruatus eſt. Ipſe verò Porphyrius Cyriacum, & Diophantũ presbyteros, & clericos cæteros vexans, obſeruabat tẽpus, in quo ciuitas omnis ad ſuburbana procederet. Erant ſecum Acacius, Seuerianus, & Antiochus, & eorum complices, in abdito tamen. Agebatur tunc celebritas Gentilium, inſignis certaminibus Herculis, quæ Olympia appellant, in B qua mulieres quoque, cum turbis populorum, Daphnẽ ad certamina ſpectanda properabant. In hac ſolitudine ciuitatis Eccleſiã vnà cũ memoratis Epiſcopis, & clericis paucis irrumpẽs, ordinatur clam, ianuis clauſis, adeò raptim, vt metu ne deprehenderentur, ne orationem quidem perficere quiuerint. Huiuſmodi quippe adulterij natura ſpuria & gignit, & facit. Porrò Seuerianus, & ſocij, accepto pretio, per mõtes & inuia fugere, humanum quidem effugientes metum, ſed diuinam planè indignationem diuini timoris ignari incurrentes. Vbi verò ſoluto ſpectaculo, populíſque in vrbem regreſſis, quid factum fuiſſet nunciatum eſt, ſummo dolore concitati die illa, quòd iam in veſperã declinaſſet, quieuerunt. In craſtinum verò accepta tam immani clade, confluxere ſimul omnes, ignem ac ſtipulam ferentes, vt Porphyrium, vnà & domos eius incenderent. At verò Porphyrius non ignorans, quàm eſſet exoſus omnibus, relicto Deo, ſeſe ad ducem exercitus cõtulit, implénſq; illi manus, contra Saluatoris diſcipulos in aciem ducit auerſum ab Iſauricis bellis. Atque Iſauri quidem ferociſſimi Rœſſum, Seleuciámq; vaſtabant. Porphyrius verò, & Valentinianus comes cum exercitu catholicorum Eccleſiam prædabantur. Crucis ſignum venerabile, quod illi ferentes in humeris, litanias in campo agebant, pedibus ſuis conculcantes. Modicum fluxerat tempus, cùm ille ad exercitũ ſollicitè mittit, agítq; apud ducem, vt ſuus quidam ſenex atrox, peruerſiſq; moribus, nocturnis præficeretur excubiis, vt licentius bonos quoſq; ac fideles vexans, caperet ciuitatẽ: alius profectò Nero, cuius & mores imitari ſtudebat. Non enim nouit ille perſuadere dictione, ſed ſumma vi & iniquitate vexare: qui Deo minimè placere intendens, non errantes ad illum animas, reuocare, ſed Serpentis implere ventrem ſuper pectus gradientis curat. Pergũt igitur vel inuiti populi, metúq; verberum congregati vidẽtur ad Eccleſiã, re autẽ vera vitam ſuã execrantes, à Deo patientię ſuę pręmia ſe percepturos ſperãt. Ad hęc ſtupefactus Theodorus ait: vt video, Pater, pręter naturę ordinẽ iſta cõtigere: ſolẽt enim inanis gloriæ cupidi, vt hominibus placeant, aſſentari, menſáſq; inſtruere exquiſitiſſimè, atq; vt amentur, boníq; appellentur, conuitia quoq; & ſputa ipſa interdum tolerare. Porphyrius itaq; ſiue

alius quiſpiam, quo pacto ſupplicia & exilia intentet, ignoro. At id quidem admiratione dignum eſt, Theodore, quòd hi ad tantam nequitiæ veſaniam proruperunt, vt non modò hominibus placere non ſtudeant, verùm facinorum quoque ſuorum confuſionem omnino non ſentiant. Malitia quippe malitiam in malitia promouet. Tunc enim malitia inanem gloriam profert, cùm blanditiis capere ſtultos quærit. Sin autem & adulatione, & menſæ luxu ſuperiores offenderit, quos obtinere ſtudeat, minas iam ac ſupercilia profert, vt quos blanditiis deliciiſque non poteſt illicere, immanitate, metúque deterreat, ſicuti in martyribus contigit. Et ibi enim vtraque arte pugnabatur, donorúmque & honorum laqueo illi tentabantur, qui gloriolas quærebant. Porrò fortes, & amici Dei, per cruciatus, & minas, & ſartagines, & eculeos, ac feras, & cætera, quæ vehementer excruciant, genera pœnarum agebantur. Clerus itaque Antiochenæ Eccleſiæ inſignior occultè conueniens, ne ipſis quidem Eccleſiæ parietibus propinquat, vnà & illuſtrium matronarum multitudo clàm conuenit, quarum in primis gratia ſtulti facti ſunt cupidi quique paſtores. Quid verò de Conſtantinopoli dicam? Quanta illic multitudo, deſerta Eccleſia, ſub † diuo congregatur ad preces? Non habent, qui Eccleſiæ tractant negocia, tam multos auditores ſilentij ſui: nullus enim apud eos ſermo eſt. Theod. Amouiſti ab animo meo ſcrupulum quo tenebatur, Pater, oculis, quæ dixeras, cernenda ſubiiciens. Nam verborum conſonantia, & narratio verax, certiorem me fecerunt vera eſſe, quæ geſta ſunt. Impoſſibile enim eſt ſibi congruere, & cohærere mendacium. Oro itaq; nobis & de Olympiade, ſi qua noſti, enarrare pergas. Pallad. Quam tu Olympiadem dicis? ſunt enim huius nominis plurimæ. Th. Diaconam illam Contantinopoleos, Nebridij quondam ex Præfectis ſponſam. Pall. Illa verò mihi notiſſima eſt. Theod. Cuius meriti mulier eſt? Pallad. Ne quæſo mulierem dicas, ſed virum. Eſt enim, præter ſexum corporis, vir. Theod. Quonam modo? Pallad. Vitæ ſanctimonia, laboribus, ſcientia, paſſionúmque tolerantia. Theod. Cur ego illam Theophilus maledictis inceſſit? Pallad. Quis nam ille eſt? Theod. Alexandrinus Epiſcopus. Pall. Videris mihi Theodore, quæ diutius verſauimus oratione, oblitus eſſe. Theod. Cur obſecro? Pallad. Qui veritati non pepercit, ſed hanc, vt antè docuimus, conculcauit, qui Eccleſiam omnem, quæ ſub cælo eſt, cuius liberandæ gratia vnigenitus Dei filius deſcendit ad terras, non honore, ſed contumelia affecit, is mulieri viduæ, quæ in orationibus vitam conſumſit omnem, qua ratione pepercisset? Mente cuncta pertracta, ſi quem vnquam bonorum omiſit, quem non ſuis maledictis impeteret, cui omnis eſt odioſa religio. Cur hoc & ex epiſtolis illius non coniicis, ſibi inuicem repugnantibus? Sanctum enim Epiphanium, Conſtantiæ Cypri Epiſcopum, qui triginta & ſex annos Eccleſiæ præfuit, ſub Damaſo, & Syricio, cùm hæreticum, & authorem ſchiſmatis appellaſſet, in epi-

Forte dio.

A ſtola ad Innocētium, poſtea in Ioannem maledicta contorquens, ſanctiſſimum vocat Epiphanium. quoties ille huius, qui nunc detrahit, viduæ genua ſpe accipiendæ pecuniæ exoſculatus eſt, illa viciſſim humi procumbente, & lachrymas, quod ſibi Epiſcopus hæc faceret, profundente? In quo tamen ei derogat? Theod. In eo, quòd proiectos ab ſe monachos ſuſcepit hoſpitio. Pallad. Et licet Epiſcopo, aut conuenit omnino abiicere quemcunque diſcipulum, ne dixerim monachum? Theod. Quid ſi illum prouocarunt, aut maledixerunt? Pallad. Num iræ ſuæ ſatisfacere debuit, aut ſua curare maledicta? quomodo hic iam Chriſti iniurias curabit, qui gloriam propriam quærit? Cur potius non imitatus eſt Paulum dicentem: Maledicimur, & benedicimus. Theod. quid ſi alterius

Ioan. 5.

1. Cor. 4.

B ſectæ monachi erant? Pallad. At illos corrigere ſuadendo debuit, non abiicere. Theod. Et ſi ille hoc fecit, ipſe verò, vtpote contentioſi, minimè paruerunt. Pallad. Apoſtolicum illud oportuit exequi: Hæreticum hominem poſt vnam & alteram correptionem deuita, ſciens quòd peruerſus eſt huiuſmodi: non abiicere, & prædari, & adiectis principum minis, agere extra patrium ſolum. Th. Perfecti hoc fuerat viri, Deoque dilecti, & patientiſſimi. Pall. Atqui magna laus non eſt, deteriorem ferre. Verùm ſi perfectus, vt conſtat, non eſt, quomodo Epiſcopus? Imperfectus enim imperfectorum ſalutem qua ratione curabit? quàm item impropriè Theophilus dicitur, qui à Dei amore deſciuit, cuius gratia facilè iniurias hominum debuit fer-

Tit. 3.

C re. quod ſi Deum nō diligit, ne ſeipſum quidem. qui verò ſuimet inimicus eſt, quomodo iam alios diliget? Nihil igitur mirum, ſi Olympiadem, quod monachos ſuſcepit, vituperare contendit. The. Conſtat quidem Theophilum iracundiæ nimis obſecutū, illos abiecisse, qui cùm tandem illi fuerint ſiue hæretici, ſiue catholici, non tamen eos Olympias ſuſcipere debuit. Pallad. Bene illa, an malè tibi feciſſe videtur? Th. Malè, vt dixi. Pallad. Vnquámne beneficentia culpatur? Theod. Et ſæpe, cùm ſcilicet in malos], & non merentes emanauerit. Pallad. qui nam igitur erant illi quinque millia, quos ex quinque hordeaceis panibus Saluator pauit, boni, an mali? Theod. Boni ſcilicet, quippe qui paſci à Saluatore meruerunt. Pal. Cur er-

Ioan. 6.

D go hordeaceis paſti ſunt, ſi boni fuerint? Th. Quia fortè triticei non aderant, fame dominante. Pal. Incredulitatis denotantur elogio, vt boni, an verò vt mali? Th. Conſtat quia vt mali. Pal. Poſſunt illi ipſi & boni eſſe, & mali. The. Ita ſanè. Pallad. quonam modo? Theod. Deteriorum quidem comparatione boni, præſtantiorum verò collatione mali cenſentur. Pal. Ritè tu quidem ſentis: hoc itaque modo monachi etiam & boni erant, & mali. At enim fideliſſima mulier eos ſuſcepit, vt bonos: Theophilus verò, quod non debuit, abiecit, vt malos. Theod. Sed abiecit ille, quòd ad ſe contriſtandum inimicos ſuos ſuſceperit. Pallad. Id quidem magnum defectus indicium eſt, quòd vel appellat inimicos, qui, vt Chriſti diſcipulus, gloriari iniuriis debuit. Theod.

Vbínã verò quinq;millia viri àSaluatore exprobrantur, vt dicis?neq; enim apparet. PAL. Quando ſecũdò congregati acceſſerũt ad Ieſum, atq; ab illo audierũt: Quæritis me, nõ quia vidiſtis ſigna, & prodigia, ſed quia comediſtis de panibus, & ſaturati eſtis. TH. Manifeſtũ eſt. PAL. Qui verò perfidus, ipſe & malus eſt. TH. Ita ſanè. PAL. Malos igitur an bonos pauit Saluator? TH. Liquet, quoniam malos (non enim ſani opus habẽt medico, ſed infirmi.) PALL. Quid ergo mali fecit Olympias, imitata Dominũ ſuũ, qui pluit ſuper bonos & malos, & ſuper iuſtos & iniuſtos ſolem ſuũ oriri facit? Exprobrãt & Phariſæi diſcipulos domini dicentes: Quare cum Publicanis, & peccatoribus manducat, & bibit Magiſter veſter? TH. Vt video, præter multorũ ſententiã honeſta carpuntur, & fœda diliguntur. PAL. quare iſtud dicis, Theodore chariſſime? THEOD. Quia niſi tu iſta planius aperuiſſes, & ſyllogiſmo euidenti comprobaſſes, in ſolidam eſſem opinionem: non intentioni liberè, ſed Theophili ſcriptis obſecutus. PALLAD. Quid ſi ſancti viri illi probati fuerint, non modò non mali fuiſſe, ſed plurimos quoque à malitia ad bonam virtutis frugem reuocaſſe, nónne videbitur horum inſectator non perſecutione, ſed planè miſeratione dignus, qui bonos ſemper violare, malos autem ſuſcipere pergit? THEOD. Ita eſt, vt dicis. Nam licet illi, vt eſt opinio multorum, ſapientes, ac ſancti non fuerint, aget præteritus ſyllogiſmus, vt Olympias extra culpam ſit, quæ Saluatorem ſtuduit imitari. PALLAD. Quódnam, oro, fidelius teſtimonium exiſtimas, euangelij, an Theophili? THEOD. Perge quæſo: habetur enim id pro confeſſo apud omnes, illum & ſanctos viros nimis ira proieciſſe, & hanc ex ſuperſtitione, & inimicitia, ſub prætextu monachorum, maledictis fuiſſe inſectatum. Nam cùm ſe cerneret ſeruilibus illis, & blandis obſequiis nihil profeciſſe, nihílque ab ea, præter cibos, & xenia ſuſcipere, ad maledicta ex more conuerſus eſt. PALLAD. Audi igitur, humaniſſime Theodore, (video enim te poſteritati profuturum, quippe tuæ adoleſcentiæ indoles honorabilem fore in ſenectute pollicetur.) Viri iſti ex Chriſtianis orti parentibus, & à teneris vnguiculis Deo ſubditi, nunquam paſſi ſunt, neque cùm eſſent multum adoleſcentes, ſeruiere vanitati, neque cum turbis inuerſati, ſed occupantes, quæ ad meridiem eſt, ſolitudinem, longè ab omni hominum habitatione ſemotam, ſibi fecere tuguria, quibus & ſolis incendia, & cæteram aëris intemperiem declinarent. In his perpetuò viuentes, tempus omne in orationibus lectionibúſque contriuere, tãtum operi manuum operam dantes, quantum ſufficeret eis ad tenuem victum, melius eſſe arbitrantes, cum capreis, & volatilibus, & bubalis verſari, quàm inter homines Deum ignorantes epulari. Horum natu maximus emenſis iam nonaginta annis, conuerſatus eſt diutius cum Beato Antonio, Hierax appellatus, quod illi nomen hactenus proprium eſt. Alius Ammonius, cum duobus fratribus monachis, & vno Epiſcopo, qui etiam ſub Valente ferro colla vincti exilio relegati ſunt, vt omnis Alexandria nouit, annos natus LX. tanto ſcientiæ donati munere, vt nihil ex his, quæ pleriſque de ſcripturis viderentur obſcura, eos penitus fugerit. Ex his duo migrarunt ad Chriſtum, Conſtantinopoli defuncti, Ammonio quidem, vt Aurelius & Siſinius narrauerunt, circa finem vitæ prophetante, magnam perſecutionem, & ſchiſma deterrimum Eccleſiis imminere, auctoréſque cladis turpiſſimo fine conſumendos, atque ita demum vniendas Eccleſias. Quod ex parte iam factum cernimus, futurúmque ſperamus. Hinc enim quorundam corpora Epiſcoporum & laicorum morbus aſſumens variis cruciatibus agitat, lenta febre inteſtina depaſcens, pruritúſq; intolerabilis, totam ſuperficiem vnguibus lanians, longi quoque inteſtini perpetui dolores, & colica paſſio. Cuiuſdam pedes, intercutanei morbi inſtar, nimia inflatione turgeſcunt. Alteri nimia humoris redundantia ad manus vſque deriuans, eos qui malè ſubſcripſere, digitos mixto frigori incendio cruciat. Alium aqualiculi tumor, & putredo ex ſecretiore parte corporis in longum ſe intendens, & vermes gignens, acriter vexat. Ad hoc reſpirandi difficultas, omnium intentio membrorum, imaginéſq; nocturnæ in canes rabioſos, & diſtrictis gladiis barbaros, & vocem horrendam tranſeuntes, inſomnem ſomnum pleriſque faciunt. Alius equo lapſus, dextro perfracto crure, continuò moritur. Alius, amiſſa voce, octo menſibus iam marceſcit in lecto, qui nec manus ad os apponere poteſt. Alius viuens crura ſenſim vſque ad genua per triennium vritur eryſipeli moleſta fatigatus. Alius inflata, vt aiunt, lingua, cum febre vehementi, nec valens eam intra præſtitum à natura locum continere, in pugillari ſcribens, confitebatur ſcelus ſuum. Erátque videre diuinitus illatam iram, variis in authores mali ſæuire modis. Qui enim animarum medicum irritauerant, eiúſque diſcipulum de ſalutis officina proiecerant, corporum medicis ad incendendum, ac cædem tradebantur: qui dolorem quidẽ ſolennibus medicamentis acuebant, ſalutem verò nullam penitus præſtare poterant. Et meritò ſanè. Quis enim eum ſanabit, qui à Deo cruciatur? Sicut Propheta ait, Nunquid medici reſuſcitabunt, & confitebuntur tibi? In hunc modum omnes Eccleſiaſticæ pacis aduerſarij peribant. Fertur autem ad ſepulchrum Ammonij monachi plurima miranda fieri. Sepultus eſt autem trans mare, in baſilica apoſtolorum. Porrò Epiſcopus Dioſcorus, vt aiunt, cùm perpetuis à Domino precibus poſceret, vt aut moreretur, exaudiri meruit, & quia mundus dignus pace non erat, mortuus eſt, ac ſepultus in martyrij Eccleſia, quæ eſt ante portam. Videas hodie complures mulieres per nomen Martyris iurare ſolitas, omiſſo priore iuramento, per orationes iurare Dioſcori. Enimuerò de monachis reliquis multa, quæ dicam, habeo, niſi fortè feſtinanti tibi, Theodore, moleſtum ſit ea audire. THEODORVS. Et quis adeò infelix eſt, vt de virtutibus loquenti non libenter det locum, & aurem intentè ſubiiciat? Perge igitur quæſo, & quæcunque

Marginal notes: an. 6. — Matth. 5. — Cap. XVII. — Confiteri ſcripto. — Pſal. 87.

narratione probabili animum noſtrum à curis A ſecularibus & cogitationibus auoca. PALLAD. Eſt & alius Hierax, Gentili appellatione ſic dictus, ſpiritualibúſque inſignibus virtutis ornatus. Is primò quidem extra omnem Ægyptum in Porphyritem ſecedens montem, abſque vllo humano refrigerio quatuor annos perſiſtit, ſola virtutum recreatione contentus. Deinde ad Nitriæ loca contendens vigintiquinque annos vnà cũ memoratis patribus vixit, huic abſcentes dæmones, vt ipſe nobis referebat, promiſſione diuturnioris vitæ, appoſita ſpe, in Angelos lucis ſe transfigurantes, eum amouere curabant. Quinquaginta dicebant adhuc annos habes viuere, quomodo perſiſtere in eremo poteris? Ille per fidem intelligens econtrà loquebatur. Contriſtatis, inquiens, me, breuius, B quàm putabam, tempus inſtituti mei fore aſſerentes. Ego enim ducentos annos acturum in eremo exiſtimabam, atque ad hoc me ſtadium comparaueram. Hoc illi audito, cum vlulatu ingenti diſceſſere. Hunc ipſum tamen, quem dæmones mouere nequiuerunt, prolixa vitæ ſpatia pollicentes, vt in acidiam præcipitarent, Theophilus per edictum expulit, atque in huiuſmodi neceſſitatem impulit, vt caſtra quoq; adire cogeretur. Qui nunc poſt Ammonij mortem, rurſum ad deſerta contendit, euangelici aratri parabolam veritus. Alius item Presbyter, Iſaac nomine, Macarij diſcipulus illius, qui Antonio magiſtro vſus fuerat, deſerti ſtudioſus admodum, quinquageſimũ agens ætatis annum, omnem ſcripturam tenet memoriter, ceraſtas ſerpentes tutò manibus ferens, qui ex C matris vtero virgo, cùm ſeptennis eremum occupaſſet, poſt annos quadraginta ſolitariæ quietis à Papa Theophilo, cum memoratis viris, extorris relegatur. Alius item Iſaac, & ipſe Presbyter, Cronij Presbyteri diſcipulus, ac ſucceſſor, qui & ipſe diſcipulus Antonij fuerat, ſcripturarum eruditione præſtantiſſimus, ac ſupra modum fermè hoſpitalis, adeò vt præ eximia benignitate Xenodochium in eremo conſtitueri, in refrigerium & ægrotantium monachorum, & peregrinorum, ad viſendos ſanctos patres confluentium. Hic omni felle iræ vacuus, cùm trigeſimum in vita ſolitaria egiſſet annum, cùm cæteris quoque verſatus eſt. Ex his prior ille Iſaac centum quinquaginta ſub cura ſua monachos habuit, cuius ad ſeptem, ſiue octo D diſcipulos Epiſcopos Theophilus ſtatuit, cùm adhuc eſſet Theophilus. Alius ducentos decem, cuius etiam diſcipuli plurimi Epiſcopis connumerati ſunt. Hi ſunt quos ſuprà memorauimus, Iſidori Presbyteri cauſa, fuiſſe à Theophilo papa pulſos eremo. Hi ſunt, quos ſacerdotes & leuitæ deſpexere, quos ad confeſſionem virorum virilis ſuſcepit mulier, atque ad Epiſcoporum damnationem, Diacona fœmina hoſpites habuit, cuius laus in Eccleſiis canitur, quæ Samaritanum illum, quicunque tandem fuit, eſt imitata, qui vulneratum à latronibus ſemiuiuum inueniens, cùm deſcenderet Hiericho, proprio illum impoſuit iumento, & vſque ad ſtabulum tulit, & oleum clementiæ cum ſeueritatis vino permiſcens, vulneribus adhibuit curam. Sed hæc hactenus. Quantam hæc pecuniarum copiam, quanta villarum pretia egenis diſtribuerit, non eſt noſtræ facultatis euoluere. Illi iſta proſequantur, qui experti ſunt: ego enim nullius horum indigui. Audi maiorem ipſius quoque virtutem. Pupilla namque coniuncta viro, permiſſa non eſt à præſcio omnium Deo, qui hominum præuidet exitus, carnis ſeruire voluptati viginti integros menſes, viro eius maturè ſubtracto. Fertur autẽ virgo eſſe. Nam apoſtolicæ legi renuit ſeruire, dicenti: Volo adoleſcẽtiores viduas nubere, matres familias eſſe, & quidem cùm & genere, & opibus, & eruditione ſingulari, & ingenio liberali, & forma, & ætatis flore præcelleret, ſed, dorcadis in morem, ſeculi connubij laqueos conſtanti voluntate tranſiliens. Iuſto enim lex poſita non eſt, ſed non ſubditis, prophanis, & qui corruptelæ inexplebiliter inhiant. Contigit autem, diaboli inuidia, vt huius immatura viduitas ad aures Theodoſij principis perueniret. Qui hanc Elpidio cuidam, cognato ſuo Hiſpano coniungere in matrimonium cupiens, cùm poſt plurimas preces id obtinere nequiuiſſet, triſtabatur. Ad quem illa, ſi, inquit, me vellet Rex meus copulari viro, nunquam priorem mihi abſtuliſſet. Quoniã autem me parum idoneam coniugali vitę cognouit, viróq; placere minimè valentẽ, & illum iugali vinculo abſoluit, & me grauiſſimo iugo virilis ſeruitutis eripuit, ſuaue continentiæ iugum ceruicibus meę mentis imponens. Hoc reſponſo accepto, Theodoſius præfecto Vrbis mandauit, vt omnem eius ſubſtantiam cuſtodiret, quouſq; trigeſimum ætatis impleſſet annum. Ille accepta procuratione regia, eam adeò vexabat ab Elpidio ſubmiſſus, vt nullã haberet facultatem vel inſignibus Epiſcopis congrediẽdi, vel Eccleſiam ipſam ingrediendi, vt his anguſtiis coacta, præ angore animi coniugalem eligeret vitam. Illa econtrà his oblectata magis, & Deo gratias referens, Imperatori ita reſcripſit. Et Imperatori debitam, & cõgruam Epiſcopo virtutem in me humilem oſtendiſti, mi Domine, mandans graue onus meum cuſtodiri, cuius me diſpenſationis cura macerabat. Erit autem gratius, ſi iuſſeris id pauperibus & Eccleſiis diuidi. Ego enim iam dudũ à vanitate, quæ ſolet ex hac largitione ſubſequi, metuebam, ne terrenis implicita negligerem diuitias naturales. Ita poſtmodum reuerſus à bello, quod contra Maximum fœliciter geſſerat, cùm illius tolerantiam, laborémque comperiſſet, in ſua eã libertate eſſe iuſſit. THE. Iuſtiſſimè ſanè hunc Ioannes in honore habuit ita laborantem. PALLAD. Abſtinet illa quidem animatis omnibus, balneáſque nunquam adit. Quòd ſi infirmitatis neceſſitas vrgeat, crebris enim paſſionibus, ac morbis atteritur, induta camiſia deſcẽdit in aquas. Veretur enim, vt aiunt, & ſe ipſam. THE. Dicitur & ſanctum Ioannem valde curaſſe, & refeciſſe. Et quid ipſius virtute dignum cõferre in eum potuit, niſi vt quotidiani victus illi ſollicitudinem demeret? quod quidem minimum non eſt Christi operariis, qui noctu, & interdiu, quæ Chriſti ſunt, curant, ſicuti Paulus ait, Perſidam ſalutans, quæ forſitan

Luc. 9.

Luc. 10.

1. Tim. 5.

Ibid. 1.

Rom. 16.

Olympiadis laboribus par erat. Salutate, inquiés, Perſidam dilectiſſimam, quæ multum laborauit in Domino. Omnes enim, quæ ſua ſunt, quærunt, non quæ Ieſu Chriſti. Scio hanc ſanctū Nectarium plus fuiſſe admiratū, adeò vt in eccleſiaſticis quoque rebus mulieri obtemperaret. Amphilochium verò, & Optimum, & Petrum Baſilij fratrem & Epiphanium Cypri ſanctos viros quid memorem? quibus illa & pecunias donauit, & villas. Optimo certè, dum Conſtantinopoli moreretur, oculos ſuis manibus clauſit. Ad hæc mirabiles quoque illos non modicè refrigerauit in omnibus, Antiochum ſcilicet, Acacium, & Seuerianum, & omnes prorſus aduentantes ſacerdotalis ordinis viros, monachorum item ac virginum infinitam multitudinem. Ioannes tamen, quoniam, vt ita dixerim, formam ſe venturis Epiſcopis miſſum exiſtimabat, quo pacto viuere debeant, & iuxta
1. Cor. 9. beatum Paulum, mercede propria prædicare pœnitentiam, nihil de eccleſiaſticis attingens, ſolius diei capiebat cibaria, deuitans ſemper huiuſmodi curas. Aiunt illum, dum carnalem ſumeret cibum, mira verecundia detineri ſolitum. Quemadmodum enim mala, cùm ad ſupremam venerint maturitatem, diutius in ramis permanere non ſuſtinent, ſed Domini requirunt manum: ita & in ſanctis fieri videas, cùm cœleſtis pulchritudinis deſiderio & amore ardent, ante præfinitum ſui obitus diem, frui promiſſione feſtinant. Sic & in paruulis fit. Illi enim ſæpenumero dū oblita melle cibariola auidè præſtolantur, ſeruandi appetitus gratia propoſitos cibos minimè attingunt, vt expectata ſuauitate ſatientur. Agnoſcunt, quæ dicimus, qui eadem veſtigia viæ ſpiritualis incedunt. Sermonem enim prudentiæ, laudabit eum, &

CAP. XVIII.

adiiciet ſuper ipſum. THEOD. Conſolatus es me, Pater eximie, dum ſingula mihi diligentius expoſuiſti, quæ prætendens fama vulgarat, gratia quadam, & ſuauitate, quæ dicta ſunt, condiens. Hoc tamen dixerim non graue futurum, ſi de eccleſia victum ſibi ſanctus Ioannes vindicaſſet, ſecundùm Domini verba, dicentis: Dignus eſt enim operarius cibo ſuo. Et illud itē:
Matt. 10. Quis paſcit gregem, & gregis lacte non veſci-
1. Cor. 9. tur? Quis autem plantat vineam, & de illius non percipit fructū? Nónne ſcripturæ verba ſunt hæc, & alia plurima? PALLAD. Congruè tu quidem, ſapientérque proſequeris iſta, Theodore, ſed iunge præteritis etiam ſequentia verba. Cùm enim ſacra lex tribuat facultatem, vt, qui ſacra operantur, de ſacris comedant, bonorum æmulator Paulus, quid addit? Non ſum vſus hac poteſtate in corporibus, vt conſors euangelij in ſpiritualibus ſim, neque offendiculum ponam infirmis, dicente iterum Paulo:
1. Cor. 8. Si quis enim te viderit habentem ſcientiam in
Rom. 14. infirmitate recumbere, nónne conſcientia eius, qui infirmus eſt, ædificabitur ad imitandum infirma? Nam ſi res ad nos vſque ſubſiſterent, nullíſque nobis in populi regimine & cura ſuccederet, diſcere delinquendo poſſemus: Viuamus, vt volumus, vtamúrque, vt placet, ſecularibus rebus. Quoniam verò hi qui poſt nos futuri ſunt, nobis quaſi magiſtris vtētur, noſtrá-

A que lege, atque more viuent, neceſſe eſt, vt non ſolùm nobiſipſis, ſed ei, qui pro nobis mortuus eſt, & reſurrexit, viuamus, plebíſque infirmitatem excitantes exemplo, atque verbo, ad frugaliorem, & caſtiorem victum reducamus, nos ipſos corripientes, iuxta illum, qui ait: Pſal. 24.
Quis eſt homo, qui timet Dominum, legem ſtatuet ei in via, quam elegit. Nam temerariis quidem, ac miſerabilibus, imprudentérque peccantibus legem Dominus ponit, quaſi ſeruitutis amantibus ſpiritum, vt item ait Dauid: Legem Ibidem.
ponet Dominus delinquētibus in via, puniétq; præuaricantes. Verùm enim iuſtus menſuras ſeruilis legis, modóſque tranſiliens, & eò, quòd diligat Dominum, ad ſortem adoptionis libertatíſque feſtinans, ſibiipſi legis eſt author, cu-
B iuſmodi & facto, & verbo fuit Iob. Teſtamen- Iob. 31.
tum, inquiens, ſtatui oculis meis, vt non ſentirem in virgine. quodnam verò id fuit teſtamentum, niſi vt laſciuientes ad pudicitiam cogeret? Ita fermè & Dauid ait: Iuraui, & ſtatui cuſto- Pſal. 118.
dire iudicia iuſtitiæ tuæ: ancipitem, dubiámque ſententiam iureiurando deuinciens. Tantorum patrum imitator Ioannes, vt legitimus planè, non ſpurius filius, laſciuum, & publicum mortalium gregem, & variis concupiſcentiis oberrantem curare deſiderans, atque ad auſteriorem partem vitæ transferre, ſuimet & iudex, & legifer erat, ſeipſum conſtanti iudicio muniens, atque à conuiuiis, & conuentibus ſcurrarum, & ridiculoſorum, ac inania loquentium hominum penitus remouens, atque animæ oculum ſpirituali armatura corroborans, ne conuiuij, aut
C improbi ſermonis gratia, ſtultitia inueniēs aditum, pudicitiam, frugalitatémque corrumperet. Corrumpunt enim, inquit, mores bonos 1. Cor. 15.
colloquia mala. quocirca etiam inſidias paſſus eſt. Grauis enim eis erat ad videndum, non ſecus ac lucerna lippientibus oculis. Huiuſmodi Hieremias quoque miſericors fuit, qui infidelitatem Principum & Sacerdotum planctu lachrymíſque proſequitur. quis dabit, inquiens, Hier. 10.
capiti meo aquam, & oculis meis lachrymarum fontes, & lugebo populum meum die, ac nocte? Et rurſum: quis dabit mihi manſionem in deſerto nouiſſimam, & dereliquam populum meum, & diſcedam ab eis? Omnes enim adulterantur. Huiuſmodi profectò conuētum pſeudoprophetarum, & ſacerdotum malorum col-
D legium nominat. Item & alio in loco ad Dominum clamat, non quòd ille ignoret, ſed vt nos imitari debeamus: Domine, inquit, ſi ſedi in conſilio impiorum ludentium, ſed reuerebar à facie tua. Sedebam ſolitarius, quia amaritudine repletus ſum. Conſona his & Dauid loquitur, Pſal. 25.
dicens: Non ſedi cum concilio vanitatis, & cum iniqua gerentibus non introibo. Apertiúſque, quid vellet, exponit, dum addit, Odiui Eccleſiam malignantium, & cum impiis non ſedebo. Lauabo inter innocentes manus meas, & circundabo altare tuum Domine. Qui verò minus altaris curam habent, dorſáque illi dederunt, non modò illotis manibus, & donorum expectatione, & perceptione, falsáque inſcriptione cruentis, verùm & infectis luto pedibus, illud calcitrando conculcant, de quibus &

Propheta Ezechiel ſignanter ait. Et introduxit A me ad ingreſſum atrij, & vidi, & ecce foramen vnum in pariete. Et dixit ad me, Fili hominis, fodi. Et perfodi, & vidi, & ecce porta vna. Et dixit ad me. Ingredere, & vide iniquitates peſſimas, quas faciunt hîc. Et ingreſſus ſum, & ecce omnis ſimilitudo ſerpentium, ac iumentorum, & idola mala, & abominationes. Et dixit mihi: Vidiſti fili hominis, quæ faciunt ſeniores domus Iſraël in tenebris, in cubili ſuo occulto. Impuram illorum ſignificans mentem: quoniã dixerunt: Non videt nos Dominus. Dereliquit Dominus terram. Et dixit ad me: Adhuc videbis iniquitates maiores, quas iſti faciunt. Et introduxit me in alium locum, & oſtendit mihi. Et ecce ibi mulieres ſedentes, & flentes Tambuz. Et rurſus induxit me in domum Domini interiorem, & ecce illic viginti quatuor ſeniores, & vultus eorum peruerſi, & dorſa eorum ad altare. Et dixit ad me: Num parua iſta ſunt, quæ domus Iſraël facit? Coacti ſumus propheticæ lectionis mentionem facere, propter eos qui ſe eſſe aliquid exiſtimantes, ſeipſos decipiunt, & eccleſiaſticam pacem confundunt, eoque menſæ Domini terga dederunt. Quibus iudicium otioſum non eſt, & eorum non dormitat perditio, qui terrena ſapiunt, de quibus & Iudas frater Iacobi ait. Hi ſunt in epulis ſuis malè conuiuantes, ſine timore ſeipſos paſcentes, nubes ſine aqua, quæ à ventis circumferuntur, fluctus feri maris deſpumantes ſuas confuſiones, ſydera errantia, quibus procella tenebrarum in æternum ſeruata eſt. Nempe dũ nubes ſine aqua vocauit, iniquam ipſorum grãdinem ſignat, viti inimicam: dum verò ſydera dicit errantia, inſidias ſignificat nauis. Porrò nauis, & vinea eccleſia eſt. Quænam verò ſunt, quæ iſtos ſequuntur neceſſariò? Audi eundem rurſus Prophetam Ezechielem: Et oſtendit mihi, & ecce viri egrediebantur de via portæ ſublimis, quæ reſpicit ad Aquilonem. Et vniuſcuiuſque ſecuris in manu eius, & vir vnus in medio eorum indutus talari tunica, & zona ſapphiri ſuper lumbum eius. Et ingreſſi ſunt, & ſteterunt iuxta altare æneum. Et gloria Dei Iſraël aſcendit cherubin, quæ erat ſuper eis in ſubdiali domus. Et vocauit virum, qui indutus erat talarem tunicam, qui habebat ſuper lumbum ſuum zonam, & dixit Dominus ad eum: Tranſi per mediam ciuitatem Hieruſalem, & da ſignum ſuper frontes virorum gementium, & dolentiũ ſuper omnibus iniquitatibus, quæ fiunt in medio eorum, & ipſis dixit, videlicet ſex, qui ſecures habebant, audite me. Ite in ciuitatem poſt eum ſcilicet, qui imponebat in frontibus, & percutite, neque parcatis oculis veſtris, neque miſereamini ſenioris, & adoleſcentis, & virginis, & infantes, & mulieres occidite in exterminium. Super omnes autem, in quibus eſt ſignum, ne appropinquetis, & à ſanctis meis incipite, & cœperunt à viris ſenioribus, qui erant in domo Domini. Quod ſi quis de Iudææ prophetis hæc prædici autumat: hic ſaluatoris quoque ignorare videtur aduentum. Non enim ante captiuitatem ſacerdotio functus eſt Ezechiel, quippe qui puer adhuc in captiuitatem abductus, per diſpoſitionem Dei trigeſimo anno viſione diuina, & futurorum reuelatione dignus eſt habitus, ſacerdos in ipſa captiuitate conſtitutus, vt ipſe ait: Et factum eſt in trigeſimo anno, in quarto menſe, quinta menſis, & ego eram in medio captiuitatis ſuper fluuium Chobar. Item poſt pauca: Factus eſt ſermo Domini ad Ezechielem filium Buzi, ſacerdotem in terra Chaldæorum ſuper fluuium Chobar. Nempe ſi quis anguſtatus hinc dicat præcedente Saluatore, qui & crucis ſignum in frontibus dedit, neque Saluatore credito, ſubſecutum eſſe Romanorum regnum ſub Veſpaſiano, qui quadrageſimo anno conſcidit ſynagogam, quæ iniqua patrauerat: ſuſcipimus quidem ita ſentientem, ſed ipſum, vt noui teſtamenti filium, oramus, Paulo horum magiſtro vt credat, de omnibus huiuſmodi libris dicenti: B Hæc autem in figura contingebant illis. Scripta ſunt autem ad correptionem noſtram, in quos fines ſeculorum deuenerunt. Hoc autem dico, non quòd ferream rhomphæam ſuper inimicos Dei venire cupiam: abſit. Neque enim Propheta de ferro loquitur, ſed de alia quadam cruciante virtute, de qua idem Ezechiel dicit: Terra ſuper quam gladium inducam. Inducam verò pro eo, quod eſt permittam, ait. Et acceperit populus terræ virum vnum, & poſuerit ſibi in ſpeculatorem, & viderit ſpeculator gladium venientem, & tuba inſonuerit, & ſignificauerit populo, & audierit, qui audit, & non ſe obſeruauerit. Veniens autem gladius acceperit aliquem, ſanguinem eius ab eo requiram, quia C non audiuit vocem tubæ. Et rurſum: Si autem & ſpeculator viderit venientem gladium, & tuba non inſonuerit, neque ſignificauerit populo, veniens autem gladius apprehenderit quempiam, ſanguinem eius de manu ſpeculatoris exquiram, quia cùm videret gladium, tuba non cecinit. Iſtiuſmodi periculum, nequaquam dormiens infidelitatis ſomno, neque voluptatis pigritia ſegnis B. Ioannes ante oculos habuit, & tuba ſublimis, nequaquam obſcurum edebat ſonum, ſed apertam planè ſcientiam ingerens, diabolici gladij pericula fugere omnes ortabatur. Et hi quidem, qui conſcientiam mundam veluti ſignum in animæ fronte geſſere, per gratiam Chriſti, cum ipſis fidelibus Romanis ſeruati ſunt: qui verò inquinatam habere conſcientiam, ſacerdotes, ac populos ad D contentionis mutuæ ſtudia concitauerunt, vt omnibus malis ſua incommoda obumbrarent. THEOD. Mirabili ordine iſta proſequeris, Pater. Verum cùm pro confeſſo habeatur, perdifficile in hac vita mortali hominem inueniri abſolutè perfectum, dicente ſcriptura: Quis gloriabitur caſtum ſe habere cor? aut quis fiduciam habebit mũdum ſe eſſe à peccato? videtur beatus Ioannes neſciſſe vti tempore: potentibus enim aduerſari minimè oportet. PALLAD. Videris mihi, optime Theodore, nimium eſſe aſtutus. Nam cùm initio congruum miſerationis affectum nobis, non ſine gratia quadam compunctionis, oſtenderis, paulatim obiurgatorem te aperuiſti. Neque enim hi qui putantur inimici, tam acriter illi inquam detraxerunt. THEOD.

Ezech. 9.

Iudæ Apoſt. locus.

Ezechiel quando ſacerdos.

Ezech. 1.

1. Cor. 10.

Ezech 33.

Prou. 20.

Epheſ. 5. Quid, oro, indignaris, Pater, ſi dixi beatum Ioannem tempori non eſſe obſecutum? cùm ſcriptura dicit: In locis potentum ne ſteteris. Et rurſus; Redimentes tempus, præcipuè in his qui monita, vtilitatémque non capiunt. PALLADIVS. Felices vos, qui ſcripturas ita diſſeritis. Nam, quod apud Eccleſiaſtem dicitur: In locis potentum ne ſteteris, aduerſus indignos ſacerdotio dicitur, ne illi rapere ſtudeant. Potentes enim virtutis magiſtros intellige, Apoſtolos primùm, qui potentes virtutis induerant ſpiritum, deinde imitatores eorum. Porrò quod tempus redimere monemur, non ſimulationi inſeruire debemus, vt cum furibus curramus, aut cum adulteris ponamus partem noſtram, ſed peccati tempus virtute redimere, non illud venundare peccato. Qui autem hoc modo ſenſim redimit tempus, totam redimet vitam ſuam, vt omiſſis omnibus vitæ iucundis, cœleſti ſuauitate fruatur. Ita & Martyres fecere, qui vitam exponentes mortalem, immortalitatem ſunt conſecuti, reuera tempus redimentes. Certè, niſi iſta ita intelligantur, neceſſariò & Moyſen, & Heliam, & Michæam, & Danielem, & Ioannem Baptiſtam, & Eſaiam, & Petrum, & Paulum, ne plures enumerem, tempus ſuum ignoraſſe fatebimur. Ex his enim alius ſalutem ſibi fuga mercatus eſt, gentilis viri oues in montibus paſcens. Alius dolore fatigatus præcipitatur in ſomnum, neque parietis, aut ſaxi vllam inueniens vmbram, ſed ſub iuniperi virgulto requieſcens, ad vmbram minimè idoneo: Alius ſectus: Alius, ne pietatem violaret, in leonum miſſus eſt lacum: Alius adulteri in morem vinctus, ſeruabatur in carcere, panem doloris, & aquam anguſtiæ accipere iuſſus, vt longo tempore maceratus, vi abrumperet vitam, quoniam aduerſus Regem conſtantia, & libertate vſus erat. Quid memorem Ioannem, quo inter natos mulierum maior nemo eſt natus? Num illo tempore neſciuit vti, quoniam ob apertam adulterij Regis increpationem capite cæſus eſt, dum morbum Herodis inſanabilem, tanquam peritus medicus, aut intendere moliretur, aut ſcindere? Eadem profectò ratione Ioannes quoque noſter miſericordia & dilectione arguebat errantes. Quod ſi Baptiſta tempus non nouit, quomodo ſeculorum opificem & conditorem agnouit, dicens: Ecce agnus Dei, ecce qui tollit peccata mundi? Quomodo item Petrus, & Paulus, eccleſiæ columnæ tempus ignorauerunt, qui etiam poſt mortem volentibus, atque pulſantibus aperiunt, & claudunt pœnitentiæ tempora? Quorum alius quidem cruci ſuffigitur, pedibus in cœlum verſis, vt cœleſte ſignaret ſe iter ingredi: Alius propter ſingularem in Chriſto confidentiam capite plectitur, ne vero excideret capite. Noli ergo ſuſcipere, qui ſanctorum clàm detrahunt confidentiæ. Gentilium enim, & eorum qui ſe exiſtimant ſapientes, iſta conſuetudo eſt, qui vitæ præſentis ſtudio, martyrum pergunt vituperare conſtantiam. Neque enim vel gladium obtuſum, vel confidentiam eſſe inefficacem decet. Quemadmodum verò ab vnguento fragrantia, ita & à confidentia beneuolus non ſecernitur animus.

Moyſes. Helias. Eſaias. Daniel. Michæas. Ioan. 1.

A At ſi quidem in famulis priuatim, aut amicis, aut neceſſariis reprehenſio fieret, in quibus erubeſcere moleſtum eſt, fortaſſis huiuſce confidens crimini eſſet obnoxius, quòd tempus, aut locum ignoraret. Quod ſi in eccleſia & proborum laudes, & negligentium vituperationes fiunt, quî exaſperamur, causáſque diſquirimus? dum, ſuppreſſo nomine, vtiliter arguimur, nec Paulo obtemperamus, dicenti: Quæ in macello væneunt, edite, nil diſceptantes. Quod niſi fiat, dicemus iterum ſanctos arguendo ſcandalizaſſe ciuitates quaſdam, atque prouincias, & alias item laudibus eneruaſſe. Primus namque ſanctus Iob Phœniciam quandam regionem inſimulat, quaſi ea Satan immiſerit aduerſarium ſuum, dicens: Partiuntur autem illum Phœnicum gentes. Deinde Moyſes, & Prophetæ Ægyptum culpant, fornacem ferream appellantes, ac tenebras. Palæſtinam è contra laudibus extollunt, repromiſſioníſque terram eam vocant, cùm conſtet, virtutum ſtudioſis Ægyptum eſſe repromiſſionis terram. Palæſtinam verò negligentibus non modò fornacem ferream, ſed & tenebras exteriores eſſe perfidiæ gratia. Neque enim loca probro, aut laude ſunt digna, ſed ſtudia. Quid autem pluribus immorari opus eſt? Nunquid Paulus Cretenſes mendaces appellans, & inſenſatos Galatas, & Corinthios inflatos, & alios aliter, his ſolis hæc applicuit vicia, hoſcéque reprehendit ſolos, ante etiam omnes? Siue rurſus cùm Romanos fideles vocat, & Epheſios intelligentiæ laudat, quibus & ſublimius ſcribit, & Theſſalonicenſes amatores fratrum dicit, num his ſolis has laudes adſcribit? Minimè id quidem, ſed ſpiritu ſancto plenus, & probra, & laudes appoſuit: vt qui dignus eſſet laudibus, ea in ſeipſo recognoſcens, promptior fieret: qui verò vituperari mereretur, admonitus doleret, & probri deponeret cauſam. Neque ergo ſoli Galatæ inſenſati, neque ſoli mendaces Cretenſes, neque Corinthij ſuperbi ſoli. Vbique enim omnia ſunt, eò quòd vna quoque natura ſit, quæ vel peccet, vel virtutibus ſtudeat, & propriæ voluntatis arbitrio, aut hoc, aut illud eligat. Hoc igitur modo in eccleſia confidenter agebat Ioannes, imò eſurientibus virtutis partiebatur edulium, peccatum reprehenſionibus manifeſtis eliminans, & Paulo obtemperans, dicenti: Peccantem coram omnibus argue, vt & cæteri metum habeant. Porrò ſi qui in id ſtultitiæ ac ſuperbiæ deuenerunt, vt ſuas quoque voluptates laudari velint, huiuſmodi conſuetudinem Dei ſerui non habent. Nam qui cupiditatem, & fornicationem, & aliam quamlibet obſcœnam voluptatem vituperari indignè ferunt, nihil aliud dicunt, quàm oportere huiuſce pernicioſum virus admittere. THEODORVS. Ingentes habeo gratias huic ad nos profectioni tuæ, Pater optime, atque ſanctiſſime. Fuit enim illa nobis vtilis profectò, & ſalutaris, vitæque monumentum. Cúmque poſt prolixam laudationem, ac digna ſenis præconia Theodorus tacuiſſet, vnus ex aſſiſtentibus erupit in vocem: Quónam, inquiens, modo, cùm tot inſignibus ſanctitatis Ioannes excelleret, ſuperbus tamen erat? PA-

1. Cor. 10. Tit. 1. Galat. 3. 1. Cor. 8. Rom. 1. Epheſ. 1. Theſ. 5. 1. Tim. 5. CAP. XIX.

Ipſe illum præſens ſuperbum didiciſti, an ab aliq audiſti? Reſpondit ille, Non noui ego virum, ſed coriarium quendam audiui, dum diceret: Rarò illi, præter eccleſiam collectam, poſſe quépiam congredi, quòd moleſtè ferret volentibus diutius colloqui. Hoc autem ſuperbiæ ac faſtus apertum documétum eſt, conſortia ſe quærentium & alloqui volentium fugere. PALLADIVS. Et cuius alterius erat, Ioannis vituperare philoſophiam, quàm coriarij, qui etiam fœtorem ſui miniſterij contubernalem perlibenter haurit? Si enim ſuperbiæ indicium eſt vitare turbas, erit & Ioannes Baptiſta ſuperbus, ſecundùm rationem tuam, qui ad deſerta ſeceſ-
Matth. 5. ſit. Saluator item non effugiet crimen, qui videns turbas, vt ſcriptum eſt, aſcendit in monté, & cùm ſediſſet, acceſſerunt ad eum diſcipuli eius, & non turbæ. Et rurſus, cùm vidiſſet turbas, receſſit ſeorſum: cuius exemplum Ioannes quoque noſter pro viribus imitatus, fugiebat turbas, eíſque maximè delectabatur, qui veraciter diſcere aliquid vellent. DIACONVS. Præclarè tu quidem ſcripturæ exemplis perſuades. Qui verò dicere ad id potes, quòd non modò turbas, ſed vnum quoque, vel duos declinabat. PALLAD. Et vnus quoque, ſi nugator & inutilis fuerit, turba eſt. Denique eiuſmodi ille fuiſ-
Matth. 8. ſe videtur, qui, cùm Saluatori diceret: Magiſter, ſequar te, quocunque ieris, audire meruit: Vulpes foueas habent, & reliqua. Nónne hunc Dominus ſimiliter fugit, vt turbas? Num verò dicere poteris. Ioannem, ex quo baptizatus eſt, aut iuraſſe vnquam, aut periuraſſe, aut eſſe oblocutum, aut fuiſſe mentitum, aut maledixiſſe quempiam, aut ſcurrilia verba toleraſſe? DIACONVS. Nihil equidem huiuſmodi dixerim, ſed iniurioſum tantum fuiſſe coniecto. PALLADIVS. Quæſo te, qui nihil horum quæ præmiſimus, fecit, is quomodo linguæ intemperans fuit, vt paſſim cuiquam inferret iniurias? Eſt enim in paruo, & in magno par facinus, & eadé inquinatio. DIACONVS. Quid ergo eſt quæſo, quòd ita homines loquuntur, & quando ab huiuſmodi locutione ceſſabunt? PALLAD. Audi igitur, & noli vltrà ſequi vulgares ineptias: neque enim erit vlla excuſatio. Qui rectè non viuunt, ne recta quidem opinari poſſunt, ſemper loquétes inania, atque ad id ſolum vacantes, & nunc maximè, cùm nemo contraire audet. quippe & de Saluatore noſtro Deo, cùm ſupra hominem viueret, prophetæque merita excederet, miráque loqueretur, & faceret, monſtruoſa tamen de eo loquebantur, porcorum inſtar, aut muſcarum, iſta de illo colligentes: hoc enim illa tunc tempora requirebant. Alij namque dicebant; Decipit mundum: alij in Beelzebud principe dæmoniorum eiicit dæmonia: alij, Ecce homo vorator, & vini potator: alij, Samaritanus eſt, & dæmonium habet. Et quid me illorum conuitia colligere neceſſe eſt? Hoc Saluator minimè ignorans dicebat Apoſtolis: quem
Matt. 16. me dicunt homines eſſe, filium hominis? Cui reſpondentes diſcipuli, honeſtiores de illo opiniones nunciarunt, dicentes: Alij quidem Heliam: alij verò Hieremiam, alij autem Ioannem Baptiſtam, malorum hominum verba reticen-

A tes. quos ille rurſus interrogat, eos ab hominibus ſegregans (Non enim iam erant homines, Ioan. 1.
ſed filij Dei. Dedit enim nobis verbum poteſtatem filios Dei fieri) Vos autem quem me eſſe dicitis? Reſponderunt, non omnes, ſed ſolus Petrus, ex propria tamen, & ex ſententia omnium: Tu es Chriſtus filius Dei viui. Cuius reſponſionis rectitudinem Saluator admittens, ſétentiam protulit, dicens: Tu es Petrus, & ſuper hanc petram ædificabo Eccleſiam meam, & portæ inferi non præualebunt aduerſus eam. Ad hanc igitur lineam nunc quoque reperies non modò in Ioanne, ſed in omnibus etiá probra, atque laudes. Et ſicut per id temporis malè de Chriſto & Apoſtolis dicebatur, clamantibus Epheſiis: Hi ſunt, qui peruerterunt orbem. Act. 19.
B Nunc autem ea opinio tranſiuit in gloriam. Ita inuenies Ioannem quoque apud poſteros, vt martyrem honorari, cùm illi defecerint, qui laudibus illius aduerſantur. Et quique porcorum aut canum viuentes vitam, dicens: Decipit mundum, & reliqua. Porrò diſcipuli, qui illum ſtudioſè, & cum amore inquirunt, dicent: Tu es Chriſtus filius Dei viui. Qui ſi ſub Saluatore Chriſto, inter tot millia hominum, duodecim initio inuenti ſunt, qui IESVM agnoſcerent, cum plurimi de illo hodiéq; delirent, quid de Ioanne miramur, qui ad Chriſti ſaliuam non Iſa. 40. 15.
attingit? Et quid dico ſaliuam? ne ad fimbriam quidem. Omnes enim gentes, vt Iſaias ait, quaſi ſtilla de ſitula, & vt ſaliua reputatæ ſunt. Is eſt autem modus iniuriæ, quam illi obieciſti.
C Primùm enim nunquam ille conſueuerat ex inſtituto ſuo cuiquam blandiri, ne iniurias quidem inferre: Sin autem ex diſcipulis chariſſimis ſuis aliquos ſiue clericis, ſiue Epiſcopis vidiſſet, de abſtinentia cuiuſlibet rei, ſeu de executione virtutis corporalis inſoleſcere, ac ſuperbire, contraria eos per iurgium appellatione compeſcebat: vt puta, qui aquam biberet, ebrioſum; nudum rebus omnibus, cupidum; eleemoſynas facientem, furem vocans. Eſt enim & hæc grata doctrinæ ſpecies ad chariores quoſque diſcipulos, per id, quod non adſit, roborare quod adſit. Re autem vera honorabat pudicum adoleſcentem, plus quàm intemperantem ſenem, & ſenem ſtudioſum diſcendi, plus quàm imperitum iuniorem, & pauperem imperitum, plus quàm auarum eruditum, & ſe-
D cularem probum, plus quàm ocioſum monachum. Hæc fortaſſis illi iniurias appellant, qui honores quærunt. Et quidem cùm ſcriptura cótumelias quoque contineat, Ioanne quidem ad illos, qui ſe docendi veniebant, dicente: Ge- Matth. 3.
nimina viperarum, quis oſtendit vobis fugere à ventura ira? Et Paulo in actis Apoſtolorum dicente Pontifici: Percutiet te Deus, paries Act. 23.
dealbate. Saluatore item ad Iudæos nunc quidé, Generatio mala, & adultera ſignum quærit, Mat. 12.
dicente: nunc autem Apoſtolis omnibus: O ſtulti, & tardi corde: Aliâs verò Petrum Sata- Luc. 24.
nam appellante, cùm dicit: Vade poſt me Satanas, ſcandalum enim es mihi: cùm grauis certè Matth. 16.
nulla ſubeſſet cauſa, per quam hiſce contumeliis agerentur. Silentio itaque amplectamur diſciplinam, cùm ſpirituales diiudicare nequea-

mus. Neque enim odio habentes iniurias irrogant, neque inflati ſolitudini ſtudent, ſed charitate omnia faciunt: huius rei gratia & omnes, quorum nobis, virtus in ſacris literis traditur, declinaſſe imperitorum gregem, atque auerſatos eſſe comperies, ne lapſu temporis facta conſuetudine, aut aliquid virtutis amitterent, aut quippiam illorum malignitatis haurirent. Sara prima monuit virum Abraham ancillæ vt filium, puerum licet, communibus arceret laribus, ludere illum cum filio ſuo Iſaac indignè ferens, ne fortè huiuſce familiari conſuetudine, illius mores ac ſtudia traherentur. Iacob ipſe fuga ſalutem adipiſcitur, in Meſopotamiam peregrinando profectus. Loth, adhortantibus angelis, à Sodomitis impiis ſeparatur. Moyſes ille magnus effectus, vt dixi, & filius filiæ Pharaonis dici non ſuſtinens à tyranno, eiúſque ſatellitibus, Deo prouidente, diſiungitur, ſibíque conſentientes ad fugam, exitúmq; ſollicitat. Prophetæ nequiſſimorũ hominum vulgus linquentes in ſolitudinibus fermè vixere. De quibus & Apoſtolus ait: In ſolitudinibus, & montibus, & ſpeluncis oberrãtes: ne ſcilicet iniquorum permixtione aliquid ſordis attraherent, non ignorantes, quantum conſuetudo valeat ad fallendum, vtque familiari conuictu ſoleat ad eadem prærupta & præcipitia trahere. Neque id modò, verùm quia ipſa quoque per ſe malorum familiaritas, probrum ſimul & perniciem infert, præterea & fœda, & inhoneſta eſt. Non enim per naturam habet aliquid, quod non oblectet ſuſtinere, vel ad modicum illi immorari. Semper enim ſimile ſimili charum eſt: cuius etiam rei gratia dicitur: Omne animal diligit ſimile ſibi: Quod verò diſſimile eſt, inimicum, alienúmq; cenſetur. Quis enim vnquam inducet columbam, aut turturem legentem ſemina, miluis, coruiſve conuerſari, carne veſcentibus? Quis anſerem, aut gruem herbas edentem, vulturibus congredi? Quæ enim communio luci ad tenebras? Aut quæ ſocietas virtuti cum iniquitate? Quod conſortiũ bonis, ac malis? DIAC. Quomodo igitur dicit Apoſtolus: Omnia omnibus factus ſum, Iudæis tanquam Iudæus, vt Iudæos lucrarer: his, qui ſine lege ſunt, tanquam ſine lege eſſem, vt eos, qui erant ſine lege, lucrifacerem. PALLAD. Teſtimonium iſtud, virorum optime, nihil ad ea, quæ dicta ſunt, confert. Non enim ait Paulus, factus ſum negligentibus negligens, aut nugantibus nugax, aut cupidis cupidus, aut huiuſmodi aliquid, ſed factus ſum quaſi hoc, aut hoc, non definitè hoc & hoc: non enim idem eſt alterum, quod alterum. Eius profectò generis eſt, quod ab Apoſtolo, aut dicitur, aut geritur, cuius condeſcenſio etſi magna emolumenta non affert, nulla tamen inuehit detrimenta. Factus ſum enim, inquit, Iudæis tanquam Iudæus, vt Iudæos lucrifacerem, cùm certè ex Iudæis eſſet, circumciſionémque ſuſcepiſſet. Cur ergo dicit, tanquam Iudæus, & non abſolutè, Iudæus? Sabbata nempe celebraſſe vnà, vnáque ieiunaſſe ſæpe deprehenditur, non vt Saluatoris decreta violaret, ſed vt huiuſce conſuetudine illos ad perfectiorem ſcientiam traheret,

Gen. 21. Heb. 11. Eccl. 13. 1. Cor. 6. 1. Cor. 9.

A dum ſe ad illorum declinabat infirma, medicorum inſtar, qui infirmorum voluntatibus interdum condeſcendunt, cùm neque ſemper eis aſſideant, neque eiuſdem morbi participes ſint, neque eiſdem deſideriis macerentur. Congruit enim hoc profectò doctori inſtitutum, non inuerſari diutius turbis, ſed ſibi quieſcere, ac ſollicita indagatione ſcrutari morborum ingeniorúmque varietates, vt faciunt peritiſſimi medici. Illi namque multum temporis in libris conterunt, vt & infirmitatum cauſas prædicere, & remedia præſtare poſſint, tantum infirmis propinquantes, quantum ſatis ſit ad cognoſcendum morbum, adhibendúmque remedium. Non vnà ludunt, aut prandent ſimul: neque enim profitetur medicinæ virtus infirmis concœnare, atque colludere, ſed eos ad ſanitatem reuocare. Deſine igitur obſecro, neque eadem B vltrà diſquirere. Virtus enim nunquam probris garrulorum, & illoto ore loquentium vincitur: Magíſque ſuſcipe ſententiam meam, tuiſque auribus oſtiarium admoue, ne omne ſuſcipiant verbum, atque intus admittant, quod poſtea perturbet animum tuum. Mihi verò permitte, vt ea, quæ reſtant narranda, abſoluere poſſim. Feſtino enim cœptũ exequi iter. Ad hæc Theodorus ait. Quid quæſo de Epiſcopis illis actum eſt, qui cum noſtris miſſi ſunt, Eulyſio ſcilicet, Palladio Cyriaco, atque Democrito? Id enim ſolum de illis audiuimus, quòd exilio relegati ſunt. PALL. Si priora illa, quæ de beato Ioanne memorauimus, abſque vlla ſunt ſuſpicione mendacij, eáque memoria retines, hæc etiam C quæ percontaris, exponam. THEOD. Adeò hæc pro certis habeo, ac ſi ea ipſe coràm geri vidiſſem. Volo autem id ſit tibi meæ credulitatis argumentum, quòd ea intentiſſimè audiui, quæ dicta ſunt, memoriæq; altius infixa teneo, ſcripturæ fortè tradenda per me, ſi Deus iuuerit, in memoriam generationis noſtræ, & eorum vtilitatem, qui Epiſcopatum deſiderãt, vt Ioannis imitatores, aut veſtri ſint, qui amore veritatis viam ſanctorum Martyrum æmulati eſtis, aut certè id onus ferre velle deſiſtant, quod virium ſuarum excedit modum, humiliorem quidem, ſed tutiorem laicorum amplectentes vitam. Præſtat enim apud peritos gubernatores, dato naulo, vectores fieri, atque ſeruari, quàm aſſumpto gubernatoris loco, nauem vnà cum mercibus perdere, atque ſubmergere. His igitur D de beato Ioanne decurſis, quæ ad eius initia, atque incrementa pertinere videbantur, quemadmodum ſcilicet in Eccleſijs Antiochena, Conſtantinopolitanáque floruerit, vtque promotus ſit, atque inſidias paſſus, emenſis item, quæ in medio contigere, cladibus, quas perditi homines ſtudioſè concitarunt, & de Porphyrio itidem, ac de Epheſinæ Eccleſiæ Eunucho, annuntia nobis, precor, & reliqua, quinam ſcilicet in carcere mortui ſunt, quíve de Ioannis communione in exilium acti. Eſt enim planè iuſtiſſimum, talium virorum memoriam exequi pro alacritate, & conſolatione viuentium. Nam ſi in ſeculi rebus, ſerui, qui pro Dominis concluduntur, aut cæduntur, aut excarnificantur, beneuolentiam ab illis, libertatémque conſe-

CAP. XX.

Hinc colligunt non a Palladio, ſed a Theodoro ſcriptum hũc dialogum

quuntur, quanto magis, qui Chriſti amore cruciantur, honores ab Eccleſia, beneuolentiámque promerentur? De quibus & Apoſtolus ait: Heb. 10. Vinctis quaſi ſimul vincti, his, qui affliguntur, quaſi afflictionis ſocij ſimus: vtpote & ipſi in corpore conſtituti, & caſibus mortalis conditionis obnoxij. Psal. 115. Pretioſa enim in conſpectu Domini mors ſanctorum eius. PALLAD. Præclarè tu quidem, Theodore. Igitur audi, quæ cupis noſſe. Epiſcopi, vt initiò quidem fama vulgauit, in mare præcipitati: vt autem veritas continet, in exilium ad remotiora & barbara loca ducti ſunt, ibique à ſatellitibus nunc vſque ſeruantur. Reuerſus enim diaconus quidam, itineris ipſorum comes, retulit Cyriacum quidem Emiſenum octoginta millibus paſſuũ Palmyram Perſarum oppidum adductum eſſe: Eulyſium verò Boſtræ Arabum in caſtellum, quod Nuſphas appellatur, Sarracenis adiacens, relegatum: Palladium Blemmiorum, ſiue Æthiopum Epiſcopum ſeruari prope locum, qui Syene vocatur: Demetrium intus in Oaſim Mazicis proximam: ſunt enim & aliæ Oaſes. Seraphionem autem poſt innumeras abſque vlla probatione calũnias, cùm atrocitate iudicium violaſſent, in patriam, vt fama eſt, propriam relegarunt. Hilarius vir ſanctus, & ſenex, poſt plagas non à iudicibus ſibi, ſed ab Acro impoſitas in interiorem Pontum miſſus eſt, qui decem & octo annis panem non guſtauit, ſoláque olera, vel legumina in cibum habuit. Antonius intra Palæſtinæ ſpeluncas ſe incluſit. Timotheus Maroniæ, & Ioannes Lydiæ Epiſcopi in Macedonia eſſe memorantur. Rhodon Aſiaticus Mitylenen profectus eſt. Gregorius Lydius eſſe in Phrygia dicitur. Briſſo Palladij frater, Eccleſia ſua ſponte derelicta, in agello ſuo degit, terram propriis manibus fodiens. Lampetius verò, vt aiunt, in agro Lydiæ à quodam fouetur Eleutherio, lectionibus vacans. Eugenius in patria eſt. Elpidius magnus ille Laodiceæ Syriæ Epiſcopus, vnà cum Pappo, tres anni ſunt, ex quo gradus domus nunquam deſcenderunt, orationibus inſiſtentes. Heraclidas Epheſius quadriennium iam Nicomediæ carceri incluſus eſt. Reliqui de communione Ioannis, partim quidem Attico communicarunt neceſſitate compulſi, & ad alias Eccleſias Thraciæ tranſlati, partim neſcimus vbi ſint. Aiunt Anatolium in Gallias conceſſiſſe. Presbyteri verò in Arabiam, & Palæſtinam exularunt. Tigrius in Meſopotamiam relegatus eſt. Philippus fugiens in Ponto diem obiit. Theophilus in Paphlagonia verſatur. Ioannes Æthrius Cæſareæ conſtruxit monaſterium. Stephanum, in Arabiam relegatum, à carnificibus Iſauri abſtractum in Taurum dimiſere. Saluſtium Cretæ immorari fama eſt. Philippum monachum, atque presbyterum Scholarum audiui infirmari in Campania. Sophronius diaconus Thebaidæ ſeruatur in cuſtodia. Paulus diaconus diſpenſatoris adiutor in Aphricam profectus memoratur. Alius Paulus Hieroſolymis eſt. Elladius palatij presbyter Bithynię in agello proprio degit: plurimi Conſtantinopoli deliteſcunt. Alij verò in ſua quiſq; diſceſſere. Syluanus autem ſanctus Epiſcopus

A Troade piſcatu ſibi victum quærit. Stephanus monachus, qui Romanorum epiſtolas detulit, huiuſce rei gratia Conſtantinopoli cæſus, atque in carcerem coniectus eſt, cúmque oblatam ſibi communionem, vt admitteret, induci non poſſet, latera, & pectus nimia immanitate diſſectus, vt ego hiſce oculis hauſi, & Chriſti gratia fortaſſis ad ſecunda certamina reſeruatus, poſt decimum curæ ſuæ menſem Peluſium extorris agitur. Prouincialis quidam inter ſcholares alios militans, quòd Ioanni ſtuderet, accuſatus, poſt varias plagas, & atrociſſima tormenta, in Petram exul agitur. Elpidij presbyteri famulus, quinquaginta, vt aiunt, numiſmatibus, vt Ioannem dolo interficeret, mercede conductus, deprehenſúſque, quòd tres haberet B gladios, eos, qui ſe deprehenderant, ſeptem, ſingulatim percuſſit. Ex his quatuor continuò ſepulti ſunt: tres diutiſſimè curati, ſanati ſunt, homicida illo abſoluto. Eutropius beatiſſimus, virgo purus, cantor, cæſus, & latera, ac frontem vſqueadeo ſectus, vt ſupercilia quoq; vellerentur: lampadibus poſtremò ad latera, oſſibus iam nudatis, vtrinq; admotis, in ligno moritur, mediáque nocte ab his qui hoc egerant, ſacerdotalis ordinis viris ſepelitur, Deo illius morti dignum teſtimonium perhibente, quòd paſſionem Redemptoris eſſet imitatus. Audita enim pſallentium cœlitum vox, angelicas patefecit excubias. Retulit autem is, qui ab Epiſcopis redierat, diaconus, eos à ductoribus ſuis immiſſione quorundam intantum vexatos, vt tæderet etiam viuere, mortémque ſibi impreca- C rentur omnes. Nam pecunias in ſumptus neceſſarias eis auferentes, inter ſe partiti ſunt, nudíſq; imponentes iumentis, bidui iter vna conficiebant die, profunda iam nocte diuertentes, & nocturnis item tenebris ad iter exurgentes, vt neque infelices eſcas continere ſtomachus poſſet. Turpibus præterea, obſcœníſque ſermonibus impetere illos non deſiſtebant. Palladio autem etiam ſeruum tulerunt, cogentes ipſum literas quoque exponere, quas habebat. Demetrium vnus ex militibus adeò afflixit, vt profunda iam veſpera illum etiam percuteret vomere. Qui continuò corruẽs expirauit, multis doloribus maceratus. Prædixerat enim Palladius, vt ex commilitone veniente didicimus, Aliud iter non conficies, ſed miſerabiliter mo- D rieris. Eccleſiæ namque omnino propinquare non ſinebant, hoſpitantes aut in ſtabulis, vbi ſcortorum erat multitudo, aut in Samaritanorum, vel Iudæorum ſynagogis: quibus illi anguſtiis preſſi, noua ſemper animo verſare cogebantur. Dixit autem vnus ex Epiſcopis: Quid de diuerſoriis querimur? Num enim in nobis eſt morari vſpiam, vt voluntate propria & electione laſciuientes pœnas expẽdamus: an ignoratis hæc omnia & contigiſſe prius, & futura etiam poſtmodum, per quæ omnia glorificatur Deus? Quàm multæ iſtiuſmodi meretrices, quę vel obliuionem Dei cœperant, vel illum ſemper ignorauerant, cõſpectis nobis, in timorem Dei, cogitationémque venerunt, fortaſſis in melius conuertendæ, ſiue certè ad deteriora non prolapſuræ. Non parum autem eſt rationali animę, quæ

quæ à perturbatione vexatur, reſpirare vel modicum, quod eſt pudoris fomentum, adeò vt dixerit, qui hęc ſuſtinuit, magiſter gentium Paulus: 2.Cor.2. Chriſti bonus odor ſumus in his qui ſeruantur, & in his qui pereunt, 1.Cor.4. eò quòd ſpectaculum facti ſumus angelis, & hominibus. In tãtam verò acerbitatis inſaniam Epiſcopi omnes de communione Theophili, per totum Orientem, ſicuti monachus rediens retulit, deuenerunt, vt ex his pleriqne non modò debitam humanitatem non exhiberent, verum milites, datis muneribus, inducerent, vt eos ocyus ciuitatibus pellerent. Sunt autem, qui iſta geſſere, Tarſenſis, & Antiochenus, & Cæſarienſis, atque ante omnes Ancyranus, & Peluſienſis Epiſcopi, partim donis, partim etiam minis militum animos contra eos ita efferantes, vt ne laicos quidem, eos excipere hoſpitio cupientes, permitterent, ſicut in epiſtolis canonicis Caio contra epiſcopum quendam ſcribit beatus Ioãnes, hoſpitalitatem Caij maximè ſuſcipiens, eúmque admonens, ne malos imitetur Epiſco-

3. Ioan. pos. Eſt autem hic fermè textus epiſtolæ. Caio dilectiſſimo, quem ego diligo in veritate. Dilectiſſime, in omnibus te rectè incedere cupio, & bene valere, ſicut rectè incedit anima tua. Gauiſus ſum enim vehementer venientibus quibuſdam, & nunciantibus mihi, quoniam in veritate ambulas, & in quibus requieſcere ſanctos feciſti. Maius hoc gaudium non habeo. Et addit: Scripſi eccleſiæ, ſed ambitioſus horum primarius Diotrephes non ſuſcipit nos, verbis malis nugax, & non contentus his, neque ipſe ſuſcipit fratres, & volentes prohibet, atque eccleſia eiicit. Deinde rurſus admonet, dicens: Dilectiſſime, noli imitari malum. Qui enim bene facit, ex Deo eſt: qui autem malè, non videt Deum. Antiquæ nequitiæ totum appoſuimus teſtimonium, vt eorum, qui nunc ſunt, huiuſmodi ſententiam agnoſcamus. Laudabat autem, atque admirabatur ſecundæ Cappadociæ Epiſcopos, vt qui actis in exilium Epiſcopis, magnum oſtendiſſent miſerationis affectum, & in primis Theodorum Tyaneum mitiſſimum virum, Boſporiúmque Colonię qui quadrageſimum in Epiſcopatu agebat annum, & Seraphionem Oſtracinæ quadrageſimum & quintum annum in Epiſtolari officio ſupergreſſum. Ad hæc ſtupefactus Theodorus, cùm diutius in eorum admiratione tacuiſſet, ait. THEO. Quid igitur ad hæc dicemus, Pater? Num hora iam nouiſſima eſt, & diſceſſio, iuxta Pauli vocem, per iſta ſuſcepit initium? vt iam reueletur filius perditionis, qui aduerſatur? Nam quia mali proſperentur, & in huiuſmodi operibus perſiſtendo præualeant, boni verò è contra premantur, atque vaſtentur, illum propè eſſe cum horrore me admonet. PALLAD.

1.Ioan.2 Eſt quidem proximus finis, ſapientiſſime Theodore, ſecundùm illum, qui ait: Pueri nouiſſima

Mat.18. hora eſt, illúdque de Euangelio: Exiit autem Paterfamilias circa horam vndecimam operarios conducere in vineam. Nouiſſima verò duodecima horarum extrema eſt. Si autem ante quadringentos annos dictum eſt ab Apoſtolo, nouiſſimam horam imminere, multo

A magis nunc. Sed enim ab initio iſta contigere, Deo ad exercendos iuſtos permittente, quando illos diabolus examinat, vt Saluator ait: Simon, Luc. 22. Simon, expetiuit vos Satanas, vt cribraret, velut triticum. Ego autem oraui pro te, vt non deficiat fides tua. Neque verò prò ſolo Petro orauit IESVS, verùm & pro omnibus, Petri habentibus fidem, nihil aliud ſignificante cribro, quàm mortalem voluptatum ac dolorum circulum, plenum foraminibus, per quæ terreni quilibet à vero tritico in infernum cadunt, dum alij quidem per gulæ foramen decidunt, quorum Deus venter eſt. Philip. 3 Alij per voluptatis, de quibus ait Propheta: Spiritu fornicationis ſe- 1.Cor.16 ducti ſunt. Ephe. 5. Neque enim fornicatores, neque adulteri, neque molles regnum Dei poſſidebunt. Alij item per auaritiæ foramen dilabuntur, hi

B ſcilicet, qui idolatriæ ſibi coniugem deſponſauere. Alij verò per iræ ac furoris, quíque ferales tenebras amauerunt. De quibus Ioannes ait: Qui odit fratrem ſuum, in tenebris eſt vſque adhuc. Ira enim, vt in Prouerbiis legitur, perdit etiam ſapientes. Alij per acidiæ atque obliuionis cauernam ruunt, qui in animi vigilantia Pſal.118. non perdurant, illúdque Pſalmiſtæ dicunt: Dormitauit anima mea præ tædio, quibus exprobrans ſermo diuinus: Væ, inquit vobis, qui perdidiſtis patientiam. Et quid facietis, cùm viſitauerit Dominus? Alij per irrationabilem gloriam, de quibus Pſalmiſta prædixit: Quoniam diſſipauit Deus oſſa hominibus placentium. Alij per iactantiam, & faſtum, id eſt, arrogantiam, quos veluti deſertores, Propheta inſimulat, di-

C cens: Ibidem. Superbi iniquè agebant vſquequaque, à lege autem tua non declinaui. Vnumquodque autem horum vitiorum complura comitantur. Faſtum inuidia ſequitur: auaritiam odium: illiberalitas, atque mendacium, furorem: iram, ſiue iracundiam, contumeliæ, inuidentiæ: fornicationem obliuio, priuatio timoris, pigritia, zeli boni defectus, inutiléſque vigiliæ. Inanem gloriam curioſitas, perceptio munerum, apparatúſque magnifici, ſimulationes, acceptiones perſonarum, atque fallaciæ. Superbiam arrogantia, crudelitas, dementia, & alia, ne plura enumerans prolixior ſim, cùm ea quæ dixi, ſufficiant ad probationem. Singulis autem eiuſcemodi vitiis contrariam virtutem obiecit Deus: Puta luxuriæ caſtitatem, gulæ continentiam, cu-

D piditati iuſtitiam, iracundiæ manſuetudinem, triſtitiæ gaudium, obliuioni memoriam, acidiæ tolerantiam, ſtultitiæ ſapientiam, formidini fortitudinem, vanitati humiltatem, & aliis alias: omnibus verò ſcripturam ſanctam. Soli faſtui virtutem contrariam non dedit, ſeipſum illi ob nimiam malitiam ſeruans, ſicut ſcriptum eſt: Deus ſuperbis reſiſtit. Sicut item Propheta ait: Leua manus tuas in ſuperbias eorum in finem. Iacob. 4 Pſal. 71. Et rurſus: Redde retributionem ſuperbis. Ibid. 93. Et quemadmodum ex fructu arbor agnoſcitur, dicente Domino: Ex fructibus eorum Matt. 7. cognoſcetis eos: ita vnuſquiſque hominum, ſiue ſint ſancti, ſiue dicantur. Sic autem ſunt ſemper malorum fœlicitates diuturnæ, Deo illos æquanimiter tolerante. Ita enim illi conuenit, vt ſancti hoc ipſum ex perſona eo-

rum, qui premuntur, prænunciauerint ad conſolationem noſtram, qui modò patimur.

Iob. 21. Primus tolerantiæ filius Iob, quid ait poſt multa? Quid enim? Nunquid ex homine reprehenſio mea? ſine querela ſe eſſe ſignificans: Aut quare non iraſcar, ſi aſpicientes in me admiramini, manúmque ſuper maxillam ponitis, ſiue enim memor fuero, feſtinaui, habent enim carnes meas dolores. Quare impij viuunt, atque inter diuitias conſeneſcunt? Semen eorum iuxta animum, filij autem eorum in oculis ſunt. Domus eorum abundant, metus autem nuſquam eſt. Flagellum Domini ſuper eos non eſt. Bos eorum non abortiuit: ſeruatus eſt autem ab æſtu. In ventre habens non eſt fruſtrata: manent autem veluti oues perpetuæ. Filij eorum alludunt ſumentes pſalterium, & citharam, & lætantur ad vocem Pſalmi: Conſummauerunt in bonis vitam ſuam, & in requie inferni dormierunt. Dicit autem Domino: diſce-
Pſ. 100. de à me, vias tuas ſcire nolo. Conſonat huic
Pſ. 72. & diuinorum iudiciorum præco, iuxta illud: Miſericordiam & iudicium cantabo tibi Domine. Dauid ait: Quàm bonus Deus Iſraël rectis corde. Mei autem penè moti ſunt pedes, penè effuſi ſunt greſſus mei. Vt quid? Quia zelaui ſuper iniquos, inquit, pacem peccatorum videns. Et alibi rurſus, opibus illo-
Pſ. 141. rum detrahens: Boues, inquit, illorum craſſæ, oues eorum fœtoſę, abundantes in egreſſibus ſuis. Promptuaria eorum plena, eructantia ex hoc in illud. Filiæ eorum compoſitæ, circumornatæ vt ſimilitudo templi. Peſſimam quoque illorum concordiam & pacem admirans addit: Non eſt clamor in plateis eorum, nec ruina maceriæ in domibus eorum. Deinde vituperans corruptam vulgi opinionem, ait: Beatum dixerunt populum, cui hæc ſunt, & addit: Beatus populus, cuius eſt Dominus Deus Iacob adiutor eius. Et ne, omiſſis teſtimoniis aliis, putet de ratione noſtræ perfectionis diffidere, audi rurſus Prophe-
Haba. 1. tam Habacuc ſub quadam tunſione pectoris in huiuſmodi indignantem, ac dicentem: Vſquequo Domine clamabo, vim patiens, & non exaudies? Suas enim proximi iniurias appellauit, & ſtudio fraternitatis adiecit: Vociferabor ad te, & non ſaluabis? Quare oſtendiſti mihi labores, & dolores, aſpicere in ærumnam, & impietatem? Ex aduerſo mei factum eſt iudicium, & iudex accipit. Idcirco diſſipata eſt lex, & non adducetur in finem iudicium, quia impius præualet contra iuſtum.
Hier. 12. Eodem ſpiritu & miſericordiſſimus Hieremias ſanctus hæſitans clamat: Iuſtus es Domine. Verumtamen iudicia loquar ad te. quare via impiorum proſperatur? abundant omnes irritantes irritationes. Plantaſti eos, & eradicati ſunt, pro eo, quod eſt, licenter viuunt. Et fecerunt fructum, non ſpiritus planè, propinquus es ori eorum, & longè à renibus eo-
Mal. 3. 14 rum. Eadem fermè ſapiens propheta Sophonias, maledicos homines culpans, Dei prouidentiam accuſantes, ſanctóſque miſeros dicentes, ex perſona Dei ait: Ingrauaſtis ſuper me ſermones veſtros, dicit Dominus, & dixiſtis, in quo oblocuti ſumus contra te? Dixiſtis, Vanus eſt, qui ſeruit Deo. Et quid amplius? quia cuſtodiuimus præcepta eius, & quoniam ambulauimus ſupplices ante faciem Domini omnipotentis. Et modò nos beatificamus alienos, & ædificantur omnes, qui faciunt iniuſtitias, & reſtiterunt Deo, & ſaluati ſunt. Hæc oblocuti ſunt, qui timent Dominum, vnuſquiſque ad proximũ ſuum. Conſentiẽtia his, & pietatis
præco Paulus loquitur, dicens: Nequaquam 2. Ti. 3.
autem homines & magis in deteriora proficient, falſi, ac fallentes. Deinde Sanctorum 1. Cor. 4
vtilitatem deſignans, ait: Exiſtimo enim, quòd Deus nos Apoſtolos nouiſſimos demonſtrauit, quaſi morti deſtinatos. quoniam ſpectaculum facti ſumus mundo, & Angelis, & hominibus.
B Vſque in hanc enim horam, & eſurimus, & ſitimus, & nudi ſumus, & colaphis cædimur, & inſtabiles ſumus, & laboramus operantes manibus noſtris, corporales ærumnas enumerans. Maledicimur, inquit, & benedicimus: perſecutionem patimur, & ſuſtinemus: blaſphemamur, & obſecramus. Tanquam purgamenta huius mundi facti ſumus omnium peripſema vſque adhuc. Deus quippe bonus, & iuſtus, ſecretiſſima ratione ſua ſtadij in morem porrigit mundum, nóſque liberos fecit, vt propriè voluntatis arbitrio in omnibus vtentes, iuſtas perſoluamus, ſi malè geſſerimus, pœnas, ſicut lex ait: Poſui ante faciem tuam vitam & mor- Eccl. 15.
tem. Elige, quod vis. Cur autem ita poſuerit, non eſt neque modi noſtri, neque temporis
C dicere, niſi quod poſuit ſolum. Neque enim ſapientiæ fuit, nos inconuertibiles facere, nullis propoſitis præmiis, nullâque ſententia voluntatis rectè operante. quippe ſoli diuinitati & æternitati inconuertibile congruit. THEODORVS. Præclarè tu quidem, atque ſapientiſſimè occurriſti, Pater, præſentium illuminans animos, qui per ſcripturarum imperitiam in his ſemper offendunt. Profectò enim gymnaſium per longa tempora eccleſia fuit, victores ſuos viros, ac mulieres oſtendens, non fruſtra Chriſti carnes eatenus comediſſe. Contriſtat autem nos veſtra inconſtantia, Eccleſiarúmque deſolatio. PALLADIVS. Admiror equidem te, virorum præſtantiſſime Theodore, quòd, cùm vtilitatem rei confeſſus ſis, contraria è veſtigio loqueris. Nam
D qui nuperrimè, vt victores, beatos prædicabas, modò, vt lapſos, miſerabiles putas, quoniam Eccleſiaſticis locis excidimus. Idem autem mihi pati videris, quod ruſtici, qui Olympia ſpectãt. Illi cùm perlibenter ad brauium inhiantes aſpiciant, lachrymantur miſerabiliter ad certantium vulnera. At mihi pręſtat valles, & deſerta, & maria perſequi, veritatẽ tenẽti, quàm inſigni gloria pręſentis felicitatis amictũ, inhęrere mendacio. Veritatis enim cõpos habebo omnia, quippe cũ veritati omnia ſeruiant: mendaciũ poſſidens, neque me ipſum habiturus ſum. Porrò veritatẽ habens nõ vtcunque habere illã volo, quaſi dominam, aut ancillã, aut propinquam, ſed vt ſororẽ. Si autem poſſibile fuerit, vt coniugem etiam, ipſius voluptate fruens, & poſtmodum, vt vxorem propriam poſſidens. Eſt enim filia vere

profectò veritatis, cuius vir probus, virtutíſque A ſtudioſus eſt gener. Nam qui iſtud ſigillum habet, reuireſcit, inſeneſcibilis, atque immarceſcibilis fit, zelum habens igne feruentiorem, ſermonem gladio acutiorem, leuiorem aquila vitam. Impigrè currit ad ſcripturarum meditationem, veluti ad indulgentiſſimam matrem: tranquillitate animi perpetuò floret, non capitur metu, exultat certo robore, & afflatu diuinæ gratiæ ſuauiter agitatur. Odit neminem, miſeretur eos qui malè vtuntur ſeculo: beatos ducit eos qui remoti à turbis, quietem inſectantur, & otium: ſpirituali triſtitia mœret in negligentia ſacerdotum, de quibus ait Apoſtolus:
Epheſ. 4 Et Spiritum ſanctum nolite contriſtare, in quo ſignati eſtis in diem redemptionis. Contriſtat autem ſpiritum, qui terga ei per negligentiam dat. Et quid reliqua memorem? Cum fiducia B moritur, nemine læſo, præter dæmones, & eos qui proximi dæmonibus ſunt: abundat illi tempus, neque dies ſuos malignis violauit operibus. Duplicauit traditam ſibi pecuniam, bonorúmque operũ præmiſit vſuras. Tempore modico longæua impleuit debita. Teſtamentum materiale non ſcribit, qui terram omnem viuens ac ſentiens ab ſe excuſſit. Pulſauit mors ianuas carnis, priuſquam illam videat, clamat, Eamus hinc, illúdque prophetæ pſallit intentius:
l. 119. Heu mihi, quia incolatus meus prolongatus eſt. Ac niſi Domini mittentis obſtaret authoritas, ab ea, quòd ſerò veniſſet, etiam pœnas exigeret. Gratulatur poſtremò carnis nexibus, & perturbationibus liber, tanquam fragilis, ruinámque
Matt. 25 minantis hoſpitij. Aurẽ erexit ad eum qui ait, C
12. Euge ſerue bone & fidelis, auditurus & reliqua. Sit autem tibi eorum quæ dicimus, certum argumentum verborum copia. Ex abundãtia enim cordis, os loquitur. Porrò qui mendacij familiaris eſt, vitam habet perturbatam, aliquando immodicè gaudens, ſiue de incremento pecuniæ, ſeu de propagatione gloriæ, ſiue de conſuetudine meretricis, ſiue de aduerſitate inimici. Aliquando verò triſtatur vſque ad mortem, dum ſubitas mutationes, & incertos euẽtus pauidus cogitat, noctéſque inſomnes ducens, aut malè dormiens, ſuſpectas habet charorum etiam inſidias, neque ſibi ipſi confidens, ex omnibus, tanquam mendacibus, derogans fidem, cùm ipſe huiuſmodi ſit. Timidus eſt, veluti lepus: audax, vt porcus: fallax, vt chamæleo: deceptor, vt perdix: immitis, vt lupus: D ſui ipſius inimicus, indeſinenter inuidus, ſemet neceſſariò ſenſu perdito inclementer exagitans. Cùm enim malum contra aliũ cogitat, ſeipſum priùs peſſimè cruciat. Pulſauit mors, omnia dabit, vt modicum adhuc duret in vita. Indultum ſibi vitæ ſpatium fruſtra conſumpſit. Pecuniam neque duplicauit, neque integram cuſtodiuit. Tremit, vt folium iugiter, ſeneſcere nolens, & quæ ſenum ſunt, delirando iam ſuſtinens. Mortem timet, vt Deum. Deus illi eſt viſibilis mundus. Et quid vltrà? Palleſcit, horret, anxius eſt, diuinúmque iudicium præueniens, ſeipſum punit, conſcientia illum atrociter torquente, & delictorum ſingulorum iugiter admonente. Acriora patitur, quàm hi qui corpora ſua verberibus atterunt. Seruili animo temporales magiſtratus alloquitur: mundo fœda adulatione ſubſternitur. Pro vno domino habet innumeros, vt non ſeruiat veritati Vt timeatur, ſtudet, qui metuit omnes. Iſta tibi pro captu noſtro, & pro viribus diximus. Si quis autem verius ſentiens, ſaniore, & vberiore doctrina imbecillitatem emendauerit noſtram, & hunc gratè ac libenter admittemus, vt correctorem, & fraternitatis amatorem, Saluatorique per omnia gratias referemus. Verùm enim tu quoque mihi Occidentalis ſynodi, quæſo, vt ſententiam pandas, meáque conſignes verba, ſi quidem tibi placuere, veluti vtiliter dicta.

VT autem ceſſauit Epiſcopus loqui, Theodorus intulit, dicens: Det tibi Dominus miſericordiam in die illa inuenire, tum quia ab huiuſmodi communione diſceſſiſti, tum quia nobis hæc apertè lucidéque narraſti. Meminerit item omnis ſacrificij ſancti Ioannis, quia vſque ad mortem confidentiam tenuit. Eſt autem hæc Romanæ Eccleſiæ ſententia, non communicare in finem vſque Orientalibus Epiſcopis, maximéque Theophilo, donec Dominus vniuerſalis ſynodi tribuat locum, ac per eam curet putrida membra eorum, qui iſta geſſere. Et ſi enim dormit beatus Ioannes, vigilat tamen veritas, de qua eſt facienda diſcuſſio. His autem qui huiuſcemodi facinus admiſere in eccleſia, libentiſſimè congreſſus eſſem, vt eis in faciem dicerem: Vbínam, oro, ſacerdotium eſt? vbi ſanctitas? vbi modeſtia, communióque naturæ? vbi mandatum Domini Saluatoris: Si offeres munus tuum, & recordatus fueris, Matth. 5 quòd habet aliquid frater tuus aduerſum te, vade prius reconciliari fratri tuo, & ita offer munus tuum? Vbi illud: Si te percuſſerit in vnam maxillam, verte illi & alteram? Vbi ſcripturarum meditatio: Ecce quàm bonum, & quàm iocundum habitare fratres in vnum? Vbi illud: Fratres in neceſſitatibus vtiles ſunt? Cur autem, immutantes illud, Frater qui à fratre adiuuatur, vt ciuitas munita opere, dicitis: Frater qui à fratre violatur, ſiue expoliatur, vt ciuitas miſerabilis, & muris deſtituta? Quid igitur non modò infelices, ſed infeliciſſimi ſanctum virum perſequi conati eſtis? Qua tandem ratione contra illum, ac ſi contra inimicum, armari odiis non detrectaſtis? Quomodo, vt aduerſus inuicem ita efferaremini, venire in mentem potuit? Vnde tantam mutationem oſtendiſtis, vt à blando mitíque ingenio, in durum atque immite tranſiretis? Admiror, ac ſtupeo, fateor, eiuſce peruerſionis cauſam, omnia intuens huius rei gratia commota. Cur obſecro tantæ elationis faſtu turgidi, nutricem veſtram eccleſiam Dei, quæ vos à pueris aluit, veluti fœcundam vuluam conſcindentes, iniuriis violaſtis, vt impleretur in vobis Propheticum illud: Pro eo quia perſecuti ſunt in gladio fratrem ſuum, Amos 1. & vuluam corruperunt in terra. Hinc pro- 11. fectò congreſſus vuluæ diuinus, ac ſalutaris ſermo, vos & illum ſeminauit, atque plantauit

(Prou. 18. 19. in margin beside "Frater qui à fratre adiuuatur")

uit in bonis innumeris, & vtilibus rebus. Nam vt vobis mutuò opem ferretis conditi, tacere, aut quieſcere in his quæ vtilia iudicaretis, nunquam debuiſtis. Ad vſum igitur, & auxilij commodum creati, quid eam fraudaſtis gratiam, non modò labore non leuantes fratres, verùm & repellentes, atque à propria cognatione ſcindentes, cùm Propheta clamet ad vos?
Malac.1 Nónne pater vnus omnium noſtrum? Nónne Deus vnus condidit nos? Sed dicturi eſtis: Peccauit in legem: quam legem, niſi quam ipſi calcaſtis, per ſummam nequitiam diſſipantes? Vbi itaque naturæ lex eſt, benignè corrigere admonens? Quid, oro, lege hoſtium abutentes, perſequimini veſtra conſilia, & agitis, quæ contraria ſunt, & inimicitiis digna? Quanto melius fuerit, vt ſimul habitantes, atque in vnum viuentes, communia, & bona conſilia communicaretis inuicem, in gloriam, & gratiam patris veſtri? Filiorum enim virtus, gratiarúmque concordia parentibus gratiſſima eſt, nihílque fermè aliud à natis requirit ſuis. Et iſtud profectò rite noſtis, quàm ſit neceſſarium amicitiæ, ac beneuolentiæ vinculum, ſtudioſè cuncta gerere, quæ placeant patri, & generationis, atque educationis, & conſeruationis authori, quem, vt delirum, contemnentes, bella in Eccleſia ſuſcitaſtis, iuxta propheticum illud: Inſaniam in domo Domini finxerũt, ac pro excitatione & exhortatione mutua, contra voluntatem, & ſententiam patris, bella in alterutrum crudelia geritis. Addo, quòd & Deum, & omnes, qui illi virtutis merito proximi ſunt, ipſius quidem filios, veſtros autem fratres, vehementer ſtupefacit & mouet, neque tacere permittit veſtra iſta veſania. Neque enim ille filiorum ſalutis negligens eſſe, vel non ſollicitus poteſt. Veſtram ergo dementiam grauiter ferens, & eorum iniuriam, qui opprimuntur à vobis, impunè vos tranſire iniquum putat. Neque enim id vel ipſi decorũ eſt, vel vobis tutum. Veſtra præterea paſſio tolerabilis non eſt, & cura non modica indiget. Cernit nempe vos per verbera ipſa, & plagas innumeras deteriores euadere. Amiſiſtis enim ſenſum omnem, flectíque neſciſtis. Fratres denique chariſſimos, & contubernales, & confœderatos, & menſæ eiuſdem, lectíque participes, vnius, eiuſdémque cognationis conſortes, à Deo in odium inimiciſſimum conuerſi, execrati eſtis, vt eos à finibus ſuis, & à domo communi pelleretis, & procul ageretis extorres à ſedibus atque vrbibus propriis. Neque contenti qualicunque fuga illud ad tempus exegiſſe, pro viribus egiſtis, vt fine nullo id clauderetur exilium, nimia crudelitate atque immanitate agitati. Hoc & in beato Ioanne feciſtis, dum clauſum diutius odium in flammam repente excitantes, linguámque veluti acutum gladium, aduerſus illum exerentes, iræ ſatisfacitis, maledicta vitæ doctrinæ ſalutaris, ad peruerſionem audientium in eccleſia fundentes. Et hæc illis interim ſunt dicta, quibus retribuet Dominus iuxta illorum opera, miſericordia, & benignitate ſeruata. Enimuerò tibi, Ioannes beatiſſime, quænam

A ego ſermonum, veluti immarceſcibilium florum, ſerta contexam? Nempe enim poſt exceſſum vitæ nihil eſt, cur laudare te timeam. Superaſti namque procellam Moſaïcarum legum illarum, quas dedit, benedicens actiuum Ioſeph, & contemplatiuum Leui ſacerdotem. In te denique vtranque video. In benedictione Domini terra tua, & à montibus cœli, & roris, Deut.34
& abyſſus fontium inferius, & iuxta tempus germinum, ſolis conuerſionum, & à conuentibus menſium, à vertice montium principij, & à vertice ſempiternorum collium, erunt in vertice Ioſeph, ſi quis tamen eſt Ioſeph, & in vertice fratrum, quibus præfuit glorificatus inter fratres primogenitus. Tauri pulchritudo eius, & cornua vnicornis cornua ipſius. In ipſis ventilabit gentes ſimul vſque ad extremum ter-
B ræ. Ad Leui autem, & imitatores eius dixit: Date Leui manifeſtos eius, & veritatem eius viro ſancto, quem tentauerunt in tentatione, maledixerunt eum ad aquam contradictionis. Qui dicit patri, & matri, non noui te, & fratres ſuos non cognouit. Cuſtodiuit eloquia tua, & ſeruauit teſtamentum tuum. Manifeſtauit iuſtificationes tuas Iacob, & legem tuam Iſraël. Ponet ſemper incenſum in feſtiuitate tua ſuper altare tuum. Benedic Domine robur eius, & opera manuum illius ſuſcipe. Percute ſupercilium inimicorum inſurgentium illi, & qui oderunt eum, non reſurgant. Ego autem & iſtud addiderim. Qui diligunt eum Domine Ieſu Chriſte, non confundantur. Tuum eſt enim imperium in ſecula ſeculorum, Amen.

C PALLAD. Et hoc tuæ ſapientiæ fuerit, ſenſuum ſpiritualium ſcrutator ſolers Theodore, iuxta Saluatoris ſententiam, proferre de theſauro mentis tuæ noua, & vetera. Vetera quidem humanæ ſapientiæ diſciplinas: noua autem ſancti Spiritus eloquia. Ex quibus profectò theſauris, vtrique parti quòd erat congruum, reddidiſti, de tua quidem prouidentia criminoſis, quæ opportuna fuerant, locutus, de benedictione verò Moſaica contextam Ioanni offerẽs debitam coronam. Qui ſacerdotio ſumma integritate perfunctus, re vera patrem, aut matrem ignorauit, aut mortale omnino genus feruore iuſtitiæ, ſed ſolos diuini verbi ſtudioſos operarios nouit. Porrò noſtri qui viderunt Epiſcopi, luteum quidem genus reditibus, & mi-
D litiis, ac dignitatibus prouehunt, præuaricatores manifeſti legis, quæ ait: Non dabunt ſacerdotes filios ſuos in principes, & obambulantes regi. Quæ verò ſunt ſpiritus, inſidiis, fraudibus, cuſtodiis, exiliiſque conſumunt, merámque bibunt ignorantiam, dum ex his putant ſe virtutis amicos affligere. De quibus præ-
dixit Saluator: Venient dies, in quibus puta- Ioan.16
bunt, qui occiderint vos, obſequium ſe præſtare Deo. Quod profectò nequaquam de Gentilibus ait. Dixiſſet enim diis: plures enim quàm vnum, illi colunt. Ex eo autem, quòd vnum & ſolum appellauit, ſignauit eos qui modò nos Eccleſiæ prætextu inſectantur. Peruerſos namque mores ſuos, inuidiáſque occultantes, eccleſiam ſe tueri ſermonibus fingunt, quam demoliuntur operibus. Verùm illi quantumli-

Pſal. 10.

bet ſimulent, verùm illos exitus arguet, illi obſceutos eſſe, qui gloriatus eſt, dicens: Non mouebor à generatione in generationem ſine malo. Inuentor namque iniquitatis, & peſſimæ concupiſcentiæ agricola ſerpens, cùm iam nouæ hæreſeos non inueniret ſpeciem, Eccleſiæ preſules ambitionis, & primatus vitio, contra ſe inuicem, & in mutuam concitauit cædem. Cuius etiam rei gratia ſchiſma fecerunt. Nam ſi eſſet inter Epiſcopos concordia ſpiritus, & Ioannes vt criminis auctor, aut indignus ſacerdotio, ſiuo, vt Theophilus ait, ſuperbiæ obnoxius abiici meruiſſet, poterat omnipotens Dei ſapientia iure illum arcere ſacerdotio, aut modum inuenire, per quem ſine turbis, ac gētibus eiiceretur, ſiue illum morte, ſiue reſolutione membrorum, ſiue amiſsione vocis plectens, vt & quoſdam paſſos iam nouimus, & alios paſſuros, qui Deo aduerſantur, non ambigimus. Ex quo autem tā multa indigna Saluatore facinora ſunt ſubſecuta, ipſéque non depoſitus, ſed in exilium actus eſt, conſtat profectò diaboli fuiſſe opus, cuius regnum ſancti viri doctrina deſtruebatur. Scio ego Ioannem, ſex meritò depoſuiſſe Epiſcopos, dignitatis ſacerdotalis emptores, de quibus ſuperius dixi. Quis, oro, lacrymatus eſt? cuius è naribus ſtillauit ſanguis? quæve aranearum tela conſciſſa eſt? Quis ſua pulſus eſt domo? Quis vel oboli damnum ſuſtinuit? Quis per totam Aſiam, aut opifex, aut agricola, aut plebeius, aut coriarus, aut cuiuſcunque conditionis homo, quod pro vlciſcendis ſacris legibus fuerat factum, non libenter amplexus eſt? illud Dauidicum concinens: Quàm magnificata ſunt opera tua Domine: omnia in ſapientia feciſti. (Pſal. 91.) Vbi enim Deus operatur, omnia fiunt in ſapiētia: vbi verò bonorum hoſtis diabolus, omnia itidem in inſipientia. Porrò inſipientiam è veſtigio mōſtruoſæ res ſubſequuntur, inuidiæ ſcilicet, homicidia, contentiones, æmulationes, furores, rixæ, diſſenſiones, fragores, imperitorum turba, magiſtratuum feruor, eculei, laniatus, laminæ, lampades, ſanguinum riui, intolerabilia detrimenta, publicationes bonorum, ſolutiones diuinarum ſanctionum, contemptus legum, pudoris ac frugalitatis aſpernationes, orbis ſchiſma, terræ mariſque obſeruationes nauticæ, equeſtres, pedeſtreſque machinæ, & ingenia varia ad eos impediendos, qui peregrinantur veritatis cauſa. Quomodo igitur dicere præſumunt, diſpenſatione Dei Ioannem eiectum fuiſſe? Dicant, quæſo, qui ſunt huiuſmodi. Non poterat omnipotens Dei ſapientia, inuiſibili virtute, vt dixi, Ioannem, ſi erat indignus, amouere, aut perſuadere ſine graui neceſſitate principum leniter ferre eos qui rem indignam tulerunt? Si enim idem Deus eſt, qui Moyſi cooperatus eſt in ſalutem Iſraëlitici populi, Pharaone palàm vociferante: Deum neſcio, & Iſraël non dimittam, quomodo hic auxilio indiguit principum terrenorum, quaſi ſenuerit, aut debilitatus vires amiſerit? Qui item aliorum adulteria, aliorum ſtupra, magíſque aliorum cædes publicauit, is Ioannem arguere nequit? aut è contra qui huius linguam in tumorem vertit immodicum, vt ſcriptura confeſſione vte-

A retur, aliúmque in morbum lethalem permiſit incidere, alium ſcaturire vermibus, mutúmque iacere in lectulo annum fermè integrum fecit, alteríque terrores immiſit, illum exagitantes, cum podagra vernacula. Qui item, cuius voluit, crura acri morbo intendit, alium fœda morte citius rapuit, quem norunt omnes, hic in Ioanne, vt dicitis, ſacrilego aliquid eiuſmodi patrare non potuit, ſed huius atque illius indigebat auxilio, vt Ioannem cum ignominia pelleret, ex quo ille plus gloriæ reportauit? Erant igitur per mandata diuina. Sacrilegus enim propriè ille eſt, non qui aurum, aut argentum, aut ſericum, tinearum cibum, pauperibus elargitur; ſed qui pecunia & aſſentatione, ac menſæ apparatu dogmata pietatis, & Saluatoris venundat leges. (Sacrilegus.) B Ille item ſacrilegus, qui ſanctum virum verbo & vita decoratum, per quem Saluator, veluti per pateram, aut aureum ſcyphum amatoribus verbi propinat pocula æternæ ſalutis, violare pergit. Illi itaque ſacrilegi dicantur, qui Apoſtolicam Eccleſiam impiè prædati ſunt, huiuſmodi deſtituentes magiſtris, ordinationéſque pecunia vendentes, quos iam diuina percellet vltio, ad ipſorum nequitiam corrigendam. Si enim hi qui Moſaïcam legem negligendo præuaricati erant, (Ioan. 2.) flagello ex funiculis facto, Saluatoris manu pelluntur à templo, quia columbas intus venderent; (Pſal. 2.) quid illi paſſuri ſunt, qui noui teſtamenti ſacerdotium violant, niſi vt à paſtorum C principe virga ferrea conterantur? Sicut Apoſtolus dicit: Violans aliquis legem Moyſis, (Heb. 10.) abſque miſerationibus ſub duobus aut tribus teſtibus moritur, quantò putatis acerbiore dignus cenſebitur pœna, qui Dei filium conculcauit, & ſanguinem teſtamenti communem exiſtimat, in quo ſanctificatus eſt, & ſpiritum gratiæ afficit iniuriis? Scimus enim quis ait? Mihi vindictam, & ego (Rom 12.) retribuam, dicit Dominus. (Heb. 10.) Terribile eſt incidere in manus Dei viuentis. Deus autem qui pium hunc, ſanctúmque paſtorem, & iuſtitiæ luminare præcipuum glorificare dignatus eſt, ipſe nobis partem, & hæreditatem tribuat inuenire cum illo in terribilis iuſtíque iudicij die: cui eſt gloria, honor, maieſtas, & magnificentia, Patri, & Filio, & Spiritui D ſancto, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Diui Ioannis Chryſoſtomi ſermo in Ioſeph de continētia.

INCERTO INTERPRETE.

MIHI quidem ſemper vtiliſſimus videtur, & Chriſti ſeruis dignus ſermo de continentia, maximè autem tempore hoc, quando Chriſtum induti pueri eccleſiæ præ aliis bonis cōtinentiam poſſidere maximè debent. Nemo iniuſtè vel intempeſtiuè, de fortitudine & certamine factum dixerit ſermonem, cùm athletæ iuxta Olympicas

leges exercentur. Itaque & nos nunc, athletas Chriſti, quos vidimus accepiſſe virtutem à ſpiritu propter diuina ſacramenta, ad agonem ſpiritualem miſſuri, merito de continentia diſſerimus. In mundanis enim certaminibus poſt victoriam coronæ, in Chriſti autem ſtadijs ante victoriam coronæ. Quare autem coronatos in agonem mittit nos Chriſtus? vt metum incutiat aduerſariis, ſenſuſque noſtros erigat, vt ad honorem à Deo nobis datum ſpectantes, nihil indignum Domino vel loquamur, vel faciamus. Nam ſi rex aliquis purpura amictus, coronáque caput ornatus, & victus naturæ affectionibus, indignum quiddam regia maieſtate fecerit, mox vt in regiam ſtolam aſpexerit, emendat ſe, operámque dat, ne poſthac à fœdis vincatur cupiditatibus. Et tu quoque indutus Chriſtum, vitata turpis animæ concupiſcentia, ad diuinam ſtatim ſtolam reſpice, meliórque ſtatim eris, neque maligni artibus offenderis. Igitur pulchrum quidem continentiam commendare laudibus, pulchrius autem poſſidere. Et ſanè non parum ad continentiam incitantur, qui multum de ea loquuntur & audiunt. Atque eam ob rem virtutes ſanctorum celebrare ſacris ſcripturis voluit Deus, vt omnes homines in illorum trahantur imitationem, veſtigiáque illorum diligenter ſequendo, perſuaſi continentiam parent. Etenim ſi in gymnicis certaminibus plerique viſis athletis coronatis, accenſi, etiam ipſi ſe exuerunt, & multos ſudores laboréſque pertulerunt, vt ramis vel oleæ, vel lauri coronarentur: quanta ergo nos conuenit alacritate pro continentia ſudores ferre, quando alios à Deo coronatos videmus, vt cœleſtibus redimamur coronis, propter bona ſalutariáque facinora? Quomodo non graue, & multa ira dignum, ſi athletas allectet folium lauri vel oliuæ, & gloria tranſitoriæ huius vitæ: nos autem nihil moueant Chriſti munera, vt omnem voluptatem amoueamus, & timorem Dei præferamus concupiſcentiis? Porrò non in ſolis hominibus videmus ſimilium imitationem, ſed & in brutis. Nam & columbæ ſæpe viſa vna auolante, ſtatim ſequuntur omnes, & pullus generoſus in equorum armento exiliens ſecum rapit omne armentum. Et inter vos, vt in armento Chriſti, bonus eſt pullus Ioſeph continentiſſimus, cœleſtibus exultationibus ad ſui imitationem nos cõſeruos vocans. Saltemus igitur cum bono adoleſcente ſpiritualem choream, laudantes ipſius continentiam, non verbis ſolum, ſed & operum imitatione. Ille igitur ille erat diligens & perpetuus continentiæ cuſtos, cùm poſſet reginæ ipſi imperare, & in deliciis atque luxu diuitem & voluptarium agere. Veruntamen quamuis talium & tantorum dominus futurus, cùm cogitaſſet quòd diuitiæ quidem, & potentia ac gloria cum præſenti vita tranſeant, & temporalium lucrum duntaxat habeant, ſolius autem virtutis nullus ſit finis, ideo voluptatibus timorem Chriſti, vt frænum quoddam iniecit. Diuitias autem & delicias, ac promiſſiones dominæ deriſit, miſeriam in carcere dulciorem cenſens præclaris domiciliis, tametſi his qui excellenter formoſi ſunt, difficile eſt imperare voluptati. Hic autem tantum ſpecimen exhibuit continentiæ, vt pulchritudine animę pulchritudinem corporis occultaret, ſtellæ cuidam pulchræ formoſitate corporis, angelis autem venuſtate animæ conferendus. Nos autem decet admirari, non ſolùm adoleſcentis continentiam, ſed & pericula, quæ pro illa ſuſtinuit, qui morte grauius ac terribilius iudicauit ſeruire voluptatibus. Admirabitur autem, qui virtutem ipſius diligenter cognouerit, & tempora expẽderit in quibus animam puram ſeruauit. Nam priuſquam in terra & Dominus & opifex vniuerſi apparuit, libertatem cuſtodiuit mentis. In domo impiorum educabatur, multos habebat ad deteriora adhortantes, carebat continẽtiæ magiſtro. Omnes voluptati ſeruiebant, ventri indulgebant, nihil pium, nihil ſanctum faciebant: attamen in tantorum taliúmque impiorum corona, videns dominam intemperantem iacêre, cœleſtium theſaurorum proditor non eſt factus, ſed ſpiritus templum indeprędabile cuſtodiuit, malens mori, quàm ſeruire voluptatibus. Non audierat Paulum dicentem, corpora noſtra membra Chriſti eſſe: & priuſquam audiret vocem diuinam, non minor apparuit his qui cœleſtibus promiſſionibus honorati ſunt, docens nos in eccleſiis quàm oporteat nos certare, & incorruptam ſeruare animam. Nam ſi ego, dicere poteſt Ioſeph, qui ante natum Chriſtum fui, nec audiui excelſum Apoſtolum Paulum clamantem, corpora noſtra membra eſſe Chriſti, putaui Dei ſeruos decere, vt imperent voluptati: nec inuentus ſum continentiæ decoctor, quamuis multa pericula parata viderẽ: quantum vos cõuenit cum timore & tremore viuere in continentia, vt ne appareatis indigni honore, & ne membra Chriſti fiant membra ſcorti? Hoc verbum poteſt omnem animam continentia munire, hoc verbum ardentes concupiſcentias facilè reſtinguit. Neque imber in ignem cadens, ita facilè flammam deprimit, vt malas concupiſcentias marceſcere facit ſermo ille in animã admiſſus. Eoſdem ſermones nobis loqui & magnus Iob poteſt, qui non ſolùm diligens continentiæ fuit exercitator, ſed & legem oculis ſuis poſuit, ne in virginis viderent faciem, ne fortè mentem illius irradians raperet pulchritudo: quamuis quis non admiraretur & obſtupeſceret, videns virum hunc cum diabolo quidem viriliter certare, & omnes maligni machinas vincere, virginis autem faciem fugere, & à formoſæ puellæ aſpectu oculos ſubducere? Diabolum quidem videns accedentem non fugit, ſed manſit ſicut leo viribus fidens: virgine autem viſa non ſtetit, neque moratus eſt in contuenda pulchritudine, ſed ſtatim ſeceſſit. Cẽſebat nimirum in pręlio contra dęmones virili & audaci animo opus eſſe: in cõtinentię autẽ pręparatione victoriam concedi, non ex virginum conſuetudine, ſed ſeceſſu. Quiſquis igitur promittit virginitatem, accipiat conſilia continentiſſimi omnium hominum, qui & ipſe ante Chriſtum incarnatum tam diligens continentiæ fuit cuſtos. Neque enim negligenter audiendum, quòd ante Chriſtum incarnatum apparuerint iuſti tantum

1. Cor. 6.

Iob 31.

continentię ſpecimen exhibentes. Non enim erat quod tanta vi ad virtutem illam vrgeret, neque virginibus crimen erat, neglecta continentiæ poſſeſſio. Quomodo autem hoc? quia huius cauſæ gratia Deus excelſus vniuerſorum opifex noſtram accepit formam, vt angelorum ſanctimoniam ex cœlo deduceret. Quando igitur homines poſt tantum honorem voluptatibus ſe mancipant, dici nequit temeritatis magnitudo, qua membra Chriſti membra meretricis facientes, Domini miſericordiam afficiunt, & quantum in eis eſt vanam reddunt. Audiunt dæmones, & timent, quia Deus non conniuet vt coniungantur ſibi, nos autem ſibi adiungat. Et audent fidelium quidam abſcindere ſe à Chriſto, & iungere meretricibus? Non tantum eſt malum è cœlo in lutum cadere, quantum malum fuerit membrum Chriſti factum à diuino honore excidere, & membrum fieri ſcorti. Quando igitur concupiſcentia mala inflammat animam, ſtatim recordare Chriſti, cogita aſtare tibi Paulum adhortantem, ac dicentem: (1.Cor.6.) Neſcitis quòd corpora veſtra membra ſunt Chriſti? Gerens membra Chriſti, faciéſne membra ſcorti? Si illorum verborum fueris recordatus, ſtatim fugientem videbis voluptatem. Nam ſi ancillas domina caſta & pudica turpitudini deditas ſtatim ſolo aſpectu pudicas facit, quid mirum ſi titillantem voluptatem Chriſti memoria ſtatim ſopit? Semper crucem habe ante oculos tuos radiantem, & purus à peccatis per id temporis abibis. (Exod.13. & Num. 14.) Nam ſicut columna nubis figura noſtræ crucis, Hebræorum multitudinem protegebat, ne quid mali ab Ægyptiis pateretur: ita crux ante oculos viſa, omnem ſtatim abigit malam voluptatem. Hæc enim ſalus eſt animæ, fœdarúmque concupiſcentiarũ ſalubre antidotũ. Etenim infirmitates corporis medicorum artes ſanant, animam autem ægrotam curant ſtatim eloquia Chriſti. Eapropter & eos qui peccarunt, & adhuc carnis ſeruiunt voluptatibus, oramus & precamur, vt excitentur ac reſipiſcant, ne omnino ab affectionibus vincantur, néve impetu ferantur, néve in amaram ſeruitutem ſpontè ſe ſubiiciant, ſed ſe in acie opponant, & timore Chriſti mentem corroborent, ac eiiciant ex arce grauem dominam: vt abiecta omni macula, & peccantium turba, cum ſancta & incorrupta anima poſſimus accedere ad diuina & reuerenda ſacramẽta magni Dei & ſaluatoris Ieſu Chriſti: cui gloria & imperium, in ſecula ſeculorum. Amen.

De regreſſu ſancti Ioannis de Aſia Conſtantinopolim.

HOMILIA.

MOſes magnus ille Dei famulus, caput prophetarũ, maris viator, aëris agitator, menſæ apparator, qui à genitrice proiectus eſt, & ab impugnatrice ſaluatus: genuit quidem eum mater, abſtulit autem eum Ægyptia, & enutriuit: & qui in Ægypto nutriebatur, in cœlis conuerſabatur: qui tantum ac tale ſtatuit trophæum, iſte talis ac tantus vir, qui quadraginta dies reliquerat populum, inuenit eum idola fabricantem, & ſeditiones commouentem. Ego autẽ non quadraginta dies tantùm, ſed & quinquaginta, & centum, & amplius, & inueni vos lætantes, & philoſophantes, & in Dei timore perſeuerantes. Nunquid ego Moſe * altior ſum? (*v. maior ſum?) Abſit; hoc enim dicere extremæ demẽtiæ eſt. Sed quia populus iſte illo populo ſublimior, propterea & ille de monte deſcendens increpabat Aaron ob ſeditionem populi, & iraſcens inuehebatur in eum, cur acquieuerit voluntati eorum. Ego autem adueniens præconia veſtra, & coronas contexam. Vbi enim præuaricatio, ibi reatus ſubſequatur neceſſe eſt, & obiurgatio: vbi autẽ correctio, ibi laudes, & præconia, & coronæ: ideóque etſi ampliori tempore demoratus ſum foris, non me pœnitet, quia confidebam de veſtræ charitatis affectu, & integritate fidei: ſciebam enim vxorem mihi deſponſatam caſtitate eſſe munitam, ſicut in ſeculari coniugio aſſolet euenire. Etenim vir quando impudicam vxorem habere ſe nouit, nec proſpicere ei de domo permittit: qui etſi peregrinari aliquando coactus fuerit, cogitur citò reuerti, quaſi quodam ſuſpicionis aculeo ſtimulatus: qui autem ſobriam & caſtam habet, foris ſecurus moratur, ſufficientes pro curatorum munimine mores relinquens vxoris: hoc ego & Moſes paſſi ſumus, ille quidem, quia inemendabilem ſynagogam habebat vxorem, reliquit eam, & fornicata eſt, & compellit eum Deus, dicens: (Exod.32.) Exurge, deſcẽde: impiè enim fecit populus tuus. Sed ego nullam huiuſmodi iuſſionem accepi. Et cum paululum mihi infirmitas corporis accidiſſet, non me inquietauit veſtra abſentia, ſed ſecurus de vobis ægrotationis meæ expectaui medelam. Non enim opus habent ſani medico, ſed qui malè habent. (Mat.9. 12.) Nam etſi tardaui parumper à vobis, non hoc ad detrimentum veſtri, ſed ad diuitias puto proficere veſtras. quæ enim per me, imò magis per gratiam Dei correcta ſunt, veſtra corona eſt, veſter profectus eſt. Et ideo gaudeo & tripudio, & tanquam volitare me credo, & gaudij huius magnitudinem effari non queo. Quid ergo faciam? quomodo indicabo exultationem mentis meæ? In teſtimonium voco conſcientiã veſtram, quoniam video ex aduentu meo gaudio eſſe repletam: quod gaudium corona & laus mea eſt. Si enim mea vnius viri præſentia, tantam plebem tali repleuit * voluptate: (*v. ſolennitate.) quantum putatis mihi ex viſione veſtra gaudium cumulatum? Et Iacob quidem vnum filium videns Ioſeph, gaudebat ſenex, & recreabatur ſpiritu: ego autem non vnum Ioſeph, ſed omnes vos illi ſimiles video & gaudeo, quia paradiſum meũ recepi, illo paradiſo meliorem: & ibi quidem ſerpens erat inſidians, hic autem Chriſtus myſteria celebrans: ibi Heua erat ſeducens, hic autem eſt coronans eccleſia: ibi Adam ſeducebatur, hic autem populus adhæret Deo: ibi arbores diuerſæ, hic autem donationes variæ: in paradiſo arbores marceſcentes, in eccleſia arbores fructificantes: in illo paradiſo vnumquodque

genus ſementis in ſuo perſeuerat ſtatu, in iſto A verò paradiſo, ſi inuenero labruſcam, vitẽ vberem efficiam: ſi inuenero oleaſtrum, veram oliuam efficiam: talis etenim eſt terræ iſtius naturá: propter hæc gaudeo, prætermitto ſatisfactionem: quomodo verò nos abduxit tanti temporis longitudo? ſuſcipite ſatisfactionem meam chariſſimi. Si ſeruum alicubi dirigatis nõ reuertentem, exigitis cauſas vbi moratus ſit, vbi tantum expenderit temporis: & ego ſeruus ſum veſtræ charitatis: emiſtis enim me non pecuniã * conficientes, ſed charitatem oſtendentes. Gaudeo quippe tali ſeruitio mancipatus, nec vnquã hoc famulatu opto me ſolui: etenim iſtud ſeruitium mihi libertate elegantius: iſtud ſeruitium in illud tribunal beatum collocauit mihi ſedem: iſtud ſeruitium non eſt neceſſitatis, ſed voluntatis. Quis enim non libentiſſimè ſeruiat dilectioni B veſtræ tam elegantiſſimis amatoribus? quod etſi lapideam haberem animam, cera feciſſetis molliorem: quid * dicam deſiderio veſtro, & fauori, quem heſterna oſtendiſtis die, quomodo voces veſtræ cum gaudio cœlum penetrarunt? ipſum ſanctificantes aërem, ciuitatem feciſtis eccleſiam: honorabar ego, & Deus glorificabatur: hæretici confundebantur, eccleſia verò coronabatur: quia magna lætitia eſt matri, cùm exultant filij. Et grande gaudium paſtori, cùm exultant agni gregis. Veni ad gaudia virtutum veſtrarum, audiui quia cum hæreticis colluctati eſtis, & quia iniquè egerunt in baptiſmo, redarguiſtis: nunquid incaſſum dicebam, quoniam caſta vxor abſente viro repellit adulteros, abſente paſtore abigit lupos, ſine gubernatore nautæ ſal C uauerũt nauem, ſine duce milites victoriam reportauerunt, ſine doctore diſcipuli profecerũt, ſine patre filij roborati ſunt? imò magis non ſine patre: veſter enim profectus, meum gaudium, veſtra glorificatio, mea corona eſt. Sed deſiderabamus, inquitis, tecum facere Paſcha. Satiſfacio dilectioni veſtræ, quippe cùm iam * iracundiam veſtro diſſolueritis aſpectu. nam ſi pater prodigum ſuſcipiens filium ſtatim reconciliauit, neque pœnas exegit ab eo, ſed illico amplexus eſt: multò magis filij patrem ſuſcipiẽtes. Sed tamen & ad hoc reſpondeo: Paſcha mecum facere in votis habebatis, nemo prohibet hodie vos mecum facere Paſcha. ſed forſitan dicetis, Nunquid duo Paſcha facturi ſumus? Non, ſed vnum, & ipſum multipliciter. Sicut enim ſemper D ſol exoritur, & non dicimus multos ſoles, ſed eſt ſol quotidie oriens: ſic & Paſcha ſemper conſummatur, & cùm ſemper celebretur, * vnũ eſt ſolennitatis noſtræ. Iudæorum ſimiles non ſumus, non ſeruimus loco, nec ſubditi ſumus neceſſitati temporis, dominica voce firmati. Quotieſcunque, inquit, manducaueritis panem iſtum, & hũc biberitis calicem, mortem Domini annuntiabitis. Annuntiamus nanque hodie mortem Chriſti. Sed tunc quidem feſtiuitas, & hodie feſtiuitas. Vbi enim charitas gaudet, ibi eſt feſtiuitas: & vbi recepi lætantes filios, maximam celebro feſtiuitatem. Etenim & illa feſtiuitas * charitas eſt. Sic enim, inquit apoſtolus: Deus dilexit mundum, vt filium ſuum vnigenitum daret pro eo. Sed multi, inquiunt, te abſente baptizati ſunt. Et quid tum? nihil minus habet gratia, non claudicat donũ Dei. præſente me baptizati nõ ſunt, ſed præſente Chriſto ſunt baptizati. Nunquid homo eſt qui baptizat? Homo dexteram porrigit, ſed Deus manum gubernat. Noli de gratia dubitare, chariſſime, quia donum Dei eſt. Attende diligenter quæ dicuntur, * ſi fortè aliqua cauſa ſacra explicanda eſt, cùm obtuleris preces, & ſubſcriptam acceperis ſacram, non requiris quali calamo ſubſcripſerit rex, neque in quali charta, neque quali, quóve atramento, ſed vnum ſolummodo quæris, ſi rex ſubſcripſerit: ſic & in baptiſmo, charta, conſcientia eſt: calamus, lingua ſacerdotis: manus, gratia eſt Spiritus ſancti. Siue ergo per me, ſiue per illũ qui officio fungitur ſacerdotis, ipſa manus ſcribit, nos miniſtri ſumus, non authores. Et Paulus miniſter eſt: Sic enim, inquit, æſtimet nos homo, tanquam miniſtros Chriſti, & diſpenſatores myſteriorum Dei. quid enim habes, quod non accepiſti? Si quid habeo, accepi: ſi autem accepi, non meum, ſed eius qui dedit donum eſt. Noli ergo dubitare, chariſſime, gratia enim Dei perfecta eſt, locus non prohibet, ſiue hîc baptizeris, ſiue in naui, ſiue in itinere. Philippus baptizauit in via, Paulus in vinculis, Chriſtus in cruce latronem ex vulnere, & ſtatim paradiſi meruit ianuam reſerare. Propter hæc gaudeo & exulto, & orationes veſtras exigo, cũ quibus ad Aſiam perrexi, cum quibus reuerſus ſum, cum quibus pelagum transfretaui, & adiutus veſtris orationibus feliciter nauigaui: nec enim nauim citra vos ingreſſus ſum, nec exiui citra vos, non in ciuitate citra vos, aut in eccleſia ſine vobis, ſed auulſus quidem eram corpore, connexus autem charitate. Videbam nãque eccleſiam veſtram & in pelago, & in exultatione gaudebam. Tale enim quid ſignificat charitas, quæ neſcit anguſtari: intrabam in Eccleſiam, aſtabam altari, orationes offerebam, & dicebã: Domine, conſerua eccleſiam, quam mihi tradidiſti. Ego quidem corpore abſens ſum, ſed tua miſericordia præſens eſt, quæ illuc perduxit, & plusquam merebar conceſſit. Et quia amplificauit, multitudo teſtatur præſentium. Florere video vineam, & nuſquam ſpinæ, neque ſentiũ vlla veſtigia, exultant oues, & nuſquam lupus. Quòd ſi etiam alicubi repertus fuerit, demutatur, & fit ouis. Tanta enim veſtra eſt fides & charitas, vt æmulatione veſtra cæteros prouocetis. Ipſe dominus vos conſeruauit, & ipſe me reduxit, & in infirmitate poſitus, orationum veſtrarum ſenſi auxilium, quas mihi quotidie in ſuffragium poſtulo. Peregrinatio mea coronauit ciuitatem veſtram. Et quia diligebatis ex initio, nunc omnibus manifeſtum eſt. Sic enim me abſentem, tanquam præſentem habuiſtis. Nam in Aſia cùm eſſem ad corrigendas eccleſias, hinc illò venientes nuntiabant nobis, dicentes: Inflammaſti ciuitatem. Et certè charitas tempore ſolet marceſcere, veſtra autem dilectio quotidie augmentabatur. Et quem ita abſentem diligebatis, præſentem credo quòd melius ametis. Iſte meus theſaurus, hæ ſunt meæ diuitiæ. Et ideo veſtras orationes requiro. Orationes veſtræ, murus mihi & munimen ſunt. Noli dicere: Ego

Marginalia: v. conferentes. — v. de deſiderio v. & fauore. — v. diſſolueritis noſtro aſpectu. — v. vnũ eſt. Solennitates noſtræ Iudæorum ſimiles non ſunt, non ſer. — v. caritatis eſt. — Ioa. 3. 16. — 1. Cor. 11. — Vide notas. — 1. Cor. 4.

languidus ſum, quomodo potero pro ſacerdote A orare? Audi ſcripturam dicentem: Oratio autẽ fiebat continua. Et eccleſiaſtica oratio ſoluit vincula Petri, & Pauli dilatauit prædicationis fiduciam. Oratio caminum ignis extinxit, oratio concluſit ora leonum, oratio ſeditionem cõpeſcuit, oratio paradiſum aperuit, oratio cœli cardines reſerauit, oratio ſterilem fœcundauit, oratio Cornelij cœlos penetrauit, oratio Publicanum iuſtificauit. Tale à vobis munimen requiro, talem gratiam poſtulo: & Deus gloriæ ſuſcipiens orationes veſtras, det mihi in apertione oris mei ſermonem, quò poſſim creditum mihi populum inſtruere ad ſalutem, per Chriſtum dominum noſtrum, cum quo eſt Deo patri cum Spiritu ſancto honor, gloria, & poteſtas in ſecula ſeculorum. Amen.

Act. 12.

Si forte aliqua) In manuſcripto libro Bibliothecæ S. Victoris, ex quo aliquot varias lectiones collegimus, hic locus ſic effertur, *ſi forte pro aliqua cauſſa ſacra explicanda eſt.* Rectè, non enim hîc cauſſam ſacram explicandam eſſe vult Chryſoſt. ſed ad defenſionem cauſſæ diploma imperatorium exhibendum. Sic enim, quas literas regias vocamus, ſacram illi dicebant, vt eſt in Codice Iuſtiniani ſacra probatoria, ſacra reuocatoria, & in Concil Epheſino ſacra Imperatoris Theodoſij. pag. 459. edit. Rom. *ἴσον σάκρας ἀποσταλείσης διὰ Ιωάννου τοῦ Κόμητος. Exemplum ſacræ per Ioannem Comitem miſſæ*, & in Chalcedonenſi. p. 466 ſacra Marciani Imperatoris contra hæreticos, quæ alibi dicitur *ἀντίτυπον τῶν θείων γραμμάτων.* p. 462. *exemplum ſacrarum literarum.*

B C

Beati Ioannis Chryſoſtomi Homilia, quum Saturninus & Aurelianus acti eſſent in exilium, & Gainas egreſſus eſſet è ciuitate, & de auaritia.

INCERTO INTERPRETE.

MVLTO tempore filui, & poſt longum temporis ſpatium ad charitatem veſtrã reuerſus ſum. Quanquam id non accidit vlla vel animi ſocordia, vel corporis deſidia, ſed abſui tumultus componens, fluctus ſedans, tempeſtatem corrigens: eóſque qui iam demergi cœperant, ad portum & in tranquillum porrecta manu reducere ſtudens. Sum enim communis omnium pater, eóque neceſſe eſt curam agere non tantùm eorum qui ſtant, ſed eorum quoque qui collapſi ſunt: non illorum tantùm, qui ſecundis nauigant ventis, ſed & illorum qui tempeſtate iactantur: non eorùm modò qui in tuto ſunt, verumetiam illorum qui periclitantur. Harum ſanè rerum gratia reliqui vos ad temporis ſpatium, obambulans, exhortans, obteſtans, ſupplicans, vt à domino ea calamitas diſſolueretur. Poſteaquam autem inamœnis illis ac triſtibus finis eſt impoſitus, denuo me ad vos recepi, ad vos qui in tuto eſtis, qui multa cum tranquillitate nauigatis. Ad illos profectus eram, vt tempeſtatem ſedarem: ad vos reuerſus ſum, ne qua tempeſtas exoriatur. Ad illos diſceſſeram, vt eos à moleſtiis liberarem: ad vos redij, ne in ſimiles moleſtias incidatis. Quemadmodum enim oportet habere curam, non eorum modò qui ſtant erecti, ſed eorum quoque qui lapſi ſunt: ita rurſus non lapſi tantùm nobis debẽt eſſe curæ, ſed & ſtantes: illi quidem vt erigantur, hi verò ne cadant: illi vt ab vrgentibus malis liberẽtur, hi ne incurrant in moleſtias imminentes. Nihil enim eſt in rebus humanis ſtabile, nihil inconcuſſum, ſed hominum vita imitatur mare veſaniens, quotidie parturiens naufragia, naufragia, inquam, tum noua, tum periculoſa. Omnia tumultuum ac turbarum plena ſunt, omnia ſcopuli & præcipitia, omnia rupes ſub aquis latentes, & ſinuoſæ cautes. Omnia terrores, diſcrimina, ſuſpiciones, tremores & angores. Nemo cuiquam fidit, à ſuo quiſque proximo metuit. tempus fortaſſis illud in propinquo eſt, quod Propheta depinxit his verbis: Ne fiduciã habeatis in amicis, & in principibus nolite ſpẽ ponere, à ſuo quiſque proximo cauete, à coniuge tua caue, ne quid illi credas. Quid ita tandẽ? Quia tempus malum eſt, quia omnis frater inſidiatur calcaneo vt ſupplantet, & omnis amicus doloſè incedit. Non eſt amicus tutus, non frater firmus. Sublatum eſt charitatis bonum, ciuile bellum habet omnes, ac ne id quidem apertum, ſed obumbratum. Innumerabiles vbique perſonæ, ſimulatæque facies. Multa ouium vellera, innumeri vbique lupi ſub his occultati: vt iam inter hoſtes aliquis tutius vixerit, quàm inter hos qui videntur amici. Qui heri adulabãtur, qui blandiebantur, qui manus exoſculabãtur, hodie repentè comperti ſunt eſſe lupi, abiectíſque perſonis facti ſunt omnibus accuſatoribus acerbiores. Pro quibus heſterno die gratias agebant, pro his nunc incuſant & calumniantur. Quæ eſt igitur horum omnium cauſa? Pecuniarum amor, veſana diuitiarum cupiditas, morbus inſanabilis, fornax quæ nũquam extinguitur, tyrannis quaquauerſum per totum orbem terrarum diffuſa. Hanc ob cauſam & nos quæ prius dicebamus, nunc denuo dicimus, nec dicere deſinemus, tametſi heri complures incuſabant nos, talia loquentes: Itáne nunquam deſines aduerſus diuites armatam habere linguã? Non deſines cum his aſſiduè belligerari? Num ego cum illis bellum gero? Num aduerſus illos armor? An potius pro illis cuncta tum dico, tum facio? Imò ipſi aduerſus ſeipſos gladios acuũt. An non id declarauit ipſa rerum experientia? Quo, inquies, pacto? Ego quidem increpans & aſſiduè obiurgans, quærebam illorum commodum: ſed illi verius ſunt hoſtes, qui nobis hęc loquentibus culpam impingunt. Vidiſtis euentus rerum cum oratione noſtra congruere. An non ſemper dixi, fugitiuas eſſe diuitias, ab hoc ad illum tranſeuntes? Atque vtinam tranſiſſent ſolùm, non etiam occidiſſent: vtinam diſceſſiſſent tantùm, ac non è medio quoque ſuſtuliſſent. Nunc autem præterquam quòd deſerunt ſuam protectionem, etiam gladio tradunt, & in bárathrum pertrahunt, eò quòd

D

Matt. 7.

ſunt periculoſæ productrices, cúmque his potiſſimum bellum gerunt, à quibus amantur. Ingratæ ſunt, fugitiuæ, homicidæ, crudeles & implacabiles, beſtiæ incicurabiles, præcipitium vndiquaque præruptum, ſcopulis aſſiduis plenæ & fluctibus, mare innumeris ventis agitatum, tyranni acerbè imperantes, dominæ quouis barbaro ſæuiores, inimicæ irreconciliabiles, hoſtes implacabiles, quæque nunquam erga eos à quibus poſſidentur, remittunt ſimultatem. At non huiuſmodi paupertas, ſed his quæ dicta ſunt contraria. Ea ſiquidem eſt tutum aſylum, portus tranquillus, perpetua ſecuritas, deliciæ periculorum expertes, voluptas ſyncera, vita turbationum neſcia, vita fluctuum ignara, copia inexpugnabilis, philoſophię parens, fręnum intemperantiæ, ſupplicij ſublatio, radix modeſtiæ. B Quamobrem igitur rogo, hanc fugientes, illas perſequimini? illas hoſtes, illas homicidas, illas quauis beſtiæ ſæuiores? Talis enim eſt pecuniarum amor, tale veſanum auri ſtudiũ. Cur hoſtem tibi domeſticum & perpetuum conuictorem tibi facis? Quur beſtiam irritas, quam delinire oportuit? Et quo pacto, inquis, fiet mãſueta? Si vel nunc mea verba toleretis, dum delicta feruent, dum calamitas viget, dum omnes in tumultu ſunt ac mœrore. Ergo qui fieri poſſit, vt beſtia non ſit beſtia? Equidem poſſum illam immutare, ſi vos velitis. Nam ea ſermonũ vis eſt. Quo pacto igitur à feritate ſua mutabitur? Si didicerimus quomodo fiat ſæua, more leonum, more pardorum, more vrſorum, qui dum includuntur coërcentúrque in tenebris, erigunt animos, acuúntque iras. C Itidem & diuitiæ dum includuntur & defodiuntur, acrius rugiunt quã leones, perturbántque omnia. Quod ſi eas è tenebris eduxeris, & in egenorum ventres diſſemines, ex feris beſtiis fiunt oues: quæ fuerant inſidioſæ duces, pro ſcopulis fiunt portus, pro naufragio tranquillitas. Quandoquidẽ hoc & in nauigiis videre licet, ſi quando onus eſt iuſto grauius, demergit cymbam. Rurſum cum eſt moderatum, proſpero fertur curſu. Idem vſuuenit in noſtris ædibus. Quum vltra quam vſus poſtulat, congeris pecunias, exigui venti procella, & quiuis rerum inexpectatarum incurſus demergit cymbam. At ſi tantum reponas, quantum poſtulat neceſſitas, etiamſi vehemens turbo ingruat, facile percurris vndas. Noli igitur plus concupiſcere, quàm exigit neceſſitas, ne totum amittas. D Noli quæ ſuperant vſum congregare, ne perdas etiam neceſſaria. Noli præfinitos terminos prætergredi, ne ſimul tribus vniuerſis exuaris: ſed quod ſuperfluum eſt reſeca, vt neceſſariis diteſcas. An non vides quod agricolæ vitem putant, ne vim omnem in pampinis & palmitibus, ſed in radice proferat? Idem & tu facito. Amputa folia, omnéque ſtudium huc intende, vt quamplurimum fructus feras. Quod ſi facere recuſes rebus proſperis, expectes aduerſa. *In tranquillitate tempeſtatem expecta*, in ſanitate morbum expecta, in diuitiis paupertatem ac mendicitatem expecta. Memento, inquit ſcriptura, temporis famis, in tempore abundantiæ: mendicitatis & egeſtatis, in diebus opulentiæ. Ad hunc modum ſi fueris aſſuetus,

Eccli.18. 21.

A tum & diuitias multa cum ſobrietate adminiſtrabis: & egeſtatem, ſi incidat, fortiſſimè perferes. Malum enim inexpectatum perturbat animum ſi incidat. Quod autem expectabatur, ſi accidat, non multum affert perturbationis. Ita duo commoda lucifeceris, alterum ne proſperitas te reddat ebrium & inſolentem: alterum, ne commouearis ac perturberis rebus in diuerſum commutatis: maximè ſi ſemper expectatione contrariorum pendebis, ſuffecerit pro experientia expectatio. Tale eſt quod dico: diues es, expecta quotidie paupertatem. Quare & quãobrem? Quoniam iſta expectatio tibi maximam adferre poterit vtilitatem. Etenim qui in diuitiis expectat paupertatem, non indiget deliciis, non extollitur, non diffluit, non concupiſcit aliena. Nam expectationis metus qui illi adeſt, pædagogi cuiuſdam vice cohibet eius mentem, nec patitur mala auaritiæ germina ſubnaſci, dum ea metu contrariorum veluti falce quadam prohibet creſcere, amputátque. Hoc igitur vnum eſt e maximis bonis, quæ lucrifacies. Alterum autem non eſt iſto minus, videlicet vt ſi acceſſerit paupertas, non expaueſcas. Aſſumatur igitur rerum triſtium expectatio, nequando veniat ipſa triſtium experientia: ob hoc enim venit experientia, quod non adſit expectatio. Quod ſi illa correxiſſet hominem, hac non erat opus admodum. Huius rei teſtis Ionas Niniuitis prædicens interitum. Si quidem illi dum expectant quod propheta prædixerat, eis imminere calamitatem inſanabilem, expectatione malorum venturorum fregerunt iram numinis. Rurſus C Iudæi non credentes prophetæ prędicenti Hieroſolymorum excidium, acerba perpeſſi ſunt. Sapiens enim metuens declinauit malum, inſipiens fiducia ſua inuoluitur. Qui expectat paupertatem, dum verſatur in diuitiis, haud facilè fiet pauper. Nam quod ab expectatione lucrari noluiſti, id ab ipſa experientia pulchrè diſces. Proinde quum in diuitiis es, expecta paupertatem: quum in affluentia, expecta famem: quum in gloria, expecta ignominiam: quum in ſanitate viuis, expecta morbum. Aſſiduè perpende rerum humanarum naturam, quæ nihilo melius habet, quam amnium defluxus, & fumo in aërem euaneſcente fugacior eſt, & vmbra prętercurrente inanior. In his ſi philoſophatus fueris, nec ſuauia te poterunt inflare, nec moleſta deiicient: ſi pręſentibus bonis non admodum inhęreas, neque abſentibus diſcruciaberis. Conſuefacias animum ad diuerſorum expectationem. Sæpe quidem fiet, vt diuerſa non accidant. Sed ſi acciderint, non vehementer te commouebũt. Atque vt intelligatis me hęc non ex coniectura loqui, volo vobis narrare veterem quandam hiſtoriam. Fuit vir quidam admirabilis & magnus & vbique per orbem terrarum celebratus, beatus ille Iob, ille pietatis athleta, ille totius mundi victor & coronifer, qui per omnia certaminum genera tranſiuit, qui innumera trophæa erexit deuicto diabolo. Hic erat diues & pauper, glorioſus & contemptibilis, multorum liberorum pater, & orbus. Hic verſatus eſt in aulis regalibus, ſed idem fuit in ſterquilinio. Hic fuit in ſplendida veſte, ſed poſt illam in mortu

tinearum. Hic poſſedit innumera miniſteria, ſed A
idem ſuſtinuit innumeras contumelias, à familiaribus in ipſum inſurgentibus, ab amicis conuitiantibus, ab vxore inſultãte. Omnia illi prius velut è fonte affluebant, pecuniarum copia, potentiæ magnitudo, gloriæ acceſſio, pax & ſecuritas, honores & obſequium, corporis ſanitas, & filiorum opulentia, nec erat in his quicquam moleſtum. Aderant illi diuitiæ cum ſecuritate, proſperitas ſtabilis. Atque optimo quidem iure. Deus enim illum vndique vallauerat. Sed poſt illa omnia receſſerunt, móxque innumeræ tempeſtates immigrarunt in domum illius, omnes, inquam, ac ſibi viciſſim ſuccedentes ac perpetuæ: denique ſupra modum, ſupráque fidem omnes. Siquidem vniuerſæ facultates illi ſemel ereptæ ſunt, famuli liberíque præmatura violentáque morte oppreſſi ſunt, ad menſam & ipſo in conuiuio mactati, nõ quidem ſecuri aut B
gladio, ſed à malo ſpiritu, qui domum concuſſit. Tum vxor in illum armabatur, ſuáſque machinas admouit iuſto. Famuli porrò & amici, partim expuerunt in faciem eius, quemadmodum ait ipſe, Non pepercerunt faciem meam
Iob. 30. conſpuere: partim irruerunt in eum, & ex tota domo eiectus eſt, ac deinceps in ſterquilinio vitam egit, ac vermium fontes ſcatebant, vndique ſanguine & ſanie diffluebat ille pretioſus adamas. Et accepta teſta abſterſit ſaniem, ipſe ſibi factus carnifex: dolor dolorem excipiebat, & cruciatus intolerabiles, & nox die moleſtior,
Iob. 7. & dies nocte terribilior, ſicut ipſe dicit: Quum obdormiero, dico, quando erit dies? Cum ſurgo, rurſum dico, quando erit veſpera? Plenus C
dolorum ſum à veſpera vſque ad diluculum. Omnia præcipitia, omnia ſcopuli, nec eſt vllus qui conſoletur, qui inſultent innumeri. Attamen in tanta tempeſtate, tantíſque fluctibus adeò intolerandis, conſtitit aduerſus omnia generoſo animo & illabefactabilis. In cauſa fuit id quod dicebam: Nimirum quòd quum diues eſſet, expectabat egeſtatem: quum ſanus eſſet, expectabat ægrotationem: quum tot liberorum eſſet pater, expectabat vt ſubitò fieret orbus. Atque hunc timorem ſemper apud ſe ſuſcepit, & hanc anxietatem ſemper apud ſe aluit, intelligens rerum humanarum, naturam, momẽtariámque volubilitatem negotiorum conſiderans. Eóque dixit: Timor quem timebam, euenit mihi: & periculum quod metuebam, occur-
Iob. 3. rit mihi. Semper enim cogitatione ſpectabat ad D
illum timorem, operiens eum, ſperans expectáńſque: eóque quum aduenisſet, non perturbauit illum. Neque ſilui, inquit, neque quieui, ſed mihi venit ira. Non dixit, non ſilebo, neque quieſcam, præſenti tempore: ſed, non quieui, præterito tempore. Neque enim rerum proſperitas attulit arrogantiam, ſed expectatio triſtiũ non ſinebat me quieſcere. Quanquam affluentia vehementer hortabatur ad delicias, ſed aſperitas eorum quæ expectabantur, profligabat ſecuritatem. Et licèt præſens felicitas cogeret frui rebus, tamen futurorum ſollicitudo voluptatem interrupit. Ideóque quoniam præmeditans in animo ſuo hæc ventura proſpexerat rebus lætis, hæc certamina poſteaquam acciderunt, fortiter & animosè pertulit, vtpote iam olim ad illa exercitatus: & quoniam ea expectatione præceperat, non eſt perturbatus quum cerneret illa adeſſe: quoniam ne tum quidem, quum adeſſent læta, vehementer illis adhæſit. Audi quid dicat: Quòd ſi delectatus ſum, quum mihi multæ affluerent diuitiæ, ſi repoſui copioſam auri vim mihi, ſi fiduciam habui in lapidibus pretioſis, ſi ad innumerabilia poſui manum meam. Quid ais homo? non delectatus es diuitiis affluentibus tibi? Nequaquam, inquit. Quid ita? Quoniam videbam illarum inſtabilẽ fluxámque naturam, videbam poſſeſſionẽ haud durabilem. Aut non video quidem, inquit, ſolem orientem ac deficientem, lunam verò intereuntem: non enim in eodem manet ſtatu. Quod autem dicit, tale eſt: Si ſtellæ quæ ſunt in cœlis perpetuóque lucent, recipiunt nonnullã mutationem, ſol deficiens, luna interiens, an non extremæ dementiæ ſit, terrena pro ſtabilibus fixíſque ducere? Eóque nec præſentibus magnopere delectabar, nec diſcedentibus vehementer contriſtatus ſum: quoniam probè noueram earum rerum naturam. Hæc nos audientes chariſſimi, neque paupertate deiiciamur, neque diuitiis intumeſcamus, ſed in rerũ permutatione animum immutabilem retinentes, philoſophię fructum metamus, vt & hic voluptate perfruamur, & futura aſſequamur bona. Quę contingat nobis omnibus adipiſci, gratia & bonitate domini noſtri Ieſu Chriſti, &c.

De recipiendo Seueriano.

HOMILIA.

SICVTI capiti corpus cohærere neceſſarium eſt, ita ecleſiam ſacerdoti, & principi populum: vtque virgulta radicibus, & fontibus fluuij, ita & filij patri, & magiſtro diſcipuli. Hæc autem non ſuperfluò ad charitatem veſtram præfati ſumus: ſed quoniam dicenda mihi ſunt quædam apud vos, vt nemo turbetur, neque ſermoni noſtro aliqua oriatur interruptio, ſed vt obedientia diſcipulorum creſcat in vobis, & quantum affectum patri deferatis, appareat. Adornate me filij, & imponite mihi obedientiæ veſtræ coronam, facite me apud omnes beatum iudicari, & doctrinam meam magnificate per obedientiam veſtrã
ſecundum Apoſtoli monita, dicentis: Obedite Heb. 13.
præpoſitis veſtris, & obtemperate eis, quia ipſi peruigilant pro vobis, quaſi pro animabus veſtris rationem reddituri. Hæc ergo præmoneo, ne quis ſuperbiat in commonitionem noſtram. Pater enim ſum, & neceſſe eſt me filiis conſiliũ ſuadere: quod enim in carnalibus patribus natura carnis, hoc in nobis gratia Spiritus agit: Pater ſum, & pater nimis ſuper filios tremens, ita vt ſanguinem meum pro vobis fundere paratus ſim. Et in hoc non eſt mihi gratia. Apoſto- Ioan. 10
lica enim lex eſt, & Domini præceptum dicen-

tis: Paſtor bonus animam ſuam ponit pro oui- A bus ſuis. Sed & vos eadem facite pro nobis: ſimili nanque erga nos deuincti eſtis affectu. Nã Rom.16 & Paulum audite quid dicit. Salutate, inquit, Priſcillam & Aquilam adiutores meos in Chriſto, qui pro anima mea ſuas ceruices poſuerunt. Sicut enim pulchrum eſt paſtorem pro ouibus immolari: ita rurſum pulchrum eſt & oues à paſtore nec morte ſeiungi. Cùm enim inſeparabiles fuerint ab eo, lupum diabolum non timebunt. Murus enim charitatis firmior eſt adamante. Et frater cùm adiuuatur à fratre, erit ſicut ciuitas munita & firma. Hæc autem præmitto, vt cum omni affectu, quæ dicimus, audiatis, neque aliquis veſtrum incipiat perturbari. Loquimur rem quam dignum eſt in eccleſia loqui, & quam dignum eſt libenter audiri. Pro pace loquimur ad vos. Et quid ita conueniens, B quàm ſacerdotẽ Dei pacem populo perſuadere? Contradictio nulla eſt, vbi & legatio ſancta, & legatus acceptus eſt. Pro pace loquimur, pro qua filius Dei deſcendit ad terras, vt pacificaret per ſanguinem non ſolùm quæ in terra ſunt, ſed & quæ in cœlis, & terrena cœleſtibus ſociaret. Pro pace loquimur, pro qua filius Dei paſſus eſt, propter quam crucifixus eſt, & ſepultus, quam nobis pro omni hæreditatis cenſu reliquit, & velut murum eccleſiæ dedit, quam ſcutum aduerſum diabolum poſuit, quam gladium aduerſum dæmones dedit, quam portum tranquilliſſimum fidelibus collocauit, quã repropitiationem ad Deum dedit, quam delictorum abſolutionem conceſſit: pro hac ergo legatus ad vos miſſus ſum. Nolite mihi incutere C pudorem, nolite legationem meam fœdare, acquieſcite mihi, quæſo vos. Multa dudum triſtia geſta ſunt in eccleſia, Deum confiteor, ſed non laudo perturbationes, ſeditiones non amplector. Sed omittamus iam hæc, deſinite, conquieſcite, cohibete animos, refrænate iracundiam: ſufficit iam quod laborauit eccleſia, finis ſit, deſinat turbatio: hoc enim & Deo placitum, & piiſſimo princi acceptum eſt. Oportet enim & regibus obedire, maximè cum & ipſi obtemperent eccleſiaſticis legibus. Dicit enim Tit. 3. Apoſtolus, Principibus & poteſtatibus ſubditi eſtote: quantò magis religioſo principi, & pro Eccleſia laboranti? Si ergo præparaui animos veſtros ad ſuſcipiendam legationem meam, recipite fratrem noſtrum Seuerianum epiſcopũ. Habeo gratiam quòd ſermonem meum laudi- D bus proſecuti eſtis. Dediſtis mihi fructus obedientiæ: nunc me ſemen bonum gratulor ſeminaſſe. Ecce enim ſtatim frumenti manipulos colligam. Retribuat vobis dominus præmium benignitatis, & obedientiæ mercedem. Nunc enim veram hoſtiam pacis obtuliſtis Deo, quia nemo turbatus eſt audito hoc nomine, ſed cum charitate * ſuſcipitis: ſimul vt ſermone locuti Suſcepiſtis. ſumus, omnem ex animo fugaſtis iracundiam. Suſcipite ergo eum pleno pectore, apertis manibus. Si quid triſte geſtum eſt, omittite: quia vbi tempus pacis, recordatio diſſenſionis nulla eſt, vt ſit gaudium in cœlo, gaudium in terra, lętitia & exultatio ſpiritualis in eccleſia Dei. Et oremus de reliquo, vt pacificam Deus cuſtodire dignetur eccleſiam, pacem fixam & perpetuam dare, in Chriſto Ieſu domino noſtro, cùm quo eſt gloria Deo patri, vnà cum Spiritu ſancto, in ſecula ſeculorum. Amen.

Sermo ipſius Seueriani de pace, cùm ſuſceptus eſſet à beato Ioanne epiſcopo Conſtantinopolitano.

IN aduentu domini & ſaluatoris noſtri atque in præſentia eius corporali, angeli ducentes choros cœleſtes Luc. 2. euangelizabant paſtoribus, dicentes: Annuntiamus vobis hodie gaudium magnũ, quod erit omni populo. Ab ipſis enim ſanctis angelis etiam mutuatam nos vocem, annuntiamus vobis hodie gaudium magnum. Hodie enim in pace eccleſia eſt, & hæretici in ira. Hodie eccleſiæ nauis in portu eſt, & hæreticorum furor iactatur in fluctibus. Hodie paſtores eccleſiæ in ſecuritate, & hæretici in perturbatione ſunt. Hodie oues domini in tuto, & lupi inſaniunt. Hodie vinea domini in abundantia, & operarij iniquitatis in egentia. Hodie populus Chriſti exaltatus eſt, & inimici veritatis humiliati ſunt. Hodie Chriſtus in lætitia, & diabolus in luctu. Hodie angeli in exultatione, & dæmones in confuſione. Et quid opus eſt multa dicere? Hodie Chriſtus, qui eſt rex pacis, cum ſua pace procedens, fugauit omne * diſſidium, diſ- Diſcidium. ſenſiones depulit, diſcordiam perturbauit. Et ſicut cœlum ſplendor ſolis, ita eccleſiam fulgor pacis illuminat. O quàm deſiderabile nomen pacis, quàm religionis Chriſtianæ ſtabile fundamentum, & altaris dominici cœleſtis armatura. Et quid poſſumus de pace proloqui? Pax nomẽ Eph. 2. eſt ipſius Chriſti, ſicut dicit & Apoſtolus: quia Chriſtus pax noſtra, qui fecit vtraque vnum, quæ neque fide, ſed inuidia diaboli diſſidebant. Verum ſicut procedente rege & plateæ mundantur, & tota ciuitas diuerſis floribus & ornatibus coronatur, vt nihil ſit quod minus dignũ vultui regis appareat: ita & nunc procedente Chriſto rege pacis, omne quod triſte eſt, auferatur è medio, & illuceſcente veritate fugetur mendacium: fugiat diſcordia, * reſplendeſcente concordia. Et ſicut frequenter fieri vidimus, v- Reſplendente. bi regum vel fratrum tabulæ pinguntur, vt in vtriſque vnanimitatis declarentur inſignia, artifex picto fœmineo habitu poſt tergum vtriuſque concordiam ſtatuit brachiis ſuis vtrunque complectentem, indicans quòd hi qui videntur corporibus ſeparati, ſententiis & voluntate cõueniant: ita nunc pax domini media aſſiſtens, & vtrunque noſtrum gremio palpante connectẽs, diſcreta corpora in vnum conuenire animum, vlnis iungentibus docet. In qua ſine dubio cõpletur ſermo propheticus, qui ait: Et erit conſilium pacificum inter vtroſque. Et heſterno quidem pater noſter communis, euangelico pacem ſermone præfatus eſt: hodie verò nos verba pacis exponamus. Ipſe nos heſterno reſupinis manibus in verbo pacis excepit & nos hodie dilatato pectore, vlniſque patentibus ad domi-

num

num cum muneribus pacis occurramus. Iam bella deſtructa ſunt, pulchritudo pacis obtinuit. Nunc in luctu eſt diabolus, & in lamentatione omnis dæmonum turma, nunc in cœleſtibus lætitia, & in angelis exultatio, quibus ſpecialis familiaris pax. Hoc enim etiam cœleſtes admirantur virtutes opus, quas fons eius habet perennis, ex quo etiam terrena hæc noſtra guttis quibuſdam exinde ſtillantibus irrorãtur. Et ideo etiamſi in terris pax, laudis eius ſplendor redundat in cœlum, laudant eam cœleſtes angeli, & dicunt: Gloria in excelſis Deo, & in terra pax hominibus bonæ voluntatis. Vides quomodo cœleſtes omnes & terreſtres inuicem ſibi munera pacis emittunt? Cœleſtes angeli pacem terris annunciant, ſancti in terris Chriſtũ, qui eſt pax noſtra, collaudant in cœleſtibus poſitum, & myſticis choris acclamant, oſanna in excelſis. Dicamus ergo & nos, Gloria in altiſſimis Deo, qui humiliauit diabolum, & exaltauit Chriſtum ſuum. Gloria in altiſſimis Deo, qui diſcordiam fugat, & pacem ſtatuit. Dico enim vobis artem diaboli, cuius neque vos aſtutiam ignoratis. Vidit Satanas firmitatem fidei, ſtabilitatem in ea pietate dogmatum ſeptam, vidit & operum bonorum fructibus abundantem: & ideo pro his omnibus ad inſaniam venit, & rabie furoris exarſit, vt ſcinderet amicitiam, & euelleret charitatem, vt diſrumperet pacem: ſed pax Domini ſemper ſit nobiſcum, in Chriſto Ieſu Domino noſtro, cum quo eſt Deo patri & Spiritui ſancto gloria, in ſecula ſeculorum. Amen.

Poſt reditum prioris exilij.

HOMILIA.

QVID dicam? quid loquar? Benedictus Deus, hunc egrediens dixi ſermonem: hunc iteraui reuertens, & illic cõnſtitutus hunc in ore voluebam. Puto vos meminiſſe, cũ ante hoc beatum Iob adduxiſſem in * medio dicentem: Sit nomen Domini benedictum. * Hanc vobis hiſtoriam dereliqui, has gratiarum actiones iterabo regreſſus. Sit nomẽ Domini benedictum in ſæcula. Diuerſę rerum cauſæ, ſed vna glorificatio: & cùm expellebar, benedicebam, & reuerſus iterum benedico. Et ſi variæ quidem cauſæ, ſed vna definitio. Super hyemem & æſtatem vnus eſt finis: culturæ fertilitas ſubſequens campi. Benedictus Deus, qui conceſſit exire: benedictus Deus, qui redire pręcepit. Benedictus Deus, qui permiſit hyemem: benedictus Deus, qui diſſoluit hyemem, & fecit tranquillitatem. Hæc dico admonens vos, vt ſemper benedicatis. Si euenerint mala, benedicite, & diſſoluentur mala, ſi proſpera venerint, benedicite, & perſeuerabunt proſpera. Siquidem Iob cùm in proſperis eſſet, benedicebat: & cùm pauper eſſet effectus, glorificabat, neque tunc ingratus fuit, neque poſtea blaſphemauit. Diuerſa quidem tem-

** in medium.*
Iob. 1
** hæc verba ex hiſtoria derel.*

A pora, ſed vna voluntas gubernantis actum. Nec tranquillitas reſoluit, nec tempeſtas hyemis demergit. Benedictus Deus, & cùm à vobis ſum ſegregatus, & cùm iterum recepi vos. In vtroque Dei prouidentia eſt, ſeparatus à vobis corpore, ſed anima non ſum à vobis diuiſus. Et ex veſtro affectu meum metimini animum. Et quid dicam? Nõ ſum ſeparatus à vobis, ſed magis accenſus ſum deſiderio veſtri, quod etiam de vobis cõfido: nihil nobis nocuere inſidiæ, nihil læſit inuidia, ſed magis augmentum præſtitit charitati, & multiplicauit diſcipulorum numerum. Ante hoc enim diligebar à meis, nunc verò honorificabor à Iudæis. Sperabant me à meis filiis ſeparare, ſed magis mihi extraneos adiunxerũt. Non illis agã gratias: ſed Dei miſericordiæ gloriam referam, qui conatus illorum malos in melius commutauit. Nam & Iudæi crucifixerunt B Chriſtum, & illius morte humanum ſaluatũ eſt genus. Nõ illis gratiæ, ſed crucifixo. Conſiderēt quid boni pugna eorum præſtitit, inſidiæ eorũ qualem nobis lætitiam præparauerũt. Ante hoc quidem eccleſia replebatur, ſed nunc & in plateis eccleſiæ factæ ſunt. Et vnanimes, & coniuncti pſallentes, Dei in vos prouocatis aſpectum: voces veſtræ cœli ſecreta penetrarunt, vt omnis ætas veſtras pſalmodias miraretur attenta. Curſus equorum hodie, & pauci illuc, imò cuncti in eccleſia: quaſi torrens quidam ac fluuius veſtra facta eſt multitudo. Voces veſtræ eleuantur ad cœlum, amorem qui ad patrem eſt, oſtendentes. Orationes veſtræ meum coronauerunt caput. Oratio omni monili præclarior viri & mulieris. *In Chriſto enim Ieſu non maſculus, neque fœ- C mina. Qualiter enarrem potentias Domini, aut mirabilia eius recenſeam? Videtis quia quod dico, verum eſt. Quoniam ſi quis tentationem viriliter tulerit, magnũ ex ipſa vindemiat fructũ. Ideo vos ad apoſtolos inuitaui, vt ad eos, qui aliquando perſecutionem paſſi fuerant, veniremus. Et nos quidem inſidias paſſi, illi verò impugnati. Sed inimicis illis nihil nocuerunt: quia ipſi orbem terrarum lucrauerunt. Veniamus ad ſancta corpora, quæ Chriſti ſtigmata portauerunt. Veniamus ad Timotheum nouum Paulũ, & Andream alterum Petrum. Credimus iuuari nos illorum meritis. Si virilem animum geris, non timeas tentationes. Omnes ſancti per iſta tranſierunt. Multa tribulatio corporum, ſed maius refrigerium animarũ. Præſtet vos Dominus D ſemper augeri, & celebres conuentus agere. Gloria quippe paſtoris eſt ouium multitudo: quid faciam? quid loquar? incultum vbi ſeminem non habeo agrum. Extenſa eſt propago vitium, perfectum eſt tẽplum, & præ multitudine piſcium rumpuntur retia mea. Quid faciam? laborandi locum non habeo, gaudendi habeo tẽpus, ideo loquor: non quia indigetis doctrina, ſed vt meam voluntatem vobis oſtendam, vbique ſpicæ comant. Tantæ oues, & nuſquam lupus. tot ſpicæ, & nuſquam lolium: tantæ vineæ, & nuſquam vulpes. Vbi nunc latent lupi? quò abierũt vulpes, quæ eos perſecutæ ſunt? O rem inauditam. Paſtor quieſcit, & oues luporum rabiẽ abegerunt, inſidias vulpium oppreſſerunt. O ouiũ ſapientia! ô filiorum affectus! ô diſcipulorum

E

charitas! ô pulchritudo ſponſæ! abſente viro abegit adulteros, oſtenſæ ſunt eius diuitiæ, apparuit pulchritudo. Latrones confuſi ierunt, & aufugerunt. Dicite mihi, quomodo perſecuti eſtis lupos? quomodo pepuliſtis latrones? Frequenti, inquit, oratione ad Deum. Quomodo deſpexiſtis adulteros? Continuis, inquit, lacrymis, ex deſiderio viri. Non accepi arma, non ſumpſi lanceas, non arripui ſcutum: ſolummodo oſtendi eis pulchritudinem meam, qua perſpecta vulnerati fugerunt. Vbi nunc illi? Proculdubio in confuſione. Vbi nos? in lætitia. Vbi nunc illi? conſcientiæ ſuæ malo tabeſcunt. Vbi verò nos? in magna exultatione glorificamus Deum. Quid dicam? quid loquar? Adiiciat Dominus ſuper vos, & ſuper filios veſtros: & alleuet Dominus vultum ſuum, & miſereatur veſtri, in Chriſto Ieſu Domino noſtro, cum quo eſt Deo patri, & Spiritui ſancto honor, gloria, & poteſtas per immortalia ſæcula. Amen.

Dauidica cantica diuerſis ſubſeruiunt noſtris conſolationibus & meditationibus: ſermo.

INCERTO INTERPRETE.

Orditur ab homœoſi. QVEMADMODVM cibo vita hęc ſuſtentatur, quę mox eadem illa ſubminiſtrat: ſic & ſi bonis actionibus adnitamur, ſpiritu potiemur, quo parto, & bonis operibus abundabimus: quibus contrà ſi caruerimus, idem à nobis ſpiritus auolabit, quo deſtitutos neceſſe erit circa res gerendas claudicare, ſiquidem ſpiritu hoc decedente impurus ſuccedet: quod liquidò poteſt in Saule cognoſci: quo ſpiritu quid refert, ſi non adeò ipſi vrgemur, quemadmodum Saul vrgebatur, quando ex malefactis ipſi & flagitiis, & angimur, & ſtrangulamur? Opus itaque nobis Dauidica cithara, vt animæ diuina carmina, tum à propheta, tum à bonis actionibus deſumpta incinamus. Horum vtrumuis modò egerimus, vel Dauidico cantico occepto, vel optimis initiis facinoribus, non ſecus dæmonē impugnabimus, ac Dauid ſolebat Saulis veſaniam lenire, erítque eiuſmodi nobis ad iuſtitiā medela. Quinetiam dæmonum furor efferatius concitabitur, cùm ſe nobis praua ſuggerentibus, nihil ipſi ad malum flectimur. Verentur enim vel initio ſtatim impuriores illi & malefici, ne ex ſuis nefariis ſuggeſtionibus ad laudabile aliquod facinus conuertamur: cúmque nos viderint immotos perſtare, & timore priſtino vacui erunt & cura. Idcirco re bene geſta canticum decantemus, vt dæmoniacum illud vel vrgentiſſimum propulſemus ſcelus. Dæmones quidem non prorſus priuare nos cœlo poſſunt, quin iuuent potius plerunque nos oppugnādo: vigiles tamen, & ſobrios ad cœlos capeſſendos, è quibus delictis & ſcelere plerique deiiciuntur. Nam qui volens deliquit, vel ſponte furit, dæmon eſt: præterea neque veniam ab homine, neque miſericordiam promeretur. Incinamus itaque animæ hoc ſe pacto habenti, cum aliis ſacrarum literarum ſcriptis & Dauidica, & ita vt os canendo mentem erudiat: neque enim tenue illud, & exiguum videri debet: ſiquidem cū linguam ad cantum inſtruimus, pudebit animā vel contraria ſentientem non ſaltem canentem illa imitari. Qua ex re neque id ſolùm vtilitatis aſſequemur, quin & pleraque alia quę nobis cōducent, referemus. Dixit quidem propheta ille non ſolùm futura, ſed de viſibilibus his, déque inuiſibili cœlorum ſtructura diſputat, cupientíque tibi forſan edoceri, vtrum hoc cœlum eodem ſit ſtatu perpetuo permanſurū, nónne reſpondebit Dauid, dicétque: Cœli quemadmodū veſtimentum veteraſcent, ac velut amictū mutabis eos, & mutabuntur? Item de forma cœlorū ſi quid optaueris audire, illud intelliges: Extendo cœlum ſicut pellem. Inſuper ſi de cœli dorſo volueris quid amplius noſſe, dicet tibi: Qui obtegis aquis ſuperiora eius: neque his cōtentus, quin etiam de latitudine mentionem facit, oſtendens vtraque hęc pari eſſe menſura: Quantum, inquit, diſtat Ortus ab Occidente, elongauit à nobis iniquitates noſtras, ſecundùm altitudinem cœli à terra obfirmauit Dominus miſericordiam ſuam ſuper timentes ſe. Accedit etiam ſi terrarum fundamenta cōquiras, neque illa te clam ſit habiturus, cùm pſallentem illum huiuſmodi audieris: Quoniam ſuper maria fundauit eam. Item ſi terræ diſcurſus cognoſcere cauſas concupiſces, intelliges: Qui reſpicit terram, & facit eam tremere. Hoc modo omnem ex animo ambiguitatem eximet. Noctis præterea ſi rationem requiris, vel hanc referes ab eo edoctus: In ea enim pertranſibunt omnes beſtiæ ſylux. Ad quam etiam ſint montes vtilitatē effecti, reſpondebit: Montes excelſi ceruis. quid opis & lapides ferant, exponit: Petrę refugium erinaciis. Vt quid vel arbores ſint infœcundę creatæ: ibi enim & paſſeres nidiculabunt. quid inſuper ſibi velint in ſolitudine fontes: in his quidem inhabitabunt beſtiæ agri. quid vinū: vt non ſolùm eo in potu vtaris, quando ad id vel aqua facere ſatis potuiſſet, quin vt te faciat iucundiorem: Vinum, inquit, lætificat cor hominis, vt intelligas quouſque vini vſus progredi debeat. Vnde autem & aues & feræ beſtiæ nutriantur, audies ab eodem hoc pacto dicente: Omnia ad te reſpectant Domine, vt des illis eſcā in tempore opportuno. At ſi de beluis quæras, reſpondebit vel has tui gratia fuiſſe creatas, hoc modo: qui educit herbas beſtiis, & virentia in ſeruitutem hominum. quid luna ſit opus, audi dicentem illum: qui fecit lunam in tempora. Vt quid præterea quæ viſuntur vniuerſa, & quæ nuſquam apparet creata ſint, clarè edocet: Ipſe dixit, & facta ſunt: ipſe mandauit, & creata ſunt. quódque mortis futura ſit æternæ ſolutio, hoc pacto te inſtruit: Deus liberauit animam meam de manu inferni, cùm me ſuſceperit. Vnde etiam noſtrum hoc corpus ortum ceperit, explicat: Recordatus ſum, quoniam puluis ſumus. quóque ſit & in poſterū

Collatio elegans.

1.Re.16.

γνώμη.

Pſa. 101.

Ibid. 103.

Ibidem.

Pſ. 102.

ἐκραταίωσε.

Pſal. 23.

Ibi. 103.

Ibidem.

Ibidem.

Ibidem.

Ibidem.

Ibidem.

Pſa. 103.

Ibidem.

Ibidem.

Pſa. 148.

Ibi. 48.

ἐμνήσθη.

Recordatus ſum, datus eſt.

rediturum, ita docet: & in puluerem ſuum re-
uertetur. Vtque vniuerſa ſint in cui gratiã crea-
Pſal. 102 ta, ita diſſerit: Gloria & honore coronaſti eum
Ibid. 103 Domine, & conſtituiſti eum ſuper opera ma-
nuum tuarum. Quid vero mortales ipſi com-
mune cum angelis habeamus, ita explicat: Mi-
Pſalm. 8. nuiſti eum paulo minus ab angelis. De diuino
autem in nos amore illud affert: Quemadmodũ
Ibidem. pater filios miſeratur, ſic ſe timentium miſer-
tus eſt Dominus. De his etiam quæ nos in fu-
turum manent, déque vitæ huius fine quietiori
ita dicit: Reuertere anima mea in requiem tuã.
Cur autem tam vaſta ſit cœlum magnitudine
Pſal. 102 hoc inquit: Cœli enarrant gloriam Dei. Cur
Ibid. 14. nox & dies ſint facti, non vt lucem duntaxat
Pſ. 18. præbeant & quietem, ſed etiam vt erudiant.
Ibidem. Non ſunt, inquit, loquelæ, neque ſermones,
Pſal. 103 quorum non audiantur voces eorum. Quo de-
mum pacto & mare & terras obeat. Abyſſus ſi-
cut veſtimentum amictus eius, ita quidem apud
Hebræos habetur. Ex his itaque enarratis ſu-
mentes initium & reliqua pernoſcetis, de Chri-
ſto ſcilicet, déque eius reſurrectione, de fu-
turis ſuppliciis, déque his quæ bonis moribus
aduerſantur, de legibus, ita vt multiplici bo-
no refertos vobis liceat Dauidicos codices
conuenire. Nam ſi in moleſtiam aut aliquam a-
nimi perturbationem incideris, plurimum hi
ad te conſolandum valebunt: ſi fueris in pecca-
ta prolapſus, quàm multa ibidem inuenies ad
medelam: ſi paupertate eris vel preſſuris gra-
uatus, multos tibi ex his ad tranquillitatem
portus videbis offerri: ſi iuſtus, non medio-
crem eris ſecuritatem nactus: ſi crimini ob-
noxius, fiduciæ plurimum. Quippe ſi pro iu-
ſtitia ſis mala perpeſſus, illum audies prædi-
Pſal. 43. cantem: Quoniam propter te tota die morti-
& Ro. 8. ficatus ſum. Et illud: Æſtimati ſumus ſicut o-
ues occiſionis: hæc omnia venerunt ſuper nos,
nec obliti ſumus tui. At ſi ex re bene geſta
inſoleſcere cœperis, audies eundem dicentem:
Ibi. 142. Ne ingrediaris in iudicium cum ſeruis tuis
domine, quoniam non iuſtificabitur coram
te omnis viuens, ſic mox humilitatem ſecta-
beris. Quinetiam ſi quippiam commiſeris,
vel deſperatione capieris, intelliges illum fre-
Ibid. 94. quentius id incinentem: Hodie ſi vocem eius
audieritis, nolite obdurare corda veſtra, quo
audito ſtatim reſipiſces. Porrò ſi regio fue-
ris diademate inſignitus, elatus, inſuper & tu-
Ibid. 32. midus, illud ediſces: non ſaluatur rex magnis
viribus, nec gigas ſuæ virtutis magnitudine, ſic
poteris modum ſuperbiæ ponere. Si opibus
præterea afflues & gloria, rurſus audies modu-
lantem: Væ qui confidunt potentiæ ſuæ, & mul-
titudine diuitiarum ſuarum gloriantur, & illud:
Ibid. 48. Nam homo ſicut fœnum dies eius, nec deſcen-
Ibi. 102. det cum eo gloria eius: hoc pacto nihil duxe-
ris fore in terris magnifaciẽdum, ſiquidem glo-
ria & potentiæ fulgore cuncta excedunt: quæ
duo ſi fuerint per te neglecta, quid eſſe aliud
poteſt cuius apud te ratio conſtet? Quòd ſi in a-
liquo fueris animi mœrore conſtitutus, intelli-
Ibid. 41. ges: Quare triſtis es anima mea, & quare con-
Ibid. 36. turbas me? ſpera in Domino, quoniam con-
fitebor illi. At ſi nonnullos videris probari im-

A meritò, id dices: Noli æmulari in malignanti-
bus, quoniam quemadmodum fœnum exareſ-
cent, & tanquam olera virentia concident. Si
iuſtos ſpectaueris æquè atque iniuſtos pœna af-
fici, ſenties haud parem fore ſupplicij cauſam.
Pleraque ſunt, inquit, peccantium flagra, quę
tamen iuſtis inferri propheta non aſſerit, quan-
do, Multæ, inquit, iuſtorum anguſtiæ, & Ibid. 33.
his omnibus liberauit eos Dominus: & rurſum:
Mors peccatorum peſſima: & honorabilis co- Ibidem.
ram Domino mors ſanctorum eius. Hæc ita-
que frequentius repete, inſtructúſque iſtiuſmo-
di erudire: nam verbis hiſce vel ſingulis per
nos ſimpliciter ex tranſcurſu prolatis, patentiſ-
ſimum ineſt ſententiarum pelagus. Quòd ſi li-
buerit prophetica hæc dicta diligẽtius perſcru-
tari, videbitis inde maximã diuitiarum copiam
B fluxiſſe. Licebit interea volenti cuique ex
dictis hiſce, quæ inhæſerint vitia repurgare:
ſi neque inuidiam facilè admittat, neque mœ-
rorem, ſi diuitias contempſerit, ſi anguſtias,
anxietates, egeſtatem pro nihilo duxerit, ſi
vitam denique ipſam nihil eſſe exiſtimauerit.
Eiuſmodi à te opinatio vitia propulſabit: pro
quibus omnibus & gratiæ ſunt Deo agendæ, vt
his rebus contemptis gazas attrectemus cœ-
leſtes, & per aduerſantium rerum toleran-
tiam, pérque ſacrorum ſcriptorum conſolatio-
nem, ſpem habeamus & futura beatitudine
potiamur.

AD NEOPHYTOS HOMILIA.

C BEnedictus Deus. Ecce ſtellæ etiã
de terra micuerunt, ſtellis cœle-
ſtibus clariores, lucentes in terra
ſtellæ propter eum qui in terra de
cœlis apparuit. Nec ſufficit ſtellas
in terra monſtrari, ſed & die ſuo luce lucente
fulgeſcunt: & hoc plus admirationis affertur,
quòd fulgore ſtellarum noctium miniſtrarum, à
præſentibus lumina clariora redduntur. Illæ nã-
que Solis aduentu ſuo perfunguntur officio: hæ
luce Sole iuſtitiæ properante maiore luceſcunt,
& illæ ſeculorum confuſione depereunt, hæ tẽ-
porum fine ſeſe clariores oſtẽdunt. De illis ete-
nim dictum eſt, quod ſtellæ de cœlo cadent, ſi-
cut cadunt folia de vite: de his autem fulgebunt,
inquit, iuſti, ſicut ſtellæ cœli. Quid ſibi vult,
D quod dixit: Sicut cadunt folia de vite, ſic ſtellæ
de cœlo cadent? Sicut enim vites cum vuarum
fructibus prægrauantur, foliorum auxilium ne-
ceſſarium vt protegantur, expoſcunt: cum autẽ
depoſuerint fructum, neceſſe eſt vt foliis denu-
dentur: Sic ſe habet hoc ſeculum: quandiu ha-
buerit in ſe humanum genus, tenebit & cœlum
ſtellas, ſicut & vitis folia. Nam nocte pereunte,
ſine dubio ſtellarum vtilitas ſimul cum nocte
deficiet. Illarum ignea natura ſtellarum eſt, &
iſtæ edocentur igneam ſortiri naturam. Sed ibi
quidem ignis, quem humanus ſenſus inuenit:
hic autem, quem ſecreta mentis oſtendunt. Ipſe
nanque vos, ait, baptizabit ſpiritu ſancto &
igni. Vultis & vtriuſque nomina partis audire?
Illis quidem ſtellis nomina hæc ſunt, Orion,
Mazaroth Arcturus, Veſperus, Lucifer. In his

veſperus nullus, ſed Luciferi vniuerſi. Benedictus Deus, iterum dicamus: qui facit mirabilia ſolus, qui facit vniuerſa, & conuertit vniuerſa. Ecce libertatis ſerenitate perfruuntur, qui tenebantur paulo antè captiui: & ciues eccleſiæ ſunt, qui fuerunt in peregrinationis errore: & iuſtitiæ in ſorte verſantur qui fuerunt in confuſione peccati. Non enim ſunt tantum liberi, ſed & ſancti: non tantum ſancti, ſed & iuſti, nec ſolum iuſti, ſed & filij: nec ſolum filij, ſed hæredes: nec ſolum hæredes, ſed & fratres Chriſti: nec tantum fratres Chriſti, ſed cohæredes: non ſolum cohæredes, ſed & membra: non membra tantum, ſed & templum, nec tantum templum, ſed organa ſpiritus. Benedictus Deus, qui facit mirabilia ſolus. Vides quot ſunt baptiſmatis largitates? Sed multis quidem videtur cœleſtem gratiam in peccatorum tantum remiſſione conſiſtere: nos autem honores computauimus decem. B Hac de cauſa etiam infantulos baptizamus, vt non ſint coinquinati peccato, vt eis addatur ſanctitas, iuſtitia, adoptio, hæreditas, fraternitas Chriſti, vt eius membra ſint omnes, vt ſpiritus habitatio fiat. Sed vos dilectiſſimi fratres, ſi tamen mihi conceditur fraterno veſtro nomine gloriari. Et me quidem ſimilis beatitudo conceperat, ſimilis ornauit gratia: ſed poſteriore negligentia firmum nexum cognationis amiſi: ſed date vos mihi fraterno vocabulo nũcupari, propter nimiam ſcilicet charitatem: & vos rogari permittite, vt tantæ glorię honorem animoſitas conſequatur. Et tanto magis vos dignos gratia properetis oſtendere, quanto vos inſpicitis in culmine poſitos gloriarum: etenim C tranſactum tempus palæſtra fuit, atque contentio, & lapſus facilè veniam merebatur: ab hodierna vero die campus patet virtutum exercitationibus dedicatus. Agon inſtat, theatrũ præparatur, & ad ſpectaculum conuenit, non tantum hominum genus, ſed & cœleſtis etiam cœtus angelorum. (1.Cor.4.) Spectaculum enim, inquit, facti ſumus mundo, non hominibus tantum, ſed etiam angelis. Angeli ſpectant, angelorum Dominus præſidet coronæ certaminis: hoc non tãtum honor, ſed & magna cautela, quando is qui pro nobis animam ſuam poſuit, ipſe ſit probamentum iudiciúmque certaminis. Olympiaco nanque certamine, & friuolo perditóque ſpectaculo, impoſitor coronarum, in ipſo contentionis examine præeſſe conſueuit, & in medio certantium loco conſiſtens, nulli parti fauorabili nutu ſubuenire procurat, ſed ipſius certaminis D expectat incertum, & vt mente ſic & loco medio continetur: inter noſtrum autem & diaboli certamen Chriſtus non media lance cõſiſtit, ſed totus noſter fautor expectat. Et vt ſcias noſtrarum partium ſpectatorem, peruide quomodo nos tanquam ſuos vnxit oleo lætitiæ, illum ut impenderetur nobis inſtrinxit, vt cum illum peruiderit cecidiſſe, calcate, inquit, ſuper ipſum. (Luc. 10.) Nos autem & ſi cecidiſſe peruiderit, auxilio ſuæ releuat maieſtatis, & dicit: Nunquid qui decidit, non adiiciet vt reſurgat? (Pſal. 40.) Et dormiẽtes excitat. (Ephe. 5.) Exurge, inquit, qui dormis. Vis amplius admirationis inſpicere? Nobis Deus cœlum poſt victoriam præparauit, illi poſt victo-

A riam pręparauit gehennam, minatur & pœnas. Ego ſi vicero, coronabor: ille ſi vicerit, punietur. Et vt ſcias maiora ei cum ſuperauerit pręparari tormenta, vicit Adam & ſupplantauit. Quid igitur meretur victorię ſuæ? Supra pectus, (Gen. 3.) inquit, & ventrem ambulabis, & terram manducabis omnib. diebus vitæ tuæ. Si igitur ſenſibilem ita puniuit damnauitque ſerpentem, qua pœna inuiſibilis punietur, ſi tantis miniſter eius tormentis cruciatibúſque ſuccubuit? Incunctanter autorem maiores ſtimuli atque eculei conſeqentur. Etenim ſi piiſſimus pater ſui filij reperire valuerit occiſorem: non ſolummodo dolorem ſuum, irámque conuertit in eum, ſed etiam ipſum gladium quo filius perierat, particulatim comminuit: ita & Chriſtus noſter cum à diabolo hominem interemptum eſſe peruiderit: non ſolum eum tormentis afficit, ſed etiam eius gladium obtundit, & ad nihilum redigit. Confidenter igitur nos reparemus ad pugnam: etenim nobis arma ſuppeditant vltra ſplendorẽ totius auri fulgentia, & fortia, adamantis robore firmiora, totius ignis ardorem vincentia, cunctarum pondere leuiora pennarum. Nec enim quiſquam hæc arma portando quaſſatur, ſed ſubleuant membra, & in excelſa perducunt: & in cœlum, ſi cupieris, cum his ſine dubio perfereris, penitus impedimento ceſſante. Rudis nanque natura horum armorum videtur, quia noualis nouus quotidie exercitatur, homo factus cum dæmonibus litigare compellor. Natus in corpore incorporales inimicos agnoſco. Hac de cauſa mihi thoracem diuinitus non ære confectum, non arte compoſitum, ſed iuſtitiæ ſimplicitate præparauit, fidei clypeo roborauit. Armat me gladius meus, verbum teneo ſpiritus ſanctitatis. Ille ſuis ſagittis armatus eſt, ego meum gladium teneo: ille ſagittarum iaculatione confidit, mihi arma diuerſa non deſunt. Et vt eius formido monſtretur, cominus litigare non audet. Iaculorum longitudinem ſemper affectat, vt mittat, ſi peruiderit negligentem. Et aliam mihi Deus vltra tutelam donauit armorum. Quid illud? menſam præparauit, cibum ſatietatis oſtendit, vt poſt epularum refectionem inimicum poſſim robuſtius ſuperare. Cum enim te egredientem poſt conuiuium dominicũ viderit inimicus, poſt cœleſtes epulas tanquam ignem leonis ore flammantem fugit, & deſerit omni vento velocior, nec approximare contẽdit: & cum cruentam linguam tuam de longe ille crudelis perſpexerit, mihi crede non ſtabit: & cum os tuum ſenſerit rutilare, greſſum ſuum retro cum timore torquebit. Vis huius ſanguinis audire virtutem? Redeamus ad eius exemplum, & priorem typum recordemur, & priſtinam ſcripturam narremus. In Ægypto nocte media Ægyptiis Deus plagam decimam minabatur, (Exod. 11.) vt eorum primogenita deperirent, quia primogenitum eius populum detinebant. Sed ne amata plebs Iudæorum vnà cum illis periclitaretur, quia vnus locus continebat vniuerſos, remedium diſcretionis inuentum eſt. Proinde exemplum mirabile, vt diſcas in veritate virtutem, ira diuinæ indignationis ſperabatur, & mortifer domus ſingulas circuibat. Quid igi-

tur Moſes? Occidite, inquit, agnum anniculum A & ſanguine eius linite ianuas. Quid ais Moſes? Sanguis ouis rationabilem hominem liberare conſueuit? Valde, inquit: non eo quòd ſanguis eſt, ſed quia dominici ſanguinis per eum demõſtratur exemplum. Nam ſicut regnantium ſtatuæ, quæ ſine cauſa ſunt atque ſermone, nonnunquam ad ſe confugientibus hominibus, anima atque rationibus decoratis ſubuenire conſuerunt: non quia ſunt ære confectæ, ſed quia retinent imaginem principalem: ita & ſanguis ille qui irrationalis fuit, animos habentes homines liberauit, non quia ſanguis fuit, ſed quia huius ſanguinis oſtendebat aduentum. Et tunc angelus ille ille vaſtator, cum linitos poſtes atque aditus peruideret, tranſiecit greſſus, & non eſt auſus intrare. Nunc ergo ſi viderit inimicus non poſtibus impoſitum ſanguinem typi, ſed fidelium ore lucẽtem ſanguinem veritatis, Chriſti templi poſtibus dedicatum, multo magis ſe ſubtrahit. Si enim angelus ceſſit exemplo, quãto magis terrebitur inimicus, ſi ipſam perſpexerit veritatem? Vis & aliam huius ſanguinis ſcrutari virtutem? Volo, vnde primum currit incipias, & de quo fonte manauit. De ipſa primum cruce proceſſit, latus illud dominicum initium fuit. Mortuo enim, ait, Ieſu, & adhuc in cruce pendente approximauit miles, latus lancea percuſſit, & exinde aqua fluxit, & ſanguis. Vnum baptiſmatis ſymbolum, aliud ſacramenti: ideo non ait, exiit ſanguis & aqua, ſed exiit aqua primum, & ſanguis: quia prius baptiſmate diluimur, & poſtea myſterio dedicamur. Latus miles aperuit, & templi ſancti parietem patefecit. Et ego theſaurum præclarum inueni, & fulgentes diuitias me gratulor reperire. Sic & de illo agno factum eſt. Iudæi ouem occiderunt, & ego fructum de ſacramento cognoui. De latere ſanguis & aqua. Nolo tam facile auditor tranſeas tanti ſecreta myſterij. Reſtat enim mihi myſtica atque ſecretalis oratio. Dixi baptiſmatis ſymbolum & myſteriorum aquam illam & ſanguinem demonſtrari. Ex his enim ſancta fundata eſt eccleſia per lauacri regenerationem, & renouationem Spiritus ſancti: per baptiſma, inquam, & myſteria quæ ex latere videntur eſſe prolata. Ex latere igitur ſuo Chriſtus ædificauit eccleſiam, ſicut de latere Adam eius coniunx Heua prolata eſt. Nã hac de cauſa Paulus quoque teſtatur, dicens: De corpore eius, & de oſſibus eius ſumus: latus videlicet illud ſignificãs. D Nam ſicut de illo latere Deus fecit fœminam procreari: ſic & de ſuo latere Chriſtus aquam nobis & ſanguinem dedit, vnde repararetur eccleſia: & ſicut in ſopore quieſcentis Adæ Deus lateris membra patefecit: ſic modò poſt mortem aquam nobis donauit & ſanguinem. Et ſopor ille hunc mors eſt, vt diſcas mortem nulla ſoporis ſeparatione diſcerni. Videte quẽadmodum ſponſam ſibi Chriſtus coniunxit, videte quo nos cibo ſatietatis enutrit. Ipſe nobis cibi ſubſtantia eſt, atque nutrimentum. Nam ſicut mulier affectionis natura cogente, genitum alere ſui lactis fœcũditate feſtinat: ſic & Chriſtus, quos ipſe regenerat, ſuo ſanguine ſemper enutrit. Igitur quoniam nos tãtis bonis agnouimus

De ſtatuis Imperatorum Rom.

Epheſ. 5.

eſſe perfunctos, vitam congruam peragamus, & ſymbola illa atque pactiones, quibus ſumus cõſtricti, cordibus noſtris inhæreant. Vobis proclamo, cautiones vel chirographa peccatorum noſtrorum ſcinduntur: quia nunc eſtis recenti lumine illuſtrati. Sed & vos hac admonitione conſtringo, quos olim quoque ſimilis beatitudo ſuſcepit. Communis etenim hæc ratio nobis eſt, idem ſermo, communis obligatio: quoniam æquè & fœdera nobis cum illis communia: non atramento, ſed Spiritus recordatione conſcripta: non calamo, ſed linguæ puritate firmata. hoc enim calamo cum Deo pactiones conſcribi conſueuerunt. Et ideo Dauid ait: Lingua mea calamus ſcribæ velociter ſcribentis. Cõfeſſi ſumus huius imperium, diabolicam negauimus tyrannidem. Hoc chirographum, hoc pactum, B hoc ſymbolum docetur eſſe conſcriptum: videte ne chirographario inueniamur iterum debitores. Venit Chriſtus, & paternis nos cautionibus inuenit aſtrictos, quas conſcripſit Adam. Ille initium obligationis oſtendit, peccatis noſtris fœnus accreuit: ibi maledictio fuit, & peccatũ, & mors, legiſque condemnatio: & hęc omnia Chriſtus deleuit atque conceſſit, & clamat Paulus dicens: Chirographum peccatorum noſtrorum quod erat aduerſarium, & ipſum tuli de medio, affigens cruci: non dixit, delẽs, non *cataractans: ſed cruci affigens, vt prorſus eius nec veſtigia remanerent: ideo non deleuit, ſed conſcidit. Crucis enim claui diſſipauerunt illud, vt in eo nulla de poſtero remaneret vtilitas Et hoc non in angulo, nec ſecretim, ſed in mundo me- C dio, omnium videntibus oculis, in excelſo ligno nexum eius euacuat. Inſpiciant quidem angeli, conſiderent archangeli, & cum omni admiratione cœleſtes peruideant poteſtates. Nec aduerſarios hoc lateat, nec dæmones, nec ipſum diabolum, qui nos debitis obnoxios effecerunt. Scindantur ſub fœneratoribus cautiones, ne nobis in poſterum moleſtiæ præparentur. Quoniam igitur prius chirographum omnibus viribus caret, inuigilemus ne nos alia obligatio, alterque nexus aſtringat Crux enim ſecunda non eſt, nec altera remiſſio peccatorum: per lauacri regenerationem eſt nanque remiſſio, ſed non conceditur per lauactrum. Et ideo inuigilemus, & arripiamus ſollicitudinem. Propter hoc enim de Ægypti finibus emigraſtis. Ne illius terræ iterum ſeruitia cogitemus, ne veluti lateris cõmemoratio habeatur: later etenim eſt iſtius vitæ dementia. Nam & ipſa ſpecies auri fulgentis nondum arte compoſita, nihil aliud niſi terra monſtratur Vidiſti mirabilia longè maiora, quã Iudæi in illo tempore Ægyptum relinquentes: non vidiſti armatum Pharaonem ſuffocatum, ſed vidiſti diabolum mole ſuppreſſum. Illi fluctus & pelagus tranſierunt, tu mortem tranſiſti: illi Ægyptiorum ſeparatione alienati ſunt, tu dæmonum liberatione gratularis: illi iugum amiſerunt barbaricæ ſeruitutis, tu quod durius eſt, à peccatorum ſeruitute liberatus es. Vis aliunde quoque cognoſcere, vnde honor tibi eſt amplior attributus? Iudæis tunc Moſi vultũ glorificatum non fuit videre conceſſum, Adæ conſerui, & Adæ ſanguinis neceſſitate coniun-

Pſal. 44.

Coloſſ. 2.

forte charaxans.

Exod. 34

cti: tu autem Chriſti vultum in ſua gloria peruidiſti. Et clamat Paulus dicens: Nos autem omnes reuelata facie gloriam Domini ſpeculamur. (2 Cor. 3. 18.) Illi tunc habuerunt Chriſtum ſubſequentem: ſed nos hodie plus meremur habere protegentem. Et illos quidem propter Moſi gratiã Chriſtus Dominus ſequebatur: nobis autem hoc non tantum nouelli Moſi cauſa cõceditur, ſed etiam propter obedientiam veſtrã. Illis poſt Ægyptum cuncta deſerta ſerpentibus plena: ſed nobis cœlum poſt Ægyptum præparatur, diuerſis manſionibus plenum. Illi habebant ducem Moſem, nos Dominum ſaluatorem. Hoc de iſto Moſe ſi quis dixerit, mihi crede, non errat. Nam & huius labia ſpiritus lenitatis amplexus eſt, huius animæ ſpiritus mãſuetudinem tenet. Moſes tunc manus ad cœlum leuauit, & manna panem protulit angelorum: iſte Moſes dexteram tetendit ad cœlum, & protulit panem cœleſtem. A Ille percuſſit petram, & fontes aquarum protulit: iſte proximans menſæ petram percuſſit ſpiritualem, & fontes ſpirituales oſtẽdit. Ideo nanque menſa, vt fons in loco medio collocetur, vt vndique circumſtantia ſatientur armenta: & ſalutaris ille meatus abundanti largitate decurrens, nullũ ſitis rabie deperire permittat. Quoniam igitur talis nobis hic fons eſt, taliſque vita noſtra conceditur, & omnibus bonis menſa completur, vt vndique nobis affluat largitio ſpiritualis: accedamus cum corde veritate ſuffulto, cum pura conſcientia, vt accipiamus gratiam & miſericordiam, & auxilium opportuno tempore, gratia & miſericordia domini noſtri Ieſu Chriſti, per quem, & cum quo B gloria patri, cum Spiritu ſancto, & nunc, & ſemper, & in ſæcula ſæculorum. Amen.

IN APPENDICEM LATINAM

Tomi I. in Geneſim Notæ Frontonis Ducæj.

CONIECIMUS in hanc appendicẽ ea S. Ioannis Chryſoſtomi opera, quorũ Græcũ textũ diligenter in Europæ bibliothecis perquiſitũ nullibi nanciſci potuimus, eiſq; præfiximus conſcriptũ de eius vita Dialogum, qui cũ ante annos ſexaginta primo Venetiis Latinè ſit editus ab Ambroſio Camaldulenſi, haud dubium, quin ex aliquo exemplari Græco, quod in aliqua Italiæ bibliotheca deliteſcat. Non deſunt, qui ſpem faciant amici fore, vt vel inde, vel ex alia Hiſpanico librorũ promptuario exſcribendum illum impetremus: quod ſi contingat, magno id nobis vſui futurũ eſt non modo ad illuſtranda quæ à Socrate & Sozomeno vel a Nicephoro, Georgióque Alexandrino ſunt tradita, ſed ad ſoluendas quoque non mediocres difficultates, quæ in ipſius Dialogi huius Latina interpretatione ſeſe offerunt. Atque in primis quis auctor iſtius Dialogi verus ſit, minimè liquet, cum interpres hũc tantum ei titulum indiderit: *De vita Diui Ioannis Chryſoſtomi Dialogus: Palladius Epiſcopus Helenopolitanus, & Theodorus Romanæ Eccleſiæ Diaconus, colloquuntur.* In libro Cuiaciano illuſtriſſimi Cardinalis Perronij, quo Epiſtolæ Chryſoſtomi cõtinentur, fragmentum repertum eſt trium paginarum iſtius Dialogi Græcè attextum, quod appictum rubrica titulum hunc præſe ferebat, Ἐκ τοῦ ἱστορικοῦ λόγου τῶν περὶ τοῦ Χρυσοστόμου ὑπό τινος τῶν ἐπισκόπων πρὸς Θεόδωρον διάκονον Ῥώμης λεχθέντος. Θαυμάζω σε ἀνδρῶν. *Ex ſermone hiſtorico de rebus Chryſostomi habito ab Epiſcopo quodam cum Theodoro Diacono Romano.* Photius in Bibliotheca ſua pag. 138. edit. Auguſtanæ auctorem eius facit Palladium Epiſcopum his verbis agens de Georgio Alexandrino, λέγει δὲ ἐκ τοῦ Παλλαδίου, ἐπίσκοπος δὲ ὁ Παλλάδιος, ὃ διαλογικῷ τύπῳ καλῶς τε καὶ ἐσπουδασμένως τὰ περὶ τὸν Χρυσόστομον ἀνεγράψατο. *Refert autẽ ex Palladio Epiſcopo, qui Dialogi forma pulchrè ac ſtudioſè Chryſoſtomi res conſcripſit.* Intes auctores ex quibus Anonymus, ille qui vitam eius edidit octauo tomo Sauilianæ editionis comprehenſam, ſecundo loco numeratur, Παλλάδιος ἐπίσκοπος Ἑλενουπόλεως. Palladius Epiſcopus Helenopolitanus. Rurſus interpres Ambroſius vel alius quiſpiam qui notam C marginalẽ addidit pag. 35. col. 2. c. huius Dialogi colligit non à Palladio, ſed à Theodoro Diacono ſcriptum illum fuiſſe, quod illic dicat Theodorus ſe quæ dicta ſunt infixa tenere ſcripturæ per ſe fortaſſe tradenda. Illuſtriſſ. Cardinalis Baronius ad annum Chriſti 429. num. 8. putat Diaconum illum Palladium, quem Cæleſtinus Pontifex in Britanniam miſit anno octauo imperij Theodoſij minoris, res geſtas Chryſoſtomi ſcriptis mandaſſe ſub Zoſimo papa, quem etiam Thrithemius inter ſcriptores Eccleſiaſticos numerat, quod præter vitam Chryſoſtomi librũ etiam contra Pelagianos, & homiliarũ librum vnũ ediderit, ſed cum nullum rationum fundamentum iaciant, quo iſta ſentẽtia nitatur, probabilius videretur Palladium Epiſcopum Helenopolitanum eius auctorẽ eſſe, niſi rurſus ambiguum eſſet, quis iſte Palladius cenſendus D ſit, cum eodem illo tempore duos floruiſe comperiamus. Nam vt rectè animaduertit idem doctiſſ. Baronius an. 388. ſect. 110. cum dicat ille Palladius, qui cum Theodoro colloquitur, ſe tum primum Romam veniſſe, cum Zoſimus Pontifex ſederet, diuerſum eum eſſe oportet ab illo Palladio Helenopolitano Epiſcopo, qui abſque literis Romam ad Innocentium perrexit, & principum væſaniã fugit p. 6. co. 1. c. hoc eſt octo vel decem annis, antequam Zoſimus Eccleſiæ præeſſet: quin etiam Palladius ipſe de ſocio Chryſoſtomi Palladio in tertia perſona loquitur, p. 25. co. 1. b. tãquã de homine à ſe diuerſo. Quam ob cauſam nonnullis viſum eſt duos Chryſoſtomi tempore fuiſſe Palladios, vnum

Epiſcopum Helenopoleos, qui Romam primũ venerit ſedente Zoſimo, & in Dialogo colloquens cum Theodoro introducitur, alterum Palladium Blemmyorũ in Æthiopia Epiſcopũ quẽ narrat Theodorus p.6. col.1.c. poſt Cyriacũ & Eulyſium Romam ſedente Innocentio veniſſe, verum irrepſiſſe titulum Epiſcopi Helenopolitani, librarij errore, cum Blemmyorum fuerit Epiſcopus, idem ille nimirum qui mox p. 6. col. 2. literis Epiſcoporum Occidentalium fretus cum Fulyſio & Cyriaco reuertitur, & Athyris à militibus detinetur, nec alterius Palladij non ſemel facit Theodorus, cum narrat p. 36. col. b quid factum fuerit Epiſcopis carcere illic detentis, præterquam Epiſcopi Blemmyorum, qui Syenen fuerit ablegatus. Atenim altera difficultas occurrit, quæ nos cogit tertiũ quendam Palladium admittere, qui Romam Chryſoſtomi cauſa Pontifice Innocentio ſedente venerit, hoc enim de ſe ipſo teſtatur Palladius auctor Hiſtoriæ Lauſiacę to. 7. Bibliothecæ patrum cap. 121. vbi de monachis agit, qui cum Opiano, vel Piniano degebant. *Non paruo nos honore affecerunt, cum Romam veniſſemus propter beatum Ioannem Epiſcopum nos reficientes, & abundantiſſimis viaticis excipientes.* Idem etiam teſtatur cap. 39. ſe in Bithynia regione Aſiæ (cuius ciuitas eſt Helenopolis) Epiſcopum ordinatum eſſe: A Paleſtina veni in Bithyniam & in ea vrbe neſcio quomodo an humano ſtudio, an potentiori voluntate, Deus ſcit, dignus habitus ſum ordinatione: quamobrem licet in inſcriptione Epiſtolæ ad Lauſum, Cappadociæ ſe dicat Epiſcopum, Helenopoleos hunc quoque Palladium Epiſcopum fuiſſe poſſumus ſuſpicari: ſed ſi vt diximus ope codicis manuſcripti Græcum nanciſcamur exemplar, multa perperam vel ab interprete vel à librariis expreſſa fortaſſe reſtituẽtur, ex quibus certius quippiam ſtatuere licebit. Alios vitarum Chryſoſtomi auctores vt Georgium Alexandrinum, Simeonem Metaphraſtẽ, Leonem Imperatorem & Anonymum non adiunximus, nec eos qui in Latinis editionibus præfigi ſermonibus in Geneſim ſolebant, quod ſeorſim omnium Sanctorum vitas Græce ac Latine in lucem edendas quidam ordinis noſtri Theologus à multis annis ſuſceperit.

Pa.39 col.1.c *dum ſubitas mutationes.* Interpres legiſſe videtur rectius μεταβολὰς ὀνειροπολῶν, perperã enim erat in mſ.P. ὀνειροποιῶν. col.1. d. *vt perdix.)* Addendum è Græco, *immanſuetus, vt mus: immitis vt lupus.* Ita Plinius lib.10.cap.45. *E volucribus hirundines eſſe indociles, è terreſtribus mures, cum elephanti iuſſa faciant, leones iugum ſubeant, in mari vituli, totque piſcium genera miteſcant.* paulo poſt ita diſtinguendum eſt, *ſui ipſius indeſinenter inimicus, neceſſario ſibi inuidens non animaduertit ſe à ſemetipſo puniri. Cùm enim malum.* Reliqua huius fragmẽti implendæ paginæ cauſa, quæ vacabat ſubijciemus: vt hoc veluti ſcalmo inuento in ſpem totius reliquæ nauis reperiendæ, ſi Deus fauerit, erigamur.

P.41. Inter homilias in varios Octateuchi locos habitas, & Chryſoſtomo merito tributas numerat hanc de continentia Ioſephi Sixtus Senenſis lib. 4. Bibliothecæ ſanctæ, & homiliam de Pſalmorum vtilitate, Quemadmodum cibo vita p.50. Rurſus homiliam poſt reditum prioris exilij pa. 49. repreſentamus, quæ hactenus excuſa cum eius operibus ſemper fuit, licet eius ſtylus à cæteris auctores noſtri nonnihil abhorreat, nec proœmium habeat de Sarræ hiſtoria nec laudes Imperatricis, quas Sozomenus ſermoni ſuo intexuiſſe teſtatur Chryſoſtomum, quem à periori exilio reuerſus habuit, vt pluribus docuimus in Notis ad alterum GræcoLatinum, quem epiſtolis eius ſubiunximus p. 969. ἐπὶ τὴν Σάῤῥαν. P.51. Ad Neoph. Citat hãc homiliã, & auctori eã ſuo vindicat antiquiſſimus & grauiſſimus teſtis Aug. li. 1. contra Iulianum Pelagianum ca.2. atque huius interpretationis verba profert, dum aduerſus hæreticum illum de peccato originali diſputat, & immerito ipſius auctoritate niti ſi Iulianum velle contendit, his
B verbis, *Sanctus Ioannes, inquit, Conſtantinopolitanus negat eſſe in paruulis originale peccatum. In ea quippe* Vide
homilia, quam de baptizatis habuit, Benedictus, *in-* ſupra p.
quit, Deus qui fecit mirabilia ſolus, qui fecit v- 52.col.1.
niuerſa, & conuertit vniuerſa. Ecce libertatis a.
ſerenitate perfruuntur, qui tenebantur paulo ante captiui: & ciues Eccleſiæ fiunt, qui fuerũt in confuſione peccati. Non enim tantum ſunt liberi, ſed & ſancti: non tantum ſancti, ſed & iuſti: non ſolum iuſti ſed, & filij: non ſolum filij, ſed & hæredes: non ſolum hæredes, ſed & fratres Chriſti: nec tantum fratres Chriſti, ſed & cohæredes: non ſolum cohæredes, ſed & mẽbra: non tantum membra: non tantum membra, ſed & templum: non tantum templum, ſed
C & organa ſpiritus. Vides quot ſunt baptiſmatis largitates, & nonnulli deputant cœleſtem gratiam in peccatorum tantum remiſſione conſiſtere: Nos autem honores computauimus decem. Hac de cauſa etiam infantes baptizamus, cum non ſint coinquinati peccato, vt eis detur vel addatur ſanctitas, iuſtitia, adoptio, hæreditas, fraternitas Chriſti, vt eius membra ſint. *Ita ne verba ſancti Ioannis Epiſcopi audes tanquam econtrario tot taliumque ſententiis collegarum eius opponere, eumque ab illorum concordiſſima ſocietate ſeiungere, & eis aduerſarium conſtituere? Abſit, abſit hoc malum de tanto viro credere aut dicere.*

Et poſt pauca idem Auguſtinus: *Comparans ergo eos Ioannes maioribus, quorum propria peccata dimittuntur, in baptiſmo, dixit illos non habere peccata, non*
D *ſicut verba eius ipſe poſuiſti, non coinquinatos eſſe peccato, dum vis vtique intelligi non eos peccato primi hominis inquinatos. Verum hoc non tibi tribuerim, ſed interpreti, quanquam in aliis codicibus eandem interpretationem habentibus non peccato, ſed peccatis legatur. Vnde miror ſi non aliquis ex numero veſtro ſingularem maluit numerum ſcribere, vt illud acciperetur vnum,*
vnde dicit Apoſtolus, Nam iudicium quidem ex vno Rom. 5.
in condemnationem, gratia autem ex multis delictis in iuſtificationem: Ibi quippe vnum, non niſi vnum delictum vult intelligi, quo nolentes credi paruulos inquinatos non eos peccata non habere, quod ait Ioannes, ne intelligerentur propria, vel peccatis, ſicut habet in aliis codicibus eadem interpretatio, ſed peccato non inquinatos dicere maluiſtis, vt vnum primi hominis peccatum veniret in mentem. Sed ſuſpicionibus non agamus, & hic vel ſcriptoris error, vel varietas putetur

interpretis : ego ipſa verba Græca , quæ à Ioanne dicta ſunt ponam διὰ τοῦτο καὶ τὰ παιδία βαπτίζομεν, καίτοι ἁμαρτήματα οὐκ ἔχοντα. *Quod eſt Latinè* , Ideo & infantes baptizamus , quamuis peccata non habentes: *Vides certè non ab eo dictum eſſe paruulos non coinquinatos eſſe peccato , ſiue peccatis, ſed non habere peccata, intellige propria : & nulla contentio eſt.* Rurſus allatis in medium aliis eiuſdem S. Ioannis teſtimoniis ex Epiſtola ad Olympiadem, & ex ſermone 3. in Geneſim , cur beſtię lædant homines , ad hunc redit ſermonem ad Neophytos , & alterũ eius locum profert Auguſtinus.

Vide ſupra p.51. col. 2. b. *Quid enim apertius quàm id quod ibi dixit?* Venit ſemel Chriſtus & paternis nos cautionibus inuenit aſtrictos , quas conſcripſit Adam. Ille initium obligationis oſtendit , peccatis noſtris fœnus accreuit. *Audiſne hominẽ in fide Catholica & eruditũ & erudiẽtẽ diſtinguentẽ debitũ paterni chirographi, quod hæreditarium nobis inhæſit , ab eis debitis, quorum per noſtra peccata fœnus accreuit? Audis* A *quid paruulis relaxetur in baptiſmo , qui nondum propria debita contraxerunt, nec tamen à paterno chirographo immunes eſſe potuerunt? Verba quippe eius non interpretata ſic leguntur in Græco,* ἔρχεται ἅπαξ ὁ Χριστός, εὗρεν ἡμῶν χειρόγραφον πατρῷον, ὅπερ ἔγραψεν ὁ Ἀδάμ. ἐκεῖνος τὴν ἀρχὴν εἰσήγαγε τοῦ χρέους, ἡμεῖς τὸν δανεισμὸν ηὐξήσαμεν ταῖς μεταγενεστέραις ἁμαρτίαις. *Quæ verba è verbo interpretata ſic ſe habent* , Venit ſemel Chriſtus , inuenit noſtrum chirographum paternũ , quod ſcripſit Adam. Ille initium induxit delicti , nos fœnus auximus poſterioribus peccatis. *Nunquid contentus fuit dicere paternum chirographum , niſi adderet noſtrum? Vt ſciremus antequam fœnus peccatis noſtris poſterioribus augeremus, iam illius chirographi paterni ad nos debitum pertinere.* Hæc Auguſtinus tu priorẽ locũ vide p.52.co. 1.a, poſteriorẽ p.52.col. 2. b, & ſanctiſſimo Doctori Eccleſię Auguſtino gratiã habe, cuius beneficio paucula iſta S. Ioãnis Græca verba ex iſta homilia legis ab iniuria temporum vindicata.

ΕΚ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ ΛΟΓΟΥ ΤΩΝ

περὶ τοῦ Χρυσοστόμου ὑπό τινος τῶν ἐπισκόπων πρὸς Θεόδωρον διάκονον Ῥώμης λεχθέντος. ὁ ἐπίσκοπος.

Θαυμάζω σου ἀνδρῶν τιμιώτατε τὸ τὴν ὠφέλειαν ὁμολογοῦντος, καὶ αὖθις τὰ ἐναντία λαλοῦντος. μακαρίζων γὰρ ὡς στεφανίτας, ταλανίζεις ὡς ἐκπεσόντας, ἐπειδὴ τῶν ἐκκλησιαστικῶν ἐστερήμεθα τοίχων. ὅμοια δέ μοι πάσχεις τῶν τὰ Ὀλύμπια θεωρούντων ἀγροίκων. ἐκεῖνοι μὲν γὰρ κεχήνασι μὲν πρὸς τὰ βραβεῖα ἡδέως, δακρύουσι δὲ πρὸς τὰς πληγὰς τῶν ἀγωνιζομένων οἰκτρῶς. ἐμοὶ δὲ ἄμεινόν ἐστι φάραγγας καὶ νάπας καὶ πελάγη διώκειν μετὰ τῆς ἀληθείας, ἢ πολλὴν ἔχοντα δόξαν τῆς νῦν νομιζομένης εὐημερίας ὑποκεῖσθαι τῷ ψεύδει. ἀλήθειαν μὲν γὰρ ἔχων ἔξω τὰ πάντα, αὐτῆς γὰρ δοῦλα τὰ πάντα· ψεῦδος δὲ κεκτημένος οὐδὲ ἐμαυτόν, ἐκείνης μὴ ὑπάρχων. ἔχων δὲ τὴν ἀλήθειαν οὐχ ἁπλῶς αὐτὴν βούλομαι ἔχειν ὡς δέσποιναν ἢ δούλην ἢ γείτονα, ἀλλ' ὡς ἀδελφήν, ἂν δὲ ᾖ δυνατὸν καὶ ὁμόζυγον, τῆς ἡδονῆς αὐτῆς ἀπολαύειν, καὶ μετὰ ταῦτα κληρονόμον ὡς ἰδίαν γυναῖκα. θυγάτηρ γάρ ἐστι τῆς ὄντως ἀληθείας, ἧς γαμβρὸς ὁ Ἰουδαῖος. ὁ γὰρ ταύτην ἔχων σφετερίζεται δύναμιν, ἀγήρως ἐστὶ καὶ ἀμάραντος, θερμότερον πυρὸς ἔχων ζῆλον, ὀξύτερον ξίφους τὸν λόγον, κουφότερον ἀετοῦ τὸν βίον, ἄοκνος τρέχει καθάπερ πρὸς οἰκεῖον μητέρα πρὸς τὴν τῶν γραφῶν μελέτην· ἀνθεῖ διηνεκῶς τῇ ἀγρυπνίᾳ, οὐ κεκράτηται φόβῳ, γαυριᾷ τῇ ἀδείᾳ, κορυβαντιᾷ τῷ ἐνθουσιασμῷ, οὐ μισεῖ οὐδένα, οἰκτείρει τοὺς κακῶς τῷ βίῳ χρωμένους, μακαρίζει τοὺς ἰδιοπραγοῦντας μετὰ τῆς αὐταρκείας· λυπεῖται τῇ τοῦ πνεύματος λύπῃ ἐπὶ τῇ τῶν ἱερατικῶν ἀμελείᾳ, περὶ ὧν εἶπεν ὁ ἀπόστολος, καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τοῦ θεοῦ ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. λυπεῖ δὲ τὸ πνεῦμα ὁ διδοὺς αὐτῷ νῶτα τῇ ἀμελείᾳ. καὶ τί γὰρ τὸ ὅλον; τελευτᾷ μετὰ παρρησίας οὐδένα λυπήσας πλὴν τῶν δαιμόνων, καὶ ὅσοι γείτονες τούτων. χρόνος αὐτῷ περιττεύει, οὐκ ἐκαπήλευσε τὰς ἡμέρας ἐν κακουργίαις, ἐδιπλασίασε τὸ δεδομένον χάρισμα, καὶ τόκους ἀγαθῶν ἔργων προσέπεμψεν ἐν ὀλίγῳ χρόνῳ πληρώσας πολυχρόνια χρέη, διαθήκης ὕλην οὐ γράφων. ζῶν γὰρ καὶ φρονῶν αὐτὴν καταλέλειπται. θάνατος ἔκρουσε τὴν C D τοῦ σαρκίου θύραν, πρὶν αὐτὸν ἰδεῖν ἔξωθεν ὄντα βοᾷ, ἀπελθὼν μὲν ἐντεῦθεν ἐπιψάλλων, οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη, καὶ εἰ μὴ διὰ τὸν πέμψαντα δεσπότην αἰ αὐτῷ περιέθηκε δίκας εἰσπράττων, ὅτι σχολαιότερον ἦλθεν. ἀσπάζεται δὲ τελευταῖον ἀπαλλαγεὶς τοῦ πολυπαθοῦς σαρκίου ὡς ξενιδίου σαθροῦ ἀπειλοῦντος πτῶσιν. ὤρθωσε τὸ οὖς πρὸς τὸν λόγον τὸ εὖ δοῦλε ἀγαθὲ ἀκουσάμενος καὶ τὰ ἑξῆς. ἔστω δέ σοι τεκμήριον τῶν λεγομένων ἡ τῶν λόγων πυκνότης. ἐκ γὰρ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα. ὁ δὲ τῷ ψεύδει συζῶν βίον ἔχει πεπραγμένον· ποτὲ μὲν γὰρ χαίρων ἀμέτρως ἐπὶ αὐξήσει ἀργυρίου ἢ δόξαρίου μικροῦ ἢ πορνιδίου φιλίᾳ ἢ ἐχθρῶν αὐτοῦ δυσημερίᾳ. ποτὲ δὲ λυπεῖται ἕως θανάτου τὰς βουλὰς ὁ νεκροπολῶν καὶ τὰς ἀδηλίας, νύκτας ἔχει ἀύπνους ἢ κακοΰπνους, ὑπονοεῖ ἐπιβουλὰς καὶ τῶν γνησίων οὐ θαρρῶν οὐδὲ ἑαυτῷ, ἀπιστῶν τοῖς πᾶσιν ὡς ψεύσταις. τοιοῦτος αὐτὸς ὑπάρχων δειλός ἐστιν ὡς λαγωός, θρασὺς ὡς χοῖρος, ψεύστης ὡς χαμαιλέων, ἀπατεὼν ὡς πέρδιξ, ἀνήμερος ὡς μῦς, ἀνελεήμων ὡς λύκος, ἐχθρὸς ἑαυτῷ ἀδιαλείπτως, βάσκανος ἐξ ἀνάγκης ἑαυτὸν τιμωρούμενος οὐκ αἰσθάνεται. κατ' ὀλίγου γὰρ κακῶς λογιζόμενος φθάνει πάσχων ὑφ' ἑαυτοῦ κακῶς. θάνατος ἔνυξε, πάντα δίδωσιν, ἵνα μικρὸν παραμείνῃ φιλοζωῶν, τὸν δεδομένον αὐτῷ χρόνον ἐκαπήλευσεν εἰκῇ, τὸ δηνάριον πρὸς οἷς οὐκ ἐδίπλωσεν, οὐδὲ σῶον ἐφύλαξε. τρέμει διηνεκῶς ὡς φύλλον γηρᾶν οὐ βουλόμενος, ληροφρονῶν τὰ γερόντων ὑφίσταται· φοβεῖται τὸν θάνατον ὡς θεὸν παρ' αὐτῷ ὁ κόσμος φαινόμενος. καὶ τί γάρ, ὠχριᾷ καὶ φρικιᾷ, προλαμβάνων τὴν τοῦ θεοῦ κρίσιν ἑαυτὸν τιμωρεῖται διὰ τοῦ συνειδότος ἀνηλεῶς βασανίζων καὶ καθ' ἓν πλημμέλημα ἑαυτὸν ὑπομιμνήσκων, δεινότερα πάσχων ἤπερ οἱ μαστιγούμενοι τὰ ἑαυτῶν σώματα ταῖς πληγαῖς ὑποδύεται τὰς κατὰ καιρὸν δυναστείας δουλοπρεπῶς, κολακεύει τὸν κόσμον αἰσχρῶς ἀντὶ ἑνὸς κυρίου μυρίους ἔχει δεσπότας, ἵνα μὴ τῇ ἀληθείᾳ δουλεύσῃ, ἐπιφόβους αὐχεῖ αἰ φοβούμενος τοὺς πάντας.

INDEX DICTIONVM ET
LOCVTIONVM GRÆCARVM, QVÆ IN
HOC VOLVMINE IN GENESIM
notatu dignæ ſunt.

Αβίωτος βίος 390.c
Αγέννητος ὕλη 883.b
Αγειν εἰς ἔννοιαν 290.d
Αγῶνα ἐφιστᾶν 39.b
Αγωνοθέτης θεός 1014.d
Αδάμαντος στερρότερος. 29. d. 271. d.
ἀδαμάντινος πύργος 969.d
Αδαπάνητος θησαυρός 230.b
Αδέκαστον κριτήριον 43.b
Αδέκαστος δικαστής 855.d
Αδιάκριτος σπουδή 973.c
Αδιατύπωτον 886.a
Αειθαλὲς δένδρον 317.c
Αθυμίαν ἐξελεῖν. 877. b. κατασκεδάζειν. 318. d. τῇ κατεπιθυμίᾳ. 484.b
Αἴθριος διανυκτερεύει 1064.c
Αἴσθησιν εἰς ἀγαγεῖν 193 c
Αἰχμὴν κατασκεδάζεται 61.b
Ακάθεκτος μανία 986.c
Ακοὰς ἀποκναίειν. 203. d. ἀποφράττειν. 312.c
Ακοίμητος ὀφθαλμός. 79. a. 808. d. 818. b. 968.b
Ακολουθία κέχρηται 233.b
Ακρα κορυφῆς 293.b
Ακρίβεια βίου 259.a
Ακρόπολις κακῶν 226.d
Ακόρεστον περὶ διδασκαλίαν. 361.c
Ακροθινιάζειν ἐξουσίαν 143.a
Ακαιρα μηχανήματα 722.a
Αμετανόητον 295.d
Αμηχανίαν εἰς ἐμβάλλει 439.b
Αμυήτους παρακαλεῖ 115.a
Αναβλέψαι διάνοια 996.c
Ανακαλέσασθαι ἀπόφασιν. 294. a. πλημμέλημα. 233. d. ἀναζωπυρεῖ 849.d
Αναμαρυκώμενοι τὰ θεῖα 144.b
Αναμφισβήτητος ἀπόδειξις 1031.b
Αναντίρρητος λογισμός 761.d
Αναπνοαὶ ἐσχαταί 537.b
Αναστοιχείωσις 304.b
Ανατρέχει τὰ τῆς μέμψεως 48?.b
Αναφορὰν ἔχει 485.b
Αναχαιτίζειν διάνοιαν. 763. a. λογισμὸν 290.d
Ανενδεὴς θεὸς 87.d
Ανενέργητος πρὸς ἁμαρτ. 797. d. ὁ καθεύδων. 691. c. μελος 168.c
Ανεξαπάτητος 1061.a
Ανέορτος μάλιστα 999.c
Ανιῶντα μεταγινώσκειν 258 a
Ανθρωπίνως δέχεσθαι 149.b
Ανθρωπόμορφος θεός 75.d
Ανίατα ἁμαρτάνειν 295.a
Ανιχνεύειν 274.c
Ανόνητα ῥήματα. 470. c. μεταμελεῖσθαι 228. b. ἐπιχειρεῖν. 64. a. 532.d
Αντίρροπος οἰκουμένης. 1026. b. χρόνου 320.a
Ανώτερος βελῶν 797.a
Απάθεια ἀγγέλων 169 b. 192.c
Απαράλλακτον δόξης. 1059. a. μορφῆς 891.d
Απαραλλαξία τῆς οὐσίας 894.b
Απαραλόγιστος δικαστής. 205. d. ὀφθαλμὸς 284. b. 1032.c
Απαρρησίαστος 988.a
Απαρτίζειν τὰ παρ᾽ ἑαυτοῦ 521.d
Απασχολεῖσθαι περὶ 540.c
Απερυθριᾷ ψυχή 406.d
Απειρόκακος ἡλικία 276.b
Αποβουκολεῖν 1054.d
Αποδύεσθαι πρὸς ἀγῶνας 530.a
Αποθνήσκειν δεῖ 299.d
Αποκρύπτειν φιλοτιμίαν 223 a
Απομάξασθαι εὐμορφίαν 1039.a
Απονέμειν πρόνοιαν 241.d
Απονίψασθαι ἁμαρτίας. 290. a. 493.c
Αποικίαν εἰς γεγονώς 717.d
Αποτάττεται μοναχός 240.d
Απόφασιν ἀνακαλεῖσθαι 237.d
Αποφράττειν ἀκοὰς 132.d
Απρακτα μεταγινώσκειν 163.b
Απροσωπόληπτον τοῦ θεοῦ 261.b
Αρεὺς τὰ φρονεῖν 77.d
Αρετῆς κορυφή 361.c
Αριστοτέχνης θεός 105.d
Αρραγὲς τεῖχος. 515. a. πέτρα 14.b
Αρχὰς εἰσφερομένας 320.c
Αρχέκακος δαίμων 157.b
Αρχὴ ἀκροθινιάζεται 85.d
Ασθένεια συνδεδεμένοι. 322. d. ἐπιρρῶσαι τὴν 5?2.c
Ασαρκα καὶ ἀνήροτα 187.c
Ασπονδος ἔχθρα 182. a. 797.a
Ασχημάτιστον τὸ θεῖον 128.b
Ατιμίαν κατασκεδάζειν 420.d
Ατιμωρητὶ ἁμαρτάνειν 195.a
Αὔρα πειρασμοῦ 17.a
Αὔτανδρος καταποντίζεται 744.d
Αὐταρκείας ἔχεσθαι 540.d
Αὐτεξούσιον ἐδωρήσατο 254.c
Αὐτολίθινη ψυχή 691.a
Αὐτομανίας πληρούμενος 98.b
Αὐτόματα γέγονε 22.d
Αὐτομολεῖν ἐπὶ κακίαν 276.a
Αὐτοχειροτόνητος 511.c
Αφορμὴν ἐκκόπτειν. 6. c. ποιεῖσθαι. 234.c
Αφωνότεροι λίθων 36.b
Αχαλίνωτον ἐπιθυμίας 376.b

B.

Βάλλεται κατηγορίαις 43. a. 433.a
Βαπτίζεται ἁμαρτήμασι 488.c
Βάραθρα κακίας 1052.a
Βαρυωποῦσιν ὀφθαλμοί 863.c
Βάσιμος οὐρανός 425.d
Βίος ἀβίωτος 785. c. 963.b
Βλασφημία καὶ κατηγορία 432.d
Βλέπειν φόνον 1048.c
Βοήθειαν παρέχειν 261.c
Βοσκημάτων δίκην 289.a

Γ.

Γῆν ἐφορᾷ ἥλιος 991.a
Γίνονται ἑνὸς μόνου. 360. a. 521. c 807.c
Γλῶσσαν δανείζει. 230. c. ἐπιστομίζει. 97. d. 133.b

Xxxx

Γνώμη ἐρηρεισμένη. 540. a. τῇ γνώμῃ στρατεύειν 805.d
Γονάτων ἅπτομαι 213. c
Γυμνάζειν ὑπακοὴν 682.b

Δ.

Δακνει ἀκοὴν 289. d
Δεινὰ κορυφοῦται 469. d
Δῆλα τυφλοῖς 22. a
Διαβαίνει ὕβρεις 485. a
Διαθερμαίνεται σπλάγχνοις 169. c
Διαμαρυκᾶσθαι ῥήματα 37.a
Διάνοια εἰλικρινὴς 200. c
Διανοίας ὄμμα 428.c
Διαπόνητος ἀποδημία 976.d
Διδασκαλίας ἀκτῖνες 282.c
Διδάσκαλον προσδεδωκότες 277.d
Δικαιολογίαν συνέθηκε 1024. d
Διορύττεται σωφροσύνη 744.b
Δοκήσει καὶ φαντασίᾳ. 777. d. παραγίνεσθαι 6.c
Δόξα σοι ὁ θεός 71. c
Δοξολογίαν εἰς περιπέμπει 143.d
Δρᾶμα ὑποκρίνεσθαι 468. d
Δραστικὰ φάρμακα 61. b
Δρόσος πνεύματος 259. a
Δυσαποσπάστως ἔχειν 442.d
Δύστροπον τῶν γυναικῶν 726. a
Δωρεῖσθαι φιλοτιμίαν 320.d

Ε.

Ἐγκολάπτειν τῇ καρδίᾳ. 58. d. μνήμην 103.a
Ἐθνικὴ γυνή 312.a
Εἴδωλα πορνείας 1038.a
Εἰσφέρειν τὰ παρ' ἑαυτοῦ 320.b. 782.a
Ἐκπνεύουσα κρίσῃ 700.a
Ἐκεχειρία πολεμικῶν 428. a
Ἐκκαλεῖσθαι εὔνοιαν 324. b
Ἐκκενοῦν διάνοιαν 972. d
Ἐκκρέμαται ἡ ψυχὴ 844. c
Ἐκκυλίζεται λόγος 494. c
Ἐκτραχηλίζεται 1013.d
Ἔλεος κατέχει 820. a
Ἐλευθέρα κοσμία 3. b
Ἐλεῶν τῆς ἀγνοίας 99.a
Ἕλκος δυσένδοτον 53. b
Ἐλπίδα ὑποφαίνειν. 859.d. ἐλπίσι τρέφεσθαι. 303. b. 496. b. φυσᾶσθαι 161.b
Ἐμπρησμὸς θυμοῦ 258.d
Ἐναποσκιρρωθεῖσα 1008.b
Ἐνέκοψε τῆς ὁρμῆς 765. b
Ἐνηχοῦσι μαθήματα 13. d
Ἐνιδρυμένα διανοίαις 153. d
Ἐννεαμηνιαῖον κυοφορεῖσθαι 273.a
Ἐντολὰς καταπατεῖν 277.d
Ἐξανάστασις πᾶσα 286. d
Ἐξαίρετον τῆς εὐλογίας 96. b
Ἐξαρτᾶν ἀγκύραν 306. c
Ἐξεκυλίσθησαν τοῦ 130. c
Ἐξεταστὴς γίνεσθαι 290.c
Ἐξευμαρίζειν πράγματα 1028.c
Ἐξομολόγησις σύντονος 287.c
Ἐξοκέλλει κακίαν 154. b
Ἐξώκειλαν τοῦ μανίας 13. a
Ἐπιφέρειν ἀπὸ νοὸς 286.c
Ἐπηρτημένη κόλασις 785. b
Ἐπιγράφομαι ζωὴν 470. d
Ἐπιδαψιλεύομαι δωρεὰς 324. b
Ἐπιθέσθαι αὐτοῖς 1010.c
Ἐπικάμψαι εἰς οἶκτον 468. a
Ἐπικουφίζειν πόνον 773. a
Ἐπιόντα φθέγγεσθαι 400. b
Ἐπιπηδᾶν προαστείοις 487. c
Ἐπιπολαίως ἐντυχεῖν 188. c
Ἐπιπολάζει ὑπερβολὴ 709. c
Ἐπιρρεπὴς πρὸς πλάνην 55. b
Ἐπισκοπὴ ἄνωθεν 519.b
Ἐπισκοπεῖν περιφανείᾳ 991. b
Ἐπισπᾶσθαι εὔνοιαν. 493. c. εἰς εὔνοιαν 967.a
Ἐπισωρεύειν πῦρ 71. a
Ἐπιτιμήμασιν ἐρυθραίνεται 989. c
Ἐπιφύονται αἱρετικοί. 75. d. ἄλλως 84.b
Ἐπιχειρεῖν αὐλωνίτης 268.b
Ἐραστὴς μανικὸς 900.a
Ἔργον εὐχῆς ποιεῖσθαι. 865.a. χειρῶν γίνεσθαι 470.a
Ἔρχεσθαι διὰ ῥημάτων. 492. c. εἰς αἴσθησιν 322.b
Εὐγένειαν ἐπιγνῶναι 710. a
Εὐέμπτωτος ὁ νέος 987. b
Εὐεπηρέαστον φύσεως 250.b
Εὐεπιχείρητος 212. c
Εὔζωνον τοῦ βίου 465.d
Εὐλύτως ἵππος. 79.a. πρὸς ἐκπλήρωσιν 92.a
Εὐμετάβλητον 516. b
Εὐωδίας ἀπολαύων 682. d
Εὐνοϊκῶς διακείμενος 751. c
Εὐσύνοπτα ἔσται 291.d
Εὐχαριστίας διαφέρει 319.c
Ἔχουσι τὸ εὐμεταχυτὲς 343. c
Ἐχθρὰν αἴρεσθαι 103.b

Ζ.

Ζῆλον εἰς ἐναγαγεῖν 542. d
Ζήτημα ἀνακύπτον. 1021. b. πίπτεται 164.a
Ζήτησιν πρὸς παρορμᾷ 686. d
Ζωῆς μεταστάσεως 432.d

Η.

Ἡλίου φαιδρότερος 825.b
Ἡνίας χαλᾶσαι 250.b
Ἡνιοχεῖν δημιουργήματα 44. a
Ἧκον εἰς ἄνθρωπον 1011. d

Θ.

Θάρσος εἰς ἄγειν. 369. b. θεογνωσία 949.d
Θεοπνεῖν κτίσματα 12. d
Θεοπρεπὴς ἔννοιαν. 127. c. θεοπρεπῶς νοεῖν 149.c. 192.a. 201.a. 313. b
Θεότητος προεδρία 880.c
Θηλυδρίας γέγονε 844.c
Θησαυρὸς ἀνάλωτος 865.c
Θρυαλλὶς διάβροχος 982. c
Θυμὸν ἀναχαιτίζειν. 1019. c. ἐκκενοῦν 209.d. ἐξάπτειν. 78c.d. θυμοῦ ἐμπρησμὸς 258.d
Θυσία φρικτὴ 1037. c

Ι.

Ἰδιοποιεῖσθαι εὐεργεσίαν 500.b
Ἰδίωμα τῆς γραφῆς 316. b
Ἱκανοῦ ἐξ ἐγένετο 963. c
Ἴσασιν οἱ μεμυημένοι 358.b. 399.d
Ἰσοθείαν φαντάζεσθαι 122. c
Ἰσοστάσιον φύσεως 490. c
Ἴχνος κατ' προβαίνεσθαι 470.c

Κ.

Καιρίοις ἐν λυμαίνεσθαι 257. a
Κακοῖς περιβάλλειν 253.a
Κάλλει διαλάμπειν 470.b
Κάμινος φιλαργυρείας 134.d
Κανὼν ἀρετῆς. 987. a. γραφῆς. 778. a
Καρδίαις ἐμβατεύειν 262.b
Καταβαπτίζεσθαι ὑπὸ πειρασμῶν. 477. d. λογισμός 4.a
Καταμονήσει θεραπεύειν 791.c
Κατακλάζεται 994. c
Καταξαίνειν καρδίαν 171. a
Καταποθῆναι ὑπὸ ἀθυμίας. 314. a. 484.d. 823.a
Κατάρχειν τιμῆς 1047.a
Κατασκεδάζειν ἀθυμίαν. 318.d. 420.d
Κατατήκεσθαι ὑπὸ φθόνου 809. b
Καταυγάζει λογισμὸν 502.d
Καταχώσω μνήμην. 143. d. καταχῶσθαι ὑπὸ μέθης 76. d
Κατηγορίαν ἀποσκευάσασθαι 1029.d
Κατήγορον συνήγορον ποιεῖ 973. a
Κέντρα πρὸς λακτίζειν 29. d
Κεραία μία γραφῆς 198.d
Κηλῖδα προξενήσει 807. a
Κίνδυνον εἰς περιπίπτειν. 866. b. περιβάλλειν 521.a
Κλῆρος παρθενίας 197.b
Κόλασις ἐπήρτηται. 335.b. κόλασιν προξενεῖ 63. c
Κόλπος διανοίας 3. b
Κομῶν καθορθώμασι. 109. c. τέκνοις 751.d. τὰ λίαν κομῶντα 982.a
Κορυφοῦται δεινά. 469. d. κύματα 472.a
Κοσμικὸς εἰμι 240. d
Κρημνὸν εἰς κακίας ἐξώκειλαν 191. c
Κρυμοῦ ὑπὸ πηγνυμένη 542.d
Κύματα ἐστορεσμένα 878.c
Κυρία ἡμέρα 8.d. 425. b
Κύριος τῶν ἀγγέλων 1041. d

Λ

Λαβὰς διαφυγεῖν. 25.b. παρέχειν. 1061.d
Λαμπρὰ ἐσθὴς 990. b
Λειτουργίαν ἐπιτελεῖν [illegible].b

Λύθη παραπέμπειν 432.b
Λῆξις ἀσώματος 797.b
Λιμὸς ἐπιτείνεται. 840.a. λιμῷ πιέζεται 227.b
Λογικοὶ γεγόναμεν 322.a
Λογισμὸς ἀθυμίας. 1065.b. λογισμοὺς καπηλεύειν 121.d
Λόγον συστέλλειν. 188.d. λόγου ῥύμη 120.d
Λύπης κύματα 201.c
Λύπαι ἐπιθυμίας 276.c
Λυχνιαῖον φῶς 782.d

M.

Μαίνεσθαι περὶ χρήματα 108.a
Μανία ἀκάθεκτος 256.c
Μελέτην ἐποιοῦντο 253.d
Μεμυημένοι ἴσασι. 358.b. 399.d. 871.b
Μερίζόμενος λογισμόν 744.b
Μεριστὴς εὐφημίας 1013.a
Μεσοπεντηκοστή 1000.b
Μεταβολὴ ὀξύῤῥοπος 754.a
Μεταμφιεννύειν 979.c
Μετεωρίζειν τοιαῦτα 986.d
Μετεωροφρονεῖν 236.a
Μηχανήματα ἄκυρα 103.b
Μιμούμενος ἀγαθότητα. 169.b. φιλανθρωπίαν 275.b
Μισάδελφος γνώμη 835.b
Μισθὸν παραλογίζεσθαι 769.b
Μνήμη ἄληστος. 794.d. ἔναυλος. 288.c
Μοναχικὸς βίος 505.c

N.

Νάπαι καὶ ὄρη 98.c
Ναρκᾷ πρὸς ὑπόσχεσιν 495.a
Νεκρὸς ἀνενέργητος 80.d
Νευροκοπεῖν ταῦρον 870.c
Νευροῦν προθυμίαν 306.a. 494.d
Νέφος ἀθυμίας 850.a
Νήματα σκωλήκων. 192.b. σηρῶν. 691.b
Νίκην παρέχειν 523.d
Νόμον παρεγχαράττειν 38.c
Νοσοῦντες τὰ Οὐαλεντίνου 885.a

Ξ.

Ξενίζειν μέλλειν 586.a
Ξίφος βαπτίζειν 1014.d

O.

Οἰκειοῦται τὰ γινόμενα 738.d
Οἰκονομία τοῦ 811.c
Οἴχεται τὰ τῆς ζωῆς 726.a
Ὅλος γεγονὼς τοῦ ἔρωτος 785.d
Ὁμονοίᾳ συμπλέκεσθαι 746.a
Ὁμοτιμία υἱοῦ 77.d
Ὁμοτράπεζος 1052.d
Ὀνείδη ἀποτρίβεσθαι. 991.d. ὀνείδεσι πλύνειν 967.c
Ὄντος ἐκ τοῦ μὴ 65.a
Ὀπισθοφανές 404.d
Ὁρμὴν ἐκκόπτειν 203.c. 437.c
Ὀργὴν κατέχον 523.a
Ὄρυς ἔπηξε 104.b
Ὁρῶν ὡς πρόβατα 1011.b
Οὐρανομήκης ψυχή 25.c. 35.a
Ὀφρῦς ἀνασπᾶν. 122.a. 1028.d. καταστέλλειν 885.b
Ὄψιν ἐπὶ κεῖται 1011.b

Π.

Παγκρατιάζων 1026.b
πάθη καταστέλλειν. 742.a. καπηλεύειν 88.d. ψυχοφθόρα. 168.c. ἐκτέμνειν 256.d. παθῶν αἰχμάλωτοι. 267.d
πάθω τι 213.a
παντοδύναμος χείρ 22.c
παννυχίδες ἱεραί 425.d
πανοικτίρμων 496.d
παρὰ πόδας ἐπάγει 372.b
παραβάλλειν συνάξει 90.a
παρακρούσασθαι πατέρα 808.d
παράλληλα ἐκ. 1060.a
παραμυθία ἀντίῤῥοπος 233.a
παραπέτασμα πλάνης 62.a
παρασυρεὶς ὑπὸ λόγου 312.d
παρατηρήσεις νομικαί 782.c
παραχαράττειν νόμον 38.c
παρείσδυσιν διδόναι 29.c. 440.c
παρεκτείνεται αἰῶνι. 742.a. τῇ συστάσει 372.a
παρθενίας κλῆρος 197.b
παροικήσεως γῆ 725.c
παρωσάμενος ἀγωνίαν 762.a
παῤῥησίαν χαρίζεται 308.b
πέλαγος ἀχανές. 101.b. διαπερᾶν. 7.a
πέρατης Ἀβραμ 508.d
περιάπτειν ἔγκλημα 825.a. 841.a
περιβάλλεσθαι αἰχμήν 171.c
περιεργάζεσθαι τὸ πῶς 315.d
περιηχεῖται ἐκείνης 747.b
περιπείρειν κακοῖς 310.d
πέτρα ἀῤῥαγής 14.b
πηγῶν ἐκ ὥσπερ 974.b
πηροῦν τὰς ὄψεις 30.b
πίστεως συνθήρ 379.a
πλεονεκτεῖ τοῦ 1004.d
πληγὴ καιρία 818.a
πληροῦσθαι ἀργύριον 841.a
πληροφορῶν δίκαιον 695.c
πλοῖον ὑπέραντλον 93.b
πλύνειν ὀνείδεσι. 967.c. ἀλλήλους. 1043.c
ποιοῦνται καιρόν 443.b
πόλεμον ἀναῤῥιπίζεσθαι. 523.a. ἐμποδίζεσθαι 513.c
πολλοστὸν εἰπεῖν 328.c
πολύπλοκος μηχανή 157.a
πονηροῦ μηχανάς 156.a
πόνον ἀναδέξασθαι 308.a
πόρος ἐν ἀπόροις 475.a: 496.a
ποτάμια ῥεύματα 373.c
προβάτων ἡμερώτερος 779.b
προεδρεῦσαι προεδρίαν 281.a
προθυτρεπίζειν παῤῥησίαν 321.c
προθύρων ἐκβαλεῖν 1035.a
προκάλυμμα ῥαθυμίας 246.b
πρόνοιαν ἀπονέμειν 241.d
προσβαλὼν ἀεὶ 318.a
προσκολλᾶν σαρκί 189.d
προσκορεῖς νομιζόμεθα 213.a
προσεκτικῶς εἰδώλοις. 32.d. τῇ συμμαχίᾳ 754.d
προστρίβεται ἀδοξίαν 483.b
προσφέρεσθαι ἀνημέρως 174.c
προσώχθισα τῇ ζωῇ 725.d
προφάσεις πλέκεις 1038.a
προφορὰ ῥημάτων 170.a
πρωτόμαρτυς Ἀβελ 215.a
πρωτόπλαστος 4.c
πτερούμενος προσδοκία 772.a
πτερύγιον διπλοΐδος 1030.d
πυθμὴν κακίας 281.d. 387.c
πυρὰν καταστέλλει 482.a
πύργος ἀκαταμάχητος 515.a
πυρουμένη ψυχή 500.a
πυρωθεὶς πόθῳ 738.a
πῶς, ἐγὼ λέγω. 994.b. τὸ πῶς περιεργάζεσθαι 315.d

Ρ.

Ῥαθυμεῖν πρὸς κατόρθωσιν 320.a
Ῥαθυμίᾳ χρῆσθαι 186.c
Ῥᾴθυμον ἐπεδείξατο 586.d
Ῥέμβεσθαι λογισμὸν 146.b
Ῥεύματα ποτάμια 260.d
Ῥῆμα στρέφειν 821.c
Ῥήματα διαμαρυκᾶσθαι 37.a
Ῥημάτων ὑπερβολή 587.c
Ῥιψοκινδύνως ἐκδύντες 991.d
Ῥοιῶν κατὰ πρόσω 735.c
Ῥύπον ἀπεπλύνατο 318.c

Σ.

Σαγηνεύειν εἰς εὐσέβειαν 380.d
σαλεύειν πελάγιον 237.a
σαλεύεσθαι τὸν λογισμόν 540.a
σαρκὸς κινήματα. 259.b. σαρκὶ συμπεπλεγμένος 499.c
σατανικὸς ἐμπορισμός 817.c
σηρῶν νήματα 691.b
σητόβρωτα ἱμάτια 517.c
σκῆψις καὶ πρόφασις 484.a
σκιρτήματα καταστορέσαι. 10.a. καταστέλλειν. 250.b. ἄτακτα 272.a
σκοτοῖ λογισμόν 27.c. 515.d
σκωλήκων νήματα 541.c
σοφία ἔξωθεν 130.b
σοφίζεσθαι μηχανήν. 467.c. προεδρίαν 442.d. 685.a
σπένδεσθαι πρὸς τὸ ὁμογενές 120.c
σπινθῆρα καὶ ῥίζαν. 262.c. ἐν πελάγει 246.c
σπῶντες ἄκρατον 4.a
στενοχωρῶ τὴν ἀπόλαυσιν 175.a
στενοχωρηθέντες ὑπὸ καιροῦ 94.a
στεφανοῦν δι᾽ ἐγκωμίων 491.c
συγγνώμης ἀξιοῦν 173.b
στόματα ἀποῤῥάπτειν. 111.c. ἐμφράττειν 12.c
στοχασμὸς τὰ ῥήματα 277.a

στρέφειν τὸ ῥῆμα. 821.c. στρέφεσθαι περὶ δούλους 6.a
συγκατάβασιν ὅρα. 695. d. ῥημάτων. 21 b. χρῆσθαι τῇ 177.b. 207.c
συγκαταβαίνοντες 483.d
συμμερισταὶ στεφάνων 1024.a
συμμετρία καλόν 104.a
συμπάθειαν εἰς ἀγάπην 471. a
συμπεπλεγμένος σώματι 25. a.93.a
συναρπαγῆς ἐκ. 253.c
σύνδεσμος ἀρραγής 542. d
συνείδησιν διερευνᾶσθαι 106.d
συνειδὸς κατήγορος 170. c
συνέργεια θεοῦ 713.d
συνήθειαν διαλύειν. 972.a. συνηθεία κατακολουθεῖν 90.d
συντείνατε τὴν διάνοιαν 217.c
συντεινέσθω τοῖς λεγομένοις 441.a
συντεταμένοι διανοίᾳ 213. c
συρράπτειν πράγματα 783. d
σύστασιν χαρίζεται 65.a
σχέσις ἀδελφική 803.d
σχῆμα ἐπιθεῖσα 727.a
σώματι συνέπλεξε 25.a.93.a

Τ.

Ταμιεύεσθαι λόγον. 753.d. εἰς τὴν ἑξῆς 319.c
Τάξιν ἐπέχειν 78.a. ἐν τάξει. 770.a
Ταχύτερον ἀνέμου 983.c
Τεῖχος ἀρραγὲς 515. a
Τελματώδης ἰλύς 317. a
Τέλος ἐπάγεται 187.d
Τέμνει ὁδὸν διδασκαλίας 12. d
Τιμὴν εἰς ἀγάπην 169. c
Τομὴ βαθεία 280. a
Τρέφεσθαι ἐλπίσι. 303.b.741. c. ὑποσχέσει 811. a
Τριβώνιον καὶ βακτηρία 227. d
Τρίζων τοὺς ὀδόντας 817. a
Τροπὴν ἐργάζεσθαι 523.b
Τροποῦσθαι πόλεμον 513. c
Τρύχεσθαι πενίᾳ 493.d
Τρωθεὶς πόθῳ 736.b
Τύπον ἐπλήρου 814. c
Τύπος καὶ περιαναφώνησις 812.a
Τυπώσεις δίδοσθαι 140.a
Τυραννικὸς πόθος 737.a
Τύρβη βιωτική 216.a

Υ.

Υπακοὴν γυμνάζειν 682.b
ὑπανοῖξαι θησαυρόν 156.b
ὑπέραντλον πλοῖον 93.b
ὑπερβλύζει κακία 279. c
ὑπερβολὴν καταλιπεῖν. 1010.c. ῥημάτων 587.c
ὑποβρύχιος ψυχή. 744. a. ἀπεργάζεται 93.c
ὑπογραμμὸν διδοὺς 6.b
ὑπογράφειν ἐλπίδας. 280.c. λογισμοῖς 279 d.530.b
ὑποκρίνεσθαι δρᾶμα 469.a
ὑπομένειν τιμωρίαν 204.a
ὑπόμνησιν εἰς ἀγάπην 692.c
ὑπομονὴν ἐγγυμνάζων 325. b
ὑποσχέσεις πληροῦν 728.b
ὑποψίαν ἀποκρούειν 971.a
ὑποψίας διὰ ἔχειν 744.b

Φ.

Φαντάζεσθαι ἰσοθείαν 122. c
φαντασία καὶ δόκησις. 777. d. βιωτική 2.c
φαντασίαν περιβάλλεσθαι 390. b
φάρμακα αὐστηρά 204. d
φέρεις εἰς αἰσχύνην 177. d
φέρεσθαι κατακρημνῶν 201.d
φθόνον ἠκόνησας 479. b
φιλοζωΐα 196.a
φιλοσυνήθεις ὄρνεον 316.c
φιλότεχνον περὶ ἀνάγνωσιν. 463. a 538.b
φίλτρου τὸ διάπυρον 110.d
φλεγμονὴν κατέστελλε 474.b
φόβον ἐπισείειν 792.d
φονικὴ γνώμη 206.b.804.d
φόνον ἐργάζεσθαι. 179.d. βλέπειν. 1048.c
φρενοβλάβειαν ἐκτρέπεσθαι 128.a
φρονεῖν τὰ Ἀρείου 77.d
φρονήματος ὕψος 496.d
φρίκης γέμον 172.d
φύσιν οὐκ ἔχει. 781.c. ἀναλαβεῖν 189.c
φυσηθεῖσα ἐλπίδι 161.b
φυσῶντας μέγα. 390.b. μεγάλα 258.c
φωτίζει λογισμόν 275.b

Χ.

Χαμαὶ σύρεσθαι 950.a
χάριτος ἐπὶ 1010.a
χαίρειν πρὸς Ἰωσήφ 833. c
χαλάσαι ἡνίας 250. b
χαλινοῦν θυμόν. 120.a. λύτταν 530.c
χαυνοῦν φρόνημα 385. a
χείλεσιν ἐγκαθημένη 1025.a
χειμῶνα παθῶν. 742. a. τὸν διασκεδάσαι 476.a
χεὶρ ἄνωθεν 745.c
χειροῦσθαι ὑπὸ θέας 249.a
χρείαν ἐπιδείξασθαι. 485.a. ἀποπληροῦν 106.c
χειροῦσθαι ὑπὸ θέας 249.a
χειροποίητοι θεοί 524.a
χρῆσθαι ταῖς τρ. 471. c. ἀκρασίᾳ. 174. d. συγκαταβάσει 207. c
χρόνον κατατρίβειν 249.a
χρυσίῳ καθυφασμένη 542.b
χυμὸν ἐκκαθαίρειν 3.c
χωρεῖν ὁμόσε κινδύνοις 725.c

Ψ.

Ψήγματα χρυσοῦ 783. c
ψηφίζεται ἀρετή 1009.d
ψυχαγωγεῖν ἁπλῶς 1043. a
ψυχοφθόρα πάθη 168.c
ψυχρὰ ῥήματα 484.a

Ω.

Ωδίνει σφαγήν 802.a
Ὥρα λάμπουσα. 474. c. ὥρα σοι ὀνομάζειν 714.c

INDEX RERVM ET VERBORVM IN HIS IN GENESIM HOMILIIS NOTATV DIGNIORVM.

ABEL à fratre occiſus. 206. d 263.d. protomartyr. 215. a ſacrificat 330.c
Abimelech Rex Geraror. 697.b
Abnegationis modi 984.d
Abraham pater gẽtium. 564 b.eius modeſtia erga Lot.482.a.522.d. hoſpitalitas.585.c.Deus cur dicatur eius 706.b
Abutentes bonis puniti 438.d
Adam dæmoni credit.316.a.propheta fuit. 151.b 166.b.eius ſapientia.142.b.166. b. immortalis factus. 194. a. cur è regione paradiſi. 195. d cum Iobo confertur 1061.c
Admonitio dura 935.a
Aduentus Chriſti cauſa 326. b
Adulteri à templo arcentur 1037.a
Adulterium cum meretrice 960.d
Ædificatio æterna quæ 434.b
Ægyptij affligunt Iudæos. 378.c.538. a. crocodilos colunt.882.a.quintam partem dant. 855.d
Affectus ſpectatur in oratione 554.d.995.b
Afflicti à Deo non deſeruntur. 463. b. veritatis cauſa 886.c
Afflictio curæ diuinæ ſignũ.476.d. eius vtilitas 308.b.556.c.558.a. cum gratiarũ actione.829.b
Agricola meſſem ſpectat. 307. a. eius ſerentis collatio 9.b.81.d.125.c.609.c.580. d. 741.c
Amicitiæ veræ ſignum 471. a
Amor propria facit communia. 500. c. tempus ſuccidit 736.a
Angeli an Dei filij. 247. c. probis applaudunt 983.d.Deo non dant conſilium. 75 a. an cum mulieribus.248.b.cur humana forma. 777 b terreſtris angelus homo.151.c.angelos homo ſuperat 122.a
Anima an ex Dei eſſentia.127.c.domus Dei.982 c.eius ſalus Deo curæ.23.c. eſt nobis curanda 242.a
Animalia vtilia homini.147.b.mũda quæ.285. d
Anna Samuelis mater. 961. c. cum Abrahamo collata.980.c.quomodo imitanda 959. c
Anni quatuor tempeſtates 104.b
Antidotum in ſcriptura 591.c
Apoſtoli mundum docent. 379. b. afflicti gaudent.264.c.vbi ſint ſepulti,ignotum 860. d
Apoſtolicus mos in via 727. c
Appetitus cibi indicium ſanitatis 461. b
Applauſus in concionibus reiectus.723. c. probatur 29.a.747.a
Arca Noë fabricatur. 280. b. ea concluditur Noë 300. b
Arcus Dei in nubibus 367. c
Aromata cum ſcriptura collata 126. b
Arriani refutantur 77. d
Artificiorum ratio non redditur 884. c
Artium inuentio qui facta.399. a. ob paupertatem 1004.a
Aſſiduitatis vis in precibus 550. a
Athleta pro corona certat 426. a
Attentio in concione 440. d
Auari in ſomnis vexati 912.c
Audire verbum Dei ſine operibus 107.d
Auditorum paucitas.1000.a.frequentia 36. b
Auditu ex ſolo ne iudices 435.d
Augurantes inſectatur 466. b
Aureus mundus omittendus 243.b
Aurigæ cum ratione collatio 250. b
Aurificis comparatio 826. d
Aurum fit arte metallica. 12. a. eius ramenta quærenda 783.c.fodinæ cum ſcriptura collatæ 40.b.aurum veſtibus intextum 193. a
Auxiliatur ſuis Deus 600.b
Auxilium Dei ſequitur. 306. b. neceſſarium eſt 782.a.quam firmum.754.b.807 d. quam potens. 702. d. 712. a. non tota eius laus. 713. d creſcit dum affligimur 60.b

B.

BAbylon confuſio 439. d
Babylonia fornax 699.a.764.a
Barbari ad fidem adducti 379.b
Belluæ ac feræ cur conditæ. 68. b. iis ferocior homo 205.c
Beneficentiæ ratio non repoſcenda 1003.c
Beneficiorum Dei memoria. 87.c. monumenta 778. c. vtilis recordatio. 321. d. ea magis alliciunt quam pœnæ 371. a
Beſtiarum metus depulſus. 908.d. nomina data homini 120.a. 267.d
Bruta homini ſeruiunt.147.b. hominem terrent. 908. d. cum homine puniuntur. 254.d naturam eorum flectit Deus 763.d

C.

CÆcis perſpicua prouerb. 22.a
Caini inuidia.802.a.confeſſio inutilis.211.c diuiſio 311.a
Carceres aperti in hebdomada ſancta 427.a
Caro homines carnales. 278. b. in ſcriptura qui 251.a.carnium eſus incipit 342. a
Caſtitas iuuenes ornat 960.c
Cataractæ cœli 298.b
Catechumeni ad baptiſmum 115. a
Cauſa paſſionum ſpectanda 302.d
Cenſuram minatur Chryſoſt. 53.b
Centeſima vſura 887.a
Centuplicans ordeum 700.c
Certaminum tempus hæc vita 42.b
Cete cur condita 66. a
Cham peccatum quantum 411. a
Chanaan contumelioſus 905. c
Chananææ ſedulitas 549.a. 631.a
Cherubim faciem velant 273.c
Chriſti aduentus cauſa.327.b.cur 40. dies ieiunarit.6.c.veram carnem ſumpſit.777.d. eius diuinitas aſſerta 77. d
Chriſtus Domini eſt 1030.a
Chriſtianus nō ſibi ſoli.78.b. ſignum eius. 938.c
Chryſoſtomus lacrymas mouet 1034. a
Cibus propter vitam 259. a
Cicatrices peccatorum 739 b
Circenſes ludi 49.c.61.b.986.a
Circunciſionis lex 567. a
Ciuitatis magnitudo in quo 481.c
Cœli nomine audacia deſignata 431. b
Cœleſtis vitæ felicitas 983. d
Color cyaneus 1039. b
Columba familiaris auis 317. b
Commercium cum Deo 964. a
Compaſſio ſanctorum 395. d
Compati ſolent boni 299. b
Concordia coniugum 554. a
Concupiſcentiæ furor 620.a
Condemnandi non ſunt fratres 435. d
Confeſſio peccatorum.222. c.426. a. cur à Deo exigatur 630.b
Coniugium virtuti non obeſt 236. c
Coniugum diſſidium malum 744. d
Conſcientiæ iudicium.43.b.170.c.835.d. accuſatio. 221. d. ſcientia eſt à Deo. 198. b. magiſter qualis.721.c.punit iniuſtos 707.d
Conſuetudo mali 745.d.748.b.791.c
Contentione nihil peius 522.c
Contumeliæ ferendæ 970.d.1042.b
Conuerſatio via veritatis 78. b
Conuerſio noſtra Deo placet 297. a
Conuitia in ſponſum.746.b.tolerare 967.b
Cooperatur nobis Deus 713.d
Cornu exaltari quid 990.a
Corona virtutis qualis 597.c
Corpus an gloriæ particeps.926.a.eius cur tanta cura 241.d
Coruus cur non redeat 316.b
Creatorem negat hæreticus 885.c
Crapulæ nocumentum 45. c
Creatoris potentia 301. b
Creaturæ propter hominem 58.a
Crucifixus Petrus quomodo 861. a
Crucis dominicæ feſtum.478.d.lignum 168.a
Cubitum euntes orent 103. a
Cultus Dei in moribus 886. b
Cupiditatibus impera 1017. d
Curioſius opera Dei non ſcrutanda 237. d
Curſoris comparatio 383. b
Curſus in fine 426.a
Cuſtodiendi liberi 791.b
Cyaneus color vtilis 1039.b

D.

DÆmon voluntarius ebrietas. 407. d. ad iram non incitat. 1044. b. homini ſubditus 658.a
Daniel inter leones.302.c.cum Dauide confertur.1027.b.ſocios eius non lædit ignis 119.a
Dauid cum Moyſe confertur. 1047. d. cum tribus pueris.1026.c.luget Saulem.1033. a. iram immolat.1025.b.iræ imperat.1019.c.humanitatis exemplar. 1009. d. monachos ſuperat 443.d
Debitor decem millium 1009. a
Debitum ſpirituale quale. 244. b. doctrinæ & pecuniæ diuerſum 479. a
Decimas vouet Iacob 731.a
Deſcendere Deum quid ſit 601.c.794.b
Deſidia difficilia reddit omnia 139.b
Detractores non audiendi 602. c.
Deus dat magna pro paruis. 609. a. an humana forma. 75. d. 611. b. 892.a. ei tributa membra 128. b. hominibus loquitur. 11. a. homini cur iuret.695.d.vltor timendus.818.b.non deſerit afflictos.463.d.quomodo videt.34 b. videtur 462.a.non creat,vt puniat. 240. b. hoſtes cur tradat.1018.d. locum non mutat. 601. c. quæ prædixit, eueniunt. 805. c. natura potentior 378. d. per epiſtolam agit. 881. d. vtilia nobis nouit.683.c. 979. b. quomodo ſua dona conferat.549. a. ſuis auxilium fert. 600. b. rebus deſperatis adeſt. 474. c. ob iuſtos ſeruat malos.282.c.ex creaturis noſcendus. 59. b. Deus & Dominus de quibus dicantur. 136.d.149.d
Dei cultus in moribus. 886. b. decretum nihil impedit.829.a.auxilio cuncta proſpera. 821.a mandato parent omnia. 378. d. mos in tentationibus iuſtorum. 816. c. opera non inquirenda.683.b.promiſſa certa.719.b. 729. c. punientis prouidentia. 194. d. offenſa peior gehenna.1002.b.voluntati cedunt omnia 14.c
Deo nihil accedit ex nobis.419. a. nihil impoſſibile.593. b. defertur honor, qui ſacerdotibus 856.c.coram Deo mali 487. c
Deum ſuum dicit Dauid.992.b.exhilarat noſtra conuerſio 297. a
Dextera coronata 1026. b
Diabolus quando lapſus.248. a. cur relictus ſuperſtes.1057.a.inſanit in Ioſeph.817. a.ſocordes vincit. 271.c. cur Deus ſinat eum tentare 272.c.eius ruina de cœlo 157. c
Diluuium immittit Deus. 281. a. non vltra erit 363.d
Diſciplina iuuenum 983. c
Dinam rapit Sychem 786. c
Diſcordia malum ingens.508 d. coniugum mala 744.d

Diſtractio in oratione 440.d
Diues an plus habeat 1004.c
Diuiſio in oblationibus 202.b
Diuini auxilij quanta vis 702.d. 712.a
Diuinitas Spiritus ſancti 35.b
Diuitiæ ſine peccato.866.c. contemnendæ. 690 b.fugitiuæ.375.a.inſtabiles ſunt 107.b
Doctrina cum moribus conueniat 16.b.132.d
Doctorum monita à Deo 723.a
Dogmata diuina humanis præſtantiora. 532.a ex ſuo ſenſu nemo vitiet 117.c
Dominus vox patri attributa 436.a
Domus Regis cur puniatur.473.a.domus rapacis hæc eſt 431.b
Dona non paſſim accipienda 524.c
Donec rediret 316.d
Duro in die ſum 972.c

E.

EBrietas fugienda.397.a.399.a.407.d. pro ſatietate ſumitur 402.d
Ebrius mortuo deterior 402.a
Eccleſia mercatus ſpiritualis.260.a. eius figura Zara.814.a.precum eius vis 888.c
Edem è regione Cain 217.c
Ego emphaſim habet 526.a
Eleemoſyna eroganda.228.a.493.b.887.a. mortem ſuperat.739.d.ſemini comparata 530.b
Elementa mutat Deus 119.b. 764.a
Elementa ſeruiunt iuſtis 701.a
Eli malè caſtigans 791.c
Eliæ melote 607.a
Emor & Sychem circuncisi 788.a
Energumeni & ebrij collatio 407.d
Enoch mortuus non eſt 236.d
Ephraim benedicitur 862.d
Eſaias vocaliſſimus 75.a
Eſaü benedictio.719.b.primogenita vendit.689 d.vxores quas ducat 711.b
Eſurire indiciũ ſanitatis.145.b.ſpiritualia 275.a
Eua decipitur à ſerpente. 162.b. 896.d. punitur 197.c
Euchariſtiæ figura.872.b.communio 291.a
Eunuchus ſcripturam legit 503.a
Eutychi caſus 902.d
Examinare conſcientiam.798.c.profectũ. 290.c
Exemplis non rationibus age 1058.b
Experientia magiſtra 437.b
Ezechias cubans orat 996.d

F.

FAbrilem artem quis inuenerit 399.a
Faciem lauare quotidie 243.a
Facilè inuenta ſpernuntur 893.d
Fames in Ægypto.833.c.in terra Chanaan.854.c ſanitatis indicium 28.a
Famulorum peccata ſunt heri 483.c
Fati neceſſitas 1055.c
Fecit hoc eſt imperauit 192.a
Feræ cur creatæ.68.a.placantur.1040.c.nomina earum data improbis 120.b
Feriæ veræ quæ 2.b
Feritas homini præter naturam 1040.d
Fermento ſimiles iuſti. 1057. d. fermentum mundi Noë 319.a
Ferrarius faber 219.a
Feſtorum ornatus verus 949.b.999.a
Fides credere quod non vides.528. d. creſcit vexata.379.a. conſtanter tenenda. 497.d. 529.b ſuorum fidem manifeſtat Deus. 548.d. eius oculi vident futura.860.a.865.b. ſacra eſt anchora.301. c.ſine operibus 16.c
Figura non habet omnia,quæ veritas 511.a
Filij Dei diuinitas aſſerta.77.d. Dei filij qui ſint 247.c
Filiorum caſtigatio. 791.b. cur pro patre puniantur. 375. d. gratia dat non natura. 197.c 234.c.filij hoſtium diligendi 1053.a
Fine in ipſo enitere 426.b
Firmamentum quid ſit 31.b
Flauianus laudatur 886.c
Fluctuum maris non eſt numerus 325.c
Flumina ſpiritualia inexhauſta 18.b
Fluuiorũ nomine tẽtationes ſignificantur. 17.a
Fœminas non memorat ſcriptura 217.d
Fonti ſimilis ſcriptura. 17. d. quaſi ex fontibus frumẽta.854.c.fontes abyſſi.298.b.fons aquæ ſalientis in vitam.626.b.iuramenti 727.c
Forma corporis fluxa 374.b
Fornax Babylonica 699.a.764.a
Fraternitas ex virtute 418.a
Fratrum & ſororum coniugia 218.a
Frumenta ſecundum corpus 854.c
Funes in certaminibus 888.d
Furor demulceri furore non poteſt 781.c
Futura prædicunt infideles 509.a

G.

GAd tentatio 873.a
Gaudio manant lacrymæ 849.a
Gehenna peior offenſa Dei 1002.a
Gemmarum piſcatus 893.c
Genealogiæ modus optimus 271.a
Generationis cœli & terræ liber 115.d
Gentiles malè philoſophantur. 880.c. conuerſi 949.b. eorum obiectio. 84.b. errorum eorum cauſa.70.a.futura præuident.509.a. idololatræ 857.c
Gerarorum incolæ 702.a
Geſem terra Ægypti 853.b
Gigantes quinam.252.a.Nemrod gigas 422.c
Gladius ſpiritus.26.a. flammeus in paradiſi aditu 196.b
Gloria humana nihil vilius. 374. c. contemnenda 47.c.80.a.vana fugienda.610.a.non aucupanda.226.b.vana quæ dicta. 258.b. gloria tibi Deus.71.c.malorum omnium cauſa. 257.d
Goliath à Dauide proſtratus 655.a.1010.d
Gomorrhæ clamor & interitus 600.d
Grati eſſe debemus 321.b.705.a
Grata anima nil Deo gratius 705.a
Gratia Dei omnia proſpera.821.a. naturam vincit.978.c. ſine illa nihil poſſumus. 782.a. defert illi multum Chryſoſt.721.b. reddit adamante ſolidiorem 29.d
Gratiæ agendæ poſt menſam.971.d. Deo placet gratiarum actio 705.b
Gubernator ad clauum 260.c. 299.d
Gula nihil pernicioſius 93.b

H.

HÆreditates quæ relinquendæ 865.c
Hæreſes zizania 13.d
Hæretici curioſius inquirunt 149.d
Hebdomada magna quæ 426.b
Hebræ ſuum idioma ſeruat 439.c
Hebræi quandiu in Ægypto 536.b
Hebraicus idiotiſmus 33.b
Heli filios male caſtigat 791.c
Heliæ diuitiæ quantæ 607.a
Hiſtoriæ ſanctorum proſunt 1022.c
Hœdi cur appellati improbi 1059.c
Homicidium fugiendum 342.c
Homo feris crudelior.205.c. angelus terreſtris 151.c.an dominetur feris.84.b. princeps creaturarum.76.d.quo differat à brutis.721.c.cur poſt mundum creatus. 889.d. ex terra quomodo.121.c.homo eſt qui virtutem colit.266 d.ex ſola anima vel corpore deſignatur.854.c
Hominis cauſa creaturæ. 58.a.314.d. ei ſubditæ belluæ.895.c.homines non vocat malos ſcriptura.267.a.hominis imago ratio 266.d
Honor maximus Deo fidere 560.d
Hoſpitalitas Abrahæ. 585.c. Lothi 615.a. veterum 735.a
Hoſpites erant ſancti.993.b.quiuis hoſpitio excipiẽdi.586.b.Sareptanæ viduæ exẽplo.608.b
Hoſtis appellandus honorificè. 1021.b. hoſtes Deus tradit 1018.d
Humana forma luctatur angelus.776.a.777.b humanæ res caducæ. 8.b. humanum auxilium non quærendum. 754.b. rationes humanæ Deo cedant 301.b
Humilis non iraſcitur 88.d
Humilitas fundamentum iuſtitiæ.515.a.in bonis operibus.235.d. ſectanda eſt. 487.d. Abrahæ laudatur.522.d. humilitate vincit Iacob. 779 d.eius doctrina 122.a

I.

IAcob Ephraim benedicit.864.b.lapidem vngit.730.a.ſupplantator.693. 718.b. accipit benedictionem. 715.b. virgas ponit ouibus 758.b. luctatur cum angelo. 776.a. in patria ſepeliri vult.759.d. paruo contẽtus. 783.c. in Ægyptum deſcendit 851.d. ſcalã videt. 728.a
Ieiunium verum quod. 79.a.154.c. Adamo imperatum.4.d.vtilitas eius & finis. 10.a 20.a. medici imperant. 3.c. tempus aptum.82.b.fine bonis operib.107.b. duobus diebus omiſſum in Quadrag. 106.b
Ignauia cauſa mali.1062.d. difficilia reddit omnia 139.b
Imago Dei in quo ſita 76.d.232.b.891.b
Immobilia inutilia 19.c
Imperatorum tituli 957.d
Impoſſibilia apud homines,Deus poteſt. 593.b 648.c
Incarnatio Chriſti 777.d
Infideles prophetant.509.a.564.c. teſtimonium dicunt 763.c
Ingluuici mala 5.a
Inimici laudãt ſanctos.698.d.vtiles ſunt. 1042.c
Inimicitiæ nomen putei 704.c
Inimicos diligit Iſaac.709.b.Ioſeph.847.d. inimicorum reconciliatio 781.a
Iniuriarum immemor Ioſeph 824.d
Iniuſtitia repleta terra 276.d
Inobedientiæ cauſa principatum amiſit homo 94.a.196.d
Inſidiæ Diaboli cognoſcendæ 25.b
Inuidia quantum malum. 801.a. Gerarenorum 702.a.radix homicidij. 724.a. diaboli, mortem inuexit 163.b
Inuidus ſibi aduerſatur 803.b
Iob athleta pietatis. 268.c. cur tentatus. 1057.a miſerrimus 1064.a
Ioſeph accuſatur à fratribus. 800.b. venditur Iſmaëlitis. 805.d. gratia Dei adiutus. 815.c obliuiſcitur iniuriæ. 824.d. agnoſcitur à fratrib.846.b.figura Chriſti.804.b. prẽmia eius in hac vita.878.a.adoratur à matre 861.d
Ira nocti ſimilis.1045.b.non eſt cum humilitate 88.d.ei obnoxios an dæmon reddat 1044.b
Iram immolat Dauid. 1019.c. eam ſedare in nobis eſt 1049.b
Iratus furioſo ſimilis eſt 720.a
Iris quomodo fiat 367.c
Irridentes ferre non leue 263.c
Iſaac in Geraris habitat. 697.c. videns Deum 776.d.manſuetus puteo cedit.702.b. annorum 20.686.c.typus Chriſti 665.b
Iſmaël eiicitur 651.b
Iſmaëlitis venditur Ioſeph 805.d
Iudæ benedictio prædictio 871.a
Iudæi lucernæ addicti.7.c.cæci ſunt.47.a.569.a neruum non comedunt.778.c. non ſcandalizandi.61.d.quot annis in Ægypto.538.a. literas habent non ſenſum.74.d. craſſiores ſunt 13.a.in vmbra degunt.798.b. futuram vitam ignorabant.963.a.ieiunant fruſtra 37.b
Iudex quomodo nos interroget 173.c
Iudicij dies optabilis 81.b
Iudicia Dei inſcrutabilia 35.b
Iuret cur Deus homini. 695.d. cur per ſemetipſum 666.c
Iuſtitia virtus maxima 600.c
Iuſtitium hebdomada ſancta 427.a
Iuſti peregrini.853.c.in medio malorum. 262.d iuſtus, id eſt omni virtute præditus. 269.c iuſtorum cauſa mali ſalui. 282.c. eorum peccata cur ſcriptura commemoret 387.b
Iuuenes vxoribus iungendi.788.d. caſti eſſe debent 960.c
Iuuentus ad malum prona. 784.c. illi obeſt laſciuia.973.d

L.

LAban excipit ſeruum Abrahæ.677.a. idola ſua quærit 765.c
Labium vnum ſiue lingua 430.a
Labor parui temporis,æterna merces 597.c
Laborandum non ſemper 104.a
Lacrymæ ex gaudio. 849.a.852.b. rigant preces 975.a.elicit eas ex Saule Dauid.1047.d.ex auditoribus Chryſ. 1034.a
Lætari in ſalutem 1071.d
Lapidatur parricida 904.b
Lapides muti 36.b
Lapillos qui piſcantur 82.b
Latro paradiſũ obtinet vno verbo. 739.c. 925.c
Laus ab omnibus,quibus delata 265.d
Leges humanæ diuinis præferendæ. 746.a. eccleſiaſticæ. 53.b. principum ſunt principes 902.a. lex peccata demonſtrat. 814.b. an ſit cauſa peccati. 930 d. veteris & nouæ diſcrimen.7.c. leges diuinæ ad noſtrã ſalutẽ. 136.a

Leo regiæ dignitatis index.871.b.leones cicures facti.85.b.894. d.feritatẽ an amiſerint. 764. a
Lia fœcunda fuit 749. a
Liberorum orbitas malum.962.d. partus à Deo eſt.749.b.educatio. 953.b.975.d
Liberum hominis arbitrium. 143. b.221.c.246. c 271.d.952.b
Lignum ſcientiæ boni. 164. a. vitæ.194. d. ligna lateribus inſerta 995. a
Literarum regiarum lectio 136.b
Locorum nomina ab euentu 791. a
Lot opibus abundans 481. d
Lucerna cautè tractanda. 960. a. ei addicti Iudæi 569. a
Luctus in veteri teſtamento 875.c
Ludi Circenſes vitandi 49.d. 61.b
Luna nocte præeſt 57. b
Lux ſenſibilis & ſpiritualis 20 d
Luxus veſtium taxatur 542.b.590.b

M.

Magiſter non vocandus in terra 502. d
Magiſtratibus ſubiicimur. 907. c. non ſunt ſpernendi. 968. d. pædagogi noſtri ſunt 901.c
Maiorum vitia non nocent 423.a
Mala pati miſerum non eſt 809. d
Malitia quam infirma. 699. d. interit 231.d
Malum maius impeditur minori 807. d
Mali coram Deo. 487. c. bonis mixti 245.b
Manichæo materia increata.883. c. eius errores arguuntur 14.a.880.c
Manſuetudine nihil potentius.781.b.eius commendatio 490.a
Manſuetus inferiori cedit 703.c
Margarita luto obruta 822. c
Maritus imbecillitatem ſexus ferat 554. a
Maris comparatio 785. b
Maria aquarum congregationes 44. d
Martyrum reliquiæ colendæ 155.d. 949.d
Martyrio confert afflictiones 1041.c
Materia ex præiacente an mundus. 12. b. 65. b increata 883. b
Medicamenta acria 53.b
Medici aſſiduitas. 612. c. ei ſimilis Deus non ſemper ſecat.570.a.935. d. ieiunium imperat 3.c.ſimilitudo eius 437.b.580.d.791. c
Melchiſedec figura Chriſti 524. d
Memoriæ æternæ cupido.431.b.Tabithæ.434.d
Mendacio an cooperetur Deus 714. c
Mens recta bonorum fons 334. c
Menſa precibus claudenda.971.c. oratione ſanctificanda 102. b
Mercator lucrum ſpectat 306. d
Merces ſpirituales 831.a
Merces non perit ei,qui non perſuadet 581.b
Metalla qui effodiant 229. d
Meum & tuum litis origo 484. d
Miles non cogitat vulnera 307. a
Minas ſuas reuocat Deus 538. b
Miniſtrorum peccata ſunt heri 483. c
Miraculum Eliæ prophetæ 607.b
Miſericordia Dei ineffabilis 24. b
Modeſtia Annæ offerentis.981.c.eſt gloria conducibilior 490.a
Modus diuinorum operum non cognoſcendus 534.c.non intelligitur,ſed creditur 151. a
Mœſti non ferunt contumelias 966.d
Morbis obnoxij cur ſimus 951. c
Mori peregrè miſerum non eſt. 860. a. ſæpe an quis poſſit 112.d
Mors facta eſt ſomnus. 875. c. viro eſt requies 239.b.eſt tranſlatio. 526. d. incertus eius dies 691.c.eius tyrannis in veteri lege. 470. a. eſt extincta.426.c.eius pœna cui illata 310.c
Mortuorum ob virtutem parcit Deus 606. b
Mulier ex viri coſta formata. 148. c.150. b. mulieris dolor in partu. 184. b. virum docens 906. d. animal contentioſum. 989. d. luxus mulierum in veſtibus 542. b
Mundamus ſum,vxorem habeo 240.b
Myſteria diuina non detegenda 159. c

N.

Naturæ imperat Deus.378.d. mẽſura agnoſcenda.430.b.dominus eſt Deus.306. a 547.b.obſtacula ſunt negligenda. 533. d. eam vincit gratia 978. c
Naturalia dona voluntas ſequatur.870. b. ſcire non poſſumus 12. b
Naufragi comparatio 51. a
Nauis in portu. 426. a. fluctuantis comparatio 963.b.mundi & nauis 23.a
Negociatio ſpiritualis tuta 107. c
Neceſſitas parit voluptatem 1005. d
Negare peccatum graue 220. a
Niniuitæ poſteri Cham.423.a.eorum pœnitentia.293.d.exemplum 347.a
Nocturno tempore orandum 443. a
Noë quid ſignificet.229.b.564.d.an vitem inuenerit.398.c.fermentum fuit mundi.319. a. reſtituit imperium homini 302. a
Nomina hæc ſunt tantum. 415. c. ſunt monita 235.b.locorum ab euentu.166.b.791.a.cur locis impoſita. 218. b. eorum impoſitio. 693. d enumeratio excutienda. 229. b. nomine proprio hoſtes vocare 1021. c
Noſtras partes obeamus 306.b
Numerorum obſeruatio 285. c
Nundinarum comparatio 394. b
Nuptiæ ſine lampadibus.747.b.earum pompæ vetitæ.743.d.ſatyræ nuptiales.746. b. abuſus 960.d

O.

Obedientia iuſtorum exercetur.728. b. elementorum 119. d
Occaſiones expectat Deus 206. c
Oculus Dei inſomnis. 79.a. 808. d. 968. b. cur creatus.250.a.oculi fidei. 148. c. 289. c. 498. a oculos aperire quid. 165. a. qui oculis laborant.76.a.recreantur 1039.b
Odor fragantiæ in ſacrificio 331.a
Oliua ſemper virens 317. c
Olympicorum certaminum comparatio. 597. a 1024.a
Operum doctrina melior.78.d.133.a. eorum neceſſitas. 42. c. 440.a. bona opera ſanctorum 387.b

Orans peccare nequit.994.b.orat Iſaac viginti annis.686.c. orandum in foro.995. c. colum tenendo 996.c
Oratio Annæ.965.b.Eccleſiæ.888.c.iuncta ieiunio.440.a.quam ſit vtilis.441.b. per alios facta minus mouet 632.d
Ordinem cur ſeruet Deus in creatione 65.b
Oſtentationis cauſa nihil agendum 323.c
Oues quam ſint vtiles. 147. c. ſcabioſæ ſegregandæ 1035.b

P.

Panis in carnem conuerſio 15.a.884.a
Parabolam in accipere 582.a
Paradiſus an ſit in terra. 130.a. voluptatis. 137.b à cœlo diuerſus 909.c.926.c
Parcere maius quam perdere. 1028. b. parcere inimico tutum 1027.b
Parentes colendi.903.b. eorum virtutibus non fidendum 613.b
Parricidarum pœna 903.d
Partus mulierum grauis 184.b
Pater communis Epiſcopus.886.c.patres ſacerdotes. 969.b. patris indulgentis exemplum 791.c.patres pro liberis puniti. 414.b
Patiendo vincit virtus 263.c
Patientia quanta virtus 575.a
Pauli amor in Deum. 737. b. eius amans Ioan. Chryſoſt.110.d. viperam excutit. 909. a. vinctus orat.996.d.orationi deditus. 444. a. doctor orbis. 186.a.282.c.797.c
Pauperes alendi.910.c. ſub veſperam importuni cur.911.b.quæ dantur illis ſecura ſunt.886. d.eorum valetudo. 1006. a. pauper diuiti æquatur 1004.c
Paupertas neceſſaria in vita. 1003. d. hominum quanta 321.a
Pax fructus eſt ſpiritus.39.d.eius amator Abraham.482.d.ea nihil melius 522.c
Peccare & impudentem eſſe.1035.d. non poteſt qui orat 994.b
Peccatum mentem obtenebrat.836.b.commiſſum vexat ibid. a. quantum ſit malum. 414. d.nullum vincit miſericordiam.212.c. peccata Deo confitenda.222.c.minora vitanda. 133 d.in Deum vindicanda.311.d.voluntaria ſunt 634.b. ſanctorum in ſcriptura memorantur 387.b.in nos dimittamus 312.c
Peccatores aduerſis purificati.577.a.ſeſe occultant.172.a.excuſant ſe 1055.c
Pectus pulſandum 996.b
Pecunia virtuti obſtat.866.a.eius amorem quot ſequuntur mala 82.c
Pentecoſtes feſtum 988.d
Peregrè mori non miſerum 860.a
Peregrinationes veterum 727.c
Peregrini erant ſancti.993.b.omnes ſumus.41.c eorum domus 886.c
Pernoctationes ſacræ 425.d
Perſeuerare in peccato malum 201.c.410.c
Perſonarum diſcrimen an ſit apud Deum. 198.c
Petrus quomodo crucifixus 861.a
Pictores imitandi 1039.a
Pignus ab inconſtantibus petitur 568.a
Pincerna oblitus Ioſephi 826.a
Pharao punitur ob Sarram.472.d.ſomnium videt 826.d
Phinees homicida non fuit 714.c
Plauſum in concione probat.29.b.358.c.reiicit 997.b
Pœna huius ſeculi. 295.b. occaſio miſericordiæ 220.d
Pœnitentia ante pœnam vtilis.211.c. an ſit in Deo 254.a
Porci dicti homines qui 159.c
Portus ingreſſus periculum 426.a
Poſteri cur puniti 905.d
Prædicit mala Deus cur. 286. d. impediri nequeunt 805.d
Præmia à Deo quando certa 1051.d
Preces ad menſam. 971.c. earum bonum quantum ſit 441.b
Primatus non appetendus 487.d
Prandium poſt ipſum ad templum eũdum 90.b
Primogeniti ius.692.d.à Setho acquiritur.225.d
Principatus genera varia 898.b
principes reuereri oportet.1020.d.eorum principes leges 902.a
Principia bonorum operum 320.c
Promiſſa Dei certa ſunt. 495. d. 719. b.734.a.ea uocat Deus 295.d.538.b
Prooemia longiora 312.d
Prophetæ condolent. 395. d.de non factis vt de factis locuti 95 b
Prophetia apud indignos. 238. d. apud infideles 509.a.564.c
Ptolemæus Ægyptius 32.c
Pudicitiæ corona 960.c
Pueri tres in Babylone 698.d
Pulchritudo corporis ne damnetur 470.b
Punit Deus cum clementia.312.d. ſine paſſione 309.a. monet antequam puniat. 437. d. eius prouidẽtia cum punit.194.d.omnes ciues ob vnum.787.b.in hac vita qui puniantur.295.b

Q.

Quadrageſima concionum tempus. 10. a dies eius quomodo tranſigendi 107.d
Quercus Mambre 580.a.luctus. 791.a
Quietis amor in Abrahamo 482.d

R.

Racemus à radice pendet 976.c
Rachel ſterilis.750. d. idola furatur patris 766.c.moritur in partu 795.a
Ratio cum auriga confertur. 250. b. humana non capit diuina. 118. b. poteſt vitia domare 110.c.ea differimus à brutis 721.c
Rationarium conficiendum 36.d
Regnent verè quinam 270.c
Rei humaniter tractandi 174.c
Relaxandum non ſemper 104.a
Reliquiæ menſæ ſpiritualis. 571.a. martyrum colendæ 155.d.949.d
Res humanæ & ſpirituales diuerſæ ſunt. 90. c humanæ res caducæ 8.b
Reſurrectionem auari non credunt.257.a. prædicit Seth 234.a
Rex peccat,& ſubditi puniuntur 472.d

Riſit Sara poſt oſtium 592.d
Riſum fecit dominus Saræ 648. d
Ruben dormit cum concubina patris. 795. b primogenitus Iacob. 869. c. Ioſephum liberare vult 805. d

S.

SAbbati die non ieiunatur.106.b.requies eius 100.c
Sacerdos angelus Dei. 688. d. honore afficiendus 856.b.968. b
Sacerdotium maius principatu 968.d
Sacrificium Cain offert. 198. b. ſpirituale quale ſit. 797. d. precum 850. c
Salus animarum curæ eſt Deo 579.a
Samuelis nomen quid ſonet.959. d. matris eius hiſtoria 954. d
Sanctorum implorandæ preces.630.b.vita imitanda. 122. d. interceſſio. 89. d. hiſtoriæ cur propoſitæ. 681.c. peccata in ſcriptura. 387. b feſta & reliquiæ.949.d.eorum eſt condolere. 395.d.ſpectant cauſam 302. d
Sanguinis eius vetitus.339.c.an ſit anima. 342.d
Sara vxor Abrahę intacta.472.d.lactat puerum 650.a.moritur 668. d
Sareptana vidua 607. b
Satanas ſub pedibus 909.d
Satanica pompa 743. d
Saul quem tutorem det filiis. 1052.c. dolus eius per nuptias.1014.d.beneficiis afficitur à Dauide 1010.b
Scandalum Iudæorum & infidelium Chriſtiano vitandum 61.b
Scientiæ boni & mali lignum. 164. a. 913. b. rerum agendarum nobis inſita 721. c
Scommatibus dediti 423.b
Scopus actionum ſpectandus 714.d.814.d
Scriptura cum gemmis comparata. 893. c cum prato.610.d cum theſauro. 17. c. 156. b. cum aurifodinis. 40. b. cum aromatibus. 126. b. apex eius nullus omittendus.198.d.599. b. lectio quàm vtilis. 394. a. 501. a. nihil otioſum habet.233.b.totum indicat à principali. 861.d generaliſſima tangit.116.c. multa paucis verbis.531. d. humano more loquitur. 298. a. legenda quomodo.814. d. obſcuram eſſe Deus cur velit.459.d.ſcopus eius veritas 409.b
Secedere quàm vtile 602.a
Semei maledicit Dauidi 967.a
Senectus bona quæ ſit 537. b
Sententia quando ferenda.60.b. Dei reuocatur 295.d
Sepeliri in patria vult Iacob 874.b
Septenarius de multitudine 213.d
Sepulchrum emit Abraham 668. d
Sepulturæ nulla pompa 860. c
Septimo die requieſcit Deus 100. b
Septena animalia in arca 284. c
Septuaginta interpretes 32. c
Serpens callidum animal. 157. c. cur puniatur 179.c.ſpiritualis diabolus 182.b
Seruitus poſt peccatum.415.a. apud bonos. 509 c varia genera eius 898.b
Seruis nomina mutata 569. d
Sethi poſteri filij Dei 249.b
Signo crucis munire ſe 995.c
Similitudines in ſcriptura vnde ductæ 135.b
Sodomitarum improbitas. 487. c. regio ſterilis 605.b
Solis pulchritudo.54.c.cur 4.die creatus 56. b
Solitudo cui proſit 682. b
Somniorum interpretatio. 823. d. Pharaonis 826.d
in Somnis vexati auari 912.c
Spes in Deum immobilis.754. c.boni futuri leuat mala 183.c
Sphæroterem quid vocet 868.b.513.d
Spinæ ſollicitudo vitæ 784.d
Spirituale debitum quale 244. d
Spiritualia communia.394. d. eorum diuerſitas & opum.145.c.flumina inexhauſta 18.b
Spiritus ſancti diuinitas. 35. b. ferebatur ſuper aquas 19.a
Sponſalia veterum 620. c
Stellæ an ſint fixæ.131 b. earum creatio. 56. b. à Sole obſcurantur interdiu 57. b
Steriles ſanctæ fœminæ. 683. c. earum partus virginitatem probat 684.c
Sterilitatis malum 962 d
Studio & vigilantia cuncta fiunt facilia 139. b
Supplicia Dei ſunt beneficia 309. d
Supra nos quæ ſunt,ne quæras 31. c
Subſtantiis ex duabus conſtituti ſumus 241.d
Sychem Dinam rapit 786. c

T.

TAbernacula quis locus 780.d
Tabithæ eleemoſynæ. 740. a. memoria 434.d
Temperantia filiorum Iacob. 786. c. ſanitati prodeſt 93.a
Tempeſtates anni quatuor 104. d
Templo proximum habitare. 996. a. tectum templi mirabile 52. d
Temporalia non petenda 731.c
Tempus carnis venit.278.d.ſecundum tempora iudicare 858. d. eorum ſigna ſunt aſtra. 57. c omne tempus aptum lectioni ſcripturæ 505.c
Tentationes iuſtorum.816.c.cur à Deo permittantur 575. d
Tentator hominum qualis 927.b
Terra cur paulatim condita. 885. d. ſuper aquas 118.b.informis.15.b.mali homines 277. b
Teſtimonia infidelium 763.c
Thamar nurus Iudæ 811. d
Tharra pater Abrahæ 519. a
Thaſium vinum 1004.c
Theatralium turpitudo 1037.d
Theſauro ſimilis ſcriptura. 17. c. iuſtorum virtus 518. b
Thymiama abominatio 334. b
Timor beſtiarum vtilis.896. b. humanus qualis 808. d. timenda omnia propter pietatem 742.c
Tituli Imperatoribus dati 957. d
Tolerantia conuitiorum 967.a
Tribulationes ſanctorum 572.d.816.c
Tutela Dei quam potens 792. d
Tutorem filiis quem det Saül 1052. c

V.

VAletudo pauperum 1006. a
Vallis ſalſa 507. d
Vana gloria quæ dicta.258.b.ſpernenda 47.c
Ventri non ſeruiendum. 259. a. ventres pleni non nouerunt eſurientes 910.d
Venti ſignificant tentationes 17.a
Verba libranda ſunt 37. a
Verbi diuini amor 145. b
Veritatis præcepta per aduerſarios creſcent.33. a.eius cauſa tribulati 886. c
Veſtis ſeruilis filio datur.191.c.aurum illi intextum.193.veſtium luxus taxatur 542.b
Viam veritatis quid doceat 78. b
Viaticum ad futuram vitam 41. c
Videre in Deo quid ſit.34.b.videri quæ poſſunt æterna non ſunt 308.c.516.c. 740. c
Vidua quæ minuta duo miſit 491.b.887.d
Vidua Sareptana 607. b
Vigilantia ad virtutem opus eſt 155. c
Vigiliæ ſacræ 426. d
Vinum vtile in quo. 399. d. eo ſublato nihil eſt incommodi.1004.d.vino iudicium ſubuertitur.91.Lot eo grauatus ſenſum amittit.634.c
Viperæ dicuntur homines cur 120. c
Vir dominatur in omnibus. 77. a. viri & vxoris diſcordia 744. d
Virgæ decorticatæ Iacobi 758. a
Virginis partus probatur ex ſterilibus 684. c
Virginitas in paradiſo. 196. d. angelis ſimilis 197.a
Violentia vbi laudetur 615.d
Virtus ab hoſte laudatur.43.a.laudata eſt vtilis. 1023.a. afflicta fit clarior.809.c. quàm potens ſit.699.d. diabolo fortiores reddit. 80. c. ora obturat.133. b. omnibus præferenda. 866. a. patiendo vincit. 267. c. vitium fugat. 327. b eius ſcientia naturalis. 330.c. ei par nihil. 80. c.vbique præualet. 816.d. malitia ei aduerſatur 265. d
Vita Adami angelica ante peccatum. 152. c. iuſtorum doctrina eſt.727.b.hominum ſomno ſimilis.516.a.non propter cibum 259. a
Vitis cur introducta. 399. b. an à Noë inuenta 398.c
Vitij voluptas qualis. 987. b. vitium quodnam vexet magis.110.c.non eſt in natura. 403. c. à vitioſis carpitur 43.a
Vitrum ex arena fit 884.c
Vltionis cupido mala 347. d
Vmbræ & ſomno ſimilis vita 691. d
Voluntas à Deo coronatur. 491.b.697.b.à Deo ſpectatur. 1032.c in ſacrificiis potiſſimum. 199.d.compenſatur. 334. d. mala cauſa malorum 470.c
Voluptas ex neceſſitate manat. 1005. d.abſurda ex amore pecuniæ 866. b
Voracitas noxia corpori 722. d
Vrbes conditæ occaſione congreſſus 464.c
Vſura ſpiritualis licita. 583. b. centeſima. 887. a diuinæ prouentus 26. d
Vtilia nobis Deus nouit 683.b
Vulgus de aliis ex ſe iudicat 1030. c
Vxores plures licitæ.748.a. vxoris & mariti diſcordia 744.d

Z.

ZAbulon quid ſonet 753. b
Zacharias quomodo Deum viderit 462. b
Zara Eccleſiæ figura 814. a
Zelpha Liæ ancilla 752.b
Zelotypia quantum malum 750. d

INDEX LOCORVM SACRAE SCRIPTVRÆ QVÆ IN HOC VOLVMINE EXPLICANTVR.

EX GENESI.

1. 26 FAciamus hominem ad imaginem 269.b.889.b.897.d
2. 16 Ex omni ligno quod eſt in paradiſo. 4.d 930.c
2. 17 Qua die comederitis, morte moriemini 928.d
2. 19 Adduxit beſtias ad Adam Deus. 895.c 898.d
2. 19 Omne quod vocauit Adam, ipſum eſt nomen 915.b
2. 24 Erunt duo in carnem vnam 554.a
3. 1 Cur præcepit Deus,vt non comederetis? 1061.b
3. 16 Ad virum cõuerſio tua. 77.a.418.a.899.a
3. 17 Maledicta terra in operibus tuis 210.a
3. 22. Ecce Adam factus eſt quaſi vnus. 438.a
4. 7 Peccaſti, quieſce: nonne ſi bene egeris 311.b
4. 8. Egrediamur in campum 802.a.921.d
12. Egredere de terra, & de cognatione tua 696.b
16. 14 Vocauit nomen loci ſpecies Dei 923.d
21. 19 Aperuit Deus oculos Agar 165.b

EX EXODO.

3. 6 EGo ſum Deus Abraham, Iſaac & Iacob. 699.d.992.d
14. 14 Quid clamas ad me? 966.b
19. 18 Tenebræ erãt,& mons fumigabat. 533.c
21. 17 *Qui maledixerit patri vel matri morte morietur* 407.b
21. 24 *Oculum pro oculo, dentem pro dente* 1010.a
23. 1 *Auditum vanum ne accipias* 601.d
23. 2 *Non eris cum pluribus in malitia.*246.a
33. 20 *Nullus videbit Deum & viuet* 461.d

EX LEVITICO.

17. 14 SAnguis eius anima eius eſt 129.a
22 3 Ne auribus priuatum & cauda 798.a

EX NVMERIS.

12. 3 Moyſes erat mitiſſimus omnium. 490.c

EX DEVTERONOMIO.

6. 7 CVbantes & exurgentes memento te Domini. 103.a
8. 10 Cum comederis, memor eſto Domini 102.d
23. 19 Non fœneraberis fratri tuo 583.b
24. 16 Non morientur patres pro filiis 414.d
32. 15 Impinguatus eſt,& recalcitrauit 5.b

EX LIBRIS REGVM.

1. R. 1. 8 NOnne bonus ego ſum ſuper decem filios? 956.c
1. R. 1. 11 Si reſpexeris ſuper humiliationem ancillæ 958.b
1. R. 1. 15 Non dedit ei filium ſecundum tribulationem 955.a
1. R. 17. 28 Non enim veniſti noſtri cauſa 655.b Dauid 606.b
1. R. 17. 33 Non poteris ire, quoniam puer es 1011.a
1. R. 17. 45 Ego autem venio ad te in nomine Domini 1046.b
1. R. 20. 27 Ait Saül,vbi eſt filius Ieſſe? 1021.c
1. R. 24. 7 Non inferam manum in Chriſtum 968.c
2. R. 1. 21 Montes Gelboë nec ros nec pluuia 1033.b
2. R. 16. 10 Quid mihi tecum fili Saruiæ? 968.a
3. R. 19. 9 Vade ad Sareptam Sidoniorũ. 607.b
4. R. 19. 34 Protegam ciuitatem hanc propter

EX LIBRO IOB.

1. 8 IOb homo inculpatus, iuſtus verax 269.a
2. 10 Si bona ſuſcepimus de manu Dei,quare mala? 969.d
3. 23 *Mors eſt viro requies* 239.b.565.d
6. 6 *Fœtorẽ video factos cibos meos.*1065.d
7. 17 *Quid eſt homo,quod reputas eũ?* 936.b
10. 8 *Manus tuæ Domine fecerunt me.* 126.d
19. 14 *Proximi mei abnegauerunt me* 1067 a
31. 16 *Si egreſſus eſt aliquis ſinu vacuo* 866.c
40. 3 *An aliter me putas oracula dediſſe* 1066.a

EX PSALMIS.

1. 1 BEatus vir qui non abiit in conſilio 979.d
4. 1 In tribulatione dilataſti mihi. 772.a 816.c
6. 6 In inferno autem quis confitebitur tibi 42.b
8. 6 Minuiſti cum paulo minus ab angelis 157.b
18. 6 Tanquam ſponſus procedens de thalamo 54.d
18. 10 Deſiderabilia ſuper aurum, & lapidem

Yyyy

pretioſum 134.d.256.b
21. 18 Diuiſerunt ſibi veſtimenta mea 95.b
23. 2 Qui fundauit terram ſuper aquas. 118.b
32. 9 Ipſe dixit & facta ſunt 882.b
35. 9 Inebriabuntur ab vbertate domus tuæ 402.d
37. 12 Amici mei & proximi mei ſteterũt.390.d
37. 13 Peregrinus ſum & aduena ſicut omnes 853.d
41. 3 Fuerunt mihi lacrymæ panes die. 443.d
41. 6 Quare triſtis es anima mea, & quare cont. 391.b
47. 5 Sicut aſpidis ſurdæ, & obturantis aures 268.a
48. 7 Frater non redimit,redimet homo.612.d
48. 17 Ne timueris cum diues factus fuerit 260.a
48. 21 Comparatus eſt iumentis inſipientibus 70.b
50. 19 Sacrificium Deo ſpiritus contribulatus 88.b
53. 22 Mors peccatorum peſſima 860.d
54. 23 Iacta in Dominum curam tuam. 390.c
62. 1 Deus Deus meus ad te de luce vigilo 992.b
83. 11 Elegi abiectus eſſe in domo Domini 481.b
90. 5 Quam magnificata ſunt opera tua Domine 950.a
100. 6 Detrahentẽ ſecreto proximo ſuo. 602.b
103. 4 Qui facit angelos ſuos ſpiritus. 247.d 622.b
103. 23 Egredietur homo ad opus ſuum. 104.b
103. 34 Iucundum ſit ei eloquium meum. 941.c
105. 30 Stetit Phinees & placauit 714.c
111. 8 Diſperſit dedit pauperibus. 434.a.741.d
115. 5 Pretioſa in conſpectu Domini mors ſanctorum 860.d
118. 62 Media nocte ſurgebam ad confitendum 443.a
118. 163 Septies in die laudem dixi tibi 994.a
125. 5 Euntes ibant, & flebant mittentes ſemina 476.a
126. 1 Niſi Dominus ædificauerit domũ. 432.a
138. 12 Suſcepiſti me de vtero matris 749.a
139. 3 Venenum aſpidum ſub labiis eorum 430.a
147. a Lauda Hieruſalem Dominum 931.b
148. 4 Laudate eum cœli cœlorum 32.d

EX PROVERBIIS SALOMONIS.

1. 9 COronam gratiarum accipies.597.b 879.d
6. 29 Lucerna mandatum legis eſt 931.a
6 34 Plenus enim Zeli furor viri eius. 468.c 640.c
9. 9 Da ſapienti occaſionem, & ſapientior erit 1007.c
9. 12 Fili ſi malus ſis, ſolus mala exhauries 1055.b
11. 25 Vir iracundus inhoneſtus eſt 386.c
15. 1 Reſponſio ſubmiſſa auertit iras. 1049 a
15. 13 Corde lætante facies exhilaratur. 1.b 823.b
15. 17 Melius eſt conuiuium olerum 638.a
18. 3 Impius in profundo malorum contemnit 2 [illegible].d
18. 17 Iuſtus in principio ſermonis accuſator eſt 212.a.219.d
19. 17 Qui miſeretur pauperi fœnera[tur]. 2[illegible].c
26. 11 Similis eſt cani ad vomitum reuertenti 50.a 5[illegible].a
27. 6 Fideliora vulnera amicorum 9[illegible]3.a
28. 14 Beatus qui timet propter pietatẽ [7]42.c
31. 6 Date vinum iis,qui in triſtitia ſunt.395.c

EX CANTICIS.

8. 6 DVRA ſicut infernus æmulatio. 468.c

EX SAPIENTIA.

2. 24 INuidia diaboli mors intrauit in mũdum 5.a.16[illegible].c.248.a 65[7].c
2. 15 Grauis eſt nobis vel conſpectus tantum 1 56.d
9. 12 Rationes hominum timidæ 11.d [835].a
13. 5 Ex magnitudine creaturæ creator agnoſcitur 34.c 88 .b
14. 3 Qui dedit in mari viam,& in aqua ſemitam 1 5.c

EX ECCLESIASTICO.

3. 12 NE glorieris in ignominia patris 403.d.900.d
3. 33 Sicut ignem extinguit aqua,ſic eleemoſyna peccatum 459.b
4. 8 Inclina pauperi aurem tuam 493.d
4. 25 Eſt confuſio adducens peccatum 90.b
6. 36 Si videris virum prudẽtem,ſurge. 5[illegible]6.a
7. 29 Quid retribues illis, quomodo illi tibi? 9[7]3.b
16. 14 Melior vnus faciens voluntatem Domini 246.b 2 5.c 503.b
17. 30 Quid ſole lucidius? & hic deficit 56.a
18. 16 Melior ſermo,quam munus 504.c
23. 12 Beatus qui loquitur in aures audientium 20.d
23. 26 Tenebræ & muri ſunt circa me 868.c
29. 28 Principium vitæ panis & aqua 4[illegible]1.c
33. 29 Omnem malitiam docuit otium 137.d

EX ESAIA.

1. 13 THymiama abominatio eſt mihi 334.b
5. 8 Væ qui coniungunt domum ad domum 257.a.609.c
6. 1 Vidi dominum ſedentem in [ſolio]. 89[illegible] d
6. 2 Vidi Cherubim ſtantia a de[xtris] [7]5.b
8. 20 Legem in auxilium dedit 9[illegible].d
9. 6 Magni conſilij angelus admirabilis [7]5.b
13. 3 Gigantes, vt furorem meum placent 252.a
22. 4 Nolite contendere,vt cõſolemini. 3[illegible].d
40. 7 Omnis caro fœnum, & omnis gloria 940.d
43. 25 Dic tu prior iniquitates tuas.22[illegible].b.881.c
5[illegible]. 2 Veni & non erat homo 265.c.935.b

52. b Propter vos nomen meum blaſphematur 62. b
56. 10 Canes muti, non valentes latrare. 120.b
58. 5 Non hoc ieiunium eſt, quod elegi. 79. a
66. 2 Super quem reſpiciam niſi ſuper humilem 88.c. 742.b

EX HIEREMIA.

2. 13 DVo mala fecit populus meus. 921.b
5. 1 Si eſt vnus, qui faciat iuſtitiam 267.c
15. 19 Qui educit pretioſum à vili 24.a
17. 5 Maledictus homo qui confidit in homine 754.c
18. 7 Ad ſummam loquar ad gentes & regna 295.d
23. 23 Deus appropinquans ego ſum 976. d

EX BARVCH.

3. 13 NOn eſt audita in Chanaan hæc 932.a

EX EZECHIELE.

14. 20 SI ſteterint Noë Iob & Daniel 613.a
16. 49 In ſatietate panis laſciuiebant 5.b
18. 23 Nolo mortem peccatoris, ſed vitam 23.c.51.d.387.d

EX DANIELE.

2. 28 NOn eſt Magorum Gazarenorum 908.a
3. 14 Imaginē quam ſtatui nō adoratis. 907.d
3. 28 Dixit Nabuchodon. ſerui Dei excelſi 698.d

EX MINORIB. PROPH.

Oſee 12. 1 EGo viſiones multiplicaui, & aſſimilatus 462.b.777.b
Amos 6. 3 Væ qui dormiunt in lectis eburneis 7. c
8. 11 Dabo vobis non famē panis. 722.d
Ionæ 3. 4 Adhuc tres dies & Niniue ſubuertetur 287.a
Micheæ 6. 8 Quid dominus requirit à te. 921.b
Habacuc. 1. 4 Facies homines ſicut piſces 299.b
Aggæi 1. 4 Vos habitatis in domibus laqueatis 982.d
Zachar. 7. 5 Nunquid ieiunaſtis ieiunium 37.b
Malach. 1. 3 Iacob dilexi, Eſaü autem odio habui 692.d
2. 7 Angelus Dei exercituum eſt. 688.d

EX MATTHÆO.

1. 3 IVdas genuit Phares & Zaram de Thamar 814. c
3. 7 Serpentes progenies viperarum 120.c
4. 4 Non in ſolo pane viuet homo, ſed in omni verbo 9.b. 242.d
4. 45 Solem ſuum oriri facit ſuper malos & bonos 37.b
5. 6 Beati qui eſuriūt & ſitiunt iuſtitiā. 28.b
5. 8 Beati mundo corde, quoniam Deum videbunt 797. b
5. 13 Qui dimiſerit vxorem ſuam excepta ſtupri 312.b
5. 16 Luceat lux veſtra coram hominibus. 62. c.323.b.886.b
5. 19 Beatus qui fecerit & docuerit. 78.c.133.a
5. 20 Niſi abundauerit iuſtitia veſtra pluſquam ſcribarum 288.c
5. 28 Qui viderit mulierem ad concupiſcendum 52.c.250.c.335.b.1036.a
5. 44 Diligite inimicos veſtros, benefacite 355.c.709.b.847.d
5. 45 Vt ſitis ſimiles patri veſtro, qui eſt in cœlis 84.d.894. b
5. 46 Si diligentes vos diligitis, quam mercedem 781. c
6. 11 Panem noſtrum quotidianum da nobis 731.c
6. 14 Si dimiſeritis hominibus peccata. 354.d
6. 33 Quærite primum regnum Dei. 289. c 731.c.917.b
7. 6 Ne mittatis margaritas ante porcos. 159.b
7. 21 Non omnis qui dicit mihi Domine. 3. a 892.d
10. 8. Gratis accepiſtis, gratis date 514. b
10. 9 Nolite poſſidere aurū vel argentū. 730.c
10. 10 Dignus eſt operarius alimēto ſuo. 514.c
10. 23 Quando perſequentur vos, fugite. 703.b
10. 28 Ne timueritis ab iis, qui occidunt corpus 342.d
10. 41 Qui recipit prophetam in nomine prophetæ 608.c.856.c
10. 42 Si quis dederit calicē aquæ frigidæ. 335.a
11. 12 Violenti rapiunt regnum cœlorū. 615. d
11. 29. Diſcite à me, quia mitis ſum, & humilis 489.d
12. 41 Viri Niniuitæ ſurgent in iudicio. 293. c 1060.c
13. 33 Occultauit in farinæ ſatis tribus. 1057.c
13. 43 Iuſti fulgebunt ſicut Sol 135.c
13. 57 Non eſt propheta ſine honore niſi in patriam 466. d
15. 4 Qui maledixent patri vel matri 903. c
15. 22 Filia mea male à dæmonio vexatur. 549 a.631.a
18. 20 Vbi fuerint duo vel tres congregati. 914.b.998.d
18. 27 Omne debitum remiſi tibi, quia rogaſti 347.d
18. 27. Omne debitum remiſi tibi quia rogaſti 347.a
19. 29 Cētuplum accipiet & vitā æternā. 374.c
20. 16 Et erunt nouiſſimi primi 200.a
22. 30 Neque vxores ducunt neque nubunt 197.a.248.c
22. 40 Diliges dominum ex toto corde 738.c
23. 22 Curæ ſæculi & deceptio diuitiarū. 784.d
25. 1 Simile eſt regnum decē virginib. 1060.a
25. 14 Vocauit ſeruos, & dedit illis talenta 581.d.919.a

25. 24 Sciebam quod durus eſſes 1058.d
25. 34 Venite benedicti patris poſſidete. 23. d 498.c.910.b
25. 35 Eſuriui enim & dediſtis mihi. 594.a.690 d.1059.d
25. 40 Quī fecerit vni ex minimis iſtis. 585. a 7 8.d
25. 41 Qui paratus eſt diabolo & angelis eius 180.a

EX MARCO:

13. 33 Vigilate, quia neſcitis diem 691. c

EX LVCA.

1. 31 Concipies in vtero & paries filium 684.d
6. 2 Cum exprobrauerint nomen veſtrum 1042.b
6. 26 Væ vobis, cum benedixerint vobis homines 265. b
8. 5 Aliud ſemen cecidit ſecus viam 28.c
9. 4 Qui ſuſcipit vos, me ſuſcipit 625. c
10. 13 Tolerabilius erit terræ Sodomorum 295.b
10. 19 Calcandi ſuper ſerpentes & omnem poteſt 182.b.598.b 654.c.909. d
12. 47 Seruus ſciens voluntatem domini 50.a
17. 10 Cũ feceritis omnia, quæ præcepta. 255.d
18. 10 Non ſum ſicut cæteri homines 1043.a
19. 46 Vos feciſtis illam ſpeluncam 983. a
21. 2 Vidua quæ duo minuta miſit. 491.b.740 d.887.d
21. 3 Omnem victum ſuum iniecit 609. b
23. 42 Memento mei, cum veneris in regno 924.d
23. 43 Hodie mecum eris in paradiſo 925. d

EX IOANNE.

1. 1 In principio erat verbum 20.d
3. 18 Qui non credit in filium iam iudicatus eſt 927. d
4. 14 Fiet in eo fons aquæ ſalientis in vitam 626.b
5. 17 Pater meus vſque modo operatur. 101.b
5. 24 Qui credit in filium Dei, tranſiuit de morte 927. d
5. 39 Scrutamini ſcripturas, quia vos putatis 274.c.531.a.638.d
5. 44. Quomodo vos poteſtis credere, & gloriam 289.b
5. 46 Si crederetis Moyſi, crederetis & mihi 74.d.890.b
7. 38 Flumina de ventre eius fluent 18. b
11. 11 Lazarus amicus noſter dormit 415. d
11. 51 Cum eſſet Pontifex prophetauit 239.a
15. 22 Si nõ veniſſem, & locutus fuiſſem. 46 .d
16. 21 Mulier cum parit, triſtitiam habet. 184.c

EX ACTIS APOST.

3. 12 Quaſi fecerimus illũ ambulare. 382.c
4. 3 Erat credentium cor vnum, & anima 484.d
4. 16 Quid faciemus viris iſtis? 264.b.690. c
5. 41 Ibant gaudentes à conſpectu concilij 264.c.379.d
8. 28 Eunuchus Candacis reginæ Æthiopum 503.a a
9. 36 Tabitha, quæ dicitur Dorcas 740. a
14. 21 Per multas afflictiones oportet nos 477.b
17. 24 Deus qui fecit mundum & omnia 13.a
17. 29 Auro vel argento numen non eſt ſimile 77.c.822.a
18. 36 Non eſt perſonarum acceptor Deus 796.d
20. 7 Protraxit ſermonem vſque ad mediam noctem 90.c
27. 25 Dedit tibi Deus omnes qui tecum. 282.d
28. 4 Vt viderunt barbari pendentem beſtiam 909.a

EPIST. AD ROMANOS.

1. 20 Inuiſibilia Dei ex creatione noſcuntur 14.d.59.a
1. 32 Non ſolum ea faciunt, ſed & comprobant 1029.c
2. 1 Tu autem cum iudicas fratrem 6 1.d
2 4 An diuitias bonitatis eius contemnis? 296.b
2. 12 Qui ſine lege peccarunt, ſine lege peribunt 190.d. 215.c
2. 13 Non enim auditores legis, ſed fact. 3. a 667.c
2. 21 Tu qui aliũ doces, teipsũ non doces. 78.d
3. 1 Quid amplius Iudæo eſt, aut quæ vtilitas
4. 3 Credidit Abraham Deo, & reputatum eſt 831.c
4. 10 Circuncisio ſignaculum fidei in præputio 569. d
4. 11 Et ſignum dedit circuncisionis ſigillum 331.d
5. 4 Tribulatio patientiam operatur 829.c
5. 15 Non ſicut delictum, ita & donum. 923. d
8. 9 Vos autem nõ eſtis in carne. 251.a.278.b
8. 18 Non ſunt condignæ paſſiones 3 7. d
8. 26 Quid enim precemur, neſcimus 442.b
8. 28 Diligentibus Deum omnia cooperantur 876.d
8. 35 Quis nos ſeparabit à caritate Dei. 737.a
8. 39 Certus ſum, quod neque angeli. 1 2. c
11. 33 Inſcrutabilia ſunt iudicia eius 35. b
12. 17 Prouidẽtes bona coram hominib. 973.a
12 19 Date locum iræ. Mihi vindictam. 773. b 760.c
13. 2 Quiſquis poteſtati reſiſtit, Dei ordinat 1 21.a
13. 3 Si autem malum feceris, time 971. b
13. 8 Nemini quicquam debeatis, niſi. 479.c
13. 13 Sicut in die honeſte ambulemus 21. a
14. 6 Et qui manducat domino mãducat. 02.c
16. 20 Deus conteret Satanã ſub pedib. 9 0.d

EX EPIST. I. AD CORINTH.

2. 9 Oculus non vidit, nec auris audiuit 327 b

4. 5 Nolite ante tempus iudicare 1003. c
6. 7 Lites habetis inter vos inuicem 482. c
6. 10 Ebrioſi regnum Dei non poſſidebūt. 4. b
6. 19 Mēbra veſtra ſunt corpus Chriſti. 982. d
6. 12 Omnia mihi licent, ſed nō ædificāt. 63. b
6. 16 Qui ſcis mulier, an virum ſaluabis? 186. b
7. 12 Si quis vxorem habet infidelem 312. a
7. 5 Niſi forte in ieiunio & oratione 440. b
7. 13 Si qua mulier virū habet infidelē. 906. d
7. 21 Si potes fieri liber, magis vtere 907. c
7. 31 Præterit enim figura huius mūdi. 516. a
8. 6 Vnus Deus pater, & vnus domin⁹. 136. d
8. 11 Et peribit infirmus frater 619. d
9. 27 Caſtigo corpus meum, & in ſeruitutem 259. b
10. 12 Qui ſtat, videat, ne cadat 387. c
10. 13 Sed faciet cū tentatione prouentū. 314. c
10. 32 Sine offenſione eſtote Iudæis 61. d
11. 7 Vir non debet velare caput 77. a. 891. c
11. 9 Non vir propter mulierem, ſed mulier 150. d
11. 19 Oportet hæreſes eſſe inter vos 1056. a
11. 21 In quo quis audet, audeo & ego 111. c
11. 31 Quod ſi nos ipſos iudicaremus 798. c
12. 8 Alij per ſpiritum datur ſermo ſap. 975. b
13. 5 Caritas non quærit, quæ ſua ſunt. 938. d
15. 31 Quotidie morior per veſtrā glor. 109. c
15. 33 Corrūpunt bonos mores colloquia. 42. d

EX EPIST. 2. AD CORINTH.

2. 8 Confirmate in illum caritatē. 938. d
2. 15 Chriſti bonus odor ſumus 331. a
2. 25 Vt in manſuetudine audiantur 76. b
4. 16 Si externus homo noſter corrumpitur 6. d. 92. b
4. 17 Æternum gloriæ pondus operatur. 303. a
4. 18 quæ videntur, momentanea ſunt. 308. c 516. c
5. 10 Vt recipiat vnuſquiſque propria. 926. b
5. 14 Caritas Chriſti detinet nos 499. a
11. 23 In laboribus abundātius, in plagis. 737. d
12. 8 Ter dominū rogaui, vt auferretur. 442. a

EX EPIST. AD GALATAS.

2. 20 Viuo autem iam non ego, viuit autem 797. c
5. 2 Si circuncidamini, Chriſtus nihil proderit 570. a
5. 24 Carnem crucifixerunt cum vitiis. 168. c
5. 10 qui vos cōturbat, portabit iudiciū 1029. d
6. 1 Si præoccupatus fuerit aliquis in delicto 935. d
6. 1 Conſiderans teipſum, ne & tu tenteris 619. c

EX EPIST. AD EPHES.

4. 31 Omnis ira auferatur à vobis 720. b
5. 23 Caput autē mulieris eſt vir. 140. c
5. 25 Viri diligite vxores veſtras 900. a
5. 32 Sacramentum hoc magnum eſt 745. c
6. 12 Non eſt nobis colluctatio aduerſus carnem 25. a. 636. d

EX EPIST. AD PHILIPPEN.

1. 23 Diſſolui, & eſſe cum Chriſto multo melius 641. b
2. 3 Superiores ſibi inuicē arbitrātes. 1047. c
3. 1 Eadem dicere mihi non graue 36. c
3. 20 Conuerſatio noſtra in cœlis eſt 383. b

EX EPIST. AD COLOSSENSES.

1. 16 Quoniam in ipſo condita ſunt omnia 13. c. 882. c
2. 11 Circuncisi circunciſione non manufacta 570. a
3. 3 Mortificate membra ſuper terram. 39. c

EX 1. AD THESSALONIC.

2. 6 Gloria non ex hominibus, ſed ex Deo 47. d
2. 19 Quæ noſtra ſpes vel gaudium vel corona 72. d
3. 8 Nos viuimus, ſi vos ſtatis in Domino 61. b
5. 11 Vnus alterutrum ædificet 78. a

EX EPIST. 1. AD TIMOTH.

1. 6 Lex iuſto non eſt poſita, ſed 902. a
2. 4 Vult omnes homines ſaluos fieri. 23. c
2. 8 In omni loco leuantes puras 444. b
2. 9 Non in tortis crinibus, vel auro. 243. b 542. c. 590. c
2. 12 Mulieri docere non permitto. 899. c 906. c
2. 14 Mulier ſeducta in præuaricatione fuit 953. c
2. 15 Si permāſerit in fide & dilectione. 954. a
5. 8 Si quis domeſticorum curam non habet 984. d
5. 10 Si filios educauit, ſi hoſpitio 954. a
6. 1 Radix malorum eſt auaritia 226. d
6. 2 Qui fideles habent dominos 418. a
6. 8 Habentes victum & veſtitum contenti ſumus 193. b. 540. d

EX EPIST. AD TITVM.

1. 16 Profitentur ſe Deum noſſe, factis negant 984. d

EX EPIST. AD HEBRÆOS.

2. 16 Debuit fratribus ſimilis fieri 804. c
7. 3 Melchiſedec rex iuſtitiæ ſine patre 511. c
11. 1 Fides eſt ſubſtantia eorum, quæ ſperantur 528. d
11. 4 Mortuus Abel adhuc loquitur 215. a
11. 7 Per fidem admonitus Noë oraculo. 301. c
11. 9 Fide peregrinatus eſt Abraham 669. a
11. 13 Iuxta fidem defuncti ſunt non accepta 860. a. 928. c
11. 16 Non erubeſcit vocari Deus ipſorū. 993. a
11. 17 Fide Abraham obtulit filium 682. a
11. 22 Fide Ioſeph de egreſſione meminit. 878. b
11. 37 Quibus dignus non erat mundus. 563. b 606. d
12. 14 Pacem ſectemini cum omnibus 630. d
13. 2 Hoſpitalitatis nolite obliuiſci. 586. a. 625. d

EX 1. PETRI.

1. 24 Omnis gloria hominis ſicut flos fœni 374. c

EX EPIST. IACOBI.

2. 26 Fides ſine operibus mortua eſt 16. b

ERRATA ET OMISSA SIC RESTITVE.

PAG. 6. c. 9. ἐπιχίρ. 8. c. 4. προξενουύτ. 10. d. 3. βαθύχλον. 15. a. 12. οἰκείαν. 22. c. 10. διὰ τῆς τῶ. 23. b. 11. torpeſc. 24. b. 3. cæteraque. b. 6. ἡμᾶς. c. 4. αὐτοῖς. 26. d. 7. ἡμῖν. 27. a. 11. & pro temp. 31. d. 2. Sit. 33. c. 1. κειμέν. c. 11. καλόν. 34. a. 6. acuturæ. 35. d. 7. contextu. 39. a. 11. ἐπιδείκνυσθαι· ἔπειτα. c. 12. gaudium. 43. b. 6. προσταὶ. 45. a. 6. προσήκουσαν. b. 7. *dele* τε. d. 3. ἄσρων. d. 6. τούτων. 46. c. 1. diſcentes. 47. a. 1. Iudæi, qui. a. 4. οὕτω. 50. d. 8. καὶ ἡμᾶς. 52. a. 10. ἡτταιρ. 55. a. 1. qu. maius. b. 7. τῆς πύπου. 57. d. 8. συμπλ. 58. a. 10. φιλανθρ. b. 6. τὸν θεὸν αὐτοῖς. 64. a. 5. διαφθ. 65. c. 12. γενομ. 68. c. 3. ἀνάπαυσιν. 69. a. 3. τειχίον. 73. a. 3. ἐύμῖν. 76. b. 4. à laq. d. ſe abſt. 85. a. 9. δυνάσαι. 88. b. 3. ἀπελθύτ. 90. d. 1. ἡελσηκὼς. 93. b. 7. καρηβαρεῖαι. 97. d. 5. ἀποκατέσῃ. 98. b. 2. & valdè. 115. d. 7. προσθεῖναι. 117. a. 9. ἐπόπιζε. 124. b. 9. ἀσπάσασθαι. 134. b. 3. διερδύνησ. 139. d. 5. putaret. 142. c. 3. ὠνήσωνται. 143. b. 6. σκόπει. 150. a. 9. ablatio. 154. c. 6. ἑαυτοῖς. 157. d. 13. ἐπιγίνωσ. 160. b. 9. *dele*, ἑνὸς μόνου. 163. a. 3. *dele* τὸν. 165. a. 2. προξεν. 167. a. 2. ſit. 169. d. 4. ad illum. 170. a. 2. διὰ τὴν ἀσθένειαν τὴν. 171. c. 1. illud. 176. d. 12. deplorarit. 183. d. 9. τῷ πλει. 185. d. aud. vxorem t. 186. b. 9. συμβουλεύειν. d. 13. & quiet. ob. 188. a. 7. αἰτ. ἐπαγ. a. 11. δείκνυνται. 189. b. 5. ἐννοιαν. 190. b. 9. προσχώρησιν. 195. d. 6. ἡ θεία. 196. a. 7. ἣν, ἵνα. 199. c. 10. & quod cum. 205. c. 1. ποιεῖται. 212. c. 1. ἔσαι, παῖ. 213. d. 6. καὶ ὅσα. 214. a. 3. *dele*, fratrem. c. 8. poſteritati. 216. a. 6. ἰλύος. 220. a. 10. *dele prius*, δέξασθαι. 223. d. 2. ἰσάμενον. 226. b. 1. ἐπιμελῶν, admonitam. 230. d. 13. poſteritas. 238. a. 3. κειμένων. b. 2. ἢ καὶ. b. 4. Λάμεχ ἔτη ἑκατὸν ὀγδοήκοντα. 241. c. 2. ne vllum. 250. a. 10. ἔνδοθεν. 266. a. 7. προσλαβών. 270. a. 8. ἐπιδείκν. 273. b. 7. ἡμᾶς. 280. a. 12. ἀσήπτων. 287. a. 1. λυπεῖν. a. 3. δὴ καὶ. 288. b. 2. ἐποίησε φησι. 289. b. 2. πεσόντων. 290. d. 3. προσθήκην. 295. d. 1. αὐτοῦ. 301. c. 3. καὶ τῆς ἀλόγ. 302. c. 5. εἶτα τὴν. 320. d. 7. καὶ τὴν κατὰ δύο. 322. b. 7. homines quib. eſt nat. n. cum par. 326. b. 3. patriarchas. 356. d. 3. ἐπάθλων. 358. a. 14. maculas. d. 13. proponant. 373. d. 7. ἦσαν δέ. 400. a. 11. καὶ ὁ μετ᾽. 480. c. 2. narrent. 481. d. 1. αὐτὸς. b. 7. προσελθεῖν. 492. b. 11. τοσαύτην. 493. b. 2. Num enim is, qui. 527. b. 11. δυσχερ. 535. a. 14. totam. 537. d. 4. ſignificat. 545. c. 4. ἐρ[illegible]. 547. b. 3. dom. & op. 563. b. 5. θέλημα. 569. d. 8. ἐξ αὐτοῦ. 575. d. 4. παρέχει τ. α. ῥωννύς. 592. a. 9. *dele*, ἀλλ᾽. 612. b. 3. κώλυμα. 618. c. 2. μὴ ἐμοί. 637. b. 4. τίνων. b. 5. ῥυπαρ. 663. a. 4. decepiſſe. 664. c. 7. γνησίως. 666. a. 10. erat. 668. c. 7. ὠνήσατο. 672. b. 2. mulier ven. 675. c. 4. τὴν ἀπόκ. 681. b. 5. διαζῶσιν. 682. b. 5. εἰσόμεθα. 694. a. 9. γενησόμ. 699. d. 6. conſequemur. 709. a. 1. *lege* ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, φησὶν ἀπελθόντες οἱ παῖδες τοῦ Ἰσαὰκ ὤρυξαν φρέαρ καὶ εἶπαν. 715. c. 10. Ἠσαῦ. ὅρα πάλιν πῶς δείκνυσιν ἡ θεία γραφή, ὅτι ἐδίσαζεν ὁ δίκαιος. εἶπε γάρ, εἰ σὺ εἶ ὁ υἱός μου Ἠσαῦ; 720. a. 8. non minus. 725. a. 1. eſt inquit. a. 11. abi. 741. c. 7. expectat. 747. c. 4. aliter cum. 748. c. 2. ἀγέλαι. 751. a. 1. filiorum. b. 10. tantam. 752. d. 8. filiorum. d. 12. μανδραγορῶν τὸν ἄνδρα, καί φησι. 753. a. 3. δέχου. 757. a. 1. diuina. b. 9. oues. 760. c. 1. obluctemur. 762. a. 12. tondendum. 763. a. 19. reuerteretur. 765. a. 1. cur hoc feciſti? 771. c. 5. ob ea q. 772. b. 2. εἶδε. 773. d. 8. αὐτόν. 786. a. 9. Erant enim. c. 3. ſcietis. 787. d. 7. expetebant. 790. a. 1. ſubtraxerat. a. 8. καθαρόν. 793. c. 10. αὐξάνει. 794. a. 4. *dele* σου. 801. d. 5. hoc ne in mentem q. i. venit. 802. b. 6. ἀδελφῶν. 807. d. 12. δουλεία. 813. c. 5. exiturus: Tunc retr. 815. c. 14. hac via. 819. b. 5. ἀδυνάτοις. 822. c. 1. Vidiſti. 823. c. 9. διὰ τῶ. 824. b. 6. ῥυπῶντ. b. 6. animi. 826. a. 11. certantem. 837. a. 5. ἐννόησον. 840. c. 3. totus. 842. b. 13. in eo: mala conſummaſtis. b. 9. ἀντιπαιδώκ. 844. b. 8. poterimus. 846. b. 4. προσδῶνται. 847. b. 6. ἀλλήλοις. 851. a. 3. veritus ne. 852. a. 12. ſtupeſce. 854. c. 8. ciuitatis. 863. c. 10. piam & relig. 865. a. 3. cum illis. 870. b. 11. ex volunt. 873. c. 8. poterit Iacob. 875. a. 6. in terra. 876. b. 4. καί φασιν. 882. c. 1. παιδεύων. 890. a. 2. μέλλοντος. c. 3. ἀρχάγγελον εἶπε. ποῖον ἀρχάγγελον; οὐ γὰρ ἀγγέλων ἐστὶ τὸ δημιουργεῖν, οὐδὲ ἀρχαγγέλων τό. 891. d. 14. illa vero. 892. b. 10. κατεῖχεν. 893. b. 6. relinquat. 895. c. 14. hoc illi. 896. b. 6. honore. 898. b. 9. hac opus. 901. a. 11. quale mulieris, nec tale quale ſeru. 908. d. 5. metum. 909. b. 12. ab illa. 913. b. 7. vt rurſus. 914. c. 1. vobis ſol. 917. a. 12. vna cum menſa. 924. d. 8. μετάνοιαν. 925. c. 2. præ ſe. 929. a. 13. *dele*, in. 949. a. 4. διαχρυσόμ. 943. a. 2. Paulum de illo. 944. d. 15. & virtus. 957. d. 8. affectum. d. 12. δίκαιον. 964. b. 8. vt illi. 969. a. 9. ἐξέβαλε. 975. b. 1. καὶ ἀδελφ. d. 1. his qui noſtris viuunt temporibus, ſed etiam ſuper his. 976. a. 4. ἅπαντας. 987. c. 8. hinc. 994. a. 2. pollet, ac depr. ea enim eſt, q. ex imp. p. facit, & ex diff. d. 8. admotam recalf. 998. b. 3. dep. vt poſtea. 1001. c. 2. tantæ. d. 7. munerum. d. 8. enim eum. 1005. a. 10. quibuſuis. 1012. c. 10. εἶχεν. 1017. b. 3. φεῖσαι. 1018. c. 3. magis hæc illi dicebant, eo magis hic. d. 8. *dele*, refert. 1019. a. 2. πόσον. 1028. c. 6. Saulem. d. 6. cauſa. 1038. d. 8. ἑκατ. δὲ παρ. 1052. c. 1. diffidat. 1062. a. 13. ergo.

Ne charta vacaret, hîc addi placuit teſtimonium B. Auguſtini, quod abſoluta demum editione nô- bis occurrit, quandoquidem natalibus ſuis aſſerit ſermonem 3. in Geneſim, vtraque lingua nunc primum à nobis in lucem editum lib. 1. contra Iulianum Pelagianum cap. 2. tom. 7.

TRactat idem Ioannes (*Conſtantinopolitanus*) in ſermone quodam huiuſmodi quæſtionem, cur beſtiæ vel lædant homines, vel interimant, cum ſententia Domini manifeſta ſit, qua eas homini ſubdidit, vt earum habeat poteſtatem? Quam quæſtionem ſic ſoluit, vt dicat ante peccatum omnes beſtias homini fuiſſe ſubiectas: quod autem nunc hominibus nocent, pœnam primi eſſe peccati. Prolixa tractatio eſt, ideo huic operi non à me inſeritur, ſed tamen aliquid inde oportet vt ponam.

Timemus, inquit, *beſtias, & pauemus, non contradico. Et à principatu decidimus, & hoc dico ipſe etiam. Sed non hoc oſtendit legem Dei eſſe mendacem. Ab initio enim non ita res erant diſpoſitæ, ſed timebant, & tremebant, & ſubijciebantur domino. Et quoniam à fiducia decidimus, profecto & ab honore. Vnde hoc manifeſtum eſt? Adduxit beſtias ad Adam, videre, quid eas vocaret, & non reſiluit Adam tanquam timens.* Et paulò poſt. *Hoc vnum*, inquit, *ſignum, quod non fuerint homini ab initio terribiles beſtiæ: ſecundum aliud iſto manifeſtius, quæ fuit ad mulierem per ſerpentem diſputatio. Si enim eſſent terribiles hominibus beſtiæ, non vtique mulier viſo ſerpente manſiſſet, non accepiſſet conſilium, non ei cum tanta ſermocinaretur fiducia, ſed ſtatim ad ipſum & expauiſſet, & reſiluiſſet aſpectum. Nunc autem diſputat, & non timet: nondum enim erat timor iſte, ſed quia peccatum ingreſſum eſt, ablata ſunt ea, quæ honoris erant.* Itemque poſt paululum. *Quandiu quidem*, inquit, *habebat ad Deum fiduciam, terribilis beſtiis erat, ſed quia offendit, extremos etiam conſeruorum ſuorum iam pauet. Quod ſi hoc non eſt*, inquit, *tu mihi oſtende ante peccatum, quod terribiles erant hominibus beſtiæ, ſed non habebis. Si autem poſt tanta ingreſſus eſt timor, tutela Domini eſt. Si enim mandato vel quod datum eſt moto ab homine & ſoluto honor qui ei datus eſt à Deo, manſiſſet immobilis, non facile reſurrexiſſet.* Nempe manifeſtum eſt ſanctum Ioannem hac diſputatione monſtraſſe illud, quod per vnum hominem peccatum ingreſſum eſt, commune omnibus hominibus factum eſſe peccatum, quandoquidem in omnibus terror communis eſt beſtiarum, quæ vtique nec infantibus parcunt. Quas profecto ſecundum illum tractatum Ioannis, nullo modo læderent, ſiue terrerent, niſi eſſent veteris illius peccati obligatione conſtricti.

Hæc Auguſtinus: tu locum vide pag. 895. b. huius voluminis.

00111319

Digitized with financial assistance from the
Government of Maharashtra
on 26 June, 2018